64

E, φ

664

026000285845

OLD
885.01
ΔΗΜ
1570

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΔΗΜΟΣΘΕΝΟΥΣ
# ΛΟΓΟΙ, ΚΑΙ ΠΡΟΟΙΜΙΑ
## ΔΗΜΗΓΟΡΙΚΑ, ΚΑΙ ΕΠΙΣΤΟΛΑΙ,

Σὺν ταῖς ἐξηγήσεσιν ὠφελιμωτάταις, τοῦ Οὐλπιανοῦ ῥήτορος, τῇ τῶν παλαιῶν ἀντιγράφων βασιλικῶν ἐπικουρείᾳ αὐξηθείσαις καὶ διορθωθείσαις,

Διὰ φιλοπονίας, καὶ ἐπιμελείας τοῦ Γουλιέλμου Μορελίου, τυπογράφου βασιλικοῦ.

ΕΚ ΒΙΒΛΙΟΘΗΚΗΣ ΒΑΣΙΛΙΚΗΣ.

Προσετέθη βίος Δημοσθένους, καὶ ἄλλα πολλά, πρὸς τὸν τοῦ αὐτοῦ ῥήτορος βίον ἀνήκοντα, ἐκ συχνῶν συγγραφέων συλλεχθέντα.

Ἔλεγχος τῶν λόγων, καὶ προοιμ. δημηγορικῶν, καὶ ἐπιστολῶν, μετὰ τὰ προλεγόμενα τοῦ Οὐλπιανοῦ.



Βασιλεῖ τ᾽ ἀγαθῷ, κρατερῷ τ᾽ αἰχμητῇ.

*LVTETIAE, M. D. LXX.*

*Apud Ioannem Benenatum.*

CVM PRIVILEGIO REGIS.

ΒΙΒΛΙΟΘΗΚΗ ΤΟΥ ΕΘΝΙΚΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἀρ. Βιβλ. Εἰσαγ. 15669

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Διονύσιος ὁ Λαμβῖνος, Μονστρολιεύς,

# ΚΑΡΟΛΩι ΤΩι ΤΗΣ ΦΡΑΓΚΙΑΣ ΒΑσιλεῖ, τῶν χριστιανῶν βασιλέων μεγίστῳ τε, καὶ χριστιανικωτάτῳ, εὖ πράττειν.

ΠΑΓΚΑΛΩΣ ἀποφήνασθαί μοι δοκεῖ, ΚΑΡΟΛΕ βασιλεῦ, ὅστις ποτ᾽ ἔτυχεν ὤν, ὁ εἰπών, ὅτι τότε μάλιστα τοὺς θεοὺς οἱ ἄνθρωποι μιμοῦνται, ὅτε τοὺς πλησίον εὐεργετοῦσιν. οὐδὲν γὰρ ὡς ἀληθῶς οὕτω τῆς τε ἀνθρωπίνης ἀσθενείας καὶ ταπεινότητος ἀφίσταται, καὶ τῇ θείᾳ δυνάμει καὶ ὑψηλότητι προσπελάζει, ὡς τὸ εὖ ποιεῖν, εἰ μὲν οἷόν τε, πάντας· εἰ δὲ μή, ὅτι γε πλείστους· καθάπερ ὁ θεὸς φανερός ἐστι τὸν ἥλιον αὐτοῦ ἐπιτάξας οὐ μόνον τοῖς σπουδαίοις καὶ δικαίοις, ἀλλὰ καὶ τοῖς πονηροῖς καὶ ἀδίκοις ἀνατέλλειν. τῶν δ᾽ εὐεργεσιῶν τῷ τε μεγέθει, καὶ τῇ ἀξίᾳ, καὶ τοῖς καιροῖς, καὶ τοῖς ἄλλοις τοιούτοις διαφερουσῶν, οἱ μεγάλα δήπου, καὶ πολλοῦ ἄξια, καὶ ἐν ταῖς χρείαις, τοὺς ἄλλους εὖ ποιοῦντες, οὗτοι, ὡς ἔπος εἰπεῖν, ἐγγυτάτω τοῦ οὐρανοῦ ἀνέρχεσθαι, καὶ τῆς τῶν θεῶν ἀϊδιότητος σχεδὸν ἅπτεσθαι καὶ κοινωνεῖν δοκοῦσι. Καίτοι, εἴ τις τῶν εὐεργεσιῶν τὴν τὸ ἀνθρώπων γένος πλεῖστα ὠφελεῖν δυναμένην, καὶ τιμιωτάτην ζητήσειεν, οὐδεμίαν ἄλλην, οἶμαι, εὑρήσειεν ἄν, πλὴν ἢ τὴν τῆς παιδείας ἡμῖν μεταδιδοῦσαν. τὰ μὲν γὰρ ἄλλα πάντα τὰ τοῖς ἀνθρώποις περισπούδαστα καὶ περιμάχητα, ἄλλοτε ἄλλῳ, καὶ οὐκ ἀεὶ τῷ αὐτῷ ἐπιτήδεια, καὶ ὠφέλιμα ὑπάρχει. ἡ δὲ παιδεία πανταχοῦ τῷ αὐτῷ, καὶ ἐν παντὶ χρόνῳ, καὶ ἐν πάσαις τῆς τύχης μεταβολαῖς χρήσιμός ἐστιν· ἐν μὲν εὐτυχίαις, κόσμος· ἐν δὲ δυστυχίαις, καταφυγή. ἐν μὲν νεότητι, ἐμπειρίας δύναμιν καὶ χώραν κατέχουσα· ἐν δὲ γήρᾳ, τὴν τῆς ἡλικίας ταύτης κακῶν ἀναισθησίαν τινὰ πορίζουσα· ἐν μὲν πολέμῳ, τὰς τοῦ νικᾶν καὶ κρατεῖν μηχανὰς εὑρίσκουσα· ἐν δ᾽ εἰρήνῃ, τὴν σωφροσύνην, καὶ τὴν δικαιοσύνην, καὶ τὰς ἄλλας πάσας πολιτικὰς ἀρετὰς διδάσκουσα. Διόπερ Φραγκίσκῳ τῷ πρώτῳ ἐπὶ ὀνόματι τούτῳ τῆς Φραγκίας βασιλεῖ, τῷ τοῦ πατρός σου πατρί, τῷ τῶν προγεγονότων ταύτης τῆς χώρας βασιλέων, ἔξω πάνυ ὀλίγων, μεγαλοπρεπεστάτῳ τε, καὶ βασιλικωτάτῳ, μεγίστην τε χάριν ἔχειν, καὶ δαιμονίους τιμὰς ἀπονέμειν, αὐτόν τε ὡς θεόν τινα εὐεργετικόν, καὶ ἀγαθοποιόν, καὶ ὀλίγου δέω εἰπεῖν, σωτήριον, σέβεσθαι δίκαιοί ἐσμεν· ὃς τοιοῦτό τε, καὶ τηλικοῦτο δώρημα, τὸ τῆς παιδείας λέγω, ἡμῖν ἐδωρήσατο. Εἰ γὰρ δεῖ τἀληθὲς μὴ ἀρνεῖσθαι, μηδὲ διὰ σιγῆς ἔχειν καὶ κρύπτειν, Φραγκίσκος ὁ προπάτωρ σου, ὁ τῆς παιδείας, καὶ τῶν ἐπισήμων ἐλευθερίων πατὴρ ἐπίκλην ὀνομασθείς, τὴν ἀπαιδευσίαν καὶ ἀμαθίαν, καὶ πάντων τῶν καλῶν μαθημάτων ἀπειρίαν τῆς κελτικῆς φυγαδεύσας, καὶ ἐξορίσας, τεχνῶν ἐπαινετῶν, καὶ λόγων ἑλληνικῶν, καὶ ῥωμαϊκῶν, καὶ συριακῶν, ἤγουν ἑβραϊκῶν, καί, συνελόντι εἰπεῖν, πάσης παιδείας τῆς ἐλευθέροις προσηκούσης εὐπορίαν εἰς τὴν ἑαυτοῦ πειθαρχοῦσαν χώραν ἀντεισήγαγε. Πρότερον γὰρ πρὸ τοῦ αὐτὸν τὴν ἀρχὴν διαδέξασθαι, ἡ κελτική, ὀλίγου δεῖν, ἄμοιρος ἦν πάσης ἀκριβοῦς καὶ χαριέσσης παιδείας. Οὐχ ὅπως γὰρ τὰ περὶ τοὺς λόγους ἑλληνικούς· ὅθεν πᾶσα ἡ γνησία καὶ ἐντελὴς παιδεία,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καθάπερ ἐκ πηγῆς τινὸς ἀενάου ἀναβλυστάνει· ἐν τῇ ἡμεδαπῇ χώρᾳ οὐκ ἐπετηδεύετο, οὐδ' ἐγνωρίζετο, ἀλλ' οὐδὲ τὰ περὶ τὴν γλῶτταν ῥωμαϊκὴν ἀνήκοντα, ἤτοι εἰλικρινῶς μετεχειρίζετο, ἢ ἀκριβῶς ἐγιγνώσκετο· ἀπέχρη δὲ ῥήματά τινα οὐ καθαρὰ, οὐδὲ γνήσια, καὶ φθόγγους τινὰς ἀλλοκότους ῥωμαίοις ἐκείνοις τοῖς πάλαι ἀγνώστους, ἀφιέναι. εἰ δέ τις ὀνόματα δεδοκιμασμένα, καὶ ἀκίβδηλα, καὶ παρὰ συγγραφεῦσι τοῖς εὐδοκιμοῦσιν εὑρισκόμενα λέγων, ἢ γράφων τύχοι· ταῦτα εἰκῆ, καὶ οὐ κατὰ χώραν, καὶ παρὰ καιρὸν, καὶ ἀναφροδίτως, καὶ ἀσυνθέτως, καὶ παρὰ μέλος, καὶ ἀρρύθμως διέρριπτε. Πλάτων μέντοι ὁ θεῖος, καὶ ξενοφῶν ὁ γλαφυρὸς, καὶ ἀριστοτέλης ὁ τῆς φύσεως μυσταγωγὸς, καὶ πλούταρχος ὁ πολυΐστωρ, ἄλλοι τε φιλόσοφοι οἱ τούτων μεταγενέστεροι· καὶ ἡρόδοτος, θουκυδίδης, πολύβιος, διόδωρος ὁ σικελιώτης, ἄλλοι τε ἱστοριογράφοι, οὓς ἡ δυστυχὴς γενεὰ ἡμῖν ἐκ πολλῶν ὀλίγους κατέλιπε· καὶ ὅμηρος ὁ παντοίας σοφίας τε, καὶ καλλιγραφίας ἑλληνικῆς θησαυρὸς, ἡσίοδος, σοφοκλῆς, εὐριπίδης, πίνδαρος, ἀπολλώνιος ὁ ἀργοναυτικῶν ποιητὴς, ἄλλοι τε ποιηταὶ ἐξ οἱονεὶ ναυαγίας χαλεπῆς καὶ σχετλίας σωθέντες, πολλοὶ μὲν πρὸς τοὺς ἐμοὶ προειρημένους, ὀλίγοι δὲ πρὸς τοὺς ἀπολωλότας, μόλις κατ' ὄναρ ἐφαντάζοντο, ἢ διὰ νέφους τινὸς ἐθεωροῦντο. Οὐδὲν μᾶλλον οἱ θεολόγοι, καὶ συγγραφεῖς χριστιανοὶ, βασίλειος ὁ μέγας, γρηγόριος ὁ ναζιανζηνὸς, ἰουστῖνος ὁ μάρτυρ, κλήμης ἀλεξανδρεὺς, εὐσέβιος ὁ παμφίλου, ἕτεροι πολλοὶ τοιοῦτοι, ἤτοι παντάπασιν ἐν τῇ κελτικῇ ἄγνωστοι καὶ ἀφανεῖς ἦσαν· πλὴν εἰ τάχα μέχρις ὀνομάτων μόνον· ἢ διὰ ἑρμηνευόντων τινῶν ἀδιορθώτων καὶ ἀδοκίμων ἐγινώσκοντο, καὶ ἐγνωρίζοντο. Νῦν δὲ τοὐναντίον, τοῦ μεγάλου ἐκείνου βασιλέως, τοῦ πάππου σου τὴν ἀείμνηστον ἑαυτοῦ μεγαλοδωρεὰν καὶ μεγαλοπρέπειαν ἡμῖν ἀναφήναντος, πᾶς τῆς ἑλληνικῆς καλλιγραφίας τε καὶ λογιότητος, καὶ γλαφυρότητος, καὶ φιλοσοφίας εἴτε βεβήλου, εἴτε καὶ ἱερᾶς πλοῦτος, ὁ ἐκ τινὸς οἱονεὶ κατακλυσμοῦ, ἢ ἐμπρησμοῦ, ἢ τινος ἄλλης πανωλέθρου συμφορᾶς ὑπόλοιπος, τὰ μὲν ἐν ψυχῇ φιλομαθῶν, καὶ φιλοκάλων, καὶ χαριέντων ἀνδρῶν ἐνοικουρεῖ, καὶ ἐνοικεῖ· τὰ δ' ἐν στόματι λιγυρῶς καὶ μουσικῶς ἐνηχεῖ· τὰ δ' ἐν χερσὶ καταγίνεται, καὶ νύκτας τε καὶ ἡμέρας ἀνελίττεται. Τοιαύτης δὴ καὶ τηλικαύτης εὐεργεσίας, ΚΑΡΟΛΕ βασιλεῦ, ἀμέλει, τοῖς τοῦ κροίσου ταλάντοις, καὶ ταῖς τῶν περσῶν γάζαις ἰσορρόπου καὶ ἰσοταλάντου, χάριν φραγκίσκῳ τῷ μακαρίτῃ, τῷ πάππῳ σου, ὀφείλομέν τε καὶ ὁμολογοῦμεν, ὃς πρῶτος τριῶν γλωττῶν, καὶ τῶν κυρίως λεγομένων μαθημάτων, καὶ ἰατρικῆς τῆς χειρουργικῆς, καὶ φιλοσοφίας τῆς περιπατητικῆς ἢ ἀκαδημαϊκῆς, δέκα διδασκάλους κατεστήσατο, αὐτοῖς τε συντάξεις ἐνιαυσίους οὐκ εὐκαταφρονήτους, οὐδ' εὐτελεῖς, μάλιστά γε ἐν χρόνοις ἐκείνοις, συνετάξατο· καὶ μετ' ἐκεῖνον, τῷ πατρί σου ἐρρίκῳ, ὃς τὰ ὑπὸ φραγκίσκου βασιλέως βασιλικῶς καθεσταμένα τε, καὶ συντεταγμένα οὐ μόνον ἐβεβαίωσε, καὶ κύρια ἐποίησεν, ἀλλὰ καὶ ηὔξησέ τε καὶ ἐκόσμησε· καὶ πορρωτέρω ἂν προέβη, εἰ μὴ θανάτῳ ἀπροσδοκήτῳ προκαταληφθεὶς, πρὸ τῆς εἱμαρμένης ἐτελεύτησε· καὶ τρίτῳ σοι μετ' ἀμφοτέρους, τῷ ἐκείνου μὲν υἱωνῷ, τούτου δὲ υἱῷ· ὅς γε ἐν καιροῖς τούτοις τοῖς χαλεπωτάτοις, καὶ ἀπορωτάτοις, καὶ δυσχερεστάτοις, τοῦ μὴ τὰς συντεταγμένας ἡμῖν συντάξεις ἀποτίνειν, πρόφασιν εὔλογον ἔχων διὰ τὰς χρείας πολεμικὰς, ὅμως τῆς τε τῶν προγόνων σου, καὶ τῆς σῆς μεγαλοφροσύνης ἀνάξιον εἶναι νομίσας, ἡμᾶς, τοὺς ὑπὸ σοῦ εἰς διδασκάλους βασι-

λικὸν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πεισθέντας, τοῦ ἡμῖν ἐπηγγελμένου, καὶ συνωμολογημένου ἐράνου, ἢ γοῦν μισθοῦ, ῥητῇ ἡμέρᾳ μὴ τυγχάνειν· ἐκέλευσας τοῖς ταμίαις σου, καθ' ἕκαστον ἐνιαυ-τεταρτημόριον τέταρτον τοῦ ἐνιαυσίου μισθοῦ μέρος ἡμῖν κατατιθέναι. εἰκότως. ᾔδεσθα γάρ, πεπυσμένος δηλονότι τῶν περὶ σὲ χαριέντων ἀνδρῶν, καὶ τῶν πρὸς λόγοις καὶ λογίους ἄνδρας εὐνοϊκῶς διακειμένων, ὅτι Φραγκίσκος, ὁ πάππος σου, οὐ μόνον τὸν ταχθέντα καὶ ἐπαγγελθέντα μισθὸν τοῖς τῶν μουσῶν, καὶ τῆς ἀθηνᾶς θεράπουσι, τοῖς τῷ βασιλικῷ διδασκαλείῳ ἐφεστῶσιν, ἀνελλιπῶς καὶ ἀνενδεῶς ἐξέτινεν, ἀλλὰ καὶ ἱερωσύνας ἑκάστῳ καρπίμους καὶ λυσιτελεῖς ἐδίδου, ἵνα πρὸς τοῖς ἐνιαυσίοις ἐράνοις καρποὺς αὐτῶν καρπώσαιντο· καὶ ὅτι τούτοις οὐκ ἠγάπα, ἀλλὰ καὶ τοιοῦτό τι λαμπρὸν, καὶ ἑαυτοῦ ἄξιον ἐμεγαληγορήκει, καὶ συνωμολογήκει, ἢ μὴν συνοικίαν εὐμεγέθη οἰκοδομήσασθαι τοῖς τε διδασκάλοις δέκα, ἢ καὶ πλείοσιν· ἄλλους γὰρ δύο τοῖς προτέροις δέκα προσθήσειν προσδόκιμος ἦν· καὶ τοῖς μαθηταῖς ὅσοις δήποτε, οἱονεὶ μουσεῖόν τι, καὶ φυτευτήριον τῶν ἐλλογίμων ἀνδρῶν, καὶ κατὰ τὴν παιδείαν ἐλευθέριον ἐνδόξων εἶναι μελλόντων, ἐσομένην. ἣν γὰρ οὕτω μεγαλοπρεπῆ, καὶ μεγαλογνώμονα ἐπαγγελίαν εἰ καὶ οὐκ ἐπετέλεσεν, ἅτε ὑπὸ τῶν πολεμικῶν φροντίδων, καὶ δυσχερῶν ἀσχολιῶν ἐμποδισθεὶς, καὶ διακωλυθεὶς, ὅμως δὲ ἐντεῦθεν, χωρὶς τῶν ἄλλων σημείων οὐχ ἧττον ἐναργῶν, τὴν διάνοιαν ἐκείνου, καὶ τὴν πρὸς τὰς ἐλευθερίους τέχνας προθυμίαν τε καὶ φιλοδωρείαν, ἔστι κατιδεῖν. Καίτοι ταύτην τὴν τοῦ πάππου σου σπουδαιοτάτην τε προαίρεσιν, καὶ καλλίστην πρᾶξιν, δι' ἧς τοῖς ἐπιγινομένοις αἰώνιον καὶ ἀθάνατον ὀνόματος ἑαυτοῦ μνήμην κατέλιπεν, ἔνιοι, ΚΑΡΟΛΕ, δυσαρεστοῦντες τοῖς καλῶς πεπραγμένοις, οὐκ αἰσχύνονται, οὐδ' ὀκνοῦσι βασκαίνειν, καὶ συκοφαντεῖν, μεμφόμενοι ὅτι αἱ παροῦσαι συμφοραί, καὶ αἱ περὶ τῆς θρησκείας διαφοραί, καὶ στάσεις, καὶ πόλεμοι ἐμφύλιοι, τὴν ἀρχὴν καὶ γένεσιν ἐξ αὐτῆς ἔλαβον· οὐ δίκαια λέγοντες. οὐ γὰρ ἡ παιδεία, οὐδὲ ἡ τῶν γλωττῶν πολλῶν ἐπιστήμη, καὶ ἐμπειρία, στάσεις, καὶ πολέμους, καὶ τοιαῦτα κακὰ ἐν πολιτείᾳ οὐδεμιᾷ τίκτουσιν, ἀλλὰ ἡ φιλαργυρία, καὶ πλεονεξία, καὶ ἀδικία, καὶ ἀκολασία, καὶ ὕβρεις, καὶ οὐκ ἀγαθαὶ ἔριδες, καὶ ἔχθραι, καὶ φθόνοι, καὶ τούτοις παραπλήσια τῶν ψυχῶν νοσήματα δυσίατα καὶ δυσθεράπευτα· οὐδὲ οἱ ὄντως πεπαιδευμένοι ἄνδρες, καὶ περὶ τοὺς λόγους ἑλληνικοὺς ἐσπουδακότες, τὰ ἀρχαῖα νόμιμα κινοῦσιν, οὐδὲ τὴν ἡμῖν ὑπὸ τῶν προγόνων παραδοθεῖσαν εὐσέβειαν, καὶ θρησκείαν καινοτομοῦσιν, οὐδὲ περὶ τῶν μυστηρίων καὶ ἱεροφαντιῶν ἀμφισβητεῖν ἐπιχειροῦσιν, ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον οἱ ἀπαίδευτοι, καὶ ἀμαθεῖς, καὶ οἱ ἀλαζόνες, καὶ κενόδοξοι, καὶ οἱ πάσης ἐλευθερίου παιδείας ἄγευστοι. Ἄλλοι δ' εἰσίν, οἳ ταῦτα μὲν τῆς παιδείας, καὶ τοῦ πάππου σου κατηγορεῖν οὐ τολμῶσιν, ἀλλ' ὅτι ἡμεῖς, οἱ βασιλικοὶ διδάσκαλοι, ἐν πολυδήμῳ ταύτῃ ἀκαδημίᾳ παρέλκομεν, ἄχρηστοι καὶ περιττοὶ ὄντες, καὶ οὐδὲ μίαν ὑπουργίαν λόγου ἀξίαν ὑπουργοῦντες, ἔτι δὲ καὶ ὅτι τοῖς ἄλλοις διδασκαλείοις καὶ γυμνασίοις λυμαινόμεθα, ἐπιχειροῦσι λέγειν. ὅτι δὲ οὐδὲ οὗτοι ἀληθεύουσιν, εἰ μοί σοι, τοῖς δικαίοις πεποιθώς, ῥᾳδίως ἀποδείξειν. πρῶτον μὲν γὰρ τίς οὐκ οἶδεν, ὅτι οἱ ἐν τοῖς ἐγκυκλίοις γυμνασίοις διδάσκοντες, οὔτε μετὰ τοσαύτης ἐπιμελείας καὶ παρασκευῆς, καὶ ἀκριβείας τοὺς αὐτῶν μαθητὰς παιδεύουσι, μεθ' ὅσης οἱ ἐκ τοῦ βασιλικοῦ βήματος τοῖς ἑαυτῶν ἀκροαταῖς ὁμιλοῦντες; οὔτ' ἐκεῖνοι τὰς αὐτὰς βίβλους, οὔτε τὸν αὐτὸν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τρόπον τοῖς βασιλικοῖς, ἑρμηνεύειν καὶ ἐξηγεῖσθαι τοῖς αὐτῶν μαθηταῖς εἰώθασιν; οἱ γοῦν ἐν τοῖς ἰδιωτικοῖς γυμνασίοις προγυμνασθέντες, καὶ προπαρασκευασθέντες, καὶ οἱονεὶ κουφοτέραις τισὶ καὶ παιδικαῖς ἀσκήσεσι προεθισθέντες, μείζονα ἤδη, καὶ ἰσχυροτέρων βραχιόνων δεόμενα ἐν ταῖς βασιλικαῖς παλαίστραις παλαίσματα, καὶ μείζους ἀγῶνας ἀγωνίζονται· καὶ ἤτοι τὸν πλάτωνα, ἢ τὸν ἀριστοτέλη, ἢ τὸν δημοσθένη, ἢ τὸν σοφοκλῆ, ἢ τὸν ὅμηρον, ἢ τὸν πίνδαρον, ἢ τὸν λυκόφρονα, ἢ τὸν θεόκριτον, ἢ τὸν καλλίμαχον, ἢ τὸν ἱπποκράτη, ἢ τὸν γαληνὸν, ἢ τὸν εὐκλείδην, καὶ τοιούτους ἄλλους, οὐ μὰ δία βαρβαρίζοντας, οὐδὲ ἀλλοτρίᾳ φωνῇ βατταρίζοντας, ἀλλ' ἰδίᾳ γλώττῃ χρωμένους καὶ ἑλληνίζοντας καταμανθάνουσιν. Ἔπειτα δὲ τίς οὕτως ἀναιδὴς, καὶ θρασὺς ἐστὶ τῶν τήμερον ἐν τῇ λευκετίᾳ περὶ τὰ ἐγκύκλια γυμνάσια διατριβόντων, καὶ τῶν ἐν ἐκείνοις διδάσκειν ἐπαρχίαν λαχόντων, ὥστε ἢ τοῖς βασιλικοῖς ἐκείνοις διδασκάλοις τοῖς ἐξ ἀρχῆς ὑπὸ φραγκίσκου βασιλέως αἱρεθεῖσιν, οὐατάβλῳ, δανεσίῳ, τουσσανῷ, ὀροντίῳ, κορωνείῳ, παραδίσῳ, λατόμῳ, ποστελλίῳ, ἀγαθίῳ, καὶ τοῖς μετ' ἐκείνους τὴν ἐπιμέλειαν τῆς διακονίας ταύτης διαδεδεξαμένοις, στραζελίῳ, καλιγίῳ, γαλλανδίῳ, σιλουΐῳ, γουπίλῳ, αὐράτῳ, τουρνήβῳ, ἢ τοῖς ἐν τῷ παρόντι χρόνῳ τὴν βασιλικὴν καθέδραν κατέχουσιν, ὀνομαστοτάτοις ἀνδράσιν, ὧν ἐλάχιστος εἶναί φημι, ἑαυτὸν παραβάλλειν; ἔτι δὲ, εἰ ἀληθῆ λέγουσιν οὗτοι, οἱ ταύτην τὴν φραγκίσκου τὴν εἰς τοὺς ἀρχομένους μεγαλοδωρείαν τε καὶ φιλανθρωπίαν βασκαίνοντές τε καὶ διασύροντες· ἢ μάτην οἱ τοῦτο αὐτῷ συμβουλεύσαντες, γουλιέλμος ἐκεῖνος ὁ βουδαῖος, ἀνὴρ τῶν περὶ τὴν ἑλληνικὴν παιδείαν ἐσπουδακότων ἐξοχώτατός τε καὶ ἐπιεικῶς δᾳδοῦχος, καὶ ὁδηγὸς, καὶ χορηγὸς· ἰωάννης βελλαῖος, ὁ τῆς ἁγίας ἐκκλησίας ῥωμαϊκῆς καρδινάλιος ἐπιφανέστατος, καὶ αἰδεσιμώτατος· ἰανὸς λασκαρις, ἑλλὴν τὸ γένος· ἢ μάτην δὲ ὁ φραγκίσκος αὐτὸς, ὁ πάππος σου, καὶ, εἰ θέμις εἰπεῖν, τὴν διάνοιαν παρέκοψεν, ἐκείνοις πεισθείς. ἀλλ' οὔτε ὁ φραγκίσκος, οὔτ' ἐκεῖνοι μάτην, ΚΑΡΟΛΕ, οὐδ' ἐστὶν ἔτυμος ὁ λόγος οὗτος, ὃν οὗτοι κατὰ τῶν λογίων, καὶ πεπαιδευμένων ἀνδρῶν κακοήθως ἐμηχανήσαντο, καὶ ἔρραψαν, οὐ μὰ τοὺς ἥρωας ἐκείνους, τοὺς πρώτους ἐκ τῆς βασιλικῆς καθέδρας τὰ βιβλία ἑλληνιστὶ συντεταγμένα μεταφράσαντας καὶ μεθερμηνεύσαντας· οὐ μὰ τὰς μακαρίας τοῦ τε φραγκίσκου, καὶ τοῦ ἐρρίκου ψυχάς· οὐ μὰ τὰς εὐγενεῖς τε καὶ δαιμονίας κεφαλὰς τὰς ἐν πάσῃ ταύτῃ τῇ χώρᾳ τῇ σοι πειθαρχούσῃ, τὴν ἑλληνικὴν παιδείαν τήμερον ἐπιτηδευούσας, καὶ ὑπερφιλούσας, καὶ τῆς τε σῆς, καὶ τῆς τῶν προγόνων σου εὐεργεσίας ἡδέως ἀπολαυούσας· ὧν ἐν ἑκάσταις τῆς κελτικῆς πόλεσιν ἀναριθμήτων τὸ πλῆθος ὄντων, ἕνα μόνον ὀνομάσω ἐν τῷ παρόντι, ἰάκωβον ἀμιῶτον, τὸν πρότερον μὲν καθηγητήν σου, νῦν δὲ μέγαν ἐλεημοσυνάριον, τουτέστι ταῖς εὐσεβέσι φιλοδωρίαις σου ἐφεστῶτα, ἄνδρα ἀναμφισβητήτως γλώττης καὶ παιδείας ἑλληνικῆς εἰς ἄκρον προβεβηκότα, καὶ τὰ πρωτεῖα φερόμενον. ὃς οὐδὲ τοσοῦτον ἂν ἤδη ἐν τοῖς βιβλίοις ἑλληνικοῖς ἀνήλωσε χρόνον, εἰ ἡ αὐτῶν ἀνάγνωσις ἤτοι ἀνωφελὴς καὶ ἄχρηστος ὑπῆρχεν, ἢ τοὺς αὐτῶν ἁπτομένους, ἀδίκους καὶ ἀσεβεῖς ἐποίει· οὐδὲ νῦν τῷ ἐπιφανεστάτῳ καὶ ἐντιμοτάτῳ ἁγίας ἐκκλησίας ῥωμαϊκῆς καρδιναλίῳ, καρόλῳ λοθαριγγίῳ, τῷ ταύτης τῆς ἀκαδημίας, καὶ τῆς ἡμετέρας κοινωνίας προστάτῃ καὶ ἐπιτρόπῳ, φροντίσι μείζοσιν ἀσχολουμένῳ, συνεργὸν, καὶ ἀντάνδρον ἑαυτὸν παρέσχε, μᾶλλον δὲ ταύτην τὴν

ἐπιτροπείαν

ἐπιτροπείαν τὴν ἐκείνου διὰ τὰς ἄλλας μᾶλλον κατεπειγούσας ἀσχολίας αὐτὴ περιέχειν οὐ δυναμένου, οὐκ δέξασθαι ἕτοιμος ἦν, εἰ ἤτοι τὴν ἡμετέραν ὑπουργίαν ἀνωφελῆ ἡγεῖτο, ἢ τὴν φιλολογίαν καὶ παιδείαν ἑλληνικὴν οὐδὲν πρὸς τὸ τοὺς ἀνθρώπους βελτίους γίνεσθαι, συμβάλλεσθαι ἐπέπειστο. Ἀλλὰ ταῦτα μὲν περὶ τῶνδε ἱκανῶς εἰρήσθω. σὺ δὲ, ΚΑΡΟΛΕ, πρῶτον μὲν διατέλει τήν τε παιδείαν, καὶ τοὺς τῆς παιδείας ἐφιεμένους, τοῦτ' ἔστι, τοὺς ἑνὶ ὀνόματι φιλομαθεῖς τοῖς γνησίως λεγομένους, περιστέλλων, καὶ εὐεργετῶν, ἵνα μὴ μόνον τὴν προαίρεσιν τοῦ πάππου σου μιμούμενος, ἀλλὰ καὶ τὴν πρᾶξιν, πασῶν, ὡς ἔπος εἰπεῖν, τῶν πράξεων αὐτοῦ καλλίστην τε, καὶ μεγαλοπρεπεστάτην, τοῖς τ' ἐπιεικέσι καὶ τοῖς φιλοκάλοις ἀνδράσι μάλιστα δεδοκιμασμένην, ἀποδεχόμενος, καὶ ζηλῶν, σοὶ μὲν δόξαν αἰώνιον, καὶ ἀκατάπαυστον κλῆσιν, ἐκείνῳ δὲ τὴν ἤδη διὰ τῆς φιλανθρωπίας καὶ μεγαλοφροσύνης αὐτοῦ ὑπάρχουσαν, ἀκέραιον φυλάττῃς· ἔπειτα δὲ ταῦτα τεῷ ἐνικάτθεο θυμῷ, ὡς καθ' ἡσίοδον εἰπεῖν, ὅτι εἰ μὲν τοῖς μὲν ἐχθροῖς σου ἡδονήν, τοῖς δὲ φίλοις λύπην παρασκευάζειν προθυμῇ, οὐκ ἔστιν οὐδέν, δι' ὅτου ῥᾷον ἂν τούτου ἐφίκοιο, ἢ εἰ τὰ ὑπὸ φραγκίσκου τοῦ πάππου σου κατασκευασθέντα ἀνασκευάσῃς, καὶ ἀνατρέψῃς, καὶ ἄκυρα ποιήσῃς· εἰ δὲ τοὐναντίον ποιητέον εἶναί σοι ὑπολαμβάνῃς, ὅπως οἱ μὲν ἐχθροί σου λυπῶνται, οἱ δὲ φίλοι χαίρωσιν· ὅπερ ἅπαντες οἱ σώφρονες προαιροῦνται· δεῖ σε κατὰ τὸν πάππον, καὶ τὸν πατέρα σου, τούς τε ἐλλογίμους, καὶ φιλομαθεῖς, καὶ φιλολόγους ἄνδρας εὖ ποιεῖν, καὶ τὴν παιδείαν, ὡς ὀρφανὸν καὶ ἄπροικον καὶ ἀνέκδοτον κόρην, ἐν ἀσφαλεῖ που, ἔξω τοῦ αἰσχρόν τι ποιεῖν καὶ πάσχειν, καθιστάναι, καὶ μὴ περιορᾶν ἀτίμως καὶ ἀναξίως τοῦ αὐτὴν ὑπεραγαπήσαντος φραγκίσκου διάγουσαν τὸν βίον. ἣ πολλὰ μὲν ἄλλα τῶν εὐδοκιμούντων ἱστοριογράφων καὶ ῥητόρων καὶ ποιητῶν καὶ φιλοσόφων συγγράμματα ἐκείνῳ τε ἔτι ζῶντι, καὶ, μεταλλάξαντος αὐτοῦ τὸν βίον, τῷ πατρί σου πάλαι ἀνέθηκε, καὶ οἱονεὶ καθιέρωσε, νῦν δὲ λόγους τοῦ τῶν ῥητόρων ἀρχηγοῦ, καὶ ὡσπερεὶ βασιλέως, δημοσθένους, σοὶ τῶν βασιλέων χριστιανῶν μεγίστῳ τε καὶ εὐσεβεστάτῳ προσέρχεται κομίζουσα, τοὺς πρότερον μὲν ὑπὸ γουλιέλμου μορελίου, τυπογράφου βασιλικοῦ, ἀνδρὸς πένητος μὲν, ἄλλως δὲ οὐ πονηροῦ, μᾶλλον μὲν οὖν πάνυ σπουδαίου, καὶ τέχνης τυπογραφικῆς ἐμπειροτάτου, ἐκτυποῦσθαι ἐγχειρηθέντας, ἀλλὰ διὰ μὲν τὰς ἐν τῇ κελτικῇ στάσεις καὶ ταραχὰς τότε πρῶτον ἐκραγείσας, καὶ ἀρξαμένας, μάλιστα δὲ διὰ τὸ αὐτὸν μετ' ὀλίγον χρόνον ἀποθανεῖν, διαλειφθέντας, ὥστε ἔτη ἐννέα, καὶ μικρόν τι πρὸς, διαγεγονέναι, ἀφ' οὗ ἔργον ἀτελὲς κατελείφθη· νεωστὶ δὲ ὑπὸ ἰωάννου βενε-νάτου, τοῦτ' ἔστι μεθερμηνευόμενον, εὐφυοῦς, ἢ εὖ γεγονότος, τὸ τοῦ ἐκείνου ἐργαστήριον τυπογραφικὸν διαδεξαμένου, προθύμως ἐκ δευτέρου ἀναληφθέντας, καὶ εὐτυχῶς πληρωθέντας. ὃς ἐπεὶ μέλλων ὅσον αὐτίκα τῷ ἔργῳ ἡμιτελεῖ, μᾶλλον δὲ οὔπω ἄχρι μέσου προηγμένῳ, ἐγχειρεῖν, ἐδεήθη μου αὐτῷ βοηθεῖν καὶ συνεργεῖν, ἐγὼ, καίπερ ἄλλαις τισὶ φροντίσι καὶ ἀσχολίαις οὐκ ἀχρήστοις ἴσως τοῖς φιλολόγοις ἐσομέναις ἐμποδισθεὶς, ὅμως κατὰ τὸ ἐνδεχόμενον, ἐμαυτὸν καὶ ταύτῃ τῇ πραγματείᾳ ἐνέδωκα, καὶ ὅσον ἐπ' ἐμοὶ, τοῦ τὸν δημοσθένη σφαλμάτων ὡς καθαρώτατον ἐκδίδοσθαι ἐπεμελήθην. Δέομαι οὖν τῆς μεγαλειότητος καὶ μεγαλοφροσύνης σου, ΚΑΡΟΛΕ, τοῦτο τὸ τῆς παιδείας δώρημα, μᾶλλον δὲ ἀντιδώρημα, καίπερ ὀλίγον ὄν, καὶ πολὺ τῶν ὑπὸ φραγκίσκου



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐκείνου τοῦ μεγάλου αὐτῇ δοθέντων καταδεέστερον, σοῦ γαληνῷ προσώπῳ εὐμενεῖ θυμῷ δέχεσθαι. λαβοῦσα γὰρ παρὰ προγόνων σου ἀδιηγήτους μὲν καὶ πλείστου ἀξίας δωρεάς, οὐδὲν δέ σοι αὐτῶν ἀντάξιον ἀνταποδιδόναι ἔχουσα, τῷ Ἡσιόδῳ πείθεσθαι προαιρεῖται, ὑφηγουμένῳ, καὶ κελεύοντι, Κὰδ δ' δύναμιν ἔρδειν ἱέρ' ἀθανάτοισι θεοῖσιν.

Ἔρρωσο, καὶ νίκησον.

Ἐν Λουκετίᾳ, ἔτει χιλιοστῷ πεντακοσιοστῷ ἑβδομηκοστῷ, ἐλαφηβολιῶνος πρώτῃ ἱσταμένου.

## *IDEM LAMBINVS LECTORI.*

*Absoluta est tandem, lector erudite, Demosthenis editio, omnibus litterarum Græcarum studiosis tandiu exspectata, & tantopere exoptata: atque iis quidem temporibus absoluta, quibus vix quisquam hoc auderet optare, nedum sperare. Cùm enim scirent omnes homines, qui litterarum Græcarum studio delectantur, Demosthenem à Gulielmo Morelio, typographo Regio, viro experiente, ac strenuo, &, quamquam non admodum locuplete, magnis tamen & multis artis typographicæ facultatibus atque adiumentis ornato, annos abhinc circiter duodecim, temporibus reip. etiam tum tranquillis & pacatis, cœptum esse excudi: sed propter motus ciuileis tum primùm in Gallia ingruenteis, atque orienteis, & tempora turbulenta, ac formidolosa, esse intermissum: quid erat minus credibile, quàm propter quas causas opus tam præclarum, tam plausibile, tam vendibile denique, fuisset de manibus positum, annósque circiter decem iacuisset inchoatum, iisdem causis manentibus, atque adeò auctis ac multiplicatis, ab homine si non minus ad tantam rem faciendam idoneo, at certè paucioribus adiumentis ad eam necessariis instructo, minusq; exercitato, deintegro in manus sumi, ac retractari, & retractatum ad finem perduci? Verumtamen vicit omnium opinionem Io. Benenati conatus laudabilissimus atque honestissimus, industriáque singularis: qui omnibus iam sperando & exspectando defessis, Demosthenis editionem tot annos intermissam & repetiit, & repetitam, diis hominibúsque approbantibus, absolutam & confectam reddidit. Verùm, vt intelligas lector, quid inter hanc editionem, & ceteras superiores intersit, aut quid ad hanc accesserit, quod ab aliis absit: hoc totum tibi breuiter exponam. Gulielmus Morelius annis aliquot antè quàm Demosthenis editionem susciperet, duo exempla, vnum Aldinum, Venetiis: alterum Germanicum, Basileæ impressum, cum octo vetustis codicibus manu scriptis, ex bibliotheca Regia depromtis, diligentissimè contulerat, omneísque scripturæ varietates, ac dissimilitudines, etiam eas interdum, quæ videri possint minus probabiles, & vix tolerabiles, ad oram exempli Germanici adscripserat. Præterea scholia in marginibus librorum illorum*

*rum*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

rum Regiorum scripta, quæ in Vlpiani commentariis usque adhuc impressis non reperiuntur, & vtilissima, & plurima, ita vt quartam partem Vlpiani commentariorum hodie exstantium magnitudine & amplitudine exæquent: hæc, quæ dico, scholia in oram illius exempli transcripserat. His & aliis facultatibus necessariis instructus Morelius, operi tam præclaro manus admouit. Si nihil aliud, quàm rem tantam auspicatus atque exorsus esset, atque in ipso operis limine ac vestibulo vel rei difficultas non satis antea explorata, vel casus aliquis improuisus atque inopinatus (vt sunt humana) eum rem cœptam, inchoatam relinquere coëgisset: tamen cùm, sapientum virorum sententia, principium, totius sit dimidium, & in omni re honesta solus conatus, etiam si eam non perficias, laudari soleat: magnum quiddam fecisset, laudémque fortasse aliquam meruisset. Nunc autem cùm reapse declararit, se non inanem conatum, neque præcipitem, aut irritum impetum ad negotium susceptum attulisse: (quod facere consueuerunt, qui non adhibito ad rem, quam instituunt, consilio, neq; rei magnitudine diligenter & attentè considerata, ad aliquid magnum aggrediuntur) summa laude dignissimus est: qui quamdiu reip. tempora tulerunt, tanto studio in id, quod semel considerate susceperat, incubuit, tantáque animi alacritate in eo perseuerauit, vt Demosthenis editionem vsque ad orationem de male obita legatione perduxerit: hoc est paullo minus, quàm totius operis dimidium, non quo more sapientes loquuntur, sed quomodo vulgus dimidium appellat, attigerit. Cùm ad eam orationem peruenisset anno, opinor, CIↃ. CI. LX. magnæ turbæ in Gallia coortæ, temporáque reip. calamitosa consecuta, bellum domesticum, pestilentia, huius scholæ vniuersæ infrequentia & solitudo, & pæne dicam vastitas: hæc & similia mala, opus magno animo incœptum, & ad id loci perductum, interrumpere coëgeruut. Non multo pòst ille, morbo partim ex vigiliis intempestiuis & labore immoderato, partim ex communium & publicorum incommodorum acerbitate contracto, supremum vitæ diem obiit. Quo mortuo spes omnis huius editionis absoluendæ omnibus mortalibus præcisa est, præsertim crescentibus in dies discordiis ciuilibus, & post superiora mala sedata, ac sopita (non enim dicam exstincta) nouis subinde aliis grauioribus suborientibus: quibus nondum etiam hodie defuncti sumus. Ita cùm Demosthenis editio, inchoata multos annos mansisset: Io. Benenatus, totius instrumenti typographici successor, matrimonio cum vidua contracto, factus, partim sua sponte, partim hominum tam longam incœpti operis intermissionem querentium, & ægrè ferentium vocibus assiduis victus, consilium tandem cepit operi inchoato, & deposito, &, vt ita dicam, conclamato, subuenire. Qua in re cùm sibi adiutorem aliquem adhibendum esse existimaret, qui & vellet, & posset ei rei operā aliquam nauare: se ad me potissimùm contulit: quem & publicis commodis libenter inseruire cognouerat, & plurimum sibi in negotio suscepto prodesse posse existi-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

mabat. Ego, quamuis in aliis rebus à me institutis occupat. amico, præsertim in re tam præclara, deesse nolui. Itaq; continu partem exempli impressi, ad cuius oram & scripturarum contextu mosthenis varietates à Morelio adscriptas, & scholia illa Græca nonu impressa, transcripta fuisse suprà dixi, diligenter atque attentè relegi, ac recognoui. Ac scholia quidem illa, quæ propter Morelij obitum immaturum, erant adhuc confusa, & perturbato ordine collocata, ita vt, quò pertinerent, non facilè quiuis interdum cerneret, suo quaque loco digessi, atque in ordinem redegi: & Vlpiani commentarios in editionibus vulgatis corruptissimos, quoad eius fieri debuit ac potuit, castigaui atque emendaui. In contextu verò Demosthenis recognoscendo, viam mihi iam à Morelio premonstratam secutus sum, simúlque Bene-nati voluntati morem gessi, vt nihil prorsus à vulgata & recepta scriptura mutarem: sed omneis dissimilitudines vel ad oram libri adpingendas, vel in calce collocandas curarem. Qua quidem in re tanta fuit Bene-nati religio, cui facilè assensus sum, vt lectiones, & interpunctiones vulgatas nonnumquam vitiosas retinere maluerit, dummodo earum emendationes vel in margine, vel in calce libri repræsentarentur, quàm cuiquam maleuolo vllam iustam reprehendēdi ansam relinquere. Meminerat enim de mea Ciceronis editione qui sermones hominum partim imperitorum, partim iniquorum fuissent, cùm dicerent, me nimiùm mihi iuris in Cicerone emendando assumsisse: non oportuisse à lectione recepta discedi: satis fuisse lectionis varietates, & scripturas in antiquis codicibus repertas, aut quantumuis probabileis coniecturas, in annotationibus locari. Ne quis igitur in Demosthene quicquam tale à nobis esse factum queri posset, (quamuis hominum inuidorum, & indoctorum sermones semper contemserimus, & nostram in Cicerone emendando industriam doctis omnibus probatam esse compertum habeamus) ita religiosi, vt dixi, in hac editione fuimus, vt lector hoc sibi certo promittere queat, & Demosthenem omnium, qui vmquam editi sunt, emendatissimum, Gulielmi Morelij, Io. Bene-nati opera, nonnihil etiam mea, quod quidem in mea manu fuit, nunc se esse adeptum, & nihil tamen, quod quisquam vel maleuolentissimus criminari possit, in eo esse immutatum. Hæc te lector scire volui prius quàm ad Demosthenem legendum tuum studium conferres. Si qua operarum errata sunt, alienam culpam præstare non debemus. Vale, & hoc labore fruere. Lutetiæ anno CIↃ. IↃ. LXX. Kalendis Febr.

IO. BENE-

## IO. BENENATVS TYPOgraphus lectori.

CVM duodecim abhinc annos Gulielmus Morelius Demosthenem oratorum omnium facilè principem typis mandare cœpisset, & hanc editionem primùm turbulenti reip. motus, belláque intestina, & difficultas rei familiaris ex malis communibus nata, intermittere coëgissent: deinde eius viri mors breui consecuta totam rem ita impedisset, vt perexigua, & perquàm tenuis spes eius de-integro aggrediendæ relinqueretur: nobis tandem, anno superiore, Gregorij Nazianzeni ab Iacobo Billio Prunæo, S. Michaëlis in Eremo abbate, viro literis Græcis & Latinis, omniq; doctrina liberali perpolito, in Latinum sermonem conuersi editione absoluta, in mentem venit Demosthenem, quem ab omnibus Græcarum literarum studio deditis valde amari atq; expeti sciebamus, aliquando repetere, eiúsque editionem inchoatam relictam absoluere. Cui oneri sustinendo, cùm humeros nostros inualidos esse facilè intelligeremus, siue sumptus in eo negotio faciendus, siue difficultas in exemplo recognoscendo, & scripturarum varietatibus considerandis, ac scholiis ordine disponendis spectaretur, auxilium ab aliis nobis petendum esse existimauimus. Et quod ad sumptum quidem attinet, hunc nodum non tam citò, neque facilè expediuimus: altera autem difficultas non multo minor restabat: qua qui nos libentius, aut facilius leuaret, quàm Dionysius Lambinus, literarum Græcarum professor Regius, non videbamus. Itaque cùm ad eum confugissemus, ab eóque petiuissemus, vt nobis tanto oneri ferundo imparibus opem ferret: ille continuò, pro sua erga omnes humanitate, & pro suo in literas, & literarum studiosos amore, de quibus bene merendi neque finem, neque modum vllum facere potest, quamuis esset in aliis rebus, iísque difficillimis, & vtilissimis rei literariæ futuris occupatus, nobis operam suam pollicitus est, & promissum exoluit. Quòd si eius occupationes, vt summo iure poterant, ita hoc nobis adiumentum denegassent, nisiq; quasi quidam Hercules Atlanti defesso in partem laboris successisset, profectò, vt ingenuè fatear, tantam negotij molem perferre non potuissem. Cùm igitur Dionysio Lambino huius editionis absolutæ magna gratia debeatur, tum Gulielmo Morelio, mortuo nulla satis ampla laus tribui potest, qui primùm hoc opus orsus est: deinde librorum veterum Regiorum ope fretus, Vlpiani commentarios plus quarta parte auctos nobis reliquit: cùm præter diligentiam & industriam nihil de suo addiderit. nam quicquid additum est, ex libris manu scriptis additum est. Octo enim codicibus vetustißimis è bibliotheca Regia sumptis in recognoscendo Demosthene vsus est: ex quibus omnes scripturæ varietates in marginem vnius exempli Heruagiani fidelißimè transtulerat. idémque & in multis

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*aliis libris, antequàm è vita decederet, fecerat, & in pluribus facturus erat, si vita suppeditasset. Quare omnium bonorum fauore dignus erat qui tantum studium, tantámque industriam ad vetustos codices quasi è situ eruendos, & ex eorum auctoritate vulgatos restituendos conferebat.*

*Quod ad Demosthenis laudes attinet, ridiculus sanè essem, si in tanto oratore laudando inanem operam hîc sumere vellem. satius enim est de eo tacere, quàm pauca dicere. eiusdem tamen aliquot elogia ex veteribus sumpta, in quibus colligendis nobis operam nauauit D. Lambinus, subiecimus.*

*Vale lector beneuole, & si quid bene de tuis studiis meremur, vicißim faue.*

*Hoc autem, lector erudite, admonendus es, cùm Morelius octo, vt dixi, codicibus in recognoscendo Demosthene vsus sit, eos literis Græcis in margine huius editionis significari, verbi gratia, vnus significatur litera α. alius litera β. alius litera γ. & sic de reliquis. ceterum notæ marginales respondent notis, quæ sunt in contextu. Voces, quæ includuntur huiusmodi obelisco ˋ, & huiusmodi nota apostrophi ʼ, desiderantur in libris sua litera significatis. Huiusmodi autem asteriscus *, indicat vocem vel voces additas esse in margine, quæ absunt ab aliis codicibus non significatis. Numeri, qui sunt ad marginem commentariorum, respondent numeris indicibus, qui sunt ad marginem contextus. Multas scripturæ varietates, & dissimilitudines, præter eas, quæ sunt in margine libri, in calce posuimus, & cum eis, si qua errata operarum humanitus admissa sunt, eorum emendationes coniunximus. Iterum vale, & nos ama.*

ΔΗΜΟ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

24 ὄνον Μεγαράδε. μεσούσης δὲ τῆς ἡμέρας, καὶ σφοδρῶς φλέγοντος τοῦ ἡλίου, ἑκάτερος αὐτῶν ἐβούλετο ὑποδύεσθαι ὑπὸ τὴν σκιάν· εἶργον δὲ ἀλλήλους, ὁ μὲν μεμισθωκέναι τὸν ὄνον, οὐ τὴν σκιὰν λέγων, ὁ δὲ μεμισθωμένος, τὴν πᾶσαν ἔχειν ἐξουσίαν. καὶ ταῦτα εἰπὼν, ἀπῄει. τῶν δὲ Ἀθηναίων ἐπισχόντων καὶ δεομένων πέρας ἐπιθεῖναι τῷ λόγῳ. εἶθ' ὑπὲρ μὲν ὄνου σκιᾶς, ἔφη, βούλεσθε ἀκούειν, λέγοντος δὲ ὑπὲρ σπουδαίων πραγμάτων οὐ βούλεσθε; Πῶλον δέ ποτε τοῦ ὑποκριτοῦ πρὸς αὐτὸν εἰπόντος, ὅτι δυσὶν ἡμέραις ἀγωνισάμενος τάλαντον λάβοι μισθόν· ἐγὼ δὲ, εἶπε, πέντε τάλαντα

25 μίαν ἡμέραν σιωπήσας. διαφθαρεὶς δὲ τὴν φωνὴν ἐν ἐκκλησίᾳ καὶ θορυβηθεὶς, τοὺς ὑποκριτὰς ἔφη δεῖν κρίνειν ἐκ τῆς φωνῆς, τοὺς δὲ ῥήτορας ἐκ τῆς γνώμης. ὀνειδίσαντος δ' αὐτὸν Ἐπικλέους, ὅτι ἀεὶ σκέπτοιτο, αἰσχυνοίμην γὰρ, εἶπεν, εἰ τηλικούτῳ δήμῳ συμβουλεύων αὐτοσχεδιάζοιμι. ἱστοροῦσι δὲ ὡς οὐδὲ λύχνον ἔσβεσεν, ἄχρι πεντήκοντα ἐτῶν ἐγένετο, διακρίνων τοὺς λόγους. αὐτὸς δέ φησιν ὑδροποσίᾳ χρήσασθαι. ἔγνω δὲ αὐτὸν καὶ Λυσίας ὁ ῥήτωρ, καὶ Ἰσοκράτης εἶδε πολιτευόμενον, ἄχρι τῆς ἐν Χαιρωνείᾳ μάχης, καί τινες τῶν Σωκρατικῶν φιλοσόφων. τοὺς δὲ πλείστους

26 λόγους εἶπεν αὐτοσχεδιάσας, εὖ πρὸς αὐτὸ πεφυκώς. πρῶτος δ' ἔγραψε στεφανωθῆναι αὐτὸν χρυσῷ στεφάνῳ Ἀριστόνικος Νικοφάνους Ἀναγυράσιος, ὑπωμόσατο δὲ Διώνδας.

## ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΥ ΕΚ ΤΟΥ ΑΥΤΟΥ.

περὶ παίδ. ἀγωγ.

Ὁ Περικλῆς, ὡς ἡμῖν ἀκούειν παραδέδοται, καλούμενος ὑπὸ τοῦ δήμου, πολλάκις οὐχ ὑπήκουσε, λέγων, ἀσύντακτος εἶναι. ὡσαύτως δὲ καὶ Δημοσθένης ζηλωτὴς τῆς τούτου πολιτείας γενόμενος, καλούντων αὐτὸν τῶν Ἀθηναίων σύμβουλον, ἀντέβαινεν, οὐ συντέταγμαι, λέγων. καὶ ταῦτα μὲν ἴσως, ἀδέσποτός ἐστι, καὶ πεπλασμένη παράδοσις. ἐν δὲ τῷ κατὰ Μειδίου, τὴν τῆς σκέψεως ὠφέλειαν ἐναργῶς παρίστησι. φησὶ γοῦν, ἐγὼ δ' ἐσκέφθαι μὲν ὦ Ἀθηναῖοι, φημὶ, κοὐκ ἂν ἀρνηθείην καὶ μεμελετηκέναι γε, ὡς ἐνῆν μάλιστα ἐμοί. καὶ γὰρ ἂν ἄθλιος ἦν, εἰ τοιαῦτα παθὼν καὶ πάσχων, ἠμέλουν ὧν περὶ τούτων ἐρεῖν ἔμελλον.

## ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΥ.

εἰ πρεσβυτέρῳ πολ.

Ὅπου γὰρ ὁ Δημοσθένης φησὶν ἀνάξια πάσχειν τὴν Πάραλον ἱερὰν οὖσαν τριήρη, ξύλα καὶ χάρακας καὶ βοσκήματα τῷ Μειδίᾳ παρακομίζουσαν, ἦ πού πολιτικὸς ἀνὴρ ἀγωνοθεσίας καὶ βοιωταρχίας καὶ τὰς ἐν Ἀμφικτύοσι προεδρίας ἀπολιπὼν, εἶτα ὁρώμενος ἐν ἀλφίτων καὶ στεμφύλων διαμετρήσει, καὶ πόκοις προβάτων, οὐ παντάπασι δόξει τοῦτο δὴ τὸ καλούμενον ἵππου γῆρας ἐπάγεσθαι μηδενὸς ἀναγκάζοντος;

## ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΥ.

αὐτόθι.

Λέγεται δὲ καὶ Δημοσθένους ἐκπεσόντος ἐν τῷ δήμῳ, καὶ βαρέως φέροντος, ἅψασθαι παλαιόν τινα γέροντα τῶν ἀκηκοότων Περικλέους, καὶ εἰπεῖν, ὡς ἐκείνῳ τἀνδρὶ προσεοικὼς τὴν φύσιν, οὐ δικαίως αὑτοῦ κατέγνωκεν. οὕτω δὲ καὶ Τιμόθεον Εὐριπίδης συριττόμενον ἐπὶ τῇ καινοτομίᾳ, καὶ παρανομεῖν εἰς τὴν μουσικὴν δοκοῦντα, θαρρεῖν ἐκέλευσεν, ὡς ὀλίγου χρόνου τῶν θεάτρων ὑπ' αὐτῷ γενησομένων.

## ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΥ.

πολιτικὰ παραγγ.

Οὐ μὴν ἀλλὰ καὶ σκῶμμα καὶ γελοῖον, ἔστιν ὅτε γίνεται πολιτικοῦ λόγου μέρος, εἰ μὴ πρὸς ὕβριν ἢ βωμολοχίαν, ἀλλὰ χρησίμως ἐπιπλήττοντος ἢ διασύροντος λέγοιτο. μάλιστα δ' εὐδοκιμεῖ τὰ τοιαῦτα περὶ τὰς ἀμείψεις καὶ τὰς ἀπαντήσεις. τὸ γὰρ ἐκ παρασκευῆς καὶ κατάρχοντα, γελωτοποιοῦντός ἐστι, καὶ δόξα κακοηθείας πρόσεστιν. ὡς πρόσεστι τοῖς Κικέρωνος σκώμμασι, καὶ τοῖς Κάτωνος τοῦ πρεσβυτέρου, καὶ Εὐξιθέου τοῦ Ἀριστοτέλους συνήθους. οὗτοι γὰρ ἔσκωπτον πολλάκις ἀρχόμενοι. ἀμυνομένῳ δὲ συγγνώμην ἅμα, καὶ χάριν ὁ καιρὸς δίδωσι. καθάπερ Δημοσθένει πρὸς τὸν αἰτίαν ἔχοντα κλέπτειν, χλευάζοντα δ' αὐτοῦ τὰς νυκτογραφίας, οἶδα ὅτι σε λυπῶ λύχνον καίων. καὶ πρὸς Δημάδην βοῶντα, Δημοσθένης ἐμὲ βούλεται διορθοῦν, ἡ ὗς τὴν Ἀθηνᾶν. αὕτη μέντοι πέρυσιν ἡ Ἀθηνᾶ μοιχεύουσα ἐλήφθη.

## ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΥ.

αὐτόθι.

Φωκίωνος δὲ καὶ τὴν βραχυλογίαν ἐθαύμαζον. ὁ γοῦν Πολύευκτος ἀπεφαίνετο ῥήτορα μέγιστον εἶναι Δημοσθένην, δεινότατον δ' εἰπεῖν, Φωκίωνα. πλεῖστον γὰρ αὐτοῦ τὸν λόγον λέξει βραχυτάτῃ νοῦν περιέχειν. καὶ ὁ Δημοσθένης τῶν ἄλλων καταφρονῶν, εἰώθει λέγειν ἀνισταμένου Φωκίωνος, ἡ τῶν ἐμῶν λόγων κοπὶς ἀνίσταται. μάλιστα μὲν οὖν ἐσκεμμένῳ τινὶ, καὶ μὴ διακένῳ τῷ λόγῳ χρῆσθαι πρὸς τοὺς πολλοὺς, μετ' ἀσφαλείας, εἰδὼς ὅτι καὶ Περικλῆς ἐκεῖνος ηὔχετο πρὸ τοῦ δημηγορεῖν, μηδὲ ῥῆμα μηδὲν ἀλλότριον τῶν πραγμάτων ἐπελθεῖν αὐτῷ. δεῖ δὲ ὅμως καὶ πρὸς τὰς ἀπαντήσεις τὸν λόγον εὔστροφον ἔχειν καὶ γεγυμνασμένον. ὀξεῖς γὰρ οἱ καιροὶ, καὶ πολλὰ φέροντες ἐν ταῖς πολιτείαις ἐξαπίνης... φίδια. διὸ καὶ Δημοσθένης ἠλαττοῦτο πολλῶν, ὥς φασι, παρὰ τὸν καιρὸν ἀναδυόμενος καὶ κατοκνῶν.

## ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΥ.

αὐτόθι.

Ὅρα δὲ τὰ πρὸς Αἰσχίνην ὑπὸ Δημοσθένους εἰρημένα, καὶ πρὸς τοῦτον ὑπ' Αἰσχίνου, καὶ πάλιν ἃ πρὸς Δημάδην γέγραφεν Ὑπερείδης, εἰ Σόλων ἂν εἶπεν, ἢ Περικλῆς, ἢ Λυκοῦργος ὁ Λακεδαιμόνιος, ἢ Πιττακὸς ὁ Λέσβιος. καίτοι γε καὶ Δημοσθένης ἐν τῷ δικανικῷ τὸ λοίδορον ἔχει μόνῳ. οἱ δὲ Φιλιππικοὶ καθαρεύουσι καὶ σκώμματος καὶ βωμολοχίας ἁπάσης. τὰ γὰρ τοιαῦτα τῶν ἀκουόντων μᾶλλον αἰσχύνει τοὺς λέγοντας. ἔτι δὲ σύγχυσιν ἀπεργάζεται τῶν πραγμάτων, καὶ διαταράττει τὰ βουλευτήρια καὶ τὰς ἐκκλησίας.

ΛΙΒΑ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πηγορίαις τε γὰρ καὶ ἐπιλόγοις κατὰ τὸ πλέον, καὶ παραβάσεσι, καὶ τοῖς φραστικοῖς ἅπασι, καὶ ἐπιδεικτικοῖς, ἱστορίαις τε καὶ φυσιολογίαις, καὶ ἐν ἄλλοις οὐκ ὀλίγοις μέρεσιν ἁρμόδιος.

## ΘΕΩΡΗΣΙΣ ΤΗΣ ΤΟΥ ΔΗΜΟΣΘΕΝΟΥΣ δεινότητος ἐκ τινῶν τῶν ἐν τῷ περὶ στεφάνου λόγῳ, τοῦ αὐτοῦ.

ἐμφερὴς τύπος τοῦτον κίνδυνον μεθιστάς

Ἀλλ᾽ ἤδη μὲν τοι καὶ ὁ περὶ σχημάτων ἐφεξῆς τέτακται τόπος. καὶ γὰρ ταῦτ᾽ ἂν ὃν δεῖ σκευάζηται τρόπον, ὡς ἔφην, οὐκ ἂν ἡ τυχοῦσα μεγέθους εἴη μερίς. οὐ μὴν ἀλλ᾽ ἐπεὶ τὸ πάντα διακριβοῦν πολὺ ἔργον ἐν τῷ παρόντι, μᾶλλον δ᾽ ἀπεριόριστον, ὀλίγα τῶν ὅσα μεγαληγορίας ἀποτελεστικά, τοῦ πιστώσασθαι τὸ προκείμενον, ἕνεκα, καὶ δὴ διέξιμεν. ἀπόδειξιν ὁ Δημοσθένης ὑπὲρ τῶν πεπολιτευμένων εἰσφέρει. τίς δ᾽ ἦν ἡ κατὰ φύσιν χρῆσις αὐτῆς; οὐχ ἡμάρτετε, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἀγῶνα ἀράμενοι. ἔχετε δὲ οἰκεῖα τούτου παραδείγματα· οὐδὲ γὰρ οἱ ἐν Μαραθῶνι ἥμαρτον, οὐδ᾽ οἱ ἐν Σαλαμῖνι, οὐδ᾽ οἱ ἐν Πλαταιαῖς. ἀλλ᾽ ἐπειδὴ καθάπερ ἐμπνευσθεὶς ἐξαίφνης ὑπὸ θεοῦ, καὶ οἱονεὶ φοιβόληπτος γενόμενος, τὸν τῶν ἀριστέων τῆς Ἑλλάδος ὅρκον ἐξεφώνησεν, οὐκ ἔστιν ὅπως ἡμάρτετε, μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας, φαίνεται δι᾽ ἑνὸς τοῦ ὀμοτικοῦ σχήματος, ὅπερ ἐνθάδε ἀποστροφὴν ἐγὼ καλῶ, τοὺς μὲν προγόνους ἀποθεώσας, ὅτι δεῖ τοὺς οὕτως ἀποθανόντας ὡς θεοὺς ὀμνύναι παριστάνων· τοῖς δὲ κρίνουσι τὸ τῶν ἐκεῖ προκινδυνευσάντων ἐντιθεὶς φρόνημα, τὴν δὲ τῆς ἀποδείξεως φύσιν μεθεστακὼς εἰς ὑπερβάλλον ὕψος καὶ πάθος, καὶ ξένων καὶ ὑπερφυοῦς ὅρκων ἀξιοπιστίαν, καὶ ἅμα παιώνειόν τινα καὶ ἀλεξιφάρμακον εἰς τὰς ψυχὰς τῶν ἀκουόντων καθιεὶς λόγον, ὡς κουφιζομένους ὑπὸ τῶν ἐγκωμίων μηδὲν ἔλαττον ἐπὶ τῇ μάχῃ τῇ πρὸς Φίλιππον, ἢ ἐπὶ τοῖς κατὰ Μαραθῶνα καὶ Σαλαμῖνα νικητηρίοις παρίστασθαι φρονεῖν· οἷς πᾶσι τοὺς ἀκροατὰς διὰ τοῦ σχηματισμοῦ συναρπάσας ᾤχετο. καίτοι παρὰ τῷ Εὐπόλιδι τοῦ ὅρκου τὸ σπέρμα φασὶν εὑρῆσθαι.

Οὐ γὰρ μὰ τὴν ἐν Μαραθῶνι τὴν ἐμὴν μάχην, Χαίρων τις αὐτῶν τοὐμὸν ἀλγυνεῖ κέαρ.

Ἔστι δ᾽ οὐ τὸ ὁπωσοῦν τινα ὀμόσαι, μέγα, τὸ δὲ ποῦ, καὶ πῶς, καὶ ἐφ᾽ ὧν καιρῶν, καὶ τίνος ἕνεκα. ἀλλ᾽ ἐκεῖ μὲν οὐδέν ἐστ᾽, εἰ μὴ ὅρκος, καὶ πρὸς εὐτυχοῦντας ἔτι, καὶ οὐ δεομένους παρηγορίας τοὺς Ἀθηναίους. ἔτι δ᾽ οὐχὶ τοὺς ἄνδρας ἀπαθανατίσας ὁ ποιητὴς ὤμοσεν, ἵνα τῆς ἐκείνων ἀρετῆς τοῖς ἀκούουσιν ἐντέκῃ λόγον ἄξιον, ἀλλ᾽ ἀπὸ τῶν προκινδυνευσάντων ἐπὶ τὸ ἄψυχον ἀπεπλανήθη, τὴν μάχην. παρὰ δὲ τῷ Δημοσθένει πεπραγμάτευται πρὸς ἡττημένους ὁ ὅρκος, ὡς μὴ Χαιρώνειαν ἔτ᾽ Ἀθηναίοις ἀτύχημα φαίνεσθαι, καὶ ταὐτόν, ὡς ἔφην, ἅμα ἀπόδειξίς ἐστι τοῦ μηδὲν ἡμαρτηκέναι, καὶ παράδειγμα, ὅρκων πίστις, ἐγκώμιον, προτροπή. κἀπειδήπερ ὑπήντα τῷ ῥήτορι, λέγεις ἧτταν πολιτευσάμενος, εἶτα νίκας ὀμνύεις, διὰ ταῦθ᾽ ἑξῆς κανονίζει, καὶ δι᾽ ἀσφαλείας ἄγει καὶ ὀνόματα, διδάσκων, ὅτι καὶ βακχεύμασι νήφειν ἀναγκαῖον, τοὺς προκινδυνεύσαντας φησὶν ἐν Μαραθῶνι τῶν προγόνων, καὶ τοὺς ἐν Σαλαμῖνι, καὶ τοὺς ἐπ᾽ Ἀρτεμισίῳ ναυμαχήσαντας, καὶ τοὺς ἐν Πλαταιαῖς παραταξαμένους, οὐδαμοῦ νικήσαντας εἰπών, ἀλλὰ πάντη τὸ τοῦ τέλους διακέκλοφεν ὄνομα, ἐπειδήπερ ἦν εὐτυχές, καὶ τοῖς κατὰ Χαιρώνειαν ὑπεναντίον. διόπερ καὶ τὸν ἀκροατὴν φθάνων, εὐθὺς ὑποφέρει· οὓς ἅπαντας ἔθαψε δημοσίᾳ, φησίν, ἡ πόλις, Αἰσχίνη, οὐ τοὺς κατορθώσαντας μόνους.

## ΑΛΛΗ ΘΕΩΡΗΣΙΣ, Η ΑΠΟΔΕΙΞΙΣ ΤΗΣ ΤΟΥ ΔΗΜΟΣΘΕΝΟΥΣ δεινότητος, καὶ ὑψηλότητος, ἐκ τινῶν τῶν ἐν φιλιππ. α. τοῦ αὐτοῦ.

ἐμπρακτότερον σοβαρώτερον Ἀθηναίους καταπολεμῶν, καὶ τὰ τῶν Ἑλλήνων διοικῶν; τέθν. ἔροιτο ὡς οἱ

Τί δ᾽ ἐκεῖνα φῶμεν, τὰς πεύσεις τε καὶ ἐρωτήσεις; ἆρα οὐκ αὐταῖς ταῖς τῶν σχημάτων εἰδοποιίαις παραπολὺ ἐμπρακτότερα καὶ σοβαρώτερα συντείνει τὰ λεγόμενα; ἢ βούλεσθε, εἰπέ μοι, περιιόντες ἀλλήλων πυνθάνεσθαι, λέγεταί τι καινόν; τί γὰρ ἂν γένοιτο τούτου καινότερον, ἢ Μακεδὼν ἀνὴρ καταπολεμῶν τὴν Ἑλλάδα; τέθνηκε Φίλιππος; οὐ μὰ Δί᾽, ἀλλ᾽ ἀσθενεῖ. τί δ᾽ ὑμῖν διαφέρει; καὶ γὰρ ἂν οὗτός τι πάθῃ, ταχέως ὑμεῖς ἕτερον Φίλιππον ποιήσετε. καὶ πάλιν, πλέωμεν ἐπὶ Μακεδονίαν, φησί. ποῖ δὴ προσορμιούμεθα, ἤρετό τις. εὑρήσει τὰ σαθρὰ τῶν Φιλίππου πραγμάτων αὐτὸς ὁ πόλεμος. ἦν δὲ ἁπλῶς ῥηθὲν τὸ πρᾶγμα τῷ παντὶ καταδεέστερον. νυνὶ δὲ τὸ ἔνθουν καὶ ὀξύρροπον τῆς πεύσεως, καὶ ἀποκρίσεως, καὶ τὸ πρὸς ἑαυτόν, ὡς πρὸς ἕτερον, ἀνθυπαντᾶν, οὐ μόνον ὑψηλότερον ἐποίησε τῷ σχηματισμῷ τὸ ῥηθέν, ἀλλὰ καὶ πιστότερον. ἄγει γὰρ τὰ παθητικὰ τότε μᾶλλον, ὅταν αὐτὰ φαίνηται μὴ ἐπιτηδεύειν αὐτὸς ὁ λέγων, ἀλλὰ γεννᾶν ὁ καιρός. ἡ δ᾽ ἐρώτησις ἡ εἰς ἑαυτόν, καὶ ἀπόκρισις, μιμεῖται τοῦ πάθους τὸ ἐπίκαιρον. σχεδὸν γάρ, ὅσον ὑφ᾽ ἑτέρων ἐρωτώμενοι, παροξυνθέντες ἐκ τοῦ παραχρῆμα πρὸς τὸ λεχθὲν ἐναγωνίως, καὶ ἀπ᾽ αὐτῆς τῆς ἀληθείας ἀνθυπαντῶσιν, οὕτω τὸ σχῆμα τῆς πεύσεως καὶ ἀποκρίσεως, εἰς τὸ δοκεῖν ἕκαστον τῶν ἐσκεμμένων ἐξ ὑπογύου κεκινῆσθαί τε, καὶ λέγεσθαι, τὸν ἀκροατὴν ἀπάγει, καὶ παραλογίζεται.

## ΣΥΓΚΡΙΣΙΣ ΤΟΥ ΥΠΕΡΙΔΟΥ ΚΑΙ ΔΗΜΟΣΘΕΝΟΥΣ, τοῦ αὐτοῦ.

ἔσχ. λείπεται παρατρέπει μαλακίζεται μετ᾽ ἀφ. λέγ.

Εἰ δ᾽ ἀριθμῷ, μὴ τῷ ἀληθεῖ κρίνοιτο τὰ κατορθώματα, οὕτως ἂν καὶ Ὑπερίδης τῷ παντὶ προέχοι Δημοσθένους. ἔστι γὰρ αὐτοῦ πολυφωνότερος, καὶ πλείους ἀρετὰς ἔχων, καὶ σχεδὸν ὕπακρος ἐν πᾶσιν, ὡς ὁ πένταθλος, ὥστε τῶν μὲν πρωτείων ἐν ἅπασι τῶν ἄλλων ἀγωνιστῶν λείπεσθαι, πρωτεύειν δὲ τῶν ἰδιωτῶν. ὁ μὲν γὰρ Ὑπερίδης πρὸς τῷ πάντα, ἔξω γε τῆς συνθέσεως, μιμεῖσθαι τὰ Δημοσθένεια κατορθώματα, καὶ τὰς Λυσιακὰς ἐκ περιττοῦ περιείληφεν ἀρετάς τε καὶ χάριτας. καὶ γὰρ λαλεῖ μετὰ ἀφελείας, ἔνθα χρή, καὶ οὐ πάντα ἑξῆς, καὶ μονοτόνως, ὡς ὁ Δημοσθένης λέγεται. τό τε ἠθικὸν ἔχει μετὰ γλυκύτητος ἡδύ, λιτῶς ἐφηδυνόμενον, ἄφατοί τε περὶ αὐτόν εἰσιν ἀστεϊσμοί, μυκτὴρ πολιτικώτατος, εὐγένεια, τὸ κατὰ τὰς εἰρωνείας εὐπάλαιστρον, σκώμματα οὐκ ἄμουσα, οὐδ᾽ ἀνάγωγα,

κατὰ τοὺς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βιωτὸν ἡγεῖθ' ἔτι, ταπεινὸν μὲν, ἀνεκτὸς δ' οὖν ὁ ἔλεος παρὰ τοῖς οἰκείοις, ὧν ἐλυσάμην αἰχμαλώτοις, ἢ τοῖς πα-
τράσιν, ὧν συνεξέδωκα τὰς θυγατέρας, ἢ οἷς τοὺς ἐράνους συνδιελυσάμην. εἰ δέ με μὴ σώζοι νήσων ἀρχὴ καὶ θά-
λαττα, παρά γε τουτουὶ ποσειδῶνος αἰτῶ τὸ σώζεσθαι, καὶ τόδε τοῦ βωμοῦ, καὶ τῶν ἱερῶν νόμων. εἰ δὲ ποσειδῶν, ἔφη,
μὴ δύναται φυλάττειν τὴν ἀσυλίαν τοῦ νεὼ, μηδ' ἐπαισχύνεται προδοῦναι δημοσθένην ἀρχίᾳ, τεθναίην, οὐδὲ
ἀντίπατρος ἡμῖν ἀντὶ τοῦ θεοῦ κολακευτέος. ἐξῆν μοι φιλτέρους ἔχειν ἀθηναίων μακεδόνας, καὶ νῦν μετέχειν τῆς 58
* τὴν ὄχλων — ὑμετέρας τύχης, εἰ μετὰ καλλιμέδοντος καὶ πυθέου καὶ δημάδου συνεταττόμην. ἐξῆν γὰρ, κἂν ὀψὲ, * τῆς ψυχῆς
μεθαρμόσασθαι, εἰ μὴ τὰς ἐρεχθέως θυγατέρας καὶ τὸν κόδρον ἐπῃσχυνόμην. οὔκουν ἠρούμην αὐτομολοῦντι τῷ
δαίμονι συμμεταβάλλεσθαι. καλὸν γὰρ κρησφύγετον θάνατον ἐν ἀκινδύνῳ παντὸς αἰσχροῦ γενέσθαι. καὶ νῦν ἀρχία,
τὸ κατ' ἐμαυτὸν οὐ καταισχυνῶ τὰς ἀθήνας, ἑκὼν δουλείαν ἑλόμενος, ἐντάφιον δὲ τὸ κάλλιστον τὴν ἐλευθερίαν
* τῷ τραγῳδῷ — προέμενος. ἀλλὰ δίκαιον γὰρ, ἔφη, σοι * τῶν τραγῳδιῶν μνημονεύειν. οὐ σεμνὸν τὸ λεχθέν; ἡ δὲ καὶ θνῄσκουσ' ὅμως, 59
* εὐσχήμως — πολλὴν πρόνοιαν εἶχεν * εὐσχημόνως πεσεῖν. καὶ ταῦτα κόρη, δημοσθένης δὲ ἀσχήμονος θανάτου βίον προκρινεῖ ἀ-
σχήμονα, τῶν ξενοκράτους καὶ πλάτωνος περὶ ἀθανασίας λόγων ἐκλαθόμενος; καί τινα πικρότερον ἔλεγε, παρα-
χθεὶς εἰς τοὺς τῆς τύχης ἐξυβρίζοντας. ἀλλὰ τί δεῖ λέγειν νῦν ἐμέ; τέλος δ' ἐμοῦ τὰ μὲν δεομένου, τὰ δ' ἀπει-
λοῦντος, ἁπαλὴν μοῦσαν στερρᾷ κεραννύντος, ἐπίσχου σὺ, ἔφη, τούτοις, ἀρχίας ὢν, ἐπεὶ δὲ δημοσθένης εἰμὶ, συγ-
γίγνωσκέ μοι, ὦ δαιμόνιε, μὴ πεφυκότι κακῷ γενέσθαι. τότε δὴ τότε πρὸς βίαν αὐτὸν ἀποσπᾶν διενοούμην, ὁ δ', 60
ὡς ᾔσθετο, δῆλος ἦν καταγελῶν. καὶ τὸν θεὸν προσβλέψας, ἔοικεν ἀρχίας, εἶπεν, ὅπλα μόνα, καὶ τριήρεις καὶ τείχη
καὶ στρατόπεδα, δυνάμεις εἶναι καὶ κρησφύγετα ταῖς ἀνθρωπίναις ψυχαῖς ὑπολαμβάνειν. τῆς δ' ἐμῆς παρασκευῆς
καταφρονεῖν, ἣν οὐκ ἂν ἐλέγξαι ἰλλυριοὶ, καὶ τριβαλλοὶ, καὶ μακεδόνες, ὀχυρωτέραν, ἢ ξύλινόν ποτε τεῖχος ἡμῖν, ὃ
* αὐτῆς τῆς — θεὸς ἀνεῖλεν ἀπόρθητον εἶναι. μεθ' ἧς * ἂν τῆς προνοίας ἀδεῶς μὲν ἐπολιτευσάμην, ἀδεὲς δέ μοι τὸ κατὰ μακεδό-
νων θάρσος. ἐμέλησε δ' οὐδὲν οὐκ εὐκτήμονος, οὐκ ἀριστογείτονος, οὐ πυθέου καὶ καλλιμέδοντος, οὐ φιλίππου τότε, οὐ 61
τὰ νῦν ἀρχίου. ταῦτ' εἰπὼν, μὴ προσάγαγέ μοι τὴν χεῖρα, ἔφη. τὸ κατ' ἐμὲ γὰρ οὐδὲν παράνομον ὁ νεὼς πείσε-
ται· τὸν δὲ θεὸν προσειπὼν, ἑκὼν ἕψομαι. κἀγὼ μὲν ἦν ἐπὶ τῆς ἐλπίδος αὐτῆς, καὶ τὴν χεῖρα τῷ στόματι προσα-
γαγόντος, οὐδὲν ἄλλ', ἢ προσκυνεῖν ὑπελάμβανον. τὸ δὲ, τί δή ποτε ἦν; ὕστερον βασάνοις θεραπαίνης ἐφωρά-
σαμεν, πάλαι φάρμακον αὐτοῦ πεπᾶσθαι, λύσιν ψυχῆς ἀπὸ σώματος ἐλευθερίαν κτώμενον. οὐ γὰρ οὖν ἔφθασεν
ὑπερβὰς τὸν οὐδὸν τοῦ νεὼ, καὶ πρὸς ἐμὲ βλέψας, ἄγε δὴ τοῦτον, ἔφη, πρὸς ἀντίπατρον, δημοσθένην δὲ οὐκ ἄξεις, οὐ 62
μὰ τούς. κἀμοὶ μὲν ἐφαίνετο προσθήσειν, τοὺς ἐν μαραθῶνι πεπτωκότας, ὁ δὲ χαίρειν εἰπὼν ἀπέπτη. τοῦτό σοι τὸ τέ-
λος, ὦ βασιλεῦ, τῆς δημοσθένους πολιορκίας κομίζειν ἔχω. δημοσθένους γε καὶ ταῦτα, ὦ ἀρχία. βαβαὶ τῆς ἀνη-
του ψυχῆς, καὶ μακαρίας. ὡς ἀνδρεῖον μὲν αὐτοῦ τὸ λῆμα, * πολιτικὴ δὲ πρόνοια, μετὰ † χεῖρα τὸ πιστὸν τῆς ἐλευθε- † χεῖρας
ρίας ἔχειν. ἀλλ' ὁ μὲν οἴχεται, βίον ἕξων τὸν ἐν μακάρων νήσοις, ἡρώων λεγόμενον, ἢ τὰς εἰς οὐρανὸν ψυχῶν νομιζο-
μένας ὁδοὺς, ὀπαδός τις δαίμων ἐσόμενος ἐλευθερίου διὸς, τὸ σῶμα δ' ἡμεῖς εἰς ἀθήνας ἀποπέμψομεν, κάλλιον 63
ἀνάθημα τῇ γῇ τῶν ἐν μαραθῶνι πεπτωκότων.

* τοῦτ' ἐστιν, αὕτη πρόνοια πολιτικὴ ἐπιστήμη προσήκουσα … πολίτου ἀξία, τὴν τῆς ἐλευθερίας ἀσφάλειαν, … ταῖς χερσὶ κατέχειν.

## ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΥ, ΕΚ ΣΤΡΑΒΩΝΟΣ ΒΙΒΛ. ΟΓΔ.

Οὕτω ἐπεκράτησεν ἡ τιμὴ τοῦ θεοῦ τούτου παρὰ τοῖς ἕλλησιν, ὥστε καὶ μακεδόνες δυναστεύοντες ἤδη μέχρι δεῦρο ἐφύλαττόν πως τὴν ἀσυλίαν, καὶ τοὺς ἱκέτας ἀποσπᾶν ᾐδοῦντο τοὺς εἰς καλαυρείαν καταφυγόντας. ὅπου γε οὐδὲ δημοσθένη ἐθάρρησεν ἀρχίας βιάζεσθαι στρατιώτας ἔχων, ὃς προστέτακτο ὑπὸ ἀντιπάτρου ζῶντα ἀγαγεῖν κἀκεῖνον, καὶ τῶν ἄλλων ῥητόρων, ὃν εὕροι τῶν ἐν αἰτίαις ὄντων ταῖς παραπλησίαις. ἀλλὰ πείθειν ἐπειρᾶτο, οὐ μὴν ἔπεισέ γε, ἀλλ' ἔφθη, φαρμάκῳ παραλύσας ἑαυτὸν τοῦ ζῆν.

## ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΥ, ΕΚ ΔΙΟΔΩΡΟΥ ΣΙΚΕΛΙΩΤΟΥ
βιβλιοθ. ἱστορ. βιβλ. ιϛ.

Οἱ δ' ἀθηναῖοι τὴν αὔξησιν ὑφορώμενοι τοῦ φιλίππου, τοῖς ἀεὶ πολεμουμένοις ὑπ' αὐτοῦ ἐβοήθουν, πρέσβεις ἀποστέλλοντες ἐπὶ τὰς πόλεις, καὶ παρακαλοῦντες τηρεῖν τὴν αὐτονομίαν, καὶ τοὺς ἐπὶ τὴν προδοσίαν ὁρμῶντας τῶν πολιτῶν θανάτῳ κολάζειν. ἐπηγγέλλοντο δὲ πᾶσι συμμαχήσειν, καὶ φανερῶς ἑαυτοὺς πολεμίους ἀποδείξαντες τῷ βασιλεῖ, διεπολέμουν πρὸς φίλιππον. μάλιστα δ' αὐτοὺς παρώξυνε προεστηκὼς τῆς ἑλλάδος δημοσθένης ὁ ῥήτωρ, δεινότατος ὢν κατ' ἐκείνους τοὺς χρόνους ἑλλήνων.

## ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΥ, βιβλ. τῇ αὐτῇ.

Καταληφθείσης τῆς ἐλατείας, ἧκόν τινες νυκτὸς ἀπαγγέλλοντες τὴν κατάληψιν τῆς πόλεως, καὶ διὰ ταχέως ἥξει φίλιππος μετὰ τῆς δυνάμεως εἰς τὴν ἀττικήν. οἱ δὲ στρατηγοὶ τῶν ἀθηναίων, διὰ τὸ παράδοξον τῆς πράξεως καταπλαγέντες τούς τε σαλπικτὰς μετεπέμποντο, καὶ σημαίνειν προσέταττον δι' ὅλης τῆς νυκτός. τῆς δὲ φήμης εἰς πᾶσαν οἰκίαν διαδοθείσης, ἡ μὲν πόλις ὀρθὴ διὰ τὸν φόβον ἦν· ὁ δὲ δῆμος ἅπας ἅμ' ἡμέρᾳ συνέδραμεν εἰς τὸ θέατρον πρὸ τοῦ συγκαλέσαι τοὺς ἄρχοντας, ὡς ἦν ἔθος. ὡς δ' ἧκον οἱ στρατηγοὶ, καὶ τὸν μηνύσαντα παρῆγον, κἀκεῖνος εἶπε, σιωπὴ μὲν καὶ φόβος κατεῖχε τὸ θέατρον, καὶ τῶν εἰωθότων δημηγορεῖν οὐδεὶς ἐτόλμα συμβουλεῦσαι. πολλάκις δὲ τοῦ κήρυκος καλέσαντος τοὺς ἐροῦντας ὑπὲρ τῆς κοινῆς σωτηρίας, οὐδεὶς παρῄει σύμβουλος. ἀπορίας οὖν μεγάλης οὔσης καὶ καταπλήξεως, ἀπέβλεπε τὸ πλῆθος ἐπὶ τὸν δημοσθένην. ὁ δὲ ἀναβὰς, καὶ τὸν δῆμον παρακαλέσας θαρρεῖν, ἀπεφαίνετο δεῖν παραχρῆμα πρέσβεις ἀποστέλλειν εἰς τὰς θήβας, καὶ παρακαλεῖν τοὺς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βοιωτοὺς κοινῇ τὸν ὑπὲρ τῆς ἐλευθερίας ἀγῶνα τίθεσθαι. πρὸς γὰρ τοὺς ἄλλους συμμάχους ὁ καιρὸς οὐ συνεχώρει πέμπειν πρεσβείας περὶ τῆς συμμαχίας. ἐν ἡμέραις γὰρ δυσὶ προσδόκιμος ἦν ὁ βασιλεὺς ἥξειν εἰς τὴν ἀττικήν, καὶ τῆς ὁδοιπορείας οὔσης διὰ τῆς βοιωτίας, ἡ παρὰ τῶν βοιωτῶν συμμαχία μόνη κατελείπετο, φανερὸν γὰρ ἦν ὅτι φίλιππος, φίλος ὢν καὶ σύμμαχος βοιωτοῖς, τούτους ἐν τῇ παρόδῳ πειράσεται παραλαβεῖν εἰς τὸν κατ᾽ ἀθηναίων πόλεμον. τοῦ δὲ δήμου τὸν λόγον ἀποδεξαμένου, καὶ τοῦ περὶ τῆς πρεσβείας ψηφίσματος ὑπὸ δημοσθένους γραφέντος, ὁ μὲν δῆμος ἐζήτει τὸν δυνατώτατον εἰπεῖν· ὁ δὲ δημοσθένης ὑπήκουσε προθύμως πρὸς τὴν χρείαν. τέλος δὲ ὀξέως πρεσβεύσας καὶ πείσας, ἐπανῆλθεν εἰς τὰς ἀθήνας. ὁ δὲ δῆμος τῇ τῶν βοιωτῶν συμμαχίᾳ διπλασιάσας τὴν προϋπάρχουσαν δύναμιν, ἀνεθάρρησε ταῖς ἐλπίσι.

## ΕΚ ΤΟΥ ΑΥΤΟΥ, ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΥ, βιβλ. τῇ αὐτῇ.

Φίλιππος δὲ τὸ μὲν πρῶτον ἐξέπεμψεν ἐπὶ τὸ κοινὸν τῶν βοιωτῶν πρέσβεις, ὧν ἦν ἐπιφανέστατος πύθων. οὗτος γὰρ διαβεβοημένος ἐπὶ τῇ τοῦ λόγου δεινότητι, καὶ συγκριθεὶς παρὰ τοῖς βοιωτοῖς κατὰ τὴν περὶ τῆς συμμαχίας δημηγορίαν πρὸς δημοσθένην, τῶν μὲν ἄλλων ἐπρώτευε, τούτου δὲ ἐφάνη καταδεέστερος. καὶ δημοσθένης δὲ αὐτὸς, ὡς μέγα τι κατειργασμένος, ἐν τοῖς συγγεγραμμένοις ὑπ᾽ αὐτοῦ λόγοις σεμνύνεται τῇ πρὸς τὸν ῥήτορα τοῦτον δημηγορίᾳ, ἐν οἷς λέγει, τότ᾽ ἐγὼ μὲν τῷ πύθωνι θρασυνομένῳ, καὶ πολλῷ ῥέοντι καθ᾽ ὑμῶν οὐχ ὑπεχώρησα.

## ΕΚ ΤΟΥ ΑΥΤΟΥ, ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΥ, βιβλ. ιζ.

Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους ἀθηναῖοι, πυθόμενοι τὴν εἰς βοιωτίαν πάροδον τοῦ βασιλέως, τῆς προϋπαρχούσης καταφρονήσεως ἀπέστησαν. ἡ γὰρ ὀξύτης τοῦ νεανίσκου, καὶ ἡ διὰ τῶν πράξεων ἐνέργεια τοὺς ἀντιφρονοῦντας μεγάλως ἐξέπληττε. διόπερ ἀθηναῖοι τὰ μὲν ἀπὸ τῆς χώρας ἐψηφίσαντο κατακομίζειν, τῶν δὲ τειχῶν τὴν ἐνδεχομένην ἐπιμέλειαν ποιεῖσθαι. πρὸς δὲ τὸν ἀλέξανδρον πρέσβεις ἐξαπέστειλαν ἀξιοῦντες συγγνώμην ἔχειν εἰ τὴν ἡγεμονίαν μὴ ταχέως συγχωροῦσιν. ἐν δὲ τοῖς πρέσβεσι καὶ δημοσθένης ἐκπεμφθεὶς, οὐ συνῆλθε μετὰ τῶν ἄλλων πρὸς τὸν ἀλέξανδρον, ἀλλ᾽ ἐκ τοῦ κιθαιρῶνος ἀνέκαμψεν εἰς τὰς ἀθήνας. εἴτε διὰ τὰ πεπολιτευμένα κατὰ μακεδόνων φοβηθεὶς, εἴτε βουλόμενος τῷ βασιλεῖ τῶν περσῶν ἄμεμπτον αὑτὸν διαφυλάττειν. πολλὰ γὰρ χρήματά φασιν αὐτὸν εἰληφέναι παρὰ περσῶν, ἵνα πολιτεύηται κατὰ μακεδόνων. περὶ ὧν καὶ τὸν αἰσχίνην φασὶν, ὀνειδίζοντα τῷ δημοσθένει κατά τινα λόγον τὴν δωροδοκίαν, εἰπεῖν, Νῦν μέντοι τὴν δαπάνην ἐπικέκλυκεν αὐτοῦ τὸ βασιλικὸν χρυσίον. ἔσται δὲ τούτῳ οὐδὲ τοῦθ᾽ ἱκανόν. οὐδεὶς γὰρ πώποτε πλοῦτος τρόπου πονηροῦ περιεγένετο.

## ΕΚ ΤΟΥ ΑΥΤΟΥ, ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΥ, βιβλ. τῇ αὐτῇ.

Οἱ δὲ θηβαῖοι πρὸ μὲν τῆς τοῦ βασιλέως παρουσίας, τὴν καδμείαν τάφροις βαθείαις, καὶ σταυρώμασι πυκνοῖς περιέβαλον, ὥστε μήτε βοήθειαν αὐτοῖς δύνασθαι, μήτ᾽ ἀγορὰν εἰσπέμψαι. πρὸς δὲ ἀρκάδας καὶ ἀργείους, ἔτι δὲ ἠλείους πρεσβεύσαντες, ἠξίουν βοηθεῖν. ὁμοίως δὲ καὶ πρὸς ἀθηναίους περὶ συμμαχίας ἐπρέσβευον, καὶ παρὰ δημοσθένους ὅπλων πλῆθος ἐν δωρεᾷ λαβόντες, τοὺς ἀνόπλους καθώπλιζον. τῶν δ᾽ ἐπὶ τὴν βοήθειαν παρακεκλημένων οἱ μὲν ἐν πελοποννήσῳ στρατιώτας ἐξέπεμψαν ἐπὶ τὸν ἰσθμὸν, καὶ διατρίψαντες ἐκαραδόκουν, προσδοκίμου τοῦ βασιλέως ὄντος. ἀθηναῖοι δ᾽ ἐψηφίσαντο τὸ μὲν βοηθεῖν τοῖς θηβαίοις, πεισθέντες ὑπὸ δημοσθένους, οὐ μέντοι γε τὴν δύναμιν ἐξέπεμψαν, καραδοκοῦντες τὴν ῥοπὴν τοῦ πολέμου.

## ΕΚ ΤΟΥ ΑΥΤΟΥ, ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΥ, ΤΗ ΑΥΤΗ.

Μετὰ δὲ ταῦτα εἰς τὰς ἀθήνας ἐξαπέστειλε τοὺς ἐξαιτήσοντας τῶν ῥητόρων δέκα τοὺς κατ᾽ αὐτοῦ πεπολιτευμένους, ὧν ὑπῆρχον ἐπιφανέστατοι δημοσθένης καὶ λυκοῦργος. συναχθείσης οὖν ἐκκλησίας, καὶ τῶν πρεσβευτῶν εἰσαχθέντων εἰς τὸ πλῆθος, ὁ μὲν δῆμος ἀκούσας τῶν λόγων, εἰς πολλὴν ἀγωνίαν καὶ ἀπορίαν ἐνέπεσεν. ἅμα μὲν γὰρ ἔσπευδε τὸ τῆς πόλεως ἀξίωμα τηρεῖν, ἅμα δὲ διὰ τὴν θηβαίων ἀπώλειαν ἐκπεπληγμένος τὸ δεινὸν, περίφοβος καθειστήκει, νενουθετημένος τοῖς τῶν πλησιοχώρων ἀτυχήμασι. πολλῶν δὲ λόγων γινομένων κατὰ τὴν ἐκκλησίαν, φωκίων μὲν ὁ χρηστὸς, ἀντιπολιτευόμενος τοῖς περὶ τὸν δημοσθένην, ἔφη δεῖν τοὺς ἐξαιτουμένους μιμήσασθαι τὰς λεωκόρας καὶ τὰς ὑακινθίδας, καὶ τὸν θάνατον ἑκουσίως ὑπομεῖναι ἕνεκα τοῦ μηδὲν ἀνήκεστον παθεῖν τὴν πατρίδα. καὶ τὴν ἀνανδρίαν καὶ δειλίαν ὠνείδιζε τῶν μὴ βουλομένων ὑπὲρ τῆς πόλεως τελευτᾶν. ὁ δὲ δῆμος τοῦτον μὲν τοῖς θορύβοις ἐξέβαλε, προσαντῶς ἀκούων τοὺς λόγους. δημοσθένους δὲ λόγον πεφροντισμένον διελθόντος, ὁ δῆμος εἰς συμπάθειαν τῶν ἀνδρῶν προαχθεὶς, φανερὸς ἦν σώζειν βουλόμενος τοὺς ἄνδρας. ἐπὶ τελευτῆς δὲ δημάδης, πεπεισμένος ὑπὸ τῶν περὶ δημοσθένην, ὥς φασι, πέντε ταλάντοις ἀργυρίου, συνεβούλευε μὲν σώζειν τοὺς κινδυνεύοντας, παρανέγνω δὲ ψήφισμα γεγραμμένον φιλοτέχνως. περιεῖχε γὰρ παραίτησιν τῶν ἀνδρῶν, καὶ ἐπαγγελίαν τοῦ κολάζειν κατὰ τοὺς νόμους, ἂν ὦσιν ἄξιοι τιμωρίας.

## ΕΚ ΤΟΥ ΑΥΤΟΥ, ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΥ, βιβλ. τῇ αὐτῇ.

Οἱ ἀθηναῖοι, τὸν τοῦ ἁρπάλου χρημάτων λόγον ἀναζητοῦντες, δημοσθένην, καὶ ἄλλους τινὰς τῶν ῥητόρων κατεδίκασαν, ὡς εἰληφότας τῶν ἁρπάλου χρημάτων.

## ΕΚ ΤΟΥ ΑΥΤΟΥ, ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΥ, βιβλ. ιη.

Κατ᾽ ἐκεῖνον τὸν καιρὸν ὁ μὲν κορυφαῖος τῶν ἀθήνησι ῥητόρων δημοσθένης ἔφευγε, καταδεδικασμένος ὡς εἰληφὼς τῶν ἁρπαλείων χρημάτων.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΥ,

## ΕΚ ΠΑΥΣΑΝΙΟΥ, ΕΝ ΑΤΤΙΚΟΙΣ.

Μετὰ δὲ τὰς εἰκόνας τῶν ἐπωνύμων, ἐστὶν ἀγάλματα θεῶν. ἀμφιάραος, καὶ εἰρήνη φέρουσα πλοῦτον παῖδα. ἐνταῦθα λυκοῦργός τε κεῖται χαλκοῦς ὁ λυκόφρονος καὶ καλλίας, ὃς πρὸς ἀρταξέρξην τὸν ξέρξου τοῖς ἕλλησιν, ὡς ἀθηναίων οἱ πολλοὶ λέγουσιν, ἔπραξε τὴν εἰρήνην. ἔστι δὲ καὶ δημοσθένης, ὃν ἐς καλαυεῖαν ἀθηναῖοι, τὴν πρὸ καλαύρειαν τροιζῆνος νῆσον, ἠνάγκασαν ἀποχωρῆσαι. δεξάμενοι δὲ ὕστερον, διώκουσιν αὖθις μετὰ τὴν ἐν λαμίᾳ πληγήν. δημοσθένης δὲ, ὡς δεύτερον ἔφυγε, διαβαίνει καὶ τότε ἐς τὴν καλαυείαν. ἔνθα δὴ πιὼν φάρμακον ἐτελεύτησε. φυγάδα τε ἕλληνα μόνον τοῦτον ἀντιπάτρῳ καὶ μακεδόσιν οὐκ ἀνήγαγεν ἀρχίας. ὁ δὲ ἀρχίας οὗτος θούριος ὢν, ἔργον ἤρατο ἀνόσιον. ὅσοι μακεδόσιν ἔπραξαν ἐναντία πρὶν ἢ τοῖς ἕλλησι τὸ πταῖσμα ἐν θετταλίᾳ γενέσθαι, τούτους ἦγεν ἀρχίας ἀντιπάτρῳ δώσοντας δίκην. δημοσθένει μὲν ἡ πρὸς ἀθηναίους ἄγαν εὔνοια ἐς τοῦτο ἐχώρησεν. εὖ δέ μοι λελέχθαι δοκεῖ, ἄνδρα ἀφειδῶς ἐμπεσόντα ἐς πολιτείαν, καὶ πιστὰ ἡγησάμενον τὰ τοῦ δήμου, μή ποτε καλῶς τελευτῆσαι.

## ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΥ, ΕΚ ΤΟΥ ΑΥΤΟΥ, ΕΝ ΚΟΡΙΝΘΙΑΚ.

Καλαύρειαν δὲ ἀπόλλωνος ἱερὰν τὸ ἀρχαῖον εἶναι λέγουσιν, ὅτε περ ἦσαν καὶ οἱ δελφοὶ, ποσειδῶνος. λέγεται δὲ καὶ τοῦτο, ἀντιδοῦναι τὰ χωρία σφᾶς ἀλλήλοις. φασὶ δὲ καί τι, καὶ λόγιον μνημονεύουσιν, Ἰσόν τε δῆλόν τε, καλαύρειαν τε νέμεσθαι, Πυθώ τ' ἠγαθέην, καὶ ταίναρον ἠνεμόεσσαν. ἔστι δ' οὖν ποσειδῶνος ἱερὸν ἐνταῦθα ἅγιον. ἱερᾶται δὲ αὐτῷ παρθένος, ἔστ' ἂν ἐς ὥραν προέλθῃ γάμου. τοῦ περιβόλου δὲ ἐντὸς καὶ τὸ δημοσθένους μνῆμά ἐστι. καί μοι τὸ δαιμόνιον δεῖξαι μάλιστα ἐπὶ τούτου δοκεῖ καὶ ὁμήρου πρότερον, ὡς εἴη βάσκανον, εἰ δὴ ὅμηρον μὲν προδιεφθαρμένον τοὺς ὀφθαλμοὺς, ἐπὶ τοσούτῳ κακῷ κακὸν δεύτερον πενίᾳ πιέζουσα ἐπὶ πᾶσαν γῆν πτωχεύοντα ἦγε. δημοσθένει δὲ φυγῆς τε συνέπεσεν ἐν γήρᾳ λαβεῖν πεῖραν, καὶ ὁ θάνατος ἐγένετο οὕτω βίαιος. εἴρηται μὲν οὖν περὶ αὐτοῦ καὶ ἄλλοις, καὶ αὐτῷ δημοσθένει πλεῖστα, ἦ μὴν τῶν χρημάτων, ἃ ἐκ τῆς ἀσίας ἤγαγεν ἅρπαλος, μὴ μεταλαβεῖν αὐτόν. τὸ δὲ ὕστερον λεχθὲν, ἐπέξειμι ὁποῖον ἐγένετο. ἅρπαλος μὲν ὡς ἐξ ἀθηνῶν ἀπέδρα διαβὰς ναυσὶν ἐς κρήτην, οὐ πολὺ ὕστερον ὑπὸ τῶν θεραπευόντων ἀπέθανεν οἰκετῶν. οἱ δὲ ὑπὸ ἀνδρὸς μακεδόνος παυσανίου δολοφονηθῆναί φασιν αὐτόν. τὸν δὲ οἱ τῶν χρημάτων διοικητὴν φυγόντα ἐς ῥόδον φιλόξενος μακεδὼν συνέλαβεν, ὃς καὶ αὐτὸν παρὰ ἀθηναίων ἐξῄτησεν ἅρπαλον. τὸν δὲ παῖδα τοῦτον ἔχων, ἤλεγχεν, ἐς ὃ πάντα ἐπύθετο, ὅσοι τῶν ἁρπάλου τι ἔτυχον εἰληφότες. μαθὼν δὲ, ἐς ἀθήνας γράμματα ἐπέστελλεν, ἐν τούτοις τοῖς γράμμασι τοὺς λαβόντας παρὰ ἁρπάλου καταριθμῶν, καὶ αὐτοὺς, καὶ ὁπόσον αὐτῶν ἔλαβεν ἕκαστος. οὐδὲ ἐμνημόνευσεν ἀρχὴν Δημοσθένους, ἀλεξάνδρῳ τε ἐς τὰ μάλιστα ἀπεχθανομένου, καὶ αὐτὸς ἰδίᾳ προσκρούσας. δημοσθένει μὲν οὖν τιμαὶ καὶ ἑτέρωθι τῆς ἑλλάδος, καὶ παρὰ τῶν καλαυρείας εἰσὶν οἰκητόρων.

## ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΥ, ΕΞ ΑΙΛΙΑΝΟΥ ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ, ΒΙΒΛ. ιδ.

Εὰν προσέχῃ τις καλλίᾳ, φιλοπότην αὐτὸν ἐργάσεται ὁ καλλίας. ἐὰν Ἰσμηνίᾳ, αὐλητήν. ἀλαζόνα, ἐὰν Ἀλκιβιάδῃ. ὀψοποιὸν, ἐὰν κρωβύλῳ. δεινὸν εἰπεῖν, ἐὰν Δημοσθένει. στρατηγικὸν, ἐὰν ἐπαμινώνδᾳ. μεγαλόφρονα, ἐὰν Ἀγησιλάῳ. καὶ χρηστὸν, ἐὰν Φωκίωνι. καὶ δίκαιον, ἐὰν Ἀριστείδῃ. καὶ σοφὸν, ἐὰν σωκράτει.

## ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΥ, ΕΚ ΤΟΥ ΑΥΤΟΥ, ΒΙΒΛ. ζ.

Πυθέας ἐπέσκωπτεν εἰς Δημοσθένην τὸν δημοσθένους, ἐπιλέγων, αὐτοῦ τὰ ἐνθυμήματα ἐλλυχνίων ὄζειν, ὅτι ἐκεῖνος διὰ τῆς νυκτὸς πάσης ἠγρύπνει φροντίζων, καὶ ἐκμανθάνων, ἃ ἔμελλεν ἐρεῖν παρελθὼν εἰς τοὺς ἀθηναίους.

## ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΥ, ΕΚ ΚΛΗΜΕΝΤΟΣ ΑΛΕΞ. ΣΤΡΩΜ. ΛΟΓΩ ΕΒΔ.

Ὡς δ' ἐὰν προσέχῃ τις ἰσχομάχῳ, γεωργὸν αὐτὸν ποιήσει, καὶ Λάμπιδι, ναύκληρον, καὶ Χαριδήμῳ, στρατηγὸν, καὶ σίμωνι, ἱππικὸν, καὶ Περδίκκᾳ, κάπηλον, καὶ κρωβύλῳ, ὀψοποιὸν, καὶ Ἀρχελάῳ, ὀρχηστὴν, καὶ ὁμήρῳ, ποιητὴν, καὶ πύρρωνι, ἐριστικὸν, καὶ Δημοσθένει, ῥήτορα, καὶ Χρυσίππῳ, διαλεκτικὸν, καὶ Ἀριστοτέλει, φυσικὸν, καὶ φιλόσοφον, ἐὰν Πλάτωνι· οὕτως ὁ τῷ κυρίῳ πειθόμενος, καὶ τῇ δοθείσῃ δι' αὐτοῦ κατακολουθήσας προφητείᾳ, τελέως ἐκτελεῖται κατ' εἰκόνα τοῦ διδασκάλου, ἐν σαρκὶ περιπολῶν θεός.

## ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΥ, ΕΞ ΑΡΙΣΤΕΙΔΟΥ ΣΜΥΡΝΑΙΟΥ, ΛΟΓΩ περὶ τοῦ παραφθέγματος.

Φέρε δὴ καὶ ἑτέρου κόσμου ὥσπερ ἵππου κατάμαθε. οἶμαι γάρ σε τῶν Δημοσθένους εἰ μή τι ἄλλο, ἀλλὰ τοῦ γε ὑπὲρ τῆς ἀναρρήσεως λόγου τοῦ πολυυμνήτου δὴ τούτου ἀνεγνωκέναι. ἐνταῦθα τοίνυν ἐστὶ τῷ Δημοσθένει, οὗ σὺ τοὔνομα θαυμάζεις μόνον, ὡς ἔοικεν. ἐπεπείσμην δὲ ὑπὲρ ἐμαυτοῦ τυχὸν μὲν ἀναισθητῶν, ὅμως δὲ ἐπεπείσμην, ὁρᾷς ὅπως ἐρεθίζει σε, δὶς εἰπὼν ἐπεπείσμην; μή τι γράφοντα ἂν ἐμοῦ γράψαι βέλτιον μηδένα. ἐγὼ δὲ ὑπὲρ ὧν ἔγραψα μόνον, καὶ ὧν ἐπὶ τοῦ παρόντος ἐδείκνυον, περὶ τούτων τι παρεφθεγξάμην, καὶ ταῦτα τοῖς φύσει θεοῖς θαρρῶν. ὁ δὲ, προστίθησι, μήτε πράττοντα πρᾶξαι, μήτε πρεσβεύοντα πρεσβεῦσαι προθυμότερον, μηδὲ δικαιότερον. διὰ ταῦτα ἐν ἅπασιν ἐμαυτὸν ἔταττον. ἀναγνωσθείσης τοίνυν τῆς ἐπιστολῆς, εἰς ταῦτα, φησὶ, κατέστησε Φίλιππον, τίς; οὐχ ὁ τῶν ἀθηναίων δῆμος, ἀλλ' ἡ ἐμὴ πολιτεία, αἰσχίνη. ταύτην τὴν φωνὴν ἀφῆκεν ἐκεῖνος, πολλοὺς καὶ θρασεῖς τοὺς περὶ τούτων ἐπαιρόμενος τῇ πόλει λόγους, οὑτωσί πως. οὐ γὰρ ἀκριβῶς μέμνημαι τὰ ῥήματα. πολὺ δὲ ἔτι τούτων λαμπρότερον, καί πως ἤδη τοῦ περικλείου τύπου περὶ τὴν τοῦ λόγου τελευτήν. εἰ γ' οἷος ἐγὼ παρ' ὑμῖν κατὰ τὴν ἐμαυτοῦ

# ΠΕΡΙ ΔΗΜΟΣΘΕΝΟΥΣ.

ἀθηναῖοι, μὴ καταλημμένης ἐλατείας. ἐπεὶ δ' ἧκεν εἰς ἐλάτειαν φίλιππος μετὰ τῶν ἀμφικτυονικῶν εὐπορήσας ἀφορμῆς. παρ' οὗ δὲ τὰς ἀφορμὰς ἔλαβεν, αἰσχίνης ἦν. ἔρχεται δύναμις, ἣν ἐδέξατο μὲν χαιρώνεια κατὰ ψηφίσματα δημοσθένους. ἡττᾶτο δὲ ἐπ' αὐτὴν τὴν ἀτυχίαν ὑπ' αἰσχίνου. ὁ δέ, θηβαίους προσλαβὼν καὶ συστήσας, καὶ ταῦτα μεμερισμένοις, καὶ τοῖς ἀτυχοῦσι τοὺς τὰ φιλίππου φρονοῦντας ἀφομοιώσας, ἀπεκρούσατο τῆς χώρας τὴν μάχην, καὶ ἐστεφανοῦτο. τῷ δ' αἰσχίνῃ ποῖος στέφανος; τοῦ φιλίππου δὲ μεθεστηκότος, καὶ τῆς ἀρχῆς εἰς τὸν ἀλέξανδρον ἡκούσης, ἐτήρησεν ἑκάτερος τὴν γνώμην, ὁ μὲν πολεμῶν, ὁ δὲ θεραπεύων τὸν τύραννον. εἰπὲ τὸ μέγιστον δεῖγμα τῆς ἀρετῆς ἐκείνου καὶ τῆς τούτου κακίας; ἐζητήθη παρὰ τῶν ἐχθρῶν δημοσθένης, ὁ δὲ ἐθαυμάζετο καὶ παρὰ τοῖς πολίταις ὁ μὲν ἐτιμᾶτο, ὁ δὲ ἐφθονεῖτο. καὶ γραφομένου αὐτοῦ τοῦτο ἐδείκνυ τὸ φθονεῖν, ἐλεεῖν δὲ οὐκ εἶχε. καὶ φυγὴν ἐπέβαλον αὐτῷ, καὶ μεθεστήκει, καὶ ῥᾳδίως εἶχεν αὐτόν, καὶ τὰ τοῦ πάθους μετῄει. καὶ τῆς τῶν ἀθηναίων φιλανθρωπίας εἰς τὴν κάθοδον οὐκ ἀπέλαυσε μόνος. σκόπει δὲ καὶ τὴν τοῦ δημοσθένους τελευτήν· εἶχε γάρ τι καὶ αὐτὴ θαυμαστόν. ἐπειδὴ γὰρ ᾕρετο τὰ τοῦ μακεδόνος, ὥστ' ἤδη καὶ ῥήτορας ἐκεῖθεν λαμβάνειν, ᾤχετο φαρμάκῳ χρησάμενος, οὐκ ἀνεικῶν κολακεῦσαι τυράννοις.

ἀτυχίζουσι | ἐζητήθη | ἐφθόνει. | καὶ γραφόμενος αὐτόν, τοῦτο ἐδείκνυτο φθονεῖν,

## ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΥ ΕΚ ΤΩΝ ΣΟΥΙΔΑ.

Δημοσθένης ἀθηναῖος, υἱὸς δημοσθένους, καὶ κλεοβούλης, ῥήτωρ, τὸν δῆμον παιανιεύς. ἐπιμελὴς μᾶλλον, ἢ εὐφυής, ὡς ἕρμιππος ἱστορεῖ. καὶ ταῖς ἡδοναῖς ἀκόλαστος, ὡς ὁ αὐτὸς φησίν. ὅθεν καὶ νέος μὲν ὢν βάταλος ἐκλήθη, ὡς γυναικεία ἐσθῆτι πολλάκις χρησάμενος. ἀργᾶς δὲ μετὰ τὸ εἰς ἄνδρας τελέσαι, ὅπερ ἐστὶν ὄνομα ὄφεως. ἐπεθύμησε δὲ ῥητορικῆς, καλλίστρατον θεασάμενος τὸν ῥήτορα ὑπὲρ ὠρωπίων λέγοντα. διήκουσε δὲ τοῦ ἰσαίου τοῦ ἰσοκράτους μαθητοῦ. καὶ τοῖς λόγοις ἐχρῆτο ζωΐλου τοῦ ἀμφιπολίτου, σοφιστεύοντος ἐν ἀθήναις, καὶ πολυκράτους, καὶ ἀλκιδάμαντος τοῦ γοργίου μαθητοῦ, καὶ αὐτοῦ μέντοι ἰσοκράτους. συνεφιλολόγησε δὲ αἰσίωνι τῷ ἀθηναίῳ, καὶ θεοπόμπῳ τῷ χίῳ φιλοσόφῳ. διηκροάσατο δὲ καὶ εὐβουλίδου τοῦ διαλεκτικοῦ, καὶ πλάτωνος. ἐτελεύτησε φυγὼν εἰς καλαυρείαν, ἐν τῷ τοῦ ποσειδῶνος ἱερῷ, διὰ τὸν μακεδόνα ἀντίπατρον, προσενεγκάμενος φάρμακον τὸ ἐν τῷ δακτύλῳ, ἔτη βιώσας δύο καὶ ἑξήκοντα.

ἀπτίωνι

## ἌΛΛΩΣ.

Δημοσθένης ὁ ῥήτωρ, ἀνὴρ ἦν γνῶναί τε καὶ εἰπεῖν ὅσα ἐνθυμηθείη, δυνατώτατος γενόμενος. ὅθεν καὶ δεινότατος ἔδοξε τῶν καθ' αὑτόν· οἷα δὴ ἱκανώτατος τὸ ἀφανὲς εἰκάσαι, καὶ τὸ γνωσθὲν ἐξηγήσασθαι. καὶ ἐν οἷς μὲν ὑπὲρ τῶν κοινῶν λέγοι τι, ἢ πράττειν ἐπιχειρήσει, καιρῷ μὲν ἐπιτηδείῳ οὐ μάλα ἐχρήσατο ἐς δόξαν τῶν δημαγωγησάντων. πλεῖστα δὲ εἷς ἀνὴρ ὢν τῶν καθ' αὐτὸν ἀθηναίων, καὶ τοῖς μακεδόνων τυράννοις σὺν παρρησίᾳ ἀντειπών, παρὰ τοῖς δὲ ἀδωρότατος ἔδοξεν εἶναι. ὅτε δὴ συνέβαινε τοὺς ἐν ταῖς ἄλλαις πόλεσιν, οἷα δὴ τῶν κερδῶν ἐφιεμένους μᾶλλον τοῦ ἐς τὸ κοινὸν λυσιτελοῦντος, ἐξωνηθέντας χρημάτων δόσεις τὸ κατὰ σφᾶς, ὡς ἐδόκουν, ἐν τῷ παραυτίκα, κέρδους τοῦ σφετέρου εἵνεκα περὶ τοῦ ἐς τὰ κοινὰ συμφέροντος ἡττᾶσθαι. ὅθεν αὐτῷ καὶ ἐφ' οἷς ὕστερον ἐπάθη, συγγνόντες οἱ ἀθηναῖοι, κατεδέξαντό τε αὖθις, καὶ ἐς πάντα συμβούλῳ ἐχρήσαντο. καὶ αὐτῷ ἡ τελευτὴ γενναία ἐπιγενομένη μάλιστα, ἐς μεταμέλειαν ἤγαγεν αὐτοὺς ἐκ ἀφανῆ τῶν γνωσθέντων. οὐ πολλῷ γοῦν ὕστερον, ἢ ἐξαγγελθῆναι τεθνηκότα δημοσθένην, μετεγίνωσκον ἐφ' οἷς δέει τῶν μακεδόνων μᾶλλον, ἢ γνώμῃ τῇ δικαιοτάτῃ ἔκριναν. καὶ ἀτέλειάν τε τῷ πρεσβυτάτῳ τῶν ἐν τῷ γένει τοῦ δημοσθένους ψηφίζονται, καὶ χαλκοῦν στῆναι αὐτὸν ἐν ἀγορᾷ. καὶ ἐλεγεῖα τῇ βάσει τοῦ ἀνδριάντος ἐπέγραψαν·

καὶ τὸ π. | ὕστερον τοῦ ἐξαγγ.

Εἴπερ ἴσην ῥώμην γνώμῃ, δημόσθενες, εἶχες,
Οὔποτ' ἂν ἑλλήνων ἦρξεν ἄρης μακεδών.

## ἌΛΛΩΣ.

Δημοσθένης, μαχαιροποιός, παιανιεύς, οὗ δημοσθένης ὁ ῥήτωρ, ὀρφανὸς καταλειφθείς, ἐπιτρόπους ἔσχε τρεῖς, ἄφοβον, δημοφῶντα, θηριππίδην. ὧν ἀμελούντων αὐτοῦ, καὶ τῆς οὐσίας, αὐτὸς αὑτὸν ἐνεχείρισε διδασκάλῳ ἰσαίῳ. φιλόπονος δὲ οὕτως ἦν, ὥστε φασὶν ἑαυτὸν οἴκοι καθείρξαντα, ἑαυτοῦ ξυρῆσαι τῆς κεφαλῆς μέρος, ἵνα μήτε προΐοι, μήτε δέχοιτό τινα. παιδευθεὶς δὲ εἷλε τῆς ἐπιτροπῆς τοὺς ἐπιτρόπους. σοφιστεύειν βουληθεὶς ἀπέστη διαβληθεὶς ἐπὶ μόσχῳ μειρακίῳ τῶν εὐγενῶν. λογογραφεῖν δὲ ἀρξάμενος, διεβλήθη πάλιν, ὡς ἐναντίοις λόγοις ἐκδοὺς ἀπολλοδώρῳ καὶ φορμίωνι. καὶ τούτου οὖν ἀποστὰς ἤρξατο πολιτεύεσθαι. τραυλὸς δὲ ὤν, καὶ τὸν ὦμον ἀπρεπῶς ἐκίνει, καὶ τὴν ἀκοὴν ἀσθενής, καὶ τὸ πνεῦμα οὐ διαρκής. ἀλλὰ ἀσκήσει διωρθώσατο, τήν τε ὑπόκρισιν οὐκ ὢν ἄκρως ὑπ' ἀνδρονίκῳ καὶ ταύτην ἐξήσκησεν. ἐχορήγησε δέ, καὶ ἐτριηράρχησε, καὶ αἰχμαλώτους ἐλύσατο, καὶ θυγατέρας συνεξέδωκεν. ὅτε δὲ ἐχορήγει, τυπτηθεὶς ὑπὸ μειδίου, τρισχιλίαις, ὥς φασιν, ἐπείσθη. καὶ δημαίνετον ἀνεψιὸν γραψάμενος τραύματος, ὥς φασι, διελύσατο. αἰτησάμενος δὲ χαβρίου τοῦ στρατηγοῦ γυναῖκα, χαβρίου τελευτήσαντος, κλεινίππου θυγατέρα ἔγημεν. ἐπολιτεύσατο δὲ κατὰ φιλίππου. οὗ θηβαίοις ἐπιόντος, πείθει συμμαχῆσαι. καὶ κατὰ χαιρώνειαν ἡττῶνται, χιλίων ἀποθανόντων καὶ μ. καὶ δισχιλίων αἰχμαλώτων. ἀγαπητὴν δὲ ἔχων θυγατέρα τελευτήσασαν ἐπένθησε. καὶ ἑβδομαίου τοῦ πάθους ὄντος, ἀγγελθέντος ἀνῃρῆσθαι φίλιππον ὑπὸ παυσανίου, μετημφιάσατο, καὶ τοῖς θεοῖς ἔθυσεν. ἐπολιτεύσατο δὲ καὶ κατὰ ἀλεξάνδρου τοῦ φιλίππου. οὗ ἅρπαλος πολλὰ νοσφισάμενος χρήματα, ὡς ἀθηναίους κατέφυγεν. ὧν καὶ δημοσθένης εἰληφέναι μέρος ἔδοξε. καὶ ἔφυγεν εἰς τροιζῆνα. ἀλεξάνδρου δὲ ἐν βαβυλῶνι τελευτήσαντος, ὁ δημοσθένης κατῆλθε κληθείς. ἀντίπατρος δὲ ἄρξας τῶν ἑλλήνων, πέμψας ἐξῄτει τοὺς δέκα ῥήτορας. ἐκδόντων ἀθηναίων, ὁ δημοσθένης εἰς καλαύρειαν ἔφυγεν. ἀρχίας δὲ ὁ ὑποκριτὴς ἀποσταλεὶς ἐπ' αὐτὸν ὑπ' ἀντιπάτρου, βίᾳ ἀποσπᾷ ἀπὸ τοῦ ἱεροῦ ποσειδῶνος, ὃ ἦν ἄσυλον, ὁ δὲ ὑπὸ τῇ σφραγῖδι φάρμακον ἔχων μυζήσας ἀπέθανε.

φωνὴν | φιλίππου



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## DE EODEM EX M. TVLLIO CICERONE, lib. 1. de oratore ad Quintum Fratrem.

Caput enim esse arbitrabatur oratoris, ut & ipsis, apud quos ageret, talis, qualem se ipse esse optaret, videretur: id fieri vitæ dignitate, de qua nihil rhetorici isti doctores in præceptis suis reliquissent: & uti eorum, qui audirent, sic afficerentur animi, ut eos affici vellet orator: quod ita fieri nullo modo posse aiebat, nisi cognosceret is, qui diceret, quot modis hominum mentes, & quibus rebus, & quo genere orationis in quanque partem mouerentur. Hæc autem esse penitus in media philosophia retrusa, atque abdita, quæ isti rhetores ne primoribus quidem labris attigissent. Ea Menedemus exemplis magis, quàm argumentis refellere conabatur. memoriter enim multa ex orationibus Demosthenis præclarè scripta pronuncians, docebat, illum in animis vel iudicum, vel populi in omnem partem dicendo permouendis, non fuisse ignarum, quibus ea rebus consequeretur: quæ negaret ille sine philosophia quemquam scire posse. Huic respondebat, non se negare Demosthenem summam prudentiam, summámque vim habuisse dicendi: sed siue ille hoc ingenio potuisset, siue id quod constaret, Platonis studiosus audiendi fuisset, non quid ille potuisset, sed quid isti docerent, esse quærendum.

### Ibidem.

Ergo, ut ad primum illud reuertar, sit orator nobis is, qui, ut Crassus descripsit, accommodatè ad persuadendum possit dicere. is autem concludatur in ea quæ sunt in usu ciuitatem vulgari ac forensi: remotisque ceteris studijs, quamuis ea sint ampla atque præclara, in hoc uno opere, ut ita dicam, noctes & dies urgeatur: imitetúrque illum, cui sine dubio summa vis dicendi conceditur, Atheniensem Demosthenem: in quo tantum studium fuisse, tantúsque labor dicitur, ut primum impedimenta naturæ diligentia, industriáque superarit: cúmque ita balbus esset, ut eius ipsius artis, cui studeret, primam literam non posset dicere, perfecit meditando, ut nemo planius eo locutus esse putaretur: deinde cùm spiritus eius esset angustior, tantum continenda anima in dicendo est assecutus, ut una continuatione verborum (id quod eius scripta declarant) binæ ei contentiones vocis, & remissiones continerentur. quinetiam (ut memoriæ proditum est) coniectis in os calculis summa voce versus multos uno spiritu pronuntiare consuescebat: neque is consistens in loco, sed inambulans, atque ascensu ingrediens arduo.

### Ex lib. 3.

Aspicite nunc eos homines atque intuemini, quorum de facultate quærimus, quid intersit inter oratorum studia atque naturas. suauitatem Isocrates, subtilitatem Lysias, acumen Hyperides, sonitum Aeschines, vim Demosthenes habuit.

### Ibidem.

Sed hæc ipsa omnia perinde sunt, ut aguntur. Actio, inquã, in dicendo una dominatur: sine hac, summus orator esse in numero nullo potest: mediocris hac instructus summos sæpe superare. Huic primas dedisse Demosthenes dicitur, cùm rogaretur quid in dicendo esset primum: huic secundas, huic tertias. Quo mihi melius etiam illud ab Aeschine dictum videri solet, qui cùm propter ignominiam iudicij cessisset Athenis, & se Rhodum contulisset, rogatus à Rhodijs, legisse fertur orationem illam egregiam, quam in Ctesiphontem contra Demosthenem dixerat: qua perlecta petitum est ab eo postridie, ut legeret illam etiam, quæ erat cõtrà à Demosthene pro Ctesiphonte edita: quam cùm suauissima & maxima voce legisset, admirantibus omnibus, Quanto, inquit, magis admiraremini, si audissetis ipsum? Ex quo satis significauit quantum esset in actione, qui orationem eandẽ aliam esse putaret, actore mutato.

### Ex lib. de claris orat. qui dicitur Brutus.

Nam planè quidem perfectum, & cui nihil admodum desit, Demosthenem facilè dixeris. nihil acute inueniri potuit in eis causis, quas scripsit, nihil (ut ita dicam) subdolè, nihil versutè, quod ille non viderit: nihil subtiliter dici, nihil pressè, nihil enucleatè, quo fieri possit aliquid limatius: nihil contrà grande, nihil incitatum, nihil ornatum vel verborum grauitate, vel sententiarum, quo quicquam esset elatius.

### Ibidem.

Quis enim uberior in dicendo Platone? Iouem aiunt philosophi, si Græcè loquatur, sic loqui. Quis Aristotele neruosior? Theophrasto dulcior? Lectitauisse Platonem studiosè, audiuisse etiam Demosthenes dicitur: idque appãret ex genere & granditate verborum. dicit etiam in quadam epistola hoc ipse de sese. Sed & huius oratio in Philosophiam translata, pugnacior (ut ita dicam) videtur, & illorum in iudicia, pacatior.

Ibidem

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ibidem.

*Sed tamen Antonius in verbis & eligendis (neque idipsum tam lepôris causa, quàm ponderis) & collocandis, & comprehensione deuinciendis, nihil non ad rationem, & tanquam ad artem dirigebat: verùm multo magis hoc idem in sententiarũ ornamentis, & conformationibus. quo genere quia præstat omnibus Demosthenes, idcirco à doctis oratorum est princeps iudicatus. σχήματα enim quæ vocant Græci, ea maximè ornant oratorem: eáque non tam in verbis pingendis habent põdus, quàm in illuminandis sententiis. Sed cùm hæc magna in Antonio, tum actio singularis: quæ si partienda est in gestum, atque vocem, gestus erat non verba exprimens, sed cum sententiis congruens: manus, humeri, latera, supplosio pedis, status, incessus, omnísque motus cum verbis sententiísque consentiens. Vox permanens, verùm subrauca natura: sed hoc vitium huic vni in bonum vertebat. habebat enim flebile quiddam in conquestionibus, aptúmque cùm ad fidem faciẽdam, tum ad misericordiã commouendam, vt verum videretur in hoc illud, quod Demosthenem ferunt ei, qui quæsiuisset quid primum esset in dicendo, actionem: quid secundum, idem: & idem tertium respondisse.*

Ex lib. de claris orat. qui dicitur Brutus.

*Demosthenem igitur imitemur. O dij boni! quid ergo nos aliud agimus, aut quid aliud optamus? at non assequimur. Isti enim videlicet Attici nostri, quod volunt, assequuntur: ne illud quidem intelligunt, non modò ita memoriæ proditum esse, sed ita necesse fuisse, cùm Demosthenes dicturus esset, vt concursus audiendi causa ex tota Græcia fierent at cùm isti Attici dicunt, non modò à corona (quod est ipsum miserabile) sed etiam ab aduocatis relinquuntur.*

Ex eodem, in oratore perfecto.

*In oratoribus verò, Græcis quidem, admirabile est quãtum inter omneis vnus excellat. attamen cùm esset Demosthenes, multi oratores magni & clari fuerunt, & antea fuerant, nec postea defecerunt.*

Ibidem.

*Sed ego idem, qui in illo sermone nostro, qui est expositus in Bruto, multum tribuerim Latinis, vel vt hortarer alios, vel quòd amarem meos, recordor longè omnibus vnum anteferre Demosthenem, qui vim accommodarit ad eam, quam sentiam, eloquentiam, non ad eam, quam in aliquo ipse cognouerim. Hoc nec grauior exstitit quisquam, nec callidior, nec temperatior. Itaque nobis monendi sunt ij, quorum sermo imperitus increbruit, qui aut dici se desiderant Atticos, aut ipsi Atticè volunt dicere, vt mirētur hunc maximè, quo ne Athenas quidem ipsas magis credo fuisse Atticas. Et paullo pòst. Semper oratorum eloquentiæ moderatrix fuit auditorum prudentia. Omnes enim, qui probari volunt, voluntatem eorum qui audiunt, intuentur, ad eámque, & ad eorum arbitrium & nutum totos se fingunt & accommodant. Itaque Caria, & Phrygia, & Mysia, quòd minimè politæ, miniméque elegantes sunt, asciuerunt aptum suis auribus opimum quoddam, & tanquam adipatum dictionis genus, quod eorum vicini, non ita lato interiecti mari, Rhodij nunquã probauerunt, Græci autem multo minus, Athenienses verò funditus repudiauerunt: quorum semper fuit prudens sincerúmque iudicium, nihil vt possent nisi incorruptum audire, & elegans. eorum religioni cùm seruiret orator, nullum verbum insolens, nullum odiosum ponere audebat. Itaque hic, quem præstitisse diximus ceteris, in illa pro Ctesiphonte oratione lõge optima summissus à primo: deinde dum de legibus disputat, presšius: pòst sensim incedens, iudices vt vidit ardenteis, in reliquis exultauit audacius. At tamen in hoc ipso diligenter examinante verborum omnium pondera, reprehendit Æschines quædam, & exagitat, illudénsque, dura, odiosa, intolerabilia esse dicit. quinetiam quærit ab ipso, cùm quidem eum beluam appellet, vtrum illa verba, an portenta sint: vt Æschini ne Demosthenes quidẽ videatur Atticè dicere: facile est enim verbum aliquod ardens (vt ita dicam) notare, idque restinctis iam animorum incendijs, irridere. Itaque se purgans iocatur Demosthenes negat in eo positas esse fortunas Græciæ, hoc an illud verbum vsurparit, huc an illuc manum porrexerit. Quonam igitur modo audiretur Mysus, aut Phryx Athenis, cùm etiam Demosthenes exagitetur, vt putidus?*

Ibidem.

*Hanc ego iudico formam summissi oratoris, sed magni tamen & germani Attici: quoniam quicquid est sanum in oratione, id proprium Atticorum est: e quibus tamen non omnes faceti: Lysias satis, & Hyperides: Demades præter ceteros fertur: Demosthenes minus habetur: quo quidem mihi nihil videtur vrbanius: sed non tam dicax fuit, quàm facetus: est autem illud acrioris ingenij, hoc maioris artis.*

Ibidem.

*Nec enim nunc de nobis, sed de re dicimus: in quo tantum abest, vt nostra miremur, vt vsque eò difficiles ac morosi simus, vt nobis non satisfaciat ipse Demosthenes: qui quanquam vnus eminet inter omneis in omni genere dicendi, tamen non semper implet aureis meas: ita sunt auidæ & capaces, & semper aliquid immensum, infinitũque desiderãt sed tamen, quoniam tu & hunc oratorem cum eius studiosissimo Pammene, cùm esses Athenis, totum diligentissime cognouisti, neque eum dimittis è manibus, & tamen nostra etiam lectitas: vides profectò illum multa perficere, nos multa conari: illum posse, nos velle, quocunque modo causa postulet, dicere. Sed ille magnus. nam & successit ipse magnis, & maximos oratores habuit æquales.*



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ibidem.

Demosthenes quidem, cuius nuper, inter imagines tuas ac tuorum, quòd eum credo amares, cùm ad te in Tusculanum venissem, imaginem ex ære vidi, nihil Lysiæ subtilitate cedit, nihil argutiis & acumine Hyperidi, nihil lenitate Æschini, & splendore verborum. Multæ sunt eius totæ orationes subtiles, vt contra Leptinem: multæ totæ graues, vt quædam Philippicæ: multæ variæ, vt contra Æschinem falsæ legationis, vt contra eundem pro causa Ctesiphontis. Iam illud medium, quotiens vult, arripit, & à grauissimo discedens, eo potissimum delabitur. Clamores tamen tum mouet, & tum in dicendo plurimum efficit, cùm grauitatis locis vtitur.

Ibidem.

Verùm hæc vis, quam quærimus, quanta sit, suspicemur, quoniam exemplum non habemus: at si exempla sequimur, à Demosthene sumamus: & quidem perpetuæ dictionis ex eo loco, vnde in Ctesiphontis iudicio de suis factis, consilijs, meritis in rempub. aggressus est dicere. Ea profectò oratio, in eam formam, quæ est insita in mentibus nostris, includi sic potest, vt maior eloquentia ne requiratur quidem.

Ibidem.

Sed sententiarum ornamenta maiora sunt: quibus quia frequentissimè Demosthenes vtitur, sunt qui putent idcirco eius eloquentiam maximè esse laudabilem. & verò nullus fere ab eo locus sine quadam conformatione sententiæ dicitur.

Ibidem.

Quasi verò Trallianus Demosthenes: cuius non tam vibrarent fulmina illa, nisi numeris contorta ferrentur.

Ibidem.

Quod idem de Demosthene existimari potest: cuius ex epistolis intelligi licet, quàm frequens fuerit Platonis auditor.

Ex eodem, De optimo genere orat.

Nemo est orator, qui se Demosthenis similem esse nolit.

Ibidem.

Ita fit vt Demosthenes certè possit summisse dicere, elatè Lysias fortasse non possit.

Ibidem.

Non enim iam quærimus, quid sit Atticè, sed quid sit optimè dicere: ex quo intelligitur, quoniam Græcorum oratorum præstantissimi sunt ij qui fuerunt Athenis, eorum autem princeps facilè Demosthenes, hunc si quis imitetur, eum & Attice dicturum, & optimé.

Ibidem.

Cùm esset lex Athenis, ne quis populi scitum faceret, vt quisquā corona donaretur in magistratu prius, quàm rationes retulisset: & altera lex, eos, qui à populo donarentur, in cōcione donari debere: quia in senatu Demosthenes curator muris reficiendis fuit, eósque refecit pecunia sua: de hoc igitur Ctesiphon scitum fecit, nullis ab ipso rationibus relatis, vt corona aurea donaretur: eáque donatio fieret in theatro, populo conuocato: qui locus non est concionis legitimæ: atque ita prædicaretur, eum donari virtutis ergô, beneuolentiæque, quam erga populum Atheniensem haberet.

Ex lib. quinto de finib. bonor.

An eum locum libenter inuisit, vbi Demosthenes & Æschines inter se decertare soliti sunt? suo enim quisque studio maximè ducitur. Et ille, cùm erubuisset, Noli, inquit, ex me quærere, qui in Phalericum etiam descenderim: quo in loco ad fluctum aiunt Demosthenem declamare solitum, vt fremitum assuesceret voce vincere

Ex lib. 4. Tuscul. quæst.

Cui non sunt auditæ Demosthenis vigiliæ? qui dolere se aiebat, siquando opificum antelucana victus esset industria.

Ex lib. 5. Tuscul. quæst.

Leuiculus sanè noster Demosthenes, qui illo susurro delectari se dicebat aquam ferētis mulierculæ, vt mos in Græcia est, insusurrantísque alteri, Hic est ille Demosthenes. quid hoc leuius? at quantus orator? sed apud alios loqui videlicet didicerat, non multum ipse secum.

Ibidem.

Demosthenes quidem, qui abhinc annos prope CCC. fuit, iam tum φιλιππίζειν Pythiam dicebat, id est quasi cum Philippo facere. hoc autem eò spectabat, vt eam à Philippo corruptam diceret, quo licet existimare in alijs quoque oraculis Delphicis aliquid non sinceri fuisse.

Ex lib. 2. de diuinat.

Quid? illud ne dubium est, quin multi, cùm ita nati essent, vt quædam contra naturā deprauata haberent, restituerentur, & corrigerentur ab natura, cùm se ipsa reuocasset aut arte aut medicina? aut quorum linguæ sic inhærerent, vt loqui non possent, eæ scapello resectæ liberarentur? multi etiā naturæ vitium meditatione atque exercitatione sustulerunt, vt Demosthenem scribit Phalereus, cùm Rho dicere nequiret, exercitatione fecisse, vt planissimè diceret.

Ex lib. primo de off.

Equidem & Platonē existimo, si genus forense dicēdi tractare voluisset, grauissimè & copiosissimè potuisse dicere: & Demosthenem, si illa, quæ à Platone didicerat, tenuisset, & pronuntiare voluisset, ornatè splendidéque facere potuisse.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

per intendunt animum, & nonnumquam fatigantur: cùm Ciceroni dormitare interim Demosthenes, Horatio verò etiam Homerus ipse videatur. Summi enim sunt, homines tamen: acciditque iis, qui, quicquid apud illos repererunt, dicendi legem putant, vt deteriora imitentur (id enim est facilius) ac se abundè simileis putent, si vitia magnorum consequantur.

Lib. eod. cap. eod.

Sequitur oratorum ingens manus, cùm decem simul Athenis ætas vna tulerit: quorum longè princeps Demosthenes, ac pæne lex orandi fuit. tanta vis in eo, tam densa omnia, ita quibusdam neruis intenta sunt, tam nihil otiosum, is dicendi modus, vt nec quid desit in eo, nec quid redūdet, inuenias.

Lib. eod. cap. eod.

Oratores verò vel præcipuè Latinam eloquētiam parem facere Græcæ possunt. Nam Ciceronem cuicunque eorum fortiter opposuerim. Nec ignoro quantam mihi concitem pugnā, cùm præsertim id non sit propositi, vt eum Demostheni cōparem hoc tempore: neq; enim attinet: cùm Demosthenem in primis legendū, vel ediscendū potius putem. Quorum ego virtutes plerasque arbitror simileis, consilium, ordinē: diuidendi, præparandi, probandi rationē, omnia denique, quæ sunt inuentionis. In eloquendo est aliqua diuersitas: densior ille, hic copiosior: ille cōcludit adstrictius, hic latius pugnat: ille acumine semper, hic frequenter pōdere: illi nihil detrahi potest, huic nihil adiici: curæ plus in illo, in hoc naturæ. Salibus certè, & commiseratione (qui duo plurimum affectus valent) vincimus. Et fortasse epilogos illi mos ciuitatis abstulerit: sed & nobis illa, quæ Attici mirantur, diuersa Latini sermonis ratio minus permiserit. In epistolis quidē, quanquā sunt vtriusq;, nulla contentio est. Cedendū verò in hoc quidē, quòd ille & prior fuit, & ex magna parte Ciceronē, quantus est, fecit. Nam mihi videtur M. Tullius, cùm se totum ad imitationem Græcorum cōtulisset, effinxisse vim Demosthenis, copiam Platonis, iucunditatem Isocratis.

Lib. eod. cap. 2.

Longè perfectissimus Græcorum Demosthenes, aliquid tamen aliquo in loco melius alij, plurima ille: sed non qui maximè imitandus, etiam solus imitandus est.

Lib. eod cap. 3.

Quare siluarum amœnitas, & præterlabentia flumina, & inspirantes ramis arborū auræ, volucrúmque cantus, & ipsa latè circunspiciendi libertas, ad se trahunt: vt mihi remittere potius voluptas ista videatur cogitationem, quàm intendere. Demosthenes melius, qui se in locum, ex quo nulla exaudiri vox, nihilque prospici posset, recondebat, ne aliud agere mentem cogerent oculi. Ideoque lucubranteis silentium noctis, & clausum cubiculū, & lumen vnum velut rectos maximè teneat.

Lib. eod. cap. eod.

Quid alioqui fiet, cùm in medio foro, tot circunstantibus iudiciis, iurgiis, fortuitis etiam clamoribus, erit subitò continua oratione dicendum, si particulas, quas ceris mandamus, nisi in solitudine reperire non possumus? Propter quæ idem ille tantus amator secreti Demosthenes, in litore, in quod se maximo cum sono fluctus illideret, meditans, consuescebat contionum fremitus non expauescere.

Lib. 11. cap. 3.

Equidem vel mediocrem orationem commēdatam viribus actionis, affirmauerim plus habiturā esse momēti, quàm optimam eadē illa destitutā. Siquidem & Demosthenes, quid esset in toto dicēdi opere primum, interrogatus, pronuntiationi palmā dedit, eidémque secundū ac tertium locū, donec ab eo quæri desineret: vt eam videri posset non præcipuā: sed solam iudicasse. Ideóque ipse tam diligenter apud Andronicum hypocritā studuit, vt admirantibus eius orationē Rhodiis, non immerito Aeschines dixisse videatur, Quid si ipsum audissetis? Lib. eod. cap. vlt.

Quare longiorem dicturis periodū, colligendus est spiritus: ita tamē, vt id neque diu, neque cum sono faciamus, neque omnino vt manifestū sit, reliquis partibus optimè inter iuncturas sermonis reuocabitur. Exercendus est autē, vt sit quàm longissimus: quod Demosthenes vt efficeret, scandens in aduersum cōtinuabat quàm posset plurimos versus. Idem quò facilius verba ore libero exprimeret, calculos lingua voluens dicere domi solebat. Lib. eod. cap. eod.

Decor quoque à gestu atque motu venit. Ideóque Demosthenes grande quoddā intuens speculū, componere actionem solebat. Adeò quamuis ille fulgor sinistras imagines reddat, suis demum oculis credidit quod efficeret. Cap. eod.

Iactantur & humeri: quod vitium Demosthenes ita dicitur emendasse, vt, cùm in angusto quodam pulpito stans diceret, hasta humero dependens immineret: vt, si calore dicendi vitare id excidisset, offensatione illa commoneretur.

Lib. 12. cap. 1.

Nunc de iis dicendum est, quæ mihi quasi conspiratione quadā vulgi reclamari vidētur. Orator ergo Demosthenes non fuit? atqui malum virum accepimus. Non Cicero? atqui huius quoque mores multi reprehenderūt. Quid agam? magna responsi inuidia subeūda est, mitigandæ sunt prius aures. Mihi enim nec Demosthenes tam graui morū dignus videtur inuidia, vt omnia, quæ in eum ab inimicis congesta sunt, credā, cùm & pulcherrima eius in Rep. consilia, & finem vitæ clarum legam;

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Nec M. Tullio defuisse video, in vlla parte, ciuis optimi voluntatem. testimonio est actus nobilissimè consulatus: integerrimè prouincia administrata: & repudiatus vigintiuiratus: & ciuilibus bellis, quæ in ætatem eius grauissima inciderunt, neque spe neque metu declinatus animus, quominus se optimis partibus, id est reipublicæ, iungeret. Lib. eod. cap. eod.

Transeo illos, qui Ciceroni ac Demostheni ne in eloquentia quidē satis tribuunt: quanquā neque ipsi Ciceroni Demosthenes videatur satis esse perfectus, quē dormitare interim dicit: nec Cicero Bruto, Caluóque, qui certè compositionē illius etiā apud ipsum reprehendūt: nec Asinio vtriq;, qui vitia orationis eius etiam inimicè pluribus locis insequuntur. Lib. eod. cap. 2.

Quæ denique intelligi saltē potest eloquentia hominis optima nesciētis? Hæc si ratione manifesta non essent, exēplis tamen crederemus. Siquidē & Periclē, cuius eloquētiæ etiam si nulla ad nos monumenta venerūt, vim tamen quandā incredibilem cùm historici, tum etiam liberrimū genus hominum, comici veteres tradunt, Anaxagoræ physici constat auditorē fuisse: & Demosthenem, principē omnium Græciæ oratorū, dedisse operā Platoni. Nam M. Tullius nō tantū se debere scholis rhetorū, quantum Academiæ spatiis, frequenter ipse testatus est. Lib. eod. cap. 6.

Agendi autem initium sine dubio secundum vireis cuiusque sumendū est: neque ego annos definiam, cùm Demosthenē puerū admodum actiones pupillareis habuisse manifestū sit: Caluus, Cæsar, Pollio, multum ante quæstoriam omnes ætatem grauissima iudicia susceperunt: prætextatos egisse quosdam sit traditum: Cæsar Augustus duodecim natus annos, auiam pro Rostris laudauerit.

Lib. eod. cap. 10.

Quid denique Demosthenes? non cunctos illos tenueis & circumspectos, vi, sublimitate, impetu, cultu, compositione superauit? non insurgit locis? non figuris gaudet? non trāslationibus nitet? nō oratione ficta dat carentibus vocem? non illud iusiurandum per cæsos in Marathone ac Salamine propugnatores reipub. satis manifestò docet præceptorem eius Platonem fuisse? Quem ipsum num Asianum appellabimus, plerunque instinctus diuino spiritu vatibus comparandum?

Lib. eod. paullo pòst.

Itaque si quis nunc ad eas Demosthenis virtutes, quas ille summus orator habuit, tamen quæ defuisse ei, siue ipsius natura, siue lege ciuitatis videtur, adiecerit, vt affectus cōcitatius moueat, audiā dicētem, non fecit hoc Demosthenes? & si quid exierit numeris aptius, fortasse non poßit, sed tamen si quid exierit, non erit Atticum? Eod. cap.

Quod si mihi des consilium iudicum sapientum, perquàm multa recidam ex orationibus non Ciceronis modò, sed etiam eius, qui est strictior multo, Demosthenis.

De eodem, ex P. Cornelio Tacito, in dialogo de oratoribus.

Sed hoc primùm interrogabo, quos vocetis antiquos, quam oratorū ætatē signatione ista determinetis. Ego enim, cùm audio antiquos, quosdā veteres & olim natos intelligo, ac mihi versantur ante oculos Vlysses & Nestor, quorū ætas mille ferè, & CC. annis sæculum nostrum antecessit: Vos autem Demosthenem & Hyperidem percipitis, quos satis constat Philippi & Alexādri temporibus floruisse, ita tamē, vt vtrique superstites essent. Ex quo appàret nō multo plureis, quàm CCC. annos interesse inter nostram & Demosthenis ætatem. Quod spatium temporis, si ad infirmitatem corporum nostrorum referas, fortasse longum videatur: si ad naturam sæculorum & respectū huius immensi æui, perquàm breue, & in proximo est. Nam si, vt Cicero in Hortēsio scribit, is est magnus & verus annus, quo eadem positio cæli, siderúmque, quæ cùm maximè est, rursus exsistet, ísque annus horum, quos vocatis, annorum quindecim millia complectitur, incipit Demosthenes vester, quē vos veterem & antiquum fingitis, non solùm eodem anno, quo nos, sed ferè eodem mense exstitisse.

Ex eodem dialogo paullo pòst.

Quem (oratorem) non posse aliter exsistere, nec exstitisse vnquam cōfirmo, nisi eum, qui tanquā in aciem omnibus armis instructus, sic in forum omnibus artibus armatus exierit. quod adeò negligitur ab horum temporum disertis, vt in orationibus eorum fæx quoque quotidiani sermonis fœda, ac pudenda vitia deprehendantur: vt ignorent leges, non teneant S C. ius ciuitatis vltro derideant: sapientiæ verò studium & præcepta prudentium penitus reformident: in paucißimos sensus, & angustas sententias detrudant eloquentiam, velut expulsam regno: vt, quæ olim omnium artium domina pulcherrimo comitatu pectora implebat, nunc circumcisa & amputata sine apparatu, sine honore, pæne dixerim sine ingenuitate, quasi vna ex sordidißimis artificiis discatur. Ego hanc primam & præcipuam causam arbitror, cur tantum ab eloquētia antiquorū oratorum recesserimus. Si testes desiderantur, quos potiores nominabo, quàm apud Græcos Demosthenē? quem studiosißimū Platonis auditorem fuisse memoriæ proditum est. De eodem ex Aulo Gellio lib. I. cap. 8.

Phocion ex Peripatetica disciplina, haud sanè ignobilis vir fuit. Is librū multæ, variæq; historiæ refertum composuit: eúmq; inscripsit, κέρας ἀμαλθείας. ea vox hoc fermè valet, tāquā si dicas, Cornucopiæ. In eo libro super Demosthene rhetore, & Laide meretrice historia hæc scripta est: Lais, inquit, Corinthia ob elegantiam, venustatémque formæ grandem pecuniā demerebat: conuentúsq; ad eam ditiorum hominū ex omni Græcia celebres erant: neque admittebatur, nisi qui dabat, quod poposcerat.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ex eodem, lib. 2. epist. ad Attic. epist. 1. non longè à princip.

Oratiunculas autem & quas postulas, & plureis etiam mittam, quoniam quidem ea, quæ nos ribimus adolescentulorum studijs excitati, te etiam delectant. Fuit enim mihi commodum, quòd in s orationibus, quæ Philippicæ nominantur, enituerit ciuis ille tuus Demosthenes, & quòd se ab hoc efractariolo iudiciali dicendi genere abiunxerit, vt σεμνότερός τις, καὶ πολιτικώτερος videretur, curare, t meæ quoque essent orationes, quæ consulares nominarentur.

Ex lib. 15. epist. 1.

Brutus misit ad me orationem suam, habitam in contione Capitolina, petiuítque à me, vt eam ne mbitiose corrigerem antè quàm ederet. Est autem oratio scripta elegantißimè sententijs, verbis, vt ihil poßit vltrà. Ego tamen, si illam causam habuissem, scripsissem ardentius ὑπόθεσις. vides quæ t persona dicentis. Itaque eam corrigere non potui. quo enim in genere Brutus noster esse vult, & uod iudicium habet de optimo genere dicendi, id ita consecutus est in ea oratione, vt elegantius ihil esse poßit. Sed ego solus alius sum, siue hoc rectè, siue non rectè. Tu tamen velim orationem le- us, nisi fortè iam legisti, certiorémque me facias, quid iudices ipse. quanquam vereor, ne cognomine o lapsus ὑπεραττικὸς sis in iudicando. Sed si recordabere Δημοσθένους fulmina, tum intelliges posse t ἀττικώτατα, & grauißimè dici.

De eod. ex Valerio Max. lib. 3. cap. 4.

QVam matrẽ Euripides, aut quem patrem Demosthenes habuerit, ipsorum quoque sæculo ignotum fuit: alterius autem matrem olera: alterius patrem cultellos venditasse omnium pænè ctorum litteræ loquuntur. Sed quid aut illius tragica, aut huius oratoria vi clarius?

Ex eodem, lib. 7. cap. 3.

Demosthenis quoque astutia mirificè cuidam ancillæ succursum est, quæ pecuniam depositi nomine à duobus hospitibus acceperat, ea condicione, vt illam simul vtrisque redderet. Duorum alter terjecto tempore, tanquam mortuo socio, squalore obsitus, decepta ea omneis nummos abstulit. supervenit deinde alter, & depositum petere cœpit. Hærebat misera in maxima pariter & pecuniæ t defensionis pænuria: iámque de laqueo & suspendio cogitabat. Sed opportunè Demosthenes ei atronus affulsit: qui vt in aduocationem venit: Mulier, inquit, parata est depositi se fide soluere: sed isi socium adduxeris, id facere non potest. Quoniam vt ipse vociferaris, hæc dicta est lex, ne pecunia alteri sine altero numeretur.

Ex eodem, lib. 8. cap. 7.

Demosthenes, cuius commemorato nomine, maximæ eloquentiæ consummatio audientis animo oritur, cùm inter initia iuuentæ, artis, quam affectabat, primam litteram dicere non posset, oris sui itium tanto studio expugnauit, vt ea à nullo expreßius efferretur. Deinde propter nimiam exilitam acerbam auditu vocem suam exercitatione continua ad maturum, & gratum auribus sonum erduxit. Lateris etiam firmitate defectus, quas corporis habitus vireis negauerat, à labore mutuaus est. Multos enim versus vno impetu spiritus complectebatur, eósque aduersa loca celeri gradu andens, pronuntiabat. Ac vadosis litoribus insistens declamationes fluctuũ fragoribus obluctanibus edebat, vt ad fremitus concitatarum concionum patientia duratis auribus vteretur. Fertur uoque ore insertis calculis multùm ac diu loqui solitus, quò vacuum promtius esset ac solutius. rœliatus est contra rerum naturam, & quidem victor abijt, malignitatem eius pertinacißimo anii robore superando. Itaque alterum Demosthenem mater, alterum industria enixa est.

Ex eodem, lib. eod. cap. 10.

Consentaneum huic Demosthenis iudicium, qui cùm interrogaretur, quidnam esset in dicendo ef- acißimum, respondit, ἡ ὑπόκρισις. Iterum deinde & tertiò interpellatus, idem dixit, pæne totum illi debere confitendo. Rectè itaque Æschines, cùm propter iudicialem ignominiam, relictis Athe- is, Rhodum petisset, atque ibi rogatu ciuitatis suam prius in Ctesiphontem, deinde Demosthenis ro eodem orationem clarißima & suauißima voce recitasset, admirantibus cunctis vtriusque co- minis eloquentiam, sed aliquanto magis Demosthenis, Quid si, inquit, ipsum audissetis? tantus rator, & modò tã infestus aduersarius sic inimici vim, ardorémque dicendi suspexit, vt se scriptoum eius parum idoneum lectorem esse diceret: expertus acerrimum oculorum vigorem, terribile ultus pondus, accommodatum singulis verbis sonum vocis, efficacißimos corporis motus. Ergo tsi operi illius adijci nihil potest, tamen in Demosthene magna pars Demosthenis abest, quod legitur otius, quàm auditur.

De eodem ex Quintiliano, lib. 3. cap. 8.

NAm & Philippicas Demosthenis, eisdem, quibus habitas in iudicijs orationes, video eminere virtutibus: & Ciceronis sententiæ & contiones, non minus clarũ, quàm est in accusationibus ac defensionibus, eloquentiæ lumen ostendunt.

Ex eodem, lib. 4. cap. 2.

Frequenter verò & à re narrationis initiũ faciendũ est: sicut pro Tullio Cicero, Fundũ habet in agro Tigurino M. Tullius paternum. Demosthenes pro Ctesiphonte, τοῦ γὰρ Φωκικοῦ συστάντος πολέμου.

Ex eodem, lib. 6 cap. I.

Plurimum tamen affert atrocitatis, modus, si grauiter, si contumeliose: vt Demosthenes ex parte percussi corporis, ex vultu ferientis, ex habitu inuidiam Midiæ quærit.

Ex eodem, lib. eod. cap. 2.

Namque in hoc eloquētiæ vis est, vt iudicem non ad id tantùm impellat, in quod ipsa rei natura duceretur: sed aut qui non est, aut maiorem quàm est, faciat affectū. Hæc est illa, quæ δείνωσις vocatur, rebus indignis, asperis, inuidiosis addens vim oratio: qua virtute præter alios plurimum Demosthenes valuit.

Lib. eod. cap 3.

Quanta sit autem in ea difficultas, vel duo maximi oratores, alter Græcæ, alter Latinæ eloquentiæ principes, docent. Nam plerique Demostheni facultatem huius rei defuisse credunt, Ciceroni modum. Nec videri potest noluisse Demosthenes, cuius pauca admodum dicta, nec sanè ceteris eius virtutibus respondentia palam ostendunt non displicuisse illi iocos, sed non contigisse. Noster verò non solùm extra iudicia, sed in ipsis etiam orationibus habitus est nimius risus affectator.

Cap. eodem.

Dicacitas sine dubio à dicendo, quod est omni generi commune, ducta est: propriè tamen significat sermonem cum risu aliquo incessentem. Ideò Demosthenem vrbanum fuisse dicunt, dicacem negant.

Lib. eod. cap. vlt.

Laudatur consilium Demosthenis, quòd, cùm suaderet bellum Atheniensibus, parum id prosperum expertis, nihil adhuc factum esse ratione monstrat. poterat enim emendari negligentia. At, si nihil esset erratum, melioris in posterum spei non erat ratio. Idem cùm offensam vereretur, si obiurgaret populi segnitiem: in asserenda libertate reipublicæ, maiorum laude vti maluit, qui eam fortissimè administrassent. Nam & faciles habuit aureis, & natura sequebatur, vt meliora probanteis peiorum pœniteret.

Lib. 7. cap. I.

Sed meminerimus ipsam dispositionē plerunque vtilitate mutari, nec eandē semper primā quæstionem ex vtraque parte tractandam. Cuius rei, vt cetera exempla prætereram, Demosthenes quoque atque Æschines possunt esse documento, in iudicio Ctesiphontis diuersum secuti ordinem, cùm accusator à iure, quo videbatur potentior, cœperit: patronus omnia, vel pæne omnia ante ius posuerit, quibus iudicem quæstioni legum præpararet. Aliud enim alio docere prius expedit: alioqui semper petitoris arbitrio diceretur.

Lib. 9. cap. 2.

Et Demosthenes iurando per interfectos in Marathone & Salamine, id agit, vt minore inuidia cladis apud Chæroneam acceptæ laboret.

Lib. eod. cap. 3.

Gradatio, quæ dicitur κλίμαξ, apertiorem habet artem, & magis affectatam, ideóque esse rarior debet. Est autē ipsa quoque adiectionis. repetit enim quæ dicta sunt: & priusquam ad aliud descendat in prioribus resistit. Eius exemplum ex Græco notissimo (Demosthenis pro Ctesiphonte,) transferatur, Nec hæc dixi quidem, sed non scripsi: nec scripsi quidē, sed non obij legationem: nec obij quidem, sed non persuasi Thebanis, sed à principio progressus rem totam gradatim & singillatim ad exitum perduxi.

Lib eod. cap. vlt.

Inuadunt ergo hanc inter ceteras vocem. Neque enim Demosthenes fulmina tantopere vibrasse diceretur, nisi numeris contorta ferrentur. In quo, si hoc sentimus, rhythmis contorta, dissentio. Nam rhythmi, vt dixi, neque finē habent certum, nec vllam in contextu varietatem, sed qua cœperunt sublatione ac positione, ad finem vsque decurrūt: oratio non descendit ad strepitum digitorū. Id quod Cicero optimè videt, ac testatur frequenter, se quod numerosum sit, quærere: vt magis non ἄρρυθμον, quod esset inscitū atque agreste, quàm ἔρρυθμον, quod poëticum est, esse cōpositionem velit: sicut etiā quos palæstritas esse nolumus, peritos tamen palæstræ esse volumus, non ἀπαλαίστους.

Lib. eod cap. eodem.

Proximam clausulis diligentiam postulant initia. nam & ad hæc intētus auditor est. Sed eorum facilior ratio est. Non enim cohærent alijs, nec præcedētibus seruiunt: sed nouum exordium sumunt, cùm illæ, quamlibet sint compositæ, ipsam gratiam perdant, si ad eas rupta via veniamus. Namque cùm sit, vt videtur, seuera Demosthenis cōpositio, πρῶτον μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις. & illa quæ ab vno (quod sciam) Bruto minus probatur, ceteris placet, κἂν μήπω βάλλῃ, μηδὲ τοξεύῃ. non desunt qui Ciceronem carpant in his, Familiaris cœperat esse balneatori. &, Non minus dura Archipiratæ. Nam balneatori, & Archipiratæ idē finis est qui πᾶσι καὶ πάσαις, & qui, μηδὲ τοξεύῃ sed propria sunt, ideò seueriora.

Lib. 10. cap. I.

Neque id statim legenti persuasum sit, omnia, quæ magni auctores dixerint, vtique esse perfecta. Nam & labuntur aliquando, & oneri cedunt, & indulgent ingeniorum suorū voluptati: nec semper inten-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

posceret: poscebat autem illa nimiam quantitatē. Hinc ait natū esse illud frequēs apud Graecos adagium, οὐ παντὸς ἀνδρὸς ἐς Κόρινθον ἔσθ᾽ ὁ πλοῦς. quòd frustra iret Corinthum ad Laidem, qui non quiret dare, quod posceretur. Ad hanc ille Demosthenes clanculū adit: & vt sibi sui copiam faceret, petit. At Lais μυρίας δραχμὰς, ἢ τάλαντον poposcit: hoc facit nummi nostratis denariūm decem millia. Tali petulantia mulieris, atque pecuniae magnitudine ictus, expauidúsque Demosthenes, auertit iter, & discedens: Ego, inquit, pœnitere tanti non emo. Sed Graeca ipsa, quae fertur dixisse, lepidiora sunt, οὐκ ὠνοῦμαι, inquit, μυρίων δραχμῶν μεταμέλειαν. Ex eodem, lib. 3. cap. 13.

Hermippus hoc scriptum reliquit: Demosthenem admodū adolescentem ventitare in Academiā, Platonémque audire solitū. Atque is, inquit, Demosthenes domo egressus, vt ei mos erat, cùm ad Platonem pergeret, cōplureisque populos concurrenteis videret, percōtatur eius rei causam: cognoscitq; currere eos auditū Callistratum. Is Callistratus Athenis orator in rep. fuit, quos illi δημαγωγοὺς appellant. Visum est paullùm deuertere, experirique, an ad digna auditu tanto properatum studio foret. Venit, inquit, atque audit Callistratū, nobilem illam τὴν περὶ Ὠρωποῦ δίκην dicētem. Atque ita motus, & demulctus, & captus est, vt Callistratum iam inde sectari cœperit, Academiam cum Platone reliquerit. Ex eodem lib 10. cap. 19.

Incessebat quempiam Taurus philosophus seuera atque vehementi oratione adolescentē, à rhetoribus & facundiae studio ad disciplinas philosophiae trāsgressum, quòd factū quiddam esse ab eo diceret inhonestè & improbè. At ille non ibat infitias fecisse, sed id solitū esse fieri defendebat, turpitudinémq; delicti, exemplorū vsu & consuetudinis veniā deprecabatur. Atque ibi Taurus isto ipso defensionis genere irritatior: Homo, inquit, stulte & nihili, si te à malis exemplis auctoritates, & rationes philosophorū non abducūt, ne illius quidē Demosthenis vestri (κατ᾽ Ἀνδροτίωνος) sententia tibi in mentē venit? quae quia lepidis, & venustis vocū modis vincta est, quasi quaedā cātilena rhetorica, facilius adhaerere memoriae tuae potuit. Nam si me, inquit, nō fallit, quod quidē in priori pueritia legerim, verba haec sunt Demosthenis aduersus eum, qui (vt tu nūc facis) peccatum suū peccatis alienis exemtū, purgatúmq; ibat: σὺ δὲ μὴ λέγε ὡς γέγονε τοῦτο οὕτω πολλάκις, ἀλλ᾽ ὡς οὕτω προσήκει γίγνεσθαι. οὐ γὰρ εἴ τι πώποτε μὴ κατὰ τοὺς νόμους ἐπράχθη, σὺ δὲ τοῦτο ἐμιμήσω, διὰ τοῦτο ἀποφύγοις ἂν δικαίως, ἀλλὰ πολὺ μᾶλλον ἁλίσκοιο. ὥσπερ γὰρ εἴ τις ἑάλω, σὺ ταῦτα οὐκ ἂν ἔγραψας, οὕτως ἂν σὺ νῦν ἁλῷς, ἄλλος οὐ γράψει. id est, Tu autem noli dicere ita saepenumero factitatū esse, sed ita fieri conuenire. Non enim si quid aliquando non consentaneū legibus actum est, & tu hoc imitatus es, iccirco iure absoluaris: sed multo magis dānari debeas. Quemadmodū enim si quis damnatus esset, tu hoc decretū non scripsisses: ita si tu nunc damnatus fueris, alius non decernet. Ex lib. 11. cap 9.

Critolaus scripsit, legatos Mileto publicae rei causa venisse Athenas, fortasse dixerit auxilij petēdi gratia. Tum qui pro sese verba facerent, quos visum erat, aduocasse, aduocatos (vti mandatū erat) verba pro Milesiis ad populū fecisse, Demosthenem Milesiorū postulatis acriter respōdisse, neq; Milesios auxilio dignos, neque ex repub. id esse contendisse. Rem in posterū diem prolatam, legatos ad Demosthenē venisse, magnóque opere rogasse, vti cōtrà ne diceret: eum pecuniā petiuisse, & quantam petiuerat, abstulisse. Postridie cùm res agi denuò cœpta esset, Demosthenē lana multa collū, ceruicésque circumuolutū, ad populum prodisse, & dixisse, se συνάγχην pati: eò contra Milesios loqui non quire. tum è populo vnū exclamasse, non συνάγχην, quod Demosthenes pateretur, sed ἀργυράγχην esse. Ipse etiam Demosthenes, vt idem Critolaus refert, non id postea concelauit, quin gloriae quoque, hoc sibi asignauit. Nam cùm interrogasset Aristodemum actorem fabularum, quātum mercedis, vti ageret, accepisset, & Aristodemus talentum respondisset: At ego plus, inquit, accepi, vt tacerem. Ex eod. lib. cap. 10.

Quod in capite superiore à Critolao scriptum esse diximus super Demosthene, id C. Gracchus in oratione, qua legem Aufeiā dissuasit, in Demadem cōtulit verbis hisce: Nam vos, Quirites, si velitis sapientia atque virtute vti, & si quaeratis, neminē nostrūm inuenietis sine pretio huc prodire: omnes nos, qui verba facimus, aliquid petimus &c. Ex lib. 15. cap. 28.

In qua re etiam Fenestellam errasse, Paedianus Asconius animaduertit: quòd eum (Ciceronē) scripserit, sexto & vicesimo aetatis anno pro Sexto Roscio dixisse. Longior autem Nepotis, quàm Fenestellae, error est: nisi quis vult in animū inducere, studio amoris & amicitiae adductū, amplificandae admirationis gratia, quadrienniū Nepotem suppressisse: vt M. Cicero orationē florentem dixisse pro Roscio, admodū adolescēs videretur. Illud adeò ab vtriusque oratoris studiosis animaduersum, & scriptum est, quòd Demosthenes & Cicero pari aetate illustrissimas orationes in causis dixerint: Alter κατ᾽ Ἀνδροτίωνος, καὶ κατὰ Τιμοκράτους, septē & viginti annos natus: alter anno minor pro P. Quinctio: septimo & vicesimo, pro Sexto Roscio. Vixerunt quoque non nimis numerū annorum diuersum: alter treis & sexaginta annos, Demosthenes LX. Ex lib. 17. cap. 21.

Circa annum deinde vrbis conditae CCCC. Philippus Amyntae filius Alexandri pater regnū Macedoniae adeptus est, in eóq; tempore Alexander natus est. Paucisq; inde annis pòst, Plato philosophus ad Dionysiū Siciliae Tyrannū posteriorē profectus est. Pòst deinde aliquāto tempore, Philippus apud Chaeroneā praelio magno Athenienseis vicit. Tum Demosthenes orator ex eo praelio salutē fuga quaesiuit. Cúmq; id ei quòd fugerat probrosè obiiceretur, versu illo notissimo illusit, Ἀνὴρ ὁ φεύγων καὶ πάλιν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μαχέσονται. Postea Philippus ex insidiis occiditur, & Alexander regnũ adeptus, ad subigẽdos Persas, in Asiam: atque in Orientẽ transgressus est. Alter autem Alexãder, cui cognomentum Molosso fuit, in Italiam venit, bellũ populo Ro facturus. Iam enim fama, virtúsq; felicitatis Romanæ apud exteras genteis enitescere incœptabat. Sed priusquàm bellũ faceret, vita decessit. Eum Molossũ m cùm in Italiam transiret, dixisse accepimus, se quidẽ ad Romanos ire quasi in ἀνδρωνῖτιν, Macedonem isse ad Persas, quasi in γυναικωνῖτιν. Postea Macedo Alexãder pleraque parte Orientali subacta, cùm annos regnauisset vndecim, obiit mortis diẽ. Neque ita longè post, Aristoteles philosophus, & post aliquãto Demosthenes, vita functi sunt.

De eodem, ex Plinio, lib. 7. cap. 30.

Aeschines Atheniensis summus orator, cùm accusationẽ, qua fuerat vsus, Rhodi legisset, legit & defensionẽ Demosthenis, ob quã in illud depulsus fuerat exsulium: mirantibúsque, tum magis fuisse miraturos dixit, si ipsum orantem audiuissent: in calamitate testis ingens factus inimici.

Ex eodem, lib. 33 cap. 1.

Alij sub gemmis venena cludunt, sicut Demosthenes, summus oratorum Græciæ, anulósq; mortis causa habent.

De eodem ex Pomponio Mela, cap. 7.

Circa Pelopõnensem etiam nunc in Ægæo Phithiusa, & Ægina Epidaurico litori proxima, Trœzenio Calauria inter ignobileis: aliàs letho Demosthenis nobilis.

De eodem ex Iuuenale, Sat. 10.

Eloquium ac famã Demosthenis, aut Ciceronis
Incipit optare, & totis quinquatribus optat,
Quisquis adhuc vno partẽ colit asse Mineruã,
Quem sequitur custos angustæ vernula capsæ:
Eloquio sed vterque perit orator: vtrumque
Largus, & exundans letho dedit ingenij fons:
Ingenio manus est & ceruix cæsa, nec vnquã
Sanguine causidici maduerunt rostra pusilli.
O fortunatam, natam me consule, Romam,
Antoni gladios potuit contemnere, si sic
Omnia dixisset. ridenda poëmata malo,
Quàm te conspicuæ diuina Philippica famæ,
Volueris à prima quæ proxima. sæuus & illum
Exitus eripuit, quem mirabantur Athenæ
Torrentem, & pleni moderantem frena theatri.
Diis ille aduersis genitus, fatóque sinistro,
Quem pater ardent[i]s massæ fuligine lippus
A carbone, & forcipibus, gladiósque parante
Incude, & luteo Vulcano ad rhetora misit.

De eodem ex Ausonij epistola 32. ad Symmachum.

Quis ita ad Aesopi venustatem, quis ad sophisticas Isocratis conclusiones, quis ad enthymemata Demosthenis, aut opulentiam Tullianam, aut proprietatem nostri Maronis accedat?

Ex eodem in præfatione commemorationis professorum Burdigalens.

Dicendi torrens tibi copia, quæ tamen aurum,
Non etiam luteam voluerit illuuiem.
Et Demosthenicum quod ter primum ille vocauit,
In te sic viguit, cedat vt ipse tibi.

## ΟΥΛΠΙΑΝΟΥ ΡΗΤΟΡΟΣ ΠΡΟΛΕΓΟΜΕΝΑ ΕΙΣ ΤΟΥΣ δημοσθένους ὀλυνθιακοὺς, καὶ φιλιππικοὺς λόγους.

ΠΛΕΙΣΤΗΝ δοκοῦσιν ὁμοιότητα σῴζειν οἱ φιλιππικοὶ λόγοι πρὸς τὰς τοῦ θουκυδίδου δημηγορίας. οὐ γὰρ μόνον τὰ κεφάλαια ἴδοι τις ἂν ἐν τοῖς λόγοις τούτοις συμπεπλεγμένα ὥσπερ ἐν ἐκείναις, καὶ τὰς ὑποθέσεις οὕτω μεταχειρισμένας, ἀλλὰ καὶ πολλὰ τῶν νοημάτων παραπεφρασμένα. αὐτίκα τῶν ὀλυνθιακῶν ὁ πρότερος, οὐ πρὸς μίαν, ἀλλὰ καὶ πρὸς πλείους ἔχει τὸν ζῆλον, ἔστι δὲ ὅτι οὐχ ἕνα μόνον λόγον πρὸς μίαν ὅλην παράγει δημηγορίαν, ἀλλὰ καὶ κεφάλαιον πρὸς ὅλον κεφάλαιον, καὶ κεφαλαίου δὲ μέρος πρὸς μέρος πολλάκις δὲ καὶ πρὸς μέρη πλειόνων δημηγοριῶν, κεφάλαιον ἕν τὸ, τὸ προοίμιον τῶν λόγων, ὅμοιον οὐδὲν ἧττόν ἐστι· καὶ τὸ ἀναγκαῖον δὲ πλεῖστον, ὥσπερ ἐκείνοις χρῆσθαι φιλεῖ. ἔστι δὲ ὅτι καὶ τὰς ὑποθέσεις, οὐχ ὑπὲρ τῶν προσώπων, οἷς συνίστασθαι βούλεται, φανερῶς ἐνδείκνυται ποιούμενος, ἀλλ᾽ ὑπὲρ αὐτῶν τῶν ἀκροατῶν, ὥσπερ ὁ θουκυδίδης. τοιγάρτοι καὶ ὁ λέσβιος, καὶ ὁ κερκυραῖος, ὁ μὲν πρὸς ἀθηναίους καταφεύγων, διὰ συμμαχίαν, ὁ δὲ, ἀφιστάμενος πρὸς λακεδαιμονίους, οὐχ ὑπὲρ ἑαυτῶν τοσοῦτον δοκοῦσι ποιεῖσθαι λόγον, ὅσον ὑπὲρ τοῦ συμφέροντος τῶν ἀκροωμένων. καὶ ὁ δημοσθένης δὲ τὸν πρότερον τῶν ὀλυνθιακῶν μεταχειριζόμενος, οὐχ ὡς ὑπὲρ ὀλυνθίων σπουδάζων προσποιεῖται λέγειν, ἀλλ᾽ ὑπὲρ αὐτῶν τῶν ἀκροατῶν, καὶ τοῦ συμφέροντος τῶν ἀθηναίων. καὶ τὴν μεταχείρισιν φαίνεται ὁ δημοσθένης ἐκ τῶν δύο δημηγοριῶν, ὡς ἔφην, εἰς ταύτην τὴν ὀλυνθιακὴν μεταστήσας. προσεκτικώτερος γὰρ ὁ ἀκροατὴς γίνεται, ὅταν ὑπὲρ οἰκείων ἀκούων καὶ τῶν αὐτῷ συμφερόντων συμβουλεύηται. ταύτῃ μὲν οὖν συγγενεστάτην πλεί-

τὴν στην ὁ λόγος ἔχει πρὸς ἐκείνας τὰς δημηγορίας κατά τινα μεταχείρισιν. οὔτε γὰρ τοσοῦτον οἱ κερκυραῖοι, οὔτε οἱ λέσβιοι δοκοῦσι ποιεῖσθαι τὸν λόγον ὑπὲρ τοῦ οἰκείου συμφέροντος, ὅσον ὑπὲρ τοῦ τῶν ἀκροωμένων· οὔτε μὴν ὁ δημοσθένης πεισάμενος, ὡς ὑπὲρ ὀλυνθίων τὸν λόγον βούλεται ποιεῖσθαι δοκεῖν, ἀλλ᾽ ὑπὲρ τοῦ κοινῇ συμφέροντος, καὶ τοῦ μέλλοντος συνοίσειν τῇ I
πόλει καὶ μὴν, καὶ τὴν πρόοδον τῶν κεφαλαίων, γεγυμνασμένην εὑρήσεις κατὰ ζῆλον τῶν κορινθίων δημηγορίας. καὶ γὰρ ἐν ἐκείνῃ βουλόμενος ὁ θουκυδίδης παροξῦναι τὸν ἀκροατὴν, οὐ τὴν δύναμιν αὔξει τῶν ἀθηναίων, ἀλλὰ τὴν προαίρεσιν αὐτῶν διαβάλλει, καὶ τὴν γνώμην, καὶ τὴν κακοήθειαν, μεθ᾽ ἧς ἐν τοῖς ἕλλησι πολιτεύονται. καὶ δημοσθένης δὲ τὸ αὐτὸ τοῦτο ποιῶν, 3
πανταχοῦ τὴν φιλοπραγμοσύνην θρυλεῖ, καὶ τὸ σπουδαίως, καὶ κατὰ καιρὸν ἀντιλαμβάνεσθαι τῶν πραγμάτων, ὅτι τῶν δυνάμεσιν, οὔτε τῇ ῥώμῃ περιπεθὲς μέγεθος, ὥστε τὸ κεφάλαιον τῷ κεφαλαίῳ πολλαχῶς παραπλήσιον εἶναι καὶ μὴν, καὶ τὸ ἀπὸ τοῦ καιροῦ παροξύνειν, θουκυδίδειον, καὶ τῆς αὐτῆς δημηγορίας. ἔχει δὲ πλείω ὁμοιότητα καὶ πρὸς δημηγορίας ὁμηρικὰς ὁ λόγος, ἃς ὀδυσσεὺς καὶ νέστωρ ἐν τῇ δευτέρᾳ ῥαψῳδίᾳ πρὸς τοὺς ἀχαιοὺς ποιοῦνται. ὁ μὲν ὅτι [illegible],

ὅτι οὐκ

ζῶν ἀπῆλθε). οὐχ ὁμοίως εἰς δύο μέρη διήρηκεν, εἰς τὸ δυνατὸν καὶ τὸ συμφέρον. καὶ γὰρ οἱ ἐπίλογοι ἀπὸ τῶν τελικῶν κεφαλαίων λαμβάνονται. καὶ τὸ μὲν δυνατόν, ἀπὸ τοῦ καιροῦ κατασκευάζει, ἀπὸ πρεσβείας τῶν ἀθηναίων τῆς πρὸς τοὺς ἕλληνας καὶ πρὸς τοὺς ὑπόπτως διακειμένους συμμάχους τοῦ μακεδόνος· ἀπὸ στάσεως αὐτῶν καὶ ἐξόδου· ἀπὸ τῆς ἀπίστου· ὅπερ ἐστὶν ἀπὸ γνώμης, πῶς ἂν φίλιππος διετέθη τούτου καιροῦ παραπεπτωκότος· ἀπὸ τῆς αἰχμῆς τῶν ἐκβαίνων αὐ· τὸ δὲ συμφέρον δίχα διήρηκεν, εἰς σύγκρισιν δύο πολέμων· τοῦ τε ἐπὶ θρᾴκης, καὶ τοῦ ἐπὶ τῆς ἀττικῆς, πείσεται, καὶ δηλοῖ τί κακὸν *πείσονται τὴν μακεδονίαν συμμαχοῦντες ὀλυνθίοις· ἵνα δὲ αὐτοὶ πείσοιντο κομισθέντος δεῦρο τοῦ πολέμου, μηδένων ὄντων τῶν κωλυόντων, μὴ φωκέων, μὴ θηβαίων· τῶν μέν, δι' ἀσθένειαν, τῶν δέ, διὰ δυσμένειαν. Οὐ γὰρ ὑπολαμβάνειν αὐτὴν χρὴ δεῖ τὴν ἔννοιαν τὴν ἀπὸ γνώμης τοῦ φιλίππου, ὥσπερ ὁ ζήνων εὐήθως ὑπείληφεν, ἀλλ' ἔστιν ἡ ἔννοια ἐπιλογικὴ τοῦ ἀναγκαίου. ἐπειδὴ γὰρ ἐν τοῖς ἔμπροσθεν κατεσκεύασε προσήκειν τῇ πόλει τὸν πόλεμον διὰ τοῦ δευτέρου. ἐπὶ τὴν ἀττικὴν γὰρ ἂν ἐλθεῖν τὸν φίλιππον λαβόντα τὴν ὄλυνθον· εἰκότως κἀνταῦθα ἐπιλογιζόμενος, τῶν αὐτῶν ἐμνήσθη. τοῦ χαλκιδικοῦ γὰρ ἀπολωλότος γένους, καὶ δύο καὶ τριάκοντα πόλεων ἠρημωμένων, τίνες ἔσονται λοιπὸν ἐμποδών; ἃ δὲ αὐτοὶ πείσονται οἱ ἀθηναῖοι γενομένου πρὸς αὐτοῖς τοῖς ὅροις τῆς ἀττικῆς τοῦ πολέμου, βουλόμενος αὐξῆσαι, δίχα διήρηκεν, εἴς τε τὰ τοῦ πολέμου, καὶ εἰς αὐτὸν τὸν πόλεμον, ἵνα ὑπομένουσι οἱ γεωργοῦντες, ἵνα δὲ καὶ ἡ χώρα, χηρωμένη αὐτῇ κατ' ἀνάγκην τοῦ στρατοπέδου τῶν ἀθηναίων πρὸς τὴν ὑπηρεσίαν τῶν ἀναγκαίων· ἵνα δὲ ἐργάσονται οἱ πολέμιοι καὶ ἀναγκαίως καὶ ὑβρίζοντες, *καὶ λέγοντες τὴν χώραν ὡς διπλοῦν περιίστασθαι τῇ ἀττικῇ πόλεμον, *τοῦτο μὲν παρὰ τῶν οἰκείων, *τοῦτο δὲ διὰ τῶν πολεμίων· ὧν ἀπαλλαγείς, ἀξιοῖ πᾶσαν ἡλικίαν, καὶ πᾶν *ἔθνος, καὶ εὐπόρους, καὶ ἀπόρους, καὶ ῥήτορας, ἀπωθεῖσθαι ἐπὶ τὴν θρᾴκην τὸν πόλεμον, δηλοῖς οὐ μικρὰ τὰ κέρδη, οὐδὲ τὰ διαφέροντα, ἐσόμενα πᾶσιν, εἰ τοῦτο γένοιτο. ἄξιον δὲ καὶ τὴν μεταχείρισιν θεωρεῖν, καὶ τὴν ποικιλίαν. προηγεῖται μὲν γὰρ ὁ τῆς συμβουλῆς λογισμός, ἕπεται δὲ ὁ τῆς προτροπῆς εὐθύς· ὥστε, κατὰ τοῦτο τὸ εἶδος πεπλέχθαι τὸν λόγον· ἐπειδὴ ὅπερ ἡ μὲν συμβουλή, λόγος ἐστὶν ὑποθετικὸς τῶν πραγμάτων· ἡ δὲ προτροπή, λόγος προάγων ἐφ' ὁμολογουμένας τὰς πράξεις. παραίνεσις δέ, λόγος ὑποθετικὸς καὶ προτρεπτικὸς τοῦ ἤθους τῶν πράξεων.

*πείσοντας
*ὑπὸ φλέγοντες
*τοῦτον
*τοῦτον
*γένος.

## ΕΛΕΓΧΟΣ ΤΩΝ ΛΟΓΩΝ, ΚΑΙ ΠΡΟΟΙΜΙΩΝ
*δημηγορικῶν, καὶ ἐπιστολῶν.*


| | |
|---|---|
| Ὀλυνθιακὸς λόγος πρῶτος. | 1 |
| ὀλυνθιακὸς λόγος δεύτερος. | 10 |
| ὀλυνθιακὸς λόγος τρίτος | 19 |
| κατὰ φιλίππου λόγος πρῶτος. | 29 |
| ὁ περὶ εἰρήνης λόγος. | 39 |
| κατὰ φιλίππου λόγος δεύτερος. | 44 |
| ὁ περὶ τῆς ἁλοννήσου λόγος. | 48 |
| ὁ περὶ τῶν ἐν χερρονήσῳ λόγος. | 54 |
| κατὰ φιλίππου λόγος τρίτος. | 65 |
| κατὰ φιλίππου λόγος τέταρτος. | 74 |
| ὁ πρὸς τὴν φιλίππου ἐπιστολὴν λόγος. | 88 |
| ἐπιστολὴ φιλίππου. | 92 |
| ὁ περὶ συντάξεως λόγος. | 55 |
| ὁ περὶ συμμοριῶν λόγος. | 103 |
| ὁ περὶ ῥοδίων ἐλευθερίας. | 111 |
| ὁ ὑπὲρ μεγαλοπολιτῶν λόγος. | 119 |
| ὁ περὶ τῶν πρὸς ἀλέξανδρον συνθηκῶν λόγος. | 125 |
| ὁ περὶ στεφάνου λόγος. | 131 |
| ὁ περὶ παραπρεσβείας λόγος. | 194 |
| ὁ πρὸς τὸν λεπτίνην λόγος. | 273 |
| ὁ κατὰ μειδίου λόγος. | 317 |
| ὁ κατὰ ἀνδροτίωνος λόγος. | 381 |
| ὁ κατὰ ἀριστοκράτους λόγος. | 401 |
| ὁ κατὰ τιμοκράτους λόγος. | 440 |
| κατὰ ἀριστογείτονος λόγος πρῶτος. | 482 |
| κατὰ ἀριστογείτονος λόγος δεύτερος. | 495 |
| κατὰ ἀφόβου λόγος πρῶτος. | 499 |
| κατὰ ἀφόβου λόγος δεύτερος. | 509 |
| ὁ πρὸς ἄφοβον ψευδομαρτυριῶν λόγος. | 513 |
| κατὰ ὀνήτορος ἐξούλης λόγος πρῶτος. | 521 |
| κατὰ ὀνήτορος λόγος δεύτερος. | 526 |
| παραγραφὴ πρὸς ζηνόθεμιν. | 529 |
| παραγραφὴ πρὸς ἀπατούριον. | 533 |
| ὁ πρὸς φορμίωνα ὑπὲρ δανείου λόγος. | 539 |
| ὁ πρὸς τὴν λακρίτου παραγραφὴν λόγος. | 546 |
| παραγραφὴ ὑπὲρ φορμίωνος. | 555 |
| παραγραφὴ πρὸς πανταίνετον. | 564 |
| παραγραφὴ πρὸς ναυσίμαχον καὶ ξενοπείθην. | 572 |
| ὁ πρὸς βοιωτὸν περὶ τοῦ ὀνόματος λόγος. | 576 |
| ὁ πρὸς βοιωτὸν ὑπὲρ προικὸς μητρῴας λόγος. | 582 |
| ὁ πρὸς σπουδίαν ὑπὲρ προικὸς λόγος. | 550 |
| ὁ πρὸς φαίνιππον περὶ ἀντιδόσεως λόγος. | 594 |
| ὁ πρὸς μακάρτατον περὶ τοῦ ἁγνίου κλήρου λόγος. | 5·9 |
| ὁ πρὸς λεωχάρην περὶ τοῦ κλήρου λόγος. | 612 |
| κατὰ στεφάνου ψευδομαρτυριῶν λόγος πρῶτος. | 621 |
| κατὰ στεφάνου ψευδομαρτυριῶν λόγος δεύτερος. | 633 |
| κατὰ εὐέργου καὶ μνησιβούλου ψευδομαρτυριῶν λόγος. | 638 |
| κατὰ ὀλυμπιοδώρου βλάβης λόγος. | 649 |
| ὁ πρὸς τιμόθεον ὑπὲρ χρέους λόγος. | 657 |
| ὁ πρὸς πολυκλέα περὶ τοῦ ἐπιτριηραρχήματος λόγ. | 666 |
| ὁ περὶ στεφάνου τῆς τριηραρχίας λόγος. | 676 |
| ὁ πρὸς κάλλιππον λόγος. | 679 |
| ὁ πρὸς νικόστρατον περὶ ἀνδραπόδων ἀπογραφῆς ἀρεθουσίου λόγος. | 683 |
| ὁ κατὰ κόνωνος αἰκίας λόγος. | 688 |
| ὁ πρὸς καλλικλέα περὶ χωρίου λόγος. | 694 |
| ὁ κατὰ διονυσοδώρου βλάβης λόγος. | 699 |
| ἔφεσις πρὸς εὐβουλίδην. | 706 |
| ἔνδειξις κατὰ θεοκρίνου | 716 |
| ὁ κατὰ νεαίρας λόγος. | 726 |
| ἐπιτάφιος λόγος. | 745 |
| ἐρωτικὸς λόγος. | 750 |
| προοίμια δημηγορικά. | 758 |
| ΕΠΙΣΤΟΛΑΙ. | |
| περὶ τῆς ὁμονοίας, ἐπιστολὴ πρώτη. | 777 |
| περὶ τῆς ἰδίας καθόδου, ἐπιστολὴ Β. | 779 |
| περὶ τῶν λυκούργου παίδων, ἐπιστολὴ Γ. | 781 |
| πρὸς τὰς θηραμένους βλασφημίας, ἐπιστολὴ Δ. | 787 |
| πρὸς ἡρακλεόδωρον, ἐπιστολὴ Ε. | 788 |
| πρὸς τοὺς ἀθηναίους, ἐπιστολὴ Ζ. | 789 |


ΛΙΒΑΝ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΛΙΒΑΝΙΟΥ ΣΟΦΙΣΤΟΥ ΥΠΟΘΕΣΙΣ
## ΤΟΥ ΟΛΥΝΘΙΑΚΟΥ ΠΡΩΤΟΥ ΛΟΓΟΥ.

ΟΛΥΝΘΟΣ ἦν πόλις ἐπὶ θρᾴκης· ἑλληνικὸν δὲ ταύτη τῶν ἐνοικούντων τὸ γένος ἀπὸ χαλκίδος τῆς ἐν εὐβοίᾳ· ἡ δὲ χαλκὶς ἀθηναίων ἄποικος. πολλοὶ δὲ πόλεμοι καὶ ἔνδοξοι τῆς ὀλύνθου. ἀθηναίοις τε γὰρ ἐπολέμησεν ἄρχουσι τῶν ἑλλήνων τὸ παλαιὸν, καὶ αὖθις λακεδαιμονίοις. χρόνῳ δὲ εἰς δύναμιν προῆλθε μεγάλην, καὶ τῶν συγγενῶν πόλεων ὑπερεῖχεν· ἦν γὰρ ἐπὶ θρᾴκης πολὺ τι γένος χαλκιδικόν. φιλίππῳ δὲ τῷ μακεδόνων βασιλεῖ συμμαχίαν οἱ ὀλύνθιοι ποιησάμενοι, καὶ πολεμοῦντες μετ' αὐτοῦ πρὸς ἀθηναίους κατ' ἀρχὰς, καὶ τοῦτο μὲν ἀνθεμοῦντα παρὰ τοῦ μακεδόνος εἰληφότες, πόλιν ἀμφισβητήσιμον* μακεδόσι καὶ ὀλυνθίοις· τοῦτο δὲ ποτίδαιαν, ἣν ἀθηναίων ἐχόντων ἐκπολιορκήσας ὁ φίλιππος, ὀλυνθίοις παρέδωκεν· ὕστερον ὑποπτεύειν ἤρξαντο τὸν βασιλέα, ὁρῶντες αὐτοῦ τάχιστα καὶ πολλὴν τὴν αὔξησιν, οὐ πιστὴν δὲ τὴν γνώμην. ἀποδημοῦντα δὲ τηρήσαντες αὐτὸν, πέμψαντες πρέσβεις πρὸς ἀθηναίους, κατελύσαντο τὸν πρὸς αὐτοὺς πόλεμον, ποιοῦντες τοῦτο παρὰ τὰς συνθήκας τὰς πρὸς φίλιππον" συνετέθειτο γὰρ καὶ κοινῇ πολεμεῖν πρὸς ἀθηναίους, κἂν ἄλλο τι δόξῃ, κοινῇ σπείσασθαι. ὁ δὲ φίλιππος, πάλαι μὲν προφάσεως ἐπ' αὐτοὺς δεόμενος, τότε δὲ ταύτην λαβὼν, ὡς τὰς συνθήκας παραβεβηκόσι, καὶ πρὸς τοὺς ἐχθροὺς τοὺς ἑαυτοῦ φιλίαν ἐσπεισμένοις, πόλεμον ἐπήνεγκεν. οἱ δὲ πεπόμφασι πρέσβεις εἰς" ἀθήνας περὶ βοηθείας· οἷς ὁ δημοσθένης συναγορεύει, βοηθεῖν κελεύων τοῖς ὀλυνθίοις· καί φησι τὴν ὀλυνθίων σωτηρίαν, ἀσφάλειαν τὴν ἀθηναίων εἶναι· σωζομένων γὰρ τῶν ὀλυνθίων, οὐδέποτε ἥξειν εἰς τὴν ἀττικὴν φίλιππον, ἀλλὰ τοῖς ἀθηναίοις ἐξουσίαν ἔσεσθαι πλεῖν ἐπὶ τὴν μακεδονίαν, κἀκεῖ ποιεῖσθαι τὸν πόλεμον. εἰ δὲ ὑπὸ φιλίππῳ" γένοιτο ἡ πόλις" αὕτη, ἀνεῖσθαι τὴν ἐπὶ τοὺς ἀθηναίους ὁδὸν τῷ βασιλεῖ. φησὶ δὲ" δυσμαχον εἶναι τὸν φίλιππον· οὕτως ὑπείληπται θαρσοῦντας ἐπ' αὐτὸν τοὺς ἀθηναίους. διείλεκται δὲ καὶ περὶ τῶν δημοσίων χρημάτων, συμβουλεύων αὐτὰ ποιῆσαι στρατιωτικὰ ἀντὶ θεωρικῶν. καὶ τὸ ἔθος οὐ πρόδηλον ὂν, ᾧ ἐχρῶντο οἱ ἀθηναῖοι, ἀνάγκη σαφηνίσαι. οὐκ ὄντος τὸ παλαιὸν θεάτρου λιθίνου" παρ' αὐτοῖς, ἀλλὰ ξυλίνων συμπηγνυμένων ἰκρίων, καὶ πάντων καταλαμβάνειν τοὺς τόπους σπευδόντων, πληγαί τε ἐγίνοντο, καί που καὶ τραύματα. τοῦτο κωλῦσαι βουληθέντες οἱ προεστῶτες τῶν ἀθηναίων, ὠνητοὺς ἐποιήσαντο τοὺς τόπους· καὶ ἕκαστον ἔδει διδόναι δύο ὀβολοὺς, καὶ "καταβαλόντα, θέαν ἔχειν. ἵνα δὲ μὴ δοκῶσιν οἱ πένητες τῷ ἀναλώματι λυπεῖσθαι, ἐκ τοῦ δημοσίου λαμβάνειν ἕκαστον ἐτάχθη τοὺς δύο ὀβολούς. ἐντεῦθεν μὲν οὖν τὸ ἔθος ἤρξατο· προῆλθε δὲ εἰς" τοσοῦτον, ὥστε οὐκ εἰς" τοῦτο μόνον ἐλάμβανον, ἀλλὰ ἁπλῶς πάντα τὰ δημόσια χρήματα διενέμοντο. ὅθεν καὶ περὶ τὰς στρατείας" ὀκνηροὶ κατέστησαν. πάλαι μὲν γὰρ στρατευόμενοι, μισθὸν παρὰ τῆς πόλεως ἐλάμβανον· τότε δὲ, ἐν ταῖς θεωρίαις καὶ ταῖς ἑορταῖς οἴκοι μένοντες, διενέμοντο τὰ χρήματα. οὐκ ἔτι οὖν ἤθελον ἐξιέναι καὶ κινδυνεύειν. ἀλλὰ καὶ νόμον ἔθεντο περὶ τῶν θεωρικῶν τούτων χρημάτων, θάνατον" ἀπειλοῦντα τῷ γράψαντι μεταθεῖναι" ταῦτα εἰς τὴν ἀρχαίαν τάξιν, καὶ γενέσθαι στρατιωτικά. διὸ ὁ δημοσθένης εὐλαβῶς ἅπτεται τῆς περὶ τούτου συμβουλῆς, καὶ" ὑπερωτήσας ἑαυτὸν, ὅτι σὺ γράφεις ταῦτα εἶναι στρατιωτικά; * ἐπιφέρει, μὰ δί' οὐκ ἔγωγε." τοσαῦτα μὲν περὶ τῶν θεωρικῶν. διείλεκται δὲ ὁ ῥήτωρ καὶ περὶ πολιτικῆς δυνάμεως, ἀξιῶν αὐτοὺς στρατεύεσθαι, καὶ μὴ διὰ ξένων, ὥσπερ εἰώθεσαν, ποιεῖσθαι τὴν βοήθειαν· τοῦτο γὰρ αἴτιον εἶναί φησι τοῦ τὰ πράγματα ἀπόλλυσθαι.

ε. η. | προσεησάμενοι. ε. | καὶ. β. γ. | συνετέθειντο ε. η. | πρὸς ἀθηναίους. η. | γένηται. β. γ. ε. η. | αὐτῶν. η. | δυσμάχητον. ε. η. | παρὰ τὴν ἀγορὰν. η. | β. γ. | καταβαλόντα. β. γ. ε. καταλαβόντα. η. | τοῦτο. β. γ. ε. | τοὺς τόπους. ε η. | ὀκνηρῶς. γ. | ἐπαπειλ. ε. η. | τὰ αὐτά. ε η | ὑπερωτᾷ. η. | ἐπερωτᾷ. ε. | καὶ. ε. η. | ταῦτα. β. γ.

## ΔΗΜΟΣΘΕΝΟΥΣ ΟΛΥΝΘΙΑΚΟΣ ΛΟΓ. Α.

α. ε. θ. ΑΝΤΙ πολλῶν ἂν, ὦ ἄνδρες ἀθηναῖοι, χρημάτων ὑμᾶς ἑλέσθαι νομίζω, εἰ φανερὸν γένοιτο τὸ μέλλον συνοίσειν τῇ πόλει, περὶ ὧν* νυνὶ σκοπεῖτε. 1
ὑμεῖς. θ. ὅτε τοίνυν τοῦθ' οὕτως ἔχει, προσήκει προθύμως ἐθέλειν ἀκούειν τῶν βουλομένων συμβουλεύειν· 2
χρ. ἥκοι. θ. οὐ γὰρ μόνον εἴ τι χρήσιμον ἐσκεμμένος" ἥκει τις, τοῦτ'

### ΟΥΛΠΙΑΝΟΥ ΡΗΤΟΡΟΣ ΕΞΗΓΗΣΙΣ, καὶ σχόλια, εἰς τὸν ὀλυνθιακὸν α.

ΑΝΤΙ πολλῶν ἂν) Ἐκ πλαγίου ἔπαινος τῶν ἀκροατῶν, χρηστοῦ ὑποκειμένου πράγματος· καὶ ἔστι πρῶτος τόπος τῶν ἐξ ὑπολήψεως. 1
σύντομον δὲ τὸ προοίμιον, ἀλλὰ τὴν τῶν πραγμάτων χρείαν. ἔστι δὲ ἠθικὸν ὁμοῦ καὶ πραγματικὸν τὸ προοίμιον· τὸ μὲν γὰρ ἐν τῇ λέξει μέτριον καὶ ἐπιεικὲς ἦθος ἔχον, εὔνουν ποιεῖ τὸν ἀκροατὴν, καὶ παθητικὸν ἀπεργάζεται τὸν λόγον. ἡ δὲ λύσις τῶν ἀντιπιπτόντων, καὶ ἡ σπερματικὴ τῶν κεφαλαίων ἐπαγωγὴ, πραγματικὸν ποιεῖ τὸ προοίμιον· ἴδιον γὰρ μάλιστα δημοσθένους καὶ θουκυδίδου, μὴ μόνον ἀπὸ τῶν συναγωνιζομένων αὐτοῖς κεφαλαίων ποιεῖσθαι τὰ προοίμια, ἀλλὰ καὶ τὰ ὑφορμοῦντα εὐθὺς ἐν ἀρχῇ θεραπεύειν· τεχνικῶς σφόδρα καὶ δεινῶς· αἱρεθέντων γὰρ τῶν ἀντιπιπτόντων καὶ τῶν ὑφορμούντων ἐν τῇ γνώμῃ τῶν ἀκροατῶν, * τὸ λοιπὸν, τὰ μηδεμίαν ἀντίρρησιν ἐπιδεχόμενα. τὸ μὲν οὖν προοίμιον πλέκεται ἀπὸ τοῦ συμφέροντος κεφαλαίου καὶ τοῦ δυνατοῦ· καὶ γὰρ ὁ σύμπας λόγος, ἀπὸ τῶν αὐτῶν προῆκται. λυπῶν δὲ ἦν αὐτὸν τὸ κατὰ τὰ χρήματα τὰ θεωρικά· διὸ καὶ ἐν ἀρχῇ λεληθότως κατασκευάζει τοὺς ἀκροατὰς καταφρονεῖν χρημάτων. μεθ' ὑπερβολῆς δὲ ἐχρήσατο τῷ νοήματι, οὐχ ἁπλῶς χρημάτων εἰπὼν, ἀλλὰ καὶ πολλῶν· εἰ γὰρ πολλῶν χρημάτων σύνηθες ὑμῖν καταφρονεῖν, πολλῷ μᾶλλον τῶν ὀλίγων. νομίζω δὲ, εἶπε, καὶ οὐ πέπεισμαι, ὅτι τὸ μὲν ἠθικὸν ὂν, εἰς συγκατάθεσιν ἄγει τὸν ἀκροατήν· τὸ δὲ ἀπόφασιν ἔχον, φιλόνεικον αὐτὸν μᾶλλον καθίστησιν. ὁ δὲ τοῦ· εἴ τις ὑμῖν προέτεινε χρήματά τε καὶ τὸ συμφέρον, εὐθὺς ἂν ἡρπάσατε ἀντὶ πολλῶν χρημάτων τὸ συμφέρον. ζη-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τοιοῦτον καιρὸν οἷος νῦν ἡμῖν ἐστὶ κατ' ἐκείνου ὁ πόλεμος γένοιτο πρὸς τῇ χώρᾳ τῇ ἡμετέρᾳ, καθάπερ νῦν τῇ ἐκείνου· ἡ γὰρ ὄλυνθος γείτων αὐτῷ. ἐὰν τοιαῦται, φησίν, αὐτῷ προσγένοιντο πολλαὶ εὐπορίαι, οἵαι νῦν ἡμῖν· καὶ πάλιν, εἰ πόλεμόν τινα σχοίημεν ὅμορον, ὡς αὐτός νῦν ἔχει τὸν τῇ ὀλύνθῳ γειτνιάζοντα. Εἶτ' οὐκ αἰσχυνέσθε) Ἡ περίοδος ἐπιτιμητική, ἢ ἐστι μονόκωλος, φησὶν ἑρμογένης. ἀσαφὲς δ' εἶναι δοκεῖ τὸ χωρίον· ἄδηλον γὰρ τίνι χρὴ προσνεῖμαι τὸ ταῦτα ποιῆσαι· πότερον τοῖς ἀθηναίοις, ἢ τῷ φιλίππῳ· δοκεῖ γὰρ ἐφ' ἑκατέρων ἁρμόζειν. χρὴ οὖν ἐπὶ τῶν τοιούτων ἀσαφῶν καὶ ἐπαμφοτερίζειν δοκούντων, ἐκ τοῦ τέλους ἐπὶ τὴν ἀρχὴν ἀνιέναι· λυθήσεται γὰρ οὕτως ἡ ἀσάφεια· οἷον ἐπὶ τοῦ παρόντος, εὐθὺς κάτωθεν ἀρξάμενος λέγε, οὐ τολμήσετε καιρὸν ἔχοντες ταῦτα ποιῆσαι ἃ πάθοιτε ἄν, εἰ δύναιτο ἐκεῖνος; τὸ γὰρ πρότερον ἐπ' ἀμφοτέρων λέγεσθαι δοκοῦν, ἐκεῖ ἐφ' αἱ περὶ τῶν ἀθηναίων εἰρημένον. Εἰ μὴ δ' ἃ πάθοιτ' ἄν) Τὸ μὴ περισσόν. ἢ τὸ εἰ μὴ, εἰς τό, οὐ τολμήσετε. Ἔτι τοίνυν) Μετάβασις ἐπὶ τὸ ἀναγκαῖον. ὥσπερ δὲ τὸ συμφέρον εἰς δύο τέμνεσθαι φαμὲν, εἴς τε αὐτὸ τὸ συμφέρον, καὶ τὸ ἀναγκαῖον· οὕτω καὶ τὸ δυνατὸν, εἴς τε αὐτὸ τὸ δυνατὸν ἁπλῶς καὶ τὸ ῥᾴδιον, καὶ εἰς τὸ ἀναγκαῖον· ὅπερ ἐν τούτῳ τῷ χωρίῳ νῦν ἐξετάζεσθαι φαμέν· δίδωσι γὰρ τοῖς ἀθηναίοις αἵρεσιν, ποῦ χρὴ πολεμεῖν· καὶ τὸν μὲν ἐν μακεδονίᾳ πόλεμον, εὔκολον δείκνυσι· τὸν δὲ ἐπὶ τῆς ἀττικῆς, χαλεπὸν καὶ φοβερόν. Τὴν ὑπάρ- 35
χουσ) Ἤγουν, ἡμετέραν. Μὴ λίαν) Φοβοῦμαι ἔξωθεν.

ἐμβαλοῦσιν ἑτοίμως. ἀλλὰ Φωκεῖς; οἱ τὴν οἰκείαν οὐχ οἷοί τε 36
ὄντες φυλάττειν, ἐὰν μὴ βοηθήσηθ' ὑμεῖς. ἢ ἄλλος τις; ἀλ-
λ' ὦ τᾶν οὐχὶ βουλήσεται. τῶν ἀτοπωτάτων μέντ' ἂν εἴη, εἰ ἃ
νῦν ἄνοιαν ὀφλισκάνων, ὅμως ἐκλαλεῖ, ταῦτα δυνηθεὶς
μὴ πράξει. ἀλλὰ μὴν ἡλίκα γ' ἐστὶ τὰ διάφορα ἐν-
θάδε ἢ ἐκεῖ πολεμεῖν, οὐδὲ λόγου προσδεῖν ἡγοῦμαι·
εἰ γὰρ ὑμᾶς δεήσειεν αὐτοὺς τριάκοντα ἡμέρας μόνας ἔξω 37
γενέσθαι, καὶ ὅσα ἀνάγκη στρατοπέδῳ χρωμένους, τῶν ἐκ
τῆς χώρας λαμβάνειν, μηδενὸς ὄντος ἐν αὐτῇ πολεμίου
λέγω, πλέον ἂν οἶμαι ζημιωθῆναι τοὺς γεωργοῦντας ὑ-
μῶν, ἢ ὅσα εἰς ἅπαντα τὸν πρὸ τοῦ πόλεμον δεδαπάνη-
σθε. εἰ δὲ δὴ πόλεμός τις ἥξει, πόσα χρὴ νομίσαι ζημιωθή-
σεσθαι, καὶ πρόσεσθ' ἡ ὕβρις· καὶ ἔτι ἡ τῶν πραγμάτων αἰ- 38
σχύνη, οὐδεμιᾶς ἐλάττων ζημία, τοῖς γε σώφροσι. πάν-
τα δὴ ταῦτα δεῖ συνιδόντας ἅπαντας, βοηθεῖν καὶ ἀπωθεῖν
ἐκεῖσε τὸν πόλεμον· τοὺς μὲν εὐπόρους, ἵν' ὑπὲρ τῶν πολλῶν
ὧν καλῶς ποιοῦντες ἔχουσι, μικρὰ ἀναλίσκοντες, τὰ λοι-
πὰ καρπῶνται ἀδεῶς· τοὺς δ' ἐν ἡλικίᾳ, ἵνα τὴν τοῦ πολε-
μεῖν ἐμπειρίαν ἐν τῇ τοῦ Φιλίππου χώρᾳ κτησάμενοι, 39
φοβεροὶ φύλακες τῆς οἰκείας ἀκεραίου γένωνται· τοὺς δὲ λέγον-
τας, ἵν' αἱ τῶν πεπολιτευμένων αὐτοῖς εὔθυναι ῥᾴδιαι γένων-
ται. ὡς ὁποῖ' ἄττ' ἂν ὑμᾶς περιστῇ τὰ πράγματα, τοιοῦ-
τοι κριταὶ καὶ τῶν πεπραγμένων αὐτοῖς ἔσεσθε. χρηστὰ δ'
εἴη, παντὸς εἵνεκα.

Margin notes (left): γ. — ἡμᾶς.θ. — μηδενός.ε.η.θ. — πολέμου.η. — ἡμῶν.β.η.θ — νομίζειν.η.θ. — προσέσθ'.α.θ. — ζημίας.α.θ — συνειδότας.ε.η.θ. — ἃ.ε.η.θ. — ἐμπειρίαν.θ. — α.γ.ε.θ. — ἐκ.α. — πολιτευομένων.ε. — ἡμᾶς.η. — α.ε.η.θ.

Συνεμβαλοῦσι) Οἱ πολέμιοι εἰσελεύσονται εἰς τὴν πόλιν. Ἀλλ' ὦ τᾶν) 36 Ἀνθυποφορὰ στοχαστική· ἣν λύει ἐκ τεκμηρίων. τὸ δὲ ὦ τᾶν, δύο μέρη λόγου εἰσίν· ὦ καὶ ἐτᾶν, ὅ ἐστιν, ὦ ἑταῖρε. Οὐχὶ βουλήσεται) Ὁ φίλιππος δηλονότι. Εἰ ἃ νῦν) Τὸ ἐφ' ὑμᾶς ἐλθεῖν. Ὅμως ἐκλαλεῖ) Ὅτι ἔρχομαι ἐπὶ τὴν ἀττικήν. ἆρα ἐὰν δυνηθῇ ταῦτα ποιῆσαι, οὐ πράξει; ζητητέον δὲ, πῶς ἐν τοῖς ἄνω δεινὸν αὐτὸν καλέσας, καὶ εἰδότα χρήσασθαι πράγμασιν, ἐνταῦθα μωρὸν ἀποκαλεῖ. λέγομεν ὅτι ἀπὸ πολλῆς ἐπιθυμίας τοῦ βούλεσθαι αὐτὸν ἐπὶ τὴν ἀττικὴν ἐλθεῖν, ποιεῖ αὐτὸν μὴ δυνάμενον ἑαυτοῦ κατασχεῖν, ἀλλὰ τὴν ἐπιθυμίαν ἐκλέγοντα. Οὐδὲ λόγου) Οὐ δεῖ γάρ φησι, τὰ ὁμολογούμενα κατασκευάζειν· καὶ δύο κακῶν προκειμένων κακὸν γὰρ ὁ πόλεμος· αἱρεῖται τὸ ἧττον. Ἔξω γενέσθαι) Οὐχ ἁπλῶς ἔξω τῆς πόλεως, ἀλλ' ἔξω τῆς χώρας ἐν τῇ μακεδονίᾳ. 37 Γεωργοῦντας) Οὐχ ἁπλῶς τοὺς σκάπτοντας τὴν γῆν, ἀλλὰ καὶ τοὺς κεκτημένους ἀγρούς. Τὸν πρὸ τοῦ πόλεμον) Τὸν περὶ ἀμφίπολιν φησιν, ἐς ὃν χίλια διακόσια τάλαντα ἀνηλώθη. Πρόσεσθ') Τῇ ζημίᾳ προσφρόνησις. 38 Σώφροσι) Τοῖς συνετοῖς, τοῖς σώζουσι τὴν φρόνησιν. Πάντα δὴ ταῦτα) Ἐντεῦθεν ὁ ἐπίλογος. ἐκ τοῦ συμφέροντος κεφαλαίου τοὺς ἐπιλόγους εἴληφε· δεῖ γὰρ ἐκ τῶν ἰσχυρῶν ἀεὶ καὶ τῶν συνεκτικῶν, τὰς ἀνακεφαλαιώσεις καὶ τοὺς ἐπιλόγους λαμβάνειν. Ἐκεῖσε) Εἰς τὴν μακεδονίαν.

Τοὺς δ' ἐν ἡλικίᾳ) Τοὺς δυναμένους ὅπλα φέρειν καὶ μάχεσθαι, τοὺς νεωτέρους· ἡλικία γὰρ ἐξαιρέτως ἐπὶ τῶν νεωτέρων· ἐν αὐτῇ γὰρ πάντα πράττειν δυνάμεθα. τοὺς δὲ ἔξω τῆς ἡλικίας, ἤτοι τοὺς γέροντας. Τοὺς δὲ λέγοντας) Ἤτοι τοὺς ῥήτορας. 39
Εὔθυναι) Ἀπολογίαι καὶ κρίσεις φανεραὶ καὶ κάλλισται γένωνται. Αὐτοῖς) Τοῖς λέγουσι. Χρηστὰ δ' εἴη) Εὐχὴν προστίθησι τῇ συμβουλῇ, ὅτι, εἰ καὶ γένοιτο, φησὶ, χρηστὰ, καὶ προβαίη καλῶς διὰ πάντας, ὅτι διὰ τοὺς πλουσίους, τοὺς νέους, τοὺς ῥήτορας.

Margin notes (right): ταῦτα.α. — νεωτέρους.α.

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΟΛΥΝΘΙΑΚΟΥ ΔΕΥΤΕΡΟΥ.

ΠΡΟΣΗΚΑΝΤΟ μὲν τὴν πρεσβείαν τῶν ὀλυνθίων οἱ ἀθηναῖοι, καὶ βοηθεῖν αὐτοῖς κεκρίκασι· μέλλουσι δὲ περὶ τὴν ἔξοδον, καὶ δεδιόσιν ὡς δυσπολεμήτου ὄντος τοῦ φιλίππου, παρελθὼν ὁ δημοσθένης, πειρᾶται θαρσύνειν τὸν δῆμον, ἐπιδεικνὺς ὡς ἀσθενῆ τὰ τοῦ μακεδόνος πράγματα· καὶ γὰρ τοῖς συμμάχοις ὕποπτον αὐτὸν εἶναι φησὶ, καὶ κατὰ τὴν ἰδίαν δύναμιν οὐκ ἰσχυρόν· τοὺς γὰρ μακεδόνας, ἀσθενεῖς εἶναι καθ' ἑαυτούς.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΕΞΗΓΗΣΙΣ ΚΑΙ ΣΧΟΛΙΑ.

1 ΕΠΙ πολλῶν μὲν ἄν τις) Δεύτερος τύπος τῶν ἐκ τῆς διαιρέσεως προοιμίων ἐξ ἀορίστου ἢ προλήψεως τὸ σχῆμα τοῦ λόγου εἰρηκώς· γὰρ τὸ ἐπὶ πολλῶν ἀόριστον, ἐπήγαγεν ὡρισμένον τὸ περὶ τῶν Ὀλυνθίων. ὅμοιον τούτῳ τὸ εἰς τὸν ἅγιον βασίλειον, τὸ ἐξ ὀλίγου προοίμιον. τοῖς γὰρ προσώποις καὶ περὶ τῶν πραγμάτων ἴδια, παρακολουθοῦσιν αἱ προλήψεις. ἡ μὲν ὑπόθεσις τοῦδε τοῦ λόγου, καὶ τὰ κεφάλαια, παραπλήσια τῷ πρὸ τοῦ· διενήνοχε δὲ κατ' ἐκεῖνο μόνον, ὅτι ἐν μὲν τῷ προτέρῳ ζητεῖται εἰ χρὴ βοηθεῖν τοῖς Ὀλυνθίοις· ἐν δὲ τούτῳ, τὸ μὲν βοηθεῖν, ἤδη δέδεικται· τὴν δὲ ῥώμην ὀκνοῦσι τοῦ Μακεδόνος καὶ τὴν ἰσχὺν δεδίασι μάλιστα καὶ τὴν δημηγορίαν τοῦ ῥήτορος ἐπιποιεῖται· ὥστε πλεονάζει μὲν τῷ λόγῳ κεφάλαιον τὸ δυνατόν. τῶν δὲ κεφαλαίων, τὰ μὲν ἐκ τῆς ἀνακλήσεως τῆς τάξεως, οὐκ ὄντα πρὸς τὸ νόημα τοῖς ἀκροαταῖς, οὐδὲ ἐπιζητούμενα περὶ τῶν ἐξ ἀρχῆς. ἔνια δὲ εὐθὺς καὶ περὶ τῆς εἰσόδου ζητεῖται παρὰ τῶν ἀκροατῶν, πρὸς ἃ δεῖ τὸν ῥήτορα τὴν ἀπάντησιν εὐθὺς ἐκ προοιμίων ποιεῖσθαι. ὃ δὴ καὶ ἐνταῦθα γέγονε· τῆς γὰρ δυνάμεως τοῦ Μακεδόνος φοβούσης τοὺς Ἀθηναίους, ἐκ τῆς πρώτης ἐπιβολῆς, ἀναιρεῖν πειρᾶται τὸν φόβον, ἀντιτάσσων τῇ τοῦ Φιλίππου ῥώμῃ τὴν τῶν θεῶν συμμαχίαν. δεῖ γὰρ τοῖς ἰσχυροῖς τῶν ἀντιπάλων ἰσχυρότερα τὰ παρ' ἡμῶν ἀντιτιθέναι. δείκνυται δὲ ὢν δεύτερος οὗτος ὁ λόγος, ἐκ τῶνδε· ἐν γὰρ τῷ προτέρῳ περὶ τῆς τῶν θεῶν εὐνοίας ἀπόδειξις παρέσχεν, ἐνταῦθα ὡς ὁμολογούμενον ἔλαβεν. ἰστέον δὲ ὅτι φησὶ καὶ ὁ Φιλόχορος, ὅτι τρεῖς βοήθειαι ἐπέμφθησαν, καθ' ἕκαστον λόγον μιᾶς πεμπομένης, ὡς τῆς προτέρας μὴ οὔσης ἱκανῆς. κεφάλαιον δὲ, ἐν μὲν τῷ προτέρῳ, ἐπὶ πολὺ τὸ συμφέρον, ἐπ' ὀλίγον δὲ τὸ δυνατόν· ἐνταῦθα δὲ, τὸ ἐναντίον· πολὺ μὲν τὸ δυνατὸν, ὀλίγον δὲ τὸ συμφέρον.

*Margin:* προοιμιακοῦ .α. — ὅμοια .η. — προοιμίων .η. — πρότερος .η. — ἀπόδειξιν .η. — κεφάλαια .η.

## ΟΛΥΝΘΙΑΚΟΣ Β.

1 ΕΠΙ πολλῶν μὲν ἄν τις ἰδεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, δοκεῖ μοι, τὴν παρὰ τῶν θεῶν εὔνοιαν φανερὰν γιγνομένην τῇ πόλει· οὐχ ἥκιστα δὲ ἐν τοῖς παροῦσι πράγμασι. τὸ γὰρ τοὺς πολεμήσοντας Φιλίππῳ γεγενῆσθαι, καὶ χώραν ὅμορον καὶ δύναμίν τινα κεκτημένους, καὶ τὸ μέγιστον ἁπάντων, τὴν ὑπὲρ τοῦ πολέμου γνώμην τοιαύτην ἔχοντας, ὥστε τὰς πρὸς ἐκεῖνον διαλλαγὰς, πρῶτον μὲν ἀπίστους, εἶτα τῆς ἑαυτῶν πατρίδος νομίζειν ἀνάστασιν εἶναι, δαιμονίᾳ

3 τινὶ καὶ θείᾳ παντάπασιν ἔοικεν εὐεργεσίᾳ. δεῖ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτ' ἤδη σκοπεῖν αὐτούς, ὅπως μὴ χείρους περὶ ἡμᾶς αὐτοὺς εἶναι δόξομεν τῶν ὑπαρχόντων· ὡς ἔστι τῶν αἰσχρῶν, μᾶλλον δὲ τῶν αἰσχίστων, μὴ μόνον πόλεων καὶ τόπων ὧν ἦμέν ποτε κύριοι, φαίνεσθαι προϊεμένους, ἀλλὰ καὶ τῶν ὑπὸ τῆς τύχης παρασκευασθέντων συμμάχων τε καὶ καιρῶν.

4 τὸ μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν Φιλίππου ῥώμην διεξιέναι, καὶ διὰ τούτων τῶν λόγων προ-

ἐναντίον· πολὺ μὲν τὸ δυνατὸν, ὀλίγον δὲ τὸ συμφέρον. Ἐπὶ πολλῶν) Πρότασις. λείπει δὲ πραγμάτων. Ἐν τοῖς παροῦσι) Ἐν τῷ γενέσθαι ἡμῖν τὴν Ὀλυνθίων συμμαχίαν.

2 Τὸ γὰρ τοὺς πολεμήσοντας) Κατασκευὴ τῆς τοῦ προοιμίου προτάσεως. σημείωσαι δὲ ὅτι ἀπὸ τῆς ῥώμης καὶ γνώμης κατασκευάζει τὸν Φίλιππον· ἐπὶ ἀπὸ τῆς δυσμενείας τῶν θεῶν, καὶ ἀπιστίας πρὸς ἀνθρώπους καλλωπίζει Ἀθηναίους ἀπὸ τῆς εὐνοίας τῶν θεῶν καὶ πίστεως πρὸς ἀνθρώπους. Καὶ χώραν ὅμορον) Τῇ ἐκείνου. εἰ γὰρ καὶ εἶχον, φησί, δύναμιν, καὶ ἐζήτουν αὐτῷ πολεμεῖν, οὐκ ἂν ἠδύναντο, εἴ γε πόρρω που ᾤκουν αὐτοῦ. ὅρα δὲ πῶς ἀπὸ θεῶν ἀρξάμενος, δευτέραν ἔταξε τὴν τῶν Ὀλυνθίων συμμαχίαν. Δύναμίν τινα) Σύμμετρον καὶ μεγάλην.

3 Δαιμονίᾳ τινὶ καὶ θείᾳ) Ὁ μὲν διαλεκτικὸς φιλονεικεῖ πρὸς τὸ ἀντιλέγεσθαι· διὸ καὶ τῷ συμπεράσματι χρῆται, καθάπερ δείκνυσιν ὅτι φανερὰν ἐξήλεγξε. ῥήτωρ δὲ εἰ συλλογίζοιτο, φιλονεικότερον καθίστησι τὸν ἀκροατὴν καὶ οὐκ εὐάγωγον πρὸς πειθώ· διὸ καὶ τοῖς λεγομένοις ἐνθυμήμασι χρώμεθα, ἐν οἷς τὰς δύο προτάσεις εἰπόντες, τὸ συμπέρασμα σιωπῶμεν, ἐκείνῳ καταλιπόντες αὐτὸ προσεπινοεῖσθαι· βούλεται γάρ τι καὶ οἴκοθεν εἰς τὴν τῶν πραγμάτων εὕρεσιν ὁ ἀκροατὴς συμβαλέσθαι. νῦν δὲ ἀναγκαίως ὁ ῥήτωρ ἐχρήσατο τῷ συμπεράσματι· πρῶτον μὲν γὰρ ἡ κατασκευὴ τῆς προτάσεως διὰ πολλῶν γενομένη, ἀνάγκην ἐνεποίησεν αὐτῷ τὸ προτεθὲν εἰς ἀπόδειξιν διὰ τοῦ συμπεράσματος ἀναμνῆσαι. δεύτερον δὲ, ὅτι ἐν μὲν τοῖς ἀγῶσιν, εἰκότως τὸ συμπέρασμα σιωπῶμεν· πολλῶν γὰρ ἤδη καὶ προειρημένων καὶ μελλόντων λέγεσθαι, ῥᾳδίως ὁ ἀκροατὴς εὑρίσκει τὸ σιωπηθὲν ὑπὸ τοῦ ῥήτορος. ἐν δὲ προοιμίῳ μηδενὸς ἐρρηθέντος, οὐκ ἔχει πόθεν αὐτὸ προνοῆσαι τὸ λεῖπον. οὐδὲν δὲ διαφέρει τὸ δαιμόνιον τοῦ θείου παρὰ τοῖς ῥήτορσιν, ἀλλ' ἐκ παραλλήλου τὸ αὐτό. Δεῖ τοίνυν) Τοῦτό ἐστι τὸ συμπέρασμα τοῦ προοιμίου· δείξας γὰρ τοὺς θεοὺς εὔνους, καὶ τοὺς συμμάχους βεβαίους, καὶ τὸ δυνατὸν τῶν Ἀθηναίων αὐξήσας, καιρὸν ἔχει ἐπιτιμήσει χρήσασθαι· καί φησιν, ὅτι μὴ προδιδῶμεν γνώμεθα τῶν ὑπαρχόντων καὶ διδομένων ἡμῖν παρὰ τῶν θεῶν, καὶ δόξωμεν αὐτοί καὶ αὐτῶν τὰ χείριστα βουλεύεσθαι. Αὐτούς) Ἡμᾶς. Τῶν ὑπαρ-

4 χόντων) Ἡμῖν ἐκ θεῶν, ἤδη δώρων. Μᾶλλον δὲ) Προδιόρθωσις. Τὸ μὲν οὖν, ὦ ἄνδρες) Δεύτερον προοίμιον ἐκ προσοχῆς. Τὸ μὲν οὖν) Τὸ μὲν πρότερον προοίμιον ἀπὸ ἐπιχειρημάτων τοῦ δυνατοῦ ληφθὲν, σκοπὸν εἶχεν ἀπὸ τῆς προνοίας τῶν θεῶν τὸ δυνατὸν τῶν Ἀθηναίων αὐξῆσαι. τὸ δὲ δεύτερον περὶ τὰ τοῦ Φιλίππου δυνατοῦ τὴν ἐξέτασιν ἔχει καθαίρεσιν ἔχοντες δυνάμεως, ὅσην ἔξεστιν ἐν προοιμίοις ἐργάσασθαι. Ἄλλως. Τοῦτο τὸ σχῆμά ἐστι τὸ κατὰ παράλειψιν· οὐκ ἠβούλετο μὲν γὰρ τῇ δημηγορίᾳ τὴν δύναμιν ἐξετάσαι τοῦ Μακεδόνος ἡ αἰτία, ἵνα μὴ φοβήσῃ μᾶλλον τοὺς Ἀθηναίους.

*Margin:* φανερῶς .η. — γάρ τοι .η. — αὐτῷ .η. — .η. — αὐτὸ νοῆσαι .η.

ἀμυνεῖται ἡμᾶς ἐκεῖσε. Περιέσται) Ὅρα πῶς "ἐν τῷ δύο πόλεις εἰπών, ὅτι δυσχερῶς αὐτὰς "ἐλάμβανεν, ἐπὶ τῆς Ὀλύνθου εἶπε τὸ δυσχερές, διὰ τοῦ εἰπεῖν, τῷ χρόνῳ περιέσται, τὸ δυνατὸν Ὀλυνθίοις πραγματευόμενος. Περὶ δὲ χρημάτων) Μετῆλθεν ἐπὶ τὸ δυνατὸν κεφάλαιον. μερίζει δὲ τοῦτο εἰς δύο, εἴς τε χρημάτων εὐπορίαν, καὶ ἀνδρῶν δύναμιν. 26
Ὡς βούλεσθε) Πάλιν ἀποσιωπήσει ἐχρήσατο, ἀντὶ τοῦ εἰπεῖν, εἰς τὰς θέας καὶ πανηγύρεις αὐτὰ λαμβάνετε. Ἀποδώσετε) Καλῶς εἶπε τὸ ἀποδώσετε, καὶ οὐχὶ δώσετε· ἀποδίδωσι γάρ τις τὸ ἀλλότριον ἐκείνῳ οὗ οἶδεν ὂν τὸ πρᾶγμα· ὥστε ταῦτα, φησίν, οὐκ ἔστιν ὑμέτερα, ἀλλὰ τῶν στρατιωτῶν οἰκεῖα. Προσδεῖ πόρου) Ἐνδεῖσθαι μέν ἐστι τὸ παντελῶς μὴ ἔχειν· προσδεῖσθαι δέ, τὸ ἔχειν μὲν μέρος, ἔτι δὲ δεῖσθαι πρὸς τὸ πλεῖον. "φησὶν οὖν, ὅτι εἰ μὲν ἀποδώσετε τὰ χρήματα, οὐ μέλλετε προσδεῖσθαι διὰ τὸ ἀρκούντως ἔχειν· εἰ δὲ μή, προσδεῖσθε. εἶτα ἐπειδὴ ἔμφασίν τινα "ἔχει ὡς ἔστι καὶ ἄλλα ἐκτὸς τῶν θεωρικῶν, ἃ λαμβάνοντες, ὀλίγων προσδέονται, ἐπήγαγε τό, μᾶλλον δὲ παντὸς ἐνδεῖ *πόρου· ὡς εἰ μὴ ἀποδῶτε τὰ θεωρικά, παντελῶς ἀπορήσομεν.

λυνθον, ἀκινδύνως ὁρῶν ἔχοντα τὰ οἴκοι, προσκαθεδεῖ-
ται καὶ προσεδρεύσει τοῖς πράγμασι, *περιέσται τῷ χρό-
νῳ τῶν πολιορκουμένων. δεῖ δὴ πολλῆς καὶ δίχῃ τῆς βοη-
θείας εἶναι. καὶ περὶ μὲν τῆς βοηθείας ταῦτα γινώσκω· περὶ 26
δὲ χρημάτων πόρου, ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, χρήματα
ὑμῖν, ἔστιν ὅσα οὐδενὶ τῶν ἄλλων ἀνθρώπων στρατιωτικά.
ταῦτα δὲ ὑμεῖς, οὕτως ὡς βούλεσθε λαμβάνετε. εἰ μὲν οὖν
ταῦτα τοῖς στρατευομένοις ἀποδώσετε, οὐδενὸς ὑμῖν προσ-
δεῖ πόρου· εἰ δὲ μή, προσδεῖ· μᾶλλον "δὲ ἅπαντος ἐνδεῖ τοῦ
πόρου. τί οὖν ἄν τις εἴποι, σὺ γράφεις ταῦτ' εἶναι στρατιω- 27
τικά; μὰ Δί', οὐκ ἔγωγε. ἐγὼ μὲν γὰρ ἡγοῦμαι στρατιώτας
δεῖν κατασκευασθῆναι, καὶ ταῦτ' εἶναι στρατιωτικά, καὶ μί-
αν *σύνταξιν εἶναι τὴν αὐτήν, τοῦ τε λαμβάνειν, καὶ τοῦ ποιεῖν
τὰ δέοντα· ὑμεῖς δὲ οὕτω πως ἄνευ πραγμάτων *λαμ-
βάνετε εἰς τὰς ἑορτάς. ἔστι δὴ λοιπὸν οἶμαι πάντας εἰσφέ- 28
ρειν, ἂν πολλῶν δέῃ, πολλά· ἂν ὀλίγων, ὀλίγα. δεῖ "δὲ χρη-
μάτων, καὶ ἄνευ τούτων οὐδὲν ἔστι γενέσθαι τῶν δεόν-
των. λέγουσι δὲ "καὶ ἄλλους τινὰς ἄλλοι πόρους, ὧν "ἕλεσθε, ὅς
τις ὑμῖν "ἂν συμφέρειν δοκῇ· καὶ ἕως ἐστὶ καιρός, ἀντιλά-
βεσθε τῶν πραγμάτων. ἄξιον δὲ ἐνθυμηθῆναι καὶ λο-
γίσασθαι τὰ πράγματα, ἐν ᾧ καθέστηκε νυνὶ τὰ τοῦ Φι- 29
λίππου. οὔτε γὰρ ὡς δοκεῖ, καὶ φήσειέ τις ἄν, μὴ σκοπῶν ἀ-
κριβῶς, "εὐπρεπῶς, οὐδ' ὡς ἂν κάλλιστα αὐτῷ τὰ παρόντ' ἔ-
χει· οὔτ' ἂν ἐξήνεγκε τὸν πόλεμόν ποτε τοῦτον ἐκεῖνος, εἰ πο-
λεμεῖν ᾠήθη δεήσειν αὐτόν, ἀλλ' ὡς ἐπιών, ἅπαντα τότε
ἤλπιζε τὰ πράγματα ἀναιρήσεσθαι, κᾆτα διέψευσται.
τοῦτο δὴ πρῶτον αὐτὸν ταράττει παρὰ γνώμην γεγονός, 30
καὶ πολλὴν ἀθυμίαν αὐτῷ παρέχει· εἶτα, τὰ τῶν Θετταλῶν.

Τί οὖν ἄν τις εἴποι) Ἀνθυποφορὰ πάλιν. σύ, φησί, γράφεις τὰ θεωρικὰ εἶναι στρατιωτικά; εἶτα λύει, ὅτι συμβουλεύω μὲν*, οὐ γράφω δέ, τὸν κίνδυνον εἰδώς, καὶ τὸ εὐβουλεύεσθαι μὴ ἀγνοῶν. Ἐγὼ μὲν γὰρ ἡγοῦμαι) Ἐγὼ μὲν γάρ, φησίν, εἰς τοὺς στρατιώτας ἀναλωθῆναι φημί· ὑμεῖς δὲ εἰς τὰς ἑορτὰς λαμβάνετε. 27
Κατασκευασθῆναι) Ὡς παντελῶς "ἀλλοτριωθέντος τοῦ στρατιωτικοῦ παρὰ τοῖς Ἀθηναίοις, κατασκευασθῆναι εἶπεν, ὡς ἐπὶ κτημάτων παντελῶς διαφθαρέντων. ἀπὸ τοῦ πειθομένου δὲ εἶπε τὸ ποιοῦν. Στρατιωτικά) Οὐ γὰρ ἔχετε ὅθεν ἄλλοθεν αὐτοὺς μισθώσετε. Σύνταξιν) Σύνταξίς ἐστι δύο πραγμάτων ὥσπερ ἕνωσις. εἰώθασι δὲ οἱ παλαιοί, ἐπειδάν τι ἀσαφὲς οἰώμεθα λέγειν, διὰ τῆς ἐπαγωγῆς αὐτὸ λύειν, ὥσπερ καὶ ὁ ποιητὴς εἰπών, κύμβαχος, ἐπήγαγεν, ἐπὶ βρεχμόν τε καὶ ὤμους· καὶ πάλιν εἰπών, ἐντροπαλιζόμενος, ἔφη, γόνυ γουνὸς ἀμείβων· οὕτω καὶ ὁ ῥήτωρ εἰπών, σύνταξις, ἐπήγαγε τό, λαμβάνειν καὶ ποιεῖν τὰ δέοντα. Τὰ δέοντα) Νῦν γὰρ εἰς θέας λαμβάνοντες, οὐ δεόντως λαμβάνετε· εἰς δὲ τὸ στρατεύειν δοθέντα, δεόντως δοθήσεται. Ἔστι δὴ λοιπόν) Οὐδὲν ἔτι, φησίν, ὑπολείπεται, ἐὰν μὴ βούλησθε τὰ χρήματα τοῖς στρατιώταις ἀποδοῦναι, ἢ εἰσφέρειν ὑμᾶς ἀπὸ τῶν ἰδίων οὐσιῶν. οὐχ ὁρίζει δὲ τὴν ποσότητα, ἵνα μὴ λυπηρὸς δόξῃ, ἀλλὰ τὸν καιρόν, καὶ τὴν ἀνάγκην ἐποίησεν ὁρίζουσαν. Εἰσφέρειν) Εἰ μὴ τὰ θεωρικὰ στρατιωτικὰ ποιήσετε. Δεῖ δὲ χρημάτων) Ὡς εἰ ἔλεγεν, εἴτε πολλῶν, εἴτε ὀλίγων δεῖσθε; οὐκ ἐμὸν εἰπεῖν, ἀλλὰ τῆς χρείας· τοῦτο δὲ οἶδα, ὅτι πάντως χρῄζετε. Οὐδὲν ἔστι γενέσθαι) Εἴποι ἄν 28
τις, τί οὖν καὶ ἐν τῷ εὔχεσθαι δεόμεθα χρημάτων ἢ ἐν τῷ σωφρονεῖν, λέγομεν δέ, ὅτι πρὸς τὸ προκείμενον εἶπε, ἤτοι τὸν πόλεμον· ἀεὶ γὰρ ὁ πόλεμος χρημάτων δεῖται. Ἀντιλάβεσθε) Ἅψασθε. Ἄξιον δὲ ἐνθυμηθῆναι) Πληρώσας τὸ ἓν μέρος τοῦ δυνατοῦ, τουτέστι τὸ τῆς πόλεως, ἐντεῦθεν ἐπὶ τὸ ἕτερον μέρος ἐλήλυθε, τὸ τοῦ *Μακεδόνος· μὴ ἔχων γὰρ δεῖξαι τοῖς Ἀθηναίοις δυνατούς, καθὸ πολλοὺς ἀπώλεσε, τεχνικῶς ἐκ τοῦ ἐναντίου πειρᾶται κατασκευάσαι, ὅτι δύνανται τὴν Φιλίππου δύναμιν καθαιρεῖν. Οὔτε γὰρ ὡς δοκεῖ) Οὐχ οὕτως αὐτῷ ἔχει τὰ πράγματα "εὐπρεπῶς, οὐδ' ὥς τις νομίζει κάλλιστα. Τὰ παρόντα) Ἤγουν τὰ ἐν τῇ Ὀλύνθῳ. Τὸν πόλεμον) Πρὸς τοὺς Ὀλυνθίους. Αὐτόν) Τὸν πόλεμον. Τὰ πράγματα) Τὰ τῶν Ὀλυνθίων ἐκ μόνης τῆς θέας ἀναιρήσεσθαι. Κᾆτα διέψευσται) Καὶ εἶτα διέψευσται τῆς ἐλπίδος καὶ τῆς προσδοκίας· ἰδοὺ γὰρ πολεμοῦσιν αὐτῷ παρὰ τὴν αὐτοῦ προσδοκίαν. Εἶτα) Οὐκ εἶπεν οἱ Θετταλοί, ἀλλὰ τὰ Θετταλῶν πράγματα, ἵνα λέγῃ τὴν ἀπιστίαν, καὶ δηλώσῃ ὅτι ἀεὶ συζῶσιν αὐτῇ. Τὰ τῶν Θετταλῶν) Τα- 29 30

" ἐπὶ τῶν δύω πόλεων. α.
" ἔλαβεν. η. α.
" φησὶ δέ. η.
" παρέχειν. α.
* τοῦ. α.
" ἀποδώσετε. α.
* μόνον. θ.
" οὐκ. θ. α.
" ἀλλοτριωθέντος. α.
" δή. α.
* δυνατοῦ. α.
" εὐπρεπῶς. α. η.

* καί. θ.
" ε. θ.
" α. θ. ε.
" δεῖ. α. γ. ε.
" α. ε. η. θ.
" ε. η.
* τήν. θ.
* ταῦτα. α. ε.
" δή. α. γ. ε.
" τινὰς καὶ ἄλλους πόρους. θ.
" ἕλεσθε.
" συμφέρειν δοκεῖ. β. γ. η. θ.
" α. β. γ. ε. θ.
" εὐπρεπῶς.
" δή. ε.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

30 ρᾳθυμίᾳ αὐτόν. πράγματι δὲ ἀντὶ προσώπου ἐχρήσατο. Καὶ γὰρ παγασάς) Ἡ ἱστορία οὕτως· ἀλεύας ἀπόγονός τις τοῦ ἡρακλέους θετταλὸς, ἐτυράννησε θετταλῶν· εἶτα καὶ οἱ τούτου παῖδες. μὴ φέροντες οὖν τὴν τυραννίδα οἱ θετταλοὶ, καὶ ἀποροῦντες τί δεῖ ποιεῖν, μετεπέμψαντο εἰς συμμαχίαν τὸν φίλιππον. εἶτα ἐλθὼν ἐκεῖνος, ἐξέβαλε τοὺς ἀλευάδας ἐκ τῆς τυραννίδος· καὶ ὑπὲρ τούτου χάριν αὐτῷ ὁμολογοῦντες οἱ θετταλοὶ, δεδώκασιν αὐτῷ νέμεσθαι παγασὰς, καὶ τὰ χρήματα τὰ ἐκ τῶν λιμένων καὶ τῆς ἀγορᾶς. ἄπιστοι δὲ θετταλοὶ ἐνομίσθησαν, ἢ διὰ τὸ τὸν ἰάσονα θετταλὸν ὄντα, ἄπιστον ὀφθῆναι περὶ τὴν μήδειαν· ἢ ὅτι ἐν τῷ πελοποννησιακῷ πολέμῳ, ἐν αὐτῇ τῇ παρατάξει ἀπὸ ἀθηναίων πρὸς λακεδαιμονίους μετετάξαντο, ὥς φησιν ὁ θουκυδίδης. ἡ δὲ μαγνησία, χώρα τις ἦν πλησίον θετταλίας ὑπήκοος αὐτοῖς. ἔστι δὲ καὶ πόλις ὁμώνυμος αὐτῇ. χαριζόμενος οὖν τοῖς θετταλοῖς ὁ φίλιππος, ταύτην αὐτοῖς καταδουλώσατο ἀποστᾶσαν αὐτῶν. μετὰ δὲ ταῦτα φρούριον ᾠκοδόμησεν ἐν αὐτῇ τῇ πόλει τῶν μαγνήτων, ἵνα μὴ καὶ δεύτερον ἀποστῶσι. τὸ δὲ ἀληθὲς, κατ' αὐτῶν θετταλῶν. οἱ δὲ γνόντες αὐτὸ τοῦτο, ἐκώλυσαν αὐτὸν τειχίζειν. 31 Ἀπὸ τούτων) Ἤγουν, ἀπὸ τῶν ἐξ αὐτῶν προσόδων. Τοῖς ξένοις) Καὶ γὰρ οὐ μόνον μακεδόσιν, ἀλλὰ καὶ ξένοις ἐχρῆτο πρὸς τὴν στρατείαν.

Ἀλλὰ μὴν τόν γε) Δεῖξαι αὐτοῦ τὸ ἀσθενὲς ἀπὸ τῶν ἑλλήνων, βούλεται καὶ ἀπὸ τῶν βαρβάρων τὸ ὅμοιον ἐργάσασθαι. καὶ δι' αὐτῆς δὲ τῆς λέξεως ηὐτέλισε τὴν δύναμιν· οὐ γὰρ εἶπε πληθυντικῶς, ἀλλ' ἑνικῶς, παίονα καὶ τὸν ἰλλυριόν. 32 Ἥδιον ἂν) Παίονες καὶ ἰλλυριοὶ κατ' ἀνάγκην ὑπήκουον, καὶ ἄλλα τινὰ τῶν ἐθνῶν. Καὶ γὰρ ἀήθεις) Δεῖ προσέχειν τῇ λέξει· οὐ γὰρ εἶπεν ἀκούειν μόνον, ἀλλὰ κατακούειν, ὅπερ ἐστὶ πάνυ ὑπακούειν, ὥστε καὶ δούλους νομίζεσθαι. ὁ δὲ φίλιππος, φησὶν, ὑβριστὴς καὶ ἐπαχθής. Ἄπιστον) Αὐτὸ εἶναι τοιοῦτον. Τὸ γὰρ εὖ πράττειν) Γνωμικὴ περίοδος ἡ καὶ δίκωλος. ἐπειδή φησιν, οἱ παρ' ἀξίαν εὐτυχοῦντες, οὐ δύνανται φυλάξαι τὴν εὐτυχίαν διὰ τὸ πονηρὸν τῆς γνώμης, δεδώκασιν ἀφορμὴν τοῦ λέγειν, ὅτι δυσχερές ἐστι τὸ φυλάξαι μᾶλλον, ἢ πρὶν κτήσασθαι· ὅπερ 33 οὐκ ἔστιν ἀληθές. Τὸ φυλάξαι) Ἤγουν, τηρῆσαι ὡσαύτως ἔχειν, καὶ μὴ μεταβαλεῖν εἰς κακίαν. Τἀγαθὰ) Τὰ ἐπελθόντα τινί. Δεῖ τοίνυν ὑμᾶς) Παραβολὴ ἀπὸ τοῦ ἴσου. πληρώσας τὴν ἐξέτασιν τοῦ δυνατοῦ, καὶ σαθρὸν ἀποδείξας τὸν φίλιππον πανταχόθεν, εἰς προτροπὴν μετῆλθε. διενήνοχε δὲ προτροπὴ συμβουλῆς, ὅτι ἐν μὲν ταῖς συμβουλαῖς, καὶ τὸ ἀγαθὸν ὑπὲρ οὗ συμβουλευόμεθα, ἀμφισβήτησιν ἔχει· καὶ ὁ τρόπος δι' οὗ ἂν περιγενοίμεθα τῶν χρησίμων, ἀντίρρησιν ἐπιδέχεται. ἐν δὲ ταῖς προτροπαῖς καὶ τὸ ἀγαθὸν πρόδηλον, καὶ ὁ τρόπος. δεῖ δὲ γινώσκειν ὅτι ἐπιπλέκεται τοῖς εἴδεσι τούτοις τὰ ἀλλήλων· καὶ συμβουλευτικὰ ἐν προτροπαῖς, καὶ τοὐναντίον ἐν συμ[illegible]λαῖς προτρεπτικά. ἐκ δὲ τοῦ πλεονάζοντος ἐν τῇ ὑποθέσει, χρὴ τὸ εἶδος τοῦ λόγου χαρακτηρίζειν. Συνάρασθε) Ἔδει μὲν εἰπεῖν συνάρασθαι τοῖς πράγμασιν, ἀλλ' ἀττικῶς εἶπεν. ἡ δὲ σύνταξις, ὡς εἰ ἔλεγε, σὺν τῇ τύχῃ ἀγωνίζεσθαι ἐφ' ἃ δεῖ χωρεῖα. ἔστι δὲ μονόκωλος χοινοποιὸς περίοδος ἐν ὑπερβατῷ σχηματισθεῖσα. τὸ σχῆμα δὲ ἐπιτίμησις. τὸ δὲ συνάρασθαι, συλλαβεῖν καὶ ἁρπάσαι, συνάψασθαι. Πρεσβευομένους) Πρεσβεύεσθαι, φησὶν, ἐπὶ τοὺς ἀγνοοῦντας τὸν φίλιππον, ἵνα διδάξωσιν αὐτοὺς, μὴ πιστεύειν αὐτῷ· ἐπὶ δὲ τῶν εἰδότων μὲν, φε-34 βομένων δὲ, τῷ ἀγγέλλεσθαι ὑμᾶς ὅτι στρατεύεσθε, ἵνα παροξυνθῶσιν εἰς τὸ μηκέτι δεδιέναι αὐτόν. Λάβοι καθ' ἡμῶν)

ταῦτα γὰρ, ἄπιστα μὲν ἦν δήπου φύσει, καὶ ἀεὶ πᾶσιν ἀνθρώποις· κομιδῇ δ' ὥσπερ ἦν, καὶ ἔστι νῦν τούτῳ. καὶ γὰρ παγασὰς ἀπαιτεῖν αὐτόν εἰσιν ἐψηφισμένοι, καὶ μαγνησί-

31 αν κεκωλύκασι τειχίζειν. ἤκουον δ' ἔγωγέ τινων, ὡς οὐδὲ τοὺς λιμένας, καὶ τὰς ἀγορὰς ἔτι δώσοιεν αὐτῷ καρποῦσθαι· τὰ γὰρ κοινὰ τὰ θετταλῶν, ἀπὸ τούτων δέοι διοικεῖν, οὐ φίλιππον λαμβάνειν. εἰ δὲ τούτων ἀποστερηθήσεται τῶν χρημάτων, εἰς στενὸν κομιδῇ τὰ τῆς τροφῆς τοῖς ξένοις αὐτῷ καταστήσεται. ἀλλὰ μὴν τόν γε παίονα, καὶ τὸν ἰλλυριὸν, καὶ

32 ἁπλῶς τούτους ἅπαντας, ἡγεῖσθαι χρὴ αὐτονόμους ἥδιον ἂν καὶ ἐλευθέρους, ἢ δούλους εἶναι· καὶ γὰρ ἀήθεις τοῦ κατακούειν τινός εἰσι, καὶ ἄνθρωπος ὑβριστὴς, ὥς φασι. καὶ μὰ δί' οὐδὲν ἄπιστον ἴσως· τὸ γὰρ εὖ πράττειν παρὰ τὴν ἀξίαν, ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται· διόπερ

33 πολλάκις δοκεῖ τὸ φυλάξαι τἀγαθὰ, τοῦ κτήσασθαι χαλεπώτερον εἶναι. δεῖ τοίνυν ὑμᾶς, ὦ ἄνδρες ἀθηναῖοι, τὴν ἀκαιρίαν τὴν ἐκείνου, καιρὸν ἡμέτερον νομίσαντας, ἑτοίμως συνάρασθαι τὰ πράγματα, καὶ πρεσβευομένους ἐφ' ἃ δεῖ, καὶ στρατευομένους αὐτοὺς, καὶ παροξύνοντας τοὺς ἄλλους ἅπαντας, λογιζομένους ὡς εἰ φίλιππος λάβοι

34 καθ' ἡμῶν τοιοῦτον καιρὸν, καὶ πόλεμος γένοιτο πρὸς τῇ χώρᾳ, πῶς ἂν αὐτὸν οἴεσθε ἑτοίμως ἐφ' ἡμᾶς ἐλθεῖν. εἶτ' οὐκ αἰσχύνεσθε, εἰ μηδ' ἃ πάθοιτ' ἂν, εἰ δύναιτ' ἐκεῖνος, ταῦτα ποιῆσαι καιρὸν ἔχοντες, οὐ τολμήσετε; ἔτι τοίνυν, ὦ ἄνδρες ἀθηναῖοι, μηδὲ τοῦθ' ὑμᾶς λανθανέτω, ὅτι νῦν αἵρεσίς ἐστιν ὑμῖν, πότερον ὑμᾶς ἐκεῖ χρὴ πολεμεῖν, ἢ παρ' ὑ-

35 μῖν ἐκεῖνον· ἐὰν μὲν γὰρ ἀντέχῃ τὰ τῶν ὀλυνθίων, ὑμεῖς ἐκεῖ πολεμήσετε, καὶ τὴν ἐκείνου κακῶς ποιήσετε, τὴν ὑπάρχουσαν καὶ τὴν οἰκείαν, ταύτην ἀδεῶς καρπούμενοι· ἂν δ' ἐκεῖνα φίλιππος λάβῃ, τίς αὐτὸν ἔτι κωλύσει δεῦρο βαδίζειν; θηβαῖοι; μὴ λίαν πικρὸν εἰπεῖν ᾖ, καὶ συνεισ-

ὑπήκουσα. α.η.

ἦν. η.

εὐτέλισε. α.

φιλίππῳ. η.

ἀλλ' ἄττα. β

ὅ ἐστι. α.

ἄλλοις. η.

α. η.

σὺν προθέσει, α.

τὸ. α.

Τοιῦ-

γὰρ πολλὰ ἀπολωλεκέναι) Τὸ σχῆμα παρίσωσις κατὰ κῶλον. Μὴ πάλαι) Ἠγνοεῖν τοῖς προτέροις χρόνοις, ἀλλ᾽ ὕστερον ἡνίκα ἂν ἠμελήσαμεν.

πεφηνέναι τέ τινα ἡμῖν συμμαχίαν τούτων ἀντίρροπον, ἂν βουλώμεθα χρῆσθαι, τῆς παρ᾽ ἐκείνων εὐνοίας εὐεργέτημ᾽ ἂν ἔγωγε θείην. 15 ἀλλ᾽ οἶμαι παρόμοιόν ἐστιν, ὅπερ καὶ περὶ τῆς τῶν χρημάτων κτήσεως· ἂν μὲν γὰρ ὅσα ἄν τις λάβῃ καὶ σώσῃ, μεγάλην ἔχει τῇ τύχῃ τὴν χάριν· ἂν δ᾽ ἀναλώσας λάθῃ, συνανάλωσε καὶ τὸ μεμνῆσθαι τῇ τύχῃ τὴν χάριν, καὶ περὶ τῶν πραγμάτων οὕτως. 16 οἱ μὴ χρησάμενοι τοῖς καιροῖς ὀρθῶς, οὐδ᾽ εἰ συνέβη τι παρὰ τῶν θεῶν χρηστόν, μνημονεύουσι· πρὸς γὰρ τὸ τελευταῖον ἐκβὰν ἕκαστον τῶν προϋπαρξάντων ὡς τὰ πολλὰ κρίνεται. διὸ καὶ σφόδρα δεῖ τῶν λοιπῶν ἡμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, φροντίσαι, ἵνα ταῦτ᾽ ἐπανορθωσάμενοι τὴν ἐπὶ τοῖς πεπραγμένοις ἀδοξίαν ἀποτριψώμεθα. 17 εἰ δὲ προησόμεθα, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τούτους τοὺς ἀνθρώπους, εἶτ᾽ Ὄλυνθον ἐκεῖνος καταστρέψεται, φρασάτω τις ἐμοί, τί τὸ κωλῦον ἔτ᾽ αὐτὸν ἔσται βαδίζειν ὅποι βούλεται. ἆρά γε λογίζεταί τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ θεωρεῖ τὸν τρόπον, δι᾽ ὃν μέγας γέγονεν, ἀσθενὴς ὢν τὸ κατ᾽ ἀρχὰς Φίλιππος; 18 τὸ πρῶτον Ἀμφίπολιν λαβών, μετὰ ταῦτα Πύδναν, πάλιν Ποτίδαιαν, Μεθώνην αὖθις, εἶτα Θετταλίας ἐπέβη· μετὰ ταῦτα Φεράς, Παγασάς, Μαγνησίαν, πάνθ᾽ ὃν ἐβούλετο εὐτρεπίσας τρόπον, ᾤχετ᾽ εἰς Θρᾴκην· εἶτ᾽ ἐκεῖ τοὺς μὲν ἐκβαλών, τοὺς δὲ καταστήσας τῶν βασιλέων, ἠσθένησε. 19 πάλιν ῥᾴσας, οὐκ ἐπὶ τὸ ῥᾳθυμεῖν ἀπέκλινεν, ἀλλ᾽ εὐθὺς Ὀλυνθίοις ἐπεχείρησε. τὰς δ᾽ ἐπ᾽ Ἰλλυριοὺς καὶ Παίονας αὐτοῦ καὶ πρὸς Ἀρύββαν, καὶ ὅποι τις ἂν εἴποι, παραλείπω στρατείας. τί οὖν, ἄν τις εἴποι, ταῦτα λέγεις ἡμῖν νῦν; ἵνα γνῶτε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ αἴσθησθε ἀμφότερα, καὶ τὸ προΐεσθαι καθ᾽ ἕκαστον ἀεί τι τῶν πραγμάτων ὡς ἀλυσιτελές, 20 καὶ τὴν φιλοπραγμοσύνην ᾗ χρῆται καὶ συζῇ Φίλιππος, ὑφ᾽ ἧς οὐκ ἔστιν ὅπως ἀγα-

[Left margin:] κλημάτων. η. — συναναλωθήσεται. η. — προϋπαρξάντων. η. — ὑμᾶς. α. β. θ. — ἀεί. α. ε. η. θ. — α. β. ε. η. θ.

Συμμαχίαν) Τῶν θεῶν. Τούτων) Ὧν ἀπωλέσαμεν ἀντάξιον. τὸ δὲ ἀντίρροπον, πρὸς γενικήν· τὸ δὲ ἰσόρροπον, πρὸς δοτικήν. Ἀλλ᾽ οἶμαι) Παραβολή. Ἂν μὲν γὰρ) Ἀντιστροφή, τὸ σχῆμα κάλλους ποιητικόν. Οἱ μὴ χρησάμενοι) Ὥσπερ ἡμεῖς. Ἐκβὰν) Εἴτε χρηστόν, εἴτε φαῦλον. Ἐπανορθωσάμενοι) Εἰς ἐπανόρθωσιν ἀγαγόντες, λέγω δὴ τὸ σπουδὴν καὶ φροντίδα τούτων ποιεῖσθαι, ὅπερ ἐξ ἀρχῆς ἐς ἄκρον τῇ πόλει πεφυκός, νῦν ἠμελήθη· διὸ καὶ δεῖται ἐπανορθώσεως. Ἀποτριψώμεθα) Οἱονεὶ ἐκκαθαρώμεθα καὶ ἀποπλυνώμεθα· ὡς ἀπὸ μεταφορᾶς τῆς κηλῖδος, τῆς γινομένης ἀκαθαρσίας περὶ τὴν ἐσθῆτα. Φρασάτω τις) Πάλιν τὸ ἀξιόπιστον φρόνημα τηρῶν, εἶπεν ἐμοί, οἷον ὦ φιλόπολις. Ὅποι βούλεται) "Εὐφήμως εἶπε ταῖς Ἀθήναις, τῇ ἀποσιωπήσει πάλιν χρησάμενος. Μετὰ ταῦτα) Τὸ μετὰ ταῦτα, καὶ εἶτα, καὶ αὖθις, καὶ πάλιν, καὶ τὰ τοιαῦτα μόρια, βραδυτῆτα δείκνυσι· μιμεῖται γὰρ ἀεὶ τὴν τῶν πραγμάτων φύσιν καὶ διὰ τῆς λέξεως ὁ ῥήτωρ. καὶ βουληθεὶς ὑπτιότητα δεῖξαι καὶ ἀσθένειαν οὖσαν ἐν τοῖς Φιλίππου πράγμασιν, ὕπτιον καὶ τὸν λόγον ἐποίησε τῇ τῶν μορίων προσθήκῃ. τοῦ μὲν γὰρ αὔξοντος τὴν Φιλίππου δύναμιν, τὸ οὕτω προάγειν, Ἀμφίπολιν, Πύδναν, Ποτίδαιαν, Μεθώνην, Ἰλλυριούς, Θρᾴκην· ἡ γὰρ συνέχεια τῶν ὀνομάτων ἀκμὴν ἔχουσα, τὴν ὑπερβολὴν τῆς δυνάμεως δείκνυσιν, ὥσπερ οὐκ ἀρκοῦντος τοῦ χρόνου πρὸς τὰς τῶν πόλεων ἁλώσεις. τοῦ δὲ ὑπτιάζοντος, τὸ προάγειν ὡς ἐν ἰσορροπίᾳ τὸν λόγον, ὥστε καὶ ἡ δοκοῦσα τοῦ λόγου κακία, χρείαν τινὰ "κατορθοῦσα, θαυμαστὸν δείκνυσι τὸν ῥήτορα· τέχνης γάρ ἐστιν ἀκρίβεια τὸ ἐπιγνῶναι τὸν καιρὸν ἐν ᾧ τὸ προσῆκον ποιεῖν. Ἐπέβη) Τὸ ἐπέβη καὶ ἐπιβαίνω, πρὸς γενικήν· τὸ δὲ ἐπεμβατεύω καὶ ἐπιβατεύω πρὸς δοτικήν. Ὤχετ᾽ εἰς Θρᾴκην) Ἐπέστρεψε. Πάλιν ῥᾴσας) Οὐχ ὑγι-

[Right margin:] "Ταῖς Ἀθήναις ἐμφαίνεσθαι τῆς αὐτῆς ἀποσιωπήσεως. β. — "καιροφθοραι κα. η.

αίνας σημαίνει, ἀλλ᾽ ὥσπερ κουφότερον ἔχων ἐκ τοῦ νοσήματος, ἵνα τὴν "πολιτείαν δείξῃ τοῦ Μακεδόνος, καὶ τὸ μηδένα καιρὸν ἐθέλειν ἡσυχάζειν. 19 Ἰλλυριοὺς) Ἔθνη βάρβαρα περὶ Μακεδονίαν, ἵνα δείξῃ ὅτι οὐδὲ βαρβάρων "ἐφείσατο βάρβαρος ὤν. Πρὸς Ἀρύββαν) Οὗτος βασιλεὺς ἦν Μολοττῶν, Ὀλυμπιάδος δὲ τῆς τοῦ Φιλίππου γυναικὸς θεῖος. φησὶ δὲ ὅτι οὐδὲ συγγενῶν φείδεται, ἀλλὰ τὸ βούλεσθαι πάντων κρατεῖν ὁ Φίλιππος. Τί οὖν, ἄν τις εἴποι) Σπεύδοντες εἰς τὸ τί οὖν ἄν τις εἴποι, ἐπιφέρουσι, ταῦτα λέγεις ἡμῖν. τὸ σχῆμα αὐθυποφορά. διαφέρει δὲ αὐθυποφορὰ "ἀποθέσεως, καὶ ἀνθυποπίπτοντος. ἀνθυποπῖπτον μὲν γάρ ἐστιν, ὅταν εἰδὼς ὅτι μέλλει αὐτῷ τι ἀνθυποπεσεῖν ὡς ἄτοπόν τι λέγοντι, καὶ ἐπανορθῶνται ἑαυτὸν ἀπροσποιήτως, καὶ ὥσπερ λεληθότως. αὐθυποφορὰ δέ, ὅταν μέρος μὲν ὥσπερ καταδέχηται τοῦ λεγομένου ὁ ἀκροατής, ἀμφιβάλλῃ δὲ περὶ τὸ λοιπόν· ὡς ἐνταῦθα, ὥσπερ τινὸς λέγοντος, ὅτι καλῶς μὲν λέγεις ταῦτα, καὶ ἔχει τὸν Φίλιππον ἀκαίρως δέ· οὐδὲ γὰρ εἰσῆλθες καταλέγειν ἡμῖν τὰ τοῦ Φιλίππου πράγματα, ἀλλὰ τί δεῖ ποιῆσαι περὶ Ὄλυνθον. ἐπάγει*, ὅτι καὶ ταῦτα χρήσιμά ἐστι πρὸς τὴν παροῦσαν ὑπόθεσιν. ἀπόθεσις δέ, ὅταν ἀπό τινος κεφαλαίου ὁρμᾶται, οἷον ἀπὸ δικαίου, ἢ συμφέροντος, ἢ τινος τῶν τοιούτων. ἵνα δὲ μὴ προσκορῆ τὸν λόγον ἐργάζηται, ἀποτάδην λέγων, ἐπάγει ἵνα ἡδύνῃ διὰ τῆς πλάσεως τοῦ προσώπου τοῦ ἀντιλέγοντος, καὶ ἵνα ὥσπερ ἀπαγορευόμενος καὶ ἀναγκαζόμενος παρ᾽ ἄλλου, καὶ οὐκ ἀφ᾽ ἑαυ-

[Right margin:] "φιλοπονίᾳ. η. — "φείδεται. η. — "καὶ ἀπόθεσις, καὶ ἀποπίπτον. α. η. — *οὖν. η. — "ἄλλως καὶ ἐκεῖ. η.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

21 τοῦ ἐπιφέρειν δοκῇ τὴν ἐπιτίμησιν. Ἀγαπήσας) Ἀρκεσθείς. Τίς οὕτως εὐήθης) Τεχνικῶς τοῦτο ἠρώτησεν, ἵνα ἕ-
καστος φεύγων τὸ καταψηφίσασθαι αὐτοῦ ἄνοιαν, συνομολογήσῃ τῷ ῥήτορι ὡς ἀληθῆ λέγοντι. Ἐκεῖθεν) Ἐκ τῆς Ὀλύνθου.
Πόλεμον) Ἀντὶ προσώπου πρᾶγμα εἴληφεν· οὐ γὰρ εἶπεν, ἐλεύσονται οἱ πολέμιοι καθ' ἡμῶν, ἀλλ' ὁ πόλεμος. συνή-
ʼπράγμα-τα. α. θες δὲ τοῦτο καὶ Θουκυδίδῃ ποιεῖν, καὶ μεταλαμβάνειν, ἢ ἀντὶ προσώπου πρᾶγμα, ἢ πρόσωπα πάλιν ἀντὶ πραγμάτων·
22 αἱ γὰρ τοιαῦται τῶν λέξεων ἐναλλαγαί, καινοπρέπειαν τῷ λόγῳ παρέχουσι. Τῶν ἀρχαίων) Ἤτοι τῶν ἐνεχύρων· ἀρχαῖα γὰρ
"πολλάκις. η. τὰ ἐνέχυρα καὶ τὰς ὑποθήκας ἐν πολλοῖς ὁ Δημοσθένης εἶπε. τινὲς δὲ ἐξηγοῦνται αὐτό, οὐκ ἐπὶ τῶν δανειζομένων, ἀλλ' ἐπὶ τῶν
δανειζόντων, λέγοντες πολλάκις τοῖς παθητικοῖς ἀντὶ ἐνεργητικῶν χρῆσθαι τοὺς Ἀθηναίους· καὶ λέγουσιν ἀρχαῖα αὐτὰ τὰ
κεφάλαια. μὴ δυνάμενοι γάρ, φησίν, ἀποδοῦναι πολλοὺς τόκους, ὕστερον οἱ χρεωστοῦντες φεύγουσι· καὶ οὕτως οἱ δανεισταὶ μετὰ τῶν τόκων καὶ τὰ κεφάλαια "ἀπολλύουσιν. Ἐπὶ πολλῷ) Ἀντὶ τοῦ, ἐπὶ πολλῷ τόκῳ· ἵνα τόκον λάβωμεν, τὴν ἀργίαν καὶ ῥᾳθυμίαν· "κεφάλαιον δέ, αὐτὴν τὴν πόλιν. Ἐρρᾳθυμηκότες) Οὐχ ἁπλῶς ἠμεληκότες· οὐ γὰρ τοῦτο σημαίνει ἡ λέξις· ἀλλὰ μᾶλλον τὴν ἄνεσιν καὶ τὴν ἐν ἡδονῇ διαγωγήν. Εἰς ἀνάγκην) Συνήθες τῷ ῥήτορι, τῶν μὲν λυπηρῶν καὶ αὐτὸν μετέχοντα δεικνύναι· τῶν δὲ ἀγαθῶν τὴν πεῖραν "ὁλόκληρον ἀπονέμειν τῇ πόλει. καὶ δύναται τοῦτο πολλὴν αὐτῷ παρὰ τῶν ἀκροατῶν κατασκευάζειν τὴν εὔνοιαν. Τὸ μὲν οὖν ἐπιτιμᾶν) Μικρὸν τὸ προοίμιον, ἔκ τε δυνατοῦ καὶ συμφέροντος· μετιὼν γὰρ ἐφ' ἕτερον κεφάλαιον, οὐ παντελῶς ἰδιάζον τὸ προοίμιον ἔλαβεν, ἵνα μὴ καθάπερ ἐσχισμένος ὁ λόγος φαίνηται, τὴν μὲν ἀρχὴν ποιησάμενος ἐξ οὗ λέγων ἐπαύσατο, λέγω δή, τοῦ συμφέροντος· τὸ δὲ ἐνθύμημα, καὶ τὴν ἐπαγωγήν, ἐκ τοῦ δυνατοῦ· διὸ καὶ τὸ προοίμιον ἔλαβε. διαφέρει δὲ τὰ τῶν κεφαλαίων προοίμια, τῶν ἐν αὐταῖς ταῖς ἀρχαῖς· ὅτι ἐκεῖνα μὲν τῷ παντὶ λόγῳ χώραν διδῶσι, καὶ σπερματικὴν ἔχει τὴν δύναμιν τῶν διόλου λέγεσθαι μελλόντων· τὰ δὲ τῶν κεφαλαίων, αὐτὰ μόνα θεραπεύει τὰ λυποῦντα τὸ κεφάλαιον. τὸ δὲ ὥσπερ ἐξ ἀντιθέσεως εἰλῆφθαι τὸ προοίμιον, οὐ παράδοξον· τὸ γὰρ ἐν μέσῳ λόγῳ κεῖσθαι, πεποίηκέ τι καὶ ἐναγώνιον ἔχειν τὸν λόγον. ἰστέον δὲ ὅτι ἡ ἐπιτίμησις, τῷ συμφέροντι προσήκει. ἐπιτίμησιν δὲ αὐτὸ εἶπεν, ἀλλ' οὐ λοιδορίαν· τὸ μὲν γὰρ ὑβρίζειν, παντὶ ῥᾴδιον· τὸ δὲ ἐπιτιμᾶν, ὅπερ ἐστὶν νουθετοῦντος, καὶ λυσιτελοῦντος ἐπὶ τιμῇ τῶν ἀκουόντων λέγον-

ʼἀπολοῦσιν.
ʼκεφάλαια αὐτά. η.
ʼὁλόκληρα ἀπονέμειν τῷ δήμῳ. α.
ʼα.
ʼα.

πήσας τοῖς πεπραγμένοις, ἡσυχίαν σχήσει. εἰ δ' ὁ μέν, ὡς
"ἀεί τι μεῖζον τῶν ὑπαρχόντων" δεῖ πράττειν ἐγνωκὼς ἔ- "ἀεὶ. α. θ. "δεῖν. θ.
σται· ὑμεῖς δ' ὡς οὐδενὸς ἀντιληπτέον ἐρρωμένως τῶν πρα-
21 γμάτων, "σκοπεῖτε, εἰς τί ποτε ἐλπὶς ταῦτα τελευτῆσαι. "σκ... α. β. γ. ε. η. θ.
πρὸς θεῶν, τίς οὕτως εὐήθης ἐστὶν ὑμῶν, ὅστις ἀγνοεῖ τὸν
ἐκεῖθεν πόλεμον δεῦρο ἥξοντα," ἂν ἀμελήσωμεν. ἀλλὰ "ἐὰν. ε. θ.
μὴν εἰ τοῦτο γενήσεται, δέδοικα, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ
τὸν αὐτὸν τρόπον, ὥσπερ οἱ δανειζόμενοι ῥᾳδίως ἐπὶ τοῖς με-
γάλοις τόκοις, μικρὸν εὐπορήσαντες χρόνον, ὕστερον καὶ τῶν
22 ἀρχαίων ἀπέστησαν· οὕτω καὶ ἡμεῖς ἂν ἐπὶ πολλῷ φα-
νῶμεν ἐρρᾳθυμηκότες, καὶ ἅπαντα πρὸς ἡδονὴν ζητοῦν-
τες, πολλὰ καὶ χαλεπά, ὧν οὐκ ἠβουλόμεθα, ὕστερον εἰς ἀ-
νάγκην ἔλθωμεν ποιεῖν, καὶ κινδυνεύσωμεν περὶ τῶν ἐν αὐ-
τῇ τῇ χώρᾳ. τὸ μὲν οὖν ἐπιτιμᾶν, ἴσως φήσαι τις ἂν ῥᾴ-
διον καὶ παντὸς εἶναι. τὸ δ' ὑπὲρ τῶν παρόντων ὅτι δεῖ πράτ-
23 τειν ἀποφαίνεσθαι, τοῦτ' εἶναι συμβούλου. ἐγὼ δ' οὐκ ἀγνοῶ
μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦθ', ὅτι πολλάκις ὑμεῖς, οὐ τοὺς αἰ-
τίους, ἀλλὰ τοὺς ὑστάτους περὶ τῶν πραγμάτων εἰπόντας
ἐν ὀργῇ ποιεῖσθε, ἄν τι μὴ κατὰ γνώμην ἐκβῇ. οὐ μὴν "οἴ- "ἡμεῖς... ε.
μαί γε δεῖν τὴν ἰδίαν ἀσφάλειαν σκοποῦνθ' ὑποστεί-
λασθαι, περὶ ὧν ὑμῖν συμφέρειν ἡγοῦμαι. φημὶ δή, δι-
24 χῇ βοηθητέον εἶναι τοῖς πράγμασιν "ὑμῖν, τῷ τε τὰς πό- *ἡμῖν. ε.
λεις τοῖς Ὀλυνθίοις σώζειν, καὶ τοὺς τοῦτο ποιήσοντας, στρατιώ-
τας ἐκπέμπειν· καὶ τῷ τὴν ἐκείνου χώραν κακῶς ποιεῖν,
καὶ τριήρεσι, καὶ στρατιώταις ἑτέροις. εἰ δὲ θατέρου τού-
των "ὀλιγωρήσετε, ὀκνῶ μὴ μάταιος "ἡμῖν ἡ στρατεία γέ- "ὀλιγωρήσοι π. γ. "ὑμῖν. θ.
νηται. εἴτε γὰρ "ὑμῶν τὴν ἐκείνου κακῶς ποιούντων, ὑπο- "ὑμῶν.
25 μείνας τοῦτο, Ὄλυνθον παραστήσεται, ῥᾳδίως ἐπὶ τὴν οἰκεί-
αν ἐλθὼν ἀμυνεῖται· εἴτε βοηθησάντων μόνον ὑμῶν εἰς Ὄ-

τος, οὐ παντός ἐστιν, ἀλλὰ μόνου τοῦ σκοποῦντος τὸ λυσιτελὲς τῶν ἀκουόντων. Ἄλλως. Ἀντίθεσις ἀπὸ τοῦ δικαίου, οἷον,
ἀλλ' οὐ δίκαια ποιεῖς, ὦ Δημόσθενες, μόνον ἐπιτιμῶν ἡμῖν, ὅπερ παντὸς ἀνθρώπου ἐστί· μὴ μέντοι συμβουλεύων, ὅπερ ἐστὶ
ῥήτορος. ἰστέον δὲ ὅτι οὐκ εὐθὺς ἐπήγαγε τὴν λύσιν, ἀλλ' ὕστερον, ἐν μέσῳ θεὶς καὶ εἰπών, ὅπερ ἐφοβεῖτο, ἵνα διὰ τούτου ὥσ-
23 περ προδιορθώσηται τὴν μέλλουσαν συμβουλήν. Ὑποστείλασθαι) Ὑποκρύψασθαι. Φημὶ δή) Τὸν τρόπον τῆς βοη-
θείας εἰσηγεῖται. ἔστι δὲ τοῦτο τοῦ δυνατοῦ κεφαλαίου· πᾶσα γὰρ καὶ τρόπων ἐξέτασις, ἐπὶ τὸ δυνατὸν ἔχει τὴν ἀναφοράν· ἐν
*τῇ. η. τούτοις γὰρ δείκνυται, πῶς ἔνεστι κρατῆσαι τῶν ἀντιπάλων. ἐπειδὴ δὲ οἶδε τοὺς Ἀθηναίους πολλῇ δεδουλωμένους *ῥᾳθυ-
24 μίᾳ, προτείνει αὐτοῖς δύο βοηθείας, ἵνα κἂν τὴν μίαν ποιήσωσιν. Ὀκνῶ) Φοβοῦμαι. Μάταιος) Ἀττικὸν τό,
"λέγεται ἐπὶ τοῦ. η. 25 μάταιος ἡ στρατεία. Ὑπομείνας) Οἰκεία ἡ λέξις· ὑπομεῖναι γὰρ "λέγει ἀντὶ τοῦ καρτερεῖν, ὅταν ἴδωμεν τὰ οἰκεῖα πάσχον-
τα. τὸ δὲ παραστήσεται, χειρώσεται. σύνταξις δὲ ἐνταῦθα, εἴτε ἡ, ὑπομείνας καὶ ἐάσας τὴν πατρίδα αὐτοῦ κακῶς πάσχουσαν,
παραστήσεται ἐν τοσούτῳ Ὄλυνθον· καὶ εὐχερῶς ἐλθὼν εἰς τὴν Μακεδονίαν, ὡς λαβὼν τοὺς Ὀλυνθίους πρὸς συμμαχίαν,
ἀμυνεῖ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀλλὰ θέαις τε καὶ τρυφαῖς σχολαζόμενοι· ὑπεσιώπησε μὲν τοῦτο, διὰ τὸ δυσχερές· ἐπήγαγε δὲ, οὐκ εἰσὶν ὃν τινά μοι δοκοῦμεν ἔχειν τρόπον πρὸς αὐτά. διαφέρει δὲ τῆς ἀποσιωπήσεως, ὅτι ἐκείνη μὲν παντελῶς ἀποσιωπᾷ τὸ πρᾶγμα, ὥσπερ τὸ, οὐ βούλομαι δὲ δυσχερὲς εἰπεῖν· ἡ δὲ ὑποσιώπησις, αἰνίττεταί τι, ὡς ἐνταῦθα. εἴη ἂν οὖν τοῦτο τὸ κῶλον συμπέρασμα τοῦ προοιμίου, κατασκευῆς οὔσης, τοῦ, εἴπερ ὑπὲρ σωτηρίας αὐτῶν φροντίζετε. Ἔστι δή) Ἀρχὴ τῶν κεφαλαίων ἐντεῦθεν. προστάτης δὲ τὸ συμφέρον τοῦ δυνατοῦ. Ἄλλως. Γνώμης ἀπόφασις· ἔστι δὲ ἐντεῦθεν ἀρχὴ καὶ εἰσβολὴ τοῦ συμφέροντος. Τὴν ταχίστην) Ἀντὶ τοῦ ταχέως. Ἐνθένδε) Εἰς τὴν Ὄλυνθον. Ὅπερ καὶ πρότερον) Καιροῦ γὰρ ὁμοίου περὶ τινῶν ἄλλων παραπεσόντος ἠμελήκατε. Ταῦτ' ἐρεῖ) Ὅτι μέλλουσιν οἱ Ἀθηναῖοι ἐλθεῖν καὶ βοηθῆσαι ὑμῖν, καὶ διὰ τῆς παρουσίας παραμυθήσεται αὐτοὺς καὶ μὴ χωρεῖν ἐᾷ τὸν Φίλιππον ἀπατῆσαι αὐτοὺς, ἀντὶ ἐνέχυρου τῆς βοηθείας, ὑπαρχούσης αὐτοῖς ἐκεῖσε τῆς πρεσβείας. 4

ργος, καὶ περιέσαι τοῖς πράγμασιν· ὡς ἔστι μάλιστα τοῦτο δέος, μὴ πανοῦργος ὢν καὶ δεινὸς ἄνθρωπος πράγμασι χρῆσθαι, τὰ μὲν εἴκων, ἡνίκα ἂν τύχῃ, τὰ δ' ἀπειλῶν, ἀξιόπιστος δ' ἂν εἰκότως φαίνοιτο· τὰ δ' ἡμᾶς διαβάλλων καὶ τὴν ἀπουσίαν τὴν ἡμετέραν, τρέψηται καὶ παρασπάσηταί τι τῶν ὅλων πραγμάτων. 5 οὐ μὴν ἀλλ' ἐπιεικῶς, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦθ' ὃ δυσμαχώτατόν ἐστι τῶν Φιλίππου πραγμάτων, καὶ βέλτιστον ὑμῖν· τὸ γὰρ εἶναι πάντων ἐκεῖνον ἕνα ὄντα κύριον καὶ ῥητῶν καὶ ἀπορρήτων, καὶ ἅμα στρατηγὸν, καὶ δεσπότην, καὶ ταμίαν, καὶ πανταχοῦ αὐτὸν παρεῖναι τῷ στρατεύματι, 6 πρὸς μὲν τὸ τὰ τοῦ πολέμου ταχὺ καὶ κατὰ καιρὸν πράττεσθαι, πολλῷ προέχει· πρὸς δὲ τὰς καταλλαγάς, ἃς ἂν ἐκεῖνος ποιήσαιτ' ἄσμενος πρὸς Ὀλυνθίους, ἐναντίως ἔχει· δῆλον γάρ ἐστι τοῖς Ὀλυνθίοις, ὅτι νῦν οὐ περὶ δόξης, οὐδ' ὑπὲρ μέρους χώρας πολεμοῦσιν, 7 ἀλλ' ἀναστάσεως καὶ ἀνδραποδισμοῦ τῆς πατρίδος· καὶ ἴσασιν ἅ τ' Ἀμφιπολιτῶν ἐποίησε τοὺς παραδόντας αὐτῷ τὴν πόλιν, καὶ Πυδναίων τοὺς ὑποδεξαμένους· καὶ ὅλως ἄπιστον οἶμαι ταῖς πολιτείαις ἡ τυραννίς, ἄλλως τε κἂν ὅμορον χώραν ἔχωσι. 8 ταῦτ' οὖν ἐγνωκότας ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τἆλλ' ἃ προσήκει πάντα ἐνθυμουμένους, φημὶ δεῖν ἐθελῆσαι καὶ παροξυνθῆναι, καὶ τῷ πολέμῳ προσέχειν, εἴπερ ποτὲ, καὶ νῦν, χρήματα εἰσφέροντας προθύμως, καὶ αὐτοὺς ἐξιόντας, καὶ μηδὲν ἐλλείποντας· οὐδὲ γὰρ λόγος οὐδὲ σκῆψις ἔθ' ὑμῖν τοῦ μὴ τὰ δέοντα ποιεῖν ἐθέλειν ὑπολείπεται· 9 νυνὶ γὰρ ὃ πάντες ἐθρυλλεῖτε, ὡς Ὀλυνθίους ἐκπολεμῶ-

Καὶ περιέσαι) Ἤγουν, ἡ αὐτὴ αἴτιος εἴη τῆς βοηθείας, καὶ βοηθός. Πανοῦργος) Φίλιππος. Εἴκων) Αὐτοῖς. Τρέψηται) Τὸ βέβαιον τῶν Ὀλυνθίων ἐδήλωσεν, ὅτι καὶ μὴ βουλομένους αὐτοὺς τρέψηται καὶ παρασπάσεται. 5 εἴληπται δὲ ἡ λέξις ἀπὸ τῶν καταφυγόντων εἰς τοὺς βωμοὺς, καὶ βίᾳ ἀποσπωμένων, ἤγουν, ἐπὶ μέλους τινὸς σώματος, ἵνα δείξῃ τὴν ἑνότητα τῶν Ὀλυνθίων. τὸ δὲ τι, ἐνταῦθα ἀντὶ τοῦ μέγα κεῖται· ὥσπερ τὸ, δοκοῦμεν τινὰ κεκλῆσθαι· τὸ τινὰ γὰρ ἀντὶ τοῦ μεγάλην. Ἀλλ' ἐπιεικῶς) Τὸ ἐπιεικῶς, ἀντὶ τοῦ πάνυ καὶ λίαν. Δυσμαχώτατον) Διὰ τὴν πανουργίαν. 6 Καὶ βέλτιστον) Τοῦτο τὸ σχῆμα λέγεται παρὰ προσδοκίαν, ὅταν τὸ αὐτὸ πρᾶγμα καὶ φοβερὸν, καὶ συμφέρον ᾖ. Πανταχοῦ) Ὅπου ἂν βουληθείη. Πρὸς μὲν τὰ) Ἐν μὲν γὰρ ταῖς δημοκρατίαις, τῷ μὲν ἀρέσει ὁ πόλεμος, τῷ δ' οὔ· ὁ δὲ βασιλεὺς εἷς ὢν, ἡνίκα ἂν βουληθῇ πολεμεῖν, οὐδένα τὸν ἐναντιούμενον ἔχει. Ἐναντίως ἔχει) Αὐτὸ, φησὶ, τὸ δύσμαχον αὐτοῦ καὶ δυσκαταγώνιστον ἐναντιοῦται πρὸς τὸ γενέσθαι αὐτῷ τοὺς Ὀλυνθίους φίλους· εἶτα ἐπάγει τὴν αἰτίαν. Δῆλον γάρ ἐστιν) Ἀντιστροφή. Ὅτι νῦν) Οἷον οὐ περὶ τοῦ ἡττηθῆναι μόνον αὐτοὺς παρὰ Φιλίππου, ἀλλ' ὑπὲρ τοῦ μὴ ἐκβαλεῖν ἐκεῖθεν καὶ ἀνδραποδίσασθαι, ὅ ἐστι δούλους ποιῆσαι. 7 Πολεμοῦσιν) Οἱ Ὀλύνθιοι. Ἀλλ' ἀναστάσεως) Ἤγουν, ὑπὲρ τοῦ μὴ ἀνάστατον ὑπὸ τούτου γενέσθαι τὴν σφῶν πόλιν, καὶ δούλους αὐτούς· τὸ γὰρ οἰκεῖον συμφέρον ἕκαστοι ζητοῦντες, ταῦτα σπουδάσει ποιῆσαι. Καὶ ἴσασι) Τοὺς Ὀλυνθίους μὴ πιστεύειν αὐτῷ μηδὲ βούλεσθαι προσέσθαι ἑαυτοὺς αὐτῷ. τί οὖν, ὅτι εἰσί τινες προδόται παρὰ τοῖς Ὀλυνθίοις, οἵ τινες ἔσονται προδοῦναι τὴν πόλιν, ὡς οὐδὲ τούτοις ἀνέχεται ποιῆσαι· ἴσασι γὰρ ὅσα ἐποίησεν εἰς τοὺς προδότας τῶν Ἀμφιπολιτῶν τοὺς ἀνοίξαντας τὰς πύλας· εἰσελθὼν γὰρ, αὐτοὺς πρώτους ἐφόνευσε, λέγων, εἰ τῶν ἰδίων πολιτῶν οὐκ ἐφείσασθε, πόσῳ γε πλέον οὐ μέλλετε περὶ ἐμὲ ὕστερον γενήσεσθαι. Αὐτῷ) Τῷ Φιλίππῳ. Καὶ Πυδναίων) Πύδνα, τὸ νῦν κίτρος. Πύδνα, πόλις Μακεδονίας. αὕτη ἀπέστη τοῦ ὑπακούειν Φιλίππῳ, καὶ ἐστράτευσε κατ' αὐτῆς. καὶ περὶ ταύτην τοιοῦτόν τι συνέβη· κἀκεῖσε γάρ τινες προδεδώκασιν, εἶτα ὕστερον γνόντες ὡς οὐκ ἂν αὐτῶν φείσαιτο, ἔφυγον ἐπὶ τὸ Ἀμύντου ἱερὸν τοῦ πατρὸς αὐτοῦ· κολακεύοντες γὰρ αὐτὸν πρότερον οἱ Πυδναῖοι, ἱερὸν αὐτῷ ἐποίησαν· ἀλλ' ἀναστήσας αὐτοὺς ὅρκοις ἐπὶ τὸ μηδὲν ποιῆσαι, ἐξελθόντας ἀνεῖλε. Καὶ ὅλως) Εἰπὼν τὰ μερικὰ παραδείγματα, τῷ καθολικῷ τῆς γνώμης ταῦτα ἐπισφραγίζεται. Ἄπιστον) Ἐναντία γάρ ἐστιν· αἱ μὲν γὰρ οὐκ ἄρχοντα ἔχουσιν, ἀλλ' ἔστι δημοκρατία· ἡ δὲ μοναρχίαν ἐπαγγέλλεται. Κἂν ὅμορον) Αὐτὸ γὰρ τὸ πλησιάζον τοῦ τόπου ὥσπερ εἴωθε, τὰ ἐγκλήματα τίκτει. 8 Ταῦτ' οὖν) Κατασκευὴ τοῦ δευτέρου προοιμίου. Καὶ τἆλλ' ἃ προσήκει) Ὥσπερ ἂν εἰ ἔλεγε τὰ τῶν προγόνων διηγήματα, ὅτι ἔθος εἶχον ἐκεῖνοι σώζειν τοὺς κινδυνεύοντας. Αὐτοὺς ἐξιόντας) Τοὺς Ἀθηναίους, καὶ μὴ ξέ-

ἀποσιώπησιν α.

φίλιππος. α

τύχοι. α

τρέψηται καὶ παρασπάσηται. α.

λέγεται τὸ α.

εἴη. α.

τίκτειν. α.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νικῇ δυνάμει πιστεύειν. ταῦτα δέ φησι τεχνικῶς, ἵνα εἰ συμβῇ ἡττηθῆναι, ἔχῃ ἀπολογίαν τὸ ἐλλεῖψαι τινὰ τῶν συνεβούλευσεν.
9 Οὐδὲ γὰρ λόγος) Λόγος ἡ ἀπολογία· σκῆψις δὲ ἡ πρόφασις, ἡ ἀφορμή. Εθρυλλεῖτε) Πρῶτον μὲν τῷ προεληλυθικῷ πάντας εἰς συγκατάθεσιν ἤγαγεν, ὧν αὐτὸς βούλεται. δεύτερον δὲ, "ἐθρυλλεῖτε εἰπὼν, τὴν τῆς μετανοίας πρόφασιν ἀνῄρηκεν. οὐ γὰρ κρύφα, οὐδὲ ἐν ἀπορρήτῳ περὶ τούτων ἐλέγομεν, ἀλλὰ πάντες βοῇ καὶ θορύβῳ χρώμενοι, τοὺς ὀλυνθίους ἐσπουδάζομεν ἐχθροὺς καταστῆσαι τῷ φιλίππῳ. τοῦτο γὰρ τὸ "ἐθρυλλεῖτε δύναται. "ἐθρύλλουν. α. "ἐθρύλλουν. α.

10 Ανείλοντο) Αντὶ τοῦ ἀνέλαβον. Οὐ δεῖ δή) Συστήσας τὴν γνώμην τῶν ὀλυνθίων, καὶ βεβαίους συμμάχους ἀποδείξας, ἕρμαιον ποιεῖται τῶν ἀθηναίων τὸ πρᾶγμα, καὶ καιροῦ πρὸς εὐτυχίαν καλεῖ· τὸ γὰρ "παραπεπλωκότα, τῶν τυχαίων ἐστὶ καὶ τῶν ἐξ ἀπροσδοκήτου συμβαινόντων. Εἰ γὰρ, ὅθ' ἥκομεν) Παροξῦναι βουλόμενος, ἀναμιμνήσκει τῶν προτέρων, ἐν οἷς ἐζημιώθησαν μὴ χρησάμενοι τοῖς καιροῖς. τὸ χρῶμα κατὰ συστροφήν. Θηβαῖοι πολεμοῦντες λακεδαιμονίοις ἐν λεύκτροις τῆς βοιωτίας, ἐνίκησαν αὐτοὺς κατὰ κράτος. ὅθεν καὶ εὐθὺς διέβησαν ἐπὶ τῆς εὐβοίας, ὡς δῆθεν βουλόμενοι ταύτην χειρώσασθαι· τὸ δ' ἀληθὲς, ἵνα ταύτην λαβόντες καὶ κατὰ τῶν ἀθηναίων χωρήσωσιν. οἱ δ' ἀθηναῖοι ἐξῆλθον εὐβοεῦσι συμμαχήσοντες· καὶ συμβαλόντες, ἐνίκησαν τούτους· ὥστε καὶ σπονδὰς αὐτοὺς διατεθῆναι ὑπὸ τῶν πεπτωκότων, ἵνα λαβόντες τούτους ἀναχωρήσωσιν. ἐπανελθόντες δ' ἐκ τῆς μάχης, εὗρον ἐν ταῖς ἀθήναις δύο πρέσβεις τῶν ἀμφιπολιτῶν, παρακαλοῦντας ὥστε ἐξελθεῖν λαβεῖν τὴν ἀμφίπολιν στρατοκλέα, πολεμουμένην ὑπὸ φιλίππου. "παραπεπλωκότα. α.
11 Κελεύοντες) Προτρεπόμενοι. Εἴχετ' ἄν) Σχετλιάζοντος ὥσπερ καὶ ὀδυρομένου τὸ ῥῆμα, ὅτι διὰ ῥαθυμίαν μόνην τότε ἀμφίπολιν ἀπώλεσαν. Πραγμάτων) Ὧν ὑπὸ φιλίππου πεπόνθατε. Καὶ πάλιν) Ἐν τάχει καὶ ἄνευ συνδέσμου κατέλεξε τὰ χωρία, δεδιὼς μὴ μέγαν καταστήσῃ τὸν φίλιππον. τὰ δὲ λοιπὰ λέγειν παρῃτήσατο, διὰ τὸ μὴ φοβῆσαι τὸν δῆμον.
12 Πύδνα) Ἡ νῦν βέρροια. Ποτίδαια) Τὸ νῦν κύτρος. Πολιορκούμενα) Ὑπὸ φιλίππου. Ἑνὶ τῷ πρώτῳ) Ὥσπερ ἀντίπτωσιν λύει, ἵνα μὴ εἴπῃ ὁ ἀθηναῖος, καὶ πῶς ἠδυνάμην τοσούτοις ἐν τῷ αὐτῷ βοηθῆσαι, ἐπάγει ὡς *εἰ ἑνὶ μόνῳ τῷ πρώτῳ προθύμως ἐβοηθήσαμεν, οὐκ ἂν τοῦ δευτέρου ἥψατο. Νῦν ἂν ἐχρώμεθα) Τοῦτο σημαντικόν ἐστι τῆς φιλίππου ταπεινότητος· καθ' ὧν γὰρ ἐξουσίαν ἔχομεν ὅ,τι βουλόμεθα πράττειν, κατὰ "τούτων τὸ χρῆσθαι λέγομεν, ὅτι τὰ δοκοῦντα ἡμῖν ὑπουργοῦσι. Τὰ δὲ μέλλοντα) Ὥσπερ ὑπογράφει καὶ χαρακτηρίζει ἡμῖν ἐνταῦθα τῶν ἀργῶν τε καὶ ῥαθύμων τὴν φύσιν. αὐτόματα δὲ, ἀντὶ τοῦ ἀπὸ τύχης τινός. *ὅτι. α. "τούτου α.
13 Καὶ ηὐξήσαμεν) Βούλεται διὰ τούτου δεῖξαι, ὅτι ἐν αὐτοῖς ἐστὶ καὶ νῦν αὐτὸν καθελεῖν διὰ τῆς σπουδῆς, ὥσπερ καὶ ἐν αὐτοῖς ἐγένετο τὸ ποιῆσαι αὐτὸν μέγαν διὰ τῆς ῥαθυμίας. Ἥκει τίς οὗτος) Τινὲς τὸ τίς, κατ' ἐρώτησιν, τὸ δὲ οὗτος, κατὰ ἀπόκρισιν λαμβάνουσιν· ἄλλοι δὲ τὸ τὶς, ἐγκλιτικῶς λαμβάνουσιν. ὅρα δὲ πῶς ἀθυμίας αὐτοὺς πληρώσας διὰ τοῦ καταλόγου τῶν ἀπολωλεκότων χωρίων, πάλιν παρεμυθήσατο, διὰ τὸ εἰπεῖν, πάλιν ἥκει καιρὸς οὐ χείρων ἐκείνου. *α.
14 Ἐκείνων) Ὧν ἄνω ἔφη. Λογιστής) Λογιστὴν λέγει, οἱονεὶ κριτὴν, ἵνα κρίνῃ τὰ παρὰ τῶν θεῶν αὐτοῖς ὑπηργμένα, προδεδομένα δὲ παρὰ τῆς αὐτῶν ἀμελείας. Οὐκ ἐχόντων) Διὰ τὴν ἡμῶν ῥαθυμίαν. Τὸ μὲν

σαι" δεῖν φιλίππῳ, γέγονεν αὐτόματον, καὶ "ταῦτα ὡς ἂν "ὑμῖν μάλιστα συμφέροι. εἰ μὲν γὰρ ὑφ' "ἡμῶν πεισθέντες ἀνείλοντο τὸν πόλεμον, σφαλεροὶ σύμμαχοι, καὶ μέχρι του "ταῦτ' ἂν ἐγνωκότες ἦσαν ἴσως. ἐπειδὴ δ' ἐκ τῶν πρὸς
10 αὑτοὺς ἐγκλημάτων μισοῦσι, βεβαίαν εἰκὸς τὴν ἔχθραν αὐτοὺς, ὑπὲρ ὧν φοβοῦνται καὶ πεπόνθασιν, ἔχειν. οὐ δεῖ δὴ τοιοῦτον, ὦ ἄνδρες ἀθηναῖοι, παραπεπλωκότα καιρὸν ἀφεῖναι, οὐδὲ* παθεῖν "ταὐτὸ, ὅπερ ἤδη πολλάκις πρότερον πεπόνθατε. εἰ γὰρ, ὅθ' ἥκομεν εὐβοεῦσι βεβοηθηκότες,
11 καὶ παρῆσαν ἀμφιπολιτῶν ἱέραξ, καὶ στρατοκλῆς ἐπὶ τουτὶ τὸ βῆμα, κελεύοντες "ὑμᾶς πλεῖν καὶ παραλαμβάνειν τὴν πόλιν, τὴν αὐτὴν παρειχόμεθ' ἡμεῖς καὶ ὑπὲρ ἡμῶν αὐτῶν προθυμίαν, ἥνπερ ὑπὲρ τῆς* εὐβοέων σωτηρίας, εἴχετ' ἂν ἀμφίπολιν τότε, καὶ πάντων τῶν μετὰ ταῦτα ἂν ἦτε ἀπηλλαγμένοι πραγμάτων. καὶ πάλιν ἡνίκα
12 πύδνα, ποτίδαια, μεθώνη, παγασαὶ, τἄλλα, ἵνα μὴ καθ' "ἕκαστα λέγων διατρίβω, πολιορκούμενα ἀπηγγέλλετο, εἰ τότε τούτων ἑνὶ τῷ πρώτῳ προθύμως καὶ ὡς προσῆκεν ἐβοηθήσαμεν αὐτοὶ, ῥᾴονι καὶ πολὺ ταπεινοτέρῳ νῦν ἂν ἐχρώμεθα τῷ φιλίππῳ. "νῦν δὲ τὸ μὲν παρὸν "ἀεὶ προϊέμενοι, τὰ δὲ μέλλοντα αὐτόματα οἰόμενοι σχήσειν καλῶς,
13 καὶ ηὐξήσαμεν, ὦ ἄνδρες ἀθηναῖοι, φίλιππον ἡμεῖς, καὶ κατεστήσαμεν τηλικοῦτον, ἡλίκος οὐδείς "πω βασιλεὺς γέγονε μακεδονίας. νυνὶ δὲ καιρὸς ἥκει τις οὗτος· ὁ τῶν ὀλυνθίων αὐτόματος τῇ πόλει, ὃς οὐδενός ἐστιν ἐλάττων τῶν "προτέρων ἐκείνων. καὶ ἔμοιγε δοκεῖ τις ἄν, ὦ ἄνδρες ἀθη-
14 ναῖοι, δίκαιος λογιστὴς τῶν παρὰ τῶν θεῶν ἡμῖν ὑπηργμένων καταστὰς, καίπερ οὐκ ἐχόντων ὡς δεῖ πολλῶν, ὅμως μεγάλην ἂν ἔχειν αὐτοῖς χάριν. εἰκότως· τὸ μὲν γὰρ πολλὰ ἀπολωλεκέναι κατὰ τὸν πόλεμον, τῆς ἡμετέρας ἀμελείας ἂν τις θείη δικαίως· τὸ δὲ μήτε "πάλαι τοῦτο πεπονθέναι,

"δεῖ. α. β. "τοῦτο. ε. θ. "ἡμῖν. η. θ. "ὑμῶν. α. "τοῦτ'. ε. η. θ. η. ε. θ. δή. θ. ταὐτόν. γ. "ἡμᾶς. ε. η. θ. *τῶν. η. θ. "ἕκαστον. ε. "νυνί. ε. η. θ. ἱέ. β. ε. η. "ποτ. α. η. κ. θ. "πρότερον. α. ε. η. θ. α. ε. η. θ. "πάλιν. α.

γάρ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ναίοις ἀποχέσθαι τοῦ πρὸς αὐτὸν πολέμου· οὐκ ἐβούλετο δὲ πάλιν ταύτην ἀμνημόνευτον ἐάσαι, ἵνα μὴ αὐτὸ τοῦτο δόξῃ φοβούμενος, ταύτην καταλιπεῖν. τί οὖν ποιεῖ; καὶ μνημονεύει κατὰ παράλειψιν, καὶ τὴν αἰτίαν οὐ τὴν οὖσαν λέγει, ὅτι ἵνα μὴ φοβήσω ὑμᾶς· ἀλλ' ἑτέραν, ἵνα μὴ δόξω, φησὶν, αἰσχύνην ὀνειδίζειν. Οὐχὶ καλῶς ἔχειν ἡγοῦμαι) Κατὰ μὲν τὸ ἀληθὲς, οὐ βούλεται αὐτοῦ διηγεῖν τὴν δύναμιν, ἵνα μὴ φοβήσῃ τοὺς ἀθηναίους· ὑπωπτεύετο γὰρ συμμάχους ἔχειν πολλούς· προσποιεῖται δὲ τὴν δόξαν παραιτεῖσθαι, ἵνα, φησὶ, μὴ φιλοτιμίαν ἐκείνῳ περιποιήσω δι' ὧν αὔξω αὐτόν.

πρέπειν τὰ δέοντα ποιεῖν ὑμᾶς, οὐχὶ καλῶς ἔχειν ἡγοῦμαι. διὰ τί; ὅτι μοι δοκεῖ πλείω ὅσα μὲν εἴποι τις ὑπὲρ τούτων, ἐκείνῳ μὲν ἔχειν φιλοτιμίαν τινά, ἡμῖν δ' οὐχὶ καλῶς πεπρᾶχθαι. ὁ μὲν γὰρ ὅσῳ πλείονα ὑπὲρ τὴν ἀξίαν πεποίηκε τὴν αὐτοῦ, τοσούτῳ θαυμαστότερος παρὰ πᾶσι νομίζεται· ὑμεῖς δ' ὅσῳ χεῖρον ἢ προσῆκε κέχρησθε τοῖς πρά-
5
γμασι, τοσούτῳ πλείονα αἰσχύνην ὠφλήκατε. ταῦτα μὲν οὖν παραλείψω. καὶ γὰρ εἰ μετ' ἀληθείας τις, ὦ ἄνδρες ἀθηναῖοι, σκοποῖτο, ἐνθένδ' ἂν αὐτὸν ἴδοι μέγαν γεγενημένον, οὐχὶ παρ' αὑτοῦ. ὧν οὖν ἐκεῖνος μὲν ὀφείλει τοῖς ὑπὲρ αὐτοῦ πεπολι-
6
τευμένοις χάριν, ὑμῖν δὲ δίκην προσήκει λαβεῖν τούτων, οὐχὶ νῦν ὁρῶ τὸν καιρὸν τοῦ λέγειν· ἃ δὲ καὶ χωρὶς τούτων ἔνι, καὶ βέλτιόν ἐστιν ἀκηκοέναι πάντας ὑμᾶς, καὶ μεγάλα, ὦ ἄνδρες ἀθηναῖοι, κατ' ἐκείνου φαίνοιτ' ἂν ὀνείδη, βουλομένοις
7
ὀρθῶς δοκιμάζειν, ταῦτ' εἰπεῖν πειράσομαι. τὸ μὲν οὖν ἐπίορκον καὶ ἄπιστον καλεῖν ἄνευ τοῦ τὰ πεπραγμένα δεικνύναι, λοιδορίαν εἶναί τις ἂν φήσειε κενὴν, δικαίως. τὸ δὲ πάνθ' ὅσα πώποτ' ἔπραξε διεξιόντα, ἐφ' ἅπασι τούτοις ἐλέγχειν, καὶ βραχέος λόγου συμβαίνει δεῖσθαι, καὶ δυοῖν ἕνεκα ἡγοῦμαι συμφέρειν εἰρῆσθαι, τοῦ τ' ἐκεῖνον, ὅπερ καὶ ἀληθὲς ὑπάρχει, φαῦ-
8
λον φαίνεσθαι· καὶ τοὺς ὑπερεκπεπληγμένους ὡς ἄμαχόν τινα τὸν φίλιππον, ἰδεῖν, ὅτι πάντα διεξελήλυθεν, οἷς πρότερον παρακρουόμενος, μέγας νῦν ηὐξήθη, καὶ πρὸς αὐτὴν ἥκει
3.
τὴν τελευτὴν τὰ πράγματα αὐτῷ. ἐγὼ μὲν γὰρ, ὦ ἄνδρες ἀθηναῖοι, σφόδρα ἂν ἡγούμην καὶ αὐτὸς φοβερὸν εἶναι
9
τὸν φίλιππον καὶ θαυμαστὸν, εἰ τὰ δίκαια πράττοντα ἑώρων αὐτὸν ηὐξημένον· νῦν δὲ θεωρῶν καὶ σκοπῶν, εὑρίσκω,

Ὑπὲρ τούτων) Τῶν τοῦ φιλίππου. Ὁ μὲν γὰρ) Περίοδος τετράκωλος, ἔχουσα δύο προτάσεις, καὶ δύο ἀποδόσεις. Σκοποῖτο) Ὁ ἐστὶν ἀπὸ τῶν ἀθηναίων. αἰνίττεται δὲ εἰς τοὺς φιλιππίζοντας ῥήτορας. Ὧν οὖν ἐκεῖνος μὲν ὀφείλει) Τρίκωλος, ἡ ἔχουσα μίαν πρότασιν δίκωλον, καὶ μίαν ἀπόδοσιν. Ὧν οὖν ἐκεῖνος μὲν) Ὑπὲρ ὧν οὖν ηὐξήκασιν οὕτω φίλιππον οὗτοι οἱ προδόται, καὶ ἔδει αὐτὸν μὲν φίλιππον χάριν αὐτοῖς ὁμολογεῖν, ἡμᾶς δὲ δίκην αὐτοὺς εἰσπράττεσθαι, ὑπὲρ τούτων, φησὶν, οὐκ εὔκαιρόν μοι τὸ λέγειν νῦν δοκεῖ· οὐ γὰρ *ταύτην εἰσῆλθον κατηγορίαν ἐνστήσασθαι, ἀλλὰ συμβουλεῦσαι περὶ ὀλυνθίων. Πεπολιτευμένοις) Παρ' ἡμῖν. Λαβεῖν) Παρ' αὐτῶν. Τοῦ λέγειν) Ὑπὲρ τῶν πεπολιτευμένων ὑπὲρ ἐκείνου. Χωρὶς τούτων) Χωρὶς τοῦ παροξυνθῆναι ἐπὶ τὸν πόλεμον διὰ τῆς κατηγορίας τῶν προδοτῶν. Τὸ μὲν οὖν ἐπίορκον) 7
Ἔστι μὲν οὖν τρίτον τοῦτο προοίμιον· οὐ μὴν τὴν αὐτὴν δύναμιν ἔχον τοῖς προειρημένοις· ἐκεῖνα μὲν γάρ ἐστιν ὅλης τῆς ὑποθέσεως· τὸ μὲν γὰρ πρότερον, περὶ τοῦ δυνατοῦ τῶν ἀθηναίων· τὸ δὲ δεύτερον, περὶ τοῦ δυνατοῦ τοῦ φιλίππου· τὸ δὲ δυνατὸν κεφάλαιον, ὅλον συνέχει τὸν λόγον. τοῦτο δὲ μερικόν ἐστι προοίμιον, κατασκευὴν ἔχον τῶν ἐγγιστα· ἐπειδὴ γὰρ μέλλει τὴν ἀδικίαν καὶ τὴν ἀπιστίαν ἐξετάζειν τοῦ μακεδόνος, αἰτίαν ἀποδίδωσιν ἐν τῷ προοιμίῳ προλαβὼν, δι' ἣν μέλλει τοῦτο ποιεῖν. Ἄλλως. Ἰστέον ὅτι τὸ δεύτερον καὶ τρίτον προοίμιον, εἰς καθαίρεσιν φιλίππου ἔλαβεν· ἀλλ' ἐν μὲν τῷ δευτέρῳ, ἀπὸ τῆς ῥώμης αὐτὸν καθεῖλεν· ἐν τῷ τρίτῳ δὲ ἀπὸ τῆς γνώμης, καὶ τῷ κρείττους ἔχειν πολεμίους· ἐκ δὲ τοῦ αὐτοῦ ἐπιχειρήματος, ἤτοι τοῦ δυνατοῦ, ἀμφότερα· ἐπειδὴ φοβερὸς ὁ φίλιππος δοκῶν καὶ δυνατὸς, ἐφόβει τοὺς ἀθηναίους. καὶ ἡ πᾶσα σύστασις τοῦ λόγου, ἐπὶ τὸ δυνατὸν κεφάλαιον ἀνάγεται. Κενὴν) Ματαίαν καὶ χωρὶς ἐλέγχου. Καὶ βραχέος λόγου) Ἐπειδὴ τὸ πάντα ὅσα εἶπε καὶ ἔπραξε φίλιππος ἐπαγγέλλεσθαι εἰπεῖν, ὑπόνοιαν ἐδίδου μακρολογίας, πολεμία δὲ αὕτη τοῖς ἀκροαταῖς, τῷ συντόμῳ τὸν λόγον παρεμυθήσατο. Ὅτι πάντα διεξελήλυθεν) Εἰ γὰρ οὐκ ἔτι προσθήκην αὐτῷ λαμβάνει τὰ πράγματα· μένειν δὲ ἐπὶ τῶν αὐτῶν οὐχ οἷά τε τὰ ἀνθρώπινα, δῆλον ὅτι πρὸς καθαίρεσιν ἥκει λοιπὸν αὐτῷ τὰ τῆς δυνάμεως, αὐτίκα τοῦ, οὐδεμίαν ἔτι εὑρίσκει μηχανήν· πάσας γὰρ διῆλθε, καὶ πάντες αὐτὸν ἔγνωσαν. Παρακρουόμενος) Ἐξαπατῶν. Ἐγὼ γὰρ, ὦ ἄνδρες ἀθηναῖοι.) Ἐντεῦθεν εἰς αὐτὸ τὸ κεφάλαιον ἐνέβη τὸ δυνατὸν, ἀπὸ λύσεως ἀρξάμενος· ἡ γὰρ ἀντίθεσίς ἐστιν, ἀλλὰ φοβερὸς ὁ φίλιππος· ἣν τινα φανερῶς ὡς μὴ θεὶς, ἐπάγει τὰς λύσεις· ὅταν μὲν γὰρ πρὸς τὸν ἀντίδικον ἔχωμεν ἀναγκαίως μέλλοντα χρῆσθαι ταῖς ἀντιθέσεσι, κἂν ἡμεῖς μὴ λέγωμεν, τότε δεῖ φανερῶς τιθέναι τὰς ἀντιθέσεις· ὅταν δὲ αὐτὸς καθέζηται παρ' ἑαυτῷ τὴν ἀντίθεσιν ἔχων ὁ ἀκροατὴς, τότε χρὴ λύειν καὶ μὴ τιθέντας, ὅπερ καὶ νῦν γέγονεν· εἰσελήλυθε γὰρ αὐτὸς ὁ δῆμος πεφοβημένος τὸν φίλιππον, ὥστε περιττὸν ἦν τιθέναι ταύτην, δι' ἣν σκεψόμενοι συνῆλθον. Καὶ αὐτὸς) Ὥσπερ οἱ ἄλλοι. Νῦν δὲ θεωρῶν) Τὸ ὑπερβατὸν, οὕτω· νῦν δὲ εὑρίσκω τὸν φίλιππον τὴν ἡμετέραν εὐήθειαν τοῦτο προσαγαγόμενον, ὅ ἐστι διὰ τούτου, ὥσπερ ὠνησάμενον τὴν ἡμετέραν μωρίαν, καὶ δυνηθέντα ἡμᾶς ἀπατῆσαι, διὰ τοῦ ὑπισχνεῖσθαι ἡμῖν παραδοῦναι τὴν ἀμφίπολιν· ὑπισχνεῖτο γὰρ σώσειν αὐτὴν τοῖς ἀθηναίοις, εἰ μὴ

προσδέξαιντο τοὺς Ὀλυνθίους εἰς φιλίαν, καὶ συμμαχίαν δοῖεν αὐτοῖς· ἐξ ὧν πεισθέντες Ἀθηναῖοι, τούτους ἀπήλασάν πως. πάλιν δὲ εἶχον πρὸς αὐτοὺς φιλίαν. εἶτα ὁρῶν ὁ Φίλιππος ὅτι ἀσθενεῖ πρὸς Ὀλυνθίους μαχόμενος, διὰ τὸ μὴ καθαρῶς ἀποστῆναι αὐτῷ τοὺς Ὀλυνθίους, χαρισάμενος αὐτοῖς τὴν Ποτίδαιαν, ἀπέστησεν Ἀθηναίοις· φησὶ γὰρ ὅτι καὶ τούτους ἠπάτησεν. ὅρα δὲ πῶς εἰπὼν Ἀθηναίους ἠπατῆσθαι καὶ Ὀλυνθίους, τοὺς Ἀθηναίους προέταξεν, ἵνα συγγνώμην ἔχωσιν Ὀλύνθιοι, δεύτεροι ἀπατώμενοι μετὰ Ἀθηναίους τοὺς σοφωτάτους· τὸ αὐτὸ δὲ θρυλλούμενον μὲν παρ᾽ ἡμῖν, ἀπόρρητον δὲ παρὰ τοῖς Ἕλλησιν ὄν. ἀθηναίοις.α.

Καὶ σκοπῶν) Αὐτόν.

τὴν μὲν ἡμετέραν εὐήθειαν τὸ κατ᾽ ἀρχάς, ὅτε Ὀλυνθίους
ἀπήλαυνόν τινες ἐνθένδε βουλομένους ἡμῖν διαλεχθῆ- ὑμῖν.β.γ.
10 ναι, τῷ τὴν Ἀμφίπολιν φάσκειν παραδώσειν, καὶ τὸ θρυλ
λούμενόν ποτε ἀπόρρητον ἐκεῖνο κατασκευάσαι, τούτῳ τὸ.α.ε.η.θ.
προσαγόμενον· τὴν δ᾽ Ὀλυνθίων φιλίαν μετὰ ταῦτα, τῷ Πο κατασκευάσει.α.ε.ε.
τίδαιαν οὖσαν ἡμετέραν ἐξελεῖν· καὶ τοὺς μὲν πρότερον ὑμετέρ.α.β
συμμάχους ἡμᾶς ἀδικῆσαι, παραδοῦναι δὲ ἐκείνοις· προτέρους.θ
Θετταλοὺς δὲ νῦν τὰ τελευταῖα τὴν Μαγνησίαν παρα- ὑμᾶς.β.γ.
11 δώσειν ὑποσχέσθαι, καὶ τὸν Φωκικὸν πόλεμον πολεμήσειν χ᾽.πολεμή
ὑπὲρ αὐτῶν ἀναδέξασθαι. ὅλως δὲ οὐδείς ἐστιν ὅν- σαι.α.
τιν᾽ οὐ πεφενάκικεν ἐκεῖνος τῶν αὐτῷ χρησαμένων· τὴν γὰρ
ἑκάστων ἄνοιαν ἀεὶ τῶν ἀγνοούντων αὐτὸν ἐξαπατῶν, καὶ ἀεὶ.β.γ.
προσλαμβάνων, οὕτως ηὐξήθη. ὥσπερ οὖν διὰ τούτων ἤρ
θη μέγας, ἡνίκα ἕκαστοι συμφέρον αὐτὸν ἑαυτοῖς ᾤοντό τι
12 πράξειν· οὕτως ὀφείλει διὰ τῶν αὐτῶν τούτων καὶ καθαι- αὐτοῖς.
ρεθῆναι πάλιν, ἐπειδὴ πάνθ᾽ ἕνεκα ἑαυτοῦ ποιῶν ἐξελή-
λεγκται. καιροῦ μὲν δή, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς τοῦτο πά
ρεστι Φιλίππῳ τὰ πράγματα· ἢ παρελθών τις ἐμοί, ε.η.θ.
μᾶλλον δὲ ὑμῖν, δειξάτω, ἢ ὡς οὐκ ἀληθῆ ταῦτ᾽ ἐγὼ λέ-
γω, ἢ ὡς οἱ τὰ πρῶτα ἐξηπατημένοι, τὰ λοιπὰ πιστεύσουσιν
13 αὐτῷ· ἢ ὡς οἱ παρὰ τὴν αὐτῶν ἀξίαν δεδουλωμένοι Θετ θ.
ταλοί, νῦν οὐκ ἂν ἐλεύθεροι γένοιντο ἄσμενοι. καὶ μὴν αὐτῶν.α.β.
εἴ τις ὑμῶν, ταῦτα μὲν οὕτως ἔχειν ἡγεῖται, οἴεται δὲ βίᾳ κα γ.η.
θέξειν αὐτὸν τὰ πράγματα, τῷ τὰ χωρία, καὶ λιμένας,
καὶ τὰ τοιαῦτα προειληφέναι, οὐκ ὀρθῶς οἴεται· ὅταν μὲν τῶ.θ.
14 γὰρ ὑπ᾽ εὐνοίας τὰ πράγματα συστῇ, καὶ πᾶσι ταὐτὰ συμ
φέρῃ τοῖς μετέχουσι τοῦ πολέμου, καὶ συμπονεῖν καὶ φέρειν πονεῖν.γ.

Τὴν μὲν ἡμετέραν εὐήθειαν.) Οὐκ εἶπεν ὑμετέραν, διὰ τὸ ἐπαχθὲς καὶ ἑαυτὸν συνάπτων τῷ ἐγκλήματι. φασὶ δέ, ὅτι πάντοτε μωρίαν ἡ εὐήθεια σημαίνει· ἀλλ᾽ ἔστιν ὅτε πρᾳότητα καὶ ἐπιείκειαν καὶ τὸ ἁπλοῦν· ὅπερ καὶ νῦν βούλεται σημαίνειν. Εὐήθειαν) Ἁπλότητα καὶ ἀπονηρευσίαν. Ἀπήλαυνόν τινες) Οἱ τούτῳ χαριζόμενοι. δέον δ᾽ εἰπεῖν, ἀπηλαύνετε ὑμεῖς· ἡ γὰρ πόλις πᾶσα ἦν ἡ τοῦτο ποιήσασα· ὁ δέ, εἰς τοὺς ῥήτορας ἀπωθεῖται τὸ ἔγκλημα. ἐμφαντικῶς δὲ εἶπεν ἐνθένδε, οἷον ἀπὸ τῶν Ἀθηναίων, ἀπὸ τοῦ χωρίου ὥσπερ τοῦ ἐλέου, ὅθεν Ἡρακλεῖδαι ἐσώθησαν, ἀπήλαυνον οὗτοι τοὺς ἱκέτας. Καὶ τὸ θρυλλούμενόν ποτε) Λέγουσιν ὅτι Πύδνα χωρίον Μακεδονίας· Ποτίδαια δὲ τῆς Θρᾴκης. καὶ ἡ μὲν Πύδνα, ὑπήκοος ἦν Φιλίππου· ἡ δὲ Ποτίδαια, τοῖς Ἀθηναίοις. ἐπηγγέλλετο δέ τι, τὴν μὲν Ποτίδαιαν ἀποστῆναι πρὸς Φίλιππον· τὴν δὲ Πύδναν, πρὸς τοὺς Ἀθηναίους. ἑκάτεροι δέ, οἵ τε Ἀθηναῖοι καὶ ὁ Φίλιππος, τῶν ἰδίων ἐπεθύμουν. τοῦτο οὖν ἔλεγεν ὁ Φίλιππος, ὅτι τὸ θρυλλούμενον τοῦτο καὶ ποθούμενον ἐν ἀπορρήτῳ κατασκευάσω. διὰ τί δὲ ἐν ἀπορρήτῳ· ἵνα μὴ ἑκάτεροι μαθόντες, φυλάξωνται, οἵ τε Ποτιδαιᾶται καὶ οἱ Πυδναῖοι. Θεόπομπος δέ φησιν ὅτι περὶ Πύδνης μόνον καὶ Φιλίππου, ἵνα δῷ ἢ αὐτὸς μὲν Ἀθηναίοις Ἀμφίπολιν, δέξηται δὲ παρ᾽ αὐτῶν τὴν Πύδναν αὐτοῦ οὖσαν. καὶ τὸ ἀπόρρητον δέ, ἵνα μὴ μαθόντες οἱ Πυδναῖοι φυλάξωνται· οὐ γὰρ ἐβούλοντο τὸ.α.η.

10 εἶναι ὑπὸ τὸν Φίλιππον. Συμμάχους) Τοὺς Ποτιδαιάτας. Θετταλοὺς δὲ νῦν) Εἰκότως Θετταλοὺς τελευταίους ἠπάτησεν, ὡς εὐχερεῖς ὄντας καὶ μὴ δυ

11 νηθέντας ἀπὸ τῆς Ἀθηναίων καὶ Ὀλυνθίων ἀπάτης σωφρονισθῆναι. Οὐ πεφενάκικεν) Ἐπειδὴ στρατηγικὸν εἶναι δοκεῖ τὸ φενακίζειν τοὺς πολεμίους, διὰ τοῦτο συνῆξεν εἰπών, τῶν αὐτῷ χρησαμένων, ὅτι Φίλιππος οὐ τοὺς πολεμίους, ἀλλὰ τοὺς φίλους ἀπατᾷ· τοῦτο δὲ ἀπιστίας τεκμήριον. εἴρηται δὲ ἡ λέξις ἀπὸ τῆς φενάκης τῆς προσθέτου κόμης, ἥτις ἕνεκα ἀπάτης γίνεται· προσποιεῖται γὰρ περιτεθεῖναι κόσμον ὅνπερ οὐ κέκτηται. Ὥσπερ οὖν διὰ τούτων) Ἐνθύμημα, ὃ καλεῖται ἀκολουθία. ὥσπερ, φησί, διὰ τῆς ἀγνοίας γέγονε μέγας, οὕτως ὀφείλει διὰ τῆς γνώσεως καθαιρεθῆναι πά- σχαπωπικόν.η. προσθετ.α.

12 λιν. Διὰ τούτων) Ἀγνοούντων, καὶ διὰ τοῦτο ἀπατηθέντων. Διὰ τῶν αὐτῶν) Εἰς γνῶσιν ἐλθόντων ὅτι ἠπατήθησαν· διὸ κατ᾽ αὐτοῦ ὁρμήσουσιν. Ἕνεκα ἑαυτοῦ) Ἀλλ᾽ οὐχ ἕνεκα αὐτῶν. Παρελθὼν) Τὸ σχῆμα πρόκλησις. Μᾶλλον δ᾽ ὑμῖν, δειξάτω) Τοῦτο λέγεται ἐπανόρθωσις. εἰ ἐμὲ γάρ, φησίν, ἀνάξιον νομίζει τοῦ μαθεῖν, ὑμῖν δειξάτω. τὸ γοῦν ἀμφίβολον ἔφυγε, τὸ δὲ ὁμολογούμενον εἴρηκεν· ἀμφίβολον μὲν γὰρ τὸ λεγέτω μοι ὅτι οὐκ ἔστιν ἀσθενής· τὸ δὲ ὁμολογούμενον, ὅτι οἱ

13 ἐξηπατημένοις οὐ πιστεύουσι. Καὶ μὴν εἴ τις ὑμῶν) Καὶ τοῦτο ἀντίθεσίς ἐστι τοῦ δυνατοῦ, δύναμιν ἀνθυποφορᾶς ἔχουσα· ἡ γὰρ ἀνθυποφορά, οὐχ ὁλόκληρός ἐστιν ἀντίθεσις, ἀλλὰ μέρος ἀντιθέσεως, τὸ μὲν δεχομένη, τὸ δὲ ἐνισταμένη, οἷον ἐστὶ καὶ τὸ νῦν· τῆς γὰρ προτέρας ἀντιθέσεως οὔσης, ὅτι φοβερὸς ὁ Φίλιππος, καὶ τῷ δικαίῳ λυομένης, ἡ ἀνθυποφορά, πρὸς μὲν τὸ δίκαιον οὐκ ἐνίσταται· μέρος δὲ ἔχει τοῦ δυνατοῦ, ὅτι εἰ καὶ Φίλιππος ἄδικος καὶ ἐπίορκος, ἀλλ᾽ ὅμως βίᾳ καθέξει τὰ πράγματα. Οἴεται δὲ βίᾳ καθέξειν) Ὅ ἐστι διὰ τὸ κατέχειν αὐτὸν τοὺς καιρίους τόπους κατ᾽ αὐτῶν, οἷον φρούρια καὶ λιμένας, ἵνα ηι

καὶ

καὶ θελήσωσιν ἀποστῆναι, μὴ δυνήσωνται. Ὅταν μὲν γὰρ ὑπ' εὐνοίας) Ἀπὸ τοῦ δικαίου πάλιν ἐπιλύσατο τὴν λύσιν· εἰ γὰρ ἐκ πλεονεξίας ἴσχυσεν, οὐκ εὔνοιαν ἔχει τοὺς ἀδικηθέντας. Πᾶσι) Στρατηγοῖς καὶ στρατιώταις.

15 Ἡ πρώτη πρόφασις) Ἀντὶ τοῦ ἔλυσεν. οὐκ οὖν δεήσει μάχης καὶ κινδύνων, ἵνα κρατήσωμεν. ὁ δὲ, ἡ πρώτη πρόφασις καὶ μικρὸν πταῖσμα, εἰπὼν, τὸ ῥᾴδιον τῆς καθαιρέσεως ἔδειξε. τοῦτο γὰρ μάλιστα τοῦ δυνατοῦ κεφαλαίου τιμιώτατον μέρος. Μικρὸν πταῖσμα) Τὸ ἡττηθῆναι αὐτὸν κατὰ τὸν πόλεμον. Ἀνεχαίτισεν) Ἀπέσεισεν. ἀπὸ μεταφορᾶς τῶν ὑποζυγίων, ἃ διὰ τὸ μὴ ἐπὶ πλὺ δύνασθαι φέρειν τὸν ζυγόν, πολλάκις ἀναστρέπει αὐτόν. πάνυ δὲ ὁ λόγος ἁρμόζει καὶ ἐπὶ τῶν ὑπὸ Φιλίππου δεδουλωμένων, εἴγε καὶ ἡ δουλεία ἔοικε ζυγῷ, καὶ τὸ βούλεσθαι τοὺς δούλους ἀποστῆναι, διὰ τὸ μηκέτι φέρειν ἐπὶ τὸν ἀδικοῦντα καὶ πολιορκοῦντα. τῇ δὲ συνεχείᾳ τῶν ὀνομάτων, δείκνυσιν αὐτὸν καὶ θεοῖς καὶ ἀνθρώποις πολέμιον· ἵνα τὸ μὲν ἀδικοῦντα, λάβωμεν ἐπὶ ἀνθρώπων· τὸ δὲ ἐπιορκοῦντα, ἐπὶ θεῶν· τὸ δὲ ψευδόμενον, ἐπ' ἀμφοτέρων. Φωρᾶται) Τουτέστιν ἐλέγχεται· ἀπὸ μεταφορᾶς τοῦ φωρός, ὅ ἐστι τοῦ λῃστοῦ· φὼρ γὰρ ὁ λῃστής· ὅθεν καὶ τὸ ἐπαυτοφώρῳ.

τὰς συμφοράς, καὶ μένειν ἐθέλουσιν οἱ ἄνθρωποι· ὅταν
δ' ἐκ πλεονεξίας καὶ πονηρίας τις ὥσπερ οὗτος ἰσχύσῃ, ἡ
πρώτη πρόφασις καὶ μικρὸν πταῖσμα, ἅπαντα ἀνε-
χαίτισε καὶ διέλυσεν· οὐ γάρ ἐστιν, οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθη- 15
ναῖοι, ἀδικοῦντα, καὶ ἐπιορκοῦντα, καὶ ψευδόμενον, δύνα-
μιν βεβαίαν κτήσασθαι, ἀλλὰ τὰ τοιαῦτα, εἰς μὲν ἅπαξ
καὶ βραχὺν χρόνον ἀντέχει· καὶ σφόδρα γε ἤνθησεν ἐπὶ
ταῖς ἐλπίσιν, ἂν τύχῃ· τῷ χρόνῳ δὲ φωρᾶται, καὶ περὶ αὑ-
τὰ καταρρεῖ· ὥσπερ γὰρ οἰκίας, οἶμαι, καὶ πλοίου, καὶ τῶν ἄλ-
λων τῶν τοιούτων, τὰ κάτωθεν ἰσχυρότατα εἶναι δεῖ, οὕτω καὶ 16
τῶν πράξεων τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις ἀληθεῖς καὶ
δικαίας εἶναι προσήκει. τοῦτο δ' οὐκ ἔνι νῦν ἐν τοῖς πεπραγ-
μένοις Φιλίππῳ. φημὶ δὴ δεῖν ὑμᾶς ἅμα, τοῖς μὲν Ὀλυν-
θίοις βοηθεῖν, καὶ ὅπως τις λέγει κάλλιστα καὶ τάχιστα, οὕτως
ἀρέσκει μοι· πρὸς δὲ Θετταλοὺς πρεσβείαν πέμπειν, ἣ
τοὺς μὲν διδάξει ταῦτα, τοὺς δὲ παροξυνεῖ· καὶ γὰρ νῦν εἰσιν 17
ἐψηφισμένοι Παγασὰς ἀπαιτεῖν, καὶ περὶ Μαγνησίας λό-
γους ποιεῖσθαι. σκοπεῖσθε μέντοι τοῦτο, ὦ ἄνδρες Ἀθηναῖοι,
ὅπως μὴ λόγους ἐροῦσι μόνον οἱ παρ' ἡμῶν πρέσβεις, ἀλ-
λὰ καὶ ἔργον τι δεικνύειν ἕξουσιν, ἐξεληλυθότων ἡμῶν ἀξί-
ως τῆς πόλεως, καὶ ὄντων ἐπὶ τοῖς πράγμασιν· ὡς ἅπας 18
μὲν λόγος, ἂν ἀπῇ τὰ πράγματα, μάταιόν τι φαίνεται
καὶ κενόν, μάλιστα δὲ ὁ παρὰ τῆς ἡμετέρας πόλεως· ὅσῳ
γὰρ ἑτοιμότατ' αὐτῷ δοκοῦμεν χρῆσθαι, τοσούτῳ μᾶλλον ἀ-
πιστοῦσι πάντες αὐτῷ. πολλὴν δὴ τὴν μετάστασιν καὶ με-
γάλην δεικτέον τὴν μεταβολήν, εἰσφέροντας, ἐξιόντας, ἅ-
παντα ποιοῦντας ἑτοίμως, εἴπερ τις ὑμῖν προσέξει τὸν νοῦν. 19
κἂν ταῦτα ἐθελήσητε, ὡς προσήκει καὶ δεῖ, περαίνειν, οὐ μό-
νον, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ συμμαχικὰ ἀσθενῶς καὶ ἀπί-
στως ἔχοντα φανήσεται Φιλίππῳ, ἀλλὰ καὶ τὰ τῆς οἰκείας ἀρ-
χῆς καὶ δυνάμεως κακῶς ἔχοντα ἐξελεγχθήσεται· ὅλως
μὲν γὰρ ἡ Μακεδονικὴ δύναμις καὶ ἀρχή, ἐν μὲν προσθή-

16 Καὶ σφόδρα γε ἤνθησε) Τῇ δὲ ἐλπίσι χρησάμενος, καὶ τὸ ἤνθησε, πρόσκαιρον καὶ ἀβέβαιον ἔδειξε τὴν δύναμιν τοῦ Μακεδόνος· καὶ γὰρ τὰ ἄνθη, πρόσκαιρα καὶ οὐ πολυχρόνια. Καταρρεῖ) Ὅ ἐστι διαφθείρεται· ὡς ἀπὸ μεταφορᾶς τοίχου τινὸς παλαιοῦ, ὅταν ὑπὸ τῆς παλαιότητος καὶ τοῦ χρόνου, αὐτὸς ὑφ' ἑαυτοῦ διαβιβρώσκηται καὶ ἀναλίσκηται. Τὰ κάτωθεν) Τινὲς λαμβάνονται τοῦ ῥήτορος ἐνταῦθα, λέγοντες ὅτι κάτω ἔδει εἰπεῖν, καὶ οὐ κάτωθεν, ἀγνοήσαντες τὸ ἀκόλουθον· κάτωθεν γὰρ εἶπεν, ἐπειδὴ κάτωθεν ἀπὸ θεμελίων ἐπὶ τὰ ἄνω οἰκοδομεῖται ὁ οἶκος· ὁμοίως δὲ καὶ ἡ ναῦς ἀπὸ τῆς τρόπιδος. Φημὶ δὴ δεῖν ὑμᾶς) Ἐγχείρημα συμβουλευτικὸν ἀποφαντικῶς. πεπλήρωκε δὲ ἄχρις ἐνταῦθα τὸν περὶ τοῦ δικαίου λόγον, καὶ δείξας Φίλιππον μὲν δυσμενεῖς τοὺς θεούς, εὐμενεῖς δὲ τῷ δήμῳ, πάλιν ἐπὶ τὴν προτροπὴν ἐχώρησεν· ἀεὶ γὰρ τοῖς ἐνθυμήμασι καὶ ταῖς ἀποδείξεσιν ἐπάγει τὰς προτροπάς. Κάλλιστα καὶ τάχιστα) Καλῶς συνέζευξε τὰ δύο· ἑκάτερον γὰρ χωρὶς ὂν τοῦ ἑτέρου, βλάβην ἐργάζεται. Πρεσβείαν πέμπειν) Ἀπὸ κοινοῦ τὸ φημί. ἥτις πρεσβεία, τοὺς μὲν διδάξει· εἰς δύο γὰρ μερίζει τοὺς Θετταλούς· εἰς ἀγνοοῦντας τὸν Φίλιππον, καὶ εἰδότας μὲν, δεδιότας δέ.

17 Ἀξίως τῆς πόλεως) Καλῶς ἐπισφήλατο· ἠδύνατο γὰρ πολλάκις πέμψαι μὲν, ὀλίγους δέ· διὸ προσέθηκεν, ἀξίως τῆς πόλεως. Τὰ πράγματα) Ἔργα. Ὅσῳ γὰρ) Τὸ σχῆμα ἀπ' αὐξήσεως. 18 Τοσούτῳ μᾶλλον ἀπιστοῦσι) Ἐπειδή, φησίν, εὐχερῶς καὶ ἑτοίμως ὑπισχνούμεθα, οὐ ποιοῦμεν δέ, εἰκότως ἅπαντες ἡμῖν ἀπιστοῦσι. Τὴν μετάστασιν) Μετάστασις, τὸ ἀπὸ Ἀθηνῶν εἰς Ὄλυνθον ἐλθεῖν συμμάχους· μεταβολὴ δὲ, τὸ τὴν ῥαθυμίαν εἰς προθυμίαν μεταβαλεῖν.

19 Εἴπερ τις ὑμῖν προσέξει) Οὕτως, φησίν, ἅπαντες ἀπιστοῦσιν ὑμῖν μηδὲν ποιοῦσιν, ὅτι καὶ κάσσωνται ἡμᾶς ποιοῦντας, θαυμάζει εἰ καὶ τότε ἡμῖν πιστεύουσιν ὅτι ποιοῦμεν. Τὰ τῆς οἰκείας ἀρχῆς) Ὅ ἐστιν αὐτῆς τῆς Μακεδονικῆς, οὐ

α.β.ε.η. — θ. — θ. — μικρὸν. ε. — τύχοι. ε.η. — ἰσχυρότατα. — ἡμᾶς. α. — παραινεῖν. ε — προσθήκη μέρος ἐστί τις. ε.η. — ἔνθεν. α.η. — αὖθις. η. — διαχωρὶς ὄν. η. — διαιρεῖ. η. — γάρ. θ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῆς ἔξω τῶν συμμάχων· ἢ δὴ γὰρ περὶ ταύτης εἶπεν. Ὅλως μὲν γὰρ ἡ μακεδονική) Πρὸς γὰρ Ὀλυνθίοις πολε... Ἀθηναίοις συνεμάχησε Περδίκκας ὁ ἀδελφὸς Φιλίππου μετὰ τῶν Μακεδόνων. λῃστρικῶς οὖν λέγει*, ὅτι ἡ δύναμις ἣν "ἐρχόμενοι, τότε μὲν ὥσπερ ἐν προσθήκης μέρει πρὸς συμμαχίαν, νῦν ἡμῖν περὶ τῶν πρωτείων φιλονεικεῖ. τὸ δὲ ὅλως, ἀντὶ τοῦ καθόλου. Ἐν προσθήκης μέρει) Ὅ ἐστι προστιθεμένη ἄλλῃ τινὶ δυνάμει. Οὐ σμικρά) Οἷον σύμμετρος, οὔτε μεγάλη, οὔτε σμικρά. Ἐπὶ Τιμοθέου) Οὗτος στρατηγὸς τῶν Ἀθηναίων, πατὴρ Κόνωνος τοῦ στρατηγοῦ· εὐτυχὴς δὲ σφόδρα ἐξ ἀρχῆς γενόμενος, εἴπερ τις ἄλλος· λέγεται γὰρ περὶ αὐτοῦ, ὡς ἐν οἵῳ δήποτε πολέμῳ ἐπέμπετο, ἐνίκα. ὅθεν καὶ τοὺς ζωγράφους ἡνίκα αὐτὸν ἔγραφον, γράφειν αὐτὸν καθεύδοντα· γυναῖκα δὲ * συγγράφειν, ἐπιγράφοντας αὐτῇ τὸ τῆς τύχης ὄνομα πλησίον αὐτοῦ ἱσταμένην, καὶ βαστάζειν δίκτυα καὶ ἄλλα ὄργανα θηρευτικά, δηλοῦντες διὰ τούτου ὅτι ἡ τύχη ὑπὲρ αὐτοῦ πάντα ποιεῖ, αὐτοῦ "τὸ τοιοῦτο μηδέν. ὡς δὲ ἐπὶ τούτοις βαρέως ἤνεγκε, μηδέποτε νενικηκέναι διὰ τῆς "τύχης, ἀλλὰ δι' ἑαυτοῦ λέγων, ὕστερον ὥσπερ τοῦ δαιμονίου αὐτὸν νεμεσήσαντος τῇ ἀλαζονείᾳ τοῦ ῥήματος, οὐκ ἔτι νενίκηκε. Συναμφότερον) Σὺν ἄλλῳ γενόμενον.

*ταῦτα. ν.
"ἐρχόμενοι. α.
*τινά. ν.
"ποιοῦντος. ν.
"νίκης. α.
*αὐτῷ. ν.

20 κης μέρος ἐστί τις οὐ σμικρά, οἷον ὑπῆρξέ ποθ' ὑμῖν ἐπὶ Τιμοθέου πρὸς Ὀλυνθίους· πάλιν αὖ, πρὸς Ποτίδαιαν Ὀλυνθίοις ἐφάνη τι τοῦτο συναμφότερον· νυνὶ δὲ Θετταλοῖς νοσοῦσι καὶ στασιάζουσι, καὶ τεταραγμένοις, ἐπὶ τὴν τυραννικὴν οἰκίαν "ἐβοήθησε. καὶ ὅποι τις ἄν, οἶμαι, προσθῇ, κἂν

21 μικρὰν δύναμιν, πάντ' ὠφελεῖ. αὐτὴ δὲ καθ' αὑτὴν ἀσθενὴς καὶ πολλῶν κακῶν ἐστι μεστή. καὶ γὰρ οὗτος ἅπασι τούτοις, οἷς ἄν τις μέγαν αὐτὸν ἡγήσαιτο, τοῖς πολέμοις καὶ ταῖς στρατείαις, ἔτ' ἐπισφαλεστέραν αὐτὴν ἢ ὑπῆρχε φύσει, κατεσκεύακεν "ἑαυτῷ· μὴ γὰρ οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς αὐτοῖς Φίλιππόν τε χαίρειν, καὶ τοὺς ἀρχομένους·

22 ἀλλ' ὁ μὲν δόξης ἐπιθυμεῖ, καὶ τοῦτο ἐζήλωκε καὶ προῄρηται πράττων καὶ κινδυνεύων, ἂν συμβῇ τι παθεῖν, τὴν τοῦ διαπράξασθαι ταῦτα, ἃ μηδεὶς πώποτε ἄλλος Μακεδόνων βασιλεύς, δόξαν ἀντὶ τοῦ ζῆν ἀσφαλῶς ᾑρημένος· τοῖς δέ, τῆς μὲν φιλοτιμίας τῆς ἀπὸ τούτων οὐ μέτεστι· κοπτόμενοι δὲ ἀεὶ ταῖς στρατείαις ταύταις ταῖς

23 ἄνω τε καὶ κάτω, λυποῦνται καὶ συνεχῶς ταλαιπωροῦσιν, οὔτ' ἐπὶ τοῖς ἔργοις, οὔτ' ἐπὶ τοῖς αὑτῶν ἰδίοις ἐώμενοι διατρίβειν, οὔθ' ὅσ' ἂν ποιήσωσιν οὕτως ὅπως ἂν δύνωνται, ταῦτ' ἔχοντες διαθέσθαι, κεκλεισμένων τῶν ἐμπορίων τῶν ἐν τῇ χώρᾳ διὰ τὸν πόλεμον. οἱ μὲν οὖν πολλοὶ Μακεδόνων πῶς ἔχουσι Φιλίππῳ, ἐκ τούτων ἄν τις σκέψαιτο οὐ

Θετταλοῖς νοσοῦσι) Νοσοῦσι λέγει τὰς γνώμας, ὅτι οἱ μὲν αὐτῶν ἐβούλοντο δημοκρατεῖσθαι· οἱ δέ, περὶ τοὺς τυράννους τοὺς Ἀλευάδας καὶ οἱ φίλοι αὐτῶν τυραννεῖσθαι. Τυραννικὴν δὲ οἰκίαν, τὸ γένος λέγει

21 τῶν Ἀλευαδῶν. Καὶ μικρὰν δύναμιν) Ἐπειδὴ διὰ τῆς ἀνωτέρω ἔδοξεν ὥσπερ τινὰ ἐπιτομὴν δυνάμεως παρέχειν τοῖς "Μακεδόσι, βούλεται κοινὸν αὐτὸ δεῖξαι καὶ διὰ τοῦ καθολικοῦ ἐλαττῶσαι. ὁ δὲ καί, σημαίνει ἐνταῦθα αἵρεσιν τοῦ ἐλάττονος ἐν ἀποτυχίᾳ τοῦ μείζονος· οὐ γάρ εἰσι δύο μέρη, ἀλλ' ἕν. Ἔτ' ἐπισφαλεστέραν) Ζητεῖται πῶς ἀσθενῆ, ἀλλ' οὐχὶ καὶ μᾶλλον ἰσχυρὸν ποιεῖ διὰ τοῦ γυμνάζεσθαι καὶ "συνεκμανθάνειν τὰ πολεμικά· καὶ φαμὲν ὅτι ἀσθενεστέραν οὐ λέγει τοῖς σώμασιν, ἀλλὰ τῇ γνώμῃ· διότι μισοῦσιν αὐτὸν δι' ἅπερ αὐτοὺς ποιεῖ ὡς ἐπιφέρει· ἢ ὅτι τῇ συνεχεῖ τριβῇ κατακοπτόμενοι, ἀσθενέστεροι γίνονται. Μὴ γὰρ οἴεσθε) Ἀντιπῖπτον λύει. ἐπειδὴ δειλίαν οὐκ ἔχει κατηγορῆσαι τὴν γνώμην, ἐξετάζει τοῦ Φιλίππου, καὶ τὴν σχέσιν τῶν Μακεδόνων, καὶ τὰς προαιρέσεις αὐτῶν ἐναντίας ἀποφήνας, οὐχ ὁμονοοῦντας ἀλλήλοις δείκνυσι.

"Μακεδονίοις α.
"συνεχῶς ποιεῖν τὰ πολέμια. α.

22 Καὶ προῄρηται πράττων) Σύνταξις οὕτως· καὶ προῄρηται πράττων καὶ κινδυνεύων παθεῖν ὅ,τι ἂν συμβῇ. εἶτα δεῖ στίξαι, τὰς προενεγκεῖν τὸ ᾑρημένος ἀντὶ τοῦ ζῆν ἀσφαλῶς, δόξαν κτήσασθαι τὴν τοῦ ταῦτα διαπράξασθαι, ἃ μηδεὶς "ἄλλων Μακεδόνων. Κοπτόμενοι δ' ἀεὶ ταῖς στρατείαις) Ταλαιπωρούμενοι. τὸ μὲν συμβαῖνον ἐκ τῆς στρατείας, λέγω δὴ τὴν ἐμπειρίαν τῶν πολεμίων, ὡς πρὸς φόβον συντελοῦν, ἀφῆκε· τὴν δὲ γνώμην ἐξήτασεν, ὅτι λυποῦνται τοῖς συνεχέσι πολέμοις. καὶ τὴν αἰτίαν προσέθηκεν, οὐ συγχωρούμενοι γεωργεῖν, οὔτε τοῖς ἰδίοις προσέχειν. εἶτ' ἐπειδὴ καὶ πρὸς τοῦτο ἀντέπιπτεν, ἀλλ' ἐκ τοῦ πολέμου κερδαίνουσι, λάφυρα καὶ τὰ τοιαῦτα λαμβάνοντες, καὶ τοῦτον ἄχρηστον ἀπέφαινε τὸ κέρδος, οὐ δυναμένων αὐτῶν διαπιπράσκειν ὅσα ἂν πείσωσιν, ἀλλὰ προσθήκην αἰσχρώματος ἔχειν διὰ τὸ ἀναγκάζεσθαι περιφέρειν αὐτά, καὶ μὴ δύνασθαι πωλεῖν, κεκλεισμένων τῶν ἐμπορίων, καὶ μηδενὸς ἐμπορευομένου διὰ τὸν πόλεμον. καὶ προσέθηκεν, οὕτως ὅπως ἂν δύνωνται, ἐνδεικνύμενος ὅτι οὐδὲ ὅπλοις κρατοῦντες, ἀλλ' ἁρπάζοντες καὶ

"ἄλλος. ν.

23 λῃζόμενοι κερδαίνουσι. Διαθέσθαι) Πωλῆσαι. ἡ λέξις καὶ παρ' Ἰσοκράτει ἐν τῷ Βουσίριδι, ὅταν λέγῃ τὴν διάθεσιν. Ἄλλως Διαθέσθαι ἀντὶ τοῦ ἀποδόσθαι. Ἰσοκράτης καὶ διάθεσις ἀντὶ τοῦ διάπρασις· Ἀντιφῶν δὲ ἀντὶ τοῦ διοίκησις· καὶ διαθέσθαι ἀντὶ τοῦ διοικῆσαι. παραλαμβάνεται δὲ καὶ ἀντὶ τοῦ συνθέσθαι, ὡς Ὑπερείδης καὶ Δημοσθένης ἐν τοῖς ἑξῆς. ἑκατέρα δὲ τούτων κεῖται καὶ ἐπὶ τοῦ διαθήκας γράφειν. Ἰσαῖος ἐν τῷ πρὸς Ἀριστογείτονα, μετὰ ταύτην εἶναι τὴν ἀπόκρισιν ἑτέραν διαθήκην ἐκόμισαν, ἣν ἔφασαν Ἀρχέπολιν ἐν Λήμνῳ διαθέσθαι. Λυσίας ἐν τῷ πρὸς Τιμωνίδην, πῶς δ' ἂν τῆς διαθέσεως τοῦ τετελευτηκότος ἀμφισβητήσαιμεν, ἣν ἐκεῖνος διέθετο, οὐ παρών, οὐδὲ γυναικὶ πεισθείς. παρ' Ἰσοκράτει δὲ καὶ ἐπὶ τοῦ πάσχειν κεῖται τὸ διατίθεσθαι, ὥς φησιν ἐν Ἑλένης ἐγκωμίῳ, γνοίη δ' ἄν τις κἀκεῖθεν ὅτι διαφέρει τῶν ὄντων, ἐξ ὧν αὐτοὶ διατιθέμεθα πρὸς ἕκαστον τῶν καλῶν. Ἀντιφῶν δὲ τῇ διαθέσει ἐχρήσατο ἐπὶ γνώμης ἢ διανοίας· ὁ αὐτὸς δὲ καὶ ἐπὶ

τοῦ

τοῦ διαθεῖναι λόγον τοῦτ᾽ ἔστιν ἐπὶ τοῦ ἐξαγγεῖλαί τι, ἐν τῷ ις. τῆς ἀληθείας. ὁ αὐτὸς κέχρηται αὐτῷ καὶ ἐπὶ τῆς διακοσμήσεως. Οἱ δὲ δὴ περὶ αὐτὸν ὄντες) Ὁρᾷς πῶς κατὰ μικρὸν τὸ ἀσθενὲς ἀποδείκνυσι τοῦ Φιλίππου, πρότερον εἰπὼν ὅτι μισοῦ- 24
σιν αὐτὸν οἱ σύμμαχοι, Ἕλληνές τε καὶ βάρβαροι, καὶ μελετῶσιν ἀπόστασιν· εἶτα καὶ αὐτοὶ οἱ Μακεδόνες οἱ πολῖται αὐτοῦ. εἶτα, ἵνα μή τις εἴπῃ, ἀλλ᾽ εἰ καὶ οὗτοι οὕτως ἔχουσιν, ἀλλ᾽ οὖν ξενικά τινα στρατεύματα βούλεται δεῖξαι, ὅτι καὶ οὗτοι δόξαν μέντοι ἔχουσι καὶ ὑπόνοιαν πολεμικήν· οὐ μέντοι ἐστὶν ἀληθῆ, ἐξ ὧν καὶ ἐπιφέρει. Πεζαίτεροι) Πολλαὶ περὶ τούτου φέρονται ἐξηγήσεις. οἱ μὲν γὰρ αὐτὸ λέγουσιν ὄνομα στρατεύματος οὕτω λεγομένου· οἱ δέ, ὅτι τινὲς ἦσαν παρ᾽ αὐτοῖς στρατιῶται, τὸν ἕτερον πόδα γυμνὸν ἔχοντες, τὸν δὲ ἕτερον ὡπλισμένον· διὸ φασὶ καὶ πεζαιτέρους αὐτοὺς καλεῖσθαι, παρὰ τὸ τὸν ἕτερον πόδα γυμνὸν ἔχειν· πέζα γὰρ τὸ κάτωθεν τοῦ ποδός· ὅθεν καὶ τὸ πεζεύειν, τὸ χαμαὶ περιπατεῖν· οἱ δέ φασι, τοὺς ἀπὸ τοῦ πλήθους τῶν πεζῶν ὧν εἶχε ξένων, ἑταίρους καὶ φίλους γενομένους αὐτῷ, οἱονεί τινας ἐκλελεγμένους* διὰ τὸ ἀνδρεῖον, ἵνα φυλάττωσιν αὐτόν. ἡ δὲ γραφὴ διάφορος πρὸς τὴν διάφορον ἐξήγησιν.

μὴ ἐπιτηδεύουσι. γρ. — αὐτῷ στρατιῶται. γρ. — κάτω. γρ. — ἕτεροι δὲ φίλ. γρ. — * καὶ. γρ.

γρ. πεζέταιροι

χαλεπῶς. οἱ δὲ δὴ περὶ αὐτὸν ὄντες ξένοι καὶ πεζαίτεροι 24 δόξαν μὲν ἔχουσιν ὡς εἰσὶ θαυμαστοὶ καὶ συγκεκροτημένοι τὰ τοῦ πολέμου· ὡς δ᾽ ἐγὼ τῶν ἐν αὐτῇ τῇ χώρᾳ γεγενημένων τινὸς ἤκουον, ἀνδρὸς οὐδαμῶς οἵου τε ψεύδεσθαι, οὐδένων εἰσὶ βελτίους. εἰ μὲν γάρ τις ἀνήρ ἐστιν ἐν αὐτοῖς οἷος ἔμπειρος πολέμου καὶ ἀγώνων, τούτους μὲν φιλοτιμίᾳ 25 πάντας ἀπωθεῖν αὐτὸν ἔφη, βουλόμενον πάντα αὑτοῦ δοκεῖν εἶναι τὰ ἔργα· πρὸς γὰρ αὖ τοῖς ἄλλοις, καὶ τὴν φιλοτιμίαν ἀνυπέρβλητον εἶναι. εἰ δέ τις σώφρων, ἢ δίκαιος ἄλλως, τὴν καθ᾽ ἡμέραν ἀκρασίαν τοῦ βίου, καὶ μέθην, καὶ κορδακισμοὺς οὐ δυνάμενος φέρειν, παρεῶσθαι καὶ ἐν οὐδενὸς εἶναι μέρει τὸν τοιοῦτον. 26 λοιποὺς δὴ περὶ αὐτὸν εἶναι λῃστὰς καὶ κόλακας καὶ τοιούτους ἀνθρώπους οἵους μεθυσθέντας ὀρχεῖσθαι τοιαῦτα οἷα ἐγὼ νῦν ὀκνῶ πρὸς ὑμᾶς ὀνομάσαι. δῆλον δ᾽ ὅτι ταῦτ᾽ ἐστὶν ἀληθῆ· καὶ γὰρ οὓς ἐνθένδε πάντες ἀπήλαυνον, ὡς πολὺ τῶν θαυματοποιῶν ἀσελγεστέρους ὄντας, Καλλίαν ἐκεῖνον τὸν δημόσιον, καὶ τοιούτους ἀνθρώπους μίμους γελοίων, καὶ ποιητὰς αἰσχρῶν ᾀσμάτων, ὧν εἰς 27 τοὺς συνόντας ποιοῦσιν ἕνεκα τοῦ γελασθῆναι, τούτους ἀγαπᾷ, καὶ περὶ αὑτὸν ἔχει. καίτοι ταῦτα, εἰ καὶ μικρά τις ἡγεῖται, μεγάλα, ὦ ἄνδρες Ἀθηναῖοι, δείγματα τῆς ἐκείνου γνώ-

παρεῶσθαι. γρ.

Ἐν αὐτῇ τῇ χώρᾳ γεγενημένων) Οἷον οἰκησάντων, οὐχ ἁπλῶς παροδευσάντων τινός· οὐ γὰρ λέγων ἐπιστεύετο. Οὐδένων) Φασὶν οἱ τεχνικοὶ τῶν γραμματικῶν, ὅτι οὐ κυρίως κέκλιται* ἡ γενικὴ· ἡ εὐθεῖα τοῦ οὐδεὶς οὐδενός. Βελτίους) Οὗτοι οἱ πεζαίτεροι. Εἰ μὲν γάρ τις) Τὸ ἐναντίον ἐμφαίνει. Φιλοτιμίᾳ 25 πάντας) Ἀντὶ τοῦ διὰ φιλοτιμίαν, ἣν αὐτὸς μόνος κεκλῆσθαι βούλεται. τί οὖν, οὐκ ἐπαινετὸς καθ᾽ ὃ δόξης ὀρέγεται; εἰ μὲν γὰρ συμμέτρου ὠρέγετο, ἐπαινετὸς ἂν ἦν· νῦν δὲ τῷ πλεονάζοντι, εἰς κενοδοξίαν, ὥσπερ λέγομεν, ἐκπίπτει· ἑκάστῃ γὰρ ἀρετῇ δύο κακίαι παρέπονται, κατ᾽ ἔνδειαν καὶ πλεονασμόν. Ἢ δίκαιος ἄλλως) Οἷον ἀπὸ φύσεως, φυσικῶς· ἵνα δείξῃ, ὅτι ἀπὸ διδαχῆς οὐκ ἔστι παρὰ Μακεδόσι γενέσθαι σώφρονα. τρία δὲ σημαίνει παρὰ τοῖς παλαιοῖς τὸ ἄλλως, οἷον τὸ κατ᾽ ἄλλον τρόπον· ἢ τὸ κατὰ φύσιν, ὡς ἐνταῦθα· ἢ τὸ μάτην. Πλατωνικῇ δὲ κέχρηται δόξῃ· φησὶ γὰρ ἐκεῖνος ἕπεσθαι τὰς ἀρετὰς ἀλλήλαις, ὥστε τὸν ὄντα σώφρονα, καὶ δίκαιον εἶναι, καὶ φρόνιμον, καὶ ἀνδρεῖον. Τὴν καθ᾽ ἡμέραν ἀκρασίαν) Οὐχ ἁπλῶς οὐδὲ τοῦτο·

ἤγε ἡ εὐθ. α — ἀρετῶν κακίαι ἕπονται. γρ. — γρ.

ἀλλ᾽ ἵνα μή τις νομίσῃ ὡς τύραννον αὐτὸν τρυφᾶν καὶ ἔν τισιν ἡμέραις, καί τινας ἐπ᾽ ἄριστον καλεῖν, διὰ τοῦ καθ᾽ ἑκάστην ἡμέραν ταῦτα ποιεῖν, διέβαλεν αὐτὸν ὡς μέθυσον, καὶ τοῦτο βίον ἔχοντα. ἀκρασίαν δέ, ἀκοσμίαν τινὰ καὶ ἀταξίαν, παρὰ τὸ μὴ κεκρᾶσθαι. Κορδακισμούς) Ὀρχήσεις ἀσχήμονας· κορδακισμὸς γάρ ἐστιν εἶδος ὀρχήσεως αἰσχρᾶς καὶ ἀπρεποῦς· τῶν 26 γὰρ ὀρχήσεων, ἡ μέν ἐστι πολεμική, ὡς καὶ ἡ πυρρίχη· ἡ δὲ γελαστική, ᾗ χρῶνται ἐν θεάτροις καὶ πότοις. Παρεῶσθαι) Ἐπὶ μὲν τῶν ἀνδρείων, τὸ ἐκβάλλειν· ἐπὶ δὲ τούτων, τὸ παρεῶσθαι εἶπεν, οἱονεὶ καταφρονεῖσθαι. καὶ ἐπὶ μὲν τῶν ἀνδρείων, τὸν φθόνον αἴτιον· ἐπὶ δὲ τῶν σωφρόνων, τὸ μῖσος. Λῃστὰς καὶ κόλακας) Λῃστάς, οἱονεὶ ἅρπαγάς τινας στρατιώτας. εἶτα ἐπειδὴ ἔμφασιν ἔχει τινὰ ἰσχύος τὸ τῶν λῃστῶν, εἴγε λῃστεύουσι τοὺς πολεμίους, ἐπαγαγὼν τούτῳ τὸ κόλακας, ἐταπείνωσεν αὐτό· ταπεινοὶ γὰρ τὸ φρόνημα οἱ κόλακες. Ὀκνῶ) Διὰ τὴν αἰσχρότητα. Δῆλον δ᾽ ὅτι ταῦτ᾽ ἐστί) Ταῦτα εἰς πίστιν τοῦ ἀπαγγείλαντος, ὥσπερ βούλεται αὐτοὺς μάρτυρας Ἀθηναίους ποιήσασθαι ἐξ ὧν ἴσασι. Καλλίαν ἐκεῖνον) Ἰστέον 27 ὅτι πληθυντικῶς εἰπών, οὓς πάντες ἀπήλαυνον, ἕνα ἐπήγαγεν, ἐφ᾽ ἑνὸς τὸ πλῆθος τῆς μαρτυρίας δεξάμενος. δημόσιον δέ φησιν, ἐπειδὴ δούλους εἶχον δημοσίους οἱ Ἀθηναῖοι ἀπὸ αἰχμαλώτων ποιήσαντες, καὶ ἐδίδασκον τούτους γράμματα, καὶ ἐξέπεμπον αὐτοὺς ἐν τοῖς πολέμοις μετὰ τῶν ταμιῶν καὶ τῶν στρατηγῶν, ἵνα ἀπογράφοιεν τὰ ἀναλισκόμενα. οὐκ ἀκαίρως δὲ τοῦτο ἐποίουν, ἀλλ᾽ ἵνα διὰ τοῦ δύνασθαι τούτους τύπτειν ὡς δούλους, ἔχωσι μανθάνειν τὸ ἀληθές· αἰσχρὸν γὰρ ἐνομίζετο παρὰ Ἀθηναίοις, ἐλευθέρους τύπτειν. εἰ δὲ διὰ τῶν πληγῶν ἠλέγχθη ὁ στρατηγὸς καὶ ὁ ταμίας ψευδόμενος, ὡς δοῦλοι λοιπὸν καὶ αὐτοὶ κακῶς ἔπασχον. Μίμους γελοίων) Ἀναγκαίως τὸ τῆς προσθήκης· οὐχ ἅπασα γὰρ μίμησις γελοία τυγχάνει, ἀλλ᾽ ἔστι καὶ σπουδαία· ἡ γὰρ τραγῳδία, μίμησίς ἐστιν ἠθῶν καὶ παθῶν· καὶ ἡ κωμῳδία μίμησις· καὶ οἱ μῖμοι σώφρονος. καὶ αἰσχρῶν ᾀσμάτων προσέθηκεν· εἰσὶ γὰρ καὶ ἀγαθῶν ᾀσμάτων ποιηταί. Καίτοι ταῦτα, εἰ καὶ μικρά) Ἵνα μή τις εἴπῃ, καὶ τί ταῦτα αὐτοῦ λυμαίνεται τὴν δύναμιν, ἐπάγει ὅτι δεῖγμά ἐστιν αὐτοῦ τῆς κακοδαιμονίας, ὡς ὅτι ἔχει μιμοῦντας τοὺς θεούς· εἰκὸς γὰρ τοὺς μίμους καὶ εἰς τοὺς κρείττονας ἀποσκώπτειν.

εὑρέθη. γρ. — Ἀναγκαῖον. γρ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

28 Αλλ' οἶμαι, νῦν μὲν ἐπισκοτεῖ) Αντίπιπτει αὐτῷ, καὶ πῶς οὖν αὐτῷ αὐτίκα καὶ σώζει τὴν δύναμιν, εἰ κακοδαιμονία ἐστὶν ἐπάγει, ὅτι πῶς νῦν εὐτυχεῖ· ἐὰν δὲ προσπέσῃ τις ἀτυχία, εὐθέως ταῦτα πάντα ἐλέγχεται· εἶτα, ἵνα μὴ πάλιν φοβήσῃ εὐτυχῆ λέγων, εὐθὺς ἐπάγει, οὐκ εἰς μακρὰν εὐτυχήσει, ἂν ὑμεῖς βούλησθε. ὥστε εἰ δεῖ τἀληθὲς εἰπεῖν, χορηγία τῆς ἐκείνου εὐτυχίας, ἡ ὑμετέρα ῥαθυμία γίνεται. Εξετασθήσεται) Ελεγχθήσεται. Δείξειν) Ελεγχον δώσειν. Αν οἵ τε
29 θεοὶ θέλωσι) Χρήζουσι γὰρ αἱ πράξεις, καὶ εὐτυχίας, καὶ κατορθωμάτων ἀνδρῶν. Καὶ ῥῆγμα, καὶ στρέμμα) Ρῆγμα μὲν οἱ ἰατροί φασιν ἀλγεῖν πρὸς ῥῆξιν, ἢ φλεβός, ἢ ἀρτηρίας· στρέμμα δέ, ἄρθρου παράβασιν· ἢ ῥῆγμα μέν, νεύρου διάστασιν· στρέμμα δέ, ὀστοῦ μετάστασιν. Καὶ τῶν πόλεων) Λείπει ἡ περὶ πρόθεσις, ἵνα ᾖ, οὕτω καὶ περὶ τῶν πόλεων καὶ τῶν
30 τυράννων. Εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες) Ανθυποφορὰ τὸ σχῆμα. πληρώσας δὲ πρότερα μέρη τοῦ δυνατοῦ, μεταβέβηκεν ἐπὶ τρίτον ἐπὶ τύχης. ἔστι γὰρ ἡ μὲν πρώτη καὶ καθολική, τὸ φοβερὸς Φίλιππος· καὶ ἔδειξεν ὅτι οὐ φοβερός, ἐξ ἀδικίας ηὐξημένος. ἡ δὲ δευτέρα καὶ μερική, ὅτι βίᾳ καθέξει τὰ πράγματα· καὶ ἔδειξεν ὅτι οὐ καθέξει, μισούντων αὐτὸν καὶ τῶν ὑπηκόων καὶ συμμάχων καὶ ξένων, ἄλλως τε καὶ αὐτὸς ὢν μεθυστής, καὶ ἀσελγής. ἡ δὲ τρίτη καὶ τελευταία, ὅτι εὐτυχὴς ὁ Φίλιππος, ὥστε καὶ μὴ σφόδρα ἔχει εὔνους τοὺς συναγωνιζομένους, κατορθοῖ διὰ τῆς τύχης· ὥστε εἰσὶ ταῖς δύο ταῖς τελευταίαις, μέρη τῆς πρώτης καθολικῆς. Σώφρονος μὲν ἀνθρώπου) Εμήκυνε τὴν ἀντίθεσιν, καὶ τὸν προσχηματίσαντα αὐτὴν ἐπῄνεσε. τίς οὖν ἡ πρόφασις· εἴωθεν ὁ Δημοσθένης, ἔνθα ἂν ἀπορῇ λύσεως πρὸς ἀντίθεσιν, μὴ ψιλὴν αὐτὴν τιθέναι, ἀλλὰ κατ' ὀλίγον πλατύνειν, ἕως ἂν λάθῃ τοὺς ἀκροατὰς προσαχθείς, ἐξ οὗ λήψεται τὴν ἀφορμὴν τῆς λύσεως, ὃ δὴ καὶ ταῦθα πεποίηκεν· ἦν γὰρ ἡ μὲν ἀντίθεσις, εὐτυχὴς ὁ Φίλιππος· οὐκ ἔχων δὲ λῦσαι ταύτην, κατ' ὀλίγον πλατύνων ἀπὸ τῆς Φιλίππου τύχης αὐτῆς, ἐπὶ τὴν κοινὴν τῶν ἀνθρώπων μετέστησεν. Η τύχη) Τὸ σχῆμα τοῦ τόπου ἐπιβολὴ ἐξ ὀνόματος, ὅταν ἀπὸ λέξεώς τινος ἐμβαλλομένης τὸ ἐπιχείρημα τίκτεται. Παρὰ πάντ') Αντὶ τοῦ πάντων τῶν ἀνθρωπίνων πραγμάτων τὴν ἐξουσίαν ἔχει.
31 Πολὺ γὰρ πλείους) Ωσπερ ἀπὸ πλατωνικῆς ὁρμώμενος διατριβῆς, ἐνταῦθα φιλοσοφεῖ, λέγων ταῖς ἀρεταῖς καὶ τὰ τῆς τύχης ἀκολουθεῖν. Οὐκ ἔνι δ' αὖ τὸν ἀργοῦντα) Επιχείρημα ἀπὸ τοῦ ἥττονος. διττὴ ἐστὶν ἡ
32 ἐξήγησις· ἡ γὰρ καθολική ἐστιν, οὐ γὰρ ἔνι δ' αὖ, ἵν' ᾖ τὸ αὖ σύνδεσμος, αὐτὶ τοῦ δή, εἶτα τὸν ἀργοῦντα καθολικῶς ἢ οὐκ ἔνι δ' αὐτὸν τὸν ἄνθρωπον· σχῆμα δὲ ἐναντίον, ὅ ἐστι δριμύτης νοήματος ἀπὸ τῆς ἐργασίας
33 λαμβανομένη. Εἰ μηδὲν ποιοῦντες) Γράφεται καὶ μηδὲν ποιοῦντες ἡμεῖς ὧν προσήκει τοὺς πολεμοῦντας, νοουμένου ἔξωθεν τοῦ ἀπαρεμφάτου. Υπὲρ τῶν ἑλληνικῶν δικαίων) Τὸν πόλεμον λέγει τὸν ὑπὲρ τῶν Θηβαίων, ὅτι Λακεδαιμόνιοι τὴν Καδμείαν κατέλαβον· ἐν γὰρ τῷ Πελοποννησιακῷ πολέμῳ ὁρῶντες οἱ Λακεδαιμόνιοι τοὺς Ἕλληνας ἀδικουμένους ὑπὸ τῶν Ἀθηναίων, ὑπέσχοντο αὐτοῖς ἐλευθερίαν, εἰ μεταστῆεν πρὸς αὐτούς. καὶ τούτῳ τῷ λόγῳ, ἠδυνήθησαν αὐτοὺς ἀποστῆσαι. ὡς οὖν κατορθώσαντες τὸν πόλεμον, ὕστερον καὶ αὐτοὶ χαλεπῶς ἠδίκουν τοὺς Ἕλληνας. ἀγανακτήσαν

28 μης καὶ κακοδαιμονίας ἐστὶ τοῖς εὖ φρονοῦσιν· ἀλλ' οἶμαι,
νῦν μὲν ἐπισκοτεῖ τούτοις τὸ κατορθοῦν· αἱ γὰρ εὐπραξίαι
δειναὶ συγκρύψαι καὶ συσκιάσαι τὰ τοιαῦτα ὀνείδη· εἰ δέ τι
πταίσει, τότ' ἀκριβῶς αὐτοῦ πάντ' ἐξετασθήσεται. δοκεῖ
δ' ἔμοιγε, ὦ ἄνδρες Ἀθηναῖοι, δείξειν οὐκ εἰς μακράν,
ἂν οἵ τε θεοὶ θέλωσι, καὶ ὑμεῖς βούλησθε· ὥσπερ γὰρ ἐν τοῖς
29 σώμασιν ἡμῶν, ἕως μὲν ἂν ἐρρωμένος ᾖ τις, οὐδὲν ἐπαισθάνεται τῶν καθ' ἕκαστα σαθρῶν· ἐπὰν δὲ ἀρρώστημά
τι συμβῇ, πάντα κινεῖται, κἂν ῥῆγμα, κἂν στρέμμα, κἂν
ἄλλο τι τῶν ὑπαρχόντων σαθρὸν ᾖ· οὕτω καὶ τῶν πόλεων, καὶ
τῶν τυράννων, ἕως μὲν ἂν ἔξω πολεμῶσιν, ἀφανῆ τὰ κακὰ τοῖς πολλοῖς ἐστίν· ἐπειδὰν δὲ ὅμορος πόλεμος συμ-
30 πλακῇ, πάντα ἐποίησεν ἔκδηλα. εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες
Ἀθηναῖοι, τὸν Φίλιππον εὐτυχοῦντα ὁρῶν, ταύτῃ φοβερὸν προσπολεμῆσαι νομίζει, σώφρονος μὲν ἀνθρώπου λογισμῷ χρῆται· μεγάλη γὰρ ῥοπή, μᾶλλον δὲ ὅλον, ἡ τύχη παρὰ πάντ' ἐστὶ τὰ τῶν ἀνθρώπων πράγματα· οὐ
31 μὴν ἀλλ' ἔγωγε, εἴ τις αἵρεσίν μοι δοίη, τὴν τῆς ἡμετέρας πόλεως τύχην ἂν ἑλοίμην, ἐθελόντων ἃ προσήκει
ποιεῖν ὑμῶν αὐτῶν καὶ κατὰ μικρόν, ἢ τὴν ἐκείνου· πολὺ γὰρ
πλείους ἀφορμὰς εἰς τὸ τὴν παρὰ τῶν θεῶν εὔνοιαν ἔχειν
ὁρῶ ἡμῖν ἐνούσας, ἢ ἐκείνῳ. ἀλλ' οἶμαι καθήμεθα, οὐδὲν
ποιοῦντες· οὐκ ἔνι δ' αὖ τὸν ἀργοῦντα, οὐδὲ τοῖς φίλοις
32 ἐπιτάττειν ὑπὲρ αὐτοῦ τι ποιεῖν, μή τί γε δὴ τοῖς θεοῖς. οὐ
δὴ θαυμαστόν ἐστιν εἰ στρατευόμενος καὶ πονῶν ἐκεῖνος
αὐτός, καὶ παρὼν ἐφ' ἅπασι, καὶ μηδένα καιρὸν μηδ' ὥραν παραλείπων, ἡμῶν μελλόντων, καὶ ψηφιζομένων, καὶ
πυνθανομένων περιγίνεται. οὐ δὴ θαυμάζω τοῦτο ἐγώ·
33 τοὐναντίον γὰρ ἂν ἦν θαυμαστόν, εἰ μηδὲν ποιοῦντες ἡμεῖς
ὧν τοῖς πολεμοῦσι προσήκει, τοῦ πάντα ποιοῦντος ἃ δεῖ
περιῆμεν. ἀλλ' ἐκεῖνο θαυμάζω, εἰ Λακεδαιμονίοις μέν
ποτε, ὦ ἄνδρες Ἀθηναῖοι, ὑπὲρ τῶν ἑλληνικῶν δικαίων ἀν-

αὐτῷ. η.
ἐξ μακρῶν ἀποτυχήσει. η
ἀτυχήσει. α.
ἐστίν. η.
μετέβηκεν.
ἄνδρός. η.
λάθοι. α.
προσαχθείς. η.
κατέστησεν. η
τῷ. η.
Πελοποννησιακῷ η
μὴ. η.

πταίσει. ε. η. θ.
ταῦτα. α. β.
τοῦ πάντ' ἐξετασθήσεσθαι) πάντα. ε. η. θ.
α.
πως. α. γ. η.
ἐρρωμένων α
σαθρῶν. θ.
θ.
προσπολεμῆσαι νομίζοι. θ
ε. η. θ.
παρ' ἅπαντα. ε. η.
χρ. δώη. α. β
β. γ.
ὑμῖν. α. γ.
αὐτοῖς. β. η. θ
β.
δὲ. α. η.
ὑμῶν. ε.
δή. α.
δή. ε
ἀθηναῖοι. ε
α. η. θ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σαντες ὑπὲρ τούτων οἱ ἀθηναῖοι, ἐξήνεγκαν ὑπὲρ τῶν ἀδικουμένων πόλεμον πρὸς λακεδαιμονίους. καὶ ἐκ τούτου ἐκλήθη ὁ πόλεμος, ὁ ὑπὲρ τῶν ἑλληνικῶν δικαίων. Καὶ πολλὰ ἰδίᾳ) Ἵνα λαμβάνοντες χρήματα παρὰ λακεδαιμονίων, συγχωρήσωσιν αὐτοῖς ἀδικεῖν ἀδεῶς τοὺς ἕλληνας. Προεκινδυνεύετε) Ὅ ἐστι περὶ αὐτῶν καὶ ὑπὲρ αὐτῶν τῶν ἑλλήνων ἐκιν- 34
δυνεύετε. Καὶ καθ' ἕνα αὐτῶν ἕκαστον) Οὐ λέγει καθ' ἕνα ἕκαστον ἄνδρα, ἀλλὰ κατὰ ἔθνη, καὶ κατὰ πόλιν. ὑπομιμνήσκει [ἡ.]

[ὑμῖν. η.] τηρεῖτε, καὶ πολλὰ ἰδίᾳ πλεονεκτῆσαι πολλάκις "ὑμῖν
ἐξόν, οὐκ ἠθελήσατε. ἀλλ' ἵνα οἱ ἄλλοι τύχωσι τῶν δικαίων,
τὰ ὑμέτερα αὐτῶν ἀνηλίσκετε εἰσφέροντες, καὶ προε- 34
κινδυνεύετε στρατευόμενοι· νυνὶ δ' ὀκνεῖτε ἐξιέναι, καὶ μέλλε
τε εἰσφέρειν ὑπὲρ τῶν ὑμετέρων αὐτῶν κτημάτων. καὶ τοὺς
[ε.] μὲν ἄλλους σεσώκατε πολλάκις πάντας, καὶ καθ' ἕνα `αὐτῶν ἕ-
καστον ἐν μέρει· τὰ δὲ ὑμέτερα αὐτῶν ἀπολωλεκότες κάθη-
σθε. ταῦτα θαυμάζω· καὶ ἔτι πρὸς τούτοις, εἰ μηδὲ εἷς ὑ-
[α. ε. ν. θ.] μῶν, ὦ `ἄνδρες ἀθηναῖοι, δύναται λογίσασθαι, πόσον πολε 35
μεῖτε χρόνον φιλίππῳ, καὶ τί ποιούντων ὑμῶν, ὁ χρόνος
[ἐλήλυθεν. η.] [illegible] "διελήλυθεν οὗτος· ἴστε γὰρ δήπου τοῦθ', ὅτι μελλόντων
ὑμῶν, ἑτέρους τινὰς ἐλπιζόντων πράξειν, αἰτιωμένων ἀλ-
λήλους, κρινόντων, πάλιν ἐλπιζόντων, σχεδὸν ταῦτα ἅ-
[καὶ νυνὶ. θ.] περ "νυνὶ ποιούντων, ὁ χρόνος ἅπας διελήλυθεν. εἶθ' οὕτως 36
[α. ν. θ.] ἀγνωμόνως ἔχετε, ὦ `ἄνδρες ἀθηναῖοι, ὥστε δι' ὧν ἐκ *χρη
[*τῶν. α. ε. η.] στῶν φαῦλα τὰ πράγματα τῆς πόλεως γέγονε, διὰ τῶν
[πράξεων. η.] αὐτῶν τούτων ἐλπίζετε "πράξεων, ἐκ φαύλων αὐτὰ χρη
στὰ γενήσεσθαι; ἀλλ' οὔτ' εὔλογον, οὔτ' ἔχον ἐστὶ φύσιν τοῦ
[η.] το γε· πολὺ γὰρ ῥᾷον ἔχοντας φυλάττειν, ἢ κτήσασθαι πάν
[νῦν. α. ε. η. θ] τα πέφυκε. "νυνὶ δὲ ὅ, τι μὲν φυλάξομεν, οὐδέν ἐστιν ὑπὸ 37
τοῦ πολέμου λοιπὸν τῶν πρότερον· κτήσασθαι δὲ δεῖ. αὐ-
[μὲν. γ.] τῶν οὖν "ὑμῶν ἔργον τοῦτο ἤδη. φημὶ δὴ δεῖν εἰσφέρειν χρή
[ἡμῶν β. γ. θ.] ματα, αὐτοὺς ἐξιέναι προθύμως, μηδένα αἰτιᾶσθαι
πρὶν ἂν τῶν πραγμάτων κρατήσητε· τηνικαῦτα δὲ ἀπ'
[κρίνοντας. ε.] αὐτῶν τῶν ἔργων "κρίναντας, τοὺς μὲν ἀξίους "ἐπαίνου τιμᾶν, 38
[ἐπαίνων. ε. η] τοὺς δὲ ἀδικοῦντας κολάζειν· τὰς προφάσεις δ' ἀφελεῖν,
[ἡμᾶς. ε. η.] καὶ τὰ καθ' "ὑμᾶς ἐλλείμματα· οὐ γάρ ἐστι πικρῶς ἐξε
[ἡμῶν. η.] τάσαι τί πέπρακται τοῖς ἄλλοις, ἂν μὴ παρ' "ὑμῶν αὐτῶν
[ε. η.] πρῶτον ὑπάρξῃ τὰ δέοντα. τίνος γὰρ ἕνεκα, ὦ `ἄνδρες ἀθη
ναῖοι, νομίζετε, τοῦτον μὲν φεύγειν τὸν πόλεμον πάντας ὅ-
[ἰδίᾳ. γ. θ.] σους ἂν ἐκπέμψητε στρατηγούς, "ἰδίους δ' εὑρίσκειν πολέ 39
μους, εἰ δεῖ τι τῶν ὄντων καὶ περὶ τῶν στρατηγῶν εἰπεῖν. ὅτι ἐνταῦ
θα μέν ἐστι τὰ ἆθλα ὑπὲρ ὧν ἐστιν ὁ πόλεμος, ὑμέτερα·
[θ.] ἀμφίπολις κἂν ληφθῇ, παραχρῆμα `αὐτὴν ὑμεῖς κομιεῖ-
σθε· οἱ δὲ κίνδυνοι, τῶν ἐφεστηκότων ἴδιοι· μισθὸς δ' οὐκ ἔστιν·
ἐκεῖ δέ, κίνδυνοι μὲν ἐλάττους, τὰ δὲ λήμματα τῶν ἐφεστηκότων 40
καὶ τῶν στρατιωτῶν, λάμψακος, σίγειον, τὰ πλοῖα ἃ συλῶσιν.
ἐπὶ οὖν τὸ λυσιτελοῦν αὑτοῖς ἕκαστοι χωροῦσιν· ὑμεῖς δέ, ὅταν

δὲ αὐτοὺς τοῦ χρόνου, ὡς δὴ καὶ τούτου
λήθην παθόντας διὰ τὴν πολλὴν ῥα
θυμίαν. Καὶ ἔτι πρὸς τούτοις) Ἐν
τῷ, καὶ ἔτι πρὸς τούτοις, κατὰ κοινοῦ τὸ
θαυμάζω. Ἑτέρους τινὰς) Οἷον 35
τοὺς ξένους, καὶ χάρητα καὶ χαρί-
δημον. Αἰτιωμένων ἀλλήλους)
Τοῦτο εἰς χάρητα. ἵνα δὲ μὴ δοκῇ
ἀπολογεῖσθαι ὑπὲρ τοῦ χάρητος, ὡς
κοινῷ καλύπτει τὴν ὑποψίαν· με-
ταπεμπόμενοι γὰρ τοὺς στρατηγούς, εἰς
κρίσιν καθιστᾶσι. Πάλιν ἐλπιζόν-
των) Οἱ στρατηγοὶ κρινόμενοι, ἀπο-
φυγεῖν βουλόμενοι, πάλιν αὐτοῖς ἐ-
πηγγέλλοντο τάσδε καὶ τάσδε τὰς νή-
σους αὐτοῖς προσκτήσασθαι, καὶ τάδε
κατορθῶσιν. Ἀγνωμόνως ἔχετε) 36 [ἀθηναίοις.]
Ἀνοήτως. ἀγνώμονας λέγει τοὺς "ἀνο
ήτους, κατὰ στέρησιν τῆς γνώμης· οὐχ ὡς
παρ' ἡμῖν ἀγνώμονας καλοῦμεν τοὺς
μὴ ἀποδιδόντας τὰ χρέα, ἤγουν
τὰς ἀμοιβάς. Δι' ὧν) Διὰ τῆς ῥα
θυμίας. "Νυνὶ δὲ ὅ, τι μὲν φυλάξο 37 ["Νῦν. α]
μεν) Ἀντίπτωσιν ἔλυσεν, ὅτι ξενικοῖς
χρησόμεθα τοῖς στρατοπέδοις. ὁ δέ,
τί φησιν. εἰ μὲν εἴχομέν τι φυλάξαι,
καλῶς τοὺς ξένους "ἐπέμπομεν· ἐπὶ [ἐξεπέμπο-]
τοῦτο γὰρ ἀπέστελλον τοὺς ξένους. εἰ δὲ κτή [μεν. η.]
σασθαι δεῖ, πρόδηλον ὅτι τὸν δῆμον ["δὲ. η.]
εἶναι δεῖ τὸν στρατευόμενον. Φημὶ "δὴ
δεῖν) Τὸ συμφέρον κεφάλαιον. ἐν
τεῦθεν δὲ ἐπὶ τοὺς ἐπιλόγους μετε-
λήλυθεν, ἐν σχήματι ἀνακεφαλαιώ-
σεως τὴν εἰσβολὴν ποιησάμενος. τι
νὲς δέ φασιν· ἕως ὧδε πληρώσαντα τὸ
δυνατόν, ἐπὶ τὸ συμφέρον μετέρ-
χεσθαι. Τὰς προφάσεις) Οἱ γὰρ 38
στρατηγοὶ προφάσεις ἐποιοῦντο τῆς
ἀπολογίας τὸ μὴ λαμβάνειν *χρή- [*ἀπ' αὐτῶν.]
ματα. ἐλλείμματα δὲ αὐτὰ καλεῖ [η.]
τὰ χρήματα· ὀλίγα γάρ φησιν εἰς μι
σθὸν διδόντες τοῖς στρατιώταις, τὰ
ὑπόλοιπα τοῦ πλείου μισθοῦ, εἰς "θεω
ρικὸν κατείχετε. Ἐλλείμματα) ["θεωρικὸν. η.]
Τὰ ὑστερήματα. Οὐ γάρ ἐστι πι-
κρῶς) Ἀντὶ τοῦ δικαίως· πικρὸν γὰρ
τοῖς ἀδικοῦσι τὸ δίκαιον καταφαίνε
ται. Ἰδίους δ' εὑρίσκειν) Ἰδίους λέ 36
γει, οὓς αὐτοὶ "ἰδίους ποιοῦνται ἐκ ["ἰδιοποιοῦν-]
τὸς τῆς πόλεως. αἰνίττεται δὲ ἴσως [ται. η.]
εἰς χάρητα. Ὅταν δὲ δῶτε λό- 40
γον) Ὅτι χρήματα μὴ λαμβάνον-
τες, οὐ δύνανται ὑπὲρ τῆς πόλεως
πολεμεῖν. οὐκοῦν καὶ ἐνταῦθα περὶ
τῶν θεωρικῶν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

41 Περίεστι) Ἐκ περιουσίας ἐστί. Διεστάναι) Διακεχωρίσθαι καὶ διχονοεῖν. Πρότερον μὲν γάρ) Δέκα οὐσῶν φυλῶν παρὰ τοῖς ἀθηναίοις, καὶ εἰς δέκα ὥσπερ μεμερισμένης τῆς πόλεως, ἀνάγκην εἶχεν ὥσπερ ἑκάστη φυλὴ ἀπὸ πάσης προβάλλεσθαι τοὺς πλουσιωτέρους αὐτῆς, ἑκατὸν εἴκοσι ἄνδρας τοὺς λειτουργοῦντας ὑπὲρ αὐτῆς τῆς πόλεως. εἶτα οἱ ἑκατὸν εἴκοσι οὗτοι ἐμέριζον ἑαυτοὺς εἰς δύο μερίδας, ἵνα ἑξήκοντα αὐτῶν ἄνδρες ἔσονται οἱ πάνυ πλούσιοι· οἱ δὲ ἄλλοι ἑξήκοντα, ἧττον πλούσιοι. ἐποίουν δὲ τοῦτο, ἵνα μὴ ἐξαίφνης πόλεμος αὐτοῖς ἐπείξῃ, καὶ τύχῃ πρὸς τὸ παρὸν μὴ ἔχειν χρήματα τοὺς ἧττον πλουσίους. εἰσέφερον οἱ πλουσιώτεροι ὑπὲρ αὐτῶν, καὶ προετέλουν, καὶ ἐδέχοντο ταῦτα ὕστερον κατὰ σχολήν. ἐλέγετο δὲ τὸ σύστημα αὐτῶν τῶν ἑξήκοντα, συμμορία, οἱονεὶ παρὰ τὸ μέρος εἶναι τῆς φυλῆς. δέκα οὖν οὐσῶν φυλῶν καὶ ἑκάστης προβαλλομένης ἀπὸ ἑκατὸν εἴκοσι, συνέβη τοὺς πάντας εἶναι λειτουργοὺς, χιλίους διακοσίους. ἐμέριζον οὖν αὐτοὺς ἀπὸ ἑξακοσίων ἀνδρῶν, ὅ ἐστιν ἀπὸ δέκα συμμοριῶν· πάλιν δὲ ἑκατέραν τῶν δύο μερίδων τούτων, ἔτεμνον εἰς δύο, ὅ ἐστιν, εἰς τριακοσίους μὲν ἄνδρας, κατὰ πέντε δὲ συμμορίας. οὗτοι δὲ ἦσαν οἱ τριακόσιοι οἱ πάνυ πλούσιοι οἱ πρῶτοι· οἵτινες προεισέφερον τῶν ἄλλων τε καὶ εἶχον αὐτοὺς ὑπακούοντας εἰς πάντα, ὥστε συμβαίνειν εἰς δύο μερίδας εἶναι τοὺς πάντας· εἶχε οἱ τε ἑκατέρωθεν ἦσαν ὥσπερ ἡνωμένοι τοῖς ἑκατέρωθεν τριακοσίοις τοῖς πλουσιωτέροις. εἶχε δὲ ἑκάστη μερὶς τῶν τεσσάρων ἴδιον στρατηγὸν καὶ ἴδιον ῥήτορα. ὁμοίως δὲ πάλιν τῶν δευτέρων καὶ οἱ ῥήτορες καὶ οἱ στρατηγοὶ ὑπήκουον τῶν προτέρων. τότε οὖν, φησὶν, ἐμέριζον ἑαυτοὺς, διὰ πλείονα σπουδὴν τοῦ εὐκαίρως εἰσφέρεσθαι τὰ χρήματα συμμορίας. νῦν δὲ δι' οὐδὲν ἄλλο μερίζεται εἰς συμμορίας, ἢ διὰ τὸ πολιτεύεσθαι, ὅ ἐστι διὰ τὸ στασιάζειν. μέμφεται οὖν αὐτοὺς ὅτι πρότερον, ἡνίκα διὰ τὸ εἰσφέρειν ἐποιοῦντο τὰς συμμορίας, καὶ καιρὸς ἦν πραγμάτων, ἡγεμόνας ᾔδεισαν τοὺς πλουσιωτέρους· δευτέρους δὲ, τοὺς στρατηγοὺς, τοὺς κατορθοῦντας· τρίτους δὲ, τοὺς ῥήτορας, τοὺς μόνον λέγοντας. νῦν δὲ ἐπειδὴ καιρός ἐστι τοῦ στασιάζειν καὶ τοῦ λέγειν, ἡγεμόνες εἰσὶν οὐχ οἱ πλούσιοι, ἀλλ' οἱ ῥήτορες· καὶ βοηθησόμενοί εἰσιν οἱ πρῶτοι τριακόσιοι, ἐπαινοῦντες τὰ ὑπὸ τῶν ἰδίων ῥητόρων λεγόμενα· οἱ δὲ ἄλλοι προσνενεμημένοι ἑκατέροις. Ῥήτωρ ἡγεμὼν) Δεῖ μὴ χωρίζειν τὸ ῥήτωρ ἡγεμὼν, ἀλλὰ συνάπτειν. Ὡς τού-
42 τους) Εἰς τούτους. Δεῖ δὴ ταῦτα ἐπανέντας) Συμπέρασμα τοῦ συμφέροντος, ὅθεν ἄρχονται καὶ οἱ ἐπίλογοι. Εἰ δὲ, τοῖς μὲν) Πρὸς Εὔβουλον ἀποτείνεται τὸν πολιτευόμενον. Τοῖς δὲ ἀναγκάζεσθαι) Ἐπειδὴ εἶπεν ἀνωτέρω, φημὶ δὴ δεῖν χρημάτων, ἵνα μὴ εἴπωσιν οἱ πένητες, οὐκοῦν εἰσοίσουσιν οἱ πλούσιοι, προλαβὼν ὑπὲρ αὐτῶν ποιεῖται τὸν λόγον, ὅτι μέχρι πότε οἱ πλούσιοι *τριηραρχήσουσι καὶ εἰσοίσουσι καὶ πάντα δαπανήσουσιν· ἐὰν γὰρ αὐτοὺς παραλείψῃ ἀπὸ τῶν πλουσίων ἐλπίδα μηδεμίαν ἔχοντες, ἢ ἄλλην εὐπορίαν, ἀποστήσονται τῶν θεωρικῶν. καὶ ὅλως συνήθης τῷ δημοσθένει τοῖς πλουσίοις συνίστασθαι· γινώσκει γὰρ ὅτι τὰ νεῦρα τῆς πόλεώς εἰσιν οἱ πλούσιοι. Λέγω δὴ κεφάλαιον) Ἐπίλογος. διὰ δὲ τοῦτο ἐδεήθη δευτέρας ἀνακεφαλαιώσεως, εἰπὼν, ὅτι χρὴ πάντας εἰσφέρειν, ἵνα τῆς ἀνάγκης ταύτης περιστάσης, ἐκστήσωνται τῶν θεωρικῶν.

μὲν εἰς τὰ πράγματα ἀποβλέψητε φαύλως ἔχοντα, τοὺς
ἐφεστηκότας κρίνετε· ὅταν δὲ δόντες λόγον τὰς ἀνάγκας ἀκού-
σητε, τούτοις ἀφίετε. περίεστι τοίνυν ἡμῖν ἀλλήλοις ἐρί-
41 ζειν, καὶ διεστάναι, τοῖς μὲν ταῦτα πεπεισμένοις, τοῖς δὲ ταῦ-
τα· τὰ κοινὰ δὲ ἔχειν φαύλως. πρότερον μὲν γάρ, ὦ ἄν-
δρες ἀθηναῖοι, εἰσεφέρετε κατὰ συμμορίας· νυνὶ δὲ πολι-
τεύεσθε κατὰ συμμορίας· ῥήτωρ ἡγεμὼν ἑκατέρων, καὶ στρα-
τηγὸς ὑπὸ τούτῳ, καὶ οἱ βοηθησόμενοι οἱ τριακόσιοι· οἱ
δὲ ἄλλοι προσνενέμησθε, οἱ μὲν ὡς τούτους, οἱ δὲ ὡς ἐκείνους.
42 δεῖ δὴ ταῦτα ἐπανέντας, καὶ ὑμῶν αὐτῶν ἔτι καὶ νῦν γενο-
μένους, κοινὸν καὶ τὸ λέγειν, καὶ τὸ βουλεύεσθαι, καὶ τὸ πράττειν
ποιῆσαι. εἰ δὲ, τοῖς μὲν ὥσπερ ἐκ τυραννίδος ὑμῶν ἐπι-
τάττειν ἀποδώσετε· τοῖς δὲ ἀναγκάζεσθαι τριηραρχεῖν, εἰσ-
φέρειν, στρατεύεσθαι· τοῖς δὲ, ψηφίζεσθαι κατὰ τούτων μόνον,
43 ἄλλο δὲ μηδ' ὁτιοῦν συμπονεῖν, οὐχὶ γενήσεται τῶν δεόντων
ὑμῖν οὐδὲν ἐν καιρῷ· τὸ γὰρ ἠδικημένον ἀεὶ μέρος ἐλλείψει·
εἶτα ὑμῖν τούτους κολάζειν ἀντὶ τῶν ἐχθρῶν περιέσται. λέ-
γω δὴ κεφάλαιον, πάντας εἰσφέρειν ἀφ' ὧν ἕκαστος ἔχει, τὸ
ἴσον· πάντας ἐξιέναι κατὰ μέρος, ἕως ἂν ἅπαντες στρατεύ-
σησθε· πᾶσι τοῖς παριοῦσι λόγον διδόναι, καὶ τὰ βέλτιστα ὧν
44 ἂν ἀκούσητε, αἱρεῖσθαι, μὴ ἂν ὁ δεῖνα ἢ ὁ δεῖνα εἴπῃ. κἂν
ταῦτα ποιῆτε, οὐ τὸν εἰπόντα μόνον παραχρῆμα ἐπαινέ-
σεσθε, ἀλλὰ καὶ ὑμᾶς αὐτοὺς ὕστερον, πολλῷ βέλτιον τῶν
ὅλων πραγμάτων ἡμῖν ἐχόντων.

καλῶς ἐνεργοῦντας. η. — ἐμερίζοντο. α. — ἐπὶ τὴν πόλιν ἥξῃ. η. — η. — μὲν. η. — αὖ. η. — αὐτοὺς. η. — ταῦτα. η. — βοησόμενοι. α. η. — καὶ. α.

ταῦτα. α. ε. η. θ. — ὑμῖν. θ. — ἔχει. ε. θ. — θ. — νυνὶ. α. ε. η. — χ. τούτοις. καὶ βοησόμενοι. α. β. ε. η. θ. — β. γ. ε. θ. — χ. πρακ. — δὲ. η. — ἡμῶν. ε. — βουλεύεσθαι. α. γ. — αἰεὶ. β. γ. χ. — ἐξέσται. β. γ. — οὕτως. θ. — δὲ. — ὅσον. θ. — ἅπαντες. α. ε. — παροῦσι. η. — α. θ. — ὑμῖν. α. γ. ε. η. θ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΟΛΥΝΘΙΑΚΟΥ ΤΡΙΤΟΥ.

ΕΠΕΜΨΑΝ βοήθειαν τοῖς ὀλυνθίοις οἱ ἀθηναῖοι· καί τι κατορθοῦν ἔδοξαν δι᾽ αὐτῆς· καὶ ταῦτα αὐτοῖς ἀπηγγέλλετο. ὁ δὲ δῆμος περιχαρὴς, οἵ τε ῥήτορες "παρακαλοῦντες ἐπὶ τιμωρίαν *φιλίππου. "ὁ δὲ δημοσθένης δεδοικὼς μὴ θαρσήσαντες ὡς τὰ πάντα νενικηκότες, καὶ ἱκανὴν βοήθειαν πεποιημένοι τοῖς ὀλυνθίοις, τῶν λοιπῶν ὀλιγωρήσωσι, *διὰ τοῦτο παρελθὼν, ἐπισκώπτει τὴν ἀλαζονείαν αὐτῶν· καὶ πρὸς εὐλάβειαν σώφρονα, τὴν γνώμην μεθίστησι, λέγων οὐ περὶ τῆς φιλίππου τιμωρίας νῦν αὐτοῖς εἶναι τὸν λόγον, ἀλλὰ περὶ τῆς τῶν συμμάχων σωτηρίας· οἶδε γὰρ ὅτι καὶ ἀθηναῖοι, καὶ ἄλλοι πού τινες, τοῦ μὲν μὴ τὰ οἰκεῖα προέσθαι, ποιοῦνται φροντίδα· περὶ δὲ τὸ τιμωρήσασθαι τοὺς ἐχθροὺς ἧττον σπουδάζουσιν. ἐν δὲ τούτῳ τῷ λόγῳ καὶ τὴν περὶ τῶν θεωρικῶν χρημάτων συμβουλὴν φανερώτερον ἄπτεται, καὶ ἀξιοῖ λυθῆναι τοὺς νόμους, τοὺς ἐπιτιθέντας ζημίας τοῖς γράψασιν αὐτὰ γίνεσθαι στρατιωτικὰ, ἵνα δειχθῇ τὸ συμβουλεύειν τὰ βέλτιστα. παραινεῖ δὲ καὶ "ὅλοις πρὸς τὸν τῶν προγόνων ζῆλον ἀναστῆναι, καὶ στρατεύεσθαι σώμασιν οἰκείοις· καὶ ἐπιτιμήσει πολλῇ κέχρηται κατὰ τοῦ δήμου πῶς ἐκλελυμένου, καὶ τῶν δημαγωγῶν, ὡς οὐκ ὀρθῶς προϊσταμένων τῆς πόλεως.

"παρακαλοῦντι. ε. *τοῦ. ε. "δέδοικε τοίνυν ὁ δημοσθένης. ε. *καί. η. ε. "ὅλως. γ. ε.

# ΟΛΥΝΘΙΑΚΟΣ ΤΡΙΤΟΣ.

α. ε. ν. ΟΥΧΙ ταὐτὰ παρίσταταί μοι γινώσκειν, ὦ ἄνδρες ἀθηναῖοι, ὅταν τε εἰς τὰ πράγματα ἀποβλέψω, καὶ ὅταν" πρὸς τοὺς λόγους οὓς ἀκούω· τοὺς μὲν γὰρ λόγους περὶ τοῦ τιμωρήσασθαι φίλιππον ὁρῶ γινομένους· τὰ δὲ πράγματα εἰς τοῦτο προήκοντα, ὥστε ὅπως μὴ "'πεισόμεθα αὐτοὶ πρότερον κακῶς, σκέψασθαι δέον. οὐδὲν οὖν ἄλλο μοι δοκοῦσιν οἱ τὰ τοιαῦτα λέγοντες, ἢ τὴν ὑπόθεσιν περὶ ἧς βουλεύεσθε, οὐχὶ τὴν οὖσαν παριστάντες ὑμῖν, ἁμαρτάνειν. ἐγὼ δὲ ὅτι μέν ποτε ἐξῆν τῇ πόλει, καὶ τὰ "αὑτῆς ἔχειν ἀσφαλῶς, καὶ φίλιπ **1** **2**

"πεισόμεθα. αὐτοί. β. ε. η.

### ΟΛΥΝΘΙΑΚΟΥ Γ. ΣΧΟΛΙΑ.

**1** ΟΥΧΙ ταὐτὰ παρίσταταί μοι) Ὡς τῶν πραγμάτων χαλεπῶν ὄντων, ἐξ ἐπιτιμήσεως εἴληπται τὸ προοίμιον ὅτι προσοχὴν διὰ τοῦ παροξυσμοῦ ἀπεργάζεται. ἢ ἐκ τοῦ παραδόξου· παράδοξον γὰρ γίνεται, ὅταν τοῖς λόγοις οὐ συντρέχῃ τὰ πράγματα. ἢ ἀπὸ συγκρίσεως· συγκρίνων γὰρ δείκνυσι τοὺς λόγους ἐναντίως ἔχοντας τοῖς πράγμασι. παθητικὸν δὲ τὸ προοίμιον, καὶ μεστὸν ἀξιώματος· ἐν ᾧ γὰρ ἐπηρμένον τὸν δῆμον καὶ φρονοῦντα τῇ νίκῃ συστέλλει, καὶ πρὸς φόβον καθίστησιν, ἀφ᾽ ἑτέρου πάθους εἰς ἕτερον ἄγει τὸν ἀκροατήν. ἐν ᾧ δὲ ἀλλάττει τὴν γνώμην τῶν ἀθηναίων, τὸ τοῦ περικλέους ἀξίωμα "διὰ τῶν ἔργων δείκνυσι· καὶ γὰρ ἐκεῖνος, ἀθυμοῦντα μὲν τὸν δῆμον ἱκανὸς ἦν ἀνάγειν καὶ μεστὸν ἐλπίδων ἀποφῆναι· θαρροῦντα δὲ, αὖθις εἰς φόβον περιάγειν. τριμερὴς δὲ ὁ λόγος· τὸ μὲν γὰρ πρῶτον "ἔστι τὸ δοκοῦν μάλιστα "'συνέχειν καὶ περιέχειν ὅλον τὸν λόγον, ἡ σκέψις καὶ "προηγούμενον κεῖται, εἰ χρὴ μεταστῆναι τὴν δύναμιν εἰς μακεδονίαν, ἢ κατὰ χώραν "ἐᾶσθαι μένειν τοῖς ὀλυνθίοις βοηθήσουσαν· τὸ δὲ δεύτερον, εἰ χρὴ λῦσαι τοὺς νόμους τοὺς θεωρικούς· τὸ δὲ τρίτον ἐπιλογικὸν ὄν, καταδρομὴν ἔχει τῆς πολιτείας τῶν νῦν δημαγωγούντων. τούτων δὲ τῶν μερῶν ἕκαστον ὑποπέπτωκεν οἰκείῳ *κεφαλαίῳ· τὸ μὲν γὰρ πρότερον τοῦ συμφέροντος εἶναι δοκεῖ· τὸ δὲ δεύτερον*, τοῦ νομίμου. εἴληπται δὲ εἰς κατασκευὴν τοῦ δυνατοῦ· καὶ γὰρ κεφάλαιον κεφαλαίῳ ἀποδείκνυται. τὸ δὲ τρίτον ἐστὶ τοῦ δικαίου· λέγω "'δὲ τὸ τῆς καταδρομῆς τῶν νῦν πολιτευομένων, καὶ τῆς εὐφημίας τῶν ἐπὶ τῶν προγόνων πολιτευσαμένων· πᾶσα γὰρ συμβουλὴ περὶ "'ποιότητα προσώπου γινομένη, ἔπαινον ἢ ψόγον δηλοῦσα, εἰς τὸ δίκαιον ἔχει τὴν ἀναφοράν. καὶ τὸ μὲν συμφέρον δίχα τέτμηται, εἴς τε τὸ ἀναγκαῖον, ἐλεύσεται γὰρ φίλιππος *εἰς τὴν ἀττικὴν, διαφθαρέντων τῶν ὀλυνθίων· καὶ εἰς τὸ "'ἄδοξον, πάντες γὰρ ἴσασιν ἕλληνες, ὅτι τοῖς ὀλυνθίοις ἐπηγγειλάμεθα βοηθῆσαι, εἰ πολεμήσαιεν πρὸς φίλιππον· καὶ τὸ "'ψευδεῖς φανῆναι, τῶν ἀδόξων. ζητήσειε δὲ ἄν τις τί δήποτε κωλύων μεθιστάναι τὴν δύναμιν, οὐδεμίαν πεποίηται περὶ αὐτοῦ μνήμην, οὐδὲ φαῦλον δεικνύει τὸ μετάγειν ἐς μακεδονίαν τοὺς στρατιώτας. ῥητέον οὖν ὅτι πλείους εἰσὶ τρόποι καθ᾽ οὓς ἀντιλέγειν ἔξεστιν· ἢ γὰρ πρὸς αὐτοὺς τοὺς λογισμοὺς μαχόμεθα τῶν ἀντιλεγόντων, δεικνύντες αὐτοὺς σαθροὺς ὄντας· ἢ ἑτέραν εἰσηγούμεθα γνώμην, διὰ τῆς ἡμετέρας τὴν ἐκείνων ἀνατρέποντες· ἢ τὸ συμφέρον, τὸ μὲν ἐκείνων ἐλέγχομεν, αὐτοὶ δὲ συμβουλὴν ἑτέραν εἰσηγούμεθα. ἐν ταῦθα τοίνυν ὁ ῥήτωρ φρονήματι χρώμενος, τῆς μὲν ἐκείνων γνώμης οὐδεμίαν μνήμην πεποίηται· γνώμην τὴν δὲ αὑτοῦ δοκοῦσαν εἰσηγεῖται, καὶ ταύτην ἐργάζεται. Ἄλλως. Προοίμιον ἐκ τοῦ ἀναγκαίου. λαμβάνεται δὲ ἐξ ὑπολήψεως τῶν πραγμάτων φαύλων ὄντων. **2** Εἰς τοῦτο προήκοντα) Τῆς κακίας δηλονότι. εὐφήμως δὲ ἐσιώπησεν. οὐκ εἶπεν οὕτως ἔχοντα, ἀλλ᾽ εἰς τοῦτο προήκοντα, διὰ τῆς ἐν τῇ λέξει "'τάσεως, τὸν χρόνον δεικνὺς τὸν αἴτιον τῶν κακῶν. Ὥστε ὅπως μὴ πεισόμεθα) Μεγάλῳ θάρσει μέγαν φόβον ἀντέθηκε, σφόδρα τεχνικῶς ποιῶν· τὰ γὰρ μεγάλα πάθη, μείζοσι πάθεσι λύειν προσήκει. Οὐδὲν οὖν ἄλλο μοι δοκοῦσιν) Ὥσπερ αἰνιττόμενος, ἀλλὰ νῦν μὲν οὐκ ἔχω φιλιππισμὸν αὐτοῖς ὀνειδίζειν. ὑπερβατὸν καθ᾽ ὑπέρθεσιν. τὸ δὲ ἑξῆς οὕτως· οὐδὲν οὖν ἄλλο μοι δοκοῦσιν οἱ τὰ τοιαῦτα λέγοντες ῥήτορες, ἢ ἁμαρτάνειν. εἶτα ἐν τῷ μέσῳ κατασκευάζει, πῶς τὴν ὑπόθεσιν ὑμῖν παριστάντες καὶ συμβουλεύοντες, περὶ ἧς καὶ ὑμεῖς ἐβουλεύεσθε· βουλεύονται δὲ νῦν περὶ τοῦ τιμωρήσασθαι φίλιππον· ἀλλ᾽ οὐχὶ τὴν οὖσαν καὶ ἀληθῆ ὑπόθεσιν· κατὰ κοινοῦ τὸ, παριστάντες ὑμῖν ἥτις ἐστὶ τὸ βουλεύσασθαι, ὅπως ἂν πρότερον σώσωμεν τοὺς ὀλυνθίους. ἔστι δὲ ὥσπερ συμπέρασμα τοῦ προοιμίου διὰ πλειόνων. Τὴν ὑπόθε-

"ἅμα γὰρ δεῖ νῦν χρῆσθαι πράγμασι τοῦτον δεικν. η. "περιάγει. α. "εἶναι καὶ. α. "'συνεχῶς καὶ περιέχει ταῦτα νῦν. η. α. "προηγουμένως. η. "ἐᾶσαι. α. "γίνει. *ἐστί. α. "'δῆτα. η. "'ποιότητος προσώπων. η. *ὁ μακεδών. η. "'ἔνδοξον. η. "'ψεῦδος. α. "παρατάσεως. η.

σιν) Τὸ τιμωρήσασθαι Φίλιππον. βιαίως δὲ σφόδρα τὸν δῆμον κοινωνὸν τῆς ἑαυτοῦ γνώμης ἐποίησεν, ὑπὲρ ὧν αὐτὸς μάλλει συμβουλεύειν, περὶ τούτων εἰσεληλυθέναι φήσας βουλόμενον τὸν δῆμον. Τὴν οὖσαν) Τὸ σῶσαι τοὺς Ὀλυνθίους. Ἐγὼ δὲ, ὅτι μέν ποτε) Ἐπὶ τὴν αὐτὴν ἔννοιαν ἐξεργάζεται. δηλοῖ δὲ τοὺς καιροὺς ἐν οἷς Ἀμφίπολιν εἶχε καὶ Ποτίδαιαν καὶ τὰ ἐπὶ Θρᾴκης. Ἐξῆν τῇ πόλει) Λύσις τοῦ ἀντιπίπτοντος. Τὰ αὐτῆς) Δέον εἰπεῖν, καὶ Ὀλυνθίους σῶς.

βουλεύσασθαι. η. ἀπεργάζεται. η.

3 Τιμωρήσασθαι) Οὐχ ὡς τιμωρησαμένων αὐτῶν ποτὲ τὸν Φίλιππον, ἀλλ' ὡς ἐξουσίαν ἐχόντων εἴπερ ἠβουλήθησαν. Ἐπ' ἐμοῦ γὰρ) Ὑπὲρ βάτον τὸ σχῆμα. Ἱκανὸν) Αὔταρκες. ὥσπερ ἔλεγε, καὶ τοῦτο δυνηθῆτε ποιῆσαι, καλῶς ἡμῖν ἔχει πρὸς τὴν παροῦσαν δύναμιν. Προλαβεῖν) Ὥσπερ ἐπὶ δρομικῶν εἶπεν ἐπειγομένων διὰ τάχους τεσσαράκοντα ἆθλον κειμένον ἐν μέσῳ, ἵνα ἆθλον μὲν νοήσωμεν τὴν Ὄλυνθον, δρομικὰ δὲ Φίλιππον καὶ Ἀθηναίους. Τὴν πρώτην) Τὴν ἀρχὴν δηλονότι· ἀρχὴν γὰρ καλεῖ τὸ σῶσαι τοὺς Ὀλυνθίους· τέλος δὲ, τὸ τιμωρήσασθαι Φίλιππον. Ἐὰν γὰρ τοῦτο βεβαίως) Τὸ μὴ λέγειν ὡς ἐκ σωσώσαν Ὀλυνθίους, αἰσχρὸν καὶ θέλε δεῖ αὐτὸ, φήσας ὅτι οὐ βεβαίως· ὥστε ἀνάγκη μένειν κατὰ χώραν τὴν δύναμιν. Καὶ περὶ τοῦ τίνα τρόπον) Καὶ ἐν τῷ τρόπῳ τῆς τιμωρίας ἁμαρτάνοντας δείκνυσι τοὺς ῥήτορας· φησὶ γὰρ, τότε ἐξέσται τὸν τρόπον σκοπεῖν. αἰνίττεται δὲ ὅτι κατὰ θάλατταν ἐπελθεῖν χρὴ τῷ Φιλίππῳ, καὶ κλεῖσαι τὰ ἐμπόρια, ὅπερ αὐτὸς ὕστερον ἐν τῷ τετάρτῳ συνεβούλευσε.

4 Πρὶν δὲ τὴν ἀρχὴν) Ἀκόλουθον τῇ ἐξ ἀρχῆς προτάσει τὸ συμπέρασμα· τότε γὰρ τοὺς ῥήτορας μεμφόμενος, ὅτι ἕτερα ἀνθ' ἑτέρων συμβουλεύουσι, νῦν φησὶ μάταιον εἶναι τὸ περὶ τοῦ τέλους σκοπεῖν,

ὄλυνθον. η. ἐλθεῖν. η. συμβουλεύουσι. α.

3 τὸν τιμωρήσασθαι, καὶ μάλα ἀκριβῶς οἶδα· ἐπ' ἐμοῦ γὰρ οὐ πάλαι γέγονε ταῦτα ἀμφότερα· νῦν μέντοι πέπεισμαι τοῦθ' ἱκανὸν προλαβεῖν ἡμῖν εἶναι τὴν πρώτην, ὅπως τοὺς συμμάχους σώσωμεν· ἐὰν γὰρ τοῦτο βεβαίως ὑπάρξῃ, τότε καὶ περὶ τοῦ τίνα τρόπον τιμωρήσεταί τις ἐκεῖνον ἐξέσται

4 σκοπεῖν. πρὶν δὲ τὴν ἀρχὴν ὀρθῶς ὑποθέσθαι, μάταιον ἡγοῦμαι περὶ τῆς τελευτῆς ὁντινοῦν ποιεῖσθαι λόγον. ὁ μὲν οὖν παρὼν καιρὸς, ὦ ἄνδρες Ἀθηναῖοι, εἴπερ ποτὲ, καὶ νῦν πολλῆς φροντίδος καὶ βουλῆς δεῖται. ἐγὼ δ', οὐχ ὅ τι χρὴ περὶ τῶν παρόντων συμβουλεῦσαι, χαλεπώτατον ἡγοῦμαι, ἀλλ' ἐκεῖνο ἀπορῶ, τίνα χρὴ τρόπον, ὦ ἄνδρες Ἀθηναῖοι,

5 πρὸς ὑμᾶς περὶ αὐτῶν εἰπεῖν· πέπεισμαι γὰρ ἐξ ὧν παρὼν καὶ ἀκούων σύνοιδα, τὰ πλείω τῶν πραγμάτων ὑμᾶς ἐκπεφευγέναι, τῷ μὴ βούλεσθαι τὰ δέοντα ποιεῖν, ἢ τῷ μὴ συνιέναι. ἀξιῶ δ' ὑμᾶς, ἂν μετὰ παρρησίας ποιῶμαι τοὺς λόγους, ὑπομένειν, τοῦτο θεωροῦντας εἰ τἀληθῆ

6 λέγω, καὶ διὰ τοῦτο ἵνα τὰ λοιπὰ βελτίω γένηται· ὁρᾶτε γὰρ ὡς ἐκ τοῦ πρὸς χάριν δημηγορεῖν ἐνίους, εἰς πᾶν προελήλυθε μοχθηρίας τὰ παρόντα πράγματα. ἀναγκαῖον δὲ ὑπολαμβάνω, μικρὰ τῶν γεγενημένων πρῶτον ὑμᾶς ὑπομνῆσαι. μέμνησθε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτε ἀπηγγέλθη Φίλιππος ὑμῖν ἐν Θρᾴκῃ, τρίτον ἢ τέταρτον

7 ἔτος τουτὶ, Ἡραῖον τεῖχος πολιορκῶν. τότε τοίνυν μὴν

ὅμως. η. α. ε. η. θ. χαλεπώτερον. ε. α. ε. η. θ. ἐάν. α. η. ε. πᾶσαν. ε. β. ε. θ.

ἀρχὴν μὲν τὴν τῶν συμμάχων σωτηρίαν, τέλος δὲ τὴν Φιλίππου κατασχεῖν εἶναι διδάσκων. τὸ δὲ δὴ συμπέρασμα γνωμικὸν ὂν, σεμνὴν τὴν βάσιν τοῦ προοιμίου πεποίηκε· δεῖ γὰρ ἐν ταῖς ἀρχαῖς τῶν προοιμίων, τὰ γνωμικὰ φυλάττεσθαι· καὶ γὰρ ἄγονον καὶ ἀρχαιότροπον τὸν λόγον δείκνυσι· ἐν τῷ δὲ ἐπὶ τέλει γνωμικὸν ἐπισφραγίζεσθαι τοῖς ἐν μέρει λογισμοῖς τὴν καθόλου προσθήκην. Λόγον) Λόγον ἐνταῦθα τὴν συμβουλὴν καλεῖ. Ὁ μὲν οὖν παρὼν καιρὸς) Δεύτερον προοίμιον, ἀκατάσκευον δὲ, ἐκ τοῦ ἀναγκαίου· λαμβάνεται δὲ ἐξ ὑπολήψεως τῶν πραγμάτων φαύλων ὄντων. ἐκθέμενος δὲ ἐν

5 τῷ πρώτῳ προοιμίῳ ἀπηρτισμένως τὴν ἑαυτοῦ γνώμην, ὅτι δεῖ τοὺς στρατιώτας κατὰ χώραν μένειν, καὶ τὸ προηγούμενον τοῦ λόγου μέρος αὐτοῦ καταμείνας, ἐν τῷ δευτέρῳ πάλιν τὰ λειπόμενα δύο μέρη περιείληφε. Ἀλλ' ἐκεῖνο ἀπορῶ) Τὸ δεύτερον μέρος ἐκ τοῦ περὶ τῶν κοινῶν ἐκίνησε. δείκνυσι δὲ ὅτι τὴν λύσιν τῶν κακῶν εἰδὼς, ὀκνεῖ ἀποφαίνεσθαι. τὸ δὲ ἀπορῶ τίνα τρόπον, πολλὰς ἔχει σημασίας, τὸ πρότερον φανερῶς, ἢ τοὐναντίον ἐξ ἀπάτης· τὸ πρότερον μετὰ παρρησίας, ἢ ὑφειμένως· ὅπερ εἶπε δὲ, ἀπορῶ τί δεῖ λέγειν, ἀλλὰ πῶς δυνήσομαι κολακείας ἐκτὸς πεῖσαι. ἰστέον δὲ ὅτι ἀκατασκεύαστον εἶπε τὸ προοίμιον, ἵνα ὡς ὁμολογούμενον λάβῃ τὸ, ὅτι πολλῆς φροντίδος δεῖται τὰ πράγματα. Πέπεισμαι γὰρ) Τουτέστιν, ἐξ ὧν αὐτὸς τε συμβουλεύω, καὶ ἐξ ὧν ἕτεροι λέγουσι· δίδωσι γὰρ καὶ τῶν ἄλλων ῥητόρων ἐνίοις λέγειν τῇ πόλει τὰ χρήσιμα, ἵνα μὴ πάντα εἰς αὐτὸν ἀνάγων, φορτικὸς εἶναι δοκῇ. Μὴ συνιέναι) Σημείωσαι ὅτι διείληφε σύνεσις φρονήσεως, ὅτι ἡ μὲν φρόνησις ἕξις ἐστὶ γεννητικὴ τῶν οἴκοθεν λογισμῶν· ἡ δὲ σύνεσις, ἕξις δεκτικὴ τῶν ἔξωθεν λογισμῶν. Ἀξιῶ δὲ ὑμᾶς) Ἀντὶ τοῦ ἄξιον νομίζω· οὐ γὰρ εὑρίσκεται παρὰ τοῖς Ἀττικοῖς, εἰ μὴ ἄρα σπανίως τὸ ἀξιῶ ἐπὶ τοῦ παρακαλῶ. σημείωσαι δὲ ὡς

6 ἐν τῇ ἀξιώσει κέχρηται προδιορθώσει. Ὁρᾶτε γὰρ) Ἐντεῦθεν αὐτῷ τὸ τρίτον μέρος γίνεται, τὸ τῆς ἐπιτιμήσεως τῶν πολιτευομένων. Ἀναγκαῖον δὲ ὑπολαμβάνω) Μετελήλυθεν ἐνταῦθα εἰς τὰ αὐτὰ κεφάλαια καὶ ἔστιν αὐτῷ τὸ συμφέρον ἐξεταζόμενον, καὶ τὸ προηγούμενον μέρος, τὸ πρότερον χρὴ μένειν ἐν Ὀλύνθῳ τὴν δύναμιν, ἢ μεταχθῆναι εἰς τὴν Μακεδονίαν. Μέμνησθε, ὦ ἄνδρες Ἀθηναῖοι) Οἱ ἀγῶνες ἐντεῦθεν. πίστις δὲ βουλόμενος τοὺς Ἀθηναίους ἐᾶσαι κατὰ χώραν τὴν δύναμιν, παραδειγματικῇ πίστει κέχρηται· πιθανωτέρα δὲ πασῶν τῶν πίστεων ἡ τοιαύτη· διὸ καὶ Ἰσοκράτης μὲν πιθανώτερος εἶναι δοκεῖ, πλεονάζων τοῖς παραδείγμασι· Δημοσθένης δὲ βίαιος ὑπείληπται, νῦν μὲν τοῖς ἐνθυμήμασι,

ἀπηρτισμένην. η. αὐτοῦ. η. ἐκίνησε. α. ἀκατασκεύαστον. α. δεῖ. η. ποτὲ τὰ. α. διαφέρει. γ. ἐστί. α. ἐπιδιορθώσει. γ. αὐτῶν. α.

νῦν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νῦν δὲ παραδείγματι. αὖθις δὲ ἀπέχω πισ(τ)εύσας χρώμενος. Ἡραῖον τεῖχος) Πόλισμά ποτε Θρᾴκης. Μὴν μὲν ἦν Μαιμακτηριών) Χειμέριος ἐστὶν ὁ μὴν, διὰ δὲ δείκνυσιν ὅτι καίτοι χειμῶνος ὄντος, πλεῖν ἐψηφίσασθε, τοσαύτῃ βοηθείᾳ πρὸς τὴν βοήθειαν ἐχρήσασθε. Καθέλκειν) Ἀντὶ τοῦ ἐμβιβάζειν εἰς τὴν θάλατταν. Μέχρι πέντε καὶ τετταράκοντα) Ὡς παράδοξον τοῦτο εἶπεν, ἵνα ἐμφήνῃ αὐτῶν τὴν πολλὴν σπουδὴν· νόμου γὰρ κελεύοντος παρὰ Ἀθηναίοις μέχρι τετταράκοντα ἐτῶν στρατεύεσθαι, ἀρξαμένους ἀπὸ ὀκτωκαίδεκα, καὶ μέχρι μὲν τοῦ εἴκοσι παῖδας ὄντας πως περιπολεῖν τὰ περὶ τὴν πόλιν φρούρια. εἰς ὑπερορίους δὲ πολέμους ἀπὸ ἐτῶν εἴκοσι, αὐτοὶ τότε καὶ οὓς οὐκ ἐκέλευεν ὁ νόμος στρατεύεσθαι, πολεμεῖν ἐψηφίσαντο διὰ τὴν πολλὴν σπουδὴν, ὡς εἴρηται. Διελθόντος τοῦ ἐνιαυτοῦ) Ἤτοι μηνῶν ὀκτὼ παρελθόντων ἀπὸ μαιμακτηριῶνος, καὶ πληρωθέντος τοῦ ἐνιαυτοῦ τούτου, ἦν ἑκατομβαιών, ἤτοι ἰανουάριος ὃς ἔχει χρόνον πρὶν ἐνιαυτὸν. εἶτα μεταγειτνιών, ἤγουν φεβρουάριος. εἶτα βοηδρομιών, ἤγουν μάρτιος. ὄντων οὖν πάντων μηνῶν ιβ. λέγει ὅτι ὀκτὼ παρεληλύθεισαν μῆνες, ἐξ οὗ τριήρεις ἐκπέμπειν ἐψηφίσασθε, καὶ θάτερον ἦρξεν ἔτος, καὶ ἰανουάριος, φεβρουάριος, μάρτιος ἤδη παρῆλθε· καὶ τότε μόλις μετὰ τὰ μυστήρια, ἤτοι μεγάλα, ἤγουν τὰ βοηδρόμια, ἀπεστείλατε δέκα ναῦς. Κενάς) Πολιτικῆς βοηθείας, ἤγουν Ἀθηναίων, ὅτι ξένους ἀντὶ Ἀθηναίων ἐχούσας.

μὴν ἦν Μαιμακτηριών. πολλῶν δὲ λόγων καὶ θορύβου γιγνομένου παρ' ὑμῖν, ἐψηφίσασθε τετταράκοντα τριήρεις καθέλκειν, καὶ τοὺς μέχρι πέντε καὶ τετταράκοντα ἐτῶν αὐτοὺς ἐμβαίνειν, καὶ τάλαντα ἑξήκοντα εἰσφέρειν. καὶ μετὰ ταῦτα διελθόντος τοῦ ἐνιαυτοῦ τούτου, Ἑκατομβαιών, Μεταγειτνιών, 8

Βοηδρομιών· τούτου τοῦ μηνὸς μόγις μετὰ τὰ μυστήρια, δέκα ναῦς ἀπεστείλατε ἔχοντας κενὰς, καὶ πέντε τάλαντα ἀργυρίου. ὡς γὰρ ἠγγέλθη Φίλιππος ἀσθενῶν ἢ τεθνεώς· ἦλθε γὰρ ἀμφότερα· οὐκέτι καιρὸν οὐδένα τοῦ βοηθεῖν νομίσαντες, ἀφήκατε, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν ἀπόστολον. ἦν δ' οὗτος ὁ καιρὸς αὐτός· εἰ γὰρ τότε ἐκεῖσε ἐβοηθήσαμεν, 9

ὥσπερ ἐψηφισάμεθα, προθύμως, οὐκ ἂν ἠνώχλει νῦν ἡμῖν ὁ Φίλιππος τότε σωθείς. Τὰ μὲν δὴ τότε πραχθέντα, οὐκ ἂν ἄλλως ἔχοι· νῦν δ' ἑτέρου πολέμου καιρὸς ἥκει τις οὗτος· δι' ὃν καὶ περὶ τούτων ἐμνήσθην, ἵνα μὴ ταὐτὰ πάθητε. τί δὴ χρησόμεθα, ὦ ἄνδρες Ἀθηναῖοι, 10

τούτῳ; εἰ γὰρ μὴ βοηθήσετε παντὶ σθένει κατὰ τὸ δυνατὸν, θεάσασθε ὃν τρόπον ὑμεῖς ἐστρατηγηκότες ἔσεσθε πάντα ὑπὲρ Φιλίππου. ὑπῆρχον Ὀλύνθιοι δύναμίν τινα κεκτημένοι, καὶ διέκειθ' οὕτω τὰ πράγματα· οὔτε Φίλιππος ἐθάρρει τούτους, οὔθ' οὗτοι Φίλιππον. ἐπράξαμεν ἡμεῖς κἀκεῖνοι 11

πρὸς ἡμᾶς εἰρήνην· ἦν τοῦτο ὥσπερ ἐμπόδισμά τι τῷ Φιλίππῳ καὶ δυσχερὲς, πόλιν μεγάλην ἐφορμεῖν τοῖς ἑαυτοῦ καιροῖς διηλλαγμένην πρὸς ἡμᾶς. ἐκπολεμῶσαι δεῖν ᾠόμεθα τοὺς ἀνθρώπους ἐκ παντὸς τρόπου. καὶ ὃ πάντες ἐθρύλουν τέως, τοῦτο πέπρακται νυνὶ ὁπωσδήποτε. 12

τί οὖν ὑπόλοιπον, ὦ ἄνδρες Ἀθηναῖοι, πλὴν βοηθεῖν ἐρρωμένως καὶ προθύμως; ἐγὼ μὲν οὐχ ὁρῶ· χωρὶς γὰρ τῆς

Φίλιππος ἀσθενῶν) Ἐπικινδύνως ἀσθενῆσαι φησὶ Φίλιππον· ὅτι τὴν Μεθώνην ἐπολιόρκει, ἀστέρος τινὸς στρατιώτου Μεθωναίου ἀπὸ τοῦ τείχους ἐπιγράψαντος τῷ δόρατι, ἀστὴρ Φιλίππῳ θανάσιμον ἐπιπέμπει βέλος· εἶτα πέμψαντος, καὶ κατὰ τύχην τινὰ ἐπιτυχόντος αὐτοῦ κατὰ τοῦ ὀφθαλμοῦ. λέγεται δὲ ὅτι καὶ Φίλιππος ἀντέγραψε πρὸς αὐτὸν, καὶ ἀντιπέμψας ἐκόντισεν, ὅμως οὐκ ἐπέτυχεν αὐτός· ἐπέγραψε δὲ, ἀστέρα Φίλιππος ἢν λάβῃ, κρεμάσει. Τὸν ἀπόστολον) Ἀπόστολον, ἤγουν στόλον. ἀπόστολον γὰρ ἐκάλουν οἱ Ἀθηναῖοι καὶ πᾶσαν τὴν παρ' αὐτῶν πεμπομένην δύναμιν, τὴν ἐξ ὁπλιτῶν, ἱππέων, τῶν ἄλλων· ἐξαιρέτως δὲ, τὴν ναυτικὴν δύναμιν. Ἦν δ' οὗτος ὁ καιρὸς αὐτός) Ἀκούσαντες, φησὶ, νοσεῖν τὸν Φίλιππον, ἐξελίπετε τὴν βοήθειαν· καὶ τότε μάλιστα ἐπιτήδειος καιρὸς βοηθεῖν ἐκείνοις ἦν, ἐν ᾧ κακῶς διέκειτο Φίλιππος. Εἰ γὰρ τότε ἐκεῖσε ἐβοηθήσαμεν) Ἐπηγγείλατο μὲν εἰς ὕστερον παρρησίᾳ χρήσασθαι· οὐδὲν δὲ ἧττον καὶ νῦν ἐπιτιμᾷ, σκώπτων εἰς κουφότητα καὶ ῥᾳθυμίαν τὸν δῆμον. οὐ μὴν ἀλλὰ κέκρυπται τὰ τῆς ἐπιτιμήσεως, σφόδρα τεχνικῶς· ὅταν μὲν γάρ τι ἐπιτιμᾶν βουλώμεθα, τοῖς ἀκούουσι καὶ ἐπιτιμᾶν ἔχωμεν, ἐγκεκρύφθαι δεῖ τὴν παρρησίαν, ἵνα μὴ χαλεπήναντες φιλονεικότεροι γίνωνται. ὅταν δὲ τοῦτο μόνον βουλώμεθα ποιεῖν, τὸ σωφρονίζειν ἐπιθυμητὰς, τότε φανερωτέρου τῇ παρρησίᾳ προσήκει κεχρῆσθαι. Οὐκ ἂν ἄλλως ἔχοι) Τὴν αἰτίαν ὥσπερ βούλεται ἡμῖν εἰπεῖν, διὰ τί ἐχρήσατο τῷ διηγήματι τούτῳ· πῶς γὰρ δυνατὸν μεταπεισθῆναι τὰ ἤδη γενόμενα· καὶ γὰρ καὶ οἱ φιλόσοφοί φασιν, ὡς ὅτι πάντα δύναται τὸ θεῖον ποιεῖν, χωρὶς ἑνὸς τοῦ ἄλλως ποιῆσαι τὰ ἤδη γενόμενα. Τί δὴ χρησόμεθα) Ἐρώτησιν προθεὶς, οὐκ ἐπήνεγκε τὴν ἀπόκρισιν, βοηθήσομεν, εἶθ' οὕτως τὰ ἑξῆς· εἰ γὰρ μὴ βοηθήσετε παντὶ σθένει· ὁ γὰρ τὴν ἀπόκρισιν ἐξελών, ἐνέφηνεν αὐτὸ διὰ τοῦ δευτέρου εἴπερ μὴ βοηθήσετε· ἐκ τούτου δείκνυται τίς ἦν ἡ ἀπόκρισις, ὅτι δεῖ βοηθῆσαι. Παντὶ σθένει) Πανδοίᾳ βοηθείᾳ, οἷον, ναυτικῇ, ὁπλιτικῇ, καὶ διὰ τῶν ἄλλων. Πόλιν) Τὴν Ὄλυνθον. Ἐφορμεῖν τοῖς ἑαυτοῦ καιροῖς) Καλῶς ἐχρήσατο τῇ λέξει· ἐγγὺς γὰρ οὔσης τῆς Μακεδονίας, ἐπιτηρεῖν ὥσπερ ἤμελλεν αὐτοῦ τὰ ἀτυχήματα, τότε ἀντέχουσα, ἵνα τότε αὐτῷ εὐκαίρως ἐπιθῆται. Διηλλαγμένην) Φίλην γενομένην. Ἐκπολεμῶ-

9 10 11

γιγνομένων. θ — θ. — μόλις. γ. η. — ἀργυρ. η. — θ. — ἐβοηθήσα-τε. ε. η. — ἐψηφίσασθε. ε. — ὑμῖν. ε. — γ. η. θ. — ταῦτα. η. — δὲ. η — χρησώμεθα. ε. — ε. η. θ. — ἀνθρώπους ἐκ παντὸς τρόπου. γ. — μὲν γὰρ. η. — αὐτοῦ. ε. η. — νῦν. γ. ε. η. θ — ε. η. θ. — η.

περὶ Ἀθηναίων. α. — αὐγούστου. α — ς η. — ἀπρίλλιος. α. β. — μάϊος. α. β. — ἰούνιος. α. β. — ἀντέπεμψε τοῦτο. β. — ἐξελείπετε. η. — γίνονται. α. — ἔχειν. α. — χρησώμ. η. — θεὶς. β. — τό. η. — ἀνεξελὼν τὴν ἀπόκρ. β.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΒΙΒΛΙΟΘΗΚΗ

σαι) Ἐχθροὺς καταστῆσαι, καταβαλεῖν. Τοὺς ἀνθρώπους) Τοὺς Ὀλυνθίους. Ἐθρύλλουν) Ηὔχοντο. Ὅπως δήποτε) Αὐτομάτως. Τί οὖν ὑπόλοιπον) Τὸ μέρος τοῦ συμφέροντος ἀνέκοψεν ἐνταῦθα τὸ ἀναγκαῖον, πληρωθέντος χρησίμου.

Χωρὶς γὰρ τῆς περιστάσης) Καὶ ἐκ τῆς ἀδοξίας, καὶ ἐκ τοῦ κινδύνου τὸ συμφέρον συνέστησεν, ἵν᾽ οἱ μὲν σώφρονες καὶ γενναῖοι τὴν αἰσχύνην δείσαντες, οἱ δὲ πολλοὶ καὶ δημόται, τὸν φόβον τὸν ἐκ τοῦ μέλλοντος κινδύνου, βοηθήσωσι τοῖς Ὀλυνθίοις.

13 Καθυφείμεθα) Ἤγουν ἐνδοίημεν. Ἐχόντων μὲν ὡς ἔχουσιν) Ἀντὶ τοῦ ἐχθρῶν ὄντων. Πρὸς ταῦτα ἐπικλῖναι) Με-

14 τὰ γὰρ τὴν Ὄλυνθον ἐπ᾽ Ἀθήνας στρατεῦσαι ἀνάγκη. Ἀλλ᾽ ὅτι μὲν δὴ δεῖ βοηθεῖν) Ἀνθυποφορά. ἐνταῦθα τὸ προηγούμενον κεφάλαιον πεπλήρωκε, τουτέστι τὸ συμφέρον· εἰς δὲ τὸ δυνατὸν μεταβέβηκεν, ὃ παρεμπίπτοντος εἶχε χώραν· δεικνύοντος γὰρ αὐτοῦ τὸ συμφέρον, ὅτι βοηθεῖν δεῖ τοῖς Ὀλυνθίοις, ἀντέπεσε, καὶ πῶς δυνησόμεθα, χρήματα μὴ ἔχοντες· καὶ γέγονεν ἡ εἴσοδος τοῦ δυνατοῦ, ἀντίθεσις πρὸς τὸ συμφέρον· ἐὰν γὰρ ἀποδειχθῇ ὅτι καὶ χρημάτων εὐποροῦμεν, κατεσκεύασε τὸ συμφέρον, ὅτι δεῖ βοηθεῖν τοῖς συμμάχοις.

ἀποροῦμεν. α.

Μὴ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι) Ἐπειδὴ τοῦ ἀκροατοῦ προσδοκῶντος ἀκούειν περὶ πολέμου, αὐτὸς περὶ νομοθετῶν μέλλει λέγειν, διὰ τοῦτο προθεραπεύει τοὺς πολλούς· οἱ γὰρ συνετοὶ οὐχ ἡγήσονται αὐτὸ παράδοξον, ἀλλὰ καὶ πάνυ ἀναγκαῖον. τολμηρὸν δὲ τὸ κελεύειν καθιστάναι νομοθέτας, ὡς λυομένης τῆς δημοκρατίας, ἢ μελλούσης ὀλιγαρχίας γίνεσθαι· διὰ τοῦτο τῇ προδιορθώσει κέχρηται, διὰ τὸ δοκοῦν ἄτοπον τῆς εἰσηγήσεως. τὸ οὖν μέλλον ῥηθῆναι παρὰ τοῦ δήμου, ὅτι σὺ κελεύεις νομοθέτας καθίσασθαι· οὐδὲ γὰρ ἔχομεν νόμον· ἀνακόπτει λέγων, ἐν δὲ τούτοις μὴ θῆσθε νόμον μηδένα, ἀλλὰ τοὺς εἰς τὸ παρὸν βλάπτοντας ὑμᾶς λύσατε. Νομοθέτας καθίσατε) Νομοθέτης ἐλέγετο παρ᾽ αὐτοῖς καὶ ὁ νόμον καινὸν εἰσφέρων, καὶ πάλιν ὁ κρίνων τοὺς νόμους, μή πως ἐναντίοι τινὲς ἀλλήλοις ἔλαθον ὄντες· τοῦτο δὲ τὸ ἔργον

αὐτοῖς. η. — οὐ γὰρ ἔχω νόμους. η. — νόμοις. η. α.

15 ἦν τῶν θεσμοθετῶν. Οἱ δὲ, τοὺς ἀτακτοῦντας) Τίνι διαφέρουσιν οἱ ἀτακτοῦντες τῶν λειποτακτούντων, καὶ τῶν ἀστρατεύτων. ἀστράτευτος μέν ἐστιν, ὁ μηδέποτε ἐγγραφεὶς εἰς τὸν κατάλογον τῶν στρατιωτῶν· ἄτακτος δὲ, ὁ ἐγγραφεὶς μὲν, μὴ ἐξιὼν δὲ εἰς τὰς ἐπιδημούσας αὐτῷ στρατείας· λειποτάκτης δὲ, ὁ παρὰ τὴν μάχην ἢ τὸ στρατόπεδον τὴν τάξιν καὶ τοὺς συνασπιστὰς ἀπολιπών. νόμοι δὲ ἦσαν κελεύοντες ἀφίεσθαί τινας τῆς στρατείας, ὥστε πομπεύειν εἰς τὰ Διονύσια. κατὰ χάριν οὖν τὴν ἑαυτῶν, οἱ χορηγοὶ τοὺς νεωτάτους καὶ τοὺς ἐκ τοῦ καταλόγου μάλιστα ἐπελέγοντο. ὁ δὲ Δημοσθένης, τοὺς μὲν ἐκ καταλόγου στρατεύεσθαι

16 ἔφη, ἐκ δὲ τῆς ἀχρήστου ἡλικίας γίνεσθαι τοὺς χορευτάς. Ἐπειδὰν δὲ ταῦτα λύσητε) Βούλεται ψήφισμα λαβεῖν παρὰ τοῦ δήμου, τὸ παρέχον τὴν ἄδειαν τοῦ κατηγορεῖν τὸν νόμον. Τηνικαῦτα τὸν γράψαντα) Σόφισμά τι κέχρηται συναρπάζειν τὸν δῆμον· τῶν γὰρ πλουσίων μόνων τὸ συμφέρον ἡγουμένων τὸ λυθῆναι τὰ θεωρικά, αὐτὸς πάντας προσείληφεν, ὡς καὶ τοῦ δήμου τοῦτο σπουδάζοντος. τὸ δὲ ὅτι, σύνδεσμος. Ἄλλως τε καὶ τούτου μόνου) Ἀντιπῖπτον λύει, ἵνα μή τις εἴπῃ, τί οὖν ὀκνεῖς σὺ, ὦ φιλόπολις, ὑπὲρ τῆς πατρίδος ἀποθανεῖν, ὡς ὁ Κόδρος καί τινες ἄλλοι; ἐπάγει, ὅτι ἐκεῖνοι μὲν εἶχον ὥσπερ παραμυθίαν τὸ ἀποθνήσκειν ὑπὲρ τοῦ χρησιμεύειν τοῖς πράγμασιν· ἐγὼ δὲ, ἐὰν ἀποθάνω νῦν, οὐ μόνον οὐκ ὠφελήσω, ἀλλὰ καὶ βλάψω, φοβερώτερον καθιστὰς τὸ βῆμα τοῖς βουλομένοις παρρησιάζεσθαι.

ὡς τὸ πέμπειν. η. — νεωτέρους. η. — παρέχων. η. — καὶ συναρπάζει. α. β. — τοῦτο συμφέρειν. β.

περιστάσης δ᾽ ἡμᾶς αἰσχύνης, εἰ καθυφείμεθά τι τῶν πρα-
γμάτων, οὐδὲ τὸν φόβον, ὦ ἄνδρες Ἀθηναῖοι, μικρὸν ὁρῶ
τὸν τῶν μετὰ ταῦτα, ἐχόντων μὲν ὡς ἔχουσι Θηβαίων ἡμῖν, ἀ-
13 πειρηκότων δὲ χρήμασι Φωκέων· μηδενὸς δ᾽ ἐμποδὼν ὄν-
τος Φιλίππῳ τὰ παρόντα καταστρεψαμένῳ, πρὸς ταῦτα
ἐπικλῖναι τὰ πράγματα. ἀλλὰ μὴν εἴ τις ὑμῶν εἰς τοῦτο
ἀναβάλλεται ποιήσειν τὰ δέοντα, ἰδεῖν ἐγγύθεν βούλεται τὰ δει-
νά, ἐξὸν ἀκούειν ἄλλοθι γιγνόμενα, καὶ βοηθοὺς ἑαυτῷ ζητεῖν,
14 ἐξὸν νῦν ἑτέροις αὐτὸν βοηθεῖν· ὅτι γὰρ εἰς τοῦτο περιστή-
σεται τὰ πράγματα, ἐὰν τὰ παρόντα προώμεθα, σχε-
δὸν ἴσμεν ἅπαντες δήπου. ἀλλ᾽ ὅτι μὲν δὴ δεῖ βοηθεῖν, εἴποι
τις ἄν, πάντες ἐγνώκαμεν, καὶ βοηθήσομεν· τὸ δ᾽ ὅπως, τοῦ-
το λέγε. μὴ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, θαυμάσητε, ἂν
παράδοξον εἴπω τι τοῖς πολλοῖς, νομοθέτας καθίσατε. ἐν
15 δὲ τούτοις τοῖς νομοθέταις, μὴ θῆσθε νόμον μηδένα· εἰσὶ γὰρ
ὑμῖν ἱκανοί· ἀλλὰ τοὺς εἰς τὸ παρὸν βλάπτοντας ὑμᾶς λύ-
σατε. λέγω δὲ τοὺς περὶ τῶν θεωρικῶν σαφῶς οὑτωσί,
καὶ τοὺς περὶ τῶν στρατευομένων ἐνίους· ὧν οἱ μὲν, τὰ στρατι-
ωτικὰ τοῖς οἴκοι μένουσι διανέμουσι θεωρικά· οἱ δὲ, τοὺς ἀτα-
16 κτοῦντας ἀθῴους καθιστᾶσιν· εἶτα καὶ τοὺς τὰ δέοντα ποιεῖν
βουλομένους, ἀθυμοτέρους ποιοῦσιν. ἐπειδὰν δὲ ταῦτα λύση-
τε, καὶ τὴν τοῦ τὰ βέλτιστα λέγειν ὁδὸν παράσχητε ἀσφαλῆ,
τηνικαῦτα τὸν γράψοντα ἃ πάντες ἴστε ὅτι συμφέρει, ζητεῖ-
τε. πρὶν δὲ ταῦτα πρᾶξαι, μὴ σκοπεῖτε τίς εἰπὼν τὰ βέλ-
τιστα ὑπὲρ ὑμῶν, ὑφ᾽ ὑμῶν ἀπολέσθαι βουλήσεται· οὐ γὰρ
17 εὑρήσετε· ἄλλως τε καὶ τούτου μόνου περιγίγνεσθαι μέλλοντος,
τοῦ παθεῖν ἀδίκως τι κακὸν τὸν ταῦτ᾽ εἰπόντα καὶ γράψαν-
τα, μηδὲν δ᾽ ὠφελῆσαι τὰ πράγματα, ἀλλὰ καὶ εἰς τὸ
λοιπὸν μᾶλλον ἔτι ἢ νῦν, τὸ τὰ βέλτιστα λέγειν φοβερώτερον
ποιῆσαι. καὶ λύειν γε, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς νόμους δεῖ

Οἱ γὰρ

18 τούτοις αὐτοὺς ἀξιοῦν, οἵπερ καὶ τεθνήκασιν· οὐ γὰρ ἔστι
δίκαιον, τὴν μὲν χάριν, ἣ πᾶσαν ἔβλαψε τὴν πόλιν, τοῖς
τότε θεῖσιν ὑπάρχειν, τὴν δ' ἀπέχθειαν, δι' ἧς ἂν ἅπαντες
ἄμεινον πράξαιμεν, τῷ νῦν τὰ βέλτιστα εἰπόντι ζημίαν
γενέσθαι. πρὶν δὲ ταῦτα εὐτρεπίσαι, μηδαμῶς, ὦ ἄνδρες
Ἀθηναῖοι, μηδένα ἀξιοῦτε τηλικοῦτον εἶναι παρ' ὑμῖν, ὥς-
19 τε τοὺς νόμους τούτους παραβάντα μὴ δοῦναι δίκην, μη-
δ' οὕτως ἀνόητον, ὥστ' εἰς προῦπτον κακὸν αὑτὸν ἐμβαλεῖν·
οὐ μὴν οὐδ' ἐκεῖνό γ' ὑμᾶς ἀγνοεῖν δεῖ, ὦ ἄνδρες Ἀθηναῖοι,
ὅτι ψήφισμα οὐδενὸς ἄξιόν ἐστιν, ἂν μὴ προσγένηται τὸ
ποιεῖν ἐθέλειν τά γε δόξαντα προθύμως ὑμᾶς. εἰ γὰρ αὐ-
20 τάρκη τὰ ψηφίσματα ἦν, ἢ ὑμᾶς ἀναγκάζειν ἃ προσήκει
πράττειν, ἢ περὶ ὧν "γράφει διαπράξασθαι, οὔτ' ἂν ὑ-
μεῖς πολλὰ ψηφιζόμενοι μικρά, μᾶλλον δ' οὐδὲν ἐπράτ-
τετε τούτων, οὔτε Φίλιππος τοσοῦτον ὑβρίκει χρόνον· πά-
λαι γὰρ ἂν ἕνεκά γε ψηφισμάτων ἐδεδώκει δίκην. ἀλλ' οὐχ
οὕτω ταῦτ' ἔχει· τὸ γὰρ πράττειν τοῦ λέγειν καὶ χειροτονεῖν
21 ὕστερον ὂν τῇ τάξει, πρότερον τῇ δυνάμει καὶ κρεῖττόν ἐστι.
τοῦτ' οὖν δεῖ προσεῖναι, τὰ δ' ἄλλα ὑπάρχει· καὶ γὰρ
εἰπεῖν τὰ δέοντα παρ' ὑμῖν εἰσίν, ὦ ἄνδρες Ἀθηναῖοι, δυνά-
μενοι, καὶ γνῶναι πάντων ὑμεῖς ὀξύτατοι τὰ ῥηθέντα· καὶ
πρᾶξαι δὲ δυνήσεσθε νῦν, ἐὰν ὀρθῶς ποιῆτε. τίνα γὰρ χρό-
22 νον, ἢ τίνα καιρόν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦ παρόντος βελ-
τίω ζητεῖτε; ἢ πότε ἃ δεῖ πράξετε, εἰ μὴ νῦν; οὐχ ἅ-
παντα μὲν ἡμῶν τὰ χωρία προείληφεν ἅνθρωπος; εἰ
δὲ καὶ ταύτης κύριος τῆς χώρας γενήσεται, πάντων αἴσχιστα
πεισόμεθα, οὐχ οὓς εἰ πολεμήσαιεν*, ἑτοίμως σώσειν ὑπι-
23 σχνούμεθα, οὗτοι νῦν πολεμοῦνται; οὐκ ἐχθρός; οὐκ ἔχων
τὰ ἡμέτερα; οὐ βάρβαρος; οὐχ ὅ, τι ἂν εἴποι τις; ἀλλὰ
πρὸς θεῶν, ἅπαντα ταῦτα ἐάσαντες, καὶ μονονουχὶ συγ-
κατασκευάσαντες αὐτῷ, τότε τοὺς αἰτίους οἵτινές εἰσι τού-
των ζητήσομεν; οὐ γὰρ αὐτοί γ' αἴτιοι φήσομεν εἶναι, σαφῶς
οἶδα τοῦτ' ἐγώ. "οὐδὲ γὰρ ἐν τοῖς τοῦ πολέμου κινδύνοις,
24 τῶν φυγόντων οὐδεὶς ἑαυτοῦ κατηγορεῖ· ἀλλὰ καὶ τοῦ
στρατηγοῦ, καὶ τῶν πλησίον, καὶ πάντων μᾶλλον. ἥττην-
ται δ' "ὅμως διὰ πάντας τοὺς φυγόντας δήπου· μένειν γὰρ
ἐξῆν τῷ κατηγοροῦντι τῶν ἄλλων. εἰ δὲ τοῦτ' ἐποίει
ἕκαστος, ἐνίκων ἄν. καὶ νῦν οὐ λέγει τις τὰ βέλτιστα; ἀνα-
στὰς ἄλλος εἰπάτω, μὴ τοῦτον αἰτιάσθω. ἕτερος λέγει τις
25 βελτίω; ταῦτα ποιεῖτε ἀγαθῇ τύχῃ. ἀλλ' οὐχ ἡδέα ταῦ-
τα; οὐκέτι τοῦθ' ὁ λέγων ἀδικεῖ· πλὴν εἰ δέον εὔξασθαι
παραλείπει. εὔξασθαι μὲν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ῥᾴ-

*ἐκεῖνος. ε. η. γ.
"ὑ. ε. η.
α. ε. η. θ.
"ὁμοίως. θ.

18 Οἵπερ καὶ τεθνήκασι) Βούλεται κατήγορον αὐτὸν ἑαυτοῦ ποιῆσαι τὸν εὔβουλον. Πρὶν δὲ ταῦτα εὐτρεπίσαι) Ἀντιπίπτον· ἔλυσεν, ἀλλὰ σὺ λύεις τὸν νόμον, μηδὲν βλαβηθείς. ἀπάντησιν οὖν "διλημμάτως· εἰ μὲν οὐ δώσω δίκην, λύσας τοὺς νόμους, τυραννικὸν τὸ τοιοῦτον· εἰ δὲ ἀνάγκη κινδυνεύειν, πῶς οὐκ ἀνόητος ἔσομαι εἰς πρόδηλον κακὸν ἐμαυτὸν ἐμβάλλων. "διὰ διλήμματος. η.

19 Οὐ μὴν οὐδ' ἐκεῖνό γ' ὑμᾶς) Ἀντιπίπτον ἐπανορθοῦται, μηδὲν φοβηθῇς ὦ Δημόσθενες, τὸν νόμον λύσας· ψήφισμα γὰρ ποιοῦμεν ὥστε λυθῆναι. τί οὖν φησίν, ἂν ψηφίσησθε μέν, μηδὲν δὲ πράξητε τῶν ἐφεξῆς, οἷον, "ἐὰν μὴ συνέλθητε ὥστε λῦσαι, ἢ συνελθόντες μὴ "λύσητε, τί τὸ κέρδος τοῦ ψηφίσματος. "εἰ μὴ συνέλθοιτε. η. "λύσειε. β. η.

20 Οὔτ' ἂν ὑμεῖς πολλὰ ψηφιζόμενοι) Ἀσαφὲς τὸ χωρίον· ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, οὔτ' ἂν ἐδεήθητε πολλῶν ψηφισμάτων, καὶ ἐπράξετ' ἂν ἐξ αὐτῶν ἢ μικρά, ἢ οὐδέν· ἐξήρκει γὰρ ἓν ψήφισμα γράψαντας καταγωνίσασθαι τὸν Φίλιππον.

Τὸ γὰρ πράττειν) Γνώμη ἐνθυμηματική. τόπον δὲ ἀριστοτελικὸν διὰ τῆς γνώμης ἐγύμνασεν. ἔστι δὲ ὁ τόπος, τὸ αἴτιον τινὶ τοῦ εἶναι, πρότερόν ἐστιν· αἴτια δὲ τὰ ἔργα τῶν λόγων, πρότερα ἄρα "ἔσται. καὶ πάλιν, οὗ ‵ἂν ἕνεκά τι πράττηται, τοῦτο κρεῖττόν ἐστι. "ἐστί. β. ‵α. β.

21 Πρᾶξαι δὲ δυνήσεσθε) Οὐκ εἶπε πολεμήσετε, φεύγων τὸ λυπεῖν διὰ τῆς δυσχερείας τοῦ ὀνόματος.

Τίνα γὰρ χρόνον) Καὶ τοῦτο τοῦ δυνατοῦ μέρος ἐστί. πᾶσα γὰρ "περὶ καιρὸν καὶ χρόνον ἐξέτασις, εἰς τὸ δυνατὸν ἔχει τὴν ἀναφοράν. "παρά. β.

Οὐχ ἅπαντα μὲν) Ἀνακεφαλαίωσις ἡ κατ' ἀναποδισμόν.

25 Ἀλλ' οὐχ ἡδέα ταῦτα) Κατ' ἐρώτησιν. οὐχ ἡδέα, φησί, τὰ παρ' ἐμοῦ λεγόμενα, ὅτι συμβουλεύω τὰ θεωρικὰ γενέσθαι στρατιωτικά; ἀλλ' οὐκ ἐγώ, φησίν, αἴτιος τούτων, ἀλλ' ἡ φύσις τῶν πραγμάτων, ὅτι οὐ δύναται ἐσαγαγεῖν, καὶ τὰ ἡμέτερα καὶ τὰ ὠφέλιμα.

Πλὴν εἰ δέον εὔξασθαι) Πλὴν εἰ μὴ ἄρα, φησίν, ἐν τούτῳ ἀδικῶ, ἐν ᾧ οὐκ εὔχομαι καὶ ἑκάτερα ὑμῖν προσγενέσθαι, καὶ τὰ ἡδέα, καὶ τὰ ὠφέλιμα.

Εὔξασθαι μὲν γὰρ) Ζητεῖτε, φησί, παρὰ τοῦ συμβούλου εὐχὴν ὡς ἔοικεν, ἀπαιτεῖται τοῦτο· οὐ γὰρ μόνον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ῥᾴδιον ἐστι τοῦτο, ἀλλὰ καὶ ἡδὺ εὔχεσθαι, τὸ παρ' τις ὅ,τι καὶ βούλεται. τὸ δὲ δέοι προσέθηκε, συντρέχων ταῖς γνώμαις τῶν φιλοσό-
26 φων· φασὶ γὰρ αὐτοὶ φασι, μὴ δεῖν εὔχεσθαι περὶ τῶν ἐφ' ἡμῖν, ἢ καὶ ἴσως ἀνωφελὲς τὸ τῆς τύχης ἡγούμενοι. Εἰ δέ τις ὑμῖν) Οὐκέτι τοῦτο ἀντίθεσις, ἀλλὰ νόημα ἀποκλεῖον τῆς ἀναβολῆς τὸν δῆμον· ἵνα γὰρ μὴ μέλλοντας πόρους ἐπιζητῶσιν, ἐπειγόντων τῶν πραγμάτων, διὰ τοῦτο εἶπεν, ὅτι θαυμάζω εἴ τις ἀπορῆσαι τῶν ἀπόντων πρὸς ἃ δεῖ, δυνήσεται. οἱ γὰρ μέλλοντες πόροι, οὐδὲν ποιοῦσι πρὸς τὰ παρόντα· αἱ γὰρ νῦν πράξεις, οὐ μέλλοντας πόρους ἀπαιτοῦσι. Πρὸς ἃ μὴ δεῖ) Παρίσωσις
27 κατὰ τὸ τέλος. Καὶ μισθὸν ἕξετε)
28 Μείζονα χρημάτων αὐτοῖς εὐπορίαν ὑποτίθεται· ὁ γὰρ μισθός, καθημερινὴ δόσις ἐστὶ χρημάτων· τὰ δὲ θεωρικά, ταῖς ἱερομηνίαις ἐλάμβανον. Οὔ τοι σωφρόνων, οὐδὲ γενναίων) Σωφρόνων, ἀντὶ τοῦ συνετῶν. οὐ γενναίων δέ, ἀγεννῶν, ἀνελευθέρων, οὐχὶ ἰσχυρῶν. Οὐ- (εὐγενῶν, ἐλευθέρων. α.)
29 δ' ἐπὶ μὲν Κορινθίους) Ἀπὸ κοινοῦ τό, οὐδαμῶς σωφρόνων ἐστὶν, οὐδὲ γενναίων, ἐπὶ μὲν Κορινθίους καὶ Μεγαρέας, ὅ ἐστιν Ἕλληνας ὄντας, στρατεύεσθαι, ἐπὶ δὲ Φίλιππον τὸν βάρβαρον ὄντα, μή. αἱ δὲ αἰτίαι αἱ κατὰ Μεγαρέων καὶ Κορινθίων, αὗται· οἱ Μεγαρεῖς, τὴν ὀργάδα παρέτεμνον· οἱ δὲ Κορίνθιοι, συνεμάχοντο τοῖς Μεγαρεῦσι· καὶ διὰ τοῦτο, εἰς πόλεμον Ἀθηναίοις κατέστησαν (ἀθηναίους.). ὀργὰς δὲ ἐκαλεῖτο ἡ χώρα, ἢ διὰ τὰ ὄργια τῶν θεῶν, ἢ διὰ τὸ ἀργὴν εἶναι
30 καὶ ὀργᾶν ἐν ἑαυτῇ (αὐτῇ. η.). Ἀλλὰ δικαίου πολίτου) Ἐντεῦθεν μεταβέβηκεν ἐπὶ τὸ τρίτον τοῦ λόγου μέρος, ἐπιλογικὸν μὲν εἶναι δοκοῦν, ἔχον δὲ καταδρομὴν τοῦ τε νόμου τῶν θεωρικῶν, καὶ τοῦ θέντος αὐτόν. πέπλωκε γὰρ ἀκολούθως τοῦτο τὸ μέρος. εἰ γάρ, διὰ τὰ χρήματα διέφθαρται τὰ πράγματα τῆς πόλεως, αἴτιος δὲ τούτων ὁ νόμος, ἄξιον ἦν (ἄξιος. α.) καταδραμεῖν αὐτοῦ τε καὶ τοῦ θέντος αὐτόν· ἡ δὲ καταδρομὴ γέγονε κατ' ἀντεξέτασιν τῶν νῦν πολιτευομένων, καὶ τῶν ἐπὶ τῶν προγόνων. κἀκείνοις μὲν ἑαυτὸν ἀπείκασε· τούτων δὲ καθήψατο, καὶ διχόθεν ἑαυτὸν συνέστησεν, ἐξ ὧν καὶ τούτους οὐ μιμεῖται, καὶ τοὺς παλαιοὺς ἐζήλωκε, τῷ ἔθει καὶ τῷ τρόπῳ τῆς πολιτείας, οὐ τοῖς κατορθώμασι. Ἀκούω, ὥσπερ ἴσως καὶ ὑμεῖς) Ἐπὶ μὲν αὐτῶν τέθηκε τὸ ἴσως· ἐπὶ δὲ ἑαυτοῦ τὸ ἀκούω, ὡς ἀκριβεστέρου αὐτῶν καὶ πλέον περιεργαζομένου τὰ τῶν προγόνων, οἷα δὴ καὶ ἐκείνων ζηλοῦντος. τινὲς δὲ ἐξηγοῦνται τὸ ἴσως πρὸς τὴν ἀκοήν, ὅτι καὶ τινὲς ἦσαν, ἴσως μὴ μόνον ἀ-
31 κοῇ εἰδότες τὰ τῶν προγόνων, ἀλλὰ καὶ τῇ θέᾳ διὰ τὸ μακρόβιον ἑαυτῶν. Οἱ παρόντες) Οἱ δημηγοροῦντες. Ἐκεῖνον) Τὸ ἐκεῖνον ὡς θαυμάζων προσέθηκε (θαυμαστὸν τέθειται. β.). Τὸν Περικλέα) Διὰ τί τὸν Περικλέα τέθηκε τελευταῖον, πρεσβύτερον ὄντα τοῦ τε Νικίου καὶ τοῦ Δημοσθένους; ὅτι τοὺς ἄκρους κατ' ἀρετὴν ἐν ἄκροις ἔταξε· τοὺς δὲ μέσους ἐν μέσοις. διὰ τί δὲ μὴ καὶ Θεμιστοκλέους καὶ Μιλτιάδου ἐμνήσθη; ἐπειδὴ ἐκεῖνοι μὲν κατὰ βαρβάρων εὐδοκίμησαν· οὗτοι δὲ κατὰ τὴν πολιτείαν. Οὗτοι πεφήνασι) Φιλιππισμὸν ἔοικε τοῦ Εὐβούλου κατηγορεῖν. Προπέποται) Ἀντὶ τοῦ ὡς λόγῳ τῶν ἡδέων ἀντιδεδώρηται τῆς πόλεως ἡ ἀπώλεια. ἀπὸ μεταφορᾶς τοῦ προπίνειν ἐν συμποσίοις, ὅταν τις χαίρειν ὁμολογῶν τινὶ δεξιωσάμενος αὐτὸν τῷ σώματι

---

δεῖν, εἰς ταὐτὸ πάντα ὅσα βούλεταί τις ἀθροίσαντα ἐν (ἐνὶ λ. θ.)
26 ὀλίγῳ (χρόνῳ. ε.)· ἑλέσθαι δὲ ὅταν ὑπὲρ πραγμάτων προτεθῇ
σκοπεῖν, οὐκέθ' ὁμοίως εὔπορον, ἀλλὰ δεῖ τὰ βέλτιστα ἀντὶ
τῶν ἡδέων, ἂν μὴ συναμφότερα (ἀμφότερ. γ.) ἐξῇ, λαμβάνειν. εἰ δέ τις ὑ-
μῖν ἔχει καὶ τὰ θεωρικὰ ἐᾶν, καὶ πόρους ἑτέρους λέγειν στρα-
τιωτικούς, οὐχ οὗτος κρείττων; εἴποι τις ἄν. φημὶ ἔγωγε, εἴπερ
27 ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι. ἀλλὰ θαυμάζω εἴ τῳ ποτὲ ἀν- θ.
θρώπων, ἢ γέγονεν, ἢ γενήσεται, ἂν τὰ παρόντα ἀναλώσῃ
πρὸς ἃ μὴ δεῖ, τῶν ἀπόντων εὐπορῆσαι πρὸς ἃ δεῖ. ἀλ-
λ' οἶμαι μέγα τοῖς τοιούτοις ὑπάρχει λόγοις ἡ παρ' ἑκάστου
βούλησις. διόπερ ῥᾷστον ἁπάντων ἐστὶν αὑτὸν (ἑαυτ. η. θ.) ἐξαπατῆ-
σαι· ὃ γὰρ βούλεται, τοῦθ' ἕκαστος καὶ οἴεται· τὰ δὲ πράγμα-
28 τα πολλάκις οὐχ οὕτω πέφυκεν. ὁρᾶτε οὖν, ὦ ἄνδρες Ἀθη- θ.
ναῖοι, ταῦθ' οὕτως, ὅπως καὶ τὰ πράγματα ἐνδέχεται, καὶ
δυνήσεσθε ἐξιέναι, καὶ μισθὸν ἕξετε. οὔ τοι σωφρόνων, οὐδὲ
γενναίων ἐστὶν ἀνθρώπων, ἐλλείποντάς τι δι' ἔνδειαν χρημά-
των τῶν τοῦ πολέμου, εὐχερῶς τὰ τοιαῦτα ὀνείδη φέρειν· οὐ-
29 δ' ἐπὶ μὲν Κορινθίους, καὶ Μεγαρέας, ἁρπάσαντας τὰ ὅ-
πλα πορεύεσθαι· Φίλιππον δ' ἐᾶν πόλεις Ἑλληνίδας ἀνδρα-
ποδίζεσθαι, δι' ἀπορίαν ἐφοδίων τοῖς στρατευομένοις (στρατιώταις η.). καὶ
ταῦτ' οὐχ ἵν' ἀπέχθωμαί τισιν ὑμῶν, τὴν ἄλλως προῄ-
ρημαι λέγειν· οὐ γὰρ οὕτως ἄφρων οὐδὲ ἀτυχής εἰμι ἐγώ,
ὥστε ἀπεχθάνεσθαι βούλεσθαι, μηδὲν ὠφελεῖν (ὠφελῆσαι. ϛ.) νομίζων.
30 ἀλλὰ δικαίου πολίτου κρίνω τὴν τῶν πραγμάτων σωτη- η. θ.
ρίαν, ἀντὶ τῆς ἐν τῷ λέγειν χάριτος αἱρεῖσθαι· καὶ γὰρ τοὺς
ἐπὶ τῶν προγόνων ἡμῶν (ὑμῶν. β.) λέγοντας ἀκούω, ὥσπερ ἴσως καὶ
ὑμεῖς, οὓς ἐπαινοῦσι μὲν οἱ παρόντες (παριόντες. ϛ.) ἅπαντες, μιμοῦν-
ται δ' οὐ πάνυ, τούτῳ τῷ ἔθει καὶ τῷ τρόπῳ τῆς πολιτείας
31 χρῆσθαι, τὸν Ἀριστείδην ἐκεῖνον, τὸν Νικίαν, τὸν ὁμώνυμον ἐ- (τ' ἐμαυτ. ε.)
μαυτῷ, τὸν Περικλέα. ἐξ οὗ δ' οἱ διερωτῶντες ὑμᾶς οὗτοι πε- η. θ.
φήνασι ῥήτορες, τί βούλεσθε, τί γράψω, τί ὑμῖν χαρίσω-
μαι, προπέποται τῆς παραυτίκα ἡδονῆς καὶ χάριτος τὰ θ.
τῆς πόλεως πράγματα, καὶ τοιαυτὶ συμβαίνει. καὶ τὰ μὲν

μάτι μετὰ τοῦ ποτοῦ χαρίσηται αὐτῷ καὶ τὸ ποτήριον ἀργυροῦν ὂν ἢ χρυσοῦν. Καίτοι σκέψασθε) Εἰς ταύτην τὴν ἀντεξέ- 32
τασιν ἐχώρησεν, ἣν διεῖλεν εἰς τρία, πῶς μὲν ἐπολιτεύοντο πρὸς τοὺς Ἕλληνας, πῶς δὲ πρὸς τὴν πόλιν, πῶς δὲ τὰ καθ' ἑ-
αυτοὺς ἰδίᾳ. Οὐκ ἐχαρίζοντο) Τί οὖν, οἱ πρόγονοι ἐμίσουν αὐτούς, καὶ οὐκ ἐφίλουν; ἐπάγει εὐθὺς ὅτι ἐφίλουν, ἀλ-
λ' οὐχ ὡς οἱ ἄλλοι προδόται· οὗτοι γὰρ φιλοῦσι τὸ δοκεῖν, καὶ χαρίζονται ἐπὶ τὸ ἀπολέσαι τὰ πράγματα. Πέντε μέν) 33
Πῶς τετταράκοντα καὶ πέντε νῦν εἰπών, ἐν ἑτέρῳ λόγῳ τρία καὶ ἑβδομήκοντα ἄρξαι τῶν Ἑλλήνων φησί· δεῖ γὰρ εἶναι ἐγγὺς

Τούτων πάντα καλῶς ἔχει, τὰ δ' ὑμέτερα αἰσχρῶς. καίτοι
σκέψασθε, ὦ ἄνδρες Ἀθηναῖοι, ἅ τις ἂν κεφάλαια εἰπεῖν 32
ἔχοι, τῶν τ' ἐπὶ τῶν προγόνων ἔργων, καὶ τῶν ἐφ' ὑμῶν. ἔσται
δὲ βραχὺς καὶ γνώριμος ὑμῖν ὁ λόγος· οὐ γὰρ ἀλλοτρίοις
ὑμῖν χρωμένοις παραδείγμασιν, ἀλλ' οἰκείοις, ὦ ἄνδρες
Ἀθηναῖοι, εὐδαίμοσιν ἔξεστι γενέσθαι. ἐκεῖνοι τοίνυν οἷς οὐκ
ἐχαρίζονθ' οἱ λέγοντες, οὐδ' ἐφίλουν αὐτοὺς ὥσπερ ὑμᾶς
οὗτοι νῦν, πέντε μὲν καὶ τετταράκοντα ἔτη τῶν Ἑλλήνων ἦρ- 33
ξαν ἑκόντων· πλείω δ' ἢ μύρια τάλαντα εἰς τὴν ἀκρό-
πολιν ἀνήγαγον. ὑπήκουε δὲ ὁ ταύτην τὴν χώραν ἔχων
αὐτοῖς βασιλεύς, ὥσπερ ἐστὶ προσῆκον βάρβαρον Ἕλλησι.
πολλὰ δὲ καὶ καλὰ καὶ πεζῇ καὶ ναυμαχοῦντες ἔστησαν
τρόπαια αὐτοὶ στρατευόμενοι. μόνοι δὲ ἀνθρώπων κρείτ- 34
τω τὴν ἐπὶ τοῖς ἔργοις δόξαν τῶν φθονούντων κατέλι-
πον. ἐπὶ μὲν δὴ τῶν Ἑλληνικῶν ἦσαν τοιοῦτοι· ἐν δὲ τοῖς κατὰ
τὴν πόλιν αὐτὴν θεάσασθε ὁποῖοι, ἔν τε τοῖς κοινοῖς καὶ τοῖς
ἰδίοις. δημοσίᾳ μὲν τοίνυν οἰκοδομήματα καὶ κάλλη τοιαῦ-
τα καὶ τοσαῦτα κατεσκεύασαν ἡμῖν ἱερῶν καὶ τῶν ἐν τούτοις
ἀναθημάτων, ὥστε μηδενὶ τῶν ἐπιγιγνομένων ὑπερβο- 35
λὴν λελεῖφθαι. ἰδίᾳ δ' οὕτω σώφρονες ἦσαν καὶ σφόδρα
ἐν τῷ τῆς πολιτείας ἤθει μένοντες, ὥστε τὴν Ἀριστείδου, καὶ
τὴν Μιλτιάδου, καὶ τῶν τότε λαμπρῶν οἰκίαν εἴ τις ἄρα οἶδεν
ὑμῶν ὁποία ποτ' ἐστίν, ὁρᾷ τῆς τοῦ γείτονος οὐδὲν σεμνο-
τέραν οὖσαν· οὐ γὰρ εἰς περιουσίαν ἐπράττετ' αὐτοῖς τὰ τῆς 36
πόλεως, ἀλλὰ τὸ κοινὸν αὔξειν ἕκαστος ᾤετο δεῖν. ἐκ δὲ τοῦ, τὰ
μὲν Ἑλληνικὰ πιστῶς, τὰ δὲ πρὸς τοὺς θεοὺς εὐσεβῶς, τὰ δ'
ἐν αὑτοῖς ἴσως διοικεῖν, μεγάλην εἰκότως ἐκτήσαντο εὐδαι-
μονίαν. τότε μὲν δὴ τοῦτον τὸν τρόπον εἶχε τὰ πράγμα-
τα ἐκείνοις χρωμένοις οἷς εἶπον προστάταις· νυνὶ δὲ πῶς
ὑμῖν ὑπὸ τῶν χρηστῶν τῶν νῦν τὰ πράγματα ἔχει; ἆρά 37
γε ὁμοίως ἢ παραπλησίως; καὶ τὰ μὲν ἄλλα σιωπῶ, πόλ-
λ' ἂν ἔχων εἰπεῖν· ἀλλ' ὅσης ἅπαντες ὁρᾶτε ἐρημίας ἐπει-

ἐπερ. ε. — η. θ. — θ. — θ. — β. γ. — πω. θ. — ἐν α. β. γ. — δεν. β. γ. ε. η. θ. — ἄρ. — πλοῦτος. θ. — καὶ. ε. — ἡμῖν. β. — τούτων τά. ε. η. θ. — ἢ. ε. η. θ. — εἰς. α. γ.

τὸν ἀριθμόν, ὅτι, ὁ παῖς ἐστι οὐδαμῶς τις εἴποι ὅτι τριῶν ἐτῶν ἐστιν ἢ
εἴκοσι, ἀλλὰ τριῶν ἢ τεσσάρων ἢ πέντε· ἐγγὺς γὰρ ὁ ἀριθμός. λέγο-
μεν οὖν ὅτι προσέθηκεν ἐνταῦθα τὸ ἑκόντων· τὰ γὰρ ἄλλα ὀκτὼ καὶ εἴκο-
σι ἔτη ἀκόντων αὐτῶν ἦρξαν, διὰ τὸ ἐπαχθῶς φέρεσθαι τοῖς Ἕλλησι τοὺς
Ἀθηναίους. Τῶν Ἑλλήνων) Μνη-
μονεύει τούτων Θουκυδίδης ἐν τῇ
δευτέρᾳ ἱστορίᾳ. Ὑπήκουε) Καὶ
μέντοι καὶ φόρους ἤνεγκεν αὐτοῖς Περ-
δίκκας ὁ θεῖος Ἀμύντου, ἀδελφὸς
Φιλίππου τοῦ πατρὸς Φιλίππου, ὡς
φησι Διόδωρος· Ἀλεξάνδρου γὰρ τοῦ
φιλέλληνος τοῦ γενομένου ἐπὶ τῶν Μη-
δικῶν, δύο παῖδες, Περδίκκας καὶ Φί-
λιππος. ἐπολέμησαν οὖν πρὸς αὐ-
τὸν οἱ Ἀθηναῖοι. Ἄλλως. Οἱ μὲν
Περδίκκαν εἶναί φασι τὸν ἐνεγκόντα
τοὺς φόρους Ἀθηναίοις· οἱ δέ, Φίλιπ-
πόν τινα τοῦ Φιλίππου πρόγονον. πατὴρ Ἀμύν-
Βασιλεύς) Περδίκκας ὁ πάπ- του τοῦ πατρὸς
πος τοῦ Φιλίππου. Μόνοι δὲ ἀνθρώ- 34 Φιλίπ-
πων) Ὅτι, οἱ μὲν τοῖς ἄλλοις φθονοῦν- που. Β.
τες, καθαιροῦσιν αὐτῶν τὴν δόξαν
διὰ τοῦ λοιδορεῖν· τὴν δὲ ἐκείνων εὔ-
κλειαν, οὐδεὶς ἀφανίσαι δεδύνηται. ἐπαινέσαι. Η.
Κρείττω) Διὰ τὸ ὑπερβάλλον τῶν
πράξεων· οἱ γὰρ φθονοῦντες ἢ τοῖς
ἴσοις φθονοῦσιν, ἢ τοῖς μικρῷ μείζο-
σιν, οὐ μὴν τοῖς πάνυ ὑπερβάλλουσιν.
Ὁποῖοι) Ὅ ἐστι, πῶς διέκειντο κοι-
νῶς πάντα πράττοντες εἰς τὰ δη-
μόσια αὐτῶν. εἶτα καὶ ἐχρήσαντο πῶς
ἕκαστος ἰδίᾳ ἐβίου. Ἀναθημάτων) 35
Ταῦτα πάντα ἐποίησαν καὶ ἀνέθη-
σαν ἀπὸ τῶν λαφύρων τῶν περσικῶν, τὸν
δίφρον τὸν ἀργυρόποδα τοῦ Ξέρξου, καὶ
τὸν ἀκινάκην τοῦ Μαρδονίου· καὶ τὰ προ-
πύλαια τῆς πόλεως κατεσκεύασαν,
καὶ τὴν χαλκῆν Ἀθηνᾶν, καὶ τὴν ἐκ
χρυσοῦ καὶ ἐλέφαντος. Ὥστε μη-
δενὶ τῶν ἐπιγιγνομένων) Οὐ περὶ
τῶν οἰκοδομημάτων λέγει, ἀλλὰ τῶν
ἀναθημάτων· καὶ γὰρ τούτων εἰσὶν
ἴσως ὑπερβολαί· ἀλλ' αὔξει τὰ ἀνα- αὔξει δὲ. Η.
θήματα διὰ τὰς πράξεις ἐξ ὧν ἀνετέθησαν· ὁ γὰρ Ξέρξου δίφρος, καὶ ὁ ἀκινάκης Μαρδονίου, ὁ μὲν ἐκ Σαλαμῖνος, ὁ δὲ ἐκ
Πλαταιέων ἀνετέθησαν. τούτων δὲ τῶν κατορθωμάτων οὐδεὶς ἐξεῦρεν ὑπερβολήν. Οἰκίαν εἴ τις) Ἔδειξε τὸ εὐτε-
λὲς τῶν οἰκιῶν καὶ τὸ ἀφανές, οὕτως εἰπών, εἴ τις οἶδεν, ὡς μὴ πολλοῖς γνωριζομένων διὰ τὸ ταπεινόν. Ἴσως) Ἐπίσης. 36
Πῶς ὑμῖν ὑπὸ τῶν χρηστῶν) Εἰρωνεία τὸ σχῆμα. τῆς δὲ εἰρωνείας, ἡ μέν, εὐθὺς ἐπαγόμενον ἔχει τὸν ἔλεγχον διὰ τοῦ λό-
γου, ὥστε δείκνυσθαι ὅτι εἰρωνεία ἐστίν, ὥσπερ ἐστὶ νῦν παρὰ τῷ Δημοσθένει· ἡ δέ, διὰ τῶν πραγμάτων, ὅπερ ἐστὶ παρὰ τῷ
Πλάτωνι· εἰρωνευσάμενος γὰρ ὅτι οὐδὲν οἶδα, καὶ παρὰ σοῦ δέομαι μαθεῖν, ἐπάγει μετὰ πολὺ τὸν διὰ τῶν πραγμάτων ἔλεγ-
χον δι' οὗ δείκνυσιν ὅτι ἐξ ἀρχῆς εἰρωνεία ἦν. Ἀλλ' ὅσης ἅπαντες ὁρᾶτε) Ἀντεξετάζει τὴν πολιτείαν τῶν περὶ τὸν Εὔβουλον 37 περὶ. Β.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁμοίως ἀπὸ τῶν πραγμάτων, τῶν τε ἑλληνικῶν, καὶ τῶν ἰδίων, καὶ τῶν πολιτικῶν. Ἀπολωλότων) Ἐν λεύκτροις. Ἀσχόλων
38 ὄντων) Διὰ τὸν φωκικὸν πόλεμον. Ἀπεστερήμεθα) Περὶ ἀμφιπόλεως λέγει· αὐτῶν γὰρ κτῆμα ἦν. Ἀνηλώκαμεν) Εἰς αὐτὴν ἀμφίπολιν. Οὓς δ' ἐν τῷ πολέμῳ) Κατὰ τὸν συμμαχικὸν πόλεμον, ἀπέστησαν αὐτῶν χῖοι, καὶ ῥόδιοι, καὶ βυζάντιοι, καὶ ἕτεροί τινες· πολεμοῦντες οὖν πρὸς αὐτούς, τοὺς μὲν ἐκτήσαντο, τοὺς δὲ οὐκ ἠδυνήθησαν, εἶτα εἰρήνην ποιούμενοι, ὥστε πάντας αὐτονόμους ἐᾶσαι τοὺς συμμάχους. τοῦτο οὖν φησίν, ὅτι καὶ οὓς προσηγαγόμεθα τῷ πολέμῳ, καὶ τούτους διὰ τὴν εἰρήνην ἀπολωλέκαμεν.

λημμένοι· καὶ λακεδαιμονίων μὲν ἀπολωλότων, θηβαίων δ' ἀσχόλων ὄντων, τῶν δ' ἄλλων οὐδενὸς ὄντος ἀξιόχρεω
38 περὶ τῶν πρωτείων "ὑμῖν ἀντιτάξασθαι. ἐξὸν δ' ἡμῖν καὶ" τὰ ἡμέτερα αὐτῶν ἀσφαλῶς ἔχειν, καὶ τὰ τῶν ἄλλων δίκαια βραβεύειν, ἀπεστερήμεθα μὲν χώρας οἰκείας· πλείω δ' ἢ χίλια καὶ πεντακόσια τάλαντα ἀνηλώκαμεν εἰς οὐδὲν δέον. οὓς δ' ἐν τῷ πολέμῳ συμμάχους ἐκτησάμεθα, εἰρήνης οὔσης, ἀπολωλέκασιν οὗτοι. ἐχθρὸν δ' ἐφ' ἡμᾶς αὐτοὺς τη-
39 λικοῦτον ἠσκήκαμεν. ἢ φρασάτω τις ἐμοὶ παρελθών, πόθεν ἄλλοθεν ἰσχυρὸς γέγονεν, ἢ παρ' ἡμῶν αὐτῶν φίλιππος. ἀλλ' ὦ τᾶν, εἰ ταῦτα φαύλως, τά γ' ἐν αὐτῇ τῇ πόλει νῦν ἄμεινον ἔχει; καὶ τί ἂν εἰπεῖν τις ἔχοι; τὰς ἐπάλξεις ἃς κονιῶμεν; καὶ τὰς ὁδοὺς ἃς ἐπισκευάζομεν; καὶ κρήνας; καὶ λήρους;
40 ἀποβλέψατε δὴ πρὸς τοὺς ταῦτα πολιτευομένους, ὧν οἱ μὲν ἐκ πτωχῶν* πλούσιοι γεγόνασιν· οἱ δ' ἐξ ἀδόξων ἔντιμοι· ἔνιοι δὲ τὰς ἰδίας οἰκίας τῶν δημοσίων οἰκοδομημάτων σεμνοτέρας εἰσὶ κατεσκευασμένοι. ὅσῳ δὲ τὰ τῆς πόλεως ἐλάττω γέγονε, τοσούτῳ τὰ τούτων "ηὔξηται. τί δὲ τὸ πάντων αἴτιον τούτων, καὶ τί δήποτε ἅπαντ' εἶχε κα-
41 λῶς τότε, καὶ νῦν οὐκ ὀρθῶς; ὅτι, τὸ μὲν πρότερον καὶ στρατεύεσθαι τολμῶν αὐτὸς ὁ δῆμος,* δεσπότης τῶν πολιτευομένων ἦν, καὶ κύριος αὐτὸς ἁπάντων τῶν ἀγαθῶν· καὶ ἀγαπητὸν ἦν παρὰ τοῦ δήμου τῶν ἄλλων ἑκάστῳ καὶ τιμῆς καὶ ἀρχῆς καὶ ἀγαθοῦ τινος μεταλαβεῖν· νῦν δὲ τοὐναντίον· κύ-
42 ριοι μὲν τῶν ἀγαθῶν οἱ πολιτευόμενοι, καὶ διὰ τούτων ἅπαντα πράττεται· ὑμεῖς δὲ ὁ δῆμος ἐκνενευρισμένοι, καὶ περιῃρημένοι χρήματα,* συμμάχους, ἐν ὑπηρέτου καὶ προσθήκης μέρει γεγένησθε, ἀγαπῶντες ἐὰν μεταδιδῶσι θεωρικῶν ὑμῖν, ἢ "βοΐδια πέμψωσιν οὗτοι· καὶ τὸ πάντων "ἀνανδρότατον, τῶν ὑμετέρων αὐτῶν χάριν προσο-
43 φείλετε. οἱ δ' ἐν αὐτῇ τῇ πόλει καθείρξαντες "ὑμᾶς, "ἐπάγουσιν ἐπὶ ταῦτα, καὶ τιθασεύουσι χειροήθεις "αὑτοῖς ποιοῦν-

τοῦ δὲ τοιαύτην γενέσθαι τὴν εἰρήνην, αἴτιος εὔβουλος οὕτω διοικῶν τὰ πράγματα. Συμμάχους)
39 Πυδναίους λέγει. Τηλικοῦτον) Φοβήσας αὐτοὺς διὰ τὸ εἰπεῖν τηλικοῦτον, πάλιν ἐπάγει τὴν θεραπείαν, διὰ τὸ εἰπεῖν, ἡμεῖς αὐτὸν ἠσκήκαμεν. εἰ δὲ αὐτοὶ αὐτὸν ἤσκησαν, οὐκοῦν καὶ καθελεῖν δυνήσονται.
Ἀλλ' ὦ τᾶν) Ἀνθυποφορὰν λύει διὰ τὸ τὰ πολιτεύματα εὐβούλου διεξιέναι. Ταῦτα) Τὰ ἐκτὸς τῆς πόλεως. Ἐπάλξεις) Ταῦτα ἦν τὰ εὐβούλου πολιτεύματα, τὸ ποιῆσαι τὰς ἐπάλξεις λευκοχρίστους. Λήρους) Οἱ μὲν φασὶ τοὺς κρουνοὺς λέγειν, παρὰ τὸ λίαν ῥεῖν· οἱ δὲ τὰ λήρου ἄξια πράγματα· ἐκεῖθεν γὰρ καὶ ὁ ἀριστοφάνης, παρὰ τὸ ληρεῖν ἐποίησε τὴν σύνθεσιν, θέλων τινὰ ὑβρίσαι, ἐν τῷ κρουνοχυτρολήραιον.
Ἄλλως. Λήρους λέγει εὐτελῆ τινά, ἀπὸ τοῦ λήρου τοῦ φλυαροῦ καὶ περιττοῦ.
40 Ὧν οἱ μὲν ἐκ πτωχῶν) Αἰνίττεται τοὺς περὶ τὸν δημάδην, εὔβουλον, φρύνωνα, φιλοκράτην, καὶ εἴ τινες ἕτεροι. Οἱ δ' ἐξ ἀδόξων) Οἱ περὶ δημάδην. Τῶν δημοσίων οἰκοδομημάτων) Οὐ τῶν ὑπὸ περικλέους κἀκείνων τε τῶν ἀνδρῶν γεγονότων, ἀλλ' ὧν οὗτοι τῇ πόλει κατεσκεύασαν κρηνῶν, καὶ λήρων. ἴσως δὲ τῶν ἀναθημάτων λέγει. ἐν δὲ τῷ λέγειν τοῦτο, παροξύνει αὐτοὺς κατὰ τῶν ῥητόρων· φύσει γὰρ φθονερὸν τὸ τῶν ἀνθρώπων γένος. Τί δὴ τὸ πάντων αἴτιον) Αἰτίας προστίθησιν δι' οὓς προτρέπεται ποιεῖν αὐτοὺς τὰ δέοντα· διὰ γὰρ τοῦ λέγειν ὅτι διὰ τοῦ ἐξιέναι ηὐτύχουν, εἰς ζῆλον αὐτοὺς τούτων καθίστησιν.
42 Ὑμεῖς δ' ὁ) Ἐμφαντικὸν τὸ ὑμεῖς, ὡς ἂν εἰ ἔλεγεν, οἱ αὐτόχθονες ὑμεῖς, καὶ πάλαι τῆς ἑλλάδος ἡγεμόνες, νῦν δὲ δοῦλοι τῶν ῥητόρων γεγένησθε. τὸ δὲ ἐκνενευρισμένοι, τῶν νεύρων ἀφῃρημένοι. νεῦρα δὲ τὴν δύναμιν τῆς πόλεως καλεῖ τοὺς συμμάχους. ἐπειδὴ τραχεῖα ἦν ἡ μεταφορά, ἐπάγει τὸ περιῃρημένοι. ἀπὸ μεταφορᾶς καὶ τοῦτο μέρους σώματος εἶπεν, ἐμμένων τῇ τροπῇ τοῦ ἐκνενευρισμένοι. Ἢ βοΐδια) Γράφεται καὶ βοηδρόμια· καί γάρ φασιν ὅτε ἔπεμψε τὴν λείαν ὁ χάρης, βοηδρόμια ἦν. τὸ δὲ βοΐδια, ὑποκοριστικὸν ἐστὶν ἐν συναιρέσει ἀττικῶς ἔθει. Καὶ τὸ πάντων ἀνανδρότατον) Γράφεται καὶ ἀνδρειότατον, ἵν' ᾖ κατ' εἰρωνείαν. οἱ δέ τινες ἀγνοήσαντες, τὴν νῦν φερομένην γραφὴν ἐποίησαν. τὸ δὲ προσοφείλετε χάριν, εἶπεν, ἐπειδή φησιν, ὅτι ἐστεφάνωσεν
43 ἐπὶ τῇ λείᾳ τὸν χάρητα. Καθείρξαντες) Οἱονεὶ συγκλείσαντες καὶ μὴ ἐῶντες πολεμεῖν. εἶπε δὲ ὡς ἐπὶ δεδεσμωμένων θηρίων τὴν λέξιν· διὸ ἐπάγει καὶ τὸ τιθασεύουσι, καὶ τὸ χειροήθεις· ταῦτα γὰρ πάντα ἐπὶ θηρίων εἰώθαμεν ποιεῖν ἡμεροῦντες αὐτά. καὶ τὸ ἐπάγουσι δὲ ὡς ἐπὶ θηρίων εἶπεν· εἰώθαμεν γὰρ καὶ τὰ θηρία οὕτως ἐξημεροῦν, διὰ τοῦ τὴν χεῖρα τοῖς σώμασι αὐτῶν

* καὶ β.
" βοηδρόμια. β.γ.
" ἀνανδρειότατον. α.χ'.β.
" ἡμᾶς. β.γ.
" ὑπάγουσιν. κ.
" αὐτοῖς. α.β.
αὐτοὺς. ν.

αὐτῶν ἐπάγειν, οἱονεὶ κολακεύοντες αὐτὰ διὰ τοῦ χειροτριβεῖν. Ἄλλως. Ἐκ μεταφορᾶς τῶν ἀλόγων ζώων· διὸ καὶ τὸ τιθασσεύουσι, καὶ τὸ χειροήθεις ἐπήγαγε. Ταῦτα μὰ τὴν Δήμητρα) Ἐντεῦθεν οἱ ἐπίλογοι. προκατασκευαστικῶς· ὁ δὲ ῥήτωρ τὸν κίνδυνον βουλόμενος φυγεῖν, τοῦτό φησι. Τὴν Δήμητρα) Ἐπειδὴ κατὰ τῆς Δήμητρος ὄμνυσιν, εἰκὸς ἦν ἤδετο αὐτοὺς ὀργίλους γινομένους, διὰ τὸ πολλὰ αὐτοῖς ἐπιτιμῆσαι, τὴν Δήμητρα ἀποκαλεῖται, ἡμέρους αὐτοὺς ἀπεργάσασθαι, τὴν καὶ τῶν ἡμέρων σιτίων αἰτίαν γενομένην αὐτοῖς. Ἀλλ' ἔγωγε ὅτι καὶ νῦν) Ἐπειδὴ τὸ ἐν τῇ συνηθείᾳ 44

τες. ἔστι δ' οὐδέποτ' οἶμαι μέγα καὶ νεανικὸν φρόνημα λαβεῖν, μικρὰ καὶ φαῦλα πράττοντας· ὁποῖ' ἄττα γὰρ ἂν τὰ ἐπιτηδεύματα τῶν ἀνθρώπων ᾖ, τοιοῦτον ἀνάγκη καὶ τὸ φρόνημα ἔχειν. ταῦτα μὰ τὴν Δήμητρα, οὐκ ἂν θαυμάσαι- 44
μι, εἰ "μείζων εἰπόντι ἐμοὶ γένοιτο παρ' ὑμῶν βλάβη, τῶν πεποιηκότων αὐτὰ γενέσθαι· οὐδὲ γὰρ παρρησία περὶ πάντων ἀεὶ παρ' "ὑμῖν ἐστιν. ἀλλ' ἔγωγε ὅτι καὶ νῦν γέγονε, θαυμάζω. ἐὰν οὖν "ἀλλὰ *νῦν γ' ἔτι ἀπαλλαγέντες τούτων τῶν ἐθῶν, ἐθελήσητε στρατεύεσθαί τε καὶ πράττειν ἀξίως ὑμῶν αὐτῶν, καὶ ταῖς περιουσίαις ταῖς οἴκοι ταύταις ἀφορμαῖς 45
ἐπὶ τὰ ἔξω τῶν ἀγαθῶν χρήσησθε, ἴσως ἂν ἴσως, ὦ ἄνδρες Ἀθηναῖοι, τέλειόν τι καὶ μέγα κτήσαισθε ἀγαθόν, καὶ τῶν τοιούτων λημμάτων ἀπαλλαγείητε, ἃ τοῖς ἀσθενοῦσι παρὰ τῶν ἰατρῶν σιτίοις διδομένοις ἔοικε· καὶ γὰρ ἐκεῖνα οὔτε ἰσχὺν ἐντίθησιν, οὔτ' ἀποθνήσκειν ἐᾷ· καὶ ταῦτα ἃ νέμεσθε νῦν ὑ- 46
μεῖς, οὔτε τοσαῦτά ἐστιν ὥστε ὠφέλειαν ἔχειν τινὰ διαρκῆ, οὔτ' ἀπογνόντας ἄλλο τι πράττειν ἐᾷ· ἀλλ' ἔστι ταῦτα τὴν ἑκάστου ῥᾳθυμίαν "ὑμῶν ἐπαυξάνοντα. οὐκοῦν σὺ μισθοφορὰν λέγεις; φήσει τις. καὶ παραχρῆμά γε τὴν αὐτὴν σύνταξιν ἁπάντων, ὦ ἄνδρες Ἀθηναῖοι· ἵνα τῶν κοινῶν ἕκαστος τὸ μέρος λαμβάνων, ὅτου δέοιτο ἡ πόλις, "εἰς τοῦθ' ἑτοί- 47
μως χρήσιμον ἑαυτὸν παρέχοι. ἔξεστιν ἄγειν ἡσυχίαν; οἴκοι μένων εἰ βελτίων, τοῦ δι' ἔνδειαν ἀνάγκῃ τι ποιεῖν αἰσχρὸν ἀπηλλαγμένος. συμβαίνει τι τοιοῦτον οἷον καὶ τὰ νῦν; στρατιώτης αὐτὸς ὑπάρχων ἀπὸ τῶν αὐτῶν τούτων "λημμάτων, ὥσπερ ἐστὶ δίκαιον ὑπὲρ τῆς πατρίδος. ἔστι τις ἔξω τῆς ἡλι- 48
κίας "ὑμῶν; ὅσα οὗτος ἀτάκτως νῦν λαμβάνων οὐκ ὠφελεῖ, ταῦτ' ἐν ἴσῃ τάξει λαμβανέτω. πάντ' ἐφορῶν καὶ διοικῶν ἃ χρὴ "πράττεσθαι, ὅλως δ' οὔτ' ἀφελὼν οὔτε προσθεὶς

"γρ. μεῖζον. ε. η. — "ἡμῖν. β. — "ἔτι καὶ νῦν. θ. καὶ. ε. η. — γρ. ὑμῶν. β. — *. θ. τοῦτ' ὑπάρχοι. ε. γ. ἐς δ' ἕτοιμος ὑπάρχοι. θ. — "χρημάτων. θ — "ἡμῶν. β. γ. — "γρ. πράττειν. β.

"κακῶς λεγόμενον, οὐ χρῆται, τὸ ἔτι καὶ νῦν, ἀλλ' ὅτι καὶ νῦν ἀντὶ "τούτου κέχρηται. διὰ δὲ τοῦ λέγειν ὅτι θαυμάζω ὑμᾶς, ὅτι καὶ γοῦν νῦν δεδώκατέ μοι παρρησίαν, προτρέπει αὐτοὺς τοῦτο ποιεῖν. Καὶ ταῖς 45
περιουσίαις) Τουτέστι, τοῖς θεωρικοῖς. ἀφορμαῖς δέ, ταῖς προφάσεσι. διὰ δὲ τοῦ ἴσως εἰπεῖν, ὡς ἂν ἐπανορθώσῃ τὸν δισταγμὸν τὸν πρὸς σφᾶς ὑπέφηνεν. Ἴσως ἂν ἴσως) Τεχνικὸς ὁ διπλασιασμός· οὔτε γὰρ ἀμφοτέρως ἀπεφήνατο· διαζονικὸν γὰρ τοῦτο καὶ ἐπισφαλές· οὔτε μόνῳ τούτῳ ἠρκέσθη, ἀλλὰ διπλασιασμῷ κέχρηται πρὸς βεβαίωσιν καὶ ἀκρίβειαν· οὐδεὶς γὰρ συμβούλῳ πείθεται διστάζοντος. τινὲς δὲ χαριέντως ἀπογινώσκοντες αὐτὸ ἐξηγοῦνται οὕτως, τὸ δεύτερον ἴσως, ὡς ἐπανορθωτικὸν λαμβάνοντες τοῦ προτέρου, ὡς ἂν εἰ ἔλεγεν ἐπιτιμῶν ἑαυτῷ εἰπόντι ἴσως· μᾶλλον γὰρ ἀκριβῶς τέλειόν τι καὶ μέγα κτήσαισθε.

Ἃ τοῖς ἀσθενοῦσι) Οἰκείως τῇ παραβολῇ ἐχρήσατο, δεικνὺς ὅτι νοσοῦσι τὴν ἄνοιαν. Οὐκοῦν) Ἐπει- 46
δὴ ἡ μισθοφορὰ *τοῖς Ἀθηναίοις ἐφόβερος· οἰκετῶν γὰρ ἐχρήσατο τῇ ἀνθυποφορᾷ ταύτῃ, δι' ἧς λύει καὶ ἀποκρύπτει τὸ ἀπρεπές. ἐπειδὴ δὲ οἶδεν ὅτι οὐκ ἂν πείσειεν αὐτοὺς ἀποστῆναι τῶν θεωρικῶν, βούλεται αὐτοὺς τούτοις μόνοις ἀρκεῖσθαι, καὶ μὴ ἐὰν δικάζωσιν ἢ συμβουλεύωσιν, ἢ ἐγκρατεύωνται, λαμβάνειν μισθόν. Ἄλλως. Ἀνθυποφορὰ τὸ σχῆμα, οἷον ἵν' ὡς δοῦλοι λάβωμεν μισθόν, καὶ οὕτως πολεμῶμεν· τοῦτο γὰρ ᾐνίξατο ἀτάκτως, ὅτι δεῖ λαβεῖν τὰ θεωρικὰ εἰς μισθὸν πολέμου. εἶτα ἐπειδὴ ἐδόκει ἐφύβριστον εἶναι τὸ ὄνομα τῆς μισθοφορᾶς

"καλῶς. η. — "τούτων. η. — *παρά. ε.

μεταβάλλει, καὶ σύνταξιν αὐτὴν καλεῖ· τῷ δὲ ἔργῳ καὶ τῷ ἀληθεῖ τὴν αὐτὴν καλεῖ καὶ σύνταξιν καὶ μισθοφοράν· καὶ γὰρ καὶ ἐν τῇ συντάξει μισθός ἐστιν ὁ παρεχόμενος, ὡσανεὶ ἔλεγε, μισθοφορὰν καλῶ οὐχ ἣν ὑμεῖς νομίζετε, παρεχομένην τοῖς δούλοις, ἀλλὰ τὴν παρεχομένην τοῖς ἐλευθέροις ὑπὲρ τοῦ λαμβάνειν καὶ ποιεῖν τὰ δέοντα. τὸ δὲ ἁπάντων, ἀντὶ τοῦ ὑπὲρ ἁπάντων τῶν πραγμάτων, καὶ ἐν πολέμῳ καὶ ἐν εἰρήνῃ· βούλεται γάρ, ἐπειδὴ ὁρᾷ αὐτοὺς μὴ βουλομένους λῦσαι τὰ θεωρικά, λαμβάνειν αὐτὰ ἐν εἰρήνῃ, καὶ ἐν πολέμῳ ἀρκεῖσθαι, καὶ μὴ ζητεῖν πλεῖον τὰ ἐν πολέμῳ. κοινῶν δέ φησι, τῶν δημοσίων. Ἔξεστιν ἄγειν ἡσυχίαν) Πάνυ καλῶς τὴν ἡσυχίαν προέταξε· "περὶ ῥᾳθύμων γὰρ προσφθέγγεται. εἶτα ἵνα μὴ μεμνημένος τοῦ ὀνόματος τοῦ πολέμου ἐπαχθὴς ὀφθῇ, οὐκ ὠνόμασεν, ἀλλ' εἶπεν, οἷα καὶ τὰ νῦν ὑπάρχει. Τὰ νῦν) Ἀντὶ τοῦ πόλεμον· ὅρα δὲ πῶς τὸ ὄνομα τοῦ πολέμου ἀποκρύπτεται. Ἀπὸ τῶν αὐτῶν τούτων) Τουτέστιν, ἵνα μὴ πρὸς τοῖς θεωρικοῖς λαμβάνῃ μισθὸν στρατιωτικόν. Ὥσπερ ἐστὶ δίκαιον) Καὶ γὰρ οἱ παράνομοι τὸ ὑπὲρ τῆς ἐνεγκαμένης τοὺς πολίτας ἀναγκάζεσθαι. Ἔστι τις ἔξω τῆς ἡλικίας) Οἷον νέων, ἀνδρῶν, γερόντων· εἰ μὴ ἄρα πλουτήσαντες. λέγομεν οὖν ὅτι ἡλικίαι ἑκάστου ἐξαιρέτως τὴν τῶν δυναμένων ποιεῖν. ὁ τοίνυν ταύτης ὢν ἔξω τῆς ἡλικίας, γέρων ἂν ὑπάρχοι. Ἀτάκτως νῦν λαμβάνων) Μὴ στρατευόμενος. 47 48

"περὶ ῥᾳθύμους. α. παρὰ ῥᾳθύμοις. β.

πλὴν μικρόν, τὴν ἀταξίαν ἀνελών, εἰς τάξιν ἤγαγον τὴν πόλιν τὴν αὐτήν, τοῦ λαβεῖν, τοῦ στρατεύεσθαι, τοῦ δικάζειν,
49 τοῦ ποιεῖν τοῦθ' ὅ,τι καθ' ἡλικίαν ἕκαστος ἔχοι, καὶ ὅτου καιρὸς εἴη, τάξιν ποιήσας. οὐκ ἔστιν ὅπου τοῖς μηδὲν ἐγὼ ποιοῦσι τὰ τῶν ποιούντων εἶπον ὡς δεῖ νέμειν· οὐδ' αὐτοὺς μὲν ἀργεῖν καὶ σχολάζειν καὶ ἀπορεῖν, ὅτι δ' οἱ τοῦ δεῖνος νικῶσι ξένοι, ταῦτα πυνθάνεσθαι· ταῦτα γὰρ νυνὶ γίγνεται. καὶ οὐχὶ μέμφομαι τὸν ποιοῦντά τι τῶν δεόντων ὑπὲρ ὑμῶν· ἀλλὰ καὶ ὑ-
50 μᾶς ὑπὲρ ὑμῶν αὐτῶν ἀξιῶ πράττειν ταῦτα ἐφ' οἷς ἑτέρους τιμᾶτε, καὶ μὴ παραχωρεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς τάξεως, ἣν ὑμῖν οἱ πρόγονοι τῆς ἀρετῆς μετὰ πολλῶν καὶ καλῶν κινδύνων κτησάμενοι κατέλιπον. σχεδὸν εἴρηκα ἃ νομίζω συμφέρειν· ὑμεῖς δ' ἕλοισθε ὅ,τι καὶ τῇ πόλει καὶ ἅπασι συνοίσειν ὑμῖν μέλλει.

ἔξω.

Πλὴν μικρῶν) Ἐπειδὴ συνεβούλευσεν αὐτοῖς μὴ λαμβάνειν, μηδὲ στρατιωτικόν, μηδὲ συμβουλευτικόν, μηδὲ δικαστικόν, ἀλλ' ἀρκεῖσθαι τοῖς θεωρικοῖς. διὰ δὲ τοῦ εἰπεῖν μικρῶν, εὐχερὲς τοῦ καταφρονεῖν αὐτοὺς τούτου παρασκευάζει.
Ἀταξίαν) Τὴν τῶν νέων δηλο-
49 νότι. Καὶ ἀπορεῖν) Ἀπορεῖν καλεῖ τὸ λαμβάνειν τοὺς δύο ὀβολούς· καὶ ἐξὸν πλουτεῖν ἐκ τοῦ πολέμου.
Οἱ τοῦ δεῖνος) Οἷον οἱ τοῦ Χάρητος.
Οὐχὶ μέμφομαι) Ἐπειδὴ διεβάλετο τὸ ξενικὸν ἄνω· ξενικῷ γὰρ ἐκέχρητο ὁ Χάρης· ὡς ἂν εἰ ἔλεγεν, ἐπαινῶ τὸν Χάρητα ποιοῦντα καὶ τὸ νοοῦντα ἀεὶ καὶ μετὰ ξένων· ἀλλ' οὖν γε προκρίνω τοὺς ἐκ τῆς πόλεως στρατιώτας. Τῆς τάξεως) Τάξιν
50 ἀρετῆς καλεῖ, τὸ ἡγεμονεύειν τῆς Ἑλλάδος. ἀλλ' ὥρα ἔφθασαν τὸ δι' ἑαυτῶν εἰς τοὺς πολέμους ἐξιέναι. Σχεδὸν εἴρηκα) Ἵνα μή τινες καταγνῶσιν αὐτοῦ ὡς παραλείψαντός τινας συμβουλίας, ἢ ῥαθυμήσωσιν ὡς ἅπαντες ἀκούσωσι, προσέθηκε τὸ σχεδόν. Συνοίσειν) Πάλιν καὶ ἐνταῦθα διὰ τοῦ αὐτοῖς τὴν αἵρεσιν ἀποδιδόναι, τὴν περὶ τῶν θεωρικῶν κρίσιν ἀποφεύγει.

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΩΤΟΥ ΛΟΓΟΥ

τοῦ κατὰ Φιλίππου.

ΚΑΚΩΣ ἐν τῷ πολέμῳ τῷ πρὸς Φίλιππον οἱ Ἀθηναῖοι φερόμενοι, συνεληλύθασιν εἰς ἐκκλησίαν ἀθυμοῦντες. ὁ τοίνυν ῥήτωρ τήν τε ἀθυμίαν πειρᾶται παύειν, λέγων οὐδὲν εἶναι θαυμαστόν, εἰ ῥᾳθυμοῦντες κεκράτηνται· καὶ εἰσηγεῖται, πῶς ἂν ἄριστα τῷ πολέμῳ προσενεχθεῖεν. κελεύει δὴ δύο δυνάμεις παρασκευάσασθαι, μίαν μὲν μείζω, πολιτικήν, ἥτις οἴκοι μένουσα, πρὸς τὰς τῶν ἐπικαίρων χρείας ἕτοιμος ὑπάρξει· ἑτέραν δὲ ἐλάττονα, ξένων ὄντων τῶν στρατευομένων, παραμεμιγμένων δέ· καὶ κελεύει τὴν δύναμιν μὴ Ἀθήνησι μένειν, μηδὲ ἐκ τῆς πόλεως ποιεῖσθαι τὰς βοηθείας, ἀλλὰ περὶ τὴν Μακεδονίαν ἀναστρέφεσθαι, πολεμοῦσαν ἀδιαλείπτως, ἵνα μὴ τοὺς ἐτησίας πνέοντας ἐπιτηρήσας ὁ Φίλιππος, ἢ καὶ τὸν χειμῶνα, ἡνίκα Ἀθήνηθεν εἰς Μακεδονίαν πλεῖν οὐ δυνατόν, ἐπιχειρῇ τοῖς πράγμασι, καὶ παρὰ τὴν ἀπουσίαν τῶν Ἀθηναίων, ἀπόντων κρατῇ· ἀλλ' ἐγγὺς ἡ πρὸς αὐτὸν ἀντιταξομένη δύναμις πρὸς αὐτὸν ὑπάρχῃ.

ἀμελοῦντες. ε.η.
γ.
ἐπικαίρους. ε
συνηθείας. α.ε.
ἐπιχειρήσῃ. ε.
κρατήσῃ. ε.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΔΗΜΟΣΘΕΝΟΥΣ ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ, Α.

Εἰ μὲν περὶ καινοῦ τινὸς πράγματος 1
προὐτίθετο, ὦ ἄνδρες ἀθηναῖοι, λέγειν, ἐπισχὼν ἂν ἕως οἱ πλεῖστοι τῶν εἰωθότων γνώμην ἀπεφήναντο, εἰ μὲν ἤρεσκέ τί μοι τῶν ὑπὸ τούτων ῥηθέντων, ἡσυχίαν ἂν ἦγον· εἰ δὲ μή, τότ᾽ ἂν αὐτὸς ἐπειρώμην ἃ 2
γινώσκω λέγειν· ἐπειδὴ δὲ περὶ ὧν πολλάκις εἰρήκασιν οὗτοι πρότερον, συμβαίνει καὶ νυνὶ σκοπεῖν, ἡγοῦμαι καὶ πρῶτος ἀναστὰς, εἰκότως ἂν συγγνώμης τυγχάνειν. εἰ γὰρ ἐκ τοῦ

## ΤΟΥ ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ ΛΟΓΟΥ Α. ἐξήγησις, καὶ σχόλια.

ΚΑΤΑ φιλίππου) Ζητοῦσιν, εἰ τοῦ συμβουλευτικοῦ ἴδιον ἡ προτροπή τε καὶ ἀποτροπή, οὐδ᾽ ὅλως δὲ ἡ κατηγορία, πῶς ἐνταῦθα ἐπιγέγραπται ὁ λόγος συμβουλευτικὸς ὤν, κατὰ φιλίππου. καὶ φαμὲν ὅτι πολλάκις τὰ τρία εἴδη τῆς ῥητορικῆς ἐπιμίγνυται, ἀντὶ ὕλης ἀλλήλοις καθιστάμενα, ὥσπερ ἐνταῦθα· βουλόμενος γὰρ κατασκευάσαι, ὅτι δεῖ τὴν μακεδονίαν κακῶσαι, ὕλῃ ἐχρήσατο τῇ κατὰ τοῦ φιλίππου καταδρομῇ. ἰστέον ὅτι ἐν μὲν τοῖς ἄλλοις λόγοις, ὕλη ἦν ἡ τῶν ὀλυνθίων πολιορκία· αὕτη γὰρ εὐπορίας ἐν ᾧ λέγειν αἰτία τῷ ῥήτορι καθίσταται· συνεχὲς δέ, ἡ τῶν ἀθηναίων δύναμις· ἐνταῦθα δέ, ὕλη μὲν ὁ μακεδών· συνεχὲς δέ, οἱ ἀθηναῖοι. διὰ τοῦτο καὶ ἑτέρας ἐπιγραφῆς ὡς πρὸς τοὺς προλαβόντας λόγους ἔτυχε. τὰ δὲ τοῦ λόγου ἐνθυμηματικὰ κεφάλαια τρία εἰσί, τὸ ἐρρωμένως ἀντιλαμβάνεσθαι τῶν πραγμάτων, τὸ αὐτοὺς στρατεύεσθαι, τὸ πόρους χρημάτων ἐπινοεῖν, ὅθεν τὸ σιτηρέσιον τοῖς στρατευομένοις γενήσεται· διὰ γὰρ τοῦ ἀναγινώσκειν τὴν ἐπιστολήν, οὐδὲν ἕτερον, εἰ μὴ τὸ παροξύνειν καὶ ἀντιλαμβάνεσθαι τῶν πραγμάτων διδάσκει. τὸ δὲ προοίμιον, οὐκ ἀπὸ τοῦ πράγματος, ἀλλ᾽ ἀπὸ τοῦ προσώπου· ἀναστάντος γὰρ αὐτοῦ πρὸ τῶν πρεσβυτέρων ἐδυσχέραινόν τινες· ὃ δὴ καὶ θεραπεύει.

Εἰ μὲν περὶ καινοῦ) Ἀπολογεῖται μὲν ἐν τῷ προοιμίῳ περὶ τοῦ προαρπάσαι τὴν τάξιν τῶν γερόντων. ἰστέον δὲ ὅτι 1 συλλογιστικῶς τοῦτο λύει, ὡσεὶ ἔλεγεν, οἶδα μὲν ὅτι ἀναγκαῖόν ἐστι πρώτους λέγειν τοὺς γέροντας, ἀλλὰ τοῦτό γ᾽ ὅταν ᾖ ἡ βουλὴ περὶ καινοῦ τινὸς πράγματος. νῦν δέ, οὐ περὶ καινοῦ πράγματος· περὶ γὰρ φιλίππου βουλευόμεθα· ὥστε ἤδη πολλάκις εἰπόντων τῶν γερόντων περὶ τούτου, παραχαράττω τὸν νόμον. καὶ οὕτως μὲν αὐτὸς συνελογίσατο· ἡ δὲ ἀλήθεια ἔχει, ὡς εἴτε παλαιὸν ἦν τὸ πρᾶγμα, εἴτε καινόν, ἔδει τοὺς γέροντας λέγειν πρώτους. ἐπειδὴ δὲ νῦν πάνυ τεθορύβηνται οἱ ἀθηναῖοι ἐπὶ τῇ ἀπωλείᾳ τῶν "τριάκοντα δύο πόλεων τῶν "χαλκιδικῶν, καὶ ἐπὶ τῇ πολλῇ αὐξήσει τοῦ φιλίππου, διὰ τοῦτο προαρπάσαι τὴν τάξιν ἐπεχείρησεν. Ἄλλως. Ἐν τῷ περὶ τῆς περιβολῆς λόγῳ λέγει ἑρμογένης, τῆς ἰδέας τὴν κατασκευὴν προτέραν εἶναι τῆς προτάσεως· καὶ κέχρηται τούτῳ τῷ παραδείγματι· τὸ γάρ, εἰ μὲν περὶ καινοῦ τινὸς πράγματος προὐτίθετο λέγειν, καὶ τὰ λοιπά, ἐστὶν ἡ κατασκευή· τὸ δέ, ἐπειδὴ περὶ ὧν πολλάκις, καὶ τὰ λοιπά, ἐστὶν ἡ πρότασις· πρότασις γάρ ἐστιν, ὅτι δεῖ καὶ νεωτέρου ὄντος, πρώτου λέγοντος ἀνέχεσθαι· αἱ δὲ ταύτης κατασκευαί, ὅτι μηδὲν τῶν δεόντων οἱ εἰωθότες, ἤτοι οἱ πρεσβύτεροι, εἰρήκασιν. ὁ δὲ σοφιστὴς ἀσκληπιός, κατασκευὴν εἶναι λέγει ἀντὶ προτάσεως· ὁ δὲ ἰσοκράτης ἐν τῷ τοῦ ἀρχιδάμου, τὴν πρότασιν πρώτην ποιήσας, ἐπήνεγκε τὴν κατασκευήν, οἷον, ἴσως τινὲς ὑμῶν θαυμάζουσιν ὅτι τῶν ἄλλων χρόνων ἐμμεμενηκὼς τοῖς τῆς πόλεως "νόμοις, ὡς οὐκ οἶδ᾽ εἴ τις ἄλλος τῶν ἡλικιωτῶν, τοσαύτην πεποίημαι τὴν μεταβολήν, καὶ τὰ ἑξῆς· τοῦτο ἡ πρότασις. ἡ δὲ κατασκευή, ἐγὼ δὲ εἰ μέν τις τῶν εἰθισμένων ἐν ὑμῖν ἀγορεύειν ἀξίως ἦν τῆς πόλεως εἰρηκώς, πολλὴν ἂν ἡσυχίαν ἦγον.

"λς΄. μ. "χαλκιδονικῶν. α΄. μ. "νομίμοις. μ.

Προὐτίθετο) Ἀντὶ τοῦ προεβάλλετο· τινὲς δέ, ἀντὶ τοῦ προεγράφετο· ἐπειδήπερ σανίδας τινὰς ἐνέγραφον, ἐχούσας τὸ πρᾶγμα περὶ οὗ ἡ σκέψις καὶ περὶ οὗ συνεληλύθασι· καὶ προετίθεσαν τῆς ἐκκλησίας, ἵνα γνῶσι πάντες περὶ τίνος ἐστὶν ἡ ἐκκλησία. Λέγειν) Δεῖ ὑποστίξαι ἐν τούτῳ, ἵν᾽ ᾖ οὕτως· εἰ μὲν περὶ καινοῦ τινὸς πράγματος λέγειν προὐτίθετο, ἐπισχὼν καὶ ἀναμείνας ἕως οὗτοι εἴπωσιν οἱ γέροντες, τότε καὶ αὐτὸς ἐπειρώμην ἃ γινώσκω λέγειν. ἰστέον δὲ ὅτι τῷ ἰσοκρατικῷ προοιμίῳ ἐχρήσατο τῷ ἐν τῷ ἀρχιδάμῳ· κἀκεῖ γὰρ τὸ ἐπιχείρημά ἐστιν, ὅτι νέος ὤν, προλαμβάνει τοὺς γέροντας. Ἐπισχὼν) Διὰ τοῦ ἐπισχών, ἔδειξεν ὡς καὶ τότε μόλις εἶχε καρτερῆσαι, μὴ ὑπὲρ τῶν συμφερόντων πρῶτος εἰπεῖν. ἐκ μεταφορᾶς τῶν προθυμουμένων ἵππων δραμεῖν καὶ ἐπεχομένων.

Τῶν εἰωθότων) Θέλει εἰπεῖν τῶν γερόντων· ὅρα δὲ πῶς λεληθότως αὐτοὺς διέβαλε διὰ τοῦ εἰπεῖν τῶν εἰωθότων· ἵνα δηλώσῃ, ὅτι μόνον ἔθος ἔχουσι λέγειν πρῶτοι, οὐ μὴν καὶ χρήσιμόν τι συμβουλεύουσιν.

Εἰ μὲν ἤρεσκέ τί μοι) Διὰ τοῦ εἰπεῖν τοῦτο, κρίσιν τῶν πρεσβυτέρων ἐπέδειξε. τῷ δὲ μερισμῷ καὶ ὑπομερισμῷ σχήματι κέχρηται ἐνταῦθα· εἰπὼν γάρ, τὸν μὲν ἄνω σύνδεσμον, οὐκ ἐπήγαγεν εὐθέως τὸν δέ· ἀλλὰ "ἄλλον μέν· ἔστι γὰρ ὁ μερισμὸς καὶ ὑπομερισμός, ὅταν εἰπὼν δύο μέν, ἀνάγκην ἔχει πρὸς τὰ δύο μὲν ἀποδοῦναι δύο δέ, ὅπερ ἐστὶ καὶ ἐνταῦθα εὑρεῖν. ὅρα δὲ πῶς πάλιν ἀξιοπίστως εἶπε τὸ ἤρεσκέ μοι, ὅ ἐστι τῷ ἀγαθῷ συμβούλῳ ἀγαθὴ συμβουλευθεῖσα βουλή. τὸ δὲ σχῆμα τοῦτό ἐστι καὶ παρὰ τῷ ποιητῇ· Χαῖρ᾽ ἀχιλεῦ, δαιτὸς μὲν ἐΐσης οὐκ "ἐπιδευεῖς Ἠμὲν ἐνὶ κλισίῃ.

"ἕτερον. φι/ "ἐπιδευής. μ.

Ἄλλως. Τὸ σχῆμα, οἱ μὲν καλοῦσι διπλοῦν μερισμόν, οἱ δὲ μερισμόν τε καὶ ὑπομερισμόν· εἰρηκὼς γὰρ πρότερον δύο μέν, ἐπήγαγε δύο δέ. ἐπιφέρουσι δὲ αὐτοὺς πολλάκις, οὐ κατὰ τάξιν, ἀλλὰ πρὸς τὸ πρῶτον τὸ τελευταῖον.

Ἡσυχίαν ἦγον) Τὸ ἦθος τὸ οἰκεῖον δείκνυσιν, ὡς οὐ φιλόνεικος τοῖς καλῶς λεγομένοις.

Αὐτὸς ἐπειρώμην) Διὰ τοῦ εἰπεῖν ἐπειρώμην, ἐταπείνωσε τὸν λόγον, ὡς οὐ πάντως ἐρῶν τὰ συμφέροντα. 2

Ἐπειδὴ δὲ) Κατασκευὴ τοῦ προοιμίου. Πολλάκις εἰρήκασιν οὗτοι) Πάλιν αὐτοὺς ὑφεῶς

διαβάλλει διὰ τοῦ εἰπεῖν, ὅτι πολλάκις μὲν εἰρήκασιν, οὐδὲν δὲ ἤνυσαν. Οὗτοι πρότερον) Τὸ σχῆμα δεικτικόν, φαυλισμοῦ δὲ ἐμφαντικόν. Συγγνώμης τυγχάνειν) Καίτοι ἀποδείξας ὡς οὐχ ἁμαρτάνει διὰ τὸ ταπεινοφρονεῖν, συγγνώμης τὸ τοιοῦτον καλεῖ.
3 Πρῶτον μὲν οὖν) Εἰς τὸ δυνατὸν πρῶτον εἰσέβαλε, μεμιγμένην τῇ νουθεσίᾳ τὴν παραμυθίαν ποιησάμενος. Οὐδ' εἰ πάνυ φαύλως) Ἀπὸ θεραπείας τινὸς ἐχούσης αἰτίαν τοῦ μὴ δεῖν ἀθυμεῖν, τὴν εἰσβολὴν τῶν ἀγώνων ἐποιήσατο. διὰ τοῦ εἰπεῖν, οὐκ ἀθυμητέον, οὐδ' εἰ πάνυ φαύλως ἔχειν δοκεῖ, δείκνυσιν ὡς θαρρεῖν χρή· καὶ γὰρ τοῖς εἰς ἀκροατὰς ἥκουσι τοσοῦτο παραινοῦμεν ἀεί. Ὃ γάρ ἐστι χείριστον) Τὸ σχῆμα παρὰ προσδοκίαν. οἱ δὲ λέγουσι τις δεύτερον εἶναι προοίμιον, τοῦτο λέγουσιν εἶναι κατασκευὴν αὐτοῦ. Τί οὖν ἐστι τοῦτο) Καὶ τοῦτο τὸ ἐνθύμημα εἴληπται ἐκ παραδόξου. ὃ δὲ φησί, τοιοῦτόν ἐστιν, ὃ ὑμᾶς ἐκ τοῦ παρῳχηκότος ἔβλαψε χρόνου, τοῦτο ἀποθέμενοι, πάλιν ὠφεληθησόμεθα. Ἔπειτα ἐνθυμητέον) Δεῖ γὰρ τοὺς ἄρτι ἀκούοντας κατανοεῖν καὶ ἐνθυμεῖσθαι περὶ τῶν πραγμάτων· τοὺς δὲ εἰδότας, διὰ τῆς μνήμης ἀνακαινίζειν τὰ γεγενημένα.
4 Ἐνθυμητέον) Καλῶς ἐπήγαγε τοῦτο τὸ παράδειγμα· εἰώθασι γὰρ οἱ ἄνθρωποι διὰ τῶν ὁμοίων παθημάτων ἐπελαφρύνεσθαι. μερίζει δὲ τὸν λόγον εἰς δύο, εἴς τε νεωτέρους μὴ εἰδότας τὰ παλαιά, καὶ ὀφείλοντας αὐτὰ παρὰ τῶν πρεσβυτέρων μανθάνειν· καὶ εἰς γέροντας, εἰδότας μὲν τὰ παλαιά, χρῄζοντας δὲ ὅμως καὶ ἀναμνήσεως. Ἡλίκην ποτ' ἐχόντων) Ἐπεὶ περιδεὴς ἦν ὁ δῆμος διὰ τὴν τοῦ φιλίππου δύναμιν, ἐκ παραδείγματος τὸ θαρρεῖν αὐτοῖς ἐποιήσατο· καὶ γὰρ λακεδαιμόνιοι οὐ μικρότερον τοῦ μακεδόνος ἴσχυσαν, κατὰ γῆν τε καὶ θάλασσαν. Ἐξ οὗ χρόνος) Ἵνα μή τις εἴπῃ, πάλαι τοιοῦτοι ἦμεν, νῦν δὲ ὁ χρόνος ἤλλαξε τὰ πράγματα, προσέθηκεν, ἐξ οὗ χρόνος οὐ πολύς.
5 Οἷον ἂν) Εὐφήμως αὐτὸ εἶπε πάνυ, φάσκων οἷον ἂν ὑμεῖς βούλησθε, τουτέστιν ἀργίας νικῆσαι. Παραδείγμασι) Πρὸς τὸ οὐδὲν ὑμῖν ἐστι φοβερόν. Χρώμενοι) Ἐὰν δὲ χωρὶς τοῦ σ, πρὸς τὸ ἵνα εἰδῆτε χρώμενοι.
6 Καὶ τῇ νῦν ὕβρει) Ἄνω μὲν ὅτε ἔλεγε περὶ λακεδαιμονίων, ῥώμην εἶπεν· ἐνταῦθα δὲ ἐπειδὴ θέλει ταπεινοῦν τὸν μακεδόνα, ὕβριν εἶπε. πάνυ δὲ τοῦτο ἐχθιστον τοῖς ἀθηναίοις· καὶ γὰρ ἐλευθερίας ἐρασταὶ καθεστήκεισαν.

τοῦ παρεληλυθότος χρόνου τὰ δέοντα οὗτοι συνεβέβλευκε, οὐδὲν ἂν ὑμᾶς νῦν ἔδει βουλεύεσθαι. πρῶτον μὲν οὖν, οὐκ
3 ἀθυμητέον, ὦ ἄνδρες ἀθηναῖοι, τοῖς παροῦσι πράγμασιν, οὐδ' εἰ πάνυ φαύλως ἔχειν δοκεῖ. ὃ γάρ ἐστι χείριστον αὐτῶν ἐκ τοῦ παρεληλυθότος χρόνου, τοῦτο πρὸς τὰ μέλλοντα βέλτιστον ὑπάρχει. τί οὖν ἐστι τοῦτο. ὅτι οὐδέν, ὦ ἄνδρες ἀθηναῖοι, τῶν δεόντων ποιούντων ὑμῶν, κακῶς τὰ πράγματα
4 ἔχει. ἐπεί τοι γε εἰ πάνθ' ἃ προσῆκε πραττόντων οὕτως εἶχεν, οὐδ' ἂν ἐλπὶς ἦν αὐτὰ βελτίω γενέσθαι. ἔπειτα ἐνθυμητέον, καὶ παρ' ἄλλων ἀκούουσι, καὶ τοῖς εἰδόσιν αὐτοῖς ἀναμιμνησκομένοις, ἡλίκην ποτ' ἐχόντων δύναμιν λακεδαιμονίων, ἐξ οὗ χρόνος οὐ πολύς, ὡς καλῶς καὶ προσηκόντως οὐδὲν ἀνάξιον ὑμεῖς ἐπράξατε τῆς πόλεως, ἀλλ' ὑ-
5 πεμείνατε ὑπὲρ τῶν ἑλληνικῶν δικαίων τὸν πρὸς ἐκείνους πόλεμον. τίνος οὖν ἕνεκα ταῦτα λέγω. ἵν' εἰδῆτε, ὦ ἄνδρες ἀθηναῖοι, καὶ θεάσησθε, ὅτι οὐδὲν οὔτε φυλαττομένοις ὑμῖν ἐστι φοβερόν, οὔτ' ἂν ὀλιγωρῆτε τοιοῦτον οἷον ἂν ὑμεῖς βούλησθε, παραδείγμασι χρώμενοι, τῇ τότε ῥώμῃ τῶν
6 λακεδαιμονίων, ἧς ἐκρατεῖτε ἐκ τοῦ προσέχειν τοῖς πράγμασι τὸν νοῦν, καὶ τῇ νῦν ὕβρει τούτου, δι' ἣν ταραττόμεθα, ἐκ τοῦ μηδὲν φροντίζειν ὧν ἐχρῆν. εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες ἀθηναῖοι, δυσπολέμητον οἴεται τὸν φίλιππον εἶναι, σκοπῶν τό τε πλῆθος τῆς νῦν ὑπαρχούσης αὐτῷ δυνάμεως, καὶ τὸ τὰ χωρία πάντα ἀπολωλέναι τῇ πόλει, ὀρθῶς μὲν οἴε-
7 ται. λογισάσθω μέντοι τοῦτο, ὅτι εἴχομέν ποτε ἡμεῖς, ὦ ἄνδρες ἀθηναῖοι, πύδναν, καὶ ποτίδαιαν, καὶ μεθώνην, καὶ πάντα τὸν τόπον τοῦτον οἰκεῖον κύκλῳ, καὶ πολλὰ τῶν μετ' ἐκείνου νῦν ὄντων ἐθνῶν, αὐτονομούμενα καὶ ἐλεύθερα ὑπῆρχε· καὶ μᾶλλον ἡμῖν ἐβούλετ' ἔχειν οἰκείως, ἢ ἐκείνῳ. εἰ τοίνυν
8 ὁ φίλιππος τότε ταύτην ἔσχε τὴν γνώμην, ὡς χαλεπὸν

Marginal readings: οὗτοι. α.ε.η. γ. — συνεβέβλευκεν. α.γ.θ. — * περὶ αὐτῶν. ε.η.θ. — θ. — δοκῇ. γ. θ. — προσήκει. α ε.η.θ. — α.β.γ. θ. — θ. — ἀπολωλεκέναι. α. θ. — ὕβρει. α

Εἰ δέ τις ὑμῶν) Ὅσας οἶδεν ὁ ῥήτωρ ἰσχυρὰς ἀντιθέσεις, πρῶτον τούτων λέγει τὰς λύσεις· εἶθ' οὕτω καθαρὰς ἀποδείξας αὐτάς, προφανῶς προβάλλεται· ὥσπερ οὖν καὶ ἐνταῦθα. τὴν δὲ ἀντίθεσιν τὴν παροῦσαν εἰς δύο κατασκευάζει. ἐκ τε τῆς τούτου δυνάμεως, καὶ πλείστην ἐκ τῆς οἰκείας ἀσθενείας τῶν ἀθηναίων· εἶτα ἐπειδὴ εἰ καὶ τὰ μάλιστα ἐδόκει λελύσθαι ἡ ἀντίθεσις, ὅλως ἔτι σφοδρὰ ἦν, τὴν μὲν ἀρχὴν συντρέχει τῷ ἀντιθέντι· δεῖ γὰρ τὸν ῥήτορα διὰ τὸ μὴ δοκεῖν ἀναιδῆ, καὶ τοῖς προφανῶς ἀληθέσι πολέμιον, ἐπὶ τῶν τοιούτων, τὴν μὲν ἀρχὴν συνδιδόναι, τελευταῖον δὲ καὶ ὑπὲρ τῆς συνεκδρομῆς ἀπολογεῖσθαι. Δυσπολέμητον) Δυσπολέμητον εἶπε, καὶ οὐχὶ ἀκαταγώνιστον· ὁ μὲν γὰρ ἀκαταγώνιστος, οὐδέποτε ἡττᾶται· ὁ δὲ δυσπολέμητος, δυσχερῶς μέν, ὅμως δὲ καταγωνίζεται, ὅπερ ἐνταῦθα θέλων ὑποφῆναι, παρέθετο.
7 Κύκλῳ) Τινές φασιν ὅτι, ἐπειδὴ ἀκλινής ἐστιν ὁ τόπος, διὰ τοῦτο εἶπε τὸ κύκλῳ· οἱ δέ, ὅτι ἐπειδὴ ἐν κύκλῳ αὗται ἔκειντο. Εἰ τοίνυν) Τὸ καθ' ὑπόθεσιν τὸ σχῆμα.

Marginal readings: ἀποδείκνυσιν αὐτ. καὶ προ. η — εἴ τις τὴν δύναμιν. α.β. — * εἶναι. — τούτων. β. — οὐδὲ ἡττᾶται. η — ἀποφαίνεσθαι. α.η.

Ἐπιτιχ

Ἐπιτειχίσματα) Ἐπιτείχισμα, τόπος ὑψηλός, ὃν ἂν προκαταλαβόντες πολέμιοι τειχίσωσι, διὰ τὸ ἐντεῦθεν αὐτοῖς 8
ὁρμωμένοις ἐπιτίθεσθαι τοῖς "ἐχθροῖς. ἐκεῖνος οὖν διὰ τὸ πονεῖν, πρὸς ζῆλον τῶν Ἀθηναίων, ἐπαινεῖ τὸν Μακεδόνα· οἶδε γὰρ "ἐναντίοις. β.
ἐν καιρῷ ἐπαινεῖν καὶ τὸν πολέμιον. Ἆθλα τοῦ πολέμου) Ἐκ μεταφορᾶς τοῦ κειμένου τοῖς παλαίουσιν ἆθλου ἐν μέσῳ. ἔ-
παθλα δὲ οὐχ εὕρηται, εἰ μὴ ἅπαξ παρ' Εὐριπίδῃ. Καὶ τοῖς ἐθέλουσιν) Ὅρα ὅτι δι' ἐκείνου τοῦ τόπου φησὶν αὐτὸν ἡρηκέ- 9
ναι τὰς πόλεις, δι' οὗ βούλεται αὐτοὺς προσέχειν τοῖς πράγμασι. Τὰ μὲν, ὡς ἂν ἑλών τις) Ἐπειδὴ τὸ κατέστραπται φοβερόν
ἐστιν, ἐπήγαγε τὸ ἐπιεικῶς ἔχειν, ὡς ἂν ἑλών τις ἔχοι πολέμῳ. Καὶ γὰρ συμμαχεῖν) Ἐπειδὴ ἐλύπει τοὺς Ἀθηναίους τὸ

"αὐτοῦ. ε. η. θ. πολεμεῖν ἐστιν Ἀθηναίοις, ἔχουσι τοιαῦτα ἐπιτειχίσμα-
"ἔρημος ὄντα α. β. γ. η. τα, τῆς "αὐτοῦ χώρας, "ἔρημος ὢν *συμμάχων, οὐδὲν ἂν ὧν
ποιεῖ. θ. νυνὶ πεποίηκεν, ἔπραξεν οὐδὲ τοσαύτην "ἐκτήσατο δύ-
"ἐκτήσατ' ἄν. ε. η. θ. ναμιν. ἀλλ' οἶδεν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο καλῶς ἐκεῖνος,
θ. ὅτι ταῦτα μέν ἐστιν ἅπαντα τὰ χωρία, ἆθλα τοῦ πολέμου
9 κείμενα ἐν μέσῳ· φύσει δ' ὑπάρχει τοῖς παροῦσι τὰ τῶν ἀπόν-
των, καὶ τοῖς ἐθέλουσι πονεῖν καὶ κινδυνεύειν, τὰ τῶν ἀμελούν-
"τοιαύτῃ. ε. η. των. καὶ γάρ τοι "ταύτῃ χρησάμενος τῇ γνώμῃ, πάντα κα-
τέστραπται καὶ ἔχει, τὰ μὲν, ὡς ἂν ἑλών τις ἔχοι πολέμῳ·
τὰ δὲ, σύμμαχα καὶ φίλα ποιησάμενος· καὶ γὰρ συμμαχεῖν
10 καὶ προσέχειν τὸν νοῦν τούτοις ἐθέλουσιν ἅπαντες, οὓς ἂν ὁ-
ρῶσι παρεσκευασμένους καὶ πράττειν ἐθέλοντας ἃ χρή. ἂν
υ. θ. τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ὑμεῖς ἐπὶ τῆς τοιαύτης ἐθελή-
σητε γενέσθαι γνώμης νῦν, ἐπειδήπερ οὐ πρότερον, καὶ ἕ-
καστος ὑμῶν οὗ δεῖ καὶ δύναιτ' ἂν παρασχεῖν αὑτὸν χρήσι-
"ἕτοιμος. α. μον τῇ πόλει, πᾶσαν ἀφεὶς τὴν εἰρωνείαν, "ἑτοίμως πράτ-
11 τειν ὑπάρξῃ· ὁ μὲν χρήματα ἔχων, εἰσφέρειν· ὁ δ' ἐν ἡλι-
θ. κίᾳ, στρατεύεσθαι· συνελόντι δ' ἁπλῶς εἰπεῖν, ἂν ὑμῶν αὐ-
τῶν ἐθελήσητε γενέσθαι, καὶ παύσησθε, αὐτὸς μὲν οὐδὲν ἕ-
καστος ποιήσειν ἐλπίζων, τὸν δὲ πλησίον πάνθ' ὑπὲρ αὐτοῦ
πράξειν, καὶ τὰ ὑμέτερ' αὐτῶν κομιεῖσθε ἂν θεὸς θέλῃ, καὶ
12 τὰ κατερραθυμημένα πάλιν ἀναλήψεσθε, κἀκεῖνον τι-
μωρήσεσθε. μὴ γὰρ ὡς θεῷ νομίζετ' ἐκείνῳ τὰ παρόντα πε-
πηγέναι πράγματα ἀθάνατα, ἀλλὰ καὶ μισεῖ τις ἐκεῖνον καὶ
η. δέδιεν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ φθονεῖ, καὶ τῶν πάνυ νῦν δοκούν-
ε. η. θ. των οἰκείως ἔχειν αὐτῷ. καὶ ἅπανθ' ὅσα περ καὶ ἐν ἄλλοις τι-
σὶν ἀνθρώποις ἔνι, ταῦτα καὶ τοῖς μετ' ἐκείνου χρὴ νομίζειν
13 ἐνεῖναι. κατέπτηχε μέντοι ταῦτα πάντα νῦν οὐκ ἔχοντα
ἀποστροφὴν, διὰ τὴν ὑμετέραν βραδυτῆτα καὶ ῥαθυμίαν,
θ. ἣν ἀποθέσθαι φημὶ δεῖν ἤδη. ὁρᾶτε γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι,
τὸ πρᾶγμα οἷ προελήλυθεν ἀσελγείας ἄνθρωπος, ὃς οὐδ'
"ὑμῖν. ε. η. αἵρεσιν "ὑμῖν δίδωσι τοῦ πράττειν, ἢ ἄγειν ἡσυχίαν, ἀλλ' ἀπει-

τὸν Φίλιππον ἔχειν συμμάχους καὶ φί-
λους, διὰ τῆς καθολικῆς γνώμης
τοῦτο ἐθεράπευσε. Τούτοις ἐθέ-
λ.) Ἐπειδὴ ἀνωτέρω ἐφόβησεν αὐ- 10
τοὺς, εἰπὼν αὐτὸν τὸν Φίλιππον ἰσχυ-
ρὸν διὰ τοῦ ἔχειν συμμάχους, ἐπή-
γαγε τοῦτο παραμυθούμενος, ὡς ὅ-
τι ἐὰν αὐτοὶ τὰ αὐτὰ ἐθέλωσι πρᾶ-
ξαι, εὐχερῶς αὐτὸν καθαιρήσουσιν.
ἄξιον δὲ ζητῆσαι πῶς ἀλλαχοῦ κα-
θελὼν αὐτοῦ τὴν δύναμιν, διὰ τοῦ εἰ-
πεῖν ὅτι οἱ πολλοὶ αὐτοῦ ἀφίστανται,
καὶ νῦν λέγει ὅτι πολλοὺς ἔχει συμμά-
χους. λέγομεν οὖν, ὅτι τὸν τρόπον διέ-
ξεισι τῶν ὑπηκόων· εἰ γὰρ καὶ μισοῦσι
καὶ φοβοῦνται τοὺς δυνατοὺς, ἀλλ'
ἐν ὅσῳ μὴ πράττουσί τι οἱ ἀγαθοὶ
διὰ ῥαθυμίαν, ἀνάγκη προσέχ-
ουσι τοῖς δυνατοῖς, ἵνα μὴ μετὰ τῶν
ῥαθύμων ὄντες πάθωσι μετ' αὐ-
τῶν· εἰ δέ ποτε οἱ ἀγαθοὶ σπουδά-
σουσι, καὶ τὴν ῥαθυμίαν ἀποθέσθαι
θελήσουσιν, εὐθέως πρὸς αὐτοὺς
ἀποστήσονται. Ἀφεὶς τὴν εἰρωνείαν)
11 Ἰστέον ὅτι εἰρωνεία ἐστὶν ἐναντίον τῆς
ἀλαζονείας· ἀλαζονεύεσθαι μὲν γάρ
ἐστι, τὸ πλείονα ἐπαγγέλλεσθαι δύ-
νασθαι ποιεῖν, ἢ περ "δύναιτο· εἰρω- "δύναιντο. α.
νεία δὲ, τὸ λέγειν ἐλάττονα *δύνα- *μή. α.
σθαι ποιεῖν ^, ἅ τις δύνηται. ^α.
Αὐτὸς μὲν οὐδὲν ἕκαστος) ἴδιον γάρ 11
καὶ τοῦτο τῶν ῥαθυμούντων. Ἂν
θεὸς θέλῃ) Εἰς οὐρανὸν τὰς ἐλπί-
δας ἀνέπεμψεν, ἵνα ἐὰν ἐκείνως ταῦτα
ποιησάντων μὴ ἀποβαίη τὰ συμφέ-
ροντα, ἔχῃ ἀπολογίαν· τούτου χά-
ριν ἐντεῦθεν ἤδη τὴν δόκησιν τοῦ
θεοῦ προσέθηκεν· οἱ δὲ, διὰ τὸ φι-
λόθεον τὸ οἰκεῖον ἦθος παραστῆσαι.
Μισεῖ τις ἐκεῖνον) Μισεῖ μὲν, ὁ 12
ἤδη πεπονθὼς κακῶς· δέδιε δὲ, ὁ
μηδέπω μὲν ὑπομείνας, προσδο-
κῶν δέ· φθονεῖ δὲ, ὁ ὁρῶν αὐτὸν οὕ-
τως τὰς πόλεις καταστρεφόμενον.
ἀντιπίπτον δὲ λύει· ἵνα γὰρ μή τις εἴ-
πῃ, πῶς οὖν εἰ μισοῦσιν αὐτὸν οὐκ ἀ-
φίστανται αὐτοῦ· ἐπάγει ὅτι ἄκοντες
καὶ φοβούμενοί εἰσιν ὑπ' ἐκείνου, διὰ τὸ μὴ εὑρίσκειν τινὰ καταφυγὴν πρὸς ἡμᾶς ῥαθυμίᾳ κατεχομένους· καὶ μὴν
ἤδη ἐπείσθησαν αὐτῷ καὶ ἔπεμψαν βοήθειαν πρὸς Ὀλυνθίους· πῶς οὖν ῥαθύμους αὐτοὺς καλεῖ, καθὸ μηδὲν ἑκόντες
ποιοῦσιν, εἰ μή τις αὐτοῖς ἐπιτιμήσει διὰ τοῦ συμβουλεύειν καὶ πείθειν ποιεῖν. Καὶ ἅπανθ' ὅσα) Τοῦτο τὸ σχῆμα καλεῖται
καθαίρεσις· καὶ γὰρ διὰ τούτου ὅθεν ῥαδίως καὶ μάλιστα ἡ βλάβη προσγίνεται, τῷ καθόλου τὸν λόγον ἐπιστώσατο. Κα- 13
τέπτηχε) Ταπεινοῦται· οὔτε γὰρ ὁ μισῶν βλάπτει, διὰ τὸ ἡμᾶς ῥαθυμεῖν· οὔτε ὁ δεδιὼς, ἕτερόν τι φρονῆσαι δύναται·
ἐπισφαλὲς γάρ· οὔτε ὁ βασκαίνων ἀντιστῆναι· ἀδύνατον γάρ. Ἀσελγείας) Ἀσέλγεια κοινῶς καλεῖται πᾶσα ὕβρις, οὐ-
χὶ περὶ τὰ ἀφροδίσια μόνον. Ὃς οὐδ' αἵρεσιν) Τουτέστι διὰ τὴν ὕβριν τοῦ Μακεδόνος, οὐδὲ δυνατοὶ καθεστήκατε



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πράττειν ἃ βούλεσθε, ἀλλὰ καὶ ἐξ ἀνάγκης ἔχετε πολεμῆσαι. διὰ δὲ τούτου τὸ ἀναγκαῖον παρεισήγει· ἀναγκαῖον δέ ἐστιν οὗ χωρὶς οὐ δυνατόν. Τοῦ πράττειν) Οὐκ εἶπεν ἁπλῶς πολεμεῖν, ἀλλὰ καινοτέρῳ ὀνόματι ἐχρήσατο, τοῦ πράττειν, ἀντὶ
14 τοῦ ψηφίζεσθαι, τοῦ δικάζειν, τοῦ γεωργεῖν, καὶ τῶν λοιπῶν. Καὶ λόγους ὑπερηφάνους) Ἵνα μὴ λέγων τὰ ῥήματα τοῦ Μακεδόνος, κακὸς οἰωνὸς δόξῃ, τούτου χάριν παρέδραμεν αὐτά. Προσπεριβάλλεται) Τινές φασιν, ἐπειδὴ κυκλοτερῶς ἔκειντο αἱ πόλεις ἃς παρέλαβεν ὁ Φίλιππος, τούτου χάριν εἶπεν οὕτως· ἄλλοι δὲ, ἀπὸ μεταφορᾶς τῶν κυνηγετῶν, οἵτινες κύκλῳ περὶ πάσας τὰς ὁδοὺς καὶ πάσας τὰς ἐκεῖσε τὰς ἄρκυς περιβάλλουσιν, ὑπὲρ τοῦ μὴ διαφυγεῖν τὰ θηρία ἐκεῖθεν. καὶ τὸ περιστοιχίζεται πάλιν ἐπήγαγεν· ὅθεν καὶ ἄμεινον. Ἄλλως. Ἀπὸ μεταφορᾶς τῶν κυνηγετῶν· κατὰ γὰρ τὰς ἐκδρομὰς τῶν θηρίων, ὀρθὰ ξύλα ἱστᾶσιν, ἃ καλοῦσι στοίχους, καταπετανύντες αὐτῶν δίκτυα, ἵνα ἐὰν αὐτοὺς ἐκφύγῃ τὰ θηρία, εἰς τὰ δίκτυα ἐμπέσῃ· ἔνια δὲ τῶν ἀντιγράφων περισχοινίζεται ἔχει. Καὶ καθημένους) Ἐπειδὴ φοβεῖ τὸ λεχθὲν, φησὶν, ὡς ἐπικουροῦσαν τὴν ἡμετέραν ῥᾳστώνην κτησάμενος, τοῦτο διαπράξεται Φίλιππος. Πότ' οὖν, ὦ ἄνδρες Ἀθηναῖοι) Μετάβασις καὶ ἐνταῦθα ἐπὶ τὸ ἀναγκαῖον· δείκνυσι γὰρ ὅτι ἐξ ἀνάγκης ταῦτα ποιητέον. ἔστι δὲ κατ' ἐπιτίμησιν· διὸ καὶ τὸ δεύτερον πότε, βαρυτέρᾳ τῇ φωνῇ προσφέρεται. τρόπον δὲ διαγράφει ἐνταῦθα τῶν ῥᾳθυμούντων· ἔστι δὲ τὸ σχῆμα διαλογικόν· εἶτα τῇ ἐρωτήσει τὴν διάκρισιν οὐκ ἀποδίδωσιν, ἀλλ' ὑπὸ τῆς ὀργῆς αὐτὸς ἀντὶ τοῦ δῆθεν ἐρωτωμένου φθέγγεται. Ἐπειδάν) Ὡς ἐν ἤθει ἀναγνωστέον τὸ, ἐπειδάν. Νὴ Δία ἀνάγκη) Οὐδὲν χαλεπώτερον αἰσχύνης τοῖς ἐλευθέροις καθέστηκεν. Ἐγὼ μὲν γὰρ οἶμαι) Εἰ-
15 πὼν γὰρ τὸν μὲν, οὐκ ἐπήγαγε τὸν δὲ, ἐπειδὴ ἔμελλεν ἐπιφέρειν, ὑμεῖς δὲ αὐτὴν οὐχ ἡγεῖσθε αἰσχύνην, ὅπερ ἦν ὑβριστικόν· καὶ διὰ τοῦτο τὸ μὲν σιωπᾷ, ἄλλο δὲ ἐπιφέρει τούτου ὅμοιον. Εἰπέ μοι) Δέον εἰπεῖν, εἴπατέ μοι, πρὸς τὸ βούλεσθε, εἰπέ μοι εἶπεν ἀττικῶς. Ἀθηναίους) Τοὺς τὸν Πέρσην ἀπὸ τῆς Ἑλλάδος διώξαντας, ἐκ Πέλλης ὁρμώμενος ἄνθρωπος καταπολεμεῖ. Τέθνηκε Φίλιππος) Τινὲς δὲ ἐντεῦθεν ὁρμώμενοι, φασὶν, ὅτι πρῶτος οὗτος ὁ λόγος· καὶ γὰρ ἡ ἀσθένεια Φιλίππου, περὶ τῆς πολιορκίας Ὀλύνθου. ἀλλὰ φαμὲν ὅτι οὐκ ἀττικὸς αὐτὸν τὸ τοιοῦτον θεῖναι, ὡς ἐν παραδείγματι, καὶ ἦν τοῖς χρόνοις πρεσβύτερον· ἅτε δὴ γὰρ ἐκεῖνοι ταῦτα θέλοντες γενέ-
16 σθαι, ἐθρύλλουν. Ταχέως ὑμεῖς) Ἡ ῥᾳστώνη, φησὶ, πολλοὺς τίκτειν Φιλίππους δύναται· καὶ γὰρ παρ' ἡμῖν οὔσης τῆς ἀμελείας, ταχέως γενήσεται καὶ ἕτερος Φίλιππος, ἄλλοι δὲ τινὲς περιέργως φασὶ, διὰ τὸ λέξαι ὅρον αὐτὸν τοῦτο λέγει καθ' ὑπόθεσιν τὸ λεγόμενον. Τοσοῦτον ἐπηύξηται) Καλῶς ἠσφαλίσατο διὰ τὸ πιθανόν· οὐ γὰρ πάντως πάντα διὰ τῆς
17 ῥᾳθυμίας Ἀθηναίων, ἀλλὰ καὶ τινὰ διὰ τῆς αὐτοῦ ῥώμης κατώρθου. Ἴσθ' ὅτι πλησίον) Τοῦ γὰρ βασιλέως νεωστὶ τετελευτηκότος, καὶ τῶν ὑπηκόων, ὡς εἰκὸς ἦν, διχονοούντων, αὐτοὶ προστιθέμενοι, ἐνίοτε ἐξ αὐτῶν ἠδύναντο τοῦ ἐπι-
18 ρυγχάνεσθαι, καὶ οἰκεῖον βασιλέα καταστῆσαι. Ἀπηρτημένοι) Ἀντὶ τοῦ κεχωρισμένοι, κρεμάμενοι. Ὡς μὲν οὖν δεῖ) Ἐντεῦθεν μέτεισιν ἐπὶ τὸ ἄλλο μέρος τοῦ δυνατοῦ· εἰς δύο γὰρ τοῦτο ἔτεμεν· εἴς τε τὸ, ὅτι ἐὰν λάβωμεν τὴν αὐτὴν γνώμην Φιλίππῳ, δυνάμεθα νικῆσαι, ὃ ἤδη καὶ ἐξείργασαι· καὶ εἰς τὸ ποσὸν τῆς δυνάμεως καὶ τὸν τρόπον τοῦ πόρου ὃν νῦν ἐρεῖ. διὰ μέσου δὲ εἶπε τὸ ἀναγκαῖον. τὸν δὲ τρόπον τῆς παρασκευῆς, πότερον ἐκ πολιτῶν, ἢ ξένων αὕτη γίνεται. Πεπεισμένων) Ἀντὶ τοῦ πεισθέντων. τοιοῦτος δὲ ὁ Δημοσθένης, τὰ ἀμφιβαλλόμενα λαμβάνων ὡς ὁμολογούμενα. Καὶ τάχιστα)

14 λει, καὶ λόγους ὑπερηφάνους ὥς φασι λέγει· καὶ οὐχ οἷός τέ
ἐστιν ἔχων ἃ κατέστραπται, μένειν ἐπὶ τούτων· ἀλλ' ἀεί τι
προσπεριβάλλεται, καὶ κύκλῳ πανταχῇ μέλλοντας ἡμᾶς καὶ
καθημένους περιστοιχίζεται. πότ' οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, πό-
τε ἃ χρὴ πράξετε· ἐπειδὰν τί γένηται· ἐπειδὰν νὴ Δία
ἀνάγκη τις ᾖ; νῦν δὲ τί χρὴ τὰ γιγνόμενα ἡγεῖσθαι; ἐγὼ μὲν
15 γὰρ οἶμαι τοῖς ἐλευθέροις μεγίστην ἀνάγκην τὴν ὑπὲρ τῶν
πραγμάτων αἰσχύνην εἶναι. ἢ βούλεσθε, εἰπέ μοι, περι-
ιόντες αὐτῶν πυνθάνεσθαι κατὰ τὴν ἀγοράν, λέγεταί τι
καινόν; γένοιτο γὰρ ἄν τι καινότερον, ἢ Μακεδὼν ἀνὴρ Ἀθη-
ναίους καταπολεμῶν, καὶ τὰ τῶν Ἑλλήνων διοικῶν; τέθνηκε Φί-
16 λιππος; οὐ μὰ Δί'. ἀλλ' ἀσθενεῖ; τί δ' ὑμῖν διαφέρει· καὶ γὰρ
ἂν οὗτος τι πάθῃ, ταχέως ὑμεῖς ἕτερον Φίλιππον ποιήσε-
τε, ἄνπερ οὕτω προσέχητε τοῖς πράγμασι τὸν νοῦν· οὐδὲ
γὰρ οὗτος παρὰ τὴν αὑτοῦ ῥώμην τοσοῦτον ἐπηύξηται, ὅσον
παρὰ τὴν ἡμετέραν ἀμέλειαν. καίτοι καὶ τοῦτο· εἴ τι πάθοι,
καὶ τὰ τῆς τύχης ἡμῖν ὑπάρξει, ἥπερ ἀεὶ βέλτιον ἢ ἡμεῖς
17 ἡμῶν αὐτῶν ἐπιμελούμεθα, καὶ τοῦτο ἐξεργάσαιτο, ἴσθ' ὅτι
πλησίον μὲν ὄντες, ἅπασιν ἂν τοῖς πράγμασι τετα-
ραγμένοις ἐπιστάντες, ὅπως βούλεσθε διοικήσαισθε· ὡς δὲ
νῦν ἔχετε, οὐδὲ διδόντων ὑμῖν τῶν καιρῶν Ἀμφίπολιν, δέ-
ξασθαι δύναισθ' ἄν, ἀπηρτημένοι καὶ ταῖς παρασκευαῖς
18 καὶ ταῖς γνώμαις. ὡς μὲν οὖν δεῖ τὰ προσήκοντα ποιεῖν ἐθέ-
λοντας ὑπάρχειν ἅπαντας ἑτοίμως, ὡς ἐγνωκότων ὑμῶν
καὶ πεπεισμένων, παύομαι λέγων. τὸν δὲ τρόπον τῆς παρα-
σκευῆς, ἣν ἀπαλλάξαι ἂν τῶν τοιούτων πραγμάτων ὑ-
μᾶς ἡγοῦμαι, καὶ τὸ πλῆθος ὅσον, καὶ πόρους οὕστινας
χρημάτων, καὶ τἄλλα ὡς ἄν μοι βέλτιστα καὶ τάχιστα δοκῇ

κατὰ λ. θ. — ἐνταῦθεν. η. — βαρύτερον. η. — ἐπιστάντες. η.

γ. θ. — τούτοις. ε. η. θ. — κύκλῳ, κ. α. η. θ. — πανταχοῦ. ι. η. — θ. — ἡγοῦμαι. ε. η. θ. — πεπραγμένων. θ. — πῇ λέγ. — ὑμετέρ. α. ϛ. γ. η. — καὶ ῥᾳθυμίαν. η. ἀμέλειαν καὶ ῥᾳθυμίαν. θ. — α. θ. — ὑπάρξαι. — ἂν βούλησθε. — α. ε. η. — διοικήσασθε. α. ε. η. διοικήσαιτε. ε. η. θ. — τῶν πραγμάτων. ε. η. — ἐθέλοντας. α. ϛ. — καὶ ἑτοίμως. α. β. — καὶ ὅσους. α.

Καὶ

Καὶ τὸ τάχιστα προσέθηκεν, ἐπειδὴ μακρὰν μέλλει λέγειν βοήθειαν ποιεῖσθαι, ἵνα τὸ τάχος πρὸς ἀπολογίαν ἔχῃ. Δεηθεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι) Προθεραπείᾳ κέχρηται, ἐπειδὴ οἶδεν αὐτοὺς ἡδέως τὰ μέγιστα ψηφιζομένους, μηδὲν δὲ ἀξίους ποιοῦντας τῶν δεδογμένων. θέλει δὲ αὐτοὺς ἐκείνην τὴν βοήθειαν πέμψαι, ἣν δύνανται· τούτου χάριν ταύτῃ κέχρηται. 19 α.

α.ε.η.ι. παρασκευάσασθαι, καὶ δὴ πειράσομαι λέγειν, δεηθεὶς ὑ- 19
μῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τοσοῦτον· ἐπειδὰν ἅπαντα ἀκού-
σητε, κρίνατε, καὶ μὴ πρότερον προλαμβάνετε· μηδ'
ἂν ἐξ ἀρχῆς δοκῶ τινὶ καινὴν παρασκευὴν λέγειν, ἀνα-
βάλλεσθαί με τὰ πράγματα ἡγείσθω· οὐ γὰρ οἱ ταχὺ καὶ
τήμερον εἰπόντες, μάλιστα εἰς δέον λέγουσιν· οὐ γὰρ ἂν τά γε 20
ἤδη γεγενημένα, τῇ νυνὶ βοηθείᾳ κωλῦσαι δυνηθείημεν·
ἀλλ' ὃς ἂν δείξῃ, τίς ἡ πορισθεῖσα παρασκευή, καὶ πόση, καὶ
πόθεν διαμεῖναι δυνήσεται, ἕως ἂν ἢ διαλυσώμεθα πεισθέν-
τες τὸν πόλεμον, ἢ περιγενώμεθα τῶν ἐχθρῶν· οὕτω γὰρ οὐκέτι
τὸ λοιπὸν πάσχοιμεν ἂν κακῶς. οἶμαι τοίνυν ἐγὼ ταῦτα λέ-
γειν ἔχειν, μὴ κωλύων εἴ τις ἄλλος ἐπαγγέλλεταί τι. ἡ μὲν οὖν 21
ὑπόσχεσις, οὕτω μεγάλη· τὸ δὲ πρᾶγμα, ἤδη τὸν ἔλεγχον
δώσει. κριταὶ δ' ὑμεῖς ἔσεσθε. πρῶτον μὲν τοίνυν, ὦ ἄνδρες
Ἀθηναῖοι, τριήρεις πεντήκοντα παρασκευάσασθαί φη-
μι δεῖν· εἶτ' αὐτοὺς οὕτω τὰς γνώμας ἔχειν, ὡς ἐάν τι δέῃ,
πλευστέον εἰς ταύτας αὐτοῖς ἐμβᾶσι. πρὸς δὲ τούτοις, ταῖς
ἡμίσεσι τῶν ἱππέων ἱππαγωγοὺς τριήρεις καὶ πλοῖα ἱκα- 22
νὰ εὐτρεπίσαι κελεύω. ταῦτα μὲν οἶμαι δεῖν ὑπάρχειν, ἐπὶ
τὰς ἐξαίφνης ταύτας ἀπὸ τῆς οἰκείας χώρας αὐτοῦ στρα-
τείας, εἰς Πύλας, καὶ Χερρόνησον, καὶ Ὄλυνθον, καὶ ὅποι βούλεται·
δεῖ γὰρ ἐκείνῳ τοῦτο ἐν τῇ γνώμῃ παραστῆναι, ὡς ὑμεῖς ἐκ
τῆς ἀμελείας ταύτης τῆς ἄγαν, ὥσπερ εἰς Εὔβοιαν καὶ πρό- 23
τερόν ποτέ φασιν εἰς Ἁλίαρτον, καὶ τὰ τελευταῖα πρῴην εἰς
Πύλας, ἴσως ἂν ὁρμήσαιτε. οὔτοι παντελῶς οὐδ' εἰ μὴ ποιή-
σαιτ' ἂν τοῦτο, ὡς ἔγωγέ φημι δεῖν, εὐκαταφρόνητόν ἐστιν·
ἵν' ἢ διὰ τὸν φόβον εἰδὼς εὐτρεπεῖς ὑμᾶς· εἴσεται γὰρ ἀκρι-
ἐξαγγέλλοντες. η. βῶς· εἰσὶ γάρ, εἰσὶν οἱ πάντ' ἐξαγγέλλοντες ἐκείνῳ παρ' ἡμῶν
ἀφυλάκτως ε. αὐτῶν πλείους τοῦ δέοντος· ἡσυχίαν ἔχῃ· ἢ παριδὼν ταῦτα, 24
ἀφύλακτος ληφθῇ, μηδενὸς ὄντος ἐμποδὼν πλεῖν ἐπὶ τὴν
ἐκείνου χώραν ὑμῖν, ἂν ἐνδῷ καιρός. ταῦτα μέν ἐστιν ἃ πᾶ-
παρεσκευάσθαι. α.ε.θ. σι δεδόχθαι φημὶ δεῖν, καὶ παρεσκευάσθαι προσήκειν οἶ-
τούτων. κ. ε. μαι. πρὸς δὲ τούτοις, δύναμίν τινα, ὦ ἄνδρες Ἀθηναῖοι, φημὶ
προχειρίσασθαι δεῖν ὑμᾶς, ἣ συνεχῶς πολεμήσει, καὶ κα-
κῶς ἐκεῖνον ποιήσει. μή μοι μυρίους, μηδὲ δισμυρίους ξέ- 25

Τοσοῦτον) Ἀντὶ τοῦ ὀλίγον. 19 Καινὴν παρασκευὴν) Ὡς πρὸς τὴν τῶν Ἀθηναίων δόκησιν· καὶ γὰρ αὐτοὶ πολλὴν ἤθελον. ὁ δὲ Δημοσθένης εἰδὼς πῶς ἔχει τὰ πράγματα, ὀλίγην. Ἀναβάλλεσθαι) Ἀναβολὴν τοῖς πράγμασι ποιεῖν. Οὐ γὰρ οἱ ταχὺ καὶ τήμερον 20 εἰπόντες, μάλιστα εἰς δέον) Οὐ γὰρ οἱ λέγουσιν ἡμῖν ἐξελθεῖν, χρήσιμοί εἰσι σύμβουλοι· ἀλλ' ἐκεῖνος ἄριστος σύμβουλος, ὃς ἂν παρασκευὴν ἐξεύροι καὶ πόρον, οὗ ἂν ἀδιάφθορος ἔσται ἡ δύναμις. (παρασκευάσῃ ὑμᾶς, καὶ πόρον ἐξεύρῃ. η.) Τῇ νῦν βοηθείᾳ) Καλεῖ, βοήθειαν μὲν, τὴν πεμπομένην μετὰ πράγματος· παρασκευὴν δὲ, τὴν ἀποστελλομένην πρὸς 20 21 τὸ φυλάξαι τὰς πόλεις. Πορισθεῖσα) Ξενική, ἢ πολιτική. Πόση) Πόσους δεῖ εἶναι στρατιώτας. Ἕως ἂν ἢ διαλυσώμεθα) Πάνυ καλῶς, ἵνα μὴ δόξῃ νεμεσητόν τι ποιεῖν, προτείνων τὸ νικήσωμεν, προέταξε τὸ λῦσαι τὸν πόλεμον· εἶτα διὰ τὸ κακοσύμβουλον, εἶπε τὸ πεισθέντες. (προτάττων. α.η.) 22 Οὕτω γὰρ οὐκέτι τὸ λοιπὸν) Νικήσαντες, ἢ φυλάττοντες τὴν τῶν πολεμίων ἔφοδον. Μὴ κωλύων) Ἀντὶ τοῦ τοῖς βουλομένοις δημηγορῆσαι μὴ γινόμενος παρεμποδών· τινὲς δέ φασιν, ὅτι ἐξ εὐηθείας ὁ ῥήτωρ βούλεται τὰς δύο γενέσθαι παρασκευάς. 21 23 ἄμεινον δὲ λέγειν, ὅτι ἐπειδὴ εἶπε μόνον τὴν ἑτέραν παρασκευήν, ἐλύπει τοὺς Ἀθηναίους· καὶ γὰρ ἡδέως τὰ μεγάλα ἦσαν ψηφιζόμενοι, τούτου χάριν προσέθηκε καὶ ταύτην· ἀμέλει παρακαλῶν, ταύτην μὲν ὑπεσιώπησε, περὶ δὲ τῆς ἑτέρας πολλὴν τὸν λόγον ἐποιήσατο. (εἰπὼν μόνην. β.) (προτέραν. η) Καὶ πλοῖα) 22 24 Τὰ φέροντα τὰ ἐπιτήδεια καὶ ὑπηρετικά, φησίν. Εἰς Πύλας) Πύλαι ἦσαν τῆς Ἑλλάδος, μεταξὺ τοῦ Παρνασσοῦ καὶ τῆς θαλάττης, ποδῶν εἰκοσιπέντε τὸ πλάτος· αἵτινες ἐκαλοῦντο καὶ Θερμοπύλαι, διὰ τὸ θερμὰ ἐκεῖσε λουτρὰ τὴν Ἀθηνᾶν ἀναδοῦναι μετὰ τοὺς ἄθλους τῷ Ἡρακλεῖ κεκμηκότι. ταύτην ἐπει-25 ράθη καταδραμεῖν ὁ Φίλιππος ἐν Θετταλίᾳ. μαθόντες δὲ Ἀθηναῖοι καὶ εἰσπλεύσαντες τὸν τόπον, ἀπεσώσαντο αὐτόν. Εἰς Ἁλίαρτον) Ὅτι τὸ ἐν Ἁλιάρτῳ, πρὸ ὀλίγων ἐτῶν ἐγένετο. τὸ δὲ ἐν Εὐβοίᾳ, 23 πρὸ τριῶν, ὅτε καὶ ὁ ῥήτωρ ἐτριηράρχει· ἢ ὅτι πρὸ πολλῶν ἐτῶν γέγονεν ἡ ἐν Ἁλιάρτῳ μάχη. ὅθεν εἶπε καὶ τὰ τελευταῖα· τελευταῖα μὲν, ὡς πρὸς ταύτας τὰς στρατείας· πρῴην δὲ, ὡς πρὸς τὸν χρόνον καθ' ὃν ἐλέγετο ὁ λόγος. τὸ δὲ Ἁλίαρτον ἀρσενικῶς ὡς καὶ Ὅμηρος, καὶ ποιήεντ' Ἁλίαρτον. Παριδὼν) Ἀντὶ τοῦ καταφρονήσας τῆς ἡμῶν παρασκευῆς. Μή μοι 24 μυρίους) Τὸ σχῆμα ἀποτρεπτικὸν πνεύματος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

25 νους, μηδὲ τὰς ἐπιστολιμαίους ταύτας δυνάμεις, ἀλλ' ἣ τῆς πόλεως ἔσται. κἂν ὑμεῖς ἕνα, κἂν πλείους, κἂν τὸν δεῖνα, κἂν ὁντινοῦν χειροτονήσητε στρατηγόν, τούτῳ
26 πείσεται καὶ ἀκολουθήσει. καὶ τροφὴν ταύτῃ πορίσαι κελεύω. ἔσται δ' αὕτη τίς ἡ δύναμις, καὶ πόση, καὶ πόθεν τὴν τροφὴν ἕξει, καὶ πῶς ταῦτ' ἐθελήσετε ποιεῖν· ἐγὼ φράσω καθ' ἕκαστον τούτων διεξιὼν χωρίς. ξένους μὲν λέγω, καὶ ὅπως μὴ ποιήσετε τοῦθ' ὃ πολλάκις ὑμᾶς ἔβλαψεν, ἅπαντ' ἐλάττω νομίζοντες εἶναι τοῦ δέοντος, καὶ τὰ μέγιστ' ἐν τοῖς ψηφίσμασιν αἱρούμενοι, ἐπὶ τῷ πράτ-
27 τειν οὐδὲ τὰ μικρὰ ποιεῖτε. ἀλλὰ τὰ μικρὰ ποιήσαντες, καὶ πορίσαντες, τούτοις προστίθετε, ἂν ἐλάττω φαίνηται. λέγω δὴ τοὺς πάντας στρατιώτας δισχιλίους· τούτων δὲ, ἀθηναίους φημὶ δεῖν εἶναι πεντακοσίους, ἐξ ἧς ἄν τινος ὑμῖν ἡλικίας καλῶς ἔχειν δοκῇ, χρόνον τακτὸν στρατευομένους, μὴ μακρὸν τοῦτον,
28 ἀλλ' ὅσον ἂν δοκῇ καλῶς ἔχειν ἐκ διαδοχῆς ἀλλήλοις· τοὺς δ' ἄλλους, ξένους εἶναι κελεύω. καὶ μετὰ τούτων, ἱππέας διακοσίους· καὶ τούτων πεντήκοντα ἀθηναίους τοὐλάχιστον, ὥσπερ τοὺς πεζούς, τὸν αὐτὸν τρόπον στρατευομένους· καὶ ἱππαγωγοὺς τούτοις. εἶεν. τί πρὸς τούτοις ἔτι. ταχείας τριήρεις δέκα· δεῖ γὰρ ἔχοντος ἐκείνου ναυτικὸν, καὶ ταχειῶν τριήρων ἡμῖν, ὅπως ἀσφαλῶς ἡ δύναμις
29 πλέῃ. πόθεν δὴ τούτοις ἡ τροφὴ γενήσεται· ἐγὼ καὶ τοῦτο φράσω καὶ δείξω. ἐπειδάν, διότι τηλικαύτην ἀποχρῆν οἶμαι τὴν δύναμιν καὶ πολίτας τοὺς στρατευομένους εἶναι κελεύω, διδάξω. τοσαύτην μὲν, ὦ ἄνδρες ἀθηναῖοι, διὰ
30 ταῦτα, ὅτι οὐκ ἔνι νῦν ἡμῖν πορίσασθαι δύναμιν τὴν ἐκείνῳ παραταξομένην, ἀλλὰ λῃστεύειν ἀνάγκη, καὶ τούτῳ τῷ τρόπῳ τοῦ πολέμου χρῆσθαι τὴν πρώτην. οὐ τοίνυν ὑπέρογκον αὐτήν· οὐ γὰρ ἔστι μισθὸς, οὐδὲ τροφή· οὐδὲ παντελῶς ταπεινὴν εἶναι δεῖ. πολίτας δὲ παρεῖναι καὶ συμπλεῖν διὰ ταῦτα κελεύω, ὅτι καὶ πρότερόν ποτ' ἀκούω ξενικὸν τρέφειν ἐν Κορίνθῳ τὴν πόλιν,
31 οὗ πολύστρατος ἡγεῖτο, καὶ ἰφικράτης, καὶ χαβρίας, καὶ ἄλλοι τινὲς, καὶ ὑμᾶς αὐτοὺς συστρατεύεσθαι. καὶ οἶδα ἀκούων ὅτι λακεδαιμονίους παραταττόμενοι μεθ' ὑμῶν, ἐνίκων οὗτοι οἱ ξένοι, καὶ ὑμεῖς μετ' ἐκείνων. ἐξ οὗ δ' αὐτὰ καθ' αὑτὰ τὰ ξενικὰ ὑμῖν στρατεύεται, τοὺς φίλους νικᾷ καὶ τοὺς συμμά-
32 χους· οἱ δ' ἐχθροὶ, μείζους τοῦ δέοντος γεγόνασι. καὶ παρακύψαντα ἐπὶ τὸν τῆς πόλεως πόλεμον, πρὸς ἀρτάβαζον, καὶ πανταχοῦ μᾶλλον οἴχεται πλέοντα. ὁ δὲ στρατηγὸς ἀκολουθεῖ. εἰκότως· οὐ γὰρ ἔστιν ἄρχειν, μὴ διδόντα μισθόν. τί οὖν κελεύω· τὰς προφάσεις ἀφελεῖν καὶ τοῦ στρατηγοῦ καὶ τῶν στρα-
33 τιωτῶν μισθὸν πορίσαντας, καὶ στρατιώτας οἰκείους ὥσπερ ἐπόπτας τῶν στρατηγουμένων παρακαταστήσαντας. ἐπεὶ νῦν γε, γέλως ἔσθ' ὡς χρώμεθα τοῖς πράγμασιν. εἰ γὰρ ἔροιτό τις ὑμᾶς, εἰρήνην ἄγετε, ὦ ἄνδρες ἀθηναῖοι; μὰ Δί' οὐχ ἡμεῖς γε, εἴποιτ' ἄν, ἀλλὰ φιλίππῳ πολεμοῦμεν. οὐκ ἐχειροτονεῖτε δὲ ἐξ ὑμῶν αὐτῶν δέκα ταξιάρχους καὶ στρατηγοὺς, καὶ φυλάρχους, καὶ ἱππάρ-
34 χους δύο; τί οὖν οὗτοι ποιοῦσι; πλὴν ἑνὸς ἀνδρὸς ὃν ἂν ἐκπέμψητε ἐπὶ τὸν πόλεμον· οἱ λοιποὶ τὰς πομπὰς πέμπουσιν ὑμῖν μετὰ τῶν ἱεροποιῶν· ὥσπερ γὰρ οἱ πλάττοντες τοὺς πηλίνους, εἰς τὴν ἀγορὰν χειροτονεῖτε τοὺς ταξιάρχους καὶ τοὺς φυλάρχους, οὐκ ἐπὶ τὸν πόλεμον. οὐ γὰρ ἐχρῆν, ὦ ἄνδρες ἀθηναῖοι, ταξιάρχους
35 παρ' ἡμῶν, ἱππάρχους παρ' ἡμῶν, ἄρχοντας οἰκείους εἶναι, ἵν' ἦν ὡς ἀληθῶς τῆς πό-

λεως

Ἐπιστολιμαίους ταύτας δυνάμεις) Οἱ γὰρ ἀθηναῖοι πολλάκις ἐμάχοντο διὰ ἐπιστολῶν πρὸς φίλιππον.

30 Ξενικὸν) Οἱ ξενικοὶ μισθοφόροι τὸ παράπαν εἰώθασι χρήσιμοι εἶναι ἐν τοῖς πολέμοις. ὅτι οἱ ἀθηναῖοι μὴ βουλόμενοι δι' ἑαυτῶν πολεμεῖν πρὸς κορινθίους διὰ τὸν κίνδυνον, μισθούμενοι ξένους εἰς τὸν πόλεμον ἔτρεφον αὐτούς. τοῦτο δὲ ἐν πολλοῖς τῶν πολέμων διεπράττοντο· ὅπερ ξενικὸν ἐκάλουν.

ἔσται. ε. η. θ.
δὲ. θ.
α. ε. θ.
ὑμῖν. α. η.
λῃστευομένην. θ.
χρήσασθαι. ε. θ.
πανταχῇ. θ.
πέμψητε. α. ε. θ.

Τάλαντα) Σημείωσαι ἐντεῦθεν ὅτι τὸ μὲν τάλαντον ποιεῖ μνᾶς ξ΄. ἡ μνᾶ δὲ ρ΄. δραχμάς. ἡ δὲ δραχμὴ ὀβολοὺς ἕξ· ὡς 36
εἶναι τοῦ ταλάντου τὰς ὅλας ͵ϛ δραχμάς· τὴν δὲ δραχμὴν ὀβολοὺς ς΄. Α μὲν ἡμεῖς) Ἐντεῦθεν φησὶ Διονύσιος ὁ Ἁλικαρνασσεὺς ἐν τῷ περὶ λόγου εἶναι ἀρχήν. προοίμιον δέ, φησίν, οὐκ ἔχει. ἐπειδὴ δευτερολογία ἐστὶν, ἐν αἷς ὡς ἐπὶ τὸ πλεῖστον οὐκ ἔστι προοίμια. οὐ λέγει δὲ ἀληθῆ· ἐπεὶ δὴ γὰρ ἄνωθεν ὑπέσχετο περὶ πόρου χρημάτων εἰπεῖν, νῦν τοῦτο δεικνύει. καὶ ἔστιν ὥσπερ ἐπίλογος, ὥσπερ ἐποίησε καὶ Ἰσοκράτης ἐν τῷ τοῦ Τραπεζιτικοῦ τέλει καὶ τοῦ κατὰ Λοχίτου αἰκίας ἐπίλογον εἰς.

λεως· ἀλλ᾽ εἰς μὲν Λῆμνον, τὸν παρ᾽ ὑμῶν ἵππαρχον δεῖ πλεῖν· τῶν δ᾽ ὑπὲρ
τῶν τῆς πόλεως κτημάτων ἀγωνιζομένων Μενέλαον ἱππαρχεῖν; καὶ οὐ τὸν
ἄνδρα μεμφόμενος ταῦτα λέγω, ἀλλ᾽ ὑφ᾽ ὑμῶν ἔδει κεχειροτονημένον
εἶναι τοῦτον, ὅστις ἂν ᾖ. Ἴσως δὲ ταῦτα μὲν ὀρθῶς ἡγεῖσθε λέγεσθαι· τὸ δὲ τῶν 36
χρημάτων πόσα καὶ πόθεν ἔσται, μάλιστα ποθεῖτε ἀκοῦσαι; τοῦτο δὴ καὶ
περαίνω. χρήματα τοίνυν, ἔστι μὲν ἡ τροφή, σιτηρέσιον τοῖς στρατευομέ-
νοις μόνον τῇ δυνάμει ταύτῃ, τάλαντα ἐνενήκοντα, καὶ μικρόν τι πρός. δέ-
κα μὲν ναυσὶ ταχείαις, τετταράκοντα τάλαντα· εἴκοσι εἰς τὴν ναῦν μναῖ, 37
τοῦ μηνὸς ἑκάστου· στρατιώταις δὲ δισχιλίοις τοσαῦτα ἕτερα, ἵνα δέκα τοῦ
μηνὸς ὁ στρατιώτης δραχμὰς σιτηρέσιον λαμβάνῃ. τοῖς δ᾽ ἱππεῦσι
διακοσίοις οὖσιν, ἐὰν τριάκοντα δραχμὰς ἕκαστος λαμβάνῃ τοῦ μηνός,
δώδεκα τάλαντα. εἰ δέ τις οἴεται μικρὰν ἀφορμὴν, σιτηρέσιον τοῖς στρα- 38
τευομένοις ὑπάρχειν, οὐκ ὀρθῶς ἔγνωκεν· ἐγὼ γὰρ οἶδα σαφῶς, ὅτι τοῦτ᾽
ἂν γένηται, προσποριεῖ τὰ λοιπὰ αὐτὸ τὸ στράτευμα ἀπὸ τοῦ πολέμου,
οὐδένα τῶν Ἑλλήνων ἀδικοῦν, οὐδὲ τῶν συμμάχων, ὥστ᾽ ἔχειν μισθὸν ἐν-
τελῆ. ἐγὼ συμπλέων ἐθελοντὴς, πάσχειν ὁτιοῦν ἕτοιμος, ἐὰν μὴ ταῦθ᾽ οὕ-
τως ἔχῃ. πόθεν οὖν ὁ πόρος τῶν χρημάτων, ἃ παρ᾽ ὑμῶν κελεύω, γενήσε- 39
ται, τοῦτ᾽ ἤδη λέξω.

## Πόρου ἀπόδειξις.

Α μὲν ἡμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, δεδυνήμεθα εὑρεῖν, ταῦτά ἐστιν.
ἐπειδὰν δ᾽ ἐπιχειροτονῆτε τὰς γνώμας, ἃ ἂν ὑμῖν ἀρέσκῃ, χειροτονήσα-
τε, ἵνα μὴ μόνον ἐν τοῖς ψηφίσμασι καὶ ταῖς ἐπιστολαῖς πολεμῆτε Φιλίππῳ,
ἀλλὰ καὶ τοῖς ἔργοις. δοκεῖτε δέ μοι πολὺ βέλτιον ἂν περὶ τοῦ πολέμου, 40
καὶ ὅλης τῆς παρασκευῆς βουλεύσασθαι, εἰ τὸν τόπον, ὦ ἄνδρες Ἀθηναῖοι,
τῆς χώρας, πρὸς ἣν πολεμήσετε, ἐνθυμηθεῖτε καὶ λογίσαισθε, ὅτι τοῖς
πνεύμασι καὶ ταῖς ὥραις τοῦ ἔτους τὰ πολλὰ προλαμβάνων διαπράτ-
τεται Φίλιππος· καὶ φυλάξας τοὺς ἐτησίας, ἢ τὸν χειμῶνα ἐπιχειρεῖ, ἡνί- 41
κ᾽ ἂν ἡμεῖς μὴ δυνώμεθα ἐκεῖσε ἀφικέσθαι. δεῖ τοίνυν ὑμᾶς ταῦτα ἐν-
θυμουμένους, μὴ βοηθείαις πολεμεῖν· ὑστεριοῦμεν γὰρ ἁπάντων· ἀλλὰ πα-
ρασκευῇ συνεχεῖ καὶ δυνάμει. ὑπάρχει δ᾽ ὑμῖν, χειμαδίῳ μὲν χρῆσθαι
τῇ δυνάμει, Λήμνῳ, καὶ Θάσῳ, καὶ Σκιάθῳ, καὶ ταῖς ἄλλαις ταῖς ἐν τού- 42
τῳ τῷ τόπῳ νήσοις, ἐν αἷς καὶ λιμένες, καὶ σῖτος, καὶ ἃ χρὴ στρατεύμασι,
πολλὰ ὑπάρχει. τὴν δ᾽ ὥραν τοῦ ἔτους, ὅτε καὶ πρὸς τῇ γῇ γενέσθαι ῥᾴ-
διον, καὶ τὸ τῶν πνευμάτων ἀσφαλές, πρὸς αὐτῇ τῇ χώρᾳ, καὶ πρὸς τοῖς
τῶν ἐμπορείων στόμασι, ῥᾳδίως ἔσται. ἃ μὲν οὖν χρήσεται καὶ πότε τῇ δυνά-
μει παρὰ τὸν καιρὸν, ὁ τούτων κύριος καταστὰς ὑφ᾽ ὑμῶν βουλεύσεται. ἃ 43
δ᾽ ὑπάρξαι δεῖ παρ᾽ ὑμῶν, ταῦτ᾽ ἐστὶν ἃ ἐγὼ γέγραφα. ἂν ταῦτα, ὦ ἄν-
δρες Ἀθηναῖοι, πορίσητε τὰ χρήματα, πρῶτον ἃ λέγω, εἶτα καὶ τἄλλα

41 Τοὺς ἐτησίας) Ἐτησίαι οἱ ἄνεμοι οἱ κατ᾽ ἔτος πνέοντες. πνέουσι δὲ ἐν ἀκμῇ τοῦ θέρους. διὸ καὶ ὁ ἥλιος μετεωρότερος καὶ ἀπὸ τῶν μεσημβρινῶν τόπων ἀρκτικώτερος γινόμενος λύει τὰ ὑγρὰ τὰ ἐν τοῖς ἀρκτικοῖς· λυόμενα δὲ τὰ αὐτὰ ἐξαεροῦται καὶ πνευματοῦται, καὶ ἐκ τούτων γίνονται οἱ ἐτησίαι, καὶ ἀπὸ τῶν ἀρκτῴων τόπων φέρονται ἐπὶ τὴν μεσημβρίαν· ἃ προσπίπτει τοῖς ὑψηλοτέροις ὄρεσι τῆς Αἰθιοπίας καὶ πολλὰ καὶ ἀθρόα γινόμενα, ἀπεργάζεται ὑετούς· καὶ ἐκ τῶν ὑετῶν τούτων πληθωρεῖται ὁ Νεῖλος τοῦ θέρους, ἀπὸ τῶν μεσημβρινῶν καὶ ξηρῶν τόπων ῥέων. ἐτησίας δέ, ὁ κατ᾽ ἔτος. Ῥᾳδίως ἔσται) Ἅπαντα δηλοῖ ὅτι. Α μὲν οὖν χρήσεται) Κατὰ τὸ τί χρήσομαι 42

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πάντα παρασκευάσαντες, τοὺς στρατιώτας, τὰς τριήρεις, τοὺς ἱππέας, ἐν-
44 τελῆ πᾶσαν τὴν δύναμιν νόμῳ κατακλείσαντες ἐπὶ τὸν πόλεμον, τῶν
μὲν χρημάτων αὐτοὶ ταμίαι καὶ πορισταὶ γιγνόμενοι, τῶν δὲ πράξεων παρὰ
τοῦ στρατηγοῦ τὸν λόγον ζητοῦντες, παύσεσθ' ἀεὶ περὶ τῶν αὐτῶν βουλευό-
μενοι, καὶ πλέον οὐδὲν ποιοῦντες. καὶ ἔτι πρὸς τούτοις, πρῶτον μὲν, ὦ ἄν-
45 δρες Ἀθηναῖοι, τὸν μέγιστον τῶν ἐκείνου πόρων ἀφαιρήσεσθε. ἔστι δ' οὗτος τίς; ἀπὸ τῶν
ὑμετέρων ὑμῖν πολεμεῖ συμμάχων, ἄγων καὶ φέρων τοὺς πλέοντας τὴν θά-
λατταν. ἔπειτα τί πρὸς τούτῳ; τοῦ πάσχειν αὐτοὶ κακῶς ἔξω γενήσεσθε. οὐχ
ὥσπερ τὸν παρελθόντα χρόνον εἰς Λῆμνον καὶ Ἴμβρον ἐμβαλὼν, αἰχμαλώτους
πολίτας ὑμετέρους ᾤχετ' ἄγων· καὶ πρὸς τῷ Γεραιστῷ τὰ πλοῖα συλλαβὼν,
46 ἀμύθητα χρήματα ἐξέλεξε. τὰ τελευταῖα δ' εἰς Μαραθῶνα ἀπέβη, καὶ τὴν
ἱερὰν ἀπὸ τῆς χώρας ᾤχετ' ἔχων τριήρη. ὑμεῖς δ' οὔτε ταῦτα δύνασθε κωλύειν,
οὔτ' εἰς τοὺς χρόνους οὓς ἂν προθῆσθε βοηθεῖν. καίτοι τί δήποτε, ὦ ἄνδρες Ἀ-
θηναῖοι, νομίζετε, τὴν μὲν τῶν Παναθηναίων ἑορτὴν καὶ τὴν τῶν Διονυσίων, ἀεὶ τοῦ καθή-
47 κοντος χρόνου γίνεσθαι, ἄν τε δεινοὶ λάχωσιν, ἄν τε ἰδιῶται οἱ τούτων ἑκατέρων
ἐπιμελησόμενοι, εἰς ἃ τοσαῦτ' ἀναλίσκεται χρήματα ὅσα οὐδ' εἰς ἕνα τῶν ἀποστό-
λων, καὶ τοσοῦτον ὄχλον καὶ τοσαύτην παρασκευὴν ὅσην οὐκ οἶδ' εἴ τι τῶν ἁ-
πάντων ἔχει· τοὺς δ' ἀποστόλους πάντας ὑμῖν ὑστερίζειν τῶν καιρῶν, τὸν εἰς Μεθώ-
νην, τὸν εἰς Παγασάς, τὸν εἰς Ποτίδαιαν. ὅτι ἐκεῖνα μὲν ἅπαντα νόμῳ τέτακται,
48 καὶ πρόοιδεν ἕκαστος ὑμῶν ἐκ πολλοῦ τίς χορηγὸς ἢ γυμνασίαρχος τῆς φυλῆς,
πότε, καὶ παρὰ τοῦ, καὶ τί λαβόντα τί δεῖ ποιεῖν, οὐδὲν ἀνεξέταστον οὐδ' ἀό-
ριστον ἐν τούτοις ἠμέληται. ἐν δὲ τοῖς περὶ τοῦ πολέμου καὶ τῆς τούτου παρα-
σκευῆς, ἄτακτα, ἀόριστα, ἀδιόρθωτα ἅπαντα. τοιγαροῦν ἅμα ἀκηκόαμέν
49 τι, καὶ τριηράρχους καθίσταμεν, καὶ τούτοις ἀντιδόσεις ποιούμεθα, καὶ περὶ χρη-
μάτων πόρου σκοποῦμεν. καὶ μετὰ ταῦτα, ἐμβαίνειν τοὺς μετοίκους ἔδοξε καὶ
τοὺς χωρὶς οἰκοῦντας· εἶτ' αὐτοὺς πάλιν ἀντεμβιβάζειν· εἶτ' ἐν ὅσῳ ταῦτα
μέλλετε, προαπόλωλεν ἐφ' ἃ ἂν ἐκπλέωμεν· τὸν γὰρ τοῦ πράττειν χρό-
50 νον εἰς τὸ παρασκευάζεσθαι ἀναλίσκομεν. οἱ δὲ τῶν πραγμάτων καιροὶ
οὐ μένουσι τὴν ἡμετέραν βραδυτῆτα καὶ ῥᾳθυμίαν. ἃς δ' εἰς τὸν μεταξὺ
χρόνον δυνάμεις οἰόμεθα ἡμῖν ὑπάρχειν, οὐδὲν οἷαί τε οὖσαι ποιεῖν, ἐπ' αὐ-
τῶν τῶν καιρῶν ἐξελέγχονται. ὁ δ' εἰς τοῦθ' ὕβρεως ἐλήλυθεν, ὥστ' ἐπιστέλλειν Εὐ-
βοεῦσιν ἤδη τοιαύτας ἐπιστολάς. Ἐπιστολή.

51 Τούτων οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν ἀνεγνωσμένων, ἀληθῆ μὲν ἐστι
τὰ πολλὰ, ὡς οὐκ ἔδει· οὐ μὴν ἀλλ' ἴσως οὐχ ἡδέα ἀκούειν. ἀλλ' εἰ μὲν
ὅσα ἄν τις ὑπερβῇ τῷ λόγῳ, ἵνα μὴ λυπήσῃ, καὶ τὰ πράγματα ὑπερ-
βήσεται, δεῖ πρὸς ἡδονὴν δημηγορεῖν· εἰ δ' ἡ τῶν λόγων χάρις, ἂν ᾖ μὴ
52 προσήκουσα, ἔργῳ ζημία γίνεται, αἰσχρόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, φενα-
κίζειν ἑαυτοὺς, καὶ ἅπαντ' ἀναβαλλομένους ὅσα ἂν ᾖ δυσχερῆ, πάντων ὑστε-
ρεῖν τῶν ἔργων· καὶ μηδὲ τοῦτο δύνασθαι μαθεῖν, ὅτι δεῖ τοὺς ὀρθῶς πο-
λέμῳ χρωμένους, οὐκ ἀκολουθεῖν τοῖς πράγμασιν, ἀλλ' αὐτοὺς ἔμπροσ-
θεν εἶναι τῶν πραγμάτων· καὶ τὸν αὐτὸν τρόπον, ὥσπερ τῶν στρατευμάτων
53 ἀξιώσειεν ἄν τις τὸν στρατηγὸν ἡγεῖσθαι, οὕτω καὶ τῶν πραγμάτων τοὺς βου-

τοῖς παροῦσιν, ὅ ἐστι τὸ ἀχρήσει) τῇ δυνάμει.
47 Τῶν ἀποστόλων) Ἀπόστολος ὁ μετὰ στρατιᾶς ἀποστελλόμενος εἰς πόλεμον παρασκευῆς· καὶ ἀποστελλόμενοι, οὐ μόνοι οἱ πεμπόμενοι ἐκ προσταγμάτων τῶν ἀπολυόντων, ἀλλὰ καὶ οἱ πεμπόμενοι ἀποδημεῖν μέλλοντες, ἀποστελλόμενοι οὐκ ἐλέχθησαν. καὶ ἀποστολεῖς, οἱ ἐπὶ τῆς ἐκπομπῆς τῶν τριήρων ἀποδεδειγμένοι· ἀπόστολοι δὲ αἱ τῶν νεῶν ἐκπομπαί· ἀποστολαὶ δὲ αἱ ἀποπέμψεις, τὰ δῶρα· οὕτω γὰρ αὐτὸς ὑπὲρ Κτησιφῶντος· τῶν δὲ πλοίων, τὰ μὲν συμβιβόμενα ταῖς ἀποστολαῖς, τουτέστι ταῖς ἀποπέμψεσι.

α.ϑ. — ἐν.η. — γιγνόμ. α.ε.ϑ. — α.ε.ϑ. — πόρον. α.β.γ. — τούτοις. ε. — ἡμετέρ. ε.ϑ. — ἔχων. α.ε.ϑ. — Γεραιστῷ. ε. — ἐλέξε. η. — προθῆσθε. α. ε.η. — α.ε.ϑ. — ἐπιμελούμενοι α.ε. — πρόοιδεν. α.β.γ.ε. — παρά του. α. — τῆς τούτου παρασκευῆς. ε.δ. — ε. — ἐκ δυνάμεως. σ.α.ε. — ὑμετέραν. β.γ. — εἰρωνείαν. β.γ.η.ϑ. — ὑμῖν. ε.ϑ. — ὦ ἄν. α.ϑ. — τοσοῦτον. ε. — ε. — α.ε. — α.ε. — πάντα. ε. — ε. — β.η.

βουλομένους ἡγεῖσθαι χρή, ἵν' ἃ ἂν ἐκείνοις δοκῇ, ταῦτα πράττηται, καὶ
μὴ τὰ συμβαίνοντα ἀναγκάζωνται διώκειν. ὑμεῖς δ', ὦ ἄνδρες Ἀθηναῖοι,
πλείστην δύναμιν ἁπάντων ἔχοντες, τριήρεις, ὁπλίτας, ἱππέας, χρημά-
των πρόσοδον, τούτων μὲν μέχρι τῆς τήμερον ἡμέρας, οὐδενὶ πώποτε ἐν 54
δέοντι κέχρησθε, οὐδενὸς δὲ ἀπολείπεσθε. ὥσπερ δ' οἱ βάρβαροι πυκτεύ-
ουσιν, οὕτω πολεμεῖτε Φιλίππῳ. καὶ γὰρ ἐκείνων ὁ πληγείς, ἀεὶ τῆς πληγῆς
ἔχεται· κἂν ἑτέρωσε πατάξῃ τις, ἐκεῖσέ εἰσιν αἱ χεῖρες· προβάλλεσθαι δέ, ἢ
βλέπειν ἐναντίον, οὔτε οἶδεν, οὔτ' ἐθέλει. καὶ ὑμεῖς ἐὰν ἐν Χερρονήσῳ πύθη- 55
σθε Φίλιππον, ἐκεῖσε βοηθεῖν ψηφίζεσθε· ἐὰν ἐν Πύλαις, ἐκεῖσε· ἐὰν ἄλλοθί
που, συμπαραθεῖτε ἄνω καὶ κάτω. καὶ στρατηγεῖσθε μὲν ὑπ' ἐκείνου, βεβού-
λευσθε δὲ οὐδὲν αὐτοῖς συμφέρον περὶ τοῦ πολέμου· οὐδὲ περὶ τῶν χρη-
μάτων προορᾶτε οὐδέν, πρὶν ἂν ἢ γεγενημένον, ἢ γιγνόμενόν τι πύθησθε. 56
ταῦτα δὲ ἴσως, πρότερον μὲν ἐνῆν ποιεῖν· νῦν δὲ ἐπ' αὐτὴν ἥκει τὴν ἀκ-
μήν, ὥστ' οὐκέτ' ἐγχωρεῖ. δοκεῖ δέ μοι θεῶν τις, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς γι-
γνομένοις ὑπὲρ τῆς πόλεως αἰσχυνόμενος, τὴν φιλοπραγμοσύνην ταύ-
την ἐμβαλεῖν Φιλίππῳ. εἰ γὰρ ἔχων ἃ κατέστραπται καὶ προείληφεν, ἡσυ- 57
χίαν ἔχειν ἤθελε, καὶ μηδὲν ἔπραττεν ἔτι, ἀποχρῆν ἐνίοις ὑμῶν ἄν μοι δο-
κεῖ, ἐξ ὧν αἰσχύνην καὶ ἀνανδρίαν καὶ πάντα τὰ αἴσχιστα ὠφληκότες ἂν ἦμεν
δημοσίᾳ. νῦν δ' ἐπιχειρῶν ἀεί τινι, καὶ τοῦ πλείονος ὀρεγόμενος, ἴσως ἂν ἐκ-
καλέσαιθ' ὑμᾶς, εἴπερ μὴ παντάπασιν ἑαυτῶν ἀπεγνώκατε. θαυμάζω
δ' ἔγωγε, εἰ μηδεὶς ὑμῶν μήτ' ἐνθυμεῖται, μήτε λογίζεται, ὁρῶν, ὦ ἄνδρες 58
Ἀθηναῖοι, τὴν μὲν ἀρχὴν τοῦ πολέμου γεγενημένην περὶ τοῦ τιμωρήσα-
σθαι Φίλιππον, τὴν δὲ τελευτὴν οὖσαν ἤδη ὑπὲρ τοῦ μὴ παθεῖν αὐτοὺς κα-
κῶς ὑπὸ τοῦ Φιλίππου. ἀλλὰ μὴν ὅτι γε οὐ στήσεται, δῆλον, εἰ μή τις αὐτὸν
κωλύσει. εἶτα τοῦτο ἀναμενοῦμεν, καὶ τριήρεις κενάς, καὶ τὰς παρὰ τοῦ δεῖνος 59
ἐλπίδας ἐὰν ἀποστείλητε, πάντ' ἔχειν οἴεσθε καλῶς; οὐκ ἐκβησόμεθα; οὐκ
ἔξιμεν αὐτοὶ μέρει γέ τινι στρατιωτῶν οἰκείων νῦν, εἰ καὶ μὴ πρότερον; οὐκ ἐπὶ 60
τὴν ἐκείνου πλευσούμεθα; ποῖ δὴ προσορμιούμεθα, ἤρετό τις. εὑρήσει τὰ σα-
θρά, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν ἐκείνου πραγμάτων αὐτὸς ὁ πόλεμος, ἂν ἐπι-
χειρῶμεν. ἂν μέντοι καθώμεθα οἴκοι, λοιδορουμένων ἀκούοντες καὶ αἰτιω-
μένων ἀλλήλους τῶν λεγόντων, οὐδέποτ' οὐδὲν ἡμῖν οὐ μὴ γένηται τῶν δε-
όντων. ὅποι μὲν γὰρ ἂν οἶμαι μέρος τι τῆς πόλεως συναποσταλῇ, κἂν μὴ πᾶ-
σα πάρῃ, καὶ τὸ τῶν θεῶν εὐμενές, καὶ τὸ τῆς τύχης ἡμῖν συναγωνίζεται. 61
ὅποι δ' ἂν στρατηγὸν καὶ ψήφισμα κενὸν καὶ τὰς ἀπὸ τοῦ βήματος ἐλπίδας
ἐκπέμψητε, οὐδὲν ἡμῖν τῶν δεόντων γίγνεται· ἀλλ' οἱ μὲν ἐχθροὶ καταγελῶ-
σιν, οἱ δὲ σύμμαχοι τεθνᾶσι τῷ δέει, τοὺς τοιούτους ἀποστόλους. οὐ γὰρ ἔστιν οὐκ
ἔστιν ἕνα ἄνδρα δυνηθῆναί ποτε ταῦθ' ὑμῖν πρᾶξαι ἅπανθ' ὅσα βού- 62
λεσθε· ὑποσχέσθαι μέντοι καὶ φῆσαι, καὶ τὸν δεῖνα αἰτιάσασθαι, καὶ τὸν δεῖνα,
ἔστι· τὰ δὲ πράγματα ἐκ τούτων ἀπόλωλεν. ὅταν γὰρ ἡγῆται μὲν ὁ στρατη-
γὸς ἀθλίων ἀπομίσθων ξένων, οἱ δ' ὑπὲρ ὧν ἂν ἐκεῖνος ἐκεῖ πράξῃ πρὸς
ὑμᾶς ψευδόμενοι, ῥᾳδίως ἐνθάδε ὦσιν, ὑμεῖς δ' ἐξ ὧν ἂν ἀκούσητε, ὅ, τι ἂν
τύχῃ ῥᾳδίως ψηφίσησθε, τί καὶ χρὴ προσδοκᾶν; πῶς οὖν ταῦτα παύσεται; 63

α.ε. — γρ. εἰς — δ.ε.θ. — ποι.α.ε. — βουλεύεσθε.η — αὐτοῖς.α.ω — ποι.ε.θ. — γρ. πρὸ α. — πραγμάτων.β.η. — ε.η. — γ.ε.η. — αὐτῶν.α.η — ῶν.β.γ. ὑμῶν αὐτῶν ε. — γρ. ὀργίζεται. — ρ.ε. — α.ε. — ὑπὲρ.α.ε. — α. — ἐμβησ.α.ε. — ποῖ.γ. — α.ε. — πολέμιος.η — ὑμῖν.α.ε. — ὑμῖν.ε.η. — ἄλλως.β. — βουλεύεσθε.θ — γρ. ἡγῆται. α.γ.ε.η.θ. — ἐχρῶ.β.

59 Κενὰς) Γυμνὰς δυνάμεως.
61 Κενὸν) Τὸ λόγοις μόνον γινόμενον ἄνευ πραγμάτων.
62 Ἀπομίσθων) Ἀπόμισθοι καὶ οἱ μὴ πεπληρωμένοι τὸν ὡμολογημένον μισθόν, καὶ οἱ δι' ἀδικίαν, καὶ δειλίαν, μὴ ἀξιούμενοι μισθοῦ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὅταν ὑμεῖς, ὦ ἄνδρες ἀθηναῖοι, τοὺς αὐτοὺς ἀποδείξητε στρατιώτας καὶ μάρτυρας τῶν στρατηγουμένων, καὶ δικαστὰς οἴκαδε ἐλθόντας τῶν εὐθυνῶν· ὥστε μὴ ἀκούειν μόνον ὑμᾶς τὰ ὑμέτερα αὐτῶν, ἀλλὰ καὶ παρόντας ὁρᾶν. νῦν δ' εἰς
64 τοῦθ' ἥκει τὰ πράγματα αἰσχύνης, ὥστε τῶν στρατηγῶν ἕκαστος δὶς καὶ τρὶς κρίνεται παρ' ὑμῖν περὶ θανάτου. πρὸς δὲ τοὺς ἐχθροὺς, οὐδεὶς οὐδὲ ἅπαξ αὐτῶν ἀγωνίσασθαι περὶ θανάτου τολμᾷ, ἀλλὰ τὸν τῶν ἀνδραποδιστῶν καὶ λωποδυτῶν θάνατον μᾶλλον αἱροῦνται τοῦ προσήκοντος. κακούργου μὲν γάρ
65 ἐστι, κριθέντα ἀποθανεῖν· στρατηγοῦ δὲ, μαχόμενον τοῖς πολεμίοις. ὑμῶν δὲ, οἱ μὲν, περιϊόντες, μετὰ λακεδαιμονίων φασὶ φίλιππον πράττειν τὴν θηβαίων κατάλυσιν, καὶ τὰς πολιτείας διασπᾶν· οἱ δ', ὡς πρέσβεις πέπομφεν ὡς βασιλέα· οἱ δ', ἐν ἰλλυριοῖς πόλεις τειχίζειν· οἱ δὲ, λόγους πλάττοντες ἕ-
66 κασος περιερχόμεθα. ἐγὼ δ' οἶμαι μὲν, ὦ ἄνδρες ἀθηναῖοι, νὴ τοὺς θεοὺς, ἐκεῖνον μεθύειν τῷ μεγέθει τῶν πεπραγμένων, καὶ πολλὰ τοιαῦτα ὀνειροπολεῖν ἐν τῇ γνώμῃ, τήν τ' ἐρημίαν τῶν κωλυσόντων ὁρῶντα, καὶ τοῖς πεπραγμένοις ἐπηρμένον· οὐ μέντοι γε μὰ δία οὕτω προαιρεῖσθαι πράττειν, ὥστε τοὺς ἀνοητοτάτους τῶν παρ' ἡμῖν εἰδέναι, τί μέλλει ποιεῖν ἐκεῖνος· ἀνοητότατοι γάρ εἰσιν οἱ λο-
67 γοποιοῦντες. ἀλλ' ἐὰν ἀφέντες ταῦτα, ἐκεῖνο εἰδῶμεν, ὅτι ἐχθρὸς ἄνθρωπος, καὶ τὰ ἡμέτερα ἡμᾶς ἀποστερεῖ, καὶ χρόνον πολὺν ὕβρικε, καὶ ἅπαντα ὅσα πώποτε ἠλπίσαμέν τινα πράξειν ὑπὲρ ἡμῶν, καθ' ἡμῶν εὕρηται. καὶ τὰ λοιπὰ ἐν ἡμῖν αὐτοῖς ἐστι, κἂν μὴ νῦν ἐθέλωμεν ἐκεῖ πολεμεῖν αὐτῷ, ἐνθάδ' ἴ-
68 σως ἀναγκασθησόμεθα τοῦτο ποιεῖν, ἂν ταῦτα εἰδῶμεν, καὶ τὰ δέοντα ἐσόμεθα ἐγνωκότες, καὶ λόγων ματαίων ἀπηλλαγμένοι· οὐ γὰρ ἅττα ποτ' ἔσται δεῖ σκοπεῖν, ἀλλ' ὅτι φαῦλα, ἐὰν μὴ προσέχητε τοῖς πράγμασι τὸν νοῦν, καὶ τὰ προσήκοντα ποιεῖν ἐθέλητε, εὖ εἰδέναι. ἐγὼ μὲν οὖν, οὔτ' ἄλλοτε πώποτε πρὸς
69 χάριν εἱλόμην λέγειν, ὅ,τι ἂν μὴ καὶ συνοίσειν ὑμῖν πεπεισμένος ὦ, νῦν τε ἃ γιγνώσκω, πάνθ' ἁπλῶς, οὐδὲν ὑποστειλάμενος, πεπαρρησίασμαι. ἐβουλόμην δ' ἂν, ὥσπερ ὅτι ὑμῖν συμφέρει τὰ βέλτιστα ἀκούειν οἶδα, οὕτως εἰδέναι συνοῖσον καὶ τῷ τὰ βέλτιστα εἰπόντι· πολλῷ γὰρ ἂν ἥδιον εἶπον. νῦν
70 δ' ἐπ' ἀδήλοις οὖσι τοῖς ἀπὸ τούτων ἐμαυτῷ γενησομένοις, ὅμως ἐπὶ τῷ συνοίσειν ὑμῖν, ἐὰν πράξητε, ταῦτα, πεπεῖσθαι λέγειν αἱροῦμαι. νικῴη δ' ὅ,τι πᾶσιν ὑμῖν μέλλει συνοίσειν.

65 Ὑμῶν δ') Ἐνθυμηνοὶ ἐπίλογοι.
Ὀνειροπολεῖν) Φαντάζεσθαι.
67 Ἀλλ' ἐὰν ἀφέντες) Κατὰ [illegible] εἰσὶν ἐνθύμηνοι ἐπίλογοι.
Ὅτι ἐχθρός) Τὰ πλεῖστα κεφάλαια· ἐκ τοῦ ἐχθρὸς τὸ ἄδικον δηλοῖ· ἐκ δὲ τοῦ ἡμέτερα, τὸ ἀσύμφορον· ἐκ δὲ τοῦ ὕβρικε, τὸ ἀπρεπές· ἐκ δὲ τοῦ καθ' ἡμῶν εὕρηται, τὸ ἀναγκαῖον.
68 Οὐ γὰρ ἅττα) Ὑπερβατὸν κατὰ παρένθεσιν.
Ἐγὼ μὲν οὖν) Ὁ μερικὸς ἐπίλογος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΕΡΙ ΕΙΡΗΝΗΣ ΛΟΓΟΥ.

Μηκυνομένου τοῦ πολέμου τοῦ περὶ ἀμφιπόλεως, εἰρήνης ἐπεθύμησαν ὅ,τε φίλιππος, καὶ οἱ ἀθηναῖοι· οἱ μὲν ἀθηναῖοι, κακῶς ἐν τῷ πολέμῳ φερόμενοι· ὁ δὲ φίλιππος, βουλόμενος ἃ ὑπέσχετο θετταλοῖς τε καὶ θηβαίοις ἐπιτελέσαι. ὑπέσχετο δὲ, τοῖς μὲν θηβαίοις, ὀρχομενὸν παραδώσειν καὶ κορώνειαν, πόλεις βοιωτίας· ἀμφοτέροις δὲ, τὸν φωκικὸν καταλύσειν πόλεμον. τοῦτο δὲ ἦν ἀδύνατον αὐτῷ, πολεμίων ὄντων ἀθηναίων· καὶ γὰρ πρότερον βουληθεὶς εἰσβαλεῖν εἰς τὴν φωκίδα, τῶν ἀθηναίων περιπλευσάντων ταῖς ναυσὶν εἰς τὰς καλουμένας πύλας, ὑπὸ ἐνίων δὲ θερμοπύλας, ἀπεκωλύθη τῆς εἰσόδου. νῦν δὲ τὴν εἰρήνην ποιησάμενος πρὸς τοὺς ἀθηναίους, μηδενὸς κωλύσαντος, παρελθὼν εἴσω πυλῶν, τὸ φωκέων ἔθνος ἀνάστατον πεποίηκε, καὶ τὴν φωκέων ἐν τοῖς ἀμφικτύοσι χώραν, καὶ τὰς ἐκείνων ἐν τῷ συνεδρίῳ ψήφους παρὰ τῶν ἄλλων ἑλλήνων εἴληφε. πέπομφε δὲ καὶ πρὸς ἀθηναίους πρέσβεις, ἀξιῶν καὶ αὐτοὺς ταῦτα συγχωρεῖν. καὶ ὁ δημοσθένης παραινεῖ συγχωρεῖν, οὐ τῷ πράγματι συνιστάμενος ὡς ὀρθῶς ἔχοντι, οὐδὲ δίκαιον εἶναι λέγων μετέχειν ἑλληνικοῦ συνεδρίου τὸν μακεδόνα, ἀλλὰ δεδιέναι φάσκων, μὴ καταναγκασθῶσι κοινὸν πόλεμον πρὸς ἅπαντας τοὺς ἕλληνας ἔχειν. προσκεκρουκέναι γάρ λέγει τοὺς ἀθηναίους ἄλλοις δι᾽ ἄλλας αἰτίας, τούτοις δὲ κοινῇ πολεμήσειν αὐτοῖς δώσομεν, φησὶ, κοινὴν αἰτίαν ταύτην καθ᾽ ἡμῶν, ὅτι μόνοι τοῖς τῶν ἀμφικτυόνων ἐνιστάμεθα δόγμασιν, ὥστε κάλλιον τὴν εἰρήνην τηρεῖν, καὶ ταῦτα φιλίππου παρεληλυθότος εἴσω πυλῶν, καὶ ἐπελθεῖν δυναμένου τῇ ἀττικῇ, ἢ περὶ μικροῦ τηλικοῦτον κίνδυνον ἀράσθαι. ἔστι δὲ ὁ λόγος, παρεσκευάσθη μὲν, οὐ μὴν εἰρῆσθαί μοι δοκεῖ· κατηγορῶν γὰρ ὁ ῥήτωρ αἰσχίνου, καὶ τοῦτο μετὰ τῶν ἄλλων αὐτοῦ διαβάλλει, ὅ-[illegible]ευε, φίλιππον ἀμφικτύονα εἶναι ψηφίσασθαι, μηδενὸς ἄλλου τολμῶντος τοῦτο εἰσηγήσασθαι, μηδὲ φιλοκράτους τοῦ πάντων ἀναιδεστάτου. οὐκ ἂν οὖν αὐτὸς περὶ τούτων συμβεβουλευκὼς, τὸν αἰσχίνην ἐπ᾽ αὐτοῖς διέβαλλεν. ἀλλὰ δηλονότι τὴν ὑπόνοιαν ἔδεισε, μὴ δόξῃ φιλιππίζειν, καὶ χρήμασιν ὑπὸ τοῦ βασιλέως πεισθεὶς, τοιαύτην γνώμην ἀποφήνασθαι. ἐπεὶ καὶ ἐν τῷ λόγῳ πρὸς τοιαύτην τινὰ ὑπόνοιαν ἱστάμενος φαίνεται, συνιστὰς ἑαυτὸν ὡς εὔνουν τῇ πόλει καὶ ἀδωροδόκητον.

"ἀπεκρούσθη. ε. η. "κωλύοντος. ε.

## ΔΗΜΟΣΘΕΝΟΥΣ Ο ΠΕΡΙ ΕΙΡΗΝΗΣ ΛΟΓΟΣ.

Ὁρῶ μὲν, ὦ ἄνδρες ἀθηναῖοι, τὰ πα- 1
ρόντα πράγματα πολλὴν δυσκο-
λίαν ἔχοντα καὶ ταραχὴν, οὐ μόνον
τῷ πολλὰ προεῖσθαι, καὶ μηδὲν εἶναι
προὔργου περὶ αὐτῶν εὖ λέγειν, ἀλ-
λὰ καὶ τῷ περὶ τῶν ὑπολοίπων κατὰ ταυτὰ, μηδὲ καθ᾽ ἓν
τὸ συμφέρον "πάντας ἡγεῖσθαι, ἀλλὰ τοῖς μὲν ὡδὶ, τοῖς δὲ 2
ἑτέρως δοκεῖν. δυσκόλου δ᾽ ὄντος φύσει καὶ χαλεποῦ τοῦ βου-
λεύεσθαι, ἔτι πολλῷ χαλεπώτερον ὑμεῖς αὐτὸ πεποιήκα-
τε, ὦ ἄνδρες ἀθηναῖοι. οἱ μὲν γὰρ ἄλλοι πάντες ἄνθρωποι,
πρὸ τῶν πραγμάτων εἰώθασι χρῆσθαι τῷ βουλεύεσθαι·
ὑμεῖς δὲ, μετὰ τὰ πράγματα. ἐκ δὲ τούτου συμβαίνει πα- 3
ρὰ πάντα τὸν χρόνον, ὃν οἶδ᾽ ἐγὼ, τὸν μὲν οἷς ἂν "ἁμάρτητε
ἐπιτιμῶντα, εὐδοκιμεῖν καὶ δοκεῖν εὖ λέγειν· τὰ δὲ πράγ-
ματα καὶ περὶ ὧν βουλεύεσθε, ἐκφεύγειν ὑμᾶς. οὐ μὴν
ἀλλὰ καίπερ τούτων οὕτως ἐχόντων, οἶμαι καὶ πεπεικὼς
ἐμαυτὸν ἀνέστηκα, ἂν ἐθελήσητε τοῦ θορυβεῖν καὶ φιλονεικεῖν
ἀποστάντες, ἀκούειν, ὡς ὑπὲρ πόλεως βουλευομένοις, καὶ 4
τηλικούτων πραγμάτων, προσήκει ἕξειν καὶ λέγειν, καὶ
συμβουλεύειν, "δι᾽ ὧν καὶ τὰ παρόντα ἔσται βελτίω, καὶ τὰ προει-
μένα σωθήσεται. ἀκριβῶς δ᾽ εἰδὼς, ὦ ἄνδρες ἀθηναῖοι, τὸ

"ἅπαντας. ε.θ. σ. ε.θ. "ἁμαρτήσητε "πρ. ε.η.θ. ε.θ.

### ΣΧΟΛΙΑ.

ΟΡΩ) Πρότασις. ἔστι δὲ τὸ προοίμιον ἐκ τοῦ πράγματος, ὡς ἐκ τοῦ κατηγοροῦντος. 1
Πολλὴν δυσκολίαν ἔχοντα) Δύσκολος αὐτῷ καὶ χαλεπὴ δοκεῖ τυγχάνειν ἡ παροῦσα ὑπόθεσις· εἰωθὼς γὰρ κατὰ φιλίππου λέγειν, ἀναγκάζεταί πως τῷ βουλήματι αὐτοῦ *ἄκων συνηγορῆσαι καὶ πείθειν τὴν πόλιν εἰρήνην ἄγειν, αὐτὸς εἰωθὼς συμβουλεύειν τὸν ἀδικοῦντα ἀμύνεσθαι. γέγονε δὲ τοῦτο αὐτῷ οὐ κατὰ προαίρεσιν, ἀλλὰ δι᾽ ἀνάγκην, ἁπάντων τῶν ἑλλήνων συνεληλυθότων καὶ ἐψηφισμένων ἀμφικτύονα εἶναι τὸν φίλιππον. οὓς δεδοικὼς, συμβουλεύει τῇ πόλει φέρειν γενναίως διὰ τὸ αὐτῇ συμφέρον τὸ συμβεβηκὸς φωκεῦσι, καὶ μὴ διὰ τοῦτο ἐναντιοῦσθαι πρὸς φίλιππον. προήκει δὲ αὐτῷ μὴ ἐναντιωθῆναι τῷ δόγματι τῶν ἀμφικτυόνων, ἐψηφισμένων ἀμφικτύονα εἶναι τὸν φίλιππον. χρῆται οὖν τῷ δικαίῳ, παραινῶν μὴ προτέρους παραβαίνειν εἰρήνην, μηδὲ ὅρκους συγχεῖν. εἶτα γενναιότερον ἐπεξιὼν, φόβον αὐτοῖς παρίστησιν, ὅτι πρὸς ἅπαντας αὐτοῖς ἔσται τοὺς ἕλληνας ἐναντιοῦσθαι.
Δυσκόλου) Δευτέρα πρότασις. 2
Οἱ μὲν γὰρ ἄλλοι) Κατασκευὴ τῆς δευτέρας προτάσεως.
Οὐ μὴν ἀλλὰ καίπερ) Συμπέρασμα τοῦ προοιμίου. 3

*καὶ ι.

Ἀκριβῶς δ᾽ εἰδὼς) Δεύτερον προοίμιον. εἰδὼς τὸ χαλεπὸν τῆς ὑποθέσεως, καὶ ὅτι δυσχερῶς οἱ ἀκούοντες προσή- 4

λέγειν περὶ ὧν αὐτός εἶπέ τις, καὶ περὶ "αὑτοῦ παρ' ὑμῖν ἀεὶ τῶν αὐτῶν κ.
5 πάνυ λυσιτελούντων τοῖς τολμῶσιν ὄν, οὕτως ἡγοῦμαι
φορτικὸν καὶ ἐπαχθές, ὥστε ἀνάγκην οὖσαν ὁρῶν, ὅμως ἀπο-
κνῶ. νομίζω δ' ἄμεινον ἂν ὑμᾶς περὶ ὧν ˋνῦν ἐρῶ κρῖναι ˋε. θ.
μικρὰ τῶν πρότερόν ποτε ῥηθέντων ὑπ' ἐμοῦ μνημο-
νεύσαντας. ἐγὼ* γάρ, ὦ ˋἄνδρες Ἀθηναῖοι, πρῶτον μὲν ἡνίκ' *μέν. κ.
ἔπειθόν τινες ὑμᾶς τῶν ἐν Εὐβοίᾳ ταραττομένων πραγμά- ˋε. θ.
6 των βοηθεῖν Πλουτάρχῳ, καὶ πόλεμον ἄδοξον καὶ δαπα-
νηρὸν ἄρασθαι, πρῶτος καὶ μόνος παρελθών, ἀντεῖπον· καὶ
μόνον οὐ διεσπάσθην ὑπὸ τῶν "ἐπὶ μικροῖς λήμμασι πολ- "ἐν. ε. θ.
λὰ καὶ μεγάλα ὑμᾶς ἁμαρτάνειν πεισάντων· καὶ χρόνου
βραχέος διελθόντος, μετὰ τοῦ προσοφλεῖν αἰσχύνην καὶ πα-
7 θεῖν οἷα τῶν ὄντων ἀνθρώπων οὐδένες πώποτε πεπόνθασιν
ὑπὸ τούτων οἷς ἐβοηθήσατε, πάντες ὑμεῖς "ἔγνωτε, τήν τε "ἐγνώκατε. ε.
τῶν ταῦτα πεισάντων κακίαν, καὶ τὸν τὰ βέλτιστα εἰρηκότα ἐ- κ.
μέ. πάλιν τοίνυν, ὦ ˋἄνδρες Ἀθηναῖοι, κατιδὼν Νεοπτόλεμον ˋε. θ.
τὸν ὑποκριτήν, τῷ μὲν τῆς τέχνης προσχήματι τυγχά-
8 νοντα ἀδείας, κακὰ δ' ἐργαζόμενον τὰ "μέγιστα τὴν πόλιν, "μάλιστα. κ.
καὶ τὰ παρ' ὑμῖν διοικοῦντα Φιλίππῳ, καὶ πρυτανεύοντα,
παρελθὼν εἶπον εἰς ὑμᾶς, οὐδεμιᾶς ἕνεκα οὔτ' ἔχθρας οὔτε
συκοφαντίας ἰδίας, ὡς ἐκ τῶν μετὰ ταῦτα ἔργων γέγονε δῆ-
λον. καὶ οὐκέτ' ἐν τούτοις αἰτιάσομαι τοὺς ὑπὲρ Νεοπτο-
λέμου λέγοντας· οὐδὲ εἷς γὰρ ἦν, ἀλλ' αὐτοὺς ὑμᾶς· εἰ γὰρ ἐν
9 Διονύσου τραγῳδοὺς "ἐθεάσασθε, ἀλλὰ μὴ περὶ σωτηρίας "ἐθεᾶσθε. κ. θ.
καὶ κοινῶν πραγμάτων ἦν ὁ λόγος, οὐκ ἂν οὕτως οὔτε ἐ-
κείνου πρὸς χάριν, οὔτε ἐμοῦ πρὸς ἀπέχθειαν "ἠκούετε. "ἠκούσατε β.
καίτοι τοῦτό γε ὑμᾶς οἶμαι "νῦν ἅπαντας ᾐσθῆσθαι, ὅτι τὴν ε. κ. θ. "γινώσκειν-
τότε ἄφιξιν εἰς τοὺς πολεμίους ἐποιήσατο, ὑπὲρ τοῦ "τὰ ἐ- π. ε. θ.
κεῖ χρήματα ὀφειλόμενα ὡς ἔφη κομίσας δεῦρο λῃτουρ- "τἀκεῖσε. θ.
10 γεῖν· καὶ τούτῳ τῷ λόγῳ πλεῖστα χρησάμενος, ὡς δεινὸν εἴ
τις ἐγκαλεῖ τοῖς ἐκεῖθεν ἐνθάδε τὰς εὐπορίας ἄγουσιν, ἐπει-
δὴ διὰ τὴν εἰρήνην ἀδείας ἔτυχεν, ἣν ἐνθάδε ἐκέκτητο
οὐσίαν φανεράν, ταύτην ἐξαργυρίσας, πρὸς ἐκεῖνον ἀ-
πάγων ᾤχετο. δύο μὲν δὴ ταῦτα ὧν προεῖπον ἐγώ, μαρτυ-
11 ρεῖ τοῖς τότε "γεγενημένοις λόγοις, ὀρθῶς καὶ δικαίως οἷάπερ "προειρημένοις. κ.
ἦν ἀποφανθέντα ὑπ' ἐμοῦ. τρίτον δ', ὦ ˋἄνδρες Ἀθη-
ναῖοι, καὶ μόνον ἓν τοῦτ' εἰπὼν ἔτι, καὶ δὴ ˋκαὶ περὶ ὧν παρελήλυ- ˋε. θ.
θα ἐρῶ. ἡνίκα τοὺς ὅρκους τοὺς περὶ τῆς εἰρήνης ἀπειληφό- ˋγ. κ. θ.
τες ἥκομεν οἱ πρέσβεις, τότε Θεσπιάς τινων καὶ Πλαταιὰς
ὑπισχνουμένων οἰκισθήσεσθαι· καὶ τοὺς μὲν Φωκέας τὸν Φί-
12 λιππον ἂν γένηται κύριος σώσειν, τὴν δὲ Θηβαίων πόλιν διοι-
κιεῖν, καὶ τὸν Ὠρωπὸν ὑμῖν ὑπάρξειν, καὶ τὴν Εὔβοιαν, ἀντ' Ἀμ-

φιπόλ

σονται, σύστασιν ποιεῖται τῶν οἰκείων λόγων, ὡς μὴ ἁμαρτανόντων μηδέποτε, μηδὲ διαπιπτόντων περὶ τὰς ὑποθέσεις. ὅσα γοῦν συμβουλεύσαντι αὐτῷ μὴ ἐπείσθησαν, ἀλλὰ διήμαρτον, ταῦτα ὑπέμνησεν, ἵν' ἐπιστρέψῃ πρὸς τὴν παροῦσαν ὑπόθεσιν καὶ καταναγκάσῃ πεισθῆναι.

Δαπανηρὸν) Ἀναλωτικὸν χρημάτων πολλῶν.

Ὑποκριτὴν) Οἱ ἀρχαῖοι ὑποκριτὰς ἐκάλουν τοὺς νῦν τραγῳδοὺς λεγομένους τοὺς ποιητάς, διὰ τὸ εὖ εἰπεῖν δίκην καὶ ἀεὶ σοφαίνειν· τοὺς δὲ νῦν ὑποκριτάς, οὗτοι δὲ ἦσαν δύο, τὸν μὲν δευτεραγωνιστήν, τὸν δὲ τριταγωνιστήν· αὐτοὺς δὲ τοὺς ποιητὰς τῶν δραμάτων, τραγῳδοὺς καὶ τραγῳδοδιδασκάλους.

Αὐτοὺς ὑμᾶς) Τὸ αὐτοὺς ὑμᾶς ἀντὶ τοῦ ὑμᾶς ἁπλῶς νόει.

Ἐξαργυρίσας) Διαπράσας. σημείωσαι παρὰ Θουκυδίδῃ
» ἐξαργυρῶσαι, οὐκ ἐξαργυρίσαι· οὐ-
» δὲ τὴν πλουτοῦντα τὴν ἑαυτοῦ στρω-
» μνὴν ἐξαργυρῶσαι.

Ὠρωπὸν) Ὄνομα τόπου ἐκ τοῦ ὦρος, ὃ σημαίνει ὄνομα κύριον, καὶ τοῦ ὤψ ὠπὸς τοῦ σημαίνοντος τὸν ὀφθαλμόν. ἐν αὐτῷ γὰρ τῷ τόπῳ οἱ τοῦ Ὤρου ὦπες ἀπεβλήθησαν. ὡσαύτως καὶ Ὠρωπία χώρα, καὶ Ὠρώπιος ὁ ἐξ αὐτῆς.

φιπόλεως ἀποδώσεσθαι, καὶ τοιαύτας ἐλπίδας καὶ φενα
κισμούς, οἷς ὑπαχθέντες ὑμεῖς, οὔτε συμφερόντως, οὔτε ἴ
σως οὔτε καλῶς προεῖσθε Φωκέας, οὐδὲν τούτων οὔτ᾽ ἐξα
πατήσας οὔτε σιγήσας ἐγὼ φανήσομαι. ἀλλὰ προειπὼν 13
ὑμῖν ὡς εὖ οἶδ᾽ ὅτι μνημονεύετε, ὅτι ταῦτα οὔτε οἶδα οὔτε
προσδοκῶ, νομίζω δὲ τὸν λέγοντα ληρεῖν. ταῦτα τοίνυν πάν
τα ὅσα φαίνομαι βέλτιον τῶν ἄλλων προορῶν, οὐδ᾽ εἰς μί
αν, ὦ ἄνδρες Ἀθηναῖοι, οὔτε δεινότητα, οὔτε ἀλαζονείαν ἐπα
νοίσω, οὐδὲ προσποιήσομαι δι᾽ οὐδὲν ἄλλο γινώσκειν, καὶ προαι
σθάνεσθαι, πλὴν δι᾽ ἃ ἂν ὑμῖν εἴπω, δύο· ἓν μέν, ὦ ἄνδρες 14
Ἀθηναῖοι, δι᾽ εὐτυχίαν, ἣν συμπάσης ἐγὼ τῆς ἐν ἀνθρώ
ποις οὔσης δεινότητος καὶ σοφίας, ὁρῶ κρατοῦσαν. ἕτερον δέ,
ὅτι προῖκα τὰ πράγματα κρίνω καὶ λογίζομαι, καὶ οὐδὲν
λῆμμα οὐδεὶς ἂν ἔχοι, πρὸς οἷς ἐγὼ πεπολίτευμαι καὶ
λέγω, δεῖξαι προσηρτημένον. ὀρθὸν οὖν ὅ,τι ἄν ποτε ἀ 15
π᾽ αὐτῶν ὑπάρχῃ τῶν πραγμάτων, τὸ συμφέρον φαίνε
ταί μοι. ὅταν δ᾽ ἐπὶ θάτερα ὥσπερ εἰς τρυτάνην ἀργύ
ριον προσενέγκῃς, οἴχεται φέρον, καὶ καθείλκυσε τὸν λογι
σμὸν ἐφ᾽ αὑτό, καὶ οὐκέτ᾽ ἂν ὀρθῶς οὐδ᾽ ὑγιῶς ὁ τοῦτο ποι
ήσας περὶ οὐδενὸς ἂν λογίσαιτο. ἓν μὲν οὖν ἔγωγε πρῶ
τον ὑπάρχειν φημὶ δεῖν, ὅπως εἴτε σύνταξιν, εἴτε συμμά 16
χους, εἴτ᾽ ἄλλο τι βούλεταί τις κατασκευάζειν τῇ πόλει, τὴν
ὑπάρχουσαν εἰρήνην μὴ λύων τοῦτο ποιήσῃ, οὐχ ὡς θαυ
μαστήν, οὐδ᾽ ὡς ἀξίαν οὖσαν ὑμῶν· ἀλλ᾽ ὁποία ποτ᾽ ἐστὶν
αὕτη, μὴ γενέσθαι μᾶλλον εἶχε τοῖς πράγμασι καιρόν, ἢ
γεγενημένην νῦν δι᾽ ὑμᾶς λυθῆναι· πολλὰ γὰρ προείμε 17
θα, ὧν ὑπαρχόντων, τότ᾽ ἂν ἦν νῦν ἀσφαλέστερος καὶ ῥᾴων
ἡμῖν ὁ πόλεμος. δεύτερον δέ, ὁρᾶν, ὅπως μὴ προά
ξωμεθα, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς συνεληλυθότας τούτους
καὶ φάσκοντας Ἀμφικτύονας νῦν εἶναι, εἰς ἀνάγκην καὶ πρό
φασιν κοινοῦ πολέμου πρὸς ὑμᾶς. ἐγὼ γάρ, εἰ γένοιθ᾽ ἡ
μῖν πρὸς Φίλιππον πάλιν πόλεμος δι᾽ Ἀμφίπολιν, ἤ τι 18
τοιοῦτον ἔγκλημα ἴδιον, οὗ μὴ μετέχουσι Θετταλοί, μηδὲ Ἀρ
γεῖοι, μηδὲ Θηβαῖοι, οὐκ ἂν ἡμῖν οἴομαι τούτων οὐδένα πο
λεμῆσαι, καὶ πάντων ἥκιστα· καί μοι μὴ θορυβήσῃ μηδεὶς
πρὶν ἂν ἀκούσῃ· Θηβαίους, οὐχ ὡς ἡδέως ἔχουσιν ἡμῖν, οὐ
δ᾽ ὡς οὐκ ἂν χαρίζοιντο Φιλίππῳ, ἀλλ᾽ ἴσασιν ἀκριβῶς,
εἰ καὶ πάνυ φησέ τις αὐτοὺς ἀναισθήτους εἶναι, ὅτι εἰ γενήσε 19
ται πόλεμος πρὸς ὑμᾶς αὐτοῖς, τὰ μὲν κακὰ πάνθ᾽ ἕξου
σιν αὐτοί, τοῖς δ᾽ ἀγαθοῖς ἐφεδρεύων ἕτερος καθεδεῖται.
οὐκοῦν προοῖντο ἂν ἑαυτοὺς εἰς τοῦτο, μὴ κοινῆς τῆς ἀρ
χῆς καὶ τῆς αἰτίας οὔσης τοῦ πολέμου. οὐδέ γ᾽ εἰ πάλιν πρὸς

Left margin:
ε.
νομίζων τ. γ.
ε.θ.
ε.θ.
ὥσπερεὶ ἐπὶ θ.
γ.
προαξόμ. ϐ γ.ε.
ε.θ.
ὑμῖν. ε.θ.
ἀκοῦσαι. ε. θ.
ὑμῖν. ε.
αὐτοῖς. β.γ
καθεδ. θ.
προοῖντο. ε. κ.

Ἐπανοίσω) Ἤγουν ἐπανάξω. 13

Προσποιήσομαι) Ἤγουν ὑποκρινοῦμαι.

14 Ἕτερον δὲ) Γενναίως τῷ μέρει τῷ περὶ κατασκευῆς τῷ ἐκ τῆς οἰκείων λόγων συστάσεως ἐπεξῆλθεν, ἥλω καὶ ἐφ᾽ ἑτέραν ῥητορείας· καὶ ποιεῖται σύστασιν τοῦ οἰκείου προσώπου ὁποῖον ὁ ῥήτωρ ὁ Περικλῆς παρὰ Θουκυδίδῃ ποιεῖται, ὅτι καθαρὸς παντὸς λήμματος καὶ ἀδωροδοκήτως δημηγορεῖ· καὶ διὰ τοῦτο τὸν λόγον ἐλεύθερον ἔχει, ἐνδεικνύμενος ὅτι πανταχοῦ τὸ τῆς πόλεως συμφέρον βούλεται, οὐ πρὸς ἀπέχθειαν, οὐ πρὸς χάριν βλέπων. θαυμάσαι δ᾽ ἄξιον ὅτι τοιαύτην δημηγορίαν ποιούμενος, οὐδαμοῦ τὸ τοῦ Φιλίππου συμφέρον φαίνεται λέγων· μᾶλλον δὲ οὐδὲ ἀφιστάμενος τοῦ θυμοῦ τοῦ πρὸς τὸν Φίλιππον· ἀλλὰ τὸ συμφέρον τῆς πόλεως σκοπῶν καὶ τοῦτο θηρεύων.

Προσηρτημένον) Ἤγουν προσκεκολλημένον ἐμοί. 15

Σύνταξιν) Φόροις, τέλη. 16

Δεύτερον δὲ) Φημὶ δὲ δεῖν ἀπὸ κοινοῦ. 17

Ὁρᾶν) Σκοπεῖν πῶς οὐ κινήσομεν.

Ἐφεδρεύων) Ἐνεδρεύων, ἐπικαθήμενος· καὶ ἐφεδρεία ἡ ἐπίκληρος περιμονή. ἔφεδρος, ἐλπίζων παραμένων. 19



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

20 τοὺς Θηβαίους πολεμήσαιμεν δι' Ὠρωπόν, ἢ τὴν ἰδίαν, οὐ- °ὑμᾶς.ε.γ.
δὲν ἂν °ἡμᾶς παθεῖν ἡγοῦμαι· καὶ γὰρ ἡμῖν κἀκείνοις τοὺς °βο- °βοηθοῦντας
ηθήσοντας ἂν οἶμαι, εἰς τὴν οἰκείαν εἴ τις ἐμβάλοι, βοηθεῖν, οὐ β.
συνεπιστρατεύσειν οὐδετέροις· καὶ γὰρ αἱ συμμαχίαι τοῦτον
ἔχουσι τὸν τρόπον, ὧν καὶ φροντίσειεν ἄν τις, καὶ τὸ πρᾶγμα
φύσει τοιοῦτόν ἐστιν. οὐκ ἄχρι τῆς ἴσης ἕκαστός ἐστιν εὔνους,
21 οὔθ' ἡμῖν, οὔτε Θηβαίοις, ὥστε εἶναι καὶ κρατεῖν τῶν ἄλλων·
ἀλλὰ °σῶς μὲν εἶναι ἅπαντες ἂν βούλοιντο ἕνεκα* ἑαυτῶν· °φύσ.γ. *γ.θ.
κρατήσαντας δὲ τοὺς ἑτέρους δεσπότας ὑπάρχειν αὐτῶν,
οὐδὲ εἷς. τί οὖν ἡγοῦμαι φοβερόν, καὶ τί φυλάξασθαι φη-
μὶ δεῖν ὑμᾶς· ὅπως μὴ κοινὴν πρόφασιν, καὶ κοινὸν ἔγκλη-
22 μα ὁ μέλλων πόλεμος πρὸς ἅπαντας λάβῃ· εἰ γὰρ Ἀργεῖοι
μὲν, καὶ Μεσσήνιοι, καὶ Μεγαλοπολῖται, καὶ τινες τῶν ἄλλων
Πελοποννησίων, ὅσοι γε δὴ τὰ αὐτὰ τούτοις φρονοῦσι, διὰ
τὴν πρὸς Λακεδαιμονίους °ἡμῖν ἐπικηρυκείαν ἐχθρῶς ἕξ- °ἡμῖν.ι
ουσι, καὶ τὸ δοκεῖν ἐκδέχεσθαί τι τῶν ἐκείνοις πεπραγμένων·
Θηβαῖοι δ', ἔχουσι μὲν ὡς λέγουσιν ἀπεχθῶς, ἔτι δ' ἐχθροτέ-
23 ρως ἕξουσιν, ὅτι τοὺς παρ' ἐκείνων φεύγοντας σώζομεν, καὶ
πάντα τρόπον τὴν δυσμένειαν ἐνδεικνύμεθα αὐτοῖς· Θετα-
λοὶ δέ, ὅτι τοὺς Φωκέων φυγάδας σώζομεν· Φίλιππος δ', ὅτι
κωλύομεν αὐτὸν κοινωνεῖν τῆς Ἀμφικτυονίας, φοβοῦμαι
μὴ πάντες, περὶ τῶν ἰδίων ἕκαστος ὀργιζόμενος, κοινὸν ἐφ' °ἡ- °ὑμᾶς
24 μᾶς ἀγάγωσι τὸν πόλεμον, τὰ τῶν Ἀμφικτυόνων δόγματα
προστησάμενοι, εἶτ' ἐπισπασθῶσιν ἕκαστοι °πέρα τοῦ συμ- °περὶ.β.γ.η.
φέροντος ἑαυτοῖς, ἡμῖν πολεμῆσαι, ὥσπερ καὶ περὶ Φω-
κέας. ἴστε γὰρ δήπου τοῦθ', ὅτι νυνὶ Θηβαῖοι, καὶ Φίλιππος, καὶ
Θετταλοί, οὐχὶ τὰ αὐτὰ μάλιστα ἕκαστοι ἐσπουδακότες, τὰ
αὐτὰ πάντες ἔπραξαν, οἷον Θηβαῖοι, τὸν μὲν Φίλιππον
25 παρελθεῖν, καὶ λαβεῖν τὰς παρόδους, οὐκ ἠδύναντο κωλῦ-
σαι, οὐδέ γε τοῦ αὐτοῖς πεπονημένου, ὕστατον ἐλθόντα τὴν
δόξαν ἔχειν· νυνὶ γὰρ Θηβαῖοι, πρὸς μὲν τὸ τὴν χώραν* κε- *ἔχει καὶ.γ.
κομίσθαι, κάλλιστα πεπράγασι· πρὸς δὲ τιμὴν καὶ
δόξαν, αἴσχιστα· εἰ γὰρ μὴ παρῆλθε Φίλιππος, οὐδὲν ἂν αὐ-
τοῖς ἐδόκει εἶναι. ταῦτα δ' οὐκ ἐβούλοντο· ἀλλὰ τοῦ τὸν Ὀρ-
26 χομενὸν καὶ τὴν Κορώνειαν λαβεῖν ἐπιθυμεῖν, μὴ δύνασθαι
δέ, ταῦτα πάνθ' ὑπέμειναν. Φίλιππον τοίνυν τινὲς μὲν δή-
που τολμῶσι λέγειν, ὡς οὐκ ἐβούλετο Θηβαίοις Ὀρχομενὸν
καὶ Κορώνειαν παραδοῦναι, ἀλλ' ἠναγκάσθη. ἐγὼ δὲ τούτοις
μὲν ἐρρῶσθαι λέγω· ἐκεῖνο δ' οἶδα, ὅτι οὐ μᾶλλόν γε ταῦ-
27 τ' °ἔμελεν αὐτῷ, ἢ τὸ τὰς παρόδους λαβεῖν ἐβούλετο, καὶ τὴν °ἔμελεν.γ.
δόξαν τοῦ πολέμου, τοῦ δοκεῖν δι' °αὐτὸν κρίσιν εἰληφέναι, καὶ °ἑαυτ.β.γ.ε.
τὰ Πύθια θεῖναι δι' ἑαυτοῦ. καὶ ταῦτ' ἦν ὧν μάλιστα ἐγλί-

χετο

20 Τῆς ἴσης) Ψήφου δηλονότι.
Τί οὖν ἡγοῦμαι) Ἀντιθέσεως ἐμπιπτούσης, ὅτι ἡμεῖς τοὺς ἕλληνας οὐδὲν ἠδικήσαμεν, ὥστε πῶς ἂν ἡμῖν πολεμήσαιεν, ταύτην λέλυκεν, ἐπαγαγών, εἰ γὰρ ἀργεῖοι καὶ μεσσήνιοι, καὶ ἑξῆς, τουτέστιν, ἠδίκηνται μὲν ὑφ' ἡμῶν οἱ ἕλληνες οὐδέν, μισοῦσι δ' ἄλλως· ἀργεῖοι μὲν καὶ μεσσήνιοι καὶ μεγαλοπολῖται, διὰ τὴν πρὸς λακεδαιμονίους ἐπικηρυκείαν· θηβαῖοι δ', ὅτι τοὺς παρ' ἐκείνων φυγάδας σώζομεν· θετταλοὶ δ', ὅτι τοὺς περιλελειμμένους σώζειν ἐπιχειροῦμεν τῶν φωκέων· φίλιππος δ', ὅτι κωλύομεν αὐτὸν κοινωνεῖν τῆς ἀμφικτυο-
22 νίας. Ἐπικηρυκείαν) Ἤγουν διὰ κήρυκας ἀποστεῖλαι ἡμᾶς πρὸς λακεδαιμονίους, καὶ φιλίαν ποιήσασθαι. ἐπικηρυκεύω γάρ, τὸ περὶ φιλίας καὶ διαλλαγῶν κήρυκας πέμπω. Ἐκδέχεσθαι) Οὐκ ἐπὶ τοῦ ἀναμεῖναι, ἀλλ' ἐπὶ τοῦ ἀναδέξασθαι καὶ ἀναλαβεῖν· ἐκδέξασθαι δ', ἐπὶ τοῦ παρ' ἑτέρου λαβόντα αὐτὸν ἐγχειρεῖν τὸ δεύτερον. ἐπισκεπτέον δὲ τὴν δημοσθένει ληφθὲν ἐνταῦθα.
24 Ἐπισπασθῶσιν) Ἤγουν ἑφελκυσθῶσιν. Ἑαυτοῖς ἡμῖν) Ἀντὶ τοῦ ἡμῖν ἁπλῶς. Ἴστε γὰρ δήπου) Ἀντιπέπτωκεν ἀντίθεσις ἀπὸ τῆς ἐργασίας, κατὰ τὸ ἀκόλουθον, ὅτι οὐ συμφέρει τοῖς ἕλλησιν ἡμᾶς ἀπολέσθαι. ἔλυσε δὲ καὶ τοῦτο εἰπών, οὐδὲ γὰρ θηβαίοις συνέφερεν αὐξηθῆναι τὸν φίλιππον, οὐδὲ θετταλοῖς· ἀλλ' ὅμως διὰ τὴν πρὸς φωκέας φιλονεικίαν, ἅπαντα ταῦτα ὑπέμειναν. ὑποψίαν δὲ αὐτοῖς ἐμποιεῖ γενησομένου πολέμου· ὅπερ ἀπὸ τῆς λέξεως ἔστι καταμαθεῖν τοῖς ἐπισπασθῶσι.
25 Παρόδους) Πάροδος, ἡ ἄφιξις, ἡ εἴσοδος· παροδεία δέ, ἡ παρέλευ-
26 σις. Φίλιππον τοίνυν) Ἀντέπιπτεν ἀντίθεσις ἀπὸ τοῦ δυνατοῦ· καὶ μὴν οὐ βοηθήσουσι θηβαῖοι, φιλίππῳ ὑπόπτως ἔχοντες· οὐδὲ γὰρ ἑκὼν ἔδωκεν αὐτοῖς ὀρχομενὸν καὶ κορώνειαν· ἵνα τὸ λεγόμενον ᾖ τοιοῦτον· καὶ μὴν οὐ βοηθήσουσι φιλίππῳ θηβαῖοι· οὐ δὲ γὰρ εὔνως διάκειν) πρὸς αὐτόν· αὕτη γάρ ἐστιν ἡ ἀπὸ τοῦ δυνατοῦ ἀντίθεσις. ταύτην ἔλυσε κατ' ἀγανάκτησιν, ὡς εὐήθη ἐπιτιμήσας, εἴ τις χρῷτο τούτῳ τῷ λόγῳ· ἐπειδὴ γὰρ τὸ δυνατὸν κατεσκεύασε τοῦ φιλίππου, ἰσχυρὸν ἐξ ἀρχῆς. αὕτη δὲ ἡ ἀντίθεσις ἀναβλέπειν ἐδόκει τὸ σύμπαν. διὰ τοῦτο καὶ ἐρρῶσθαι εἶπε τοῖς χρωμένοις τῷ λόγῳ· μὴ γὰρ εἶναι αὐτοῦ ἰσχυρόν.

χετο· θετταλοὶ δέ γε οὐδέτερα ἐβούλοντο τούτων, οὔτε θη-
βαίους, οὔτε τὸν φίλιππον μέγαν "ἡγεῖσθαι· πάντα γὰρ ταῦ-
τα ἐφ' ἑαυτοὺς ἡγοῦντο εἶναι. τῆς πυλαίας δὲ ἐπεθύμουν,
καὶ τῶν ἐν δελφοῖς πλεονεκτημάτων, δυοῖν κύριοι γενέσθαι· 28
περὶ δὲ τούτων γλίχεσθαι, ταῦτα δὲ συγκατέπραξαν. τῶν τοί-
νυν ἰδίων ἕνεκα ἕκαστον εὑρήσετε εἰς τὰ πολλὰ προηγμέ-
νον, ὧν οὐδὲν ἐβούλετο πρᾶξαι. τοῦτο μὲν τοίνυν ὅτι τοιοῦτόν
ἐστι, φυλακτέον ἡμῖν. τὰ κελευόμενα ἡμᾶς ἄρα δεῖ ποιεῖν
ταῦτα φοβουμένους; καὶ σὺ ταῦτα κελεύεις; πολλοῦ γε καὶ 29
δέω. ἀλλ' ὡς οὔτε πράξομεν οὐδὲν ἀνάξιον ἡμῶν αὐτῶν,
οὔτ' ἔσται πόλεμος, νοῦν τε δόξομεν πᾶσιν ἔχειν, καὶ τὰ δί-
καια λέγειν, τοῦτ' οἴομαι δεῖξειν. πρὸς δὲ τοὺς θρασέως ὁτι-
οῦν οἰομένους "ὑπομένειν δεῖν, καὶ μὴ προορωμένους τὸν πό-
λεμον, ἐκεῖνα βούλομαι λογίσασθαι. ἡμεῖς θηβαίους ἐῶμεν
ἔχειν ὠρωπόν. καὶ εἴ τις ἔροιτο ἡμᾶς κελεύσας εἰπεῖν τἀ- 30
ληθῆ, διὰ τί· ἵνα μὴ πολεμῶμεν, φαῖμεν ἄν. καὶ φιλίπ-
πῳ νυνὶ κατὰ τὰς συνθήκας, ἀμφιπόλεως παρακεχωρή-
καμεν, καὶ καρδιανοὺς ἐῶμεν ἔξω "χερρονησιτῶν τῶν ἄλλων
τετάχθαι, καὶ τὸν κᾶρα τὰς νήσους καταλαμβάνειν, χίον, καὶ
"κῶ, καὶ ῥόδον, καὶ βυζαντίους κατάγειν τὰ πλοῖα· δηλονό- 31
τι, τὴν ἀπὸ τῆς εἰρήνης ἡσυχίαν, πλειόνων ἀγαθῶν αἰτίαν
εἶναι νομίζοντες, ἢ τὸ προσκρούειν, καὶ τὸ φιλονεικεῖν περὶ τού-
των. οὐκοῦν εὔηθες καὶ κομιδῇ σχέτλιον, πρὸς ἑκάστους κα-
θ' ἕνα οὑτωσὶ ἤδη προσηνέχθαι καὶ περὶ τῶν οἰκείων καὶ
ἀναγκαιοτάτων, πρὸς ἅπαντας περὶ τῆς ἐν δελφοῖς σκιᾶς
νυνὶ πολεμῆσαι.

ἡγεῖσθαι. η. θ. — β. ε. θ. — ὑπομένειν. η. — β. ε. — χερρονησιτῶν. ε. η. θ. — κῶν. η. θ.

Τῆς πυλαίας) Τὴν σύνοδον πυλαίαν ἐκάλουν, τὴν μὲν ἐαρινήν, τὴν δὲ μετοπωρινήν, ἐπεὶ ἐν πύλαις συνήγοντο, ἃς καὶ θερμοπύλας ἐκάλουν. ἔθυον δὲ δήμητρι οἱ πυλαγόραι. 27

Τὰ κελευόμενα) Ἐπήνεγκεν ἀντίθεσιν ἀπὸ τοῦ δικαίου καὶ τοῦ δυνατοῦ μικτήν· πειθώμεθα οὖν τοῖς ἐπιτάγμασι, φοβούμενοι φίλιππον καὶ τοὺς ἕλληνας. ταύτην ἔλυσε κατ' ἀφαίρεσιν, φάσκων, μὴ δεῖν μετὰ φοβεῖσθαι, οὐ μὴν διὰ τοῦτο τὴν εἰρήνην λύειν· καὶ ἑτέρᾳ λύσει ἀπὸ τοῦ ἐνδόξου, ὅπερ ἐστὶ μέρος τοῦ συμφέροντος, ἵνα μηδὲν ἀνάξιον πράξωμεν ἡμῶν αὐτῶν. τοῦτο δὲ ἐστίν, ἢ μὴ δόξωμεν εἶναι φθονεροί, ὅπερ ἀπὸ τοῦ ἐνδόξου ἐστίν. ἢ μὴ δόξωμεν εἶναι ἀνόητοι. εἶτα ἀπὸ δικαίου πάλιν, ἡμεῖς θηβαίους ἔχειν ἐῶμεν ὠρωπόν, ὅπερ ἐστὶ μέρος τοῦ δικαίου. πρὸς δὲ τὴν ἀντίθεσιν ἅμα ἐστὶ καὶ ἐπίλογος. ἄρχεται γὰρ ὁ ἐπίλογος ἀπὸ τοῦ, πρὸς δὲ τοὺς θρασέως ὁτιοῦν οἰομένους. 28 29 Χίον) Χίος, ἡ νῆσος· ὁ ἐν αὐτῇ οἰκῶν, χῖος. 30

Πρὸς ἅπαντας) Τῶν μεγίστων, φησί, παρακεχωρηκότες διὰ τὴν ἐπιείκειαν, νυνὶ περὶ φαύλων καὶ σκιᾶς πολεμήσομεν; 31

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ Β.

Παραινεῖ διὰ τούτου τοῦ λόγου τοῖς ἀθηναίοις ὁ ῥήτωρ, πολέμιον "ὑποπτεύειν τὸν φίλιππον, καὶ τῇ εἰρήνῃ μὴ πάνυ πιστεύειν, ἀλλὰ ἐγείρεσθαι καὶ προσέχειν τὸν νοῦν τοῖς πράγμασι, καὶ διατρέπεσθαι εἰς πόλεμον· ἐπιβουλεύειν γὰρ αἰτιᾶται καὶ τοῖς ἀθηναίοις καὶ πᾶσι τοῖς ἕλλησι τὸν φίλιππον. καὶ τοῦτο αὐτοῦ καταμαρτυροῦντος, πράξειν φησίν. ἐπαγγέλλεται δὲ καὶ ἀποκρίσεις δώσειν πρός τινας πρέσβεις ἥκοντας, ἀπορούντων τῶν ἀθηναίων ὁπότε ἀποκρίνασθαι δεῖ. πόθεν δὲ οὗτοι, καὶ "περὶ τίνων ἥκουσιν, ἐν τῷ λόγῳ μὲν οὐ δηλοῦται, ἐκ δὲ τῶν φιλιππικῶν ἱστοριῶν μαθεῖν δυνατόν· κατὰ γὰρ τοῦτον τὸν καιρὸν ἔπεμψε πρέσβεις ὁ φίλιππος πρὸς τοὺς ἀθηναίους, αἰτιώμενος ὅτι διαβάλλουσιν αὐτὸν μάτην πρὸς τοὺς ἕλληνας, ὡς "ἐπαγγελλόμενον αὐτοῖς πολλὰ καὶ μεγάλα, "ψευδόμενον δέ· οὐδὲν γὰρ ὑπεσχῆσθαί φησιν, οὐδὲ ἐψεῦσθαι, καὶ περὶ τούτων ἐλέγχους ἀπαιτεῖ. ἔπεμψαν δὲ μετὰ φιλίππου καὶ ἀργεῖοι καὶ μεσσήνιοι πρέσβεις εἰς ἀθήνας, αἰτιώμενοι καὶ οὗτοι τὸν δῆμον, ὅτι λακεδαιμονίοις καταδουλουμένοις τὴν πελοπόννησον, εὔνοις τέ ἐστι, καὶ συγκροτεῖ· αὐτοῖς δὲ περὶ ἐλευθερίας πολεμοῦσιν, ἐναντιοῦται. ἀποροῦσιν οὖν οἱ ἀθηναῖοι καὶ πρὸς τὸν φίλιππον ἀποκρίσεως, καὶ πρὸς τὰς πόλεις, ὅτι εὖνοι μὲν εἰσι λακεδαιμονίοις, καὶ τὴν τῶν ἀργείων καὶ μεσσηνίων μετὰ φιλίππου σύστασιν, καὶ μισοῦσι καὶ ὑποπτεύουσιν, οὐ μὴν ἀποφήνασθαι δύνανται δίκαια πράττειν τοὺς λακεδαιμονίους. πρὸς δὲ τὸν φίλιππον, διημαρτήκασι μὲν ὧν ἤλπισαν· οὐ μὴν ὑπ' ἐκείνου γε αὐτοῦ δοκοῦσιν ἐξηπατῆσθαι· οὔτε γὰρ ταῖς ἐπιστολαῖς ἐνέγραψεν ὁ φίλιππος ἐπαγγελίαν οὐδεμίαν, οὔτε διὰ τῶν ἰδίων "πρεσβειῶν ἐποιήσατό τινα ὑπόσχεσιν, ἀλλὰ ἀθηναίων τινὲς ἦσαν οἱ τὸν δῆμον εἰς ἐλπίδα καταστήσαντες, ὡς φίλιππος φωκέας σώσει, καὶ τὴν θηβαίων ὕβριν καταλύσει. διὰ τοῦτο ὁ δημοσθένης τῶν ἀποκρίσεων μνησθείς, ἐπαγγέλλεται μὲν αὐτὰς δώσειν· φησὶ δὲ ὅτι δίκαιον ἦν, τοὺς τὴν δυσχέρειαν πεποιηκότας, ἐκείνους καὶ τὰς ἀποκρίσεις ἀπαιτεῖσθαι, τοὺς ἀπατήσαντάς φησι τὸν δῆμον, καὶ ἀνοίξαντας φιλίππῳ πύλας. ταῦτα δὲ εἰς τὸν αἰσχίνην αἰνίττεται, προκατασκευαζόμενος ὥς φασι τὴν "κατ' αὐτοῦ κατηγορίαν τῆς παραπρεσβείας, ἣν ὕστερον ἐνεστήσατο, καὶ προδιαβάλλων αὐτὸν πρὸς τοὺς ἀθηναίους.

ἐγείρεσθαι. πρὸς. ε. — παρά. β. η. — ἐπαγγειλάμενον. β. ε. — ψευσάμενον. ὑπεσχῆσθαι. β. ε. η. — πρέσβεων. β. γ. ε. η. — γ. ε. η.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΤΟΥ ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ ΛΟΓ. Β.

Σχόλια.

1 Ὅταν) Ἐπιληπτικὸν τὸ προοίμιον τῆς τῶν ἀθηναίων ῥαθυμίας. Πράττει) Πλεονεκτεῖ καὶ ἀδικεῖ.

3 Αἴτιον δὲ) Κατασκευή.

4 Συμβαίνει) Τὸ συμπέρασμα.

5 Εἰκὸς) Εἰκός ἐστι τὸ πιστῶς ἐχόμενον· ἐοικὸς δὲ τὸ ἐμφερές.

6 Ἀνταραι) Φιλονεικῆσαι, αἰθίσασθαι.

1 ΟΤαν, ὦ ἄνδρες ἀθηναῖοι, λόγοι γίγνωνται περὶ ὧν Φί- ε. θ.
λιππος πράττει καὶ βιάζεται παρὰ τὴν εἰρήνην ἀεί, ἀεὶ τοὺς. ε.
τοὺς ὑπὲρ ἡμῶν λόγους, καὶ δικαίους καὶ φιλανθρώπους
ὁρῶ φαινομένους· καὶ λέγειν μὲν ἅπαντας ἀεὶ τὰ δέον-
τα δοκοῦντας τοὺς κατηγοροῦντας Φιλίππου, γιγνό-
2 μενον δ᾽ οὐδὲν ὡς ἔπος εἰπεῖν τῶν δεόντων, οὐδ᾽ ὧν εἵνεκα ταῦτα ἀκούειν ἄξιον·
ἀλλ᾽ εἰς τοῦτο ἤδη προηγμένα τυγχάνει πάντα τὰ πράγματα τῇ πόλει·
ὥστε ὅσῳ τις ἂν μᾶλλον καὶ φανερώτερον ἐξελέγχῃ Φίλιππον, καὶ τὴν πρὸς ἐλέγχῃ. ε. θ.
3 ὑμᾶς εἰρήνην παραβαίνοντα, καὶ πᾶσι τοῖς ἕλλησιν ἐπιβουλεύοντα, τοσούτῳ τὸ τί ἡμᾶς. ε.
χρὴ ποιεῖν συμβουλεῦσαι, χαλεπώτερον εἶναι. αἴτιον δὲ τούτων, ὅτι πάντας, ὦ
ἄνδρες ἀθηναῖοι, τοὺς πλεονεκτεῖν ζητοῦντας, ἔργῳ κωλύειν καὶ πράξεσιν, οὐχὶ ε. θ.
λόγοις δέον, πρῶτον μὲν ἡμεῖς οἱ παριόντες, τούτων μὲν ἀφέσταμεν καὶ γρά-
φειν καὶ συμβουλεύειν, διὰ τὴν πρὸς ὑμᾶς ἀπέχθειαν ὀκνοῦντες. οἷα ποιεῖ δέ, ὑμᾶς. ε. κ.
4 ὡς δεινὰ καὶ χαλεπὰ καὶ τοιαῦτα διεξερχόμεθα· ἔπειθ᾽ ὑμεῖς οἱ καθήμενοι, ὡς
μὲν ἂν εἴποιτε δικαίους λόγους καὶ λέγοντος ἄλλου συνίητε, ἄμεινον Φιλίππου
παρεσκευάσθε· ὡς δὲ κωλύσαιτ᾽ ἂν ἐκεῖνον πράττειν ταῦτα, ἐφ᾽ ὧν ἐστὶ νῦν,
παντελῶς ἀργῶς ἔχετε. συμβαίνει δὴ πρᾶγμα ἀναγκαῖον οἶμαι, καὶ ἴσως εἰ-
5 κός, ἐν οἷς ἑκάτεροι διατρίβετε, καὶ περὶ ἃ σπουδάζετε, ταῦτ᾽ ἄμεινον ἑκα-
τέροις ἔχειν· ἐκείνῳ μὲν αἱ πράξεις, ὑμῖν δ᾽ οἱ λόγοι. εἰ μὲν οὖν καὶ νῦν λέγειν
δικαιότερα ὑμῖν ἐξαρκεῖ, ῥᾴδιον καὶ πόνος οὐδεὶς πρόσεστι τῷ πράγματι·
εἰ δ᾽ ὅπως τὰ παρόντα ἐπανορθωθήσετε δεῖ σκοπεῖν, καὶ μὴ προελθόντα ἔτι
6 πορρωτέρω λήσει πάντας ἡμᾶς, μηδ᾽ ἐπιστήσει μέγεθος δυνάμεως, πρὸς πάντως. ε. κ. θ.
ἣν οὐδ᾽ ἀνταραι δυνησόμεθα, οὐχ ὁ αὐτὸς τρόπος ὅσπερ πρότερον τοῦ βου-
λεύσασθαι, ἀλλὰ καὶ τοῖς λέγουσιν ἅπασι καὶ τοῖς ἀκούουσιν ὑμῖν, τὰ βέλ-
τιστα καὶ τὰ σώσοντ᾽ ἀντὶ τῶν ῥᾴστων καὶ τῶν ἡδίστων προαιρετέον. πρῶτον μὲν
7 οὖν εἴ τις, ὦ ἄνδρες ἀθηναῖοι, θαρρεῖ ὁρῶν ἡλίκος ἤδη καὶ ὅσων κύριός ἐστι Φί- ε. θ.
λιππος, καὶ μηδένα οἴεται κίνδυνον φέρειν τοῦτο τῇ πόλει, μηδ᾽ ἐφ᾽ ὑμᾶς πάν- ἡμᾶς. ε.
τα ταῦτα παρασκευάζεσθαι, θαυμάζω. καὶ δεηθῆναι πάντων ὁμοίως ὑ-
μῶν βούλομαι, τοὺς λογισμοὺς ἀκοῦσαί μου διὰ βραχέων, δι᾽ οὓς τὰ ἐναντία
8 μοι παρέστηκε προσδοκᾶν, καὶ δι᾽ ὧν ἐχθρὸν ἡγοῦμαι Φίλιππον· ἵν᾽, ἐὰν μὲν
ἐγὼ δοκῶ βέλτιον τῶν ἄλλων προορᾶν, ἐμοὶ πεισθῆτε· ἐὰν δ᾽ οἱ θαρροῦντες
καὶ πεπιστευκότες αὐτῷ, τούτοις πρόσθησθε. ἐγὼ τοίνυν, ὦ ἄνδρες ἀθηναῖοι, ε. θ.
λογίζομαι, τίνων ὁ Φίλιππος κύριος πρῶτον μετὰ τὴν εἰρήνην κατέστη, Πυ-
9 λῶν, καὶ τῶν ἐν Φωκεῦσι πραγμάτων. τί οὖν· πῶς τούτοις ἐχρήσατο. ἃ θη-
βαίοις συμφέρει, καὶ οὐχ ἃ τῇ πόλει, πράττειν προείλετο. τί δήποτε· ὅτι πρὸς
πλεονεξίαν οἶμαι, καὶ τὸ πάνθ᾽ ὑφ᾽ ἑαυτῷ ποιήσασθαι τοὺς λογισμοὺς ἐξε-
τάζων, καὶ οὐ πρὸς εἰρήνην οὐδ᾽ ἡσυχίαν οὐδὲ δίκαιον οὐδέν. οἶδε τοῦτο ὀρ- εἶδε. β.
θῶς, ὅτι τῇ μὲν ἡμετέρᾳ πόλει καὶ τοῖς ἡμετέροις ἤθεσιν οὐδὲν ἂν ἐνδείξαι-
10 το τοιοῦτον, οὐδὲ ποιήσειεν, ὑφ᾽ οὗ πεισθέντες ὑμεῖς τῆς ἰδίας ἕνεκα ὠφελείας
τῶν ἄλλων τινὰς ἑλλήνων ἐκείνῳ προεῖσθε, ἀλλὰ καὶ τοῦ δικαίου λόγον ποιού-

μενοι

μενοι, καὶ τὴν προσοῦσαν ἀδοξίαν τῷ πράγματι φεύγοντες, καὶ πάνθ' ἃ προσήκει
προορώμενοι, ὁμοίως ἐναντιώσεσθε, ἄν τι τοιοῦτον ἐπιχειρῇ πράττειν, ὥσπερ ἂν εἰ πο- 11
λεμοῦντες τύχοιτε. τοὺς δὲ Θηβαίους ἡγεῖτο, ὅπερ συνέβη, ἀντὶ τῶν ἑαυτοῖς γιγνομένων,
αὐτόν. β. ε. θ. τὰ λοιπὰ ἐάσειν, ὅπως βούλεται πράττειν ἑαυτόν, καὶ οὐχ ὅπως ἀντιπράξειν καὶ δια-
κωλύσειν, ἀλλὰ καὶ συστρατεύσειν, ἂν αὐτοὺς κελεύῃ. καὶ νῦν τοὺς Μεσσηνίους καὶ τοὺς Ἀρ-
ε. θ. γείους ταὐτὰ ὑπειληφὼς, εὖ ποιεῖ, ὃ καὶ μέγιστόν ἐστι καθ' ὑμῶν ἐγκώμιον, ὦ ἄνδρες Ἀ- 12
θηναῖοι· κέκρισθε γὰρ ἐκ τούτων τῶν ἔργων μόνοι τῶν πάντων, μηδενὸς ἂν κέρδους τὰ
κοινὰ δίκαια τῶν Ἑλλήνων προέσθαι, μηδ' ἀνταλλάξασθαι μηδεμιᾶς χάριτος μη-
δ' ὠφελείας τὴν εἰς τοὺς Ἕλληνας εὔνοιαν. καὶ ταῦτ' εἰκότως καὶ περὶ ὑμῶν οὕτως ὑπεί-
ληφε, καὶ κατ' Ἀργείων καὶ Θηβαίων ὡς ἑτέρως, οὐ μόνον εἰς τὰ παρόντα ὁρῶν, ἀλλὰ καὶ τὰ 13
ἡμετέρ. ε. πρὸ τούτων λογιζόμενος· εὑρίσκει γὰρ οἶμαι καὶ ἀκούει, τοὺς μὲν ὑμετέρους προγόνους,
ἀνων. κ. ἐξὸν αὐτοῖς τῶν λοιπῶν ἄρχειν Ἑλλήνων, ὥστ' αὐτοὺς ὑπακούειν βασιλεῖ, οὐ μόνον οὐκ ἀνα-
σχομένους τὸν λόγον τοῦτον, ἡνίκα ἦλθεν Ἀλέξανδρος ὁ τούτου πρόγονος περὶ τούτων κή-
χώραν. κ. ρυξ, ἀλλὰ καὶ τὴν πόλιν ἐκλιπεῖν προελομένους, καὶ παθεῖν ὁτιοῦν ὑπομείναντας, καὶ 14
μετὰ ταῦτα πράξαντας ταῦτα, ἃ πάντες μὲν ἀεὶ γλίχονται λέγειν, ἀξίως δ' εἰπεῖν
οὐδεὶς δεδύνηται. διόπερ κἀγὼ παραλείψω δικαίως· ἔστι γὰρ μείζω τὰ ἐκείνων ἔργα, ἢ
ὡς τῷ λόγῳ τις ἂν εἴποι. τοὺς δὲ Θηβαίων καὶ Ἀργείων προγόνους, τοὺς μὲν συστρατεύ- 15
σαντας τῷ βαρβάρῳ, τοὺς δ' οὐκ ἐναντιωθέντας. οἶδεν οὖν ἀμφοτέρους ἰδίᾳ τὸ λυσι-
τελοῦν ἀγαπήσοντας, οὐχ ὅ,τι συνοίσει κοινῇ τοῖς Ἕλλησι σκεψομένους. ἡγεῖτο οὖν, εἰ μὲν
προσθοῖτο. ε. θ. ὑμᾶς ἕλοιτο φίλους, ἐπὶ τοῖς δικαίοις αἱρήσεσθαι· εἰ δ' ἐκείνοις προσθεῖτο, συνεργοὺς
ἕξειν τῆς αὑτοῦ πλεονεξίας. διὰ ταῦτ' ἐκείνους ἀνθ' ὑμῶν καὶ τότε καὶ νῦν αἱρεῖται. οὐ γὰρ 16
δὴ τριήρεις γε ὁρᾷ πλείους αὐτοῖς ἢ ὑμῖν οὔσας· οὐδ' ἐν μὲν τῇ μεσογείᾳ τινὰ ἀρ-
χὴν εὕρηκε, τῆς δ' ἐπὶ τῇ θαλάττῃ καὶ τῶν ἐμπορίων ἀφέστηκεν· οὐδ' ἀμνημονεῖ τοὺς
λόγους οὐδὲ τὰς ὑποσχέσεις, ἐφ' αἷς τῆς εἰρήνης ἔτυχεν. ἀλλὰ νὴ Δία, εἴποι τις ἄν, ὡς
πάντα ταῦτα εἰδὼς, οὐ πλεονεξίας ἕνεκεν, οὐδ' ὧν ἐγὼ κατηγορῶ, τότε ταῦτ' ἔπρα- 17
δικαιότερα. ε. κ. θ. ξεν, ἀλλὰ τῷ δικαιοτέρους ἀξιοῦν τοὺς Θηβαίους ἢ ὑμᾶς· ἀλλὰ τοῦτον καὶ μόνον τῶν λό-
γων πάντων, οὐκ ἔνεστ' αὐτῷ νῦν εἰπεῖν· ὁ γὰρ Μεσσήνην Λακεδαιμονίοις ἀφιέναι κε-
Λακεδαιμονίους. β. ε. θ. λεύων, πῶς ἂν Ὀρχομενὸν καὶ Κορώνειαν τότε Θηβαίοις παραδοὺς, τῷ δίκαια νομίζειν — Ὁ γὰρ) Κατὰ συ-στροφὴν [illegible]
ταῦτ' εἶναι πεποιηκέναι σκήψαιτο; ἀλλ' ἐβιάσθη νὴ Δία· τοῦτο γάρ ἐσθ' ὑπόλοιπον. καὶ 18
παρὰ γνώμην τῶν Θετταλῶν ἱππέων, καὶ τῶν Θηβαίων ὁπλιτῶν ἐν μέσῳ ληφθεὶς, συνε-
β. γ. ε. θ. χώρησε ταῦτα; καλῶς. οὐκοῦν φασὶ μὲν μέλλειν πρὸς τοὺς Θηβαίους αὐτὸν ὑπόπτως
ἔχειν, καὶ λογοποιοῦσί τινες περιιόντες, ὡς Ἐλάτειαν τειχιεῖ. ὁ δὲ ταῦτα μὲν μέλλει, καὶ μελλή-
σει γε ὡς ἐγὼ κρίνω· τοῖς Μεσσηνίοις δὲ καὶ τοῖς Ἀργείοις ἐπὶ τοὺς Λακεδαιμονίους συμ- 19
β. γ. βάλλειν οὐ μέλλει, ἀλλὰ καὶ ξένους εἰσπέμπει, καὶ χρήματ' ἀποστέλλει, καὶ δύναμιν με-
ε. ζ. γάλην ἔχων αὐτός ἐστι προσδόκιμος. τοὺς μὲν οὖν ὄντας ἐχθροὺς Θηβαίων Λακεδαιμο-
νίους ἀναιρεῖ, οὓς δ' ἀπώλεσεν αὐτὸς πρότερον Φωκέας, νῦν σώζει; καὶ τίς ἂν ταῦτα πι-
στεύσειεν; ἐγὼ μὲν γὰρ οὐδ' ἂν ἡγοῦμαι Φίλιππον, οὔτ' εἰ τὰ πρῶτα βιασθεὶς ἄκων 20
ἔπραξεν, οὔτ' ἂν εἰ νῦν ἀπεγίγνωσκε Θηβαίους, τοῖς ἐκείνων ἐχθροῖς συνεχῶς ἐναντιοῦ-
σθαι. ἀλλ' ἀφ' ὧν νῦν ποιεῖ, κἀκεῖνα ἐκ προαιρέσεως δῆλός ἐστι ποιήσας. ἐκ πάντων
δ' ἄν τις ὀρθῶς θεωροίη, ὅτι πάντα πραγματεύεται κατὰ τῆς πόλεως συντάττων. καὶ τοῦ-
τ' ἐξ ἀνάγκης τρόπον τινὰ αὐτῷ νυνί γε δὴ συμβαίνει· λογίζεσθε γάρ· ἄρχειν βούλεται, 21
ὑμᾶς. θ. τούτου δ' ἀνταγωνιστὰς μόνους ὑπείληφεν ὑμᾶς. ἀδικεῖ πολὺν ἤδη χρόνον. καὶ τοῦτο αὐ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸς ἀεὶ σύνοιδεν ἑαυτῷ· οἷς γὰρ οὖσιν "ἡμετέροις ἔχει χρῆσθαι, τούτοις πάντα τὰ ἄλλα "ὑμετέρ. ε. θ.
ἀσφαλῶς κέκτηται. εἰ γὰρ ἀμφίπολιν καὶ ποτίδαιαν προεῖτο, οὐδ' ἂν οἴκοι μένειν βε-
22 βαίως ἡγεῖτο. ἀμφότερα οὖν οἶδε, καὶ ἑαυτὸν "ὑμῖν ἐπιβουλεύοντα, καὶ "ὑμᾶς αἰσθανο- "ἡμῖν. γ. ε. θ.
μένους· εὖ φρονεῖν δ' ὑμᾶς ὑπολαμβάνων, δικαίως ἂν αὑτὸν μισεῖν νομίζοι, καὶ πα- "ἡμᾶς. ε. θ.
ρώξυνται, πείσεσθαί τι κακὸν προσδοκῶν, ἐὰν καιρὸν λάβητε, ἐὰν μὴ "πρότερον φθά- "πρότερος. ε
σῃ ποιήσας. διὰ ταῦτ' ἐγρήγορεν, ἐφέστηκεν ἐπὶ τῇ πόλει, θεραπεύει τινὰς θηβαίων, καὶ
23 πελοποννησίων τοὺς ταὐτὰ "βουλομένους "τούτῳ· οὓς διὰ μὲν πλεονεξίαν, τὰ παρόντα "βουλομένοις. ε. "τούτοις. β. ε. η. θ.
ἀγαπήσειν οἴεται, διὰ δὲ σκαιότητα τρόπων, τῶν μετὰ ταῦτα οὐδὲν προόψεσθαι. καίτοι
σωφρονοῦσί γε καὶ μετρίως, ἐναργῆ παραδείγματά ἐστιν ἰδεῖν, ἃ καὶ πρὸς μεσσηνίους
καὶ πρὸς ἀργείους ἔμοιγ' εἰπεῖν συνέβη. βέλτιον δ' ἴσως ἐστὶ καὶ πρὸς ὑμᾶς εἰρῆ-
24 σθαι. πῶς γὰρ οἴεσθε, ἔφην, ὦ ἄνδρες μεσσήνιοι, δυσχερῶς ἀκούειν ὀλυνθίους, εἴ τις "λέ- "λέγοι. η. θ.
γει κατὰ φιλίππου κατ' ἐκείνους τοὺς χρόνους, ὅτ' ἀνθεμοῦντα μὲν αὐτοῖς ἠφίει, ἧς πάντες
οἱ πρότερον μακεδονίας βασιλεῖς ἀντεποιοῦντο. ποτίδαιαν δὲ ἐδίδου, τοὺς ἀθηναίων "ἀ- "ἐποίκους. γ. β. γ. η. θ.
ποίκους ἐκβαλών· καὶ τὴν μὲν ἔχθραν τὴν πρὸς ὑμᾶς αὐτὸς ἀνῄρητο, τὴν χώραν
25 δ' ἐκείνοις ἐδεδώκει καρποῦσθαι. ἆρα προσδοκᾶν αὐτοὺς τοιαῦτα πείσεσθαι; ἢ λέγοντος
ἄν τινος πιστεῦσαι, οὐκ οἴεσθέ γε; ἀλλ' ὅμως, ἔφην ἐγώ, μικρὸν χρόνον τὴν ἀλλοτρίαν
καρπωσάμενοι, πολὺν τῆς ἑαυτῶν ὑπ' ἐκείνου στέρονται, "αἰσχρῶς ἐκπεσόντες. οὐ κρα- "πικρῶς. ε. η
τηθέντες μόνον, ἀλλὰ καὶ προδοθέντες ὑπ' ἀλλήλων καὶ πραθέντες· οὐ γὰρ ἀσφα-
26 λεῖς ταῖς πολιτείαις αἱ πρὸς τοὺς τυράννους αὗται λίαν ὁμιλίαι. τί δ' οἱ θετταλοί; ἆ- β. γ.
ρ' οἴεσθε, ἔφην, ὅτε "αὐτῶν τοὺς τυράννους ἐξέβαλε, καὶ πάλιν νίκαιαν καὶ μαγνησίαν ἐ- "αὐτοῖς. γ. ε.
δίδου, προσδοκᾶν τὴν καθεστῶσαν νῦν δεκαδαρχίαν ἔσεσθαι παρ' αὐτοῖς; ἢ τὸν τὴν
πυλαίαν ἀποδόντα, τοῦτον τὰς ἰδίας αὐτῶν προσόδους παραιρήσεσθαι; "οὐκ ἔστι ταῦτα. "οὐκ ἦν. θ.
27 ἀλλὰ μὴν γέγονε ταῦτα, καὶ πᾶσιν ἐστὶν εἰδέναι. ὑμεῖς δ', ἔφην ἐγώ, διδόντα μὲν καὶ
ὑπισχνούμενον, θεωρεῖτε φίλιππον· ἐξηπατηκότα δ' ἤδη καὶ παρακεκρουμένον, "ἀπεύ- "ἀπεύξεσθε. χ. β. ε. θ.
χεσθε, ἂν σωφρονῆτ', ἰδεῖν. ἔστι τοίνυν νὴ Δί', ἔφην ἐγώ, παντοδαπὰ εὑρημένα ταῖς πό-
λεσι πρὸς φυλακὴν καὶ σωτηρίαν, οἷον χαρακώματα, καὶ τείχη, καὶ τάφροι, καὶ τἄλλα
28 ὅσα τοιαῦτα. καὶ ταῦτα μέν ἐστιν ἅπαντα χειροποίητα, καὶ δαπάνης προσδεῖ-
ται. ἓν δέ τι κοινὸν ἡ φύσις τῶν εὖ φρονούντων ἐν ἑαυτῇ κέκτηται φυλακτήριον, ὃ πᾶσι
μέν ἐστιν ἀγαθὸν καὶ σωτήριον, μάλιστα δὲ τοῖς πλήθεσι πρὸς τοὺς τυράννους. τί οὖν ἐστι
τοῦτο; ἀπιστία. ταύτην φυλάττετε. ταύτης ἀντέχεσθε. ἐὰν ταύτην σώζητε, οὐδὲν δεινὸν
29 μὴ πάθητε. τί οὖν ζητεῖτε, ἔφην, ἐλευθερίαν; εἶτ' οὐχ ὁρᾶτε φίλιππον ἀλλοτριωτάτας
ταύτῃ καὶ τὰς προσηγορίας ἔχοντα; βασιλεὺς γὰρ καὶ τύραννος ἅπας, ἐχθρὸς ἐλευθερίᾳ
καὶ νόμοις ἐναντίος. οὐ φυλάξεσθε ὅπως, ἔφην, μὴ πολέμου ζητοῦντες ἀπαλλαγῆ-
ναι, δεσπότην εὕρητε; ταῦτα ἀκούσαντες ἐκεῖνοι καὶ θορυβοῦντες ὡς ὀρθῶς λέγεται,
30 καὶ πολλοὺς ἑτέρους λόγους παρὰ τῶν πρέσβεων, καὶ παρόντος ἐμοῦ, καὶ πάλιν ὕστερον ἀκού-
σαντες ὡς ἔοικεν, οὐδὲν μᾶλλον ἀποσχήσονται τῆς φιλίππου φιλίας, οὐδ' ὧν ἐπαγγέλλεται.
καὶ οὐ τοῦτ' ἐστιν ἄτοπον, εἰ μεσσήνιοι καὶ πελοποννησίων τινὲς, παρ' ἃ τῷ λογισμῷ βέλτι-
σθ' ὁρῶσι, τί πράξουσιν, ἀλλ' ὑμεῖς οἱ καὶ συνιέντες αὐτοί, καὶ τῶν λεγόντων ἀκούον-
31 τες ἡμῶν, ὡς ἐπιβουλεύεσθε, ὡς "περιτειχίζεσθε, ὡς ἐκ τοῦ μηδὲν ἤδη "ποιῆσαι, λήσε- "περιτοιχίζεσθε. "ποιεῖν. β. ε. η
τε, ὡς ἐμοὶ δοκεῖ, πάντα ταῦτα ὑπομείναντες. οὕτως ἡ παραυτίκα ἡδονὴ καὶ ῥᾳστώνη
μεῖζον ἰσχύει τοῦ ποθ' ὕστερον συνοίσειν μέλλοντος. περὶ μὲν δὴ τῶν ὑμῖν πρακτέων, κα-
θ' ὑμᾶς αὐτοὺς ὕστερον βουλεύσεσθε, ἂν σωφρονῆτε· ἃ δὲ νῦν ἀποκρινάμενοι, τὰ δέον-
τα

Παρώξυνται) Παρακεκίνηται.

Ἀντεποιοῦντο) Ἀντείχοντο.

Παραιρήσεσθαι) Ἀφαιρήσεσθαι. Θουκυδίδης, διέφθαρον σφᾶς αὐτοὺς, οἱ μὲν ἀπὸ κλινῶν σπάρτας· οἱ δὲ ἐκ τῶν ἱματίων παραιρήματα ποιοῦντες, ὅ ἐστιν ἀφαιρήματα, ἀπὸ [illegible] παραιρούμενος, ἀντὶ τοῦ ἀφαιρούμενος· ὁ ἐξ ὀπίσθεν πλέον παραιρούμενος φθάνει τῷ δρόμῳ.

Πολέμου) Τοῦ ἀπὸ τῶν λακεδαιμονίων δηλονότι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τ' ἂν εἴητ' ἐψηφισμένοι, ταῦτ' ἤδη λέξω. ἦν μὲν οὖν δίκαιον, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς 32
ἐνεγκόντας τὰς ὑποσχέσεις, ἐφ' αἷς ἐπείσθητε ποιήσασθαι τὴν εἰρήνην, καλεῖν· οὔτε
γὰρ αὐτὸς ἄν ποτε ὑπέμεινα πρεσβεύειν, οὔτε ἂν ὑμεῖς εὖ οἶδ' ὅτι ἐπαύσασθε πολε-
μοῦντες, εἰ τοιαῦτα πράξειν τυχόντα εἰρήνης Φίλιππον ᾤεσθε. ἀλλ' ἦν πολὺ τούτων
ἀφεστηκότα τὰ τότε λεγόμενα. καὶ πάλιν γ' ἑτέρους καλεῖν. τίνας; τοὺς, ὅτ' ἐγὼ, γεγο- 33
νυίας ἤδη τῆς εἰρήνης, ἀπὸ τῆς ὑστέρας ἥκων πρεσβείας τῆς ἐπὶ τοὺς ὅρκους, αἰσθόμενος φε-
νακιζομένην τὴν πόλιν, προὔλεγον καὶ διεμαρτυρόμην, καὶ οὐκ εἴων προέσθαι
Πύλας, οὐδὲ Φωκέας, λέγοντας, ὡς ἐγὼ μὲν ὕδωρ πίνων, εἰκότως δύσκολος καὶ δύστρο-
ἀφ. πός εἰμί τις ἄνθρωπος. Φίλιππος δὲ ὅπερ εὔξαισθε ἂν ὑμεῖς, ἐὰν παρέλθῃ, πράξει. 34
καὶ Θεσπιὰς μὲν καὶ Πλαταιὰς τειχιεῖ· Θηβαίους δὲ παύσει τῆς ὕβρεως, Χερρόνησον δὲ τοῖς
χ. καταρύ- αὐτοῦ τέλεσι διορύξει, Εὔβοιαν δὲ καὶ τὸν Ὠρωπὸν ἀντ' Ἀμφιπόλεως ὑμῖν ἀποδώσει· ταῦτα
ξει. κ. γὰρ ἅπαντα ἐπὶ τοῦ βήματος ἐνταῦθοι μνημονεύετε οἶδ' ὅτι ῥηθέντα, καίπερ ὄντες οὐ
ἐκγόνοις. κ. θ δεινοὶ τοὺς ἀδικοῦντας μεμνῆσθαι· καὶ τὸ πάντων αἴσχιστον, καὶ τοῖς ἐγγόνοις πρὸς τὰς 35
ἐλπίδας τὴν αὐτὴν εἰρήνην εἶναι ταύτην προσεψηφίσασθε. οὕτω τελέως ὑπή-
χθητε. τί δὴ ταῦτα νῦν λέγω, καὶ καλεῖν φημὶ δεῖν τούτους· ἐγὼ νὴ τοὺς θεοὺς τἀληθῆ
μετὰ παρρησίας ἐρῶ πρὸς ὑμᾶς καὶ οὐκ ἀποκρύψομαι· οὐχ ἵνα εἰς λοιδορίαν ἐμ-
πεσὼν, ἐμαυτῷ μὲν ἐξ ἴσου λόγον παρ' ὑμῖν ποιήσω, τοῖς δ' ἐμοὶ προσκρούσασιν ἐξ ἀρ- 36
καινὴν. θ. & κοινὴν. β. ε. χῆς, παράσχω πρόφασιν κενὴν τοῦ πάλιν γέ τι λαβεῖν παρὰ Φιλίππου· οὐδ' ἵνα τινὰ ἄλ-
λως ἀδολεσχῶ. ἀλλ' οἶμαί ποθ' ὑμᾶς λυπήσειν ἃ Φίλιππος πράττει μᾶλλον, ἢ τὰ νυνί·
τὸ πρᾶγμα ὁρῶ προβαῖνον. ε. κ. θ τὰ γὰρ πράγματα ὁρῶ προβαίνοντα, καὶ οὐχὶ βουλοίμην μὲν ἂν εἰκάζειν ὀρθῶς·
φοβοῦμαι δὲ μὴ λίαν ἐγγὺς ᾖ τοῦτ' ἤδη. ὅταν οὖν μηκέτι ὑμῖν ἀμελεῖν ἐξουσία γίγνη- 37
ται τῶν συμβαινόντων, μηδὲ ἀκούητε ὅτι ταῦτ' ἐφ' ὑμᾶς ἐστιν, ἐμοῦ, μηδὲ τοῦ δεῖνος, ἀλλ' αὐ-
τοὶ πάντα ὁρᾶτε, καὶ εὖ εἰδῆτε, ὀργίλους καὶ τραχεῖς ὑμᾶς ἔσεσθαι νομίζω. φοβοῦμαι
αὐτῶν. β. ε. θ δὲ μὴ τῶν πρέσβεων σεσιωπηκότων, ἐφ' οἷς αὐτοῖς συνίσασι δεδωροδοκηκόσι, τοῖς ἐ-
ἡμῖν. ε. πανορθοῦν τι πειρωμένοις τῶν διὰ τούτους ἀπολωλότων, τῇ παρ' ὑμῶν ὀργῇ περιπε- 38
ἡμῶν. β. πολλοὺς. κ. θ. σεῖν συμβῇ. ὁρῶ γὰρ ὡς τὰ πολλὰ ἐνίους, οὐκ εἰς τοὺς αἰτίους, ἀλλ' εἰς τοὺς ὑπὸ χεῖρα,
μάλιστα τὴν ὀργὴν ἀφιέντας. ἕως οὖν ἔτι μέλλει καὶ συνίσταται τὰ πράγματα, καὶ
κατακούομεν ἀλλήλων, ἕκαστον ὑμῶν, καίπερ ἀκριβῶς εἰδότα, ὅμως ἐπαναμνῆσαι βού-
λομαι, τίς ὁ Φωκέας καὶ Πύλας πείσας ὑμᾶς προέσθαι· ὧν καταστὰς ἐκεῖνος κύριος, 39
τῆς ἐπὶ τὴν Ἀττικὴν ὁδοῦ καὶ τῆς εἰς Πελοπόννησον κύριος γέγονε, καὶ πεποίηκεν ὑμῖν
μηκέτι. β. ε. μήτε περὶ τῶν δικαίων, μήθ' ὑπὲρ τῶν ἔξω πραγμάτων εἶναι τὴν βουλὴν, ἀλλ' ὑπὲρ
τῶν ἐν τῇ χώρᾳ, καὶ τοῦ πρὸς τὴν Ἀττικὴν πολέμου· ὃς λυπήσει μὲν ἕκαστον, ἐπειδὰν
τότε. θ. παρῇ, γέγονε δ' ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. εἰ γὰρ μὴ παρεκρούσθητε τόθ' ὑμεῖς, οὐδὲν ἂν ἦν τῇ 40
πόλει πρᾶγμα. οὔτε γὰρ ναυσὶ δήπου κρατήσας, εἰς τὴν Ἀττικὴν ἦλθεν ἄν ποτε στόλῳ
Φίλιππος, οὔτε πεζῇ βαδίζων ὑπὲρ τὰς Πύλας καὶ Φωκέας· ἀλλ' ἢ τὰ δίκαια ἂν ἐποίει,
καὶ τὴν εἰρήνην ἄγων ἡσυχίαν εἶχεν, ἢ παραχρῆμα ἂν ἦν ἐν ὁμοίῳ πολέμῳ, δι' ὃν
θ. τότε πρότερον τῆς εἰρήνης ἐπεθύμησε. ταῦτ' οὖν, ὡς μὲν ὑπομνῆσαι, νῦν ἱκανῶς 41
εἴρηται· ὡς δ' ἂν ἐξετασθείη μάλιστα ἀκριβῶς, μὴ γένοιτο, ὦ πάντες θεοί· οὐδένα γὰρ δίκαιος) Ἄξιος.
βουλοίμην ἂν ἔγωγε, οὐδ' εἰ δίκαιός ἐστ' ἀπολωλέναι, μετὰ τοῦ πάντων κινδύνου, καὶ
τῆς ζημίας δίκην ὑποσχεῖν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΕΡΙ ΑΛΟΝΗΣΟΥ ΛΟΓΟΥ.

ΟΥΤΟΣ ὁ λόγος, ἐπιγράφεται μὲν, περὶ ἀλονήσου· τάχα δ' ὀρθότερον ἐπιγράφειν, πρὸς τὴν ἐπιστολὴν τὴν φιλίππου· πέπομφε γὰρ πρὸς τοὺς ἀθηναίους ἐπιστολὴν περὶ πολλῶν διαλεγόμενος, ὧν ἕν ἐστι καὶ τὸ κατὰ τὴν ἀλόνησον. ἥτις, ἦν μὲν τῶν ἀθηναίων κτῆμα, κατὰ δὲ τοὺς φιλίππου καιροὺς, ὑπὸ λῃστῶν κατείχετο· οὓς ἐκβαλὼν ὁ φίλιππος, ἀπαιτοῦσι μὲν τοῖς ἀθηναίοις τὴν νῆσον, οὐκ ἀποδίδωσιν· ἑαυτοῦ γὰρ εἶναί φησιν· αἰτοῦσι δ' ὑπισχνεῖται δώσειν. ὁ δὲ λόγος οὐ δοκεῖ μοι δημοσθένους εἶναι. δηλοῖ δ' ἡ φράσις, καὶ ἡ τῆς συνθέσεως ἁρμονία, πολὺ τοῦ δημοσθενικοῦ "πεφευγυῖα τύπου, ἀνειμένη τε, καὶ διαλελυμένη παρὰ τὴν ἰδέαν τοῦ ῥήτορος. καὶ μὴν καὶ τὸ ἐπὶ τέλει ῥηθὲν, οὐ μικρὸν μαρτύριον, τοῦ νόθον εἶναι τὸν λόγον, εἴπερ ὑμεῖς τὸν ἐγκέφαλον ἐν τοῖς κροτάφοις, καὶ μὴ ἐν ταῖς πτέρναις καταπεπατημένον φορεῖτε. ὁ μὲν γὰρ δημοσθένης, εἴωθε παρρησίᾳ χρῆσθαι· "τοῦτο δ' ὕβρις ἐστὶ, καὶ λοιδορία μέτρον οὐκ ἔχουσα. εὐτέλειά τε αὐτῷ δεινὴ πρόσεστι κατὰ τὴν ἑρμηνείαν. πρὸς δὲ τούτοις, καὶ εὔηθες "τὸ νομίζεται, τὸ ἐν τοῖς κροτάφοις ἔχειν τοὺς ἀνθρώπους τὸν ἐγκέφαλον. ὑπώπτευσαν δὲ καὶ οἱ πρεσβύτεροι τὸν λόγον, ὡς οὐ τοῦ ῥήτορος. καὶ πεφωράκασί γέ τινες ὄντα ἡγησίππου, καὶ ἀπὸ τῆς ἰδέας τῶν λόγων· τοιαύτῃ γὰρ κέχρηται· καὶ ἀπὸ τῶν πραγμάτων· κατὰ καλλίππου γὰρ τοῦ παιανιέως φησὶν ὁ τὸν λόγον γεγραφὼς, ἀπενηνοχέναι γραφὴν παρανόμων. φαίνεται δ', οὐχ ὁ δημοσθένης, ἀλλ' ὁ ἡγήσιππος, τὴν κατὰ τοῦ καλλίππου γραφὴν ἐνστησάμενος. νὴ δία, ἀλλ' ὁ λόγος συμβουλεύει περὶ τῆς ἀλονήσου τοῖς ἀθηναίοις μὴ λαμβάνειν αὐτὴν, ἀλλ' ἀπολαμβάνειν, καὶ διαφέρεται περὶ τῶν ὀνομάτων. ταῦτα δ' αἰσχίνης φησὶ τὸν δημοσθένην συμβεβουλευκέναι τοῖς ἀθηναίοις. εἶτα τί τοῦτο· δύναται γὰρ τὴν αὐτὴν πεποιῆσθαι συμβουλὴν καὶ δημοσθένης καὶ ἡγήσιππος. ἐπεὶ καὶ τῆς αὐτῆς ἦσαν ἐν τῇ πολιτείᾳ προαιρέσεως, καὶ τοῖς φιλιππίζουσι τῶν ῥητόρων ἀντέλεγον. καὶ μέμνηται καὶ ὁ δημοσθένης τοῦ ἡγησίππου, ὡς καὶ πρεσβεύσαντος μεθ' ἑαυτοῦ, καὶ ἀπαχθέντος τῷ μακεδόνι. δῆλον οὖν ὅτι, ὁ μὲν τοῦ δημοσθένους λόγος ὁ περὶ τῆς ἀλονήσου ῥηθεὶς, οὐ σώζεται· ἐκείνου δὲ οὐκ ὄντος, τὸν εὑρεθέντα προσέθεσαν αὐτῷ, ἀφορμὴν ἔχοντες τὸ, περὶ ἀλονήσου λόγον εἰρῆσθαι τῷ ῥήτορι· οὐκέτι δὲ ἐξετάζοντες, εἰ τοῦτον εἰκὸς εἶναι τὸν ἐκείνου.

"ἐκπεφευγ. ε. "τὸ δέ. ε. "τὸ νομίζειν ἐν ε.

## ΠΕΡΙ ΑΛΟΝΗΣΟΥ ΛΟΓΟΣ.

1 ΑΝδρες ἀθηναῖοι, οὐκ ἔστιν ὅπως αἱ αἰτίαι, ἃς φίλιππος αἰτιᾶται, τοὺς ὑπὲρ τῶν δικαίων πρὸς ὑμᾶς λέγοντας, κωλύσουσι, συμβούλους ἡμᾶς γίγνεσθαι ὑπὲρ τῶν ὑμῖν συμφερόντων· δεινὸν γὰρ ἂν εἴη, εἰ τὴν ἐπὶ τοῦ βήματος παρρησίαν, αἱ παρ' ἐκείνου πεμπόμεναι ἐπιστολαὶ ἀνέλοιεν.
2 ἐγὼ δ' ὑμῖν, ὦ ἄνδρες ἀθηναῖοι, βούλομαι, πρῶτον μὲν περὶ ὧν φίλιππος ἐπέσταλκε, περὶ τούτων διεξελθεῖν· ὕστερον δὲ, περὶ ὧν οἱ πρέσβεις λέγουσι, καὶ ἡμεῖς λέξομεν· φίλιππος γὰρ, ἄρχεται μὲν περὶ ἀλονήσου "λέγων, ὡς ὑμῖν δίδωσιν ἑαυτοῦ οὖσαν· ὑμᾶς δὲ οὔ φησι
3 δικαίως αὐτὴν ἀπαιτεῖν· οὐ γὰρ ὑμετέραν οὖσαν, οὔτε λαβεῖν, οὔτε νῦν ἔχειν. ἔλεγε δὲ καὶ πρὸς ἡμᾶς τοιούτους λόγους, ὅτε πρὸς αὐτὸν ἐπρεσβεύσαμεν, ὡς λῃστὰς ἀφελόμενος ταύτην τὴν νῆσον κτήσαιτο, καὶ προσήκειν αὐτὴν "ἑαυτοῦ εἶναι.
4 τοῦτον δὲ τὸν λόγον ὡς οὐκ ἔστι δίκαιος, οὐ χαλεπόν ἐστιν αὐτοῦ ἀφελέσθαι· ἅπαντες γὰρ οἱ λῃσταὶ, τοὺς ἀλλοτρίους τόπους *καταλαμβάνοντες, καὶ τούτους ὀχυροὺς ποιούμενοι, ἐντεῦθεν τοὺς ἄλλους κακῶς ποιοῦσιν. ὁ δὴ τοὺς λῃστὰς τιμωρησάμενος καὶ κρατήσας, οὐκ ἂν δήπου εἰκότα λέγοι, εἰ φαίη, ἃ ἐκεῖνοι ἀδίκως καὶ ἀλλότρια εἶχον, ταῦτα ἑαυτοῦ γίγνεσθαι·
5 εἰ γὰρ ταῦτα συγχωρήσετε, τί κωλύει, καὶ εἴ τινα τῆς ἀττικῆς λῃσταὶ τόπον καταλάβοιεν, ἢ λήμνου, ἢ ἴμβρου, ἢ σκύρου, καί τινες τούτους τοὺς λῃστὰς ἐκκόψαιεν, εὐθὺς καὶ τὸν τόπον τοῦτον οὗ ἦσαν οἱ λῃσταὶ, τὸν ὄντα ἡμέτερον, τῶν
6 τιμωρησαμένων τοὺς λῃστὰς γίγνεσθαι. φίλιππος δ' οὐκ ἀγνοεῖ ταῦτα,

ε. δ. "λέγει. ε. δ. "αὐτοῦ. θ. *ἀφαιρούμενοι β. ε.

ΣΧΟΛΙΑ.

1 Ἄνδρες ἀθηναῖοι) Τὸ προοίμιον κατὰ τὸν ἑρμογένην ἐκ τῶν ἔξωθεν ἐμφαινομένων· οὐ γὰρ δεῖ διὰ τὰς τοῦ φιλίππου αἰτίας κωλύεσθαι τοὺς συμβούλους ὑπὲρ τῶν συμφερόντων λέγειν. στάσις δ' ἄγραφος πραγματική. Οὐκ ἔστι) Πρότασις. Δεινὸν) Κατασκευή.
2 Ἐγὼ δ' ὑμ.) Προκατασκευὴ, ἤτοι προέκθεσις τῶν κεφαλαίων. Ὕστερον δὲ) Πρώτη εἰσαγωγὴ τοῦ κεφαλαίου ἐπὶ τοὺς ἀγῶνας ἀπὸ προτάσεως.
3 Ἔλεγε δ') Ὑποφορὰ ὁ τοῦ ἐναντίου λόγος. Τοῦτον δὲ τὸν λόγον) Τρίτη ἀντιπρότασις, ἡ τῆς λύσεως ἐπαγγελία.
4 Ἀφελέσθαι) Ἐνταῦθα ἡ τοῦ κεφαλαίου εἰσαγωγὴ ἐκ τῶν τεσσάρων πεπλήρωται, προτάσεως, ὑποφορᾶς, ἀντιπροτάσεως, λύσεως. Ἅπαντες) Λύσις ἐκ τῶν ἐπιχειρημάτων κατασκευῆς. Τιμωρησάμενος) Καθ' ὑπόθεσιν ἐκ τοῦ εἰς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὐ δίκαια λέγων. ἀλλ' εἰ καί τις ἄλλος ἐπιστάμενος, παρακρούσασθαι ἂν ὑ-
μᾶς οἴεται, ὑπὸ τῶν τὰ ἐνταῦθα διοικήσειν μελλόντων, ὡς ἂν αὐτὸς ἐκεῖνος
βούληται, καὶ πρὶν ὑπεσχημένων, καὶ νῦν δὲ πραττόντων. ἀλλὰ μὴν οὐ-
δ' ἐκεῖνό γε λανθάνει αὐτόν, ὅτι δι' ἀμφοτέρων τῶν ὀνομάτων ὁποτέρῳ ἂν
χρῆσθε ὑμεῖς, ἕξετε τὴν νῆσον, ἄν τε λάβητε, ἄν τ' ἀπολάβητε. τί οὖν αὐ- 7
τῷ διαφέρει, μὴ τῷ δικαίῳ ὀνόματι χρησάμενον ἀποδοῦναι ὑμῖν, ἀλλὰ
δωρεὰν δεδωκέναι, τῷ ἀδίκῳ; οὐχ ἵν' εὐεργέτημά τι καταλογίσηται πρὸς
ὑμᾶς· γελοῖον γὰρ ἂν εἴη τοῦτό γε τὸ εὐεργέτημα· ἀλλ' ἵν' ἐνδείξηται πᾶσι τοῖς
Ἕλλησιν, ὅτι Ἀθηναῖοι τὰ ἐν τῇ θαλάττῃ χωρία ἀγαπῶσι παρὰ τοῦ Μακε- 8
δόνος λαμβάνοντες. τοῦτο δ' ὑμῖν οὐ ποιητέον ἐστίν, ὦ ἄνδρες Ἀθηναῖοι. ὅταν
δὲ λέγῃ περὶ τούτων ὡς ἐθέλει διαδικάζεσθαι, οὐδὲν ἄλλο ἢ χλευάζει ὑ-
μᾶς· πρῶτον μὲν ἀξιῶν Ἀθηναίους ὄντας, πρὸς τὸν ἐκ Πέλλης ὁρμώμενον
περὶ τῶν νήσων διαδικάζεσθαι, πότερον ὑμέτεραι, ἢ ἐκείνου εἰσίν. ὁπότε γάρ, 9
ἡ μὲν δύναμις ἡ ὑμετέρα, ἡ ἐλευθερώσασα τοὺς Ἕλληνας, μὴ δύναται ὑ-
μῖν τὰ χωρία τὰ ἐν τῇ θαλάττῃ διασώζειν· οἱ δὲ δικασταὶ οἷς ἂν ἐπιτρέψητε
οἱ κύριοι τῆς ψήφου, οὗτοι ὑμῖν σώζουσιν, ἐὰν μὴ Φίλιππος αὐτοὺς πρίηται, πῶς
ὑμεῖς οὐχ ὁμολογουμένως, ὅταν ταῦτα διαπράττησθε, τῶν ἐν τῇ ἠπεί- 10
ρῳ ἁπάντων ἀφεστήκατε, καὶ ἐπιδείκνυται ἅπασιν ἀνθρώποις, ὅτι οὐδὲ περὶ
ἑνὸς ἂν αὐτῷ διαγωνίζησθε, εἰ ὑπὲρ τῶν ἐν τῇ θαλάττῃ, οὗ φατε ἰσχύειν,
μὴ διαγωνιεῖσθε, ἀλλὰ διαδικάσεσθε. ἔτι περὶ συμβόλων φησὶ πεπομ-
φέναι πρὸς ὑμᾶς τοὺς ποιησομένους· ταῦτα δὲ κύρια ἔσεσθαι, οὐκ ἐπειδὰν 11
ἐν τῷ δικαστηρίῳ τῷ παρ' ὑμῖν κυρωθῇ, ὡς ὁ νόμος κελεύει· ἀλλ' ἐπειδὰν ὡς
ἑαυτὸν ἐπανενεχθῇ, ἐφέσιμον τὴν παρ' ὑμῶν γινομένην γνῶσιν ὡς ἑαυτὸν
ποιούμενος· βούλεται γὰρ ὑμῶν τοῦτο προλαβεῖν, καὶ ὁμολογούμενον ἐν τοῖς
συμβόλοις καταστῆσαι, ὅτι τῶν περὶ Ποτίδαιαν γεγενημένων ἀδικημάτων, 12
οὐδὲν ἐγκαλεῖτε αὐτῷ ὡς ἀδικούμενοι, ἀλλὰ βεβαιοῦτε δικαίως αὐτὴν
ἐκεῖνον καὶ λαβεῖν καὶ κεκτῆσθαι. καίτοι Ἀθηναίων οἱ ἐν Ποτιδαίᾳ κατοικοῦν-
τες, οὐκ ὄντος αὐτοῖς πολέμου πρὸς Φίλιππον, ἀλλὰ συμμαχίας, καὶ ὅρ-
κων ὀμωμοσμένων, οὓς Φίλιππος τοῖς οἰκοῦσιν ἐν Ποτιδαίᾳ ὤμοσεν, ἀφῃρέ- 13
θησαν ὑπ' αὐτοῦ τὰ κτήματα. ταῦτα δὴ βούλεται τὰ ἀδικήματα, πάντα-
χόσε παρ' ὑμῖν βεβαιώσασθαι, ὅτι οὔτε ἐγκαλεῖτε αὐτῷ, οὔτε ἡγεῖσθε ἀδικεῖ-
σθαι· ἐπεὶ ὅτι γε συμβόλων οὐδὲν δέονται Μακεδόνες πρὸς Ἀθηναίους, ὁ
παρεληλυθὼς ὑμῖν χρόνος τεκμήριον γενέσθω· οὔτε γὰρ Ἀμύντας πατὴρ ὁ 14
Φιλίππου, οὔτε οἱ ἄλλοι Μακεδονίας βασιλεῖς, οὐδεπώποτε σύμβολα ἐποιή-
σαντο πρὸς τὴν πόλιν τὴν ἡμετέραν. καίτοι πλείους γε ἦσαν αἱ ἐπιμιξίαι
τότε πρὸς ἀλλήλους, ἢ νῦν εἰσίν· ἐφ' ἡμῖν γὰρ ἦν ἡ Μακεδονία, καὶ φόρους ἡ-
μῖν ἔφερε, καὶ τοῖς ἐμπορίοις τότε μᾶλλον ἢ νῦν, ἡμεῖς τε τοῖς ἐκεῖ, κἀκεῖ- 15
νοι τοῖς παρ' ἡμῖν ἐχρῶντο· καὶ ἐμπορικαὶ δίκαι οὐκ ἦσαν ὥσπερ νῦν ἀκρι-
βεῖς, αἱ κατὰ μῆνα ποιοῦσαι μηδὲν δεῖσθαι συμβόλων τοὺς τοσοῦτον ἀλλήλων
ἀπέχοντας. ἀλλ' ὅμως οὐδενὸς τοιούτου ὄντος τότε, οὐκ ἐλυσιτέλει σύμβολα
ποιησαμένους, οὔτ' ἐκ Μακεδονίας πλεῖν Ἀθήναζε δίκας ληψομένους, οὔ- 16
θ' ἡμῖν εἰς Μακεδονίαν. ἀλλ' ἡμεῖς τε τοῖς ἐκεῖ νομίμοις, ἐκεῖνοί τε τοῖς παρ' ἡμῖν

Marginal notes:

ἀδιάπαυστον ἀπαγωγῆς.

Ἀλλὰ μὴν οὐδ') Σημείωσαι ὅτι πάντα τὰ τῆς ἐπιπολῆς τῇ διανοίᾳ λύει ὁ ῥήτωρ· πᾶν γὰρ ῥητὸν, τῇ διανοίᾳ λύεται.

διαδικάζεσθαι. β.ε.θ.

διαγωνίσησθε. ε.θ.

εἰ καὶ περὶ. θ.

ἡμᾶς. θ.

Ἀλλ' ἐπειδὰν) Ἔφεσις, ἡ ἔγκλησις ἡ ἀπὸ μικροῦ εἰς μεῖζον κριτήριον προσκαλουμένη.

προσλαβεῖν.

Συμβόλων) Σύμβολα λέγει τὰς δίκας τὰς περὶ τὰ συμβόλαια τῶν ἐμπόρων.

ὑμῖν. θ.

ὑμῖν. θ.

νόμοις. θ.

τὰς δίκας ἐλάμβανον. μὴ οὖν ἀγνοεῖτε ὅτι τὰ σύμβολα ταῦτα γίγνεται, εἰς
ἀπόδειξιν τοῦ μηδ᾽ ἀμφισβητῆσαι "ὑμᾶς εὐλόγως ἔτι περὶ *Ποτιδαί- "ἡμᾶς. ε. θ. *τῆς. θ.
ας. περὶ δὲ τῶν λῃστῶν, δίκαιον φησὶν εἶναι κοινῇ φυλάττειν τοὺς ἐν τῇ θα- "ἡμᾶς. ε.
17 λάττῃ κακουργοῦντας, "ὑμᾶς τε καὶ αὐτόν, οὐδὲν ἄλλο ἢ τοῦτ᾽ ἀξιῶν, ὑφ᾽ "ἡμῶν "ὑμῶν. ε. θ.
εἰς τὴν θάλατταν καταστῆναι, καὶ ὁμολογῆσαι ὑμᾶς ὡς ἄνευ Φιλίππου
οὐδὲ τὴν ἐν τῇ θαλάττῃ φυλακὴν δυνατοί ἐστε φυλάττειν· ἔτι δὲ καὶ δοθῆ-
ναι αὐτῷ ταύτην τὴν ἄδειαν, περιπλέοντι καὶ ὁρμιζομένῳ εἰς τὰς νήσους
18 ἐπὶ προφάσει τῇ τῶν λῃστῶν φυλακῇ, διαφθείρειν τοὺς νησιώτας καὶ ἀφι- \ θ.
στάναι ἀφ᾽ "ὑμῶν, καὶ μὴ μόνον τοὺς φυγάδας τοὺς παρ᾽ ἑαυτοῦ εἰς Θάσον κεκο- "ἡμῶν. ε. θ.
μικέναι διὰ τῶν "ὑμετέρων στρατηγῶν, ἀλλὰ καὶ τὰς ἄλλας νήσους οἰκειώσα- "ἡμετ. ε. θ.
σθαι, συμπέμπων τοὺς συμπλευσομένους μετὰ τῶν στρατηγῶν τῶν ἡμετέ-
19 ρων, ὡς "κοινωνήσοντας τῆς κατὰ θάλατταν φυλακῆς. καίτοι, οὔ φασί τινες αὐτὸν "κοινωνήσαντας. β.
προσδεῖσθαι τῆς θαλάττης. ὁ δ᾽ οὐδὲν δεόμενος, τριήρεις κατασκευάζεται,
καὶ νεωσοίκους οἰκοδομεῖται, καὶ ἀποστόλους ἀποστέλλειν βούλεται, καὶ δαπά-
νας οὐ μικρὰς δαπανᾷ εἰς τοὺς κατὰ θάλατταν κινδύνους, ὧν οὐδὲν προτι-
20 μᾷ. ταῦτα οὖν οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, Φίλιππον ἀξιῶσαι ἂν ὑμᾶς \ ε. θ.
συγχωρῆσαι αὐτῷ, εἰ μὴ ὑμῶν μὲν κατεφρόνει, οἷς δ᾽ ἐνθάδε προῄρηται φί-
λοις κεχρῆσθαι, τούτοις διεπίστευεν, οἳ οὐκ αἰσχύνονται Φιλίππῳ ζῶντες, καὶ
οὐ τῇ ἑαυτῶν πατρίδι, καὶ τὰς παρ᾽ ἐκείνου δωρεὰς λαμβάνοντες, οἴονται οἴκαδε
21 λαμβάνειν, τὰ οἴκοι πωλοῦντες; περὶ δὲ τῆς ἐπανορθώσεως τῆς εἰρήνης, ἣν
ἔδοσαν "ἡμῖν οἱ πρέσβεις οἱ παρ᾽ ἐκείνου πεμφθέντες ἐπανορθώσασθαι, ὅτι "ὑμῖν. ε. θ.
ἐπηνωρθωσάμεθα ὃ παρὰ πᾶσιν ἀνθρώποις ὁμολογεῖται δίκαιον εἶναι, ἑκα-
τέρους τὰ ἑαυτῶν ἔχειν, ἀμφισβητεῖ μὴ δεδωκέναι, μηδὲ τοὺς πρέσβεις ταῦ-
22 τα εἰρηκέναι πρὸς ὑμᾶς, οὐδὲν ἄλλο ἢ πεπεισμένος ὑπὸ τούτων οἷς χρῆται
φίλοις, ὡς ὑμεῖς οὐ μνημονεύετε τὰ ἐν τῷ δήμῳ εἰρημένα. μόνον δὲ τοῦτο οὐχ
οἷόν τέ ἐστιν ὑμῖν ἀμνημονῆσαι· ἐν γὰρ τῇ αὐτῇ ἐκκλησίᾳ καὶ οἱ πρέσβεις ὑμῖν
οἱ παρ᾽ ἐκείνου ἥκοντες διελέγοντο, καὶ τὸ ψήφισμα ἐγράφη· ὥστε οὐχ οἷόν τε
23 ἐστὶ παραχρῆμα τῶν λόγων εἰρημένων, καὶ εὐθὺς τοῦ ψηφίσματος "ἐπανα- "ἐπαναγιγνω-
γιγνωσκομένου, τὴν καταψευδομένην γνώμην τῶν πρέσβεων, ταύτην ὑ- σκομένου. θ.
μᾶς χειροτονῆσαι· ὥστε τοῦτο μὲν οὐ κατ᾽ ἐμοῦ, ἀλλὰ καθ᾽ ὑμῶν ἐπέσταλ-
κεν, ὡς ὑμεῖς περὶ ὧν οὐκ ἠκούσατε, περὶ τούτων ἀποκρινάμενοι, τὴν γνώ- "ἀπεστάλκα-
24 μην "ἀπεστείλατε. καὶ οἱ μὲν πρέσβεις "αὐτοί, ὧν κατεψεύδετο τὸ ψήφισμα, τε. ε. "αὐτοῦ. γ.
ὅτε ἀπεκρίνασθε αὐτοῖς ἀναγιγνώσκοντες, καὶ ἐπὶ ξένια αὐτοὺς ἐκαλεῖτε, οὐκ
ἐτόλμησαν παρελθεῖν, οὐδ᾽ εἰπεῖν ὅτι καταψεύδεσθε ἡμῶν, ὦ ἄνδρες Ἀθη- \ ε. θ.
ναῖοι, καὶ φατὲ ἡμᾶς εἰρηκέναι ἃ οὐκ εἰρήκαμεν, ἀλλὰ σιωπῇ ἀπιόντες ᾤ-
25 χοντο. βούλομαι δ᾽ ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι· καὶ γὰρ εὐδοκίμησεν ὁ Πύθων \ ε. θ.
παρ᾽ "ἡμῖν ἐν τῇ δημηγορίᾳ ὁ τότε πρεσβεύων· αὐτοὺς τοὺς λόγους οὓς εἶπεν "ὑμῖν. θ.
ὑπομνῆσαι· οἶδα γὰρ ὅτι μνησθήσεσθε· παραπλήσιοι δ᾽ ἦσαν οἷς νυνὶ ἐπέ-
σταλκε Φίλιππος· ἐνεκάλει γὰρ ἡμῖν τοῖς διαβάλλουσι τὸν Φίλιππον, καὶ ὑμῖν
26 ἐμέμφετο, ὅτι ὡρμηκότος αὐτοῦ εὖ ποιεῖν "ὑμᾶς, καὶ προῃρημένου μάλιστα "ἡμᾶς. ε.
τῶν Ἑλλήνων φίλους "κεχρῆσθαι, "αὐτοὶ κωλύετε, ἀποδεχόμενοι τοὺς λόγους τῶν "ἠξιῶσθαι. θ. "οὗτοι. β. γ.
συκοφαντούντων, καὶ χρήματα ἐκεῖνον αἰτούντων καὶ διαβαλλόντων· τοὺς

γὰρ

18 Κεκομικέναι) Ἐλεγχθέντας παρ᾽ αὐτοῦ τοὺς τῶν Θασίων, ὡς μέλλοιεν Φιλίππῳ προδιδόναι τὰ πράγματα, ἐφυγαδεύθησαν ἐκ τῶν πολιτῶν. τούτους ὁ Φίλιππος πείσας, τοὺς ἐπὶ τῇ χάριτι κατήγαγε. τὸ δὲ τοὺς παρ᾽ ἑαυτοῦ, ἀντὶ τοῦ τοὺς τὰ αὐτοῦ φρονοῦντας.

19 Κατασκευάζεται) Ἀντὶ τοῦ κατασκευάζει· ποιεῖ κυρίως γὰρ ἐπὶ μὲν τοῦ δημιουργοῦ λέγομεν κατασκευάζειν, ἐπὶ δὲ τοῦ ἀναλώματα παρέχοντος, κατασκευάζεσθαι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νοῦμεν, ἀλλὰ βασκαίνομεν καὶ σκοποῦμεν πόθεν καὶ τί
μέλλει ποιεῖν, καὶ πάντα τὰ τοιαῦτα, οὔτ' ἐπειδήπερ οὕτως ἔ-
χομεν, τὰ ἡμέτερα αὐτῶν πράττειν ἐθέλομεν· ἀλλ' ἐν
μὲν τοῖς λόγοις, τοὺς τῆς πόλεως λέγοντας ἄξια, ἐπαινοῦ-
μεν· ἐν δὲ τοῖς ἔργοις, τοῖς ἐναντιουμένοις τούτοις συναγωνι- 28
*παριόντα. γ. η* ζόμεθα. ὑμεῖς μὲν τοίνυν εἰώθατε ἑκάστοτε τὸν παριόντα
ἐρωτᾶν, τί οὖν χρὴ ποιεῖν; ἐγὼ δ' ὑμᾶς ἐρωτῆσαι βούλο-
μαι, τί οὖν χρὴ λέγειν; εἰ γὰρ μήτε εἰσοίσετε, μήτε αὐτοὶ στρα-
τεύσεσθε, μήτε τῶν κοινῶν ἀφέξεσθε, μήτε τὰς συντάξεις
Διοπείθει δώσετε, μήτε ὅσ' ἂν αὐτὸς αὑτῷ πορίσηται ἐά- 29
σετε, μήτε τὰ ὑμέτερ' αὐτῶν πράττειν ἐθελήσετε, οὐκ ἔ-
*ἀπλέγειν. ε.* χω τί λέγω. εἰ γὰρ ἤδη τοσαύτην ἐξουσίαν τοῖς αἰτιᾶσθαι
καὶ διαβάλλειν βουλομένοις δίδοτε, ὥστε καὶ περὶ ὧν
φασι μέλλειν αὐτὸν ποιεῖν, καὶ περὶ τούτων προκατηγορού-
των ἀκροᾶσθαι, τί ἄν τις λέγοι; ὅ, τι τοίνυν δύναται ταῦτα 30
ποιεῖν, ἐνίους ὑμῶν μαθεῖν δεῖ. λέξω δὲ μετὰ παρρησίας· καὶ
γὰρ οὐδ' ἂν ἄλλως δυναίμην. πάντες ὅσοι πώποτ' ἐκ-
*αἰτῶμαι. ε.* πεπλεύκασι παρ' ὑμῶν στρατηγοί, ἢ ἐγὼ πάσχειν ὁτιοῦν τι-
μῶμαι, καὶ παρὰ Χίων, καὶ παρὰ Ἐρυθραίων, καὶ παρ' ὧν ἂν
ἕκαστοι δύνωνται, τούτων τῶν τὴν Ἀσίαν οἰκούντων λέ- 31
γω, χρήματα λαμβάνουσι· λαμβάνουσι δὲ, οἱ μὲν ἔχοντες
μίαν ἢ δύο ναῦς, ἐλάττονα· οἱ δὲ μείζω δύναμιν, πλείονα.
καὶ διδόασιν οἱ διδόντες, οὔτε τὰ μικρά, οὔτε τὰ πολλὰ ἀντ' οὐ-
*πτ. ε. κ.* δενός· οὐ γὰρ οὕτω μαίνονται, ἀλλ' ὠνούμενοι μὴ ἀδικεῖσθαι
τοὺς παρ' αὐτῶν ἐκπλέοντας ἐμπόρους, μηδὲ συλᾶσθαι, 32
παραπέμπεσθαι δὲ τὰ πλοῖα τὰ αὐτῶν, τὰ τοιαῦτα, φα-
σὶ δ' εὔνοιαν διδόναι. καὶ τοῦτο τοὔνομα ἔχει τὰ λήμματα
ταῦτα. καὶ δὴ καὶ νῦν τῷ Διοπείθει στράτευμ' ἔχοντι, σαφῶς
ἐστὶ τοῦτο δῆλον, ὅτι δώσουσι χρήματα πάντες οὗτοι. πόθεν
*λαμβάνοντα. θ.* γὰρ οἴεσθε ἄλλοθεν, τὸν μήτε λαβόντα παρ' ὑμῶν μηδέν, 33
μήτε αὐτὸν ἔχοντα ὁπόθεν μισθοδοτήσει, στρατιώτας τρέ-
φειν; ἐκ τοῦ οὐρανοῦ; οὐκ ἔστι ταῦτα· ἀλλ' ἀφ' ὧν ἀγείρει καὶ
προσαιτεῖ καὶ δανείζεται, ἀπὸ τούτων διάγει. οὐδὲν οὖν
ἄλλο ποιοῦσιν οἱ κατηγοροῦντες ἐν ὑμῖν, ἢ προλέγουσιν
ἅπασι, μηδ' ὁτιοῦν ἐκείνῳ διδόναι, ὡς καὶ τοῦ μελλῆσαι δώ- 34
σοντι δίκην, μή τι ποιήσαντί γε, ἢ συγκαταπραξαμέ-
νῳ. τοῦτ' εἰσὶν οἱ λόγοι· μέλλει πολιορκεῖν· τοὺς Ἕλληνας ἐκ-
δίδωσι· μέλει γάρ τινι τούτων τῶν τὴν Ἀσίαν οἰκούντων Ἑλ-

Τὰ ἡμέτερα αὐτῶν πράττειν) Ἀντὶ τοῦ ἡσυχάζειν καὶ μὴ πολυπραγμονεῖν περὶ ἀρχῆς καὶ ἡγεμονίας τῶν ἑλλήνων. Λέγοντας) Οἷον τοὺς λέγοντας ὅτι ἔθος ἐστὶ τῇ πόλει καὶ τοῖς προγόνοις ἡμῶν τὸ σώζειν τοὺς κινδυνεύοντας, καὶ προΐστασθαι τῆς ἑλλάδος, καὶ ἐναντιοῦσθαι τυράννοις· ἐν δὲ τοῖς ἔργοις τοῖς ἐναντιουμένοις ἐκείνοις τοῖς λέγουσιν ὅτι δεῖ προκινδυνεύειν τῶν ἑλλήνων, συναγωνιζόμεθα. Τί οὖν χρή) Κατὰ κῶλον 28 καὶ κόμμα ἐπαναφορά. Τῶν κοινῶν) Κοινὸν τὸ ἀκάθαρτον, ἢ τὸ μηδὲν ἔχον πλέον τῶν λοιπῶν. λέγεται δὲ τετραχῶς· ἢ τὸ εἰς τὰ μέρη διαιρετόν, ὡς ἡ κληρουχουμένη γῆ· ἢ τὸ ἀδιαίρετον ἐν χρήσει κοινῇ λαμβανόμενον· ἢ τὸ ἐν προκαταλήψει ἰδιοποιούμενον, ὡς ἐν θεάτρῳ τόπος ἢ ἐν βαλανείῳ· ἢ τὸ ἀδιαιρέτως εἰς κοινὴν καὶ τὴν αὐτὴν ἔννοιαν προβαλλόμενον, ὡς ἡ φωνὴ τοῦ κήρυκος. Ἀφέξεσθε) Ἀφέξω, ἀποκωλύσω· ἀφέξομαι, ἀποστήσομαι, παύσομαι. Ἐνίους μαθεῖν δεῖ) 30 Καὶ περὶ τούτων προκατηγορούντων ἀκροᾶσθαι τί ἄν τις λέγοι, ἔνιοι φανερῶς, ἢ οἱ μὲν, ἢ τινές. Πάντες ὅσοι πώποτε) Ὑπερβατὸν κατὰ παρένθεσιν, ὅ ἐστιν ἐπιμβολή. Ἢ ἐγὼ πάσχειν) Τὸ ἤ, ἀντὶ τοῦ, ἐπεί· ἐπεὶ εἰ μὴ οὕτως ἔχει τὸ πρᾶγμα ὡς λέγω, προστιμῶμαι. Τιμῶμαι) Ζημιοῦμαι, καταδικάζομαι· τίμησις γὰρ ἡ ζημία, ἢ τὸ εὐθυνόμενον, καὶ ἐπιτίμια ὑπέχειν. Καὶ 31 διδόασιν) Ὑπερβατὸν κατὰ ἔννοιαν, μέσον ἔχον τὴν αἰτίαν. Ἐμπόροις) Ἔμπορος, ὁ πραγματευτὴς ἄνθρωπος, ὁ πλέων θάλασσαν, παρὰ τὸ πόρος· πόρος δὲ ἐπὶ ὑγρῶν λέγεται· καὶ εὔπορος ὁ ἔχων ἀεὶ τὸν ἐπιρρέοντα πλοῦτον· ἐκ μεταφορᾶς τοῦ ὕδατος πόρου. καὶ ἔμπορος ὁ ναύλου ἕνεκα πλέων ἐπ' ἀλλοτρίας νεώς. καὶ ἔμπορός εἰμι σκηπτόμενος, παρ' Ἀριστοφάνει, ἐπὶ τῶν ἀεὶ προφασιζομένων, μὴ διὰ δειλίαν. Παραπέμ- 32 πεσθαι) Οἱονεὶ προπέμπεσθαι καὶ σώζεσθαι. Λήμματα) Λῆμμα δὲ ἑνὸς μὲν, ἀξία, ἀνδρεία, φρόνημα, κέρ- 33 δος· διὰ δὲ δύο μὲν, αἱ δόσεις καὶ αἱ προτάσεις παρὰ Ἀριστοτέλει, τουτέστιν ἡ ἐρώτησις· ἡ γὰρ ἐρώτησις, αἰτία τῆς ἀποκρίσεως, ἢ τις ἐστὶν ἐξῆς ὁ συλλογισμός, ἣν καὶ λῆμμα λέγουσι. καὶ μονολήμματος πρότασις, οἷον, ἀναπνεῖς, ζῇς ἄρα· πρόδηλον γὰρ τὸ παραλελειμμένον, τὸ πᾶν τὸ ἀναπνέον ζῇ. τοιαῦτά ἐστι καὶ τὰ ἐνθυμήματα, οὗτοι κολάσεως ἄξιοι ἱερόσυλοι γάρ· παρεῖται γὰρ τό, τοὺς ἱεροσύλους ἀξίους εἶναι κολάσεως. Πόθεν γὰρ οἴεσθε) Ὑπερβατὸν καθ' ὑπόθεσιν. Ἐκ τοῦ οὐρανοῦ) Σχετλιάζοντος τὸ ῥῆμα. Διάγει) Οὐ τρυφᾷ, ἀλλὰ μόλις διατρέφεται. Τοῦτ' εἰσὶν οἱ λόγοι) Ἀντὶ τοῦ εἰς τοῦτο συντείνουσιν οἱ λόγοι. Μέλλει πολιορκεῖν) Καθ' ὁμοιότητα λέξεως, β. εἶδος τῆς κατὰ λέξιν δριμύτητος, μέλλει καὶ μέλει.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λήνων. ἀμείνους μὲν τ' ἂν εἶεν τῶν ἄλλων, ἢ τῆς πατρίδος
35 κήδεσθαι. καὶ τόγε εἰς τὸν ἁμαρτάνοντα ἐκπέμπειν ἕτερον στρα-
τηγόν, τοῦτ' ἔστιν· εἰ γὰρ δεινὰ ποιεῖ Διοπείθης καὶ κατάγει τὰ
πλοῖα, μικρόν, ὦ ἄνδρες Ἀθηναῖοι, μικρὸν πινάκιον, ταῦ-
τα πάντα κωλῦσαι δύναιτ' ἄν. καὶ λέγουσιν οἱ νόμοι ταῦ-
τα, τοὺς ἀδικοῦντας εἰσαγγέλλειν. οὐ μὰ Δί', οὐ δαπάναις καὶ
36 τριήρεσι τοσαύταις ἡμᾶς αὐτοὺς φυλάττειν· ἐπεὶ τοῦτό γ' ἐστὶν
ὑπερβολὴ μανίας. ἀλλ' ἐπὶ μὲν τοὺς ἐχθρούς, οὓς οὐκ ἔστι
λαβεῖν ὑπὸ τοῖς νόμοις, καὶ στρατιώτας τρέφειν, καὶ τριήρεις
ἐκπέμπειν, καὶ χρήματα εἰσφέρειν δεῖ, καὶ ἀναγκαῖόν ἐστιν·
ἐπὶ δ' ἡμᾶς αὐτούς, ψήφισμα, εἰσαγγελία, πάραλος· ταῦ-
37 τ' ἐστὶν ἱκανά. ταῦτ' ἦν εὖ φρονούντων ἀνθρώπων, ἐπη-
ρεαζόντων δὲ καὶ διαφθαρέντων τὰ πράγματα, ἃ νῦν
οὗτοι ποιοῦσι. καὶ τὸ μὲν τούτων τινὰς εἶναι τοιούτους δεινὸν ὄν, οὐ
δεινόν ἐστιν· ἀλλ' ὑμεῖς οἱ καθήμενοι οὕτως ἤδη διάκεισθε,
ὥστε, ἂν μέν τις εἴπῃ παρελθὼν ὅτι Διοπείθης ἐστὶ πάντων
38 τῶν κακῶν αἴτιος, ἢ Χάρης, ἢ Ἀριστοφῶν, ἢ ὃν ἂν εἴπῃ τις τῶν
πολιτῶν, εὐθέως φατὲ καὶ θορυβεῖτε ὡς ὀρθῶς λέγει· ἂν δὲ
παρελθὼν λέγῃ τις τἀληθῆ, ὅτι ληρεῖτε, ὦ ἄνδρες Ἀθηναῖ-
οι, πάντων τῶν κακῶν καὶ τῶν πραγμάτων τούτων Φί-
λιππός ἐστιν αἴτιος· εἰ γὰρ ἐκεῖνος ἦγεν ἡσυχίαν, οὐδὲν ἂν
39 ἦν πρᾶγμα τῇ πόλει. ὡς μὲν οὐκ ἀληθῆ ταῦτ' ἐστίν, οὐκ
ἔχετε ἀντιλέγειν. ἄχθεσθαι δέ μοι δοκεῖτε, καὶ ὥσπερ ἀπολ-
λύναι τι νομίζειν. αἴτιον δὲ τούτων, καί μοι πρὸς θεῶν, ὅταν
ἕνεκα τοῦ βελτίστου λέγω, ἔστω παρρησία· παρεσκευάκασιν
ὑμᾶς ἐκ πολλοῦ τῶν πολιτευομένων ἔνιοι, ἐν μὲν ταῖς ἐκ-
40 κλησίαις, φοβεροὺς καὶ χαλεπούς· ἐν δὲ ταῖς παρασκευαῖς
ταῖς τοῦ πολέμου, ῥαθύμους καὶ εὐκαταφρονήτους. ἂν μὲν οὖν
τὸν αἴτιον εἴπῃ τις, ὃν ἴστε ὅτι λήψεσθε παρ' ὑμῖν αὐτοῖς, φα-
τὲ καὶ βούλεσθε· ἂν δὲ τοιοῦτον λέγῃ τις, ὃν "κρατήσαντας "κρατήσαντας. πτ. β. ε. η.
τοῖς ὅπλοις, ἄλλως δὲ οὐκ "ἔστι κολάσαι, οὐκ ἔχετε οἶμαι τί "ἔσαι. θ.
41 ποιήσετε· ἐξελεγχόμενοι δέ, ἄχθεσθε. ἐχρῆν "δέ, ὦ ἄνδρες Ἀ- "γὰρ. θ. ε. η.
θηναῖοι, τοὐναντίον ἢ νῦν, ἅπαντας τοὺς πολιτευομένους,
ἐν μὲν ταῖς ἐκκλησίαις, πράους καὶ φιλανθρώπους ὑμᾶς
ἐθίζειν εἶναι· πρὸς γὰρ ὑμᾶς αὐτούς, καὶ τοὺς συμμάχους, ἐν
ταύταις ἐστὶ τὰ δίκαια· ἐν δὲ ταῖς παρασκευαῖς ταῖς τοῦ
42 πολέμου, φοβεροὺς καὶ χαλεποὺς ἐπιδεικνύναι· πρὸς γὰρ
τοὺς ἐχθροὺς καὶ τοὺς ἀντιπάλους, ἐν ἐκείναις ἐσθ' ὁ ἀγών.
νῦν δὲ δημαγωγοῦντες ὑμᾶς καὶ χαριζόμενοι καθ' ὑ-
περβολήν, οὕτω διατεθείκασιν, ὥστ' ἐν μὲν ταῖς ἐκ-
κλησίαις, τρυφᾶν καὶ κολακεύεσθαι πάντα πρὸς ἡδονὴν
43 ἀκούοντας· ἐν δὲ τοῖς πράγμασι καὶ τοῖς γιγνομένοις, περὶ

τῶν

36 Ὑπερβολὴ μανίας) Καὶ γὰρ τῆς μεγίστης ἀνοίας ἔργον τό, κατὰ τῶν ἰδίων πολιτῶν στρατιώτας τρέφειν.

Εἰσαγγελία) Ἐμφανισμός, μήνυσις. ἔστι δὲ ἡ εἰσαγγελία, δημοσίου δίκης ὄνομα. εἰσαγγελία δὲ καὶ γραφὴ διαφέρει· εἰσαγγελία μὲν γὰρ ἐπὶ τῶν μεγάλων καὶ δημοσίων ἀδικημάτων γίνεται· γραφὴ δέ, καὶ ἐπὶ μικρῶν.

Πάραλος) Ἡ σαλαμινία· αὗται ἱεραὶ τριήρεις δημόσιαι· ἐπὶ γὰρ τὰς τῆς πόλεως χρείας πεμπόμεναι καὶ τριακοντοῦσαι. καὶ πάραλοι, οἵ τε ἐν τῇ νηὶ τῇ παράλῳ πλέοντες, καὶ οἱ τὴν παράλιον τῆς ἀττικῆς κατοικοῦντες.

37 Παρελθών) Ἀντὶ τοῦ εἰσελθών. σημείωσαι δὲ ὅτι τὸ παρελθεῖν τὸ αὐτίκα δηλοῖ τάχους, Θουκυδίδης· τὸ δὲ ἐπελθεῖν, τό, ἀναβαινόμενον, χρόνῳ δέ, τοῦτο διαπράξασθαι· καὶ παρελθεῖν ἀντὶ τοῦ νικῆσαι, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος.

38 Θορυβεῖτε) Ἀντὶ τοῦ συντίθεσθε αὐτῷ ὡς ἀληθεύοντι.

39 Αἴτιον δὲ) Ὑπερβατὸν κατὰ παρένθεσιν.

Παρεσκευάκασιν) Προσώπου ὑποβολὴ τὸ σχῆμα.

42 Δημαγωγοῦντες) Δημαγωγῶ, στρατηγῶ, ἄρχω τοῦ δήμου· ἐξ οὗ καὶ δημαγωγός, ὁ τοῦ δήμου ἄρχων· καὶ δημαγωγικός, ἀντὶ τοῦ στρατηγικός·
" καὶ δημαγωγία, παρ' Ἀριστοφάνει· ἡ
" δημαγωγία γὰρ οὐ πρὸς μουσικοῦ ἐστιν
" ἀνδρός, οὐδὲ χρηστοῦ τοὺς τρόπους,
" ἀλλ' εἰς ἀμαθῆ καὶ βδελυρόν.

Χαριζόμενοι) Χαρίζεσθαι, κοινῶς μέν, ὡς οἱ πολλοί· ἰδίως δέ, ἐπὶ ἀφροδισίων· καὶ χαριζόμενοι, χάριν τιθέμενοι.

τὰ ὑμέτερα ὑφ᾽ ἑαυτῷ ποιεῖται· καὶ οὐ μόνον τὴν ἔξω ἀγορᾶς χώραν σφετερίζεται, ἀλλὰ καὶ πρὸς Καρδιανούς, οἳ οἰκοῦσιν ἔξω ἀγορᾶς, ἐπιστέλλει ἐν 48
τῇ νῦν ἐπιστολῇ, ὡς δεῖ ὑμᾶς διαδικάζεσθαι πρὸς Καρδιανοὺς τοὺς οἰκοῦντας ἐν τῇ ὑμετέρᾳ, εἴ τι πρὸς αὐτοὺς διαφέρεσθε. διαφέρονται δὲ πρὸς ὑμᾶς, σκέψασθε εἰ περὶ μικροῦ. ἑαυτῶν φασὶ τὴν χώραν οὖσαν οἰκεῖν, καὶ οὐχ ὑμετέραν εἶναι· καὶ τὰ μὲν ὑμέτερα εἶναι ἐγκλήματά φασιν, ὡς ἐν ἀλλοτρίᾳ· τὰ δὲ αὐτῶν, κλήματα, ὡς ἐν οἰκείᾳ· καὶ ταῦτα ὑμέτερον πολίτην γράψαι ἐν ψηφίσματι Κάλλιππον Παιανιέα. καὶ τοῦτό γε ἀληθὲς λέγουσιν· ἔγραψε γάρ· καὶ ἐμοῦ γε αὐτὸν γραψαμένου παρανόμων γραφήν, ὑμεῖς ἀπεψηφίσασθε. τοιγάρτοι ἀμφισβητήσιμον ὑμῖν τὴν χώραν κατεσκεύακεν. ὁπότε 50
δὲ περὶ τούτου τολμήσετε πρὸς Καρδιανοὺς διαδικάζεσθαι, εἴθ᾽ ὑμετέρα ἐστὶν εἴτ᾽ ἐκείνων ἡ χώρα, διὰ τί οὐ καὶ πρὸς τοὺς ἄλλους Χερρονησίτας ὁ αὐτὸς δίκαιος ἐστί. καὶ οὕτως ὑβριστικῶς ὑμῖν κέχρηται, ὥστε φησίν, ἐὰν μὴ θέλωσι διαδικάζεσθαι οἱ Καρδιανοί, αὐτὸς ἀναγκάσειν, ὡς ὑμῶν γε οὐκ ἂν δυναμένων 51
οὐδὲ ἀναγκάσαι Καρδιανοὺς τὰ δίκαια πρὸς ὑμᾶς ποιεῖσθαι. ἐπειδὴ δὲ ὑμεῖς οὐ δύνασθε, αὐτός φησι τοῦτο ἀναγκάσειν αὐτοὺς ποιῆσαι. ἆρ᾽ οὐ μεγάλα ὑμᾶς φαίνεται εὐεργετῶν; καὶ ταύτην τὴν ἐπιστολήν τινες εὖ ἔφασαν γεγράφθαι, οἳ πολὺ ἂν δικαιότερον ὑφ᾽ ὑμῶν, ἢ Φίλιππος μισοῖντο· ἐκεῖνος μὲν γὰρ 52
ἑαυτῷ κτώμενος δόξαν καὶ μεγάλα ἀγαθά, ἅπαντα καθ᾽ ὑμῶν πράττει. ὅσοι δὲ Ἀθηναῖοι ὄντες, μὴ τῇ πατρίδι, ἀλλὰ Φιλίππῳ εὔνοιαν ἐνδείκνυνται, προσήκει αὐτοὺς ὑφ᾽ ὑμῶν κακοὺς κακῶς ἀπολωλέναι, εἴπερ ὑμεῖς τὸν ἐγκέφαλον ἐν τοῖς κροτάφοις, καὶ μὴ ἐν ταῖς πτέρναις καταπεπατημένον 53
φορεῖτε. ὑπόλοιπόν μοι ἐστὶν ἔτι, πρὸς ταύτην τὴν ἐπιστολὴν εὖ ἔχουσαν, καὶ τοὺς λόγους τῶν πρέσβεων, γράψαι τὴν ἀπόκρισιν, ἣν ἡγοῦμαι δικαίαν τε εἶναι καὶ συμφέρουσαν ὑμῖν.

[Left margin: ἡμέτερα. ε. — ἑαυτῷ. θ. — κατοικοῦντας ἐν τῇ ἡμετέρᾳ. ε. θ. — ἡμᾶς. ε. — μικρῶν. ε. θ. — ε. θ. — ἀληθῶς. ε. — ὑμῶν. ε. θ. — κατεσκεύακεν. — τούτων. θ. — ἐστι. β. ε. θ. — ὑμ. β. ε. θ. — δόξαντα μεγάλ. θ. — ἄλλα. ε. θ.]

[Right margin: Ἐγκλήματα) Κτῆμα ἐγκλήματος διαφέρει· κτῆμα μὲν γάρ ἐστιν, ὅταν τις ἐν οἰκείᾳ γῇ κτήσηταί τι χωρίον· ἔγκλημα δέ, ὅταν ἐν ἀλλοτρίᾳ γῇ τις κτήσηταί τι χωρίον· ὥσπερ καὶ Φωκεῖς καὶ Θετταλοὶ ἐδικάζοντο περὶ τοῦ ἱεροῦ· καὶ Καρδιανοί, ὅτι ἡμετέρα ἐστὶν ἡ γῆ. 49 — Οἳ πολύ) Κατὰ χλευασίαν ἀναγνωστέον. 52 — Ἐκεῖνος μὲν γάρ) Ἐντεῦθεν οἱ ἐπίλογοι.]

## ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ, ΛΟΓΟΥ ΤΟΥ ΠΕΡΙ τῶν ἐν Χερρονήσῳ.

Ὁ λόγος οὗτος ὑπὲρ Διοπείθους εἴρηται, καὶ ὧν ἐκεῖνος παρὰ Ἀθηναίοις κατηγόρητο. ἣν μὲν γὰρ Χερρόνησος ἡ πρὸς Θράκην, τῶν Ἀθηναίων κτῆμα ἀρχαῖον. εἰς δὲ ταύτην ἀπέστειλαν κατὰ τοὺς Φιλίππου καιρούς, κληρούχους ἑαυτῶν. ἔθος δὲ ἦν τοῦτο παλαιὸν τοῖς Ἀθηναίοις, ὅσοι πένητες ἦσαν αὐτῶν, καὶ ἀκλήμονες οἶκοι, τούτους πέμπειν ἐποίκους εἰς τὰς ἔξω πόλεις τὰς ἑαυτῶν· καὶ ἐλάμβανον πεμπόμενοι, ὅπλα τε ἐκ τοῦ δημοσίου, καὶ ἐφόδιον. καὶ τὴν τοίνυν τοῦτο γέγονε· καὶ πεπόμφασιν ἐποίκους εἰς τὴν Χερρόνησον, στρατηγὸν αὐτοῖς δόντες Διοπείθην. οἱ μὲν οὖν ἄλλοι Χερρονησῖται τοὺς ἐπελθόντας ἐδέξαντο, καὶ μετέδωκαν αὐτοῖς καὶ οἰκιῶν καὶ γῆς· Καρδιανοὶ δὲ οὐκ ἐδέξαντο, λέγοντες ἰδίαν χώραν οἰκεῖν, καὶ οὐκ Ἀθηναίων. ἐντεῦθεν οὖν Διοπείθης ἐπολέμει Καρδιανοῖς. οἱ δὲ παρὰ Φίλιππον καταφεύγουσι· καὶ ὅς, ἐπιστέλλει τοῖς Ἀθηναίοις μὴ βιάζεσθαι Καρδιανούς, ὡς αὐτῷ προσήκοντας· ἀλλὰ δικάσασθαι πρὸς αὐτούς, εἴ τι φασὶν ἠδικῆσθαι. ὡς δὲ οὐκ ἤκουον τούτων οἱ Ἀθηναῖοι, βοήθειαν τοῖς Καρδιανοῖς ἔπεμψεν. ἐφ᾽ οἷς ἀγανακτήσας ὁ Διοπείθης, τοῦ Φιλίππου περὶ τὴν μεσόγειαν τὴν ἄνω Θράκην πολεμοῦντος πρὸς τὸν Ὀδρυσῶν βασιλέα, τὴν παράλιον Θράκην ὑπήκοον οὖσαν τοῦ Μακεδόνος, κατέδραμε καὶ ἐπόρθησε· καὶ ἔφθη πρὶν Φίλιππον ἐπανελθεῖν, ἀναχωρήσας ἐς τὴν Χερρόνησον, καὶ ἐν ἀσφαλείᾳ γενόμενος. διόπερ ὁ Φίλιππος οὐ δυνηθεὶς ὅπλοις αὐτὸν ἀμύνασθαι, πέπομφεν ἐπιστολὴν πρὸς τοὺς Ἀθηναίους, κατηγορῶν τοῦ στρατηγοῦ, καὶ λέγων αὐτὸν παραβεβηκέναι τὴν εἰρήνην ἀντικρυς. καὶ οἱ φιλιππίζοντες τῶν ῥητόρων, κατατρέχουσι τοῦ Διοπείθους, καὶ κολάζειν ἀξιοῦσιν αὐτόν· πρὸς οὓς ὁ Δημοσθένης ἐναντιούμενος, δίχα ὑπὲρ Διοπείθους ἵσταται· οὔτε γὰρ ἄδικά φησιν αὐτὸν πεποιηκέναι· Φιλίππου γὰρ πολὺ πρότερον παραβαίνοντος τὴν εἰρήνην, καὶ ἀδικοῦντος τὴν τῶν Ἀθηναίων πόλιν, εἰκότως καὶ τοῦτον ἔργα πολέμου διαπράττεσθαι· οὔτε συμφέρειν λέγει τοῖς Ἀθηναίοις κολάσαι τὸν στρατηγόν, καὶ διαλῦσαι τὴν ὑπ᾽ ἐκείνου δύναμιν, ἥτις νῦν ἀποκρούεται Χερρονήσου Φίλιππον. τὸ δὲ ὅλον, ἐπὶ πόλεμον παρακαλεῖ· καὶ τοῦ Φιλίππου ποιεῖται πολλὴν κατηγορίαν, ὡς ἀδίκου καὶ παρασπόνδου, καὶ τοῖς Ἀθηναίοις καὶ τοῖς Ἕλλησιν ἐπιβουλεύοντος.

[Right margin: ἀποίκους. ε. — χερρονησιῶται. ε. — ἐπολέμησε. ε. — ὅς. ε. — ἀδικεῖσθαι. β. ε. — ἐπόρθησεν ἀμφότερον, — πρίν. β. γ. — ἀσφαλεῖ. ε.]



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΔΗΜΟΣΘΕΝΟΥΣ, ΠΕΡΙ ΤΩΝ ἐν Χερρονήσῳ.

1 ΕΔΕΙ μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς
λέγοντας ἅπαντας ἐν ὑμῖν, μήτε
πρὸς ἔχθραν ποιεῖσθαι λόγον μηδένα, μήτε πρὸς χάριν· ἀλλ' ὃ βέλτιστον ἕκαστος ἡγεῖτο, τοῦτ' ἀποφαίνεσθαι,
2 ἄλλως τε καὶ περὶ κοινῶν πραγμάτων καὶ μεγάλων ὑ-
μῶν βουλευομένων· ἐπειδὴ δ' ἔνιοι, τὰ μὲν φιλονεικίᾳ, τὰ
δ' ἥτινι δήποτ' αἰτίᾳ προάγονται λέγειν, ὑμᾶς, ὦ ἄνδρες
Ἀθηναῖοι, τοὺς πολλοὺς δεῖ πάντα τἆλλ' ἀφέντας, ἃ τῇ
πόλει νομίζετε συμφέρειν, ταῦτα καὶ ψηφίζεσθαι καὶ πράτ-
3 τειν. ἡ μὲν οὖν σπουδὴ, περὶ τῶν ἐν Χερρονήσῳ πραγμά-
των ἐστὶ καὶ τῆς στρατείας, ἣν ἑνδέκατον μῆνα τουτονὶ Φί-
λιππος ἐν Θρᾴκῃ ποιεῖται· τῶν δὲ λόγων οἱ πλεῖστοι, περὶ
ὧν Διοπείθης πράττει καὶ μέλλει ποιεῖν, εἴρηνται. ἐμοὶ δὲ, ὅσα
μέν τις αἰτιᾶταί τινα τούτων, οὓς κατὰ τοὺς νόμους ἐφ' ὑμῖν
4 ἐστὶν ὅταν βούλησθε κολάζειν, κἂν ἤδη δοκῇ, κἂν μικρὸν
ἐπίσχωσι, περὶ αὐτῶν σκοπεῖν ἐξεῖναι ἡγοῦμαι. καὶ οὐ πάνυ
δεῖ περὶ τούτων, οὔτ' ἐμὲ, οὔτ' ἄλλον οὐδένα διϊσχυρίζεσθαι·
ὅσα δ' ἐχθρὸς ὑπάρχων τῇ πόλει Φίλιππος, καὶ δυνάμει
πολλῇ περὶ Ἑλλήσποντον ὢν, πειρᾶται προλαβεῖν, κἂν ἅ-
5 παξ ὑστερίσωμεν, οὐκ ἐξέζομεν σῶσαι· περὶ τούτων δ' οἴ-
μαι τὴν ταχίστην συμφέρειν καὶ βεβουλεῦσθαι καὶ παρε-
σκευάσθαι, καὶ μὴ τοῖς περὶ τῶν ἄλλων θορύβοις καὶ ταῖς
κατηγορίαις ἀπὸ τούτων ἀποδρᾶναι. πολλὰ δὲ θαυμά-
ζων τῶν εἰωθότων λέγεσθαι παρ' ὑμῖν, οὐδενὸς ἧττον, ὦ ἄν-
6 δρες Ἀθηναῖοι, τεθαύμακα, ὃ καὶ πρῴην τινὸς ἤκουσα εἰ-
πόντος ἐν τῇ βουλῇ, ὡς ἄρα δεῖ τὸν συμβουλεύοντα, ἢ πολε-
μεῖν ἁπλῶς, ἢ ἄγειν τὴν εἰρήνην συμβουλεύειν. ἔστι δὲ, εἰ
μὲν ἡσυχίαν Φίλιππος ἄγει, καὶ μήτε τῶν ἡμετέρων ἔχει
παρὰ τὴν εἰρήνην μηδὲν, μήτε συσκευάζεται πάντας
7 ἀνθρώπους ἐφ' ὑμᾶς, οὐδὲν δεῖ λέγειν, ἀλλ' ἁπλῶς εἰ-
ρήνην ἀκτέον. καὶ τά γε ἀφ' ὑμῶν, ἕτοιμα ὑπάρχοντα ὁρῶ. εἰ
δ', ἃ μὲν ἡμεῖς ὠμόσαμεν, καὶ ἐφ' οἷς τὴν εἰρήνην ἐποιη-
σάμεθα, ἔστιν ἰδεῖν, καὶ γεγραμμένα κεῖται· φαίνεται δ' ἀ-
π' ἀρχῆς ὁ Φίλιππος, πρὶν Διοπείθην ἐκπλεῦσαι καὶ
8 τοὺς κληρούχους, οὓς νῦν αἰτιῶνται πεποιηκέναι τὸν πόλεμον,
πολλὰ μὲν τῶν ἡμετέρων ἀδίκως εἰληφὼς, ὑπὲρ ὧν ψη-

## ΣΧΟΛΙΑ.

ΤΙΝΕΣ ἐνόμισαν τὸν λόγον δικανικοῦ εἴδους, λέγοντες, ὅτι ἀπολογίαν ἔχει Διοπείθους, καὶ κατηγορίαν Φιλίππου· ὁ δὲ Ἐπιφάνιος ὁ τεχνικὸς, συμβουλευτικοῦ αὐτὸν εἴδους λέγει εἶναι· ἐπειδὴ, φησὶ, τῆς κατηγορίας πλείονα τὴν συμβουλὴν ἔχει. τὸ δὲ ἀληθέστερον ἐστὶν οὕτως. εἰ μὲν παρεστηκὼς ὅ, τε κατηγορούμενος καὶ ὁ διώκων, καλῶς ἂν ὡς ἐν δικαστηρίῳ καὶ κρίσεως αὐτῶν ὄντων, ἐλέγομεν εἶναι τὸν λόγον εἴδους δικανικοῦ· ἀλλ' ἐπειδὴ οὔτε δικαστήριον ἦν, οὔτε Διοπείθης παρῆν, οὔτε Φίλιππος, ἀλλ' ὁ ῥήτωρ προσκοπῶν οὐ τὴν ἀπολογίαν Διοπείθους, οὔτε τὴν κατηγορίαν Φιλίππου, ἀλλὰ τῆς πόλεως τὸ συμφέρον συνεβούλευσε, καλῶς ἂν τὸν λόγον εἴποιμεν εἴ-
1 δους εἶναι συμβουλευτικοῦ. Ἔδει
μὲν) Τὸ προοίμιον ἀπὸ εὐνοίας, ἀπὸ συστάσεως τοῦ οἰκείου προσώπου· ἐπειδὴ γὰρ τοῦ μὲν κατηγορεῖ, τοῦ δὲ ὑπεραπολογεῖται, τὴν ὑποψίαν ἀποκρούεται τῆς τε ἔχθρας καὶ τῆς εὐνοίας, διὰ τῆς πρὸς ἑτέρους εἰσηγήσεως. Ἄλλως. Τὸ προοίμιον ἐξ ἐπιτιμήσεως τῶν κατὰ Διοπείθους λεγόντων. εὔνοιαν δὲ τὸ προοίμιον ἀπεργάζεται· δύο δὲ ὄντων εὐνοίας τόπων, ἢ ἑαυτὸν συστῆσαι, ἢ τὸν ἀντίδικον διαβάλλειν, ἀπὸ κοινότητος αὐτὸ ἔλαβε. διὰ δὲ τοῦ λέγειν, ἄλλως τε καὶ περὶ τῶν κοινῶν, προ-
2 σοχὴν κινεῖ τοῖς ἀκούουσιν. Ἄλ-
λως τε) Κατασκευή. Ἐπειδὴ δ' ἔνιοι) Ἔνιοι συμπέρασμα· ὁ δὲ Ἑρμογένης ἀνταπόδοσιν αὐτὸ λέ-
3 γει. Ἡ μὲν οὖν σπουδὴ) Δεύτερον
προοίμιον ἐκ διαβολῆς τῶν φιλιππιζόντων· ἔστι δὲ ἐκ τῶν πραγμάτων. Διοπείθης) Οὗτος ὁ Διοπείθης πατὴρ ἦν Μενάνδρου τοῦ ποιητοῦ κωμικοῦ· ὁ δὲ Μένανδρος φίλος ἦν Δημοσθένους, δι' ὃν ὑπὲρ Διοπείθους βουλεύεται. Ἐγὼ δ' ὅσα)
4 Προκατασκευή. Περὶ τούτων)
5 Συμπέρασμα. Τὴν ταχίστην)
Ἀντὶ τοῦ ταχέως. Πολλὰ δὲ θαυμάζων) Εἰσβολὴ ἐπὶ τὸ συμφέρον
6 κεφάλαιον. Συσκευάζεται (Συσκευάζεσθαι σημαίνει τὸ ἐπιφέρεσθαι· τὸ συσκευάζεσθαι, τὸ παρὰ τὴν ὁδὸν εὐτρεπίζεσθαι· συσκευάζειν δὲ, τὸ λόγῳ ἐπιβουλεύειν· ἐξ οὗ καὶ συσκευή, ἡ ἐπιβουλή.
7 Ἕτοιμα) Ἐμπαράσκευα. Κληρούχοις) Γεωργοῖς παροίκοις· κληροῦχοι γὰρ καλοῦνται καὶ οἱ ἀποστελλόμενοι παροι-

ἐπειδὴ δὲ .η.

λόγος λέγοιτο συμβουλευτικός .η.

ρίσμαθ' ὑμέτερα ἐκκαλοῦντα κύρια ταυτί· πάντα δὲ τὸν ἄλλον χρόνον περιεχὼς τὰ τῶν ἄλλων Ἑλλήνων καὶ βαρβάρων λαμβάνων, καὶ ἐφ' ἡμᾶς συσκευαζόμενος, εἰ τοῦτο λέγουσιν, ὡς πολεμεῖν ἁπλῶς, ἢ ἄγειν εἰρήνην δεῖ, οὐ 9
γὰρ αἵρεσίς ἐστιν ἡμῖν τοῦ πράγματος, ἀλλ' ὑπολείπεται τὸ δικαιότατον καὶ ἀναγκαιότατον τῶν ἔργων, ὃ παραβαίνουσιν ἑκόντες οὗτοι. τί οὖν ἐστὶ τοῦτο. ἀμύνεσθαι τὸν πρότερον πολεμοῦνθ' ἡμῖν. πλὴν εἰ μὴ τοῦτο λέγουσι νὴ Δία, ἕως ἂν ἀπέχηται τῆς Ἀττικῆς, καὶ τοῦ Πειραιῶς ὁ Φίλιππος, οὔτ' ἀδικεῖ 10
τὴν πόλιν, οὔτε ποιεῖ τὸν πόλεμον. εἰ δ' ἐκ τούτων τὰ δίκαια ἵστανται, καὶ τὴν εἰρήνην ταύτην ὁρίζονται, ὅτι μὲν δήπουθεν οὐχ ὅσια, οὔτ' ἀνεκτὰ λέγουσιν, οὐδ' ὑμῖν ἀσφαλῆ, δῆλόν ἐστιν ἅπασιν. οὐ μὴν ἀλλ' ἐναντία συμβαίνει ταῖς κατηγορίαις ἃς Διοπείθους κατηγοροῦσι, καὶ αὐτὰ ταῦτα λέγειν 11
αὐτούς. τί γὰρ δήποτε, τῷ μὲν Φιλίππῳ πάντα τἄλλα ποιεῖν ἐξουσίαν δώσομεν, ἂν τῆς Ἀττικῆς ἀπέχηται· τῷ Διοπείθει δὲ οὐδὲ βοηθεῖν τοῖς Θρᾳξὶν ἐξέσται, ἢ πόλεμον ποιεῖν αὐτὸν φήσομεν; ἀλλὰ νὴ Δία, ταῦτα μὲν ἐξελέγχονται, δεινὰ δὲ ποιοῦσιν οἱ ξένοι περικόπτοντες τὰ ἐν Ἑλλησπόντῳ, καὶ Διοπείθης 12
ἀδικεῖ κατάγων τὰ πλοῖα, καὶ δεῖ μὴ ἐπιτρέπειν αὐτῷ. ἔστω, γιγνέσθω ταῦτα, οὐδὲν ἀντιλέγω. οἶμαι μέντοι δεῖν, εἴπερ ὡς ἀληθῶς ἐπὶ πᾶσι δικαίοις ταῦτα συμβουλεύουσιν, ὥσπερ τὴν ὑπάρχουσαν τῇ πόλει δύναμιν καταλῦσαι ζητοῦσι, τὸν ἐφεστηκότα καὶ πορίζοντα χρήματα ταύτῃ διαβάλλοντες 13
ἐν ὑμῖν, οὕτω τὴν Φιλίππου δύναμιν δεῖξαι διαλυθησομένην, ἂν ὑμεῖς ταῦτα πεισθῆτε. εἰ δὲ μή, σκοπεῖτε ὅτι οὐδὲν ἄλλο ποιοῦσιν, ἢ καθιστᾶσι τὴν πόλιν εἰς τὸν αὐτὸν τρόπον, δι' οὗ τὰ προήκοντα πράγματα ἅπαντ' ἀπόλωλεν. ἴστε γὰρ δήπου τοῦθ', ὅτι οὐδενὶ τῶν ἁπάντων πλέον κεκράτη- 14
κε τῆς πόλεως Φίλιππος, ἢ τῷ πρότερος πρὸς τοῖς πράγμασι γίγνεσθαι. ὁ μὲν γὰρ ἔχων δύναμιν συνεστηκυῖαν ἀεὶ περὶ αὑτόν, καὶ προειδὼς ἃ βούλεται πρᾶξαι, ἐξαίφνης ἐφ' οὓς ἂν αὐτῷ δόξῃ, πάρεστιν· ἡμεῖς δ' ἐπειδὰν πυθώμεθά τι γιγνόμενον, τηνικαῦτα θορυβούμεθα, καὶ παρασκευαζό- 15
μεθα. εἶτ' οἶμαι συμβαίνει, τῷ μὲν, ἐφ' ἃ ἂν ἔλθῃ, ταῦτ' ἔχειν κατὰ πολλὴν ἡσυχίαν· ἡμῖν δ' ὑστερίζειν, καὶ ὅσα ἂν δαπανήσωμεν, ἅπαντα μάτην ἀνηλωκέναι· καὶ τὴν μὲν ἔχθραν καὶ τὸ βούλεσθαι κωλύειν ἐνδεδεῖχθαι· ὑστερίζοντας δὲ τῶν ἔργων, αἰσχύνην προσοφλισκάνειν. μὴ τοίνυν ἀγνοεῖτε, ὦ ἄνδρες 16
Ἀθηναῖοι, ὅτι καὶ νῦν τἄλλα μέν ἐστι λόγοι ταῦτα καὶ προφάσεις. πράττεται δὲ τοῦτο καὶ κατασκευάζεται, ὅπως, ὑμῶν μὲν οἴκοι μενόντων, ἔξω δὲ μηδεμιᾶς οὔσης τῇ πόλει δυνάμεως, μετὰ πλείστης ἡσυχίας πάνθ' ὅσα βούλεται Φίλιππος διοικήσεται. θεωρεῖτε γὰρ τὸ παρὸν πρῶτον, ὃ γίγνεται. νυνὶ 17
δύναμιν μεγάλην ἐκεῖνος ἔχων, ἐν Θρᾴκῃ στρατεύει, καὶ μεταπέμπεται πολλὴν ὥς φασιν οἱ παρόντες, ἀπὸ Μακεδονίας, καὶ Θετταλίας. ἐὰν οὖν περιμείνας τοὺς ἐτησίας ἐπὶ Βυζάντιον ἐλθὼν πολιορκῇ, πρῶτον μὲν οἴεσθε τοὺς Βυζαντίους μενεῖν ἐπὶ τῆς αὐτῆς ἀνοίας ὥσπερ νῦν, καὶ οὔτε παρακαλέσειν 18
ὑμᾶς, οὔτε βοηθεῖν αὐτοῖς ἀξιώσειν; ἐγὼ μὲν οὐκ οἶμαι. ἀλλὰ καὶ εἴ τισι μᾶλλον ἀπιστοῦσιν ἢ ἡμῖν, καὶ τούτους εἰσφρήσεσθαι μᾶλλον ἢ ἐκείνῳ παραδώσειν τὴν πόλιν, ἄν περ μὴ φθάσῃ λαβὼν αὐτούς. οὐκοῦν, ἡμῶν μὲν μὴ δυνα-

πάροικοι, καὶ ὁ κληροῦχοι καὶ μείζων αὐτοῖς τῆς γῆν. οὐκ εἶπε δὲ στρατιώτας τοὺς μετὰ Διοπείθους, ἀλλὰ τοὺς κληρούχους, οἵτινες φρηνικοί εἰσι· κληροῦχοι ἐκαλοῦντο οὓς Ἀθηναῖοι ἔπεμπον εἰς τὰς πόλεις, ἃς ἐλάμβανον, ἑκάστοις διανέμοντας.

Ἀπέχηται) Ἥσυχον πολέμου, οὐχ ἅπτηται. 10

Ἐτησίας) Ἐτήσιος ὁ κατ' ἔτος. καὶ ἐτησίαι, οἱ ἄνεμοι κατ' ἔτος πνέοντες, οὓς ἐτησίας Δημοσθένης φησίν. 17

Εἰσφρήσεσθαι) Πολὺ τοὔνομα παρὰ τοῖς ῥήτορσιν, αἰτία τοῦ εἰσάξειν καὶ εἰσδέξεσθαι. 18

Φθάσῃ) Προλάβῃ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μένων "ἐνθένδ' ἀναπλεῦσαι, ἐκεῖ δὲ μηδεμιᾶς ὑπαρχού-
19 σης ἑτοίμου βοηθείας, οὐδὲν "αὐτοὺς ἀπολωλέναι κωλύσει.
νὴ Δία· κακοδαιμονοῦσι γὰρ ἄνθρωποι καὶ ὑπερβάλλουσιν
ἀνοίᾳ; πολλοῦ γε. ἀλλ' ὅμως αὐτοὺς δεῖ σῶς εἶναι· συμφέρει γὰρ
τῇ πόλει. καὶ μὴν οὐδὲ ἐκεῖνό γε δῆλόν ἐστιν ἡμῖν, ὡς ἐπὶ
χερρόνησον οὐχ ἥξει· ἀλλ' εἴγε ἐκ τῆς ἐπιστολῆς δεῖ σκο-
20 πεῖν, "ἧς ἔπεμψε πρὸς "ὑμᾶς, ἀμύνεσθαί φησι τοὺς ἐν
χερρονήσῳ. ἂν μὲν τοίνυν ᾖ τὸ συνεστηκὸς τοῦτο στράτευμα,
καὶ τῇ χώρᾳ βοηθῆσαι δυνήσεται, καὶ τῶν ἐκείνου τι κακῶς
ποιῆσαι. εἰ δ' ἅπαξ διαφθαρήσεται καὶ διαλυθήσεται, τί
ποιήσομεν, ἂν ἐπὶ χερρόνησον "ἴῃ. κρινοῦμεν "διοπείθην νὴ
21 Δία; καὶ τί τὰ πράγματα ἔσται βελτίω. ἀλλ' ἐνθένδε βοη-
θήσομεν "αὐτοί; ἂν δ' ὑπὸ τῶν πνευμάτων μὴ δυνώμε-
θα, ἀλλὰ μὰ Δί' οὐχ ἥξει; καὶ τίς ἐγγυητής ἐστι τούτου; ἆρ' ὁ-
ρᾶτε καὶ λογίζεσθε, ὦ ἄνδρες ἀθηναῖοι, τὴν ἐπιοῦσαν ὥ-
ραν τοῦ ἔτους, εἰς ἣν ἐρημόν τινες οἴονται δεῖν τὸν ἑλλήσποντον
22 ὑμῶν ποιῆσαι καὶ παραδοῦναι Φιλίππῳ; τί δ' ἂν ἀπελ-
θὼν ἐκ Θρᾴκης, καὶ μηδὲ προσελθὼν χερρονήσῳ, μηδὲ
βυζαντίῳ· καὶ γὰρ ταῦτα λογίζεσθε· ἐπὶ χαλκίδα, ἢ μέ-
γαρα "ἥκῃ, τὸν αὐτὸν τρόπον ὅνπερ πρῴην ἐπ' ὠρεόν, πό-
τερον κρεῖττον ἐνθάδε αὐτὸν ἀμύνεσθαι, καὶ προσελθεῖν τὸν
23 πόλεμον πρὸς τὴν ἀττικὴν ἐᾶσαι, ἢ κατασκευάζειν ἐκεῖ
τινὰ ἀσχολίαν αὐτῷ· ἐγὼ μὲν οἶμαι τοῦτο. ταῦτα τοίνυν ἅ-
παντας εἰδότας καὶ λογιζομένους, χρὴ μὰ Δί', οὐχ ἣν διο-
πείθης πειρᾶται τῇ πόλει δύναμιν "κατασκευάζειν, ταύ-
την βασκαίνειν καὶ διαλύειν πειρᾶσθαι, ἀλλ' ἑτέραν αὐ-
24 τοὺς προσπαρασκευάζειν καὶ συνευποροῦντας ἐκείνῳ
χρημάτων, καὶ τἄλλα οἰκείως συναγωνιζομένους· εἰ γάρ
τις ἔροιτο φίλιππον, εἰπέ μοι, πότερα βούλοιο τούτους τοὺς
στρατιώτας οὓς διοπείθης νῦν ἔχει τοὺς ὁποίους τινὰς οὖν· οὐ-
δὲν γὰρ ἀντιλέγω· εὐθενεῖν καὶ παρ' ἀθηναίοις εὐδοξεῖν, καὶ
25 πλείους γίγνεσθαι, τῆς πόλεως συναγωνιζομένης, ἢ δια-
βαλλόντων τινῶν καὶ κατηγορούντων διασπασθῆναι καὶ
διαφθαρῆναι; "ταῦτ' ἂν οἶμαι φήσειεν. εἶθ' ἃ φίλιππος ἂν
εὔξαιτο τοῖς θεοῖς, ταῦθ' "ἡμῶν τινὲς ἐνθάδε πράττουσιν;
εἶτα ἔτι ζητεῖτε πόθεν τὰ τῆς πόλεως ἀπόλωλεν ἅπαν-
26 τα; βούλομαι τοίνυν ὑμᾶς μετὰ παρρησίας ἐξετάσαι τὰ πα-
ρόντα πράγματα τῇ πόλει, καὶ σκέψασθαι τί ποιοῦμεν
αὐτοὶ νῦν, καὶ ὅπως χρώμεθα αὐτοῖς. ἡμεῖς οὔτε χρήματα
εἰσφέρειν βουλόμεθα, οὔτε αὐτοὶ στρατεύεσθαι τολμῶμεν,
οὔτε τῶν κοινῶν ἀπέχεσθαι δυνάμεθα, οὔτε τὰς συντάξεις
27 διοπείθει δίδομεν, οὔθ' ὅσα ἂν αὐτὸς αὑτῷ πορίσῃ ἐπαι-
νοῦμεν,

"ἐνθάδ. γ. "αὐτοῖς. ε. γ. "ἣν. ε. κ. β. "ἡμᾶς. ε. θ. θ. "ἴοι θ. "διοπείθη "αὐτοῖς. ε. κ. θ "ἥκειν. κ. "παρασκευάζειν. κ. θ. "ταῦτ' ἂν. β. θ. "ὑμῶν. θ.

20 Ἅπαξ) Ἀντὶ τοῦ δι' ὅλου, ὁλοσχερῶς, παντελῶς. καὶ ἅπαξ ἐλάλησεν ὁ θεός, ἀντὶ τοῦ ἀποφαντικῶς ἢ παντελῶς· τὸ γὰρ ἅπαξ οὐκ ἐπὶ ἀριθμοῦ, ἀλλ' ἐπὶ παντὸς ἐσομένου. εἰσάπαξ, ἀντὶ τοῦ διὰ μιᾶς φορᾶς. καθάπαξ δέ, ἀντὶ τοῦ παντελῶς, συνήθως.
» λέγεται καὶ καθάπαν· καθάπαν γε
» μὴν αὐτοὺς ἐκπλεμμεῖν οὐκ ἔδο-
» ξεν. ἁπαξάπαντα, ἀντὶ τοῦ ἀπὸ μικροῦ ἕως μεγάλου. ἁπαξάπαντες, ἀντὶ τοῦ ὁμοῦ πάντες. καὶ ἁπαξαπλῶς, ἀντὶ τοῦ ὡς εἰπεῖν. σημαίνει δὲ τὸ ἅπαξ, οὐδὲν πλέον προσκείμενον.
21 Ἀλλ' ἐνθένδε βοηθήσομεν) Ἀντιστοχαστικὸν καὶ περὶ μέλλοντος καὶ ἀδήλου πράγματος. Ἂν δ' ὑπὸ τῶν πνευμ.) Ἀντίθεσις στοχαστική. Τούτου) Περὶ μέλλοντος καὶ ἀδήλου πράγματος. Ὥραν τοῦ ἔτους) Τοῦ
22 θέρους. Χαλκίδα) Χαλκίς, πόλις Εὐβοίας. Ὠρεόν) Πόλις καὶ
23 αὕτη τῆς Εὐβοίας. Βασκαίνειν) Οὐ φθονεῖν, ἀλλὰ αἰτιᾶσθαι καὶ μέμφεσθαι καὶ συκοφαντεῖν· δύο γὰρ σημαίνει τὸ βασκαίνειν παρὰ τοῖς παλαιοῖς. οὕτω καὶ δημοσθένης ἐν τῷ ὑπὲρ κτησιφῶντος, καὶ ἐν τοῖς ἑξῆς·
» βάσκανον δὲ καὶ κακόηθες οὐδέν ἐστι πο-
» λίτευμα ἐμόν φησιν, ἀντὶ τοῦ φιλαίτιον καὶ συκοφαντικόν. ὅτι τὸ βάσκανος ἁπλῶς ἐπὶ λοιδορίας τιθέασιν·
» οὐ ψεύδη, καίπερ βάσκανος οὖσα.
24 Εἰ γάρ τις) Ἀποστροφὴ πρὸς Φίλιππον. Εὐθενεῖν) Εὐτυχεῖν καὶ φι-
25 λεῖσθαι παρ' ὑμῶν. Διαβαλλόντων) Διαβάλλειν, τὸ ἐξαπατᾶν καὶ παραλογίζεσθαι, Θουκυδίδης α. καὶ κρατῖνος. καὶ διαβάλλειν τὸ πέλαγος,
» τὸ διαπερᾶν. ἐντεῦθεν ἐνός διαβάλ-
» λειν τὸ ἐν μέσῳ πέλαγος, καὶ λῃστεύειν
» τὰς νήσους. καὶ ἀρριανός, αὐτίκα κε-
» λεύοντα τὴν στρατηγίδα ναῦν δια-
» βάλλειν ἐπιχρώσῃ ἀλεξάνδρῳ
» τὸν ὦξον ποταμόν, ἤγουν διαπερᾶν.

Διασπασθῆναι.) Ἤγουν συντριβῆναι, κατακλασθῆναι.

26 Οὔτε χρήματα) Σημείωσαι, κατὰ κῶλον ἐπαναφορὰ τὸ, οὔτε.

Συντάξεις) Συντάξεις ὁ δημοσθένης ἔλεγεν ἑκάστοις φόρους.

γὰρ τοιούτοις λόγοις ὅταν ἀπαγγελλόντων ἀκούῃ, ὅτι κακῶς ἤκουεν, ὑμεῖς δὲ ἀπεδέχε-
σθε, μεταβάλλειν αὐτὸν τὴν γνώμην, ὅταν ἄπιστος φαίνηται τούτοις, ὧν προῄρηται εὐερ- 27
γέτης εἶναι. ἐκέλευσεν οὖν τοὺς λέγοντας ἐν τῷ δήμῳ, τὴν μὲν εἰρήνην μὴ ἐπιτιμᾶν· οὐ
γὰρ ἄξιον εἶναι εἰρήνην λύειν· εἰ δέ τι μὴ καλῶς γέγραπται ἐν τῇ εἰρήνῃ, τοῦτο ἐπανορθώ-
σασθαι, ὡς ἅπαντα Φιλίππου ποιήσοντος, ὅσα ἂν ὑμεῖς ψηφίσησθε. ἐὰν δὲ, διαβάλ-
λωσι μὲν, αὐτοὶ δὲ μηδὲν γράφωσι, δι' οὗ, ἡ μὲν εἰρήνη ἔσται· παύσεται δὲ ἀπιστούμενος 28
Φίλιππος, μὴ προσέχειν τὸν νοῦν τοῖς τοιούτοις ἀνθρώποις. καὶ τούτους τοὺς λόγους ὑμεῖς
ἀκούοντες, ἀπεδέχεσθε, καὶ δίκαια ἔφατε τὸν Πύθωνα λέγειν, καὶ ἦν δίκαια. ἔλεγε δὲ
τοὺς λόγους τούτους, οὐχ ὅπως λυθείη ἐκ τῆς εἰρήνης, ἃ ἦν ἐκείνῳ συμφέροντα, καὶ ὧν
πολλὰ χρήματα ἀνηλώκει ὥστε γενέσθαι, ἀλλὰ ὑπὸ τῶν ἐνθάδε διδασκάλων 29
προδεδιδαγμένος, οἳ οὐκ ᾤοντο εἶναι τὸν γράψοντα ἐναντία τῷ Φιλοκράτους ψηφί-
σματι, τῷ ἀπολωλεκότι Ἀμφίπολιν. ἐγὼ δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, παράνομον μὲν οὐδὲν
ἐτόλμησα γράψαι· τῷ δὲ Φιλοκράτους ψηφίσματι, ὃ ἦν παράνομον, τἀναντία ἔγρα-
ψα, ὡς ἐγὼ ἐπιδείξω. τὸ γὰρ ψήφισμα τὸ τοῦ Φιλοκράτους, καθ' ὃ ὑμεῖς ἀπώλλυτε Ἀμ- 30
κεκτῆσθε. γ. φίπολιν, ἐναντίον ἦν τοῖς προτέροις ψηφίσμασι, καθ' ἃ ὑμεῖς ἐκτήσασθε ταύτην τὴν
χώραν. τοῦτο μὲν οὖν παράνομον ἦν τὸ ψήφισμα τὸ τοῦ Φιλοκράτους· καὶ οὐχ οἷόν τε
ἦν, τὸν τὰ ἔννομα γράφοντα, τὰ αὐτὰ τῷ παρανόμῳ ψηφίσματι γράφειν. ἐκείνοις δὲ
ἡμετ. γ. ε. θ. τοῖς προτέροις ψηφίσμασι τοῖς οὖσιν ἐννόμοις καὶ σώζουσι τὴν ὑμετέραν χώραν τὰ αὐ- 31
γρ. ἔγραψα καὶ ἐξήλεγξα. β. ε. θ. τὰ γράφων, ἔννομά τε ἔγραφον καὶ ἐξήλεγχον τὸν Φίλιππον. ὅτι ἐξηπάτα ὑμᾶς, καὶ οὐκ
ἐπανορθώσασθαι ἐβούλετο τὴν εἰρήνην, ἀλλὰ τοὺς ὑπὲρ ὑμῶν λέγοντας ἀπίστους κα-
ταστῆσαι· καὶ ὅτι μὲν δοὺς τὴν ἐπανόρθωσιν, νῦν ἔξαρνός ἐστιν, ἅπαντες ἴστε. φησὶ δὲ Ἀμ-
γρ. ἐψηφίσατε φίπολιν ἑαυτοῦ εἶναι· ὑμᾶς γὰρ ψηφίσασθαι ἐκείνου εἶναι, ὅτ' ἐψηφίζεσθε ἔχειν αὐτὸν ἃ εἶ- 32
χεν. ὑμεῖς δὲ, τὸ μὲν ψήφισμα τοῦτο ἐψηφίσασθε· οὐ μέντοι γε ἐκείνου εἶναι Ἀμφίπολιν·
ἔστι γὰρ ἔχειν καὶ τἀλλότρια· καὶ οὐχ ἅπαντες οἱ ἔχοντες, τὰ ἑαυτῶν ἔχουσιν, ἀλλὰ πολ-
τοῦ. θ. λοὶ καὶ τἀλλότρια κέκτηνται. ὥστε τοῦτό γε τὸ σοφὸν αὐτοῦ, ἠλίθιόν ἐστι. καὶ τοῦ μὲν Φι-
μέμνημαι. θ λοκράτους ψηφίσματος μέμνηται· τῆς δὲ ἐπιστολῆς, ἣν πρὸς ὑμᾶς ἔπεμψεν ὅτε Ἀμ- 33
ἡμῖν. ε. θ. φίπολιν ἐπολιόρκει, ἐπιλέλησται· ἐν ᾗ ὡμολόγει τὴν Ἀμφίπολιν ὑμετέραν εἶναι· ἔφη γὰρ
ἡμῖν. ε. ἐκπολιορκήσας ὑμῖν ἀποδώσειν, ὡς οὖσαν ὑμετέραν, καὶ οὐ τῶν ἐχόντων. κἀκεῖνοι μὲν
ἡμῖν. ε. ὡς ἔοικεν, οἱ πρότερον ἐν Ἀμφιπόλει οἰκοῦντες πρὶν Φίλιππον λαβεῖν, τὴν Ἀθηναίων
ἔλαβεν. ε. χώραν εἶχον. ἐπειδὴ δὲ Φίλιππος αὐτὴν εἴληφεν, οὐ τὴν Ἀθηναίων χώραν, ἀλλὰ τὴν ἑαυ- 34
τοῦ ἔχει; οὐδὲ Ὄλυνθόν γε, οὐδὲ Ἀπολλωνίαν, οὐδὲ Παλλήνην, οὐκ ἀλλοτρίας, ἀλλὰ
ἡμᾶς. ε. τὰς ἑαυτοῦ χώρας κέκτηται; ἆρ' ὑμῖν δοκεῖ πεφυλαγμένως ἅπαντα πρὸς ὑμᾶς ἐπι-
στέλλειν, ὅπως ἂν φαίνηται καὶ λέγων καὶ πράττων ἃ παρὰ πᾶσιν ἀνθρώποις ὁμολο-
γεῖται δίκαια εἶναι, ἀλλ' οὐ σφόδρα καταπεφρονηκέναι; ὃς τὴν χώραν ἣν οἱ Ἕλληνες, 35
καὶ ὁ βασιλεὺς ὁ Περσῶν ἐψηφίσαντο καὶ ὡμολογήκασιν ὑμετέραν εἶναι, ταύτην φησὶν
ἑαυτοῦ καὶ οὐχ ὑμετέραν εἶναι; περὶ δὲ τοῦ ἑτέρου ἐπανορθώματος, ὃ ὑμεῖς ἐν τῇ εἰρήνῃ
ἐπηνωρθώσασθε, τοὺς ἄλλους Ἕλληνας ὅσοι μὴ κοινωνοῦσι τῆς εἰρήνης, ἐλευθέρους καὶ αὐτονό-
μους εἶναι· καὶ ἐάν τις ἐπ' αὐτοὺς στρατεύῃ, βοηθεῖν τοὺς κοινωνοῦντας τῆς εἰρήνης, ἡγούμενοι 36
ὑμετ. γ. ε. θ. καὶ δίκαιον εἶναι τοῦτο καὶ φιλάνθρωπον, μὴ μόνον ἡμᾶς καὶ τοὺς συμμάχους τοὺς ἡμε-
τέρους, καὶ Φίλιππον καὶ τοὺς συμμάχους τοὺς ἐκείνου ἄγειν τὴν εἰρήνην· τοὺς δὲ μήτε
ὑμετ. θ. ἡμετέρους ὄντας, μήτε Φιλίππου συμμάχους, ἐν μέσῳ κεῖσθαι, καὶ ὑπὸ τῶν κρειττό-
ὑμετ. ε. νων ἀπόλλυσθαι, ἀλλὰ καὶ τούτοις διὰ τὴν ὑμετέραν εἰρήνην ὑπάρχειν σωτηρίαν, καὶ τῷ 37

Ελεγχ.) Επίκρισις.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὄντι εἰρήνην "ἡμᾶς ἄγειν καταθεμένους τὰ ὅπλα. τοῦτο δὲ τὸ ἐπανόρθωμα ὁμολογῶν "ὑμᾶς.ε.
Ταῖς δ' ἐν) Σημείωσαι εἰρωνικόν. ἐν τῇ ἐπιστολῇ ὡς ἀκούετε, δίκαιόν τε εἶναι καὶ δέχεσθαι· φεραίων τε μὲν ἀφῄρηται τὴν "β.ε.θ.
πόλιν, καὶ "φρουρὰν ἐν τῇ ἀκροπόλει κατέστησεν, ἵνα δὴ αὐτόνομοι ὦσιν. ἐπὶ δ' ἀμβρακίαν "φρουρὰς.ε.
38 στρατεύεται· τὰς δ' ἐν κασσωπίᾳ τρεῖς πόλεις, πανδοσίαν, καὶ βουχέτην, καὶ ἐλάτειαν,
Σφόδρα γε) Καὶ τοῦτο εἰρωνικόν. ἠλείων ἀποικίας, κατακαύσας τὴν χώραν, καὶ εἰς τὰς πόλεις "βιασάμενος, παρέδωκεν ἀλε- "εἰσβιασάμε.
ξάνδρῳ τῷ κηδεστῇ τῷ ἑαυτοῦ, δουλεύειν. καὶ σφόδρα "γε βούλεται τοὺς ἕλληνας ἐλευθέ- "β.ε.θ.
ρους εἶναι καὶ αὐτονόμους, ὡς δηλοῖ τὰ ἔργα. περὶ δὲ τῶν ὑποσχέσεων ὧν "ὑμῖν διατε- "ἡμῖν.ε.
39 λεῖ ὑπισχνούμενος, ὡς μεγάλα "ὑμᾶς εὐεργετήσων, καταψεύδεσθαί με φησὶν αὐτοῦ, "ἡμᾶς.ε.
διαβάλλοντα πρὸς τοὺς ἕλληνας· οὐδὲν γὰρ ἡμῖν πώποτέ φησιν ὑπεσχῆσθαι. οὕτως ἀναι-
δής ἐστιν, ὃ ἐν ἐπιστολῇ γεγραφώς, ἥ ἐστι νῦν ἐν τῷ βουλευτηρίῳ, ὅτ' ἐπιστομιεῖν ἡμᾶς
ἔφη τοὺς αὐτῷ ἀντιλέγοντας, ἐὰν εἰρήνη γένηται, τοσαῦτα ἀγαθὰ "ἡμᾶς ποιήσειν, ἃ "ὑμᾶς.
40 γράψειν ἂν ἤδη, εἰ ᾔδει τὴν εἰρήνην ἐσομένην, δῆλον ὡς προκεχειρισμένων, καὶ ἑτοί-
μων ὄντων τῶν ἀγαθῶν ἃ ἐμέλλομεν πείσεσθαι, τῆς εἰρήνης ἐσομένης. γενομένης δὲ τῆς
εἰρήνης, ἃ μὲν ἡμεῖς ἐμέλλομεν ἀγαθὰ πείσεσθαι, ἐκποδών ἐστι. φθορὰ δὲ τῶν ἑλλήνων
τοσαύτη γέγονεν ὅσην ὑμεῖς ἴστε. ὑμῖν δ' ἐν τῇ νῦν ἐπιστολῇ ὑπισχνεῖται, ἐὰν τοῖς μὲν αὐ-
41 τοῦ φίλοις καὶ ὑπὲρ αὐτοῦ λέγουσι πιστεύητε, ἡμᾶς δὲ τοὺς διαβάλλοντας αὐτὸν πρὸς
ὑμᾶς τιμωρήσησθε, ὡς μεγάλα ὑμᾶς εὐεργετήσειν. τὰ μέντοι εὐεργετήματα, τοιαῦτα
ἔσται· οὔτε τὰ ὑμέτερα ὑμῖν ἀποδώσει· ἑαυτοῦ γάρ φησιν εἶναι· οὔτε ἐν τῇ οἰκουμένῃ αἱ
δωρεαὶ ἔσονται, ἵνα μὴ διαβληθῇ πρὸς τοὺς ἕλληνας· ἀλλ' ἄλλη τις χώρα, καὶ ἄλλος τις
42 ὡς ἔοικε τόπος φανήσεται, οὗ ὑμῖν αἱ δωρεαὶ δοθήσονται. περὶ δ' ὧν ἐν τῇ εἰρήνῃ εἴληφε χω-
ρίων ὑμῶν ἐχόντων, παρὰ σπονδῶν καὶ λύων τὴν εἰρήνην, ἐπειδὴ οὐκ ἔχει ὅ, τι εἴπῃ,
ἀλλ' ἀδικῶν φανερῶς ἐξελέγχεται, ἐπιτρέπειν φησὶ περὶ τούτων ἕτοιμος εἶναι ἴσῳ καὶ κοι-
Ταῦτα) Γάνειον. νῷ δικαστηρίῳ, περὶ ὧν μόνων οὐδὲν δεῖ ἐπιτροπῆς, ἀλλ' ἀριθμὸς ἡμερῶν ἐστιν ὁ κρί-
43 νων. ἅπαντες γὰρ ἴσμεν "τίνι μηνί, καὶ "ποίᾳ ἡμέρᾳ ἡ εἰρήνη ἐγένετο. ὥσπερ δὲ ταῦτα ἴσμεν, "τίνι.β.
κἀκεῖνα ἴσμεν, τίνι μηνὶ καὶ "τίνι ἡμέρᾳ σέρριον τεῖχος, καὶ ἐργίσκη, καὶ ἱερὸν ὄρος ἑάλω. "ποίᾳ.ε.θ.
οὐ δὴ ἀφανῆ ἐστι ταῦτα οὕτω πραχθέντα, οὐδὲ κρίσεως δεόμενα, ἀλλὰ πᾶσι γνώριμα,
πότερος πρότερος μήν ἐστιν, ἐν ᾧ ἡ εἰρήνη ἐγένετο, ἢ ἐν ᾧ τὰ χωρία ἑάλω. φησὶ δὲ καὶ
44 τοὺς αἰχμαλώτους "ὑμῶν ὅσοι ἐν τῷ πολέμῳ ἑάλωσαν, ἀποδεδωκέναι· ὃς τὸν μὲν καρύστιον "ἡμῶν.β.γ.
τὸν πρόξενον τῆς ἡμετέρας πόλεως, ὑπὲρ οὗ ὑμεῖς τρεῖς πρεσβείας ἐπέμψατε τοῦτον
ἀπαιτοῦντες τὸν ἄνδρα, ἐκεῖνος οὕτω σφόδρα ὑμῖν ἐβούλετο χαρίσασθαι, ὥστε ἀπέ-
κτεινε, καὶ οὐδὲ "ἀναίρεσιν ἔδωκεν ἵνα ταφῇ. περὶ δὲ χερρονήσου, ἅ τε ἐπιστέλλει πρὸς ἡ- "αἵρεσιν.θ.
45 μᾶς ἄξιόν ἐστιν ἐξετάσαι· ἔτι δὲ καὶ ἃ πράττει, καὶ ταῦτ' εἰδέναι· τὸν μὲν γὰρ τόπον ἅ-
παντα τὸν ἔξω ἀγορᾶς, ὡς ἑαυτοῦ ὄντα, καὶ ὑμῖν οὐδὲν προσήκοντα, δέδωκε καρποῦσθαι
ἀπολλωνίδῃ τῷ καρδιανῷ. καίτοι χερρονήσου οἱ ὅροι εἰσίν, οὐκ ἀγορά, ἀλλ' ὁ βωμὸς τοῦ
διὸς τοῦ ὁρίου· ὅς ἐστι μεταξὺ πτελεοῦ καὶ λευκῆς ἀκτῆς, οὗ ἡ διώρυχ' ἔμελλε χερρονήσου ἔσε-
46 σθαι, ὡς τὸ ἐπίγραμμα τὸ ἐπὶ τοῦ βωμοῦ τοῦ διὸς τοῦ ὁρίου δηλοῖ. ἔστι δὲ τουτί·

Ἀμμοείης) Κατὰ στέρησιν τοῦ μοιείου.

» Τόνδε καθιδρύσαντο θεῷ περικαλλέα βωμόν,
» Λευκῆς καὶ πτελεοῦ μέσσον ὅρον θέμενοι,
» Ενναέται χώρης σημήιον· ἀμμοείης δὲ
47 » Αὐτὸς ἄναξ μακάρων ἐστὶ μέσος κρονίδης.

ταύτην μέντοι τὴν χώραν τοσαύτην οὖσαν, "ὅσην οἱ πολλοὶ ὑμῶν ἴσασιν, ὡς ἑαυτοῦ οὖ- "ἴσασι.β.
σαν, τὴν μὲν αὐτὸς καρποῦται, τὴν δὲ ἄλλοις δωρεὰν δέδωκε· καὶ ἅπαντα τὰ κτήματα

τὰ ὑμέ-

τὴν ἐσχάτων ἤδη κινδυνεύειν· φέρε γὰρ πρὸς θεῶν, εἰ λέγοιεν
ὑμᾶς ἀπαιτήσαιεν οἱ Ἕλληνες, ὧν νυνὶ παρήκατε καιρῶν
διὰ ῥᾳθυμίαν, καὶ ἔροιντο ὑμᾶς, ἄνδρες ἀθηναῖοι, πέμ-
πετε ὡς ἡμᾶς ἑκάστοτε πρέσβεις, καὶ λέγετε ὡς ἐπιβου-
λεύει φίλιππος ἡμῖν καὶ ἅπασι τοῖς Ἕλλησι, καὶ ὡς φυλάττε- 44
σθαι δεῖ τὸν ἄνθρωπον καὶ ἅπαντα τὰ τοιαῦτα, ἀνάγκη φά-
σκειν καὶ ὁμολογεῖν· ποιοῦμεν γὰρ ταῦτα. εἶτ', ὦ πάντων ἀν-
θρώπων φαυλότατοι, δέκα μῆνας ἀπογενομένου τἀν-
θρώπου, καὶ νόσῳ καὶ χειμῶνι καὶ πολέμοις ἀποληφθέντος,
ὥστε μὴ ἂν δύνασθαι ἐπανελθεῖν οἴκαδε, οὔτε τὴν εὔβοιαν 45
ἠλευθερώσατε, οὔτε τῶν ὑμετέρων αὐτῶν οὐδὲν ἐκομίσα-
σθε· ἀλλ' ἐκεῖνος μὲν, ὑμῶν οἴκοι μενόντων, σχολὴν ἀγόν-
των, ὑγιαινόντων, εἰ δεῖ τοὺς τὰ τοιαῦτα ποιοῦντας ὑγιαίνειν
φῆσαι, δύο ἐν εὐβοίᾳ κατέστησε τυράννους· τὸν μὲν, ἀπαν-
τικρὺ τῆς ἀττικῆς ἐπιτειχίσας, τὸν δ', ἐπὶ σκιάθῳ. ὑμεῖς 46
δ' οὐδὲ ταῦτ' ἀπελύσασθε, εἰ μηδὲν ἄλλο ἐβούλεσθε· ἀλλ' εἰ-
άκατε καὶ ἀφέστατε δηλονότι αὐτῷ, καὶ φανερὸν πεποιή-
κατε ὅτι οὐδ' ἂν δεκάκις ἀποθάνῃ, οὐδὲν μᾶλλον ὑμεῖς
γε κινήσεσθε. τί οὖν πρεσβεύετε, καὶ κατηγορεῖτε, καὶ πρά-
γματα ἡμῖν παρέχετε. ἂν ταῦτα λέγωσι, τί ἐροῦμεν, ἢ τί 47
φήσομεν, ὦ ἄνδρες ἀθηναῖοι; ἐγὼ μὲν γὰρ οὐχ ὁρῶ. εἰσὶ τοί-
νυν τινὲς οἳ τότ' ἐξελέγχειν τὸν παριόντα οἴονται, ἐπειδὰν
ἐρωτήσωσι, τί οὖν χρὴ ποιεῖν· οἷς ἐγὼ μὲν τὸ δικαιότατον καὶ
ἀληθέστατον τοῦτο ἀποκρινοῦμαι, ταῦτα μὴ ποιεῖν ἃ νυνὶ
ποιεῖτε. οὐ μὴν ἀλλὰ καὶ καθ' ἕκαστον ἀκριβῶς ἐρῶ· καὶ ὅπως 48
ὥσπερ ἐρωτῶσι προθύμως, οὕτω καὶ ποιεῖν ἐθελήσωσι.
πρῶτον μὲν, ὦ ἄνδρες ἀθηναῖοι, τοῦτο παρ' ὑμῖν αὐτοῖς βε-
βαίως γνῶναι, ὅτι τῇ πόλει φίλιππος πολεμεῖ, καὶ τὴν εἰ-
ρήνην λέλυκε· καὶ παύσασθε περὶ τούτων κατηγοροῦντες
ἀλλήλων· καὶ κακόνους μέν ἐστι καὶ ἐχθρὸς ὅλῃ τῇ πόλει, καὶ 49
τῷ τῆς πόλεως ἐδάφει· προσθήσω δὲ, καὶ τοῖς ἐν τῇ πόλει
πᾶσιν ἀνθρώποις, καὶ τοῖς μάλιστα οἰομένοις αὐτῷ χαρίζε-
σθαι· εἰ δὲ μὴ, σκεψάσθωσαν εὐθυκράτην καὶ λασθένην
τοὺς ὀλυνθίους, οἳ δοκοῦντες οἰκειότατ' αὐτῷ διακεῖσθαι,
ἐπειδὴ τὴν πόλιν προὔδοσαν, πάντων κάκιστ' ἀπολώ-
λασιν. οὐδενὶ μέντοι μᾶλλον ἢ τῇ πολιτείᾳ πολεμεῖ, οὐ- 50
δ' ἐπιβουλεύει, καὶ σκοπεῖ μᾶλλον οὐδὲ ἓν τῶν πάντων, ἢ
ὅπως ταύτην καταλύσῃ. καὶ τοῦτ' εἰκότως τρόπον τινὰ νῦν
γε δὴ πράττει· οἶδε γὰρ ἀκριβῶς ὅτι οὐδ' ἂν πάντων τῶν
ἄλλων γένηται κύριος, οὐδὲν ἔσται αὐτῷ βεβαίως ἔχειν, ἕως 51
ἂν ὑμεῖς δημοκρατῆσθε· ἀλλ' ἐάν ποτε συμβῇ τι πταῖσμα,
ἃ πολλὰ γένοιτ' ἂν ἀνθρώπῳ, ἥξει πάντα τὰ νῦν βεβια-

ἴ. γ. παρείκα- β. ε.
ὑμῖν. ε. κ. θ.
πάντα. ε. κ.
ἀποληφθ. ε. κ. θ.
μὲν. κ. θ.
κ. σκίαθον. β.
θ.
κ. πρεσβεύεσθε. β. ε. κ. θ
β. γ. θ.
ε. κ.
τούτου. κ.
εὐθυκράτη καὶ λασθένη. β.
ε. κ. θ
ἥξει. β. γ.

Ἀπογενομένου) Ὑστερήσαντος, σχεδὸν εἰπεῖν ἀποθανόντος· ἀπογενέσθαι γὰρ ἢ ὑστερῆσαι ἢ ἀποθανεῖν. ἀμφότερα θουκυδίδης. 44

Ἀποληφθέντος) Ἤγουν ἀπογενομένου καὶ ἀποκρατηθέντος.

Ἀλλ' ἐκεῖνος) Τὸ σχῆμα ἀντίθετον· οὐ ὑμεῖς οἴκοι, ἐκεῖνος ἀποδημῶν. 45

Εὐβοίᾳ) Εὐρίπῳ· ἔστι δὲ πλαγιος στενὸς ὁ εὔριπος, ἢ τόπος ὑδατώδης μεταξὺ δύο γαιῶν, τουτέστι βοιωτίας καὶ ἀττικῆς· ἑπτάκις δὲ τῆς ἡμέρας, τὸ ἐκεῖ ὕδωρ τρέπεται.

Κατέστησε) Ἐν τῇ ἐρετρίᾳ, κλείταρχον· ἐν τῷ ὠρεῷ, φιλιστίδην.

Ἐπὶ σκιάθῳ) Σκίαθος, νῆσος πλησίον εὐβοίας, ὑπήκοος ἀθηναίων. 46

Ἐδάφει) Τῇ γῇ. 49

Τῇ πολιτείᾳ) Ἰδίως εἰώθασι χρῆσθαι τῷ ὀνόματι τῆς πολιτείας οἱ ῥήτορες ἐπὶ τῆς δημοκρατίας· καὶ ἰσοκράτης ἐν πανηγυρικῷ, καὶ δημοσθένης ἐν τοῖς φιλιππικοῖς. 50

Τὰ νῦν βεβιασμένα) Τὰ ἔθνη τὰ νῦν ὑπ' αὐτοῦ κατεχόμενα. 51

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σμένα, καὶ καταφεύγεται πρὸς ὑμᾶς· ἐστὲ γὰρ ὑμεῖς οὐκ
αὐτοὶ πλεονεκτῆσαι καὶ κατασχεῖν ἀρχὴν εὖ πεφυκότες,
52 ἀλλ' ἕτερον λαβεῖν κωλῦσαι καὶ ἔχοντ' ἀφελέσθαι δεινοί·
καὶ ὅλως ἐνοχλῆσαι τοῖς ἄρχειν βουλομένοις, καὶ πάντας
ἀνθρώπους εἰς ἐλευθερίαν ἐξαφελέσθαι ἕτοιμοι. οὔκουν
βούλεται τοῖς ἑαυτοῦ καιροῖς τὴν παρ' ὑμῶν ἐλευθερίαν
ἐφεδρεύειν, οὐδὲ πολλοῦ δεῖ, οὐ κακῶς οὐδ' ἀργῶς ταῦτα
53 λογιζόμενος. πρῶτον μὲν δὴ διὰ τοῦτο δεῖ ἐχθρὸν ὑπει-
ληφέναι τῆς πολιτείας, καὶ τῆς δημοκρατίας ἀδιάλλακτον
ἐκεῖνον· εἰ γὰρ μὴ τοῦτο πεισθήσεσθε ταῖς ψυχαῖς, οὐκ ἐθε-
λήσετε ὑπὲρ τῶν πραγμάτων σπουδάζειν· δεύτερον δέ,
εἰδέναι σαφῶς ὅτι πάνθ' ὅσα πραγματεύεται καὶ κατα-
54 σκευάζεται νῦν, ἐπὶ τὴν ἡμετέραν πόλιν "κατασκευάζεται. "Θρᾳσκ. Α.
καὶ ὅπου τις ἐκεῖνον "ἀμύνεται, ἐνταῦθ' ὑπὲρ ἡμῶν ἀμύ- κ. θ.
νεται· οὐ γὰρ οὕτω γ' εὐήθης ἐστὶν ὑμῶν οὐδείς, ὥστε ὑπο- "ἀμυνεῖται. Θ.
λαμβάνειν τὸν Φίλιππον, τῶν μὲν ἐν Θρᾴκῃ κακῶν· τί γὰρ
ἄλλο τις ἂν εἴποι Δρογγίλον, καὶ Καβύλην, καὶ Μάστειραν, καὶ
55 ἃ νῦν ἐξαιρεῖ καὶ κατασκευάζεται, τούτων μὲν ἐπιθυμεῖν,
καὶ ὑπὲρ τοῦ ταῦτα λαβεῖν, καὶ πόνους καὶ χειμῶνας, καὶ τοὺς
ἐσχάτους κινδύνους ὑπομένειν· τῶν δὲ Ἀθήνησι λιμένων
καὶ νεωρίων, καὶ τριήρων, καὶ τῶν ἔργων τῶν ἀργυρείων, καὶ
τοσούτων προσόδων οὐκ ἐπιθυμεῖν· ἀλλὰ ταῦτα μὲν
56 ἐάσειν ὑμᾶς ἔχειν, ὑπὲρ δὲ τῶν "μελινῶν καὶ τῶν ὀλυρῶν "μελίνων. Α.
τῶν ἐν τοῖς Θρᾳκίοις σιροῖς, ἐν τῷ βαράθρῳ χειμάζειν.
οὐκ ἔστι ταῦτα· ἀλλὰ κἀκεῖνα, ὑπὲρ τοῦ τούτων γενέσθαι
κύριος, καὶ τἄλλα πάντα πραγματεύεται. τί οὖν εὖ φρο-
νούντων ἀνθρώπων ἐστίν, εἰδότας ταῦτα καὶ ἐγνωκότας, τὴν
57 μὲν ὑπερβάλλουσαν καὶ ἀνήκεστον ταύτην ῥαθυμίαν ἀπο-
θέσθαι· χρήματα δ' εἰσφέρειν, καὶ τοὺς συμμάχους ἀξι-
οῦν, καὶ ὅπως τὸ συνεστηκὸς τοῦτο "συμμενεῖ στράτευμα, ὁ- "κ. συμβαίνει. β. συμ-
ρᾶν καὶ πράττειν· ἵν' ὥσπερ ἐκεῖνος ἕτοιμον ἔχει δύναμιν μένη. γ. ε. κ.
τὴν ἀδικήσουσαν καὶ καταδουλωσομένην ἅπαντας τοὺς συμμένοι. θ.
58 Ἕλληνας, οὕτω τὴν σώσουσαν ὑμεῖς καὶ βοηθήσουσαν ἅπα-
σιν ἕτοιμον ἔχητε· οὐ γάρ ἐστι βοηθείαις χρωμένους οὐδέ-
ποτ' οὐδὲν τῶν δεόντων πρᾶξαι· ἀλλὰ κατασκευάσαν-
τας δεῖ δύναμιν, καὶ τροφὴν ταύτῃ πορίσαντας, καὶ τα-
μίας* δημοσίους, καὶ ὅπως ἔνι τὴν τῶν χρημάτων φυλα- *ε. β. γ.
59 κὴν ἀκριβεστάτην γενέσθαι οὕτω ποιήσαντας, τὸν μὲν τῶν
χρημάτων λόγον, παρὰ τούτων λαμβάνειν· τὸν δὲ τῶν ἔργων,
παρὰ τοῦ στρατηγοῦ. κἂν οὕτω ποιήσητε καὶ ταῦτ' ἐθελή-
σητε, ὡς ἀληθῶς ἄγειν εἰρήνην δικαίαν καὶ μένειν ἐπὶ τῆς αὐ-
τοῦ Φίλιππον ἀναγκάσετε, οὗ μεῖζον οὐδὲν ἂν γένοιτ' ἀγα-
θόν·

Ἀρχὴν) Τὴν τυραννικήν, οὐ τὴν ἔννομον.

52 Οὐ κακῶς) Ἐπίκρισις.

54 Καὶ ὅπου τις) Πάλιν εἰς δυσπιθῆ αἰνίττεται, ὅτι ἐν τῇ Θρᾴκῃ ἐκεῖνον ἀμυνεῖται.

Δρογγίλον, καὶ Καβύλην) Χωρία Θρᾳκικὰ εὐτελῆ περὶ τὸν Στρυμόνα καὶ τὴν Ἀμφίπολιν.

55 Ἐξαιρεῖ) Ἀντὶ τοῦ, ἐκβάλλει, ἀφανίζει.

Νεωρίων) Μήποτε νεώρια λέγεται ὁ τόπος ἅπας εἰς ὃν ἀνέλκονται αἱ τριήρεις, καὶ πάλιν ἐξ αὐτοῦ καθέλκονται, ὡς ὑποσημαίνει Λυκοῦργός τε καὶ Αἰδονίδης;

Τῶν ἀργυρείων) Τὸ Λαύρειον φησί· τόπος γάρ ἐστιν ἐν Ἀθήναις, ἔνθα ἄργυρος τίκτεται.

56 Μελινῶν) Μελίνη, εἶδος ὀσπρίου, ὅπερ καὶ ἀρσενικῶς λέγεται. ἔνιοι εἶδός τι κέγχρου νομίζουσι τὴν μελίνην, ὅπερ τινὰς καλεῖν ἔλυμον ἢ κέγχρον. ὄλυρα δέ, ζειά, εἶδος σπέρματος.

Σιροῖς) Σιρὸς ὁ λάκκος. τοὺς θησαυροὺς καὶ τὰ ὀρύγματα ἐν οἷς κατετίθεντο τὰ σπέρματα, σιροὺς ἐκάλουν οἱ Θρᾷκες, καὶ οἱ Λίβυες, ἃ νῦν φοσσία ἰδιωτικῶς.

Βαράθρῳ) Βάραθρον ὄρυγμά ἐστιν εἰς ὃ ὁ τῆς Ἱπποθοωντίδος δῆμος τοὺς ἐπὶ θανάτῳ κατακρίτους ἐνέβαλλον. ὁ δὲ Δημοσθένης τὴν λέξιν οὐχ οὕτως εἶπεν, ἀλλ' ἐκ μεταφορᾶς, ἀντὶ τοῦ ἐν τῷ ὀλέθρῳ.

57 Ἀνήκεστον) Ἀνίατον, ἀθεράπευτον. Ἀποθέσθαι) Ἀντὶ τοῦ ἀποβαλέσθαι· καὶ ἀπόθου, ἀντὶ τοῦ ἀπόβαλε. ἀπωθοῦ δέ, ἀντὶ τοῦ ὤθισον.

58 Ταμίας δημοσίους) Ἐφόρους, φύλακας. εἰσὶ δὲ ταμίαι, ἄρχοντες Ἀθήνησι κληρωτοὶ ἀπὸ πεντακοσιομεδίμνων, οἳ τὰ ἐν τῷ ἱερῷ τῆς Ἀθηνᾶς ἐν τῇ ἀκροπόλει χρήματα ἱερά τε καὶ δημόσια φυλάττουσιν· ἀλλὰ καὶ αὐτὸ τὸ ἄγαλμα τῆς Ἀθηνᾶς.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἢ πολεμήσετ' ἐξ ἴσου. εἰ δέ τῳ δοκεῖ ταῦτα καὶ δαπάνης μεγάλης 60
καὶ πόνων πολλῶν καὶ πραγματείας εἶναι, καὶ μάλα ὀρθῶς δοκεῖ· ἀλλ' ἐὰν
λογίσηται τὰ τῇ πόλει μετὰ ταῦτα γενησόμενα, ἂν ταῦτα μὴ ἐθέλῃ ποιεῖν,
εὑρήσει λυσιτελοῦν τὸ ἑκόντας ποιεῖν τὰ δέοντα. εἰ μὲν γάρ ἐστί τις ἐγγυητὴς
ἡμῖν θεῶν· οὐ γὰρ ἀνθρώπων γε οὐδεὶς ἂν γένοιτο ἀξιόχρεως τηλικούτου 62
πράγματος· ὡς ἂν ἄγητε ἡσυχίαν, καὶ ἅπαντα προῆσθε, οὐκ ἐπ' αὐ-
τοὺς ἡμᾶς τελευτῶν ἐκεῖνος ἥξει· αἰσχρὸν μὲν νὴ τὸν Δία καὶ πάντας τοὺς
θεούς, καὶ ἀνάξιον ὑμῶν καὶ τῶν ὑπαρχόντων τῇ πόλει καὶ πεπραγμένων
τοῖς προγόνοις, τῆς ἰδίας ἕνεκα ῥαθυμίας, τοὺς ἄλλους Ἕλληνας ἅπαντας εἰς
δουλείαν προέσθαι. καὶ ἔγωγε αὐτὸς ἂν τεθναίην μᾶλλον, ἢ ταῦτ' εἰ- 64
ρηκέναι βουλοίμην. οὐ μὴν ἀλλ' εἴ τις ἄλλος λέγει καὶ ὑμᾶς πείθει, ἔστω· μὴ
ἀμύνεσθε· ἅπαντα πρόεσθε· εἰ δὲ μηδενὶ μὲν τοῦτο δοκεῖ, τοὐναντίον δὲ
προΐσμεν ἅπαντες, ὅτι ὅσῳ ἂν πλειόνων ἐάσωμεν ἐκεῖνον γενέσθαι κύρι-
[ἔ. ἡ. β.] ον, τοσούτῳ χαλεπωτέρῳ καὶ ἰσχυροτέρῳ χρησόμεθα ἐχθρῷ, ποῖ ἀναδυό-
μεθα, ἢ τί μέλλομεν; ἢ πότε, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ δέοντα ποιεῖν ἐθελήσο- 66
μεν; ὅταν νὴ Δί' ἀνάγκη τις ᾖ; ἀλλ' ἣν μὲν ἄν τις ἐλευθέρων ἀνθρώπων ἀ-
νάγκην εἴποι, οὐ μόνον ἤδη πάρεστιν, ἀλλὰ καὶ πάλαι παρελήλυθε· τὴν δὲ
τῶν δούλων, ἀπεύχεσθαι δήπου μὴ γενέσθαι δεῖ. διαφέρει δὲ τί; ὅτι
[* γιγνομένων. ε.ε.η.θ.] ἐστὶν, ἐλευθέρῳ μὲν ἀνθρώπῳ μεγίστη ἀνάγκη, ἡ ὑπὲρ τῶν * πραγμάτων
αἰσχύνη· καὶ μείζω ταύτης οὐκ οἶδ' ἥντιν' ἂν εἴποι τις· * δούλῳ δέ, πλη- 68
[* δούλων. ε.η.] [* μήτε. ε.] γαὶ, καὶ ὁ τοῦ σώματος αἰκισμός, ἃ μήτε γένοιτο, * οὔτε λέγειν ἄξιον. πάντα
τοίνυν τἄλλα εἰπὼν ἂν ἡδέως, καὶ δείξας ὃν τρόπον ὑμᾶς ἔνιοι καταπολι-
τεύονται, τὰ μὲν ἄλλα ἐάσω· ἀλλ' ἐπειδάν τι τῶν πρὸς Φίλιππον ἐμπέ-
σῃ, εὐθὺς ἀναστάς τις λέγει, τὸ τὴν εἰρήνην ἄγειν, ὡς ἀγαθόν· καὶ τὸ τρέφειν
δύναμιν μεγάλην, ὡς χαλεπόν· καὶ διαρπάζειν τινὲς τὰ χρήματα βού- 70
λονται· καὶ τοιούτους λόγους, ἐξ ὧν, ἀναβάλλουσι μὲν ὑμᾶς, ἡσυχίαν δὲ ποι-
[* καί. ε.η.] [* ἡμῖν. ε.η.] [* πολλῶν. ε.η.] οῦσιν ἐκείνῳ πράττειν ὅ τι βούλεται. ἐκ δὲ τούτων, περιγίγνεται, * ὑμῖν μὲν,
ἡ σχολὴ καὶ τὸ μηδὲν ἤδη ποιεῖν, ἃ δέδοιχ' ὅπως μὴ ποθ' ἡγήσησθε ἐπὶ * πολ-
λῷ γεγενῆσθαι· τούτοις δέ, αἱ χάριτες καὶ ὁ μισθὸς ὁ τούτων. ἐγὼ δ' οἶμαι, 72
τὴν μὲν εἰρήνην ἄγειν, οὐχ ὑμᾶς δεῖν πείθειν, οἳ πεπεισμένοι κάθησθε,
ἀλλὰ τὸν τὰ τοῦ πολέμου πράττοντα· ἂν γὰρ ἐκεῖνος πεισθῇ, τά γ' ἀφ' ὑ-
μῶν, ἕτοιμα ὑπάρχει· νομίζειν δ' εἶναι χαλεπά, οὐχ ὅσ' ἂν εἰς σωτηρίαν
δαπανῶμεν, ἀλλ' ἃ πεισόμεθα, ἂν ταῦτα μὴ ἐθέλωμεν ποιεῖν· καὶ τὸ δι- 74
αρπασθήσεσθαι τὰ χρήματα, τῷ φυλακὴν εἰπεῖν δι' ἧς σωθήσεται κω-
λύειν, οὐχὶ τῷ τοῦ συμφέροντος ἀφεστάναι. καίτοι ἔγωγε ἀγανακτῶ καὶ
[* ε.η.θ.] αὐτὸ τοῦτο, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ τὰ μὲν χρήματα λυπεῖ τινὰς ὑμῶν, εἰ
[* ἡμῖν. ε.η.] διαρπασθήσεται, ἃ καὶ φυλάττειν καὶ κολάζειν τοὺς ἀδικοῦντας ἐφ' * ὑμῖν
ἐστι· τὴν δὲ Ἑλλάδα πᾶσαν ἐφεξῆς οὑτωσὶ Φίλιππος ἁρπάζων, οὐ λυπεῖ,
[ε.η.θ.] καὶ ταῦτ' ἐφ' ὑμᾶς ἁρπάζων. τί ποτ' οὖν ἐστι τὸ αἴτιον, ὦ ἄνδρες 76
Ἀθηναῖοι, τοῦ, τὸν μὲν οὕτω φανερῶς στρατεύοντα, ἀδικοῦντα, πόλεις

Εἰ δέ τῳ δοκεῖ) Ἀντίθεσις ἀπὸ τοῦ δυνατοῦ. 60

Πραγματείας) Πολυπραγμοσύνης, κακοπαθείας, οὐχ ὡς ἐν τῇ συνηθείᾳ ἐπὶ τῆς πραγματείας, οὕτω καὶ ὑπὸ τῶν ῥητόρων πιπτ... ἐπὶ τῆς ἐργασίας τινὰς μεταχειριζόντων.

Πρόεσθε) Προέσθαι, ἐνδοῦναι, προδοῦναι. 64

Ποῖ) Ἀντὶ τοῦ ἕως ποῦ.

Οὔτε λέγειν ἄξιον) Συμφώνως τῷ Θουκυδίδῃ· ὃ καὶ λόγῳ ἐνδοῦναι αἰσχρὸν τῇ Πελοποννήσῳ. 68

Καταπολ.) Καθ' ὑμῶν.

Ἀναβάλλουσι) Ἀναβάλλεσθαι καὶ ὑπερτίθεσθαι πιστ... σιν, εἰς ἀναβολὰς καθιστᾶσιν· ἀναβάλλεσθαι δὲ τὸ ἱμάτιον, ὑπερβάλλεσθαι λέγουσι· καὶ ἀναβαλλόμενος, ὁ ὑπερτιθέμενος· ἀναβαλόμενος δέ, δι' ἑνὸς λ, ἀντὶ τοῦ προοιμιασάμενος. „ἀναβαλλόμενος οὖν ὥσπερ εἰώθει, „βραχὺν διῆλθεν ὕμνον· καὶ ἀναβολαὶ, τὰ προοίμια. 70

Κωλύειν) Ἀντὶ τοῦ) 74

Τὸ ὑπερβατόν, ἵνα ᾖ, καὶ κωλύειν τὸ διαρπασθῆναι τὰ χρήματα, διὰ τοῦ φυλακάς τινας τάξαι δι' ὧν σωθήσονται). Ἀντὶ τοῦ διὰ τοῦτο. Εἰ τὰ μὲν χρήμ. Ἀντίθετον τὸ σχῆμα, ἐκεῖ χρήματα, ἐνταῦθα τὴν Ἑλλάδα· κἀκεῖ, ἀδήλως εἰ διαρ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καταλαμβάνοντα, μηδένα πώποτε τούτων εἰπεῖν ὡς ἀδικεῖ
καὶ πόλεμον ποιεῖ· τοὺς δὲ μὴ ἐπιτρέπειν, μηδὲ προΐεσθαι ταῦ- προσιέπειν. ι.
τα συμβουλεύοντας, τούτους τὸν πόλεμον ποιεῖν αἰτιᾶσθαι; ἐγὼ
77 διδάξω ὅτι τὴν ὀργὴν ἣν εἰκός ἐστι γίγνεσθαι παρ' ὑμῶν, ἄν τι ἡγεῖσθαι. ε.
λυπῆσθε τῷ πολέμῳ, εἰς τοὺς ὑπὲρ ὑμῶν λέγοντας τὰ βέλ-
τιστα τρέψαι βούλονται, ἵνα τούτους κρίνητε, μὴ Φίλιππον ἀμύ-
νησθε· καὶ κατηγορῶσι μὲν αὐτοί, μὴ δίκην δὲ δῶσιν ὧν ποιοῦσι
νῦν. τοῦτ' αὐτοῖς δύναται τὸ λέγειν ὡς ἄρα βούλονται πόλε-
78 μόν τινες ποιῆσαι παρ' ὑμῖν, καὶ περὶ τούτων ἡ διαδικασία αὕ- τούτου. θ.
τη ἐστίν. ἐγὼ δὲ οἶδα ἀκριβῶς, ὅτι οὐ γράψαντος Ἀθηναίων οὐ-
δενὸς πόλεμον, καὶ ἄλλα πολλὰ Φίλιππος ἔχει τῶν τῆς πόλεως,
καὶ νῦν εἰς Καρδίαν πέπομφε βοήθειαν. εἰ μέντοι βουλόμεθ' ἡ-
μεῖς μὴ προσποιεῖσθαι πολεμεῖν αὐτὸν ἡμῖν, ἀνοητότατος πάν-
79 των ἂν εἴη τῶν ὄντων ἀνθρώπων, εἰ τοῦτ' ἐξελέγχοι. ἀλλ' ἐπει- ἐπὶ. ε. κ. θ.
δὰν ἐφ' ἡμᾶς αὐτοὺς ἴῃ, τί φήσομεν; ἐκεῖνος μὲν γὰρ οὐ πολε-
μεῖν ἡμῖν ἐρεῖ, ὥσπερ οὐδ' Ὠρείταις, τῶν στρατιωτῶν ὄντων ἐν τῇ
χώρᾳ· οὐδὲ Φεραίοις πρότερον, πρὶν ἢ πρὸς τὰ τείχη προσ-
βάλλειν αὐτῶν· οὐδ' Ὀλυνθίοις ἐξ ἀρχῆς, ἕως ἂν ἐν αὐτῇ τῇ
80 χώρᾳ τὸ στράτευμα παρὼν ἔχων. ἢ καὶ τότε τοὺς ἀμύνεσθαι
κελεύοντας, πόλεμον ποιεῖν φήσομεν; οὐκοῦν ὑπόλοιπον δου-
λεύειν· οὐ γὰρ ἄλλο γ' οὐδέν ἐστι μεταξὺ τοῦ μήτ' ἀμύνεσθαι, μή-
τ' ἄγειν ἡσυχίαν ἐᾶσθαι. καὶ μὴν οὐχ ὑπὲρ τῶν ἴσων ὑμῖν τε ἡμῖν. θ.
καὶ τοῖς ἄλλοις ἐστὶν ὁ κίνδυνος· οὐ γὰρ ὑφ' αὑτῷ τὴν πόλιν ποιή-
81 σασθαι βούλεται Φίλιππος, ἀλλ' ὅλως ἀνελεῖν. οἶδε γὰρ ἀκρι-
βῶς, ὅτι δουλεύειν μὲν ὑμεῖς οὔτ' ἐθελήσετε, οὔτε ἂν ἐθελήση-
τε, ἐπίστασθε· ἄρχειν γὰρ εἰώθατε· πράγματα δ' αὐτῷ πα-
ρασχεῖν, ἂν καιρὸν λάβητε, πλείω τῶν ἄλλων ἀνθρώπων ἁπάν-
των δυνήσεσθε. ὡς οὖν ὑπὲρ τῶν ἐσχάτων ὄντος τοῦ ἀγῶνος,
82 "προσήκει οὕτω γιγνώσκειν, καὶ τοὺς πεπρακότας "αὑτοὺς ἐκεί- προσήκει. ε. κ. θ. αὐτοῖς. ε.
νῳ, μισεῖν τε καὶ ἀποτυμπανίσαι· οὐ γάρ ἐστιν, οὐκ ἔστι τῶν ἔξω
τῆς πόλεως ἐχθρῶν κρατῆσαι, πρὶν ἂν τοὺς ἐν αὐτῇ τῇ πόλει
κολάσητε ἐχθρούς, ὑπηρετοῦντας ἐκείνῳ. ἀλλ' ἀνάγκη τούτοις
"ὥσπερ προβόλοις προσπταίοντας, ὑστερίζειν ἐκείνων. πόθεν γὰρ ὡς. ε. κ.
83 οἴεσθε νῦν αὐτὸν ὑβρίζειν "εἰς ὑμᾶς· οὐδὲν γὰρ ἄλλο ἔμοιγε δο- ἡμᾶς. ε. κ.
κεῖ ποιεῖν ἢ τοῦτο· καὶ τοὺς μὲν ἄλλους εὖ ποιοῦντα, εἰ μη-
δὲν ἄλλο ἐξαπατᾶν, ὑμῖν δ' ἀπειλεῖν ἤδη. οἷον Θετταλοὺς πολ-
λὰ δούς, ὑπηγάγετο εἰς τὴν νῦν παροῦσαν δουλείαν. οὐδ' ἂν
84 εἰπεῖν δύναιτο οὐδείς, ὅσα τοὺς ταλαιπώρους Ὀλυνθίους, πρό-
τερον δοὺς Ποτίδαιαν, ἐξηπάτησε, καὶ πόλλ' ἕτερα. Θηβαίους τε
νῦν ὑπάγει, τὴν Βοιωτίαν αὐτοῖς παραδούς, καὶ ἀπαλλάξας πο-
λέμου πολλοῦ καὶ χαλεποῦ· ὥστε καρπωσάμενοί τινα ἕκαστοι

τούτων

παθήσεται· ἐνταῦθα δὲ φανερῶς· κἀκεῖ μόριον, ἐνταῦθα πᾶσαν.

Καταλαμβάνοντα) Τὸ καταλαβεῖν εἴρηται καὶ ἐπὶ τάχους πολλοῦ, ὅταν λέγωμεν, ὁ δὲ τὸν φρύγα διώξας κατέλαβεν· οἱ δὲ ῥήτορες καὶ ἐπὶ τοῦ κολάζειν.

78 Ἡ διαδικασία) Ἡ πρὸς ἀλλήλους ἔρις, ἡ φιλονεικία. κυρίως δὲ διαδικασία ἐστὶν ἐπὶ χρημάτων ἀμφισβήτησις· ἐνταῦθα δὲ κατεχρήσατο. Ἄλλως. Διαδικασία ἐστὶν ἣν ποιοῦνταί τινες τοῖς μέλλουσι χορηγεῖν, ἃς ἂν ὁρισθῶσι βουλῶν, τίς τί χρὴ λειτουργεῖν αὐτούς· καὶ διαδικασάμενος, ἐνεδίσας, διελέγξας.

Καρδίαν) Καρδία πόλις Θρᾴκης καὶ Καρδιανοί, οἱ πολῖται· καὶ ὄνομα πελάγους.

Ἀνοητότατος) Ἀνεπιστημονικώτατος, μωρός. ἀνόητα τα, οὔτ' ἔστι μωρά, ἐπὶ τῆς λαγνείας καὶ τῶν ἀφροδισίων λαμβάνουσι· μωραίνειν γὰρ καὶ ἀνοηταίνειν, τὸ ἀφροδισιάζειν ἔλεγον· Ἀριστοφάνης, » οἶνος τ' ἀπέχει καὶ τῶν ἄλλων τῶν ἀνοήτων, » οὔτ' ἔστι μωρῶν ἢ ἀνοήτων, ἀντὶ τοῦ ἀνεπιστημόνων.

81 Πράγματα δ' αὐτῷ) Ἐπὶ κακῷ χρῶνται τῇ λέξει οἱ παλαιοί· πράγματα παρέξω, ἀντὶ τοῦ ἐνοχλήσω.

82 Ἀποτυμπανίσαι) Τυμπανίζεται, ξύλῳ πλήττεται, ἐκδέρεται, κρεμᾶται· ἀποτυμπανίσαι δέ, ἀντὶ τοῦ ἀνηλεῶς φονεῦσαι ῥοπάλοις.

83 Ὑπηγάγετο) Ὑπάγουσιν, ἀντὶ τοῦ προσάγουσι· καὶ ὑπάγω τὸν δεῖνα εἰς δουλείαν, ἀντὶ τοῦ προσάγω· καὶ Θουκυδίδης καὶ ἄλλοι· ὑπάγομαι κατὰ τὸ αὐτό. καὶ ὑπάγει, ἀντὶ τοῦ ἐξαπατᾷ ἢ ὑποτάσσει· ὑπάγει τὰ προβλήματα τοῖς ἠθικοῖς. ὑπάγοντος δὲ αὐτοῦ τοῦ κέρδους, ἤγουν ἐπὶ μᾶλλον ὑποθήγοντος· καὶ ὑπαγόμενος, ἀντὶ τοῦ πειθόμενος, ἐξαπατώμενος, ἢ ἐξαπατῶν.

84 Ποτίδαιαν) Τὴν Κασσάνδρειαν. Ὑπάγει) Ἀπατᾷ.

Τὴν Βοιωτίαν) Διὰ τοῦ περιποιῆσαι αὐτοῖς Ὀρχομενὸν καὶ Κορώνειαν· οὐκ ἔχοντες γὰρ καὶ ταῦτα ὑπακούοντα μετὰ τῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ διορωρύγμεθα κατὰ πόλεις, ὥστ' ἄχρι τῆς τήμερον ἡμέρας, οὐδὲν οὔτε 33
τῶν συμφερόντων οὔτε τῶν δεόντων πρᾶξαι δυνάμεθα· οὐδὲ συστῆναι, οὐ-
δὲ κοινωνίαν βοηθείας καὶ φιλίας οὐδεμίαν ποιήσασθαι, ἀλλὰ μείζω γι-
γνόμενον τὸν ἄνθρωπον περιορῶμεν, τὸν χρόνον κερδᾶναι τοῦτον, ὃν ἄλλος
ἀπόλλυται, ἕκαστος ἐγνωκὼς ὥς γέ μοι δοκεῖ, οὐχ ὅπως σωθήσεται τὰ τῶν ἑλλή-
νων σκοπῶν οὐδὲ πράττων· ἐπεὶ ὅτι γε ὥσπερ περίοδος ἢ καταβολὴ πυρετοῦ 34
ἢ τινος ἄλλου κακοῦ, καὶ τῷ πάνυ πόρρω δοκοῦντι νῦν ἀφεστάναι προσέρχε-
ται, οὐδεὶς ἀγνοεῖ δήπου. Καὶ μὴν κἀκεῖνό γε ἴστε, ὅτι, ὅσα μὲν ὑπὸ λακεδαι-
μονίων, ἢ ὑφ'* ἡμῶν ἔπασχον οἱ ἕλληνες, ἀλλ' οὖν ὑπὸ γνησίων γε ὄντων τῆς
ἑλλάδος, ἠδικοῦντο· καὶ τὸν αὐτὸν τρόπον ἄν τις ὑπέλαβε τοῦτο, ὥσπερ ἂν εἴ
τις υἱὸς* ἐν οὐσίᾳ πολλῇ γεγονὼς γνήσιος, διῴκει τι μὴ καλῶς μηδ' ὀρθῶς, 35
κατ' αὐτὸ μὲν τοῦτο, ἄξιος μέμψεως εἶναι καὶ κατηγορίας· ὡς δ' οὐ προσή-
κων, ἢ ὡς οὐ κληρονόμος τούτων ὢν ταῦτα ἐποίει, οὐκ εἶναι λέγειν. εἰ δέ γε δοῦ-
λος ἢ ὑποβολιμαῖος τὰ μὴ προσήκοντα ἀπώλλυε καὶ ἐλυμαίνετο, ἡρα-
κλεις ὅσῳ μᾶλλον δεινὸν καὶ πολλῆς ὀργῆς ἄξιον πάντες ἂν ἔφασαν εἶναι. ἀλ-
λ' οὐχ ὑπὲρ φιλίππου καὶ ὧν ἐκεῖνος πράττει νῦν, οὐχ οὕτως ἔχουσιν, οὐ 36
μόνον οὐχ ἕλληνος ὄντος οὐδὲ προσήκοντος οὐδὲν τοῖς ἕλλησιν, ἀλλ' οὐδὲ βαρ-
βάρου ἐντεῦθεν ὅθεν καλὸν εἰπεῖν, ἀλλ' ὀλέθρου μακεδόνος, ὅθεν οὐδ' ἀν-
δράποδον σπουδαῖον οὐδὲν ἦν πρότερον πρίασθαι. καίτοι τί τῆς ἐσχάτης
ὕβρεως ἀπολείπει; οὐ πρὸς τῷ πόλεις* ἀνῃρηκέναι, τίθησι μὲν τὰ πύθια, τὸν
κοινὸν τῶν ἑλλήνων ἀγῶνα, κἂν αὐτὸς μὴ παρῇ, τοὺς δούλους ἀγωνοθετήσοντας 37
πέμπει; κύριος δὲ πυλῶν καὶ τῶν ἐπὶ τοὺς ἕλληνας παρόδων ἐστὶ, καὶ φρουραῖς
καὶ ξένοις τοὺς τόπους τούτους κατέχει; ἔχει δὲ καὶ τὴν προμαντείαν τοῦ θεοῦ,
παρώσας ἡμᾶς καὶ θετταλοὺς καὶ δωριέας καὶ τοὺς ἄλλους ἀμφικτύονας, ἧς
οὐδὲ τοῖς ἕλλησιν ἅπασι μέτεστι; γράφει δὲ θετταλοῖς, ὅν τινα χρὴ τρόπον πο-
λιτεύεσθαι; πέμπει δὲ ξένους, τοὺς μὲν, εἰς πορθμὸν, τὸν δῆμον ἐκβαλοῦντας 38
τὸν ἐρετριέων· τοὺς δ', ἐπ' ὠρεὸν, τύραννον φιλιστίδην καταστήσοντας; ἀλλ' ὅ-
μως ταῦθ' ὁρῶντες οἱ ἕλληνες ἀνέχονται· καὶ τὸν αὐτὸν τρόπον* ὅνπερ οἱ τὴν
χάλαζαν ἔμοιγε δοκοῦσι θεωρεῖν, εὐχόμενοι* μὴ καθ' ἑαυτοὺς ἕκαστοι γενέ-
σθαι, κωλύειν δὲ οὐδεὶς ἐπιχειρῶν. οὐ μόνον δ' ἐφ' οἷς ἡ ἑλλὰς ὑβρίζεται ὑπ'
αὐτοῦ, οὐδεὶς ἀμύνεται, ἀλλ' οὐδ' ὑπὲρ ὧν αὐτὸς ἕκαστος ἀδικεῖται· τοῦτο γάρ 39
ἤδη τοὔσχατόν ἐστιν. οὐ κορινθίων ἐπ' ἀμβρακίαν ἐλήλυθε καὶ λευκάδα; οὐκ
ἀχαιῶν ναύπακτον ἀφῃρημένος, ὀμώμοκεν αἰτωλοῖς παραδώσειν; οὐχὶ θη-
βαίων ἐχῖνον ἀφῄρηται; καὶ νῦν ἐπὶ βυζαντίους πορεύεται, συμμάχους ὄντας
οὐχ ἡμῶν; ἐῶ τἄλλα. ἀλλὰ χερρονήσου τὴν μεγίστην ἔχει πόλιν, καρδίαν. ταῦτα
τοίνυν πάσχοντες ἅπαντες, μέλλομεν καὶ μαλακιζόμεθα, καὶ πρὸς τοὺς πλη- 40
σίον* ἀποβλέπομεν, ἀπιστοῦντες ἀλλήλοις, οὕτω φανερῶς πάντας ἡμᾶς ἀδι-
κοῦντος. καίτοι τὸν ἅπασιν ἀσελγῶς οὕτω χρώμενον, τί οἴεσθε, ἐπειδὰν* ἑνὸς
ἡμῶν ἑκάστου κύριος γένηται, τί ποιήσειν· τί οὖν αἴτιον τουτωνί; οὐ γὰρ ἄνευ λό-
γου καὶ δικαίας αἰτίας οὔτε τότε οὕτως εἶχον ἑτοίμως πρὸς ἐλευθερίαν ἅπαν-
τες οἱ ἕλληνες, οὔτε νῦν πρὸς τὸ δουλεύειν. ἦν τι τότ' ἦν, ὦ ἄνδρες ἀθηναῖοι, 41
ἐν ταῖς τῶν πολλῶν διανοίαις, ὃ νῦν οὐκ ἔστιν, ὃ καὶ τοῦ περσῶν ἐκράτησε πλού-

*ὑμῶν. ε.

*ὢν. ε.

*ἑλληνίδας. θ.

*ὥσπερ. θ.

*μὲν. ε. θ.

*βλέπομεν. γ. ε.

*καθ' ἕνα ἡμῶν ἕκαστον. θ

Ἀλλ' οὖν) 34 Ἤγουν ὅμως.

Εἰς πορθμὸν) 38 Πορθμὸς, ἐπίνειον τῆς ἐρετρίας· ὀνομασμένος δὲ ἐκλήθη ἀπὸ τοῦ πελάγους τοῦ μεταξὺ αὐτῆς καὶ ἀθηνῶν.

Ναύπακτον) 39 Ναύπακτος ἐκλήθη ἀπὸ τοῦ, τοὺς ἡρακλείδας μέλλοντας κατελθεῖν ἐπὶ τὴν πελοπόννησον, ἐκεῖ πήξασθαι καὶ κατασκευάσαι τὰς ναῦς.

Ἐχῖνον) Ἐχῖνος, πόλις, θηβαίων μὲν ἄποικος, πλησίον δὲ θετταλίας, ἀπὸ ἐχίνου ἑνὸς τῶν σπαρτῶν.

του, καὶ ἐλευθέραν ἦγε τὴν Ἑλλάδα, καὶ οὔτε ναυμαχίας οὔτε πεζῆς μάχης οὐδεμιᾶς
ἡττᾶτο. νῦν δ' ἀπόλωλε, ἅπαντα λελύμανται, καὶ ἄνω καὶ κάτω πεποίηκε τὰ τῶν
Ἑλλήνων πράγματα. τί οὖν ἦν τοῦτο; οὐδὲν ποικίλον οὐδὲ σοφόν· ἀλλ' ὅτι τοὺς παρὰ τῶν
42 ἄρχειν ἀεὶ βουλομένων ἢ διαφθείρειν τὴν Ἑλλάδα, χρήματα λαμβάνοντας, ἅπαν-
τες ἐμίσουν· καὶ χαλεπώτατον ἦν, τὸ δωροδοκοῦντα ἐξελεγχθῆναι· καὶ τιμωρίᾳ με-
γίστῃ τοῦτον ἐκόλαζον· καὶ παραίτησις οὐδεμία ἦν οὐδὲ συγγνώμη. τὸν οὖν καιρὸν ἑκά-
στου τῶν πραγμάτων, ὃν ἡ τύχη καὶ τοῖς ἀμελοῦσι κατὰ τῶν προσεχόντων, καὶ τοῖς μη-
δὲν ἐθέλουσι ποιεῖν, κατὰ τῶν πάντα ἃ προσήκει πραττόντων πολλάκις παρασκευά-
43 ζει, οὐκ ἦν πρίασθαι παρὰ τῶν λεγόντων, οὐδὲ τῶν στρατηγούντων, οὐδὲ τὴν πρὸς
ἀλλήλους ὁμόνοιαν, οὐδὲ τὴν πρὸς τοὺς βαρβάρους καὶ τοὺς τυράννους ἀπιστίαν, οὐ-
δ' ὅλως τῶν τοιούτων οὐδέν. νῦν δ' ἅπανθ' ὥσπερ ἐξ ἀγορᾶς ἐκπέπραται ταῦ-
τα· ἀντεισῆκται δ' ἀντὶ τούτων, ὑφ' ὧν ἀπόλωλε καὶ νενόσηκεν ἡ Ἑλλάς. ταῦτα δ' ἐστὶ τί; ζῆ-
λος, εἴ τις εἴληφέ τι· γέλως, ἂν ὁμολογῇ· συγγνώμη τοῖς ἐλεγχομένοις· μῖσος, ἂν τούτοις τις
44 ἐπιτιμᾷ· τἄλλα πάνθ' ὅσα ἐκ τοῦ δωροδοκεῖν ἤρτηται. ἐπεὶ τριήρεις γε καὶ σωμάτων
πλῆθος, καὶ χρημάτων προσόδοι, καὶ τῆς ἄλλης κατασκευῆς ἀφθονία, καὶ τἄλλα οἷς ἄν
τις ἰσχύειν τὰς πόλεις κρίνοι, νῦν ἅπαντα καὶ πλείω καὶ μείζω ἐστὶ τῶν τότε πολλῷ. ἀλλ' ἅ-
παντα ταῦτα ἄχρηστα, ἄπρακτα, ἀνόνητα ὑπὸ τῶν πωλούντων γίγνεται. ὅτι δ' οὕτω
ταῦτ' ἔχει, τὰ μὲν νῦν, ὁρᾶτε δήπου καὶ οὐδὲν ἐμοῦ προσδεῖσθε μάρτυρος· τὰ δ' ἐν
45 τοῖς ἄνω χρόνοις, ὅτι τἀναντία τούτων εἶχεν, ἐγὼ δηλώσω, οὐ λόγους ἐμαυτοῦ λέγων,
ἀλλὰ γράμματα τῶν προγόνων τῶν ὑμετέρων δεικνύων, ἃ ἐκεῖνοι κατέθεντο εἰς στή-
λην χαλκῆν γράψαντες, εἰς ἀκρόπολιν· οὐχ ἵνα αὐτοῖς ᾖ χρήσιμα· καὶ γὰρ ἄνευ τούτων
τῶν γραμμάτων τὰ δέοντα ἐφρόνουν· ἀλλ' ἵνα ὑμεῖς ἔχητε ὑπομνήματα καὶ παρα-
δείγματα, ὡς ὑπὲρ τῶν τοιούτων σπουδάζειν προσήκει. τί οὖν λέγει τὰ γράμματα·
46 "Ἄρθμιος, φησίν, ὁ Πυθώνακτος ὁ Ζελείτης, ἄτιμος ἔστω καὶ πολέμιος τοῦ δήμου τῶν
Ἀθηναίων καὶ τῶν συμμάχων, αὐτὸς καὶ γένος." εἶθ' ἡ αἰτία προσγέγραπται δι' ἣν
"τοῦτ' ἐγένετο· ὅτι τὸν χρυσὸν τὸν ἐκ τῶν Μήδων, εἰς Πελοπόννησον ἤγαγεν, οὐκ Ἀθή-
ναζε." ταῦτ' ἐστὶ τὰ γράμματα. λογίζεσθε δὴ πρὸς διός καὶ θεῶν, καὶ θεωρεῖτε
παρ' ὑμῖν αὐτοῖς, τίς ἦν ποτὲ ἡ διάνοια τῶν τότε Ἀθηναίων τῶν ταῦτα ποιούντων, ἢ τί τὸ
47 ἀξίωμα. ἐκεῖνοι Ζελείτην τινά, Ἄρθμιον δοῦλον βασιλέως· ἡ γὰρ Ζέλειά ἐστι τῆς Ἀσίας·
ὅτι τῷ δεσπότῃ διακονῶν χρυσίον ἤγαγεν εἰς Πελοπόννησον, οὐκ Ἀθήναζε, ἐχθρὸν αὐ-
τῶν ἀνέγραψαν καὶ τῶν συμμάχων, αὐτὸν καὶ γένος, καὶ ἀτίμους εἶναι. τοῦτο δ' ἐστὶν, οὐχ
ἣν ἄν οὑτωσί τις φήσειεν ἀτιμίαν· τί γὰρ τῷ Ζελείτῃ τοῦτ' ἔμελλεν, εἰ τῶν Ἀθήνησι κοινῶν
μὴ μεθέξειν ἔμελλεν; ἀλλ' οὐ τοῦτο λέγει· ἀλλ' ἐν τοῖς φονικοῖς γέγραπται νόμοις, ὑπὲρ ὧν
48 ἂν μὴ διδῷ δίκας, φόνου δικάσασθαι, ἀλλ' εὐαγὲς ᾖ τὸ ἀποκτεῖναι· "καὶ ἄτιμος, φησί, τεθνά-
τω." τοῦτο δὴ λέγει, καθαρὸν τὸν τούτων τινὰ ἀποκτείναντα εἶναι. οὐκοῦν ἐνόμιζον ἐκεῖνοι
τῆς ἁπάντων τῶν Ἑλλήνων σωτηρίας αὐτοῖς ἐπιμελητέον εἶναι· οὐ γὰρ ἂν αὐτοῖς ἔμελεν, εἴ τις
ἐν Πελοποννήσῳ τινὰς ὠνεῖται, ἢ διαφθείρει, μὴ τοῦθ' ὑπολαμβάνουσιν· ἐκόλαζον δ' οὕτω
καὶ ἐτιμωροῦντο, οὓς αἴσθοιντο δωροδοκοῦντας, ὥστε καὶ στηλίτας ποιεῖν. ἐκ δὲ τού-
49 των, εἰκότως τὰ τῶν Ἑλλήνων ἦν τῷ βαρβάρῳ φοβερά, οὐχ ὁ βάρβαρος τοῖς Ἕλλησιν.
ἀλλ' οὐ νῦν· οὐ γὰρ οὕτως ἔχεθ' ὑμεῖς, οὔτε πρὸς τὰ τοιαῦτα, οὔτε πρὸς τὰ ἄλλα· ἀλλὰ
πῶς; ἴστε αὐτοί. τί γὰρ δεῖ περὶ πάντων ὑμῶν κατηγορεῖν; καὶ παραπλησίως δὲ καὶ οὐδὲν
βέλτιον ὑμῶν, ἅπαντες οἱ λοιποὶ Ἕλληνες. διόπερ φημὶ ἔγωγε καὶ σπουδῆς πολλῆς καὶ

Ἄτιμος) ἀτιμώρητος.

βουλῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΥΠΟΘΕΣΙΣ ΛΟΓΟΥ ΤΡΙΤΟΥ ΤΟΥ ΚΑ-
τὰ Φιλίππου.

ΑΠΛΗ τοῦ λόγου τούτου ἡ ὑπόθεσις· Φιλίππου γάρ, λόγῳ μὲν εἰρήνην ἄγοντος, ἔργῳ δὲ πολλὰ ἀδικοῦντος, συμβουλεύει τοῖς Ἀθηναίοις ὁ ῥήτωρ ἀναστῆναι καὶ ἀμύνασθαι τὸν βασιλέα, ὡς κινδύνου μεγάλου καὶ αὐτοῖς ἐπικρεμαμένου, καὶ πᾶσι κοινῇ τοῖς Ἕλλησι.

# ΔΗΜΟΣΘΕΝΟΥΣ,
## κατὰ Φιλίππου λόγος τρίτος.

Πολλῶν, ὦ ἄνδρες Ἀθηναῖοι, λόγων γιγνο- 1
μένων, ὀλίγου δεῖν καθ' ἑκάστην ἐκκλη-
σίαν, περὶ ὧν Φίλιππος, ἀφ' οὗ τὴν εἰρή-
νην ἐποιήσατο, οὐ μόνον ὑμᾶς, ἀλλὰ καὶ τοὺς
ἄλλους Ἕλληνας ἀδικεῖ, καὶ πάντων εὖ οἶ-
δ' ὅτι φησάντων γ' ἄν, εἰ καὶ μὴ ποιοῦσι τοῦτο, καὶ λέγειν δεῖν καὶ 2
πράττειν ἅπασι προσήκειν, ὅπως ἐκεῖνος παύσεται τῆς ὕβρεως
καὶ δίκην δώσει, εἰς τοῦτο ὑπηγμένα πάντα τὰ πράγματα καὶ
προειμένα ὁρῶ, ὥστε δέδοικα μὴ βλάσφημον μὲν εἰπεῖν, ἀλη-
θὲς δὲ ᾖ, εἰ καὶ λέγειν ἅπαντες ἐβούλοντο οἱ παριόντες, καὶ χει-
ροτονεῖν ὑμεῖς, ἐξ ὧν ὡς φαυλότατα ἔμελλε τὰ πράγματα ἕ- 3
ξειν, οὐκ ἂν ἡγοῦμαι δύνασθαι χεῖρον ἢ νῦν διατεθῆναι. πολ-
λὰ μὲν οὖν ἴσως ἐστὶν αἴτια τοῦ ταῦθ' οὕτως ἔχειν, καὶ οὐ παρ' ἓν
οὐδὲ δύο εἰς τοῦτο τὰ πράγματα ἀφῖκται· μάλιστα δέ, ἂν περ
ἐξετάζητε ὀρθῶς, εὑρήσετε διὰ τοὺς χαρίζεσθαι μᾶλλον ἢ τὰ
βέλτιστα λέγειν προαιρουμένους· ὧν τινὲς μέν, ὦ ἄνδρες Ἀθη- 4
ναῖοι, ἐν οἷς εὐδοκιμοῦσιν αὐτοὶ καὶ δύνανται, ταῦτα φυλάττον-
τες, οὐδεμίαν περὶ τῶν μελλόντων πρόνοιαν ἔχουσιν. οὐκοῦν
οὐδ' ὑμᾶς οἴονται δεῖν ἔχειν. ἕτεροι δέ, τοὺς ἐπὶ τοῖς πράγμα-
σιν ὄντας αἰτιώμενοι καὶ διαβάλλοντες, οὐδὲν ἄλλο ποιοῦσιν ἢ
ὅπως, ἡ μὲν πόλις αὐτὴ παρ' αὐτῆς δίκην λήψεται, καὶ περὶ 5
τοῦτ' ἔσται· Φιλίππῳ δ' ἐξέσται καὶ λέγειν καὶ πράττειν ὅ, τι βού-
λεται. αἱ δὲ τοιαῦται πολιτεῖαι, συνήθεις μὲν εἰσὶν ὑμῖν, αἴτιαι
δὲ τῆς ταραχῆς καὶ τῶν ἁμαρτημάτων. ἀξιῶ δ' ὑμᾶς ὦ
ἄνδρες Ἀθηναῖοι, ἐάν τι τῶν ἀληθῶν μετὰ παρρησίας λέγω, μη-
δεμίαν μοι διὰ τοῦτο παρ' ὑμῶν ὀργὴν γενέσθαι· σκοπεῖτε γὰρ 6
ὡδί. ὑμεῖς τὴν παρρησίαν, ἐπὶ μὲν τῶν ἄλλων, οὕτω κοινὴν οἴε-
σθε δεῖν εἶναι πᾶσι τοῖς ἐν τῇ πόλει, ὥστε καὶ τοῖς ξένοις καὶ τοῖς δού-
λοις αὐτῆς μεταδεδώκατε. καὶ πολλοὺς ἄν τις οἰκέτας ἴδοι παρ' ὑ-
μῖν μετὰ πλείονος ἐξουσίας ὅ, τι βούλονται λέγοντας, ἢ πολίτας
ἐν ἐνίαις τῶν ἄλλων πόλεων. ἐκ δὲ τοῦ συμβουλεύειν παντά- 7
πασιν ἐξεληλάκατε. εἶθ' ὑμῖν συμβέβηκεν ἐκ τούτου, ἐν μὲν
ταῖς ἐκκλησίαις, τρυφᾶν καὶ κολακεύεσθαι πάντα πρὸς ἡ-
δονὴν ἀκούουσιν· ἐν δὲ τοῖς πράγμασι καὶ τοῖς γιγνομένοις,

## ΣΧΟΛΙΑ.

1 Πολλῶν, ὦ ἄνδρες) Τοπικὴν καταδρομὴν ἔχει Φιλίππου τὸ προοίμιον. σχῆμα τοῦ δ' ἐκ πλαγιασμοῦ τέμνοντος τὸν λόγον.

Καὶ πάντων) Κατασκευή.

Φησάντων) Ἀντὶ τοῦ ψηφισαμένων.

2 Τῆς ὕβρεως) Οὐκ εἶπεν ἀδικίας ἢ πλεονεξίας, ἀλλ' ὕβρεως· ὃ παρ' Ἀθηναίοις οὐδὲ τοῖς δούλοις ἀνεκτόν.

Προειμένα) Προδεδομένα.

Εἰ καὶ λέγειν) Δεύτερον προοίμιον ἐκ τοῦ ἐναντίου· τὸ δὲ σχῆμα ὡς ἐν ὑποθέσει. ἐνταῦθα δὲ πρότασις.

3 Πολλὰ οὖν ἴσως) Αἰτία τῆς προτάσεως, ἡ κατασκευή.

4 Ὧν, τινὲς) Τῶν προδοτῶν οἱ ἀναισχυντότεροι.

5 Ἕτεροι δὲ) Τοὺς κατηγόρους Διοπείθους αἰνίττεται.

Αἱ δὲ τοιαῦται) Συμπέρασμα τοῦ προοιμίου.

Ἀξιῶ δ' ὑμᾶς) Εἰσβολὴ ἐντεῦθεν ἐπὶ τὸ συμφέρον· τὸ δὲ σχῆμα προδιόρθωσις.

7 Ἐξεληλάκατε) Τὴν παρρησίαν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

περὶ τῶν ἐσχάτων ἤδη κινδυνεύειν. εἰ μὲν οὖν καὶ νῦν οὕτω διάκεισθε, οὐκ ἔχω
8 τί λέγω· εἰ δ' ἃ συμφέρει "τοῖς πράγμασι χωρὶς κολακείας ἐθελήσετε "τῇ πόλει.
ἀκούειν, ἕτοιμος λέγειν. καὶ γὰρ εἰ πάνυ φαύλως τὰ πράγματα ἔχει, καὶ πολ-
λὰ προεῖται, ὅμως ἔστιν, ἐὰν ὑμεῖς τὰ δέοντα ποιεῖν βούλησθε ἔτι, πάντα ταῦ-
τα ἐπανορθώσασθαι. καὶ παράδοξον μὲν ἴσως ἐστὶν ὃ μέλλω λέγειν, ἀληθὲς δέ·
τὸ χείριστον ἐν τοῖς παρεληλυθόσι, τοῦτο πρὸς τὰ μέλλοντα βέλτιστον ὑπάρχει.
9 τί οὖν ἐστι τοῦτο; ὅτι οὔτε μικρὸν οὔτε μέγα οὐδὲν τῶν δεόντων ποιούντων ὑ-
μῶν, κακῶς τὰ πράγματα ἔχει· ἐπεί τοι γε εἰ πάνθ' ἃ προσῆκε πραττ-
όντων ὑμῶν, οὕτω διέκειτο, οὐδ' ἂν ἐλπὶς ἦν αὐτὰ γενέσθαι βελτίω. νῦν δὲ,
τῆς μὲν ῥᾳθυμίας τῆς ὑμετέρας καὶ τῆς ἀμελείας κεκράτηκε Φίλιππος,
τῆς πόλεως δ' οὐ κεκράτηκεν· οὐδ' ἥττησθε ὑμεῖς, ἀλλ' οὐδὲ κεκίνησθε. εἰ μὲν
10 οὖν ἅπαντες ὁμολογοῦμεν Φίλιππον τῇ πόλει πολεμεῖν, καὶ τὴν εἰρήνην
παραβαίνειν, οὐδὲν ἄλλο ἔδει τὸν "παριόντα λέγειν καὶ συμβουλεύειν, ἢ ὅπως "παρόντα.
ἀσφαλέστατα καὶ ῥᾷστα αὐτὸν ἀμυνούμεθα· ἐπειδὴ δὲ οὕτως ἀτόπως ἔνιοι διά-
κεινται, ὥστε πόλεις καταλαμβάνοντος ἐκείνου, καὶ πολλὰ τῶν ὑμετέρων ἔχον-
τος, καὶ πάντας ἀνθρώπους ἀδικοῦντος, ἀνέχεσθαί τινων ἐν ταῖς ἐκκλη-
11 σίαις λεγόντων πολλάκις, ὡς ἡμῶν τινές εἰσιν οἱ ποιοῦντες τὸν πόλεμον, ἀνάγ-
κη φυλάττεσθαι καὶ διορθοῦσθαι περὶ τούτου· ἔστι γὰρ δέος μήποθ' ὡς "ἀμυ- "ἀμυνώμεθα. β.
νούμεθα γράψας τις καὶ συμβουλεύσας, εἰς τὴν αἰτίαν ἐμπέσῃ τοῦ πεποιη-
κέναι τὸν πόλεμον. ἐγὼ δὲ, τοῦτο πρῶτον ἁπάντων λέγω καὶ διορίζομαι, εἰ
ἐφ' ἡμῖν ἐστι τὸ "βουλεύεσθαι περὶ τοῦ, πότερον εἰρήνην ἢ πόλεμον ἄγειν δεῖ. "βουλεύσασθαι.
12 εἰ μὲν οὖν ἔξεστιν εἰρήνην ἄγειν τῇ πόλει, καὶ ἐφ' ἡμῖν ἐστι τοῦτο, ἵν' ἐντεῦθεν β. γ.
ἄρξωμαι, φημὶ ἔγωγε ἄγειν "ἡμᾶς δεῖν, καὶ τὸν ταῦτα λέγοντα γράφειν καὶ
πράττειν, καὶ μὴ φενακίζειν ἀξιῶ· εἰ δ' ἕτερος τὰ ὅπλα ἐν ταῖς χερσὶν ἔχων
καὶ δύναμιν πολλὴν περὶ αὐτὸν, τοὔνομα μὲν τὸ τῆς εἰρήνης "ὑμῖν προβάλλε- "ἡμῖν. γ. ε.
ται, τοῖς δ' ἔργοις αὐτὸς τοῖς τοῦ πολέμου χρῆται, τί λοιπὸν ἄλλο πλὴν ἀμύ-
13 νεσθαι. φάσκειν δὲ εἰρήνην ἄγειν, εἰ βούλεσθε ὥσπερ ἐκεῖνος, οὐ διαφέρομαι·
εἰ δέ τις ταύτην εἰρήνην ὑπολαμβάνει, ἐξ ἧς ἐκεῖνος πάντα τἆλλα λα-
βὼν ἐφ' ἡμᾶς ἥξει, πρῶτον μὲν μαίνεται, ἔπειτα ἐκείνῳ παρ' ὑμῶν, οὐχ ὑμῖν
παρ' ἐκείνου τὴν εἰρήνην ἄγειν λέγει. τοῦτο δ' ἐστὶν, ὃ τῶν ἀναλισκομένων χρη-
μάτων ἁπάντων Φίλιππος ὠνεῖται, αὐτὸν μὲν πολεμεῖν "ὑμῖν, ὑφ' "ὑμῶν δὲ "ἡμῖν. ε. "ἡμῶν. ε.
14 μὴ πολεμεῖσθαι. καὶ μὴν εἰ μέχρι τούτου περιμενοῦμεν, ἕως ἂν ἡμῖν ὁμολο-
γήσῃ πολεμεῖν, πάντων ἐσμὲν εὐηθέστατοι· οὐδὲ γὰρ ἂν ἐπὶ τὴν Ἀττικὴν αὐ-
τὴν βαδίζῃ καὶ τὸν Πειραιᾶ, τοῦτ' ἐρεῖ, εἴπερ οἷς πρὸς τοὺς ἄλλους πεποίηκε δεῖ
τεκμαίρεσθαι. τοῦτο μὲν γὰρ Ὀλυνθίοις τετταράκοντ' ἀπέχων τῆς πόλεως στά-
δια, εἶπεν, ὅτι δεῖ δυοῖν θάτερον, ἢ ἐκείνους ἐν Ὀλύνθῳ μὴ οἰκεῖν, ἢ "αὐτὸν ἐν "αὐτός. γ.
15 Μακεδονίᾳ, πάντα τὸν ἄλλον χρόνον, εἴ τις αὐτὸν αἰτιάσαιτό τι τοιοῦτον, ἀγανα-
κτῶν καὶ πρέσβεις πέμπων τοὺς ἀπολογησομένους· τοῦτο δ' εἰς Φωκέας, ὡς
πρὸς συμμάχους ἐπορεύετο, καὶ φίλους· καὶ πρέσβεις Φωκέων ἦσαν, οἳ παρη- [illegible] γ.
κολούθουν αὐτῷ πορευομένῳ· καὶ παρ' ἡμῖν ἤριζον πολλοί, "Θηβαίοις οὐ λυσι- "Θηβαίους. γ.
τελήσειν τὴν ἐκείνου πάροδον. καὶ μὴν καὶ Φερὰς πρώην ὡς φίλος καὶ σύμ-
16 μαχος εἰς Θετταλίαν ἐλθὼν, ἔχει καταλαβών· καὶ τὰ τελευταῖα τοῖς ταλαι-

πώροις

7 Εἰ μὲν οὖν καὶ νῦν) Ἐντεῦθεν τὸ συμπέρασμα. ἄλλοι δὲ εἰσβολὴν τῶν ἀγώνων φασίν.

10 Εἰ μὲν οὖν ἅπαντες) Εἰσβολὴ τῶν ἀγώνων. ἀρχὴ δὲ τοῦ συμφέροντος.

Ἀτόπως) Πονηρῶς καὶ κακῶς τῇ γνώμῃ.

Ἔνιοι) Τῶν ἀκροατῶν.

13 Εἰ δέ τις ταύτην) Ἀντιπῖπτον λύει. ἀπαρίθμησις τὸ σχῆμα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πρὸς ὠρείταις τουτοισί, ἐπισκεψομένους ἔφη τοὺς στρατιώτας πεπομφέναι κατ' εὔ-
νοιαν· πυνθάνεσθαι γὰρ αὐτοὺς, ὡς νοσοῦσι καὶ στασιάζουσιν ἐν αὐτοῖς· συμμάχων δ' εἶναι
καὶ φίλων ἀληθινῶν, ἐν τοῖς τοιούτοις καιροῖς παρεῖναι. εἶτ' οἴεσθε, οἳ μὲν οὐδὲν ἂν αὐτὸν ἐ-
δυνήθησαν ποιῆσαι κακόν, μὴ παθεῖν δ' ἐφυλάξαντ' ἂν ἴσως, τούτους μὲν ἐξαπατᾶν
αἱρεῖσθαι μᾶλλον ἢ προλέγοντα βιάζεσθαι· ὑμῖν δ' ἐκ προρρήσεως πολεμήσειν, καὶ 17 Προρρήσεως) Προαγορεύσεως φανερᾶς.
ταῦθ' ἕως ἂν ἑκόντες ἐξαπατᾶσθε; οὐκ ἔστι ταῦτα· καὶ γὰρ ἂν ἀβελτερώτατος εἴη πάν-
των ἀνθρώπων, εἰ τῶν ἀδικουμένων ὑμῶν, μηδὲν ἐγκαλούντων αὐτῷ, ἀλλ' ὑμῶν αὐ-
τῶν τινὰς αἰτιωμένων, καὶ κρίνειν βουλομένων, ἐκεῖνος ἐκλύσας τὴν πρὸς ἀλλήλους ἔριν
ἑαυτοῦ.γ. ὑμῶν καὶ φιλονεικίαν, ἐφ' ἑαυτὸν προείποι τρέπεσθαι, καὶ τῶν παρ' ἑαυτῷ μισθοφο-
ρούντων τοὺς λόγους ἀφέλοιτο, οἷς ἀναβάλλουσιν ὑμᾶς, λέγοντες ὡς ἐκεῖνός γε οὐ πολε- 18
μεῖ τῇ πόλει. ἀλλ' ἔστιν, ὦ πρὸς τοῦ Διός, ὅστις εὖ φρονῶν, ἐκ τῶν ὀνομάτων μᾶλλον ἢ
δή.ε. τῶν πραγμάτων, τὸν ἄγοντ' εἰρήνην ἢ πολεμοῦνθ' ἑαυτῷ σκέψαιτ' ἄν; οὐδεὶς *που.
ὁ τοίνυν Φίλιππος ἐξ ἀρχῆς, ἄρτι τῆς εἰρήνης γεγονυίας, οὔπω Διοπείθους στρατηγοῦν-
τος, οὐδὲ τῶν ἐν Χερρονήσῳ νῦν ὄντων ἀπεσταλμένων, Σέρριον καὶ Δορίσκον κατελάμ-
*ἐξέβαλλεν.ε. βανε, καὶ τοὺς ἐκ Σερρίου τείχους καὶ Ἱεροῦ ὄρους στρατιώτας *ἐξέβαλεν, οὓς ὁ ὑμέτερος 19
**κ. καὶ ταῦτα.β.γ. στρατηγὸς κατέστησε. **καίτοι ταῦτα πράττων, τί ἐποίει; εἰρήνην μὲν γὰρ ὠμωμόκει. καὶ
μηδεὶς εἴπῃ, τί δὲ ταῦτ' ἐστίν, ἢ τί τούτων μέλει τῇ πόλει; εἰ μὲν γὰρ μικρὰ ταῦτά ἐστιν, ἢ
μηδὲν ὑμῖν αὐτῶν ἔμελεν, ἄλλος ἂν εἴη λόγος οὗτος· τὸ δ' εὐσεβὲς καὶ τὸ δίκαιον, ἄν τ' ἐπὶ
*κ. μικροῦ τις.ε *μικροῦ τις, ἄν τ' ἐπὶ **μείζονος παραβαίνῃ, τὴν αὐτὴν ἔχει δύναμιν. φέρε δὴ νῦν, ἡ-
**κ. μείζονός τι.ε νίκ' εἰς Χερρόνησον, ἣν βασιλεὺς καὶ πάντες οἱ Ἕλληνες ὑμετέραν ἐγνώκασιν εἶναι, ξένους 20
*ὑμῖν.ε.θ. εἰσπέμπει, καὶ βοηθεῖν ὁμολογεῖ, καὶ ἐπιστέλλει ταῦτα, τί ποιεῖ; φησὶ μὲν γὰρ οὐ πολεμεῖν*,
**ἡμᾶς.θ. ἐγὼ δὲ τοσούτου δέω ταῦτα ποιοῦντα ἐκεῖνον ὁμολογεῖν ἄγειν τὴν πρὸς **ὑμᾶς εἰρήνην.
*** … ὥστε καὶ Μεγάρων ἁπτόμενον, καὶ ἐν Εὐβοίᾳ τυραννίδα κατασκευάζοντα, καὶ νῦν ***ἐπὶ Θρᾴ-
ἐπιόντα.ε.θ κην παριόντα, καὶ τὰ ἐν Πελοποννήσῳ σκευωρούμενον, καὶ πάνθ' ὅσα πράττει μετὰ τῆς
δυνάμεως ποιοῦντα, λύειν φημὶ τὴν εἰρήνην, καὶ πολεμεῖν ὑμῖν· εἰ μὴ καὶ τοὺς τὰ 21
μηχανήματα ἐφιστάντας, εἰρήνην ἄγειν φήσετε, ἕως ἂν αὐτὰ τοῖς τείχεσιν ἤδη προσ- Εἰ μὴ) Τὸ κατὰ συκοφαντ. σχῆμα.
αγάγωσιν. ἀλλ' οὐ φήσετε. ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθείην ταῦτα πράττων καὶ κατασκευα-
ζόμενος, οὗτος ἐμοὶ πολεμεῖ, κἂν μήπω βάλλῃ μηδὲ τοξεύῃ. τίσιν οὖν ὑμεῖς κινδυνεύ- Ὁ γὰρ οἷς) Περίοδος κατ' εὐθεῖαν.
σαιτ' ἄν, εἴ τι γένοιτο; τῷ τὸν Ἑλλήσποντον ὑμῶν ἀλλοτριωθῆναι, τῷ Μεγάρων καὶ τῆς
Εὐβοίας τὸν πολεμοῦνθ' ὑμῖν γενέσθαι κύριον, τῷ Πελοποννησίους τἀκείνου φρονῆσαι. 22
*παρασκευάζ.β.ε. εἶτα τὸν τοῦτο τὸ μηχάνημα ἐπὶ τὴν πόλιν ἐφιστάντα καὶ *κατασκευάζοντα, τοῦτον εἰ-
**δέω.ε.θ. ρήνην ἄγειν ἐγὼ φῶ πρὸς ὑμᾶς; πολλοῦ γε καὶ **δεῖ. ἀλλ' ἀφ' ἧς ἡμέρας ἀνεῖλε Φω- Ἀλλ' ἀφ' ἧς ἡμέρας) Ἀνέμνησεν αὐτοὺς λυπηροῦ διηγήματος.
κέας, ἀπὸ ταύτης ἔγωγ' αὐτὸν πολεμεῖν ὑμῖν ὁρίζομαι. ὑμᾶς δέ, ἐὰν μὲν ἀμύνησθε ἤ-
*σωφρονεῖν.Γ.ε δη, *σωφρονήσειν φημί· ἐὰν δ' **ἀναβάλησθε, οὐδὲ τοῦτο ὅταν βούλησθε, δυνήσεσθε ποιῆ-
**ἐάσητε.θ. ***ε.θ. σαι. καὶ τοσοῦτόν γε ἀφέστηκα τῶν ἄλλων, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν συμβουλευόντων, ὥστε 23
οὐδὲ δοκεῖ μοι περὶ Χερρονήσου νῦν σκοπεῖν, οὐδὲ Βυζαντίου. ἀλλ' ἐπαμῦναι μὲν τού-
*στρατιώταις.ε.θ. τοις, καὶ διατηρῆσαι μή τι πάθωσι, καὶ τοῖς οὖσιν ἐκεῖ νῦν *στρατηγοῖς πάνθ' ὅσων ἂν δέ-
**βουλεύσασθαι.ε. ωνται ἀποστεῖλαι. **βουλεύεσθαι μέντοι περὶ πάντων τῶν Ἑλλήνων, ὡς ἐν κινδύνῳ μεγί-
στῳ καθεστηκότων. βούλομαι δ' εἰπεῖν πρὸς ὑμᾶς ἐξ ὧν ὑπὲρ τῶν πραγμάτων οὕ-
τω φοβοῦμαι, ἵν' εἰ μὲν ὀρθῶς λογίζομαι, μετάσχητε τῶν λογισμῶν, καὶ πρόνοιάν τιν' ὑ- 24
*ἄλλων, ἂν ἄρα βούλησθε ποιήσασθε.θ. μῶν γε αὐτῶν, εἰ καὶ μὴ τῶν *ἄλλων ἄρα βούλεσθε, ποιήσησθε· ἂν δὲ ληρεῖν καὶ τετυφῶ- Τετυφῶσθαι) Μεμηνέναι· ἀπὸ τυ-
**νῦν.θ. σθαι δοκῶ, μήτε νῦν, μήτ' αὖθις ὡς ὑγιαίνοντί μοι προσέχητε. ὅτι μὲν **δὴ μέγας ἐκ

μικροῦ καὶ ταπεινοῦ τὸ κατ' ἀρχὰς ὁ φίλιππος ηὔξηται, καὶ ἀπίστως καὶ στασιαστικῶς ἔχουσι πρὸς αὑτοὺς οἱ ἕλληνες, καὶ ὅτι πολλῷ παραδοξότερον
25 ἦν τοσοῦτον αὐτὸν ἐξ ἐκείνου γενέσθαι, ἢ νῦν ὅτε οὕτω πολλὰ προείληφε, καὶ τὰ λοιπὰ ὑφ' αὑτῷ ποιήσασθαι, καὶ πάνθ' ὅσα τοιαῦτ' ἂν ἔχοιμι διεξελθεῖν, παραλείψω. ἀλλ' ὁρῶ συγκεχωρηκότας ἅπαντας ἀνθρώπους ἀφ' ὑμῶν ἀρξαμένους αὐτῷ, ὑπὲρ οὗ τὸν ἄλλον ἅπαντα χρόνον, ἅπαντες οἱ πόλεμοι γεγόνασιν οἱ ἑλληνικοί. τί οὖν ἐστι τοῦτο; τὸ ποιεῖν ὅ, τι βούλεται,
26 καὶ καθ' ἕνα ἕκαστον οὑτωσὶ περικόπτειν καὶ λωποδυτεῖν τῶν ἑλλήνων, καὶ καταδουλοῦσθαι τὰς πόλεις ἐπιόντα. καίτοι προστάται μὲν ὑμεῖς ἑβδομήκοντα ἔτη καὶ τρία τῶν ἑλλήνων ἐγένεσθε· προστάται δὲ, τριάκοντα ἑνὸς δέοντα, λακεδαιμόνιοι· ἴσχυσαν δέ τι καὶ θηβαῖοι τουτουσὶ τοὺς τελευταίους χρόνους, μετὰ τὴν ἐν λεύκτροις μάχην· ἀλλ' ὅμως οὔθ' ὑμῖν οὔτε θηβαίοις
27 οὔτε λακεδαιμονίοις οὐδεπώποτε, ὦ ἄνδρες ἀθηναῖοι, συνεχωρήθη τοῦτο ὑπὸ τῶν ἑλλήνων, ποιεῖν ὅ, τι βούλεσθε· οὐδὲ πολλοῦ δεῖ· ἀλλὰ τοῦτο μὲν ὑμῖν, μᾶλλον δὲ τοῖς τότ' οὖσιν ἀθηναίοις, ἐπειδή τισιν οὐ μετρίως ἐδόκουν προσφέρεσθαι, πάντες ᾤοντο δεῖν πολεμεῖν, καὶ οἱ μηδὲν ἐγκαλεῖν ἔχοντες αὐτοῖς, μετὰ τῶν ἠδικημένων· καὶ πάλιν λακεδαιμονίοις ἄρξασι καὶ
28 παρελθοῦσιν εἰς τὴν δυναστείαν τὴν αὐτὴν ταύτην ὑμῖν, ἐπειδὴ πλεονάζειν ἐπεχείρουν, καὶ πέρα τοῦ μετρίου τὰ καθεστηκότα ἐκίνουν, πάντες εἰς πόλεμον κατέστησαν καὶ οἱ μηδὲν ἐγκαλοῦντες αὐτοῖς. καὶ τί δεῖ τοὺς ἄλλους λέγειν· ἀλλ' ἡμεῖς αὐτοὶ καὶ λακεδαιμόνιοι, οὐδὲν ἂν εἰπεῖν ἔχοντες ἐξ ἀρχῆς ὅτι ἠδικούμεθ' ὑπ' ἀλλήλων, ὅμως ὑπὲρ ὧν τοὺς ἄλλους ἀδι-
29 κουμένους ἑωρῶμεν, πολεμεῖν ᾠόμεθα δεῖν. καίτοι πάνθ' ὅσα ἐξημάρτηται, καὶ λακεδαιμονίοις ἐν τοῖς τριάκοντ' ἐκείνοις ἔτεσι, καὶ τοῖς ὑμετέροις προγόνοις ἐν τοῖς ἑβδομήκοντα, ἐλάττονά ἐστιν, ὦ ἄνδρες ἀθηναῖοι, ὧν φίλιππος ἐν τρισὶ καὶ δέκα οὐχ ὅλοις ἔτεσιν οἷς ἐπιπολάζει, ἠδίκηκε τοὺς ἕλληνας· μᾶλλον δὲ, οὐδὲ πολλοστὸν μέρος τούτων ἐκεῖνα.
30 καὶ τοῦτο ἐκ βραχέος λόγου ῥᾴδιον δεῖξαι. ὄλυνθον μὲν δὴ, καὶ μεθώνην, καὶ ἀπολλωνίαν, καὶ δύο καὶ τριάκοντα πόλεις ἐπὶ θρᾴκης ἐῶ, ἃς ἁπάσας οὕτως ὠμῶς ἀνῄρηκεν, ὥστε μηδένα μηδ' εἰ πώποτ' ᾠκίσθησαν, εἶναι ῥᾴδιον προσελθόντα εἰπεῖν· καὶ τὸ φωκέων ἔθνος τοσοῦτον ἀνῃρημένον, σιωπῶ. ἀλλὰ θετταλία πῶς ἔχει· οὐχὶ τὰς πόλεις καὶ τὰς πολι-
31 τείας αὐτῶν παρῄρηται, καὶ τετραδαρχίας κατέστησεν, ἵνα μὴ μόνον κατὰ πόλεις, ἀλλὰ καὶ κατ' ἔθνη δουλεύωσιν. αἱ δ' ἐν εὐβοίᾳ πόλεις οὐκ ἤδη τυραννοῦνται, καὶ ταῦτα ἐν νήσῳ πλησίον θηβῶν καὶ ἀθηνῶν; οὐ διαρρήδην ἐν ταῖς ἐπιστολαῖς γράφει, ἐμοὶ δ' ἐστὶν εἰρήνη πρὸς τοὺς ἀκούειν ἐμοῦ βουλομένους; καὶ οὐ γράφει μὲν ταῦτα, τοῖς ἔργοις δὲ οὐ ποιεῖ·
32 ἀλλ' ἐφ' ἑλλήσποντον οἴχεται. πρότερον ἧκεν ἐπ' ἀμβρακίαν· ἦλιν ἔχει, τηλικαύτην πόλιν ἐν πελοποννήσῳ· μεγαρεῦσιν ἐπεβούλευσε πρώην· οὔθ' ἡ ἑλλὰς οὔθ' ἡ βάρβαρος τὴν πλεονεξίαν χωρεῖ τἀνθρώπου. καὶ ταῦθ' ὁρῶντες οἱ ἕλληνες ἅπαντες καὶ ἀκούοντες, οὐ πέμπομεν πρέσβεις περὶ τούτων πρὸς ἀλλήλους καὶ ἀγανακτοῦμεν. οὕτω δὲ κακῶς διακείμεθα

καὶ δι-

---

φωνὸς τοῦ ἀνταίραντος πόλεμον πρὸς τοὺς θεούς· μανίας γὰρ τοῦτο σημεῖον· ὅθεν καὶ τετυφωμένον ἄνθρωπον καλοῦμεν, τὸν ἀλαζόνα καὶ μεῖζον ἢ προσήκει φρονοῦντα. τινὲς δὲ τὸ τετυφῶσθαι ἀπὸ τοῦ τύφειν, ὅ ἐστι σκοτοῦσθαι τοὺς ὀφθαλμοὺς ἀπὸ καπνοῦ· σκοτοῦται δὲ καὶ ὁ ἀνύστατος τὴν διάνοιαν.

27 Μᾶλλον δὲ) Καλῶς προσέθηκε τὴν ἐπιδιόρθωσιν· οὐδὲ γὰρ οἱ νῦν ἀθηναῖοι ἐποίησαν ἃ ἐπιφέρει.

29 Ἐπιπολάζει) Ἀντὶ τοῦ πλεονάζει τοῖς ἀδικήμασιν. ἀπὸ μεταφορᾶς τοῦ πλεονάζοντος ὕδατος, ὅταν ὑπεραίρηται καὶ ὑπερεκχῆται πλέον τοῦ μέτρου.

Τούτων) Ὧν ὁ φίλιππος ποιεῖ.

30 Τὰς πόλεις) Ὧν ἦρχέ ποτε ἀχιλλεὺς καὶ φιλοκτήτης, πρωτεσίλαος, ποδαλείριος.

31 Καὶ οὐ γράφει μὲν ταῦτα) Ὅρα τὴν τῶν σχημάτων ποικιλίαν.

τούτων πλεονεξίαν, οἱ μὲν ἤδη πεπόνθασιν, ἃ δὴ πάντες ἴσα-
σιν· οἱ δ' ὅ, τι ἂν ποτε συμβῇ, πείσονται. ὑμεῖς δ', ὧν μὲν ἀπε- 85
στέρησθε, σιωπῶ· ἀλλ' ἐν αὐτῷ τῷ τὴν εἰρήνην ποιήσασθαι,
πόσα ἐξηπάτησθε, πόσων ἀπεστέρησθε· οὐχὶ φωκέας; οὐ πύ-
λας; οὐχὶ τὰ ἐπὶ θρᾴκης; δορίσκον, σέρριον, τὸν κερσοβλέπτην
αὐτόν; οὐ νῦν τὴν πόλιν τὴν καρδιανῶν ἔχει καὶ ὁμολογεῖ; τί πο-
τ' οὖν ἐκείνως τοῖς ἄλλοις καὶ οὐ τὸν αὐτὸν τρόπον ὑμῖν προσφέ- 86
ρεται; ὅτι ἐν μόνῃ τῶν πασῶν πόλεων τῇ ἡμετέρᾳ, ἄδεια ὑπὲρ
τῶν ἐχθρῶν λέγειν δέδοται· καὶ τὸν λαβόντα χρήματ' αὐτὸν, ἀσφα-
λές ἐστι λέγειν παρ' ὑμῖν, κἂν ἀφῃρημένοι τὰ ὑμέτερα αὐτῶν
ἦτε. οὐκ ἦν ἀσφαλὲς λέγειν ἐν ὀλύνθῳ τὰ φιλίππου, μὴ
συνευπεπονθότων τῶν πολλῶν ὀλυνθίων, τῷ ποτίδαιαν καρ- 87
ποῦσθαι. οὐκ ἦν ἀσφαλὲς λέγειν ἐν θετταλίᾳ τὰ φιλίππου,
μηδὲν εὖ πεπονθότος τοῦ πλήθους τοῦ θετταλῶν, τοὺς τυ-
ράννους ἐκβαλεῖν φίλιππον αὐτοῖς, καὶ τὴν πυλαίαν ἀποδοῦ-
ναι. οὐκ ἦν ἐν θήβαις ἀσφαλὲς, πρὶν τὴν βοιωτίαν ἀπέδωκε, καὶ
τοὺς φωκέας ἀνεῖλεν· ἀλλ' ἀθήνησιν, οὐ μόνον ἀμφίπολιν καὶ τὴν 88
καρδιανῶν χώραν ἀπεστερηκότος φιλίππου, ἀλλὰ καὶ κατα-
σκευάζοντος ὑμῖν ἐπιτείχισμα τὴν εὔβοιαν, καὶ νῦν ἐπὶ βυ-
ζάντιον παριόντος, ἀσφαλές ἐστι λέγειν ὑπὲρ φιλίππου. τοι-
γάρτοι, τούτων μὲν ἐκ πτωχῶν ἔνιοι, ταχὺ πλούσιοι γίγνονται
καὶ ἐξ ἀνωνύμων καὶ ἀδόξων, ἔνδοξοι καὶ γνώριμοι. ὑμεῖς δὲ, 89
τοὐναντίον, ἐκ μὲν ἐνδόξων, ἄδοξοι· ἐκ δ' εὐπόρων, ἄποροι·
πόλεως γὰρ ἔγωγε πλοῦτον ἡγοῦμαι, συμμάχους, πίστιν, εὔ-
νοιαν· ὧν ἁπάντων ἐσθ' ὑμεῖς ἄποροι. ἐκ δὲ τοῦ τούτων ὀλι-
γώρως ὑμᾶς ἔχειν, καὶ ἐᾶν ταῦτα φέρεσθαι, ὁ μὲν, εὐδαίμων
καὶ μέγας καὶ φοβερὸς πᾶσιν ἕλλησι καὶ βαρβάροις γέγονεν· 90
ὑμεῖς δὲ, ἔρημοι καὶ ταπεινοί, τῇ μὲν τῶν ὠνίων ἀφθονίᾳ, λαμ-
προί· τῇ δ' ὧν προσῆκε παρασκευῇ, καταγέλαστοι. οὐ τὸν αὐ-
τὸν δὲ τρόπον περί τε ὑμῶν, καὶ περὶ αὐτῶν ἐνίους τῶν λεγόν-
των ὁρῶ βουλευομένους. ὑμᾶς μὲν γὰρ, ἡσυχίαν ἄγειν φασὶ
δεῖν, κἂν τις ὑμᾶς ἀδικῇ· αὐτοὶ δ' οὐ δύνανται παρ' ὑμῖν ἡσυ- 91
χίαν ἄγειν, οὐδενὸς αὐτοὺς ἀδικοῦντος. εἶτα φησὶν, ὃς ἂν τύχῃ
παρελθών, οὐ γὰρ ἐθέλεις γράφειν, οὐδὲ κινδυνεύειν, ἀλλ' ἄτολ-
μος εἶ καὶ μαλακός. ἐγὼ δὲ, θρασὺς μὲν καὶ βδελυρὸς καὶ ἀναι-
δὴς, οὔτ' εἰμὶ, μήτε γενοίμην· ἀνδρειότερον μέντοι πολλῶν πά-
νυ τῶν ἰταμῶς πολιτευομένων παρ' ὑμῖν, ἐμαυτὸν ἡγοῦμαι. 92
ὅστις μὲν γὰρ, ὦ ἄνδρες ἀθηναῖοι, παριδὼν ἃ συνοίσει τῇ πό-
λει, κρίνει, δημεύει, δίδωσι, κατηγορεῖ, οὐδεμιᾷ ταῦτ' ἀνδρείᾳ
ποιεῖ, ἀλλ' ἔχων ἐνέχυρον τῆς αὑτοῦ σωτηρίας τὸ πρὸς χάριν
ὑμῖν λέγειν καὶ πολιτεύεσθαι, ἀσφαλῶς θρασύς ἐστιν. ὅστις
δ' ὑπὲρ τοῦ βελτίστου πολλὰ τοῖς ὑμετέροις ἐναντιοῦται βου- 93

βοιωτῶν. ἐδόκουν μὴ πάσης ἄρχειν βοιωτίας.

Δορίσκον) Χωρίον ἐστὶ θρᾳκικόν. 85

Σέρριον) Καὶ αὐτὸ ὄνομα χωρίου· ὃ καὶ σέρριον τεῖχος.

Κερσοβλέπτην) Κερσοβλέπτης, παῖς μὲν ἦν κότυος· καὶ νεώτατος ὤν, βασιλεὺς κατέστη θρᾴκης.

Προσφέρεται) Προστίθεται.

Οὐκ ἦν ἀσφαλές) Σχῆμα τὸ περὶ ἐπιμονῆς καὶ κάλλους, τὸ λεγόμενον, ἢ κατὰ κῶλον ἐπαναφορά. 86

Τοὺς τυράννους) Τοὺς ἀλευάδας. 87

Ἐπιτείχισμα) Τὸ κτιζόμενον κατὰ τῶν χωρίων, ὅθεν ἦν τοῖς ἐπιτειχίσαντας κακῶς ποιεῖν· καὶ τὸ πρᾶγμα, ἐπιτειχισμός. καὶ ἀμφότερα Δημοσθένης· τὸ μὲν, ἐνταῦθα· τὸ δ' ἐπιτειχισμὸς, ἐν τῷ ὑπὲρ κτησιφῶντος. 88

Μαλακός) Ἤγουν δειλός. 91

Βδελυρός) Αἰσχροποιός.

Ἀναιδής) Ἀναιδὲς τὸ θρασὺ βλέπειν· καὶ ἀναιδῶ, ἀντὶ τοῦ ἀθρόως, σφοδρῶς, ἀπηρυθριασμένως· αἰδῶ δὲ διὰ τοῦ ε, ἀντὶ τοῦ ἐνδεδομένως· καὶ ἀναιδῶς, ἀναισχύντως· καὶ ἀναιδής, ἀναίσχυντος.

Ἰταμῶς) Ἰταμὸς, ἀναιδής, σκληρός, ὠμός· παρὰ τὸ ἴεσθαι, ὅ ἐστιν ὁρμᾶν· τοιοῦτοι γὰρ οἱ ἀναιδεῖς. 92

Ἀνδρία) Οὐχ ἡ πολιτικὴ ἀρετή, ἀλλ' ἡ μείζων ταύτης τῷ αὐτῷ ὀνόματι χρωμένη, παρεκγινομένη τοῦ θυμουμένου τῆς ψυχῆς. ἀνδρεία δὲ ψιλῇ διὰ διφθόγγου, ἀπὸ τοῦ ἀνδρεῖος. καὶ ἀνδρεία, ἡ τῶν ἀνδρῶν ἡλικία, καὶ τὸ αἰδοῖον.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λήμμασι, καὶ μηδὲν λέγει πρὸς χάριν, ἀλλὰ τὸ βέλτιστον ἀεὶ καὶ τὴν τοιαύτην πολι-
τείαν "προαιρεῖται, ἐν ᾗ πλειόνων ἡ τύχη κυρία γίγνεται ἢ οἱ λογισμοί, τούτων δ᾽ ἀμφοτέ- "αἱρεῖται. ε.
ρων ὑπεύθυνον ὑμῖν ἑαυτὸν παρέχει, οὗτός ἐστιν ἀνδρεῖος, καὶ χρήσιμός γε πολίτης ὁ τοιοῦ-
τός ἐστιν· οὐχ οἱ τῆς παρ᾽ ἡμέραν χάριτος τὰ μέγιστα τῆς πόλεως ἀπολωλεκότες· οὓς ἐγὼ
94 "τοσούτου δέω ζηλοῦν, ἢ νομίζειν ἀξίους πολίτας τῆς πόλεως εἶναι· ὥστ᾽ εἴ τις ἔροιτό με, "τοσούτῳ. ε.
Εχων) Κα-
παραλει-
εἰπέ μοι, σὺ δὲ δὴ τί τὴν πόλιν ἡμῖν ἀγαθὸν πεποίηκας, ἔχων, ὦ ἄνδρες ἀθηναῖοι, καὶ ε. θ.
τριηραρχίας εἰπεῖν καὶ χορηγίας, καὶ χρημάτων εἰσφορὰς, καὶ λύσεις αἰχμαλώτων, καὶ
τοιαύτας ἄλλας φιλανθρωπίας, οὐδὲν ἂν τούτων εἴποιμι· ἀλλ᾽ ὅτι τῶν τοιούτων πολιτευ-
μάτων οὐδὲν "πολιτεύομαι, ἀλλὰ δυνάμενος ἂν ἴσως ὥσπερ καὶ ἕτεροι κατηγορεῖν καὶ "γρ. πεπολίτευμαι. β. ε. θ.
95 χαρίζεσθαι καὶ δημεύειν, καὶ τἄλλα ἃ ποιοῦσιν οὗτοι ποιεῖν, οὐδ᾽ ἐφ᾽ ἓν τούτων πώποτ᾽ ἐ-
μαυτὸν ἔταξα, οὐδὲ προήχθην, οὔθ᾽ ὑπὸ κέρδους, οὔθ᾽ ὑπὸ φιλοτιμίας· ἀλλὰ διατε-
λῶ λέγων, ἐξ ὧν, ἐγὼ μὲν πολλῶν ἐλάττων εἰμὶ παρ᾽ ὑμῖν· ὑμεῖς δὲ εἰ πείθοισθέ μοι,
μείζους ἂν εἴητε· οὕτω γὰρ ἂν ἴσως ἀνεπίφθονον εἰπεῖν. οὐδέ γ᾽ ἐμοὶ δοκεῖ δικαίου τοῦτ᾽ εἶναι
πολίτου, τοιαῦτα πολιτεύματα εὑρίσκειν, ἐξ ὧν, ἐγὼ μὲν πρῶτος ὑμῶν ἔσομαι εὐθέως,
96 ὑμεῖς δὲ τῶν ἄλλων ὕστατοι· ἀλλὰ συναυξάνεσθαι δεῖ τὴν πόλιν τοῖς τῶν ἀγαθῶν πο-
λιτῶν πολιτεύμασι, καὶ τὸ βέλτιστον ἀεί, μὴ τὸ ῥᾷστον ἅπαντας λέγειν· "ἐπ᾽ ἐκεῖνο μὲν γὰρ "γρ. ἐπ᾽ ἐκεῖνον μὲν ἡ φύ-
ἡ φύσις αὐτὴ βαδιεῖται· ἐπὶ τοῦτο δὲ, τῷ λόγῳ δεῖ προάγεσθαι διδάσκοντα τὸν ἀγα- σις. β.
θὸν πολίτην. ἤδη τοίνυν τινὸς ἤκουσα καὶ τοιοῦτόν τι λέγοντος, ὡς ἄρα ἐγὼ λέγω μὲν ἀεὶ τὰ ε. θ.
βέλτιστα, ἔστι δὲ οὐδὲν "ἄλλο ἢ λόγοι τὰ παρ᾽ ἐμοῦ· δεῖ δὲ ἔργων τῇ πόλει καὶ πράξεως "ἀλλ᾽ ἤ. θ.
97 τινος. ἐγὼ δ᾽ ὡς ἔχω περὶ τούτων, λέξω πρὸς ὑμᾶς καὶ οὐκ ἀποκρύψομαι. οὐκ εἶναι νο-
μίζω τοῦ συμβουλεύοντος ὑμῖν ἔργον οὐδὲν, πλὴν εἰπεῖν τὰ βέλτιστα. καὶ τοῦθ᾽ ὅτι τοῦτον
ἔχει τὸν τρόπον, ῥᾳδίως οἶμαι δείξειν· ἴστε γὰρ δήπου τοῦθ᾽ ὅτι τιμόθεός ποτ᾽ ἐκεῖνος ἐν ὑ-
μῖν ἐδημηγόρησεν, ὡς δεῖ βοηθεῖν, καὶ τοὺς εὐβοέας σώζειν, ὅτε θηβαῖοι κατεδουλοῦντο
αὐτούς· καὶ λέγων, εἶπεν οὕτω πως, εἰπέ μοι, βουλεύεσθε, ἔφη, θηβαίους ἔχοντες ἐν νήσῳ, τί
98 χρήσεσθε καὶ τί δεῖ ποιεῖν; οὐκ ἐμπλήσετε τὴν θάλατταν, ὦ ἄνδρες ἀθηναῖοι, τριη- ε. θ.
ρων; οὐκ ἀναστάντες ἤδη "πορεύσεσθε, εἰς τὸν πειραιᾶ; οὐ καθέλξετε τὰς ναῦς; οὐκοῦν εἶπε "πορεύεσθε. β
μὲν ταῦτα ὁ τιμόθεος, ἐποιήσατε δ᾽ ὑμεῖς. ἐκ δὲ τούτων ἀμφοτέρων τὸ πρᾶγμα ἐ-
πράχθη. εἰ δ᾽, ὁ μὲν εἶπεν ὡς οἷόν τε τὰ ἄριστα ὥσπερ εἶπε τότε· ὑμεῖς δ᾽ ἀπερραθυ-
μήσατε, καὶ μηδὲν ὑπηκούσατε, ἆρ᾽ ἂν ἦν γεγονός τι τῶν τότε "συμβαινόντων τῇ πόλει, οὐχ "συμβαινόν-
99 οἷόν τε. οὕτω τοίνυν καὶ περὶ ὧν ἂν ἐγὼ λέγω νυνὶ, καὶ περὶ ὧν ἂν ὁ δεῖνα εἴπῃ, τὰ μὲν ἔργα των. β. γ.
Εν κεφα-
λαίῳ) Ανακε-
φαλαίωσις.
παρ᾽ ὑμῶν αὐτῶν ζητεῖτε· τὰ δὲ βέλτιστα ἐπιστήμῃ λέγειν παρὰ τοῦ παριόντος. ἐν κεφα-
λαίῳ δ᾽ ἃ λέγω φράσας, καταβαίνειν βούλομαι. χρήματα εἰσφέρειν φημὶ δεῖν, τὴν ὑ-
πάρχουσαν δύναμιν συνέχειν, ἐπανορθοῦντας εἴ τι δοκεῖ μὴ καλῶς ἔχειν, μὴ οἷς ἂν
τις αἰτιάσηται, τὸ ὅλον καταλύοντας· πρέσβεις ἐκπέμπειν "πανταχοῦ τοὺς διδάξοντας, "πανταχοῖ. γ.
100 νουθετήσοντας, πράξοντας ὅσα ἂν δύνωνται τῇ πόλει. παρὰ πάντα ταῦτα, τοὺς ἐπὶ τοῖς
πράγμασι δωροδοκοῦντας κολάζειν, καὶ μισεῖν ἀεὶ καὶ πανταχοῦ, ἵν᾽ οἱ μέτριοι καὶ
δικαίους ἑαυτοὺς παρέχοντες, εὖ βεβουλεῦσθαι δοκῶσι, καὶ τοῖς ἄλλοις καὶ ἑαυτοῖς. κἂν οὕ-
τω τοῖς πράγμασι χρῆσθε, καὶ παύσησθε ὀλιγωροῦντες ἁπάντων, ἴσως ἂν ἴσως καὶ νῦν
ἔτι τὰ λοιπὰ βελτίω γένοιτο. εἰ μέντοι καθεδεῖσθε ἄχρι τοῦ θορυβῆσαι καὶ ἐπαινέσαι ε.
101 σπουδάζοντες, ἐὰν δὲ δέῃ τι ποιεῖν ἀναδυόμενοι, οὐχ ὁρῶ λόγον ὅστις ἄνευ τοῦ ποιεῖν ὑμᾶς
ἃ προσήκει, δυνήσεται τὴν πόλιν σῶσαι.

ΤΡΟΘ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βουλῆς ἀγαθῆς τὰ παρόντα πράγματα προσδεῖσθαι. τίνος εἴπω· κελεύετε, καὶ οὐκ
ὀργιεῖσθε; ἐκ τοῦ γραμματείου ἀναγίνωσκε. Ἀνάγνωσις γραμματείου.
Ἔστι τοίνυν τις εὐήθης λόγος παρὰ τῶν παραμυθεῖσθαι βουλομένων τὴν πόλιν, ὡς 50
ἄρα οὔπω Φίλιππός ἐστι τοιοῦτος, οἷοί ποτ' ἦσαν Λακεδαιμόνιοι, οἳ θαλάττης μὲν ἦρχον
καὶ γῆς ἁπάσης, βασιλέα δὲ σύμμαχον εἶχον, ὑφίστατο δὲ οὐδεὶς αὐτούς· ἀλλ' ὅμως ἠ-
μύνατο κἀκείνους ἡ πόλις, καὶ οὐκ ἀνηρπάσθη. ἐγὼ δὲ ἁπάντων ὡς ἔπος εἰπεῖν, πολ-
λὴν εἰληφότων ἐπίδοσιν, καὶ οὐδὲν ὁμοίων ὄντων τῶν νῦν τοῖς πρότερον, οὐδὲν ἡγοῦ- 51
μαι πλέον ἢ τὰ τοῦ πολέμου κεκινῆσθαι καὶ ἐπιδεδωκέναι· πρῶτον μὲν γὰρ ἀκούω Λα-
κεδαιμονίους τότε καὶ πάντας τοὺς ἄλλους Ἕλληνας, τέτταρας μῆνας ἢ πέντε τὴν ὡραίαν
αὐτὴν στρατεύεσθαι, καὶ τοῦτον τὸν χρόνον ἐμβαλόντας καὶ κακώσαντας τὴν τῶν ἀντιπά-
λων χώραν ὁπλίταις καὶ πολιτικοῖς στρατεύμασιν, ἀναχωρεῖν ἐπ' οἴκου πάλιν. οὕτω
δ' ἀρχαίως εἶχον, μᾶλλον δὲ* πολιτικῶς, ὥστε οὐδὲ χρημάτων ὠνεῖσθαι παρ' οὐδε-
νὸς οὐδέν, ἀλλ' εἶναι νόμιμόν τινα καὶ προφανῆ τὸν πόλεμον. νυνὶ δ' ὁρᾶτε μὲν δήπου τὰ
πλεῖστα τοὺς προδότας ἀπολωλεκότας, οὐδὲν δ' ἐκ παρατάξεως οὐδ' ἐκ μάχης
γιγνόμενον· ἀκούετε δὲ Φίλιππον, οὐχὶ τῷ φάλαγγας ὁπλιτῶν ἄγειν, βαδίζονθ' ὅποι βού-
λεται, ἀλλὰ τῷ ψιλούς, ἱππέας, τοξότας, ξένους, τοιοῦτον ἐξηρτῆσθαι στρατόπεδον. ἐπει-
δὰν δὲ τούτοις πρὸς νοσοῦντας ἐν αὑτοῖς καὶ τεταραγμένους προσπέσῃ, καὶ 53
μηδεὶς ὑπὲρ τῆς χώρας δι' ἀπιστίαν ἐξίῃ, μηχανήματ' ἐπιστήσας, πολιορκεῖ. καὶ σιωπῶ
θέρος καὶ χειμῶνα, ὡς οὐδὲν* διαφέρει, οὐδ' ἐστὶν ἐξαίρετος ὥρα τις, ἣν διαλείπει. ταῦ-
τα μέντοι πάντας εἰδότας δεῖ καὶ λογιζομένους, μὴ προσέσθαι τὸν πόλεμον εἰς τὴν χώ-
ραν, μηδ' εἰς τὴν εὐήθειαν τὴν τοῦ τότε πρὸς Λακεδαιμονίους πολέμου βλέποντας, ἐκ-
τραχηλισθῆναι. ἀλλ' ὡς ἐκ πλείστου φυλάττεσθαι τοῖς πράγμασι, καὶ ταῖς παρα- 54
σκευαῖς, ὅπως οἴκοθεν μὴ κινήσεται σκοποῦντας, οὐχὶ συμπλακέντας διαγωνίζεσθαι.
πρὸς μὲν γὰρ πόλεμον, πολλὰ φύσει πλεονεκτήματα ἡμῖν ὑπάρχει, ἄν περ, ὦ ἄνδρες
Ἀθηναῖοι, ποιεῖν ἐθέλωμεν ἃ δεῖ. ἡ φύσις τῆς ἐκείνου χώρας, ἧς ἄγειν καὶ φέρειν ἐστὶ πολ-
λὴν καὶ κακῶς ποιεῖν, ἄλλα μυρία· εἰς δὲ ἀγῶνα, ἄμεινον ἡμῶν ἐκεῖνος ἤσκηται. οὐ μό-
νον δὲ δεῖ ταῦτα γινώσκειν, οὐδὲ τοῖς ἔργοις ἐκεῖνον ἀμύνεσθαι τοῖς τοῦ πολέμου· ἀλλὰ 55
καὶ τῷ λογισμῷ καὶ τῇ διανοίᾳ τοὺς παρ' ὑμῖν ὑπὲρ αὐτοῦ λέγοντας μισῆσαι, ἐνθυμουμέ-
νους ὅτι οὐκ ἔνεστι τῶν ἔξω τῆς πόλεως ἐχθρῶν κρατῆσαι, πρὶν ἂν τοὺς ἐν αὐτῇ τῇ πόλει
κολάσητε ὑπηρετοῦντας ἐκείνῳ. ὃ μὰ τὸν Δία καὶ τοὺς ἄλλους θεούς, οὐ δύνασθε ὑμεῖς ποι-
ῆσαι, οὐδὲ βούλεσθε· ἀλλ' εἰς τοῦτ' ἀφῖχθε μωρίας, ἢ παρανοίας, ἤ, οὐκ ἔχω τί λέγω·
πολλάκις γὰρ ἔμοιγ' ἐπελήλυθε καὶ τοῦτο φοβεῖσθαι, μή τι δαιμόνιον τὰ πράγματα 56
ἐλαύνῃ· ὥστε λοιδορίας ἢ φθόνου ἢ σκώμματος, ἧς τινος ἂν τύχητε* αἰτίας, ἀνθρώπους
μισθωτούς, ὧν οὐδ' ἂν ἀρνηθεῖεν ἔνιοι ὡς οὐκ εἰσὶ τοιοῦτοι, λέγειν κελεύετε, καὶ γελᾶτε ἄν
τισι λοιδορηθῶσι. καὶ οὐχὶ τοῦτό πω δεινόν, καίπερ ὂν δεινόν· ἀλλὰ καὶ μετὰ πλείονος ἀσφα-
λείας πολιτεύεσθαι δεδώκατε τούτοις, ἢ τοῖς ὑπὲρ ὑμῶν λέγουσι. καίτοι θεάσασθε ὅσας
συμφορὰς παρασκευάζει τὸ τῶν τοιούτων ἐθέλειν ἀκροᾶσθαι. λέξω δ' ἔργα ἃ πάντες 57
εἴσεσθε. ἦσαν ἐν Ὀλύνθῳ τῶν ἐν τοῖς πράγμασι, τινὲς μὲν τὰ Φιλίππου φρονοῦντες, καὶ
πάνθ' ὑπηρετοῦντες ἐκείνῳ· τινὲς δὲ τοῦ βελτίστου, καὶ ὅπως μὴ δουλεύσουσιν οἱ πολῖται
πράττοντες. πότεροι δὴ τὴν πατρίδα ἀπώλεσαν; ἢ πότεροι τοὺς ἱππέας προὔδοσαν, ὧν
προδοθέντων Ὄλυνθος ἀπώλετο; οἱ τὰ Φιλίππου φρονοῦντες, καὶ ὅτ' ἦν ἡ πόλις, τοὺς τὰ
βέλτιστα λέγοντας συκοφαντοῦντες καὶ διαβάλλοντες οὕτως, ὥστε τόν γ' Ἀπολλωνίδην 58

Ὡραίαν) Κατὰ τὸν καιρὸν τοῦ θέρους.
Ἀρχαίως) Ἁπλῶς καὶ χωρὶς πανουργίας.
Πολιτικῶς) Δικαίως, μὴ χρήμασιν ὠνούμενοι τὰ πράγματα.
Ἐκ πλείστου) Πόρρωθεν.
Ὧν) Τῶν προδοτῶν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ ἐκβαλεῖν ὁ δῆμος ὁ τῶν ὀλυνθίων ἐπείσθη. οὐ τοίνυν παρὰ τούτοις μόνοις τὸ ἔθος τοῦτο πάν-
τα κακὰ εἰργάσατο, ἄλλοθι δ' οὐδαμοῦ· ἀλλ' ἐν ἐρετρίᾳ, ἐπειδή γε ἀπαλλαγέντος πλου-
τάρχου καὶ τῶν ξένων ὁ δῆμος εἶχε τὴν πόλιν καὶ τὸν πορθμόν, οἱ μὲν ἐφ' ὑμᾶς ἦγον τὰ πρά-
γματα· οἱ δ', ἐπὶ φίλιππον. ἀκούοντες δὲ τούτων τὰ πολλά, μᾶλλον δὲ πάντα οἱ ταλαί-
59 πωροι καὶ δυστυχεῖς ἐρετριεῖς, τελευτῶντες ἐπείσθησαν τοὺς ὑπὲρ αὐτῶν λέγοντας ἐκ-
βαλεῖν. καὶ γάρ τοι πέμψας ἱππόνικον ὁ σύμμαχος καὶ φίλος αὐτοῖς φίλιππος, καὶ ξέ-
νους χιλίους, τὰ τείχη περιεῖλε τοῦ πορθμοῦ, καὶ τρεῖς κατέστησε τυράννους, ἵππαρχον,
αὐτομέδοντα, κλείταρχον. καὶ μετὰ ταῦτ' ἐξελήλακεν ἐκ τῆς χώρας δὶς ἤδη, βουλομένους
σώζεσθαι, τότε μὲν πέμψας τοὺς μετ' εὐρυλόχου ξένους, πάλιν δὲ τοὺς μετὰ παρμενίωνος.
60 καὶ τί δεῖ τὰ πολλὰ λέγειν; ἀλλ' ἐν ὠρεῷ, φιλιστείδης μὲν ἔπραττε φιλίππῳ, καὶ μένιπ-
πος, καὶ σωκράτης, καὶ θόας, καὶ ἀγαπαῖος, οἵπερ νῦν ἔχουσι τὴν πόλιν. καὶ ταῦτ' ᾔδεσαν ἅ-
παντες. εὐφραῖος δέ τις ἄνθρωπος, καὶ παρ' ὑμῖν ποτ' ἐνθάδε οἰκήσας, ὅπως ἐλεύθεροι
καὶ μηδενὸς δοῦλοι ἔσονται, ἔπραττεν. οὗτος τὰ μὲν ἄλλα ὡς ὑβρίζετο καὶ προεπηλακίζετο ὑπὸ
τοῦ δήμου τῶν ὠρειτῶν, πολλὰ ἂν εἴη λέγειν· ἐνιαυτῷ δὲ πρότερον τῆς ἁλώσεως, ἐν-
61 έδειξεν ὡς προδότην τὸν φιλιστείδην καὶ τοὺς μετ' αὐτοῦ, αἰσθόμενος ἃ πράττουσι. συ-
στραφέντες δὲ ἄνθρωποι πολλοὶ καὶ χορηγὸν ἔχοντες φίλιππον, καὶ πρυτανευόμενοι
παρ' ἐκείνου, ἀπάγουσι τὸν εὐφραῖον εἰς τὸ δεσμωτήριον, ὡς συνταράττοντα τὴν πόλιν. ὁρῶν
δὲ ταῦθ' ὁ δῆμος ὁ τῶν ὠρειτῶν, ἀντὶ τοῦ, τῷ μὲν, βοηθεῖν· τοὺς δ', ἀποτυμπανίσαι, τοῖς μὲν,
οὐκ ὠργίζετο· τὸν δ', ἐπιτήδειον εἶναι ταῦτα παθεῖν ἔφη, καὶ ἐπέχαιρε. μετὰ ταῦθ', οἱ μὲν,
62 ἐπ' ἐξουσίας ὁπόσης ἐβούλοντο, ἔπραττον, ὅπως ἡ πόλις ληφθήσεται, καὶ κατεσκευάζοντο
τὴν πρᾶξιν. τῶν δὲ πολλῶν εἴ τις αἴσθοιτο, ἐσίγα καὶ κατεπέπληκτο, τὸν εὐφραῖον οἷα
ἔπαθε μεμνημένος. οὕτω δ' ἀθλίως διέκειντο, ὥστε οὐ πρότερον ἐτόλμησεν οὐδεὶς τοι-
οῦτου κακοῦ προσιόντος, ῥῆξαι φωνήν, πρὶν "διασκευασάμενοι πρὸς τὰ τείχη προσ- "διασκευα-
ῄεσαν οἱ πολέμιοι. τηνικαῦτα δ', οἱ μὲν, ἠμύνοντο· οἱ δέ, προὐδίδοσαν. τῆς δὲ πόλεως
63 οὕτως ἁλούσης αἰσχρῶς καὶ κακῶς, οἱ μέν, ἄρχουσι καὶ τυραννοῦσι, τοὺς τότε σώζοντας αὐτούς,
καὶ τὸν εὐφραῖον, ἑτοίμους ὁτιοῦν ποιεῖν ὄντας, τοὺς μὲν, ἐκβαλόντες· τοὺς δέ, ἀποκτείναντες.
ὁ δ' εὐφραῖος ἐκεῖνος, ἀπέσφαξεν ἑαυτόν, ἔργῳ μαρτυρήσας, ὅτι δικαίως καὶ καθαρῶς
ὑπὲρ τῶν πολιτῶν "αὐθεστήκει φιλίππῳ. τί οὖν ποτ' αἴτιον θαυμάζετ' ἴσως, τοῦ καὶ τοὺς "αὐθέστηκε.
ὀλυνθίους καὶ τοὺς ἐρετριεῖς καὶ τοὺς ὠρείτας ἥδιον πρὸς τοὺς ὑπὲρ φιλίππου λέγοντας
64 ἔχειν, ἢ τοὺς ὑπὲρ ἑαυτῶν; ὅπερ καὶ παρ' ὑμῖν *ὅτι, τοῖς μὲν ὑπὲρ τοῦ βελτίστου λέγουσιν, οὐδὲ *νῦν ἐστ' ἐστίν
βουλομένοις ἔνεστιν ἐνίοτε πρὸς χάριν οὐδὲν εἰπεῖν· τὰ γὰρ πράγματ' ἀνάγκη σκοπεῖν,
ὅπως σωθήσεται· οἱ δ', ἐν αὐτοῖς οἷς χαρίζονται, φιλίππῳ συμπράττουσιν. εἰσφέρειν ἐ-
κέλευον οἱ δ', οὐδὲν δεῖν ἔφασαν. πολεμεῖν καὶ μὴ πιστεύειν οἱ δ', ἄγειν εἰρήνην, ἕως ἐγ-
κατελήφθησαν. τἄλλα τὸν αὐτόν, οἶμαι, τρόπον, ἵνα μὴ καθ' ἕκαστα λέγω. οἱ μέν, *καὶ τὸν τρόπον οὐ δεῖν. γ.
65 ἐφ' οἷς ἤδη χαριοῦνται, ταῦτ' ἔλεγον· *οἱ δ', ἐξ ὧν ἔμελλον σωθήσεσθαι. πολλὰ δὲ καὶ τὰ τελευ- *ἑαυτοῖς. ε.
ταῖα, οὐχ οὕτως οὔτε πρὸς χάριν οὔτε δι' ἄγνοιαν οἱ πολλοὶ προΐεντο· ἀλλ' ὑποκατα-
κλινόμενοι, ἐπειδὴ τοῖς ὅλοις ἡττᾶσθαι ἐνόμιζον. ὃ νὴ τὸν δία, καὶ τὸν ἀπόλλω, δέδοικα ἔγωγε
μὴ πάθητε ὑμεῖς, ἐπειδὰν "εἰδῆτε" ἐκ λογισμοῦ μηδὲν ὑμῖν ἐνόν. καὶ τοὺς εἰς τοῦθ' ὑπάγον- "καὶ ἴδητε. β. ἐκλογιζόμενοι. ε.
τας ὑμᾶς ὁρῶν οὐκ ὀρρωδῶ, ἀλλὰ δυσωποῦμαι· ἢ γὰρ ἐξεπίτηδες ἢ δι' ἄγνοιαν εἰς χα-
66 λεπὸν πρᾶγμα ὑπάγουσι τὴν πόλιν. καίτοι μὴ γένοιτο, ὦ ἄνδρες ἀθηναῖοι, τὰ πρά- ε.
γματ' ἐν τούτῳ· τεθνάναι γὰρ μυριάκις κρεῖττον, ἢ κολακείᾳ τι ποιῆσαι φιλίππῳ, καὶ
προέσθαι τῶν ὑπὲρ ὑμῶν *λεγόντων τινάς. καλήν γ' οἱ πολλοὶ νῦν ἀπειλήφασιν ὠρειτῶν *αὐτῶν. ε.

χάριν

Ἀπαλλαγέντος) Ἀπελαθέντος.

Οὕτω) Τῷ φόβῳ. σημειῶσαι δὲ ὑπόστασιν. Διασκευασάμενοι) τὴν σκευὴν ἀναλαβόντες.

Οἱ μὲν) Μερισμὸς καὶ ὑπομερισμὸς τὸ σχῆμα.

Οἱ δ', οὐδὲν) Οἱ μὴ πρὸς χάριν λέγοντες.

Οἱ δ', ἐξ) Οἷς πρόσθεν ἀπήχθεσαν.

Καλὴν (Κατ' εἰρωνείαν.

ἑαυτούς. ε. η. χαίρειν, ὅτι τοῖς Φιλίππου φίλοις ἐπέτρεψαν" αὐτοῖς, τὸν δ' Εὐφραῖον ἐώθουν· καλῶς
δ'. ε. η. τῶν. ε. η. γ' ὁ δῆμος ὁ* Ἐρετριέων, ὅτι τοὺς ὑμετέρους μὲν πρέσβεις ἀπήλασε, Κλειτάρχῳ δ' ἐνέ-
αὑτόν. ε. η. δωκεν" αὑτόν· δουλεύουσι''' γε μαστιγούμενοι καὶ στρεβλούμενοι. καλῶς Ὀλυνθίων ἐφεί- 67
σατο, τῶν τὸν μὲν Λασθένην ἵππαρχον χειροτονησάντων, τὸν δὲ Ἀπολλωνίδην ἐκβα-
καὶ. η. λόντων. μωρία καὶ κακία τὰ τοιαῦτα ἐλπίζειν, *κακῶς βουλευομένους αὐτούς, καὶ μη-
δὲν ὧν προσήκει ποιεῖν ἐθέλοντας· ἀλλὰ τῶν ὑπὲρ τῶν ἐχθρῶν λεγόντων ἀκροωμένους,
τηλικαύτην ἡγεῖσθαι πόλιν οἰκεῖν τὸ μέγεθος, ὥστε μηδ' ἂν ὁτιοῦν ᾖ δεινὸν πείσεσθαι.
καὶ μὴν ἐκεῖνό γ' αἰσχρὸν ὕστερόν ποτ' εἰπεῖν συμβάντος τινός· τίς γὰρ ἂν ᾠήθη ταῦτα 68
γενέσθαι· νὴ τὸν Δία· ἔδει γὰρ τὸ καὶ τό, ποιῆσαι, καὶ τό, μὴ ποιῆσαι. πολλὰ ἂν εἰπεῖν ἔχοιεν
"προείδοντο. Ὀλύνθιοι νῦν, ἃ τότ' εἰ" προείδοντο, οὐκ ἂν ἀπώλοντο· πόλλ' ἂν Ὠρεῖται, πολλὰ Φωκεῖς,
πολλὰ τῶν ἀπολωλότων ἕκαστοι· ἀλλὰ τί τούτων ὄφελος αὐτοῖς. ἕως ἂν σῴζηται τὸ σκά-
φος, ἄν τε μεῖζον ἄν τ' ἔλαττον ᾖ, τότε χρὴ καὶ ναύτην καὶ κυβερνήτην, καὶ "πάντ' ἄν-
πάντας ἑξῆς προθύμους. η. δρα ἐφεξῆς πρόθυμον εἶναι, καὶ ὅπως μήθ' ἑκὼν, μήτ' ἄκων μηδεὶς ἀνατρέψῃ τοῦτο, 69
σκοπεῖσθαι. ἐπειδὰν δὲ ἡ θάλαττα ὑπέρσχῃ, μάταιος ἡ σπουδή. καὶ ἡμεῖς τοίνυν, ὦ ἄν-
ε. η. δρες Ἀθηναῖοι, ἕως ἐσμὲν σῷοι, πόλιν μεγίστην ἔχοντες, ἀφορμὰς πλείστας, ἀξίωμα
κάλλιστον, τί ποιῶμεν, πάλαι τις ἡδέως ἂν ἴσως ἐρωτήσων κάθηται. ἐγὼ νὴ Δί' ἐρῶ, καὶ
ἐάν. ε. η. γράψω δέ, ὥστε ἂν βούλησθε, χειροτονήσετε, αὐτοὶ πρῶτον ἀμυνόμενοι καὶ παρα-
τοῖς. ε. η. σκευαζόμενοι τριήρεσι, χρήμασι, καὶ *στρατιώταις λέγω· καὶ γὰρ ἂν ἅπαντες δουλεύειν 70
ἡμῖν. ε. γ. δή που συγχωρήσωσιν οἱ ἄλλοι, "ὑμῖν γ' "ὑπὲρ τῆς ἐλευθερίας ἀγωνιστέον. ταῦτα δὴ πάν-
αὐτοί. η. τα* παρασκευασάμενοι καὶ ποιήσαντες τοῖς Ἕλλησι φανερά, τοὺς ἄλλους ἤδη παρακα-
πανταχοῖ. γ. λῶμεν, καὶ τοὺς ταῦτα διδάξοντας ἐκπέμπωμεν πρέσβεις "πανταχοῦ, εἰς Πελοπόννη-
σον, εἰς Ῥόδον, εἰς Χίον, ὡς βασιλέα λέγω· οὐδὲ γὰρ τῶν ἐκείνῳ συμφερόντων ἀφέστηκε,
μὴ. τὸ μὴ τοῦτον ἐᾶσαι πάντα καταστρέψασθαι, ἵν', ἐὰν" μὲν πείσητε, κοινωνοὺς ἔχητε καὶ τῶν 71
κινδύνων καὶ τῶν ἀναλωμάτων, ἄν τι δέῃ· εἰ δὲ μή, χρόνους γε ἐμποιῆτε τοῖς πράγμα-
σιν. ἐπειδὴ γάρ ἐστι πρὸς ἄνδρα, καὶ οὐχὶ συνεστώσης πόλεως ἰσχὺν ὁ πόλεμος, οὐδὲ
τοῦτ' ἄχρηστον, οὐδ' αἱ πέρυσι πρεσβεῖαι περὶ τὴν Πελοπόννησον ἐκεῖναι καὶ κατηγο-
Πολύευκτος. α. θ. ρίαι, ἃς ἐγὼ καὶ "Πολύευκτος ὁ βέλτιστος ἐκεινοσὶ καὶ Ἡγήσιππος καὶ Κλειτόμαχος καὶ
β. γ. Λυκοῦργος καὶ οἱ ἄλλοι πρέσβεις περιήλθομεν, καὶ ἐποιήσαμεν ἐπισχεῖν ἐκεῖνον, καὶ μή- 72 Ἐπισχεῖν) βραδῦναι.
ἐθέλοντας, οὐ. γ. ε. η. τ' ἐπ' Ἀμβρακίαν ἐλθεῖν, μήτ' εἰς Πελοπόννησον ὁρμῆσαι. οὐ μέντοι λέγω μηδὲν αὐ-
προϊέμ. ε. η. θ. τοὺς ὑπὲρ αὑτῶν ἀναγκαῖον" ἐθέλοντας ποιεῖν, τοὺς ἄλλους παρακαλεῖν· καὶ γὰρ εὔηθες τὰ
οὐδέ. ε. η. θ. οἰκεῖα αὐτοὺς προϊεμένους, τῶν ἀλλοτρίων φάσκειν κήδεσθαι· καὶ τὰ παρόντα περιο-
ρῶντας, ὑπὲρ τῶν μελλόντων τοὺς ἄλλους φοβεῖν. "οὐ λέγω ταῦτα, ἀλλὰ τοῖς μὲν ἐν Χερ-
ρονήσῳ χρήματ' ἀποστέλλειν φημὶ δεῖν, καὶ τἄλλα ὅσα ἀξιοῦσι ποιεῖν· αὐτοὺς δὲ παρα- 73
β. γ. τοὺς δ'. γ. ε. σκευάζεσθαι, καὶ πρώτους ἃ χρὴ ποιοῦντας, τότε "καὶ τοὺς ἄλλους Ἕλληνας συγκαλεῖν, συ-
ὑμῖν. β. ε. η. νάγειν, διδάσκειν, νουθετεῖν· ταῦτ' ἐστὶ πόλεως ἀξίωμα ἐχούσης, ἡλίκον "ὑμῖν ὑπάρχει. εἰ
σῴζειν. γ. δ' οἴεσθε Χαλκιδέας τὴν Ἑλλάδα "σώσειν, ἢ Μεγαρέας, ὑμεῖς δ' ἀποδράσεσθε τὰ
ἂ. ε. θ. πράγματα, οὐκ ὀρθῶς οἴεσθε· ἀγαπητὸν γὰρ ἂν αὐτοὶ σῴζωνται τούτων ἕκαστοι. ἀλλ' ὑ-
οὐδέν. η. μῖν τοῦτο πρακτέον. ὑμῖν οἱ πρόγονοι τοῦτο τὸ γέρας ἐκτήσαντο καὶ κατέλιπον μετὰ 74
εὑρήσει. ε. πολλῶν καὶ καλῶν καὶ μεγάλων κινδύνων. εἰ δ' "ὃ βούλεται ζητῶν ἕκαστος καθεδεῖται,
μὴ. β. ε. η. ζητῶν. γ. θ. καὶ ὅπως "μηδὲν αὐτὸς ποιήσῃ σκοπῶν, πρῶτον μὲν, οὐδὲ μήποθ' "εὑρήσει τοὺς ποιήσοντας.
εὕροιντ' ἄν. ε. ἔπειτα δέδοικα, ὅπως μὴ πάνθ' ἅμα ὅσα "οὐ βουλόμεθα, ποιεῖν ἡμῖν ἀνάγκη "γενήσεται. εἰ
β. γὰρ ἦσαν, "εὑροῦντ' ἂν πάλαι, ἕνεκά γε τοῦ μηδὲν ἡμᾶς αὐτοὺς ποιεῖν ἐθέλειν. ἀλλ' οὐκ εἰσίν· 75



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ ἐκβαλεῖν ὁ δῆμος ὁ τῶν ὀλυνθίων ἐπείσθη. οὐ τοίνυν παρὰ τούτοις μόνοις τὸ ἔθος τοῦτο πολὺ
τὰ κακὰ εἰργάσατο, ἄλλοθι δ' οὐδαμοῦ· ἀλλ' ἐν ἐρετρίᾳ, ἐπειδὴ γε ἀπαλλαγέντος πλου-
τάρχου καὶ τῶν ξένων ὁ δῆμος εἶχε τὴν πόλιν καὶ τὸν πορθμόν, οἱ μὲν ἐφ' ὑμᾶς ἦγον τὰ πρά-
γματα· οἱ δ', ἐπὶ φίλιππον. ἀκούοντες δὲ τούτων τὰ πολλά, μᾶλλον δὲ πάντα οἱ ταλαί-
59 πωροι καὶ δυστυχεῖς ἐρετριεῖς, τελευτῶντες ἐπείσθησαν τοὺς ὑπὲρ αὐτῶν λέγοντας ἐκ-
βαλεῖν. καὶ γάρ τοι πέμψας ἱππόνικον ὁ σύμμαχος καὶ φίλος αὐτοῖς φίλιππος, καὶ ξέ-
νους χιλίους, τὰ τείχη περιεῖλε τοῦ πορθμοῦ, καὶ τρεῖς κατέστησε τυράννους, ἵππαρχον,
αὐτομέδοντα, κλείταρχον· καὶ μετὰ ταῦτ' ἐξελήλακεν ἐκ τῆς χώρας δὶς ἤδη, βουλομένους
σώζεσθαι, τότε μὲν πέμψας τοὺς μετ' εὐρυλόχου ξένους, πάλιν δὲ τοὺς μετὰ παρμενίωνος.
60 καὶ τί δεῖ τὰ πολλὰ λέγειν; ἀλλ' ἐν ὠρεῷ, φιλιστείδης μὲν ἔπραττε φιλίππῳ, καὶ μένιπ-
πος, καὶ σωκράτης, καὶ θόας, καὶ ἀγαπαῖος, οἵπερ νῦν ἔχουσι τὴν πόλιν. καὶ ταῦτ' ᾔδεσαν ἅ-
παντες. εὐφραῖος δέ τις ἄνθρωπος, καὶ παρ' ὑμῖν ποτ' ἐνθάδε οἰκήσας, ὅπως ἐλεύθεροι
καὶ μηδενὸς δοῦλοι ἔσονται, οὗτος τὰ μὲν ἄλλα ὡς ὑβρίζετο καὶ προεπηλακίζετο ὑπὸ
τοῦ δήμου τοῦ τῶν ὠρειτῶν, πολλὰ ἂν εἴη λέγειν· ἐνιαυτῷ δὲ πρότερον τῆς ἁλώσεως, ἐνέ-
61 δειξεν ὡς προδότην τὸν φιλιστείδην καὶ τοὺς μετ' αὐτοῦ, αἰσθόμενος ἃ πράττουσι· συ-
στραφέντες δὲ ἄνθρωποι πολλοὶ καὶ χορηγὸν ἔχοντες φίλιππον, καὶ πρυτανευόμενοι
παρ' ἐκείνου, ἀπάγουσι τὸν εὐφραῖον εἰς τὸ δεσμωτήριον, ὡς συνταράττοντα τὴν πόλιν. ὁρῶν
δὲ ταῦθ' ὁ δῆμος ὁ τῶν ὠρειτῶν, ἀντὶ τοῦ τῷ μὲν βοηθεῖν· τοὺς δ', ἀποτυμπανίσαι, τοῖς μὲν,
οὐκ ὠργίζετο· τὸν δ', ἐπιτήδειον εἶναι ταῦτα παθεῖν ἔφη, καὶ ἐπέχαιρε. μετὰ ταῦθ', οἱ μὲν,
62 ἐπ' ἐξουσίας ὁπόσης ἐβούλοντο, ἔπραττον, ὅπως ἡ πόλις ληφθήσεται, καὶ κατεσκευάζοντο
τὴν πρᾶξιν. τῶν δὲ πολλῶν εἴ τις αἴσθοιτο, ἐσίγα καὶ κατεπέπληκτο, τὸν εὐφραῖον οἷα
ἔπαθε μεμνημένος. οὕτω δ' ἀθλίως διέκειντο, ὥστε οὐ πρότερον ἐτόλμησεν οὐδεὶς τοι-
ούτου κακοῦ προσιόντος, ῥῆξαι φωνήν, πρὶν "διασκευασάμενοι πρὸς τὰ τείχη προ- " διασκευασ[άμενοι]
σῄεσαν οἱ πολέμιοι. τηνικαῦτα δ', οἱ μὲν, ἠμύνοντο· οἱ δέ, προὐδίδοσαν. τῆς δὲ πόλεως
63 οὕτως ἁλούσης αἰσχρῶς καὶ κακῶς, οἱ μὲν, ἄρχουσι καὶ τυραννοῦσι τοὺς τότε σώζοντας αὐτούς,
καὶ τὸν εὐφραῖον, ἑτοίμους ὁτιοῦν ποιεῖν ὄντας, τοὺς μὲν, ἐκβαλόντες· τοὺς δέ, ἀποκτείναντες.
ὁ δ' εὐφραῖος ἐκεῖνος, ἀπέσφαξεν ἑαυτόν, ἔργῳ μαρτυρήσας, ὅτι δικαίως καὶ καθαρῶς
ὑπὲρ τῶν πολιτῶν "ἀνθειστήκει φιλίππῳ. τί οὖν ποτ' αἴτιον θαυμάζετ' ἴσως, τὸ καὶ τοὺς " ἀνθειστήκει
ὀλυνθίους καὶ τοὺς ἐρετριεῖς καὶ τοὺς ὠρείτας ἥδιον πρὸς τοὺς ὑπὲρ φιλίππου λέγοντας
64 ἔχειν, ἢ τοὺς ὑπὲρ ἑαυτῶν, ὅπερ καὶ παρ' ὑμῖν*· ὅτι, τοῖς μὲν ὑπὲρ τοῦ βελτίστου λέγουσιν, οὐδὲ *ἰσῶς δὲ δεῖν
βουλομένοις ἔνεστιν ἐνίοτε πρὸς χάριν οὐδὲν εἰπεῖν· τὰ γὰρ πράγματ' ἀνάγκη σκοπεῖν,
ὅπως σωθήσεται· οἱ δ', ἐν αὐτοῖς οἷς χαρίζονται, φιλίππῳ συμπράττουσιν. εἰσφέρειν ἐ-
κέλευον· οἱ δ', οὐδὲν δεῖν ἔφασαν. πολεμεῖν καὶ μὴ πιστεύειν· οἱ δ', ἄγειν εἰρήνην, ἕως ἐγ-
κατελήφθησαν. τἆλλα τὸν αὐτὸν τρόπον οἶμαι πάνθ', ἵνα μὴ καθ' ἕκαστα λέγω· οἱ μὲν, * καὶ οὐχ ὑπὸ ... ἑαυτοῖς.
65 ἐφ' οἷς ἤδη χαριοῦνται, ταῦτ' ἔλεγον* · οἱ δ', ἐξ ὧν ἔμελλον σωθήσεσθαι. πολλὰ δὲ καὶ τὰ τελευ-
ταῖα, οὐχ οὕτως οὔτε πρὸς χάριν οὔτε δι' ἄγνοιαν οἱ πολλοὶ προσίεντο* · ἀλλ' ὑποκατα-
κλινόμενοι, ἐπεὶ τοῖς ὅλοις ἡττᾶσθαι ἐνόμιζον. ὃ νὴ τὸν δία, καὶ τὸν ἀπόλλω, δέδοικα ἔγωγε
μὴ πάθητε ὑμεῖς, ἐπειδὰν "εἰδῆτε" ἐκλογιζόμενοι μηδὲν ὑμῖν ἐνόν. καὶ τοὺς εἰς τοῦθ' ὑπάγον- " καὶ ἴδητε. β. ἐκλογιζόμενοι. ε.
τας ὑμᾶς ὁρῶν οὐκ ὀρρωδῶ, ἀλλὰ δυσωποῦμαι· ἢ γὰρ ἐξεπίτηδες ἢ δι' ἄγνοιαν εἰς χα-
66 λεπὸν πρᾶγμα ὑπάγουσι τὴν πόλιν. καίτοι μὴ γένοιτο, ὦ ἄνδρες ἀθηναῖοι, τὰ πρά- ε.
γματ' ἐν τούτῳ· τεθνάναι γὰρ μυριάκις κρεῖττον, ἢ κολακείᾳ τι ποιῆσαι φιλίππῳ, καὶ
προέσθαι τῶν ὑπὲρ ὑμῶν* λεγόντων τινάς. καλήν γ' οἱ πολλοὶ νῦν ἀπειλήφασιν ὠρειτῶν *αὐτῶν.
χάριν

Margin notes (left): Ἀπαλλαγέντος) Ἀπελαθέντος. — Οὕτω) Τῷ φόβῳ. σημείωσαι δὲ ὑπόστασιν. Διασκευασάμενοι) τὴν σκευὴν ἀναλαβόντες. — Οἱ μὲν) Μερισμὸς καὶ ὑπομερισμὸς τὸ σχῆμα. — Οἱ δ' οὐδὲν) Οἱ μὴ πρὸς χάριν λέγοντες. — Οἱ δ' ἐξ) Οἷς πρόσεστι τὸ ἀπεχθεῖσθαι. — Καλὴν (Κα) εἰρωνεία.

χαίρειν, ὅτι τοῖς Φιλίππου φίλοις ἐπέτρεψαν αὑτοὺς, τὸν δ' Εὐφραῖον ἐώθουν· καλῶς
γ' ὁ δῆμος ὁ Ἐρετριέων, ὅτι τοὺς ὑμετέρους μὲν πρέσβεις ἀπήλασε, Κλειτάρχῳ δ' ἐν-
έδωκεν αὑτόν· δουλεύουσί γε μαστιγούμενοι καὶ στρεβλούμενοι. καλῶς Ὀλυνθίων ἐφεί- 67
σατο, τῶν τὸν μὲν Λασθένην ἵππαρχον χειροτονησάντων, τὸν δὲ Ἀπολλωνίδην ἐκβα-
λόντων. μωρία καὶ κακία τὰ τοιαῦτα ἐλπίζειν, καὶ κακῶς βουλευομένους αὐτοὺς, καὶ μη-
δὲν ὧν προσήκει ποιεῖν ἐθέλοντας, ἀλλὰ τῶν ὑπὲρ τῶν ἐχθρῶν λεγόντων ἀκροωμένους,
τηλικαύτην ἡγεῖσθαι πόλιν οἰκεῖν τὸ μέγεθος, ὥστε μηδ' ἂν ὁτιοῦν ᾖ δεινὸν πείσεσθαι.
καὶ μὴν ἐκεῖνό γε αἰσχρὸν ὕστερόν ποτ' εἰπεῖν συμβαίνοντος τινός· τίς γὰρ ἂν ᾠήθη ταῦτα 68
γενέσθαι; νὴ τὸν Δία· ἔδει γὰρ τὸ καὶ τὸ ποιῆσαι, καὶ τὸ μὴ ποιῆσαι. πολλὰ ἂν εἰπεῖν ἔχοιεν
Ὀλύνθιοι νῦν, ἃ τότ' εἰ προείδοντο, οὐκ ἂν ἀπώλοντο· πόλλ' ἂν Ὠρεῖται, πολλὰ Φωκεῖς,
πολλὰ τῶν ἀπολωλότων ἕκαστοι. ἀλλὰ τί τούτων ὄφελος αὐτοῖς. ἕως ἂν σῴζηται τὸ σκά-
φος, ἄν τε μεῖζον ἄν τ' ἔλαττον ᾖ, τότε χρὴ καὶ ναύτην καὶ κυβερνήτην, καὶ πάντ' ἄν-
δρα ἐφεξῆς πρόθυμον εἶναι, καὶ ὅπως μήθ' ἑκὼν, μήτ' ἄκων μηδεὶς ἀνατρέψῃ τοῦτο, 69
σκοπεῖσθαι. ἐπειδὰν δὲ ἡ θάλαττα ὑπέρσχῃ, μάταιος ἡ σπουδή. καὶ ἡμεῖς τοίνυν, ὦ ἄν-
δρες Ἀθηναῖοι, ἕως ἐσμὲν σῷοι, πόλιν μεγίστην ἔχοντες, ἀφορμὰς πλείστας, ἀξίωμα
κάλλιστον, τί ποιῶμεν, πάλαι τις ἡδέως ἂν ἴσως ἐρωτήσων κάθηται. ἐγὼ νὴ Δί' ἐρῶ, καὶ
γράψω δὲ, ὥστε ἂν βούλησθε, χειροτονήσετε, αὐτοὶ πρῶτον ἀμυνόμενοι καὶ παρα-
σκευαζόμενοι τριήρεσι, χρήμασι, καὶ στρατιώταις λέγω· καὶ γὰρ ἂν ἅπαντες δουλεύειν 70
δή που συγχωρήσωσιν οἱ ἄλλοι, ὑμῖν γ' ὑπὲρ τῆς ἐλευθερίας ἀγωνιστέον. ταῦτα δὴ πάν-
τα παρασκευασάμενοι καὶ ποιήσαντες τοῖς Ἕλλησι φανερὰ, τοὺς ἄλλους ἤδη παρακα-
λῶμεν, καὶ τοὺς ταῦτα διδάξοντας ἐκπέμπωμεν πρέσβεις πανταχοῦ, εἰς Πελοπόννη-
σον, εἰς Ῥόδον, εἰς Χίον, ὡς βασιλέα λέγω· οὐδὲ γὰρ τῶν ἐκείνῳ συμφερόντων ἀφέστηκε,
τὸ μὴ τοῦτον ἐᾶσαι πάντα καταστρέψασθαι· ἵν', ἐὰν μὲν πείσητε, κοινωνοὺς ἔχητε καὶ τῶν 71
κινδύνων καὶ τῶν ἀναλωμάτων, ἄν τι δέῃ· εἰ δὲ μὴ, χρόνους γ' ἐμποιῆτε τοῖς πράγμα-
σιν. ἐπειδὴ γάρ ἐστι πρὸς ἄνδρα, καὶ οὐχὶ συνεστώσης πόλεως ἰσχὺν ὁ πόλεμος, οὐδὲ
τοῦτ' ἄχρηστον, οὐδ' αἱ πέρυσι πρεσβεῖαι περὶ τὴν Πελοπόννησον ἐκεῖναι καὶ κατηγο-
ρίαι, ἃς ἐγὼ καὶ Πολύευκτος ὁ βέλτιστος ἐκεινοσὶ καὶ Ἡγήσιππος καὶ Κλειτόμαχος καὶ
Λυκοῦργος καὶ οἱ ἄλλοι πρέσβεις περιήλθομεν καὶ ἐποιήσαμεν ἐπισχεῖν ἐκεῖνον, καὶ μή- 72
τ' ἐπ' Ἀμβρακίαν ἐλθεῖν, μήτ' ἐς Πελοπόννησον ὁρμῆσαι. οὐ μέντοι λέγω μηδὲν αὐ-
τοὺς ὑπὲρ αὑτῶν ἀναγκαῖον ἐθέλοντας ποιεῖν, τοὺς ἄλλους παρακαλεῖν· καὶ γὰρ εὔηθες τὰ
οἰκεῖα αὐτοὺς προεμένους, τῶν ἀλλοτρίων φάσκειν κήδεσθαι, καὶ τὰ παρόντα περιο-
ρῶντας, ὑπὲρ τῶν μελλόντων τοὺς ἄλλους φοβεῖν. οὐ λέγω ταῦτα, ἀλλὰ τοῖς μὲν ἐν Χερ-
ρονήσῳ χρήματ' ἀποστέλλειν φημὶ δεῖν, καὶ τἆλλα ὅσα ἀξιοῦσι ποιεῖν· αὐτοὺς δὲ παρα- 73
σκευάζεσθαι, καὶ πρώτους ἃ χρὴ ποιοῦντας, τότε καὶ τοὺς ἄλλους Ἕλληνας συγκαλεῖν, συ-
νάγειν, διδάσκειν, νουθετεῖν· ταῦτ' ἐστὶ πόλεως ἀξίωμα ἐχούσης, ἡλίκον ὑμῖν ὑπάρχει. εἰ
δ' οἴεσθε Χαλκιδέας τὴν Ἑλλάδα σώσειν, ἢ Μεγαρέας· ὑμεῖς δ' ἀποδράσεσθαι τὰ
πράγματα, οὐκ ὀρθῶς οἴεσθε· ἀγαπητὸν γὰρ ἂν αὐτοὶ σῴζωνται τούτων ἑκάστοις. ἀλλ' ὑ-
μῖν τοῦτο πρακτέον. ὑμῖν οἱ πρόγονοι τοῦτο τὸ γέρας ἐκτήσαντο καὶ κατέλιπον μετὰ 74
πολλῶν καὶ καλῶν καὶ μεγάλων κινδύνων. εἰ δ' ὃ βούλεται ζητῶν ἕκαστος καθεδεῖται,
καὶ ὅπως μηδὲν αὐτὸς ποιήσῃ σκοπῶν, πρῶτον μὲν οὐδὲ μήποθ' εὕρῃ τοὺς ποιήσοντας·
ἔπειτα δέδοικα, ὅπως μὴ πάντα ὅσα οὐ βουλόμεθα, ποιεῖν ἡμῖν ἀνάγκη γενήσεται. εἰ
γὰρ ἦσαν, εὕρηντ' ἂν πάλαι, ἕνεκά γε τοῦ μηδὲν ἡμᾶς αὐτοὺς ποιεῖν ἐθέλειν. ἀλλ' οὐκ εἰσίν. 75

ἑαυτοὺς. ε. η.
γ'. ε. η.
τῶν. ε. η.
αὐτόν. ε. η.
πάντας ἐξῆς προθύμους η.
ἐὰν. ε. η.
τοῖς. ε. η.
ἡμῖν. ε.
αὐτοὶ. η.
πανταχοῖ. γ.
μὴ
Πολύευκτος. α. θ.
β. γ.
ἐθέλοντας. β Γ. ε. η.
προϊεμ. ε. η. θ.
οὐδὲ. ε. η. θ.
β. γ.
τοὺς δ'. γ. ε.
ὑμῖν. β. ε. η.
σώζειν. γ.
ἃ. ε. θ.
οὐδέν. η.
εὑρήσει. ε.
μη. β. Γ. ε. η.
γένηται. γ. θ.
εὕροιντ' ἄν. ε.
β.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐγὼ μὲν δὴ ταῦτα λέγω, ταῦτα γράφω· καὶ οἴομαι καὶ νῦν ἔτι ἐπανορθωθῆναι ἂν *τὰ πράγματα, τούτων γιγνομένων. εἰ δέ τις ἔχει "τούτων τι βέλτιον, λεγέτω, καὶ συμβουλευέτω. ὅ, τι δ᾽ ὑμῖν δόξειε, τοῦτ᾽, ὦ πάντες θεοί, συνενέγκοι.

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ ΤΕΤΑΡΤΟΥ ΛΟΓΟΥ.

*ὁ λόγος. ε. η. "φθάσαντι. ε. η. *ἐ. γ.

ΚΑΙ οὗτος, *τὴν αὐτὴν ὑπόθεσιν ἔχει τῷ "φθάνοντι· καὶ πλέον οὐδέν, οὔτε ἴδιον, πλὴν τὸ περὶ τῆς ὁμονοίας πολίτευμα· διαφερομένων γὰρ τῶν πλουσίων πρὸς τοὺς πένητας, ὁ δημοσθένης καταπαύειν πειρᾶται τὴν στάσιν, τῷ μὲν δήμῳ παραινῶν, μὴ δημεύειν τὰς τῶν πλουσίων οὐσίας· τοῖς δὲ πλουσίοις, μὴ φθονεῖν τοῖς ἀπόροις τοῦ δημοσίου λήμματος. πείθει δὲ *τοὺς ἀθηναίους, καὶ πρὸς τὸν περσῶν βασιλέα περὶ συμμαχίας πρεσβεύεσθαι.

# ΤΟΥ ΤΕΤΑΡΤΟΥ ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ
## ΔΗΜΟΣΘΕΝΟΥΣ ΛΟΓΟΥ ΕΞΗΓΗΣΙΣ.

ΚΑΙ ΣΠΟΥΔΑΙΑ) Ηγνοήκασιν οἱ πρὸ ἡμῶν ἐξηγησάμενοι καὶ διελόντες τὸν δέκατον λόγον, ὅτι περί τινα ἐξαίφνης ἐπαγγελίαν ἤκουσαν ἐκ τῆς θρᾴκης δυσχερῆ, ποιεῖται ὁ δημοσθένης τὸν λόγον· ὅθεν αὐτῷ καὶ πρὸς σπουδὴν διὰ τὴν χρείαν τὴν παροῦσαν τότε ἐκπεφώνηται ὁ λόγος. καὶ τοῦτο αἴτιον γέγονε, τὸ μὴ σκεψάμενοι ἴδιον σκέμμα ἐπὶ τῇ ὑποθέσει, τοῦτε παρῆκεν ταύτῃ, τῶν καιρῶν μὴ ἐνδιδόντων αὐτῷ· δῆλος γάρ ἐστι φίλιππος ἐπαμύνων καρδιανοῖς, διοπείθους αὐτοῖς ἐπιόντος, διὰ τὸν μεταξὺ τόπον μέμνηται, ὡς ἀμφισβητούμενος ἐν τῷ ἑβδόμῳ· εἴρηκε δὲ ἐν τῷ ὀγδόῳ· δῆλον εἰ δεῖ τεκμαίρεσθαι ἐκ τῆς ἐπιστολῆς ἧς ἔπεμψε πρὸς ὑμᾶς, ἀμυνεῖσθαί φησι τοὺς ἐν χερρονήσῳ. κοινότητος δὲ οὔσης πολλῆς ἐν τοῖς πράγμασι, τὸ πρὸς φίλιππον γίγνεσθαι τὸν λόγον ἀδικοῦντα καὶ παραβεβηκότα τὴν εἰρήνην, ἐξ ἑτοίμου μὲν τὰ πολλά, ἐκ τῶν ἤδη εἰρημένων λόγων λαμβάνει· ὅμως δὲ τοῖς παροῦσιν ὡς οἰκειότατα αὐτὰ ἐφαρμόζει. πόθεν δὲ ἐστι φίλιππος καταφανὴς καρδιανοῖς "ἐπαμυνῶν, καὶ πολλὰ περὶ τὴν θρᾴκην ἀμυνόμενος, ἅπαντα λυπεῖν τὸν δῆμον· ἐξ ὧν ὁ ῥήτωρ φησίν· εὐθὺς γὰρ ἐν τῇ ἀρχῇ τοῦτο ἐπισημαίνεται λέγων, Ην προσαγγελθῇ τι νεώτερον. καί, Η μὲν οὖν ἀσέλγεια καὶ ἡ πλεονεξία τοσαύτη τὸ πλῆθός ἐστιν, ὅσην ἀκούετε· καὶ μισοῦντος ἤδη πάλιν τοῦ λόγου, προςτίθησι, Γένοιτ᾽ ἂν ὥσπερ νῦν αὐτὰ παρῇ τὰ πράγματα. καὶ ταῦτα μέν ἐστιν ἅπαντα δηλωτικὰ τοῦ "ἀπηγγέλθαι τι. τοῦ δὲ ὅτι βοηθεῖ καρδιανοῖς, ἐβοήθει· ταῦτα γὰρ ἅπαντα δηλωτικὰ σαφῶς τῆς ὑποθέσεως. φασὶ δὲ οἱ αὐτοί, ἀλέξανδρος καὶ διόσκορος, καὶ ζήνων ὁ πολυθρύλλητος, τὸ συμφέρον κεφάλαιον μόνον ἐξειργάσθαι κατὰ τὸν λόγον. δοκοῦσι δὲ σφόδρα ἠγνοηκέναι καὶ τῶν κεφαλαίων τὴν λύσιν· ἔχει γὰρ καὶ τὸ δυνατὸν ὁ λόγος, καὶ τοῦτο διπλοῦν· ἔχει δὲ καὶ τὸ νόμιμον καὶ τὸ δίκαιον, ὡς αὐτή γε ἡ διαίρεσις καὶ τάξις ἡ ῥηθεῖσα δείξει. σκοπὸς δὲ δημοσθένει, συγκροτῆσαι καὶ αὐξῆσαι τὴν διοπείθους δύναμιν, τοῦ καιροῦ πλείστην παρρησίαν ἐνδιδόντος μετὰ μέντοι γε τοῦ φυλάττεσθαι τὸ προσκορές, ἵνα μὴ δοκῇ χάριτι λέγειν. σκοπὸς δὲ καὶ παροξῦναι τὸν δῆμον· δέδοικε γὰρ μὴ τρέψωνται ἐπὶ διαλλαγὰς καὶ πρεσβείας περὶ τούτου· τυχεῖν δὲ ὡς εἴρηται, τὸ γράψαι αὐτὸς περὶ τοῦ πολέμου ψήφισμα. σκοπὸς δὲ καὶ πεῖσαι τοὺς ἀκούοντας πρεσβεύσασθαι πρὸς τὸν μηδὸν περὶ χρημάτων, καὶ προςλαβέσθαι τὴν βασιλέως εὔνοιαν. πρὸς μὲν οὖν τὰ κατὰ τὸν διοπείθην, ὥστε συμμαχεῖσθαι τοῦ στρατηγοῦ τὴν δύναμιν, καὶ πρὸς τὸ μὴ δεῖν αὐτὸν δημοσθένην ἀναγκασθῆναι γράψαι περὶ πολέμου ψήφισμα, ἀντέθηκεν ἀγωνιστικώτατα τὴν παράβασιν τῆς εἰρήνης, καὶ τοὺς ὅρκους συγκεχυμένους· ὧν ἀποδειχθέντων, καιρὸν εἰληφέναι κατασκευάσαι τε τοὺς ἀκούοντας συνέχειν, καὶ αὔξειν τὴν διοπείθους δύναμιν. καὶ τὸ καθ᾽ ἑαυτόν, περιττὸν ἀπέφηνεν ἐν αὐτῷ· εἰ γὰρ φανερὸς ὁ φίλιππος παραβεβηκὼς τὴν εἰρήνην, πῶς δίκαιός ἐστιν αὐτὸς ἀναγκασθῆναι γράψαι περὶ πολέμου ψήφισμα· πλὴν εἰ μὴ βούλοιντο πρόφασιν ζητεῖν συκοφαντίας πρὸς αὐτὸν οἱ ταῦτα λέγοντες. καὶ τὰ μὲν δύο, τοῦτον διῳκήσατο τὸν τρόπον· περὶ δὲ τῆς πρεσβείας· χρήματα γὰρ αὐτοῖς πως παρ᾽ ἐκείνου συμπεῖσαι ἐθέλει βούλεται· τὴν ἔνδειαν συνίστησι τὴν ὑπάρχουσαν τῇ πόλει· χρῆναι γὰρ τὰ νῦν ὄντα χρήματα διαδίδοσθαι τῷ δήμῳ, καὶ καταναλίσκεσθαι ὡς ἔθος εἰς τὰς θεωρίας, καὶ μὴ ἀφαιρεῖσθαι τὰ ἐκ τοῦ πολέμου διδόμενα, μηδὲ μὴν παρὰ τῶν πλουσίων γίνεσθαι τοὺς πόρους συκοφαντουμένων τε καὶ δημευομένων ἀδίκως. ὧν ῥηθέντων τοῖς ἀκούουσι πρὸς ἡδονήν· οὐδενὸς γὰρ οὕτω μετεποιοῦντο, ὡς τοῦ νέμεσθαι τὰ κοινά· καιρὸν εἴληφε συμβουλεῦσαι αὐτοῖς αἰτεῖν παρὰ βασιλέως χρήματα, ὡς οὐδαμόθεν μὴ ὑπαρχούσης εὐπορίας τῇ πόλει. ἡ μὲν οὖν σύμπασα διοίκησις, καὶ ἔννοια, καὶ σκοπός, οὗτός ἐστι τῷ ῥήτορι· ὅτι τινὰ τῶν πρὸ ἡμῶν οὐδενὸς εἰδότος, ὡς ἐμέ γε εἰπεῖν, φήθησαν ἐμπεπτωκέναι τὸ περὶ τῶν θεωρικῶν ζήτημα τῆς παρούσης ὑποθέσεως, διῃρεῖτον. τὸ δέ, οὐχ οὕτως ἔχειν πέφηνεν, οὔτε φανήσεταί ποτε. καλὸν δὲ ἀναλαβόντας εἰπεῖν τὴν τάξιν καὶ τὴν διαίρεσιν ᾗ κέχρηται ὁ ῥήτωρ, ἵνα τὴν διοίκησιν αὐτοῦ καὶ τὴν οἰκονομίαν θαυμάσωμεν. ἄξιον δὲ καὶ περὶ τῆς

*βεβοηθηκέναι. Τοῦ ὄντος λημπικοῦ λόγου καὶ δοκοῦντος εἶναι τὸ σχῆμα. Οὐκ ὀλίγων) Συμπέρασμα. "ἐπηγγέλθαι.

# ΔΗΜΟΣΘΕΝΟΥΣ
## ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ
### ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ.

1 ΚΑΙ σπουδαῖα νομίζων, ὦ ἄνδρες ἀθηναῖοι, περὶ ὧν βουλεύεσθε, καὶ ἀναγκαῖα τῇ πόλει, πειράσομαι περὶ αὐτῶν εἰπεῖν, ἃ νομίζω συμφέρειν. οὐκ ὀλίγων δ᾽ ὄντων ἁμαρτημάτων,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

περὶ τῆς διαιρέσεως, καὶ τὴν ἐξαγγελίαν θαυμάσαι ᾗ κέχρηται· καὶ γάρ ἐστι, τῇ μὲν λαμπρά, τῇ δὲ παθητική, τῇ δὲ ἠθικῶς περιῆκται. καὶ τὸ μὲν πραγματικόν, ἐπιδέδεικται πολλαχοῦ· συνάπτει δὲ τὰς ἰδέας ταύτας πολλάκις ἀλλήλαις, ἀπὸ τῆς χρείας καταναγκαζούσης αὐτὸν καὶ προσαγούσης ἐπὶ πολλὰ τὴν χρῆσιν. ἔχει δὲ οὕτως αὐτῷ τὰ τῆς χρήσεως καὶ τάξεως· τὸ παραγινόμενον εὐθὺς ἐν τῷ προοιμίῳ κατὰ πρόληψιν ἐμφανίζει λέγων, Οὐκ ὀλίγων δὲ ὄντων ἁμαρτημάτων, 2 οὐδὲ ἐκ μικροῦ χρόνου συνειλεγμένων, ἐξ ὧν φαύλως ταῦτ' ἔχει. ἐλέγομεν γὰρ δεῖν ἐκ τῶν κεφαλαίων τὰ προοίμια λαμβάνειν. καὶ μέγεθος δὲ περιτίθησι τῇ ὑποθέσει ἀναγκαίως, ἵνα μᾶλλον συμπείσῃ καὶ καταναγκάσῃ τὸν ἀκροατὴν προσδέξασθαι τὴν παραίνεσιν· οὐ γὰρ ἂν ἄλλως πιθανὸν κατακοῦσαι τῆς γνώμης, μὴ διαπιστεῖς, ὅτι μεγάλη ἐστὶν ἡ ὑπόθεσις, καὶ σπουδῆς ἀξία περὶ ἧς ὁ λόγος. τὸ δέ, σπουδαῖα ῥηθέν, τότε δεῖν θᾶττον ἐπαμύνειν καὶ σπουδῆς μεγάλης ἀξιοῦν, ἀπὸ τῆς οἰκείας χώρας αὐτῶν πολεμουμένης, σημαίνει· τὸ, ἀναγκαῖα δέ, ὅτι οὐ ῥαθυμητέον ὡς ἔθος· οὐ γὰρ περὶ ἀλλοτρείων, ἀλλὰ περὶ οἰκείων ἡμῖν ὁ φόβος, καὶ ὅθεν οὐκ ὀλίγαι οὐδὲ μικραὶ πρόσοδοι τῇ πόλει. τὸ δοκοῦσα ἡ ἐπιβολὴ κοινῶς ἔχειν, ἰδιωτάτη πέφυκε. καὶ ταῦτα μὲν περὶ τοῦ προτέρου. περὶ δὲ τῆς ἐπιβολῆς τοῦ δευτέρου, τὸ αὐτὸ νόμιμον παραβεβασμένον ὁμοίως τὸ φανερώτερον ἐνδείκνυται λέγων, Η μὲν οὖν ἀσέλγεια καὶ πλεονεξία ᾗ πρὸς ἅπαντας ἀνθρώπους Φίλιππος χρῆται, καθέστηκε φανερὰ καὶ πρόδηλος, ὡς καὶ ὑμεῖς ἀκούετε, καὶ ὅτι οὐ δεῖ θαρρεῖν τὸ ἐπαναπαύεσθαι τοῖς τῶν ῥητόρων λόγοις, ὡς δυναμένοις παῦσαι. ἄχρι μὲν οὖν τούτου, προελήλυθεν ἡ ἔννοια τοῦ δευτέρου προοιμίου. δοκεῖ δέ μοι βαθύτατα καὶ δεινότατα προαναιρεῖν ὑπόνοιαν ἤδη οὐ μὴ ὑπάρχοντας αὐτοὺς ὑπονοῆσαι, ὅτι δῆλον τί ἐστι διὰ πρεσβείας καταπαῦσαι τὰ τοιαῦτα διαπραττόμενον· ὅθεν τὸ ἐδεήθη τῆς τοιαύτης ἐννοίας, ὅτι οὐ λόγων, ἀλλὰ ἔργων δεῖ. καὶ πεποίηκεν ἡμῖν τὴν ὑπόνοιαν ταύτην ἔτι φανερωτέραν, δι' ὧν μετὰ τὰ προοίμια εἴργασται· ἅπερ ὁμοίως οὐδένες τῶν πρὸ ἡμῶν κατιδεῖν ἠδυνήθησαν. πῶς οὖν ἄρχεται; εὐθὺς μετὰ τὸ προοίμιον τὸ δεύτερον, καὶ τίνας ποιεῖται λόγους εἰς τοῦτο αὐτὸ συντείνοντας, εἰς τὸ μὴ δεῖν πρεσβείᾳ χρήσασθαι, μηδὲ θαρρεῖν ὅτι ῥήτορος λόγος δύναται πεῖσαι Φίλιππον περὶ τῆς παύσεως τῶν ἀδικημάτων, ἄξιον κατιδεῖν· ἡμεῖς οὐδαμῶς πώποτε ὅπου περὶ τῶν δικαίων εἰπεῖν ἐδέησεν, ἡττήθημεν, οὐδὲ ἀδικεῖν ἐδόξαμεν. ἐπειδὴ γὰρ ἡ ἀγγελία γέγονε, τὸ ὅτι Φίλιππος ἀδικεῖ καὶ ἐπαμύνει Καρδιανοῖς, εἰκότως ἐπινόησιν ὅτι ἐνδέχεται αὐτοὺς ὄντας φύσει ῥαθύμους, ἐπί τινα πρεσβείαν τρέψασθαι. ταύτην τοίνυν τὴν ὑπόνοιαν ἀναιρεῖ τῷ ἀδυνάτῳ κεφαλαίῳ, συνιστὰς ἀδύνατον ἐκ λόγων ἐπισχεῖν τὴν πλεονεξίαν Φιλίππου. καὶ τοῦτο δύο μέρη ἐξείργασται κατὰ ἀντεξέτασιν· δῆλον, τὶ μὲν δύνανται λόγοι, τὶ δὲ ἔργα ἰσχύει· καὶ ὅτι, Ἀθηναῖοι μὲν χρώμενοι λόγοις, οὐδὲν ἑαυτοὺς ὠφέλησαν, οὐδὲ ἐκείνους ὑπὲρ ὧν τοὺς λόγους λέγουσιν· οἱ προδόται δὲ οἱ τὰ ἐκείνου διοικοῦντες, τῇ δυνάμει τοῦ Φιλίππου χρώμενοι, κατορθοῦσι μόνοι καὶ δύνανται ἅπαντα. οὕτω μὲν οὖν τὸ πρῶτον μέρος τοῦ λόγου, προελήλυθεν ἔχον τὸ ἀδύνατον κατὰ ἀντεξέτασιν, ἐν ᾧ ἀποδείκνυσιν ἀδυνάτως ἔχοντας τοὺς λόγους ταῦτα κατορθοῦν ἃ κατορθοῦσθαι πέφυκε· διῴκηται οὖν διὰ τούτου τοῦ μέρους, ὃν

οὐδ' ἐκ μικροῦ χρόνου συνειλεγμένων, ἐξ ὧν φαύλως 2 ταῦτ' ἔχει, οὐδέν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν πάντων δυσκολώτατον εἰς τὸ παρόν, ἢ ὅτι ταῖς γνώμαις ὑμεῖς ἀφεστήκατε τῶν πραγμάτων, καὶ τοσοῦτον χρόνον σπουδάζετε, ὅσον ἂν κάθησθε ἀκούοντες ἢ προσαγγελθῇ τι νεώτερον. εἶτ' ἀπελθὼν ἕκαστος ὑμῶν, οὐ μόνον οὐδὲν 3 φροντίζει περὶ αὐτῶν, ἀλλ' οὐδὲ μέμνηται. ἡ μὲν οὖν ἀσέλγεια καὶ πλεονεξία, ᾗ πρὸς ἅπαντας ἀνθρώπους Φίλιππος χρῆται, τοσαύτη τὸ πλῆθος, ὅσην ἀκούετε. ὅτι δ' οὐκ ἔνι ταύτης ἐκεῖνον ἐπισχεῖν ἐκ λόγου καὶ δημηγορίας, οὐδεὶς ἀγνοεῖ δήπου· καὶ γὰρ εἰ μηδ' ἀφ' ἑνὸς 4 τῶν ἄλλων τοῦτο μαθεῖν δύναιτό τις, ὡδὶ λογισάσθω. ἡμεῖς οὐδαμοῦ πώποτε, ὅπου περὶ τῶν δικαίων εἰπεῖν ἐδέησεν, ἡττήθημεν, οὐδ' ἀδικεῖν ἐδόξαμεν, ἀλλὰ πάντων πανταχοῦ κρατοῦμεν, καὶ περίεσμεν τῷ λόγῳ. ἆρ' οὖν διὰ ταῦτ' ἐκείνῳ φαύλως ἔχει τὰ πράγματα, ἢ τῇ 5 πόλει καλῶς; πολλοῦ γε καὶ δεῖ· ἐπειδὰν γὰρ ὁ μὲν, λαβὼν μετὰ ταῦτα βαδίζῃ τὰ ὅπλα, πᾶσι τοῖς οὖσιν ἑτοίμως κινδυνεύσων· ἡμεῖς δὲ καθώμεθα, οἱ μὲν, εἰρηκότες τὰ δίκαια, οἱ δ', ἀκηκοότες, εἰκότως οἶμαι τὰ ἔργα τοὺς λόγους παρέρχεται· καὶ προσέχουσιν ἅπαντες, οὐχ οἷς 6 εἴπομέν ποθ' ἡμεῖς δικαίοις, ἢ νῦν ἂν εἴποιμεν, ἀλλ' οἷς ποιοῦμεν. ἔστι δὲ ταῦτα οὐδένα τῶν ἀδικουμένων σῴζειν δυνάμενα· οὐδὲν γὰρ δεῖ πλείω περὶ αὐτῶν λέγειν. τοιγάρτοι διεστηκότων εἰς δύο μέρη τούτων τῶν ἐν ταῖς πόλεσι, τῶν μὲν, εἰς τὸ μήτε ἄρχειν βίᾳ βούλεσθαι μηδε- 7 νός, μήτε δουλεύειν ἄλλῳ, ἀλλ' ἐν ἐλευθερίᾳ καὶ νόμοις ἐξ ἴσου πολιτεύεσθαι· τῶν δ', εἰς τὸ ἄρχειν μὲν τῶν πολιτῶν ἐπιθυμεῖν, ἑτέρῳ δ' ὑπακούειν, δι' ὅτου ποτ' ἂν οἴωνται τοῦτο δυνήσεσθαι ποιῆσαι, οἱ τῆς ἐκείνου προαιρέσεως, οἱ τυραννίδων καὶ δυναστειῶν ἐπιθυμοῦντες, κε- 8

οὕτω τὰ τῆς τάξεως. α.

2 προσδέξεσθαι.

διὰ δὲ. α.

Η μὲν οὖν ἀσέλγ.) Δεύτερον προοίμιον.

Καὶ γὰρ εἰ μηδ᾽) Κατασκευή.

Δεῖ) Ἡγοῦν ἐλλείπει.

Παρέρχεται) Νικᾷ, ἀπὸ μεταφορᾶς τῶν δρομέων.

ὑπονόησιν. α.

Πᾶσιν) Ἤγουν ἐν πᾶσιν.

μὲν, ὃ καὶ μέγιστόν ἐστι, τὸ μὴ δεῖν ἐννοεῖν πρεσβείαν. δύο δὲ ἐπὶ τούτῳ πάλιν· ἓν μὲν, ὅτι οὐ δεῖ αὐτὸν καταναγκασθῆναι γράψαι· ἕτερον δὲ παρασκευῆς δύναμιν ἔχον, ὅτι ἐὰν αὐτοὶ μὴ θέλωσι πράττειν ἐπὶ τοῖς ἀκούουσι. μεθ' ὃ δὴ καὶ τὸ συμφέρον ἐξείργασται ἀπὸ ταύτης τῆς
10 λέξεως, Εἶτ' οἶμαι· δεῖ γὰρ ὡς ἐγὼ κρίνω, τἀληθῆ λέγειν· οὕτω διαβεβλήμεθα· ἐντεῦθεν γὰρ τῆς ἐκβάσεως ἐξετάζει ἀποβέβληκεν Ἀθηναίοις ἀεὶ θαρροῦσι τοῖς λόγοις. εἶτα εὐλαβούμενος μὴ καὶ νῦν ὁμοίως ῥᾳθυμήσωσι, μὴ καὶ τὰ ἀπηγγελμένα ἐν φαύλῳ ποιήσωσιν, ὑπομιμνήσκει τόπων ἀπολωλότων διὰ ῥᾳθυμίαν καὶ ὑποψίαν καὶ ἀμέλειαν, ἃ δὴ φοβούμενος καταριθμεῖται, ὅσων καὶ πρότερον ὑπεριδόντες, ὅσα ἀπεστέρηνται· καὶ λέγει δὲ ἀπὸ τῆς λέξεως ταύτης ἀρξάμενος,
13 Ὁρᾶτε Σέρριον καὶ Δορίσκον· ταῦτα γὰρ πρῶτον ὠλιγωρήθη μετὰ τὴν εἰρήνην· ταῦτα ἀπώλεσε Θρᾴκην καὶ Κερσοβλέπτην, καὶ ὅσα ἑξῆς. οὐκοῦν ταῦτα ἀμφότερα ἤδη δίωκται, τὸ μήτε δεῖν πρεσβείαις χρήσασθαι, καὶ μιμήσασθαι Φίλιππον ἔργοις μᾶλλον ἢ λόγοις τὰ πράγματα χειρούμενον· καὶ τὸ τρίτον, τὸ μὴ δεῖν ὑπεριδεῖν οὐ μικροῦ τινὸς ὄντος τοῦ νυνὶ συμβεβηκότος καὶ ἀπηγγελμένου· ἐπείπερ εἰώθασιν οὐδὲ μικραῖς ζημίαις οὐδὲ φαύλαις βλάβαις περιπίπτειν, ὑπερορῶντες ἑκάστοτε τῶν ἁλισκομένων. εἰς δὲ τὸ αὐτὸ τοῦτο συντείνει, τὸ μὴ δεῖν ῥᾳθυμεῖν μηδ' οἴεσθαι διὰ πρεσβείας παύσασθαι τὸν Φίλιππον, καὶ ἄλλο ὅπερ αὐτὸς ἐπισημαίνεται εἰπών,
16 Ἀλλ' ἵνα τοῦθ' ὑμῖν δείξω, ὅτι οὐ στήσεται πάντας ἀνθρώπους ἀδικῶν, τάδ' ὑφ' αὐτῷ ποιούμενος Φίλιππος, εἰ μή τις αὐτὸν κωλύσει. οἱ μὲν οὖν, αὐτὸ δίκαιον εἶναι κεφάλαιον· οἱ δέ, πρὸς ἔλεγχον εἰλῆφθαι τῆς ῥᾳθυμίας αὐτῶν· δηλονότι ὀρθῶς εἴρηται τοῦ ἀσυμφόρου εἶναι. τοῦτο μὲν οὖν πρῶτον μέρος τοῦ λόγου προελήλυθεν ἄχρι τούτου, ἀπὸ μὲν τοῦ δυνατοῦ παντὸς ἐπιχειρηθέν· κατασκευασθὲν δὲ τῷ συμφέροντι, περὶ τοῦ μήτε δεῖν πρεσβείαν" πέμπειν, μήτε ῥᾳθυμεῖν τῶν ἀπαγγελλομένων, ἔργοις τε πειρᾶσθαι κωλῦσαι μᾶλλον ἢ λόγοις. τοῦτο δὲ τὸ κεφάλαιον ἠγνόησαν ὁμοίως οἱ πρὸ ἡμῶν, εἰς τὸν λόγον θεωρίας καὶ διαιρέσεις συγγράψαντες. μετὰ ταῦτα τὸ

Τοῦ χάριν) Συμπέρασμα τοῦ προοιμίου καὶ εἰσβολὴ ἐπὶ τὸ συμφέρον.

Ἀντρῶνας) Πόλις τῆς Εὐβοίας πληθυντικῶς λεγομένη· Ὅμηρος ἑνικῶς, Ἀγχίαλόν τ' Ἀντρῶνά ἰδὲ Πτελεὸν λεχεποίην.

"πέμπεσθαι. α.

κρατήκασι πανταχοῦ· καὶ πόλις δημοκρατουμένη βε-
βαίως, οὐκ οἶδ' εἴ τις ἔστι τῶν πασῶν λοιπή, πλὴν ἡ
"ὑμετέρα· καὶ κεκρατήκασιν οἱ δι' ἐκείνου τὰς πολιτείας "ἡμετέρα. ε.η.
ποιούμενοι πᾶσιν ὅσοις πράγματα πράττεται· πρώ-
9 τῳ μὲν πάντων, καὶ "πλείστῳ, τῷ τοὺς βουλομένους χρή- "μεγίστῳ. α.θ. πλείστῳ καὶ μεγίστῳ. ε.η.
ματα λαμβάνειν, ἔχειν ὃν δώσοντα ὑπὲρ αὐτῶν· δευ-
τέρῳ δέ, καὶ οὐδὲν ἐλάττονι τούτου, τῷ δύναμιν τὴν κα-
ταστρεψομένην τοὺς "ἐναντιουμένους αὐτοῖς, ἐν οἷς ἂν αἰ- "ἐναντίοις. α.
τήσωσι χρόνοις παρεῖναι. ἡμεῖς δὲ οὐ μόνον τούτοις "ὑπο- "ἀπολειπ. α. β.ε.η.θ.
10 λειπόμεθα, ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλ' οὐδ' ἀνεγερθῆναι α.θ.
δυνάμεθα· ἀλλὰ μανδραγόραν πεπωκόσιν ἤ τι φάρ-
μακον ἄλλο τοιοῦτον ἐοίκαμεν ἀνθρώποις· εἶτ' οἶμαι·
δεῖ γάρ, ὡς ἐγὼ κρίνω, λέγειν τἀληθῆ· οὕτω διαβεβλή-
μεθα καὶ καταπεφρονήμεθα ἐκ τούτων, ὥστε τῶν ἐν
11 αὐτῷ τῷ κινδυνεύειν ὄντων, οἱ μὲν, ὑπὲρ τῆς ἡγεμονίας
ἡμῖν ἀντιλέγουσιν· οἱ δ', ὑπὲρ τοῦ ποῦ "συνεδρεύσουσι· *συνεδρεύσουσι. α.θ.
τινὲς δὲ καὶ καθ' ἑαυτοὺς ἀμύνεσθαι μᾶλλον, ἢ μετ' "ὑμῶν "ἡμῶν. α.ε.η.θ.
ἐγνώκασι. τοῦ χάριν δὴ ταῦτα λέγω καὶ διεξέρχομαι; οὐ
γὰρ ἀπεχθάνεσθαι μὰ τὸν Δία καὶ πάντας τοὺς θεοὺς α.
12 προαιροῦμαι, ἀλλ' ἵνα "ὑμῶν ἕκαστος, ὦ ἄνδρες Ἀθη- "ἡμῶν. η.
ναῖοι, τοῦτο γνῷ καὶ "ἴδῃ, ὅτι ἡ καθ' ἡμέραν ῥᾳστώνη καὶ α.ε.θ. "εἰδῇ. α.ε.η.θ.
ῥᾳθυμία, ὥσπερ τοῖς ἰδίοις βίοις, οὕτω* καὶ ταῖς πόλεσιν, * ἐν. ε.η.θ.
οὐκ "ἀφ' ἑκάστου τῶν ἀμελουμένων ποιεῖ τὴν αἴσθησιν
εὐθέως, ἀλλ' ἐπὶ τῷ κεφαλαίῳ τῶν πραγμάτων ἀ- "ἐφ' ἑκ. ε.η.θ.
13 παντᾷ. ὁρᾶτε Σέρριον καὶ Δορίσκον· ταῦτα γὰρ πρῶτον ὠ-
λιγωρήθη μετὰ τὴν εἰρήνην*, ἃ πολλοῖς ὑμῶν οὐδὲ γνώ- * τὴν εἰρημένην. ε.η.
ριμά ἐστιν ἴσως. ταῦτα μέντοι τότε ἐαθέντα καὶ παρο-
φθέντα, ἀπώλεσε Θρᾴκην καὶ Κερσοβλέπτην σύμμα-
χον ὄντα "ὑμῶν. πάλιν ταῦτ' ἀμελούμενα ἰδών, καὶ οὐδε- "ἡμῶν. θ.
14 μιᾶς βοηθείας τυγχάνοντα παρ' ὑμῶν, "κατέσκαπτε "κατέσκαπται. α.ε.θ.
Πορθμόν, καὶ τυραννίδα ἀπαντικρὺ τῆς Ἀττικῆς "ἐπετεί- "ἐπιτείχισεν. α.η.
χισεν" ὑμῖν ἐν τῇ Εὐβοίᾳ. ταύτης ὀλιγωρουμένης, Μέ- "ἡμῖν. η.
γαρα ἑάλω παρὰ μικρόν. οὐδὲν ἐφροντίσατε, οὐδ' ἐ-
πεστράφητε ἐπ' οὐδενὶ τούτων, οὐδ' "ἐνεδείξασθε τοῦ- "ἐπεδείξ. α.θ.
15 θ', ὅτι οὐκ ἐπιτρέψετε "ταῦτα ποιεῖν αὐτῷ. Ἀντρῶνας ἐ- "τοῦτο. β.γ.
πρίατο· καὶ μετ' οὐ πολὺν χρόνον, τὰ ἐν Ὠρεῷ πράγμα-
τ' εἰλήφει. πολλὰ δὲ καὶ παραλείπω, Φεράς, τὴν ἐπ' Ἀμ-
βρακίαν ὁδόν, τὰς ἐν Ἤλιδι σφαγάς, ἄλλα μυρία· οὐ γὰρ
ἵν' ἐξαριθμήσωμαι τοὺς βεβιασμένους, καὶ τοὺς ἠδικη-
16 μένους ὑπὸ Φιλίππου, ταῦτα διεξῆλθον· ἀλλ' ἵνα τοῦ-
θ' ὑμῖν ἐπιδείξω, ὅτι οὐ στήσεται πάντας ἀνθρώπους ἀδι-
κῶν, "τάδ' ὑφ' αὐτῷ ποιούμενος Φίλιππος, εἰ μή τις "ταῦτα.

αὐτὸν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὐτὸν κωλύσει. εἰσὶ δέ τινες οἳ πρὶν ἀκοῦσαι τοὺς ὑπὲρ τῶν
πραγμάτων λόγους, "εὐθέως εἰώθασιν ἐρωτᾶν, τί οὖν
"χρὴ ποιεῖν· οὐχ ἵνα ἀκούσαντες ποιήσωσι· χρησιμώτα- 17
τοι γὰρ ἂν ἦσαν ἁπάντων· ἀλλ' ἵνα τοῦ λέγοντος ἀπαλ-
λαγῶσι. δεῖ δ' ὅμως εἰπεῖν, ὅ, τι χρὴ ποιεῖν. πρῶτον μὲν,
ὦ ἄνδρες ἀθηναῖοι, τοῦτο παρ' ὑμῖν αὐτοῖς βεβαίως γνῶ-
ναι, ὅτι τῇ πόλει φίλιππος πολεμεῖ, καὶ τὴν εἰρήνην λέ-
λυκε· καὶ κακόνους μέν ἐστι καὶ ἐχθρὸς ὅλῃ τῇ πόλει καὶ τῷ 18
τῆς πόλεως ἐδάφει, προσθήσω δὲ καὶ τοῖς ἐν τῇ πόλει
θεοῖς, οἵπερ αὐτὸν ἐξολέσειαν· οὐδενὶ μέντοι μᾶλλον, ἢ τῇ
πολιτείᾳ πολεμεῖ· οὐδ' ἐπιβουλεύει καὶ σκοπεῖ μᾶλλον
οὐδὲν τῶν "ἁπάντων, ἢ ὅπως ταύτην" καταλύσῃ. καὶ
τοῦτ' ἐξ ἀνάγκης τρόπον τινὰ" νῦν γε δὴ ποιεῖ. λογίζεσθε 19
γάρ. ἄρχειν βούλεται. τούτου δ' ἀνταγωνιστὰς μόνους
ὑπείληφεν "ὑμᾶς. ἀδικεῖ πολὺν ἤδη χρόνον, καὶ τοῦτ'" αὐ-
τὸς ἄριστα σύνοιδεν" ἑαυτῷ· οἷς γὰρ οὖσιν" ὑμετέροις ἔχει
χρῆσθαι, τούτοις ἅπαντα τἆλλα βεβαίως κέκτηται· εἰ γὰρ
ἀμφίπολιν καὶ ποτίδαιαν προεῖτο, οὐδ' ἂν ἐν μακεδο- 20
νίᾳ μένειν ἀσφαλῶς" ἡγεῖτο. ἀμφότερα οὖν οἶδε, καὶ αὐ-
τὸν" ὑμῖν ἐπιβουλεύοντα, καὶ" ὑμᾶς αἰσθανομένους. εὖ
φρονεῖν δ' ὑμᾶς ὑπολαμβάνων, δικαίως μισεῖν αὐτὸν
ἡγεῖται. πρὸς δὲ τούτοις "τοσούτοις οὖσιν, οἶδεν ἀκριβῶς,
ὅτι οὐδ' ἂν ἁπάντων τῶν ἄλλων" γένηται κύριος, οὐδέν 21
ἔστ' αὐτῷ βεβαίως ἔχειν, ἕως ἂν ὑμεῖς δημοκρατῆσθε.
ἀλλ' ἐάν ποτε συμβῇ τι πταῖσμα, "πολλὰ δ' ἂν γένοιτο
ἀνθρώπῳ, ἥξει πάντα τὰ νῦν βεβιασμένα, καὶ κατα-
φεύξεται πρὸς ὑμᾶς· ἐστὲ γὰρ ὑμεῖς οὐκ αὐτοὶ πλεονε-
κτῆσαι καὶ κατασχεῖν ἀρχὴν εὖ πεφυκότες, ἀλλ' ἕτε- 22
ρον λαβεῖν κωλῦσαι, καὶ τὸν ἔχοντ' ἀφελέσθαι, καὶ ὅλως
ἐνοχλῆσαι τοῖς ἄρχειν βουλομένοις, καὶ πάντας ἀνθρώ-
πους εἰς ἐλευθερίαν ἐξελέσθαι δεινοί. οὔκουν βούλεται
τοῖς αὐτοῦ καιροῖς τὴν παρ'" ὑμῶν ἐλευθερίαν ἐφεδρεύειν,
οὐ κακῶς, οὐδ' ἀργῶς ταῦτα λογιζόμενος. πρῶτον μὲν 23
δή, "τούτου δεῖ χαίρειν ἐχθρὸν ὑπειληφέναι τῆς πολιτείας
καὶ τῆς δημοκρατίας ἀδιάλλακτον ἐκεῖνον· δεύτερον δὲ,
εἰδέναι σαφῶς, ὅτι πάνθ' ὅσα πραγματεύεται καὶ κα-

Margin notes (left): αὐθὺς. α. — τι. ε. η. θ. — α. ε. η. θ. — ὅτι. ε. — αὐτῶν α. θ. — καταλύσει. β. — τινὰ. α. — ἡμᾶς. ε. η. — αὑτῷ. α. — αὐτῷ. α. — ἡμετέροις. ε. η. θ. — ἐδόκει. α. θ. χ. β. — ἡμῖν. ε. η. θ. — ἡμᾶς. γ. ε. η. — τοιούτοις οὖσι καὶ τοσούτοις. ε. η. θ. — γένοιτο. ε. η. — ἂν πολλὰ γένοιτ' ἂν ἀνθρώπῳ. α. θ. — α. θ. γ. ε. η. — ὑμῖν. α. ε. η. — διὰ τοῦτο δεῖ. θ.

Margin note (right): 17 Ἐξ ἀνάγκης) Ἀναγκαίως.

νόμιμον εἰσήγαγε, τῷ αὐτῷ θεωρήματι χρησάμενος, ὥσπερ καὶ ἐν τῇ ὁδῷ· καὶ τοιαύτῃ γὰρ ἑρμηνείᾳ ἐν διδασκαλίᾳ χρῆται. Εἰσὶ δέ τινες οἳ πρὶν ἀκοῦσαι τοὺς ὑπὲρ τῶν πραγμάτων λόγους, εὐθὺς εἰώθασιν ἐρωτᾶν, τί χρὴ ποιεῖν. ὁ ἐντεῦθεν μέν ἐστιν εἰσβολὴ τοῦ νομίμου κατὰ αἴτησιν· σεσόφισται δὲ αὐτὸ ἡ αἴτησις κατὰ παράλειψιν· ἐλλείπει γὰρ τῷ, τί οὖν χρὴ ποιεῖν, τὸ, εἰρήνης οὔσης. ἐσιώπησε δὲ τοῦτο τὸ μέρος, ὡς ἰσχυρόν· ἐνεφάνισε δὲ αὐτὸ διὰ τῆς λύσεως· πῶς γὰρ ἔλυσε, καὶ πόθεν χρὴ θηρεῦσαι τὴν αἴτησιν, ἐξ ὧν εἶπε παραγαγών, Πρῶτον μὲν, ὦ ἀθηναῖοι, τοῦτο παρ' ὑμῖν αὐτοῖς βεβαίως γνῶναι, ὅτι τῇ πόλει φίλιππος πολεμεῖ, καὶ τὴν εἰρήνην λέλυκε· ταῦτα γὰρ ἐπήνεγκε, μὴ τοιαύτης οὔσης τῆς αἰτήσεως, ὅτι εἰρήνη ἐστίν· ἀλλ' ἵνα λάβῃ τοὺς ἀκροατὰς συνομολογοῦντας, ὅτι παραβέβασται ἡ εἰρήνη. διὰ τοῦτο τῇ ἐρωτήσει σοφιστικωτέρᾳ κέχρηται, ὡς αὐτὸ ἐπίμονον ὄντων τῶν ἀκροατῶν ποιεῖν τὰ δέοντα. καίτοι γε οὐκ ἀγνοῶ ὅτι δεῖ γνῶναι αὐτούς, ἢ τὸ παραβεβάσθαι τὴν εἰρήνην, ὅπερ ἐστὶ πρὸς τὸ κεκρυμμένον μέρος τῆς αἰτήσεως. τοιοῦτον δέ ἐστιν αὐτῷ θεώρημα καὶ ἐν τῷ ὑπὲρ διοπείθους λόγῳ. ἤδη δὲ προδιοικεῖται διὰ τοῦ νομίμου τὸ κεφάλαιον, τὸ δεῖν συνέχειν τὴν διοπείθους δύναμιν· διὰ τοῦτο γὰρ καὶ προηρώτησεν ἐν σχήματι, τί οὖν χρὴ ποιεῖν, ἵνα ἀποδειχθείσης τῆς εἰρήνης διὰ μέσου παραβεβασμένης, ἐπενέγκῃ πρὸς τό, τί χρὴ ποιεῖν; ὅτι δεῖ συνέχειν τὴν διοπείθους δύναμιν· πρὸς τοῦτο γάρ ἐστιν αὐτῷ ἡ σύμπασα σπουδή. ἐν δὲ τῷ μεταξὺ καὶ τινὰς ὑπονοίας λύει, καὶ ἐκ τῆς ἐργασίας ἀνακυπτούσας ὑποφορὰς θαυμαστῶς. συνίστησι δὲ τὸ νόμιμον, πρῶτον μὲν ἐκ δυοῖν· ἐξ ἑνὸς μέν, ὅτι ἀναγκαίως τὴν [illegible] ἐλευθερίαν καὶ πολιτείαν τυραννίδι βούλεται καταλῦσαι, εἰδὼς μὴ ἄλλως συστησομένην τὴν βασιλείαν, εἰ μὴ καθαιρεθείη ἡ πολιτεία. ἐξ ἑτέρου δέ, ὅτι παραίτιος [illegible] τῶν ἀγαθῶν ὑπερβολήν, ὅσην παρ' ἀ-

θηναίοις· ὥστε ἀναγκαίως καὶ διὰ ταῦτα πολεμεῖν τῇ πόλει. ἀμφότερα δὲ τὰ ἐπιχειρήματα, τὸ ἀναγκαῖον τὸ δὲ ἀναγκαῖον, ἀπὸ τῆς γνώμης καὶ τοῦ ἀκολούθου. εἶτ' ἐπειδὴ περ ἐργαζόμενος αὐτῷ τὸ ἀναγκαῖον, ἐξ οὗ συμβαίνει μισεῖσθαι τὴν πόλιν ὑπὸ φιλίππου, καὶ λέγει, ὅτι καταφεύξονται γὰρ ἐφ' ὑμᾶς οἱ βεβιασμένοι, ἀντέπεσεν ἰδίως πρὸς τοῦτο ἐκ τῆς ἐργασίας, ὅτι καὶ τίς ἂν ἕλοιτο δουλείαν ἀντὶ δουλείας ἀλλάξασθαι, καὶ μὴ στέργειν τὴν ἅπαξ ὑπάρξασαν, ἔλυσεν εἰπών,

Ἐστὲ γὰρ ὑμεῖς οὐκ αὐτοὶ πλεονεκτῆσαι καὶ κατασχεῖν ἀρχὴν εὖ πεφυκότες· οὐ τοῦτο γάρ ἐστιν αἴτησις, ἀλλ' ἀντίπτωσις 22
ἀπὸ τῆς προτέρας ἐννοίας. εἶτα πάλιν ἐπανέλαβε τὴν αὐτὴν ἔννοιαν, καὶ ἀνήγαγεν εἰς ἑτέραν ἀρχὴν εἰπών, Πρῶτον μὲν 23



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

παρασκευάζεται νῦν, ἐπὶ τὴν ἡμετέραν πόλιν παρα-
24 σκευάζεται. οὐ γὰρ οὕτως εὐήθης ἐστὶν ὑμῶν οὐδείς, ὥστε ὑ-
πολαμβάνειν τὸν Φίλιππον, τῶν μὲν ἐν Θρᾴκῃ κακῶν·
τί γὰρ ἂν ἄλλο τις εἴποι, Δρογγίλον, καὶ Καβύλην, καὶ Μάστει-
ραν, καὶ ἃ νῦν φασιν αὐτὸν ἔχειν· τούτων μὲν ἐπιθυμεῖν,
καὶ ὑπὲρ τοῦ ταῦτα λαβεῖν, καὶ πόνους καὶ χειμῶνας καὶ
25 τοὺς ἐσχάτους κινδύνους ὑπομένειν· τῶν δ᾽ Ἀθήνησι
λιμένων, καὶ νεωρίων, καὶ τριήρων, καὶ τῶν ἔργων τῶν ἀρ-
γυρείων, καὶ τοσούτων προσόδων, καὶ τόπου, καὶ δόξης,
ὧν μήτ᾽ ἐκείνῳ, μήτ᾽ ἄλλῳ γένοιτο μηδενὶ χειρωσαμένῳ
τὴν πόλιν τὴν ἡμετέραν, κυριεῦσαι, οὐκ ἐπιθυμεῖν, ἀλ-
26 λὰ ταῦτα μὲν ὑμᾶς ἐάσειν ἔχειν, ὑπὲρ δὲ τῶν μελινῶν
καὶ τῶν ὀλυρῶν τῶν ἐν τοῖς Θρᾳκίοις σιροῖς, ἐν τῷ βα-
ράθρῳ χειμάζειν. οὐκ ἔστι ταῦτα, ἀλλὰ κἀκεῖνα ὑπὲρ
τοῦ τούτων γενέσθαι κύριος, καὶ τὰ ἄλλα πάντα πραγ-
ματεύεται. ταῦτα τοίνυν ἕκαστον εἰδότα καὶ γιγνώσκον-
27 τα παρ᾽ αὑτῷ, δεῖ μὰ Δί᾽ οὐ γράψαι κελεύειν πόλεμον, τὸν
τὰ βέλτιστα ἐπὶ πᾶσι δικαίοις συμβουλεύοντα. τοῦτο μὲν
γάρ ἐστιν ὅτῳ μὴ πολεμήσετε λαβεῖν, οὐ βουλομένων,
οὐχ ἃ τῇ πόλει συμφέρει πράττειν. ὁρᾶτε γάρ, εἰ δι᾽ ἃ
πρῶτα παρεσπόνδησε Φίλιππος, ἢ δεύτερα, ἢ τρίτα·
28 πολλὰ γάρ ἐστιν ἐφεξῆς· ἔγραψέ τις αὐτῷ πολεμεῖν· ὁ
δ᾽, ὁμοίως ὥσπερ νῦν οὐ γράφοντος Ἀθηναίων οὐδενὸς
πόλεμον, Καρδιανοῖς ἐβοήθει, οὐκ ἀνηρπασμένος ἂν ἦν
ὁ ταῦτα γράψας, καὶ διὰ τοῦτο ἅπαντες ἠτιῶντο ἄν,
αὐτὸν Καρδιανοῖς βεβοηθηκέναι. μὴ τοίνυν ζητεῖτε ὅν τινα
29 ἀνθ᾽ ὧν Φίλιππος ἐξαμαρτάνει, μισήσετε, καὶ τοῖς πα-
ρ᾽ ἐκείνου μισθαρνοῦσι διασπάσασθαι παραβάλητε· μη-
δ᾽ αὐτοὶ χειροτονήσαντες πόλεμον, βούλεσθε παρ᾽ ὑμῖν
αὐτοῖς ἐρίζειν, εἰ δέον, ἢ μὴ δέον ἡμᾶς τοῦτο πεποιηκέναι.
ἀλλ᾽ ὃν ἐκεῖνος πολεμεῖ τρόπον, τοῦτον ἀμύνεσθαι· τοῖς
30 μὲν ἀμυνομένοις ἤδη, χρήματα καὶ τἄλλα ὧν ἂν δέ-
ωνται, διδόντες· αὐτοὶ δ᾽ εἰσφέροντες, ὦ ἄνδρες Ἀθηναῖοι,
καὶ κατασκευαζόμενοι στράτευμα, τριήρεις ταχείας,
ἵππους, ἱππαγωγούς, καὶ τἄλλα ὅσα εἰς πόλεμον. ἐπεὶ
νῦν γε γέλως ἐστὶν ὡς χρώμεθα τοῖς πράγμασι· καὶ
31 Φίλιππον δὲ αὐτὸν οἶμαι, οὐδὲν ἂν ἄλλο μὰ τοὺς θεοὺς

δή*, δεῖ ἐχθρὸν ὑπειληφέναι τῆς πολιτείας καὶ τῆς δημοκρατίας, ἀδιάλλακτον ἐκεῖνον· ἐπεὶ γὰρ ἰσχυρὸς ὁ περὶ τῆς εἰρήνης λόγος, ἀναγκαίως πρὸς αὐτὸν συνεχῶς ἀγωνίζεται· τουτέστιν, οὐ δεῖ κηλεῖσθαι τῷ τῆς εἰρήνης ὀνόματι· φύσει γὰρ εἶναι πολέμιον Φίλιππον. ἀνήγαγε δὲ ἐπὶ ταῦτα πάλιν τὴν ἀρχήν· πρότερον μέν, ὡς ἔφην, ἵνα γενναίως πρὸς αὐτὴν ἀγωνίσηται· εἶτα ἐπειδὴ εἶχε καὶ δευτέρᾳ λύσει χρήσασθαι "παρεχούσῃ ἀντεξέτασιν τῶν ὑπαρχόντων Ἀθηναίοις ἀγαθῶν, καὶ τῶν ἐπὶ Θρᾴκης φαύλων καὶ μικρῶν καὶ γλίσχρων, πάλιν ἐκαινοποίησε τὴν ἀντίθεσιν· μιᾷ μέν, ὅτι ἀναγκαίως πολεμεῖ τῇ δημοκρατίᾳ καὶ πολιτείᾳ ἀντικειμένῃ τῇ τυραννίδι· ταύτῃ δὲ τῇ λύσει ἐχρήσατο πρὸς τὴν ἑτέραν θέσιν τῆς ἀντιθέσεως· τῇ δὲ δευτέρᾳ λύσει τῇ περιεχούσῃ τὴν ἀντεξέτασιν, νῦν μέλλει κεχρῆσθαι πρὸς τὴν δευτέραν θέσιν. ἐκ τούτου τοίνυν τοῦ νομίμου κεφαλαίου λημμάτων μᾶλλον τῷ δικαίῳ, "ἀντίπτωσιν ἀναγκαίως ἀντιθέσεις πάλιν ἀπὸ τοῦ νομίμου· οὐκοῦν εἰ πέπεισαι παραβεβάσθαι τὴν εἰρήνην Δημόσθενες, γράψον περὶ πολέμου ψήφισμα· ταύτην ἔλυσεν ἐνστάσει, ἥτις ἔνστασίς ἐστιν ἀπὸ τοῦ δικαίου· "οὐ γὰρ δικαίως φησὶν ἀδικεῖσθαι ὑφ᾽ ἡμῶν τὸν προῃρημένον ὑμῖν τὰ βέλτιστα συμβουλεύειν· εἶτα ἐκ παραδείγματος ἑτέραν προσάγεται λύσιν, ὅτι οὐδὲ ἄλλοτέ ποτε οὐδενὸς γράψαντος Φίλιππος ἀδικεῖ, καὶ πρῶτα, καὶ δεύτερα, καὶ τρίτα, καὶ νυνὶ δὲ Καρδιανοῖς βοηθεῖ. ὁμοῦ δὲ καὶ ἐπισημαινόμενος τὴν αἰτίαν, δι᾽ ἣν ὁ λόγος, ὅτι γὰρ ἀπήγγελται Φίλιππος Καρδιανοῖς βοηθεῖν, εὔδηλον ὅτι ὁ δῆμος τετάρακται· εἶτα τρίτη λύσις, ὅτι ὑμεῖς ἐχειροτονήσατε τὸν πόλεμον, ὅτι ἐξ οὗ χρόνου τὸν Διοπείθην ἀπεστείλατε, "κεχειροτονήκατε πόλεμον· ὥστε περιττὸν περὶ τῶν ἐγνωσμένων γράφειν· εἶτα ὥσπερ ἀπαναγκὲς τῶν λύσεων, ἐπιλογίζεται ὑποτιθέμενος ὃν δεῖ τρόπον πολεμεῖν. ἔθος δὲ αὐτῷ πληροῦντι κεφάλαιον, καὶ ἐν μέσοις λόγοις ἐπιλογίζεσθαι. λέγει δὲ δεῖν ἀμύνασθαι, ὅταν ἄρχηται ἐκεῖνος, προσποιούμενος ὑποθετικοῦ λοιπὸν ἅπτεσθαι λόγου ἀπὸ τρόπου· οὐκ ἔστι γὰρ ἄρχεσθαι πολέμου τὸν ἀμυνόμενον· ἵνα φαίνηται λύων ὁ Φίλιππος, οὐχ ἡ πόλις· ὁμοίως δὲ καὶ ἐνταῦθα τοῦ πραγματικοῦ ἅπτεσθαι δοκεῖ· οἶδε γὰρ καὶ ἐν ἐπιλόγοις αὔξειν τι τῶν συνεκτικῶν καὶ ἀγωνίζεσθαι. φεύγει δ᾽ οὖν οὐδὲν ἧττον κἀνταῦθα τὸ γράψαι, καὶ ἐπισημαίνεται τὴν ὑπόθεσιν, δι᾽ ἣν ὁ λόγος ἐρρέθη· εἰπὼν γὰρ τοῖς μὲν ἀμυνομένοις ἤδη χρήματα, καὶ τὰ ἄλλα ὅσων δέονται διδόντες, ἐσήμαινεν ὅτι ἔφοδος γέγονε Φιλίππου, καὶ ἀμύνεται αὐτὸν Διοπείθης. ἀπὸ δὲ τῆς προτρεπτικῆς ταύτης τοῦ δεῖν εἰσφέρειν καὶ κατασκευάζεσθαι στράτευμα, καὶ τριήρεις ταχείας, δῆλός ἐστι μεταβὰς ἐπὶ "ἑτέραν λογικὴν ἔννοιαν ἀπὸ τοῦ συμφέ-
ροντος

* τοῦτο. α.
" περιεχούσῃ.
" ἀντίπτωσιν ἀναγκ. πάλιν ἀντιθέσ.
" καὶ γὰρ δίκαιον. α.
" κατακεχειροτονήκατε.
" ἐπιλογίαν ἀπὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ροντος, καὶ τῷ αἰσχρῷ ἐνταῦθα προσχρώμενος, δεικνὺς ὅσην αἰσχύνην ὀφείλουσι καὶ γέλωτα ῥαθυμήσαντες· εἶτα ἀπὸ τῆς κρίσεως τοῦ πολεμίου Φιλίππου, ὅτι ἐκεῖνος οὐδὲν ἄλλο τι ἂν εὔξαιτο ποιεῖν τὴν πόλιν. πληρώσας δὲ τὸν ἐπίλογον, ἄρχεται τοῦ δυνατοῦ, ἀνενεγκὼν ἐπὶ ἀρχὴν ἀρχαιοτέραν τὸν λόγον, ἀπὸ τῆς λέξεως ταύτης τὴν ἀρχὴν ποιησάμενος,

εὔξασθαι ποιεῖν τὴν πόλιν, ἢ ταῦτα ἃ νῦν ποιεῖτε. ὑστερί-
ζετε, ἀναλίσκετε· ὅτῳ παραδώσετε τὰ πράγματα,
ζητεῖτε· δυσχεραίνετε, ἀλλήλους αἰτιᾶσθε. ἀφ' ὅπου δὲ
ταῦτα γίνεται, ἐγὼ διδάξω, καὶ ὅπως παύσεται, λέξω.
οὐδὲν πώποτε, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν πραγμάτων 32
ἐξ ἀρχῆς ἐνεστήσασθε, οὐδὲ κατεσκευάσασθε ὀρθῶς·
ἀλλὰ τὸ συμβαῖνον ἀεὶ διώκετε· εἶτ' ἐπειδὰν ὑστερίσητε,
παύεσθε· ἕτερον πάλιν ἐὰν συμβῇ τι, παρασκευάζεσθε,
καὶ θορυβεῖσθε. τὸ δ' οὐχ οὕτως ἔχει· οὐκ ἔνεστι βοηθείαις
χρωμένους, οὐδὲν τῶν δεόντων πώποτε πρᾶξαι· ἀλ- 33
λὰ κατασκευάσαντας δεῖ δύναμιν καὶ τροφὴν ταύτῃ
πορίσαντας, καὶ ταμίας δημοσίους, καὶ ὅπως ἔνι τὴν τῶν
χρημάτων φυλακὴν ἀκριβεστάτην γενέσθαι· οὕτω ποιή-
σαντας, τὸν μὲν τῶν χρημάτων λόγον, παρὰ τούτων λαμ-
βάνειν· τὸν δὲ τῶν ἔργων, παρὰ τοῦ στρατηγοῦ· καὶ μηδε- 34
μίαν πρόφασιν τοῦ πλεῖν ἄλλοσε, ἢ πράττειν ἄλλο τι τῷ
στρατηγῷ καταλείπειν. ἂν δ' οὕτω ποιήσητε, καὶ τοῦτο
ἐθελήσητε, ὡς ἀληθῶς ἄγειν εἰρήνην δικαίαν, καὶ μένειν
ἐπὶ τῆς αὑτοῦ Φίλιππον ἀναγκάσετε, ἢ πολεμήσετε ἐξ
ἴσου· καὶ ἴσως ἂν ἴσως, ὦ ἄνδρες Ἀθηναῖοι, ὥσπερ ὑμεῖς 35
νῦν πυνθάνεσθε, τί ποιεῖ Φίλιππος, καὶ ποῖ πορεύεται·
οὕτως ἐκεῖνος φροντίσει, ποῖ ποτε ἡ τῆς πόλεως ἀπῆρκε
δύναμις, καὶ ποῦ φανήσεται. εἰ δέ τῳ δοκεῖ ταῦτα καὶ
δαπάνης πολλῆς, καὶ πόνων πολλῶν, καὶ πραγματείας
εἶναι, καὶ μάλα ὀρθῶς δοκεῖ· ἀλλ' ἐὰν λογίσηται τὰ τῇ πό- 36
λει μετὰ ταῦτα γενησόμενα, ἐὰν ταῦτα μὴ ἐθέλῃ ποι-
εῖν, εὑρήσει λυσιτελοῦν τὸ ἑκόντας ποιεῖν τὰ δέοντα.
εἰ μὲν γάρ ἐστί τις ἐγγυητὴς ἡμῖν θεῶν· οὐ γὰρ ἀνθρώπων
γε οὐδεὶς ἂν γένοιτο ἀξιόχρεως τηλικούτου πράγμα-
τος· ὡς ἐὰν ἄγητε ἡσυχίαν, καὶ ἅπαντα προῆσθε, οὐκ 37

Οὐδὲν πώποτε, ὦ Ἀθηναῖοι, τῶν 32
πραγμάτων ἐξ ἀρχῆς ἐνεστήσασθε. οὐδὲ κατεσκευάσασθε ὀρθῶς. εἰ δὲ καὶ συμπαρομαρτεῖ τῇ ἐργασίᾳ τοῦ κεφαλαίου τούτου, λέγω τοῦ δυνατοῦ καὶ τὸ συμφέρον, καὶ συννοεῖται τοῖς λεγομένοις, οὐδὲν θαυμαστόν· σύνηθες γὰρ αὐτῷ τὰ κεφάλαια πλέκειν. ὅτι δὲ τῷ δυνατῷ μᾶλλον προσκεχώρηκε, δῆλον ἐκ τῶν ἐχομένων· εὐθὺς γὰρ ἔλυσε καὶ ἀνθυποφοράν, οὐδεὶς μὲν αὐτὴν ἐκ τοῦ φανεροῦ, δηλώσας διὰ τῶν λύσεων, Ἀλλὰ δυνησόμεθα βοηθείαις χρώμενοι κωλύειν ἐκεῖνον· ἐπειδὴ γὰρ πρὸ βραχέος ἐχρήσατο ἐν τῷ τέλει τῆς λύσεως, τῆς τοῦ νομιζομένου ἀντιθέσεως τῆς λεγούσης, δεῖν αὐτὸν γράφειν περὶ πολέμου ψήφισμα, προστάττει τινὶ ἐπιλογικῇ, λέγων δεῖν κατασκευάζεσθαι στράτευμα καὶ ὁπλίτας καὶ ἱππέας καὶ τριήρεις· διὰ τοῦτο καὶ προέλαβεν ἐκ τῆς εἰσβολῆς τὴν λύσιν· καὶ νῦν ὁμοίως σαφεστέρως πρὸς τὴν αὐτὴν ἀπομάχεται λέγων, Οὐκ ἔνεστι βοηθείαις 33
χρωμένους, οὐ δέον τί ποτε πρᾶξαι. καὶ ὅλως δὲ ὑπονοίας ἔλυσε, μὴ διαφθείρῃ τὰ χρήματα, μὴ μάτην ἀναλωθῇ, δι' ὧν εἶπε δεῖν ταμίας καθεστάναι, καὶ λόγους λαμβάνειν παρὰ τῶν στρατηγῶν. μετὰ ταῦτα πάλιν ἀπὸ τοῦ δυνατοῦ ἀντίπτωσιν ἀντιθέσεως, Ἀλλὰ χαλεπὰ καὶ ἐργώδη λέγεις Δημόσθενες· ἔστι δὲ αὐτὴν, τοῦ, Φαμὲν δή τι πραγματείας εἶπεν καὶ πόνους· σχεδὸν γὰρ τὸ μὴ ῥᾴδιον εἶναι τὸ πρᾶγμα σημαίνει. οὐ μὴν ἀπήλλακται τοῦ μετέχειν καὶ τοῦ συμφέροντος· καὶ τοῦτο δείκνυται σαφῶς ἐκ τῶν λύσεων· καὶ ἔστιν ἡ ἀντίθεσις, Εἰ 35
δέ τῳ δοκεῖ ταῦτα καὶ δαπάνης πολλῆς, καὶ πόνων πολλῶν, καὶ πραγματείας εἶναι, καὶ μάλα ὀρθῶς δοκεῖ.

"δηλῶσαι δὲ ἐκ τῶν

ταύτην ἔλυσε τῷ συμφέροντι, δείξας ἐργωδέστερα καὶ χαλεπώτερα τὰ συμβησόμενα, εἰ μὴ τοῖς μικροῖς τούτοις καὶ τοῖς ὀλίγοις ἐθελήσαιμεν ὑπομεῖναι πόνοις. καὶ ἄλλο δέ τι μέρος λύει τῆς αὐτῆς ἀντιθέσεως, ὅπερ οὐ τέθεικεν ἐκ τοῦ προφανοῦς, ὥσπερ ἐν τῷ διοπείθους. ἔκρυψε δὲ δή, ὅτι οὐκ ἦν εὐπρόσωπος οὐδὲ πιθανὸς οὐδὲ δυνατὸς ὁ περὶ τούτου λόγος· τίς γὰρ ὑπὲρ ἀλλοτρίων εἵλετο κινδυνεύειν καὶ δαπανᾶν. αἱ μέντοι γε λύσεις ἔχουσαι μεθ' ἑαυτῶν τὸ ἀναγκαῖον τῶν ἔργων, καὶ ἐμφανοῦσαι τὴν πρότασιν, εἰκότως τὴν παρρησίαν τῷ συμβούλῳ παρέχουσιν. ἐχρήσατο γοῦν θουκυδιδείῳ λύσει, ἥπερ ὁ λέσβιος χρώμενος φαίνεται, ὅτι τῷ μὲν δοκεῖν, ὑπὲρ ἄλλων, τῇ δὲ ἀληθείᾳ, ὑπὲρ "ἡμῶν τὰ γινόμενα. καὶ ἡ λύσις ἐναργής, "γρ. ὑμῶν. α.
Εἰ μὲν γάρ ἐστι τις ἐγγυητὴς ἡμῖν θεῶν· οὐ γὰρ ἀνθρώπων γε οὐδείς. καὶ πάλιν προϊὼν ὁ λόγος φησίν, Εἰ δὲ προΐ- 36
σμεν ἅπαντες ὅτι ὅσῳ ἂν πλειόνων ἐάσωμεν ἐκεῖνον γενέσθαι κύριον, τοσούτῳ χαλεπωτέρῳ καὶ ἰσχυροτέρῳ χρησόμεθα ἐχθρῷ. ἐπὶ τούτοις ἀντίπτωσιν ἀπὸ τῆς ἐργασίας τοῦ συμφέροντος, ὑπόνοιά τις ἀναγκαίου πάλιν· Ἀλλ' ὅταν ἀνάγκη γένηται, καὶ ἐφ' ἡμᾶς ἔλθῃ Φίλιππος, σὺ φῄς· τοῦτο γὰρ κατεσκευάζετο, ὅτι καὶ γὰρ ἐὰν πάντας λάβῃ, ἐφ' ἡμᾶς ἥξει, τότε αὐτὸν ἀμυνούμεθα. οὐ μὴν οὕτως αὐτὴν ἔθηκε προφανῶς· ἀλλ' ἀντὶ τῆς ἀφίξεως καὶ τοῦ ἐλθεῖν εἶπεν, Ὅταν ἀναγκαῖον ᾖ· τὸ γὰρ ἀναγκαῖον δύναται κοινὸν εἶναι καὶ τῆς ἐφόδου καὶ τῶν ἄλλων καθεστηκότων. ἵν' οὖν ἀφορμὴ γένηται αὐτῷ μᾶλλον προστρέψασθαι, οὕτω τὴν ἀντίθεσιν μετεχειρίσατο. πληρώσας δὲ τὸ συμφέρον τοῦτο ὃ ἀντιπαρήγαγεν εἰς λύσιν τῆς ἀντιθέσεως,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐπ' αὐτοὺς ὑμᾶς τελευτῶν ἐκεῖνος ἥξει, αἰσχρὸν μὲν νὴ τὸν · β·
Δία καὶ πάντας τοὺς θεοὺς καὶ ἀνάξιον ὑμῶν, καὶ τῶν ὑπαρ-
χόντων τῇ πόλει, καὶ τῶν πεπραγμένων τοῖς προγόνοις,
τῆς ἰδίας ῥαθυμίας ἕνεκα τοὺς ἄλλους Ἕλληνας ἅπαντας
38 εἰς δουλείαν προέσθαι. καὶ ἔγωγε, αὐτὸς * τεθνάναι μᾶλ- * μᾶ, α.
λον ἂν ἢ ταῦτ' εἰρηκέναι βουλοίμην. οὐ μὴν ἀλλ' εἴ τις
ἄλλος " λέγει, καὶ ὑμᾶς " πείθει, ἔστω· μὴ ἀμύνεσθε, ἅπαν- " λέγοι. κ. θ. " πείθοι. κ. θ.
τα προέσθε. εἰ δὲ μηδενὶ τοῦτο δοκεῖ, τοὐναντίον δὲ προΐ-
σμεν ἅπαντες, ὅτι ὅσῳ ἂν πλειόνων ἐάσωμεν ἐκεῖνον γε-
39 νέσθαι κύριον, τοσούτῳ χαλεπωτέρῳ καὶ ἰσχυροτέρῳ χρη-
σόμεθα ἐχθρῷ. " τί " ἀναδυόμεθα, ἢ τί μέλλομεν, ἢ πότε, " ποῖ. κ. θ. " ἀναβαλλόμεθα.
ὦ ἄνδρες Ἀθηναῖοι, τὰ δέοντα ποιεῖν ἐθελήσομεν· ὅταν
νὴ Δί' ἀνάγκη τις ᾖ; ἀλλ' ἣν μὲν ἄν τις ἐλευθέρων ἀν- · ε. κ. θ.
θρώπων ἀνάγκην εἴποι, οὐ μόνον ἤδη πάρεστιν, ἀλλὰ καὶ
40 πάλαι παρελήλυθε· τὴν δὲ τῶν δούλων, ἀπεύχεσθαι
δήπου μὴ γενέσθαι δεῖ. διαφέρει " δὲ τί. ὅτι ἐστὶν ἐλευ- " δέ τι. θ.
θέρῳ μὲν ἀνθρώπῳ μεγίστη ἀνάγκη, ἡ ὑπὲρ τῶν γινο-
μένων αἰσχύνη· καὶ μείζω ταύτης οὐκ οἶδα, ἥντινα ἂν
εἴποι τις· δούλῳ δέ, πληγαί, καὶ ὁ τοῦ σώματος αἰκισμός·
41 " ἃ μήτε γένοιτο, οὔτε λέγειν ἄξιον. τὸ μὲν τοίνυν, ὦ ἄν- " ἃ. α. κ. θ. ἃ μὴ. γ. θ.
δρες Ἀθηναῖοι, πρὸς τὰ τοιαῦτα ὀκνηρῶς διακεῖσθαι, · α. ε. κ. θ.
ἃ δεῖ τοῖς σώμασι καὶ ταῖς οὐσίαις λειτουργῆσαι ἕκαστον, ἐστὶ μὲν
οὐκ ὀρθῶς ἔχον, οὐδὲ πολλοῦ δεῖ· οὐ μὴν ἀλλ' ἔχει γέ · .. ε. θ.
τινα πρόφασιν ὅμως. τὸ δὲ μηδ' ὅσα ἀκοῦσαι δεῖ, μη-
42 δ' ὅσα βουλεύσασθαι προσήκει, μηδὲ ταῦτ' ἐθέλειν
ἀκούειν, τοῦτ' ἤδη πᾶσαν ἐπιδέχεται κατηγορίαν. ὑμεῖς
τοίνυν οὔτ' ἀκούειν πρὶν ἂν ὥσπερ νῦν αὐτὰ παρῇ τὰ · ε. κ.
πράγματα, οὔτε βουλεύεσθαι περὶ οὐδενὸς εἰώθατε
ἐφ' ἡσυχίας· ἀλλ' ὅταν μὲν ἐκεῖνος παρασκευάζηται
43 ἐφ' " ὑμᾶς, ἀμελήσαντες τοῦ ποιεῖν " τοῦτο, καὶ ἀντιπαρα- " ἡμᾶς. β. κ.
σκευάζεσθαι ῥαθυμεῖτε· καὶ ἐάν τι λέγῃ τις, ἐκβάλλε- " ταῦτα. α. ε.
τε. ἐπειδὰν δὲ ἀπολωλὸς ἢ πολιορκούμενόν τι πύθησθε,
τηνικαῦτ' ἀκροᾶσθε καὶ παρασκευάζεσθε. ἦν δ', ἀ- · ε. κ.
κηκοέναι μέν, καὶ " βεβουλεῦσθαι τότε καιρὸς ὅθ' ὑμεῖς " βουλεύεσθαι. α. θ.
44 οὐκ " ἠθελήσατε· πράττειν δὲ καὶ χρῆσθαι τοῖς παρεσκευα- " ἠθέλετε. ε. θ.
σμένοις, νῦν ἡνίκ' ἀκούετε. τοιγαροῦν ἐκ τῶν τοιούτων
ἐθῶν, μόνοι τῶν πάντων ἀνθρώπων ὑμεῖς τοὐναντίον · ε. κ. θ.
τοῖς ἄλλοις * ποιεῖτε· οἱ μὲν γὰρ ἄλλοι πάντες ἄνθρωποι, * ἀνθρώποις. κ. θ.
πρὸ τῶν πραγμάτων εἰώθασι χρῆσθαι τῷ βουλεύεσθαι· · ε. κ.

προοιμιάζεται λοιπὸν ὑπὲρ τοῦ ἀπὸ τοῦ μέρους τοῦ δυνατοῦ· σκοπὸς γὰρ αὐτῷ λοιπὸν ἐντεῦθεν διαλεχθῆναι περὶ τῆς πρὸς βασιλέα πρεσβείας. πάλαι δὲ προδιῳκήσατο ἑαυτῷ τὴν περὶ τούτου πειθώ· ἀφ' οὗ γὰρ ἤρξατο συμβουλεύειν αὐτοῖς καὶ διαλέγεσθαι περὶ τοῦ δεῖν εἰσφέρειν καὶ κατασκευάζεσθαι στράτευμα, καὶ τριήρεις, καὶ ἵππους, καὶ ὅσα τοιαῦτα, δῆλος ἦν λοιπὸν διὰ τὴν τῶν χρημάτων εἰσφορὰν καὶ ἕτερον δι' ἑτέρου περαίνων· ἀλλ' ἐκεῖ μὲν τῷ δοκεῖν ἁπλούστερον συνεβούλευεν αὐτοῖς παρασκευάζεσθαι· προκατασκευάζει δὲ οὐδὲν ἧττον ἑαυτῷ τὴν ἀνάγκην τοῦ πεισθῆναι αὐτοὺς περὶ τῆς πρὸς βασιλέα πρεσβείας· τί γὰρ ἦν ὑπόλοιπον ποιεῖν, τοὺς ἀναγκαζομένους μὲν παρέχειν, μὴ ἔχοντας δὲ ἢ πείθεσθαι τῷ ὑποδεικνύντι πόρον ἄλυπον καὶ ἀζήμιον τοῖς πολίταις. ἐντεῦθεν ὁμοίως ἐρρητόρευσεν ἐκ τῆς λέξεως ταύτης
41 τὴν ἐπιβολὴν ποιησάμενος. Τὸ μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς τὰ τοιαῦτα ὀκνηρῶς διακεῖσθαι. αὕτη μὲν ἐστὶν ἡ εἰσβολὴ τοῦ λόγου τοῦ περὶ τῆς πρεσβείας. ῥητορεύει δὲ διὰ τοῦ προοιμίου, αἰτιώμενος ὅτι μὴ βούλονται ἀκούειν περὶ ὧν ἂν λέγῃ. προκαταλαμβάνων ἑαυτῷ τὸν ἀκροατήν, καὶ ἀναγκάζων πειθαρχεῖν, οἷς ἂν οὗτος συμβουλεύοι. εἶτα καὶ προσέπλεξε τούτῳ τὸ μηδὲ παρασκευάζεσθαι αὐτούς, ἵνα ἀντιπεσόντος ὅτι καὶ πῶς δυνατὸν παρασκευάζεσθαι, μὴ ὑπαρχόντων χρημάτων, εὐχερῶς ὁ περὶ τοῦ βασιλέως εἰσέλθῃ λόγος. καὶ τῷ βουλομένῳ δὲ κατανοεῖν, πλείονα τούτων ἔγκειται τῇ ῥητορείᾳ τοῦ προοιμίου τοῦ κεφαλαίου ὑποδείγματος ἕνεκα καὶ ἀπόχρημα καὶ ταῦτα. λῆξιν δὲ ἔλαβε τουτὶ τὸ προοίμιον, ὡς ταύ-
42 την τὴν λέξιν, Τοῦτ' ἤδη πᾶσαν ἐπιδέχεται κατηγορίαν. εἶτα προκατασκευῇ μετὰ τοῦτο χρῆται, Ὑμεῖς τοίνυν οὔτ' ἀκούειν πρὶν ἂν ὥσπερ νῦν αὐτὰ παρῇ τὰ πράγματα, οὔτε βουλεύεσθαι περὶ οὐδενὸς εἰώθατε ἐφ' ἡσυχίας. ταῦτα γάρ ἐστι προδιοικουμένου καὶ προκατασκευάζοντος, δεῖν ἀνέχεσθαι λέγοντος, καὶ συμβουλεύοντος περὶ τῆς πρεσβείας τῆς πρὸς τὸν Μῆδον. καταπλήττει δὲ αὐτοὺς ἀπροαιρέτως ἔχοντας παρασκευάζεσθαι, τῆς αὐτῆς ἔχεται ῥητορείας· ὅσῳ γὰρ ἂν ἐνδείξηται μήτε παρασκευαζομένους, μήτε πράττειν ἐθέλοντας, τὴν αἰτίαν τούτων φανερωτέραν κατασκευάζει· λέγω, τὴν τῶν χρημάτων ἔνδειαν· ἵν' ὁ περὶ βασιλέως ἀκόλουθος λόγος, τὴν ἀρχὴν ἐντεῦθεν λάβῃ. ἡ δὲ ἐπιβολὴ αὐτῆς τῆς εἰσηγήσεως, μετὰ τὴν προκατασκευήν,

Πολλοῦ δεῖ) Μὴ ἔχει ὀρθῶς.

ὑμεῖς δὲ, μετὰ τὰ πράγματα. ὃ δὴ λοιπόν ἐστι, καὶ πάλαι 45
μὲν ἔδει, διαφέρει δὲ οὐδὲν νῦν, τοῦτ' ἐρῶ· οὐδενὸς τῶν
πάντων οὕτως ὡς χρημάτων δεῖ τῇ πόλει πρὸς τὰ νῦν ἐ-
πιόντα πράγματα. συμβέβηκε δ' εὐτυχήματα ἀπὸ
ταὐτομάτου, οἷς ἂν χρησώμεθα ὀρθῶς, ἴσως ἂν γένοιτο
τὰ δέοντα· πρῶτον μὲν γὰρ, οἷς βασιλεὺς πιστεύει, καὶ εὐερ- 46
γέτας ὑπείληφεν αὑτοῦ, οὗτοι μισοῦσι καὶ πολεμοῦσι Φι-
λίππῳ· ἔπειθ', ὁ πράττων καὶ συνειδὼς πάνθ' ὅσα Φί-
λιππος κατὰ βασιλέως παρασκευάζεται, οὗτος ἀνάρ-
παστος γέγονε, καὶ πάσας τὰς πράξεις βασιλεὺς, οὐχ ἡ-
μῶν κατηγορούντων ἀκούσεται, οὓς ὑπὲρ τοῦ συμφέ- 47
ροντος ἂν ἡγήσαιτο τοῦ ἰδίου λέγειν, ἀλλὰ τοῦ πράξαντος
αὐτοῦ καὶ διοικοῦντος· ὥστ' εἶναι πιστὰς τὰς κατηγορίας,
καὶ λοιπὸν λόγον εἶναι τοῖς παρ' ὑμῶν πρέσβεσιν, ὃν βα-
σιλεὺς ἥδιστα ἂν ἀκούσαι, ὡς τὸν ἀμφοτέρους ἀδικοῦν-
τα, κοινῇ τιμωρήσασθαι δεῖ. καὶ ὅτι πολὺ τῷ βασιλεῖ 48
φοβερώτερός ἐσθ' ὁ Φίλιππος, ἂν προτέροις ἡμῖν
ἐπίθηται· εἰ γὰρ ἐγκαταλειπόμενοί τι πεισόμεθα ἡμεῖς,
ἀδεῶς ἐπ' ἐκεῖνον ἤδη πορεύσεται. ὑπὲρ δὴ τούτων ἁ-
πάντων, οἶμαι δεῖν ὑμᾶς πρεσβείαν ἐκπέμπειν, ἥτις
τῷ βασιλεῖ διαλέξεται· καὶ τὴν ἀβελτηρίαν ἀποθέ- 49
σθαι, δι' ἣν πολλάκις ἠλαττώθητε. καὶ δὴ βάρβαρος
καὶ κοινὸς ἅπασιν ἐχθρὸς, καὶ ἅπαντα τὰ τοιαῦτα. ἐγὼ γὰρ
ὅταν ἴδω, τὸν μὲν, ἐν Σούσοις καὶ ἐν Ἐκβατάνοις δεδοι-
κότα καὶ κακόνουν εἶναι τῇ πόλει φάσκοντα, ὃς καὶ πρό-
τερον συνεπηνώρθωσε τὰ τῆς πόλεως πράγματα, καὶ 50
νῦν ἐπηγγέλετο. εἰ δὲ μὴ ἐνεδέχεσθ' ὑμεῖς, ἀλλ' ἀ-
πεψηφίσασθε, οὐ τἀκείνου αἴτια. ὑπὲρ δὲ τοῦ ἐπὶ ταῖς
θύραις ἐγγὺς οὑτωσὶ, ἐν μέσῃ τῇ Ἑλλάδι αὐξανομένου λῃ-
στοῦ τῶν Ἑλλήνων, ἄλλο τι λέγοντα θαυμάζω, καὶ δέδοικα
τοῦτον ὅστις ἂν ᾖ ποτ' ἔγωγ', ἐπειδὴ οὐχ οὗτος Φίλιππον. 51
ἔστι τοίνυν τι πρᾶγμα καὶ ἄλλο ὃ λυμαίνεται τὴν πό-
λιν, ὑπὸ βλασφημίας ἀδίκου καὶ λόγων οὐ προσηκόν-
των διαβεβλημένον· εἶτα τοῖς μηδὲν τῶν δικαίων ἐν τῇ
πόλει βουλομένοις ποιεῖν, πρόφασιν παρέχει· καὶ πάν-
των ὅσα ἐκλείπει, δέον παρὰ τοῦτο γίγνεσθαι, ἐπὶ 52
τοῦθ' εὑρήσετε τὴν αἰτίαν ἀναφερομένην. περὶ οὗ πάνυ
μὲν φοβοῦμαι λέγειν, οὐ μὴν ἀλλ' ἐρῶ· οἶμαι γὰρ ἕξειν καὶ
ὑπὲρ τῶν ἀπόρων τὰ δίκαια ἐπὶ τῷ συμφέροντι τῆς
πόλεως εἰπεῖν πρὸς τοὺς εὐπόρους, καὶ ὑπὲρ τῶν κεκτη-
μένων τὰς οὐσίας, πρὸς τοὺς καταδεεῖς, εἰ ἀνέλοιμεν ἐκ 53
μέσου τὰς βλασφημίας, ἃς ἐπὶ τῷ θεωρικῷ ποιοῦνταί

45 Ὃ δὴ λοιπόν ἐστι, καὶ πάλαι μὲν ἔδει, διαφέρει δὲ, οὐδὲ νῦν τοῦτο ἐρῶ. εἶτα αὐτὸς ἑαυτῷ τὴν ἀντίθεσιν φανερῶς συνομολογεῖ, ἵνα ὁ λόγος διὰ πρόσωπον ἀρχὴν καὶ εἰσβολὴν προσήκουσαν λάβῃ. τίς οὖν ἡ συνομολογία. 45 Οὐδενὸς τῶν πάντων οὕτως ὡς χρημάτων δεῖ τῇ πόλει πρὸς τὰ νῦν ἐπιόντα πράγματα. ὃ γὰρ ἀντέθηκεν αὐτῷ ὁ ἀκροατὴς, τοῦτο προλαβὼν ὡμολόγησεν αὐτός· ἐνδείκνυται γὰρ καὶ τὴν ἀνάγκην, καὶ τὴν χρείαν, καὶ περὶ τῶν μενόντων ἐκφοβεῖ, ἵνα ἡ ἀνάγκη μείζων γένηται, καὶ ἐκπλαγεὶς τῷ τε μεγέθει τῶν τότε ὄντων, καὶ τῇ προσδοκίᾳ τῶν μελλόντων ὁ ἀκροατὴς, ἐν ταύτῃ οὖσαν μόνην καταδέξηται τὴν παραμυθίαν· φησὶ γὰρ τὴν πρὸς βασιλέα πρεσβείαν. εἶτα καὶ ἐπειδήπερ ἔμελλεν ἀντιπίπτειν αὐτῷ πρὸς τοῦτον τὸν λόγον ἀντίθεσις ἀπὸ τοῦ δυνατοῦ· Ἀλλ' ἀδύνατόν ἐστιν ὑπόπτως ἔχοντα πρὸς ἡμᾶς τὸν βασιλέα πεισθῆναι· 46 πρὸς ταύτην ἵσταται ἐξ ἀρχῆς λέγων, ὅτι, Οὐ παρ' ἡμῶν ταῦτα ἀκούσεται βασιλεὺς πρῶτον, ἀλλὰ μάλιστα μὲν παρὰ τῶν σατραπῶν, εἶτα δὲ καὶ παρὰ ταμίου τοῦ εὐνούχου, ὃν νῦν ἀνάσπαστον ἐποιήσατο, ἄρχοντα Ἀταρνέως, μαθὼν αὐτὸν συμπράττειν Φιλίππῳ κατὰ τῆς βασιλέως ἀρχῆς. ὥστε τὴν ἡμετέραν πρεσβείαν καιρὸν λοιπὸν οὐκ ἔχειν. οὐκοῦν τὴν ἀντίθεσιν διὰ τούτου φαίνεται λύων, καὶ συνιστὰς ὅτι δυνατὸν πεισθῆναι τὸν βασιλέα· πεισθήσεται δὲ τοῖς λογισμοῖς τοῦ συμφέροντος. φαίνεται δὲ Δημοσθένης οὐ τὸ συμφέρον αὐτὸ κατασκευάζων, ἀλλὰ τὸ δυνατὸν διὰ τῶν τοῦ συμφέροντος λογισμῶν. Δυνήσεται γὰρ ἡμῖν, φησὶ, πεισθῆναι βασιλεὺς δεδιδαγμένος τὰ συμφέροντα, καὶ παρ' ὑμῶν ἀκουόμενος. μετὰ ταῦτα τέθεικεν ἐκ τοῦ φανεροῦ τὴν ἀντίθεσιν λέγων, Καὶ τὴν ἀβελτηρίαν 49 ἀποθέσθαι, δι' ἣν πολλάκις ἠλαττώθητε. ὁ δὴ βάρβαρος καὶ κοινὸς πᾶσιν ἐχθρὸς, καὶ πάντα τὰ τοιαῦτα. καὶ ἡ λύσις, Οὐκ ἔστι πρὸς ἡμᾶς πόλεμος· συνεπηνώρθωσε γάρ ποτε τῇ πόλει τὰ πράγματα, τὴν διὰ Κόνωνος ναυμαχίαν λέγων. πληρώσας δὲ τὸν περὶ τοῦ βασιλέως λόγον, ὃς ἦν περὶ δυνατοῦ καὶ χρημάτων, ἐπισυνῆψεν ἀναγκαίως καὶ ἀκολούθως τὸν περὶ τῆς πολιτείας λόγον, πρόφασιν δῆθεν καὶ ἀφορμὴν λαβὼν διὰ πρόσωπον τὴν καθεστῶσαν

Ὃ δὴ λοιπόν) Μετέρχεται ἐπὶ τὸ δεύτερον κεφάλαιον.

διαφθείρει. α.β. — πάντων. γ. — ἑαυτοῦ. α.θ. αὐτοῦ. β.γ.η. — ἀνάρπαστος. α. θ. ἅπαντα ὅσα. ε.η. — ἀνάσπαστος. κ.θ. — ἡμῶν. θ. — προτέροις. α.ε.η.θ. καὶ προτέροις. β. α.θ. — οἴομαι. β.γ. θ. — ἠλαττώμεθα. η. — ὁ … ε.η. — πάντα. α. — ἰδία. α.κ. β.ε. — ἐπηγγέλλετο. α.β.ε.η. — ἐδέχεσθε. α.ε. — μηδὲ ἐπιψ. — ἐκλείπει. η. — πολιτεία. α. β. — παρὰ τοῦτο. β.ε. — α.γ.η. — ἐπιδεεῖς. α. — ἰαὸ τὴν. α. — ἀποθέσθαι. α.

τινες, οὐχὶ δικαίως, καὶ τὸν φόβον, ὡς οὐ στήσεται τοῦτο ἄνευ
μεγάλου τινὸς κακοῦ, οὗ οὐδὲν ἂν εἰς τὰ πράγματα
μεῖζον εἰσενεγκαίμεθα· οὐδ' ὅ,τι κοινῇ μᾶλλον ἂν ὅλην
54 ἐπιρρώσειε τὴν πόλιν. οὑτωσὶ δὲ σκοπεῖτε· ἐρῶ δὲ, ὑπὲρ
τῶν ἐν χρείᾳ δοκούντων εἶναι πρότερον. ἦν ποτ' οὐ πάλαι
παρ' ἡμῖν, ὅτ' οὐ προσῄει τῇ πόλει, τάλαντα ὑπὲρ
τριάκοντα καὶ ἑκατόν· καὶ οὐδεὶς ἔστι τῶν τριηραρχεῖν
δυναμένων, οὐδὲ τῶν εἰσφέρειν, ὅστις οὐκ ἠξίου τὰ κα-
55 θήκοντα ἀφ' ἑαυτοῦ ποιεῖν, ὅτι χρήματα οὐ περιῆν· ἀλλὰ
καὶ τριήρεις ἔπλεον, καὶ χρήματα ἐγίγνετο, καὶ πάντα
ἐποιοῦμεν τὰ δέοντα. μετὰ ταῦτα ἡ τύχη καλῶς ποιοῦσα,
πολλὰ πεποίηκε τὰ κοινά· καὶ τετρακόσια ἀντὶ τῶν ἑκα-
τὸν ταλάντων προσέρχεται, οὐδενὸς οὐδὲν ζημιουμέ-
56 νου τῶν τὰς οὐσίας ἐχόντων, ἀλλὰ καὶ προσλαμβανόν-
των· οἱ γὰρ εὔποροι πάντες ἔρχονται μεθέξοντες τούτου,
καὶ καλῶς ποιοῦσι. τί οὖν παθόντες τοῦτο ὀνειδίζομεν
ἀλλήλοις, καὶ προφάσει χρώμεθα οὐ μηδὲν τῶν δεόντων
ποιεῖν, πλὴν εἰ μὴ τῇ παρὰ τῆς τύχης βοηθείᾳ γεγονυίᾳ
57 τοῖς ἀπόροις φθονοῦμεν· οἷς οὔτ' ἂν αἰτιασαίμην ἔγω-
γε, οὔτ' ἀξιῶ. οὐδὲ γὰρ ἐν ταῖς ἰδίαις οἰκίαις ὁρῶ τὸν ἐν
ἡλικίᾳ πρὸς τοὺς πρεσβυτέρους οὕτω διακείμενον, οὐ-
δ' οὕτως ἀγνώμονα, οὐδ' ἄτοπον ὄντα οὐδένα,
ὥστε εἰ μὴ ποιήσουσιν ἅπαντες ὅσ' ἂν αὐτὸς, οὐ φάσκον-
58 τα ποιήσειν οὐδὲν οὐδ' αὐτόν· καὶ γὰρ ἂν τοῖς τῆς κακώσεως
εἴη νόμοις ἔσται τότε ἔνοχος· δεῖ γὰρ οἶμαι τοῖς γονεῦσι τὸν
ὡρισμένον ἐξ ἀμφοτέρων ἔρανον καὶ παρὰ τῆς φύσεως
καὶ παρὰ τοῦ νόμου δικαίως φέρειν καὶ ἑκόντα ἀποτελεῖν.
ὥσπερ τοίνυν ἑνὸς ἡμῶν ἑκάστου τίς ἐστι γονεὺς, οὕτω συμ-
59 πάσης τῆς πόλεως κοινοὺς δεῖ γονέας τοὺς σύμπαντας
ἡγεῖσθαι. καὶ προσήκειν τούτους οὐχ ὅπως ὧν ἡ πόλις δί-
δωσιν ἀφελέσθαι τι· ἀλλ' εἰ καὶ μηδὲν ἦν τούτων, ἄλλοθεν
σκοπεῖν ὅπως μηδενὸς ὄντες ἐνδεεῖς περιοφθήσονται. τοὺς
μὲν τοίνυν εὐπόρους ταύτῃ χρωμένους τῇ γνώμῃ, οὐ μό-
60 νον ἡγοῦμαι τὰ δίκαια ποιεῖν ἂν, ἀλλὰ καὶ τὰ λυσιτελῆ·
τὸ γὰρ τῶν ἀναγκαίων τινὰς ἀποστερεῖν, κοινῇ κακόνους ἐστὶ
ποιεῖν πολλοὺς ἀνθρώπους τοῖς πράγμασι. τοῖς δ' ἐν
ἐνδείᾳ, δι' ὃ δυσχεραίνουσι τὸ πρᾶγμα οἱ τὰς οὐσίας ἔχοντες, καὶ κατηγοροῦσι, δι-
καίως τοῦτ' ἀφελεῖν ἂν συμβουλεύσαιμι. δίειμι δὲ ὥσπερ ἄρτι, τὸν αὐτὸν τρόπον καὶ
61 ὑπὲρ τῶν εὐπόρων, οὐ κατοκνήσας εἰπεῖν τἀληθῆ· ἐμοὶ γὰρ οὐδεὶς οὕτως ἄθλιος οὐδ' ὠ-
μὸς εἶναι δοκεῖ τὴν γνώμην, οὔκουν Ἀθηναίων γε οἶμαι, ἀλλ' οὐδὲ τῶν ἄλλων, ὥστε
λυπεῖσθαι, ταῦτα λαμβάνοντας ὁρῶν τοὺς ἀπόρους καὶ τῶν ἀναγκαίων ἐνδεεῖς ὄντας. ἀλ-
λὰ ποῦ συντρίβεται τὸ πρᾶγμα, καὶ ποῖ δυσχεραίνεται, ὅταν τὸ ἀπὸ τῶν κοινῶν

ἔθος

---

τινὶ ταραχὴν, ἵνα αὐξήσῃ τὴν ὑπόνοιαν ἐκείνην. ἀλλ' ἀρκέσει ἡμῖν τὰ τῆς πόλεως χρήματα, ὥστε μὴ δεῖσθαι τῆς παρὰ βασιλέως δόσεως· καὶ ἵνα τῆς ἐν τῇ πόλει ἀφορμῆς αὐξισκομένης, ἅπασι τοῖς πολίταις ἡ παρὰ τοῦ βασιλέως αἴτησις εὔλογος φαίνηται. ἀλλ' οἱ περὶ ἡμῶν διηγόντες, οὐκ εἶδον τοῦτο καθάπαξ. βουλόμενος τοίνυν αὐξεῖν τὴν αἴτησιν, αὐτὸς εἰσηγεῖται δῆθεν μὴ δεῖν ἀφαιρεῖσθαι τὰ θεωρικὰ τοὺς δημότας, εἴτε Εὐβούλου πεπλουτηκότος, πρὸς ὃν εἶχε φιλονείκως περὶ τῶν θεωρικῶν· εἴτε τὸν σκοπὸν τὸν ἑαυτοῦ συμπεραίνων, ἵνα πανταχόθεν συνάσῃ καὶ καταναγκάσῃ καταδέχεσθαι τὸν περὶ τῆς πρεσβείας τῆς πρὸς βασιλέα λόγον.

συγκλείσῃ.

διμερὴς δέ ἐστιν ὁ περὶ τῆς πολιτείας λόγος· ἐπειδὴ γὰρ διχόθεν ἦσαν πόροι, οἱ μὲν, ἐκ τῶν δικαστηρίων δημευομένων τῶν εὐπόρων· οἱ δὲ, ἐξ ἄλλων ἀφορμῶν καὶ προσόδων λιμένων, καὶ ἔργων ἀργυρείων, καὶ συμμάχων· βουλόμενος καὶ πλουσίοις ἀρέσασθαι, καὶ πένητας οἰκειώσασθαι, ἵνα συμψήφους λάβῃ περὶ τῆς πρὸς τὸν βασιλέα πρεσβείας, διὰ τοῦτο διαλέγεται δῆθεν περὶ ὁμονοίας αὐτοῖς εἶναι τὸν λόγον καὶ τοῦ συμφέροντος, παραινοῦντος μήτε τοὺς κεκτημένους τὰς οὐσίας ἀδικεῖσθαι ὑπὸ τῶν δικαζόντων δημευομένους κατὰ λόγον, μηδὲ τοὺς καταδεεῖς καταβοᾶσθαι παρὰ τῶν δυνατῶν, ὡς διανεμομένους εἰς τὰς θεωρίας τὰ στρατιωτικά. ἐὰν γὰρ τῶν πόρων τούτων, καὶ τῶν προσόδων μὲν παύσωνται αἱ παρὰ τῶν εὐπόρων, αἱ δὲ τῆς πόλεως αὐξίσκωνται εἰς τοὺς δήμους, τίς ἔσται λοιπὸν ἔτι ἀφορμὴ τῇ πόλει, πλὴν τῆς εἰς βασιλέα ἐλπίδος· διὰ ταῦτα οὕτως αὐτῷ τὸ μέρος ἐρρητόρευται τοῦτο τοῦ λόγου· τὰ γὰρ ἐν τούτοις ἀσαφῆ, οἱ ἐξηγηταὶ παραστήσουσι. πληρώσας τοίνυν τὴν περὶ τούτων παραίνεσιν, καὶ ῥητορεύσας ὡς ἐδείκνυμεν, μέτεισι λοιπὸν ἐπὶ τὸ πέμπτον μέρος τοῦ λόγου ἐντεῦθεν ἀρξάμενος.

Ως

πλουσίοις. α.

Κακώσεως) Κάκωσις ὄνομα δίκης κατὰ τῶν ἀτιμαζόντων τοὺς γονεῖς.

ἐκ δὲ.

παύσονται.

αὐξίσκονται.

Οὐχ ὅπως) Ἡγοῦμαι οὐ μόνον.

ἔθος ἐπὶ τὰ ἴδια μεταβιβάζοντας ὁρῶσί τινας, καὶ μέ- 62
γαν μὲν ὄντα παρ᾽ ὑμῖν εὐθέως τὸν λέγοντα, ἀθάνατον
δ᾽ ἕνεκ᾽ ἀσφαλείας, ἑτέραν δὲ τὴν κρύβδην ψῆφον
τῇ φανερᾷ θορύβου. ταῦτ᾽ ἀπιστίαν, ταῦτ᾽ ὀργὴν ἔχει.
δεῖ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, δικαίως ἀλλήλοις τῆς πολι-
τείας κοινωνεῖν τοὺς μὲν εὐπόρους, εἰς μὲν τὸν βίον τὸν ἑαυ- 63
τῶν ἀσφαλῶς ἔχειν νομίζοντας, καὶ περὶ τούτου μὴ δε-
διότας· εἰς δὲ τοὺς κινδύνους, κοινὰ ἀπὸ τῆς οὐσίας
τὰ ὄντα τῇ πατρίδι παρέχοντας· τοὺς δὲ λοιπούς, τὰ μὲν
κοινά, κοινὰ νομίζοντας καὶ μετέχοντας τὸ μέρος· τὰ δὲ
ἑκάστου, ἴδια τοῦ κεκτημένου. οὕτω καὶ μικρὰ πόλις, μεγάλη 64
γίγνεται, καὶ μεγάλη σώζεται. ὡς μὲν οὖν εἴποι τις ἂν ἃ
παρ᾽ ἑκατέρων εἶναι δεῖ, ταῦτ᾽ ἴσως ἐστίν· ὡς δὲ καὶ γένοι-
τ᾽ ἂν ἐννόμως, διορθώσασθαι δεῖ. τῶν δὲ παρόντων πρα-
γμάτων καὶ τῆς ταραχῆς, πολλὰ πόρρωθέν ἐστι τὰ αἴτια·
ἃ εἰ βουλομένοις ὑμῖν ἀκούειν ἐστίν, ἐθέλω λέγειν. ἐξέστη- 65
τε, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς ὑποθέσεως, ἐφ᾽ ἧς ὑμᾶς οἱ
πρόγονοι κατέλιπον· καὶ τὸ μὲν προεστάναι τῶν Ἑλλήνων,
καὶ δύναμιν συνεστηκυῖαν ἔχοντας πᾶσι τοῖς ἀδικουμέ-
νοις βοηθεῖν, περίεργον ἐπείσθητε εἶναι καὶ μάταιον ἀνά-
λωμα ὑπὸ τῶν ταῦτα πολιτευομένων· τὸ δ᾽ ἐν ἡσυχίᾳ 66
διάγειν, καὶ μηδὲν τῶν δεόντων πράττειν, ἀλλὰ προϊε-
μένους καθ᾽ ἓν ἕκαστον πάντα ἑτέρους ἐᾶσαι λαβεῖν,
θαυμαστὴν εὐδαιμονίαν καὶ πολλὴν ἀσφάλειαν ἔχειν οἴε-
σθε. ἐκ δὲ τούτων παρελθὼν ἐπὶ τὴν τάξιν, ἐφ᾽ ἧς ὑμῖν
τετάχθαι προσῆκεν, ἕτερος, οὗτος εὐδαίμων καὶ μέγας 67
καὶ πολλῶν κύριος γέγονεν, εἰκότως· πρᾶγμα γὰρ ἔντι-
μον καὶ μέγα καὶ λαμπρόν, καὶ περὶ οὗ πάντα τὸν χρόνον αἱ
μέγισται τῶν πόλεων πρὸς αὑτὰς διεφέροντο, Λακεδαι-
μονίων μὲν ἠτυχηκότων, Θηβαίων δὲ ἀσχόλων διὰ τὸν Φω-
κικὸν πόλεμον γενομένων, ἡμῶν δὲ ἀμελούντων, ἔρη- 68
μον ἀνείλετο. τοιγάρτοι, τὸ μὲν φοβεῖσθαι, τοῖς ἄλλοις· τὸ δὲ
συμμάχους πολλοὺς καὶ δύναμιν μεγάλην ἔχειν, ἐκεί-
νῳ περιγέγονε, καὶ τοσαῦτα πράγματα καὶ τοιαῦτα ἤδη
περιέστηκε τοὺς Ἕλληνας ἅπαντας, ὥστε μηδ᾽ ὅ, τι χρὴ συμβουλεύειν εὔπορον εἶναι. ὄν-
των δ᾽, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν παρόντων πραγμάτων πᾶσιν ὡς ἐγὼ κρίνω φοβε- 69
ρῶν, οὐδένες ἐν μείζονι κινδύνῳ τῶν πάντων εἰσὶν ὑμῶν, οὐ μόνον τῷ μάλιστα ὑμῖν ἐπι-
βουλεύειν Φίλιππον, ἀλλὰ καὶ τῷ πάντων ἀργότατα αὐτοὺς διακεῖσθαι. εἰ τοίνυν τὸ τῶν
ὠνίων πλῆθος ὁρῶντες, καὶ τὴν εὐετηρίαν τὴν κατὰ τὴν ἀγοράν, τούτοις κεκήλησθε,
ὡς ἐν οὐδενὶ δεινῷ τῆς πόλεως οὔσης, οὔτε προσηκόντως οὔτ᾽ ὀρθῶς τὸ πρᾶγμα κρί-
κνα' β. νετε. ἀγορὰν μὲν γὰρ ἄν τις καὶ πανήγυριν ἐκ τούτων, ἢ φαύλως ἢ καλῶς κατεσκευά- 70
σθαι κρίνοι· πόλιν δ᾽ ἣν ὑπείληφεν ὃς ἂν τῶν Ἑλλήνων ἀρχὴν ἀεὶ βούληται, μόνην

Ὡς μὲν οὖν εἴποι τις ἄν, ἃ παρ᾽ ἑκατέρων εἶναι δεῖ, ταῦτ᾽ ἴσως ἐστί. 64
Βάσιν μέν, οὐ συμπέρασμα τῶν προειρημένων, τὴν διάνοιαν ταύτην ποιούμενος· καταρχόμενος δὲ ἐκ τοῦ μερισμοῦ πάλιν τῆς ἐννοίας τῶν ἑξῆς. ἔστι δὲ τὸ νῦν κατασκευαζόμενον κεφάλαιον, τὸ συμφέρον, ἐξ ἀντιθέσεως, ἣν οὐκ ἔθηκε μέν, ἐνδείκνυται δὲ διὰ τῆς μάχης. εἰς δύο δὲ μέρη διῄρηται τοῦτο τὸ πέμπτον μέρος· εἰς ἓν μέν, ὃ περιέχει τὴν λύσιν τῆς ἀντιθέσεως· εἰς ἕτερον δέ, τὸ κατὰ τοὺς ῥήτορας. τίς οὖν ἡ ἀντίθεσις, ἀπὸ τῶν εἰρημένων κεκίνηται· ἐπειδὴ πολύν τινα λόγον περὶ τῆς πρὸς βασιλέα πρεσβείας πεποίηται, ἀντίθεσιν ἐκ τούτου· Καὶ τί ἂν ἡμᾶς ὠφελήσειε τὰ τοσαῦτα χρήματα, καὶ εἰς τίνα χρείαν δεηθησόμεθα τοῦ βασιλέως. λύων τοίνυν ταύτην τὴν ἀντίθεσιν, ἐξ ἐπιτιμήσεως δείκνυται, ὅτι χρὴ προΐστασθαι τῶν Ἑλλήνων, καὶ τὴν αὐτὴν τάξιν ἀναλαβεῖν, ἥνπερ εἶχον οἱ πατέρες ἡμῶν καὶ πρόγονοι, τὴν χρείαν ἐνδεικνύμενος εἰς ἣν δεήσονται τῶν χρημάτων. τὸ γὰρ μὴ ἄρχειν, φησὶν αἰτίαν εἶναι τῶν παρόντων πραγμάτων καὶ τῆς ταραχῆς, καὶ τὸ μὴ προεστάναι αὐτοὺς τῶν ἑλληνικῶν. οὐκοῦν διὰ τούτων συνίστησιν, ὅτι τὴν λύσιν τῆς ἀντιθέσεως ἐξεργάζεται, ἐνδεικνύμενος ποῖ χρήσιμα γενήσεται αὐτοῖς τὰ χρήματα, καὶ ὅτι διὰ τὸ μὴ προστατεῖν αὐτοὺς τῶν Ἑλλήνων, παρῆλθεν ἐπὶ τὰ πράγματα Φίλιππος· ὅθεν εὐδαίμων καὶ μέγας. ἅπερ ἐστὶ πάντα ἐνστατικὰ τῆς χρησιμωτάτης χρείας τῶν παρὰ βασιλέως δωρεῶν. τὸ δὲ ἕτερον μέρος, ὅ ἐστι πρὸς τοὺς ῥήτορας, τοιοῦτόν ἐστι· δέδοικε σφόδρα τὴν παρὰ τῶν ἀντιπολιτευομένων ἀντιλογίαν· καὶ εἰδὼς τὴν ἀντίστασιν, κινεῖ μὲν περὶ τῆς δημηγορίας τόδε τὸ μέρος. τὸν δὲ πρὸς αὐτοὺς λόγον, πείχα διῄρηκεν· εἰς ἓν μὲν δὴ οὖν, μέμφεται ὅτι κωλύουσιν ἀεὶ τὸν πρὸς Φίλιππ.

Ἑτέραν) Αἰτίαν.

μερίζει.

Ἕτερος) Ὁ Φίλιππος.

πρὸς τοὺς τῆς δημηγορίας. α.

Ἔρημον) Ὡς ἕρμαιον, ἢ θησαυρὸν ἐπ᾽ ἐρημίας εὑρών, μηδενὸς μήτε προϊσταμένου, μήτε φυλάττοντος.

Κεκήλ.) Ἠπάτησθε.

Ὃς ἂν) Ἤγουν ὁ Φίλιππος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φίλιππον πόλεμον· εἰς ἕτερον δὲ, ὅτι διαβάλλουσι τὸν δημοσθένην, ὡς πολεμοποιόν· εἰς τρίτον, ὅτι μὴ συγχαροῦσι φιλίππῳ τὴν πόλιν εὐεργετεῖν, ἐνδεικνύμενος ὡς ὅσα ἂν αὐτοὶ ποιῶσι καὶ λέγωσι, λύοντες τὴν πρὸς βασιλέα πρεσβείαν, καὶ τὸν πόλεμον τὸν πρὸς φίλιππον, χάριτι καὶ μισθῷ κωλύουσιν· ἐπεὶ πόθεν ἄλλοθεν ηὔξηντο. εἶτα ἀποστροφῇ χρησάμενος πρός ἕνα τινὰ τῶν προδοτῶν ἀριστομήδην, ἐλεγκτικῶς διαλέγεται, δι' ἑνὸς λόγου πρὸς ἅπαντας τὸν σκοπὸν τοῦ λόγου γυμνὸν καὶ φανερὸν καθιστὰς τοῖς ἀκούουσιν· ἐπειδὴ γὰρ οἱ ἀποτρέποντες αὐτοὺς πέμπειν πρὸς βασιλέα, καὶ πολεμεῖν φιλίππῳ, δῆλοί εἰσιν ἐπὶ χάριτι μὲν συμβουλεύοντες, τὸ δὲ ἀξίωμα καθαιροῦντες τῆς πόλεως, διὰ τοῦτο φοβούμενος ταύτην τὴν παρ' ἐκείνων ἀπολογίαν, ἠρώτησε τὸν ἀριστομήδην, διὰ τί, αὐτὸς μὲν φιλοτιμίας μεταποιεῖται, μὴ συγχωρεῖ δὲ τῇ πόλει τὴν δόξαν τὴν τῶν προγόνων διαφυλάττειν, καὶ κληρονομεῖν τῆς εὐκλείας, καὶ διαδέχεσθαι τὰς τῶν ἔργων λαμπρότητας. ὁ μὲν οὖν σκοπὸς, ὅσα ἐστὶν εἰπωμὲν ἤδη, ὅπως μετακεχείρισται. μετὰ τὴν λύσιν τῆς αἰτήσεως, ἐπισυνῆψε τὸ χρειῶδες τοῦ βασιλέως καὶ ὅτι ἀναγκαία ἡ πρὸς ἐκεῖνον φιλία εἴπερ τοῖς ἄλλοις ἅπασιν ἕλλησιν εὐνοϊκῶς διαλέγεται· ἡμῖν δὲ ἀπεχθάνεται βασιλεύς. καὶ ἀνάγκην μεγίστην καὶ πίστιν πεποίηται τοῦ δεῖξαι, ἐν οἵᾳ ταραχῇ καθέστηκε τὰ τῶν ἑλλήνων· ὡς εἴη χρείαν τῇ πόλει τῆς παρ' ἐκείνου ἐπικουρίας, διὰ τὰ καθεστηκότα. ἣν βουλόμενος πιστώσασθαι, ηὔξησε τὴν ταραχὴν τὴν ἑλληνικήν· εἶτα ἀπὸ τούτου μετεβίβασε τὸν λόγον πρὸς τοὺς ἐπὶ χάριτι πολιτευομένους· διαιρεῖ γὰρ δίχα καὶ τὴν τῶν ῥητόρων ποιότητα, καὶ αἰτιᾶται κακί-

Ἄπιστος) Ἀντὶ τοῦ μηδετέροις φίλων.

Τοῖς ἑτέροις) τοῖς νικήσασιν.

Ἥκιστα) Πάνυ.

μὴ ἐναντιωθῆναι, καὶ τῆς πάντων ἐλευθερίας προεστῆναι, οὐ μὰ δι' ἐκ τῶν ὠνίων, εἰ καλῶς ἔχει, δοκιμάζειν δεῖ. ἀλλ' εἰ συμμάχων εὐνοίᾳ πιστεύει, καὶ τοῖς ὅπλοις ἰσχύει, ταῦθ' ὑπὲρ τῆς πόλεως δεῖ σκοπεῖν. ἃ φαύλως
76 ὑμῖν, καὶ οὐ καλῶς ἅπαντ' ἔχει. γνοίητε δ' ἂν εἰ σκέψαισθε ἐκείνως, πότε μάλιστα ἐν ταραχῇ τὰ τῶν Ἑλλήνων γέγονε πράγματα· οὐδένα γὰρ χρόνον ἄλλον ἢ τὸν νυνὶ παρόντα, οὐδ' ἂν εἷς εἴποι. τὸν μὲν γὰρ ἄλλον ἅπαντα, εἰς δύο ταῦτα διῄρητο τὰ τῶν Ἑλλήνων, Λακεδαιμονίους καὶ
77 ἡμᾶς. τῶν δ' ἄλλων Ἑλλήνων, οἱ μὲν, ἡμῖν· οἱ δὲ, ἐκείνοις ὑπήκουον. βασιλεὺς δὲ, καθ' αὑτὸν μὲν ἅπασιν ὁμοίως ἄπιστος ἦν. τοὺς δὲ κρατουμένους τῷ πολέμῳ προσλαμβάνων, ἄχρις οὗ τοῖς ἑτέροις ἐξ ἴσου ποιήσαι, διεπιστεύετο. ἔπειτ' οὐχ ἧττον αὐτὸν ἐμίσουν οὓς σώσειε, τῶν ὑπαρ-
78 χόντων ἐχθρῶν ἐξ ἀρχῆς. νῦν δὲ, πρῶτον μὲν ὁ βασιλεὺς ἅπασι τοῖς Ἕλλησιν οἰκείως ἔχει, καὶ πάντων ἥκιστα ἡμῖν, ἂν τι μὴ νῦν ἐπανορθωσώμεθα. ἔπειτα προστασίαι πολλαὶ καὶ πανταχόθεν γίνονται· καὶ τοῦ πρωτεύειν μὲν ἀντιποιοῦνται ἅπαντες, ἀφεστᾶσι δ' ἔνιοι, καὶ φθο-
79 νοῦσι καὶ ἀπιστοῦσιν ἑαυτοῖς οὐχ ὡς ἔδει, καὶ γεγόνασι καθ' αὑτοὺς ἕκαστοι, Ἀργεῖοι, Θηβαῖοι, Κορίνθιοι, Λακεδαιμόνιοι, Ἀρκάδες, ἡμεῖς. ἀλλ' ὅμως εἰς τοσαῦτα μέρη, καὶ τοσαύτας δυναστείας διῃρημένων τῶν Ἑλληνικῶν πραγμάτων, εἰ δεῖ τἀληθῆ μετὰ παρρησίας εἰπεῖν, τὰ παρ' οὐδενὶ
80 τούτων ἀρχεῖα καὶ βουλευτήρια, ἐρημότερα ἂν τις ἴδοι τῶν Ἑλληνικῶν πραγμάτων, ἢ τὰ παρ' ὑμῖν, εἰκότως· οὔτε γὰρ φιλῶν, οὔτε πιστεύων, οὔτε φοβούμενος οὐδεὶς ὑμῖν διαλέγεται. αἴτιον δὲ τούτων οὐχ ἕν, ὦ ἄνδρες Ἀθηναῖοι· ῥᾴδιον γὰρ ἂν ἦν ὑμῖν μεταθεῖναι· ἀλλὰ πολλὰ καὶ
81 παντοδαπὰ ἐκ παντὸς ἡμαρτημένα τοῦ χρόνου· ὧν ἐγὼ καθ' ἕκαστον ἐάσας, εἰς ὃ πάντα γε συντείνει, λέξω, δεηθεὶς ὑμῶν ἂν λέγω τἀληθῆ μετὰ παρρησίας, μηδὲν ἀχθεσθῆναί μοι. πέπραται τὰ συμφέροντα ἐφ' ἑκάστου τῶν καιρῶν, καὶ μετειλήφατε, ὑμεῖς μὲν τὴν σχολὴν καὶ τὴν ἡσυχίαν, ὑφ' ὧν κεκηλημένοι τοῖς ἀδικοῦσιν
72 οὐ πικρῶς ἔχετε· ἕτεροι δὲ τὰς τιμὰς ἔχουσι. καὶ τὰ μὲν περὶ τἄλλα, οὐκ ἄξιον ἐξετάσαι νῦν. ἀλλ' ἐπειδὰν τι τῶν πρὸς Φίλιππον ἐμπέσῃ, εὐθὺς ἀναστάς τις λέγει, ὡς οὐ δεῖ ληρεῖν, οὐδὲ γράφειν πόλεμον, παραθεὶς εὐθέως ἐξῆς, ὃ τὴν εἰρήνην ἄγειν ὡς ἀγαθὸν, καὶ τὸ τρέφειν δύναμιν μεγάλην ὡς χαλεπὸν, καὶ διαρπάζειν τινὲς τὰ χρή-
73 ματα βούλονται, καὶ ἄλλους λόγους, ὡς οἴονται ἀληθεστάτους, λέγουσιν. ἀλλὰ δεῖ δήπου, τὴν μὲν εἰρήνην ἄγειν, οὐχ ὑμᾶς πείθειν, οἵ γε πεπεισμένοι κάθησθε, ἀλλὰ τὸν τὰ τοῦ πολέμου πράττοντα· ἂν γὰρ ἐκεῖνος πεισθῇ, τά γε ἀφ' ὑμῶν ὑπάρχει. νομίζειν δὲ δεῖ χαλεπὰ, οὐχ ὅσα ἂν εἰς σωτηρίαν δαπανῶμεν, ἀλλ' ἃ πεισόμεθα, ἂν ταῦτα μὴ

ἐθέλωμεν

Ἕτεροι) Οἱ προδόται καὶ φίλιππος.

ε. α. ε. η.
στ ... οὐδαμῶς ἅπαντα καλῶς. α.
ἡμῖν. ε. η.
ε. η.
τὸ. β.
ὑμῖν. γ.
ἀπ. χ. β.
οὐδενὶ. ε. η.
ἡμῖν. α.
φιλονεικῶν
ε.
α. ε. η.
ὑμῖν. ε. η.
πάντ' α. β. γ.
ταῦτα. ε. η.
μηδὲν α.
πέπραται.
πέπρακται.
β. ε. η.
ἀλλὰ οὐκ. α.
ε. η.
β. γ. ε. η.
δὲ π. κ.
α.
εἴγε δὴ κ.
ἦ. α. ε.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐθέλωμεν ποιεῖν· καὶ τὸ διαρπασθήσεσθαι τὰ χρή- 74
ματα, τὴν φυλακὴν εὑρεῖν δι' ἧς σωθήσεται, κωλύσειν,
οὐχὶ τὴν τοῦ συμφέροντος ἀποστῆναι. καίτοι ἔγωγε ἀγα-
νακτῶ καὶ αὐτὸ τοῦτο, εἰ τὰ μὲν χρήματα λυπεῖ τινας
ὑμῶν εἰ διαρπασθήσεται, ἃ καὶ φυλάττειν καὶ κολάζειν
τοὺς ἁρπάζοντας ἐφ' ὑμῖν ἐστι· τὴν δὲ Ἑλλάδα ἅπα- 75
σαν ἐφεξῆς οὑτωσὶ Φίλιππος ἁρπάζων, οὐ λυπεῖ, καὶ
ταῦτα ἐφ' ὑμᾶς ἁρπάζων. τί ποτ' οὖν ὦ ἄνδρες Ἀθη-
ναῖοι, τὸν μὲν οὕτω φανερῶς ἀδικοῦντα, καὶ πόλεις κα-
ταλαμβάνοντα, οὐδεὶς πώποτε τούτων εἶπεν ὡς ἀδι-
κεῖ καὶ πόλεμον ποιεῖ· τοὺς δὲ μὴ ἐπιτρέπειν, μηδὲ προΐε- 76
σθαι ταῦτα συμβουλεύοντας, τούτους πόλεμον ποιεῖν φα-
σίν· ὅτι τὴν αἰτίαν τῶν ἐκ τοῦ πολέμου συμβησομένων
δυσχερῶν· ἀνάγκη γὰρ ἀνάγκη πολλὰ λυπηρὰ ἐκ τοῦ πο-
λέμου γίγνεσθαι, τοῖς ὑπὲρ ὑμῶν τὰ βέλτιστα λέγειν
οἰομένοις, ἀναθεῖναι βούλονται· ἡγοῦνται 77
γὰρ, ἐὰν μὲν ὑμεῖς ὁμοθυμαδὸν ἐκ μιᾶς γνώμης Φί-
λιππον ἀμύνησθε, κἀκείνου κρατήσειν ὑμᾶς, καὶ αὐτοῖς
οὐκ ἔσεσθαι μισθαρνεῖν. ἂν δ' ἀπὸ τῶν πρώτων θο-
ρύβων αἰτιασάμενοί τινας πρὸς τὸ κρίνειν τράπησθε, αὐ-
τοὶ μὲν τούτων κατηγοροῦντες ἀμφότερα ἕξειν, καὶ παρ' 78
ὑμῖν εὐδοκιμήσειν, καὶ παρ' ἐκείνου χρήματα λήψεσθαι·
ὑμᾶς δ' ὑπὲρ ὧν δεῖ, παρὰ τούτων δίκην λαβεῖν, παρὰ
τῶν ὑπὲρ ὑμῶν εἰρηκότων λήψεσθαι. αἱ μὲν ἐλπίδες
αἱ τούτων, αὗται· καὶ τὸ κατασκεύασμα τὸ τῶν αἰτιῶν, ὡς
ἄρα βούλονταί τινες πόλεμον ποιῆσαι. ἐγὼ δ' εὖ οἶδα 79
ἀκριβῶς, ὅτι οὐ γράψαντος Ἀθηναίων οὐδενὸς πόλε-
μον, καὶ ἄλλα πολλὰ Φίλιππος ἔχει τῶν τῆς πόλεως, καὶ
νῦν εἰς Καρδίαν πέπομφε τὴν βοήθειαν. εἰ μέντοι βου-
λόμεθ' ἡμεῖς μὴ προσποιεῖσθαι πολεμεῖν ἡμῖν ἐκεῖνον,
ἀνοητότατος πάντων ἂν εἴη, εἰ τοῦτ' ἐξελέγχοι. ὅταν γὰρ οἱ 80
ἀδικούμενοι ἀρνῶνται, τί τῷ ἀδικοῦντι προσήκει; ἀλ-
λ' ἐπειδὰν ἐφ' ἡμᾶς αὐτοὺς ἴῃ, τί φήσομεν τότε· ἐκεῖνος μὲν γὰρ οὐ πολεμεῖν, ὥσπερ
οὐδὲ Ὠρείταις, τῶν στρατιωτῶν ὄντων ἐν τῇ χώρᾳ· οὐδὲ Φεραίοις πρότερον, πρὶν ἢ
πρὸς τὰ τείχη προσβάλλειν· οὐδὲ Ὀλυνθίοις ἐξ ἀρχῆς, ἕως ἐν αὐτῇ τῇ χώρᾳ τὸ
στράτευμα παρὸν ἔχων. εἰ καὶ τότε τοὺς ἀμύνεσθαι κελεύοντας, πόλεμον ποιεῖν φή- 81
σομεν, οὐκ ἔστιν ὑπόλοιπον δουλεύειν· οὐ γὰρ ἄλλο γε οὐδὲν ἔνι. καὶ μὴν, οὐδὲ ὑπὲρ
τῶν ἴσων ὑμῖν, καὶ τισι τῶν ἄλλων ἀνθρώπων ἐσθ' ὁ κίνδυνος· οὐ γὰρ ὑφ' αὑτῷ ποιή-
σασθαι τὴν πόλιν βούλεται Φίλιππος ἡμῶν, οὔ· ἀλλ' ὅλως ἀνελεῖν. οἶδε γὰρ ἀκριβῶς,
ὅτι δουλεύειν μὲν ὑμεῖς οὔτε ἐθελήσετε, οὔτ' ἂν ἐθέλητε ἐπίστασθε· ἄρχειν γὰρ εἰώ- 82
θατε· πράγματα δὲ παρασχεῖν αὐτῷ, ἂν καιρὸν λάβητε, πλείω τῶν ἄλλων ἀνθρώπων
ἁπάντων δυνήσεσθε. διὰ ταῦτα ὑμῶν οὐχὶ φείσεται, εἴπερ ἐγκρατὴς γενήσεται. ὡς οὖν

κεκίνηκε πρὸς διαβολὴν τῆς ποιότητος αὐτῶν διαφόροις, ἐνδεικνύμενος δι' αὐτῶν διὰ εἰώθασι λέγειν, καὶ ὅτι συνήθεις αὐτοῖς κωλύειν τῆς πράξεως τὴν πόλιν, φοβούμενος μή τι περὶ τῆς πρεσβείας τῆς πρὸς βασιλέα ἀντιπίπτωσι, τοὺς λόγους αὐτῶν ὑποτιμώμενος, καὶ ἀπίστους αὐτοὺς καθιστὰς, ὡς διὰ Φίλιππον ἅπαντα πολιτευομένους πρὸς χάριν. ἔθηκεν οὖν ἀντίθεσιν πρὸς τὴν πίστωσιν εἰς αὐτοὺς τὴν ἀπὸ τοῦ συμφέροντος. ὅτι εἰώθασι δὲ λέγειν ὡς ἀγαθὸν ἡ εἰρήνη, καὶ τὸ τρέφειν δύναμιν μεγάλην ὡς χαλεπόν· διὰ δὲ τῶν δύο μερῶν τούτων τῆς ἀντιθέσεως, ἐνδείκνυται ὅτι καὶ τὴν εἰρήνην ἄγειν δεῖν φασί, καὶ οὔτε πρὸς Φίλιππον πολεμεῖν, οὔτε πρὸς βασιλέα πέμπειν· μὴ γὰρ εἶναι χρείαν χρημάτων μηδὲ τοῦ τρέφειν δύναμιν. οὕτω πλέον τι ἐν τῇ παρούσῃ ὑποθέσει, ἣν ἔλυσε τῇ τῶν λόγων τῶν ἐκ τῶν ἄλλων ὑποθέσεων μεταγωγῇ· μετήγαγε μὲν γὰρ ταῦτα ἀπὸ τοῦ ὑπὲρ διοπείθους λόγου· πλέον δέ τι αὐτῶν καὶ ἴδιον μᾶλλον ἐπὶ τῆς παρούσης ὑποθέσεως ἐξεργάζεται· τοῦτο δέ ἐστι τὸ βούλεσθαι τοὺς ῥήτορας κωλύειν τὴν πρὸς βασιλέα πρεσβείαν· ἧς ἡ λύσις μεταληπτική, ὅτι εἰ καὶ χαλεπὰ ταῦτα, χαλεπώτερα πεισόμεθα, ἂν ταῦτα μὴ ἐθέλωμεν ποιεῖν. καὶ ἑτέραν ἀντέθηκεν, ὅτι πολεμοποιὸς δημοσθένης· ἣν ἔδει μὲν εἰπεῖν ἀπὸ τοῦ νομίμου, ἔστι δὲ εἰπεῖν ἀπὸ τοῦ συμφέροντος, ἔλυσεν εἰπών· Καὶ πῶς ἐμὲ εἰπεῖν, πολλὰ Φίλιππος ἔχει τῆς πόλεως, καὶ νῦν εἰς Καρδιανοὺς πέπομφε βοήθειαν ἐνδεικνύμενος κἀνταῦθα ὁμοίως τὴν αἰτίαν τῆς ὑποθέσεως. καὶ ὅτι ἀπήγγελται αὐτοῖς Φίλιππος πεπομφέναι βοήθειαν Καρδιανοῖς, καὶ ταύτην αἰτῆσαι. Ἀλλ' οὐ προηγόρευκεν ὁ Φίλιππος ἡμῖν τὸν

ἐθελήσωμεν. ε. η.
διαρπάζειν. α.
κωλύειν. α. ε. η.
ἀδικοῦντας. α.
ἡμῖν. α.
πᾶσαν. α. ε. η.
ἡμᾶς. α.
α. ε. η.
τὸ αἴτιον. α.
οὐδένα. α.
εἰπεῖν. α. ε. η.
τὴν. α.
αἰτιᾶσθαι. α.
εἰθισμένοις. α. ε. η.
ε. η.
μὴ. η.
ἐκείνου. α.
ε. η.
ε. η.
καὶ διὰ. ε. η.
βούλεσθ' ὑμεῖς. ε. η.
ὑμῖν. ε.
β.
προσβάλλειν. α. ε. η.
αὐτὸν. ε. η.
ἡ. ε. η.
ἐστι. α. ἔνι ὑμῖν. η.
οὐχ. α.
ἡμῖν. ε. η.
π. α. ε. η.
ἐθελήσητε. α. ε. η.
ἐπιστήσεσθε. α.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὑπὲρ τῶν ἐσχάτων ἔσεσθαι τοῦ ἀγῶνος ὑμῖν, οὕτω προ-
σήκει γινώσκειν, καὶ τοὺς πεπρακότας αὐτοὺς ἐκείνῳ φα-
νερῶς μισεῖν καὶ ἀποτυμπανίσαι· οὐ γάρ ἐστιν οὐκ ἔστι τῶν
83 ἔξω τῆς πόλεως ἐχθρῶν κρατῆσαι, πρὶν ἂν τοὺς ἐν αὐτῇ
τῇ πόλει κολάσητε ἐχθρούς· ἀλλ' ἀνάγκη τούτοις, ὥσπερ
προβόλοις προσπταίοντας, ὑστερίζειν ἐκείνων· ἐπεὶ, πόθεν
οἴεσθε νῦν αὐτὸν ὑβρίζειν εἰς ὑμᾶς· οὐδὲν γὰρ ἔμοιγε
ἄλλο δοκεῖ ποιεῖν ἢ τοῦτο, καὶ τοὺς μὲν ἄλλους εὖ ποιοῦντα,
84 εἰ μηδὲν ἄλλο, ἐξαπατᾶν, ὑμῖν δὲ ἀπειλεῖν ἤδη. οἷον Θετ-
ταλοὺς πολλὰ δοὺς, ὑπηγάγετο εἰς τὴν νῦν παροῦσαν
δουλείαν· οὐδ' ἂν εἰπεῖν δύναιτο οὐδεὶς, ὅσα τοὺς τα-
λαιπώρους Ὀλυνθίους, πρότερον δοὺς Ποτίδαιαν, ἐξη-
πάτησε, καὶ πολλὰ ἕτερα. Θηβαίους τανῦν ὑπάγεται, τὴν
85 Βοιωτίαν αὐτοῖς παραδοὺς, καὶ ἀπαλλάξας πολέμου
πολλοῦ καὶ χαλεποῦ· ὥστε καρπωσάμενοί τινα ἕκαστοι
τούτων πλεονεξίαν, οἱ μὲν, ἤδη πεπόνθασιν ἃ δὴ πάντες
ἴσασιν· οἱ δ', ὅ,τι ἂν ποτε συμβῇ, πείσονται· ὑμεῖς δὲ, ὧν
μὲν ἀπεστέρησθε, σιωπῶ· ἀλλ' ἐν αὐτῷ τῷ τὴν εἰρήνην
86 ποιήσασθαι, πόσα ἐξηπάτησθε· πόσων ἀπεστέρησθε· οὐχὶ
Φωκέας; οὐ Πύλας; οὐχὶ τὰ ἐπὶ Θρᾴκης; Δορίσκον, Σέρριον,
τὸν Κερσοβλέπτην αὐτόν; οὐ νῦν Καρδίαν ἔχει καὶ ὁμολο-
γεῖ; τί ποτ' οὖν ἐκεῖνος τοῖς ἄλλοις καὶ ὑμῖν, οὐ τὸν αὐτὸν τρό-
πον προσφέρεται· ὅτι ἐν μόνῃ τῶν πασῶν πόλεων τῇ
87 ἡμετέρᾳ, ἄδεια ὑπὲρ τῶν ἐχθρῶν λέγειν δέδοται· καὶ λα-
βόντα χρήματα αὐτὸν, ἀσφαλές ἐστι λέγειν παρ' ὑμῖν,
κἂν ἀφῃρημένοι τὰ ὑμέτερα αὐτῶν ἦτε. οὐκ ἦν ἀσφα-
λὲς λέγειν ἐν Ὀλύνθῳ τὰ Φιλίππου, μὴ συνευπεπον-
θότων τῶν πολλῶν Ὀλυνθίων τῷ Ποτίδαιαν καρποῦσθαι.
88 οὐκ ἦν ἀσφαλὲς λέγειν ἐν Θετταλίᾳ τὰ Φιλίππου, μὴ
συνευπεπονθότος τοῦ πλήθους τῶν Θετταλῶν, τῷ τοὺς τυ-
ράννους ἐκβαλεῖν Φίλιππον αὐτοῖς, καὶ τὴν Πυλαίαν ἀποδοῦναι. οὐκ ἦν ἐν Θήβαις
ἀσφαλὲς, πρὶν ἢ τὴν Βοιωτίαν ἀπέδωκε, καὶ τοὺς Φωκέας ἀνεῖλεν. ἀλλ' Ἀθήνησιν, οὐ
μόνον Ἀμφίπολιν καὶ τὴν Καρδιανῶν χώραν ἀπεστερηκότος Φιλίππου, ἀλλὰ καὶ κα-
89 τασκευάζοντος ἡμῖν ἐπιτείχισμα τὴν Εὔβοιαν, καὶ νῦν ἐπὶ Βυζάντιον παριόντος, ἀ-
σφαλές ἐστι λέγειν ὑπὲρ Φιλίππου· καὶ γάρ τοι τούτων μὲν ἐκ πτωχῶν ἔνιοι, ταχὺ
πλούσιοι γεγόνασι· καὶ ἐξ ἀνωνύμων καὶ ἀδόξων, ἔνδοξοι καὶ γνώριμοι· ὑμεῖς δὲ, τοὐ-
ναντίον· ἐκ μὲν ἐνδόξων, ἄδοξοι· ἐκ δ' εὐπόρων, ἄποροι· πόλεως γὰρ ἔγωγε πλοῦτον
90 ἡγοῦμαι, συμμάχους, πίστιν, εὔνοιαν, ὧν πάντων ἐστὲ ὑμεῖς ἄποροι· ἐκ δὲ τοῦ τούτων
ὀλιγώρως ὑμᾶς ἔχειν, καὶ ἐᾶν τοῦτον τὸν τρόπον τὰ πράγματα φέρεσθαι, ὁ μὲν, εὐδαί-
μων καὶ μέγας καὶ φοβερός ἐστι πᾶσι τοῖς Ἕλλησι καὶ βαρβάροις· ὑμεῖς δ' ἔρη-
μοι καὶ ταπεινοί, τῇ μὲν κατὰ τὴν ἀγορὰν εὐετηρίᾳ λαμπροί, τῇ δ' ὧν προσῆκε
91 παρασκευῇ, καταγέλαστοι. οὐ τὸν αὐτὸν δὲ τρόπον περί τε ὑμῶν, καὶ περὶ αὑτῶν ἐνίους τῶν

λεγό-

πόλεμον ἔλυσε συνήθως. Οὐδὲ γὰρ Φεραίοις, οὐδὲ Ὀλυνθίοις, οὐδὲ Ἐρετριεῦσιν, οὐδὲ ἄλλοις πώποτε οὐδέσι προεῖπεν. εἶτα τῷ ἀναγκαίῳ κέχρηται, ἐκ διαφορᾶς αὐτὸ συνιστὰς, ὅτι οὐ περὶ τῶν ἴσων αὐτοῖς καὶ τοῖς ἄλλοις ἐστὶν ὁ κίνδυνος, ἵνα κἀκείνην τὴν ὑπόνοιαν ἀνέλῃ· Εἴ τινες εἶεν ἀπράγμονες καὶ στέργοντες τὴν δουλείαν, ὅτι οὐ περὶ δουλείας αὐτοῖς ἐστὶν ὁ ἀγὼν, ἀλλὰ περὶ παντελοῦς διαφθορᾶς, καὶ ὁλοσχεροῦς ἀναστάσεως καὶ ἀναιρέσεως. ἄχρι μὲν οὖν τούτων τὰ πραγματικώτερα πρὸς τοὺς ἐπὶ χάριτι πολιτευομένους ῥήτοράς ἐστιν αὐτῷ. τὸ δὲ ἐντεῦθεν, εἰσέβαλεν εἰς παρέκβασιν, διαβολὴν ὁμοίως ἔχουσαν τῶν δωροδόκων ῥητόρων· ὅτι δὴ αὐτοὺς Φίλιππος οὐκ εὖ ποιεῖ τὴν πόλιν. καὶ ταῦτα Ὀλυνθίους εὖ ποιήσας καὶ Θετταλοὺς καὶ Θηβαίους, ἵνα προκαταλαβὼν ταῖς διαβολαῖς, ἐκβάλῃ τὴν ἀντιλογίαν ὁμοίως, ἣν δέδοικεν, αὐτοὺς ποιησομένους. καὶ δὴ ἣν ἐδεήθη τούτων πάντων τῶν λόγων, καὶ ταύτην καθίστησι φανερὰν ὡς ἔφην, διὰ τῶν ἐλέγχων, ὧν πρὸς Ἀριστόδημον ποιεῖται. ταῦτα δὲ συντείνει σύμπαντα πρὸς τὴν λύσιν τῆς ἀντιθέσεως· ἐπειδὴ γὰρ ἀντέπεσε, Καὶ διὰ τί δεησόμεθα, καὶ εἰς ποίαν χρείαν τοῦ βασιλέως, διέβαλε τοὺς ῥήτορας λέγων, συνήθεις εἶναι λέγειν αὐτοῖς ταῦτα ἐξ ὧν κωλύουσι τὴν πόλιν· ταῦτα γὰρ περὶ Φιλίππου λέγειν εἰώθασιν, ἐπεὶ τίνος ἕνεκεν αὐτοὶ τὴν ἡσυχίαν οὐκ ἄγουσιν, ἀλλὰ τῇ πόλει συμβουλεύουσι μὴ προεστάναι τῶν Ἑλλήνων· τῇ μὲν γὰρ ἀνάγκη ὑπεῖναι προστατεῖν τοῦ κοινοῦ ἄλλοις· τοῖς δὲ ῥήτορσιν, οὐδεμίαν ἀνάγκην εἶναι φιλοτιμίαν προεργάζεσθαι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λεγόντων ὁρᾷ βουλομένους ὑμᾶς. μὴ γὰρ ἡσυχίαν ἄγειν φασὶ δεῖν, κἂν τις ὑμᾶς ἀ-
δικῇ· αὐτοὶ δ' οὐ δύνανται παρ' ὑμῖν ἡσυχίαν ἄγειν, οὐδενὸς αὐτοὺς ἀδικοῦντος. καί- 91
τοι λοιδορίας χωρὶς εἴ τις ἔροιτό σε, εἰπέ μοι, τί δὴ γινώσκων ἀκριβῶς ἀριστόδημε· οὐ- Ἀριστόδημε) Θεοδότης ἦν
δεὶς γὰρ τὰ τοιαῦτα ἀγνοεῖ, τὸν μὲν τῶν ἰδιωτῶν βίον, ἀσφαλῆ καὶ ἀπράγμονα καὶ ἀκίν- 92 ὑποκριτής.
δυνον ὄντα· τὸν δὲ τῶν πολιτευομένων, φιλαίτιον καὶ σφαλερὸν, καὶ καθ' ἑκάστην ἡμέ- Φιλαίτιοι) Ἰσοκράτης ἐ-
ραν ἀγώνων καὶ κακῶν μεστὸν, οὐ τὸν ἡσύχιον καὶ ἀπράγμονα, ἀλλὰ τὸν ἐν τοῖς κινδύνοις πὶ τοῦ φιλοῦν-
αἱρῇ· τί ἂν εἴποις· εἰ γὰρ, ὃ βέλτιστον εἰπεῖν ἂν ἔχοις, τοῦτό σοι συγχωρήσαιμεν ἀληθὲς τος ἄλλους αἰ-
λέγειν, ὡς ὑπὲρ φιλοτιμίας καὶ δόξης πάντα ταῦτα ποιεῖς, θαυμάζω τί δήποτε, σαυ- τιᾶσθαι, νῦν δὲ
τῷ μὲν ὑπὲρ τούτων ἅπαντα ποιητέον εἶναι νομίζεις, καὶ πονητέον καὶ κινδυνευτέον· τῇ 93 ἐπὶ τοῦ εἰ-
πόλει δὲ προέσθαι ταῦτα διὰ ῥαθυμίαν συμβουλεύεις· οὐ γὰρ ἐκεῖνό γ' ἂν εἴποις, ὡς ωθότος αἰτί-
σὲ μὲν ἐν τῇ πόλει δεῖ τινὰ φαίνεσθαι, τὴν πόλιν δ' ἐν τοῖς ἕλλησι μηδενὸς ἀξίαν εἶναι. ας καὶ κατηγο-
καὶ μὴν οὐδ' ἐκεῖνό γε ὁρῶ, ὡς τῇ πόλει μὲν ἀσφαλές ἐστι τὰ αὐτῆς πράττειν, σοὶ δὲ ρίας ὑπομέ-
ἐπικίνδυνον, εἰ μηδὲν τῶν ἄλλων πλέον περιεργάσῃ. ἀλλὰ τοὐναντίον· σοὶ μὲν ἐξ ὧν νειν παρὰ τῶν
ἐργάζῃ καὶ περιεργάζῃ, τοὺς ἐσχάτους ὄντας κινδύνους, τῇ πόλει δὲ ἐκ τῆς ἡσυχίας. 94 ἄλλων.
ἀλλὰ νὴ δία, παππῷα καὶ πατρῷα δόξα σοι ὑπάρχει, ἣν αἰσχρόν ἐστιν ἐν σοὶ καταλῦ-
σαι. τῇ πόλει δ' ὑπῆρξεν ἀνώνυμα καὶ φαῦλα τὰ τῶν προγόνων; ἀλλ' οὐδὲ τοῦθ' οὕ- 65
τως ἔχει. σοὶ μὲν γὰρ ἦν κλέπτης ὁ πατὴρ, εἴπερ ἦν ὅμοιός σοι. τῇ πόλει δὲ ἡμῶν, ὡς Σοὶ μὲν) Κύ-
πάντες ἴσασιν οἱ ἕλληνες, δὶς ἐκ τῶν μεγίστων κινδύνων ὑπὸ τῶν προγόνων ἡμῶν κλος.
σεσωσμένοι. ἀλλὰ γὰρ οὐκ ἴσως οὐδὲ πολιτικῶς ἔνιοι τὰ καθ' ἑαυτοὺς καὶ τὰ κατὰ τὴν πό-
λιν πολιτεύονται. πῶς γάρ ἐστιν ἴσον, τούτων μὲν τινὰς ἐκ τοῦ δεσμωτηρίου προσιόντας, 96
ἑαυτοὺς ἀγνοεῖν· τὴν πόλιν δ', ἣ προειστήκει τῶν ἄλλων ἑλλήνων τέως καὶ τὸ πρωτεῖον εἶχε,
νῦν ἐν ἀδοξίᾳ πάσῃ καὶ ταπεινότητι καθεστάναι· πολλὰ τοίνυν ἔχων ἔτι καὶ περὶ πολλῶν
εἰπεῖν, παύσομαι· καὶ γὰρ οὐ λόγων ἐνδείᾳ μοι δοκεῖ τὰ πράγματα, οὔτε νῦν, οὔτε ἄλλοτε
πώποτε φαύλως ἔχειν· ἀλλ' ὅταν πάντ' ἀκούσαντες ὑμεῖς τὰ δέοντα, καὶ ὁμογνώμο- 97
νες ὡς ὀρθῶς λέγεται γενόμενοι, τῶν λυμαίνεσθαι καὶ διαστρέφειν ταῦτα βουλομένων,
ἐξ ἴσου καθῆσθε ἀκροώμενοι, οὐκ ἀγνοοῦντες αὐτούς· ἴστε γὰρ εὐθὺς ἰδόντες ἀκριβῶς,
τίς μισθοῦ λέγει, καὶ τίς ὑπὲρ φιλίππου πολιτεύεται, καὶ τίς ὡς ἀληθῶς ὑπὲρ τῶν βελτί-
στων· ἀλλ' ἵν' αἰτιασάμενοι τούτους, καὶ τὸ πρᾶγμα εἰς γέλωτα καὶ λοιδορίαν ἐμβαλόν- 9
τες, μηδὲν αὐτοὶ τῶν δεόντων ποιῆτε, ταῦτ' ἐστὶ τἀληθῆ μετὰ πάσης παρρησίας ἁπλῶς
εὐνοίᾳ τὰ βέλτιστα εἰρημένα, οὐ κολακείας καὶ βλάβης καὶ ἀπάτης λόγος μεστὸς, ἀργύ-
ριον μὲν τῷ λέγοντι ποιήσων, τὰ δὲ πράγματα τῆς πόλεως τοῖς ἐχθροῖς ἐγχειριῶν· ἢ
οὖν παυστέον τούτων τῶν ἐθῶν, ἢ μηδένα ἄλλον αἰτιατέον τοῦ πάντα φαύλως ἔχειν, ἢ 99
ὑμᾶς αὐτούς.

## ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΛΟΓΟΥ ΤΟΥ ΠΡΟΣ ΤΗΝ ΦΙΛΙΠΠΟΥ ΕΠΙΣΤΟΛΗΝ.

Ὁ ΦΙΛΙΠΠΟΣ πρὸς τοὺς ἀθηναίους πέπομφεν ἐπιστολὴν, κατηγορῶν αὐτῶν, καὶ πόλεμον προκηρύττων ἄντικρυς. οὐκ ἔτι οὖν ὁ ῥήτωρ πείθει τοὺς ἀθηναίους πολεμεῖν· ἀναγκαῖον γάρ· ἀλλὰ διαρρωννύει πρὸς τὸν κίνδυνον, εὐκαθαίρετον λέγων τὴν μακεδονίαν.

Ἀλλ' εἰκὸς χαίροντας Μακεδόνας τοῖς γινομένοις, προθύμως συμπράττειν Φιλίππῳ. τοῦτο ἔλυσεν εἰπών, Μὴ γὰρ οἴεσθε, ὦ Ἀθηναῖοι, τοῖς αὐτοῖς χαίρειν τούς τε ἄρχοντας καὶ τοὺς ἀρχομένους. ἄλλη, ἡ περὶ τῶν ἡγεμόνων τῶν ξένων· καὶ αὕτη καθαιρετικὴ τοῦ δυνατοῦ τοῦ Φιλίππου. εἶτα ἐπειδήπερ παράδοξον ἔννοιαν εἶπε, καὶ διὰ τοῦτο σχεδὸν ἀπίθανον ἐν τῷ περὶ τῶν ξένων λόγῳ, ὅτι τὰ μάλιστα σκορακίζονται, αὐτὸς ἑαυτοῦ ἐλάβετο, καὶ ᾔσθετο τῆς παραδόξου ἐννοίας. ἔλυσε γοῦν εὐθέως εἰπών·
17 Καὶ τούτοις οὐδ' ἂν εἷς εὖ φρονῶν ἀπιστήσειε. καὶ ἐπάγει διὰ τῶν ἑξῆς τὴν αἰτίαν. πρὸς ταῦτα τοίνυν ἅπαντα τὰ προειρημένα περὶ τοῦ δυνατοῦ, ἀνθυποφορά τις ἀντέπεσε. Πῶς οὖν εἴπερ ἐστὶ τὰ τοιαῦτα, πιστῶς ἤδη πολὺν χρόνον αὐτῷ παραμένουσιν· ἐκ γὰρ τῶν εἰρημένων ἁπάντων, πρὸς καθαίρεσιν ἠθροίσθη τις αὐτῷ δόξα ἀπιθανότητος, ὅτι εἰ ταῦτα ἦν ἀληθῆ, πάντως ἂν ἀπέστησαν. αὐτὸς δὲ καὶ ταύτην ἔλυσεν εἰπών, ὅτι τὸ κατορθοῦν αὐτὸν ἐπισκοτεῖ πᾶσι τοῖς τοιούτοις. ἄλλη τις ἀντίθεσις
α. πρὸς τὸ δυνατὸν ἀντέπεσεν· ἐπειδὴ γὰρ πάντα τὰ μέρη τῆς δυνάμεως καθεῖλεν· ἔλειπε δὲ τὸ ἀπὸ τῆς ψυχῆς, ἐξ ἀντιθέσεως ἔλαβεν·
21 Εἰ δέ τις ὑμῶν, ὦ Ἀθηναῖοι, τὸν Φίλιππον ὁρῶν εὐτυχοῦντα φοβερὸν εἶναι νομίζει καὶ δυσπολέμητον. πρὸς δὲ τοῦτο καὶ διὰ τοῦτο ἐγύμνωσε, καὶ οὐ καθεῖλεν· ἐπειδὴ πλεῖστα αὐτῷ συμβάλλεται· πρὸς κατασκευὴν γὰρ τοῦ δυνατοῦ τῶν Ἀθηναίων ἔχει. καὶ ἡ κατασκευὴ δὲ τῆς ἀντιθέσεως, οὐκ ἔστιν αὐξητικὴ τοῦ δυνατοῦ τοῦ Φιλίππου, ἀλλ' αὐτῆς τῆς δυνάμεως τῆς τύχης ἐστὶν αὐξητική, καὶ τῆς παρὰ τοῦ δαιμονίου ῥοπῆς. διὰ τοῦτο δὲ τὴν τύχην ηὔξησε, καὶ τὴν παρ' ἐκείνης ῥοπήν, ἵνα μᾶλλον τὸ τῶν Ἀθηναίων δυνατὸν αὔξησιν λάβῃ· ὅσῳ γὰρ ἂν αὐξηθῇ τὰ τῆς τύχης, καὶ ὅσῳ ἂν ἀποδειχθῇ μετὰ τῶν Ἀθηναίων ἡ τύχη, τοσούτῳ μᾶλλον καὶ τὸ τῶν Ἀθηναίων δυνατὸν ἰσχυρότερον φανεῖται. καὶ πρὸς τοῦτον οὖν τὸν περὶ τῆς τύχης λόγον ἀποδείκνυται ὅτι ἡ Ἀθη-

φαίνεται. γρ.
α.

14 ἀσφαλείας· καὶ αὐτῷ μὲν οὐκ ἔστι τυχεῖν ταύτης ἀκιν-
δύνως· οἱ δ' οὐδὲν δέονται, καταλιπόντες οἴκοι τέκνα,
γονέας, γυναῖκας, φθείρεσθαι, καὶ καθ' ἑκάστην ἡμέραν κιν-
δυνεύειν ὑπὲρ αὐτοῦ· ὥστε, τοὺς μὲν πολλοὺς τῶν Μακε-
δόνων, ἐκ τούτων ἄν τις ἴδοι πῶς διάκεινται πρὸς τὸν
15 Φίλιππον. τοὺς δὲ περὶ αὐτὸν ὄντας ἑταίρους καὶ τοὺς τῶν
ξένων ἡγεμόνας, εὑρήσετε, δόξαν μὲν ἔχοντας ἐπ' ἀνδρείᾳ,
περιδεῶς δὲ μᾶλλον τῶν ἀδόξων ζῶντας. τοῖς μὲν γάρ,
πρὸς τοὺς πολεμίους μόνον ὑπάρχει κίνδυνος· οἱ δέ, τοὺς
κόλακας, καὶ τοὺς διαβάλλοντας αὐτοὺς μᾶλλον ἢ τὰς
16 μάχας δεδίασι. κἀκεῖνοι μέν, μετὰ πάντων ἀγωνίζονται
πρὸς τοὺς ἀντιταχθέντας· τοῖς δέ, καὶ τῶν ἐν τοῖς πολέμοις
κακῶν οὐκ ἐλάχιστον μέρος μέτεστι· καὶ χωρὶς ἰδίᾳ φο-
βεῖσθαι τὸν τρόπον τὸν τοῦ βασιλέως συμβέβηκεν. ἔτι δέ,
τῶν μὲν πολλῶν, ἐπειδὰν ἁμάρτῃ τις, ζημίαν κατὰ τὴν
17 ἀξίαν εἴληφεν· οἱ δ' ὅταν μέγιστα κατορθώσωσι, τότε
μάλιστα σκορακίζονται καὶ προπηλακίζονται παρὰ τὸ
προσῆκον· καὶ τούτοις, οὐδ' ἂν εἷς εὖ φρονῶν ἀπιστήσειεν·
οὕτω γὰρ αὐτὸν φιλότιμον εἶναί φασιν οἱ συνδιατρίψαν-
τες, ὥστε βουλόμενον τὰ κάλλιστα τῶν ἔργων πάντα αὑ-
18 τοῦ δοκεῖν εἶναι, μᾶλλον ἄχθεσθαι τῶν στρατηγῶν καὶ τῶν
ἡγεμόνων τοῖς ἄξιόν τι ἐπαίνου τι πράξασιν, ἢ τοῖς ὅλως
ἀποτυγχάνουσι. πῶς οὖν εἴπερ ἐστὶ ταῦτα τοιαῦτα, πιστῶς
ἤδη πολὺν χρόνον αὐτῷ παραμένουσιν· ὅτι νῦν μέν,
ὦ ἄνδρες Ἀθηναῖοι, τὸ κατορθοῦν αὐτὸν ἐπισκοτεῖ πᾶ-
19 σι τοῖς τοιούτοις· αἱ γὰρ εὐπραξίαι δειναὶ συγκρύψαι καὶ
συσκιάσαι τὰς ἁμαρτίας εἰσὶ τῶν ἀνθρώπων· εἰ δέ τι
πταίσῃ, τότ' ἀκριβῶς διακαλυφθήσεται πάντα ταῦτα·
συμβαίνει γὰρ ὥσπερ ἐν τοῖς σώμασιν ἡμῶν, ὅταν μὲν
ἐρρωμένος ᾖ τις, οὐδὲν ἐπαισθάνεται τῶν καθ' ἕκαστα
20 σαθρῶν· ἐπὰν δ' ἀρρωστήσῃ, πάντα κινεῖται, κἂν ῥῆγμα,
κἂν στρέμμα, κἂν ἄλλο τι τῶν ὑπαρχόντων ᾖ μὴ τελέως
ὑγιαῖνον· οὕτω καὶ τῶν βασιλέων καὶ πασῶν τῶν δυναστειῶν,
ἕως μὲν ἂν ἐν τοῖς πολέμοις κατορθῶσιν, ἀφανῆ τὰ κα-
κὰ τοῖς πολλοῖς ἐστιν· ἐπὰν δέ τι πταίσωσιν, ὃ νῦν εἰκὸς
21 παθεῖν ἐκεῖνον μεῖζον φορτίον ἢ καθ' αὑτὸν αἰρόμενον, γί-
γνεται φανερὰ τὰ δυσχερῆ πάντα τοῖς ἅπασιν. εἰ δέ τις
ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν Φίλιππον ὁρῶν εὐτυχοῦντα, φοβερὸν εἶναι νομίζει, καὶ
δυσπολέμητον, σώφρονος μὲν ἀνδρὸς χρῆται προνοίᾳ· μεγάλη γὰρ ῥοπή, μᾶλλον δὲ
22 τὸ ὅλον, ἡ τύχη ἐστὶ πρὸς ἅπαντα τὰ τῶν ἀνθρώπων πράγματα. κατὰ πολλοὺς μέν-
τοι τρόπους, ἕλοιτ' ἄν τις οὐχ ἧττον τὴν ἡμετέραν εὐτυχίαν ἢ τὴν ἐκείνου· παρά τε
γὰρ τῶν προγόνων ἐκ πλείονος χρόνου παρειλήφαμεν τὴν ἡγεμονίαν, οὐ τούτου μό-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ον, ἀλλὰ συνελόντι φράσαι, πάντων τῶν ἐν μακεδο-
νίᾳ βασιλευσάντων κἀκεῖνοι μὲν ἀθηναίοις φόρους ἤ- 23
νεγκαν· ἡ δ᾽ ἡμετέρα πόλις, οὐδενί πω τῶν ἁπάντων
ἀνθρώπων. ἔτι δὲ, τοσούτῳ πλείους ἀφορμὰς αὐτοὶ
πρὸς τὴν τῶν θεῶν εὔνοιαν ἔχομεν, ὅσῳ διατελοῦμεν
εὐσεβέστερα καὶ δικαιότερα πράττοντες. τί ποτ᾽ οὖν ἐκεῖ-
νος ἐν τῷ προτέρῳ πολέμῳ πλείω κατώρθωσεν ἡμῶν· 24
ὅτι, ὦ ἄνδρες ἀθηναῖοι, μετὰ παρρησίας ἐρῶ γὰρ πρὸς ὑ-
μᾶς, ὁ μὲν αὐτὸς στρατεύεται, καὶ ταλαιπωρεῖ, καὶ τοῖς κιν-
δύνοις πάρεστιν, οὔτε καιρὸν παριεὶς, οὔτε ὥραν ἔτους
παραλείπων οὐδεμίαν· ἡμεῖς δὲ, εἰρήσεται γὰρ τἀλη-
θὲς, οὐδὲν ποιοῦντες ἐνθάδε καθήμεθα, μέλλοντες ἀεὶ, 25
καὶ ψηφιζόμενοι, καὶ πυνθανόμενοι κατὰ τὴν ἀγορὰν, εἴ
τι λέγεται νεώτερον. καίτοι τί γένοιτ᾽ ἂν νεώτερον, ἢ μα-
κεδὼν ἀνὴρ, καταφρονῶν ἀθηναίων, καὶ τολμῶν ἐπιστο-
λὰς πέμπειν τοιαύτας, οἵας ἠκούσατε μικρῷ πρότε-
ρον. καὶ τοῖς μὲν ὑπάρχουσι μισθοφόροι στρατιῶται καὶ νὴ 26
Δία πρὸς τούτοις τῶν παρ᾽ ἡμῖν ῥητόρων τινὲς, οἳ τὰς
παρ᾽ ἐκείνου δωρεὰς οἴκαδε λαμβάνοντες, οὐκ αἰσχύ-
νονται Φιλίππῳ ζῶντες, οὐδ᾽ αἰσθάνονται πάντα καὶ τὰ
τῆς πόλεως, καὶ τὰ σφῶν αὐτῶν μικροῦ λήμματος πω-
λοῦντες. ἡμεῖς δὲ, οὔτε τῶν ἐκείνου πραγμάτων οὐδὲν 27
στασιάζειν παρασκευάζομεν, οὔτε ξενοτροφεῖν ἐθέλομεν,
οὔτε αὐτοὶ στρατεύεσθαι τολμῶμεν. οὐκοῦν ἐστὶν οὐδὲν
θαυμαστὸν, εἴ τι πεπλεονέκτηκεν ἡμῶν κατὰ τὸν πρότερον
πόλεμον· ἀλλὰ μᾶλλον εἰ μηδὲν ποιοῦντες ἡμεῖς, ὧν
προσήκει τοὺς πολεμοῦντας, νομίζομεν κρατήσειν τοῦ 28
πάντα πράττοντος, ἃ δεῖ τοὺς πλεονεκτήσειν μέλλοντας.
ὃν, ὦ ἄνδρες ἀθηναῖοι, χρὴ λαβόντας ἔννοιαν, καὶ λο-
γισαμένους ὡς οὐδ᾽ ἐφ᾽ ἡμῖν ἐστὶ τὸ φάσκειν ἄγειν εἰρή-
νην· ἤδη γὰρ ἐκεῖνος καὶ προηγόρευκε τὸν πόλεμον, καὶ
τοῖς ἔργοις ἐξενήνοχε, μηδενὸς μὲν φείδεσθαι, μήτε τῶν 29
κοινῶν, μήτε τῶν ἰδίων· στρατεύεσθαι δὲ, ἐάν που καιρὸς
ᾖ, προθύμως ἅπαντας· χρῆσθαι δὲ στρατηγοῖς ἀμείνο-
σιν ἢ πρότερον· μὴ γὰρ ὑπολάβοι τις ὑμῶν, δι᾽ ὧν ἐκ
χειρόνων ἐγένετο τὰ πράγματα χείρω τὰ τῆς πόλεως,
διὰ τούτων αὐτὰ πάλιν ἀναληφθήσεσθαι καὶ γενήσεσθαι 30
βελτίω· μηδὲ νομίσητε ῥαθυμούντων ὑμῶν, ὥσπερ
πρότερον, ἑτέρους ὑπὲρ τῆς ὑμετέρας ἀγωνιεῖσθαι
προθύμως· ἀλλ᾽ ἐννοεῖσθε ὡς αἰσχρόν ἐστι, τοὺς μὲν πα-
τέρας ὑμῶν πολλοὺς πόνους καὶ κινδύνους μεγάλους
ὑποστῆναι λακεδαιμονίοις πολεμοῦντας, ὑμᾶς δὲ, 31

ναίων πόλις εὐτυχεστέρα, ἀντίθεσιν ἀνθυποφορᾶς. Τί ποτ᾽ οὖν ἐκεῖνος ἐν τῷ προτέρῳ πολέμῳ πλείω κατώρθωσεν ἡμῶν. ταύτην ἔλυσε τῷ συμφέροντι, τῆς ῥαθυμίας κατηγορῶν καὶ τῆς δεινῆς ἀργίας καὶ ἐκλύσεως, ἣν ἐπιδείκνυνται ἐν τῷ πράγματι μέλλοντες, καὶ καθήμενοι, καὶ ψηφιζόμενοι, καὶ πυνθανόμενοι. εἶτα ἐτρέψατο ἐπὶ τὸ αἰσχρὸν καὶ τὸ ἄδοξον, μέρη τοῦ συμφέροντος· εἰ δὲ βούλει, τοῦ ἀσυμφόρου. (τοῖς πράγμασι. α.)
Καίτοι τί γένοιτ᾽ ἂν νεώτερον, ἢ μακεδὼν ἀνὴρ καταφρονῶν ἀθηναίων, καὶ τολμῶν ἐπιστολὰς πέμπειν τοιαύτας οἵας ἠκούσατε μικρῷ πρότερον. εἶτα ἐπάνεισιν ἐπὶ τὸ δυνατόν· πάλιν τὴν προτέραν λύσιν τῆς ἀνθυποφορᾶς, καὶ τὴν αἰτίαν ἀποδίδωσι, δι᾽ ἣν, ἐκεῖνος μὲν κατορθοῖ, ἡ πόλις δὲ οὐδαμῶς· καὶ τρόπον ποιεῖται κατὰ τῶν ῥητόρων, ἐνδεικνύμενος ὅτι διὰ τούτους ἐκεῖνος κατορθοῖ. ἡ πόλις δὲ οὐδὲν τῶν ἐκείνου πραγμάτων στασιάζειν παρασκευάζει. εἶτα πληρώσας τὰς λύσεις τῆς ἀνθυποφορᾶς, ἃς εἴληφεν ἐκ τοῦ συμφέροντος καὶ τοῦ δυνατοῦ, καὶ εὐλαβηθεὶς μὴ πάλιν ἐπὶ τὴν εἰρήνην δράμωσιν ἀθηναῖοι, καὶ πρεσβείαις πειράσωνται διαλῦσαι τὰ παρακεκινημένα, ὑποτέμνεται καὶ ταύτην τὴν ἔννοιαν εἰπών· Ὧν, ὦ ἀθηναῖοι, χρὴ λαβόντας ἔννοιαν, καὶ λογισαμένους ὅτι οὐδὲ ἐφ᾽ ἡμῖν ἐστι τὸ φάσκειν ἄγειν εἰρήνην· ἤδη γὰρ ἐκεῖνος καὶ προηγόρευκεν ὁ φίλιππος τὸν πόλεμον, καὶ τοῖς ἔργοις ἐξενήνοχε. 28
Ταῦτα γάρ ἐστιν ἀπομαχομένου πρὸς ἐκείνην τὴν ἔννοιαν, ὅτι ἴσως οὐδέπω λέλυται ἡ εἰρήνη, καὶ δυνατόν ἐστι διαλῦσαι τὰς ὑποψίας ταύτας. (Ὧν, ὦ) Ἐπίλογος.) ἐπήγαγε δὲ πάλιν τὸ δυνατὸν εἰπών, Μηδενὸς μὲν φείδεσθαι, 29
μήτε τῶν δημοσίων, μήτε τῶν ἰδίων. εἶτα ἑτέραν πάλιν ἐπὶ τούτοις ἐπιλογικὴν ὑπόνοιαν ἀνῄρηκεν· (α.) Ἀλλὰ δυνησόμεθα διὰ τῶν ξένων αὐτὸν ἀμύνασθαι. ταύτην μὲν θεὶς, ἔλυσεν εἰπών· Μὴ γὰρ ὑπολάβῃ τις ὑμῶν, δι᾽ ὧν ἐγένετο τὰ πράγματα χείρω τῆς πόλεως, διὰ τούτων αὐτὰ πάλιν ἀναλήψεσθαι καὶ ἕτερον, ἐν ᾧ καὶ τὴν ἀντίθεσιν ἐπεσημήνατο· Μηδὲ νο- 30
μίσητε ῥαθυμούντων ὑμῶν ὥσπερ πρότερον, ἑτέρους ὑπὲρ τῶν ὑμετέρων ἀγωνιεῖσθαι προθύμως· (ἀθυμούντων.) τοῦτο γάρ ἐστιν ἐνδεικτικὸν τῆς ἀντιθέσεως, ὅτι ἀλλὰ δυνησόμεθα διὰ τῶν ξέ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

14 ἀσφαλείας· καὶ αὐτῷ μὲν οὐκ ἔστι τυχεῖν ταύτης ἀκινδύνως· οἱ δ' οὐδὲν δέονται, καταλιπόντες οἴκοι τέκνα, γονέας, γυναῖκας, φθείρεσθαι, καὶ καθ' ἑκάστην ἡμέραν κινδυνεύειν ὑπὲρ αὐτοῦ· ὥστε, τοὺς μὲν πολλοὺς τῶν μακεδόνων, ἐκ τούτων ἄν τις ἴδοι πῶς διάκεινται πρὸς τὸν

15 φίλιππον· τοὺς δὲ περὶ αὐτὸν ὄντας ἑταίρους καὶ τοὺς τῶν ξένων ἡγεμόνας, εὑρήσετε, δόξαν μὲν ἔχοντας ἐπ' ἀνδρείᾳ, περὶ δὲ ὧν μᾶλλον τῶν ἀδόξων ζῶντας· τοὺς μὲν γάρ, πρὸς τοὺς πολεμίους μόνον ὑπάρχει κίνδυνος· οἱ δὲ, τοὺς κόλακας, καὶ τοὺς διαβάλλοντας αὐτοὺς μᾶλλον ἢ τὰς

16 μάχας δεδίασι. κἀκεῖνοι μὲν, μετὰ πάντων ἀγωνίζονται πρὸς τοὺς ἀντιταχθέντας· τοῖς δὲ, καὶ τῶν ἐν τοῖς πολέμοις καλῶν οὐκ ἐλάχιστον μέρος μέτεστι καὶ χωρὶς ἰδίᾳ φοβεῖσθαι τὸν τρόπον τὸν τοῦ βασιλέως συμβέβηκεν. ἐπὶ δὲ, τῶν μὲν πολλῶν, ἐπειδὰν ἁμάρτῃ τις, ζημίαν κατὰ τὴν

17 ἀξίαν εἴληφεν· οἱ δὲ ὅταν μέγιστα κατορθώσωσι, τότε μάλιστα σκορακίζονται καὶ προπηλακίζονται παρὰ τὸ προσῆκον· καὶ τούτοις, οὐδ' ἂν εἷς εὖ φρονῶν ἀπιστήσειεν· οὕτω γὰρ αὐτὸν φιλότιμον εἶναί φασιν οἱ συνδιατρίψαντες, ὥστε βουλόμενον τὰ κάλλιστα τῶν ἔργων πάντα αὐ-

18 τοῦ δοκεῖν εἶναι, μᾶλλον ἄχθεσθαι τῶν στρατηγῶν καὶ τῶν ἡγεμόνων τοῖς ἄξιόν τι ἐπαίνου πράξασιν, ἢ τοῖς ὅλως ἀποτυχοῦσι. πῶς οὖν εἴπερ ἐστὶ ταῦτα τοιαῦτα, πιστῶς ἤδη πολὺν χρόνον αὐτῷ παραμένουσιν· ὅτι νῦν μὲν, ὦ ἄνδρες ἀθηναῖοι, τὸ κατορθοῦν αὐτὸν ἐπισκοτεῖ πᾶ-

19 σι τοῖς τοιούτοις· αἱ γὰρ εὐπραξίαι δειναὶ συγκρύψαι καὶ συσκιάσαι τὰς ἁμαρτίας εἰσὶ τῶν ἀνθρώπων· εἰ δέ τι πταίσει, τότ' ἀκριβῶς διακαλυφθήσεται πάντα ταῦτα· συμβαίνει γὰρ ὥσπερ ἐν τοῖς σώμασιν ἡμῶν, ὅταν μὲν ἐρρωμένος ᾖ τις, οὐδὲν ἐπαισθάνεται τῶν καθ' ἕκαστα

20 σαθρῶν· ἐπὰν δ' ἀρρώστησῃ, πάντα κινεῖται, κἂν ῥῆγμα, κἂν στρέμμα, κἂν ἄλλο τι τῶν ὑπαρχόντων ᾖ μὴ τελέως ὑγιαῖνον· οὕτω καὶ τῶν βασιλέων καὶ πασῶν τῶν δυναστειῶν, ἕως μὲν ἂν ἐν τοῖς πολέμοις κατορθῶσιν, ἀφανῆ τὰ κακὰ τοῖς πολλοῖς ἐστίν· ἐπὰν δέ τι πταίσωσιν, ὃ νῦν εἰκὸς

21 παθεῖν ἐκεῖνον μεῖζον φορτίον ἢ καθ' αὑτὸν αἰρόμενον, γίγνεται φανερὰ τὰ δυσχερῆ πάντα τοῖς ἅπασιν. εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες ἀθηναῖοι, τὸν φίλιππον ὁρῶν εὐτυχοῦντα, φοβερὸν εἶναι νομίζει, καὶ δυσπολέμητον, σώφρονος μὲν ἀνθρώπου χρῆται προνοίᾳ· μεγάλη γὰρ ῥοπή, μᾶλλον δὲ

22 τὸ ὅλον, ἡ τύχη ἐστὶ πρὸς ἅπαντα τὰ τῶν ἀνθρώπων πράγματα. κατὰ πολλούς μέντοι τρόπους, ἕλοιτ' ἄν τις οὐχ ἧττον τὴν ἡμετέραν εὐτυχίαν ἢ τὴν ἐκείνου· παρά τε γὰρ τῶν προγόνων ἐκ πλείονος χρόνου παρειλήφαμεν τὴν ἡγεμονίαν, ὃ τοῦ πυμό- [?]

---

Ἀλλ' εἰκὸς χαίροντας μακεδόνας τοῖς γινομένοις, προθύμως συμπαρεῖναι τῷ φιλίππῳ. τοῦτο ἔλυσεν εἰπών, Μὴ γὰρ οἴεσθε, ὦ ἀθηναῖοι, τοῖς αὐτοῖς χαίρειν τούς τε ἄρχοντας καὶ τοὺς ἀρχομένους. ἐκείνη, ἡ περὶ τῶν ἡγεμόνων τῶν ξένων καὶ αὐτὴ καθαιρετικὴ τῆς δυνάμεως τοῦ φιλίππου. εἶτα ἐπειδήπερ παράδοξον ἔννοιαν εἶπε, καὶ διὰ τοῦτο σχεδὸν ἀπίθανον ἐν τῷ περὶ τῶν ξένων λόγῳ, ὅτι τὰ μάλιστα σκορακίζονται, αὐτὸς ἑαυτοῦ ἐλάβετο, καὶ ἔλυσε τῆς παραδόξου ἐννοίας. ἔλυσε γνώμῃ εὐθέως εἰπών·

17 Καὶ τούτοις οὐδ' ἂν εἷς εὖ φρονῶν ἀπιστήσειε. καὶ ἐπάγει διὰ τῶν ἑξῆς τὴν αἰτίαν. πρὸς ταῦτα τὴν ἀπάντησιν τὰ προειρημένα περὶ τῆς δυνάμεως, ἀνθυποφορά τις ἀντέπεσε. Πῶς οὖν εἴπερ ἐστὶ ταῦτα τοιαῦτα, πιστῶς ἤδη πολὺν χρόνον αὐτῷ παραμένουσιν. ἐκ γὰρ τῶν εἰρημένων ἁπάντων, πρὸς καθαίρεσιν ἠθροίσθη τῆς αὐτοῦ δόξα ἀπιθανότητος, ὅτι εἰ ταῦτα ἦν ἀληθῆ, πάντως ἂν ἀπέστησαν. αὐτὸς δὲ καὶ ταύτην ἔλυσεν εἰπών, ὅτι τὸ κατορθοῦν αὐτὸν ἐπισκοτεῖ πᾶσι τοῖς τοιούτοις. α. δεῖ ἡ τῆς αἰσθήσεως πρὸς τὸ δυνατὸν αἰτήσεων· ἐπειδὴ γὰρ πάντα τὰ μέρη τῆς δυνάμεως καθεῖλεν, ἔλειπε δὲ τὸ ἀπὸ τῆς ψυχῆς, ὑπ' αἰσθήσεως ἔλαβεν.

21 Εἰ δέ τις ὑμῶν, ὦ ἀθηναῖοι, τὸν φίλιππον ὁρῶν εὐτυχοῦντα φοβερὸν εἶναι νομίζει καὶ δυσπολέμητον. πρὸς δὲ τοῦτο καὶ διὰ τοῦτο ἐγύμνωσε, καὶ οὐ καθεῖλεν· ἐπειδὴ πλεῖστα αὐτῷ συμβάλλεται. πρὸς κατασκευὴν γὰρ τοῦ δυνατοῦ τῶν ἀθηναίων ἔχει. καὶ ἡ κατασκευὴ δὲ τῆς αἰσθήσεως, οὐκ ἔστιν αὐξητικὴ τοῦ δυνατοῦ τοῦ φιλίππου, ἀλλ' αὐτῆς τῆς δυνάμεως τῆς τύχης ἐστὶν αὐξητική, καὶ τῆς παρὰ τοῦ δαιμονίου ῥοπῆς. διὰ τοῦτο δὲ τὴν τύχην ηὔξησε, καὶ τὴν παρ' ἐκείνης ῥοπήν, ἵνα μᾶλλον τὸ τῶν ἀθηναίων δυνατὸν αὔξησιν λάβῃ· ὅσῳ γὰρ ἂν αὐξηθῇ τὰ τῆς τύχης, καὶ ὅσῳ ἂν ἀποδειχθῇ μετὰ τῶν ἀθηναίων ἡ τύχη, τοσούτῳ μᾶλλον καὶ τὸ τῶν ἀθηναίων δυνατὸν ἰσχυρότερον φανεῖται. καὶ πρὸς τοῦτο οὖν τὸν περὶ τῆς τύχης λόγον ἀποδείκνυται ὅτι ἡ ἀθη-

φαίνεται. γρ. α.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ιον, ἀλλὰ συνελόντι φράσαι, πάντων τῶν ἐν μακεδο-
νίᾳ βασιλευσάντων κἀκεῖνοι μὲν ἀθηναίοις φόρους ἤ- 23
νεγκαν· ἡ δ' ἡμετέρα πόλις, οὐδενὶ πώποτε τῶν ἁπάντων
ἀνθρώπων. ἔτι δὲ, τοσούτῳ πλείους ἀφορμὰς αὐτοὺς
πρὸς τὴν τῶν θεῶν εὔνοιαν ἔχομεν, ὅσῳ διατελοῦμεν
εὐσεβέστερα καὶ δικαιότερα πράττοντες. τί ποτ' οὖν ἐκεῖ-
νος ἐν τῷ προτέρῳ πολέμῳ πλείω κατώρθωσεν ἡμῶν· 24
ὅτι, ὦ ἄνδρες ἀθηναῖοι· παρρησιάσομαι γὰρ πρὸς ὑ-
μᾶς, ὁ μὲν αὐτὸς στρατεύεται, καὶ ταλαιπωρεῖ, καὶ πᾶσι τοῖς κιν-
δύνοις πάρεστιν, οὔτε καιρὸν παριεὶς, οὔτε ὥραν ἔτους
παραλείπων οὐδεμίαν· ἡμεῖς δὲ, εἰρήσεται γὰρ τἀλη-
θὲς, οὐδὲν ποιοῦντες ἐνθάδε καθήμεθα, μέλλοντες ἀεὶ, 25
καὶ ψηφιζόμενοι, καὶ πυνθανόμενοι κατὰ τὴν ἀγορὰν, εἴ
τι λέγεται νεώτερον. καίτοι τί γένοιτ' ἂν νεώτερον, ἢ μα-
κεδὼν ἀνὴρ, καταφρονῶν ἀθηναίων, καὶ τολμᾷ ἐπιστο-
λὰς πέμπειν τοιαύτας, οἵας ἠκούσατε μικρῷ πρότε-
ρον. καὶ τῷ μὲν, ὑπάρχουσι μισθοφόροι στρατιῶται καὶ νὴ 26
δία πρὸς τούτοις τῶν παρ' ἡμῖν ῥητόρων τινὲς, οἱ τὰς
παρ' ἐκείνου δωρεὰς οἴκαδε λαμβάνοντες, οὐκ αἰσχύ-
νονται φιλίππῳ ζῶντες, οὐδ' αἰσθάνονται πάντα καὶ τὰ
τῆς πόλεως, καὶ τὰ σφῶν αὐτῶν μικροῦ λήμματος πω-
λοῦντες. ἡμεῖς δὲ, οὔτε τῶν ἐκείνου πραγμάτων οὐδὲν 27
στασιάζειν παρασκευάζομεν, οὔτε ξένους τρέφειν ἐθέλομεν,
οὔτε αὐτοὶ στρατεύεσθαι τολμῶμεν. οὔκουν ἐστὶν οὐδὲν
θαυμαστὸν, εἴ τι πεπλεονέκτηκεν ἡμῶν κατὰ τὸν πρότερον
πόλεμον· ἀλλὰ μᾶλλον εἰ μηδὲν ποιοῦντες ἡμεῖς, ὧν
προσήκει τοῖς πολεμοῦσι, νομίζομεν κρατήσειν τοῦ 28
πάντα πράττοντος, ἃ δεῖ τοὺς πλεονεκτήσειν μέλλοντας.
ὃν, ὦ ἄνδρες ἀθηναῖοι, χρὴ λαβόντας ἔννοιαν, καὶ λο-
γισαμένους ὡς οὐδ' ἐφ' ἡμῖν ἐστὶ τὸ φάσκειν ἄγειν εἰρή-
νην· ἤδη γὰρ ἐκεῖνος καὶ προηγόρευκε τὸν πόλεμον, καὶ
τοῖς ἔργοις ἐξενήνοχε, μηδενὸς μὲν φείδεσθαι, μήτε τῶν 29
κοινῶν, μήτε τῶν ἰδίων· στρατεύεσθαι δὲ, ἐάν που καιρὸς
ᾖ, προθύμως ἅπαντας· χρῆσθαι δὲ στρατηγοῖς ἀμείνο-
σιν ἢ πρότερον. μὴ γὰρ ὑπολάβοι τις ὑμῶν, δι' ὧν ἐκ
χρηστῶν ἐγένετο τὰ πράγματα χείρω τὰ τῆς πόλεως,
διὰ τούτων αὐτὰ πάλιν ἀναληφθήσεσθαι καὶ γενήσεσθαι 30
βελτίω· μηδὲ νομίσητε ῥαθυμούντων ὑμῶν ὥσπερ
πρότερον, ἑτέρους ὑπὲρ τῆς ὑμετέρας ἀγωνιεῖσθαι
προθύμως· ἀλλ' ἐννοεῖσθε ὡς αἰσχρόν ἐστι, τοὺς μὲν πα-
τέρας ὑμῶν πολλοὺς πόνους καὶ κινδύνους μεγάλους
ὑποστῆναι λακεδαιμονίοις πολεμοῦντας, ὑμᾶς δὲ, 31

ναίων πόλις εὐτυχεστέρα, αἰτήσει
ἀνθυποφορά· Τί ποτ' οὖν ἐκεῖ-
νος ἐν τῷ προτέρῳ πολέμῳ πλείω
κατώρθωσεν ἡμῶν. ταύτην ἔλυσε
τῷ συμφέροντι, τῆς ῥαθυμίας κα-
τηγορῶν καὶ τῆς ἀργίας καὶ ἐκ-
λύσεως, ἣν ἐπιδείκνυνται ἐν τῷ
πράγματι μέλλοντες, καὶ καθήμε-
νοι, καὶ ψηφιζόμενοι, καὶ πυνθανό-
μενοι. εἶτα ἔτι ἔψατο ἐπὶ τὸ αἰσχρὸν
καὶ τὸ ἄδοξον, μέρη τοῦ συμφέρον-
τος· εἰ δὲ βούλει, τοῦ ἀσυμφόρου.
Καίτοι τί γένοιτ' ἂν νεώτερον, ἢ μα-
κεδὼν ἀνὴρ καταφρονῶν ἀθηναί-
ων, καὶ τολμῶν ἐπιστολὰς πέμπειν τοι-
αύτας οἵας ἠκούσατε μικρῷ πρότε-
ρον. εἶτα ἐπανέεισιν ἐπὶ τὸ δυνα-
τὸν πάλιν τὴν πρώτην λύσιν τῆς
ἀνθυποφορᾶς, καὶ τὴν αἰτίαν ἀπο-
δίδωσι. δι' ἣν, ἐκεῖνος μὲν κατορθοῖ,
ἡ πόλις δὲ οὐδαμῶς· καὶ τίποτε ποιεῖται
κατὰ τῶν ῥητόρων, ἐνδεικνύμενος ὅτι
διὰ τούτοις ἐκεῖνος κατορθοῖ. ἡ πό-
λις δὲ οὐδὲν τῶν ἐκείνου πραγμά-
των στασιάζειν παρασκευάζει. εἶτα
πληρώσας τὰς λύσεις τῆς ἀνθυπο-
φορᾶς, ἃς εἴληφεν ἐκ τοῦ συμφέρον-
τος καὶ τοῦ δυνατοῦ, καὶ εὐλαβη-
θεὶς μὴ πάλιν ἐπὶ τὴν εἰρήνην
δράμωσιν ἀθηναῖοι, καὶ πρεσβείαις
πειράσονται διαλῦσαι τὰ παρακε-
κινημένα, ὑποτέμνεται καὶ ταύτην τὴν
ἔννοιαν εἰπών· Ὧν, ὦ ἀθηναῖοι, 28
χρὴ λαβόντας ἔννοιαν, καὶ λογισα-
μένους ὅτι οὐδὲ ἐφ' ἡμῖν ἐστὶ τὸ φά-
σκειν ἄγειν εἰρήνην· ἤδη γὰρ ἐκεῖνος
καὶ προηγόρευκεν ὁ φίλιππος τὸν
πόλεμον, καὶ τοῖς ἔργοις ἐξενήνοχε.
Ταῦτα γάρ ἐστιν ἀπομαχομένου
πρὸς ἐκείνην τὴν ἔννοιαν, ὅτι ἴσως
οὐδέπω λέλυται ἡ εἰρήνη, καὶ δυ-
νατόν ἐστι διαλῦσαι τὰς ὑποψίας
ταύτας. ἐπήγαγε δὲ πάλιν τὸ δυνα-
τὸν εἰπών, Μηδενὸς μὲν φείδεσθαι, 29
μήτε τῶν δημοσίων, μήτε τῶν ἰδί-
ων. εἶτα ἑτέραν πάλιν ἐπὶ τού-
τοις ἐπιλογικὴν ὑπόνοιαν ἀνῄρη-
κεν· Ἀλλὰ δυνησόμεθα διὰ τῶν
ξένων αὐτὸν ἀμύνασθαι. ταύ-
την μὴ θεὶς, ἔλυσεν εἰπών· Μὴ
γὰρ ὑπολάβῃ τις ὑμῶν, δι' ὧν ἐγέ-
νετο τὰ πράγματα χείρω τῆς πό-
λεως, διὰ τούτων αὐτὰ πάλιν ἀνα-
ληφθῆναι καὶ ἕτερον, ἐν ᾧ καὶ τὴν
ἀντίθεσιν ἐπεσημήνατο· Μηδὲ νο- 30
μίσητε ῥαθυμούντων ὑμῶν ὥσπερ
πρότερον, ἑτέρους ὑπὲρ τῶν ὑμετέ-
ρων ἀγωνιεῖσθαι προθύμως· τοῦτο
γάρ ἐστιν ἐπιλογικὸν τῆς ἀντιθέσεως,
ὅτι ἀλλὰ δυνησόμεθα διὰ τῶν ξέ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μηδ᾽ ὑπὲρ ὧν ἐκεῖνοι δικαίως κτησάμενοι παρέδοσαν ἡμῖν, ἐθέλειν ἐρρωμένως ἀμύνεσθαι. ἀλλὰ τὸν μὲν ἐκ Μακεδονίας ὁρμώμενον, οὕτως εἶναι φιλοκίνδυνον, ὥστε ὑπὲρ τοῦ μείζω ποιῆσαι τὴν ἀρχὴν, κατατετρῶσθαι πᾶν τὸ σῶμα, τοῖς πολεμίοις μαχόμενον. 32 Ἀθηναίους δέ, οἷς πάτριόν ἐστι μηδενὸς ὑπακούειν, ἁπάντων δὲ κρατεῖν τοῖς πολέμοις, τούτους διὰ μαλακίαν ἢ ῥαθυμίαν ἐγκαταλιπεῖν, τά τε τῶν προγόνων ἔργα καὶ τὰ συμφέροντα τῆς πατρίδος. ἵνα δὲ μὴ μακρολογῶ, φημὶ 33 χρῆναι πάντας ἡμᾶς, παρασκευάζεσθαι μὲν πρὸς τὸν πόλεμον· παρακαλεῖν δὲ τοὺς ἄλλους Ἕλληνας, μὴ λόγοις, ἀλλὰ καὶ τοῖς ἔργοις, πρὸς τὴν ὑπὲρ ἡμῶν συμμαχίαν, ὡς ἅπας μὲν ἐστὶ λόγος μάταιος, πράξεων ἄμοιρος γινόμενος. τοσούτῳ δὲ μάλιστα ὁ παρὰ τῆς ἡμε- 34 τέρας πόλεως, ὅσῳ δοκοῦμεν αὐτῷ, προχειρότατα χρῆσθαι τῶν ἄλλων Ἑλλήνων.

ὑμῖν. ε. κ. — * ἐν. κ. — ὑμᾶς. α. ε. κ. — ἀ. ε. κ. — παρ᾽ ὑμῶν. α.

τῶν ἀδικούντων αὐτὸν κωλῦσαι· τὴν ἐκ προλήψεως ἔλυσε. καὶ ἐπισημαινόμενος πάλιν οὐδὲν ἧττον λύει, καὶ συνάπτει τοὺς ἐπιλόγους ἀπὸ τῶν αἰσχρῶν ἐπιχειρῶν, ἀπὸ τῆς τῶν προγόνων κρίσεως, ἀπὸ τῆς τοῦ πολεμίου κρίσεως, ἀπὸ τῆς ποιότητος τῆς πόλεως, ἀπὸ τοῦ μεγέθους τῶν ἔργων, καὶ τῶν κατορθωμάτων τῶν προγενικῶν, ἅπερ ἂν εἴη τοῦ ἐνδόξου. καὶ ταῦτα μὲν ἀπὸ τοῦ συμφέροντος εἰς τὸν ἐπίλογον· ὁ γὰρ τοῦ αἰσχροῦ καὶ τοῦ ἐνδόξου, καὶ τοῦ πρέποντος τόπος, καὶ τοῦ καλοῦ, ἴδιος ἂν εἴη τοῦ συμφέροντος. εἶτα ἀπὸ τοῦ δυνατοῦ πάλιν ἐπιλογίζεται, χρῆναι πάντας, παρασκευάζεσθαι μὲν πρὸς τὸν πόλεμον· παρακαλεῖν δὲ τοὺς Ἕλληνας μὴ λόγοις, ἀλλ᾽ ἔργοις. εἶτ᾽ ἐπειδήπερ ἀντέπιπτεν, Ἀλλὰ πολλάκις παρακαλέσαντες οὐκ ἐπείσαμεν· ἔλυσε καὶ τοῦτο, εἰπὼν αὐτοὺς αἰτίους εἶναι, πρεσβευομένους μὲν, καὶ τὴν ἄλλως λέγοντας· δεικνύντας δὲ πράξεως μηδὲν ἔργον· εἰωθέναι δὲ ἅπαντας τοῖς ἔργοις μᾶλλον, ἢ τοῖς λόγοις προσέχειν, καὶ μάλιστα τῶν ἐξηπατηκότων λόγοις πολλάκις.

# ΕΠΙΣΤΟΛΗ ΦΙΛΙΠΠΟΥ.

1 Φίλιππος Ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ, χαίρειν. Ἐπειδὴ πολλάκις μου πρέσβεις ἀποστείλαντος, ἵν᾽ ἐμμείνωμεν τοῖς ὅρκοις καὶ ταῖς ὁμολογίαις, οὐδεμίαν ἐποιεῖσθε ἐπιστροφὴν, ᾤμην δεῖν πέμψαι πρὸς ὑμᾶς ὑπὲρ ὧν ἀδικεῖσθαι νομίζω. μὴ θαυμάσητε δὲ τὸ μῆκος τῆς ἐπιστολῆς· πολλῶν γὰρ ὑπαρχόντων ἐγ- 2 κλημάτων, ἀναγκαῖόν ἐστιν ὑπὲρ ἁπάντων δηλῶσαι καθαρῶς. πρῶτον μὲν γὰρ Νικίου τοῦ κήρυκος ἁρπασθέντος ἐκ τῆς χώρας τῆς ἐμῆς, οὐ τοῖς παρανομοῦσιν ἐπετιμήσατε ὅτι τὴν δίκην, ἀλλὰ τὸν ἀδικούμενον εἵρξατε δέκα μῆνας· ἃς δ᾽ ἔφερε παρ᾽ ἡμῶν ἐπιστολὰς ἀνέγνωτε ἐπὶ τοῦ βήματος. ἔπειτα Θασίων ὑποδεχομένων τὰς Βυζαντίων τριήρεις, καὶ 3 τῶν λῃστῶν τοὺς βουλομένους, οὐδὲν ἐφροντίζετε τῶν συνθηκῶν διαρρήδην λεγουσῶν πολεμίους εἶναι τοὺς ταῦτα ποιοῦντας. ἔτι τοίνυν, περὶ τοὺς αὐτοὺς χρόνους Διοπείθης ἐμβαλὼν εἰς τὴν χώραν, Κρωβύλην μὲν, καὶ τὴν Τειρίστασιν, ἐξηνδραποδίσατο· τὴν δὲ προσεχῆ Θρᾴκην, ἐπόρθησε. τέλος δέ, εἰς τοῦτο ἦλθε παρανομίας, ὥστε Ἀμφίλοχον 4 ὑπὲρ τῶν αἰχμαλώτων ἐλθόντα πρεσβευτὴν συλλαβών, καὶ τὰς ἐσχάτας ἀνάγκας ἐπιθείς, ἀπελύτρωσε ταλάντων ἐννέα. καὶ ταῦτα τῷ δήμῳ εὖ δοκοῦντα ἐποίησε. καὶ τὸ παρανομεῖν εἰς κήρυκα, καὶ πρέσβεις, καὶ τοῖς ἄλλοις τε πᾶσιν, ἀσεβὲς εἶναι δοκεῖ. καὶ μάλιστα ὑμῖν. Μεγαρέων γοῦν Ἀνθεμόκριτον ἀνελόντων, εἰς τοῦτο ἐλήλυθεν ὁ δῆμος, ὥστε μυ- 5 στηρίων μὲν εἴργειν αὐτούς· ὑπομνήματα δὲ τῆς ἀδικίας ἔστησαν, ἀνδριάντα πρὸ τῶν πυλῶν. καίτοι πῶς οὐ δεινόν, εἰ ἐφ᾽ οἷς παθόντες, οὕτως ἐμισήσατε τοὺς δράσαντας, νῦν αὐτοὺς φαίνεσθαι ποιοῦντας. Καλλίας τοίνυν ὁ παρ᾽ ὑμῶν στρατηγός, τὰς μὲν πόλεις τὰς ἐν τῷ Παγασίτῃ κόλπῳ κατοικουμένας, ἔλαβεν ἁπάσας, ὑμῖν μὲν ἐνόρκους· ἐμοὶ δὲ

πρεσβεῖς. γρ. β. ε. — ἐπιστροφὴν. — ὄντα. ε. κ. — ε. κ. — εἵρξατε. ε. κ. — τειρίστασιν. ε. κ. — καίτοι. ε. κ. — ε. κ. — αὐτὰ φαίνεσθε ποιοῦντες. γρ. β. ε. κ. — ἐπὶ. ε. κ.

συμμα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

συμμάχους. ε.η.χ.β. "συμμαχίδας οὔσας. τοὺς δ' "εἰς μακεδονίαν πλέοντας, ἐπώλει, πάντας πολεμίους κρί- 6
ἐν μακεδο- νων· καὶ διὰ ταῦθ' ὑμεῖς ἐπῃνεῖτ' αὐτὸν ἐν τοῖς ψηφίσμασιν· ὥστε ἔγωγε ἀπορῶ, τί πο-
τ' ἔσται καινότερον, ἐὰν ὁμολογήσητέ μοι πολεμεῖν· καὶ γὰρ ὅτε φανερῶς διεφερόμε-
θα, λῃστὰς ἐξεπέμπετε, καὶ τοὺς πλέοντας ὡς ὑμᾶς, ἐπωλεῖτε, τοῖς ἐναντίοις ἐβοηθεῖ-
τε, τὴν χώραν μου κακῶς ἐποιεῖτε. χωρὶς τούτων, εἰς τοῦτο παρανομίας ἀφῖχθε καὶ δυσ- 7
μενείας, ὥστε καὶ πρὸς τὸν πέρσην πρέσβεις ἀπεστάλκατε, πείσοντας αὐτὸν ἐμοὶ πολε-
μεῖν, ὃ μάλιστα ἄν τις θαυμάσειε· πρὶν μὲν γὰρ τοῦτο λαβεῖν αὐτὸν αἴγυπτον καὶ φοινίκην,
ἐψηφίσασθε, ἂν ἐκεῖνός τι νεωτερίζῃ, παρακαλεῖν ὁμοίως ἐμὲ καὶ τοὺς ἄλλους ἕλληνας
ε.η. "ἅπαντας ἐπ' αὐτόν. νῦν δὲ τοσοῦτον ὑμῖν περίεστι τοῦ πρὸς ἐμὲ μίσους, ὥστε πρὸς 8
περὶ. η. ἐκεῖνον διαλέγεσθαι περὶ τῆς "ἐπισυμμαχίας. καίτοι τὸ παλαιὸν οἱ πατέρες ὑμῶν ὡς
συμμαχίας. ε. ἐγὼ πυνθάνομαι, τοῖς πεισιστρατίδαις ἐπετίμων, ὡς ἐπάγουσι τὸν πέρσην ἐπὶ τοὺς ἕλ-
ληνας· ὑμεῖς δ' οὐκ αἰσχύνεσθε ταῦτα ποιοῦντες, ἃ διετελεῖτε τοῖς τυράννοις ἐγκα-
ἐγράφετε. ε. η. λοῦντες· ἀλλὰ πρὸς τοῖς ἄλλοις "καὶ γράφετε ἐν τοῖς ψηφίσμασιν ἐμοὶ προστάττον- 9
τες, τήρην καὶ κερσοβλέπτην ἐᾶν θρᾴκης ἄρχειν, ὡς ὄντας ἀθηναίους. ἐγὼ δὲ τού-
τους, οὔτε τῶν περὶ τῆς εἰρήνης συνθηκῶν οἶδα μετασχόντας ὑμῖν, οὔτ' ἐν ταῖς στήλαις
ἀναγεγραμμένους, οὔτ' ἀθηναίους ὄντας· ἀλλὰ τήρην μὲν, μετ' ἐμοῦ στρατευόμενον
ἐφ' ὑμᾶς· κερσοβλέπτην δὲ, τοῖς παρ' ἐμοῦ πρεσβευταῖς, ἰδίᾳ μὲν τοὺς ὅρκους ὀμόσαι 10
πρεσβευ- τῶν. η. προθυμούμενον, κωλυθέντα δ' ὑπὸ τῶν ὑμετέρων "στρατηγῶν, ἀποφαινόντων αὐτὸν
ἀθηναίων ἐχθρόν. καίτοι, πῶς ἐστὶ τοῦτ' ἴσον ἢ δίκαιον, ὅταν μὲν ὑμῖν συμφέρῃ, πολέμιον
εἶναι φάσκειν αὐτὸν τῆς πόλεως· ὅταν δ' ἐμὲ συκοφαντεῖν βούλησθε, πολίτην ἀποδεί-
κνυσθαι τὸν αὐτὸν ὑφ' ὑμῶν· καὶ σιτάλκου μὲν ἀποθανόντος, ᾧ μετέδοτε τῆς πολιτείας, 11
εὐθὺς ποιήσασθαι πρὸς τὸν ἀποκτείναντα φιλίαν. ὑπὲρ δὲ κερσοβλέπτου πόλεμον αἱ-
ρεῖσθαι πρὸς ἡμᾶς, καὶ ταῦτα σαφῶς εἰδότας, ὅτι τῶν λαμβανόντων τὰς δωρεὰς τὰς
τοιαύτας, οὐδεὶς οὔτε τῶν νόμων, οὔτε τῶν ψηφισμάτων οὐδὲν φροντίζει τῶν ὑμετέρων·
οὐ μὴν ἀλλ' εἰ δεῖ πάντα τἄλλα παραλιπόντα συντόμως εἰπεῖν, ὑμεῖς ἔδοτε πολι- 12
τείαν εὐαγόρᾳ τῷ κυπρίῳ, καὶ διονυσίῳ τῷ συρακουσίῳ, καὶ τοῖς ἐκγόνοις τοῖς ἐκεί-
νων. ἐὰν οὖν πείσητε τοὺς ἐκβαλόντας ἑκατέρους αὐτῶν ἀποδοῦναι πάλιν τὰς ἀρ-
ὅσης ε.η. χὰς τοῖς ἐκπεσοῦσι, κομίζεσθε καὶ παρ' ἐμοῦ τὴν θρᾴκην, "ὅσην τήρης καὶ κερσοβλέ-
ἦρ. β. πτης "εἶχεν. εἰ δὲ, τοῖς μὲν ἐκείνων κρατήσασι, μηδ' ἐγκαλεῖν ἀξιοῦτε μηδέν, ἐμὲ δ' ἐνο- 13
χλεῖτε, πῶς οὐ δικαίως ὑμᾶς ἀμυνοίμην ἄν. περὶ μὲν οὖν τούτων πολλὰ λέγειν ἔχων
ἔτι δίκαια, παραλιπεῖν προαιροῦμαι· καρδιανοῖς δέ φημι βοηθεῖν, γεγονὼς αὐτοῖς
δή. ε.η. πρὸ τῆς εἰρήνης σύμμαχος, οὐκ ἐθελόντων ὑμῶν ἐλθεῖν εἰς κρίσιν, πολλάκις μὲν ἐμοῦ
δεηθέντος, οὐκ ὀλιγάκις δ' ἐκείνων· ὥστε πῶς οὐκ ἂν εἴην πάντων φαυλότατος, εἰ 14
καταλιπὼν τοὺς συμμάχους, μᾶλλον ὑμῶν φροντίζοιμι, τῶν πάντα μοι τρόπον ἐνο-
χλούντων, ἢ τῶν βεβαίως μοι φίλων ἀεὶ μενόντων. εἰ τοίνυν δεῖ μηδὲ τοῦτο παραλι-
πεῖν, εἰς τοσοῦτον ἐληλύθατε πλεονεξίας, ὥστε πρότερον μὲν ἐνεκαλεῖτέ μοι τὰ προ-
ειρημένα μόνον· τὰ δ' ὑπογυότατα, πεπαρηθίων φασκόντων δεινὰ πεπονθέναι, προ- 15
σετάξατε τῷ στρατηγῷ δίκην παρ' ἐμοῦ λαβεῖν ὑπὲρ ἐκείνων, οὓς ἐγὼ μὲν ἐτιμωρη-
σάμην ἐνδεεστέρως ἢ προσῆκεν· ἐκεῖνοι δὲ εἰρήνης οὔσης, καταλαβόντες ἁλόννησον, οὔ-
ἀπέδοσαν. ε. η. τε τὸ χωρίον, οὔτε τοὺς φρουροὺς "ἀπεδίδοσαν, πέμψαντος ὑπὲρ αὐτῶν ἐμοῦ πολλά-
ἐπεσκέψα- σθε. ε.η. κις. ὑμεῖς δ', ὧν μὲν ἠδίκησαν ἐμὲ πεπαρήθιοι, τούτων μὲν οὐδὲν "ἐπεσκήψασθε· τὴν 16
δὲ τιμωρίαν ἀκριβῶς εἰδότες· καίτοι, τὴν νῆσον οὔτ' ἐκείνους, οὔτε ὑμᾶς ἀφελόμην,

ἀλλὰ

ἀλλὰ τὸν λῃστὴν Σώστρατον. εἰ μὲν οὖν αὐτοί φατε παραδοῦναι Σωστράτῳ, λῃστὰς ὁμο-
λογεῖτε καταπέμπειν· εἰ δὲ ἀκόντων ὑμῶν ἐκεῖνος κατεκράτει, τί δεινὸν πεπόνθατε,
17 λαβόντος ἐμοῦ, καὶ τὸν τόπον τοῖς πλέουσιν ἀσφαλῆ παρέχοντος. τοσαύτην δέ μου ποι-
ουμένου πρόνοιαν τῆς ὑμετέρας πόλεως, καὶ διδόντος αὐτῇ τὴν νῆσον, οἱ ῥήτορες, λαμ-
βάνειν μὲν οὐκ εἴων, ἀπολαβεῖν δὲ συνεβούλευον· ὅπως ὑπομείνας μὲν τὸ προσταττό-
μενον, τὴν ἀλλοτρίαν ἔχειν ὁμολογῶ· μὴ προέμενος δὲ τὸ χωρίον, ὕποπτος γένωμαι
18 τῷ πλήθει. γνοὺς ἐγὼ ταῦτα, προὐκαλούμην κριθῆναι περὶ τούτων πρὸς ὑμᾶς,
ἵν', εἰ μὲν ἐμὴ γνωσθῇ, παρ' ἐμοῦ δοθῇ τὸ χωρίον ὑμῖν· ἐὰν δὲ ὑμετέρα κριθῇ, τότε ἀπο-
δῶ τῷ δήμῳ. ταῦτα δέ μου πολλάκις ἀξιοῦντος, ὑμεῖς μὲν οὐ προσείχετε, πεπαρρή-
θιοι δὲ τὴν νῆσον κατέλαβον. τί οὖν ἐχρῆν με ποιεῖν; οὐ δίκην λαβεῖν παρὰ τῶν ὑπερ-
19 βεβηκότων τοὺς ὅρκους; οὐ τιμωρήσασθαι τοὺς οὕτως ὑπερηφάνως ἀσελγαίνοντας; καὶ γάρ,
εἰ πεπαρρηθίων ἦν ἡ νῆσος, τί προσῆκεν ἀπαιτεῖν Ἀθηναίους; εἰ δὲ ὑμετέρα, πῶς οὐκ
ἐκείνοις ὀργίζεσθε καταλαβοῦσι τὴν ἀλλοτρίαν; εἰς τοῦτο δὲ προβεβήκαμεν ἔχθρας,
ὥστε βουλόμενος ταῖς ναυσὶν εἰς τὸν Ἑλλήσποντον παραβαλεῖν, ἠναγκάσθην αὐτὰς παρα-
20 πέμψαι διὰ Χερρονήσου τῇ στρατιᾷ, τῶν μὲν κληρούχων, κατὰ τὸ Πολυκράτους δόγμα
πολεμούντων ἡμῖν, ὑμῶν δὲ τοιαῦτα ψηφιζομένων, τοῦ δὲ στρατηγοῦ Βυζαντίους τε
παρακαλοῦντος, καὶ διαγγέλλειν πρὸς ἅπαντας, ὅτι πάλιν αὐτοῖς προστάττετε, ἂν
καιρὸν λάβῃ. τοιαῦτα δὲ πάσχων, ὅμως τῆς πόλεως, καὶ τῶν τριηρῶν, καὶ τῆς χώρας ἀπε-
21 χόμενος, ἱκανὸς ὢν τὰ πλεῖστα λαβεῖν, ἢ πάντα καὶ διατετέλεκα προσκαλούμενος ὑ-
μᾶς εἰς κρίσιν ἐλθεῖν, ὑπὲρ ὧν αἰτιώμεθα ἀλλήλους. καίτοι σκοπεῖσθε, πότερον κάλ-
λιόν ἐστιν, ὅπλοις ἢ λόγοις διακρίνεσθαι· καὶ πότερον αὐτοὺς εἶναι βραβευτάς, ἢ πεῖσαι
τινὰς ἑτέρους· καὶ λογίζεσθε ὡς ἄλογόν ἐστιν Ἀθηναίους, Θασίους μὲν καὶ Μαρωνείτας ἀναγ-
22 κάσαι περὶ Στρύμης διακριθῆναι λόγοις, αὐτοὺς δὲ πρὸς ἐμὲ μὴ διαλύσασθαι περὶ
ὧν ἀμφισβητοῦσι τὸν τρόπον τοῦτον· ἄλλως τε, καὶ γιγνώσκοντας, ὅτι νικηθέντες μὲν, οὐ-
δὲν ἀποβαλεῖτε· κρατήσαντες δέ, λήψεσθε τὰ νῦν ὑφ' ἡμῖν ὄντα. πάντων δέ μοι δοκεῖ
παραλογώτατον εἶναι, διότι πέμψαντος ἐμοῦ πρέσβεις ἀπὸ τῆς συμμαχίας πάσης,
23 ἵν' ὦσι μάρτυρες, καὶ βουλομένου ποιήσασθαι πρὸς ὑμᾶς δικαίας ὁμολογίας ὑπὲρ τῶν
Ἑλλήνων, οὐδὲ τοὺς περὶ τούτων λόγους ἐδέξασθε παρὰ τῶν πρεσβευόντων, ἐξὸν ὑμῖν, ἢ
τῶν κινδύνων ἀπαλλάξαι τοὺς δυσχερὲς ὑποπτεύοντάς τι καθ' ἡμῶν, ἢ φανερῶς ἐξε-
λέγξαι με φαυλότατον ὄντα τῶν ἁπάντων. τῷ μὲν οὖν δήμῳ, ταῦτα συνέφερε· τοῖς
24 δὲ λέγουσιν, οὐκ ἐλυσιτελεῖ· φασὶ γὰρ οἱ τῆς πολιτείας τῆς παρ' ὑμῖν ἔμπειροι, τὴν μὲν
εἰρήνην, πόλεμον αὐτοῖς εἶναι· τὸν δὲ πόλεμον, εἰρήνην· ἢ γὰρ συναγωνιζομένους τοῖς στρα-
τηγοῖς, ἢ συκοφαντοῦντας ἀντιλαμβάνειν παρ' αὐτῶν. ἔτι δὲ τῶν πολιτῶν τοῖς γνωρι-
μωτάτοις, καὶ τοῖς ἔξωθεν τοῖς ἐνδοξοτάτοις λοιδορουμένους ἐπὶ τοῦ βήματος, περιποι-
25 εῖσθαι παρὰ τοῦ πλήθους δόξαν ὡς εἰσὶ δημοτικοί. ῥᾴδιον μὲν οὖν ἐστί μοι παῦσαι τῆς
βλασφημίας αὐτούς, μικρὰ πάνυ προέμενον, καὶ ποιῆσαι λέγειν ἐπαίνους ὑπὲρ ἡ-
μῶν. ἀλλ' αἰσχυνοίμην ἄν, εἰ τὴν πρὸς ὑμᾶς εὔνοιαν παρὰ τούτων φαινοίμην ὠνού-
μενος, οἳ πρὸς τοῖς ἄλλοις, εἰς τοῦτο τόλμης ἥκουσιν, ὥστε καὶ περὶ Ἀμφιπόλεως πρὸς
26 ἡμᾶς ἀμφισβητεῖν ἐπιχειροῦσιν, ὑπὲρ ἧς τῶν ἀντιποιουμένων αὐτῆς, οἶμαι πολὺ δι-
καιότερα λέγειν αὐτούς· εἴτε γὰρ τῶν ἐξ ἀρχῆς κρατησάντων γίγνεται, πῶς οὐ δικαίως
ἡμεῖς αὐτὴν ἔχομεν, Ἀλεξάνδρου τοῦ προγόνου πρώτου κατασχόντος τὸν τόπον· ὅθεν καὶ
τῶν αἰχμαλώτων Μήδων ἀπαρχὴν ἀνδριάντα χρυσοῦν ἀνέστησεν εἰς Δελφούς· εἴτε

πάντων

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τούτων μὲν ἀμφισβητήσετε ὑμεῖς, ἀξιοῖ δὲ γίγνεσθαι τῶν ὕστερον γενομένων κυρίων, ὑ- 27
πάρχει μοι καὶ τοῦτο τὸ δίκαιον· ἐκπολιορκήσας γὰρ τοὺς, ὑμᾶς μὲν ἐκβαλόντας, ὑπὸ
λακεδαιμονίων δὲ κατοικισθέντας, ἔλαβον τὸ χωρίον. καίτοι, πάντες οἰκοῦμεν τὰς πό-
λεις, ἢ τῶν προγόνων παραδόντων, ἢ κατὰ πόλεμον κύριοι καταστάντες. ὑμεῖς δὲ οὔτε
πρῶτοι λαβόντες, οὔτε νῦν ἔχοντες, ἐλάχιστον δὲ χρόνον ἐν τοῖς τόποις ἐμμείναντες, 28
ἀντιποιεῖσθε τῆς πόλεως, καὶ ταῦτα πίστιν ὑπὲρ ἡμῶν αὐτοὶ βεβαιοτάτην ἐπιθέντες·
πολλάκις γὰρ ἐμοῦ γράφοντος ἐν ταῖς ἐπιστολαῖς ὑπὲρ αὐτῆς, ἐγνωκότες δικαίως ἔ-
χειν ἡμᾶς, ὅτε μὲν ποιησάμενοι τὴν εἰρήνην, ἔχοντος ἐμοῦ τὴν πόλιν καὶ συμμαχίαν
ἐπὶ ταῖς αὐταῖς ὁμολογίαις. καίτοι, πῶς ἂν ἑτέρα γένοιτο βεβαιοτέρα ταύτης κτῆσις, 29
ἧς τὸ μὲν ἐξ ἀρχῆς καταλειφθείσης ἡμῖν ὑπὸ τῶν προγόνων, πάλιν δὲ κατὰ πόλε-
μον ἐμῆς γεγενημένης, τρίτον δὲ συγχωρηθείσης ὑφ' ὑμῶν τῶν εἰθισμένων ἀμφισβη-
τεῖν, καὶ τῶν οὐδὲν ὑμῖν προσηκόντων. ἃ μὲν οὖν ἐγκαλῶ, ταῦτ' ἐστίν· ὡς δὲ προϋ-
παρχόντων, καὶ διὰ τὴν ἐμὴν εὐλάβειαν μᾶλλον ἤδη τοῖς πράγμασιν ἐπιτιθεμέ- 30
νων, καὶ καθ' ὅσον ἂν δύνησθε κακοποιούντων, ὑμᾶς ἀμυνοῦμαι μετὰ τοῦ δικαίου· καὶ
μάρτυρας τοὺς θεοὺς ποιησάμενος, διαλήψομαι περὶ τῶν καθ' ὑμᾶς.

## ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΕΡΙ ΣΥΝΤΑΞΕΩΣ ΛΟΓΟΥ.

Ο ΛΟΓΟΣ οὗτος οὐκέτι φιλιππικός ἐστιν, ἀλλὰ ἁπλῶς συμβουλευτικός· ἐκκλησίας γὰρ ἀγόντων τῶν ἀθηναίων, περὶ τῶν θεωρικῶν χρημάτων, παρελθὼν ὁ δημοσθένης πειρᾶται συντάξαι* αὐτούς, καὶ τὸ ἀρχαῖον ἀναλαβεῖν ἀξίωμα στρατευομένους, καὶ τῶν *ἑλλήνων προκινδυνεύοντας. καὶ συγκρίνει τὰ νῦν τοῖς ἐπὶ τῶν προγόνων, πολὺ φαυλότερα καὶ ταπεινότερα τῶν *παλαιῶν δεικνύς.

* πι. ε.
* ἑλληνικῶν.
γ. β. ε.
* περί.

## ΔΗΜΟΣΘΕΝΟΥΣ ΣΥΜΒΟΥΛΕΥΤΙΚΟΥ ΠΕΡΙ ΣΥΝΤΑΞΕΩΣ ΛΟΓΟΥ ΕΞΗΓΗΣΙΣ.

ΠΕΡΙ μὲν τοῦ παρόντος) Ο περὶ συντάξεως λόγος, οὐκ ἔχει μὲν περιφανῆ τὸν χρόνον εἰκάσειε δ' ἄν τις αὐτὸν εἰρῆσθαι περὶ τῶν φιλιππικῶν, ἀφεστηκότων μὲν ἤδη τῶν συμμάχων, ῥοδίων δὲ ὀλιγαρχουμένων. ὥστε ὅσοι συντάττουσιν τὸν τοῖς φιλιππικοῖς, ἠγνοήκασι παντελῶς, ὅτι τῶν φιλιππικῶν ἐστὶ προγενέστερος. ἔοικε δέ τις εὔβουλος νενικηκέναι γνώμην, τὰ στρατιωτικὰ θεωρικὰ γίνεσθαι μετὰ τὴν ἐπιχειροτονίαν, οὐκέτι μὲν ἀντιλέγειν δεῖν ἀπὸ τῷ λαμβάνειν· συντρέχειν δὲ ταῖς διανομαῖς, εἰσηγεῖται δεῖν τὴν ἐκκλησίαν γίνεσθαι, καὶ ἐν ἐκείνῃ κυρῶσαι, ἅπερ ἀξιοῖ καὶ αὐτός. ἀξιοῖ δὲ προστεθῆναι τῷ λαμβάνειν τάξιν τοῦ πράττειν ἵνα τὰ δέοντα. οὐκ ἔστι δὲ ἡ περὶ τούτου προκειμένη συμβουλὴ νῦν ἐντελής, ἀλλ' εἰσήγησις μόνη καὶ προτροπὴ ἵνα ἐν ἑτέρᾳ ἐκκλησίᾳ τὴν τούτων τάξιν κυρώσωσιν. ἀξιοῖ δὲ καὶ τοὺς καιροὺς διαταχθῆναι, τόν τε τοῦ πολέμου, καὶ τὸν τῆς εἰρήνης· καὶ τὰ κεφάλαια δὲ, περὶ ὧν αὐτοὺς δεῖ βουλεύσασθαι. προστίθησι νῦν καὶ προαναφωνεῖ. τὸ δὲ σύμπαν ἐστὶν,
…ἐστι, διὰ παντὸς μὴ λαμβάνειν αὐτούς, λαμβάνοντες δὲ, ὡς ἔφη, μηδενὸς τῶν περικλέων ῥαθυμεῖν ὅπου καιρὸς εἴη·
ἐπειδὴ γὰρ οὐκ ἔχει ἀντειπεῖν, "κρατούσης λοιπὸν εὐβούλου τῆς γνώμης περὶ τοῦ λαμβάνειν, ἦλθε λοιπὸν ἐφ' ἑτέραν ὁδόν,
ἧς προστίθησι καὶ αὐτὸς τὴν ἑαυτοῦ γνώμην, τὸ δεῖν πράττειν δι' αὐτῆς εἰσηγούμενος. καὶ ἡ μὲν ὑπόθεσις, καὶ ὁ σκο-
πὸς τοῦ λόγου, τοῦτον ἔχει τὸν τρόπον. οὔτε δὲ πολέμου πρόκειται συμβουλή τις, οὐδὲ περὶ τοῦ δεῖν ἄγειν εἰρήνην ἡ σκέψις
αὐτῶν· ἀλλ' ἔστιν, ὡς ἔφην, εἰσήγησις ἀξιοῦντος προστεθῆναι τῇ κεκρατηκυίᾳ γνώμῃ περὶ τοῦ λαμβάνειν τὸ πράττειν τὰ

" κρατούσῃ λοιπὸν τῇ εὐβού-
λου γνώμῃ. α.

# ΔΗΜΟΣΘΕΝΟΥΣ ΣΥΜΒΟΥΛΕΥΤΙΚΟΣ, ΗΤΟΙ Ο ΠΕΡΙ ΣΥΝΤΑΞΕΩΣ ΛΟΓΟΣ.

ΠΕΡΙ μὲν τοῦ παρόντος ἀργυρίου, 1
καὶ ὧν ἕνεκα τὴν ἐκκλησίαν ποιεῖτε, ὦ ἄνδρες ἀθηναῖοι, οὐδέτερόν μοι δοκεῖ τῶν χαλεπῶν εἶναι, οὔτ' ἐπιτιμήσαντα τοῖς νέμουσι καὶ διδοῦσι τὰ κοινὰ, εὐδοκιμῆσαι παρὰ τοῖς βλάπτεσθαι διὰ τού- 2
των ἡγουμένοις τὴν πόλιν, οὔτε συνειπόντα καὶ παραινέσαντα ὡς δεῖ λαμβάνειν, χαρίσασθαι τοῖς σφόδρα ἐν

χρεία τοῦ λαβεῖν οὖσιν· οὐδέτεροι γὰρ πρὸς τὸ τῇ πόλει
συμφέρον σκοποῦντες, οὔτ' ἐπαινοῦσιν, οὔτε δυσχεραί-
3 νουσι τὸ πρᾶγμα· ἀλλ' ὡς ἑκάτεροι χρείας καὶ περιου-
σίας ἔχουσιν. ἐγὼ δὲ, τοῦτο μὲν οὔτ' ἂν εἰσηγησαίμην, οὔ-
τ' ἀντείποιμι ὡς οὐ δεῖ λαμβάνειν. πάνυ μέντοι σκο-
πεῖν, καὶ λογίζεσθαι παρ' ὑμᾶς αὐτούς, ὅτι τὸ ἀργύριον
μέν ἐστι τοῦτο, περὶ οὗ βουλεύεσθε, μικρόν· τὸ δὲ ἔθος, μέγα,
4 ὃ γίγνεται μετὰ τούτου. εἰ μὲν οὖν μετὰ τοῦ πράττειν ἃ προ-
σήκει, καὶ τὸ λαμβάνειν *κατασκευάσεσθε, *οὐ μόνον οὐ βλά- *κατασκευάζεσθε. α.
ψετε, ἀλλὰ καὶ τὰ μέγιστα ὠφελήσετε τὴν πόλιν, καὶ *οὐδὲν βλάψεσθε. α.
ὑμᾶς αὐτούς. εἰ δὲ, τοῦ μὲν λαμβάνειν καὶ ἑορτὴ καὶ πᾶσα
ἀρκέσει πρόφασις· τοῦ δ', ἃ προσήκει, ποιεῖν,
5 μηδὲ τοὺς λόγους ἀκούειν ἐθελήσετε, ὁρᾶτε μή ποτε, ἃ
νῦν ὀρθῶς ἡγεῖσθε πράττειν, σφόδρα ἡμαρτηκέναι νο-
μίσητε. ἐγὼ δέ φημι δεῖν· καί μοι μὴ θορυβήσητε ἐφ' ᾧ
μέλλω λέγειν, ἀλλ' ἀκούσαντες κρίνατε· ὥσπερ *τὴν λα- *τῶ. ε.
βεῖν ἐκκλησίαν ἀπεδώκαμεν, οὕτω καὶ περὶ τοῦ *συντα- *α.
6 χθῆναι καὶ παρασκευασθῆναι τὰ πρὸς τὸν πόλεμον,
ἐκκλησίαν ἀποδοῦναι, καὶ παρέχειν ἕκαστον αὐτὸν, μὴ
μόνον ταῦτ' ἀκούειν ἐθέλοντα, ἀλλὰ καὶ πράττειν βου-
λόμενον· ἵνα ὦ ἄνδρες Ἀθηναῖοι τὰς *ἀγαθὰς ἐλ- *α.
πίδας δι' ὑμῶν αὐτῶν ἔχητε, καὶ μὴ τὸν δεῖνα μηδὲ τὸν
7 δεῖνα πυνθάνησθε τί πράττει· καὶ τὰ μὲν προσιόντα
τῇ πόλει πάντα, καὶ ἃ νῦν ἐκ τῶν ἰδίων προσαναλί-
σκετε εἰς οὐδὲν δέον, καὶ ὅσα ἐκ τῶν συμμάχων ὑπάρχει,
λαμβάνειν ὑμᾶς φημὶ χρῆναι τὸ ἴσον ἕκαστον· τοὺς μὲν ἐν

*α. δέοντα, χρωμένη ἀφορμῇ ταύτῃ, περὶ τῶν τῆς πόλεως εὐβούλου μικρὰ δεδωκότος, καὶ πρὸς χρόνον ῥητὸν τῶν πανηγύρεων. οὕτω καὶ διὰ παντὸς δίδωσι καὶ πλείονα, εἰ μόνον ἐθέλοιεν διὰ τοῦτο λαμβάνειν, ἵνα καὶ τὰ δέοντα πράττοιεν. τὸ δὲ πρῶτον κεφάλαιον τοῦ λόγου, εἰ μὴ ἐντελῆ τὴν ἐργασίαν εἶχε τοῦ, πῶς χρὴ λαμβάνειν πεζοὺς καὶ ἱππέας καὶ τριηρείτας, καὶ πότε, καὶ πῶς *δεῖ συντετάχθαι, ἀπεφήνατο ἄν τις εἰκότως θαρρῶν εἶναι τὸ δυνατόν· ἐπεὶ δὲ οὐ περὶ τούτων νῦν ὁ λόγος ἐστὶν, ἀλλ' ἁπλῆ τις εἰσήγησις περὶ τοῦ καταδέξασθαι λόγον, περὶ τούτων καὶ προθεῖναι γνώμην τῷ βουλομένῳ, εἰκότως ἄν τις ἀποφήναιτο τοῦ συμφέροντος εἶναι. ὅθεν δὴ τὸ συμφέρον ἀποφαντικῶς φαμὲν τὸν λόγον ἔχειν κατὰ τὸ πρῶτον κεφάλαιον, εἰσηγουμένου τοῦ ῥήτορος, συμφέρον εἶναι περὶ παρασκευῆς βουλεύεσθαι, ὡς περιεκτικὸν μὲν εἶναι τὸ συμφέρον, περιεχόμενον δὲ, τὸ δυνατόν· πάντες γὰρ οἱ περὶ τοῦ δυνατοῦ λόγοι, καὶ πᾶσαι δὲ αἱ ἀποδείξεις, ἀπὸ τοῦ συμφέροντος ἔχουσι τὰς κατασκευάς. ἀρκέσει δὲ λέγειν ἄνωθεν. τὸ τοίνυν προοίμιον ἐρρητόρευται αὐτῷ κατὰ τὸν τρόπον τοῦ ὑπὲρ μεγαλοπολιτῶν, καὶ περὶ τῶν ἐν χερρονήσῳ στρατιωτῶν· καὶ γὰρ ἐν ἐκείνοις προστιθέμενος θατέρῳ μέρει, προσποιεῖται μηδετέρῳ συναγορεύειν, ἀλλ' ἀεὶ τὸ μέσον ζητεῖν. τοῦτο δέ ἐστι τὸ τῆς πόλεως συμφέρον· εἰ γὰρ μήτε τοῖσδε, μήτε ἐκείνοις συναγορεύειν *βούλεται, δῆλον ὅτι τοῦ κοινῇ λυσιτελοῦντος εἵνεκα παρεληλυθὼς ἐπὶ τὸ βῆμα φανήσεται. ὅθεν δὴ καὶ τοῖς ἀποτρέπουσι προστίθεται. οὐχ ἁπλῶς δὲ προστίθεται, ἀλλὰ μετὰ τοῦ ἀποδεικνύναι τοῦτο λυσιτελοῦν τῇ πόλει καὶ χρήσιμον· ὅσοι μὲν γὰρ *θάτερον συνίστανται αὐτοῦ τοῦ μέρους τὸ λυσιτελὲς μόνον ζητοῦντες, οὗτοι παντελῶς δοκοῦσιν ἀμελεῖν τοῦ κοινῇ συμφέροντος εἰρημένου· ὅπερ καὶ τούτῳ καὶ ἐν ἐκείνοις διαπραττόμενος φαίνεται. τοιοῦτόν ἐστι τὸ λεγόμενον παρ' αὐτοῦ κατ' αἰσχίνου ἐν τῷ περὶ τῆς παραπρεσβείας λόγῳ· ὅτι *βουλομένης τῆς πόλεως τὸ περὶ τοῦ πότερον δεῖ φίλιππον ἀμφικτύονα ἐγγράφειν, ἢ μή, ὁ μὲν αἰσχίνης οὐδὲν τῶν συμφερόντων οὐδὲ τῶν βλαπτόντων τὴν πόλιν σκοπούμενος, οὕτω συνηγόρει τῷ μακεδόνι, δηλονότι ἐγκωμιάζων, ἢ καὶ φοβῶν τοὺς ἀκούοντας· ἢ τὸ δίκαιον προτείνων, ὅτι ἁπάντων τῶν ἄλλων ἄξιον αὐτὸν νομιζόντων, ὑμᾶς μόνους ἀνθίστασθαι. ὁ δὲ δημοσθένης, εἰς τὴν αὐτὴν ὑπόθεσιν καθεὶς, τὸ μὲν εἰπεῖν τι περὶ φιλίππου καλὸν, ἢ αἰσχρὸν, ἤ τι τοιοῦτον οἷ αἰσχίνης, παντελῶς ἀπέχεται· αὐτὸ δὲ τὸ τῆς πόλεως συμφέρον σκοπούμενος, ἀπέδειξεν, ὡς λυσιτελὲς ἀναπεῦσθαι τῇ τῶν ἑλλήνων γνώμῃ. εἰ μὲν οὖν κἀνταῦθα τὰς γνώμας τὰς τῶν *ἑτέρων ἀποδεξάμενος ἐποιεῖτο τὸν λόγον, εἰκότως ἄν τις αὐτὸν ἔφη τῆς ἐκείνων μερίδος ἀκριβῶς εἶναι. ἐπειδὴ δὲ, τὸ μὲν κατ' ἐκείνους σιωπᾷ, φησὶ δὲ συμφέρειν τῇ πόλει τὸ τοὺς λαμβάνοντας καὶ ποιεῖν τι τῶν δεόντων, εἰκότως ἂν δοκοίη, τὸ μὲν χαρίζεσθαι τοῖς δυναμένοις καθεστηκέναι πόρρω· τοῦ δὲ τῇ πόλει λυσιτελοῦντος, ἀντέχεσθαι. καὶ *ταῦτα λέγοι, τοῖς ἑτέροις, οὐ ταῦτα λέγειν δοκεῖ. οἱ μὲν γὰρ, ὡς ἴδιον συμφέρον ἢ βλάβος ἐγύμναζον· ὁ δὲ, τὸ κατ' ἐκείνους παρεὶς, τὸ τῇ πόλει συμφέρον εἰσηγεῖσθαι καταπαγγέλλεται. εἰδὼς δὲ ἑαυτῷ τὸν λόγον ἐπικίνδυνον ὄντα καὶ σφοδρὸν, τὸ τοὺς ἀκούοντας μὴ ῥᾳδίως παραδέχεσθαι ταύτην τὴν γνώμην, ἠθικῶς εἰσηγεῖται, ἀξιῶν ἐκκλησίαν ἀποδοῦναι περὶ τούτου, ἵνα καὶ λέγοι λέγῃ, καὶ δοκῇ μὴ λέγειν· εἰ μὲν γὰρ οὐκ ἀποφαίνεται, πρόσω καθέστηκε τοῦ προσκρούειν· εἰ δὲ οὐ σεσίγηκε, ταύτῃ παραίνεσιν. ἀπαλλαγεὶς δὲ τοῦ προοιμίου, τὸν σκοπὸν ἀ-
5 θρόως εἶπε, τῆς εἰσηγήσεως ἐντεῦθεν ἀρξάμενος· Ἐγὼ δέ φημι δεῖν, καί μοι μὴ θορυβήσητε ἐφ' ᾧ μέλλω λέγειν.
καί ἐστι τοῦτο τοῦ συμφέροντος κεφαλαίου ἐπιβολή. εἶτα αἰτίασιν εὐθὺς τῇ ἐπιβολῇ, καὶ τίνος ἕνεκα βουλευσόμεθα
6 περὶ παρασκευῆς πολέμου καὶ συντάξεως. ἵν' οὖν τὸ λυποῦν διαλύσῃ, ἀπέδωκε τὴν αἰτίαν εὐθὺς εἰπών, Ἵνα ὦ
ἀθηναῖοι, τῶν ἀγαθῶν τὰς ἐλπίδας δι' ὑμῶν αὐτῶν ἔχητε, καὶ μὴ τὸν δεῖνα πυνθάνησθε τί πράττει· αἴτιον τοῦ, ἵνα
στρατιω-

*διὰ συντετάχθαι. α.
*ἐπαγγέλλεται. α.
*θατέρῳ μέρει. α.
*βουλευομένης. α.
*ἀπόρων.
*ταῦτα. α.

ἡλικίᾳ, στρατιωτικόν· τοὺς δ' ὑπὲρ τὸν κατάλογον, ἐξε-
ταστικόν, ἢ ὅπως ἄν τις ὀνομάσαι τοῦτο. στρατεύεσθαι δὲ 8
αὐτούς, καὶ μηδενὶ τοῦτο παραχωρεῖν· ἀλλὰ τὴν δύνα-
μιν τῆς πόλεως οἰκείαν εἶναι καὶ κατεσκευασμένην ἀπὸ
τούτων, ἵν' εὐπορῆτε καὶ τὰ δέοντα ποιῆτε· καὶ τὸν στρα-
τηγὸν ἡγεῖσθαι ταύτης, ἵν' ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ
ταῦτα ἅπερ νυνὶ συμβαίνῃ, τοὺς στρατηγοὺς κρίνητε. καὶ 9
περίεστιν ὑμῖν ἐκ τῶν πραγμάτων, ὁ δεῖνα τοῦ δεῖνος
τὸν δεῖνα εἰσήγγελεν· ἄλλο δ' οὐδέν. ἀλλὰ τί ὑμῖν γένηται·
πρῶτον μὲν οἱ σύμμαχοι μὴ φρουραῖς, ἀλλὰ τῷ τὰ
αὐτὰ συμφέρειν ἡμῖν τε κἀκείνοις ὦσιν οἰκεῖοι· ἔπειθ' οἱ
στρατηγοί, μὴ ξένους ἔχοντες, τοὺς μὲν συμμάχους ἄγωσι 10
καὶ φέρωσι, τοὺς δὲ πολεμίους μηδὲ ὁρῶσιν· ἀφ' ὧν αἱ
μὲν ὠφέλειαι, τούτων εἰσὶν ἴδιαι· τὰ δὲ μίση καὶ τὰ ἐγκλή-
ματα ἐφ' ὅλην ἔρχεται τὴν πόλιν. ἀλλὰ πολίτας τοὺς
ἀκολουθοῦντας ἔχοντες, τοὺς ἐχθρούς, ἃ νῦν τοὺς συμ-
μάχους καὶ φίλους, ποιῶσι. χωρὶς δὲ τούτων, πολλὰ τῶν 11
πραγμάτων τὴν ὑμετέραν ποθεῖ παρουσίαν· αὐτοῦ
γὰρ τοῦ πρὸς τοὺς οἰκείους πολέμου, οἰκείᾳ χρῆσθαι δυ-
νάμει συμφέρει· καὶ πρὸς τὰ ἄλλα πράγματα, ἀναγ-
καῖόν ἐστιν. εἰ μὲν γὰρ ἡσυχίαν ἔχειν ὑμῖν ἀπέχρη, καὶ μη-
δὲν τῶν Ἑλληνικῶν περιεργάζεσθαι ὅπως ἔχει, ἄλλος ἂν 12
ἦν λόγος. νῦν δέ, πρωτεύειν μὲν ἀξιοῦτε, καὶ τὰ δίκαια
ὁρίζειν τοῖς ἄλλοις· τὴν δὲ ταῦτα ἐπιτηδεύουσαν, καὶ φυ-
λάξουσαν δύναμιν, οὔτε κατεσκευάσθε, οὔτε παρασκευά-
ζεσθε· ἀλλ' ἐπὶ πολλῆς μὲν ἡσυχίας, καὶ ἐρημίας ὑμῶν,
ὁ Μυτιληναίων δῆμος καταλέλυται. ἐπὶ πολλῆς δὲ ἡσυ- 13
χίας, ὁ Ῥοδίων, ἐχθρός γε ὢν ἡμῖν, φαίη τις ἄν· ἀλλὰ μεί-
ζω χρὴ νομίζειν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν πρὸς τὰς ὀλι-
γαρχίας ὑπὲρ αὐτῆς τῆς προαιρέσεως ἔχθραν, ἢ τὴν
πρὸς τοὺς δήμους ὑπὲρ ὧν ποτ' ἂν ᾖ. ἀλλ' ἵν' ἐκεῖσε ἐ-
πανέλθω, φημὶ δεῖν ὑμᾶς συντετάχθαι, καὶ τὴν αὐ- 14
τὴν τοῦ τε λαμβάνειν καὶ τοῦ ποιεῖν ἃ προσήκει, σύνταξιν
εἶναι. διείλεχθην δὲ ὑμῖν περὶ τούτων, καὶ πρότερον καὶ
διεξῆλθον, ὡς ἂν συνταχθεῖντε οἵ τε ὁπλῖται καὶ οἱ ἱπ-
πεῖς, καὶ ὅσοι τούτων ἐκτός ἐστε, καὶ εὐπορία τις ἂν ἅπα-
σι γένοιτο κοινή. ὃ δέ μοι πλείστην ἀθυμίαν ἁπάντων πα- 15
ρέστηκεν, ἐρῶ πρὸς ὑμᾶς, καὶ οὐκ ἀποκρύψομαι· ὅτι
πολλῶν, καὶ καλῶν, καὶ μεγάλων ὄντων τούτων ἁπάν-

στρατευόμενοι, τῶν ἀγαθῶν μεταλαμ-
βάνητε, καὶ αἱ κατασκευαὶ μὲν ἀπὸ
τοῦ δυνατοῦ· οὐ μὴν τὸ δυνατὸν ἐπὶ 8
κεφάλαιον, ἀλλ' ἔστι τὸ συμφέρον, ὡς
ἔφαμεν· ὅτι γὰρ χρὴ περὶ τοῦ δυνατοῦ
βουλεύσασθαι, τοῦτο αὐτοῖς ὑποτί-
θεται, ὡς τὴν μὲν παροῦσαν ὑπο-
θήκην τοῦ συμφέροντος εἶναι· τὸ δὲ γε-
νησόμενον περὶ τούτων ὧν κρίνουσι, τοῦ
δυνατοῦ. εἶτα ὑπόνοιαν εὐθὺς ἄλ-
λην ἀναιρεῖ, ὅτι ἀλλ' ἀρκέσει τοῦ ξέ-
νου ἡ δύναμις, ἐπαγαγὼν πρὸς αὐ-
τὴν τηλαυγῶς, στρατεύεσθαι δὲ ἑαυ-
τοὺς καὶ μηδενὶ τούτου παραχωρεῖν.
καὶ ἕτερον, ὅτι δεῖ τὴν δύναμιν τῆς
πόλεως οἰκείαν εἶναι κατεσκευασμέ-
νην· καὶ τὴν αἰτίαν εὐθὺς προστί-
θησι, δι' ἣν ἀναγκαῖον εἶναι τὴν τῆς
πόλεως δύναμιν· ἵνα εὐπορῆτε, φη- 8
σί, καὶ τὰ δέοντα ποιῆτε. εἶτα κατα-
λέγει τὰ συμφέροντα, ὅσα συμβήσεται
στρατευομένων αὐτῶν. εἶτα πάλιν δι-
αιρεῖ δίχα τὴν αἰτίαν καὶ τὴν ἀνάγ-
κην τοῦ δεῖν αὐτοὺς στρατεύεσθαι· εἰ-
πών· πρῶτον μέν, εἰς τοὺς στρατηγούς,
ἵνα μὴ κακῶς ποιῶσι τοὺς συμμά-
χους, μηδὲ αὐτοὶ παρ' ὑμῖν κρίνωνται.
εἰς ἕτερον δέ, ἵνα τῶν Ἑλλήνων ἄρχη-
τε, φησίν· οὐ γὰρ οἷόν τε εἶναι, τῆς μὲν ἡγε-
μονίας ἀντιποιεῖσθαι, μηδαμῶς δὲ
δύναμιν οἰκείαν ἐκπέμπειν· εἶθ', ἵνα
δείξῃ, ὅτι πολλὰ ἄτοπα παρὰ τὴν
ἀπουσίαν αὐτῶν συμβαίνει, τὰς συμ-
φορὰς καταριθμεῖται τῶν ἐπὶ τῆς
Ἀσίας Ἑλλήνων, Μυτιληναίων, καὶ
Ῥοδίων· καὶ ἀναγκαῖον φησὶν αὐτοὺς
αὐτοῖς προεστάναι. εἶτα ἐπειδὴ περ
ἐμνημόνευσε Ῥοδίων, ἔλαβεν ἀντί-
πτωσιν ἐκ τῆς ἐργασίας· Ἀλλ' ἐχθροί
τε ἡμῖν Ῥόδιοι, φαίη τις ἄν, φανήσον-
ται. εἰ μὲν οὖν πρὸς ὅλον τὸ κεφά-
λαιον, καὶ πρὸς τὸ πλεῖστον μέρος, οὕ-
τως ἀνθυπήγαγεν· Ἀλλ' οὐδὲν ἡμῖν
προσήκει προΐστασθαι τῶν ἐπὶ τῆς
Ἀσίας Ἑλλήνων· λελυπήκασι γὰρ ἡ-
μᾶς ἀποστάντες, ἀντίθεσις ἂν ἦν ἀ-
πὸ τοῦ συμφέροντος, πρὸς ἅπαν ἀν-
θισταμένη τὸ κεφάλαιον· ἐπειδὴ δὲ εἰ-
δικῶς περὶ Ῥοδίων εἴρηται, ἀντίπτω-
σιν αὐτὸ χρὴ νομίζειν εἶναι. σκοπὸς δὲ
αὐτῷ, καὶ τοὺς Ῥοδίους ἐλευθερῶσαι.
διό περ προαναφωνεῖ καὶ προδιοι-
κεῖται τὸν λόγον. ὅτι δ' οὖν οὐκ ἔστιν
ἀντίθεσις, δῆλον αὐτίκα. οὐ δὲ ἐπέ-
μεινε τῇ λύσει, ἀναδραμὼν εὐθὺς
πάλιν ἐπὶ τὸν περὶ συντάξεως λό-
γον. δοκοῦσι δὲ μάλιστα ὑπὸ Ῥοδίων

ἀδικεῖσθαι, ἰσχυσάντων τε κατὰ θάλατταν, καὶ πεισάντων τοὺς ἄλλους ἀποστῆναι συμμάχους. μετὰ ταῦτα ἐπήγαγεν, ὅτι διηλέ-
χθη καὶ περὶ τούτων πολλάκις, πρὸς ὅ περ ἔοικεν ἀντιποιεῖν ὑπόνοιά τις αὐτοῦ τῆς ἀσυμφόρου· ὅτι οὐ λυσιτελεῖ γὰρ ἡ συμβού-
λευσις, καὶ διὰ τοῦτο οὐ πειθόμεθα. ὅθεν καὶ ἐπήνεγκε δυσχεραίνων, Ὃ δή μοι πλείστην ἀθυμίαν ἁπάντων παρέστηκεν, ἐρῶ 15

[Margin notes, left:] ἔνια τ. — ἅμα τ. χ. β. — α. — δι' ἅπερ. α. ε. — ταῦτα δι' ἅπερ. χ. β. — νῦν. α. — ταῦτα. α. — συμφέρειν. α. β. ε. — α. — τ. ιζ. ε. — καὶ αὐτοῦ. α. — ἔσται. α. — νυνί. ε. — ἐφεδρεύουσαν. α. β. — φυλάξασαν. α. — κατασκευά-ζεσθε. α. ε. — κατασκευάσασθε. β. — ἠρεμίας. χ. β. ε. — δῆλα. — α. — ἡμᾶς. β. — καλῶν. ε.

[Margin notes, right:] τῶν ξένων. α. — α. — ξένους καὶ τούς. α. — ὧν. α. — α. — ἠδικῆσθαι.

πρὸς ὑμᾶς καὶ οὐκ ἀποκρύψομαι· ὅτι πολλῶν καὶ μεγάλων καὶ καλῶν ὄντων ὧν συμβεβούλευκα, τῶν μὲν ἄλλων οὐδενὸς οὐδεὶς μέμνηται· τοῖν δυοῖν δ' ὀβολοῖν, πάντες· αἰνιττόμενος, ὅτι πρὸς τὴν αὐτοῦ βουλὴν δυσχεραίνουσι· μᾶλλον δὲ οὐδὲ ἐθέλουσι μεμνῆσθαι. λαμβάνει μὲν ἐσπουδακότας, περιττεῖν δέ τι τῶν ἀναγκαίων οὐ προαιρουμένους· εἶτα συγκρίνει τὴν ἑαυτοῦ συμβουλήν, ὡς ἐν συμφέροντι κεφαλαίῳ πρὸς τὸ ἀπὸ τῶν ἀντιδόσεων καὶ διανομῶν κέρδος, ὁμοῦ μὲν κάλλος ἀμύθητον περιστηθεὶς τῷ λόγῳ, ὁμοῦ δὲ αὔξων ἐκ τῆς συγκρίσεως τὴν εἰσήγησιν. πάρεστι δὲ οὐδὲν ἧττον ἐκ τῶν λεγομένων ἀθρῆσαι, ὅτι πρὸς ἀντιπίπτοντα ἀπήντηκε τὸν λόγον, ὅτι ἀρκέσει τὸ λαμβάνειν μόνον· σὺ δὲ ἐργώδη καὶ ἀσύμφορα συμβουλεύεις. μετὰ ταῦτ' ἄλλην ὑπόνοιαν ἀνῄρηκε τοιαύτην, Ἀλλ' ὅταν ἀνάγκη γένηται καὶ χρεία τούτων, τότε περὶ παρασκευῆς βουλευσόμεθα. ταύτην οὐκ ἔθηκε
18 μέν, ἔλυσε δὲ ἐπενεγκών, Ἐὰν μὲν ὑμεῖς νῦν πεισθῆτε, τούτων καιρὸν εἶναι νομίσαντες, ὅταν αὐτῶν εἰς χρείαν ἔλθητε, ἕτοιμα ὑπάρξει· ἐὰν δ' ἀκαιρίαν ἡγησάμενοι παρίδητε, ὅταν δέῃ χρῆσθαι, τότε ἀναγκασθήσεσθε παρασκευάζεσθαι. ἄχρι μὲν δὴ τούτου πεπλήρωται αὐτῷ τὸ κεφάλαιον τῆς εἰσηγήσεως, ὃ διὰ τοῦ συμφέροντος συμπεραίνεται· εἰσβάλλει δὲ λοιπὸν εἰς τὸ δίκαιον, σύγκρισιν ἔχων τῶν ἑαυτοῦ πολιτευμάτων, καὶ τῶν ἀντιτεταγμένων καὶ ἀντιπολιτευομένων αὐτῷ ὡς ἐν παρεκβάσει, βουλόμενος δι' αὐτῆς συστῆσαι, ὅτι ἄριστα συμβουλεύεται· καὶ γὰρ καὶ ἐν τῷ κατὰ Μειδίου λόγῳ, βουλόμενος αὐξῆσαι τὴν κατηγορίαν ταῖς κατὰ Μειδίου διαβολαῖς, πλείονας ἀνήλωκε λόγους ἐν τῇ παρεκβάσει ἢ τοῖς ἀγωνιστικοῖς. οὑτωσὶ δὲ κἀνταῦθα, βουλόμενος συστῆσαι τὴν εἰσήγησιν, διαβάλλει τὰς τῶν ἄλλων ῥητόρων πολιτείας ὡς πονηράς· καὶ δίχα διαιρεῖ τὸν περὶ ἐκείνων λόγον· εἰς ἓν μέν, ὅτι περὶ μικρὰ καὶ φαῦλα διατελοῦσι σπουδάζοντες· εἰς ἕτερον δέ, ὅτι πεπείκασι τὴν πόλιν, νομίζειν ἐν τοῖς δικαστηρίοις τὴν σωτηρίαν τῆς δημοκρατίας εἶναι. οὗτοι δὲ ἦσαν οἱ τοῖς εὐπόροις ἐπιβουλεύοντες, καὶ τὰς οὐσίας αὐτῶν δημεύεσθαι παρασκευάζοντες. τούτων δὲ ἁπάντων κατηγορήσας κακῶς πολιτευομένων, συνίστησι τὴν ἑαυτοῦ πολιτείαν, καὶ περὶ

ἀποστρέψομαι. α.

διαδόσ. α.

παρεκβάσει. α.

συμβεβούλευκε. α.

Ὀπισθόδομος) ἐν τῇ ἀκροπόλει τόπος, ἔνθα τὸ δημόσιον ἀργύριον ἀπέκειτο, καὶ ὁ φόρος, ὄπισθεν τοῦ νεὼ τῆς Ἀθηνᾶς.

των, τῶν μὲν ἄλλων, οὐδενὸς οὐδεὶς μέμνηται· τοῖν δυοῖν
δ' ὀβολοῖν, ἅπαντες. καίτοι, τοὺς μὲν οὐκ ἔστι πλείονος ἢ
16 δυοῖν ὀβολοῖν ἀξίους εἶναι· τὰ δὲ ἄλλα ἃ μετὰ τούτων εἶ-
πον, τῶν βασιλέως ἄξιά ἐστι χρημάτων, πόλιν τοσούτους
ὁπλίτας ἔχουσαν, καὶ τριήρεις, καὶ ἱππέας, καὶ χρημάτων
πρόσοδον, συντετάχθαι, καὶ παρεσκευάσθαι. τί οὖν, φαίη
τις ἄν, ταῦτα νῦν λέγω· ὅτι φημὶ δεῖν ὑμᾶς, ἐπειδὴ τὸ μὲν
17 ἅπαντας μισθοφορεῖν δυσχεραίνουσί τινες, τὸ δὲ συνταχ-
θῆναι καὶ παρασκευασθῆναι, παρὰ πάντων χρήσι-
μον εἶναι δοκιμάζεται, ἐντεῦθεν ἄρξασθαι τοῦ πρά-
γματος, καὶ προθεῖναι περὶ τούτων τῷ βουλομένῳ γνώ-
μην ἀποφήνασθαι, ὡς οὕτως ἔχει. ἐὰν μὲν ὑμεῖς νῦν
18 πεισθῆτε, τούτων καιρὸν εἶναι νομίσαντες, ὅταν εἰς χρείαν
αὐτῶν ἔλθητε, ἕτοιμα ὑπάρξει. ἐὰν δ' ἀκαιρίαν ἡγησά-
μενοι παρίδητε, ὅταν δέῃ χρῆσθαι, τότε ἀναγκασθήσε-
σθε παρασκευάζεσθαι. ἤδη δέ τις εἶπεν, ὦ ἄνδρες ἀθη-
ναῖοί που λέγων, οὐχ ὑμῶν τῶν πολλῶν, ἀλλὰ τῶν διαρ-
19 ρηγνυμένων, εἰ ταῦτα γενήσεται· τί δ' ἡμῖν ἀπὸ τῶν δημο-
σθένους λόγων ἀγαθὸν γέγονεν· ὃς παρελθών, ὑμῶν ὅταν
αὐτῷ δόξῃ, ἐνέπλησε τὰ ὦτα λόγων, καὶ διέσυρε τὰ πα-
ρόντα, καὶ τοὺς προγόνους ἐπαινέσας, καὶ μετεωρίσας,
καὶ φυσήσας ὑμᾶς, κατέβη. ἐγὼ δ' εἰ μὲν ὑμᾶς δυναί-
20 μην ὧν λέγω τι πεῖσαι, τηλικαῦτ' ἂν οἶμαι τὴν πόλιν
πρᾶξαι ἀγαθά, ὥστ' εἰ λέγειν νῦν ἐπιχειρήσαιμι, πολ-
λοὺς ἂν ἀπιστῆσαι ὡς μείζοσιν, ἢ δυνατοῖς. οὐ μὴν οὐδὲ
τοῦτο μικρὸν ὠφελεῖν οἶμαι, εἰ τὰ βέλτιστα ἀκούειν ὑμᾶς
συνεθίζω. δεῖ γάρ, ὦ ἄνδρες ἀθηναῖοι, τὸν βουλόμενόν τι
21 ποιῆσαι τὴν πόλιν ὑμῶν ἀγαθόν, τὰ ὦτα πρῶτον ὑμῶν
ἰάσασθαι· διέφθαρται γάρ· οὕτω πολλὰ καὶ ψευδῆ, καὶ
πάντα μᾶλλον ἢ τὰ βέλτιστα ἀκούειν συνείθισθε. οἷον, ὅ-
πως δὲ μὴ θορυβήσῃ μοι μηδείς, πρὶν ἅπαντα εἴπω. ἀ-
νέῳξάν τινες πρῴην δήπου τὸν ὀπισθόδομον. οὐκοῦν οἱ
22 παριόντες ἅπαντες, τὸν δῆμον καταλελύσθαι, τοὺς νόμους
οὐκ ἔτ' εἶναι, τοιαῦτα ἔλεγον. καίτοι, ὦ ἄνδρες ἀθηναῖοι,
σκοπεῖτε ἂν ἀληθῆ λέγω, οἱ μὲν ταῦτα ποιοῦντες, ἄξια
ἐποίουν θανάτου· ὁ δῆμος δ' οὐ διὰ τούτων καταλύεται.
πάλιν, κώπας τις ὑφείλετο· μαστιγοῦν, στρεβλοῦν, πάν-
23 τες ἐβόων, λέγοντες καταλύεσθαι τὸν δῆμον. ἐγὼ δέ, τί
φημί· τὸν μὲν ὑφαιρούμενον, θανάτου ποιεῖν ἄξια, ὥσπερ
ἐκεῖνοι· τὸν δῆμον δ' οὐ διὰ τούτων καταλύεσθαι. ἀλλὰ πῶς
καταλύεται, οὐδεὶς λέγει, οὐδὲ παρρησιάζεται. ἐγὼ δὲ
φράσω· ὅταν ὑμεῖς, ὦ ἄνδρες ἀθηναῖοι, φαύλως ἡγμένοι

πολλοί,

πολλοὶ, καὶ ἄποροι, καὶ ἄοπλοι, καὶ ἀσύντακτοι, καὶ μὴ 24
τὰ αὐτὰ γινώσκοντες ἦτε, καὶ μήτε στρατηγὸς, μήτ' ἄλ-
λος μηδεὶς, ὧν ἂν ὑμεῖς ψηφίσησθε, φροντίζῃ· καὶ ταῦτα
μηδεὶς λέγειν ἐθέλῃ, μηδ' ἐπανορθοῖ, μηδ' ὅπως
παύσεται τοιαῦτα ὄντα πράττῃ, ὅνπερ νυνὶ συμβαίνει. καὶ νὴ
δία, ὦ ἄνδρες Ἀθηναῖοι, ἕτεροί γε λόγοι περιερρυήκα- 25
σι πρὸς ὑμᾶς ψευδεῖς, καὶ πολλὰ τὴν πολιτείαν βλά-
πτοντες, οἷον ἐν τοῖς δικαστηρίοις ὑμῖν ἐστὶν ἡ σωτηρία, καὶ
δεῖ τῇ ψήφῳ τὴν πολιτείαν ὑμᾶς φυλάττειν. ἐγὼ δ' οἶ-
δα, ὅτι ταῦτα μὲν ὑμῖν τὰ δικαστήρια τῶν πρὸς ἀλλή-
λους δικαίων ἐστὶ κύρια. ἐν δὲ τοῖς ὅπλοις, δεῖ κρατεῖν τῶν 26
ἐχθρῶν· καὶ διὰ τούτων ἐστὶν ἡ σωτηρία τῆς πολι-
τείας· οὐ γὰρ τὸ ψηφίσασθαι, τοὺς ἐν τοῖς ὅπλοις ποιήσει
νικᾶν. ἀλλ' οἱ μετὰ τούτων κρατοῦντες τοὺς ἐχθροὺς, καὶ
ψηφίσασθαι, καὶ ἄλλο ὅ, τι βούλεσθε ποιεῖν ὑμᾶς, ἐξουσίαν
καὶ ἄδειαν παρασκευάζουσι· δεῖ γὰρ, ἐν μὲν τοῖς ὅπλοις 27
φοβεροὺς, ἐν δὲ τοῖς δικαστηρίοις φιλανθρώπους εἶναι. εἰ
δέ τῳ δοκῶ μείζους ἢ κατ' ἐμαυτὸν λέγειν λόγους, αὐτὸ
τοῦτο ὀρθῶς ἔχειν αὐτῷ δοκῶ· τὸν γὰρ ὑπὲρ τηλικαύτης
πόλεως ῥηθησόμενον λόγον, καὶ τοιούτων πραγμάτων,
παντὸς ἑνὸς τοῦ λέγοντος ἀεὶ μείζω φαίνεσθαι δεῖ, καὶ τῆς 28
ἀξίας τῆς ὑμετέρας ἐγγὺς εἶναι, μὴ τῆς τοῦ λέγοντος. ὅτι
δὲ οὐδεὶς τῶν ὑφ' ὑμῶν τιμωμένων ταύτας λέγει τὰς
προφάσεις, ἐγὼ διέξειμι ὑμῖν· οἱ μὲν πρὸς ἀρχαιρε-
σίαν, καὶ ταύτην τὴν τάξιν περιιόντες, δοῦλοι τῆς ἐπὶ
τὸ χειροτονεῖσθαι χάριτος περιέρχονται, τελεσθῆναι στρα- 29
τηγὸς ἕκαστος σπουδάζων, οὐκ ἀνδρὸς ἔργον οὐδὲν πρᾶ-
ξαι. εἰ δέ τις καὶ τοιοῦτός ἐστιν οἷος ἐγχειρεῖν ἔργῳ τῳ, νῦν μὲν
ἡγεῖται, τὴν τῆς πόλεως δόξαν ἀφορμὴν ἔχων καὶ τοὔ-
νομα, τῆς τῶν ἐναντιωσομένων ἐρημίας ἀπολαύων, τὰς
ἐλπίδας ὑμῖν ὑποτείνων, ἄλλο δ' οὐδὲν κληρονομή- 30
σειν αὐτὸς τῶν ὑμετέρων ἀγαθῶν, ὅπερ ἐστίν. ἂν δ' ὑμεῖς
δι' ὑμῶν αὐτῶν ἕκαστα πράττητε, τὸ ἴσον τοῖς ἄλλοις ὥσπερ
τῶν ἔργων αὐτῶν, οὕτω καὶ τοῖς ἐκ τούτων ἕξειν. οἱ δὲ πολι-
τευόμενοι, καὶ περὶ ταῦτα ὄντες, τὸ τὰ βέλτιστα λέγειν ὑ-
μῖν ἀφέντες, προσκεχωρήκασι πρὸς τούτους· καὶ πρό- 31
τερον μὲν, κατὰ συμμορίας εἰσεφέρετε· νῦν δὲ, πολιτεύε-
σθε κατὰ συμμορίας. ῥήτωρ, ἡγεμὼν, καὶ στρατηγὸς ὑπὸ
τούτῳ· καὶ οἱ βοησόμενοι μεθ' ἑκατέρων, τριακόσιοι· οἱ
δ' ἄλλοι, προσνενέμησθε· οἱ μὲν, ὡς τούτους· οἱ δ', ὡς ἐκεί-
νους. τοιγαροῦν ὑμῖν περίεστιν ἐκ τούτων, ὁ δεῖνα χαλ- 32
κοῦς, καὶ ὁ δεῖνα εὐδαίμων, εἷς ἢ δύο ὑπὲρ τὴν πόλιν·

διὰ τὸ ἵνα ἐσπούδακεν αὐτός, ὅτι περὶ μεγάλων ἀκούειν συνεθίζει τὸν δῆμον, συνιστὰς διὰ τούτων, ὅτι μόνος καὶ μάλιστα πολιτευόμενος αὐτὸς τυγχάνει, τάχα πρὸς τὸν Εὔβουλον διὰ τούτων ἀποτεινόμενος, καὶ τὴν ἑαυτοῦ πολιτείαν πρὸς τὴν ἐκείνου συγκρίνων, καὶ δεικνὺς πολλῷ τὸ μέσον διαφέρουσαν τὴν ἑαυτοῦ. καὶ οὐ πρὸς τὸν Εὔβουλον μόνον· ἀλλὰ καὶ πρὸς ἅπαντας ὅσοι τὴν αὐτὴν ἐκείνῳ πολιτείαν ᾕρηνται· εἶτα καὶ τὴν αἰτίαν προστίθησι, δι' ἣν, ἐκεῖνοι μὲν τοῦτον τὸν τρόπον, αὐτὸς δὲ οὐ τὸν αὐτὸν πολιτεύεται. ταῦτα δὲ ἂν εἴη, στάσις ποιότητος, ἣ θεωρεῖται περὶ τὸ δίκαιον· διὸ προσποιεῖται ταῦτα καὶ λέγει χαλεπαίνων καὶ ἀχθόμενος ὅτι νενίκηκεν ἀλυσιτελὴς Εὐβούλου γνώμη, διδοῦσα τὰ κοινὰ τῷ δήμῳ σχολάζοντι, καὶ εἰς ῥαθυμίαν ἐκκαλουμένη μᾶλλον· ὅθεν καὶ ἡ ἀντεξέτασις ἐπεραγίγνεται τῆς τε τῶν προγόνων πολιτείας, ἣν διῴκουν ἄνδρες ἀγαθοὶ οἷος αὐτός, καὶ τῆς νυνὶ καθεστηκυίας· εἰς οἷα οἱ δημαγωγοῦντες ἐπὶ τοῦ παρόντος προήχασι τὴν πόλιν. εἰκότως δὲ πλεῖστος ὁ περὶ τούτων λόγος· ἐπειδὴ γὰρ ὁρᾷ τὴν πολιτείαν καινοτομουμένην, εἰκότως πλεῖστα περὶ τῆς πολιτείας διαλέγεται, τῇ μὲν, ἐπαινῶν· τῇ δὲ μεμφόμενος, μονονουχὶ τὸν Περικλέα μιμούμενος· πρῶτος γὰρ ἐκεῖνος ἔταξε μισθοφορὰν, καὶ ἔδωκε τῷ δήμῳ στρατευομένῳ. καὶ αὐτὸς δὲ βούλεται διδόναι, καὶ προκαλεῖται πράττειν ἃ δεῖ. δύο τοίνυν εἰσὶν ἐν τῇ παρεκβάσει μέγισται συγκρίσεις ἤτοι ἀντεξετάσεις· μία μὲν τῆς ἑαυτοῦ πολιτείας πρὸς τὴν τῶν ἀντιπολιτευομένων· ἑτέρα δὲ, τῆς ὅλης πολιτείας τῆς νῦν πρὸς τὴν πάλαι. ταύτην δὲ δίχα διαιρεῖ, εἴς τε τὰς νῦν καθεστηκυίας τιμὰς τῶν στρατηγῶν, καὶ εἰς τὰς τιμὰς τῶν προτέρων. καὶ τὸ ἄλλο εἶδος τῆς πολιτείας ἅπαν, ὥσπερ καὶ αὐτὸ εἰς τρία διῄρηκεν, εἰς τὸ κοινὸν τῆς πόλεως, εἰς °τὸ ἴδιον τῶν δημαγωγῶν. πᾶσαν τοίνυν, ὡς εἴπομεν, τὴν πολιτείαν ἀντεξετάζει, τὴν τῶν προγόνων· καὶ παρ' αὐτὴν μὲν τὸν αὐτὸν τρόπον ὅνπερ ἐν τῷ κατὰ Ἀριστοκράτους. τοῦτο δὲ τὸ μέρος ἔχεται τοῦ περὶ τῶν ῥητόρων λόγου· δείκνυσι γὰρ ὅπως, ἐκεῖνοι μὲν συμμέτρως ἐτίμων τοὺς τότε στρατηγούς· ὅπως δὲ οἱ νῦν πολιτευόμενοι τοὺς στρατηγούς· ὅτι μὴ στρατεύεται ἡ πόλις, οὐδένα ὅρον οὐδὲ

° τὰ ἰδιωτῶν. α
ἔφαμεν
περὶ

οἱ δ' ἄλλοι, μάρτυρες τῆς τούτων εὐδαιμονίας κάθησθε, τῆς
καθ' ἡμέραν ῥᾳθυμίας, πολλὴν καὶ μεγάλην ὑπάρ- μὲν. ε.
χουσαν ὑμῖν εὐδαιμονίαν τούτοις παριέμενοι. καίτοι σκέ-
33 ψασθε ὅπως ἐπὶ τῶν προγόνων ταῦτ' εἶχεν· οὐ γὰρ ἀλλο-
τρίοις ὑμῖν παραδείγμασι χρησαμένοις, ἀλλ' οἰκείοις,
ἔξεσται ἃ προσήκει πράττειν εἰδέναι. ἐκεῖνοι Θεμιστο- ἔξεσθ' ἀ. ε.
κλέα τὸν τὴν ἐν Σαλαμῖνι ναυμαχίαν στρατηγήσαν- στρατηγοῦντα. α.
τα, καὶ Μιλτιάδην τὸν ἡγούμενον ἐν Μαραθῶνι, καὶ πολ- α.
34 λοὺς ἄλλους, οὐκ ἴσα τοῖς νῦν στρατηγοῖς ἀγαθὰ εἰργα-
σμένους, μὰ Δί', οὐ χαλκοῦς ἵστασαν, οὐδ' ὑπερηγάπων· ἀλ-
λ' ὡς οὐδὲν αὐτῶν κρείττους ὄντας ἐτίμων. καὶ γάρ τοι τῶν οὕτως...
ἔργων οὐδενός, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν τότε ἀπεστέρησαν α.
ἑαυτούς, οὐδ' ἔστιν οὐδεὶς ὅστις ἂν εἴποι τὴν ἐν Σαλαμῖ-
35 νι ναυμαχίαν Θεμιστοκλέους, ἀλλ' Ἀθηναίων· οὐδὲ τὴν
ἐν Μαραθῶνι μάχην Μιλτιάδου, ἀλλὰ τῆς πόλεως·
νῦν δὲ οἱ πολλοὶ τοῦτο λέγουσιν, ὡς Κέρκυραν εἷλε Τιμό-
θεος, καὶ τὴν μόραν κατέκοψεν Ἰφικράτης, καὶ τὴν περὶ
Νάξον ἐνίκα ναυμαχίαν, Χαβρίας· δοκεῖτε γὰρ αὐτοὶ τῶν
36 ἔργων τούτων παραχωρεῖν τῆς τιμῆς ταῖς ὑπερβολαῖς
ἃς δεδώκατε ἐπ' αὐτοῖς, ἑκάστῳ τούτων. τὰς μὲν δὴ πο- πολιτείας.
λιτικὰς δωρεάς, ἐκεῖνοί τε καλῶς ἔνεμον, καὶ ὑμεῖς οὐκ κ. β. ε.
ὀρθῶς· τὰς δὲ τῶν ξένων πῶς; ἐκεῖνοι Μένωνι τῷ Φαρ- οὕτως. α. ἐδίδοσαν. α.
σαλίῳ, δώδεκα μὲν τάλαντα ἀργυρίου δόντι πρὸς τὸν
37 ἐπ' Ἠιόνι τῇ πρὸς Ἀμφιπόλει πόλεμον, διακοσίοις δὲ
ἱππεῦσι πενέσταις ἰδίοις βοηθήσαντι, οὐκ ἐψηφίσαντο
πολιτείαν, ἀλλ' ἀτέλειαν ἔδωκαν μόνον. καὶ πρότερον τού-
του, Περδίκκᾳ τῷ κατὰ τὴν τοῦ βαρβάρου ποτὲ ἐπιστρα-
τείαν βασιλεύοντι Μακεδονίας, τοὺς ἀναχωροῦντας ἐκ ἀναχωρήσαντας. α.
38 Πλαταιέων τῶν βαρβάρων ἀπὸ τῆς ἥττης διαφθεί-
ραντι, καὶ τέλειον τὸ ἀτύχημα ποιήσαντι τῷ βασιλεῖ, οὐκ
ἐψηφίσαντο πολιτείαν, ἀλλ' ἀτέλειαν ἔδωκαν μόνον, με-
γάλην οἶμαι καὶ τιμίαν καὶ σεμνὴν τὴν αὐτῶν πα- ε.
τρίδα ἡγούμενοι, καὶ πάσης μείζονα εὐεργεσίας. νῦν
39 δ', ὦ ἄνδρες Ἀθηναῖοι, φθόρους ἀνθρώπους οἰκοτρί- α.
βων οἰκότριβας, τιμὴν ὥσπερ ἄλλου τινὸς τῶν ὠνίων λαμ- τοῦ. α.
βάνοντες, ποιεῖσθε πολίτας. ταῦτα δ' ὑμῖν ἐπελήλυθε
πράττειν, οὐχ ὅτι τὰς φύσεις ἐστὲ χείρους τῶν προγόνων.
ἀλλ' ὅτι, τοῖς μὲν ἐφ' ἑαυτοῖς προέστηκε μέγα φρονεῖν· ὑ- παρειστήκει. α.
40 μῖν δ', ὦ ἄνδρες Ἀθηναῖοι περιῄρηται τοῦτο. ἔστι δέ, οὐ- α.
δέ ποτ' οἶμαι δυνατόν, μικρὰ καὶ φαῦλα πράττοντας,
μέγα καὶ νεανικὸν φρόνημα λαβεῖν, ὥσπερ οὐδὲ λαμπρὰ
καὶ καλὰ πράττοντας, μικρὸν καὶ ταπεινὸν φρονεῖν· ὁποῖ' ἄτ-

πα γὰρ

μείζω ὀρίζοντες, ἀεὶ δὲ προσβολὰς προστηθέντες. εἰ δὲ ὁ δῆμος ἐστρατεύετο, οὐκ ἂν οὕτως ὑπερβαλλόντως τοὺς στρατηγοῦντας ἐθαύμαζε.

μετὰ ταῦτα ἐπὶ τὸ δεύτερον μέρος τῆς αὐτῆς ἔρχεται, συγκρίνων τὴν παροῦσαν σύμπασαν τῇ παλαιᾷ συμπάσῃ. διαιρεῖ δὲ τὴν πολιτείαν εἰς τρία, καθάπερ ἐν τῷ τρίτῳ τῶν ὀλυνθιακῶν· εἰς τὸ κατὰ τοὺς Ἕλληνας, ὅπως μὲν αὐτῶν προειστήκεισαν οἱ πρόγονοι, ὅπως δὲ οἱ νῦν· εἰς τὸ κατὰ τὴν πόλιν, ὅπως, ἐκεῖνοι μὲν οἰκοδομήμασι καὶ ἱερῶν κατασκευαῖς πᾶσαν ἐκόσμησαν· οἱ δὲ νῦν, κρήνας καὶ λήρους κατασκευάζουσιν· εἰς τρίτον, ὃ περιέχει τοῦ βίου τῶν πολιτευομένων αὐτεξέτασιν, οἷοι μὲν ἐν τοῖς ἰδίοις ἐκεῖνοι, μέτριοι καὶ πολιτικοί, τὰς οἰκίας ὁμοίας τοῖς ἀπόροις κατεσκευασμένοι· ὅπως δὲ οἱ νῦν, μεγαλοπρεπεῖς, καὶ ὑπερβαλλούσας τὰς τῶν δημοσίων οἰκοδομημάτων. καὶ τὴν αἰτίαν προστίθησιν, ὅτι, οἱ μὲν, ἐφείδοντο τῶν κοινῶν· οἱ δὲ, τὰ τῆς πόλεως νοσφίζονται· διὰ τούτων ἔπαινον ἑαυτῷ κατασκευάζων, καὶ ὅτι ἄμεινον ἐκείνων πολιτευόμενος, ἀεὶ τὸ κοινῇ συμφέρον, οὐ τὸ ἰδίᾳ κερδαίνειν ὁρᾷ. εἶτα τούτων ἀπαλλαττόμενος, ἀνακεφαλαιοῦται ἀπὸ τοῦ ἐνδόξου, ὅτι πρέπον Ἀθηναίοις ἄρχειν· ἀπὸ τοῦ αἰσχροῦ, ὅτι αἰσχρὸν προέσθαι τοὺς Ἀθηναίους τοὺς φίλους καὶ τοὺς συμμάχους· ἀπὸ τοῦ ἀναγκαίου, ὅπως οὐχ οἷόν τε προεστηκότας τῶν Ἑλλήνων ἀναχωρεῖν τῆς τάξεως· ἀπὸ τοῦ αἰτίου, ὅτι ὑμεῖς τοῦ κακοὺς καὶ πονηροὺς εἶναι τοὺς πολιτευομένους αἴτιοι, λέγειν αὐτοὺς τὸ πρὸς ἡδονὴν συνεθίζοντες. ὡς δὲ συντόμως εἰπεῖν, τριμερὴς ὁ περὶ συντάξεως λόγος, κατὰ τὴν πρώτην τῶν μερῶν τομήν. καὶ ἓν μὲν αὐτοῦ μέρος ἐστὶ περιεκτικὸν τοῦ συμφέροντος. ἐν ᾧ ποιεῖται τὴν εἰσήγησιν περὶ τοῦ δύναμιν κατασκευάσαι τῇ πόλει. ἐν δὲ τούτῳ, τὸ μὲν συμφέρον φαμὲν εἶναι τὸ προηγούμενον· περιεχόμενον δὲ, τὸ δυνατόν. δεύτερον μέρος ἐστὶ τοῦ λόγου, παρέκβασις τὸ δίκαιον περιέχουσα, ἐν ᾧ μέμψις καὶ κατηγορία τῶν κακῶς πολιτευομένων ῥητόρων· ὅτι συνεθίζουσι τὴν πόλιν ἀργεῖν, καὶ μὴ τὰ δέοντα πράττειν, ἀλλὰ ξένοις ἐπιτρέπειν, καὶ στρατηγοῖς ὀλίγοις τὰ τῶν πραγμάτων ἀναγκαιότατα. καὶ δέον προεστάναι τῶν Ἑλλήνων τὴν πόλιν, κωλύουσιν. ἐν ᾧ καὶ αὐτεξέτασις τῆς ἑαυτοῦ πο-

λιτοῖς. α.

δημοτικοί. α.

ὁμοίως. α.

Πενέσταις) Πενέσται παρὰ Θετταλοῖς καλοῦνται ὥσπερ παρὰ Λακεδαιμονίοις οἱ εἵλωτες. καλοῦνται δὲ καὶ Θετταλοικέται. ἢ πενέσταις, ὑπηκόοις, ἢ δούλοις, ἤτοι θητεύουσιν.

ὅτι. α.

προεστηκότα.

ἐναντίου.

Φθόρους) φθορᾶς ἀξίους.

ἀργόν.

τὰ οὐ. α.

αὐτεξετάσεις. α.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

παρ' ὅσα γὰρ ἂν τὰ ἐπιτηδεύματα τῶν ἀνθρώπων ᾖ, τοιοῦτον
ἀνάγκη καὶ τὸ φρόνημα ἔχειν. σκέψασθε δέ, ἅ τις κεφά-
λαια ἂν ἔχοι τῶν πραγμάτων εἰπεῖν περὶ τῶν τε ἐ-
κείνοις πεπραγμένων, καὶ τῶν ὑμῖν, ἂν ἄρα ὑμεῖς αὐ- 42
τῶν ἐκ τούτων γε δυνήσεσθε κρείττους γενέσθαι. πέντε
μὲν τοίνυν καὶ τετταράκοντα ἔτη τῶν Ἑλλήνων ἦρξαν ἐκεῖ-
νοι ἑκόντων· πλείω δ' ἢ μύρια τάλαντα εἰς τὴν ἀκρό-
πολιν συνήγαγον· πολλὰ δὲ καὶ καλά, καὶ πεζῇ, καὶ ναυ-
μαχοῦντες ἔστησαν τρόπαια, ἐφ' οἷς ἔτι καὶ νῦν φιλο- 43
τιμούμεθα. καίτοι ταῦτα νομίζετε αὐτοὺς στῆσαι, οὐχ ἵνα
θαυμάζωμεν μόνον ἡμεῖς αὐτὰ θεωροῦντες, ἀλλ' ἵνα καὶ
μιμώμεθα τὰς τῶν ἀναθέντων ἀρετάς. ἐκεῖνοι μὲν δή,
ταῦτα· ἡμεῖς δ', ὅσης ἅπαντες ὁρᾶτε ἐρημίας ἐπειλημ-
μένοι, σκέψασθε εἰ παραπλήσια. οὐ πλείω μὲν ἢ χίλια 44
καὶ πεντακόσια τάλαντα ἀνήλωται μάτην εἰς τοὺς τῶν
Ἑλλήνων ἀπόρους; ἐξανήλωνται δ' οἵ τε ἴδιοι πάντες οἶκοι,
καὶ τὰ κοινὰ τῇ πόλει, καὶ τὰ παρὰ τῶν συμμάχων; οὓς
δ' ἐν τῷ πολέμῳ συμμάχους ἐκτησάμεθα, οὗτοι νῦν
ἐν τῇ εἰρήνῃ ἀπολώλασιν; ἀλλὰ νὴ Δία, ταῦτα μόνον τό- 45
τ' εἶχε βέλτιον ἢ νῦν, τὰ δ' ἄλλα χεῖρον; πολλοῦ γε καὶ δεῖ.
ἀλλὰ τί; βούλεσθε ἐξετάσωμεν; οἰκοδομήματα μέν γε
καὶ κόσμον τῆς πόλεως, ἱερῶν, καὶ λιμένων, καὶ τῶν ἀκολούθων τούτοις, τοιοῦτον καὶ τοσοῦτον
κατέλιπον ἐκεῖνοι, ὥστε μηδενὶ τῶν ἐπιγιγνομένων ὑπερβολὴν λείπεσθαι· προπύ- 46
λαια ταῦτα, νεώσοικοι, στοαί· τἄλλα, οἷς ἐκεῖνοι κοσμήσαντες τὴν πόλιν ἡμῖν παρέδω-
καν. τὰς δ' ἰδίας οἰκίας τῶν ἐν δυνάμει τότε γιγνομένων, οὕτω μετρίας καὶ τῷ τῆς πο-
λιτείας ὀνόματι ἀκολούθους, ὥστε τὴν Θεμιστοκλέους, καὶ τὴν Κίμωνος, καὶ τὴν Ἀρι-
στείδου, καὶ Μιλτιάδου, καὶ τῶν τότε λαμπρῶν οἰκίαν, εἴ τις ἄρα οἶδεν ὑμῶν ὁποία πο- 47
τ' ἐστίν, ὁρᾷ τῆς τοῦ γείτονος οὐδὲν σεμνοτέραν οὖσαν. νῦν δ', ὦ ἄνδρες Ἀθηναῖοι, δημο-
σίᾳ μὲν ἡ πόλις ἡμῶν τὰς ὁδοὺς ἀγαπᾷ κατασκευάζουσα, καὶ κρήνας, καὶ κονιάμα-
τα, καὶ λήρους, καὶ οὐ τοῖς εἰσηγησαμένοις ταῦτ' ἐπιτιμῶ· πολλοῦ γε καὶ δέω· ἀλλ' ὑμῖν, εἰ
ταῦτα ἱκανὰ ὑμῖν αὐτοῖς ὑπολαμβάνετε εἶναι. διοικεῖν ἰδίᾳ δ', οἱ τῶν κοινῶν ἐπί τῳ 48
γεγενημένοι, οἱ μέν, τῶν δημοσίων οἰκοδομημάτων σεμνοτέρας τὰς ἰδίας οἰκίας κατε-
σκευάκασιν, οὐ μόνον τῶν πολλῶν ὑπερηφανωτέρας· οἱ δέ, γῆν συνεωνημένοι, γεωργοῦ-
σιν, ὅσην οὐδ' ὄναρ ἤλπισαν πώποτε. τούτων δ' αἴτιον πάντων, ὅτι, τότε μὲν ὁ δῆμος
ἦν δεσπότης καὶ κύριος ἁπάντων· καὶ ἀγαπητὸν ἦν παρ' ἐκείνου τῶν ἄλλων ἑκάστῳ καὶ 49
τιμῆς, καὶ ἀρχῆς, καὶ ἀγαθοῦ τινὸς μεταλαμβάνειν. νυνὶ δέ, τοὐναντίον· κύριοι μὲν τῶν
ἀγαθῶν οὗτοι, καὶ διὰ τούτων ἅπαντα πράττεται· ὁ δὲ δῆμος, ἐν ὑπηρέτου καὶ προσ-
θήκης μέρει· καὶ ὑμεῖς ἀγαπᾶτε, ἄν τι αὐτοὶ μεταδιδῶσι, λαμβάνοντες. τοιγαροῦν,
ἐκ τούτων τοιαῦτα τὰ πράγματα τῆς πόλεώς ἐστιν, ὥστε εἴ τις ἀναγνοίη τὰ ψηφί- 50
σματα ὑμῶν, καὶ τὰς πράξεις ἐφεξῆς διέλθοι, οὐδ' ἂν εἷς πιστεύσειε τῶν αὐτῶν εἶναι ταῦ-
τα κἀκεῖνα οἶμαι, ἃ πρὸς τοὺς καταράτους Μεγαρέας ἐψηφίσασθε, ἀποτεμνομένους τὴν
ὀργάδα ἐξιέναι, κωλύειν, μὴ ἐπιτρέπειν, ἃ πρὸς Φλιασίους ὅτε ἐξέπεσον τὸ ἔναγχος,

λιτείας πρὸς τὴν ἐκείνων ἐξήγησιν. ἃ καὶ κατασκευαστικὰ τυγχάνει τοῦ δεῖν πιστεῦσαι οἷς αὐτὸς εἰσηγεῖται, ἀλλὰ μὴ οἷς αὐτοὶ λέγουσι. τρίτον μέρος τοῦ λόγου, δευτέρα παρέκβασις περιεκτικὴ τοῦ συμφέροντος· ἐν ᾧ τῆς παρούσης πολιτείας ἀντεξέτασιν πρὸς τὴν παλαιὰν ποιεῖται, ἀποδεικνὺς πολὺ διαφέρουσαν τὴν ἀρχαίαν τῆς νυνὶ καθεστηκυίας. καὶ τὸ μὲν πρῶτον μέρος, καλῶς ἔχει λέγειν, περιεκτικὸν εἶναι τοῦ κεφαλαίου τῆς εἰσηγήσεως· τὸ δὲ δεύτερον, παρέκβασιν· καὶ τὸ τρίτον δὲ καὶ αὐτό, παρέκβασιν μὲν εἶναι, διαφέρουσαν δὲ τῆς προτέρας· ὥστε δύο παρεκβάσεις ἔχειν τὸν λόγον· μίαν μέν, περιεκτικὴν τῆς ἀντεξετάσεως τῶν ἀντιπολιτευομένων, αὐτοῦ τε λέγω δημοσθένους, καὶ τῶν πρὸς ἐκεῖνον· δευτέραν δέ, τῆς καθεστηκυίας πολιτείας, πρὸς τὴν παλαιὰν πολιτείαν ἣν διῄρηκε. τὰ τελευταῖα δὲ τοῦ λόγου, ἀνακεφαλαίωσιν ἔχει τὴν μνημονευθεῖσαν, εἰς ἃ πρὸ βραχέος διαιροῦντες τὸν λόγον, κατετέμομεν τὰ ἐπιχειρήματα, καταριθμούμενοι καὶ ὑποδεικνύοντες, ὅθεν εἴληπται τῶν τόπων ἕκαστος.

κεφάλαιον. ε.
β.
ἑκάστοτε τῆς ἰσκ. α.
γενέσθαι βελτίους. β.
ὁρᾶτε πάντες. α.
ἀλλ' ὅ, π. ε.
β.
πόλεως. γρ. β.
β. ε.
α.
κατασκευάζουσιν. ε.
ἁπάντων. α.
νῦν. α.
ἐάν τι αὐτοί. ε. ἃ ἂν ὑμῖν. τοι. α.
ἐψηφίσασθε. α.
ἔναγχος. α.
προστῆς.
Ἀκολούθους) παραπλησίοις.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

51 βοηθεῖν, μὴ ἐπιτρέπειν τοῖς σφαγιάζουσι τὴν ἐν Πελοποννήσῳ, τοὺς βουλομένους παρακαλεῖν. ἅπαντα καλά, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦτα καὶ δίκαια καὶ τῆς πόλεως ἄξια. τὰ ἔργα δ' ἀπὸ τούτων, οὐδαμοῦ. οὐκοῦν, τὴν μὲν ἀπέχθειαν διὰ τῶν ψηφισμάτων ἐκφέρεσθε· τῶν δ' ἔργων, οὐδενὸς κύριοι γίγνεσθε. τὰ μὲν γὰρ ψηφίσματα, πρὸς τὸ τῆς πό-
52 λεως ἀξίωμα ψηφίζεσθε· τὴν δύναμιν δ' οὐκ ἀκόλουθον ὧν ψηφίζεσθε, ἔχετε. ἐγὼ δὲ παραινέσαιμ' ἂν ὑμῖν· καί μοι μηδεὶς ὀργισθῇ· ἔλαττον φρονεῖν καὶ τὰ ὑμέτερα αὐτῶν ἀγαπᾶν πράττοντας, ἢ μείζω δύναμιν παρασκευάζεσθαι. εἰ μὲν οὖν Σιφνίοις, ἢ Κυθνίοις, ἢ τισὶν ἄλλοις τοιούτοις οὖσι συνῄδειν ὑμῖν, ἔλαττον φρονεῖν συνεβούλευον ἄν. ἐπειδὴ
53 δὲ ἐστὲ Ἀθηναῖοι, τὴν δύναμιν παρασκευάζεσθαι παραινῶ· αἰσχρὸν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, αἰσχρόν, λιπεῖν τὴν τοῦ φρονήματος τάξιν, ἣν ὑμῖν οἱ πρόγονοι παρέδωκαν. πρὸς δὲ τούτοις, οὐδ' ἔστιν ἐφ' ὑμῖν, οὐδ' ἐὰν ἀποστῆναι τῶν Ἑλληνικῶν βούλησθε· πολλὰ γὰρ ὑμῖν ἐκ παντὸς τοῦ χρόνου πέπρακται· καὶ τοὺς μὲν φίλους τοὺς ὑπάρχοντας, αἰσχρὸν
54 προέσθαι· τοῖς δ' οὖσιν ἐχθροῖς, οὐκ ἔνι πιστεῦσαι, καὶ μεγάλους ἐᾶσαι γενέσθαι. ὅλως δέ, ὅπερ οἱ πολιτευόμενοι πεπόνθασι πρὸς ὑμᾶς, οὐκ ἔνεστ' αὖθις ὅταν βούλωνται παύσασθαι, *τοῦτο καὶ ὑμῖν περιέστηκε· πεπολίτευσθε γὰρ ἐν τοῖς Ἕλλησιν. ἔστι δ', ὦ ἄνδρες Ἀθηναῖοι, κεφάλαιον ἁπάντων τῶν εἰρημένων, οὐδέποθ' ὑμᾶς οἱ λέγοντες, οὔτε
55 πονηροὺς οὔτε χρηστοὺς ποιήσουσιν· ἀλλ' ὑμεῖς τούτους, ὁποίους ἂν βούλησθε. οὐ γὰρ ὑμεῖς ὧν οὗτοι βούλονται, στοχάζεσθε, ἀλλ' οὗτοι ὧν ἂν ὑμᾶς ἐπιθυμεῖν οἴωνται. ὑμᾶς οὖν ὑπάρξαι δεῖ, χρηστὰ βουλομένους, καὶ πάντ' ἔσται καλῶς· ἢ γὰρ οὐδεὶς ἐρεῖ φαῦλον οὐδέν, ἢ οὐδὲν αὐτῷ πλέον ἔσται, μὴ ἔχοντι τοὺς πεισομένους.

Πεπολίτευσθε) Ανεστε- ὡς περιέστηκ.

## ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ, ΤΟΥ ΠΕΡΙ ΣΥΜΜΟΡΙΩΝ ΛΟΓΟΥ.

ΦΗΜΗΣ γενομένης, τὸν Περσῶν βασιλέα παρασκευάζεσθαι στρατεύειν ἐπὶ τοὺς Ἕλληνας, ὁ μὲν τῶν Ἀθηναίων δῆμος κεκίνηται, καὶ συγκαλεῖν ὥρμηται τοὺς Ἕλληνας, καὶ εἰς τὸν πόλεμον ἐκφέρειν ἤδη. ὁ δὲ Δημοσθένης, συμβουλεύει μὴ προεξανίστασθαι, ἀλλὰ ἀναμένειν τὸν βασιλέα νεωτερίσαι. νῦν μὲν γάρ, φησίν, οὐ πείσομεν τοὺς Ἕλληνας συμμαχεῖν ἡμῖν, ἐὰν ἀδικίας ἄρξαι δοκοῦντας· τότε δέ, αὐτοὺς ὁ κίνδυνος αὐτὸς συστήσεται. παραινεῖ τοίνυν ἡσυχάζοντας συντάξασθαι, καὶ πρὸς τὸν πόλεμον παρασκευάσασθαι· καὶ δὴ καὶ διέξεισιν ὃν τρόπον ἂν συνταχθεῖεν· ὅθεν καὶ περὶ συμμοριῶν ὁ λόγος ἐπιγράφεται· συμμορία γὰρ παρὰ τοῖς Ἀττικοῖς, τὸ τῶν λειτουργούντων σύνταγμα.

β. ε.
συστήσει. ε.
λειτουργιῶν. γ. β. ε.

# ΤΟΥ ΠΕΡΙ ΣΥΜΜΟΡΙΩΝ ΔΗΜΟΣΘΕΝΟΥΣ ΛΟΓΟΥ ΕΞΗΓΗΣΙΣ.

ΟΙ ΜΕΝ ἐπαινοῦντες) Ὁ περὶ τῶν συμμοριῶν λόγος πρόδηλον ἔχει τὴν ὑπόθεσιν· πέπεισαι γὰρ ὁ δῆμος παρασκευάζεσθαι βασιλέα νῦν ἐπὶ τὴν ἑλλάδα, καὶ μέλλει ἐπιέναι ὅσον οὐδέπω· διὸ καὶ παροξύνεται· καὶ προσαιτεῖν αὐτῷ περὶ τὴν λυδίαν κέκριται, καὶ τοῦ πολέμου κατάρχειν ἤδη. δημοσθένης δὲ σκοπὸν μὲν ἔχει κωλῦσαι καὶ τὴν ὁρμὴν ἀποτρέψαι. δεδοικὼς δὲ τοῦ δήμου τὴν ῥοπήν· χαλεπὸν γὰρ ἦν αἰσθέσθαι ζέοντι· οὐδὲ φανερῶς ἀποτρέπειν καὶ συντρέχειν δοκῶν, τῇ γνώμῃ κωλύει. πῶς δὴ τοῦτο ποιεῖ. προστάττει παρασκευάζεσθαι καὶ ἄνευ τῶν ἑλλήνων μὴ ἐπιχειρεῖν, ἵνα τῷ μὲν συμβουλεύειν παρασκευάζεσθαι, δοκῇ συντρέχειν· τῷ δὲ ἄνευ τῶν ἑλλήνων μὴ κινεῖσθαι, λανθανόντως ἀποτρέπειν. ὥστε τῇ τῆς δριμύτητος μεθόδῳ μετέχει πως ὁ λόγος. καὶ σχήματος τοιούτου ἐστὶν εἶδος καὶ παρὰ θουκυδίδῃ, ἐν τῇ κατ' ἀρχιδάμου δημηγορίᾳ τῇ προτέρᾳ· καὶ γὰρ κἀκεῖνος δοκῶν ἐπὶ τὸν πόλεμον προτρέπειν, οὐδὲν ἧττον καὶ αἰσθάνεται. τοιοῦτον δὲ εἶδος παρὰ τοῖς νεωτέροις οὐκ ἄν τις εὕροι, διὰ τὸ τὴν ὑπερβολὴν τῆς δριμύτητος τῶν παλαιῶν, μὴ ῥᾳδίως ὑποπίπτειν μιμήσει. δύο οὖν σχήματα παραδεδώκασιν ἡμῖν κρυπτῶν λόγων, δημοσθένης καὶ θουκυδίδης· οὗτοι γὰρ ἐπὶ δριμύτητι, τῶν ἄλλων διήνεγκαν· ἓν μὲν τοῦτο, ὃ προειρήκαμεν, ἐν ᾧ δοκῶν τι συντρέχειν, κωλύει· καὶ ἔστι πρὸς μίμησιν δυσχερέστατον. δέδωκε δὲ ἰδίᾳ θουκυδίδης καὶ ἕτερον, ὃ ἀντικρύς ἐστιν ἀπὸ τοῦ ἐναντίου· οἷόν τε τὸ ἐν τῇ δημηγορίᾳ νικίου· καὶ γὰρ ἐν ἐκείνῃ συμβουλεύων καὶ προτρέπων δῆθεν πλεῖν ἐπὶ τὴν σικελίαν, τῷ μεγέθει τῆς παρασκευῆς τοὐναντίον ἐργάζεται. ἐκεῖ μὲν οὖν ὅλον τὸ εἶδος τοιοῦτόν ἐστι διὰ τοῦ ἐναντίου, ἐν ᾧ μεγάλα αἰτῶν, οὐκ ἐᾷ τὴν ἔξοδον γίνεσθαι· ἐνταῦθα δὲ συντρέχειν δοκῶν, καὶ μεταβιβάζειν τὴν διάνοιαν τῶν ἀκροατῶν ἐπὶ παρασκευῆς πρόνοιαν καὶ ἐπιμέλειαν τῶν δικαίων, μεθόδῳ τὴν ἀποτροπὴν διὰ τῆς τοιαύτης μνήσεως καὶ ἤθους καὶ ἐπιμελείας ἐργάζεται· οἷόν ἐστι καὶ τὸ εἶδος τοῦ λόγου, ὡς ἔφην, καὶ τοῦ τῆς ἀρχιδάμου δημηγορίας. κέχρηται δὲ διαιρέσει μερῶν τοιαύτῃ· ἓν μὲν πεποίηται προοίμιον οὐδεμίαν ὁμοιότητα διόλου ἔχον πρὸς τὸ τοῦ θουκυδίδου προοίμιον, ὡς τῶν πρὸ ἡμῶν τινὲς ᾠήθησαν. ὀλίγας δέ τινας προτάσεις ὁμοίας μόνας κατασκευὰς δὲ οὐχ ὁμοίας οὐδὲ τὰς αὐτάς. ὥστε πάνυ πολὺ διεστάναι τὴν ὅλην ἔννοιαν τῆς ἐννοίας, καὶ τὴν διοίκησιν ἐκείνης τῆς διοικήσεως. ἐπαινεῖ δὲ δημοσθένης, οὐ τὰς πράξεις, ἀλλὰ τὰς ἀρετάς, αἰνιττόμενος τοῖς ἀκούουσιν, ὅτι δι' εὐβουλίας ἐκεῖνοι πάντα κατώρθωσαν, ἐνάγων τοὺς ἀκούοντας, ἀσφαλέστερον βουλεύσασθαι περὶ τῶν ἔργων. τὸ κεφάλαιον εὐθὺς ἐστὶ τὸ συμφέρον, ἔχον ταύτην τὴν ἀρχήν· Ἐγὼ νομίζω κοινὸν ἁπάντων ἐχθρὸν εἶναι τῶν ἑλλήνων βασιλέα. ἡ δὲ πρότασις ἀπὸ τοῦ δικαίου, ὅτι ἄδικος περὶ τοὺς ἕλληνας βασιλεύς. τοῦτο δέ ἐστι συντρέ-

Margin notes: κέκρικε. α. — ἀποστρέψαι — α. Υπειλημμένης) Τῆς κεκριμένης. τῇ τῶν παλαιῶν μὴ ὑποπίπτειν. — μεταβιβάζων. α. — ἐργάζεσθαι. αι

# ΔΗΜΟΣΘΕΝΟΥΣ Ο ΠΕΡΙ ΣΥΜΜΟΡΙΩΝ ΛΟΓΟΣ.

Οἱ μὲν ἐπαινοῦντες, ὦ ἄνδρες ἀ- 1
θηναῖοι, τοὺς προγόνους ὑμῶν, λό-
γον εἰπεῖν μοι δοκοῦσι προαιρεῖσθαι
κεχαρισμένον, οὐ μὴν συμφέροντά
γε ἐκείνοις οὓς ἐγκωμιάζουσι ποιεῖν·
περὶ γὰρ πραγμάτων ἐπιχειροῦντες λέγειν, ὧν οὐ- 2
δ' ἂν εἷς ἀξίως ἐφικέσθαι δύναιτο τῷ λόγῳ, αὐτοὶ μὲν
τοῦ δοκεῖν εὖ λέγειν δόξαν ἐκφέρονται· τὴν δὲ ἐκείνων
ἀρετὴν, ἐλάττω τῆς ὑπειλημμένης παρὰ τοῖς ἀκούουσι
φαίνεσθαι ποιοῦσιν. ἐγὼ δ' ἐκείνων μὲν ἔπαινον τὸν χρό-
νον ἡγοῦμαι μέγιστον εἶναι, οὗ πολλοῦ γεγενημένου, μείζω τῶν 3
ὑπ' ἐκείνων πραχθέντων, οὐδένες ἄλλοι παραδείξα-
σθαι δεδύνηνται. αὐτὸς δὲ πειράσομαι τὸν τρόπον εἰπεῖν,
ὃν ἄν μοι δοκῆτε μάλιστα δύνασθαι παρασκευάσασθαι·
καὶ γὰρ οὕτως ἔχει· εἰ μὲν ἡμεῖς ἅπαντες οἱ μέλλοντες λέ-
γειν δεινοὶ φανείημεν ὄντες, οὐδὲν ἂν τὰ ὑμέτερα εὖ οἶ- 4
δ' ὅτι βέλτιον σχοίη· εἰ δὲ παρελθὼν εἷς ὁστισοῦν δύναιτο
διδάξαι καὶ πεῖσαι, τίς παρασκευή, καὶ πόση, καὶ πόθεν
ποριςθεῖσα χρήσιμος ἔσται νῦν τῇ πόλει, πᾶς ὁ παρὼν
φόβος λέλυται. ἐγὼ δὲ τοῦτ', ἂν ἄρα οἷός τε ὦ, πειρά-
σομαι ποιῆσαι, μικρὰ προειπὼν ὑμῖν, ὡς ἔχω γνώμης 5
περὶ τῶν πρὸς τὸν βασιλέα. ἐγὼ νομίζω κοινὸν ἐχθρὸν
ἁπάντων τῶν ἑλλήνων εἶναι βασιλέα· οὐ μὴν διὰ ταῦτα
παραινέσαιμ' ἂν μόνοις τῶν ἄλλων ὑμῖν πόλεμον πρὸς
αὐτὸν ἄρασθαι· οὐδὲ γὰρ αὐτοὺς τοὺς ἕλληνας ὁρῶ κοινοὺς
ἀλλήλοις ὄντας φίλους· ἀλλ' ἐνίους μᾶλλον ἐκείνῳ πι- 6
στεύοντας, ἢ τισὶν αὐτῶν. ἐκ δὴ τῶν τοιούτων ὄντων, νο-
μίζω συμφέρειν ὑμῖν τὴν ἀρχὴν τοῦ πολέμου τηρεῖν,
ὅπως δικαία γενήσεται· παρασκευάζεσθαι δέ, ἃ προ-

προσήκει πάντα, καὶ τοῦτο ὑποκεῖσθαι τῇ γνώμῃ. ἡγοῦμαι
7 γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς Ἕλληνας, εἰ μὲν ἐναργές τι γένοιτο καὶ σαφές, ὡς βασιλεὺς αὐτοῖς ἐπιχειρεῖ, καὶ συμμαχήσειν, καὶ μεγάλην χάριν ἕξειν τοῖς πρὸ αὑτῶν, καὶ μετ' αὐτῶν ἐκεῖνον ἀμυνομένοις. εἰ δέ τι ἀδήλου τούτου καθεστηκότος, προαπεχθησόμεθα ἡμεῖς, δέδια, ὦ ἄν-
8 δρες Ἀθηναῖοι, μὴ τούτοις μετ' ἐκείνου πολεμεῖν ἀναγκασθῶμεν, ὑφ' ὧν προνοούμεθα. ὁ μὲν γὰρ ἐπισχὼν ὧν ὥρμηκεν, εἰ ἄρα ἐπιχειρεῖν ἔγνωκε τοῖς Ἕλλησι, χρήματα δώσει τισὶν αὐτῶν, καὶ φιλίαν προτενεῖται. οἱ δὲ τοὺς ἰδίους πολέμους ἐπανορθώσασθαι βουλόμενοι, καὶ τοῦτον τὸν νοῦν
9 ἔχοντες, τὴν κοινὴν ἁπάντων σωτηρίαν παρόψονται. εἰς δὲ τὴν ταραχὴν ταύτην καὶ τὴν ἀγνωμοσύνην, παραινῶ μὴ προκαθεῖναι τὴν πόλιν ἡμῶν. οὐδὲ γὰρ ἐπ' ἴσης ὁρῶ τοῖς τε ἄλλοις Ἕλλησι καὶ ἡμῖν, πρὸς τὸν βασιλέα τὴν βουλὴν οὖσαν· ἀλλ' ἐκείνων μὲν πολλοῖς ἐνδέχεσθαί
10 μοι δοκεῖ τῶν ἰδίᾳ τι συμφερόντων διοικουμένοις, τῶν ἄλλων Ἑλλήνων ἀμελῆσαι· ὑμῖν δέ, οὐδὲ ἀδικουμένοις, παρὰ τῶν ἀδικούντων καλόν ἐστι λαβεῖν ταύτην τὴν δίκην, ἐᾶσαί τινας αὐτῶν ὑπὸ τῷ βαρβάρῳ γενέσθαι. ὅτι δὴ οὕτω ταῦτ' ἔχει, σκεπτέον ἐστίν, ὅπως μήτε ἡμεῖς
11 ἐν τῷ πολέμῳ γενησόμεθα ἐξ ἴσου, μήτ' ἐκεῖνος ὃν ἡμεῖς ἐπιβουλεύειν ἡγούμεθα τοῖς Ἕλλησι, τὸ τοῦ φίλος αὐτοῖς δοκεῖν εἶναι, πίστιν λήψεται. πῶς οὖν ταῦτα ἔσται· ἂν ἡ μὲν δύναμις τῆς πόλεως ἐξητασμένη, καὶ παρεσκευασμένη πᾶσιν ᾖ φανερά, φαίνηται δὲ δίκαια φρονεῖν ἐπὶ
12 ταύτῃ τῇ προαιρέσει. τοῖς δὲ θρασυνομένοις καὶ σφόδρα ἑτοίμως πολεμεῖν κελεύουσιν, ἐκεῖνο λέγω, ὅτι οὐκ ἔστι χαλεπόν, οὔθ' ὅταν βουλεύεσθαι δέῃ, δόξαν ἀνδρείας λαβεῖν, οὔθ' ὅταν κίνδυνός τις ἐγγὺς ᾖ, δεινὸν εἰπεῖν φανῆναι· ἀλλ' ἐκεῖνο καὶ χαλεπὸν καὶ προσήκει, ἐπὶ μὲν τῶν
13 κινδύνων, τὴν ἀνδρείαν ἐπιδείκνυσθαι· ἐν δὲ τῷ συμβουλεύειν, φρονιμώτερα τῶν ἄλλων εἰπεῖν ἔχειν. ἐγὼ δέ, ὦ ἄνδρες Ἀθηναῖοι, νομίζω, τὸν μὲν πόλεμον τὸν πρὸς βασιλέα, χαλεπὸν τῇ πόλει· τὸν δ' ἀγῶνα τὸν ἐκ τοῦ πολέμου, ῥᾴδιον ἂν συμβαίνοντα. διὰ τί. ὅτι, τοὺς μὲν πολέμους
14 ἅπαντας, ἀναγκαίως ἡγοῦμαι τριήρων καὶ χρημάτων καὶ τόπων δεῖσθαι. ταῦτα δὲ πάντα, ἀφθονώτερα ἐκεῖνον

Marginal glosses (right): πάντως.ε. — α. — μήτι ἐναργὲς γένοι. — β.ε.ποιεῖ. — συμμαχῆσαι.α. — ἔχειν.α. — προαπαχθησόμεθα. — α.ε. — ἂν.α. — ἀρχὴν.χ. β.ε. — οὐ γὰρ.ε. — περὶ τῶν.α. χ.β. — α. — α.χρὴ.β. — ἴσῳ.α. — ἐπὶ ταύτῃ φρονεῖν αἱρουμένη.β.ε. — α. — α. — α. ἀναγκαῖον.χ.β.

Marginal glosses (left): παρασκευάζει.α. — γοῦν.α. — ἄξια γὰρ τοῦ πολέμου.α. — τὰς προτέρας συνθήκας. οὐ μὴν.α. — τούτῳ. — αἰσχύνην· ᾤηθη γὰρ αὐτὸς αὐτόν. — δείγματα.α. — παρρησιάζεσθαι.α. — αὖθις.

χοντος δῆθεν τῇ γνώμῃ τῶν παροξυνόντων. κατὰ βραχὺ τὸ συμφέρον κατασκευάζει, τῷ δικαίῳ καὶ τῷ δυνατῷ· μᾶλλον δὲ τὸ ἀσύμφορον τῷ ἀδυνάτῳ. εἰώθασι δὲ καὶ τοῖς ἐναντίοις ὀνόμασιν ἀδιαφόρως ἐπὶ τούτων χρῆσθαι οἱ τεχνικοί, καὶ τὸ ἀσύμφορον συμφέρον ὀνομάζειν, καὶ τὸ ἄδικον, δίκαιον· ὁμοίως δὲ καὶ ἐπὶ τῶν λοιπῶν. ἐπανέλθωμεν οὖν ἐπὶ τὴν διαίρεσιν. οὐ συμφέρει πρότερον ἡμᾶς ἐπιχειρεῖσθαι τοῖς πράγμασι, διὰ τὸ μὴ ἔχειν δύναμιν, καὶ διὰ τὸ τοὺς Ἕλληνας πρὸς ἐκεῖνον μᾶλλον βλέπειν, ἢ πρὸς ἡμᾶς. οὐκ ἀπέχεται δὲ οὐδὲ τοῦ δικαίου ἐν τῇ κατασκευῇ τοῦ συμφέροντος· ἀξιοῖ γὰρ τὸν πόλεμον δίκαιον γενέσθαι. τοῦτο δέ ἐστι τὸ νόμιμον· καὶ τὸ μὴ δεῖν παραβαίνειν αὐτοὺς συνθήκας πρότερον. οὐ μὴν ἐπεξέρχεται τοῦτο σφόδρα, διὰ τὸ εὐλαβεῖσθαι τὴν συμβησομένην ὑπόνοιαν· ᾠήθη γὰρ ἄν τις αὐτὸν χαριζόμενον βασιλεῖ πειρᾶσθαι δεικνύναι, μὴ παραβεβηκότα τὰς πρὸς τοὺς Ἕλληνας γεγενημένας αὐτῷ συνθήκας. ἐνδιατρίβει δὲ τῷ δυνατῷ μᾶλλον, οὐδὲν ἧττον ἐμφανίζων καὶ διὰ τοῦτο τὸ δίκαιον· τὸ μέντοι γε συμφέρον, ὡς ἔφην, διὰ
7 τούτων ἁπάντων παραινῶν· τὸ γάρ, Εἰ γένοιτο ἐναργές τι καὶ σαφές, ὡς βασιλεὺς ἐπιβουλεύει τοῖς Ἕλλησι ποτέ, εἰ μὴ συμμαχήσουσι, καὶ εἰ μὴ ὁμονοήσουσι, δεῖγμα τοῦ μήτε παραβεβηκέναι τὰς συνθήκας τὸν βασιλέα, μήτε τοὺς Ἕλληνας ἂν ἐθελῆσαι τοῖς Ἀθηναίοις συνέπεσθαι· ὧν, τὸ μέν ἐστι περὶ τὰς συνθήκας καὶ τὸ νόμιμον· τὸ δὲ κατὰ τὴν συμμαχίαν, ὅπερ ἐστὶ τοῦ δυνατοῦ, καὶ ὅτι τοὐναντίον πολεμήσουσιν ἡμῖν μετ' ἐκείνου οἱ Ἕλληνες, εἰ προαπεχθησόμεθα ἡμεῖς. καὶ τὸ σύμπαν δὲ στοχαστικῶς· οὐ γὰρ ἀποφαίνεται ὄντως ἐπιβουλεύειν τὸν βασιλέα τοῖς Ἕλλησιν· ἀλλ' ἐπειδὴ πέπεισται ὁ δῆμος, καὶ ἄντικρυς παρασκευάζεσθαι οὐ δύναται, καθ' ὑπόθεσιν καὶ αὐτὸς ἀπολαμβάνει, λέγων, εἰ ἄρα ἐπιχειρεῖν διέγνωκε τοῖς Ἕλλησι βασιλεύς, τῷ διστάγματι τὴν προθυμίαν πραΰνων καὶ καταπαύων τὴν ὀργὴν τῇ μεσότητι· ἐν ᾧ καὶ τὴν τῶν Ἑλλήνων ἐξετάζει γνώμην, ἣν ἔχουσι, μὴ πιστεύοντες βασιλέα στρατεύειν ἐπὶ τὴν Ἑλλάδα. οὕτω μὲν οὖν διῴκηται αὐτὸ τὸ συμφέρον, ἀπὸ τοῦ δυνατοῦ καὶ τοῦ δικαίου πάσας ἔχειν τὰς κατασκευάς, ὡς προηγούμενον μὲν εἶναι τὸ συμφέρον, ἐμπεριεχόμενα δὲ τὸ δίκαιον καὶ τὸ δυνατόν. πέρας δὴ οὖν ἐπιθεὶς ταῖς οἰκείαις πίστεσι, λαμβάνει πρὸς τὸ κεφάλαιον τὴν ἀντίθεσιν τοῦ συμφέροντος, ὁμογενῆ τῷ
12 κεφαλαίῳ μεθοδεύσας αὐτήν, οὐχ ὡς ἀντίθεσιν, ἀλλ' ὡς ἐπιτίμησιν πρὸς τοὺς ῥήτορας. τί δέ φησι· Τοῖς δὲ θρασυνομένοις καὶ σφόδρα πολεμεῖν κελεύουσιν, ἐκεῖνο λέγω. αὕτη ἐστὶν ἡ ἀντίθεσις. βουλόμενος δὲ αὐτὴν μὴ πραγματικὴν ποιῆσαι

σαι μικρ' ἰσχὺν αὐτῇ περιθεῖναι, διαβάλλει αὐτὴν ἐν τῇ θέσει, καὶ πρὸς τοὺς ῥήτορας τὸν λόγον ποιεῖται, ὡς νῦν μὲν θρασυνομένους, τότε δ' ἐν τοῖς κινδύνοις ἀποδειλιῶντας, τῷ μὲν δοκεῖν, πρὸς τοὺς ῥήτορας λέγων· τῇ δ' ἀληθείᾳ, πρὸς τὸν ἀκροατὴν αἰνιττόμενος, ὅτι οὐ δεῖ θρασύνεσθαι, ἵνα μὴ μεταγνῶσιν ἐν τοῖς ἔργοις γινόμενοι. εἶτα ἑτέρα λύσει κέχρηται τῇ ἀπὸ τοῦ δυνατοῦ· μερίζει δὲ τὸ δυνατὸν εἰς τὸ, χαλεπὸν ἐν τοῖς ἐκείνου τόποις πολεμεῖν, τὸ τριήρεις τοσαύτας, καὶ χρημάτων πλῆθος, καὶ ἐπικαίρους τόπους· τῷ δὲ ῥᾳδίῳ, ὅτι εὐκόλως ἡμῖν ὁ πρὸς ἐκεῖνον ἔσται πόλεμος, εἰ αὐτὸς ἐπέλθοι τῶν ἑλλήνων κοινῇ συναγωνιζομένων· εἶτα τῷ συμφέροντι

πάλιν, ὅτι, Διὰ ταῦτα τοίνυν παραινῶ 15

μὴ προτέρους αἴρεσθαι τὸν πρὸς ἐκεῖνον πόλεμον, ἀλλὰ παρασκευάζεσθαι· πάλιν ἐκ τῆς ἐργασίας ἀντέπεσε πρὸς τοῦτο τὸ ἐπιχείρημα, ὅτι, Ἀλλ' ἐὰν παρασκευαζώμεθα, οὐδὲν ἧττον δόξομεν αἱρεῖσθαι πόλεμον· ἐξ οὗ συνάγεται τὸ δεινὸν, εἰ δεῖ στρατεύεσθαι συγκαλέσαντας τοὺς ἕλληνας. τοῦτο τὸ ἀντιπῖπτον οὐκ ἔθηκε μὲν ἐκ τοῦ προφανοῦς· ἔλυσε δὲ φανερῶς εἰπὼν, Εἰ μὲν οὖν ἕτερος τις τρόπος ἦν δυνάμεως, ᾧ τοὺς βαρβάρους οἷόν τε ἦν ἀμύνασθαι, ἕτερος δέ τις ᾧ τοὺς ἕλληνας, εἰκότως ἂν ἴσως φανεροὶ πρὸς ἐκεῖνον ἐγιγνόμεθα ἀντιταττόμενοι· τουτέστιν, εἰ παρεσκευαζόμεθα ἡμεῖς, οὐκ ἤδη δῆλον ἔσται, ὅτι πρὸς βασιλέα τὴν παρασκευὴν συγκροτοῦμεν· ὥστε οὐ δόξομεν ἄρχειν πολέμου. εἶτα ἐπὶ τὴν ἑξῆς ἀντίθεσιν τὴν ἀπὸ τοῦ συμφέροντος, ἄλλο μέρος ἐνταῦθα λύων.

τοῦτο δέ ἐστι, Καὶ νῦν μὲν συγκαλοῦμεν 17

τοὺς ἕλληνας. τὸ μὲν οὖν συμφέρον πολεμεῖν, ἔλυσεν ἤδη· τὸ δὲ συγκαλοῦμεν τοὺς ἕλληνας, ἐντεῦθεν ἄρχεται λύειν· τοῦτο δὲ τὸ μέρος τῆς ἀντιθέσεως μὴ θεὶς, ἀνακαλύπτει αὐτὸ τῇ λύσει· τί γάρ φησι· Καὶ νῦν μὲν συγκαλεῖτε πρὸς ὑμᾶς αὐτοὺς τοὺς ἕλληνας· ἐὰν δὲ ἃ κελεύουσιν οὗτοι μὴ ποιῆτε· τουτέστιν ἂν περὶ τῆς ἡγεμονίας ἡμῖν ἀμφισβητῶσιν, ὡς κοινοῦ τοῦ πολέμου τυγχάνοντος, πῶς προσδέξεσθε τὴν ἀμφισβήτησιν. εἶτα ἑτέρα λύσει τῇ ἀπὸ τοῦ καιροῦ, ὅτι ἐπειδὰν αὐτοῖς ἐπιστῇ βασιλεὺς, εἶθ' ἑκόντες αὐτοὶ προθυμήσονται· καὶ ἀπὸ τῆς δυνάμεως τῆς πόλεως, ὅτι Οὐκ ἔστιν ὅστις ὁρῶν ὑμᾶς μεγίστην δύναμιν ἔχοντας, οὐ μεθ' ὑμῶν ἀξιώσει τετάχθαι. ἓν μὲν δὴ τοῦτο μέρος τοῦ λόγου πεπλήρωται, περιεκτικὸν τοῦ συμφέροντος· οὗ τὸ μὲν, ὅσει προηγούμενον· τὸ δὲ, δεύτερον· προηγεῖται μὲν γὰρ ἐξ ἀρχῆς δημοσθένους γνώμη. αὐτὸς δὲ ὡς οἰκείαν εἰσηγεῖται, φάσκων ἀσύμφορον κατεπείγουσι ἐπὶ τὸν πόλεμον. πέρας δὲ τούτοις ἐπιθεὶς τοῖς μέρεσι τοῦ συμφέροντος, ὃ πολλὴν μίξιν ἔχει καὶ κοινωνίαν· τὸ μὲν, περὶ τῆς ἀντιθέσεως, πρὸς τὸ δυνατὸν καὶ δίκαιον· τὸ δὲ, μετὰ τὴν ἀντίθεσιν, πρὸς τὸ δυνατὸν εἰλημμένον πρὸς ἀναίρεσιν τῆς ἀντιθέσεως. μεταβαίνει λοιπὸν ἐπ' αὐτὸ καθαρῶς τὸ δυνατὸν, κατασκευὴν ἔχον τῆς παρασκευῆς τῆς πόλεως. προοιμιάζεται δὲ περὶ τοῦ κεφαλαίου, ἐνδεικνύμενος τὴν ἀκρίβειαν καὶ τὴν χρείαν καὶ μεθ' ὅσης ἐργασίας καὶ πόνων ἐξευρεῖν, ἵνα προτρέψηται διὰ τῶν προοιμιακῶν τούτων τὸν ἀκροατὴν προσδέξασθαι ὡς κάλλιστα καὶ ἐντελέστατα τὸν λόγον ἐξευρημένον. καὶ ἔστιν ἀρχὴ τοῦ προοιμίου, Ἐγὼ τοίνυν, ὦ ἀθηναῖοι, ταῦτά τε καὶ τὰ παρα- 20

ἔχοντα ἡμῶν εὑρίσκω· τοὺς δὲ ἀγῶνας, οὐδενὸς οὕτω τῶν ἄλλων ὁρῶ δεομένους, ὡς ἀγαθῶν ἀνδρῶν. τούτους δὲ ἡμῖν καὶ τοῖς μεθ' ἡμῶν κινδυνεύουσι, πλείους ὑπάρχειν νομίζω. τὸν μὲν δὴ πόλεμον, διὰ ταῦτα παραινῶ μηδ' ἐξ 15
ἑνὸς τρόπου προτέρους αἴρεσθαι· ἐπὶ δὲ τὸν ἀγῶνα, ὀρθῶς φημὶ παρεσκευασμένους ὑπάρχειν χρῆναι. εἰ μὲν οὖν ἕτερος ἦν τις τρόπος δυνάμεως, ᾧ τοὺς βαρβάρους οἷόν τε ἦν ἀμύνασθαι· ἕτερος δέ τις, ᾧ τοὺς ἕλληνας, εἰκότως ἂν ἴσως φανεροὶ πρὸς ἐκεῖνον ἐγιγνόμεθα ἀντι- 16
ταττόμενοι· ἐπεὶ δὲ πάσης παρασκευῆς ἐστιν ὁ αὐτὸς τρόπος, καὶ δεῖ τὰ αὐτὰ εἶναι κεφάλαια τῆς δυνάμεως, τοὺς ἐχθροὺς ἀμύνασθαι δύνασθαι, τοῖς οὖσι συμμάχοις βοηθεῖν, τὰ ὑπάρχοντ' ἀγαθὰ σώζειν, τί τοὺς ὁμολογουμένους ἐχθροὺς ἔχοντες ἑτέρους ζητοῦμεν· ἀλλ' οὐ παρασκευα- 17
ζόμεθα μὲν πρὸς τούτους, ἀμυνούμεθα δὲ κἀκεῖνον, ἐὰν ἀδικεῖν ἡμᾶς ἐπιχειρῇ. καὶ νῦν μὲν καλεῖτε πρὸς ὑμᾶς αὐτοὺς τοὺς ἕλληνας· ἐὰν δὲ ἃ κελεύουσιν οὗτοι, μὴ ποιῆτε, οὐχ ἡδέως ἐνίων ὑμῖν ἐχόντων, πῶς χρὴ προσδοκᾶν ὑπακούσεσθαι; ὅτι νὴ Δία ἀκούσονται παρ' ἡμῶν, ὅτι 18
ἐπιβουλεύει βασιλεὺς αὐτοῖς; αὐτοὶ δὲ οὐ προορᾶν, ὦ πρὸς τῶν θεῶν οἴεσθε τοῦτο; ἐγὼ μὲν γὰρ οἶμαι. ἀλλ' οὔπω μείζων ἐστὶν ἐνίοις ὁ φόβος, τῆς πρὸς ὑμᾶς, καὶ πρὸς ἀλλήλους ἐνίοις διαφορᾶς. οὐδὲν οὖν ἄλλ' ἢ ῥαψῳδήσουσιν οἱ πρέσβεις περιιόντες. ὅτε δὲ ἂν ἄρα ἃ νῦν 19
οἰόμεθα ὑμεῖς πράττητε, οὐδεὶς δήπου τῶν ἁπάντων ἑλλήνων τηλικοῦτον ἐφ' ἑαυτῷ φρονήσει, ὅστις ὁρῶν ὑμῖν, χιλίους μὲν ἱππέας, ὁπλίτας δ', ὅσους ἂν θέλῃ τις, ναῦς δὲ τριακοσίας, οὐχ ἥξει καὶ δεήσεται, μετὰ τούτων ἀσφαλέστατ' ἂν ἡγούμενος σωθῆναι. οὐκοῦν, ἐκ μὲν τοῦ κα- 20
λεῖν ἤδη, τὸ δεῖσθαι· κἂν μὴ τύχητε, ἀφαμαρτεῖν· ἐκ δὲ τοῦ μετὰ τοῦ παρασκευάσασθαι, τὰ ὑμέτερα αὐτῶν ἐπισχεῖν, δεομένους σώζειν καὶ εὖ εἰδέναι πάντας ἥξοντάς ἐστιν. ἐγὼ τοίνυν, ὦ ἄνδρες ἀθηναῖοι, ταῦτά τε καὶ τὰ παρα-

ἐν μηδενός. α.
μή. ε.
ὁμολογουμένους. χ. β.
γ. α.
ὑμῖν. χ. β. ε.
ὑπακούεσθαι. ε.
ἀλλ' ἢ. β. ε.
διαρραψ. α.
ὑμῶν. χ. β.
οὐδ' ἂν ἐθέλητε. α.
ἥκει. α.
παρεσκευάσθαι. α.
ἐκεῖνος
ἢ δεῖ. α.
δύνασθαι
ὅτι. α.
γνώμην αὐτὸς ὡς. α.
σύμφορον. α.
εἰρημένως

21 πλήσια τούτοις λογιζόμενος, λόγον μὲν οὐδένα ἐξευρό-
μην θρασὺν οὐδὲ μάταιον ἔχοντα μῆκος εὑρεῖν· τὴν
μέντοι παρασκευὴν ὅπως ὡς ἄριστα καὶ τάχιστα γενή-
σεται, πάνυ πολλὰ πράγματα ἔσχον σκοπῶν. οἶμαι δὴ
δεῖν ἀκούσαντας ὑμᾶς αὐτήν, ἂν ἀρέσκῃ, ψηφίσασθαι.
22 ἔστι τοίνυν, πρῶτον μὲν τῆς παρασκευῆς, ὦ ἄνδρες ἀ-
θηναῖοι καὶ μέγιστον, οὕτω διακεῖσθαι τὰς γνώμας ὑμῶν,
ὡς ἕκαστον ἑκόντα προθύμως ὅ,τι ἂν δέῃ ποιήσοντα· ὁ-
ρᾶτε γάρ, ὦ ἄνδρες ἀθηναῖοι, ὅτι ὅσα μὲν πώποθ' ἅ-
παντες ὑμεῖς ἐβουλήθητε, καὶ μετὰ ταῦτα τὸ πράττειν
23 αὐτὸς ἕκαστος ἑαυτῷ προσήκειν ἡγήσατο, οὐδὲν πώ-
ποθ' ὑμᾶς ἐξέφυγεν. ὅσα δὲ ἐβουλήθητε μέν, μετὰ ταῦ-
τα δ' ἀπεβλέψατε πρὸς ἀλλήλους, ὡς αὐτὸς μὲν ἕκα-
στος οὐ ποιήσων, τὸν δὲ πλησίον πράξοντα, οὐδὲν πώποτε
ὑμῖν ἐγένετο. ἐχόντων δὲ ὑμῶν οὕτω καὶ παρωξυμμένων,
24 τοὺς διακοσίους καὶ χιλίους ἀναπληρῶσαί φημι χρῆ-
ναι καὶ ποιῆσαι δισχιλίους, ὀκτακοσίους αὐτοῖς προσνεί-
μαντας· ἐὰν γὰρ τοῦτ' ἀποδείξητε τὸ πλῆθος, ἡγοῦμαι τῶν
ἐπικλήρων, καὶ τῶν ὀρφανῶν, καὶ τῶν κληρουχικῶν, καὶ
τῶν κοινωνικῶν, καὶ εἴ τις ἀδύνατος, ἀφαιρεθέντων, ἔσε-
25 σθαι χίλια καὶ διακόσια ταῦτα ὑμῖν σώματα. ἐκ
τοίνυν τούτων οἶμαι δεῖν ποιῆσαι συμμορίας εἴκοσιν, ὥσ-
περ νῦν εἰσίν, ἑξήκοντα σώματα ἐχούσας ἑκάστην. τούτων
δὲ τῶν συμμοριῶν ἑκάστην διελεῖν κελεύω πέντε μέρη
κατὰ δώδεκα ἄνδρας, ἀνταναπληροῦντας πρὸς τὸν εὐ-
26 πορώτατον ἀεὶ τοὺς ἀπορωτάτους. καὶ τὰ μὲν σώματα*,
οὕτω φημὶ δεῖν συντετάχθαι. δι' ὃ δέ, εἴσεσθε, ἐπειδὰν
ὅλον τὸν τρόπον τῆς συντάξεως ἀκούσητε. τὰς δὲ τριή-
ρεις, πῶς; τὸν ἅπαντα ἀριθμὸν κελεύω τριακοσίας ἀπο-
δείξαντας, κατὰ τὴν πεντεκαιδεκαναΐαν εἴκοσι ποιῆσαι
27 μέρη· τῶν πρώτων ἑκατόν, πέντε· καὶ τῶν δευτέρων ἑκα-
τόν, πέντε· καὶ τῶν τρίτων ἑκατόν, πέντε, ἑκάστῳ μέρει δι-
δόντας. εἶτα συγκληρῶσαι συμμορίᾳ σωμάτων ἑκάστῃ, τὴν
πεντεκαιδεκαναΐαν· τὴν δὲ συμμορίαν ἑκάστῳ τῶν μέ-
ρει σφῶν αὐτῶν, τρεῖς ἀποδοῦναι τριήρεις. ἐπειδὰν δὲ
28 ταῦτα οὕτως ἔχοντα ὑπάρχῃ, κελεύω, ἐπειδὴ τὸ τίμημά
ἐστι τὸ τῆς χώρας ἑξακισχιλίων ταλάντων, ἵν' ὑμῖν καὶ τὰ
χρήματα ᾖ συντεταγμένα, διελεῖν τοῦτο καὶ ποιῆσαι κα-
θ' ἑξήκοντα τάλαντα, ἑκατὸν μέρη· εἶτα πέντε ἑξήκοντα
ταλαντιαίας εἰς ἑκάστην τῶν μεγάλων τῶν εἴκοσι συμμο-
29 ριῶν ἐπικληρῶσαι· τὴν δὲ συμμορίαν ἑκάστῳ τῶν μερῶν,
μίαν ἑξήκοντα ταλαντιαίαν ἀποδοῦναι· ὅπως ἐὰν μὲν

ὑμῖν

πλήσια τούτοις, τῆς μὲν ἐπιβολῆς τοῦ προοιμίου συμπέρασμα τῶν προειρημένων ἐχούσης· ἀρχὴν δὲ τῶν μελλόντων. λήγει δὲ εἰς ταύτην τὴν ἔν-
21 νοιαν· Οἶμαι δὲ δεῖν ἀκούσαντας ὑμᾶς, αὐτήν, ἂν ὑμῖν ἀρέσκῃ, ψηφίσασθαι.

Ἔστι τοίνυν) Ἀρχὴ τῆς παρασκευῆς.

μετὰ δὲ τὸ πέρας τοῦ προοιμίου, προκατασκευῇ κέχρηται πρὸς αὐτὸ τὸ κεφάλαιον· ἐπειδὴ γὰρ οἶδε χαλεπὰ συμβουλεύσων, καὶ τοῖς εὐπόροις διὰ τὰς εἰσφοράς, καὶ τοῖς τριηράρχοις διὰ τὴν λειτουργίαν, καὶ θυμὸν πρὸς τὰς πράξεις, καὶ εὔνοιαν* πρὸς τὸν λόγον ἑαυτοῦ κατασκευάζων· καὶ ἔστι μὲν ἀρχὴ τῆς
22 προκατασκευῆς, Ἔστι τοίνυν, πρῶτον μὲν τῆς παρασκευῆς, ὦ ἀθηναῖοι· πέρας δέ, αὐτὸς μὲν ἕκαστος οὐδὲν ποιήσων· τὸν δὲ πλησίον πράξαντα οὐδὲν πώποτε ὑμῖν ἐγένετο· εἰσβάλλει τοίνυν εἰς αὐτὸ τὸ κεφάλαιον ἐκ ταύτης τῆς λέξεως·
23 Ἐχόντων δὲ ὑμῶν οὕτω, καὶ παρωξυμμένων τοὺς διακοσίους καὶ χιλίους ἀναπληρῶσαί φημι χρῆναι, καὶ ποιῆσαι δισχιλίους. διαιρεῖ τοίνυν τὸν τῆς παρασκευῆς λόγον, κεφαλαιωδῶς εἰς τρία· πρῶτον μέν, εἰς τοὺς τριηράρχους καὶ τὴν οὐσίαν αὐτῶν, καὶ τὰς τριήρεις· εἶτα καὶ εἰς τὴν οὐσίαν πάντων τῶν οἰκούντων τὴν πόλιν, ἀφ' ἧς δεῖ τὰ ἀναλώματα γίνεσθαι· τρίτον δέ, εἰς τὸν τόπον καὶ τοὺς νεωσοίκους, οὓς δεῖ κατασκευασθῆναι ταῖς τριήρεσι. διαιρεῖ δὲ τούτων ἕκαστον, *ναῦς μόνας, εἰ κουφότερος εἴη ὁ πόλεμος, καὶ τὴν τριήρη παρεχέτωσαν *δυοκαίδεκα ἄνδρες· δωδεκάκις γὰρ ἑκατόν, χίλια καὶ διακόσια. εἰ δὲ ὀλίγῳ βαρύτερος ὁ πόλεμος γένοιτο, καὶ μέσως ἔχων παρασκευῆς ἥκοι ὁ βασιλεύς, διακοσίας παρεχέτωσαν τριήρεις οἱ χίλιοι καὶ διακόσιοι τριήραρχοι, ὡς παρέχειν ἓξ ἄνδρας τὴν τριήρη· καὶ ὑπομένειν ἀνάγκη βαρύτερον τὸ λειτούργημα· εἰ δὲ πολλῷ πλείονος παρασκευῆς τῇ πόλει γένοιτο χρεία, καὶ βασιλεὺς ἔλθοι πλείονι ῥώμῃ παρεσκευασμένος, τοὺς τέσσαρας ἄνδρας παρέχειν δεῖ φησὶ μίαν ναῦν· τετράκις γὰρ τριακόσια, χίλια καὶ διακόσια· τούτους δὲ τριηραρχεῖν, παρέχοντας τῇ πόλει τριήρη μίαν τοὺς τέσσαρας. καὶ ὁ μὲν λόγος ὁ περὶ τῶν τριηράρχων καὶ τῶν νεῶν, οὕτως ἔστι· τὴν δὲ οὐσίαν τῶν χιλίων διακοσίων τριηράρχων φησὶ τετιμῆσθαι ταλάντων ἑξακισχιλίων. τὰ τοίνυν ἑξακισχίλια τάλαντα διαιρεῖ εἰς ἑκατὸν

*καὶ. α.

Ἐχόντων) Εἰσβολὴ τῶν κεφαλαίων.

Ἐπικλήρων) Ἐπίκληρος ἡ ἐπὶ τῇ οὐσίᾳ ὅλῃ καθεσθεῖσα, καὶ μή πω ἐκδοθῇ.

Κληρουχικῶν) Τῶν γεωργῶν.

Κοινωνικῶν) Τῶν δημίων.

*εἰς.

*δώδεκα. α.

ὑμῖν ἑκατὸν δέῃ τριήρων, τὴν μὲν δαπάνην ἑξήκοντα τάλαντα συντελῆ· τριήραρχοι δ' ὦσι δώδεκα. ἐὰν δὲ δέῃ διακοσίων, τριάκοντα μὲν ᾖ τάλαντα, τὰ τὴν δαπάνην συντελοῦντα, ἓξ δὲ σώματα τριηραρχοῦντα. 30
ἐὰν δὲ τριακοσίων, εἴκοσι μὲν ᾖ τάλαντα τὴν δαπάνην διαλύοντα, τέτταρα δὲ σώματα τριηραρχοῦντα. τὸν αὐτὸν δὲ τρόπον, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τὰ νῦν ὀφειλόμενα τῶν σκευῶν ἐπὶ τὰς τριήρεις τιμήσαντας, ἀπὸ τοῦ διαγράμματος νείμασθαι κελεύω, μέρη εἴκοσιν. 31
ἔπειτα ταῖς μεγάλαις ἐπικληρῶσαι συμμορίαις μέρος ἓν χρηστὸν ἑκάστῃ· τὴν δὲ συμμορίαν ἑκάστην, διανείμασθαι τῶν ἑαυτῆς μερῶν ἑκάστῳ τὸ ἴσον· τοὺς δὲ δώδεκα τοὺς ἐν ἑκάστῳ τῷ μέρει ταῦτ' εἰσπράξαντας, τὰς τριήρεις ἃς ἂν ἕκαστοι λάχωσι παρεσκευασμένας, παρέ- 32
χειν, τὴν μὲν δαπάνην, καὶ τὰ σκάφη, καὶ τοὺς τριηράρχους, καὶ τὴν τῶν σκευῶν εἴσπραξιν· οὕτως ἂν ἀεὶ δ' ἡγοῦμαι καὶ πορισθῆναι, καὶ παρασκευασθῆναι. πλήρωσις δὲ καὶ σαφὴς ὅθεν ἔσται καὶ ῥᾳδία μετὰ ταῦτα λέγω. φημὶ τοὺς στρατηγούς, δεῖν διανείμασθαι τόπους δέκα τῶν 33
νεωρίων, σκεψαμένους ὅπως ὡς ἐγγύτατα ἀλλήλων, κατὰ τριάκοντα ὦσι νεώσοικοι. ἐπειδὰν δὲ τοῦτο ποιήσωσι, δύο συμμορίας καὶ τριάκοντα τριήρεις, τούτων ἑκάστῳ προσνείμασθαι τῶν τόπων. εἶτ' ἐπικληρῶσαι τὰς φυλάς· τὸν δὲ τριήραρχον ἕκαστον, κατὰ τὸ ἕκαστον νεώριον, ἵνα ὦσι συμ- 34
μορίαι δύο, τριήρεις τριάκοντα, φυλὴ μία, ὃν ἂν ἡ φυλὴ τόπον λάχῃ, διελεῖν τρίχα· καὶ τὰς ναῦς, ὡσαύτως. εἶτ' ἐπικληρῶσαι τὰς τριττῦς, ὅπως ἄν, τῶν μὲν ὅλων νεωρίων, ἓν ἑκάστης μέρος ᾖ τῶν φυλῶν· τοῦ δὲ μέρους ἑκάστου τὸ τρίτον μέρος, ἡ τριττὺς ἔχῃ· εἰδῆτε δέ, ἄν τι δέῃ, πρῶτον μὲν 35
τὴν φυλήν, ὅπου τέτακται· μετὰ ταῦτα δὲ τὴν τριττύν· εἶτα τριήραρχοι τίνες, καὶ τριήρεις πόσαι. καὶ τριάκοντα μὲν ἡ φυλή, δέκα δὲ ἡ τριττὺς ἑκάστη τριήρεις ἔχῃ. ἐὰν γὰρ ταῦθ' οὕτως εἰς ὁδὸν καταστῇ, εἴ τι καὶ παραλείπομεν νῦν· πάντα γὰρ ἀκριβῶς πως εὑρεῖν οὐ ῥᾴδιον, αὐτὸ τὸ πρᾶγμα ἑαυτῷ εὑρήσει· καὶ μία 36
σύνταξις καὶ πασῶν τῶν νεῶν, καὶ μέρους ἔσται. ὑπὲρ δὲ χρημάτων καὶ πόρου φανεροῦ τινός, ἤδη παράδοξον μὲν οἶδα λόγον ὃν μέλλω λέγειν· ὅμως δ' εἰρήσεται· πιστεύω γάρ, ἐάν τις ὀρθῶς σκοπῇ, μόνος τἀληθῆ καὶ τὰ γενησόμενα εἰρηκὼς φανήσεσθαι. ἐγώ φημι χρῆναι μὴ λέγειν νυνὶ περὶ χρημάτων. εἰσὶ γὰρ πόροι ἂν δέῃ, μεγάλοι καὶ καλοὶ καὶ δί- 37
καιοι, οὕς, ἐὰν μὲν ἤδη ζητῶμεν, οὐδ' εἰς τὸ ὑπάρχειν ἡγησόμεθα ἡμῖν· οὕτω πολὺ τοῦ πορίσαι νῦν ἀποστησόμεθα· ἐὰν δὲ ἐῶμεν, ἔσται. τίς οὖν ἐσθ' οὗτος; ὁ νῦν μὲν οὐκ ὤν, ὑπάρξων δὲ τότε· αἰνίγματι γὰρ ὅμοιον τοῦτό γε. ἐγὼ φράσω. ὁρᾶτε τὴν πόλιν, ὦ ἄνδρες Ἀθηναῖοι, πᾶσαν ταυτηνί; ἐν ταύτῃ χρήματα ἔνεστιν ὀλίγου δέω, πρὸς ἁπάσας τὰς 38

μέρη, καὶ τὰ ἑξήκοντα τάλαντα· ἑξηκοντάκις γὰρ ἑκατόν, ἑξακισχίλια· ἵνα, ἐὰν μὲν κουφότερος γένηται, δύνωνται τριηραρχεῖν δώδεκα εἰς μίαν ναῦν, οὐσίαν κεκτημένοι ταλάντων ἑξήκοντα· εἰ δὲ βαρύτερος ὀλίγῳ γένοιτο, τριηραρχῶσι τῆς συμμορίας τέσσαρες ἄνδρες τῆς μιᾶς νεώς, οὐσίαν κεκτημένοι ταλάντων εἴκοσι. καὶ ὁ μὲν περὶ τῶν τριηράρχων, καὶ τῆς οὐσίας αὐτῶν, καὶ τριήρων λόγος, ἐνταῦθα τὸ πέρας εἴληφε. τὸν δὲ περὶ τῶν πληρωμάτων τούτων, διεῖλε τὸν τρόπον τοῦτον· δέκα τῶν Ἀθηναίων εἰσὶ φυλαί· τριήρεις τοίνυν τριάκοντα ἑκάστῃ προσνέμει φυλῇ· δεκάκις γὰρ τριάκοντα, τριακόσια· διαιρεῖ δὲ τὰς τριάκοντα ταύτας τριήρεις, ὁμοῦ τρίχα κατὰ δέκα· καὶ τὴν φυλὴν εἰς μέρη τρία· καὶ ἀξιοῖ τὸ τρίτον μέρος τῆς φυλῆς, τουτέστι τὴν τριττύν, τηρεῖν τὰς δέκα τριήρεις εἰς τὰς τοῦ πολέμου χρείας. ἔτι δ' εἰσηγεῖται τριάκοντα νεωσοίκους κατὰ φυλὴν ἑκάστην κατασκευασθῆναι ἐν τῷ Πειραιεῖ, ὡς δύνασθαι τὴν μίαν ναῦν ἐν ἑκάστῳ νεωσοίκῳ σώζεσθαι. λοιπὸν ἐστὶν εἰπεῖν περὶ τοῦ τρίτου μέρους τῆς παρασκευῆς· τοῦτο δέ ἐστιν ἡ εἰσφορά, καὶ ὁ μισθὸς τῶν στρατευομένων· ἥν τινα εἰσφορὰν δεῖ γενέσθαι παρὰ πάντων τῶν κεκτημένων οὐσίας κατὰ τὴν πόλιν. τὸν τοίνυν ὑπὲρ τούτου λόγον ὑπερτίθεται νῦν, καὶ ἀξιοῖ μὴ γυμνάζειν περὶ τούτου μηδέν, ἕως ἂν ὄντως ἐνστῇ ὁ βασιλέως πόλεμος· μὴ γὰρ συμφέρειν νῦν ζητεῖν, ἵνα οἱ τὰς οὐσίας ἔχοντες μὴ ἀρνήσωνται. ταῦτα μὲν οὖν ἐστὶν ἃ περὶ τοῦ δυνατοῦ τῆς πόλεως διείλεκται. εἴληφε μέντοι τὸν περὶ τῶν χρημάτων λόγον ἐξ ἀνθυποφορᾶς, ζητοῦντος τοῦ ἀκροατοῦ τὴν εὐπορίαν ἐκ τοῦ προχείρου· λαμβάνοντός τι τοῦ ῥήτορος ἐξ ἀνθυποφορᾶς τὸ κεφάλαιον, Καὶ πόθεν ἡμῖν ἔσται τὰ χρήματα, φατέ, καὶ λέγε φανερῶς τὸν πόρον. ὁ δὲ ἔλυσεν ὡς

συμφέρει. α.

δή. ε.
μέλλων.
φανεῖσθαι. α.
ἐάν. α. ε.
ὑμῖν. χ. β. α ε.
ἀποχρησόμεθα. α.
α.
ταύτην. α.
πάσαις. α. ε.

ἔφαμεν, ἀξιῶν μὴ νῦν ζητεῖν, εἰς δὲ τὸν μέλλοντα χρόνον ὑπερτίθεσθαι τὴν περὶ τούτων ἐπίσκεψιν· τότε γὰρ ἔσεσθαι τὸν πόρον, ἐπειδὰν ἥκῃ βασιλεύς. εἶτα ἐπήνεγκεν ἐπιχείρημα ἐπὶ τούτοις, ὅτι εἰ ταύτην τὴν δύναμιν παρασκευασόμεθα, μᾶλλον αὐτὸν ἀμυνούμεθα, ἢ οἱ πατέρες· διότι, ἡμεῖς μὲν νῦν κεκτήμεθα τριακοσίας τριήρεις μόνοι· τὸ δὲ παλαιόν, διακοσίας πάντες οἱ ἕλληνες· πεπλήρωκε τὸν λόγον πάντα τὸν περὶ τοῦ δυνατοῦ τῆς πόλεως. ἐντελῆ δὲ τὴν ἐργασίαν τοῦ κεφαλαίου δίδωσι, οὐ μόνον τὸ δυνατὸν ἐξετάζει τῆς πόλεως, ἀλλὰ καὶ τὸ ἀντικείμενον.

μεταβαίνει τοίνυν ἐπὶ τὸ τοῦ βασιλέως δυνατόν. τοῦτο δὲ κατ' ἀντί-

41 θεσιν λαμβάνει. Ἀλλὰ χρήματα, φησίν, ἐπάξεται βασιλεύς· πολλὰ γὰρ περιβέβληται. τοῦτο πῶς μέρος πρῶτον αὐτῆς τίθησι· δεῖ γὰρ αὐτῇ προστεθῆναι, τίνος ἕνεκα φοβοῦνται τὰ βασιλέως χρήματα. πῶς δ' ἐμέλλησεν, ἵνα εὐπετὴς αὐτῷ πρὸς τὴν λύσιν γένηται. λύει τοίνυν αὐτὴν ἐκ συγκρίσεως εἰπών, Τὸ μὲν ἐκείνου ῥᾳδίως ἀναλωθήσεσθαι, καὶ μηδαμόθεν ἕξειν ἐπικουρίαν· ἀθηναίοις δέ, ἐκ τῆς χώρας κατὰ μέρος λαμβάνοντας, μηδέποτε τῶν ἀναγκαίων ἀπορήσειν· καὶ τοῦτο εἶναι τὸ μέγιστον, τὸ κρατοῦντας τῆς οἰκείας χώρας, καὶ τὰς ἀφορμὰς ἐκ ταύτης λαμβάνοντας αὐτὸν πολεμεῖν. ἑτέραν ἀντίθεσιν ἔλαβεν, ἀκόλουθον τῇ προειρημένῃ· μᾶλλον δὲ μέρος οὖσαν ἔλαβε τῆς πρὸ αὐτῆς. Ἀλλὰ δέος μὴ πολὺ μισθοφορικὸν ἐκ τῶν ἑλληνικῶν χρήματα ἔχων βασιλεύς, πολλοὺς μισθοφόρους ἑλλήνων ἀθροίσῃ. δίχα δὲ ταύτην διαιρεῖ· τὸ μὲν πρότερον μέρος ἔλυσεν, ὡς ἤδη δέδεικται·

ἄλλας εἰπεῖν πολλάς. ταῦτα δ' οἱ κεκτημένοι, τοιοῦτον ἔχουσι τὸν νοῦν, ὥστ' εἰ πάντες οἱ ἐνταυθοῖ λέγοντες φοβοῖεν, ὡς ἥξει βασιλεύς, ὡς πάρεστιν, ὡς οὐχ οἷόν τε ταῦτ' ἄλλως ἔχειν, καὶ μετὰ τῶν λεγόντων ἴσοι τὸ πλῆθος τοῦ-

39 τοις χρησμῳδεῖεν, οὐ μόνον οὐκ ἂν εἰσενέγκαιεν, ἀλλ' οὐδ' ἂν δείξαιεν, οὐδ' ἂν ὁμολογήσαιεν κεκτῆσθαι. εἰ μέντοι τὰ νῦν διὰ τῶν λόγων φοβερά, ἔργῳ περαινόμενα αἴσθοιντο, οὐδεὶς οὕτως ἠλίθιός ἐστιν, ὅστις οὐχ ἱκανὸν δοίη, καὶ πρῶτος εἰσενέγκοι. τίς γὰρ αἱρήσεται μᾶλλον αὐτός, καὶ τὰ

40 ὄντα πάντ' ἀπολωλέναι, ἢ μέρος τῶν ὄντων ὑπὲρ ἑαυτοῦ καὶ τῶν λοιπῶν προεισενεγκεῖν; χρήματα μὲν δή φημι εἶναι τότε, ἂν ὡς ἀληθῶς δέῃ· πρότερον δέ, οὔ· διὸ μηδὲ ζητεῖν πρὸ ἀνάγκης· ὅσα γὰρ νυνὶ ποριεῖσθαι ἄν, εἰ προέλοισθε ποιεῖσθαι, πλείων ἐστὶ γέλως τοῦ μηδενός· φέρε γάρ, ἑ-

41 κατοστήν τις εἰσφέρειν ἐρεῖ, οὐκοῦν ἑξήκοντα τάλαντα ἐρεῖ. ἀλλὰ πεντηκοστὴν τις ἐρεῖ τὸ διπλοῦν; οὐκοῦν ἑκατὸν καὶ εἴκοσι. καὶ τί τοῦτ' ἐστὶ πρὸς διακοσίας καὶ χιλίας καμήλους, ἃς βασιλέως τὰ χρήματ' ἄγειν φασὶν οὗτοι. ἀλλὰ θῶ, βούλεσθε δωδεκάτην ἡμᾶς εἰσοίσειν, πεντακόσια τά-

42 λαντα; ἀλλ' οὔτ' ἂν ἀνάσχοισθε, οὔτ' ἂν εἰ καταθεῖτε, ἄξια τοῦ πολέμου τὰ χρήματα. δεῖ τοίνυν ὑμᾶς τἄλλα παρασκευάσασθαι· τὰ δὲ χρήματα, νῦν μὲν ἐᾶν τοὺς κεκτημένους ἔχειν· οὐδαμοῦ γὰρ ἂν ἐν καλλίονι σῴζοιτο τῇ πόλει. ἐὰν δέ ποθ' ὁ καιρὸς ἐκεῖνος ἔλθοι, τότε ἑκόντων εἰσφε-

43 ρόντων αὐτῶν, λαμβάνειν. ταῦτα δὲ καὶ δυνατά ἐστιν, ὦ ἄνδρες ἀθηναῖοι, καὶ πράττειν καλά, καὶ συμφέροντα· καὶ βασιλεῖ περὶ ὑμῶν ἐπιτήδεια ἀπαγγελθῆναι, καὶ φόβος οὐκ ὀλίγος γένοιτ' ἂν ἐκείνῳ διὰ τούτων. οἶδε μὲν γε τριακοσίαις τριήρεσιν, ὧν ἑκατὸν παρεσχόμεθ' ἡμεῖς, τοὺς

44 προγόνους αὐτοῦ χιλίας ἀπολέσαντας ναῦς. ἀκούσεται δέ, τριακοσίας αὐτοὺς ὑμᾶς παρεσκευασμένους τριήρεις· ὥστε μὴ κομιδῇ, μηδ' εἰ πάνυ μαίνοιτο, νομίσαι ῥᾴδιον εἶναι, τὸ τὴν ἡμετέραν πόλιν ἐχθρὰν ποιήσασθαι. ἀλλὰ μὴν, εἴγε ἐπὶ χρήμασιν αὐτῷ μέγα ἐπέρχεται φρονεῖν, καὶ ταύτην ἀσθενεστέραν ἀ-

45 φορμὴν τῆς ὑμετέρας εὑρήσει· ὁ μὲν γε χρυσίον, ὡς φασιν, ἄγει. τοῦτο δ' ἂν διαδῷ, ζητήσει· καὶ γὰρ τὰς κρήνας, καὶ τὰ φρέατα ἐπιλιπεῖν πέφυκεν, ἐάν τις ἀπ' αὐτῶν ἀθρόα καὶ πολλὰ λαμβάνῃ· ἡμῖν δὲ τὸ τῆς χώρας τίμημα ὑπάρχον, ἀφορμὴν ἑξακισχίλια τάλαντα ἀκούσετε· ὑπὲρ ἧς, ὡς μὲν τοὺς ἐπιόντας ἐκείνων ἀμυνούμεθα, οἱ ἐν μαρα-

46 θῶνι τῶν προγόνων αὐτοῦ μάλιστ' ἂν εἰδεῖεν. ἕως δ' ἂν κρατῶμεν, οὐκ ἔνι δήπου χρήμαθ' ἡμᾶς ἐπιλιπεῖν. καὶ μὴν οὐδ' ὅ τινες δεδίασι, μὴ ξενικὸν πολὺ συστήσηται χρήματα ἔχων, ἀληθὲς εἶναί μοι δοκεῖ· ἐγὼ γὰρ ἡγοῦμαι, ἐπὶ μὲν αἴγυπτον, καὶ ὀρρόντην, καὶ τινὰς τῶν ἄλλων βαρβάρων, πολλοὺς ἂν ἐθελῆσαι τῶν ἑλλήνων μισθοφορεῖν παρ' ἐκεί-

47 νῳ, οὐχ ἵνα ἐκεῖνος ἕλῃ τινὰ τούτων, ἀλλ' ἵν' εὐπορίαν τινὰ ἕκαστος αὐτῷ κτησάμενος,

ἀπαλλα-

Marginal variants: α. — β.ε. — φρενῳθεῖεν. ε. — ἴσοι. β. — εἰσενέγκαι. β. — αὐτοῦ. β. — αὐτοῦ. α. ε. — εἰσενεγκεῖν. α. — χρ. β. ε. — ἂν. β. — πῶ. β. — νῦν. β. — ὑμᾶς. ε. — καταθοῖτε. β. καταθοῖσθε. ε. — ἡμᾶς. χρ. β. — ὑμῶν. α. ε. — ὑμᾶς. α. — ἰῶ. α. ε. — α. — α. — εἰ καὶ πάνυ. ε. — π. β. — αἱ κρῆναι. — α. — ἐπιλείπειν. α. — α. — ἑξακισχίλια. χρ. β. — α. — ὀρρόντας. α. — εἶναι. β. — μισθοφορῆσαι. χρ. β. ε. — ε. — αὐτῷ. α. — πρότερον. α.

ἀπαλλαγὴ τῆς ὑπαρχούσης πενίας· ἐπὶ δὲ τὴν ἄλλην
Ἑλλάδα, ἐλπίζω μὲν οὐδένα ἂν ἐλθεῖν ἡγοῦμαι· πῇ γὰρ αὐ-
τὸς τρέψεται μετὰ ταῦτα; εἰς Φρυγίαν ἄνω ἐλθὼν δουλεύσει; οὐ 48
γὰρ ὑπὲρ ἄλλου τινός ἐστιν ὁ πρὸς τὸν βάρβαρον πόλε-
μος, ἢ περὶ χώρας, καὶ βίου, καὶ ἐθῶν, καὶ ἐλευθερίας, καὶ πάν-
των τῶν τοιούτων. τίς οὖν οὕτως ἐστὶ δυστυχής, ὅστις ἑαυτόν,
γονέας, τάφους, πατρίδα, ἕνεκα κέρδους βραχέος προ-
έσθαι βουλήσεται; ἐγὼ μὲν οὐδένα ἡγοῦμαι. καὶ μὴν οὐ- 4●
δ' ἐκείνῳ συμφέρει, ξένους κρατῆσαι τῶν Ἑλλήνων· οἱ γὰρ
ἡμῶν κρατήσαντες, ἐκείνου γε πάλαι κρείττους εἰσί.
βούλεται δ' ἐκεῖνος οὐκ ἀνελὼν ἡμᾶς, ἑτέροις εἶναι, ἀλ-
λὰ μάλιστα μὲν πάντων· εἰ δὲ μή γε, τῶν ὑπαρχόντων
δούλων ἑαυτοῦ νῦν ἄρχειν. εἰ τοίνυν τις οἴεται Θηβαίους 50
ἔσεσθαι μετ' ἐκείνου, ἔστι μὲν χαλεπὸς πρὸς ὑμᾶς ὁ πε-
ρὶ τούτων λόγος· διὰ γὰρ τὸ μισεῖν αὐτούς, οὐδ' ἂν ἀληθὲς
ἡδέως, οὐδ' ἂν ἀγαθόν τι περὶ αὐτῶν ἀκούσαιτε· οὐ μὴν
ἀλλὰ δεῖ τοὺς περὶ πραγμάτων μεγάλων σκοποῦν-
τας, μηδένα συμφέροντα λογισμὸν παραλιπεῖν διὰ 51
μηδεμίαν πρόφασιν. ἐγὼ τοίνυν οἶμαι τοσοῦτον ἀπέχειν
Θηβαίους τοῦ μετ' ἐκείνου ποτ' ἂν ἐλθεῖν ἐπὶ τοὺς Ἕλληνας,
ὥστε πολλῶν ἂν χρημάτων, εἰ ἔχοιεν δοῦναι, πρίασθαι γε-
νέσθαι τινὰ αὐτοῖς καιρὸν δι' οὗ τὰς προτέρας ἀναλύσον-
ται πρὸς τοὺς Ἕλληνας ἁμαρτίας. εἰ δ' ἄρα πάντα πάσι 52
τις οὕτως οἴεται φύσει δυστυχεῖς Θηβαίους εἶναι, ἐκεῖνό γε
δήπουθεν ἅπαντες ἐπίστασθε, ὅτι Θηβαίων τὰ ἐκείνου
φρονούντων, ἀνάγκη τοὺς τούτων ἐχθρούς, τὰ τῶν Ἑλλήνων
φρονεῖν. ἡγοῦμαι τοίνυν ἐγὼ ταύτην τὴν τάξιν οὐ δικαίως, 53
καὶ τοὺς μετ' αὐτῆς ὄντας, τῶν προδιδόντων κρείττους καὶ τοῦ
βαρβάρου ἔσεσθαι πρὸς ἅπαντας. ὥστ' οὔτε φοβεῖ-
σθαί φημι δεῖν πέρα τοῦ μετρίου, οὔθ' ὑπάρξαι προ-
τέρους ἐκφέρειν τὸν πόλεμον. καὶ μὴν οὐδὲ τῶν ἄλλων οὐδένα ἂν εἰκότως Ἑλλήνων φο- 54
βηθέντα τὸν πόλεμον τοῦτον ὁρῶ. τίς γὰρ οὐκ οἶδεν αὐτῶν, ὅτι ἕως μὲν ἐκεῖνον κοινὸν ἐχθρὸν
ὑπειληφότες ὡμονόουν ἀλλήλοις, πολλῶν ἀγαθῶν ἦσαν κύριοι· ἐπειδὴ δὲ φίλον αὐτὸν
νομίσαντες αὑτοῖς ὑπάρχειν, περὶ τῶν πρὸς αὑτοὺς διηνέχθησαν διαφορῶν, ὅσα ἂν 55
οὐδὲ καταρώμενος εὕροι τις αὐτοῖς, τοσαῦτα πεπόνθασι κακά. εἶτ' ὃν ἡ τύχη καὶ τὸ
δαιμόνιον, φίλον μὲν ἀλυσιτελῆ, συμφέροντα δ' ἐχθρὸν ἐμφανίζει, τοῦτον ἡμεῖς φοβού-
μεθα; μηδαμῶς· ἀλλὰ μὴ ἀδικῶμεν ἡμεῖς αὐτῶν ἕνεκα, καὶ τῆς τῶν ἄλλων Ἑλλήνων τα-
ραχῆς καὶ ἀπιστίας ἐπεί, εἴ γε ὁμοθυμαδὸν ἦν μετὰ πάντων ἐπιθέσθαι μόνῳ, οὐδ' ἀδι- 56
κεῖν ἂν ἡμᾶς ἔθηκα ἐκεῖνον. ἐπειδὴ δὲ τοῦτ' οὐχ οὕτως ἔχει, φυλάττεσθαί φημι δεῖν, μὴ
πρόφασιν δῶμεν βασιλεῖ, τοῦ τὰ δίκαια ὑπὲρ τῶν ἄλλων Ἑλλήνων ζητεῖν. ἡσυχίαν μὲν
γὰρ ἐχόντων ὑμῶν, ὕποπτος ἂν εἴη, τοιοῦτό τι πράττων· πόλεμον δὲ ποιησαμένων προ-
τέρων, εἰκότως ἂν δοκοίη διὰ τὴν πρὸς ὑμᾶς ἔχθραν, τοῖς ἄλλοις φίλος εἶναι βούλεσθαι. 57

τὸ δὲ δεύτερον, ἐντεῦθεν ἄρχεται. λύει δὲ μεταληπτικῶς· Εἰ μὲν ἐφ' ἑτέρους στρατεύοιτο βασιλεύς, ὑπακούσαι ἂν τοὺς τῶν Ἑλλήνων μισθοφόρους· εἰ δ' ἐπὶ τὴν Ἑλλάδα, οὐχ ὑπακοῦσαι. εἶτα ἑτέρα μετάληψις, ἀπὸ τῆς τοῦ βασιλέως γνώμης, ὅτι οὐδὲ ἐκείνῳ συμφέρει διὰ τῶν ξένων κρατῆσαι· παρασκευάσει γὰρ αὐτοὺς καταφρονεῖν τῆς αὐτοῦ δυνάμεως. τρίτην ἀντίθεσιν ἔλαβεν ἐκ τοῦ αὐτοῦ δυνατοῦ καὶ τῶν συμβησομένων αὐτῷ πλεονεκτημάτων, εἰ ἀναμείναιεν αὐτὸν εἰς τὴν Ἑλλάδα ἐλθεῖν. ἔστιν οὖν ἡ τρίτη, Ἀλλὰ δέος μὴ Θηβαῖοι δεῦρο τοῦ βασιλέως ἐλθόντος, τῆς ἐκείνου γένωνται γνώμης· ταύτην ἔλυσεν ἐνστάσει, εἰπὼν μὴ ἂν ἐθελῆσαι Θηβαίοις μετ' ἐκείνου γενέσθαι· καὶ μετάληψει, Ἀλλὰ μᾶλλον ἂν εὔξεσθαι τοῖς θεοῖς καιρὸν γενέσθαι ἀπολογήσασθαι ὑπὲρ ὧν πρότερον ἥμαρτον, ἢ πάλιν ἐπαντλῆσαι ταῖς προτέραις αἰτίαις καὶ δευτέρας διαβολάς· τρίτη λύσις, εἰ δὲ καὶ Θηβαῖοι μετ' ἐκείνου γενήσονται, ἀλλ' οὖν γε οἱ τῶν Θηβαίων ἐχθροὶ μετὰ τῶν Ἑλλήνων ἔσονται. εἶτα ἐπισυναγαγὼν καὶ τῷ δικαίῳ, καὶ τῷ συμφέροντι, καὶ τῷ δυνατῷ· δικαίῳ μέν, ὅτι οὐ δεῖ προτέρους κατάρχειν· δυνατῷ δέ, ὅτι περιγενήσονται τῶν προδοτῶν, Θηβαίων λέγει τε ὀρχίων καὶ τῶν μισθοφόρων· συμφέροντι δέ, ὅτι οὐ χρὴ προτέρους ὑπάρξαι τὸν πόλεμον ἐκφέρειν· μετέβη λοιπὸν ἐπὶ τὴν τῶν Ἑλλήνων ποιότητα· Ἀλλὰ δέος μὴ καταπλαγέντες οἱ Ἕλληνες τῷ πολέμῳ ἐπελθόντος βασιλέως, προδῶνται τὴν Ἑλλάδα· ταύτην ἔλυσεν ἐνστάσει· εἶτα κατασκευάσει μεταληπτικῶς, ὅτι, ἕως μὲν αὐτὸν κοινὸν

ὑπακούσεσθαι. α.
ἐκεῖνον. α.
ἤδε. β.
δίκαιον.
δυνατόν.
α.
συμφέρον.
προτέροις.
α.
τὸν πόλεμον.
α.
Εἶθ' ὃν) Πι-είοδος.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κοινὸν ἐχθρὸν ἐνόμιζον, πολλῶν ἀγαθῶν ἐγένοντο κύριοι· ἀφ' οὗ δὲ φίλον αὐτὸν ᾠήθησαν, πάντα πεπόνθασι τὰ ἀνήκεστα· τὸ, Οὐκοῦν οὖν, καλὸν μὲν αὐτοῖς φαίη τις ἄν, αὐτὴν ἔλαβεν ἐξ ἀκολουθίας τὴν αἰτίασιν· εἶτα μὴ θεὶς αὐτὴν, ἔλυσεν εἰπὼν, Μὴ νῦν καλῶμεν, ὅτι οὐχ ὑπακούσονται· μὴ νῦν πολεμῶμεν, ὅτι οὐ δυνησόμεθα. εἶτα ἐπισυνῆψε καὶ ἕτερον μέρος τοῦ συμφέροντος. ὅτι, ὑπὲρ ἡμῶν, τὸ τὸν βασιλέα στρατεῦσαι δεῦρο· οὕτω γὰρ ἂν διαλλαγεῖεν ἀλλήλοις οἱ ἕλληνες. ἐπὶ τούτοις ἐπήγαγε τοὺς ἐπιλόγους ἀνακεφαλαίωσιν ἔχοντας· πρότερον μὲν ἀπὸ τοῦ δικαίου, ἐν ᾧ τὸ μὴ παραβαίνειν τοὺς ἑαυτῶν ὅρκους, μὴ συγχεῖν συνθήκας *προτέρους, περὶ τοῦ δεῖν ἀμύνεσθαι βασιλέα *κοινὰ ἐπιόντα· ἀλλὰ μὴ στρατεύεσθαι ἐπὶ τὴν ἐκείνου χώραν, περὶ τῆς παρασκευῆς, ὅπως ἂν εὐπρεπὴς γένοιτο ἔργῳ, μᾶλλον ἢ λόγῳ ἐξειπεῖν, ὅπως ἄξια ἔσται τὰ ἔργα τῶν προγονικῶν πράξεων, μὴ τοῖς λόγοις *προσέχειν, ἀλλὰ τοῖς ἔργοις ἀσφαλῶς παρασκευάζεσθαι. αὕτη δὲ ἡ ἔννοια πλείστην ἔχει συγγένειαν πρὸς τὴν ἐν προοιμίῳ. ἐπὶ τούτοις καταστρέφει τὸν λόγον.

*προτέρας. *μόνον. α. *πιστεύειν.

μὴ οὖν ἐξελέγξητε, ὡς κακῶς ἔχει τὰ ἑλληνικά, συγκαλοῦντες ὅτε οὐ *πείσονται, καὶ πολεμοῦντες, ὅτε οὐ δυνήσεσθε· ἀλλ' ἔχετε ἡσυχίαν, θαρροῦντες καὶ παρα-
58 σκευαζόμενοι. καὶ βούλεσθε ἀπαγγέλλεσθαι *περὶ ὑμῶν πρὸς βασιλέα, μὴ μὰ Δία, ὡς ἀποροῦσιν, ἢ φοβοῦνται, ἢ θορυβοῦνται πάντες οἱ ἕλληνες, καὶ οἱ ἀθηναῖοι πολλοῦ γε καὶ δεῖ· ἀλλ' ὅτι, εἰ μὴ τοῖς ἕλλησιν ὁμοίως αἰσχρὸν ἦν τὸ ψεύδεσθαι καὶ ἐπιορκεῖν, ὥσπερ ἐκείνῳ καλὸν, πά-
59 λαι ἂν ὑμεῖς ἐπ' ἐκεῖνον ἐπορεύεσθε. νῦν δὲ, τοῦτο μὲν, οὐκ ἂν ποιήσαιτε ὑμῶν ἕνεκα αὐτῶν. εὔχεσθε δὲ πᾶσι τοῖς θεοῖς τὴν αὐτὴν λαβεῖν παράνοιαν ἐκεῖνον, ἥνπερ ποτὲ τοὺς προγόνους αὐτοῦ. καὶ ταῦτ' ἂν ἐπίῃ σκοπεῖν αὐτῷ, οὐκ ὀλιγώρως ὑμᾶς βουλευομένους εὑρήσει, ἐκ
60 μὲν γε τοῦ πρὸς τοὺς ἑαυτοῦ προγόνους πολέμου, σύνοιδε τὴν πόλιν εὐδαίμονα, καὶ μεγάλην γεγενημένην. ἐκ δὲ τῆς ἡσυχίας, ἣν ἦγε πρὸ τούτων, οὐδεμιᾶς τῶν ἄλλων ἑλληνίδων πόλεων τοσοῦτον, ὅσον νῦν ὑπεραίρουσαν. καὶ μὴν καὶ τοὺς ἕλληνας ὁρᾷ δεομένους, ἤτοι τινὸς ἐξουσίας,
61 ἢ ἀκουσίου συμμαχίας. τοῦτον δὴ αὐτὸν ἂν οἶδε φανέντα αὐτοῖς, εἰ πόλεμον κινοίη, ὥστε καὶ γνώριμα καὶ πιστὰ αὐτῷ *τῶν ἀπαγγελλόντων ἀκούειν ἔσται. ἵνα δὴ, ὦ ἄνδρες ἀθηναῖοι, μὴ μακρὰ λέγων λίαν ἐνοχλῶ, τὰ κεφά-
62 λαια ὧν συμβουλεύω φράσας, ἄπειμι, παρασκευάζεσθαι μὲν πρὸς τοὺς ὑπάρχοντας ἐχθροὺς κελεύω· ἀμύνεσθαι δὲ καὶ βασιλέα, καὶ πάντας, ἂν ἀδικεῖν ἐπιχειρῶσι, ταύτῃ τῇ δυνάμει φημὶ δεῖν· ἄρχειν δὲ μηδενὸς, μήτε λόγου, μήτε ἔργου ἀδίκου. τὰ δὲ ἔργα *ἡμῶν ὅπως ἄξια τῶν προγόνων ἔσται, *σκοπῶμεν, μὴ τοὺς ἐπὶ τοῦ βή-
63 ματος λόγους. κἂν *ταῦτα ποιῆτε, καὶ ὑμῖν αὐτοῖς, καὶ τοῖς τἀναντία πείθουσι συμφέροντα πράξετε· οὐ γὰρ *ὀργισθήσεσθε αὐτοῖς ὕστερον, νῦν ἁμαρτόντες.

*πείσο. α. ε. — *ἐπαγγέλλ. α. ε. μῶν. α. — α. — ἀλλ' ὅ π. α. ε. *μὲ. α — αὐτὸν. α. — ἐκ προγόνων. χ. β. — ἧς ἦγε πρὸ ... περὶ τῶν ἡλληνίδων. ε. — α. — *τὰ. α. ε. ἀγγελόντων — α. — α. — ε. — *ὑμῶν. α. ε. — *σκοπεῖτ. α. ε. — *ταῦτα. ε. — *ὀργισθῆτε. α.

## ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΡΟΔΙΩΝ ΕΛΕΥΘΕΡΙΑΣ ΛΟΓΟΥ.

ΤΟΝ συμμαχικὸν κληθέντα πόλεμον πρὸς ἀθηναίους, χῖοι, καὶ ῥόδιοι, καὶ βυζάντιοι*, πρότερον μὲν αὐτῶν ὑπήκοοι γεγονότες, τότε δὲ ἀλλήλοις συμμαχίαν πεποιημένοι κατὰ τῶν ἀθηναίων· γείτονες δ' ὄντες οἱ ῥόδιοι τῇ καρίᾳ, πρὸς τὸν ταύτης ὕπαρχον μαύσωλον οἰκείως ἔχειν ἐδόκουν. ὁ δὲ, κατ' ὀλίγον πιστευόμενος ὑπ' αὐτῶν, ἐπιβουλὴν κατὰ τοῦ δήμου συνεστήσατο· καὶ τὴν δημοκρατίαν τῶν ῥοδίων καθελόμενος, ὀλίγοις τοῖς δυνατωτέροις τὴν πόλιν κατεδούλωσε. συμβουλεύει τοίνυν ὁ δημοσθένης, μὴ περιορᾶν ταῦτα, ἀλλὰ βοηθεῖν τῷ δήμῳ τῶν ῥοδίων, συμφέρειν τοῖς ἀθηναίοις τὸ δημοκρατεῖσθαι *λέγων τὰς πόλεις. εἰ δὲ ἠδικήκασιν ἡμᾶς ῥόδιοι, φησίν· ἀλλὰ πρέπον ἐστὶν ἡμῖν καὶ σύνηθες, τὸ, καὶ τοὺς λυπήσαντας τινὰς τῶν ἑλλήνων ἐλευθεροῦν, καὶ μὴ μνησικακεῖν ἁμαρτάνουσιν εἰς τὴν πόλιν.

*συνεστήσαντο. χ. β. — *β.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΤΟΥ ΥΠΕΡ ΤΩΝ ΡΟ[illegible]ΙΩΝ ΕΛΕΥΘΕΡΙΑΣ, ΔΗΜΟΣΘΕΝΟΥΣ ΛΟΓΟΥ ΕΞΗΓΗΣΙΣ.

ΣΥΝΕΜΑΧΟΥΝ ἀθηναίοις ποτὲ οἱ νησιῶται καὶ οἱ τὴν θρᾴκην οἰκοῦντες ἄχρι τοῦ βυζαντίου· ἀλλ' ἀποστάντες εἰς ἐλευθερίαν ἐπολέμησαν ἀθηναίοις· καὶ μηκυνομένου τοῦ πολέμου, ἠναγκάσθησαν εἰς συνθήκας ἐλθεῖν πρὸς αὐτοὺς ἀθηναῖοι, ὥστε αὐτονόμους εἶναι καὶ ἐλευθέρους. μετὰ ταῦτα βασιλέως γνώμῃ βοηθούσης ἀρτεμισίας τοῖς κατὰ τὴν ῥόδον εὐπόροις, ἐπιτίθενται τῷ δήμῳ οἱ δυνατοί, καὶ ἄρχουσι τῆς ῥοδίων πόλεως οἱ τὰς οὐσίας κεκτημένοι. καταφυγὼν οὖν ὁ δῆμος ἐπὶ τὴν τῶν ἀθηναίων πόλιν, ἀξιῶν ἐλευθερίας τυχεῖν. δημοσθένης παραινεῖ βοηθεῖν τῷ δήμῳ ῥοδίων· εἰ καί τις ἄλλος ἀθηναίους ἐλύπησεν ἐν τῷ συμμαχικῷ πολέμῳ, καὶ τὴν ἀπόστασιν εἰργάσατο, μᾶλλον πέφηνεν ὁ τῶν ῥοδίων δῆμος. διόπερ πρὸς αὐτοὺς ἔοικε χαλεπαίνειν ἐξαιρέτως ἡ πόλις· μάλιστα γὰρ αὐτοὶ τυγχάνουσι τὴν ἀπόστασιν εἰργασμένοι. κατὰ ταῦτα τοίνυν χαλεπὸς ὁ λόγος τῷ συμβούλῳ, λέγοντι ὑπὲρ ἀνθρώπων ἀφεστηκότων καὶ λελυπηκότων πολλὰ τὴν πόλιν. καὶ οὐ τοῦτο μόνον λυπεῖ τὸν δημηγόρον, ἀλλὰ καὶ ὁ παρὰ τοῦ βασιλέως φόβος· δοκεῖ γὰρ οὐδὲ μικρὸν οὐδὲ ἀκίνδυνον εἶναι τὸ προσκρούειν βασιλεῖ οὐδὲν καταλήψεσθαι τὴν νῆσον διὰ τῶν εὐπόρων· εἰς γὰρ ἐκεῖνον ἀνήκει τὰ πράγματα. πρὸς τοίνυν ἑκάτερον τούτων, ἀντέθηκεν ἰσχυρότατα δύο· πρὸς μὲν τὴν τῶν ῥοδίων ἀπιστίαν, τὴν μεγαλοφροσύνην τῆς πόλεως, καὶ τὸ συνήθες εἶναι βοηθεῖν τοῖς ἀδικουμένοις τῶν ἑλλήνων, τὰ συμβησόμενα πρὸς εὐδοξίαν τῇ πόλει· καὶ ὅτι πάντες εἰς αὐτοὺς ἀποβλέψουσιν, εἰ τοῦτο ποιήσειεν. πρὸς δὲ τὸν παρὰ τοῦ βασιλέως φόβον, καὶ τὸ δίκαιον καὶ τὸ δυνατὸν ἀντέθηκε, καὶ τρίτον τὸ συμφέρον· δυνατὸν μὲν, ὅτι κακῶς πράττοντος τοῦ βασιλέως περὶ τὴν αἴγυπτον καὶ ἡττωμένου, οὔτε ἀρτεμισία βοηθήσει τοῖς ὀλιγαρχοῦσι ῥοδίων, οὔτε αὐτὸς ὁ βασιλεύς. δίκαιον δὲ, ὅτι οὐκ ἂν μεταποιήσαιτο βασιλεύς, τῶν μὴ προσηκόντων αὐτῷ· ἕλληνές τε γάρ εἰσι ῥόδιοι, καὶ μεμερισμένοι τὴν βασιλέως ἀρχήν· καὶ τὸ τρίτον, συμφέρον, ὅτι οὐδὲ περὶ ὅρων δέει, καὶ μεταποιεῖται ὁ βασιλεὺς τῶν ῥοδίων σύμβολον γάρ ἐστι τὸ γιγνόμενον, τοῦ μὴ μόνον ῥοδίων ἐπιθυμεῖν ἐκεῖνον· ἀλλὰ καὶ πάντων τῶν ἑλλήνων. οὕτω μὲν οὖν διῄρηκε τὸν λόγον, καὶ τὰ πράγματα ταύτην ἔχει τὴν φύσιν. ὅπως δὲ ἕκαστον τούτων διῴκηκε, καὶ ἐν τίσι μετεχειρίσατο, ἀρκεῖ ἔον λέγειν, αὐτόθεν ἐκ προοιμίου τὴν ἀρχὴν ποιησαμένους.

# ΔΗΜΟΣΘΕΝΟΥΣ Ο ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΡΟΔΙΩΝ ΕΛΕΥΘΕΡΙΑΣ ΛΟΓΟΣ.

ΟΙΜΑΙ δεῖν ἡμᾶς, ὦ ἄνδρες ἀθηναῖοι, περὶ τηλικούτων βουλευομένους, διδόναι παρρησίαν ἑκάστῳ τῶν συμβουλευόντων. ἐγὼ δὲ οὐδεπώποτε ἡγησάμην χαλεπὸν τὸ διδάξαι τὰ βέλτιστα ὑμᾶς· ὡς γὰρ εἰπεῖν ἁπλῶς, ἅπαντες 2
γνωκότες ὑπάρχειν μοι δοκεῖτε, ἀλλὰ τὸ πράττειν πεῖσαι ταῦτα· ἐπειδὰν γάρ τι δόξῃ, καὶ ψηφισθῇ, τοσοῦτον τοῦ πραχθῆναι ἀπέχει, ὅσον περ πρὶν δόξαι. ἔστι μὲν οὖν ἓν ὧν ἐγὼ νομίζω χάριν ὑμᾶς τοῖς θεοῖς ὀφείλειν, ὅτι τοὺς διὰ τὴν αὐτῶν ὕβριν ὑμῖν πολεμήσαντας οὐ πάλαι, 3
νῦν ἐν ὑμῖν μόνοις τῆς αὐτῶν σωτηρίας ἔχειν τὰς ἐλπίδας. ἄξιον δὲ ἡσθῆναι τῷ παρόντι καιρῷ· συμβήσεται γὰρ ὑμῖν, ἐὰν ἃ χρὴ βουλεύσησθε ὑπὲρ αὐτοῦ, τὰς παρὰ τῶν διαβαλλόντων τὴν πόλιν ἡμῶν βλασφημίας, ἔργῳ μετὰ δόξης καλῆς ἀπολύσασθαι. ἠτιάσαντο μὲν γὰρ ἡ- 4
μᾶς ἐπιβουλεύειν αὐτοῖς, χῖοι, καὶ βυζάντιοι, καὶ ῥόδιοι· καὶ διὰ ταῦτα συνέστησαν ἐφ' ἡμᾶς, τὸν τελευταῖον τουτονὶ πόλεμον. φανήσεται δὲ, ὁ μὲν πρυτανεύσας ταῦτα καὶ πείσας μαύσωλος, φίλος εἶναι φάσκων ῥοδίων, τὴν ἐλευθερίαν αὐτῶν ἀφῃρημένος· οἱ δὲ ἀποδείξαντες αὐτοὺς συμ- 5

Οἶμαι δεῖν ὑμᾶς) Τὴν εὐλάβειαν ἣν ἔχει πρὸς τὴν ὑπόθεσιν, διὰ τῆς ἐπιβολῆς ἐνδείκνυται· οὐ γὰρ ἔχων παρρησίαν εἰπεῖν ὑπὲρ ἀνδρῶν δοκούντων πολλὰ καὶ μεγάλα τὸν δῆμον ἠδικηκέναι, διὰ δὲ τῆς ἐξῆς ἐννοίας τοῦ αὐτοῦ προοιμίου προκαταλαμβάνει τὸν ἀκροατὴν, καὶ βούλεται λαβεῖν ὁμολογοῦντα, ὅτι πείσει τὰ συμβουλευόμενα· ὡς ταῦτα διοικεῖσθαι διὰ τῶν δυοῖν ἐννοιῶν· τό, τε ἀναγκάσθαι λέγοντος καὶ τὸ πεισθῆναι τοῖς λεγομένοις ἅμα καὶ πρᾶξαι. τοῦ δευτέρου προοιμίου, ἡ μὲν ἐπιβολή ἐστι τὸ εὔνουν, ἐν ᾧ λέγει, Νομίζω χάριν ὑμᾶς τοῖς θεοῖς ὀφείλειν. τὸ τοὺς διὰ τὴν αὐτῶν ὕβριν ὑμᾶς πολεμήσαντας οὐ πάλαι, θαυμασιώτατά γε ἑρμήνευται· ἵνα γὰρ μὴ δοκῇ χάριν λέγειν ὑπὲρ ῥοδίων, κατηγόρησεν αὐτῶν, καὶ κατέδραμε δὲ οὐχ ὡς παροξύνων, ἀλλ' εἰς εὔνοιαν τὸν ἀκροατὴν ἐκκαλέσασθαι βουλόμενος· καὶ γὰρ ἐπῆρεν αὐτὸ καὶ τὸ φρόνημα μετεώρισεν, ἐγκώμιον θαυμαστὸν τῆς κατ' ἠιόνα ῥοδίων ἐν τῷ προοιμίῳ συμπλέξας. συνέστηκε δὲ καὶ τὸ δεύτερον προοίμιον ἐκ δυοῖν ἐννοιῶν· ὧν, τὴν μὲν πρότεραν εἰρήκαμεν· τὴν δὲ δευτέραν φαμὲν προκατασκευὴν ἔχειν τοῦ κεφαλαίου· τὴν γὰρ δύναμιν ἐπισημαίνεται τῶν μελλόντων ῥηθήσεσθαι, τὴν δόξαν καὶ τὴν εὔκλειαν λέγων, ἣν ἕξουσι διὰ τῆς πράξεως ταύτης, ἀπολογησάμενοι πρὸς τοὺς διαβάλλειν αὐτοὺς εἰωθότας.

β. ἀθηναίοις. α. α. ὑπὲρ ἐλευθερίας. δημ. α. β. δὲ. β. α. β. ἀνδρῶν. α. β. ἐφεστηκότων. α. περὶ. α. οὐ μικρόν. α. β. ἑκάτερον οὖν. β. β. διόπερ. β. τρίτον, τὸ. α. περιορᾶν δέοι. β. τὸ συμφέρον δὲ. β. τὸ. β. ἔχει. α. β. προκαταλαμβάνεται. α. εἰπεῖν. δύο. β. β. β.

Ταῦτα μὲν οὖν ἐν τοῖς προοιμίοις διῴκηται. ἀρχὴ δὲ τοῦ συμφέροντος κεφαλαίου τό, Αἰτιασάμενοι. κατασκευάσαι δὲ τῷ δικαίῳ ἤτοι ἀδίκῳ τὸ συμφέρον, πῶς· οὕτως· ἀδικούντων καὶ πλεονεκτούντων δόξαν εἴχομεν· διόπερ καὶ ἀπέστησαν ἡμῶν οἱ σύμμαχοι. ταῦτα μὲν οὖν τοῦ ἀδίκου. εἶτ' ἵνα μὴ δοκῇ κατηγορεῖν τῆς πόλεως, αὐτὸς ἀνήνεγκε τὴν βλασφημίαν ἐπὶ Μαύσωλον, ἵνα καὶ ὑπὲρ τῆς πόλεως ἀπολογῆται, ὡς ψευδῶς διαβαλλομένης, καὶ ὑπὲρ τῶν Ῥοδίων ἠπατημένων· ὁ γὰρ ταῦτα πλασάμενος καὶ πείσας ἀποστῆναι, ἐκεῖνος ἦν. εἶθ' οὕτω τὸ δίκαιον περαίνας, ἦλθεν ἐπὶ τὸ συμφέρον, ὅπερ ἦν ἡ πρότασις. Συμφέρει ἡμῖν ἀπολύσασθαι τὰς καθ' ἡμῶν διαβολάς, αὐτοῖς ἔργοις· ἴστε γὰρ ὅτι νομίσαντες ἀδικεῖσθαι οἱ σύμμαχοι ἀπέστησαν· νῦν δὲ ἐπειδὴ ἄτοπος ἦν, λέγει ἀπὸ τοῦ συμφέροντος τὴν κατασκευὴν ἔχοντος ἀπὸ τοῦ δικαίου, καὶ καταστρέφει εἰς τὸ ἔνδοξον. λέγει δὲ τοῦτο, ὅτι τὴν καθ' ἡμῶν διαβολὴν νῦν καιρὸς διαλῦσαι, καὶ δεῖξαι τοὺς ὄντας πονηροὺς μὴ βοηθοῦντας τοιούτοις συμμάχοις· καὶ κομίσασθαι τὴν εὐδοξίαν πρέπον ἐστίν, ἐχόντων τοιούτων ἔργων τῇ πόλει. αὕτη μὲν οὖν ἐστιν εἰσήγησις, ἣν πεποίηται Δημοσθένης. πρὸς δὲ ταύτην ἀντέπεσεν ἀντίθεσις ἀπὸ τοῦ δυνατοῦ κεφαλαίου, Ἀλλὰ δέδοικα μὲν βασιλέα. ταύτην ἔλυσεν ὁμοίως ἐκ τοῦ αὐτοῦ κεφαλαίου τοῦ δυνατοῦ· καὶ πρῶτον μὲν ἀπὸ τοῦ μαχομένου κατὰ τὴν θέσιν αὐτῶν εὐθύς· ὅτι οὐ τῶν αὐτῶν ἐστὶ λόγων συμβουλεύειν τῇ πόλει βοηθεῖν Αἰγυπτίοις ἀφεστηκόσι τοῦ βασιλέως, καὶ φοβεῖσθαι βασιλέα ὑπὲρ Ῥοδίων. καὶ ἡ προσθήκη τῆς αἰτίας, ὅτι οἱ μὲν Ἕλληνές εἰσιν· οἱ δέ εἰσιν ἐν τῇ ἀρχῇ ἐκείνου μεμερισμένοι. δευτέρα λύσις, τό, ὑπὲρ μὲν τῶν οἰκείων πολεμήσειεν ἂν βασιλεύς· ὑπὲρ δὲ τῶν Ἑλλήνων οὐ πολεμήσειεν ἂν βασιλεύς. τρίτη λύσις, Εἰ μὲν οὖν ἐγνώκατε, ἀδικούμενοι παραχωρεῖν ὧν ἀδικεῖ τοὺς Ἕλληνας βασιλεύς, οὐκ ἐπαινῶ τὴν γνώμην· εἰ δὲ πᾶν ὁτιοῦν ὑπομένειν, μηδὲν νῦν ὀκνεῖτε. εἶτα ἐκ παραδείγματος· ὅτι καὶ Σάμον ἐλευθερώσαντος Τιμοθέου κατειλημμένην ὑπὸ Κυπροθέμιδος, ὃν κατέστησε Τιγράνης ὁ βασιλέως ὕπαρχος, οὐκ ἠγανάκτησε βασιλεύς.

Ὅτι δὲ οὐδ' ἐναντιωθῆναι) Ἄλλη ἀντίθεσις ἀπὸ τοῦ αὐτοῦ δυνατοῦ· Ἀλλ' Ἀρτεμισία ἡμῖν ἐναντιωθήσεται· Ἀρτεμισία δέ, Μαυσώλου μὲν γέγονεν ἀδελφὴ καὶ γαμετή· Καρίας δὲ ἐβασίλευε· φιλίαν δὲ ἔπραττε βασιλεῖ διὰ τὸ οἰκεῖον συμφέρον, αὐτὸν θεραπεύουσα, καὶ ἄρχουσα μὲν τῶν

μάχοις, Χῖοι, καὶ Βυζάντιοι, τοῖς ἀτυχήμασιν αὐτῶν οὐ βεβοηθηκότες. ὑμεῖς δὲ οὓς ἐφοβοῦντο, μόνοι τῶν πάντων τῆς σωτηρίας αὖθις αἴτιοι. ἐκ δὲ τοῦ ταῦτα ὑπὸ πάντων ὀφθῆναι, ποιήσετε τοὺς πολλοὺς ἐν ἁπάσαις ταῖς πό-
6 λεσι τοῦτο ποιεῖσθαι σύμβολον τῆς αὐτῶν σωτηρίας, ἐὰν ὑμῖν ὦσι φίλοι· οὗ μεῖζον οὐδὲν ἂν ὑμῖν γένοιτο ἀγαθόν, ἢ παρὰ πάντων ἑκόντων ἀνυπόπτου τυχεῖν εὐνοίας. θαυμάζω δ', ὅτι τοὺς αὐτοὺς ὁρῶ, ὑπὲρ μὲν Αἰγυπτίων τἀναντία πρὸς τὸν βασιλέα τὴν πόλιν πείθοντας, ὑπὲρ δὲ
7 τοῦ Ῥοδίων δήμου φοβουμένους τὸν αὐτὸν ἄνδρα τοῦτον. καίτοι, τοὺς μὲν, Ἕλληνας ὄντας ἅπαντες ἴσασι τοὺς δ', ἐν τῇ ἀρχῇ τῇ ἐκείνου μεμερισμένους. οἶμαι δ' ὑμῶν μνημονεύειν ἐνίους, ὅτι ἡνίκα ἐβουλεύεσθε περὶ τῶν βασιλικῶν, παρελθὼν ἐγὼ πρῶτος παρῄνεσα· οἶμαι δὲ καὶ μόνος, ἢ
8 δεύτερος εἰπεῖν, ὅτι μοι σωφρονεῖν ἂν δοκοῖτε, εἰ τὴν πρόφασιν τῆς παρασκευῆς, μὴ τὴν πρὸς ἐκεῖνον ἔχθραν ποιοῖσθε, ἀλλὰ παρασκευάζοισθε μὲν πρὸς τοὺς ὑπάρχοντας ἐχθρούς, ἀμύνοισθε δὲ καὶ ἐκεῖνον, ἐὰν ὑμᾶς ἀδικεῖν ἐπιχειρῇ. καὶ οὐκ ἐγὼ μὲν ταῦτα εἶπον, ὑμῖν δ' οὐκ ἐ-
9 δόκουν ὀρθῶς λέγειν, ἀλλὰ καὶ ὑμῖν ἤρεσκε ταῦτα. ἀκόλουθος τοίνυν λόγος ἐστί μοι τῷ τότε ῥηθέντι. ἐγὼ γὰρ εἰ βασιλεὺς παρ' αὐτὸν ὄντα με σύμβουλον ποιοῖτο, ταῦτ' ἂν αὐτῷ παραινέσαιμι ἅπερ ὑμῖν· ὑπὲρ μὲν τῶν ἑαυτοῦ πολεμεῖν, ἐάν τις ἐναντιῶται, τῶν Ἑλλήνων ὧν δὲ μηδὲν αὐτῷ
10 προσήκει, τούτων μηδ' ἀντιποιεῖσθαι τὴν ἀρχήν. εἰ μὲν οὖν ὅλως ἐγνώκατε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅσων ἂν βασιλεὺς ἐγκρατὴς γένηται, φθάσας καὶ παρακρουσάμενος τινὰς τῶν ἐν ταῖς πόλεσι, παραχωρεῖν, οὐ καλῶς ἐγνώκατε ὡς ἐγὼ κρίνω. εἰ δ' ὑπέρ γε τῶν δικαίων, καὶ πολεμεῖν
11 ἂν τοῦτο δέῃ, καὶ πάσχειν ὁτιοῦν ἂν οἴεσθε χρῆναι, πρῶτον μὲν ὑμῖν ἧττον δεήσει τούτου, ὅσῳ μᾶλλον ἂν ἐγνωκότες ἦτε ταῦτα· ἔπειθ' ἃ προσήκει φρονεῖν δόξετε. ὅτι δ' οὐδὲν καινὸν οὔτ' ἔξω λέγω νῦν, κελεύων Ῥοδίους ἐλευθεροῦν, οὐδ' ὑμεῖς ἂν πεισθῆτέ μοι, ποιήσετε, τῶν γε-
12 γενημένων ὑμᾶς τι καὶ τῶν συνενηνοχότων, ὑπομνήσω. ὑμεῖς ἐξεπέμψατε Τιμόθεόν ποτε, ὦ ἄνδρες Ἀθηναῖοι, βοηθήσοντα Ἀριοβαρζάνῃ, προσγράψαντες τῷ ψηφίσματι, μὴ λύοντα τὰς σπονδὰς τὰς πρὸς βασιλέα. ἰδὼν δ' ἐκεῖνος, τὸν μὲν Ἀριοβαρζάνην φανερῶς ἀ-

φεσ-

ὅτι ἀδικ. β. — β. — καὶ. α. — ὑμᾶς. — εἴληπται τοίνυν τὸ κεφάλαιον ἀπὸ τοῦ συμφέροντος. β. — ὅτι πρέπον ἐστὶν ἔχειν τὴν εὐδοξίαν ἐκ τούτων τῶν ἔργων τὴν πόλιν. πρὸς δὲ τοῦτο ἀντέπιπτεν ἀντίθεσις. β. — ἀπὸ τοῦ κεφ. β. — β. — λέγειν. α. β. — β. — ὅτι. β. — β.

ἀπηχήσασιν. α. — ὑπὲρ. α. — ποιεῖσθε. α. — ἂν. α. — ὁ νῦν. α. — αὐτοῦ. α. — α. — ἢ. α. — πάσχειν. α. — οὖν. α. — εἰ πεισθείητέ μοι. α. α. — συνενηνοχότων. κ. β. α.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δικαίων οὐδὲν δὲ ἧττον φυλαττομένη βασιλεῖ προσκρούσαι, ἔστι δ' ὅτι αὐτῷ συλλαμβανομένη. λείπει δὲ τῇ ἀντιθέσει κατασκευή· ἔδει γὰρ καὶ τὴν αἰτίαν προστεθῆναι, δι' ἣν ἂν Ἀρτεμισία οὐ συγχωρήσειεν· ἀλλ' ἵνα μὴ χαλεπωτέρα γένηται πρὸς τὴν λύσιν, διὰ τοῦτο τὴν κατασκευὴν παρέλιπεν, τῇ μὲν προτάσει ἔθηκε μόνην· τὴν δὲ κατασκευὴν ταῖς λύσεσι συμπλέξας, ἀσθενεστέραν ἐποίησε. λύει δὲ τῷ δυνατῷ καὶ τῷ συμφέροντι· καὶ τῷ μὲν δυνατῷ, κατὰ μειωσμόν. Εἰ μὲν εὖ πράττει βασιλεὺς κατ' Αἴγυπτον, βοηθήσει· μὴ γὰρ εἶναι ἀνόητον, ὥσπερ ἐπιτείχισμα κατασκευάσαι τῆς ἰδίας ἀρχῆς. εἰ δὲ βοηθήσει, φαύλως καὶ οὐ πολλῇ σὺν ῥώμῃ· ἀλλ' ἄχρι τοῦ δοκεῖν διὰ βασιλέα, τό, καὶ τό. οὕτω μὲν οὖν ἀπὸ τοῦ δυνατοῦ τὴν ἀντίθεσιν ἔλυσεν· ἀπὸ δὲ τοῦ συμφέροντος, ἐνθένδε στοχαστικῶς· Οὐκ οἶδα μὲν εἰ βοηθήσει βασιλεύς, συμφέρει δ' οὖν, οἶμαι, τῇ πόλει γνῶναι, πότερον ἀντιποιεῖται Ῥοδίων, ἢ οὔ· εἰ γὰρ ἀντιποιεῖται τῆς νήσου, δῆλον ὅτι καὶ πάντων τῶν Ἑλλήνων. ἄχρι μὲν οὖν τούτων διηγώνισται πρὸς τὰς ἀπὸ τοῦ συμφέροντος ἀντιθέσεις· λοιπὸν δέ, ἐπὶ τὸ δυσμεταχείριστον ἐλήλυθε· ὁ γὰρ τὸν ἀπ' αὐτῆς τῆς πιότητος τῶν Ῥοδίων κατηγορίαν παρέχοντα, ὅτι ἀπέστησαν. ζητήσειεν ἄν τις, τί δήποτε ὄντος τοῦ προκειμένου, καὶ περὶ οὗ μάλιστά ἐστιν ἡ σύμπασα ζήτησις, εἰ δεῖ βοηθῆσαι τοῖς ἀδικήσασι τὴν πόλιν, οὕτως αὐτὸ τοῦ συμφέροντος κεφάλαιον προέταξε· καὶ δεύτερον, τὸ δυνατόν· εἶτα, εἰ βοηθήσει βασιλεὺς καὶ ἡ Ἀρτεμισία. τὸ δὲ θεώρημα, φανερόν· ἐπειδὴ γὰρ ἔνδοξον τὸ πρόσωπον καὶ παρρησιάζεσθαι ὑπὲρ τῶν ἀνδρῶν οὐ δύναται πολλὴν ἐχόντων διαβολήν, εἰκότως τὸν ἀκροατὴν καταλαμβάνει καὶ τῷ συμφέροντι, καὶ τῷ ἀναγκαίῳ, τουτέστι, τῷ φόβῳ τῷ παρὰ βασιλέως· ἵνα, τῷ μὲν συμφέροντι ἐπαχθείς, διὰ τὴν εὔκλειαν· τῷ δέ, καταπλαγεὶς τῷ ἀναγκαίῳ, ἐὰν ἐπιβουλεύῃ τοῖς Ἕλλησι βασιλεύς, ὑπερθῆται μὲν τὸ μνησικακῆσαι τούτων· βοηθήσῃ δὲ διὰ τὸ ἑαυτῷ χρήσιμον, τοῦ συμφέροντος ὀρεγόμενος, καὶ φόβον καὶ κίνδυνον ἀπαλλακτικῶς ἔχοντες αἱρεῖσθαι, καὶ τοῖς λελυπηκόσι βοηθεῖν διὰ τὰ ἀναγκαιότατα αὐτά. δι' ἣν μὲν οὖν αἰτίαν ἐνήλλαξε τὴν θέσιν τῶν κεφαλαίων, ἀκήκοας. διαιρεῖ δὲ αὐτὸ τὸ δίκαιον κεφάλαιον, οὐ μικρᾷ τινὶ καὶ φαύλῃ ῥητορείᾳ, οὐδὲ τῇ τυχούσῃ οἰκονομίᾳ κέχρηται· κατηγορεῖ μὲν γὰρ συχνῶς τῶν ἀνδρῶν, ἀξιοπιστίας ἕνεκα· πάνυ γὰρ συνεβάλετο πρὸς πειθὼ τὸ πρὸς ἡδονὴν ἐν τοῖς τοιούτοις διαλέγεσθαι. δι' ἡδονῆς δὲ αὐτοῖς ἐστὶ τὸ κακῶς ἀκούειν Ῥοδίους. μέμνηται δὲ Ῥοδίων δῆθεν κακῶς, ἐνδεικνύμενος ἅμα τὸ μήτε πρὸς χάριν, μήτε δι' εὔνοιαν λέγειν· ἵνα τοῖς ἀκροαταῖς ἀρέσηται· νῦν μὲν μισεῖν ἐνδεικνύμενος τοὺς μεμισηκότας τὴν πόλιν, νῦν δὲ μὴ ὑπὲρ Ῥοδίων ποιεῖσθαι τὸν λόγον· ἀλλ' ὅτι δὴ ὑπὲρ αὐτοῦ τοῦ συμφέροντος, καὶ τῆς ὑπαρχούσης δόξης τῇ πόλει· μικροῦ δὲ καὶ οἰηθείη ἄν τις αὐτὸν συμβουλεύειν στρατεύειν ἐπὶ Ῥοδίους· τοσοῦτον θυμὸν ἐνδείκνυται πρὸς τοὺς ἠδικηκότας. ἀλλ' αὐτό γε τοῦτο, τὸ θαυμαστὸν τῆς ῥητορείας ἐστίν, ὅτι δι' ὧν κατατρέχει Ῥοδίων, διὰ τούτων πείθει τὸν δῆμον· καὶ δι' ὧν κατηγορεῖ, μᾶλλον δοκεῖ πραΰνειν, καταμηνὺς τὸ αὐτοὺς ἑαυτῶν κατεγνωκέναι, κατηγόρους ἑαυτῶν γεγονότας, πάλιν ὑποπίπτειν τῇ πόλει. ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα κατὰ τὸ κεφάλαιον ἐρρητόρευκεν. ἡ δὲ ἀντίθεσις ἐστὶν ἀπὸ τοῦ δικαίου ἀντεγκληματικῶς εἰσηγμένη·

φεστῶτα τοῦ βασιλέως, Σάμον δὲ φρουρουμένην ὑπὸ Κυ- 13
προθέμιδος, ὃν κατέστησε Τιγράνης ὁ βασιλέως ὕπαρ-
χος, τὴν μέν, ἀπέγνω μὴ βοηθεῖν, τὴν δέ, προσκαθε-
ζόμενος καὶ πολεμήσας, ἠλευθέρωσε· καὶ μέχρι τῆς τή-
μερον ἡμέρας οὐ γέγονε πόλεμος διὰ ταῦθ' ὑμῖν· οὐ γὰρ
ὁμοίως οὐδεὶς ὑπέρ τε τῆς πλεονεξίας πολεμήσειεν ἄν, 14
καὶ ὑπὲρ τῶν ἑαυτοῦ· ἀλλ' ὑπὲρ μὲν ὧν ἐλαττοῦνται,
μέχρι τοῦ δυνατοῦ πάντες πολεμοῦσιν· ὑπὲρ δὲ τῆς
πλεονεξίας, οὐχ οὕτως· ἀλλ' ἐφίενται μέν, ἐάν τις ἐᾷ· ἐὰν
δὲ κωλυθῶσιν, οὐδὲν ἠδικηκέναι τοὺς ἐναντιωθέντας αὐ-
τοῖς ἡγοῦνται. ὅτι δ' οὐδ' ἐναντιωθῆναι μοι δοκεῖ τῇ 15
πράξει ταύτῃ νῦν Ἀρτεμισία, τῆς πόλεως οὔσης ἐπὶ
τῶν πραγμάτων, μικρὰ ἀκούσαντες σκοπεῖτε, εἴτε
ὀρθῶς ἐγὼ λογίζομαι ταῦτα, εἴτε καὶ μή. ἐγὼ νομίζω,
πράττοντος μὲν ἐν Αἰγύπτῳ πάντα ὅσ' ὥρμηκε, βασι-
λέως, σφόδρα ἂν Ἀρτεμισίαν πειραθῆναι περιποιῆσαι 16
Ῥόδον αὐτῷ, οὐ τῇ βασιλέως εὐνοίᾳ, ἀλλὰ τῷ βούλεσθαι
πλησίον αὐτῆς διατρίβοντος ἐκείνου, μεγάλην εὐερ-
γεσίαν καταθέσθαι πρὸς αὐτόν, ἵν' ὡς οἰκειότατ' αὐτὴν
ἀποδέχοιτο· πράττοντος δὲ ὡς λέγεται, καὶ διημαρτη-
κότος οἷς ἐπεχείρησεν, ἡγεῖσθαι τὴν νῆσον ταύτην, ὅπερ 17
ἐστίν, ἄλλο μὲν οὐδὲν εἶναι βασιλεῖ χρησίμην ἐν τῷ πα-
ρόντι· τῆς δ' αὐτῆς ἀρχῆς ἐπιτείχισμα πρὸς τὸ μη-
δ' ὁτιοῦν παρακινεῖν. ὥστε μοι δοκεῖ, μᾶλλον ἂν ὑμᾶς ἔ-
χειν, μὴ φανερῶς αὐτῆς ἐνδούσης, ἢ ἐκεῖνον λαβεῖν βού-
λεσθαι. οἶμαι μὲν οὖν οὐδὲ βοηθήσειν αὐτήν. ἂν δ' ἄ- 18
ρα τοῦτο ποιῇ, φαύλως καὶ κακῶς· ἐπεὶ καὶ βασιλέα ὅ,τι
μὲν ποτὲ ποιήσει, μὰ Δί' οὐκ ἂν εἴποιμι ἔγωγε, ὡς οἶ-
δα. ὅτι μέντοι συμφέρει τῇ πόλει δῆλον ἤδη γενέσθαι, πό-
τερα ἀντιποιήσεται τῆς πόλεως τῆς Ῥοδίων, ἢ οὔ, ταῦτα
ἂν ἰσχυρισαίμην· οὐ γάρ, ὑπὲρ Ῥοδίων βουλευτέον, ἂν ἀν- 19
τιποιῆται, μόνον, ἀλλ' ὑπὲρ ὑμῶν αὐτῶν καὶ πάντων τῶν

προσκρούειν. β.
συγχωρήσει. α.
α.
βοηθήσειν. β.
παρασκευάσαι. α.
οἰκείας. β.
β.
καὶ οὕτως ἀπό. α.
β.
συμφέρον.
προηγουμένου. α.
διαβοηθῆσαι. α.
ἀδικήμασι. α.
γάρ.
ἑαυτῶν.
καταπίνει πολλὴν κατηγορίαν τῶν Ῥοδίων, ἀξιοπιστίας. β.
συμβάλλεται. β.
β.
τοῖς ἀκροαταῖς ἀρέσκηται.
μισῶν.
λελυπηκότας. β.
α. β.
ἀλλὰ δι' ὧν κατατρ. β.
θαυμασίως ἐρρητόρευσεν. β.

Ἀλλ' ἄξιοι τούτων οἱ Ῥόδιοι, τῆς πόλεως ἀποστάντες· οὐ μὴν τίθεται προφανῶς· γίνεται δὲ φανερὰ τοῖς ἐπιστήμοσιν ἀπ' αὐτῶν τῶν λύσεων. καὶ οὐ ταῦτα μόνον ἐρρητόρευσεν ἅπερ εἶπον, ἀλλὰ καὶ ἄλλο πρὸς τοῖς εἰρημένοις θεώρημα προσέθηκε· πρὸ πολλοῦ γὰρ λύει, πρὶν κεῖται· ὅπερ εἴωθε ποιεῖν, ὅταν χαλεπαὶ ὦσιν αἱ ἀντιθέσεις, καὶ μεταχειρίσεως δέωνται τεχνικῆς. καὶ ἔστιν ἡ ἀρχὴ τῆς λύσεως ἔνθεν, Οὐ μὴν οὐδ' ἂν εἰ δι' ἑαυτῶν εἶχον τὴν πόλιν οἱ νῦν ὄντες ἐν αὐτῇ Ῥόδιοι, παρῄνεσα ἂν ὑμῖν τούτους ἑλέσθαι· οὐδ' εἰ πάνθ' ὑπισχνοῦντο ποιεῖν. ἄξιον δὲ θαυμάσαι καὶ τὴν μεταχείρισιν ἣν ποιεῖται, καὶ τὴν λύσιν· τῆς γὰρ ἀντιθέσεως λεγούσης ἀξίους εἶναι Ῥοδίους ταῦτα παθεῖν ἃ πεπόνθασι, συντρέχων τῷ ἀξίους αὐτοὺς εἶναι οὐκ ἐξ ὧν ἠδικήκασι τὴν πόλιν, τοῦτο κατασκευάσει, ἵνα μὴ ἐναντίον τὸν λόγον ἑαυτῷ ποιήσηται· ἀλλ' ἐξ ὧν αὐτοὶ πρὸς ἀλλήλους διετέθησαν, διαβάλλει τὸν ἐκείνων τρόπον· καίτοι τὸ ἀκόλουθον ἦν εἰπεῖν, ἐξ ὧν διετέθησαν περὶ τὸν Ἀθηναίων δῆμον. ὁ δέ, ἵνα μείζω διαβολὴν ἐργάσηται, μετήνεγκε τὴν κατηγορίαν ἐπὶ τοὺς εὐπόρους· ἀπὸ γὰρ τούτων, χαρακτηρίζει τὸ ὅλον Ῥοδίων ἦθος. τρισὶ τοίνυν θεωρήμασι κέχρηται, ἓν μέν, καθὸ δοκεῖ συντρέχειν δῆθεν τῇ κατηγορίᾳ· ἕτερον δέ, καθ' ὃ μετεβίβασε τὴν κατηγορίαν ἀπὸ τῶν εἰς τὴν πόλιν γεγενημένων ἐπὶ τὰ γενόμενα Ῥοδίοις αὐτοῖς πρὸς ἀλλήλους· καὶ τρίτον, ἐν ᾧ τὴν κατηγορίαν ἀπὸ τοῦ δήμου μετήνεγκεν ἐπὶ τοὺς εὐπόρους· ὥσπερ ὁ Θουκυδίδης ἀπὸ τοῦ δήμου Ἀθηναίων, εἰς τοὺς ὀλίγους. εἶτα προφανῶς ἀναιρεῖται τὴν πρὸς Ῥοδίους οἰκειότητα, φάσκων μήτε ἰδίᾳ ξένος, μήτε δημοσίᾳ πρόξενος εἶναι τῶν ἀνδρῶν, ἵνα κἀντεῦθεν χώραν παρρησίας ἑαυτῷ πρυτανεύσηται· τίς γὰρ ἂν ἔτι ὑποπτεύσειε πρὸς χάριν λέγειν τὸν μηδεμίαν ἔχοντα οἰκειότητα. λείπεται δὴ τοῦ κοινοῦ συμφέροντος εἵνεκα, ποιεῖσθαι τοὺς λόγους. μετὰ ταῦτα δὲ ἐπιβάλλει τῇ κατηγορίᾳ Ῥοδίων, ἀρκοῦσαν τιμωρίαν παρ' αὐτῶν γεγενῆσθαι φάσκων, τὸ τὴν ἐλευθερίαν αὐτοὺς ἀπολωλέναι, κουφίζων ταύτῃ τῆς κατ' αὐτῶν ὀργῆς τὸν ἀκροατήν, καὶ ἀποπιμπλῶν αὐτοῦ τὸν θυμὸν ὡς δοκεῖν κόρον ἔχειν, ἀφ' ὧν ἤδη πεπόνθασι Ῥόδιοι· οὐδεὶς γὰρ ἂν ἔτι χαλεπήνειεν, οὐδ' εἰ τυγχάνει τῇ γνώμῃ ὠμότατος, μὴ ἐλεῶν τοὺς πολλὰς καὶ μεγίστας συμφορὰς πεπονθότας· μάλιστα δὲ ὁ τῶν Ἀθηναίων δῆμος πεφυκὼς πρὸς εὐεργεσίαν, καὶ εἰωθὼς τοὺς ἠδικηκότας σώζειν. διὰ δὴ τούτων ἁπάντων, τὴν παρρησίαν, ὡς ἔφην, ἑαυτῷ προδιοικησάμενος, ἄρχεται τῆς εἰσηγήσεως, ὥσπερ ἀρχὴν ἑτέραν τινὰ τοῦ λόγου ποιούμενος. διὰ τήνδε τὴν ἀντίθεσιν κινήσας, οὕτω κατέδραμε Ῥοδίων· καὶ πάλιν ἀνέλαβε τὴν λύσιν, ὅτι ἀνάγκη τῇ ἀντιθέσει καὶ ἡ ὑπόνοια κατὰ τοῦ ῥήτορος συνεισῄει. οὐκ ἐδύνατο οὖν ἀξιοῦν συγγνώμην Ῥοδίοις δεδόσθαι, πρὶν ἀπολύσασθαι τὰς ὑποψίας. διὰ τοῦτο κινήσας τῆς ἀντιθέσεως τὸ καθ' ἑαυτοῦ διέλυσεν. εἶτα μηδενὸς λυμαινομένου τὴν δόξαν, ἐπὶ τὴν λύσιν θαρρῶν ἦλθε τῆς ἀντιθέσεως. Φημὶ δὴ χρῆναι πειρᾶσθαι σώζειν τοὺς ἄνδρας, ἐνδεικνύμενος διὰ τοῦ μνησικακεῖν τὴν δύναμιν τῆς ἀντιθέσεως ὅτι, Ἀλλ' ἄξιοι Ῥόδιοι· καὶ ὅτι δεῖ μνησικακεῖν αὐτοῖς· καὶ ὅτι διὰ μάχης ὁ λόγος αὐτῷ· καὶ πρὸς τὴν ἀντίθεσιν ἔχει τὴν ἀναφοράν· ἀπολογία γάρ ἐστιν ἄντικρυς· καὶ λαμπρὰ ὑπὲρ Ῥοδίων ἠπατημένων· ὥστε συγγνωμονικὴν εἶναι τὴν λύσιν. καὶ ἐξ ἀορίστου δὲ παραδειγμάτων βεβαιοῖ τὴν συγγνώμην· ὅτι γὰρ πολλὰ πολλάκις ἐξηπατήθη καὶ ὁ τῶν Ἀθηναίων δῆμος, ὑπέμνησε. τὸ τοίνυν εἶδος τῆς συγγνώμης κατὰ συνδρομήν· συν-

ἡγῶν. οὐ μὴν οὐδ' ἂν εἰ δι' αὑτῶν εἶχον τὴν πόλιν οἱ νῦν
ὄντες ἐν αὐτῇ Ῥόδιοι, παρῄνεσα ἂν ὑμῖν τούτους ἑλέσθαι,
οὐδ' εἰ πάντα ὑπισχνοῦντο ἡμῖν ποιήσειν· ὁρῶ γὰρ αὐτούς,
20 τὸ μὲν πρῶτον, ὅπως καταλύσωσι τὸν δῆμον, προσλαβόντας
τινὰς τῶν πολιτῶν· ἐπειδὴ δὲ τοῦτ' ἔπραξαν, πά-
λιν ἐκβαλόντας τούτους. τοὺς οὖν μηδετέροις πιστοὺς κε-
χρημένους, οὐδ' ἂν ὑμῖν βεβαίους ἡγοῦμαι γενέσθαι
συμμάχους. καὶ ταῦτα οὐδέποτ' εἶπον ἄν, εἰ τῷ Ῥοδίων
21 δήμῳ μόνον ἡγούμην συμφέρειν. οὔτε γὰρ πρόξενος
τῶν ἀνδρῶν, οὔτε ἰδίᾳ ξένος αὐτῶν οὐδείς ἐστί μοι. οὐ
μὴν οὐδ' εἰ ταῦτα ἀμφότερα ἦν, εἰ μὴ συμφέρειν ὑ-
μῖν ἡγούμην, εἶπον ἄν· ἐπεὶ Ῥοδίοις γε, εἰ οἷόν τε τοῦτ' εἰ-
πεῖν τῷ συναγορεύοντι τῇ σωτηρίᾳ αὐτῶν, συγχαί-
22 ρω τῶν γεγενημένων, ὅτι τοὺς κομίσασθαι τὰ ὑμέτερ' ὑ-
μῖν φθονήσαντες, τὴν αὑτῶν ἐλευθερίαν ἀπολωλέ-
κασι· καὶ παρὸν αὐτοῖς Ἕλλησι καὶ βελτίοσιν ὑμῖν αὐτῶν
ἐξ ἴσου συμμαχεῖν, βαρβάροις καὶ δούλοις, οὓς εἰς τὰς
ἀκροπόλεις προσδέχονται, δουλεύουσιν. ὀλίγου δὲ δέω λέγειν,
23 ἂν ὑμεῖς αὐτοῖς ἐθελήσητε βοηθῆσαι, ὡς καὶ συνενήνο-
χε ταῦτ' αὐτοῖς· εὖ μὲν γὰρ πράττοντες, οὐκ οἶδ' εἴ ποτ' ἂν
σωφρονῆσαι ἠθέλησαν ὄντες Ῥόδιοι. ἔργῳ δὲ πειραθέντες
καὶ διδαχθέντες, ὅτι πολλῶν κακῶν ἡ ἄνοια πολλοῖς αἰ-
τία γίγνεται, τάχα ἂν εἰ τύχοιεν, σωφρονέστεροι πρὸς
24 τὸ λοιπὸν τοῦ χρόνου γένοιντο. τοῦτο δέ, οὐ μικρὸν αὐτοῖς ὠ-
φέλημα ἡγοῦμαι. φημὶ δὴ χρῆναι πειρᾶσθαι σῴζειν
τοὺς ἄνδρας, καὶ μὴ μνησικακεῖν, ἐνθυμουμένους, ὅτι
πολλὰ καὶ ὑμεῖς ὑπὸ τῶν ἐπιβουλευσάντων ἐξηπάτη-
σθε, ὧν οὐδενὸς αὐτοὶ δίκην δοῦναι δίκαιον ἂν εἶναι φήσαι-
25 τε. ὁρᾶτε δὲ κἀκεῖνο, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι πολλοὺς ὑ-
μεῖς πεπολεμήκατε πολέμους, καὶ πρὸς δημοκρατίας,

τς

ἤτω'. β.
ταῦτα. α.
ἐπὶ. α.
προφανῶς δὲ ἀρνεῖται. β.
οὖν τοῦ κοινοῦ. β.
τῷ. γε. α.
ἀπολωλεκέναι. α. β.
ἀποπιμπλάς. β.
τῇ λύσει.
γενέσθαι.
αὐτῆς. α.
β.
δέ. β.
α.

ὑμῖν. α.
κεχρῆσθαι. α.
βεβαίως. ε.
α.
οὐδέποτε. α.
ἐκ.
προξενῶν. α.
ἰδιόξενος.
γε. β.
ἡμέτερ'. α.
π. α.
οὐχὶ μικρὸν αὐτοῖς ὠφέλειαν. α.
α.

καὶ πρὸς ὀλιγαρχίας, καὶ τοῦτο ἴστε μὲν καὶ αὐτοί· ἀλλ'
ὑπὲρ ὧν πρὸς ἑκατέρους ἔσθ' ὑμῖν ὁ πόλεμος, τοῦτ'
ἴσως ὑμῶν οὐδεὶς λογίζεται. ὑπὲρ τίνων οὖν ἐστί; πρὸς
μὲν τοὺς δήμους, ἢ περὶ τῶν ἰδίων ἐγκλημάτων, οὐ δυνηθέν- 26
των δημοσίᾳ διαλύσασθαι ταῦτα, ἢ περὶ γῆς μέρους,
ἢ ὅρων, ἢ φιλοτιμίας, ἢ τῆς ἡγεμονίας· πρὸς δὲ τὰς ὀλι-
γαρχίας, ὑπὲρ μὲν τούτων, οὐδενός· ὑπὲρ δὲ τῆς πολι-
τείας, καὶ τῆς ἐλευθερίας· ὥστε ἔγωγε, οὐκ ἂν ὀκνήσαιμι
εἰπεῖν, μᾶλλον ἡγεῖσθαι συμφέρειν δημοκρατουμένους 27
τοὺς Ἕλληνας ἅπαντας πολεμεῖν ἡμῖν, ἢ ὀλιγαρχουμέ-
νους, φίλους εἶναι· πρὸς μὲν γὰρ ἐλευθέρους ὄντας, οὐ χαλε-
πῶς ἂν ὑμᾶς εἰρήνην ποιήσασθαι νομίζω ὁπότε βου-
ληθείητε. πρὸς δὲ τοὺς ὀλιγαρχουμένους, οὐδὲ τὴν φι-
λίαν ἀσφαλῆ νομίζω· οὐ γὰρ ἔσθ' ὅπως ὀλίγοι πολλοῖς καὶ 28
ζητοῦντες ἄρχειν, τοῖς μετ' ἰσηγορίας ζῆν ᾑρημένοις,
εὖνοι γένοιντ' ἄν. θαυμάζω δ', εἰ μηδεὶς ὑμῶν ἡγεῖται, Χί-
ων ὀλιγαρχουμένων, καὶ Μυτιληναίων, καὶ νυνὶ Ῥοδίων,
καὶ πάντων ἀνθρώπων ὀλίγου δέω λέγειν, εἰς ταύτην
τὴν δουλείαν ὑπαγομένων, συγκινδυνεύειν τι τὴν παρ' ἡ- 29
μῖν πολιτείαν, μηδὲ λογίζεται τοῦθ', ὅτι οὐκ ἔστιν ὅπως, εἰ
δι' ὀλιγαρχίας ἅπαντα συστήσεται, τὸν παρ' ἡμῖν δῆμον
ἐάσουσιν· ἴσασι γὰρ οὐδένας ἄλλους πάλιν εἰς ἐλευθερίαν
τὰ πράγματ' ἂν ἐπαγαγόντας. ὅθεν δὴ κακὸν αὑτοῖς
ἄν τι γενέσθαι προσδοκῶσι, τούτους ἀνελεῖν βουλήσονται. 30
τοὺς μὲν οὖν ἄλλους τοὺς ἀδικοῦντάς τινας, αὐτῶν τῶν κα-
κῶς πεπονθότων, ἐχθροὺς ἡγεῖσθαι χρή· τοὺς δὲ τὰς πολι-
τείας καταλύοντας, καὶ μεθιστάντας εἰς ὀλιγαρχίαν, κοι-
νοὺς ἐχθροὺς παραινῶ νομίζειν, πάντων τῶν ἐλευθερίας
ἐπιθυμούντων· ἔπειτα καὶ δίκαιον, ὦ ἄνδρες Ἀθηναῖοι 31
δημοκρατουμένους αὐτούς, τοιαῦτα φρονοῦντας φαίνε-
σθαι περὶ τῶν ἀτυχούντων δήμων, οἷα τοὺς ἄλλους ἀξιώ-
σετε φρονεῖν περὶ ὑμῶν, εἴ ποτε, ὃ μὴ γένοιτο, τοιοῦτό τι
συμβαίη. καὶ γάρ, εἰ δίκαιά τις ἂν φήσειε Ῥοδίους πεπονθέ-
ναι, οὐκ ἐπιτήδειος ὁ καιρὸς ἐφησθῆναι· δεῖ γὰρ τοὺς εὐ- 32
τυχοῦντας, περὶ τῶν ἀτυχούντων ἀεὶ φαίνεσθαι βου-
λευομένους τὰ βέλτιστα, ἐπειδήπερ ἄδηλον τὸ μέλλον ἅ-
πασιν ἀνθρώποις. ἀκούω δ' ἔγωγε πολλάκις ἐνταυθοῖ
παρ' ὑμῖν τινων λεγόντων, ὡς ὅτ' ἠτύχησεν ἡ πόλις ἡμῶν,
συνεβουλήθησάν τινες αὐτὴν σωθῆναι· ὧν ἐγὼ μόνον 33
Ἀργείων ἐν τῷ παρόντι μνησθήσομαι βραχύ τι. οὐ γὰρ
ἂν ἡμᾶς βουλοίμην δόξαν ἔχοντας τοῦ σῴζειν τοὺς ἀτυ-
χοῦντας ἀεί, χείρους Ἀργείων ἐν ταύτῃ τῇ πράξει

περὶ. ε. φιλονεικίας. α. — ἃ. α. — ἀρχὴν. α. ε. — ὀλιγαρχῶν. α. γ. β. ε. — ἐξαγαγόντας. α. — τῶν. α. — ἃ. α. — οἷα παρ' ὑμ. α. — οὐδὲ. α. — ἃ. α. — βουλομένους. α. — ὑμῶν. α. — ὁ δῆμος. α. — αὐτῶν. α. — ἀτυχοῦντας. α.

περιέχων γὰρ τῷ κατ' ἀξίαν, ταῦτα πεπονθέναι ῥοδίους, αἰτεῖ τοῖς ἠπατημένοις συγγνώμην, διχόθεν τὴν λύσιν ἐργαζόμενος, ἐκ τῷ συνομολογεῖν, καὶ τῷ τὴν συγγνώμην αἰτεῖν.

ἄχρι μὲν οὖν τούτου προσκεχώρηκεν αὐτῷ τὸ πρῶτον μέρος τῆς λύσεως· μεταβέβηκε δέ, ἐφ' ἕτερον εἶδος λύσεως, ὅπερ ἐστὶ μικτόν, ἐκ τε τοῦ συμφέροντος καὶ τοῦ δικαίου, ἐν ᾧ φησὶν εἶναι διπλᾶ πολέμων εἴδη· ἓν μέν, ὑπὲρ τῶν δικαίων πρὸς τὰς δημοκρατίας· ἕτερον δέ, πρὸς τὰς ὀλιγαρχίας· δι' ἕτερον μέν, οὐδὲν δι' αὐτὸ δὲ τοῦτο, ὅτι ὀλιγαρχίαι εἰσί, καὶ οὐδαμῶς ταῖς δημοκρατίαις πολιτεύονται, ἀνάγων τὸν ἀκροατήν· καὶ διὰ τούτου εἰ καὶ μὴ βούλοιντο ῥοδίοις βοηθεῖν τῷ ζηλοτύπως ἔχειν πρὸς τὰς ὀλιγαρχίας προαχθῶσι, καταλύσαντας τὴν τῶν ῥοδίων ὀλιγαρχίαν. μικτὸν δὲ ὂν τὸ εἶδος τῆς λύσεως, ὅμως ῥέπει, πρὸς τὸ συμφέρον, καὶ μᾶλλόν ἐστι τούτου τοῦ μέρους. μετὰ ταῦτα καὶ τῷ ἀναγκαίῳ κέχρηται πρὸς τὴν λύσιν, δι' οὗ φησὶ τὸν ἀκροατὴν λέγων, Θαυμάζω δ' εἰ μηδεὶς 28 ὑμῶν ἡγεῖται χίων ὀλιγαρχουμένων καὶ μιτυληναίων καὶ νυνὶ ῥοδίων, καὶ πάντων ἀνθρώπων· πέφυκε γὰρ ὁ δημοσθένης, οὐκ ἀφ' ἑνός τινος ἐπιχειρήματος πείθειν, οὐδὲ ἐκ μιᾶς δόξης τὸν ἀκροατὴν ἐπάγεσθαι, ἀλλ' ἐκ ποικίλων καὶ παντοδαπῶν, νῦν μὲν φοβῶν, νῦν δὲ πείθων, νῦν δὲ ἀνάγων ἐς φιλανθρωπίαν, νῦν δὲ τὸ δίκαιον ἀπαιτῶν. καὶ οὐκ ἐξ ἑνός τινος εἴδους συμφέροντος, ἢ ὁπουδήποτε προκειμένου κεφαλαίου πείθει, ἀλλ' ἐκ πάντων αὐτοῦ τῶν μερῶν καὶ ἐξ ὧν ἂν συσταίη τὸ κεφάλαιον, κατὰ πολλὰς καὶ ποικίλας ἐπιβολάς, καὶ διεστηκυῖαι τυγχάνωσιν ἀλλήλων αἱ ἔννοιαι· ὁρῶν γὰρ ὅτι καθ' ὧν συγγνώμην ᾔτησεν, ὡς ἠπατημένοις, ἠξίωσε μὴ δοῦναι δίκην· οὐδὲ γὰρ ἀθηναίοις δεδωκέναι, ἐξηπατήθησαν ἃ ἀπήντηκεν ὑπὸ ῥοδίων τοῖς ὄν.

*δίκαιον συνήθης ἀθηναίοις ἐστὶ δείκνυσθαι ὑπὲρ πάντων ἀδικουμένων. Ἐπειδήπερ ἄδηλον) Ἐφόβησε τῷ ἀδήλῳ τοῦ μέλλοντος· ἐκίνησε μῖσος ἐκ τῆς κοινῆς κρίσεως τῆς κατὰ τῶν ὀλιγαρχῶν αἱρουμένων· καὶ τὰ δι' ἄλλα λοιπὰ καταριθμεῖσθαι, ἐξὸν τοῖς ἐπισήμοσιν ἐκ τῶν κειμένων λαμβάνειν ἅπαντα κέχρηται καὶ ἄλλῳ φόβῳ, δι' οὗ φησὶν ἄδηλον εἶναι τὸ μέλλον τύχῳ, καὶ δεῖν τοὺς εὐτυχοῦντας

προσκεχώρ. α. — ὑπὲρ τὸ μέρα. — διπλᾶ. β. — πρὸς τὰς δημοκρατίας. β. — καταλύσαι τὴν ῥοδ. α. — προκειμένου. α. — ἐκτὸς. α. — β.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ — ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΙΩΑΝΝΙΝΩΝ

Φλιοῦσαι· οἱ χώραν ὅμορον τῇ Λακεδαιμονίων οἰκοῦν-
34 τες, ὁρῶντες ἐκείνους γῆς καὶ θαλάττης ἄρχοντας, οὐκ
ἀπώκνησαν οὐδ᾽ ἐφοβήθησαν εὐνοϊκῶς ὑμῖν ἔχοντες
φανῆναι· ἀλλὰ καὶ πρέσβεις ἐλθόντας ἐκ Λακεδαίμο-
νος ὥς φασιν ἐξαιτήσοντάς τινας τῶν φυγάδων τῶν ὑ-
μετέρων, ἐψηφίσαντο, ἐὰν μὴ πρὸ ἡλίου δύνοντος ἀ-
35 παλλάττωνται, πολεμίους κρίνειν. εἶτα οὐκ αἰσχρόν, ὦ ἄν-
δρες Ἀθηναῖοι, εἰ τὸ μὲν Ἀργείων πλῆθος οὐκ ἐφοβή-
θη τὴν Λακεδαιμονίων ἀρχὴν ἐν ἐκείνοις τοῖς καιροῖς, οὐδὲ
τὴν ῥώμην· ὑμεῖς δὲ ὄντες Ἀθηναῖοι, βάρβαρον ἄνθρωπον
καὶ ταῦτα γυναῖκα φοβηθήσεσθε; καὶ μὴν, οἱ μὲν, ἔχοιεν ἂν
36 εἰπεῖν, ὅτι πολλάκις ἥττηνται ὑπὸ Λακεδαιμονίων· ὑ-
μεῖς δὲ, νενικήκατε μὲν πολλάκις βασιλέα, ἥττησθε δὲ οὐδὲ
ἅπαξ, οὔτε τῶν δούλων τοῦ βασιλέως, οὔτε αὐτοῦ ἐκείνου. εἰ
γάρ τι που καὶ κεκράτηκε τῆς πόλεως βασιλεύς, ἢ τοὺς
πονηροτάτους τῶν Ἑλλήνων καὶ προδότας αὐτῶν χρήμασι
37 πείσας, ἢ οὐδαμῶς ἄλλως κεκράτηκε· καὶ οὐδὲ τοῦτο
αὐτῷ συνενήνοχεν· ἀλλὰ μὴν εὑρήσετε αὐτὸν, τήν τε
πόλιν Λακεδαιμονίων ἀσθενῆ ποιήσαντα, καὶ περὶ τῆς
αὑτοῦ βασιλείας κινδυνεύσαντα πρὸς Κλέαρχον καὶ
Κῦρον. οὔτ᾽ οὖν ἐκ τοῦ φανεροῦ κεκράτηκεν, οὔτ᾽ ἐπι-
38 βουλεῦσαι συνενήνοχεν αὐτῷ. ὁρῶ δ᾽ ὑμῶν ἐνίους, Φι-
λίππου μὲν ὡς ἄρα οὐδενὸς ἀξίου, πολλάκις ὀλιγω-
ροῦντας· βασιλέα δὲ, ὡς ἰσχυρὸν ἐχθρὸν, οἷς ἂν προέληται,
φοβουμένους. εἰ δὲ τὸν μὲν, ὡς φαῦλον οὐκ ἀμυνού-
μεθα, τῷ δὲ, ὡς φοβερῷ πάνθ᾽ ὑπείξομεν, πρὸς τίνας,
39 ὦ ἄνδρες Ἀθηναῖοι παραταξόμεθα· εἰσὶ δέ τινες οἱ
παρ᾽ ἡμῖν δεινότατοι τὰ δίκαια λέγειν ὑπὲρ τῶν ἄλλων
πρὸς ὑμᾶς, οἷς παραινέσαιμ᾽ ἂν ἔγωγε, τοσοῦτον μόνον
ὑπὲρ ὑμῶν πρὸς τοὺς ἄλλους ζητεῖν τὰ δίκαια λέγειν,
ἵν᾽ αὐτοὶ τὰ προσήκοντα πρῶτοι φαίνωνται ποιοῦντες·
40 ὡς ἔστιν ἄτοπον περὶ τῶν δικαίων ὑμᾶς διδάσκειν αὐτὸν οὐ
δίκαια ποιοῦντα. οὐ γάρ ἐστι δίκαιον ὄντα πολίτην, τοὺς
καθ᾽ ὑμῶν λόγους, ἀλλὰ μὴ τοὺς ὑπὲρ ἡμῶν ἐσκέφθαι.
φέρε γάρ, πρὸς θεῶν σκοπεῖτε, τί δήποτε ἐν Βυζαν-
τίῳ οὐδείς ἐσθ᾽ ὁ διδάσκων ἐκείνους, μὴ καταλαμβά-
41 νειν Χαλκηδόνα, ἢ βασιλέως μέν ἐστιν, εἴχετε δ᾽ ὑμεῖς
αὐτήν, ἐκείνοις δ᾽ οὐδαμόθεν προσήκει· μηδὲ Σηλυμ-
βρίαν πόλιν ὑμετέραν ποτὲ σύμμαχον οὖσαν, ὡς αὐ-
τοὺς, συντελῆ ποιεῖν, καὶ Βυζαντίους ὁρίζειν τὴν τούτων
χώραν παρὰ τοὺς ὅρκους καὶ τὰς συνθήκας, ἐν αἷς αὐτο-
42 νόμους εἶναι γέγραπται· οὐδὲ Μαυσώλου ζῶντος, οὐδὲ
τῆς-

ἐπαμύνειν τοῖς ἠτυχηκόσι, προσδοκῶντας περιπεσεῖσθαι παραπλησίᾳ τῇ τύχῃ. εἶτα ἐκ παραδείγματος ἀπὸ τοῦ ἐλάττονος, ὅτι ἀτυχήσαντί ποτε τῷ δήμῳ καὶ ὀλιγαρχηθέντι, ἐβοήθησαν Ἀργεῖοι, καὶ ἄτοπον δοκεῖν Ἀργείων ἐλαττοῦσθαι κατὰ ταύτην τὴν πρᾶξιν, συνάπτει λελυθότως λύσιν ἁρμόττουσαν, καὶ τὴν ἀπὸ τοῦ βασιλέως ἀντίθεσιν ἣν τέθεικε κατ᾽ ἀρχάς, Ἀλλὰ φοβούμεθα βασιλέα· δῆλον γὰρ ὅτι τὰς λύσεις ἐπαμυνοῦσαι, ἵνα καὶ πρὸς αὐτὴν καὶ πρὸς ἐκείνην αὐτῷ χρήσιμοι γένωνται· ἐν ἀρχῇ μὲν γὰρ αὐταῖς καταχρησάμενος, οὐκ ἂν ἔσχε χρήσιμα πρὸς τὴν νῦν ἀντίθεσιν· πρὸς μόνην γὰρ ἂν ἐκείνην ἤρκεσαν, ἀφομοιωθεῖσαι τῷ διαστήματι. φυλάξας δὲ αὐτὰς τῷ παρόντι καιρῷ, καὶ πρὸς ταύτην τὴν ἀντίθεσιν καὶ πρὸς τὴν ἤδη προλυθεῖσαν, οἰκειότητα ἔχει. τὸ γὰρ ἐξ ἴσου λυθέν, πρὸς ἅπαντα τὰ προηγούμενα πᾶσαν ἀναπέμπει τὴν δύναμιν. μετὰ ταῦτα ἀντέπεσε πάλιν ἀντίθεσις ἀπὸ τοῦ δικαίου. ἣν οὐ τέθεικε ῥᾳδίως θρυλοῦσαι, φοβηθεὶς ἴσως αὐτῆς τὴν δύναμιν· ἔχων δὲ πάντως τὸν ἀκροατὴν συνειδότα. τῇ δὲ σιωπῇ πάντως, ἀφελὼν τι τοῦ ἰσχύος αὐτῶν· πολὺ γὰρ συμβάλλεται πρὸς καθαίρεσιν, καὶ τὸ μὴ μεμνῆσθαι τῶν ἀτόπων, ἢ φοβερῶν, ἢ δεινῶν. συνήθες δὲ αὐτῷ καὶ τὰς δυσχερεστάτας τῶν ἀντιθέσεων κατ᾽ ἀρχὰς τῶν ἐπιλόγων τεθῆναι, ἵνα καὶ τῷ τόπῳ καὶ τῇ χώρᾳ θραύῃ, καὶ μείωσιν ἐργάζηται. τί οὖν πεποίηκε, τὴν μὲν ἀντίθεσιν ἔκρυψεν· ἀντὶ δὲ τῆς ἀντιθέσεως, τὴν διαβολὴν τὴν κατὰ τῶν ῥητόρων ἔθηκεν εἰπών· Εἰσὶ δέ τινες, οἱ παρ᾽ ἡμῖν δεινότατοι τὰ δίκαια λέγειν ὑπὲρ τῶν ἄλλων πρὸς ὑμᾶς. τίνα δέ ἐστι τὰ δίκαια, ἢ ὑπὲρ τίνων τῶν ἄλλων, οὐ κατέστησεν ἡμῖν φανερά. ἀλλὰ μὴν οὐδὲ ἡ λύσις, ὡς ἔφην, ἐναργῆ ποιεῖ τὴν ἀντίθεσιν. ἔστι γὰρ ἡ λύσις, Διὰ τί οὐκ ἀπέχονται καταδουλοῦσθαι Κῶον καὶ Ῥόδον· ὥστε ἐκ τούτων μηδὲν ἐξεῖναι λαβεῖν εὐχερῶς τὸ λεγόμενον. ἀλλ᾽ ἔμοιγε δοκεῖ βούλεσθαι σημαίνειν τὰς συνθήκας ἃς ἐποιήσαντο πρὸς ἀλλήλους οἱ Ἕλληνες ἅπαντες, μηδένα ἐπιφέρειν ὅπλα· ἅπαντες δὲ εἰρήνην ἄγειν καὶ ἡσυχίαν, ὡς τὴν ἀντίθεσιν εἶναι τοιαύτην· Ἀλλὰ δόξομεν ἀδικεῖν καὶ παραβαίνειν πρῶτοι τὰς συνθήκας ὅπλα κινοῦντες. ὅθεν δὴ καὶ λύων φη-

ἐξέτασιν. χ. α.
τὰ γὰρ ἐξ ὑστέρου λυθέντα. α.
β.
β.
ἀντικρὺ. β.
ὦ Ἀθηναῖοι παρ᾽. α.
Κῶον. α.
Συντελῆ) Ὑποτελῆ.
ἀτυχεῖν. α.

ὑπό. α.
τῶν. α. χ. β.
ὑπό. α. ε.
ε.
τοῦτο
τὴν. α.
αὐτοῦ. α. χ. β. ε.
α.
δή. α.
α.
ὦ Ἀθηναῖοι. α. ὦ ἄνδρες Ἀθηναῖοι. γ. ε.
ὑμῖν. ε.
αὐτοῖς οὐ δίκαια ποιοῦντας. α.
θεῶν. ε.
Σηλυβρίαν. ε.
ἡμετέραν. α.
αὐτοῖς. α.
Βυζάντιοι. α. χ. β.
τὰς πόλεις. α.
Μαυσώλου ζῶντος. α. χ. β.

τελευτήσαντος ἐκείνου, τὴν ἀρτεμισίαν οὐδεὶς ἐᾷ ὁ
διδάξων μὴ καταλαμβάνειν κἀν τὴν ῥόδον καὶ ἄλλας πό-
λεις ἑτέρας ἑλληνίδας, ὧν καὶ βασιλεὺς ὁ ἐκείνων δεσπό-
της, ἐν ταῖς συνθήκαις ἀπέστη τοῖς ἕλλησι· καὶ περὶ ὧν
πολλοὺς κινδύνους καὶ καλοὺς ἀγῶνας οἱ κατ' ἐκείνους 43
τοὺς χρόνους ἕλληνες ἐποιήσαντο. εἰ δ' ἄρα καὶ λέγει τις
ἀμφοτέροις αὐτοῖς, ἀλλ' οἵ γε πεισόμενοι τούτοις ὡς ἔοι-
κεν οὐκ εἰσίν. ἐγὼ δὲ, δίκαιον μὲν εἶναι νομίζω καταγαγεῖν
τὸν ῥοδίων δῆμον· οὐ μὴν ἀλλὰ κἂν εἰ μὴ δίκαιον ἦν, ὅ-
ταν εἰς ἃ ποιοῦσιν οὗτοι, βλέψω, προσήκειν οἴομαι πα- 44
ραινέσαι καταγαγεῖν. διὰ τί; ὅτι πάντων μὲν, ὦ ἄνδρες ἀ-
θηναῖοι, τὰ δίκαια ποιεῖν ὡρμηκότων, αἰσχρὸν ἡμᾶς μό-
νους μὴ ἐθέλειν. ἁπάντων δὲ τῶν ἄλλων ὅπως ἀδικεῖν δυ-
νήσονται παρασκευαζομένων, μόνους ἡμᾶς τὰ δίκαια
προτείνεσθαι, μηδενὸς ἀντιλαμβανομένους, οὐ δικαιο- 45
σύνην, ἀλλ' ἀνανδρίαν ἡγοῦμαι· ὁρῶ γὰρ ἅπαντας πρὸς
τὴν παροῦσαν δύναμιν καὶ τῶν δικαίων ἀξιουμένους.
καὶ παράδειγμα τούτου λέγειν ἔχω πᾶσιν ὑμῖν γνώρι-
μον· εἰσὶ συνθῆκαι διτταὶ τοῖς ἕλλησι πρὸς βασιλέα, ἃς
ἐποιήσατο ἡ πόλις ἡ ἡμετέρα, ἃς ἅπαντες ἐγκωμιά- 46
ζουσι· καὶ μετὰ ταῦτα ὕστερον λακεδαιμόνιοι, ταύτας ὧν
δὴ κατηγοροῦσι· κἀν ταύταις, οὐχὶ ταὐτὰ δίκαια ἀμ-
φοτέρως ὥρισται. τῶν μὲν γὰρ ἰδίων δικαίων τῶν ἐν ταῖς
πολιτείαις, οἱ νόμοι κοινὴν τὴν μετουσίαν ἔδοσαν καὶ ἴσην,
καὶ τοῖς ἀσθενέσι καὶ τοῖς ἰσχυροῖς, τῶν δ' ἑλληνικῶν δικαίων, 47
οἱ κρατοῦντες ὁρισταὶ τοῖς ἥττοσι γίνονται. ἐπειδὴ τοίνυν
ὑμῖν ἐγνωκέναι τὰ δίκαια καὶ ποιεῖν ὑπάρχει, ὅπως καὶ
πρᾶξαι ταῦτα ἐφ' ὑμῖν ἔσται, δεῖ σκοπεῖν. ἔσται δὲ ταῦ-
τα, ἐὰν ὑποληφθῆτε κοινοὶ προστάται τῆς πάντων ἐ-
λευθερίας εἶναι. εἰκότως δέ μοι δοκεῖ χαλεπώτατον ὑμῖν 48
εἶναι πρᾶξαι τὰ δέοντα. τοῖς μὲν γὰρ ἄλλοις ἅπασιν ἀν-
θρώποις, εἷς ἀγών ἐστιν ὁ πρὸς τοὺς προδήλους ἐχθρούς·
ὧν ἐὰν κρατήσωσιν, οὐδὲν ἐμποδὼν αὐτοῖς κυρίοις τῶν
ἀγαθῶν εἶναι· ὑμῖν δ', ὦ ἄνδρες ἀθηναῖοι, δύο οὗτοί τε
ὁ καὶ τοῖς ἄλλοις, καὶ πρὸ τούτου ἕτερος πρότερος 49
καὶ μείζων· δεῖ γὰρ ὑμᾶς βουλευομένους κρατῆσαι τῶν
τἀναντία τῇ πόλει παρ' ὑμῖν προαιρεῖν προῃρημένων.
ὅταν οὖν μηδὲν ᾖ διὰ τούτους ἀκονιτὶ τῶν δεόντων γε-
νέσθαι, πολλῶν διαμαρτάνειν ὑμᾶς εἰκότως συμβαίνει.

σι, μάλιστα μὲν δίκαιοι εἶναι τῆς * ἁπάντων σωτηρίας ἡμᾶς προεστάναι. εἰ δὲ καὶ ἄδικον τὸ γινόμενον, ἀλλ' οὖν ἐπειδὴ ἀδικεῖν ἐπιχειροῦσιν ἅπαντες, καὶ ἡμεῖς ταῖς ἐκείνων γνώμαις ἀκολουθοῦντες ἀδικοῦμεν.

ἡ μὲν αἴτησις, οὕτως ἂν ἐκ τούτων γνωσθείη. ἡ δὲ μεταχείρησις βίαιος καὶ θουκυδίδειος, ἐκ τῆς κλέωνος δημηγορίας εἰλημμένη. ὅτι γὰρ ἐκείνου περὶ μιτυληναίων τὸ διανόημα, τοιοῦτον καὶ τὸ δημοσθένους ἐνθάδε. ἀξιοῖ γὰρ κἀκεῖνος, εἰ μὲν δίκαια εἴη ἡ ἀρχή, δικαίως κολάζεσθαι καὶ τοὺς μιτυληναίους. εἰ δὲ ἄδικος, ἀδίκως· χρὴ γὰρ πρὸς τὸ συμφέρον αὐτοῖς πολιτεύεσθαι. οὕτως ἤδη καὶ ὁ δημοσθένης ἐνθάδε φαίνεται, ἀξιῶν μὲν μάλιστα κατὰ τὸ δίκαιον ἐλευθεροῦν τοὺς ῥοδίους. εἰ δ' ἄρα πῃ καὶ λέγοι ἄδικον εἶναι εἰρήνης οὔσης ὅπλα κινεῖν, ἀλλ' οὖν γε οὐκ ἄτοπον, πάντων ἀδικεῖν αἱρουμένων, νῦν μὲν βυζαντίων, αὖθις δὲ ἀρτεμισίας, καὶ μαυσώλου, καὶ σχεδὸν ἁπάντων. εἶτα οὐ μόνοις τούτοις λέλυκε τὴν αἴτησιν, ἀλλὰ καὶ τῇ ἐκβάσει, ἵνα μὴ γινώμεθα ὑμῖν μειζόνως· πρὸς γὰρ τὰς δυνάμεις εἰώθασιν ἀπονέμειν τὰ δίκαια συμφερόντως οἱ ἄνθρωποι. οὐκέτι δὲ ὑποπτεύει σύμπασαν τὴν αἴτησιν ἑτέρως ἔχειν οὐδὲ ἀπὸ βασιλέως τοῦ προσώπου ἀπαντᾷ, ὡς ἂν ὑπολάβοι τις. τάχα γὰρ ἄν τις ὑπονοήσειε λέγειν, ἀλλ' οὐ δεῖ βασιλεῖ προσκρούειν ἵνα μὴ τὴν κατ' ἀρχὰς ὁμοία πάλιν ἀνανεωσώμεθα, ἢ διὰ τὴν ἐπιλογήν. τὸ γὰρ παράδειγμα τὸ κατ' ἀρτεμισίαν οὐ συμφωνεῖ τῇ προτάσει· εἰ γὰρ εἰρήκει ἡ αἴτησις, ἀλλ' οὐ δεῖ προσκρούειν βασιλεῖ, ὃ ἐβούλετο λέγειν· τί οὖν ἀρτεμισία καταλαμβάνει καὶ τὴν ῥόδον, ἥ τις φαίνεται χαρίζεται τῷ πρὸς βασιλέα καταλαμβάνουσα, ὥστε ἀνενεκτέον ἐπὶ τὴν εἰρημένην αἴτησιν, τὴν περὶ τῶν συνθηκῶν. συνιστὰς τοίνυν τὸ συμφέρον, ᾧ λέλυκεν αἴτησιν, πιστοῦται αὐτὸ καὶ ἐκ παραδείγματος δῆλον, ὅσην μὲν ἔχοι δύναμιν, ἡνίκα προέστησαν τῶν ἑλλήνων, αὐτοὶ νικήσαντες βασιλέα, καὶ τὴν ἀρχὴν ὁρίζοντες ἐκείνου. οἶδα δὲ βασιλεῖς γεγενημένος ὕστερον ἕλληνας, ὡς συνίστασθαι πανταχόθεν δεῖν δύναμιν ἀθροίζειν, εἰ φιλοτιμίας ὀρέγοιντο. ἔ-

σιν οὖν λύσις τῆς αἰτήσεως ἀπὸ τοῦ συμφέροντος, κατασκευαζομένη τῷ δυνατῷ· ὅτι γὰρ συμφέρει δύναμιν ὑπάρχειν τῇ πόλει κατασκευάζων, μετὰ ταῦτα ἄρχεται τῶν ἐπιλόγων. Εἰκότως δέ μοι δοκεῖ χαλεπώτατον ὑμῖν εἶναι πρᾶξαι τὰ δέοντα. ταύτην τὴν ἀρχὴν αὐτῶν ποιησάμενος, ἐν οἷς πολλὴν καταδρομὴν τῶν δωροδόκων καὶ τῶν τἀναντία πο-

ἐδίδασκον. ε. καὶ τὴν. β. γ. ε. — λέγοι. γ. — τῆς. ε. — εἰ σε. ε. — βλέπω. ε. — παραινεῖν. α. — α. — ὑμᾶς. ε. — θέλειν. α. — ὑμᾶς. α. ε. — ἀνδρίαν. Γ. ε. — α. — ἐν ταύτ. ε. — ταῦτα. γ. — ἀγαθοῖς. α. — α. — ἁπάντων. ε. — ἔσται. α. — α. — ἐστὶ δὴ ὁ. ε. — προσέστι. α. — προφαν. γ. — ἐναντία. ε. — ᾑρημένων. α. — μηδενὸς ἀκονιτὶ τῶν δεόντων γίνεσθαι. α. καὶ β. ε. — ὑμῖν. ε.

κοινῆς. β. — ἐπιθυμοῦσιν. α. — ἡ δὲ μετ. β. — ἐκεῖνο. α. — φησί. β. — προσάπτειν. — αἰρεσώμεν. α. — β. — δὲ. β. — ἔχοι. β. — ἐκείνῳ. β. — κατασκευάζει. α. β. — ἔχεται. α.

λιτευομένων αὐτῇ πεποίηται· καὶ κέχρηται ἀναγκαίως τῇ ἐπιφορᾷ, διὰ τὸ μὴ πάντας αὐτοὺς συντρέχειν τῇ εἰσηγήσει· καὶ τοῦτο ἄδηλον ἐκ τῆς ἀπὸ θέσεως εἴληφε. διὸ καὶ βουλόμενος τοὺς ἐκείνων κωλῦσαι λόγους, εἰκότως κέχρηται τῇ διαβολῇ, μετὰ ταῦτα ἐπενεγκὼν τὸ ἔνδοξον, καὶ ἐπιλογισάμενος, καὶ ἐξ ἐκείνου τὴν δημηγορίαν κατέπαυσεν.

εἰσηγήσει. α. β. — εὔδηλον. α. — τούτου. β. — καταπαύει. β.

50 τοὺς μέντοι πολλοὺς ἀδεῶς ταύτην τὴν τάξιν αἱρεῖσθαι τῆς πολιτείας, ἴσως μὲν αἱ παρὰ τῶν μισθοδοτῶν αὐτοῖς ὠφέλειαι μάλιστ' αἴτιαι· οὐ μὴν ἀλλὰ καὶ ὑμᾶς ἄν τις ἔχοι δικαίως αἰτιᾶσθαι· ἐχρῆν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν αὐτὴν ἔχειν διάνοιαν ὑμᾶς περὶ τῆς ἐν τῇ
51 πολιτείᾳ τάξεως, ἥνπερ περὶ τῆς ἐν στρατείᾳ τάξεως ἔχετε. τίς οὖν ἐστιν αὕτη; ὑμεῖς τὸν λείποντα τὴν ὑπὸ τοῦ στρατηγοῦ τάξιν ταχθεῖσαν, ἄτιμον οἴεσθε προσήκειν εἶναι, καὶ μηδενὸς τῶν κοινῶν μετέχειν. χρὴ τοίνυν καὶ τοὺς τὴν ὑπὸ τῶν προγόνων τά-
52 ξιν ἐν τῇ πολιτείᾳ παραδεδομένην λιπόντας, καὶ πολιτευομένους ὀλιγαρχικῶς, ἀτίμους τοῦ συμβουλεύειν ὑμῖν αὐτοὺς ποιεῖσθαι. νῦν δέ, τῶν μὲν συμμάχων τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους ὑμῖν ὀμωμοκότας, νομίζετε εὐνουστάτους· τῶν δὲ πολιτευομένων οὓς ἴστε σαφῶς τοὺς τῆς πόλεως ἐχθροὺς ᾑρημένους, τούτους πιστοτάτους ἡγεῖσθε. ἀλλὰ γὰρ οὐχ
53 ὅ,τι τις κατηγορήσει τούτων, ἢ τοῖς ἄλλοις ὑμῖν ἐπιπλήξει, χαλεπὸν εὑρεῖν· ἀλλ' ἀφ' ὁποίων λόγων, ἢ ποίας πράξεως ἐπανορθώσεταί τις ἃ νῦν οὐκ ὀρθῶς ἔχει, τοῦτ' ἔργον εὑρεῖν. ἴσως μὲν οὖν οὐδὲ τοῦ παρόντος καιροῦ περὶ πάντων λέγειν· ἀλλ' ἐὰν ἃ προῄρησθε, δύνησθε ἐπικυρῶσαι συμφερούσῃ τινὶ πράξει, καὶ τἆλλ' ἂν ἴσως καθ' ἓν ἂν
54 βέλτιον σχοίη. ἐγὼ μὲν οὖν οἶμαι δεῖν ὑμᾶς, ἀντιλαμβάνεσθαι τούτων τῶν πραγμάτων ἐρρωμένως, καὶ πράττειν ἄξια τῆς πόλεως, ἐνθυμουμένοις ὅτι χαίρετε ἀκούοντες, ὅταν τις ἐπαινῇ τοὺς προγόνους ὑμῶν, καὶ τὰ πεπραγμένα ἐκείνοις διεξίῃ, καὶ τὰ τρόπαια λέγῃ· νομίζετε τοίνυν ταῦτα ἀναθεῖναι τοὺς προγόνους ὑμῶν, οὐχ ἵνα
55 θαυμάζητε ταῦτα θεωροῦντες μόνον, ἀλλ' ἵνα καὶ μιμῆσθε τὰς τῶν ἀναθέντων ἀρετάς.

τοὺς μέντοι. α. — μισθοδοτούντων. α. — αἴτιοι. α. — αἰτιᾶσθαι. α. — α. — α. ε. — στρατιᾷ. α. τῇ στρατιᾷ. ε. — α. — λείποντας. α. — ἀτίμους. ε. — αὐτοὺς ποιεῖσθε. α. — λ. αὐτὸν ἐχθρὸν καὶ φίλον. α. — εὐνουστάτους. ε. — ἀπὸ ποίων. α. — ἀπὸ. α. — ἀεὶ βέλτ. α. ε. — α. — αὐτά. α.

# ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΛΟΓΟΥ

## ΤΟΥ ΥΠΕΡ ΜΕΓΑΛΟΠΟΛΙΤΩΝ.

Ὅτε Λακεδαιμόνιοι νικηθέντες ὑπὸ Θηβαίων ἐν Λεύκτροις τῆς Βοιωτίας, εἰς κίνδυνον μέγαν κατέστησαν, ἀποστάντων Ἀρκάδων καὶ προσθεμένων τοῖς Θηβαίοις, Ἀθηναῖοι σύμμαχοι Λακεδαιμονίοις γενόμενοι, διέσωσαν αὐτούς. ὕστερον δὲ Λακεδαιμόνιοι τῶν κινδύνων ἀπαλλαγέντες, καὶ προϊόντες πάλιν εἰς δύναμιν, ἐπὶ Μεγάλην πόλιν τῆς Ἀρκαδίας ἤρχοντο. καὶ τοὺς Ἀθηναίους παρεκάλουν διὰ πρεσβείας, κοινωνεῖν αὐτοῖς τοῦ πολέμου. πεπόμφασι δὲ καὶ οἱ Μεγαλοπολῖται πρέσβεις Ἀθήναζε παρακαλοῦντες ὑπὲρ ἑαυτῶν. ὁ τοίνυν Δημοσθένης, συμβουλεύει μὴ περιορᾶν αἱρεθεῖσαν Μεγάλην πόλιν, μηδὲ εἰς ἰσχὺν προελθόντας Λακεδαιμονίους, συμφέρειν λέγων τοῖς Ἀθηναίοις τὸ μὴ φοβερὰν εἶναι τὴν Λακεδαίμονα.

οἱ. ε.

ΤΟΥ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΤΟΥ ΥΠΕΡ ΜΕΓΑΛΟΠΟΛΙΤΩΝ ΔΗΜΟΣΘΕΝΟΥΣ ΛΟΓΟΥ ΕΞΗΓΗΣΙΣ.

ΑΜΦΟΤΕΡΟΙ μοι δοκοῦσιν) Ἀθηναῖοι συνεμάχησαν λακεδαιμονίοις ἐν μαντινείᾳ. κτισθείσης δὲ μεγάλης πόλεως μετὰ τοῦτον τὸν πόλεμον, ὑπὸ ἀρκάδων συμμαχούντων τότε θηβαίοις, ὡς τὸ *ὁρμητήριον εἶναι κατὰ τῆς *λακωνικῆς, λακεδαιμόνιοι τῆς ἐπικηρυκείας αὐτοῖς ὑπαρχούσης πρὸς ἀθηναίους, στρατεύουσιν ἐπὶ μεγάλην πόλιν. ἀρκάδες δὲ *ἀχθομένων θηβαίων ἐπὶ τὸν φωκικὸν πόλεμον, καταφεύγουσιν ἐπ' ἀθηναίους, ἀξιοῦντες συμμαχεῖν· ἥκουσι καὶ παρὰ λακεδαιμονίων πρέσβεις, ἀξιοῦντες μᾶλλον αὐτοῖς ὡς συμμάχοις προστίθεσθαι, καὶ βουλεύονται. χαλεπὸς ὁ λόγος τῷ ῥήτορι τὸ, τί γὰρ συνειπεῖν τοῖς πρὸ βραχέος πολεμήσασι, καὶ τὸ ἐναντιωθῆναι τοῖς οὖσι συμμάχοις λακεδαιμονίοις, οὐκ ἔστι τῶν εὐχερῶν· βαρὺ γὰρ, ὅτι τοὺς μὲν συμμάχους ἀπελαύνειν, τοὺς δὲ πολεμίους προσίεσθαι· χωρὶς γὰρ τοῦ, τὸ πρᾶγμα ὑπάρχειν ἄτοπον, καὶ διαβολὴν φέρει μεγίστην τῇ πόλει· ἔτι καὶ ἐπικίνδυνον διχόθεν εἶναι δοκεῖ, ἐκ τοῦ σώζειν τοὺς τῶν πολεμίων θηβαίων συμμάχους· καὶ ἐκ τοῦ προσκρούειν λακεδαιμονίοις συμμάχοις οὖσιν, ὧν μετὰ μικροῦ χρήζουσιν εἰς τὸν ὑπὲρ ὠρωποῦ πρὸς θηβαίους πόλεμον. ἀλλ' ὅμως ἐξεύρηκε θεωρήματα, καθὰ καὶ λακεδαιμονίοις οὐ δοκεῖ προσκρούειν, καὶ ἀρκάδας προσάγεται, καὶ θηβαίους οὐκ αὔξει, σώζων τὴν αὐτὴν συμμαχίαν· καὶ γὰρ καὶ τοῦτο ἕν τι τῶν *δυσμεταχειρίστων ἐστὶ, τὸ δοκεῖν συναύξειν τοὺς θηβαίων συμμάχους· πῶς οὖν ἕκαστον τούτων πεποίηκε; καθαιρεῖ λακεδαιμονίους, καθαιρεῖ καὶ θηβαίους· τοὺς μὲν, μὴ συγχωρῶν αὐξάνεσθαι· θηβαίων δὲ τὴν συμμαχίαν καθιστὰς εἰς τὴν πόλιν. ἵνα δὲ μὴ δοκῇ χαρίζεσθαι τοῖς ἀρκάσιν, οὐδὲν δείκνυται τῷ λόγῳ χαριζόμενος μεγαλοπολίταις, οὐδὲ τὸ ἐκείνων συμφέρον μόνον ζητεῖ τῷ πρὸς λακεδαιμονίους· οὐδὲ κατηγορεῖ πάλιν *ἁρπαζόντων ὡς ἀρκάσι προσκειμένων, ἀλλοτρίων προσώπων ὄντων λακεδαιμονίων, ἀρκάδων τῆς πόλεως ἀμελῆσαι τοῦ ὑπὲρ ἀμφοῖν τοῖν αἰτιωμένοιν τὴν συμμαχίαν δοκεῖν ποιεῖσθαι τοὺς λόγους, τὸ τῇ πόλει συμφέρον καὶ λυσιτελὲς ἐπισκέπτεσθαι τῇ αὐτῇ μεταχειρίσει χρώμενος· εἶπε γὰρ καὶ τῷ πέμπτῳ τῶν φιλιππικῶν, καὶ τῷ ὑπὲρ τῶν ἐν χερρονήσῳ, θηρώμενος ἀεὶ τὸ κοινῇ συμφέρον, οὐχὶ δὲ τὸ ἰδίᾳ ἑκάστου, δι' ὃν ὁ λόγος σκοπούμενος. περιττὸν τοίνυν ἐστὶ κεφάλαιον ἐν τούτῳ τῷ λόγῳ, τὸ συμφέρον, λαμ-

*ὁρμητήρια ὁ. *λακεδαιμονίων. *ἀχθομένων. *δυσχερεστάτων. *ἁρπαζόντων. α.

## ΔΗΜΟΣΘΕΝΟΥΣ, ΛΟΓΟΣ ΥΠΕΡ ΜΕΓΑΛΟΠΟΛΙΤΩΝ.

ΑΜΦΟΤΕΡΟΙ μοι δοκοῦ- 1
σιν ἁμαρτάνειν ὦ ἄνδρες ἀθηναῖοι,
καὶ οἱ τοῖς ἀρκάσι, καὶ οἱ τοῖς λακε-
δαιμονίοις συνειρηκότες· ὥσπερ γὰρ
ἀφ' ἑκατέρων ἥκοντες, οὐχ *ὑμῶν
ὄντες πολῖται, πρὸς οὓς ἀμφότεροι πρεσβεύονται, κα- 2
τηγοροῦσι καὶ διαβάλλουσιν ἀλλήλους. ἦν δὲ, τοῦτο μὲν,
τῶν ἀφιγμένων ἔργον· τὸ δὲ κοινῶς ὑπὲρ τῶν πραγ-
μάτων λέγειν, καὶ τὰ βέλτιστα ὑπὲρ ὑμῶν σκοπεῖν ἄνευ
φιλονεικίας, τῶν ἐνθάδε συμβουλεύειν ἀξιούντων. νῦν
δ' ἔγωγε, εἴ τις αὐτῶν ἀφέλοι τὸ γιγνώσκεσθαι καὶ 3
τὸ τῇ φωνῇ λέγειν ἀττικῶς, πολλοὺς ἂν οἶμαι, τοὺς μὲν,
ἀρκάδας· τοὺς δὲ, λάκωνας αὐτῶν εἶναι νομίσαι. ἐγὼ δὲ,
ὁρῶ μὲν ὡς χαλεπὸν τὸ τὰ βέλτιστα λέγειν ἐστί· *συνε-
ξηπατημένων γὰρ ὑμῶν καὶ τῶν μὲν, *ταυτὶ *βουλομέ-
νων· τῶν δὲ, ταυτὶ, ἐὰν τὰ μεταξύ τις ἐγχειρῇ λέγειν, καὶ ὑ- 4
μεῖς μὴ περιμείνητε μαθεῖν, χαριεῖται μὲν οὐδετέροις·
διαβεβλήσεται δὲ πρὸς ἀμφοτέρους· οὐ μὴν ἀλλ'
αἱρήσομαι μᾶλλον αὐτὸς, ἂν ἄρα τοῦτο πάθω, δοκεῖν
φλυαρεῖν, ἤπερ ἃ βέλτιστα νομίζω τῇ πόλει, προέσθαι
τισὶν ὑμᾶς ἐξαπατῆσαι. τὰ μὲν οὖν ἄλλα, ὕστερον, ἂν ὑμῖν 5
βουλομένοις ᾖ, λέξω· ἀπὸ δὲ τῶν ὁμολογουμένων ὑφ'
ἁπάντων, ἄρξομαι, ἃ κράτιστα νομίζω διδάσκειν. οὐ-
κοῦν, οὐδ' ἂν εἷς ἀντείποι, ὡς οὐ συμφέρει τῇ πόλει καὶ
λακεδαιμονίους ἀσθενεῖς εἶναι, καὶ θηβαίους τουτουσί. ἔστι
τοίνυν ἔν τινι καιρῷ τοιούτῳ τὰ πράγματα νῦν, εἴ τι δεῖ 6
τοῖς εἰρημένοις πολλάκις παρ' ὑμῖν λόγοις τεκμήρασθαι,
ὥστε θηβαίους μὲν ὀρχομενοῦ, καὶ θεσπιέων καὶ πλα-
ταιέων οἰκισθεισῶν, ἀσθενεῖς γίνεσθαι· λακεδαιμονίους δὲ,
εἰ ποιήσονται *ἀρκαδίαν ὑφ' ἑαυτοῖς καὶ μεγάλην πό-
λιν *αἱρήσουσι, πάλιν ἰσχυροὺς *γενήσεσθαι. σκεπτέον τοίνυν, 7
μὴ πρότερον τούσδε γίνεσθαι φοβεροὺς καὶ μεγάλους
ἐάσωμεν, ἢ ἐκεῖνοι μικροὶ γενήσονται· καὶ λάθωσιν ἡμᾶς

*ἡμῶν. α. *ἐξηπατημ. α. *ταῦτα. α. *βουλομένων. α. *ἢ παρ' ἃ. β. α. *πλὴν. α. *αἱ αἱρήσουσι. α. *γίνεσθαι. α.

πλείονι μείζους οἱ λακεδαιμόνιοι γενόμενοι, ἢ ὅσῳ τοὺς θηβαίους ἐλάττους συμφέρει γενέσθαι· οὐ γὰρ ἐκεῖνό γ'
8 ἂν εἴποιμεν, ὡς ἀνταλλάξασθαι βουλόμεθα ἀντιπάλους λακεδαιμονίους ἀντὶ θηβαίων· οὐδὲ τοῦτ' ἔσθ' ὃ σπουδάζομεν, ἀλλ' ὅπως μηδέτεροι δυνήσονται μηδὲν ἡμᾶς ἀδικεῖν. οὕτω γὰρ ἂν ἡμεῖς μετὰ πλείστης ἀδείας εἴημεν. ἀλλὰ νὴ δία, ταῦτα μὲν οὕτω δεῖν ἔχειν φή-
9 σομεν, δεινὸν δέ, εἰ πρὸς οὓς παρετάττόμεθα ἐν μαντινείᾳ, τούτους συμμάχους αἱρησόμεθα· εἶτα βοηθήσομεν τούτοις ἐναντία ἐκείνοις, μεθ' ὧν τότε ἐκινδυνεύομεν; κἀμοὶ ταῦτα δοκεῖ· προσδεῖσθαι δέ τινος τοῦ τὰ δίκαια ποιεῖν ἐθελόντων τῶν ἑτέρων. εἰ μὲν τοίνυν ἐθελή-
10 σουσι πάντες εἰρήνην ἄγειν, οὐ βοηθήσομεν τοῖς μεγαλοπολίταις· οὐδὲν γὰρ δεήσει· ὥστε, οὐδὲν τοῖς ὑπεναντίον ὑμῖν ἔσται πρὸς τοὺς συμπαραταξαμένους. σύμμαχοι δ' ἡμῖν, οἱ μὲν, ὑπάρχουσιν, ὥς φασιν· οἱ δὲ, προσγενήσονται νυνί. καὶ τί ἂν ἄλλο βουλοίμεθα. ἐὰν δὲ
11 ἀδικῶσι καὶ πολεμεῖν οἴωνται δεῖν, εἰ μὲν ὑπὲρ τούτου μόνον βουλευτέον, εἰ χρὴ μεγάλην πόλιν ἡμᾶς προέσθαι λακεδαιμονίοις, ἢ μὴ· δίκαιον μὲν οὐ· συγχωρῶ δ' ἔγωγ' ἐᾶσαι, καὶ μηδὲν ἐναντιωθῆναι τοῖς τότε τῶν αὐτῶν μετασχοῦσι κινδύνων. εἰ δ' ἅπαντες ἐπίστασθε, ὅτι,
12 ταύτην ἂν ἕλωσιν, ἴασιν ἐπὶ μεσσήνην, φρασάτω τις ἐμοὶ τῶν νῦν χαλεπῶν τοῖς μεγαλοπολίταις, τί τόθ' ἡμῖν συμβουλεύσει ποιεῖν. ἀλλ' οὐδεὶς ἐρεῖ. καὶ μὴν πάντες ἐπίστασθε ὡς, καὶ παραινούντων τούτων, καὶ μή, βοηθητέον. καὶ διὰ τοὺς ὅρκους οὓς ὀμωμόκαμεν μεσση-
13 νίοις, καὶ διὰ τὸ συμφέρον εἶναι κατοικεῖσθαι ταύτην τὴν πόλιν. σκοπεῖσθε δὴ πρὸς ὑμᾶς αὐτούς, ποτέραν τὴν ἀρχὴν καλλίονα καὶ φιλανθρωποτέραν ποιήσεσθε, τοῦ μὴ ἐπιτρέπειν ἡμᾶς ἀδικεῖν λακεδαιμονίοις, τὴν ὑπὲρ μεγάλης πόλεως, ἢ τὴν ὑπὲρ μεσσήνης. νῦν μέν γε,
14 βοηθεῖν δόξετε ἀρκάσι, καὶ τὴν εἰρήνην σπουδάζειν εἶναι βεβαίαν, ὑπὲρ ἧς ἐκινδυνεύσατε καὶ παρετάξασθε. τότε δ' εὔδηλοι πᾶσιν ἔσεσθε, οὐ τοῦ δικαίου μᾶλλον ἕνεκα μεσσήνην εἶναι βουλόμενοι, ἢ τοῦ πρὸς λακεδαιμονίους φόβου. δεῖ δὲ, σκοπεῖν μὲν ἀεὶ καὶ πράττειν τὰ δίκαια·
15 συμπαρατηρεῖν δὲ, ὅπως ἅμα καὶ συμφέροντα ἔσται ταῦτα. ἔστι τοίνυν καὶ τοιοῦτός τις λόγος παρὰ τῶν ἀντιλεγόντων, ὡς κομίσασθαι τὸν ὠρωπὸν ἡμᾶς ἐγχειρεῖν δεῖ. εἰ δὲ τοὺς βοηθήσοντας ἂν ἡμῖν, ἐχθροὺς ἐπ' αὐτὸν νῦν κτησόμεθα, οὐχ ἕξομεν συμμάχους. ἐγὼ δὲ, τὸν μὲν κομίσα-

λαμβάνει δὲ τάς. — βαίνει τὰς κατασκευὰς ἐκ τοῦ δυνατοῦ. φησὶ γὰρ συμφέρον εἶναι τῇ πόλει, λακεδαιμονίους καὶ θηβαίους ἀσθενεῖς ὑπάρχειν. νῦν δὲ καιρὸν εἶναι τούτου, κατοικισθείσης μὲν τῆς βοιωτίας, μὴ συγχωρηθέντων δὲ ἰσχυρῶν γενέσθαι τῶν λακεδαιμονίων· οὕτω τὰς κατασκευὰς τοῦ συμφέροντος ἀπὸ τοῦ δυνατοῦ κεκόμικεν. ἀλλὰ τὸ μὲν περὶ τοῦ κατοικισμοῦ τῆς βοιωτίας, ἐνταῦθα μὲν προὔθηκε καὶ συνέπλεξε διὰ τὴν πιθανότητα, προσείψας ἀθρόως αὐτὸ πρὸς τὴν λυποῦσαν αὐτοὺς ἔννοιαν, ὅτι, ἀλλ' αὐξηθήσονται θηβαῖοι, τεθέντων τῶν ἀρκάδων· καταλιπὼν δὲ αὐτὸ ἐν προτάσει, καὶ τῶν ἀρκάδων τὴν ἀπόδειξιν εἰς καιρὸν ταμιευσάμενος, μετὰ μικρὸν ἀποδείξων, (α.) ὅταν πρὸς αὐτὴν τὴν ἀντίθεσιν ἀγωνίζηται, τὸ κατὰ λακεδαιμονίους ἀποδείκνυσι μόνον, ὡς οὐ συμφέρει συγχωρεῖσθαι γενέσθαι μεγάλοις. κατασκευάζει δὲ τοῦτο τῷ ἐξισάζοντι κατ' ἀντιστροφήν. ἐπειδὴ γὰρ ἡ ἔννοια ἦν, ἀλλ' ἰσχυροὶ γενήσονται θηβαῖοι, τοῦτο δὲ οὐ συμφέρει, ἐπήγαγεν ἀπὸ τοῦ ἐξισάζοντος τὸ ἀντίστροφον. οὐδὲ γὰρ λακεδαιμονίους αὐξηθῆναι συμφέρει. (α.) τὸ δὲ σχῆμα τὸ κατ' ἀναίρεσιν, παραπλήσιον τῷ κατ' ἀρχὰς ἐν τῷ πρὸς λεπτίνην μετὰ τὴν προτέραν περίοδον· οὐ γὰρ ἐκεῖνό γε ἄλλο γένους ἐστὶν εἰπεῖν. ταῦτα δὲ πάντα μάχην ἔχει πρὸς τὴν ἀπὸ θηβαίων ἀντίθεσιν· τότε γὰρ ὀρχομενοῦ καὶ θεσπιέων, καὶ πλαταιέων οἰκισθεισῶν ἀσθενεῖς γενήσεσθαι τοὺς λακεδαιμονίους, τῆς ἀντιθέσεώς ἐστι λύσις· οὐ γὰρ ἐκεῖνό γε ἔστιν εἰπεῖν, ὅτι πλοκὴν ἔχει τὸ κεφάλαιον, οὐ τὴν τυχοῦσαν, ἀλλὰ πάσης δεινότητος ἀνάπλεων. διὰ γὰρ τῶν αὐτῶν, καὶ καθαιρεῖ τὴν τῶν θηβαίων δύναμιν, καὶ τὸ μὴ αὐξηθῆναι λακεδαιμονίους συνίστησιν. ἀλλὰ νὴ δία, ταῦτα μὲν οὕτως ἔχειν δώσομεν· δεινὸν γὰρ (φήσομεν. α.) τὸ πρὸς οὓς ἐν μαντινείᾳ παρεταττόμεθα. ἀπὸ τοῦ συμφέροντος ταύτην ἔλαβε τὴν ἀντίθεσιν, τὸ αἰσχρὸν καὶ τὸ ἄτοπον δεικνῦσαν· ἐκ τούτων γὰρ ἐπιχειρεῖται· καὶ ἔστιν ἡ ἀντίθεσις διμερής· ἓν μὲν γὰρ αὐτῆς μέρος ἐνδείκνυται τὸ αἰσχρὸν ὅσον ἔσται, εἰ τούτοις βοηθήσουσιν οἷς ἐπολέμησαν· τὸ δὲ ἕτερον μέρος, τὸ ἄτοπον, εἰ λακεδαιμονίοις πολεμήσουσιν, οἷς μικρῷ πρότερον συνεμάχοντο. ταύτης τὸ μὲν πρότερον μέρος ἔλυσε κατὰ συνδρομήν, καὶ ὃ καὶ αὐτὸς ὁμολογεῖ τὸ αἰσχρὸν κατὰ μετάληψιν δέ, εἰ μηδὲν ἀδικούντων πολεμίων οὐδὲν ποιεῖν τὰ δίκαια

μίσασθαι Ὠρωπὸν πειρᾶσθαι, φημὶ δεῖν καὶ αὐτούς. ὃ δ᾽ ἐ- 16
χθροὺς ἡμῖν ἔσεσθαι Λακεδαιμονίους νῦν, ἐὰν ποιησώ-
μεθα συμμάχους Ἀρκάδων τοὺς βουλομένους ἡμῖν εἶναι
φίλους, μόνοις οὐδ᾽ εἰπεῖν ἐξεῖναι νομίζω τοῖς πείσασιν ἡ-
μᾶς, ὅτ᾽ ἐκινδύνευον Λακεδαιμόνιοι, βοηθεῖν αὐτοῖς. οἱ
γὰρ ταῦτα λέγοντες, ἔπεισαν ὑμᾶς, πάντων Πελοπον- 17
νησίων ἐλθόντων ὡς ὑμᾶς, καὶ μεθ᾽ ὑμῶν ἀξιούντων ἐπὶ
τοὺς Λακεδαιμονίους ἰέναι, τοὺς μὲν μὴ προσδέξασθαι,
καὶ διὰ τοῦθ᾽, ὅπερ ἦν λοιπὸν αὐτοῖς, ἐπὶ Θηβαίους
ἦλθον· ὑπὲρ δὲ τῆς Λακεδαιμονίων σωτηρίας, καὶ χρή-
ματα εἰσφέρειν, καὶ τοῖς σώμασι κινδυνεύειν. καίτοι, οὐδ᾽ ἂν 18
ὑμεῖς ἠθελήσατε δή που σώζειν αὐτούς, εἰ τοῦτο προὔλε-
γον ὑμῖν, ὅτι σωθέντες, ἐὰν μὴ ποιῆτε ὅ, τι βούλονται, πά-
λιν αὐτοὺς ἐᾶτε καὶ ἀδικεῖν, οὐδεμίαν χάριν ὑμῖν ἕξουσι
τῆς σωτηρίας. καὶ μὴν εἰ καὶ σφόδρα ἐναντίον ἐστὶ τοῖς
Λακεδαιμονίων ἐπιχειρήμασι, τὸ τοὺς Ἀρκάδας ἡμᾶς 19
συμμάχους ποιήσασθαι, προσήκει δή που πλείω χά-
ριν αὐτοὺς ἔχειν ὧν ἐσώθησαν ὑφ᾽ ἡμῶν εἰς τοὺς ἐσχάτους
ἐλθόντες κινδύνους, ἢ ὧν ἀδικεῖν κωλύονται νῦν, ὀργίζε-
σθαι. ὥστε πῶς οὐ βοηθήσουσιν ὑμῖν ἐπ᾽ Ὠρωπὸν ἢ κά-
κιστοι πάντων ἀνθρώπων δόξουσιν εἶναι; ὅ, μὰ τοὺς θεούς, 20
ἔγωγε οὐχ ὁρῶ. θαυμάζω τοίνυν τῶν λεγόντων τὸν λό-
γον τοῦτον, ὡς εἰ συμμάχους ποιησόμεθα Ἀρκάδας καὶ
ταῦτα πράξομεν, μεταβάλλεσθαι δόξει, καὶ οὐδὲν ἔχειν
πιστὸν ἡ πόλις. ἐμοὶ γὰρ δοκεῖ τοὐναντίον, ὦ ἄνδρες Ἀθη-
ναῖοι. διὰ τί; ὅτι τὴν ἁπάντων οὐδένα ἀντειπεῖν οἶμαι, 21
ὡς οὐ καὶ Λακεδαιμονίους, καὶ πρότερον Θηβαίους, καὶ τὸ
τελευταῖον Εὐβοέας ἔσωσεν ἡ πόλις, καὶ μετὰ ταῦτα συμ-
μάχους ἐποιήσατο, ἕν τι καὶ τὸ αὐτὸ ἀεὶ βουλομένη πράτ-
τειν. ἔστι δὲ τοῦτο τί; τοὺς ἀδικουμένους σώζειν. εἰ τοίνυν τοῦ-
θ᾽ οὕτως ἔχει, οὐκέτ᾽ ἂν ἡμεῖς εἴημεν οἱ μεταβαλλόμενοι 22
ἀλλ᾽ οἱ μὴ θέλοντες τοῖς δικαίοις ἐμμένειν· καὶ φανήσεται τὰ πράγματα διὰ τοὺς
ἀεὶ πλεονεκτεῖν βουλομένους, μεταβαλλόμενα, οὐχ ἡ πόλις ἡμῶν. δοκοῦσι δέ μοι Λα-
κεδαιμόνιοι μάλα δεινῶν ἔργων ἀνθρώπων ποιεῖν· νυνὶ γάρ φασιν ἐκεῖνοι δεῖν, Ἠλείους
μὲν τῆς Τριφυλίας τινὰ κομίσασθαι, Φλιασίους δὲ τὸ Τρικάρανον, ἄλλους δέ τινας τῶν 23
Ἀρκάδων, τὴν αὐτῶν· καὶ τὸν Ὠρωπὸν ἡμᾶς· οὐχ ἵνα ἑκάστους ἡμῶν ἴδωσιν ἔχοντας τὰ
ἑαυτῶν, οὐδὲ ὀλίγου δεῖ· ὀψὲ γὰρ ἂν φιλάνθρωποι γεγονότες εἶεν· ἀλλ᾽ ἵνα πᾶσι δο-
κῶσι συμπράττειν, ὅπως ἂν ἕκαστοι κομίσωνται ταῦθ᾽, ἅ φασιν αὐτῶν εἶναι· ἵν᾽ ἐπειδὰν
ἴωσιν ἐπὶ Μεσσήνην, καὶ αὐτοὶ συστρατεύωνται πάντες αὐτοῖς οὗτοι, καὶ βοηθῶσι προ- 24
θύμως, ἢ δοκῶσιν ἀδικεῖν, περὶ ὧν ἔφασαν ἕκαστοι σφῶν αὐτῶν εἶναι συμψήφους λα-
βόντες ἐκείνους, μὴ τὴν ὁμοίαν αὐτοῖς χάριν ἀποδιδόντες. ἐγὼ δὲ νομίζω τὴν πόλιν,
πρῶτον μὲν καὶ χωρὶς τοῦ καθυφεῖναι Λακεδαιμονίοις τινὰς Ἀρκάδων, Ὠρωπὸν ἂν

δίκαια βουλομένων τούτων εἶναι τὸ αἰσχρόν. σεσιώπηται δὲ τὸ ἑπόμενον τούτῳ, διὰ τὸ ἀκόλουθον εἶναι καὶ προφανές. τοῦτο δὲ ἦν, Εἰ δὲ καὶ ἀδικοῦσι Λακεδαιμόνιοι, οὐκ ἂν αἰσχρὸν εἴη τὸ γινόμενον. τοῦτο μὲν οὖν, πρὸς τὸ πρότερον μέρος· μεταβὰς δὲ ἐπὶ τὸ ἕτερον μέρος, λύει αὐτὸ τῷ δικαίῳ, καὶ συμφέροντι· δικαίῳ δέ, ὅτι ἀδικοῦσι Λακεδαιμονίοις, καθ᾽ ὑπόθεσιν, εἰ καὶ μόνον ἠδίκεσαν, ἄτοπον μέν, ὅμως δὲ ἔδει συγχωρεῖν. καὶ ἄλλως δικαίῳ· εἰ δὲ στρατεύονται ἐπὶ Μεσσήνην, ἀναγκαῖον βοηθεῖν Μεσσηνίοις διὰ τοὺς ὅρκους, οὓς ἐποιησάμεθα· μετὰ τοῦτο τῷ συμφέροντι, Οὐδὲ αὐξηθῆναι τὴν πόλιν συμφέρει Λακεδαιμονίους· εἶτα ἀπὸ τοῦ συμφέροντος πρέποντος· Τίς ἔσται πρεπωδεστέρα ἀρχὴ τῆς βοηθείας· πότερον ἡ παροῦσα νῦν, ἢ ὅταν εἰς τὴν Μεσσήνην ἐμβάλωσι· τότε μὲν γὰρ δόξομεν δι᾽ εὐλάβειαν καὶ φόβον ποιεῖν· νῦν δέ, διὰ τὸ δίκαιον. καὶ οὕτω δέδωκε τὸ θεώρημα καινὸν ἐν τούτῳ τῷ λόγῳ, μὴ μόνον προηγούμενα συμπλέκειν κεφάλαια, δίκαιον καὶ συμφέρον, ἢ δυνατὸν καὶ δίκαιον, ἢ συμφέρον καὶ δυνατόν· ἀλλὰ καὶ τὰ δευτερεύοντα, ὥσπερ ἐπὶ τῆς λύσεως πεποίηκε ταύτης· καὶ γὰρ καὶ τῷ δικαίῳ καὶ τῷ συμφέροντι λέλυκε. διὰ τοῦτο δὲ τὴν προσθήκην τοῦ δευτέρου μέρους ἔλαβεν ἡ ἀντίθεσις· ἐπειδήπερ τὸ μὲν πρότερον δίλυτον ἦν τὸ κατὰ τὴν αἰσχύνην, ὅταν βοηθῶσιν οἷς ἐπολέμουν· τὸ δὲ δεύτερον μέρος, ἀφορμὴν παρεῖχε διαβολῆς τοῦ προσώπου Λακεδαιμονίων. ἐδεήθη οὖν τῆς προσθήκης, ἵνα δι᾽ αὐτῆς δοκῇ πρὸς πᾶσαν μάχεσθαι τὴν ἀντίθεσιν τοῦ συμφέροντος, ἀλλὰ λυσιτελεῖν δῆλον μᾶλλον προσθέσθαι λα-

μεθα. α. · μόνοις. ε. · τούτοις. ε. · ὑμᾶς. α. · ἡμῖν α. · νῦν. α. · α. · μὲν. α. · α. · πάντων. α. · ἐφ. · ἀεὶ διὰ τοὺς πλεονεκτεῖν. α. · αὐτῶν. α. · δεῖν. α. · ἑαυτῶν. α. · αὐτῶν. ε. · ἐπειδὰν δ᾽. α. · α. · βοηθήσωσι. α. · ἔφθασαν. ε. · α. · ἀνάγκη. α.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κεδαιμονίοις· ἵνα καὶ αὐτοὶ συνδιασώσωσιν Ὠρωπὸν τῇ πόλει, ἥν τινα προσέθηκε τῇ ἀντιθέσει, ἵν' ἐπιρρήσῃ λύσιν. εἰ δ' ἐχθροὺς Λακεδαιμονίους ποιησόμεθα, οὐχ ἕξομεν τοὺς ἡμῖν συμμαχήσοντας. διμερὴς καὶ αὕτη ἡ ἀντίθεσις· τὸ μὲν γὰρ ἓν μέρος, τὸν Ὠρωπὸν δεῖ ἡμᾶς κομίσασθαι· τὸ δὲ ἕτερον, εἰ δὲ τοὺς συνανασώσοντας, ἐχθροὺς ποιησόμεθα, τίνας ἕξομεν συμμάχους. τὸ τοίνυν πρότερον μέρος, ἔλυσε κατὰ συνδρομήν· τὸ δὲ ὅτι Λακεδαιμονίους ἐχθροὺς ἕξομεν, εἰ τοὺς Ἀρκάδας προησόμεθα, μεταληπτικῶς. Οὐ τοῦτον τὸν τρόπον ὑμῖν συνεβούλευσα, οὐδὲ ταῦτα ὑμῖν προύλεγον οἱ βουλόμενοι λαθεῖν ἀξιοῦντες Λακεδαιμονίους, καὶ διωθήσασθαι Πελοποννησίους ἥκοντας παρ' ἡμᾶς· λοιπὸν ἐπὶ Θηβαίους ἧκον, ὅτι μὴ προσεδέξαντο αὐτούς· ἡ δὲ λύσις ἀπὸ τοῦ δικαίου εἶτα °ἑτέρα λύσις, ὅτι οὐδ' ἂν αὐτοῖς ὑμεῖς ἐβοηθήσατε εἰ προύλεγον ὑμῖν ὅτι βοηθέντες ἀδικήσουσι. καὶ °τρίτη λύσις, ὅτι εἰ καὶ αἰτιῶνται Λακεδαιμόνιοι, δίκαιοι χάριν εἰσὶ γιγνώσκειν μᾶλλον ἐφ' οἷς εὖ "ἔπαθον ἢ νῦν χαλεπαίνειν, ὅτι κωλύονται ἀδικεῖν. πληρωθέντος τοῦ συμφέροντος, μετέβη ἐπὶ τὸ δίκαιον ὡς ἀντικείμενον αὐτῷ. διόπερ καὶ ἐξ ἀντιθέσεως αὐτὸ λαμβάνει, καὶ ἔστι τριμερές· τὸ μὲν γὰρ πρὸς τὴν πόλιν, τὸ δὲ πρὸς Λακεδαιμονίους, τὸ δὲ πρὸς Ἀρκάδας. πρώτη τοίνυν ἀντίπτωσιν ἀντίθεσις ἀπὸ τοῦ δικαίου, κατηγοροῦσα τῆς πιότητος τῆς πόλεως. ὡς ἄπιστος εἶναι δόξει ἡ πόλις, νῦν μὲν Λακεδαιμονίοις, αὖθις δὲ Ἀρκάσι προστιθεμένη· ὁμοία δ' ἐστὶν αὕτη τῇ 'προτεθείσῃ ἀντιθέσει. ἀλλ' ἐπεὶ μὲν τὸ αἰσχρὸν ἐξητάζετο, ὅπερ ἐστὶ τοῦ συμφέροντος· ἐνταῦθα δὲ ἔστι τὸ δίκαιον, ὥστε αἱ αὐταὶ ἔννοιαι τῶν ἀντιθέσεων. ἀλλά γε οὐκ ἐπὶ τῶν ὁμοίων ἐλήφθησαν, ἐὰν ἄλλη μὲν ἐστὶ τοῦ συμφέροντος, ἄλλη δὲ τοῦ δικαίου· περὶ γὰρ "τὴν ποιὰν μεταχείρησιν καὶ ὁ λόγος τὴν δύναμιν μεταλαμβάνει. ἔλυσε δὲ κατὰ ἀνατροπήν· ἐγγὺς δὲ ἡ ἀνατροπὴ τῆς μεταλήψεως. εἶτα ἐκ παραδείγματος, ὅτι καὶ Θηβαίους καὶ Εὐβοέας καὶ Λακεδαιμονίους ἔσωσεν ἡ πόλις, καὶ νῦν ἐστὶν Ἀρκάδας τὸν αὐτὸν τρόπον διασώζουσα, ἄλλην ἀντίθεσιν ἀπὸ τοῦ δευτέρου μέρους τοῦ δικαίου κεκίνηκεν, ὅπερ ἐστὶ πρὸς Λακεδαιμονίους· Ἀλλ' ἐπαγγέλλονται)

°ἑτέρα λύσις. α. °τρίτη λύσις. α. "ἔπαθον. 'πρώτῃ τεθείσῃ. α. 'ἢ δὲ τοῦ. α. "τοιαύτην. α.

25 κομίσασθαι καὶ μετ' ἐκείνων μὲν τὰ δίκαια ποιεῖν ἐθελουσι, βοηθούντων· καὶ μετὰ τῶν ἄλλων τῶν οὐκ οἰομένων δεῖν Θηβαίους ἐᾶν ἔχειν τὰ ἀλλότρια. εἰ δ' ἄρα τοῦτ' εὔδηλον ἡμῖν γένοιτο, ὅτι μὴ Λακεδαιμονίους ἐῶντες τὴν Πελοπόννησον καταστρέψασθαι, οὐχ οἷοί τε ἐσόμεθα
26 Ὠρωπὸν λαβεῖν, αἱρετώτερον εἰ οἷόν τ' εἰπεῖν ἡγοῦμαι τὸν Ὠρωπὸν ἐᾶν, ἢ Λακεδαιμονίους Μεσσήνην προέσθαι καὶ Πελοπόννησον. οὐ γὰρ μὲν ἡγοῦμαι περὶ τούτου μόνον ἡμῖν εἶναι τὸν λόγον πρὸς ἐκείνους. ἀλλ' ἐάσω τὸ γ' ἐπελθόν εἰπεῖν μοι περὶ πολλῶν δ' ἂν οἶμαι κίνδυνον ἡμῖν γενέ-
27 σθαι· ἀλλὰ μὴν, ἅ γέ φασι πεπρᾶχθαι διὰ Θηβαίους τοῖς Μεγαλοπολίταις ὑπεναντία πρὸς °ὑμᾶς, ἄτοπον, νῦν μὲν ἐν κατηγορίας μέρει ποιεῖσθαι, βουλομένων δὲ γενέσθαι φίλων αὐτῶν, ἵνα τοὐναντίον εὖ °ποιῶσιν ὑμᾶς, βασκαίνειν καὶ σκοπεῖν, ἐξ ὅτου τρόπου μὴ γενήσονται· καὶ μὴ γι-
28 γνώσκειν, ὅτι ὅσῳ ἂν σπουδαιοτέρους τούτους περὶ Θηβαίους γεγενημένους °ἀποδείξωσι, τοσούτῳ πλείονος ὀργῆς αὐτοὶ δικαίως ἂν τυγχάνοιεν, εἰ τοιούτων συμμάχων τὴν πόλιν, ὅτ' ἐφ' ὑμᾶς πρότερον ἦλθον, ἢ Θηβαίους, ἀπεστέρησαν. ἀλλ' οἶμαι ταῦτα μὲν ἐστὶ δεύτερον ἀνθρώπων βουλο-
29 μένων, ἑτέρων ποιῆσαι τούτους συμμάχους. ἐγὼ δὲ *ὅσα ἂν ἐκ λογισμοῦ σκοπῶν τις εἰκάσαι, καὶ τοὺς πολλοὺς ὑμῶν °οἶμαι ταῦτα °φῆσαι, ὅτι εἰ λήψονται Μεγάλην πόλιν Λακεδαιμόνιοι, κινδυνεύσει Μεσσήνη· εἰ δὲ καὶ ταύτην λήψονται, φημὶ °ὑμᾶς ἔσεσθαι συμμάχους Θη-
30 βαίων· πολὺ δὴ κάλλιον καὶ ἄμεινον, τὴν *Θηβαίων συμμαχίαν αὐτοὺς παραλαβεῖν, τῇ δὲ Λακεδαιμονίων πλεονεξίᾳ μὴ °ἐπιτρέπειν, ἢ νῦν °ὀκνοῦντας μὴ τοὺς Θηβαίους σώσωμεν συμμάχους· τούτους μὲν προέσθαι, πάλιν δὲ σώζειν αὐτοὺς τοὺς °Θηβαίους, καὶ προσέτι ἐν φόβῳ °καθε-
31 στάναι περὶ ἡμῶν αὐτῶν. οὐ γὰρ ἔγωγε ἀδεὲς τοῦτο ὑπολαμβάνω τῇ πόλει, τὸ λαβεῖν Μεγάλην πόλιν Λακεδαιμονίους, καὶ πάλιν γενέσθαι μεγάλους. ὁρῶ γὰρ αὐτοὺς καὶ νῦν, οὐχ ὑπὲρ °τοῦ μὴ παθεῖν τι κακὸν °πόλεμον °ἀραμένους, ἀλλ' ὑπὲρ τοῦ κομίσασθαι τὴν πρότερον *οὖσαν
32 °ἑαυτοῖς δύναμιν· ὧν δ' ὅτ' ἐκείνην εἶχον, ὠρέγοντο, τάχ' ἂν ὑμεῖς μᾶλλον ἴσως εἰδότες ἢ ἐγώ, φοβοῖσθ' ἄν. εἰκότως. ἡδέως δ' ἂν πυθοίμην *τῶν λεγόντων, καὶ τοὺς Θηβαίους μισεῖν φασκόντων καὶ τοὺς Λακεδαιμονίους, πότερα δι' ἑκατέρους μισοῦσιν, οὓς δὴ μισοῦσιν, ὑπὲρ °ὑμῶν
33 καὶ τοῦ συμφέροντος °ὑμῖν, ἢ ὑπὲρ μὲν Λακεδαιμονίων Θηβαίους, ὑπὲρ δὲ Θηβαίων Λακεδαιμονίους, ἑκάτεροι. εἰ

μὲν γὰρ

°ἡμᾶς. α. °ποιήσωσιν. ἡμᾶς. α. °ἐπιδείξωσι. α. *εἰ δ'. α. ὅσῳ ἂν. α. °οἶμαι. α. °φήσειν. α. °ἡμᾶς. α. *μὲν. α. °ἐπιτρέψαι. α. °ὀκνοῦντες. α. °Θηβαίοις. α. °καθεστηκέναι. α. °τῶν. α. °πολεμεῖν. α. °αἱρουμένους. α. *ποτὲ. α. °αὐτοῖς. α. *ἡ. ε. °ἡμῶν. α. °ἡμῖν. α.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μὲν γὰρ ὑπὲρ ἐκείνων, οὐδετέροις ὡς μεμηνόσι πεί-
θεσθαι προσήκει· εἰ δ᾽ ὑπὲρ ἡμῶν φήσουσι, τί πέρα τοῦ
καιροῦ τοὺς ἑτέρους ἐπαίρουσιν· ἔστι γὰρ ἐστὶ θηβαίους τα-
πεινοὺς ποιεῖν, ἄνευ τοῦ λακεδαιμονίους ἰσχυροὺς καθεστά- 34
ναι· καὶ πολύ γε ῥᾷον· ὡς δὲ, ἐγὼ πειράσομαι πρὸς ὑ-
μᾶς εἰπεῖν· ἴσμεν ἅπαντες τοῦθ᾽, ὅτι τὰ μὲν δίκαια πάν-
τες, ἐὰν καὶ μὴ βούλωνται, μέχρι τούτου γε αἰσχύνονται
μὴ πράττειν· τοῖς δ᾽ ἀδικοῦσιν, ἐναντιοῦνται φανερῶς·
ἄλλως τε κἂν τινες βλάπτωνται, καὶ τοῦτο, τὸ λυμαινόμε- 35
νον πάντ᾽ εὑρήσομεν· καὶ ταύτην ἀρχὴν οὖσαν πάντων
τῶν κακῶν τὸ μὴ θέλειν τὰ δίκαια πράττειν ἁπλῶς. ἵνα
τοίνυν μὴ τοῦτο ἐμποδὼν γένηται, τὸ, τοὺς θηβαίους γενέ-
σθαι μικροὺς, τὰς μὲν θεσπιὰς καὶ τὸν ὀρχομενὸν καὶ τὰς
πλαταιὰς κατοικίζεσθαι φῶμεν δεῖν· καὶ συμπράττω- 36
μεν αὐτοῖς, καὶ τοὺς ἄλλους ἀξιῶμεν· ταῦτα γὰρ καλὰ καὶ
δίκαια, μὴ περιορᾶν πόλεις ἀρχαίας ἐξανεστώσας· τὴν
δὲ μεγάλην πόλιν καὶ τὴν μεσσήνην μὴ προώμεθα
τοῖς ἀδικοῦσι, μηδ᾽ ἐπὶ τῇ προφάσει τῇ θεσπιέων καὶ
πλαταιέων, τὰς οὔσας καὶ κατοικουμένας πόλεις ἀναιρε- 37
θείσας περιίδωμεν· κἂν ᾖ πρόδηλα ταῦτα, οὐδεὶς ὅστις
οὐ βουλήσεται παύσασθαι θηβαίους ἔχοντας τὴν ἀλλο-
τρίαν· εἰ δὲ μὴ, πρῶτον μὲν ἐναντίους ἕξομεν πρὸς
ἐκεῖνα τούτους, εἰκότως, ὅταν ἡγῶνται τὴν ἐκείνων κατοί-
κισιν ἑαυτοῖς ὄλεθρον φέρειν· εἶτ᾽ ἀνήνυτα πράγμα- 38
τα ἕξομεν αὐτοί· τί γὰρ ὡς ἀληθῶς ἔσται πέρας, ὅταν ἀεὶ,
τὰς μὲν οὔσας πόλεις ἐῶμεν ἀναιρεῖν, τὰς δὲ ἀνῃρημένας
ἀξιῶμεν οἰκίζειν. λέγουσι τοίνυν οἱ μάλιστα δοκοῦντες
δίκαια λέγειν, ὡς δεῖ τὰς στήλας καθελεῖν τὰς πρὸς θη-
βαίους, εἴπερ ἡμέτεροι βεβαίως ἔσονται σύμμαχοι· οἱ δὲ, 39
φασὶ μὲν αὐτοῖς οὐκ εἶναι στήλας, ἀλλὰ τὸ συμφέρον εἶναι
τὸ ποιοῦν τὴν φιλίαν· τοὺς δὲ βοηθοῦντας ἑαυτοῖς, τούτους
νομίζειν εἶναι συμμάχους. ἐγὼ δ᾽, εἰ τὰ μάλιστά εἰσι τοιοῦ-
τοι, ὧδέ πως ἔχω· φημὶ δεῖν ἅμα τούτους τε ἀξιοῦν κα-
θαιρεῖν τὰς στήλας, καὶ λακεδαιμονίους ἄγειν εἰρήνην. ἐὰν δ᾽ 40

λακεδαιμόνιοι τὰ δίκαια σώζειν ἅπασιν· ἠλείοις μὲν, τὴν τριφυλίαν, παρὰ ἀρκάδων· φλιασίοις δὲ, τὸ [s]τρικάρανον, ὑπὸ ἀρκάδων ἐχόμενον· ἡμῖν δὲ, τὸν ὠρωπὸν, ὑπὸ θηβαίων βίᾳ κρατούμενον. καὶ αὕτη συγγένειαν ἔχει πρὸς τὴν περὶ ὠρωποῦ κινηθεῖσαν ἀντίθεσιν· ἀλλ᾽ ἐκείνη μὲν, ἀπὸ τοῦ συμφέροντος εἴληπται· ἡ δὲ, ἀπὸ τοῦ δικαίου. καὶ λύει ταύτην τῷ συμφέροντι μὲν, ὅτι ἴδιόν τι διοικούμενοι κέρδος, ταῦτα λακεδαιμόνιοι πράττουσιν, ἵνα ὡς ἐπὶ μεσσήνην ἔλθωσιν. ἔχεται δ᾽ οὖν ὅμως καὶ τοῦ δικαίου τοῦτο. εἰ γὰρ ἡ γνώμη ἄδικος, καὶ τὸ πρᾶγμα ἄδικον, δίκην δεῖν ἔχοιεν μέμφεσθαι τοῖς μὴ βοηθοῦσιν αὐτήν· εἶτα πάλιν δικαίῳ, ὅτι ἐν ὑποσχέσει καὶ ἀπάτῃ ταῦτα παρὰ λακεδαιμονίων, ἕως ἂν τὴν μεσσήνην καταδουλώσωνται. ἄχρις οὖν τούτων τὸ ἓν μέρος τῆς ἀντιθέσεως λέλυκε. τὸ δὲ κατὰ τὸν ὠρωπὸν, δεύτερον μέρος ἐστὶν, οὕτως, ὅτι Δίκαιοι μέν εἰσι καὶ ὑπὲρ ὠρωποῦ βοηθεῖν λακεδαιμόνιοι· εἰ δὲ μὴ [u]βοηθοῖεν, ἕτεροι βοηθήσουσιν ὅσοι τῶν δικαίων φροντίζουσιν. εἶτα καθ᾽ ὑπόθεσιν, ὅτι αἱρετώτερον ὠρωπὸν ἀπολέσθαι [x]μᾶλλον εἰ δέοι, ἢ ὑπὸ λακεδαιμονίοις γενέσθαι τὴν πελοπόννησον, τρίτη ἀντίθεσις ἀπὸ τοῦ δικαίου εἰλημμένη ἐκ τῆς τῶν ἀρκάδων πιστότητος· τοῦτο δ᾽ ἐστὶ τὸ τρίτον τοῦ δικαίου μέρος· Ἀλλὰ πολλὰ ἡμᾶς ἠδίκησαν ἀρκάδες, χάριτι [y]τοῦ πρὸς θηβαίους μέρους. [z]τοῦτο ἔλυσε τῷ συμφέροντι· πρῶτον μὲν ἀπὸ τοῦ ἀτόπου, εἰπὼν ἄτοπον εἶναι μνησικακεῖν· εἶτα ἐκ περιττῆς ἀγωνιστικώτερον, ὅτι εἰ τότε ἡμᾶς κακῶς ἐποίουν, νῦν οἶδα, καὶ οἱ πάλιν ἀπελαύνεσθαι προῃρημένοι [a]κακῶς ποιεῖν· καὶ ὅσῳ σπουδαῖοι περὶ [b]αὐτοὺς ἐγένοντο, τοσούτῳ δίκαιοι μέμψιν ἐκδέχεσθαι, οἱ τῇ πόλει μὴ συγχωρήσαντες αὐτοὺς καταδέξασθαι· ὅτι ἐφ᾽ ὑμῖν ἧκον [c]πρότερον· εἶτα ὅτι καὶ ἀναγκασθησόμεθα εἰ ἔλθοιεν ἐπὶ μεσσήνην λακεδαιμόνιοι γενέσθαι θηβαίων σύμμαχοι· ὥστε αἱρετώτερον τοὺς συμμάχους θηβαίων σώζειν, ἢ αὐτῶν δεῖσθαι θηβαίων. εἶτα τῶν ἀδικημάτων τῶν λακεδαιμονίων ὑπομιμνῆσθαι κατασκευάζων, τὸ μὴ συμφέρειν ἐᾶσαι λακεδαιμονίους ἰσχυροὺς καταστῆναι θέλει δηλῶσαι. πεπληρωμένου τοίνυν τοῦ μέρους τοῦ δικαίου, ἀπὸ τοῦ δυνατοῦ λοιπὸν ἀντέπεσεν [d]ἡ ἀντίθεσις, ἐπὶ μὲν τοῦ συμφέροντος ἀνατρέπεσθαι δυναμένη, τὰς δὲ κατασκευὰς ἀπὸ τοῦ δυνατοῦ λαμβάνουσα· Ἀλλ᾽ ἰσχυροὺς ποιήσομεν τοὺς θηβαίους. αὕτη ἐξισάζει ἡ ἀντίθεσις· δύναται γὰρ καὶ παρὰ δημοσθένους προτείνεσθαι· ἀλλ᾽ ἰσχυροὺς ποιήσομεν τοὺς λακεδαιμονίους. διὰ τοῦτο τοιγαροῦν οὐκ ἔθηκε μὲν τὴν ἀντίθεσιν ὡς ἐξισάζουσαν· τέθεικε δὲ τὴν λύσιν, εἰπών· Ἔστι γὰρ ἐστὶ θηβαίους ταπεινοὺς 33
ποιεῖν ἄνευ τοῦ λακεδαιμονίους ἰσχυροὺς καθιστάναι. τουτέστιν, ἔξεστιν οὐδετέροις αὐτῶν αὐξῆσαι. καὶ ὃ τέθεικεν ἀρχόμενος τοῦ λόγου κεφάλαιον τοῦτό ἐστιν. ἐντελέστατα δὲ γυμνάζει. πρὸς τοῦτο ἀντέπεσεν ἐκ τῆς ἐργασίας· Τί οὖν ἐὰν μὴ συγχωρῶσιν ὑμῖν θηβαῖοι κατοικίζειν θεσπιὰς καὶ πλαταιὰς, καὶ ὀρχομενὸν, καὶ κορώνειαν. τοῦτο τὸ ἀντίπτωτον λύων ἐπήγαγεν ὅτι, Κἂν μὴ βούλωνται τὰ δίκαια ποιεῖν θηβαῖοι κατοικίζειν θεσπιάς· εἰ δ᾽ οὖν γε αἰσχυνόμενοι συγχωρήσουσιν.

[s] τρικάλανον. α.
[u] βοηθοῖεν ἑτέροις, βοηθ. α.
[x] δέοι μᾶλλον ὑπὸ λακ. α.
[y] τῇ πρὸς θηβαίους. α.
[z] ταύτην. α.
[a] καλῶς α.
[b] ἐκείνους. α.
[c] προτέρους. α.
[d] α.

εἶτα συμβουλεύει λογοποιεῖν, καὶ διαδιδόναι φήμην εἰς τοὺς ἕλληνας, ὅτι κατοικίσουσι τὰς ἐν Βοιωτίᾳ πόλεις, ἵνα μὴ λακεδαιμόνιοι μεγαλοπολίταις ἐπιβουλεύωσιν· Ἐὰν γὰρ ὁρῶσι Θηβαῖοι τοῖς ἀδικουμένοις ἅπασιν ἡμᾶς ἀεὶ βοηθοῦντας, οὐδὲν ἀντεροῦσι κατοικιζομένων τῶν πόλεων. ἄλλην ἔθηκεν ἀντίθεσιν ἀπὸ τοῦ δικαίου, μάλα θαυμαστῶς ῥητορεύσας, ὡς ἀγαπῶντος τοῦ ἀκροατοῦ, εἰ μόνον ἀποσταῖεν τῆς Θηβαίων τῆς συμμαχίας, καὶ καταδεχομένους βοηθεῖν, εἰ τὰς στήλας ἀνέλοιεν. καὶ ἡ λύσις δὲ εἶτα θαυμασιωτέρα· γινώσκων γὰρ ὅπως ἔχοιεν γνώμης ἀρκάδες, προσποιεῖται ἀγνοεῖν, ἵνα μὴ δοκῇ συναγορεύειν. καὶ ἀξιόπιστος ἡ προσποίησις· τί γάρ φησιν, ἐὰν καταδέχωνται, δῆλοί εἰσι τὰ ἄδικα θέλοντες, ἵνα περὶ τούτων καταγνωμένου τοῦ ἀκροατοῦ, Δημοσθένους κρατήσῃ τὸ βούλευμα· οὐδὲ γὰρ ἂν ἄλλως ἐτόλμησαν ἀρκάδες αἰτῆσαι τὴν συμμαχίαν μὴ προῃρημένοι λαμπρῶς ἀποστῆναι Θηβαίων· ἀνήχθημεν δ' οὖν ἐπὶ τὸν λόγον τὸν ἐξ ἀρχῆς. Ἀλλ' εἰ προῄρηνται γίνεσθαι μεθ' ἡμῶν, ἄνδρες δίκαιοι καθελεῖν τὰς στήλας εἰσίν, ἐν αἷς ἔχουσιν ἀναγράπτους τὰς πρὸς Θηβαίους συνθήκας. προσέθηκε δὲ τὸ κατὰ τὰς στήλας, τὴν ἀντίθεσιν ἑαυτῷ πορίζόμενος· φησὶ γὰρ μὴ ὑπάρχειν στήλας. εἶτα ἠθικῶς ὡς ἤδη καταδεξαμένου τοῦ ἀκροατοῦ τὸν λόγον, καὶ περὶ τοῦτον λοιπὸν ἔχοντος ὥστε βεβαίως αὐτῶν γενέσθαι συμμάχους ἀρκάδας, ἀξιοπίστως καὶ ἠθικῶς διαλέγεται, ἵνα δοκῇ τὸ συμφέρον ὄντως τὸ τῆς πόλεως ζητεῖν. ἐπαμφοτερίζει δὲ τῇ γνώμῃ, καὶ ἐνδοιαστικῶς διαλέγεται, ὡς ἀγνοῶν δῆθεν τὴν ἀρκάδων γνώμην, καὶ ταῦτα μὴ ἀγνοῶν· τί γάρ φησιν· Εἰ μὲν τὰ δίκαια ποιεῖν θελήσειεν ποιεῖν λακεδαιμόνιοι καὶ εἰρήνην ἄγειν, μὴ ποιώμεθα πόλεμον· εἰ δὲ ἀρκάδες ἀνέλοιντο, δῆλοί εἰσιν ἀδικοῦντες. εἶτα κέχρηται ἀντιστρόφῳ τινὶ νοήματι ἀντίθεσιν αὐτὸ ποιήσας ἐπιλογικήν, Ἀλλὰ φοβεροὶ λακεδαιμόνιοι ἔσονται, τοὺς ἀρκάδας προσειληφότες. τάχα δὲ καὶ ἐξεπίτηδες πάλιν ἔθηκε μετὰ τὸν λόγον τὸν τῶν στηλῶν, ἵνα αὐτὴ ἑαυτὴν λύουσα φαίνηται· τίς γὰρ ἂν ἔτι οἰηθείη Θηβαίους ἰσχυροὺς γενήσεσθαι τῶν στηλῶν καθῃρημένων, καὶ ἀπηλλαγμένων ἀρκάδων τῆς ἐκείνων συμμαχίας· ὡς τὴν μὲν προτέραν λύσιν, ἐκ τοῦ ἐξισάζοντος εἶναι· ταύτην δὲ, ἀπὸ τοῦ δυνατοῦ. κατὰ φύσιν μᾶλλον, ἢ λογισμὸν ὃ πολλῷ πιθανωτέραν πεποίηκε τὴν λύσιν. εἶτα λοιπὸν ταῖς ἐκβάσεσι κέχρηται. ὅτι συμφέρει προσδέξασθαι, ἵνα μὴ δι' αὐτῶν μεγαλοπολῖται σωθέντες, προσχωρήσωσι Θηβαίοις· καὶ ἵνα εἰ σωθεῖεν ἐκ τοῦ φωκικοῦ πολέμου Θηβαῖοι, ἀσθενέστεροι ὦσι, τῆς συμμαχίας αὐτῶν προσκεχωρηκυίας τῇ πόλει.

μὴ ἐθέλωσι ποιεῖν ὁπότεροι ταῦτα, τότ' ἤδη μετὰ τῶν ἐθε-
λόντων ἡμᾶς γίνεσθαι· εἴτε γὰρ εἰρήνης γιγνομένης αὖθις, γινομένης. α.
οἱ μεγαλοπολῖται ἐπὶ τῆς Θηβαίων συμμαχίας ἔσονται,
φανεροὶ δήπου πᾶσιν ἔσονται τὴν πλεονεξίαν τὴν Θη- α.
41 βαίων, οὐ τὸ δίκαιον αἱρούμενοι, εἴτε συμμάχους ἀδήλως
ἡμᾶς τῶν μεγαλοπολιτῶν ποιουμένων, μὴ ἐθελήσουσιν θελήσουσιν. α. ε.
ἄγειν εἰρήνην οἱ λακεδαιμόνιοι, δῆλοι δήπου πᾶσιν ἔσον-
ται, οὐχ ἵνα Θεσπιαὶ κατοικισθῶσι ποιούμενοι τὴν σπου- μόνον. α.
δήν, ἀλλ' ἵνα τοῦ πολέμου τούτου περιεστηκότος Θηβαίοις,
42 τὴν Πελοπόννησον ὑφ' ἑαυτοῖς ποιήσωνται. θαυμάζω
δ' ἐνίων, εἰ τὸ μὲν Θηβαίων συμμάχους εἶναι τοὺς λακε- Θηβαίοις. α. β.
δαιμονίων ἐχθροὺς φοβοῦνται· εἰ δὲ καταστρέψονται λα-
κεδαιμόνιοι τούτους αὖθις, μηδὲν ἡγοῦνται φοβερόν, καὶ
ταῦτ' ἔργῳ πεῖραν ἡμῖν δεδωκότος τοῦ χρόνου, ὅτι Θηβαῖοι μὴ δίκαια. α
43 μὲν τούτοις συμμάχοις ἐπὶ λακεδαιμονίους ἀεὶ χρῶν- λακεδαιμονίοις. ε.
ται· λακεδαιμόνιοι δ' ὅτ' εἶχον αὐτούς, ἐφ' ἡμᾶς ἐχρῶν- ὑμᾶς. α.
το. οἶμαι τοίνυν ἔγωγε κἀκεῖνο ἐνθυμεῖσθαι δεῖν, ὅτι μὴ
προσδεξαμένων μὲν ὑμῶν τοὺς μεγαλοπολίτας, ἐὰν
μὲν ἀναιρεθῶσι καὶ διοικισθῶσιν, ἰσχυροῖς λακεδαιμονίοις
44 εὐθύς ἐστιν εἶναι· ἐὰν δὲ σωθῶσιν ἄρα, ὡς ἤδη τι καὶ παρ' ἐλ-
πίδας ἐξέβη, βέβαιοι σύμμαχοι Θηβαίων δικαίως ἔσον-
ται. ἐὰν δὲ προσδέξησθε, τούτοις μὲν ὑπάρξει ἤδη σωθῆναι
δι' ὑμᾶς· τὸ δὲ συμβησόμενον καὶ τὸν τοῦ κινδύνου λογισμὸν
μετενεγκόντες, σκοπῶμεν ἐπὶ Θηβαίων καὶ λακεδαιμο-
45 νίων. ἐὰν μὲν τοίνυν καταπολεμηθῶσιν οἱ Θηβαῖοι, ὥσπερ
αὐτοὺς δεῖ, οὐκ ἔσονται μείζους τοῦ δέοντος οἱ λακεδαι-
μόνιοι, τούτους ἔχοντες ἀντιπάλους, τοὺς ἀρκάδας, ἐγγὺς τούσδε. ε.
οἰκοῦντας· ἐὰν δ' ἀνενέγκωσιν ἄρα οἱ Θηβαῖοι, καὶ σωθῶσι
καὶ μὴ πέσωσιν, ἀλλ' οὖν ἀσθενέστεροί γε ἔσονται. ἡμῖν α.
46 συμμάχων γεγενημένων τῶνδε, καὶ δι' ἡμᾶς σεσωσμένων·
ὥστε πανταχῇ συμφέρει μήτε προέσθαι τοὺς ἀρκά- πανταχοῦ. α.
δας, μήτε δι' αὑτούς, ἂν ἄρα σωθῶσι, περιγεγονέναι δο- μήτ. ε.
κεῖν, μηδὲ δι' ἄλλους τινάς, ἀλλὰ δι' ὑμᾶς. ἐγὼ μὲν ὦ ἄν- οὖν. α. α.
δρες ἀθηναῖοι, μὰ τοὺς θεούς, οὔτε φιλῶν οὐδετέρους, οὔτε
47 μισῶν ἰδίᾳ, εἴρηκα· ἀλλ' ἃ νομίζω συμφέρειν ὑμῖν· καὶ πα-
ραινῶ μὴ προέσθαι μεγαλοπολίτας, μηδ' ἄλλων ἁ-
πλῶς μηδένα τῶν ἐλαττόνων τῷ μείζονι.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΛΟΓΟΥ ΤΟΥ ΠΕΡΙ ΤΩΝ ΠΡΟΣ ΑΛΕΞΑΝΔΡΟΝ ΣΥΝΘΗΚΩΝ.

ΑΛΕΞΑΝΔΡΟΥ τοῦ μακεδόνος καταγαγόντος εἰς μεσσήνην τοὺς φιλιάδου τοῦ τυράννου παῖδας, αἰτιᾶταί τις παρὰ τὰς συνθήκας εἶναι τοῦτο τὰς παρὰ ἀθηναίοις καὶ ἕλλησι γενομένας· παραβεβηκέναι δὲ καὶ ἐν ἄλλοις πολλοῖς τὰς συνθήκας φησὶ τοὺς μακεδόνας, καὶ μὴ περιορᾶν ταῦτα παραινεῖ. ὁ δὲ λόγος ψευδεπίγραφος εἶναι δοκεῖ· οὐ γὰρ ἔοικε κατὰ τὴν ἰδέαν τοῖς ἄλλοις τοῖς τοῦ δημοσθένους· ἀλλὰ τῷ ὑπερείδου χαρακτῆρι μᾶλλον προσχωρεῖ· τά τε ἄλλα καὶ λέξεις τινὰς ἔχει κατ' ἐκεῖνον μᾶλλον εἰρημένας, ἢ τὸν δημοσθένην· οἷον, νεόπλουτοι καὶ βδελυρεύεσθαι.

## ΤΟΥ ΥΠΕΡ ΤΩΝ ΠΡΟΣ ΑΛΕΞΑΝΔΡΟΝ ΣΥΝΘΗΚΩΝ, ΔΗΜΟΣΘΕΝΟΥΣ ΛΟΓΟΥ ΕΞΗΓΗΣΙΣ.

ΑΞΙΟΝ ἀποδέχεσθαι) Οὐκ ἔστιν ἄδηλον τοῖς φιλομαθέσιν ἐξ ὧν ἀνεγνώκασιν ὑπομνημάτων, ὅτι νοθεύεται ὁ ὑπὲρ τῶν πρὸς ἀλέξανδρον συνθηκῶν, καὶ νενόμισται εἶναι τοῦ δημοσθένους ἀλλότριος, ὥσπερ καὶ ὁ ἕβδομος τῶν φιλιππικῶν, ὃν ὑπὲρ ἁλοννήσου τινὲς ἐπιγράφουσιν· ἀμφοτέρους γὰρ τούτους ἀναφέρουσιν εἰς ἡγήσιππον τὸν κρώβυλον ἐπικληθέντα, τιμάρχου δὲ ἀγαθὸν φίλον. ἐπάγουσι δὲ ἐγκλήματα τῷ λόγῳ περὶ τὸ μὲν, ὅτι αἱ εἰσαγωγαὶ τῶν κεφαλαίων, ὕπτιαι καὶ ἰσοειδεῖς, οἷαι καὶ αἱ παρ' ἡροδότῳ ἔννοιαι. ἄλλο, ὅτι ὑπὲρ τοῦ πολιτικοῦ λόγου καὶ γοργότης καὶ τραχύτης, καὶ τὸ τμητικὸν ἐν τούτῳ δὲ πολὺ τὸ ἀναβεβλημένον. εἶτα οὐδὲ τὸ πνεῦμα φαμὲν εἶναι δημοσθενικὸν, ἀλλ' ἀσθενὲς καὶ ἄτονον καὶ ἀτελές. μέμφονται καὶ τῇ λέξει δικαίως· τὸ γὰρ νεοπλούτου καὶ τυραννίζοντος, καὶ τυραννεύοντος, καὶ βδελυρεύεσθαί τις, καὶ ὅσα τοιαῦτα, οὐ συνήθη δημοσθένει. τό, τε ἦθος τοῦ λόγου τὴν παρρησίαν οὐκ ἔχει καθαρὰν τὴν δημοσθενικὴν, οὐδὲ τὴν ἐπίπληξιν ἐκείνην, καὶ τὴν ἐλευθερίαν τὴν ἐλεγκτικήν· ὅλον δὲ τὸ εἶδος τοῦ λόγου, σχεδὸν ὑποκάλυμμά τι κεῖται, πολὺ τῆς δημοσθένους παρρησίας ἀποδέον· παρρησιάζεται γὰρ, καὶ οὐ παρρησιάζεται· καὶ παρακαλεῖ πρὸς πόλεμον, καὶ δέδοικε τὸν ὑπὲρ τούτου λόγον, καὶ μέσον φόβου καὶ θάρσους, οὔτε ὡς δημοσθένης παρρησιαζόμενος, οὔτε ὡς δημοσθένης ὀκνῶν· ἐνδείκνυται μὲν γὰρ τὸ βούλεσθαι· ὥσπερ δὲ τὴν γλῶτταν ἐκπεφραγμένος ὑπὸ τοῦ δέους τῶν συνθηκῶν ὑποκνεῖ· πλὴν εἰ μή τις αὐτὰ ταῦτα λέγει τῆς ἐκείνου δεινότητος ἀπόκρισις εἶναι· ἐπεὶ γὰρ ὁ τύραννος πρὸς ὃν ἐστὶν ὁ λόγος, φοβερός· καὶ τὸ τῶν ἑλλήνων πέπτωκε φρόνημα· ἀθηναῖοι δὲ μὴ δεδούλωνται σχεδὸν, εἰκότως ταύτῃ τῇ μεθόδῳ κέχρηται, καὶ βιάζεται πρὸς τὴν χρείαν τὴν δύναμιν· παρρησίας γὰρ μὴ ἔχων καιρὸν, ὅμως παρρησιάζεται, καὶ νικᾷ τῇ τέχνῃ τὸν φόβον· καὶ λαμβάνει παρὰ τοῦ λόγου τὴν παρρησίαν, μὴ ἔχων αὐτὴν ἐκ τῆς δυνάμεως· καὶ γὰρ ἐν τοῖς τελευταίοις τῶν φιλιππικῶν, καίπερ οὐ τοσούτων φόβων ἐπηρτημένων, ὅμως ἐστὶ περὶ τὸν τοῦ πολέμου λόγον εὐλαβὴς, οὐ προπετῶς αὐτὸς ἀποφαινόμενος, οὐδὲ εἰσηγούμενος δέον πολεμεῖν, ἀλλ' ἀξιῶν ἐκ τῶν πραγμάτων σκοπεῖν, εἴτε χρὴ τὰ τοιαῦτα εἰρήνης ἔργα εἶναι, εἴτε πολέμου. καὶ τούτῳ τῷ λόγῳ τοιαύτῃ μεθόδῳ χρώμενος φαίνεται· ὥστε, κατὰ μὲν τὰς μεταχειρίσεις, καὶ τὸ ὅλον ἦθος, οὐκ ἄν τις αὐτὸν ἐκβάλλῃ. κατὰ δὲ τὴν λέξιν εἴ τις αὐτῷ καταμέμφοιτο, οὐκ ἂν εὕροι τις, οὐδὲ αὐτὸν τὸν πλάτωνα, οὐδὲ τοὺς κωμικοὺς, οὐδὲ τοὺς συγγραφέας ἀνεπιλήπτους· μᾶλλον δὲ χρὴ λέγειν, ὅτι καὶ ὀνοματοποιεῖν συνήθες ἀττικοῖς, χρῆσθαι πρὸς τὰς ὑποκειμένας ὕλας τοῖς κεκρατηκόσιν ὀνόμασιν· οἷα πολλὰ παρὰ μὲν ἀνδοκίδῃ καὶ ἀριστοφάνει καὶ τῷ ὑπειλημμένῳ συναττικίζειν τῷ πλάτωνι. εἰ δὲ καὶ τὰς οἰκιστικὰς προσφέροι τις ἄν, δόξειε μὲν ἂν εἰκότως ἐγκαλεῖν. εἴποι δ' ἄν τις ὅμως παρὰ τὸν καιρὸν καὶ τὴν ταχυτῆτα τοῦτο συμβῆναι, ὅτι οὐ διὰ γῆρας, οὐδὲ δι' ἀπορίαν λόγου τοῦτο συμβέβηκεν. εὔδηλον ἐκ τοῦ περὶ στεφάνου λόγου, ὃς πολὺ μεταγενέστερός ἐστι ταύτης τῆς δημηγορίας· ὁ μὲν γὰρ εἴρηται ἐν ἀρχῇ τῆς κατὰ ἀλέξανδρον καταστάσεως· ὁ δὲ περὶ στεφάνου λόγος, ἀλεξάνδρου ὄντος ἐν ἰνδοῖς, ἢ ἐν πέρσαις. ἔστι δ' οὗτος ὁ λόγος πραγματικῆς στάσεως, κεφάλαιον ἔχων τὸ νόμιμον· τὸ γὰρ ῥητὸν δείκνυσι παραβεβασμένον· τοῦτο δέ ἐστιν, αἱ πρὸς τοὺς ἕλληνας ἀλεξάνδρῳ συνθῆκαι. κινδυνεύει δὲ ὁ λόγος εἶναι ἐν σχήματι, καὶ οὐκ ἐν σχήματι· εἰ μὲν γὰρ ἀξιοῖ τῶν συνθήκαις ἐμμένειν, καὶ μηδὲν παραβαίνειν τῶν γεγραμμένων, σώζ

[Margin: τὸ.α. — λόγω. — α. — οὐδὲν.α. — α. — ἄτοπον.α. — α. — περί.α. — καὶ παρρησίας μή.α. — α. — πολλά.α. — δοκεῖ.]

# ΔΗΜΟΣΘΕΝΟΥΣ ΠΕΡΙ ΤΩΝ ΠΡΟΣ ΑΛΕΞΑΝΔΡΩΝ ΣΥΝΘΗΚΩΝ ΛΟΓΟΣ.

ΑΞΙΟΝ ἀποδέχεσθαι, ὦ ἄνδρες 1
ἀθηναῖοι, σφόδρα τῶν τοῖς ὅρκοις
καὶ ταῖς συνθήκαις διακελευομένων ἐμμένειν, εἴπερ αὐτὸ πεπεισμένοι ποιοῦσιν· οἶμαι γὰρ οὐδὲν οὕτω τοῖς
δημοκρατουμένοις πρέπειν, ὡς περὶ τὸ ἴσον καὶ τὸ δί- 2
καιον σπουδάζειν. δεῖ τοίνυν τοὺς λίαν ἐπ' αὐτὸ παρακαλοῦντας, μὴ τῷ μὲν λόγῳ καταχρωμένους ἐνοχλεῖν, πάντα δὲ μᾶλλον πράττειν· ἀλλ' ὑπομείναντας νυνὶ τὸν ἐξετασμὸν, ἢ καὶ τὸ λοιπὸν πειθομένους ὑμᾶς ἔχειν περὶ
αὐτῶν, ἢ παραχωρήσαντας, ἐὰν συμβουλεύειν τοὺς ἀλη- 3
θέστερα περὶ τῶν δικαίων ἀποφαινομένους· ἵνα ἢ ἑκόντες ἀδικούμενοι ἀνέχησθε, καὶ αὐτὸ τοῦτο χαρίζησθε τῷ

[Margin: τῶν ἄλλων.α. — χ.β. — ὥσπερ τὸ δίκαιον καὶ τὸ ἴσον.α. — ἐπὶ ταῦτα.α. — ἐπ' αὐτά.β. — τἀληθέστερα.]

ἀδικοῦντι, ἢ προελόμενοι περὶ πλείστου ποιήσασθαι τὸ δίκαιον, ἀνεγκλήτως πρὸς ἅπαντας χρῆσθαι τῷ
4 συμφέροντι, μηκέτι μέλλοντες. ἐξ αὐτῶν δὲ τῶν συνθηκῶν καὶ τῶν ὅρκων σκοπουμένοις τῶν περὶ τῆς κοινῆς εἰρήνης, ἔξεστιν ἰδεῖν ἤδη, τίνες εἰσὶν οἱ παραβεβηκότες. ὡς δὲ περὶ μεγάλων συντόμως διδάξω, εἰ δή τις ἐρωτήσειεν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, ἐπὶ τίνι ἂν μάλιστα ἀγα-
5 νακτήσαιτε, εἴποιτ᾽ ἂν οἶμαι πάντες, εἴ τις ἀναγκάζοι ἄν, εἰ ἦσαν κατὰ τὸν νῦν χρόνον οἱ Πεισιστρατίδαι, καὶ εἴ τις ἐβιάζετο κατάγειν αὐτοὺς δεῦρο, ἁρπάσαντας ἂν ὑμᾶς τὰ ὅπλα, πάντα κίνδυνον ὑπομεῖναι ἀντὶ τοῦ παραδέχεσθαι, ἢ πεισθέντας γε δουλεύειν ἀντὶ τῶν ἀρ-
6 γυρωνήτων· καὶ τοσούτῳ μᾶλλον, ὅσῳ τὸν μὲν οἰκέτην οὐδεὶς ἂν ἑκὼν ἀποκτείνειε· τοὺς δὲ τυραννουμένους, ἀκρίτως ἐστὶν ὁρᾶν ἀπολλυμένους ἅμα καὶ ὑβριζομένους εἰς παῖδας καὶ γυναῖκας. παρὰ τοὺς ὅρκους τοίνυν καὶ τὰς συνθήκας τὰς ἐν τῇ κοινῇ εἰρήνῃ γεγραμμένας, Ἀλέ-
7 ξανδρος εἰς Μεσσήνην καταγαγὼν τοὺς Φιλιάδου παῖδας ὄντας τυράννους, ἆρα ἐφρόντισε τοῦ δικαίου, ἀλλ᾽ οὐκ ἐχρήσατο τῷ αὐτοῦ ἤθει τῷ τυραννικῷ, βραχὺ φροντίσας ὑμῶν; καὶ τῆς κοινῆς ὁμολογίας, οὐ δὴ δεῖ εἰ μέν τις ὑμᾶς ταῦτα βιάζοιτο, μάλιστα ἀγανακτῆσαι;
8 εἰ δ᾽ ἑτέρωθί που γέγονε παρὰ τοὺς ὅρκους τοὺς πρὸς ὑμᾶς μὴ φυλάξασθαι τοῦτο, πράως ὑμᾶς ἔχειν, καὶ ὅρκους μὴ φυλάξασθαι· καὶ ἡμῖν μὲν διακελεύεσθαί τινας ἐνταυθοῖ ἐμμένειν τοῖς ὅρκοις· τοῖς δ᾽ αὐτοὺς οὕτω περιβοήτως ἀνῃρηκόσι, καταλιπεῖν ταύτην τὴν ἐξου-
9 σίαν· ἀλλ᾽ οὐχ οἷόν τε ταῦθ᾽ οὕτως ἔχειν, ἐὰν βούλησθε τῷ δικαίῳ χρῆσθαι· καὶ γὰρ ἔτι προσγέγραπται ἐν ταῖς συνθήκαις, πολέμιον εἶναι τὸν ἐκεῖνα ἅπερ Ἀλέξανδρος ποιοῦντα, ἅπασι τοῖς τῆς εἰρήνης κοινωνοῦσι, καὶ τὴν χώραν αὐτοῦ, καὶ στρατεύεσθαι ἐπ᾽ αὐτὸν ἅπαντας. οὐκοῦν ἐὰν ποιῶμεν τὰ συγκείμενα, πολεμίῳ χρησόμεθα τῷ κα-
10 ταγαγόντι. ἀλλὰ γὰρ εἴποιεν ἂν οἱ τυραννίζοντες οὗτοι, ὅτι πρὶν τὰς συνθήκας γενέσθαι, ἐτυράννουν Μεσσηνίων οἱ Φιλιάδου παῖδες· διὸ καὶ κατάγει τὸν Ἀλέξανδρον αὐτούς. ἀλλὰ καταγέλαστος ὁ λόγος, τοὺς μὲν ἐκ Λέσβου τυράννους ὄντας ἐξ Ἀντίσσης καὶ Ἐρέσου ἐκβάλλειν ὡς ἀδικήματος ὄντος τοῦ πολιτεύματος, τοὺς πρὸ τῆς ὁμολογίας τυραννήσαντας· ἐν δὲ
11 Μεσσήνῃ μηδὲν οἴεσθαι διαφέρειν, τῆς αὐτῆς δυσχερείας ὑπαρχούσης. ἔπειτα καὶ ἐπιτάττει ἡ συνθήκη εὐθὺς ἐν ἀρχῇ, ἐλευθέρους εἶναι καὶ αὐτονόμους τοὺς Ἕλληνας. διὸ καὶ πῶς οὐχ ὑπεράτοπον, ἡγεῖσθαι μὲν τὴν συνθήκην τὸ αὐτονόμους εἶναι καὶ ἐλευθέρους· τὸν δ᾽ εἰς δουλείαν ἄγοντα, μὴ οἴεσθαι τὰ ἐναντία ταῖς κοιναῖς ὁμολογίαις διαπεπρᾶχθαι. οὐκοῦν, ἀναγ-
12 καῖόν ἐστιν ἡμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, εἴπερ τοῖς ὅρκοις καὶ ταῖς συνθήκαις ἐμμενοῦμεν, καὶ τὰ δίκαια ποιήσομεν, ἐφ᾽ ἃ ὑμᾶς παρακαλοῦσι, καθάπερ ἄρτι εἶπον, λαβοῦσι τὰ ὅπλα,

στρα-

τὸ σχῆμα· τὸ γὰρ ἐναντίον κατασκευάζειν βούλεται, καὶ πόλεμον κινεῖν κατὰ τῆς ἡσυχίας. τοῦτο δὲ ἴδιόν ἐστι, τῶν κατὰ τὸ ἐναντίον ἐσχηματισμένων, τὸ τὰ ἐναντία κατασκευάζειν οἷς δοκοῦσι λέγειν· ὅπερ διὰ τοῦ λόγου τοῦδε σωζόμενον φαίνεται· εἰ δὲ αὖ πάλιν ἐκ τοῦ φανεροῦ πολλάκις ἀμύνεσθαι συμβουλεύει, διαφεύγει τὸ σχῆμα. βέλτιον οὖν λέγειν ἠθικῶς αὐτῷ προῆχθαι, ὅσα δοκεῖ λέγεσθαι κατὰ σχῆμα. τοῦτο δὲ πέπονθε διὰ τὸ τοῦ πράγματος ἐπικίνδυνον· οὐ γὰρ δίδωσιν αὐτῇ τῇ ὑποθέσει σύμμετρον παρρησίαν ἡ τοῦ δήμου κατάπληξις, καὶ τὸ τὸν Ἀλέξανδρον μεγάλα δύνασθαι, καὶ τὸ καταπεπλῆχθαι τοὺς Ἕλληνας· ὅθεν καὶ ὁ λόγος περιδεὴς καὶ παρρησίας ἄμοιρος. ἐπειδὴ δὲ εἶχε πολλοὺς τοὺς ἀντιλέγοντας, εἰκότως πρὸς αὐτοὺς τὸ προοίμιον πεποίηται, ἅμα μὲν ἠθικῶς, ἅμα δὲ πληκτικῶς. τὸ
4 δὲ ἑξῆς εὐθύς, Εἰ δή τις ἐρωτήσειεν,
α. ὦ ἄνδρες Ἀθηναῖοι, ἐπὶ τίνι ἂν μάλιστα ἀγανακτήσαιτε, εἴ τις ἀναγκάζει, ἀρχή ἐστι τοῦ νομίμου κεφαλαίου, συνιστάντος λελύσθαι τὰς συνθήκας. χρὴ δὲ εἰδέναι ὅτι πολλάκις καὶ αὐτὰ τὰ προηγούμενα, κεφάλαιά ἐστιν αὐτοῦ τοῦ λέγοντος· πρῶτα ἀγωνιστικῶς εἰσάγεται ὡς πρὸς ἀντίθεσιν, ὅταν ὁ ἀκροατὴς διακείμενος ἑτέρως τυγχάνῃ. αὐτίκα γοῦν τοῦ ἀκροατοῦ κἀνταῦθα νομίζοντος εἶναι, τὰς συνθήκας εὐθὺς ἀγωνιστικῶς εἰσάγει τὸ κεφάλαιον ἐκ παραδείγματος· καὶ ἐπειδὴ μηδὲν εἶχεν εἰπεῖν Ἀθηναίοις, πρὸς Μεσσηνίους ἐλευθερίαν ἀεὶ τῇ πόλει. ἐπεὶ νῦν τοῦτο πρῶτον τὸ κεφάλαιον ἀντίπιπτον ἔλυσε καὶ ἀντίθεσιν· ἀντίπιπτον μέν, Ἀλλ᾽ οὐ παρ᾽ ἡμῖν ταῦτα γέ-

ποιεῖσθαι. α. — ἅπαντα χρῆσθαι. α. — σκεψαμένοις. α. — α. — α. — οἶμαι. α. — καί τις. α. — παραδέξασθαι. α. — ἀκρίτους. α. χ. β. — οὐδ᾽ ἦ δεῖ. — καταλιπεῖν. α. — τυραννεύσαντας. α. — τοῖς. α. — ἀγαγόντα. α. — α.

στρατεύεσθαι ἐπὶ τοὺς παραβεβηκότας, μετὰ τῶν συνομνυ-
μένων· ἢ νομίζετε, τὸν μὲν καιρόν ποτ' ἰσχύειν, καὶ ἄνευ τοῦ
δικαίου τὸ συμφέρον περιγίγνεσθαι· ὅτ' εἰς ταὐτὸ τὸ
δίκαιον ἅμα καὶ ὁ καιρὸς, καὶ τὸ συμφέρον συνδεδράμη- 13
κεν· ἄλλον ἀρα* τινὰ χρόνον ἀναμνῆσετε τῆς ἰδίας ἐλευθε-
ρίας, ἅμα καὶ τῆς τῶν ἄλλων ἑλλήνων ἀντιλαβέσθαι. ἐπ' ἄλλο δὲ
δίκαιον ἔρχομαι, τῶν κατὰ τὰς συνθήκας· ἔστι γὰρ γεγραμ-
μένον, ἐάν τινες τὰς πολιτείας τὰς παρ' ἑκάστοις οὔσας, ὅτε
τοὺς ὅρκους τοὺς περὶ τῆς εἰρήνης ὤμνυον, *καταλύσωσι, πο- 14
λεμίους εἶναι πᾶσι τοῖς τῆς εἰρήνης μετέχουσι. σκέψασθε δὲ,
ὦ* ἄνδρες ἀθηναῖοι, ὅτι ἀχαιοὶ μὲν οἱ ἐν πελοποννή-
σῳ, ἐδημοκρατοῦντο· τούτων δὲ ἐν πελλήνῃ νῦν καταλέ-
λυκε τὴν πόλιν ὁ μακεδὼν, ἐκβαλὼν τῶν πολιτῶν τοὺς
πλείστους· τὰ δ' ἐκείνων, τοῖς οἰκέταις δέδωκε· χαίρωνα δὲ 15
τὸν παλαιστὴν, τύραννον ἐγκατέστησεν. ἡμεῖς δὲ τῆς εἰρήνης
μετέχομεν τῆς προσταττούσης, πολεμίους ἡγεῖσθαι τοὺς
ταῦτα πράττοντας. οὐκ οὖν τούτων, πότερον πεισόμεθα
τοῖς κοινοῖς προστάγμασι, πολεμίοις αὐτοῖς χρώμενοι, ἢ
βδελυρεύσεταί τις, οὐ φάσκων τούτων τῶν μισθοφορούν- 16
των παρὰ τοῦ μακεδόνος τῶν καθ' ὑμῶν πεπλουτηκό-
των· οὐ γὰρ δὴ λέληθέ γε αὐτοὺς οὐδὲν τούτων· ἀλλ' εἰς τοῦ-
θ'* ὕβρεως ἥκουσιν, ὥστε δορυφορούμενοι τοῖς τοῦ τυράννου
στρατοπέδοις, ἐν μὲν τοῖς παραβεβασμένοις ὅρκοις, ἐμ-
μένειν ὑμῖν διακελεύονται, ὡς καὶ τῆς ἐπιορκίας αὐτο- 17
κράτορος ὄντος ἐκείνου· τοὺς δὲ ἰδίους ὑμᾶς νόμους ἀναγ-
κάζουσι λύειν, τοὺς μὲν κεκριμένους, ἐν τοῖς δικαστηρίοις
*ἀφέντες· ἕτερα δὲ παμπληθῆ τοιαῦτα βιαζόμενοι πα-
ρανομεῖν. εἰκότως· τοῖς γὰρ πεπρακόσιν ἑαυτοὺς εἰς τὰ
ἐναντία τοῖς τῇ πατρίδι συμφέρουσιν, οὐκ ἔνι *μέλειν νό- 18
μων, οὐδ' ὅρκων· τοῖς δ' ὀνόμασιν αὐτῶν *μόνοις ἀποχρώ-
μενοι, παρακρούονται τοὺς παρέργως ἐνταυθοῖ, ἀλλ' οὐκ
ἐξεταστικῶς ἐκκλησιάζοντας, καὶ νομίζοντας τὴν πα-
ραυτίκα ἡσυχίαν οὐκ ἔσεσθαί ποτε αἰτίαν ταραχῆς
ἀτόπου μεγάλης. κελεύω δ' ἔγωγε, καθάπερ ἐν ἀρχῇ 19
προεῖπον, πείθεσθαι τούτοις τοῖς φάσκουσι δεῖν ἐν ταῖς κοιναῖς ὁμολογίαις ἐμμένειν· εἰ
μὴ ἐκεῖνο νομίζουσιν, ὅταν μὲν λέγωσιν ὡς ἐμμενετέον τοῖς ὅρκοις, οὐ λέγειν αὐτοὺς τὸ
μηδὲν ἀδικεῖσθαι. οὐδένα δ' οἴονται *αἰσθήσεσθαι, τυραννίδων ἀντὶ δημοκρατιῶν κα- 20
θισταμένων, καὶ τῶν πολιτειῶν καταλυομένων. *τοῦτο δ' ἐστὶ καταγελαστότατον· ἔστι γὰρ
ἐν ταῖς συνθήκαις, ἐπιμελεῖσθαι τοὺς συνεδρεύοντας καὶ τοὺς ἐπὶ τῇ κοινῇ φυλακῇ τε-
ταγμένους, ὅπως ἐν ταῖς κοινωνούσαις πόλεσι τῆς εἰρήνης, μὴ γίγνωνται θάνατοι καὶ φυ-
γαὶ παρὰ τοὺς κειμένους ταῖς πόλεσι νόμους, μηδὲ χρημάτων δημεύσεις, μηδὲ γῆς ἀνα- 21
δασμοὶ, μηδὲ χρεῶν ἀποκοπαὶ, μηδὲ δούλων ἀπελευθερώσεις, ἐπὶ νεωτερισμῷ· οἱ

Marginal readings: *α. — *καταλύωσι. α. — *α. — τὸν δῆμον. α. κ. β. — *ποσοῦθ' ὕβρ. α. — ἀφιέντες. α. — *μετέχειν νόμων. α. — *μόνων. α. — *α. αἰσθάνεσθαι. α. — *τὸ δ' ἐπικαταγελ. α.

γονεν, ὥστε οὐ χαλεπαίνειν δεῖ· διόπερ ἔλυσεν εἰπών· Οὐδ' ἂν εἰ μέν τις ὑμᾶς ταῦτα βιάζοιτο ἀγανακτεῖν· εἰ δὲ ἑτέρωθι, οὐ μὴ χαλεπαίνειν ὁμοίως. 7
τὴν δὲ ἀντίθεσιν κατὰ διαίρεσιν ἔλαβε· τὸ γὰρ ῥητὸν, Μηδὲν τυραννεῖν τῶν πόλεων. εἰ δὲ δὴ κατὰ διάνοιαν εἰσῆκται, Ἀλλὰ πρὸ τοῦ γενέσθαι τὰς συνθήκας, ἐτυράννουν οἱ φιλιάδου παῖδες μεσσήνης· ταύτην ἔλυσεν ἐκ παραδείγματος κατὰ τὸ μαχόμενον. Πῶς οὖν *οὐ κατελύοντο οἱ *α.
ἐκ λέσβου τύραννοι ἐξ ἀντίσσης καὶ ἐρέσσου, καὶ ταῦτα πρὸ τῶν συνθηκῶν τυραννοῦντες· μάχεται γὰρ τὸ καταλύειν τῷ καθιστάναι. εἶτα δηλῆλοις τῇ ἀπορίᾳ· ὅτι γέγραπται αὐτονόμους καὶ ἐλευθέρους εἶναι τοὺς ἕλληνας. δεύτερον κεφάλαιον τῶν ἐγκλημάτων ἐπάγει τῷ μακεδόνι, τὸ καταλελυκέναι τῶν πελληναίων τὸν δῆμον πόλεως ἀχαϊκῆς μιᾶς τῶν ἐν πελοποννήσῳ· χαίρωνα δὲ τὸν παλαιστὴν, τύραννον ἐγκαταστῆσαι. πρὸς δὲ τοῦτο, ἀντίθεσιν μὲν φέρουσαν εἰς αὐτὸ τὸ πρᾶγμα, τέθεικεν οὐδεμίαν· ἁπλῶς δὲ, ὥσπερ κοινωνοῦσαν· Ἀλλ' ἐμμένωμεν ταῖς συνθήκαις· οὔτε αἰτίας ἐποῦσαν τι τοῦ ἐγκλήματος, οὔτε εἰς αὐτὸ φέρουσαν. λύων τοίνυν, καταδρομῇ κέχρηται κατὰ τῶν ῥητόρων οὐ μικρᾷ· κέχρηται δὲ καὶ ἑτέρᾳ καταδρομῇ τῶν συνεδρευόντων καὶ τεταγμένων ἐπὶ τῇ φυλακῇ τῆς κοινῆς· ὥσπερ δρώντων τὰ γινόμενα. τρίτον ἔγκλημά ἐστιν, ὅτι τῶν συνθηκῶν, καὶ προστα*μὴ ἔχειν φυγάδας ὁρμήσαντας, ὅπλα ἐπιφέρειν ἐπὶ πολέμῳ· ἐπὶ μηδεμίαν τῶν μετεχουσῶν τῆς εἰρήνης ἀλέξανδρος τὸν παιδοτρίβην εἰς σικυῶνα κατήγαγε. πρὸς τοῦτο ὁμοίως οὐδεμίαν ἀνθυποφορὰν, οὐδὲ ἀντίστασιν ἐκόμισεν, ἢ τὴν αὐτὴν ὁμοίως, ὅτι ἀγανακτήσουσιν οἱ ἕλληνες, καὶ δόξομεν αἴτιοι γίγνεσθαι τοῦ λύεσθαι τὰς συνθήκας. τέταρτον ἐπὶ τούτοις ἔγκλημά ἐστι, παρὰ τὰς συνθήκας ἅπαντα τὰ ἐκ τοῦ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δέ, τοσούτου δέουσι τούτων τι κωλύειν, ὥστε καὶ συγκατασκευάζουσιν, οὓς πῶς οὐ προσή-
κει ἀπολωλέναι· οἳ τηλικαύτας συμφορὰς παρασκευάζουσιν ἐν ταῖς πόλεσιν, ἃς διὰ
22 τὸ μέγεθος, αὐτοῖς τοσούτοις οὖσι μὴ περιορᾶν ἐπέταξεν. ἔτι δή, ἕτερον δείξω τὸ λελυκὸς
τὰς συνθήκας· ἔστι γὰρ γεγραμμένον, ἐκ τῶν πόλεων τῶν κοινωνουσῶν τῆς εἰρήνης, μὴ ἐξεῖ-
ναι φυγάδας ὁρμήσαντας, ὅπλα ἐπιφέρειν ἐπὶ πολέμῳ μηδεμιᾷ πόλει τῶν μετε-
χουσῶν τῆς εἰρήνης· εἰ δὲ μή, ἔκσπονδον εἶναι τὴν πόλιν, ἐξ ἧς ἂν ὁρμήσωσιν οὗτοι. οὕτω
23 τοίνυν ῥᾳδίως τὰ ὅπλα ἐπήνεγκεν ὁ μακεδών, ὥστε οὐδὲ κατέθετο πώποτε, ἀλλ' ἔτι καὶ
νῦν ἔχων, περιέρχεται καθ' ὅσον δύναται. τοσούτῳ δὲ νῦν μᾶλλον ἢ πρότερον, ὅσῳ
ἐκ προστάγματος ἄλλους τε ἐπέρωθι, καὶ τὸν παιδοτρίβην εἰς σικυῶνα κατήγαγεν.
οὐκοῦν, εἰ δεῖ πείθεσθαι ταῖς κοιναῖς ὁμολογίαις, καθάπερ οὗτοί φασιν, ἔκσπονδοι ἡμῖν
24 εἰσὶν αὗται αἱ πόλεις αἱ ταῦτα διαπεπραγμέναι. εἰ μὲν οὖν δεῖ ἐπικρύπτεσθαι τἀ-
ληθῆ, οὐδὲν δεῖ λέγειν ὅτι εἰσὶν αἱ μακεδονικαί· εἰ δὲ οὐκ ἀνιᾶσιν οἱ καθ' ὑμῶν τῷ μα-
κεδόνι ὑπηρέται, προστάττοντες πράττειν τὰ ἐν ταῖς κοιναῖς ὁμολογίαις, πειθώμεν
αὐτοῖς, ἐπεὶ τὰ δίκαια λέγουσι· καὶ καθάπερ κελεύει ὁ ὅρκος, ἐκσπόνδους αὐτοὺς ποιή-
25 σαντες, βουλευσώμεθα πῶς δεῖ χρῆσθαι τοῖς δεσποτικῶς καὶ ἀσελγῶς διακειμέ-
νοις. καὶ διὰ τέλους, τὰ μὲν, ἐπιβουλεύουσι· τὰ δὲ, πράττουσι, καὶ καταγελῶσι τῆς κοι-
νῆς εἰρήνης· διὰ τί γὰρ οὐ φήσουσιν οὗτοι δεῖν ταῦθ' οὕτως ἔχειν. ἢ τὴν μὲν ὁμολογίαν τὴν
κατὰ τῆς πόλεως οὖσαν, βεβαίαν ἀξιοῦσιν εἶναι· τὴν δὲ σώζουσαν, οὐ συγχωροῦσιν. ἆρά γε
26 δοκεῖ δίκαια γίγνεσθαι; κἂν μέν τι ᾖ πρὸς τῶν ἐχθρῶν κατὰ τῆς πόλεως ὡς ἐν τοῖς ὅρ-
κοις, τοῦτο μὲν ἰσχυρὸν ἀεὶ ποιήσουσιν· ἐὰν δέ τι ὑμέτερον ᾖ κατ' ἐκείνων ἅμα δίκαιον καὶ
συμφέρον, πρὸς τοῦτο διαμαχομένους οὐδέποτε παύσασθαι οἰήσονται δεῖν ἑαυτούς.
ἵνα δὴ εἰδῆτε ἔτι σαφέστερον, ὅτι οὐδεὶς ὑμῖν ἐγκαλέσει ποτὲ τῶν ἑλλήνων, ὡς ἄρα πα-
27 ρέβητέ τι τῶν κοινῇ ὁμολογηθέντων, ἀλλὰ καὶ χάριν ἕξουσιν, ὅτι μόνοι ἐξηλέγξατε τοὺς
ταῦτα ποιοῦντας, μικρὰ ἐπιδραμοῦμαι περὶ αὐτῶν πολλῶν ὄντων· ἔστι γάρ που ἐν
ταῖς συνθήκαις, τὴν θάλατταν πλεῖν τοὺς μετέχοντας τῆς εἰρήνης, καὶ μηδένα κωλύειν
αὐτοὺς, μηδὲ κατάγειν πλοῖον μηδένα τούτων. ἐὰν δέ τις παρὰ ταῦτα ποιῇ, πολέμιον
28 εἶναι πᾶσι τοῖς τῆς εἰρήνης μετέχουσιν. οὐκοῦν, ὦ ἄνδρες ἀθηναῖοι, ὑμεῖς μὲν, σαφέ-
στατα ἴστε τοῦθ' ὑπὸ τῶν μακεδόνων γεγενημένον· εἰς τοῦτο γὰρ παρανομίας ἦλθον, ὥστε
εἰς τένεδον ἅπαντα τὰ ἐκ τοῦ πόντου κατήγαγον· καὶ σκευωρούμενοι περὶ αὐτά, οὐ πρό-
τερον ἀφεῖσαν, πρὶν οὐ ὑμεῖς ἐψηφίσασθε τριήρεις ἑκατὸν πληροῦν, καὶ καθέλκειν αὐ-
29 θὺς τότε, καὶ στρατηγὸν ἐπ' αὐταῖς ἐτάξατε μενεσθέα. πῶς οὖν οὐκ ἄτοπον τοσαῦτα
μὲν εἶναι καὶ τηλικαῦτα ἡμαρτημένα ἑτέροις· τοὺς δὲ ἐνταῦθα φίλους αὐτῶν, μὴ ἐκεί-
νους ἀποτρέπειν τοὺς παραβαίνοντας, ἀλλ' ἡμῖν συμβουλεύειν ἐμμένειν τοῖς οὕτως ὠλι-
γωρημένοις, ὥσπερ καὶ τούτου προσγεγραμμένου, τοῖς μὲν, ἐξεῖναι πλημμελεῖν· τοῖς δὲ,
30 μηδὲ ἀμύνεσθαι. πῶς δ' οὐχ ἅμα παρηνόμουν ἐκεῖνοι καὶ ἀναίσθητοι ἦσαν, οἵ γε τη-
λικοῦτον παρέβησαν τῶν ὅρκων, ὃ παρὰ ἐλάχιστον ἐποίησεν αὐτοὺς ἀφαιρεθῆναι δικαίως
τὴν κατὰ θάλατταν ἡγεμονίαν. καὶ νῦν ἔτι παραδεδώκασι τοῦτο τὸ δίκαιον ἀνεγκλήτως
ἡμῖν, ὅταν βουληθῶμεν πράττειν· οὐ γὰρ ὅτι ἐπαύσαντο ἁμαρτάνοντες, ἧττον δή που
31 παραβεβήκασι τὰς κοινὰς ὁμολογίας. ἀλλ' εὐτυχοῦσιν, ὅτι ἐναποχρῶνται τῇ ὑμετέρᾳ
ῥᾳθυμίᾳ, τῇ οὐδὲν τῶν δικαίων ἀπολαύειν προαιρουμένῃ. ὃ δὲ ὑβριστικώτατον συμβέ-
βηκεν, εἰ οἱ μὲν ἄλλοι ἕλληνες καὶ βάρβαροι ἅπαντες τὴν πρὸς ὑμᾶς ἔχθραν φοβοῦνται·
οὗτοι δὴ οἱ νεόπλουτοι μόνοι καταφρονεῖν ὑμᾶς ὑμῶν αὐτῶν ἀναγκάζουσι, τὰ μὲν, πείθον-

τες.

ἐπιτάξαι. α. — κ. α. — πολέμιοι. β. — ἐπὶ μηδεμίαν πόλιν. α. — ὁρμηθῶσιν. α. — α. β. — καὶ τοῦτο νῦν. α. — ἐπῆλθεν. α. — κελευσόμεθα. ε. — ἐπιπλεῦσι. α. κ. — ὁμολογίαν, τὴν μὲν κατὰ. α. — συγχωρήσουσιν. α. — δίκαιον. α. — α. — ἡμέτερ. α. — δὲ. α. — γὰρ δήπου. — α. — ἕως κατ. α. — παρανομίας. α. — αὐθ. α. — α. — τὸ α. — πῇ δὲ. α. — παρανομή… α. — ἁμαρτάνοντες. α. — ὃ. α.

τες δὲ βιαζόμενοι, ὥσπερ ἐν ἀβδηρίταις, ἢ μαρωνεί-
ταις, ἀλλ' οὐκ ἐν ἀθηναίοις πολιτευόμενοι. καὶ ἅμα μὲν μι- 32
κρὰ τὰ ἡμέτερα πράγματα ποιοῦσι, τὰ δὲ τῶν ἐχθρῶν
ἰσχυρά· ἅμα δὲ λανθάνουσιν ἑαυτοὺς ἀνυπόστατον τὴν πό-
λιν ὁμολογοῦντες εἶναι, διακελευόμενοι τὸ δίκαιον οὐ
δικαίως διαφυλάττειν, ὡς τῷ συμφέροντί γε προσελο-
μένην χρῆσθαι, κρεῖσσον ἂν τῶν πολεμίων ῥᾳδίως δυ- 33
νηθεῖσαν. εἰκότως δ' αὐτὸ πεπόνθασιν· ἕως γὰρ ἂν ἐξῇ
τῆς κατὰ θάλατταν, καὶ μόνων ἀναμφισβητήτως εἶναι κυρίοις,
τοῖς γε κατὰ γῆν πρὸς τῇ ὑπαρχούσῃ δυνάμει ἐστὶ
προβολὰς ἑτέρας εὑρέσθαι, ἄλλως τε καὶ πεπαυμέ-
νων ὑπὸ τῆς τύχης τῶν δορυφορουμένων ὑπὸ τῶν τυ- 34
ραννικῶν στρατοπέδων καὶ τῶν μὲν ἐφθαρμένων, τῶν δὲ
ἐξεληλεγμένων, οὐδενὸς ἀξίων ὄντων. τὸ μὲν οὖν περὶ
τὰ πλοῖα, πρὸς τοῖς ἄλλοις τοῖς προειρημένοις ὁ μακε-
δὼν τηλικοῦτον παρέβη. τὸ δ' ὑβριστικώτατον καὶ ὑπερη-
φανώτατον τῶν μακεδόνων, ὃ πρώην γεγενημένον ἐστί· 35
τὸ τολμῆσαι εἰσπλεῦσαι εἰς τὸν πειραιᾶ παρὰ τὰς κοινὰς
ἡμῖν πρὸς αὐτοὺς συνθήκας. καὶ τοῦτο, ὦ ἄνδρες ἀθηναῖοι,
οὐχ ὅτι μία τριήρης ἦν, μικρὸν ὑποληπτέον· ἀλλ' ὅτι
ἀπόπειρα ἐγένετο εἰ περιοψόμεθα, ἵνα μετὰ πλειόνων
αὖθις ἐγχειρῶσι τοῦτο πράττειν, καὶ ὅτι οὐκ ἐφρόντισαν 36
τῶν κοινῶν δογμάτων, καθάπερ οὐδὲ τῶν προειρημένων.
ἐπεὶ ὅτι γε τοῦτο παράδυσις ἦν κατὰ μικρὸν καὶ ἐθισμὸς
τοῦ ἀνέχεσθαι ἡμᾶς τοὺς τοιούτους εἴσπλους, κἀκεῖθεν δῆ-
λον· ὁ γὰρ τὸν τότε εἰσπλεύσαντα ἐπὶ τῆς νεώς, ὃν ἔδει
εὐθὺς μετὰ τῆς τριήρεις ὑφ' ὑμῶν ἀπολωλέναι, αἰτεῖ- 37
σθαι ναυπηγήσασθαι μικρὰ πλοῖα ἐν τοῖς ἡμετέροις
λιμέσι, πῶς οὐ καταφανὲς ἦν, ὅτι αὐτὴ τοῦ εἴσπλου, τὸ
εὐθὺς ἔνδον εἶναι ἐμηχανῶντο· καὶ εἰ λεπτὰ πλοῖα ὑπο-
μένουμεν, ὀλίγον ὕστερον καὶ τριήρεις· καὶ εἰ τὸ πρῶτον
ὀλίγας, μικρῷ ὕστερον πολλάς· οὐ γὰρ δὴ ἔστι γε εἰπεῖν, ὡς 38
ἀθήνησι μὲν ἀφθόνων ὄντων τῶν ναυπηγησίμων ξύλων
τῶν πόρρωθεν καὶ μόλις εἰσκομιζομένων· ἐν δὲ τῇ μακε-
δονίᾳ ἐπιλελοιπότων, τῇ καὶ τοῖς ἄλλοις τοῖς βουλομένοις
εὐτελέστατα καθισταμένη· ἀλλ' ᾤοντο ἅμα τε ναυπη-
γήσεσθαι ἐνταῦθα, καὶ πληρώσεσθαι ἐν τῷ λιμένι 39
τῷ προειρημένῳ, ἐν ταῖς κοιναῖς ὁμολογίαις διειρημέ-
νου μηδὲν τοιοῦτον εἰσδέχεσθαι, καὶ ταῦτα ἐξέσεσθαι ἐπὶ πλέον ἀεὶ ποιεῖν, οὕτω πάν-
τοθεν καταπεφρονηκότως ἐκεῖνοι χρῶνται, διὰ τοὺς ἐντεῦθεν διδασκάλους τοὺς ὑπα-
γορεύοντας αὐτοῖς ἃ δεῖ ποιεῖν. οὕτω δὴ κατεγνώκασι μετὰ τούτων ἀδιήγητόν τινα τῆς 40
πόλεως ἔκλυσιν καὶ μαλακίαν, καὶ οὔτε πρόνοιαν ὑπὲρ τῶν μελλόντων εἶναι, οὔτε λο-

πέμπτου πλοῖα κατήγαγον οἱ μακεδόνες εἰς πειραιᾶ, καὶ οὐ πρότερον ἀφεῖσαν, πρὶν ἑκατὸν ναῦς πληρῶσαι ἐψηφίσασθε, καὶ στρατηγὸν ἐπ' αὐτὰς ἐτάξετε μενεσθέα. τὸ μὲν οὖν ἑκατὸν ναῦς ψηφίσασθαι ἀθηναίοις, ἔνδειξιν ἔχει τοῦ δυνατοῦ. πρὸς δὲ τὸ ἔγκλημα, αἰτήσασιν ἐκώλυσεν· Ἀλλ' ἐπαύσαντο τοῦ ἀδικήματος, καὶ δευτέραν ἀπήτησαν, Ἀλλ' ἀσθενὴς ἡ πόλις· τὴν μὲν οὖν προτέραν ἔλυσε μεταληπτικῶς. Οὐκ ἐπαύσαντο ἀδικοῦντες ἤδη, καὶ οὐκ ἠδίκησαν· τὴν δὲ δευτέραν ἐκ τοῦ μαχομένου, ὅτι πῶς ἀνυπόστατον τὴν πόλιν εἶναι φασί, κελευόμενοι ταῖς συνθήκαις ἐμμένειν· οὐ γὰρ ἀκόλουθόν ἐστι, τὸ μὲν ἀσθένειαν τῆς πόλεως κατηγορεῖν· τὸ δὲ ἀξιοῦν ὡς δυνατὴν διαφυλάττειν τὰ δίκαια. ἐπὶ τούτοις τέταρτον ἔγκλημά ἐστιν, ὅτι πλεῦσαι ἐτόλμησαν μακεδόνες εἰς τὸν πειραιᾶ, καὶ τοῦτο ἀποτίθησιν ἐκ τῆς τηλικότητος, ὡς ἥμιον τὸ γεγονός· μία γὰρ τριήρης εἰσέπλευσεν, καὶ τοῦτο οὐκ ἂν εἴποι τις ἔγκλημα· ταύτην ἔλυσεν ἀπὸ τοῦ τρόπου, ὅτι ἀπόπειρα τὸ γινόμενον ἦν, καὶ παράδυσις κατὰ μικρὸν καὶ ἔθος τοῦ τὴν πόλιν ἀνέχεσθαι τοὺς εἴσπλους. καὶ ἑτέρα λύσις, τὸν ποτὲ ἐπὶ τῆς νεὼς εἰσπλεύσαντα, ξύλα ναυπηγήσιμα αἰτεῖν, εἰς κατασκευὴν μικρῶν πλοίων, ἃ συνεχωρήσαμεν αὐτῷ ποιεῖν· καὶ τριήρη ἂν ἐναυπηγήσατο· ἐν ᾧ καὶ ἀντίθεσιν κατ' ἀναίρεσιν εἰσήγαγεν· οὐ γὰρ δὴ φήσει τις ἐν ἀφθονίᾳ ξύλων εἶναι ἐν τῇ ἀττικῇ· σπανίζειν δὲ τὴν μακεδονίαν· ὅθεν ἔξεστιν εὐπλέστατα τοῖς βουλομένοις ὠνεῖσθαι· εἶθ' ὅτι ἐφ' ἡμῖν ἐστι καὶ μὴ ἀνέχεσθαι τῶν συνθηκῶν· ῥητὸν παρέχεται ἐν ᾧ κεχρῆσθαι, Ἂν βουλώμεθα τῆς κοινῆς εἰρήνης μετέχειν, ὡς τὸ ῥητόν, καὶ τῶν συνθηκῶν ἐπιτρεπουσῶν, Εἰ βούλοιτό τις, μηδαμῶς ἀλεξάνδρῳ ἀκολουθεῖν· τοῦτο τὸ ῥητὸν δύναται καὶ πόλεμον ἀπειλεῖν τοῖς παραβαίνειν ἐθέλουσιν· ὁ δὲ πρὸς τὸ χρήσιμον τὸ φιλικὸν λαβών, πολλὰ μὲν ὑπέμνησε τῶν προγόνων τῆς δόξης· πολλὰ δὲ τοῦ πρέποντος. εἶτα καταπαγγέλλεται γράψαι εἰ ἐπιτρέποιεν, ψήφισμα πολέμου.

μὲν. α. — μόνοις. α. — χυροτέρας, α. γ. β. — πρὸ. α. — ὁμολογίας. α. — μακρὰ. α. — ποιεῖ. α. — εὐπλέστατα. α. — ναυπηγήσεσθαι. α. — πληρωθήσεσθαι α. — τόπῳ. α. — πλεῖον. α. — πανταχόθεν. α. — τῇ πόλει. α. γ. β. — δὲ. β. — ψηφίσασθαι. α. — τάξαι. α.

κοσμὸν οὐδένα παραγίνεσθαι, ἵνα ᾖ ὅπου χρῆται ὁ τύραννος ταῖς κοιναῖς ὁμολογίαις· αἷς ἐγὼ διακελεύομαι, ὦ ἄνδρες Ἀθηναῖοι, πείθεσθαι, καθάπερ ἐδίδαξα καὶ διε-
41 βεβαιωσάμην ἄν, ὡς τοῦ τῆς ἡλικίας ἔχων, ἅμα καὶ τῷ δικαίῳ ἡμᾶς ἀνεγκλήτως καὶ τοῖς καιροῖς ἀσφαλέστατα χρῆσθαι τοῖς ἐπὶ τὸ συμφέρον κατεπείγουσι· καὶ γὰρ ἔτι προσγέγραπται ταῖς συνθήκαις, ἐὰν βουλώμεθα τῆς κοινῆς εἰρήνης μετέχειν· τὸ δ' ἐὰν βουλώμεθα, ἐστὶν ἅμα καὶ τοὐναντίον, εἰ ἄρα ποτὲ δεῖ παύσασθαι αἰσχρῶς ἑτέροις ἀκο-
42 λουθοῦντας, ἀλλὰ μηδ' ἀναμνησθῆναι μηδεμιᾶς φιλοτιμίας τῶν ἐξ ἀρχαιοτάτου καὶ πλείστου καὶ μάλιστα πάντων ἀνθρώπων ὑμῖν ὑπαρχουσῶν. ἐὰν οὖν κελεύητε, ὦ ἄνδρες Ἀθηναῖοι, γράφω, καθάπερ αἱ συνθῆκαι κελεύουσι, πολεμεῖν τοῖς παραβεβηκόσιν.

## ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΛΟΓΟΥ ΤΟΥ ΠΕΡΙ * ΣΤΕΦΑΝΟΥ.

ΤΕΙΧΟΣ μὲν ὁ ῥήτωρ τοῖς Ἀθηναίοις περιεβάλετο, τῶν συνήθων τούτων καὶ χειροποιήτων ἀσφαλέστερόν τι καὶ βέλτιον, τὴν εἰς τὴν πόλιν εὔνοιαν, καὶ περὶ λόγους δεινότητα, ὡς αὐτὸς εἴρηκεν, οὐ λίθοις καὶ πλίνθοις τὰς Ἀθήνας ὀχυρώσας, ἀλλὰ μεγάλαις δυνάμεσι, καὶ πολλῇ τινὶ συμμαχίᾳ τῇ μὲν ἐκ γῆς, τῇ δὲ ἐκ θαλάττης. οὐ μὴν ἀλλὰ καὶ εἰς τὸν χειροποίητον περίβολον, οὐ μικρὰ τῇ πόλει συνεβάλετο. πεπονηκότος γὰρ κατὰ πολλὰ μέρη τοῦ τείχους τοῖς Ἀθηναίοις, ἐπειδὴ ἔδοξεν ἀνορθοῦν αὐτό, ᾑρέθησαν ἐπὶ τὸ ἔργον ἄνδρες δέκα φυλῆς ἑκάστης εἷς, οἷς ἔδει τὴν ἐπιμέλειαν προΐεσθαι τοῦ ἔργου· τὸ γὰρ ἀνάλωμα δημόσιον. εἷς δὴ τούτων καὶ ὁ ῥήτωρ γενόμενος, οὐχ ὁμοίως τοῖς ἄλλοις τὴν ἐπιμέλειαν μόνην εἰσήνεγκε τῇ χρείᾳ, ἀλλὰ τὸ μὲν ἔργον ἀμέμπτως ἀπετέλεσε· τὰ δὲ χρήματα, ἔδωκεν οἴκοθεν τῇ πόλει. ἐπῄνεσεν αὐτοῦ * τὴν εὔνοιαν ταύτην ἡ βουλή, καὶ τὴν προθυμίαν ἠμείψατο στεφάνῳ χρυσῷ· ἕτοιμοι γὰρ Ἀθηναῖοι πρὸς τὰς χάριτας τῶν εὖ ποιούντων. Κτησιφῶν δὲ ἦν ὁ τὴν γνώμην εἰπών*, ὡς δεῖ στεφανῶσαι τὸν Δημοσθένην, ἐν μὲν καιρῷ, τοῖς Διονυσίοις· ἐν δὲ τόπῳ, τῷ τοῦ Διονύσου θεάτρῳ· ἐν δὲ θεαταῖς, πᾶσι τοῖς Ἕλλησιν, οὓς ἡ πανήγυρις συνῆγε· καὶ τούτων ἐναντίον ἀνειπεῖν τὸν κήρυκα, ὅτι στεφανοῖ Δημοσθένην * Δημοσθένους Παιανιέα ἡ πόλις, ἀρετῆς τῆς ἁπάσης ἕνεκα καὶ εὐνοίας τῆς πρὸς αὐτήν. ἦν οὖν πανταχόθεν ἡ τιμὴ θαυμαστή· διὸ καὶ φθόνος αὐτῆς ἥψατο, καὶ τοῦ ψηφίσματος ἀπηνέχθη παρανόμων γραφή. Αἰσχίνης γὰρ ἐχθρὸς ὢν τοῦ Δημοσθένους, ἀγῶνα παρανόμων ἀπήγγειλε Κτησιφῶντι, λέγων ἄρχοντα γεγονότα τὸν Δημοσθένην, καὶ μὴ δόντα λόγον, ὑπεύθυνον εἶναι· νόμον δὲ κελεύειν, τοὺς ὑπευθύνους μὴ στεφανοῦν· καὶ πάλιν νόμον παρεχόμενος, τὸν κελεύοντα, ἐὰν μὲν τινὰ ὁ δῆμος ὁ Ἀθηναίων στεφανοῖ, ἐν τῇ ἐκκλησίᾳ τὸν στέφανον ἀναγορεύεσθαι· ἐὰν δὲ ἡ βουλή, ἐν τῷ βουλευτηρίῳ· ἀλλαχόθι δέ, μὴ ἐξεῖναι. φησὶ δὲ καὶ τοὺς ἐπαίνους εἶναι τοὺς ἐπὶ τῷ Δημοσθένει, ψευδεῖς· μὴ γὰρ πεπολιτεῦσθαι καλῶς τὸν ῥήτορα, ἀλλὰ καὶ δωροδόκον εἶναι, καὶ πολλῶν κακῶν αἴτιον τῇ πόλει. καὶ τάξει γε ταύτῃ τῆς κατηγορίας Αἰσχίνης κέχρηται, πρῶτον εἰπών, περὶ τοῦ τῶν ὑπευθύνων νόμου· καὶ δεύτερον, περὶ τοῦ τῶν κηρυγμάτων· καὶ τρίτον, περὶ τῆς πολιτείας. ἠξίωσε δὲ καὶ τὸν Δημοσθένην τὴν αὐτὴν τάξιν ποιήσασθαι. ὁ δὲ ῥήτωρ, καὶ ἀπὸ τῆς πολιτείας τὴν ἀρχὴν ἐποιήσατο, καὶ πάλιν εἰς ταύτην τὸν λόγον κατέστρεψε, τεχνικῶς ποιῶν· δεῖ γὰρ ἄρχεσθαί τε ἀπὸ τῶν ἰσχυροτέρων, καὶ λήγειν εἰς ταῦτα. μέσα δὲ τέθεικε τὰ περὶ τῶν νόμων· καὶ τῷ μὲν περὶ τῶν ὑπευθύνων, ἀντιπ[illegible] διανοίας· τῷ δὲ περὶ τῶν κηρυγμάτων, νόμον ἕτερον, ἤτοι νόμου μέρος, ὥς φησιν αὐτός, ἐν ᾧ συγκεχώρηται καὶ ἐν τῷ θεάτρῳ κηρύττειν, ἐὰν ὁ δῆμος, ἢ ἡ βουλὴ τοῦτο ψηφίσηται.

## ΕΤΕΡΑ ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΕΡΙ ΣΤΕΦΑΝΟΥ.

ΑΘΗΝΑΙΟΙ καὶ Θηβαῖοι πολεμοῦντες πρὸς Φίλιππον ἐν Χαιρωνείᾳ πόλει τῆς Βοιωτίας, ἡττήθησαν. ἐπικρατήσας οὖν ὁ Μακεδών, φρουρὰν μὲν εἰς τὰς Θήβας ἐνέβαλε, καὶ εἶχεν ὑπὸ χεῖρα δουλεύουσαν. ἐλπίσαντες οὖν τὸ αὐτὸ παθεῖν Ἀθηναῖοι, καὶ ὅσον οὐδέπω κατ' αὐτῶν ἥξειν προσδοκῶντες τὸν τύραννον, ἐσκέψαντο τὰ πεπονηκότα μέρη τῷ χρόνῳ τοῦ τείχους ἐπανορθώσασθαι. καὶ δὴ ἀφ' ἑκάστης φυλῆς τειχοποιοὶ προεβλήθησαν. τοίνυν καὶ ἡ Πανδιονὶς ἐξ ἑαυτῆς εἵλετο πρὸς * χρείαν τὸν ῥήτορα. τῆς τοίνυν ἐργασίας ἐν χερσὶν οὔσης, προσδεηθεὶς ἔτι χρημάτων * μεταδιδομένων ὑπὸ τῆς πόλεως, ὁ ῥήτωρ ἐκ τῶν ἰδίων ἐδαπάνησε, καὶ οὐκ ἐλογίσατο αὐτὰ τῇ πόλει, ἀλλὰ καὶ ἐχαρίσατο. ταύτην ἀφορμὴν ὁ Κτησιφῶν εἰς τὸ πολιτεύεσθαι δεξάμενος, εἰσήνεγκε γνώμην ἐν τῇ βουλῇ περὶ αὐτοῦ τοιαύτην· ἐπειδὴ διαπαντὸς Δημοσθένης ὁ Δημοσθένους, παρ' ὅλον τὸν βίον εὔνοιαν εἰς τὴν πόλιν ἐπιδεικνύμενος, καὶ νῦν δὲ τειχοποιὸς ὤν, καὶ προσδεηθεὶς χρημάτων, οἴκοθεν παρέσχε, καὶ ἐχαρίσατο· διὰ τοῦτο δεδόχθω τῇ βουλῇ καὶ τῷ δήμῳ στεφανοῦσθαι αὐτὸν χρυσῷ στεφάνῳ, ἐν τῷ θεάτρῳ, τραγῳδιῶν ἀγομένων καινῶν, ἴσως ὅτι πλῆθος συνέρχεται ἐπιθυμοῦντα καινὰ δράματα βλέπειν. εἰσαγομένου τοίνυν καὶ εἰς τὸν δῆμον τοῦ προβουλεύματος, ἐφίσταται τοῦ Κτησιφῶντος κατήγορος Αἰσχίνης ἐκ τῆς πολιτείας ὑπάρχων ἐχθρός, παράνομον εἶναι φάσκων πρὸς τρεῖς νόμους τὸ ψήφισμα· ἕνα μέν, τὸν κελεύοντα τὸν ὑπεύθυνον μὴ στεφανοῦσθαι, πρὶν ἂν δῷ τὰς εὐθύνας· οὔπω δὲ ταύτας, φησίν, ὁ Δημοσθένης ἐδεδώκει, καὶ τὰ θεωρικὰ διοικῶν, καὶ τειχοποιῶν· καὶ ἔδει ἀναμεῖναι καὶ ἐπι-

χεῖν

*ΤΟΥ. β.
* τὸ. ζ.
* τῶν Ἀθηναίων. γ.
* παρέχεσθαι ψιλήν. γ.
β. ε.
* μόνον. γ.
* ἐπιτέλεσε. γ.
* ἐξετέλεσε. ε.
* καὶ. ε.
* προθυμίαν. β. γ. ζ.
* ταύτην. ε.
* τόν. ε.
* νόμος δὲ κελεύει. γ. ε. ζ.
* λέγοντα. ε.
* αὐτήν. ζ.
* ἰσχυρῶν. ε.
* τὴν. α.
* μετὰ διδόμενα. α.
* δεηθείς. ζ.
* πλῆθος.
* ἐπιθυμία.

ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ

κεῖν τὸ γέρας ἕως ἂν ὀφθῇ καθαρὸς ἐξετασθείς· δεύτερον δὲ ἀναγινώσκει νόμον, τὸν κελεύοντα ἐν πνυκὶ στεφανοῦσθαι, οὐκ ἐν τῇ ἐκκλησίᾳ, διαβάλλων τοὺς πολίτας τοὺς δεξαμένους ἐν τῷ θεάτρῳ ἀναγορευθῆναι τὸν Δημοσθένους στέφανον. ὁ δὲ τρίτος νόμος εἰς τὴν ὅλην ὁρᾷ τοῦ βίου καὶ τῆς πολιτείας ἐξέτασιν· κελεύει γὰρ μηδέποτε ψευδῆ γράμματα ἐς τὸ μητρῷον εἰσάγειν, ἔνθα ἐστὶν ὅλα τὰ δημόσια γράμματα. ἐψεύσατο δέ φησιν, εὔνοιαν καὶ σπουδὴν μαρτυρήσας τῷ Δημοσθένει· κακόνους γὰρ μᾶλλον καὶ πολέμιος εὑρίσκεται τῇ πατρίδι. τούτου τοῦ νόμου χρησίμου τυγχάνοντος, τοῦ τρίτου ἀντιλαβόμενος, ὥσπερ τινὸς ἀγκύρας ὁ ῥήτωρ, καταπαλαίει τὸν ἀντίδικον, μεθόδῳ δυνατωτάτῃ καὶ σοφωτάτῃ τῇ περὶ τοῦ κατηγόρου χρησάμενος· ἐκεῖθεν γὰρ ἔσχε λαβὴν ἑλεῖν καὶ καταγωνίσασθαι τὸν πολέμιον. τοὺς μὲν γὰρ ἄλλους δύο νόμους, τόν τε τῶν ὑπευθύνων, καὶ τὸν τοῦ κηρύγματος, εἰς τὸ μέσον τοῦ λόγου ἀπέρριψε, στρατηγικῶς κακοὺς δ' ἐς μέσσον ἐλάσας. τῷ δὲ ἰσχυροτάτῳ εἰς τὰ ἄκρα προσκέχρηται, τὸ στερρὸν τῶν ἄλλων ἐξ ἑκατέρου φρονῶν. ἔοικε δὲ καὶ διοικεῖν πρὸς τὸ συμφέρον τὸν λόγον, καὶ οὐ σφόδρα ἀναιδῶς τὴν τέχνην ἐπιδεικνύμενος· δοκῶν γὰρ ἐν πρώτοις ὑπερβαίνειν τὸ νόμιμον, ἑτέρῳ τρόπῳ τῷ νομίμῳ προσκέχρηται· τὸ γὰρ νόμον ἐλέγχω Αἰσχίνης τὸν περὶ τῶν στεφάνων ψευδῆ, πρὸς ὃν ὁ ῥήτωρ ὑποκρινόμενος, εὗρε καιρὸν εἰς μέσον ἀγαγεῖν τὰ ἑαυτοῦ πολιτεύματα, ὡς νομίμῳ μαχόμενος. καὶ ἡ μὲν διοίκησις τοῦ λόγου, τοιαύτη. κεφάλαιον δὲ ἰσχυρόν, τῷ μὲν Αἰσχίνῃ, τὸ νόμιμον· τῷ δὲ ῥήτορι, τὸ δίκαιον. κοινὸν δὲ ἀπὸ τοῦ ἴσου, τὸ συμφέρον, οὐκ ἔχον φανερὰν τὴν ἐξέτασιν. ἡ στάσις, ἔγγραφος πραγματική· περὶ ῥητοῦ γὰρ τὸ ψήφισμα. τῆς δὲ γραφῆς ἔτι Φιλίππου ζῶντος ἀποτεθείσης, ἐπὶ Ἀλεξάνδρου διαδεξαμένου τὴν ἀρχὴν ὁ λόγος ἐστὶ καὶ ἡ κρίσις· ὡς γὰρ ἀπέθανε Φίλιππος, καὶ τὴν φρουρὰν οἱ Θηβαῖοι τεθαρσηκότες ἐξέβαλον, ὁ μὲν Ἀλέξανδρος ὡς καταφρονηθεὶς, τὰς Θήβας κατέσκαψεν. εἶτα μεταγνοὺς ἐπὶ τῷ πεπραγμένῳ, ἐξεχώρησε τῆς Ἑλλάδος αἰσχυνόμενος καὶ κατὰ τῶν βαρβάρων ἐστράτευσεν. οἱ δὲ Ἀθηναῖοι καιρὸν εἶναι ἐνόμισαν κρίσει παραδοῦναι τοὺς προδότας τοὺς τὴν Ἑλλάδα ἀδικήσαντας, καὶ οὕτω συνεκροτήθη τὸ δικαστήριον. κοινὸν τὸ πρῶτον προοίμιον εὐκλικόν ἐστι, κατὰ μερισμὸν εἰσαχθέν, καὶ παρασκευάζει τὴν εὔνοιαν, ἧς μάλιστα ἐν τῷ παρόντι δεόμεθα· ὁμηρικῶς δὲ εἴρηται ζήλῳ· Κέκλυτέ μευ πάντες τε θεοὶ, πᾶσαί τε θέαιναι. καὶ δὴ καὶ ἔμφασιν ἔχει τοῦ τῇ εὐνοίᾳ θαρρεῖν· οὐ γὰρ ἂν ὅλον ἐπεκαλεῖτο τῶν θεῶν τὸ γένος, εἰ μὴ οὕτω διέκειτο. τὸ δὲ διατελῶ, εἴληπται μὲν ἀπὸ τοῦ ψηφίσματος· δηλοῖ δέ, ὅτι συνεβίωσε τῇ εὐνοίᾳ, καὶ ἀεὶ αὐτῆς μέμνηται, καὶ πρότερον ἀφήσει τὴν ψυχήν, ἢ τὴν τοιαύτην διάνοιαν.

Margin: α. ζ. — πυκνὶ. α. — α. — καὶ. ζ. — τεθαρρηκότες. ζ. — ἐπὶ. ζ.

# ΔΗΜΟΣΘΕΝΟΥΣ, ΛΟΓΟΣ Ο ΠΕΡΙ ΣΤΕΦΑΝΟΥ.

ΠΡΩΤΟΝ μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν 1
εἰς τουτονὶ τὸν ἀγῶνα· ἔπειθ', ὅπερ ἐστὶ μάλισθ' ὑπὲρ 2
ὑμῶν καὶ τῆς ὑμετέρας εὐσεβείας τε καὶ δόξης, τοῦτο παραστῆσαι τοὺς θεοὺς ὑμῖν, μὴ τὸν ἀντίδικον σύμβουλον ποιήσασθαι, περὶ τοῦ πῶς ἀκούειν ὑμᾶς ἐμοῦ δεῖ· σχέτλιον γὰρ ἂν εἴη τοῦτό γε· ἀλλὰ τοὺς νόμους, καὶ τὸν ὅρκον ἐν ᾧ
πρὸς ἅπασι τοῖς ἄλλοις δικαίοις καὶ τοῦτο γέγραπται, τὸ 3
ὁμοίως ἀμφοῖν ἀκροᾶσθαι. τοῦτο δ' ἐστὶν, οὐ μόνον τὸ μὴ

### ΛΟΓΟΥ ΤΟΥ ΠΕΡΙ στεφάνου ἐξήγησις.

ΠΡΩΤΟΝ μέν, ὦ ἄνδρες) Περιβολὴ τὸ προοίμιον, τῷ διπλασιασμῷ τῶν ὀνομάτων. τὸ προοίμιον, ὡς ἀπολογουμένου, ἐξ εὐνοίας λαμβάνον. Ἄλλως. Τὸ πρῶτον προοίμιον εὐκλικόν τε ἐστὶ, καὶ κατὰ μερισμὸν εἰσαχθὲν, παρασκευάζει τὴν ἔννοιαν· ἐπειδὴ περὶ εὐνοίας καὶ αἰτήσεως στεφάνου ὁ πᾶς ἐστὶν ἀγών. ὅτι οὐκ ἔδει ἐν προοιμίῳ τραγικῇ εὐθὺς χρήσασθαι λέξει. λέγομεν ὅτι οὐδὲν ἄτοπον, ὁπότε καὶ Αἰσχίνης ἐχρήσατο τῷ πρώτῳ προοιμίῳ, παρασκευὴν εἰπὼν καὶ παράταξιν. ὁ δὲ ῥήτωρ ἐνταῦθα οὐκ εἶπε ταύτην ἐν πρώτῳ προοιμίῳ, ἀλλ' ἐν τελευταίοις τοῦ δευτέρου· ἰστέον γὰρ ὡς ὅτι κατασκευὴν οὐκ ἐποιήσατο αὐτοῦ, ἵνα ὡς ὡμολογημένην δείξῃ εὔνοιαν ἣν ἔχει ἐς τὴν πόλιν. Διατελῶ) Ἀντὶ τοῦ ἔχω, ἀττικῶς. Τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν) Τάχα δύναταί τις ἐμοῦ μὲν τὴν πόλιν φιλεῖν, μισεῖν δὲ ἰδίᾳ τινάς· ὡς ἐπὶ Τίμαρχον τὸν νοῦν ἀναφέρεσθαι, ᾧ ἐπολέμησεν Αἰσχίνης. Τοσαύτην ὑπάρξαι μοι) Ὅρα ὅπως οὐ τὸ πλεῖον ἀπαιτεῖ, ἀλλ' ὡς ἀρκοῦσαν τὴν ἰδίαν εὔχεται λαβεῖν. Ἔπειθ' ὅπερ ἐστί) Εὔχομαι, δηλονότι. τὸ αὐτό ἐστι τῷ κατὰ μερισμόν· ἀκατάσκευος δὲ ἀναγκαίως ἡ πρότασις, ἐπειδὴ περ ὁμολογούμενα καὶ φανερὰ εὐχόμεθα ἀγαθά, ἅπερ οὐ δεῖται κατασκευῆς. ὁ δὲ νοῦς, ἐπάγεται τοὺς δικαστὰς πλέον εἰς οἰκειότητα. φαίνεται γὰρ οὐχ ἑαυτοῦ μόνου, ἀλλὰ καὶ αὐτῶν ἴσην ποιούμενος. τὸ δὲ ἔπειτα, ἐνταῦθα ἰσοδυναμεῖ τῷ δὲ συνδέσμῳ, ἵνα πάλιν μὴ ζήτησις γένηται, διὰ τί εἰπὼν τὸν μὲν, οὐκ ἐπήγαγε τὸν δέ. Καὶ τῆς ὑμετέρας εὐσεβείας τε καὶ δόξης) Εὐσεβείας μὲν, τῶν ὅρκων· δόξης δέ, τῆς εἰς πάντας ἀνθρώπους. Παραστῆναι) Ἐμβαλεῖν τῇ ὑμετέρᾳ δόξῃ. Μὴ τὸν ἀντίδικον σύμβουλον) Θέσις ἐγγὺς κειμένη, τὸ ἄτοπον τῶν ὀνομάτων βιάζεται· ὁ μὲν γὰρ ἀντίδικος, πολέμιος· ὁ δὲ σύμβουλος, προσφιλής. εἴρηκε δὲ ταῦτα, ἐπειδὴ ὁ Αἰσχίνης ἔλεγε, κλητὸν φωνῶντος κατηγορῶ τί αὐτὸν ἐμβάλλεις εἰς μέσον Δημόσθενες. μὴ ἐᾶτε αὐτὸν παρακύψαι εἰς τὸ δικαστήριον. ἐάν τι ἄρα ἐπιτρέπηται αὐτῷ φθέγγεσθαι, τοιᾷδε κεχρήσθω τῇ τάξει τοῦ λόγου ὡς αὐτὸς ὑπάρχει. Ἀλλὰ τοὺς νόμους) Ποιήσασθαι συμβούλους, δηλονότι. Πολλὰ μὲν οὖν ἔγωγε ἐλαττοῦμαι) Εἰς πλείω μέ-

Margin: Ἴσως. ζ. — νόμων. ζ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρη εἰμὶ ἀγωνιζόμενος τοῦ αἰσχίνου. καὶ τὸ δεύτερον τοῦτο προοίμιον, εὔνοιαν κατορθοῖ· ἡ δὲ μεταχείρησις διάφορος· τὸ μὲν γὰρ πρῶτον, μεστόν ἐστιν ἀξιώματος· δοκεῖ γὰρ διδόναι πλείονα αἴτησιν ἐν ἐκείνῳ· ἐν τούτῳ δὲ, καὶ ὡς δεόμενος ἐκ ταπεινώσεως ἐργάζεται. τὸ δὲ ἐλαττοῦμαι, κατὰ πρόσωπον, οὐ κατὰ τὴν ὑπόθεσιν. Τῆς παρ᾽ ὑμῶν εὐνοίας διαμαρτεῖν) Ἀντὶ τοῦ στεφάνου, χρησίμως τὴν εὔνοιαν εἴρηκεν, ὡς χρήζων αὐτῆς. Ἄλλως. Ἐβούλετο εἰπεῖν τοῦ στεφάνου· ἀλλ᾽ ἐπειδὴ ἐπ* τοῦτο, ἐπὶ τὴν εὔνοιαν τῆς πόλεως μετήνεγκε τὴν λέξιν. Ἑλεῖν) Τὸν αἰσχίνην μὴ νικῆσαι. Γραφήν) Κατηγορίαν. Ἀλλ᾽ ἐμοὶ μὲν, οὐ βούλομαι δὲ δυσχερὲς εἰπεῖν) Τὸ σχῆμα ἀποσιώπησις· τὸ μὲν, ἵνα μὴ βλάσφημα λέγῃ ἐν ἀρχῇ τοῦ λόγου· τὸ δὲ, ἵνα μὴ πλείονα τῷ ἀκροατῇ παρεμβάλλῃ σιωπῆσαι τὴν φύσιν.

Οὗτος δ᾽ ἐκ περιουσίας μου κατηγορεῖ) Ἀπὸ πολλοῦ τοῦ περιόντος· ἢ ὅτι πλοῦτον ἔχει πολὺν, τοῦ φιλίππου δόντος καὶ ἀλεξάνδρου, καὶ οὐ πάνυ φοβεῖται καὶ ἡττηθῇ· εὐπορεῖ γὰρ ὥστε δοῦναι τὰς χιλίας· ἢ οὐκ ἔστιν ἴσον, τοῦτον μὲν ἐκ περιουσίας κατηγοροῦντα μὴ νικῆσαι· ἔξεστι γὰρ αὐτῷ τὴν ἡσυχίαν ἄγειν, κἀμὲ κατ᾽ ἀνάγκην ἀπολογεῖσθαι· οὐ γὰρ ἔξεστί μοι σιωπᾶν. τινὲς γὰρ τὸ ἐκ περιττοῦ, ἁπλῶς ἡρμήνευσαν· περιττὸν γάρ φησιν, ἐμοῦ μάτην καθάπτεσθαι καὶ κατηγορεῖν. Ἕτερον δ᾽ ὃ φύσει πᾶσιν ἀνθρώποις) Παραμυθεῖται τοὺς δικαστὰς τῇ κοινότητι τοῦ πάθους τὴν συγγνώμην μνηστεύων. Ὃ μέν ἐστι πρὸς ἡδονήν) Ὅπερ ἐστὶν ἡδύ. Λοιπὸν ἐμοί) Δέδοται δηλονότι. Κἂν μὲν εὐλαβούμενος) Φοβούμενος. εἰς σκέψιν ἀπορῶν ἄγει τὸ πρᾶγμα, καὶ μόνον οὐ λέγει, τί ποιήσομεν; ἀνάγκῃ ἀπολειφθεὶς, φύγω τὸ λέγειν περὶ ἐμαυτοῦ· ἠθικώτατα γὰρ οὐκ εἶπεν ἐπαινεῖν ἐμαυτὸν, ἀλλὰ λέγειν ἁπλῶς. τί τὸ συμβαῖνον, ἀλώσομαι τῇ σιωπῇ· καὶ δόξει μὲν ἐψεῦσθαι κλησιφῶν· ἐγὼ δὲ οὐχ ἕξω δι᾽ ὅπερ τιμηθήσομαι λέγειν. Τοῦτο) Τὸ φορτικὸν δόξαι. Τὰ πεπραγμένα) Τὰς πράξεις μου. Ἔχειν) Δύνασθαι καταλῦσαι τὰς κατηγορίας. Ἐφ᾽ οἷς) Ὧν ἕνεκα δηλονότι. Τιμᾶσθαι) Τιμὴν ἔχειν. Ἐφ᾽ ἃ) Ἴδια δηλονότι. Πεπολίτευμαι) Εἰς τὰ δημόσια. Βαδίζω) Τινὲς ἐμέμψαντο ὡς τοῦτο ἐν προοιμίοις οὐ καλῶς κειμένην τὴν λέξιν· ἀλλ᾽ οὔτε ἐν προοιμίῳ ἐστὶν, ἀλλ᾽ ἐν τελευταίοις τοῦ δευτέρου, οὔτε ἀπηξετασμένος καὶ ἀπόκριτος, ὡς αἰσχίνης ἐχρήσατο ἐν τῷ προοιμίῳ, παρασκευὴν εἰπὼν καὶ παράταξιν, ἀλλὰ προσηκόντως μᾶλλον ἁρμόττουσα· εἰ γὰρ δήϊμος ἡ ὁδός ἐστι, καὶ τὸ προοίμιον ὡς ὁδὸς τοῦ παντὸς λόγου, οὕτω κέχρηται, οὐκ ἀλλότριον ὡς πρὸς ὁδὸν τὸ βαδίζειν. Λέγειν) Ἤγουν ἐπαινεῖν. Πειράσομαι οὖν) Ἀπόδοσις ἤγουν περὶ ἐμαυτοῦ λέγειν. Μετριώτατα) Συμμέτρως. περιττὸν δὲ τὸ ὡς. Ἔχειν) Ἐγκαλεῖσθαι δηλονότι. Τοιοῦτον ἀγῶνα) Ὑβριστικὸν ἀγῶνα κατ᾽ ἐμοῦ στησάμενος.

προκατεγνωκέναι μηδὲν, οὐδὲ τὸ τὴν εὔνοιαν ἴσην ἀμφοτέροις ἀποδοῦναι, ἀλλὰ καὶ τὸ τῇ τάξει καὶ τῇ ἀπολογίᾳ, ὡς βεβούληται καὶ προῄρηται τῶν ἀγωνιζομένων ἕκαστος, οὕτως ἐᾶσαι "χρήσασθαι. πολλὰ μὲν οὖν ἔγωγ᾽ ἐλαττοῦμαι κατὰ τουτονὶ τὸν ἀγῶνα, αἰσχίνου. δύο δ᾽, ὦ ἄνδρες ἀθηναῖοι, καὶ μεγάλα· ἓν μὲν, ὅτι οὐ περὶ τῶν ἴσων ἀγωνίζομαι· οὐ γάρ ἐστιν ἴσον νῦν ἐμοὶ τῆς παρ᾽ ὑμῶν εὐνοίας διαμαρτεῖν, καὶ τούτῳ μὴ ἑλεῖν τὴν γραφήν.

4 (marg.: "χρῆσθαι. α.)

5 ἀλλ᾽ ἐμοὶ μὲν, οὐ βούλομαι δὲ δυσχερὲς εἰπεῖν οὐδὲν, ἀρχόμενος τοῦ λόγου. οὗτος δ᾽ ἐκ περιουσίας μου κατηγορεῖ. ἕτερον δ᾽, ὃ φύσει πᾶσιν ἀνθρώποις ὑπάρχει, τῶν μὲν λοιδοριῶν καὶ τῶν κατηγοριῶν ἀκούειν ἡδέως· τοῖς ἐπαινοῦσι δ᾽ αὑτοὺς, ἄχθεσθαι. τούτων τοίνυν, ὃ μέν ἐστι πρὸς

6 ἡδονὴν, τούτῳ δέδοται· ὃ δὲ πᾶσιν ὡς ἔπος εἰπεῖν ἐνοχλεῖ, λοιπὸν ἐμοί. κἂν μὲν εὐλαβούμενος τοῦτο, μὴ λέγω τὰ πεπραγμένα ἐμαυτῷ, οὐκ ἔχειν ἀπολύσασθαι τὰ κατηγορημένα δόξω· οὐδ᾽ ἐφ᾽ οἷς ἀξιῶ τιμᾶσθαι, δεικνύναι. "ἂν δ᾽ ἐφ᾽ ἃ καὶ πεποίηκα καὶ πεπολίτευμαι βαδί-

7 ζω, πολλάκις λέγειν ἀναγκασθήσομαι περὶ ἐμαυτοῦ. πειράσομαι μὲν οὖν, ὡς μετριώτατα τοῦτο ποιεῖν· ὅ,τι δ᾽ ἂν τὸ πρᾶγμα αὐτὸ ἀναγκάζῃ, τούτου τὴν αἰτίαν οὗτός ἐστι °δίκαιος ἔχειν, ὁ τοῦτον ἀγῶνα ἐνστησάμενος. οἶμαι δ᾽ ὑμᾶς, ὦ ἄνδρες "δικασταὶ, πάντας ἂν ὁμολογῆσαι κοι-

8 νὸν εἶναι τουτονὶ τὸν ἀγῶνα, ἐμοί τε καὶ κλησιφῶντι· καὶ οὐδὲν ἐλάττονος ἄξιον σπουδῆς ἐμοί· πάντων μὲν γὰρ ἀποστερεῖσθαι, λυπηρόν ἐστι καὶ χαλεπὸν· ἄλλως τε, κἂν ὑπ᾽ ἐχθροῦ τῳ, τοῦτο "συμβαίνῃ· μάλιστα δὲ τῆς παρ᾽ ὑμῶν εὐνοίας *καὶ φιλανθρωπίας, ὅσῳ περ καὶ τὸ τυχεῖν τούτων

9 μέγιστόν ἐστι. περὶ τούτων δ᾽ ὄντος τουτουὶ τοῦ ἀγῶνος, ἀξιῶ

Marginal variants: °χρησίμην. ζ. — "χρῆσθαι. α. — α. — τοῖς δ᾽ ἐπαινοῦσί γ᾽ αὐτοῖς. γ. — "ἐάν. α. — γ. — °δίκαιον. κ. ζ. — α. — ἀθηναῖοι. α. — α. — "συμβαίνει. α. — *π. α. ε.

Οἶμαι δ᾽ ὑμᾶς) Τὸ τρίτον προοίμιον ἐργαζόμενος, πάντας τῆς αὐτῆς γνώμης γενέσθαι παρασκευάζει, ἵνα ἕκαστος μὴ ὡς ἀνόητος δοκῇ· συνετῶς δὲ οὐ πάνυ χωρίζει τὸν κλησιφῶντα, ἀλλὰ τὸ ἴσον τοῦ ἀγῶνος πρὸς αὐτὸν μερίζει. Ὁμολογῆσαι) Τὰ ὅμοια εἰπεῖν. Οὐδὲν ἐλάττονος) Ἀλλὰ ἀξιοσπούδαστον ἐμοὶ μᾶλλον τοῦ κλησιφῶντος. Πάντων) Τῶν πραγμάτων δηλονότι. ἔστι δὲ κατασκευὴ τοῦ προοιμίου. Τῳ) Τινί. Μάλιστα δὲ) Ἐστὶ λυπηρόν. Φιλανθρωπίας) Ἀποστερεῖσθαι δηλονότι. Περὶ τούτων) Ὧν εἴρηκα, δηλονότι. ἔστι δὲ ἀπόδοσις. Ἀξιῶ καὶ δέομαι πάντων) Κρᾶσις ἀξιώματος καὶ οἴκτου κέχρηνται· τὸ μὲν ἀξιῶ, τὸ δίκαιον νομίζω ὑπολάβοι ἄν τις· τὸ δὲ δέομαι, σαφῶς τὸ ἱκετικὸν δηλοῖ· ὥστε διὰ μὲν τοῦ ἀξιῶ, φυλάττει τὸ φρόνημα· διὰ δὲ τοῦ δέομαι, θηρεύει τὸν ἔλεον. Ὁμοίως) Καθὼς ἠκούσατε τὸν κατηγ-

τηγόρου μου. Ἀπολογουμένου) Τί οὖν, ὅτι οὐ καλῶς συγκρίνεις τὸ δίκαιον. Δικαίως) Κατὰ τοὺς νόμους. Ὥσπερ οἱ νόμοι κελεύουσιν.) Οἷς οὐδεὶς ἂν μαχέσαιτο καὶ αὐτίκα εἴποι ὅτι διεσφάλησαν. εἰπὼν δὲ περὶ τῶν νόμων, τῇ προσηγορίᾳ τοῦ Σόλωνος τοῦ θέντος, αὔξει καὶ πρεσβεύει τοὺς νόμους. Δημοτικός) Ὁ τὴν ταυτότητα τοῦ δήμου ἀγαπῶν. Οὐκ 10

καὶ δέομαι πάντων ὁμοίως ὑμῶν, ἀκοῦσαί μου περὶ τῶν
°κατηγορημένων ἀπολογουμένου δικαίως, ὥσπερ οἱ νό-
μοι κελεύουσιν· οὓς ὁ τιθεὶς ἐξ ἀρχῆς Σόλων, εὔνους ὢν ὑμῖν
10 καὶ δημοτικός, οὐ μόνον τῷ γράψαι κυρίους ᾤετο δεῖν
εἶναι, ἀλλὰ καὶ τῷ τοὺς δικάζοντας ὑμᾶς ὀμωμοκέναι,
οὐκ ἀπιστῶν ὑμῖν, ὥς γέ μοι φαίνεται· ἀλλ' ὁρῶν ὅτι τὰς
αἰτίας καὶ τὰς διαβολάς, αἷς ἐκ τοῦ °προτέρους λέγειν
ὁ διώκων ἰσχύει, οὐκ ἔνι τῷ φεύγοντι °παρελθεῖν, εἰ μὴ τῶν
11 δικαζόντων ἕκαστος ὑμῶν, τὴν πρὸς τοὺς θεοὺς εὐσέβειαν
διαφυλάττων, καὶ τὰ τοῦ λέγοντος °ὕστερον δίκαια εὐ-
νοϊκῶς προσδέξεται, καὶ παρασχὼν ἑαυτὸν ἴσον καὶ κοι-
νὸν ἀμφοτέροις ἀκροατήν, οὕτω τὴν διάγνωσιν ποιή-
σεται περὶ °πάντων. μέλλων δὲ τοῦ τε ἰδίου βίου παντός,
12 ὡς ἔοικε, λόγον διδόναι τήμερον, καὶ τῶν κοινῇ πεπολιτευ-
μένων, βούλομαι καθάπερ ἐν ἀρχῇ, πάλιν τοὺς θεοὺς
παρακαλέσαι, καὶ ἐναντίον ὑμῶν εὔχομαι· πρῶτον
μέν, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶ-
σιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν εἰς τουτονὶ τὸν
13 ἀγῶνα· ἔπειθ', ὅ,τι μέλλει συνοίσειν καὶ πρὸς εὐδοξίαν
κοινῇ, καὶ πρὸς εὐσέβειαν ἑκάστῳ, τοῦτο παραστῆσαι τοὺς
θεοὺς πᾶσιν ὑμῖν περὶ ταυτησὶ τῆς γραφῆς γνῶναι. εἰ μὲν
οὖν περὶ ὧν ἐδίωκε μόνον °κατηγόρησεν Αἰσχίνης, κἀγὼ
περὶ αὐτοῦ τοῦ προβουλεύματος εὐθὺς ἂν ἀπελογού-
14 μην· ἐπειδὴ δ' οὐκ ἐλάττω λόγον, τἆλλα διεξιών, °ἀνά-
λωκε, καὶ τὰ πλεῖστα κατεψεύσατό μου, ἀναγκαῖον εἶναι
νομίζω καὶ δίκαιον ἅμα, βραχέα, ὦ ἄνδρες Ἀθηναῖοι,
περὶ τούτων πρῶτον εἰπεῖν, ἵνα μηδεὶς ὑμῶν τοῖς ἔξω-
θεν λόγοις ἠγμένος, ἀλλοτριώτερον τῶν ὑπὲρ τῆς γρα-
15 φῆς δικαίων ἀκούῃ μου. περὶ μὲν δὴ τῶν ἰδίων ὅσα λοιδορού-
μενος βεβλασφήμηκε περὶ ἐμοῦ, θεάσασθε ὡς ἁπλᾶ

°κατηγορουμένων. γρ. α. ε. ζ.
°πρότερον. ζ.
°ἐπελθεῖν. γρ. ζ.
°ὑστέρου. α.
°ἁπάντων. α. ε.
°ἐπικατηγόρει. α.
°ἀνήλωκε. α. ε. ζ.

ἀπιστῶν ὑμῖν, ὥς γέ μοι φαίνεται.) Ἴσως τὰ αὐτὰ τῷ δήμῳ φρονῶν. ἀφ' ἧς τέχνης τὸ δοκοῦν ἀληθὲς εἰς τὸ ἑαυτῷ δοκοῦν μεταβιβάσει· οὐ γὰρ ἀπιστῶν, φησίν, ὑμῖν, ἀλλ' ὡς δεδιὼς μὴ ἐπιορκήσητε προκαταληφθέντες ταῖς τοῦ κατηγόρου διαβολαῖς. Οὐκ ἔνι τῷ φεύγοντι παρελθεῖν.) Προσφόρως εἶπε τὸ παρελθεῖν, ὡς ἐπὶ δρομέων λαβών· οὐ γὰρ ὁ προδραμὼν καὶ φθάσας, νικῆσαι δίκαιος, ἀλλ' ὁ δεύτερος ἐπελθὼν καὶ παρελθεῖν δυνάμενος· εἴη δ' ἂν οὗτος ὁ φεύγων. Ἄλλως. Τοῦτο οὐ τοῦ παντὸς λόγου, ἀλλὰ τοῦ κεφαλαίου προοίμιον· μέλλων γὰρ εἰσβάλλειν ἐς τὸ κεφάλαιον, τὸ, ὅτι οὐ δίκαιος, εἰκότως εὔνοιαν πάλιν αἰτεῖ δοθῆναι αὐτῷ, ἵνα πείσῃ τοὺς δικαστὰς ὅτι θαρρεῖ ταύτῃ. Κοινόν) Ἐπὶ ποιό- 11
τητος. Διάγνωσιν) Γραφὴν διαγνώμην, ἀττικῶς. Μέλλων δὲ τοῦ τε ἰδίου βίου παντός) Προοιμιακὸν ἐννόημα εἰς τοὺς ἀγῶνας ἐμβάλλων, ἀλλ' οὐ σαφῶς προοίμιον, ὡς δηλοῖ καὶ τὸ σχῆμα τοῦ λόγου· τὸ γὰρ μέλλων δηλοῖ τὸν ἐπιχειρήσοντα, καὶ εἰσιόντα εἰς τοὺς ἀγῶνας· προοίμια γὰρ τέσσαρα εἶναι ἀδύνατον, κἂν μαίνωνται οἱ λέγοντες. Ἄλλως. Οἱ περὶ Ἐπιφάνιον καὶ [illegible] φασὶν αὐτὸ τέταρτον προοίμιον· ἓξ γὰρ λέγουσιν εἶναι προοίμια τῷ λόγῳ τούτῳ· τρία μέν, ὡς ὑπὲρ ἑαυτοῦ σκεψαμένου τοῦ ῥήτορος· τρία δέ, ὡς ὑπὲρ Κτησιφῶντος.
Ὡς ἔοικε λόγον διδόναι τήμερον) 12
Σχετλιάζει πάλιν ἐπὶ τῇ ἐπηρείᾳ τοῦ ἀγῶνος· τοῦτο γὰρ δεῖ τὸ ὡς ἔοικεν, οὐκ οἶδα ὅπως εἰς τὴν ἀνάγκην ταύτην ὡς ὁρᾶτε κατακέκλεισμαι. ἰστέον δ', ὡς ἐν μὲν τῷ πρώτῳ προοιμίῳ ἀπαιτεῖ δοθῆναι αὐτῷ ἀδεῶς ἀπολογεῖσθαι, ὡς βούλεται. ἐνταῦθα δέ, ὑπὲρ ὅλης τῆς πολιτείας παρακαλεῖ. κἀκεῖνο δὲ θαυμάσαι ἄξιον τοῦ ῥήτορος· ἐπῆλθε γάρ μοι καὶ τοῦτο, ὅτι αὐτὸς μὲν πᾶσι τοῖς δικασταῖς, καὶ πάσῃ τῇ πόλει δοθῆναι παρὰ τῶν θεῶν τὴν εὔνοιαν εὔχεται, αὐτὸς δὲ παρ' αὐτῶν εἰς μέσον τὸν ἀγῶνα αἰτεῖ τὴν εὔνοιαν. Καθάπερ ἐν ἀρχῇ) Τοῦ προοιμίου· ἰστέον ὅτι ταὐτότητι ἐχρήσατο τοῦ ἐπιχειρήματος αὐτοῦ τὰ προοίμια· εἴωθε γὰρ ὁ ῥήτωρ τοῖς ἰσχυροῖς πολλάκις κεχρῆσθαι. Ἐναντίον) Ἔμπροσθεν. Τοσαύτην) Ἡ ἀπόδοσις. Συνοίσειν) Λυσιτελέσειν. Παραστῆσαι) Ἤγουν, τῇ ὑμε- 13
τέρᾳ δόξῃ καὶ ὑπολήψει ἐμβαλεῖν. Εἰ μὲν οὖν περὶ ὧν ἐδίωκε μόνον) Ἐντεῦθεν εἰσάγει τὰ παραγραφικά, τὴν γραφὴν αἰτιώμενος· καὶ ἔστιν ἀπὸ τοῦ τρόπου τοῦτο· μέμφεται γὰρ τῆς κατηγορίας τὸν τρόπον, ὅτιπερ οὐκ ἔστησεν ἄχρι τοῦ προβλήματος τὴν μέμψιν, ἀλλὰ πρὸς πλείονα λόγον περὶ τῶν ἄλλων καὶ τῶν ἐκτὸς ἐποιήσατο. τοῦτο δὲ οὐ προοίμιον, ὥς τινες οἴονται, ἀλλ' ἀντιπίπτοντος ἀναίρεσις· ὃ καὶ ἐν τῷ προοιμίῳ τῷ κατ' Ἀριστοκράτους πεποίηκεν. ἔστι δὲ κατά τινας τόδε τὸ πέμπτον προοίμιον. Προβουλεύματος) Προβούλευμα, τὸ ὑπὸ τῆς βουλῆς ψηφισθέν, πρὶν εἰς τὸν δῆμον εἰσενεχθῆναι. καλεῖ δὲ προβούλευμα τὸ ψήφισμα τοῦ Κτησιφῶντος, ἐπειδήπερ ἤδη ἐκυρώθη ἐν τῇ βουλῇ, καὶ ἐπῄνεσε τὸν Δημοσθένην, ὡς ἄξιον ὄντα στεφανωθῆναι. Οὐκ ἐλάττω) Τοῦ προτέρου. Λόγον) Ἐξέτασιν. Τἆλλα) Τὰ περὶ ἐμέ. 14
Τοῖς ἔξωθεν λόγοις) Ταῖς ἀτιμίαις, τοῖς ὑβριστικοῖς λόγοις ἐκείνοις. Ἀλλοτριώτερον) Ἐξωτερικώτερον. Γραφῆς)



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ δίκαια λέγω. εἰ μὲν ἴστε με τοιοῦτον, οἷον οὗτος ᾐτιᾶτο·
(οὐ γὰρ ἄλλοθί που βεβίωκα ἢ παρ᾽ ὑμῖν) μηδὲ φωνὴν ἀνά-
σχησθε, μηδὲ εἰ πάντα τὰ κοινὰ ὑπέρευ πεπολίτευμαι·
16 ἀλλ᾽ ἀναστάντες, καταψηφίσασθε ἤδη· εἰ δὲ πολλῷ βελ-
τίω τούτου καὶ ἐκ βελτιόνων, καὶ μηδενὸς τῶν μετρίων,
ἵνα μηδὲν ἐπαχθὲς λέγω, χείρονα καὶ ἐμὲ καὶ τοὺς ἐμοὺς
ὑπειλήφατε καὶ γινώσκετε, τούτῳ μὲν, μηδ᾽ ὑπὲρ τῶν
ἄλλων πιστεύετε· δῆλον γὰρ ὡς ὁμοίως ἅπαντ᾽ ἐπλάττε-
17 το. ἐμοὶ δ᾽ ἣν παρὰ πάντα τὸν χρόνον εὔνοιαν ἐνδέδειχθε
ἐπὶ πολλῶν ἀγώνων τῶν πρότερον γεγενημένων, καὶ
νυνὶ παράσχεσθε. κακοήθης δ᾽ ὢν Αἰσχίνη, τοῦτο παντε-
λῶς εὔηθες ᾠήθης, τοὺς περὶ τῶν πεπραγμένων καὶ πε-
πολιτευμένων λόγους ἀφέντα με, πρὸς τὰς λοιδορίας
18 τὰς παρὰ σοῦ τρέψεσθαι. οὐ δὴ ποιήσω τοῦτο, οὐχ οὕτω τε-
τύφωμαι· ἀλλ᾽ ὑπὲρ μὲν τῶν πεπολιτευμένων, ἃ κα-
τεψεύδου καὶ διέβαλλες, αὐτίκα ἐξετάσω· τῆς δὲ πομ-
πείας ταύτης τῆς ἀναίδην οὑτωσὶ γεγενημένης, ὕστερον,
ἂν βουλομένοις ᾖ τουτοισί, μνησθήσομαι. τὰ μὲν
19 οὖν κατηγορημένα, πολλὰ καὶ δεινά, καὶ περὶ ὧν ἐνίων
μεγάλας καὶ τὰς ἐσχάτας οἱ νόμοι διδόασι τιμωρίας· τοῦ
δὲ παρόντος ἀγῶνος ἡ προαίρεσις αὕτη, ἐχθροῦ μὲν ἐπή-
ρειαν ἔχει, καὶ ὕβριν, καὶ λοιδορίαν, καὶ προπηλακισμὸν
ὁμοῦ καὶ πάντα τὰ τοιαῦτα. τῶν μέντοι κατηγοριῶν καὶ
20 τῶν αἰτιῶν τῶν εἰρημένων, εἴπερ ἦσαν ἀληθεῖς, οὐκ ἔνι τῇ
πόλει δίκην ἀξίαν λαβεῖν, οὐδ᾽ ἐγγύς. οὐ γὰρ ἀφαιρεῖσθαι δεῖ
τὸ προσελθεῖν τῷ δήμῳ, καὶ λόγου τυχεῖν οὐδ᾽ ἐν ἐπη-
ρείας τάξει καὶ φθόνου τοῦτο ποιεῖν· οὔτε μὰ τοὺς θεοὺς ὀρ-
θῶς ἔχον, οὔτε πολιτικόν, οὔτε δίκαιόν ἐστιν, ὦ ἄνδρες Ἀθη-
21 ναῖοι· ἀλλ᾽ ἐφ᾽ οἷς ἀδικοῦντά με ἑώρα τὴν πόλιν, οὖσί γ᾽

Κατηγορίας. Περὶ μὲν δὴ τῶν ἰδίων) Κατασκευὴ τοῦ προοιμίου. Ἄλλως. Ἐντεῦθεν εἰς τὸ δίκαιον εἰσβάλλει κεφάλαιον. δηλοῦσι μὲν καὶ αἱ λέξεις τῶν εἰρημένων τὴν ἀσθένειαν· λοιδορίας γὰρ καὶ αἰτίας ἐκάλεσεν. ἅμα μὴν καὶ τὸ βλασφημεῖν, ἀξιόπιστον· ἐγγὺς γὰρ αὐτῶν τῶν θείων ἐποίησε· βλασφημοῦσι γὰρ εἰς τοὺς κρείττονας. τὸ δὲ, περὶ τῶν ἰδίων, ὅτι σκύτης καὶ δυσγενής, καὶ τὸν βίον αἰσχρός, σαφῶς δὲ παραιτεῖται λέγειν· οὕτω γὰρ φιλεῖ πανταχοῦ μὴ διαρρήδην τὰς καθ᾽ αὑτοῦ διαβολὰς μηνύειν. Τῶν ἰδίων) Τῶν ἐμαυτοῦ. Λοιδορούμενος) Ἀντὶ τοῦ λοιδορῶν. Ὑπέρευ) Λίαν καλῶς,
16 ὑπερβαλλόντως. Τούτου) Τοῦ Αἰσχίνου. Βελτιόνων) Γονέων δηλονότι. Τῶν μετρίων) Ὀλίγων, ταπεινῶν. Τοὺς ἐμοὺς) Γονεῖς. Ὑπειλήφατε) Τὸ ὀχυρότερον ἐπήγαγε δεύτερον· τὸ μὲν γὰρ, ἀμφίβολον· τὸ δὲ, ὁμολογούμενόν τε καὶ βέβαιον. Ἐπλάττετο) Ἐψεύδετο.
17 Ἐνδέδειχθε) Ἐνεδείξασθε. Ἐπὶ πολλῶν ἀγώνων τῶν πρότερον) Δεινὸς ἄγαν, οὐχ ὡς διὰ φαυλότητα κρινόμενος, ἀλλ᾽ ὡς ἐπιφθόνως πολιτευόμενος, οὕτω τοῦτο εἴρηκε. Παράσχεσθε) Παράδοτε. Κακοήθης) Κακότροπος. Εὐήθης) Ἀφελής.
18 Τρέψεσθαι) Κατ᾽ ἐμοῦ δηλονότι. Τετύφωμαι) Μαίνομαι, ἀπὸ τοῦ Τυφῶνος τοῦ δαίμονος· ἢ ἀπὸ τοῦ τύφεσθαι καὶ καπνίζεσθαι, ἐξ οὗ τὸ σκοτίζεσθαι. Ἀλλ᾽ ὑπὲρ μὲν τῶν πεπολιτευμένων) Φεύγει μὲν τὰ ἴδια· δι᾽ ἅ, τὴν αἰτίαν εἴπομεν· τὰ δὲ εἰς τὸ κοινὸν αὐτοῦ πεπραγμένα, ἔνθα εὐδοκιμεῖ, βούλεται ἐξετάζειν. τὸ δὲ ἐξετάσω, θαυμαστὴν ἔχει τὴν αἰτίαν· δικαστοῦ γὰρ ὑποκρίνεται τάξιν. Πομπείας) Ὕβρεως, λοιδορίας, διὰ τὸ ἐν ταῖς πομπαῖς κωμῳδεῖν καὶ λοιδορεῖν ἀλλήλους. Ἄλλως. Πομπείας, τῆς χλεύης τῆς περὶ τὸν βίον· ἤδη γὰρ ἔγνωμεν ὡς ὅτι ἐν τῇ πομπῇ προσωπεῖα τινὲς φοροῦντες ἀπέσκωπτον τοὺς ἄλλους, ὡς ἐν ἑορτῇ παίζοντες ἐπὶ ἁμαξῶν φερόμενοι· ὅθεν καὶ παροιμία, ἐξ ἁμάξης με ὑβρίζει. Ἀναίδην) Ἐὰν μὲν διὰ τῆς διφθόγγου γράφηται, τῆς αι, ἀναισχύντου λέγει· ἂν δὲ διὰ τοῦ ε, ὅπερ καὶ βέλτιον, τῆς πολλῆς ἐκ τῆς ἀνέσεως, ἀθρόας καὶ σφοδρᾶς. Ἂν βουλομένοις τουτοισί) Ἂν ἄρα βούλωνται ἀκούειν· καίτοι πάντες τούτων ἡδέως ἀκούουσιν· ἀλλ᾽ ὥσπερ τις ἑπόμενος αὐτοῖς ἐπικρατεῖ τοῦ πάθους· ἅμα δὲ καὶ θηρᾶται πάλιν τῶν καθημένων τὴν εὔνοιαν, εἰ τῇ ἐκείνων γνώμῃ ἀκολουθεῖν ἐπαγγέλλεται. Τὰ μὲν οὖν κατηγορημένα) Ἐκ τῶν προοιμίων. ἐν τούτοις δὲ τοῖς ῥητοῖς, ἀσάφειά ἐστι πολ-
19 λή, ἐπειδήπερ οὐκ ἀκολουθεῖ ὁ νοῦς τοῖς κειμένοις. εἰσὶν οὖν δύο προτάσεων θέσεις, εἶτα αἱ δύο λύσεις ἐξῆς. ὅρα τὴν οὕτως. Τὰ μὲν οὖν κατηγορημένα, πολλά· ἰδοὺ μία πρότασις· ἡ δὲ πρὸς ταύτην ἀπάντησις, Τῶν μέντοι κατηγοριῶν καὶ τῶν αἰτιῶν τῶν εἰρημένων· ἵνα γένηται ὁ νοῦς τοιοῦτος, πολλὰ μὲν κατηγόρησε καὶ μέγιστα κακά· τούτων δὲ δίκην λαβεῖν διὰ τὸ μέγεθος οὐχ οἷόν τε. καὶ τοῦτο μὲν οὕτως. λάβωμεν δὲ καὶ τὴν ἑτέραν πρότασιν. ἔστι δέ, Τοῦ δὲ παρόντος ἀγῶνος ἡ προαίρεσις αὕτη· καὶ συνάψον αὐτῇ τὸ δεύτερον ἐπιχείρημα, ὅ ἐστιν, Οὐ γὰρ ἀφαιρεῖσθαι δεῖ τὸ προσελθεῖν τῷ δήμῳ, ἵνα γένηται τὸ σαφὲς οὕτως· ἡ προαίρεσις καὶ ἡ φύσις τοῦ ἀγῶνος, ἀνδρὸς φθονεροῦ τυγχάνει, καὶ πονηροῦ, καὶ βασκάνου. Ἄλλως. Ἐπὶ τὸ ἕτερον μεταβαίνει δίκαιον, τὸ τῆς πολιτείας, καὶ εὐθέως αὔξει τὰ ἀδικήματα καὶ μεγαλύνει τῷ λόγῳ. Τοῦ δὲ παρόντος) Ἐνταῦθα δευτέρα πρότασις· ἡ πρώτη, Τὰ μὲν οὖν κατηγορούμενα· ἡ δὲ δευτέρα, Τοῦ
20 δὲ παρόντος ἀγῶνος. Ἐπήρειαν) Ἐπίθεσιν. Τῶν μέντοι κατηγοριῶν) Μεταληπτικὸν ἀπὸ τοῦ καιροῦ. Αἰτιῶν) Μέμψεων. Οὐδὲν ἐπηρείας) Οὐδὲ δεῖ δηλονότι ἐπιθέσεως. Ὀρθῶς ἔχον) Ἀληθές ἐστι. Πολιτικὸν) Δημοτικόν.

᾽οὕτως. α.

Ἡνίκ

τηλικούτοις, ἡλίκα νῦν ἐτραγῴδει καὶ διεξῄει, ταῖς ἐκ τῶν
νόμων τιμωρίαις παρ' αὐτὰ τὰ ἀδικήματα χρῆσθαι· εἰ
μὲν εἰσαγγελίας ἄξια πράττοντά με ἑώρα, εἰσαγγέλλοντα,
καὶ τοῦτον τὸν τρόπον εἰς κρίσιν καθιστάντα παρ' ὑμῖν· εἰ
δὲ γράφοντα παράνομα, παρανόμων γραφόμενον· οὐ 22
γὰρ δή που Κτησιφῶντα μὲν δύναται διώκειν δι' ἐμέ· ἐμὲ
δ', εἴπερ ἐξελέγξειν ἐνόμιζεν, αὐτὸν οὐκ ἂν ἐγράψατο.
καὶ μὴν, εἴ τι τῶν ἄλλων ὧν νυνὶ διέβαλλε καὶ διεξῄει, ἢ καὶ
ἄλλ' ὁτιοῦν ἀδικοῦντά με ὑμᾶς ἑώρα, εἰσὶ νόμοι περὶ
πάντων καὶ τιμωρίαι, καὶ ἀγῶνες καὶ κρίσεις,* πικραὶ καὶ 23
μεγάλα ἔχουσαι τὰ ἐπιτίμια· καὶ τούτοις ἐξῆν* ἅπασι
χρῆσθαι·* καὶ ὁπηνίκα ἐφαίνετο ταῦτα πεποιηκὼς, καὶ τοῦ-
τον τὸν τρόπον κεχρημένος τοῖς πρὸς ἐμὲ, ὡμολογεῖτο
ἂν ἡ κατηγορία τοῖς ἔργοις αὐτοῦ· νῦν δ' ἐκστὰς τῆς ὀρ-
θῆς καὶ δικαίας ὁδοῦ, καὶ φυγὼν τοὺς παρ' αὐτὰ τὰ πρά- 24
γματα ἐλέγχους, τοσούτοις ὕστερον χρόνοις αἰτίας καὶ
σκώμματα καὶ λοιδορίας συμφορήσας ὑποκρίνεται·
εἶτα, κατηγορεῖ μὲν ἐμοῦ, κρίνει δὲ τουτονί· καὶ τοῦ μὲν ἀγῶ-
νος ὅλου, τὴν πρὸς ἐμὲ ἔχθραν προΐσταται· οὐδαμοῦ
δ' ἐπὶ ταύτην ἀπηντηκὼς ἐμοὶ, τὴν ἑτέρου ζητῶν ἐπι- 25
τιμίαν ἀφελέσθαι, φαίνεται. καίτοι πρὸς ἅπασιν, ὦ ἄν-
δρες Ἀθηναῖοι, τοῖς ἄλλοις δικαίοις, οἷς ἂν εἰπεῖν τις ὑπὲρ
Κτησιφῶντος ἔχοι,* καὶ τοῦτ' ἔμοιγε δοκεῖ, καὶ μάλα εἰ-
κότως ἂν λέγειν, ὅτι τῆς ἡμετέρας ἔχθρας ἡμᾶς ἐφ' ἡμῶν
αὐτῶν δίκαιον ἦν τὸν ἐξετασμὸν ποιεῖσθαι, οὐ τὸ μὲν πρὸς 26
ἀλλήλους ἀγωνίζεσθαι παραλείπειν, ἑτέρῳ δ' ὅτῳ κα-
κόν τι δώσομεν, ζητεῖν· ὑπερβολὴ γὰρ ἀδικίας τοῦτό γε.
πάντα μὲν τοίνυν τὰ κατηγορημένα, ὁμοίως ἐκ τούτων
ἄν τις ἴδοι, οὔτε δικαίως, οὔτ' ἐπ' ἀληθείας οὐδεμιᾶς εἰρη-
μένα. βούλομαι δὲ καὶ καθ' ἓν ἕκαστον αὐτῶν ἐξετάσαι· 27
καὶ μάλιστα ὅσα* ὑπὲρ τῆς εἰρήνης καὶ τῆς πρεσβείας
κατεψεύσατό μου, τὰ πεπραγμένα ἑαυτῷ μετὰ Φι-
λοκράτους, ἀνατιθεὶς ἐμοί. ἔστι δ' ἀναγκαῖον, ὦ ἄνδρες Ἀ-
θηναῖοι, καὶ προσῆκον ἴσως, ὡς κατ' ἐκείνους τοὺς χρό-
νους εἶχε τὰ πράγματα ἀναμνῆσαι ὑμᾶς, ἵνα πρὸς τὸν 28
ὑπάρχοντα καιρὸν ἕκαστα θεωρῆτε. τοῦ γὰρ Φωκικοῦ συ-
στάντος πολέμου, οὐ δι' ἐμέ· οὐ γὰρ δὴ ἔγωγε ἐπολιτευό-

α.ε.
* ἐ τιμωρεί-αι. α.ε.
ἐχρῆν. ζ.
* αὐτοῦ. α.
κατ' ἐμοῦ α.
α.ε.
α.
* δικαίοις. α.
* καθέκαστον. α.ε.
γε γ.
η.
α.
α.ε.

Ἡλίκα) Ὁποῖα μετὰ πάθους ἔλε-
γε. Ἐτραγῴδει) Ἡ διὰ τὸν ὄγκον ὃν
περιετίθει τοῖς πράγμασιν, ὡς ἄ-
ξια τραγῳδίας φαίνεσθαι· ἢ ὅτι
διαβάλλει τὴν τέχνην αὐτοῦ· ἦν γὰρ
ὑποκριτής. Παρ' αὐτὰ) Πλησίον.
Εἰ μὲν εἰσαγγελίας) Μεταληπτι-
κὸν β. ἀπὸ τοῦ τρόπου. ἐνταῦθα δὲ φα-
νερώτερον ἔδειξε τὰ παραγραφικὰ,
τό, τε ἀπὸ τοῦ τρόπου, καὶ τὸ ἀπὸ τοῦ χρό-
νου. Εἰς κρίσιν) Παραγαγεῖν ἐ-
μὲ εἰς ἡμᾶς ἐπὶ τὸ κριθῆναι. Ἐμὲ 22
δ', εἴπερ) Τὸ σχῆμα ἐπαναστροφὴ
γίνεται δὲ, ὅταν τὸ τέλος τοῦ κώλου
ἑτέρου κώλου τὴν ἀρχὴν ποιήσηται·
ἔστι δὲ τῶν καλλωπιζόντων· αἰτίᾳ τοῦ
ἐμὲ αὐτὴν ἀδύνατον ποιῆσαι ἐν
ταῖς ἀποκρίσεσιν. Ὁτιοῦν ἀδι-
κοῦντά με) Παραγραφικὸν ἐκ τρό-
που· διά τι. εἰδὼς μείζονα ἀδικοῦν-
τα, ἥττονα κατηγορεῖς νῦν. ἰστέον δὲ
ὡς ὅτι πολὺ τὸ παραγραφικόν ἐστιν
ἐν τῷ λόγῳ τούτῳ· εἰσὶ γάρ τινες τῶν
ὑπομνηματιστῶν εἰρηκότες ὡς ὅτι
ἠριθμήσαμεν τὸ παραγραφικὸν,
καὶ εὕρομεν αὐτὸ οβ. κείμενον.
Ἐπιτίμια) Κολάσεις. Τούτοις) 23
Νομίμοις τιμωρίαις. Ὡμολογεῖ-
το) Ἀποδεδειγμένη καὶ φανερά.
Ἐλέγχους) Ἤγουν τοὺς ἐμπρα- 24
κτους λόγους, τὰς ἀποδείξεις.
Συμφορήσας) Συναγαγών.
Ὑποκρίνεται) Ἀντὶ τοῦ ψευδῶς κα-
τηγορεῖ, ψεύδεται· ὑπόκρισις γάρ
ἐστι καὶ ἡ μίμησις ἡ ἐκτὸς οὖσα τῆς
ἀληθείας. Ἄλλως. Ἡ διὰ τὴν τέχνην
σκώπτει καὶ νῦν· ἢ ὑποκρίνεται εἶναι
κατηγορῶν, ταῖς ἀληθείαις οὐκ ὤν.
εἶτα ἡ ἀπόδειξις, κατηγορεῖ μὲν ἐ-
μοῦ, κρίνει δὲ τουτονὶ παρόντα.
Τουτονὶ) Τὸν Κτησιφῶντα. Καὶ
τοῦ μὲν ἀγῶνος) Μεταληπτικὸν ἀπὸ
τοῦ προσώπου. Προΐσταται) Προ-
φασίζεται, προβάλλεται. Ἐπὶ 25
ταύτην) Τὴν κατηγορίαν. Ἐπι-
τιμίαν) Ἀξίωμα, τιμήν. Ἐφ' ἡ-
μῶν αὐτῶν) Μονομερῶς. Δώσο- 26
μεν) Δέον εἰπεῖν, δώσεις, εἶπε δώσο-
μεν, οὐχ ὅτι καὶ αὐτὸς τοῦ Δημοσθένους
κακόν τι ποιῆσαι τῷ Κτησιφῶντι βου-
λομένου· ἀλλ' ὡς ἄλλου λέγοντος περὶ
ἀμφοῖν παρά τε αὐτοῦ καὶ Αἰσχίνου.
Πάντα μὲν τοίνυν τὰ κατηγορη-
μένα) Συνετρόχασεν ὅλα τὰ παρα-
γραφικὰ· καὶ λοιπὸν ἐπὶ τὸ δίκαιον κεφάλαιον χωρεῖ. Ἄλλως. Ἕως ὧδε ἐπλήρωσε πάντα τὰ προοιμιαστικά· χωρεῖ
δὲ ἐντεῦθεν ἐπὶ τὸ δίκαιον κεφάλαιον· διήγησιν γὰρ οὐκ ἔχει ὁ λόγος καθαρῶς. Ἐκ τούτων) Ὧν εἶπον. Ἐπ' ἀληθείας)
Κατ' ἀλήθειαν. Βούλομαι δὲ καὶ καθ' ἓν) Θαρροῦντός ἐστιν ἄγαν τὸ βούλεσθαι καὶ κατὰ μέρος ἐξετάζειν τὰ πράγμα- 27
τα. Αὐτῶν) Τῶν πραγμάτων λεπτομερῆ ἐξέτασιν ποιῆσαι. Ἀνατιθεὶς) Ἐπιφορτίζων. Ἴσως) Ὁμοίως. Τοῦ γὰρ 28
Φωκικοῦ συστάντος) Τὸ σχῆμα καθ' ὑποστροφήν. καὶ τοῦτό τινες ᾠήθησαν εἶναι κατάστασιν, τῷ διηγηματικῷ τύπῳ δι-
κεασθέντες. ἀλλ' ἡ μὲν κατάστασις, οὐκ ἔχει χώραν, ἵνα μὴ καταναλώσωμεν τὰς πράξεις ἐν ἐκθέσει ψιλῇ, χρῄζοντες ἐφ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μην πω τότε· πρῶτον μὲν ὑμεῖς οὕτω διέκεισθε, ὥστε
Φωκέας μὲν βούλεσθαι σωθῆναι, καίπερ οὐ δίκαια ποιοῦν-
29 τας ὁρῶντες· Θηβαίοις δ' ὁτιοῦν ἂν ἐφησθῆναι παθοῦ-
σιν, οὐκ ἀλόγως οὐδ' ἀδίκως αὐτοῖς ὀργιζόμενοι· οἷς γὰρ
εὐτυχήκεσαν ἐν Λεύκτροις, οὐ μετρίως ἐκέχρηντο. ἔ-
πειθ', ἡ Πελοπόννησος ἅπασα διειστήκει· καὶ οὔθ' οἱ μισοῦν-
τες Λακεδαιμονίους οὕτως ἴσχυον, ὥστε ἀνελεῖν αὐτούς, οὔθ' οἱ
30 πρότερον δι' ἐκείνων ἄρχοντες, κύριοι τῶν πόλεων ἦσαν.
ἀλλά τις ἦν ἄκριτος καὶ παρὰ τούτοις, καὶ τοῖς ἄλλοις ἅ-
πασιν ἔρις καὶ ταραχή. ταῦτα δ' ὁρῶν ὁ Φίλιππος· οὐ
γὰρ ἦν ἀφανῆ· τοῖς παρ' ἑκάστοις προδόταις χρήματ'
ἀναλίσκων, πάντας συνέκρουε καὶ πρὸς ἑαυτοὺς ἐτά-
31 ραττεν. εἶτ' ἐν οἷς ἡμάρτανον οἱ ἄλλοι, καὶ κακῶς ἐφρό-
νουν, αὐτὸς παρεσκευάζετο, καὶ κατὰ πάντων ἐφύετο. ὡς
δὲ ταλαιπωρούμενοι τῷ μήκει τοῦ πολέμου, οἱ τότε μὲν
βαρεῖς, νῦν δ' ἀτυχεῖς Θηβαῖοι, φανεροὶ πᾶσιν ἦσαν ἀ-
ναγκασθησόμενοι καταφεύγειν ἐφ' ὑμᾶς, ὁ Φίλιππος,
32 ἵνα μὴ τοῦτο γένοιτο, μηδὲ συνέλθοιεν αἱ πόλεις, ὑμῖν
μὲν εἰρήνην, ἐκείνοις δὲ βοήθειαν ἐπηγγείλατο. τί οὖν συ-
νηγωνίσατο αὐτῷ πρὸς τὸ λαβεῖν ὀλίγου δεῖν ὑμᾶς ἑκόν-
τας ἐξαπατωμένους, ἡ τῶν ἄλλων Ἑλλήνων, εἴτε χρὴ κα-
κίαν, εἴτε ἄγνοιαν, εἴτε καὶ ἀμφότερα ταῦτ' εἰπεῖν· οἳ
33 πόλεμον συνεχῆ καὶ μακρὸν πολεμούντων ὑμῶν, καὶ τοῦ-
τον ὑπὲρ τῶν κοινῇ πᾶσι συμφερόντων, ὡς ἔργῳ φανερὸν
γέγονεν, οὔτε χρήμασιν, οὔτε σώμασιν, οὐδ' ἄλλῳ οὐδενὶ τῶν
πάντων συνελάμβανον ὑμῖν· οἷς καὶ δικαίως καὶ προσ-
ηκόντως ὀργιζόμενοι, ἑτοίμως ὑπηκούσατε τῷ Φιλίπ-
34 πῳ. ἡ μὲν οὖν τότε συγχωρηθεῖσα εἰρήνη, διὰ ταῦτα,
οὐ δι' ἐμέ, ὡς οὗτος διέβαλλεν, ἐπράχθη· τὰ δὲ τούτων ἀδι-
κήματα καὶ δωροδοκήματα ἐν αὐτῇ, τῶν νυνὶ παρόν-
των πραγμάτων, ἄν τις ἐξετάζῃ δικαίως, αἴτια εὑρή-
σει. καὶ ταυτὶ πάνθ' ὑπὲρ τῆς ἀληθείας ἀκριβολογοῦμαι
35 καὶ διεξέρχομαι. εἰ γὰρ εἶναί τι δοκοίη τὰ μάλιστα ἐν τού-
τοις ἀδικήματα, οὐδέν ἐστι δήπου πρὸς ἐμέ. ἀλλ' ὁ μὲν
πρῶτος εἰπὼν καὶ μνησθεὶς ὑπὲρ τῆς εἰρήνης, Ἀριστό-
δημος ἦν ὁ ὑποκριτής· ὁ δ' ἐκδεξάμενος καὶ γράψας,
καὶ ἑαυτὸν μετὰ τούτου μισθώσας ἐπὶ ταῦτα, Φιλοκράτης
36 ὁ Ἁγνούσιος, ὁ σός, Αἰσχίνη, κοινωνός, οὐχ ὁ ἐμός, οὐδ' ἂν σὺ
διαρραγῇς ψευδόμενος. οἱ δὲ συνειπόντες, ὅτου δήποτε
ἕνεκα· ἐῶ γὰρ τοῦτό γε ἐν τῷ παρόντι· Εὔβουλος, καὶ Κηφι-

τοῖς ἀγῶσιν αὐτῶν· ἔπειτα ἡ κατάστασις τοῦτο ἦν, ὡς ᾠήθησαν, τοῦ χάριν περὶ τὴν παραγραφικὴν οὐκ ἐπῆκτο, τοῦτο ἀπαιτούσης τῆς τάξεως. ἔστιν οὖν τὸ δίκαιον κεφάλαιον, διηγηματικῶς εἰσηγμένον, λύον μεταληπτικῶς τὰ ἐγκλήματα· αὔξει δὲ ἐκ περιδρομῆς καὶ χρησιμώτερον· δείκνυσι γὰρ ὅτι περ οὐκ ἔστι φιλοπόλεμος, εἴγε καὶ περὶ τῆς αὐτοῦ πολιτείας συνεκροτοῦντο παρὰ τοῖς Ἕλλησι πόλεμοι. Ἄλλως. Ἐνόμισαν τινὲς τὸ χωρίον τοῦτο εἶναι διήγησιν· οὐκ ἔστι δέ. πόθεν οὖν; δῆλον γέγονεν, ὅτι αἱ πίστεις εἶναι ὀφείλει ἐν τούτῳ καὶ ἀγῶνας, ὅπερ οὐκ ἔχει ἡ διήγησις. Δι' ἐμέ) Οὐ διὰ τὴν ἐμὴν συμβουλήν. Ἐπολιτευόμην) Τὰ τῆς πόλεως ἐνήργουν. Πω τότε) Παρέλκεται τὸ πω χάριν τοῦ κώλου μόνον. Οὕτω διέκεισθε) Τοιαύτην ὁρμὴν γνώμης εἴχετε.

29 Καίπερ οὐ δίκαια ποιοῦντας ὁρῶντες) Ἐπίκρισις, ἵνα μὴ δοκῇ κοινωνεῖν τῇ ἱεροσυλίᾳ ἡ πόλις, εἰπὼν οὐχὶ δίκαια, ὅτι ἐπιχαίρειν ᾤοντο δεῖν τοῖς Θηβαίοις· καὶ ἡ αἰτία τῇ φύσει τῶν Ἀθηναίων ἀκόλουθος, ὅτι πόλιν Ἑλληνίδα καὶ σεμνὴν, πανωλεθρίᾳ διαφθείρειν ἐσπούδαζον, ἀμετρίᾳ τὴν νίκην ὑβρίσαντες. Ἐφησθῆναι) Εὐφρανθῆναι. Ὀργιζόμενοι) Ὑμεῖς οἱ Ἀθηναῖοι. Οὐ μετρίως ἐκέχρηντο) Ἀλλὰ ἐπόρθησαν. Διειστήκει) Ἤγουν ταῖς γνώμαις διε-
30 μερίσθη. Δι' ἐκείνων) Τῶν Λακεδαιμονίων. Ἄκριτος) Πολλή.
31 Παρεσκευάζετο) Παρασκευὴν πολέμου ἐποίει. Πολέμου) Τοῦ πρὸς Λακεδαιμονίους. Βαρεῖς) Διὰ τὸ ἀλαζονεύσασθαι ἐπὶ τῇ κατὰ τῶν Λακεδαιμονίων ἐν Λεύκτροις νί-
32 κῃ. Αἱ πόλεις) Αἱ Ἀθῆναι καὶ Θῆβαι δηλονότι. Βοήθειαν) Κατὰ Λακεδαιμονίων. Συνηγωνί-
33 σατο) Ἐβοήθησεν. Συνελάμβανον) Συνεφήπτοντο, συνεκοινώνουν καὶ ἐβοήθουν. ὤφειλε δὲ παθητικῶς· τὸ γὰρ ἐνεργητικὸν ἐπὶ τῆς συλλαμβανούσης γυναικός, καὶ ἐπὶ τοῦ φυγόντος ὁπόταν συλληφθῇ.
34 Διὰ ταῦτα) Ἅπερ εἶπον. Τὰ δὲ τούτων ἀδικήματα) Ἦλθεν ἐπὶ τὸ αἰτιολογικὸν, τὴν αἰτίαν ἀποσεισάμενος. Ἐν αὐτῇ) Τῇ εἰρήνῃ. Ὑπὲρ τῆς ἀληθείας) Ἤγουν ὑπὲρ τῆς δεί-
35 ξεως τῆς ἀληθείας. Οὐδέν ἐστι πρὸς ἐμέ) Οὐχ ἅπτονται ἐμοῦ, οὐκ ἐξ ἐμοῦ γεγόνασιν. Γρά-
36 ψας) Ψηφισάμενος. Ὁ Ἁγνούσιος) Ἀπὸ δήμου. Ὁ σὸς Αἰσχίνη) Ἀποστροφή. Συνειπόντες) Συνηγορηκότες.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σώφρων εἰ ὦ γῆ, οὐδὲν οὐδαμοῦ. ἀλλ' ὅμως, τούτων τοιού-
των ὄντων, καὶ ἐπ' αὐτῆς τῆς ἀληθείας οὕτω δεικνυμένων,
εἰς τοῦθ' ἥκει ἀναιδείας, ὥστε τολμᾷ λέγειν, ὡς ἄρα ἐγὼ 37
πρὸς τῷ τῆς εἰρήνης αἴτιος γεγενῆσθαι, ἔτι καὶ κεκω-
λυκὼς εἴην τὴν πόλιν μετὰ κοινοῦ συνεδρίου τῶν Ἑλλήνων
αὐτὴν ποιήσασθαι. εἶτ', ὦ τί ἂν εἰπών σέ τις ὀρθῶς προσ-
είποι, ἔστιν ὅπου σὺ παρὼν, τηλικαύτην πρᾶξιν καὶ συμ-
μαχίαν, ἡλίκην νῦν ἐτραγῴδεις, καὶ διεξῄεις, ὁρῶν ἀφαι- 38
ρούμενόν με τῆς πόλεως ἠγανάκτησας, ἢ παρελθὼν ταῦ-
τα ἃ νῦν κατηγορεῖς, ἐδίδαξας, ἢ διεξῆλθες; καὶ μὴν, εἰ
τὸ κωλῦσαι τὴν τῶν Ἑλλήνων κοινωνίαν ἐπεπράκειν ἐγὼ
Φιλίππῳ, σοὶ τὸ μὴ σιγῆσαι λοιπὸν ἦν, ἀλλὰ βοᾶν καὶ
διαμαρτύρεσθαι, καὶ δηλοῦν τουτοισί. οὐ τοίνυν ἐποίη- 39
σας οὐδαμοῦ τοῦτο, οὐδ' ἤκουσέ σου ταύτην τὴν φωνὴν
οὐδείς· οὔτε γὰρ ἦν πρεσβεία πρὸς οὐδένα ἀπεσταλ-
μένη τότε τῶν Ἑλλήνων, ἀλλὰ πάλαι πάντες ἦσαν ἐξεληλ-
εγμένοι· οὔθ' οὗτος ὑγιὲς περὶ τούτων εἴρηκεν οὐδέν· χω-
ρὶς δὲ τούτων καὶ διαβάλλει τὴν πόλιν τὰ μέγιστα ἐν 40
οἷς ψεύδεται· εἰ γὰρ ὑμεῖς ἅμα, τοὺς μὲν ἄλλους Ἕλληνας
εἰς πόλεμον παρεκαλεῖτε, αὐτοὶ δὲ πρὸς Φίλιππον περὶ
εἰρήνης πρέσβεις ἐπέμπετε, Εὐρυβάτου πρᾶγμα, οὐ πό-
λεως ἔργον, οὐδὲ χρηστῶν ἀνθρώπων διεπράττεσθε.
ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστι· τί γὰρ καὶ βουλόμενοι μετε- 41
πέμπεσθ' ἂν αὐτοὺς ἐν τούτῳ τῷ καιρῷ. ἐπὶ τὴν εἰρή-
νην; ἀλλ' ὑπῆρχεν ἅπασιν. ἀλλ' ἐπὶ τὸν πόλεμον; ἀλλ' αὐ-
τοὶ περὶ εἰρήνης ἐβουλεύεσθε. οὐκοῦν οὔτε τῆς ἐξ ἀρχῆς
εἰρήνης ἡγεμὼν, οὐδ' αἴτιος ὢν ἐγὼ φαίνομαι, οὔτε τῶν
ἄλλων οὐδὲν ὧν κατεψεύσατό μου, οὐδὲν ἀληθὲς ὂν δεί- 42
κνυται. ἐπειδὴ τοίνυν ἐποιήσατο τὴν εἰρήνην ἡ πόλις, ἐν-
ταῦθα πάλιν σκέψασθε, τί ἡμῶν ἑκάτερος προείλετο
πράττειν· καὶ γὰρ ἐκ τούτων εἴσεσθε, τίς ἦν ὁ Φιλίππῳ
πάντα συναγωνιζόμενος, καὶ τίς ὁ πράττων ὑπὲρ
ὑμῶν, καὶ τὸ τῇ πόλει συμφέρον ζητῶν. ἐγὼ μὲν τοίνυν ἔ- 43
γραψα βουλεύων ἀποπλεῖν τὴν ταχίστην τοὺς πρέσβεις
ἐπὶ τοὺς τόπους, ἐν οἷς ἂν ὄντα Φίλιππον πυνθάνωνται,
καὶ τοὺς ὅρκους ἀπολαμβάνειν· οὗτοι δέ, οὐδὲ γράψαντος ἐμοῦ, ταῦτα ποιεῖν ἠθέλησ[illegible]
τί δὲ τοῦτ' ἠδύνατο, ὦ ἄνδρες Ἀθηναῖοι, ἐγὼ διδάξω. Φιλίππῳ μὲν ἦν συμ[illegible]
ὡς πλεῖστον τὸν μεταξὺ χρόνον γενέσθαι τῶν ὅρκων· ὑμῖν δέ, ὡς ἐλάχιστον. δ[illegible]
ὑμεῖς μέν, οὐκ ἀφ' ἧς ὠμόσατε μόνον ἡμέρας, ἀλλ' ἀφ' ἧς ἠλπίσατε τ[illegible]ρς τοῦ
θαι, πάσας ἐξελύσατε τὰς παρασκευὰς τὰς τοῦ πολέμου· ὁ δέ, τοῦ[illegible] προλά- 45
χρόνου μάλιστα ἐπραγματεύετο, νομίζων, ὅπερ ἦν ἀληθές, ὅσα τῆ[illegible]να γὰρ τῆς εἰρή-
βοι, πρὸ τοῦ τοὺς ὅρκους ἀποδοῦναι, πάντα ταῦτα βεβαίως ἕξ[illegible]

Οὐδαμοῦ) Συνεῖπον δηλονότι.
Κεκωλυκὼς εἴην) Ἀντὶ τοῦ ἐκώ- 37
λυσα. Παρὼν) Ἑστὼς δηλονότι.
Ἐτραγῴδεις) Μετὰ συμφορᾶς ἔ- 38
λεγες. Διεξῄεις) Ἐδιηγήσω.
Φιλίππῳ) Χάριν τοῦ Φιλίππου.
Διαμαρτύρεσθαι) Διδάσκειν. 39
Οὔτε γὰρ ἦν πρεσβεία) Προσκεί-
μενον τὸ τότε, παρέχει ἀληθείας ὑ-
πόνοιαν. συμβαίνεται δὲ αὐτῷ καὶ
ὁ χρόνος πολὺς παρελθὼν εἰς τὸ δύ-
νασθαι κακουργεῖν. Ἐξεληλεγμέ-
νοι) Ἀποδεδειγμένοι ἐπὶ τῷ στασιά-
ζειν. Εἰ γὰρ ὑμεῖς ἅμα) Διὰ τοῦ ἅ- 40
μα, χώραν ἔχει σοφίσασθαι· οὕτως
γὰρ εἰ καθ' αὑτὸν καὶ πρὸς Φίλιππον
εἰρήνην ἐσπένδοντο, καὶ τοὺς Ἕλληνας
ἠρέθιζον καλοῦντας εἰς πόλεμον.
Ἅμα) Ἐν τῷ αὐτῷ καιρῷ. Εὐ-
ρυβάτου) Πονηροῦ· ἀπὸ τοῦ πεμ-
φθέντος ὑπὸ Κροίσου ἐπὶ ξενολο-
γίαν, ὥς φησιν Ἔφορος· εἶτα μετα-
βαλομένου ἐπὶ Κῦρον. Τί γὰρ καὶ 41
βουλόμενοι, μετεπέμπεσθε) Ἄλλο ἐ-
πιχείρημα λῦον τὸ ἔγκλημα ἀπὸ τῆς
φύσεως τῶν πραγμάτων. Οὔτε
τῆς ἐξ ἀρχῆς εἰρήνης) Τὸ ὁμολο-
γούμενον πρῶτον θείς, ᾧ οὐκ ἔστιν
ὑπεύθυνος, ἐπάγει λοιπὸν ἐκ τούτου
πιστούμενος, τὸ ἀμφίβολον. Τῆς
ἐξ ἀρχῆς) Τῆς ἄνωθεν γινομένης.
Ἐνταῦθα πάλιν) Ἤγουν ἐν τούτῳ 42
τῷ καιρῷ, ἐν ᾧ ἡ εἰρήνη ἐγένετο.
Ἐκ τούτων) Τῶν πραγμάτων ἀκρι-
βῶς γνώσεσθε. Ὁ Φιλίππῳ πάν-
τα) Ὁ βουλόμενος τὸ συμφέρον τῷ
Φιλίππῳ. Ἔγραψα) Ψήφισμα δη- 43
λονότι, ἤγουν ἐψηφισάμην συμ-
βουλεύων ἀποπλεῖν τάχιστα. Πυν-
θάνωνται) Αἰσθάνωνται. Τοὺς ὅρ-
κους) Τοὺς ὀφειλομένους. Οὗτοι
δὲ) Οἱ περὶ τὸν Αἰσχίνην. Τί δὲ
τοῦτ' ἠδύνατο) Τὸ μὴ πεῖσαι τού-
τους κατὰ τὸ ἐμὸν ψήφισμα. Ἐξε- 44
λύσατε) Ἐπαύσατε τὰς ἑτοιμασί-
ας. Ἐπραγματεύετο) Ἤγουν 45
ἐσκέπτετο μετὰ πραγματείας καὶ ἐ-
ξετάσεως καὶ πολυπραγμοσύνης.
Βεβαίως) Ἀμεταθέτως.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νην λύσειν τούτων ἕνεκα. ἃ ἐγὼ προορώμενος, ὦ ἄν- β.γ.η. α.ε.
45 δρες ἀθηναῖοι, καὶ λογιζόμενος, τὸ ψήφισμα τοῦτο γρά-
φω, πλεῖν ἐπὶ τοὺς τόπους ἐν οἷς ἂν ᾖ φίλιππος καὶ τοὺς
ὅρκους τὴν ταχίστην ἀπολαμβάνειν· ἵν' ἐχόντων τῶν θρα-
κῶν τῶν ὑμετέρων συμμάχων τὰ χωρία ταῦθ', ἃ νῦν "ἡμετέρ. α.ε.
οὗτος διέσυρε, τὸ σέρριον, καὶ τὸ μύρτιον, καὶ τὴν ἐργίσκην "μυρτηνόν. α. ε.
47 οὕτω γίγνοιντο οἱ ὅρκοι, καὶ μὴ προλαβὼν ἐκεῖνος τοὺς σεργίσκην. ε.
ἐπικαίρους τῶν τόπων, κύριος τῆς θράκης καταστάιη·
μηδὲ πολλῶν μὲν χρημάτων, πολλῶν δὲ στρατιωτῶν εὐ-
πορήσας ἐκ τούτων, ῥᾳδίως τοῖς λοιποῖς ἐπιχειροίη
πράγμασιν· εἶτα, τοῦτο μὲν οὐχὶ λέγει τὸ ψήφισμα,
48 οὐδ' ἀναγινώσκει· εἰ δὲ βουλεύων ἐγὼ, προσάγειν τοὺς
πρέσβεις ᾤμην δεῖν, τοῦτό μου διαβάλλει. ἀλλὰ τί ἐχρῆν
με ποιεῖν· μὴ προσάγειν γράψαι τοὺς ἐπὶ τοῦθ' ἥκον-
τας, ἵν' ὑμῖν διαλεχθῶσιν, ἢ θέαν μὴ κατανεῖμαι τὸν "ἡμῖν. α.
ἀρχιτέκτονα αὐτοῖς κελεῦσαι; ἀλλ' ἐν τοῖν δυοῖν ὀβο-
49 λοῖν ἐθεώρουν ἄν, εἰ μὴ τοῦτ' ἐγράφη. τὰ μικρὰ συμφέ-
ροντα τῆς πόλεως ἔδει με φυλάττειν· τὰ δ' ὅλα, ὥσπερ ε.
οὗτοι πεπρακέναι φιλίππῳ; οὐ δή που. λέγε τοίνυν η. πα. ε.
μοι τὸ ψήφισμα τουτὶ λαβὼν, ὃ σαφῶς οὗτος εἰδὼς, παρ- *ἑκὼν. ε.
έβη. λέγε.

50 Ψήφισμα.

» Ἐπὶ ἄρχοντος μνησιφίλου, ἑκατομβαιῶνος ἕνῃ καὶ νέᾳ, °ἕνῃ.
» φυλῆς πρυτανευούσης °πανδιονίδος, δημοσθένης δη- °διονισίδος. ε
» μοσθένους παιανιεὺς εἶπεν, ἐπειδὴ φίλιππος ἀποστεί-
» λας πρέσβεις περὶ τῆς εἰρήνης πρὸς ἀθηναίους, ὁ- η.
51 μολογουμένας πεποίηται συνθήκας, *δεδόχθαι τῇ βου- α.ε. *πρὸς τὸν ἀ-
» λῇ καὶ τῷ δήμῳ τῶν ἀθηναίων, ὅπως ἂν ἡ εἰρήνη ἐπι- θηναίων δῆ-
» τελεσθῇ, ἡ ἐπιχειροτονηθεῖσα ἐν τῇ πρώτῃ ἐκκλησίᾳ, μον. α.ε. τῷ ἀθην. η
» πρέσβεις ἑλέσθαι ἐκ πάντων ἀθηναίων ἤδη πέντε·
» τοὺς δὲ χειροτονηθέντας, ἀποδημεῖν, μηδεμίαν ἀνα- "ὑπερβολήν.
52 βολὴν ποιουμένους, ὅπου ἂν ὄντα πυνθάνωνται τὸν φί- η.
» λιππον· καὶ τοὺς ὅρκους λαβεῖν τε παρ' αὐτοῦ καὶ δοῦναι
» τὴν ταχίστην, ἐπὶ ταῖς ὡμολογημέναις συνθήκαις αὐ-
» τῷ πρὸς τὸν ἀθηναίων δῆμον, συμπεριλαμβάνοντας <συμπαραλαμβ. α.
» καὶ τοὺς ἑκατέρων συμμάχους πρέσβεις ᾑρέθησαν, εὐ- "κοθωκίδης α
53 βουλος ἀναφλύστιος, αἰσχίνης κοθωκίδης, κηφισοφῶν τρομήτου αἰ-
» ῥαμνούσιος, δημοκράτης φλυεὺς, κλέων κοθωκίδης. σχίνης. ε. κηφισοφῶν. α. κλησιφῶν. γ.

Ταῦτα γράψαντος ἐμοῦ τότε, καὶ τὸ τῇ πόλει συμ-

Προορώμενος) Πρὸ τοῦ γενέσθαι βλέπων τῷ νῷ, καὶ ἀναλογιζόμενος.
45 Τοῦτο γράφω) Τὸ κελεῦον δηλονότι ἀποπλεῖν. Διέσυρε) Ὡς
47 οὐδὲν ἐπῆθει. Τοὺς ἐπικαίρους) Ἰσχυρούς. αὔξει δὲ τὰ χωρία, οὐ τῷ μεγέθει, ἀλλὰ τῇ θέσει· εὐκαίρως γὰρ κεῖται, ὥστε ἐκεῖθεν καὶ ἀμύνασθαι πολεμίους, καὶ περιουσίας χρημάτων περιποιεῖν. Καταστάιη) Ἤγουν ἄρξει. Τοῖς λοιποῖς) Ὑπολοίποις.
Ψήφισμα) Ἤγουν ἐμὸν τὸ περὶ τοῦ ἀποπλεῖν τὴν ταχίστην τοὺς πρέσβεις τοὺς ἡμετέρους ἐπὶ τὸν φίλιππον.
48 Προσάγειν τοὺς πρέσβεις ᾤμην δεῖν) Τοῦ φιλίππου τοὺς πρέσβεις ἐλθόντας εἰς τὴν ἀττικὴν, προσάγειν ἐκέλευσεν ὁ ῥήτωρ τῷ δήμῳ. τοῦτο αἰσχίνης εἰς φιλιππισμὸν ἐγκέκληκε, τὴν περὶ τοὺς πρέσβεις σπουδὴν διηγούμενος. ὁ δὲ χλευάζει τοὺς ἐπὶ τούτῳ ἥκοντας, ἵν' ὑμῖν διαλεχθῶσιν, οὐκ ἔδει προσάγειν.
Γράψαι) Διέβαλλεν αἰσχίνης ὡς διὰ τούτων φιλιππίζοντα τὸν ῥήτορα, διά τε τοῦ γράψαι αὐτὸν περὶ τῶν πρέσβεων τοῦ φιλίππου, ὡς ὅτι δεῖ προσελθεῖν τῷ δήμῳ, καὶ θέαν αὐτοῖς προσνεῖμαι, ὅ ἐστι καθέδραν αὐτοῖς ἀφορίσαι, ἐν τῷ θεάτρῳ προὐκαθίκνισι, τὸ μὲν οὖν προσελθεῖν ἀναγκαῖον ὄν· τὸ δὲ περὶ τῆς θέας, ὑπάρχον εὐτελές. Ἥκοντας) Λέγει. Θέαν) Τόπον εἰς θεωρίαν. Κατανεῖμαι) Δοῦναι. Ἀρχιτέκτονα) Ὃς ἄρχων τοῦ θεάτρου λέγεται. Ἀλλ' ἐν τοῖν δυοῖν ὀβολοῖν) Δύο γὰρ ὄντων πρέσβεων, δύο ἦσαν οἱ ὀβολοί· οὕτως εὐτελὲς ἦν ὃ αἰτιᾶται. ὁ δέ γε αἰσχίνης, τὴν προεδρίαν ἐγκαλεῖ, οὐ τὸ ἀνάλωμα. Ἄλλως. Τριώβολον παρεῖχον οἱ θεωροῦντες ὡς ἤδη ἔγνωμεν. ὥστε συγγνωστέον ὅτι οἱ δύο πρέσβεις αὐτοῦ πατρὸς καὶ παρμενίων, τοὺς δύο ὀβολοὺς ἐδίδοσαν, ὁ εἷς καὶ ἕνα, δηλονότι καὶ δύο. διὰ τοῦτο οὖν εἶπε τοῖν δυοῖν ὀβολοῖν ἐθεώρουν. σημείωσαι δὲ ὅτι εὑρίσκεται καὶ παρὰ θουκυδίδῃ καὶ ἐνταῦθα τὸ θεωρεῖν ἀντὶ τοῦ
49 θεᾶσθαι. Ἐθεώρουν ἄν) Θεαταὶ ἦσαν. Εἰ μὴ τοῦτ' ἐγράφη) Τὸ ψήφισμα τὸ ἡμέτερον, τὸ ἀμισθὶ θεωρεῖν τοὺς πρέσβεις δηλονότι. Ὥσπερ οὗτοι) Οἱ περὶ τὸν αἰσχίνην.
[Ἑ]κατομβαιῶνος) Μάρτιος. Πρυ[τανευούσης]) Οἰκονομούσης τὰ πράγματα.
51 Ἀποστείλας) Πέμψας. [Συν]θήκας) [Ὁμολογου]μένας) Φανεράς. Συν[θήκας)]
53 Τέλος λαβ[ούσ]ας. Ἐπιτελεσθῇ) [Ἐπιχει]ροτονηθεῖσα) Κατασταθεῖσα. Πυνθάνωνται) Αἴσθωνται. Ὡμολογημέναις) Συμβιβασθείσαις. Γρά-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φέρειν, οὐ τῷ Φιλίππῳ ζητοῦντος, βραχὺ φροντίσαντες οἱ χρηστοὶ πρέσβεις οὗτοι, καθῆντο ἐν Μακεδονίᾳ 54
τρεῖς ὅλους μῆνας, ἕως ἦλθε Φίλιππος ἐκ Θρᾴκης, πάντα καταστρεψάμενος τἀκεῖ, ἐξὸν ἡμερῶν δέκα, μᾶλλον δὲ τριῶν ἢ τεττάρων, εἰς τὸν Ἑλλήσποντον ἀφῖχθαι, καὶ τὰ χωρία σῶσαι λαβόντας τοὺς ὅρκους, πρὶν ἐκεῖνον ἐξελεῖν αὐτά· οὐ γὰρ ἂν ἥψατο αὐτῶν, παρόντων 55
ἡμῶν· ἢ οὐκ ἂν ὡρκίζομεν αὐτόν· ὥστε τῆς εἰρήνης ἂν διημαρτήκει, καὶ οὐκ ἂν ἀμφότερα εἶχε, καὶ τὴν εἰρήνην καὶ τὰ χωρία. Τὸ μὲν τοίνυν ἐν τῇ πρεσβείᾳ πρῶτον, κλέμμα μὲν Φιλίππου, δωροδόκημα δὲ τῶν ἀδίκων τούτων ἀνθρώπων καὶ θεοῖς ἐχθρῶν, τοιοῦτον ἐγένετο· ὑπὲρ 56
οὗ καὶ τότε καὶ νῦν καὶ ἀεὶ ὁμολογῶ πολεμεῖν καὶ διαφέρεσθαι τούτοις. Ἕτερον δ' εὐθὺς ἐφεξῆς ἔτι τούτου μεῖζον κακούργημα θεάσασθε. ἐπειδὴ γὰρ ὡμολόγησε τὴν εἰρήνην ὁ Φίλιππος ἔξω, προλαβὼν τὴν Θρᾴκην
διὰ τούτους, οὐχὶ πεισθέντας τῷ ἐμῷ ψηφίσματι, πάλιν ὠνεῖται παρ' αὐτῶν, ὅπως μὴ ἀπίωσιν ἐκ Μακεδονίας, ἕως ἂν τὰ τῆς στρατείας τῆς ἐπὶ τοὺς Φωκέας εὐτρεπῆ ποιήσαιτο· ἵνα μὴ δεῦρο ἀπαγγελλόντων αὐτῶν, ὅτι μέλλει καὶ παρασκευάζεται πορεύεσθαι, ἐξέλθοιτε 57
ὑμεῖς, καὶ περιπλεύσαντες ταῖς τριήρεσιν εἰς Πύλας, 58
ὥσπερ πρότερον, κλείσοιτε τὸν πορθμόν· ἀλλ' ἅμ' ἀκούοιτε ταῦτα ἀπαγγελλόντων ὑμῖν τούτων, κἀκεῖνος ἐντὸς εἴη Πυλῶν, καὶ μηδὲν ἔχοιθ' ὑμεῖς ποιῆσαι. οὕτω δ' ἦν ὁ Φίλιππος ἐν φόβῳ καὶ πολλῇ ἀγωνίᾳ, μὴ καὶ ταῦτα προειληφότος αὐτοῦ πρὸ τοῦ τοὺς Φωκέας ἀπολέσθαι 59
ἀκούσαντες ψηφίσαισθε βοηθεῖν αὐτοῖς, καὶ ἐκφύγοι τὰ πράγματα αὐτόν, ὥστε πάλιν μισθοῦται τὸν κατάπλυστον τουτονί, οὐκ ἔτι κοινῇ μετὰ τῶν ἄλλων πρέσβεων, ἀλλ' ἰδίᾳ καθ' αὑτόν, τοιαῦτα πρὸς ὑμᾶς εἰπεῖν καὶ ἀπαγγεῖλαι, δι' ὧν ἅπαντ' ἀπώλετο. Ἀξιῶ δέ, ὦ ἄν- 60
δρες Ἀθηναῖοι, καὶ δέομαι, τοῦτο μεμνῆσθαι ὑμᾶς παρὰ ὅλον τὸν ἀγῶνα, ὅτι μὴ κατηγορήσαντος Αἰσχίνου μηδὲν ἔξω τῆς γραφῆς, οὐδ' ἂν ἐγὼ λόγον οὐδένα ἐποιούμην ἕτερον· ἁπάσαις δ' αἰτίαις καὶ βλασφημίαις ἅ-
μα τούτου κεχρημένου, ἀνάγκη κἀμοὶ πρὸς ἕκαστα τῶν κατηγορημένων μικρὰ 61
ἀποκρίνεσθαι. Τίνες οὖν ἦσαν οἱ παρὰ τούτου λόγοι τότε ῥηθέντες, καὶ δι' οὓς ἅπαντ' ἀπώλετο; ὡς οὐ δεῖ θορυβεῖσθαι τῷ παρεληλυθέναι Φίλιππον εἴσω Πυλῶν· ἔσται γὰρ ἅπανθ' ὅσα βούλεσθ' ὑμεῖς, ἐὰν ἔχηθ' ἡσυχίαν, καὶ ἀκούσεσθε δυοῖν ἢ
τριῶν ἡμερῶν, οἷς μὲν ἐχθρὸς ἥκει, φίλον αὐτὸν γεγενημένον, οἷς δὲ φίλος, τοὐναν- 62
τίον αὐτὸν ἐχθρόν· οὐ γὰρ τὰ ῥήματα τὰς οἰκειότητας ἔφη βεβαιοῦν, μάλα σεμνῶς

---

φαντος) Ψηφισαμένου. Οὐ τῷ Φιλίππῳ ζητοῦντος) Πολλὴν ἀγωνίαν αὐτῷ μαρτυρεῖ ἡ λέξις, ὅτι διετέλει ζητῶν, ὅπως ἂν εὕροι τὰ τῇ πατρίδι συμφέροντα. Βραχὺ) Οὐδ' ὅλως. Φροντίσαντες οἱ χρηστοὶ πρέσβεις) Φροντίσαντες ὧν οὗτος οἶδεν· ὡς ὀδυρόμενος δὲ λέγει, ὅτι ἐκεῖ εἰσὶ χρηστοί, χρηστοὶ εἶ) ὀφείλοντες. Καθῆντο) Περὶ τοῦ πόνου λέγεται, ὅτι προπαροξύνεται· δεῖ γὰρ ἀπὸ τοῦ κάθημαι. Καταστρεψάμενος) Ἀναλώσας. Ἐξὸν) Δυνατὸν ὄντος δι' ἡμερῶν δέκα. 54

Ἐξελεῖν) Ἐκκενῶσαι. Παρόντων ἡμῶν) Ἤγουν, εἰ δὲ ἥψατο, εἰς ὅρκους ἐβάλλομεν. Διημαρτήκει) Ἐξέπεσε. Κλέμμα μὲν Φιλίππου) Ἤγουν ἀπάτημα ἐφαρμόζεται ταῖς συμφοραῖς, κλέμμα λέγων, ἀλλ' οὐ κατόρθωμα. Δωροδόκημα) Ἐναλλαγὴ τῶν πειθομένων συναλλαγῶν. Καὶ τότε καὶ νῦν ἀεὶ) Δεικνὺς τὴν ἐν τῇ γνώμῃ μάχην, οὐ τὸν ἀπὸ τῶν ὅπλων πόλεμον, προσέθηκεν οἰκείως τὸ διαφέρεσθαι. Ἄλλως. Τοῖς γ. συμπεριέλαβε χρόνοις, ὡσανεὶ ἔλεγε, συναποθνήξομαι τῇ δυσμενείᾳ τῇ κατ' αὐτῶν. 55 56

Ὡμολόγησε) Συνεφώνησε. Πάλιν ὠνεῖται παρ' αὐτῶν) Τὸ εὔκολον καὶ τὸ σύνηθες ἐμβάλλει τῆς δωροδοκίας· σκόπει δὲ τοῦ λόγου τὴν ἀσφάλειαν, ὅτι, ἡνίκα μὲν περὶ προδοσίας ἦν ἡ μνήμη, τὸ ὠνεῖται πρὸς αὐτὸν εἶπε, ὡς οὐκ ὢν αὐτὸς πρεσβευτής· ὅτι δὲ κακὸν οὐδὲν ἦν, συνῆψεν ἑαυτὸν εἰπών, ὅπως μὴ ἀπίωσιν ἐκ Μακεδονίας. Ἐπὶ τοὺς Φωκέας εὐτρεπῆ) Κατὰ τῶν Φωκέων ἕτοιμα. 57

Ἔξω τῆς γραφῆς) Κατηγορίας, προβουλεύματος. ὁ πειθεῖν ἀπόπως διὰ τὸ χρήσιμον βούλεται, τοῦτο πειρᾶται ἐπὶ τῷ Αἰσχίνῃ, ὅτι αὐτὸς μὲν αἴτιος γεγένηται τοῦ μεμνῆσθαι τῶν ὅλων τοῦ προβουλεύματος· δι' ὧν ἔχει ἀφορμὴν νικῆσαι τὴν γραφήν. Ἅμα τούτου) Ἐν ταὐτῷ. 60

Οἰκειότητας) Οἰκειότητας λέγει 62

---

καθῆντο. β. γ. ε. η. — ὁμοίως. α. — ὑμῶν. ε. — ἀδικουμένων. γ. ε. — τοιοῦτον. α. ε. — ὤμοσε. α. γ. β. ε. — α. — περιλαβὼν. α. ε. — τοῖς. α. ε. — ἀπίωμεν. γ. α. — ἀπαγγελλόντων. γ. α. — ἐμῶν. γ. α. — ἐς. α. ε. — κλείσητε. α. — πότε. α. — ἡμῶν. α. ζ. — α. — α. β. η. — ψηφίσησθε. α. ε. — ἐκφύγῃ. ε. — μισθοῦσθαι. η. — καὶ. α. ε. — ὑμῶν. α. — α. ε. — α. — κατηγορουμένων. ε. — ἀποκρίνασθαι. α. γ. — ἔσω. η. — ἀκούσησθε. ε. — ἀκούετε. α. — α. β. γ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὀνομάζων, ἀλλὰ τὸ ταῦτα συμφέρειν. συμφέρει δὲ φι-
λίππῳ καὶ φωκεῦσι καὶ ὑμῖν ὁμοίως ἅπασι, τῆς ἀναλ-
63 γησίας καὶ τῆς βαρύτητος ἀπαλλαγῆναι τῆς τῶν θη-
βαίων. Ταῦτα δὴ ἀσμένως τινὲς ἤκουον αὐτοῦ, διὰ
τὴν τότε ὑποῦσαν ἀπέχθειαν πρὸς τοὺς θηβαίους. τί
οὖν συνέβη μετὰ ταῦτα εὐθύς· οὐκ εἰς μακράν, τοὺς μὲν
ταλαιπώρους φωκέας ἀπολέσθαι, καὶ κατασκαφῆναι
64 τὰς πόλεις αὐτῶν· ὑμᾶς δὴ, ἡσυχίαν ἄγοντας, καὶ τούτῳ
πεισθέντας, μικρὸν ὕστερον σκευαγωγεῖν ἐκ τῶν ἀγρῶν.
τοῦτον δὲ, χρυσίον λαβεῖν. καὶ ἔτι πρὸς τούτοις, τὴν μὲν
ἀπέχθειαν τὴν πρὸς θηβαίους καὶ θετταλοὺς, τῇ πόλει
γενέσθαι· τὴν δὲ χάριν τὴν ὑπὲρ τῶν πεπραγμένων,
65 φιλίππῳ· ὅτι δὴ οὕτω ταῦτ᾽ ἔχει, λέγε μοι τό, τε τοῦ καλ-
λισθένους ψήφισμα, καὶ τὴν ἐπιστολὴν τὴν τοῦ φιλίπ-
που, ἐξ ὧν ἀμφοτέρων ὑμῖν ἅπαντα ταῦτ᾽ ἔσται φα-
νερά. λέγε.

## Ψήφισμα.

66 Ἐπὶ μνησιφίλου ἄρχοντος, συγκλήτου ἐκκλησίας ὑπὸ
» στρατηγῶν γενομένης, καὶ πρυτάνεων καὶ βουλῆς γνώ-
» μῃ, μαιμακτηριῶνος δεκάτῃ ἀπιόντος, καλλισθένης
» ἐτεονίκου φαληρεὺς εἶπε, μηδένα ἀθηναίων μηδεμιᾷ
» παρευρέσει ἐν τῇ χώρᾳ κοιταῖον γίγνεσθαι· ἀλλ᾽ ἐν ἄστει καὶ
67 πειραιεῖ, ὅσοι μὴ ἐν τοῖς φρουρίοις εἰσὶν ἀποτεταγμένοι
» τούτων δὴ ἑκάστους, ἣν παρέλαβον τάξιν, διατηρεῖν, μήτε
» ἀφημερεύοντας, μήτε ἀποκοιτοῦντας. ὃς δ᾽ ἂν ἀπειθήσῃ τῷ ψηφίσματι τούτῳ, ἔνο-
» χος ἔστω τοῖς τῆς προδοσίας ἐπιτιμίοις, ἐὰν μή τι ἀδύνατον ἐπιδεικνύῃ περὶ ἑαυτὸ-
68 ὄν. περὶ δὲ τῶν ἀδυνάτων, ἐπικρινέτω ὁ ἐπὶ τῶν ὅπλων στρατηγὸς, καὶ ὁ ἐπὶ τῆς διοι-
» κήσεως, καὶ ὁ γραμματεὺς τῆς βουλῆς. κατακομίζειν δὲ καὶ τὰ ἐκ τῶν ἀγρῶν πάν-
» τα τὴν ταχίστην· τὰ μὲν ἐντὸς σταδίων ἑκατὸν εἴκοσιν, εἰς ἄστυ καὶ πειραιᾶ· τὰ δὲ ἐκτὸς
» σταδίων ἑκατὸν εἴκοσιν, εἰς ἐλευσῖνα, καὶ φυλὴν, καὶ ἄφιδνα, καὶ ῥαμνοῦντα, καὶ σούνιον.
69 εἶπε καλλισθένης φαληρεύς. Ἆρ᾽ ἐπὶ ταύταις ταῖς ἐλπίσιν ἐποιεῖσθε τὴν εἰρή-
νην, ἢ ταῦτ᾽ ἐπηγγείλατο ὑμῖν οὗτος ὁ μισθωτός; λέγε δὴ αὖ τὴν ἐπιστολὴν, ἣν δεῦ-
ρ᾽ ἔπεμψε φίλιππος μετὰ ταῦτα.

## Ἐπιστολὴ φιλίππου.

70 Βασιλεὺς μακεδόνων φίλιππος, ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ, χαίρειν. Ἴστε
» ἡμᾶς παρεληλυθότας εἴσω πυλῶν, καὶ τὰ κατὰ τὴν φωκίδα ὑφ᾽ ἑαυτοὺς πεποιη-
» μένους. καὶ ὅσα μὲν ἑκουσίως προσετίθετο τῶν πολισμάτων, φρουρὰς εἰσαγηοχότας.
» τὰ δὲ μὴ ὑπακούοντα, κατακράτος λαβόντες καὶ ἐξανδραποδισάμενοι, κατεσκά-
71 ψαμεν. ἀκούων δὲ καὶ ὑμᾶς παρασκευάζεσθαι βοηθεῖν αὐτοῖς, γέγραφα ὑμῖν, ἵνα μὴ
» πλεῖον ἐνοχλῆσθε περὶ τούτων· τοῖς μὲν γὰρ ὅλοις, οὐδὲν μέτριόν μοι δοκεῖτε ποιεῖν,
» τὴν εἰρήνην συνθέμενοι, καὶ ὁμοίως ἀντιπαρεξάγοντες, καὶ ταῦτα οὐδὲ συμπεριει-
» λημμένων τῶν φωκέων ἐν ταῖς κοιναῖς ἡμῶν συνθήκαις. ὥστε ἐὰν μὴ ἐμμένητε τοῖς

ὡμο-

τὰς φιλίας. οὐ γὰρ τὸ λέγειν τινὰ πρὸς ἄλλον, ὅτι φιλῶ σε, ἤδη τοῦτο φιλίαν ἀπεργάζεται, ἀλλὰ τὰ πράγματα συνάπτει τοὺς φίλους, ὅταν ἑκατέροις ὁμοίως συμφέρει. Ἄλλως.

Οἰκειότητας λέγει τὰς φιλίας, τὰς γνησιότητας τῶν πραγμάτων τὰ ὀνόματα, δηλονότι τὴν ἔχθραν καὶ τὴν φιλίαν τοῦ φιλίππου. Ονομάζων) Ἐξ ὀνόματος καλῶν. Αναλγη-
63 σίας) Αναισθησίας. Βαρύτητος) Ωμότητος. Ηκουον αὐτοῦ) Τοῦ αἰσχίνου. Υποῦσαν) Κεκρυμμένην, οὐ φανεράν. Οὐκ εἰς μα-
66 κράν) Μετ᾽ ὀλίγον. Μαιμακτηριῶνος) Αὐγούστου τῇ κα. Απιόντος) Φθίνοντος. Παρευρέσει) Ἔξω τοῦ ἐνδεχομένου, ἀφορμῇ, αἰτίᾳ.

Χώρᾳ) Αγροῖς. Κοιταῖον) Κοιμᾶσθαι κατὰ νύκτα· κοιταῖος γὰρ ὁ εἰς
67 κοίτην ἐρχόμενος. Μὴ ἀφημερεύοντας) Ἤγουν μὴ τὴν ἡμέραν ἀποδημοῦντας τῶν φρουρίων, μήτε ἀφισταμένους κατὰ τὴν νύκτα.

Ενοχος ἔστω) Κρινέσθω ὡς προδότης. Αδύνατον) Ἤγουν ἀσθέ-
68 νειαν σωματικήν. Κατακομίζειν) Ἤγουν ὁ περιλαβὼν σκευαγωγεῖν
70 εἶπε. Υφ᾽ ἑαυτοὺς πεποιημένους) Ἤγουν δουλωσαμένους τὴν φωκίδα. Προσετίθετο) Αντὶ τοῦ ὑπήκουσεν ἡμῖν. Ἐξανδραποδισάμενοι)
71 Αἰχμαλωτίσαντες. Αντιπαρεξάγοντες) Παραβαίνοντες, εἰς τὸ

ὡμολογημένοις, οὐδὲν προτερήσετε ἔξω τοῦ ἐφθακέ- 72
ναι ἀδικοῦντες. Ἀκούετε, ὡς σαφῶς δηλοῖ καὶ διο-
ρίζεται ἐν τῇ πρὸς ὑμᾶς ἐπιστολῇ πρὸς τοὺς ἑαυτοῦ
συμμάχους, ὅτι ταῦτα ἐγὼ πεποίηκα ἀκόντων ἀθη-
ναίων, καὶ λυπουμένων· ὥστ' εἴπερ εὖ φρονεῖτε ὦ θηβαῖοι,
καὶ θετταλοὶ, τούτους μὲν ἐχθροὺς ὑπολήψεσθε, ἐμοὶ δὲ 73
πιστεύσετε· οὐ τούτοις τοῖς ῥήμασι γράψας, ταῦτα δὲ βου-
λόμενος δεικνύναι. τοιγαροῦν ἐκ τούτων ᾤχετο ἐκείνους
λαβὼν, εἰς τὸ μηδ' ὁτιοῦν προορᾶν τῶν μετὰ ταῦτα, μη-
δ' αἰσθάνεσθαι, ἀλλ' ἐᾶσαι πάντα τὰ πράγματα ἐκεῖ-
νον ὑφ' ἑαυτῷ ποιήσασθαι. ἐξ ὧν ταῖς παρούσαις συμ- 74
φοραῖς οἱ ταλαίπωροι θηβαῖοι κέχρηνται. ὁ δὲ ταύτης τῆς
πίστεως αὐτῷ συνεργὸς καὶ συναγωνιστὴς, καὶ ὁ δεῦρ' ἀ-
παγγείλας τὰ ψευδῆ καὶ φενακίσας ὑμᾶς, οὗτός ἐστιν ὁ τὰ
θηβαίων ὀδυρόμενος νῦν πάθη, καὶ διεξιὼν ὡς οἰκτρά· καὶ
τούτων, καὶ τῶν ἐν φωκεῦσι κακῶν, καὶ ὅσ' ἄλλα πεπόνθασιν 75
οἱ ἕλληνες, ἁπάντων αὐτὸς ὢν αἴτιος· δῆλον γὰρ ὅτι, σὺ μὲν
ἀλγεῖς ἐπὶ τοῖς συμβεβηκόσιν αἰσχίνη, καὶ τοὺς θηβαίους
ἐλεεῖς, κτήματα ἔχων ἐν τῇ βοιωτίᾳ, καὶ γεωργῶν τὰ
ἐκείνων· ἐγὼ δὲ χαίρω, ὃς εὐθὺς ἐξῃτούμην ὑπὸ τοῦ
ταῦτα πράξαντος. ἀλλὰ γὰρ ἐμπέπτωκα εἰς λόγους, 76
οὓς αὐτίκα μᾶλλον ἁρμόσει λέγειν ἴσως. ἐπάνειμι δὴ
πάλιν ἐπὶ τὰς ἀποδείξεις, ὡς τὰ τούτων δωροδοκήμα-
τα καὶ ἀδικήματα, τῶν νυνὶ παρόντων πραγμάτων γέ-
γονεν αἴτια. ἐπειδὴ γὰρ ἐξηπάτησθε μὲν ὑμεῖς ὑπὸ τοῦ
φιλίππου, διὰ τούτων τῶν ἐν ταῖς πρεσβείαις μισθω- 77
σάντων ἑαυτοὺς τῷ φιλίππῳ, καὶ οὐδὲν ἀληθὲς ὑμῖν
ἀπαγγειλάντων, ἐξηπάτηντο δὲ οἱ ταλαίπωροι φω-
κεῖς, καὶ ἀνῄρηντο αἱ πόλεις αὐτῶν, τί ἐγένετο. οἱ μὲν κα-
τάπτυστοι θετταλοὶ, καὶ ἀναίσθητοι θηβαῖοι, φίλον, εὐεργέ-
την, σωτῆρα, τὸν φίλιππον ἡγοῦντο· πάντ' ἐκεῖνος ἦν 78
αὐτοῖς· καὶ οὐδὲ φωνὴν ἤκουον, εἴ τις ἄλλο τι βούλοιτο λέ-
γειν. ὑμεῖς δὲ ὑφορώμενοι τὰ πεπραγμένα καὶ δυσχε-
ραίνοντες, ἤγετε τὴν εἰρήνην ὅμως· οὐ γὰρ ἦν ὅ,τι ἂν
ἐποιεῖτε μόνοι. καὶ οἱ ἄλλοι δὲ ἕλληνες, ὁμοίως ὑμῖν πε-
φενακισμένοι καὶ διημαρτηκότες ὧν ἤλπισαν, ἦγον τὴν εἰρήνην ἄσμενοι, καὶ αὐτοὶ 79
τρόπον τινὰ ἐκ πολλοῦ πολεμούμενοι. ὅτε γὰρ περιιὼν ὁ φίλιππος, ἰλλυριοὺς καὶ τρι-
βαλλοὺς, τινὰς δὲ καὶ τῶν ἑλλήνων κατεστρέφετο, καὶ δυνάμεις πολλὰς καὶ μεγάλας
ἐποιεῖτο ὑφ' ἑαυτῷ, καὶ τινες τῶν ἐκ τῶν πόλεων ἐπὶ τῇ τῆς εἰρήνης ἐξουσίᾳ βα-
δίζοντες ἐκεῖσε διεφθείροντο, ὧν εἷς οὗτος ἦν. τότε πάντες, ἐφ' οὓς ταῦτα παρεσκευά- 80
ζετο ἐκεῖνος, ἐπολεμοῦντο. εἰ δὲ μὴ ᾐσθάνοντο, ἕτερος λόγος οὗτος. οὐ πρὸς ἐμέ· ἐγὼ
μὲν γὰρ προὔλεγον, καὶ διεμαρτυρόμην, καὶ παρ' ὑμῖν ἀεὶ, καὶ ὅποι πεμφθείην· αἱ δὲ

ἐνώπιον περιβλέποντες: Προτερή- 72
σετε) Ἤγουν οὐδὲν πρότερον καὶ
ὕστερον καὶ πλέον ποιήσετε. Ῥή- 73
μασι) Λέξεσι. Ὤχετο ἐκείνους λα-
βὼν) Ἀντὶ τοῦ ἠπάτησε, παρέσυρε,
δουλωσάμενος θηβαίους καὶ θεττα-
λούς. Τῆς πίστεως) Ὡς ἐπίστευσαν 74
αὐτῷ θηβαῖοι καὶ θετταλοί. Γεωρ- 75
γῶν τὰ ἐκείνων) Καρπιζόμενος τὰ
χωρία ἐκείνων· ὡσανεὶ ἔλεγε, μι-
σθὸν τοῦ κατὰ θηβαίων δράματος
τὴν ἐκείνων χώραν ἐδέξατο. τὸ δὲ,
τοὺς θηβαίους ἐλεεῖς, ὡσανεὶ ἔλεγε,
μὴ δάκρυε τὰς θήβας αἰσχίνη ἀ-
φ' ὧν πεπλούτηκας. Ὃς εὐθὺς
ἐξῃτούμην) Τὴν κατασκαφὴν τῶν
θηβαίων, ἐπελθόντος τοῦ ἀλεξάν-
δρου καὶ ταῖς ἀθήναις, ἐξῃτούμην
ὑπ' αὐτοῦ τοῦ φιλίππου εἰς τιμω-
ρίαν. Ἀλλὰ γὰρ ἐμπέπτωκα) Τὸ 76
ἀκουσίως ἐν τούτοις γενέσθαι δηλοῖ.
Αὐτίκα) Μετ' ὀλίγον. Πραγ-
μάτων) Ὀχλήσεων. Ἀνῄρηντο) 77
Ἠφανίσθησαν. Εἴ τις ἄλλο τι βού- 78
λοιτο λέγειν) Ἐκτὸς τῶν ὀνομάτων
τῶν παριστώντων τὸν φίλιππον σω-
τῆρα, φίλον, καὶ εὐεργέτην, καὶ τὰ
τοιαῦτα. Ὑφορώμενοι) Ὑφορῶ-
μαι ἀντὶ τοῦ κρυπτῶς βλέπω, ἢ ὑπο-
νοῶ, ἢ φοβοῦμαι. Ἤγετε) Ἐστέρ-
γετε. Τρόπον τινά) Ἀντὶ τοῦ συνε- 79
σκιασμένως, ἐκ πλαγίου. Ἐκ πολ-
λοῦ) Χρόνου δηλονότι. Περιιὼν)
Περιερχόμενος. τὸ σχῆμα δὲ τοῦ λό-
γου, νόημά ἐστιν ἕν, τῇ ἑρμηνείᾳ
πλείοσι κώλοις ἐπεκταθὲν, καὶ γεγο-
νὸς πνεῦμα. Ἰλλυριοὺς καὶ τρι-
βαλλοὺς) Ἔθνη ταῦτα πλησίον μακε-
δονίας. Ἐποιεῖτο ὑφ' ἑαυτῷ)
Ἤγουν, ὑπετάττετο. Διεφθείροντο) 80
Ἤγουν δῶρα λαμβάνοντες ἦσαν
διεφθαρμένοι. Ὧν εἷς) Τῶν βαδι-
ζόντων εἰς τὸν φίλιππον. Παρε-
σκευάζετο) Παρεσκεύαζε. ἨΙσθά-
νοντο) Οἱ φθειρόμενοι. Οὐ πρὸς
ἐμὲ) Οὐχ ἐγὼ αἴτιος, οὐκ ἐμοῦ ἅ-
πτεται. Διεμαρτυρόμην) Ἐδίδα-
σκον. Καὶ ὅποι πεμφθείην) Εἶπε καὶ
τοῖς φιλιππικοῖς οἷα ἐποίησεν ἔν τε
πελοποννήσῳ καὶ παρ' ἀργείοις, καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πόλεσι, ἐνόσουν· τῶν μὲν ἐν τῷ πολιτεύεσθαι καὶ πράτ-
81 τειν, δωροδοκούντων καὶ διαφθειρομένων ἐπὶ χρή-
μασι· τῶν δὲ ἰδιωτῶν καὶ πολλῶν, τὰ μὲν, οὐ προορω-
μένων, τὰ δὲ, τῇ καθ' ἡμέραν ῥᾳστώνῃ καὶ σχολῇ δελεαζο-
μένων· καὶ "τοιοῦτόν τι πάθος πεπονθότων ἁπάντων, πλὴν "τοιουτονί.α.
οὐκ ἐφ' ἑαυτοὺς οἰομένων ἑκάστων τὸ δεινὸν ἥξειν, ἀλλὰ
82 διὰ τῶν ἑτέρων κινδύνων τὰ ἑαυτῶν ἀσφαλῶς σχή-
σειν ὑπολαμβανόντων, ὅταν βούλωνται. εἶτ' οἶμαι συμ-
βέβηκε, τοῖς μὲν πλήθεσιν, ἀντὶ τῆς πολλῆς καὶ ἀκαίρου
ῥαθυμίας, τὴν ἐλευθερίαν ἀπολωλεκέναι· τοῖς δὲ προε-
στηκόσι καὶ τἄλλα πλὴν ἑαυτοὺς, οἰομένοις πωλεῖν, πρώ-
83 τους ἑαυτοὺς πεπρακόσιν ᾐσθῆσθαι· ἀντὶ γὰρ φίλων καὶ
ξένων ἃ τότε ὠνομάζοντο ἡνίκα ἐδωροδόκουν, νῦν κό-
λακες, καὶ θεοῖς ἐχθροὶ, καὶ τἄλλα ἃ προσήκει, πάντα ἀ-
κούουσιν. *οὐδεὶς γὰρ ὦ ἄνδρες Ἀθηναῖοι τὸ τοῦ προδι- *εἰκότως.γ.
δόντος συμφέρον ζητῶν, χρήματα ἀναλίσκει· οὐδ' ἐ- ε.ζ.
84 πειδὰν, ὧν `ἂν °πρίηται, κύριος γένηται, τῷ προδότῃ `α.ε.
συμβούλῳ περὶ τῶν λοιπῶν ἔτι χρῆται· οὐδὲν γὰρ ἦν ἂν `α. °πρόηται.η.
'εὐδαιμονέστερον προδότου. `ἀλλ'' οὐκ ἔστι ταῦτα· οὐκ 'εὐτυχέστερον.
ἔστι. `πόθεν; πολλοῦ γε καὶ δεῖ. ἀλλ' ἐπειδὰν τῶν πραγ- η.
μάτων ἐγκρατὴς ὁ ζητῶν ἄρχειν καταστῇ, καὶ τῶν ταῦτα `ε.
85 ἀποδομένων δεσπότης ἐστί· τὴν δὲ πονηρίαν εἰδὼς, τό- `η.
τε δὴ τότε καὶ μισεῖ, καὶ ἀπιστεῖ, καὶ προπηλακίζει. σκο-
πεῖτε δέ· καὶ γὰρ, εἰ 'παρελήλυθεν ὁ τῶν πραγμάτων και- 'ἐπελήλυθεν.
ρὸς, ὁ τοῦ γε εἰδέναι τὰ τοιαῦτα καιρὸς, ἀεὶ πάρεστι τοῖς εὖ η.
φρονοῦσι. μέχρι τούτου λασθένης, φίλος ὠνομάζετο ˇφι- :ταῦτα.γ.
86 λίππου, ἕως προὔδωκεν ὄλυνθον. μέχρι τούτου τιμό- ˇφιλίππῳ.ε.
λαος, ἕως ἀπώλεσε θήβας. μέχρι τούτου εὔδικος καὶ σῖ-
μος οἱ λαρισαῖοι, ἕως θετταλίαν ὑπὸ φιλίππῳ ἐ-
ποίησαν. εἶτ' ἐλαυνομένων, καὶ ὑβριζομένων, καὶ τί κακὸν
οὐχὶ πασχόντων, πᾶσα ἡ οἰκουμένη μεστὴ γέγονε προ-
87 δοτῶν. τί δ' ἀρίστρατος ἐν σικυῶνι, καὶ τί πέριλαος ἐν
μεγάροις· οὐκ ἀπερριμμένοι; ἐξ ὧν καὶ σαφέστατ' ἄν τις
ἴδοι, ὅτι ὁ μάλιστα φυλάττων τὴν ἑαυτοῦ πατρίδα, καὶ
πλεῖστα ἀντιλέγων τούτοις, οὗτος ὑμῖν αἰσχίνη τοῖς προ-
διδοῦσι καὶ μισθαρνοῦσι, τὸ ἔχειν ᵠἐφ' ὅτῳ δωροδοκήσετε ᵠἐφ' ὃ δωροδοκήσεται.
88 περιποιεῖ· καὶ διὰ τοὺς πολλοὺς °τούτων, καὶ τοὺς ἀνθιστα- °τουτωνί.
μένους τοῖς ὑμετέροις βουλήμασιν, ὑμεῖς ἐστὲ σῶοι, καὶ
ἔμμισθοι· ἐπεὶ διά γε ὑμᾶς αὐτοὺς, πάλαι ἂν ˢἀπο- ˢἀπωλώλειτε.
λώλατε. καὶ περὶ μὲν τῶν τότε πραχθέντων ἔχων ἔτι πολ- ε.ζ.η.
λὰ λέγειν, καὶ ταῦτα ἡγοῦμαι πλείω τῶν ἱκανῶν εἰρῆσθαι.
89 αἴτιος δὲ ˣοὗτος, ὥσπερ ἑωλοκρασίαν τινά μου τῆς πονη- ˣοὑτοσί.η.
ρίας

μεσσηνίοις δημηγορῶν· εἶτα αὔξει τὰς ἐν ταῖς πόλεσι νόσους, δηλοῖ πόθεν αὐτοῖς τὸ μὴ κατορθῶσαι συμβέβηκε. Τῶν μὲν ἐν τῷ πολιτεύεσθαι) Ἤγουν τῶν ἀρχόντων καὶ τῶν δημηγορούντων, τῶν ἐν τῷ βήματι, τοῖς πολιτικοῖς πράγμασι. Καὶ πράτ-
81 τειν) Τῶν διεξιόντων αὐτά. Δωροδοκούντων) Δῶρα δεχομένων.
Τῶν δὲ ἰδιωτῶν) Τῶν ἀπηλλαγμένων ἀρχῆς, τῶν ἔξω ὄντων τῶν πολιτικῶν πραγμάτων. Οἰομένων ἑκάστων) Τῶν ἀρχόντων καὶ τῶν
82 ἰδιωτῶν. Ἀσφαλῶς σχήσειν) Ἀκιν-
83 δύνως διατεθήσεσθαι. Ἐδωροδόκουν) Δῶρα ἐλάμβανον. Κόλακες καὶ θεοῖς ἐχθροί) Λεληθότως ὁ ῥήτωρ παραινέσαι βούλεται φεύγειν τὴν προδοσίαν, τὸ πέρας αὐ-
85 τῆς ἐλεεινὸν ἐξηγούμενος. Ἀποδομένων) Ἤγουν ἀνθρώπων πωλησάντων, προδοτῶν. Καὶ μισεῖ καὶ ἀπιστεῖ) Καλῶς ἡ τάξις ἔχει τῶν λέξεων· μισεῖ γὰρ καταγνοὺς, ἀφ' ὧν κακοὶ περὶ τὴν ἐνεγκοῦσαν ἐγένοντο· μισήσας δὲ, καὶ ἀπιστεῖ· οὐδεὶς
`α. γὰρ `μισεῖ, εἶτα πιστεύει τῷ μισουμένῳ. ὃν δὲ ἄπιστον καὶ ἐχθρὸν ἡγεῖταί τις, ὑβρίζων οὐ παύεται.
Μέχρι τούτου) Σχῆμα ἐπαναφορὰ κατὰ κῶλον, ὅπερ ἐστὶ καὶ παρισώσεως εἶδος. μέχρι. μέχρι. μέ-
87 χρι. Ἀπερριμμένοι) Ἐξωσθέντες. Ἐξ ὧν) Τῶν κατὰ τοὺς προδότας πραγμάτων. Καὶ πλεῖστα ἀντιλέγων) Εὑρίσκεται καὶ τῶν προδοτῶν εὐεργέτης ὁ φιλόπολις. Τούτοις) Τοῖς προδόταις. Οὗτος ὑμῖν αἰσχίνη) Ὡς κεφάλαιον τῶν προδοτῶν, τὸν αἰσχίνην νενόμικε. καὶ πρὸς αὐτὸν ἀποτεινόμενος, οἴεται πρὸς ἅπαντας προσάγεσθαι. Πάλαι ἂν ἀπολώλατε) Ἐστι γὰρ διαφθορὰ προδοτῶν ἡ ἀργία, καὶ τὸ μὴ ἔχειν πρόφασιν δωροδοκίας· διὰ τὸ δύσφημον δὲ εἰς ἑαυτοὺς ἔτρεψε τὴν ἀπώλειαν· ἐπεὶ τό γε ἀκόλουθον ἦν εἰπεῖν, ἐπεὶ ὅσον ἧκεν εἰς ὑμᾶς, πάλαι ἂν ἡ πό-
88 λις διέφθαρτο. Καὶ περὶ μὲν τῶν τότε) Ἕως ὧδε τὰ τρία πνεύματα· διὸ ἐκ τῆς τῶν τριῶν πνευμάτων συνθέσεως ἀκμὴ γέγονεν ἐντελὴς, ἐκ νοημάτων οὖσα. Πλείω τῶν ἱκανῶν εἰρῆσθαι) Φθάνει τῶν δικαστῶν τὴν ἐπιτίμησιν· οἶδεν ὡς ἡ τῶν παλαιῶν ἄκαιρος μνήμη, λυπεῖ τὸν
89 καθήμενον. Ὥσπερ ἑωλοκρασίαν) Φανερὸν μὲν τὸ ὄνομα· εἴρηται γὰρ κρεμαμένου οἴνου καὶ ἑώλου γινο-

ίας τῆς ἑαυτοῦ, καὶ τῶν ἀδικημάτων κατασκεδάσαι, ἣν ἀναγκαῖον ἦν πρὸς τοὺς νεωτέρους τῶν πεπραγμένων ἀπολύσασθαι. παρηνώχλησθε δὲ καὶ ὑμεῖς ἴσως, οἳ καὶ πρὶν ἐμὲ ὁτιοῦν εἰπεῖν, εἰδότες τὴν τούτου τότε μισθαρνίαν. καίτοι, φιλίαν τε, καὶ ξενίαν αὐτὴν ὀνομάζει. καὶ νῦν 90
εἶπέ που λέγων, ὁ τὴν Ἀλεξάνδρου ξενίαν ὀνειδίζων ἐμοί. ἐγώ σοι ξενίαν Ἀλεξάνδρου; πόθεν λαβόντι, ἢ πῶς ἀξιωθέντι. οὔτε Φιλίππου ξένον, οὔτ᾽ Ἀλεξάνδρου φίλον εἴποιμ᾽ ἂν ἐγώ σε. οὐχ οὕτω μαίνομαι· εἰ μὴ καὶ τοὺς θεριστὰς, καὶ τοὺς ἄλλο τι μισθοῦ πράττοντας, φίλους καὶ 91
ξένους δεῖ καλεῖν τῶν μισθωσαμένων. ἀλλ᾽ οὐκ ἔστι ταῦτα. πόθεν. πολλοῦ γε καὶ δεῖ. ἀλλὰ μισθωτὸν ἐγώ σε Φιλίππου πρότερον, καὶ νῦν Ἀλεξάνδρου καλῶ, καὶ οὗτοι πάντες. εἰ δ᾽ ἀπιστεῖς, ἐρώτησον αὐτούς. μᾶλλον δ᾽ ἐγὼ τοῦθ᾽ ὑπὲρ σοῦ ποιήσω. πότερον ὑμῖν ὦ ἄνδρες Ἀθη- 92
ναῖοι, μίσθωτος Αἰσχίνης, ἢ ξένος εἶναι Ἀλεξάνδρου δοκεῖ. ἀκούεις ἃ λέγουσι; βούλομαι τοίνυν ἤδη, καὶ περὶ τῆς γραφῆς αὐτῆς ἀπολογήσασθαι, καὶ διεξελθεῖν τὰ πεπραγμένα ἐμαυτῷ· ἵνα καίπερ εἰδὼς Αἰσχίνης, ὅμως ἀκούσῃ δι᾽ ἅ φημι καὶ τούτων τῶν προβεβουλευμένων, καὶ πολ- 93
λῷ μειζόνων ἔτι τούτων δωρεῶν δίκαιος εἶναι τυγχάνειν. καί μοι λέγε τὴν γραφὴν αὐτὴν, λαβών.

## Γραφή.

Ἐπὶ Χαιρώνδου ἄρχοντος, Ἐλαφηβολιῶνος ἕκτῃ ἱστα- 94
μένου, Αἰσχίνης Ἀτρομήτου Κοθωκίδης, ἀπήνεγκε πρὸς τὸν ἄρχοντα παρανόμων γραφὴν, κατὰ Κτησιφῶντος τοῦ Λεωσθένους Ἀναφλυστίου· ὅτι ἔγραψε παράνομον ψήφισμα, ὡς ἄρα δεῖ στεφανῶσαι Δημοσθένην Δημοσθένους Παιανιέα χρυσῷ στεφάνῳ, καὶ ἀναγορεῦσαι ἐν τῷ θεάτρῳ Διονυ- 95
σίοις τοῖς μεγάλοις, τραγῳδοῖς καινοῖς, ὅτι στεφανοῖ ὁ δῆμος Δημοσθένην Δημοσθένους Παιανιέα χρυσῷ στεφάνῳ, ἀρετῆς ἕνεκα, καὶ εὐνοίας, ἧς ἔχων διατελεῖ, εἴς τε τοὺς Ἕλληνας ἅπαντας, καὶ τὸν δῆμον τῶν Ἀθηναίων, καὶ ἀνδραγαθίας· καὶ διότι διατελεῖ πράττων καὶ λέγων τὰ βέλ- 96
τιστα τῷ δήμῳ, καὶ πρόθυμός ἐστι ποιεῖν, ὅ, τι ἂν δύνηται ἀγαθὸν, πάντα ταῦτα ψευδῆ γράψας καὶ παράνομα, τῶν νόμων οὐκ ἐώντων· πρῶτον μὲν ψευδεῖς γραφὰς εἰς τὰ

μένου, οἱονεὶ χθεσινοῦ. ἐγένετο δὲ τὸ τῆς ἑωλοκρασίας παρὰ τοῖς Ἀθηναίοις οὕτως· ἐν ταῖς πανηγύρεσι συνήεσαν πολλοὶ μετ᾽ ἀλλήλων συμποσιασόμενοι· καὶ ἔμενον πολλάκις πίνοντες ἕως τῆς ἄλλης ἡμέρας ὡς τοῖς ἐν πανηγύρει. εἰ δέ τις τούτων μεθυσθεὶς κατεδάρθη καὶ εἴασε τὸ ποτήριον αὐτοῦ, τῇ ἑξῆς οἱ λοιποὶ συμπόται λαβόντες τοῦτο, ἐξέχεον κατὰ τῆς ἐκείνου κεφαλῆς ὥσπερ ἐπεγγελῶντες, διότι οὐκ ἴσχυσε μιμήσασθαι αὐτούς. ἀπὸ μεταφορᾶς οὖν ἐκείνου τοῦ χθεσινοῦ καὶ ἑώλου γενομένου, εἶπεν οἰκείως ἐπὶ τῶν πραγμάτων ὧν αὐτῷ ἐνεκάλεσεν ὁ Αἰσχίνης, διότι παλαιὰ αὐτοῦ κατηγόρηκε. Κατασκεδάσαι) Ἐμοῦ δηλονότι. ἐνέμεινε δὲ τῇ τροπῇ τῆς ἑωλοκρασίας.

Ἦν) Ἑωλοκρασίαν. Ἀπολύσασθαι) Διαλύσαι. Παρηνώχλησθε) Ὄχλησιν ἐλάβετε παρεξαχθέντες.

Μίσθωτος) Πολλαὶ περὶ τούτου 92
φέρονται ἐξηγήσεις· οἱ μὲν γὰρ λέγουσιν, ὅτι ἑκὼν ἐβαρβάρισεν εἰς τὸ μισθωτός· ἵνα ὥσπερ τῶν δικαστῶν βουλομένων διορθώσασθαι, αὐτὸ, αὐτὸς κακούργως τὴν διόρθωσιν ἀντὶ ὁμολογίας δέξηται καὶ εἴπῃ, ὅτι ἀκούεις ἃ λέγουσιν, ὅτι μισθωτόν σε καλοῦσιν. ἄλλοι δὲ λέγουσιν ὅτι Μένανδρος ὁ κωμικὸς καί τινες αὐτοῦ φίλοι παρόντες ἐν τῷ δικαστηρίῳ χαριζόμενοι τῷ Δημοσθένει, ἅτε δὴ φίλοι ἐρωτήσαντι αὐτοὺς, τοῦτο ἀναστάντες εἶπον ὅτι μισθωτός ἐστιν ὁ Αἰσχίνης· καὶ αὐτὴν τὴν ὀλίγων φωνὴν ὥσπερ ἀπόκρισιν ἐδέξατο παντὸς τοῦ δικαστηρίου. Γενέθλιος δέ φησιν ὡς ὅτι ἔθος ἐστὶ τοῖς ῥήτορσι, καὶ μάλιστα τῷ Δημοσθένει, τὰ ἀμφίβολα ὡς ὁμολογημένα λαμβάνειν. Ἄλλως.

Τινὲς εἰρήκασιν ὅτι ἑκὼν ἐν τῷ ἐρωτᾶν ὁ ῥήτωρ ἐβαρβάρισεν ἐξεπίτηδες· εἶτα ἐπελάβετό τις αὐτοῦ ὡς διορθούμενος, καὶ ἐβόησε μίσθωτος, τῷ τόνῳ ἤδη καὶ μισθωτός· εἶτα τὴν διόρθωσιν ἀπόκρισιν καὶ βεβαίωσιν εἴρηκεν. οἱ δέ φασιν ὡς Μένανδρος ὁ κωμικὸς φίλος ὢν αὐτοῦ, καὶ ὢν ἐν τοῖς δικασταῖς, ἀπεκρίνατο χαριζόμενος· καὶ τοῦ ἑνὸς τὴν φωνὴν ὡς τῶν πάντων ἐδέξατο. ἔνιοι δὲ ὑπέλαβον, ὡς ἐρωτήσαντος αὐτοῦ, οἱ δικασταὶ διελέχθησαν· τί βούλεται οὗτος, καὶ τί ποιεῖν δεῖ. καὶ ταύτην αὐτῶν τὴν ζήτησιν προλαβὼν, ἐποίησε τὴν ἀπόκρισιν. Βούλομαι τοίνυν ἤδη καὶ περὶ τῆς γραφῆς αὐτῆς) Διπλῶς διεῖλε τὸ δίκαιον· καὶ τὸ μὲν, ἐν τῇ ἀναιρέσει τῶν ἀδικημάτων, ἔνθα ἐστὶν, ἀντεγκαλεῖ τῷ ἀντιδίκῳ· τὸ δὲ λοιπὸν, ἐν τῇ θέσει τῶν εὐεργετημάτων τε καὶ τῶν πράξεων. Γραφῆς αὐτῆς) Ἐνταῦθα δεῖ λαβεῖν ἀντὶ τοῦ μόνης, οἷον περὶ μόνης αὐτῆς τῆς γραφῆς. ὥσπερ ἐστὶν ὅμοιον καὶ παρὰ τῷ ποιητῇ, ὅταν λέγῃ, Τυδείδης δ᾽ αὐτός περ ἐὼν προμάχοισιν ἐμίχθη· ἀντὶ τοῦ μόνος.... Προβεβουλευμένων) Προβεβουλευμένου στεφάνου. Ἐλαφηβολιῶνος) Νοεμβρίου. Διονυσίοις) Ἐν οἷς Διονυ- 95

» δημόσια γράμματα καταβάλλεσθαι, εἶτα τὸν ὑπεύθυ-
97 νον στεφανοῦν. ἔστι Δημοσθένης τειχοποιός, καὶ ἐπὶ τοῦ θεω- *δὲ α ε. / θεωρικῶν. γ' β.
» ρικοῦ τεταγμένος. ἔτι δὲ, μὴ ἀναγορεύειν τὸν στέφανον
» ἐν τῷ θεάτρῳ Διονυσίοις τραγῳδῶν τῇ καινῇ· ἀλλ' ἐὰν τραγῳδοῖς τοῖς καινοῖς ε.
» μὲν ἡ βουλὴ στεφανοῖ, ἐν τῷ βουλευτηρίῳ ἀνειπεῖν· ἐὰν καινῶν. α.
» δ' ἡ πόλις, ἐν πυκνὶ ἐν τῇ ἐκκλησίᾳ. τίμημα, τάλαν- ἐν πυκνί. α. β. γ. ε. ζ.
98 τα πεντήκοντα. κλήτορες, Κηφισοφῶν Κηφισοφῶντος Ῥα- ε.
» μνούσιος, Κλέων Κλέωνος Κοθωκίδης. Ἃ μὲν διώκει τοῦ ψη- κλητῆρες. γ. α. β. γ. ε.
φίσματος, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦτ' ἐστίν. ἐγὼ δ' ἀ- α. ε.
π' αὐτῶν τούτων, πρῶτον οἶμαι δῆλον ὑμῖν ποιήσειν, ὅτι οἴομαι. α. ε.
πάντα δικαίως ἀπολογήσομαι· τὴν γὰρ αὐτὴν τούτῳ ποιη-
99 σάμενος τῶν γεγραμμένων τάξιν, περὶ πάντων ἐρῶ
καθ' ἕκαστον ἐφεξῆς, καὶ οὐδὲν ἑκὼν παραλείψω. τοῦ μὲν πο. α.
οὖν γράψαι πράττοντά με καὶ λέγοντα τὰ βέλτι- α.
στα τῷ δήμῳ διατελεῖν, καὶ πρόθυμον εἶναι ποιεῖν ὅ,τι
ἂν δύνωμαι ἀγαθὸν, καὶ ἐπαινεῖν ἐπὶ τούτοις, ἐν τοῖς
100 πεπολιτευμένοις τὴν κρίσιν εἶναι νομίζω· ἀπὸ γὰρ τού-
των ἐξεταζομένων, εὑρεθήσεται, εἴτε ἀληθῆ περὶ ἐμοῦ εὑρι ε.
γέγραφε Κτησιφῶν ταῦτα καὶ προσήκοντα, εἴτε καὶ
ψευδῆ. τὸ δὲ μὴ προσγράψαντα, ἐπειδὰν τὰς εὐθύνας
δῶ, στεφανοῦν, καὶ ἀνειπεῖν ἐν τῷ θεάτρῳ κελεῦσαι τὸν
101 στέφανον, κοινωνεῖν μὲν ἡγοῦμαι καὶ τοῦτο τοῖς πεπολι- κοινωνεῖν. γ.
τευμένοις, εἴτε ἄξιός εἰμι τοῦ στεφάνου, καὶ τῆς ἀναρρή-
σεως τῆς ἐν τούτοις, εἴτε καὶ μή. ἔτι μέντοι καὶ τοὺς νό- α ε.
μους δεικτέον εἶναί μοι δοκεῖ, καθ' οὓς ταῦτα γράφειν
ἐξῆν τούτῳ. οὑτωσὶ μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, δικαίως α. ε.
102 καὶ ἁπλῶς τὴν ἀπολογίαν ἔγνωκα ποιεῖσθαι. βαδιοῦ-
μαι δ' ἐπ' αὐτὰ, ἃ πέπραχαί μοι. καί με μηδεὶς μοι ε.
ὑπολάβῃ ἀπαρτᾶν τὸν λόγον τῆς γραφῆς, ἐὰν εἰς ἀπαντᾶν. γ.
Ἑλληνικὰς πράξεις καὶ λόγους ἐμπέσω. ὁ γὰρ διώκων τοῦ *εἰς τὸ ζ.
ψηφίσματος τὸ λέγειν, καὶ πράττειν τὰ ἄριστά με, καὶ γε-
103 γραμμένος ταῦτα ὡς οὐκ ἀληθῆ, οὗτός ἐστιν ὁ τοὺς περὶ
ἁπάντων τῶν ἐμοὶ πεπολιτευμένων καὶ πεπραγμέ- πάντων. α. ε.
νων λόγους οἰκείους καὶ ἀναγκαίους τῇ γραφῇ πεποιηκώς.
εἶτα καὶ πολλῶν προαιρέσεων οὐσῶν τῆς πολιτείας, τὴν
περὶ τὰς Ἑλληνικὰς πράξεις εἱλόμην ἐγώ. ὥστε καὶ τὰς
104 ἀποδείξεις ἐκ τούτων δίκαιός εἰμι ποιεῖσθαι. ἃ μὲν οὖν
πρὸ τοῦ πολιτεύεσθαι καὶ δημηγορεῖν ἐμὲ προὔλαβε

σίοις εἰσήγοντο ἄνθρωποι καινὰς τραγῳδίας λέγοντες. Καταβάλλεσθαι) Εἰσάγειν.
97 Μὴ ἀναγορεύειν) Οὐκ ἐώντων τῶν νόμων, ὅτε ἔδει ἀναγορεῦσαι μὲν, οὐ στεφανῶσαι δὲ ἐν τῷ θεάτρῳ. Ἐν πυκνὶ) Πνὺξ ἡ ἐκκλησία, ἀπὸ τοῦ πεπυκνῶσθαι τοὺς
98 ἄνδρας ἐν αὐτῇ. Κλήτορες) Οἱ μαρτυροῦντες τοῖς καλοῦσιν εἰς δίκην. Ἃ μὲν διώκει) Ἀρχὴ ἐστὶν αὕτη τῶν ἑτέρων μερῶν τοῦ δικαίου, ὡς ἔφην. Ἐγὼ δ' ἀπ' αὐτῶν τούτων) Τῶν κατηγοριῶν δι' ὧν ἕπομαι τῷ ἀντιδίκῳ, δῆλός εἰμι τὴν ἀλήθειαν ἀγαπῶν. προσεκτέον δὲ ἀκριβῶς τοῖς λεγομένοις, ἵνα μὴ ἐναντιώματι περιπέσωμεν· εἰ γὰρ ἐν τῷ προοιμίῳ δυσχεραίνων ἔφη μὴ τὸν ἀντίδικον σύμβουλον ποιήσασθαι περὶ τοῦ πῶς ἀκούειν· νῦν δὲ ἕπεται τῇ γραφῇ· τοῦτο γὰρ ἐπαγγέλλεται, πῶς οὐκ ἂν δόξειεν αὐτὸς αὑτῷ περιπίπτειν· ἰστέον οὖν ὡς ὁ Αἰσχίνης ἡνίκα μὲν ἐξ ἀρχῆς τὴν κατὰ τοῦ Κτησιφῶντος παρεῖχε γραφὴν, τὴν διαβολὴν τοῦ βίου καὶ τῆς πολιτείας τοῦ Δημοσθένους προὔταξεν· ὅτε μέντοι τὸν λόγον τῆς κατηγορίας ᾠκονόμησεν, ἐνήλλαξε κεφάλαια πρὸς τὸ δοκοῦν αὑτῷ χρήσιμον, μεταθεὶς τὴν διοίκησιν. ὁ τοίνυν ῥήτωρ, κατὰ μὲν τὴν γραφὴν ζηλοῦν ἐπαγγέλλεται· λυσιτελεῖ γὰρ αὐτῷ προτάξαι τὴν πολιτείαν· ἀποφεύγει γὰρ τὴν ἐπινοηθεῖσαν ἐν τῷ λόγῳ μέθοδον, ὡς βλάπτουσαν αὐτόν· ὥστε οὐδὲν ἐναντίον ἀναφα-
99 νήσεται. Καὶ οὐδὲν ἑκὼν παραλείψω) Ἵνα καὶ ἄλλως χρῇ ἀποφυγὴν, τὴν ἄγνοιαν, ἢ λήθην, ἤ τι τῶν τοιούτων. Γράψαι) Ψηφίσασθαι τὸν Κτησιφῶντα. Ὅ,τι ἂν δύνωμαι ἀγαθὸν) Προεθίζει τοὺς δικαστὰς διὰ τὴν ὑστεραίαν· ἢ πάντα μὲν περὶ τῆς γνώμης ἐγκαλεῖν· ἃ δὲ μὴ δυνάμεως ἀνθρωπίνης ἐστὶ, τύχῃ
101 λογίζεσθαι. Ἔτι μέντοι καὶ τοὺς νόμους) Ὁ μηδένα ἔχων νόμον, σκόπει πόσους ἔχει· ὁμολογεῖ δὲ, καὶ δεικνύειν ἐπαγγέλλεται. Τούτῳ) Τῷ Κτησιφῶντι. Ἁπλῶς) Ἀπεριέργως. Πέπραχαι) Πεπολίτευται.
102 Καί με μηδεὶς ὑπολάβῃ) Προθεραπεύει τὸ ἄτοπον. ἵνα γὰρ μή τις εἴπῃ, τί λέγεις ἡμῖν ἐν Ἑλλάδι πράξεις γεγενημένας, ἐπισημαίνεται, ὅτι τὸν ὅλον μου βίον, καὶ πᾶσαν τὴν πολιτείαν μεμψάμενος, αὐτὸς γέγονεν αἴτιος κἀκείνων ποιήσασθαι μνήμην· ὥστε οὐκ ἀποπλανῶν καὶ ἀποχωρίζων τὸν λόγον, ταῦτα διέξειμι. Ἀπαρτᾶν) Πόρρω ποιεῖν καὶ χωρίζειν τὴν ἀπολογίαν τῆς νῦν ἐκ τῆς γραφῆς καὶ τῆς κατηγορίας ἧς νῦν κα-
103 τηγοροῦμαι. Γραφῆς) Τοῦ προβουλεύματος. Προαιρέσεων) Πραγμάτων προκειμένων. Ἀποδείξεις) Τὰς ὑπὸ
104 ἐμαυτοῦ, ὅτι ἐξ ὧν πεποίηκα εὔνοιας ὢν τῇ πόλει πεποίηκα. Ἃ μὲν οὖν) Σχῆμα κατ' ἀποσιώπησιν. Προὔλαβε καὶ κατέ-

*Προεθίζων τοὺς δυνάστας. α.

χε φι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ κατέσχε φίλιππος, ἐάσω· οὐδὲν γὰρ ἡγοῦμαι τούτων
εἶναι πρὸς ἐμέ. ἃ δ' ἀφ' ἧς ἡμέρας ἐπὶ ταῦτα ἐπέστην
α. β. ε. ζ. η. ἐγὼ καὶ διεκωλύθη, ταῦτα ἀναμνήσω, καὶ τούτων ὑ-
φέξω λόγον, τοσοῦτον ὑπειπών. πλεονέκτημα ὦ ἄν- 105
α. ε. δρες ἀθηναῖοι μέγα ὑπῆρξε φιλίππῳ. παρὰ γὰρ τοῖς
ὑπῆρχε. η. ἕλλησιν, οὐ τισὶν, ἀλλὰ πᾶσιν ὁμοίως, φορὰ προδοτῶν,
καὶ δωροδόκων, καὶ θεοῖς ἐχθρῶν ἀνθρώπων συνέβη
α. β. γ. ε. ζ. η γενέσθαι καὶ τοσαύτην, ὅσην οὐδείς πω πρότερον
μέμνηται γεγονυῖαν. οὓς συναγωνιστὰς, καὶ συνεργοὺς 106
ὁ φίλιππος. ε. λαβὼν, καὶ πρότερον κακῶς τοὺς ἕλληνας ἔχοντας
πρὸς ἑαυτοὺς, καὶ στασιαστικῶς, ἔτι χεῖρον διέθηκε., τοὺς
η. μὲν, ἐξαπατῶν· τοῖς δὲ, διδούς· τοὺς δὲ, πάντα τρόπον
διαφθείρων. καὶ διέστησεν εἰς μέρη πολλὰ, ἑνὸς τοῦ συμ-
ε. φέροντος ἅπασιν ὄντος, κωλύειν ἐκεῖνον μέγαν γίγνε- 107
σθαι. ἐν τοιαύτῃ δὲ καταστάσει, καὶ ἔτι ἀγνοίᾳ τοῦ συνι-
πάντων. α. σταμένου, καὶ φυομένου κακοῦ τῶν ἁπάντων ἑλλήνων
α. ὄντων, δεῖ σκοπεῖν ὑμᾶς ὦ ἄνδρες ἀθηναῖοι, τί προσῆ-
κον ἦν ἑλέσθαι πράττειν καὶ ποιεῖν τὴν πόλιν, καὶ τούτων
ὅπ. η. λόγον παρ' ἐμοῦ λαβεῖν· ὁ γὰρ ἐνταῦθα ἑαυτὸν τάξας 108
τῆς πολιτείας, εἰμὶ ἐγώ. πότερον αὐτὴν ἐχρῆν αἰσχίνη
ἀντ' ἀξίαν. τὸ φρόνημα ἀφεῖσαν καὶ τὴν ἀξίαν τὴν ἑαυτῆς, ἐν τῇ
γρ. β. αὐτῆς. β. γ. θετταλῶν καὶ δολόπων τάξει συγκατακτᾶσθαι φιλίππῳ
τὴν τῶν ἑλλήνων ἀρχὴν, καὶ τὰ τῶν προγόνων καλὰ καὶ
δίκαια ἀναιρεῖν, ἢ τοῦτο μὲν μὴ ποιεῖν· δεινὸν γὰρ ὡς ἀληθῶς. 109
α. ἃ δ' ἑώρα συμβησόμενα, εἰ μηδεὶς κωλύσει καὶ προῃ-
ε. σθάνετο ὡς ἔοικεν ἐκ πολλοῦ, ταῦτα περιϊδεῖν γιγνό-
μενα. ἀλλὰ νῦν ἔγωγε τὸν μάλιστα ἐπιτιμῶντα τοῖς
πεπραγμένοις, ἡδέως ἂν ἐροίμην, τῆς ποίας μερίδος
βούλετ' ἄν. α. γενέσθαι τὴν πόλιν ἐβούλετ' ἄν· πότερον τῆς συναι- 110
τίας τῶν συμβεβηκότων τοῖς ἕλλησι κακῶν καὶ αἰσχρῶν,
ἧς ἂν θετταλοὺς, καὶ τοὺς μετὰ τούτων εἴποι τις, ἢ τῆς πε-
ριεωρακυίας ταῦτα γιγνόμενα ἐπὶ τῇ τῆς ἰδίας πλεο-
νεξίας ἐλπίδι, ἧς ἂν ἀρκάδας καὶ μεσσηνίους καὶ ἀρ-
γείους θείημεν. ἀλλὰ καὶ τούτων, πολλοί· μᾶλλον δὲ πάντες χεῖρον ἡμῶν ἀπηλλάχασι· καὶ 111
α. γὰρ, εἰ μὲν ὡς ἐκράτησε φίλιππος, ᾤχετ' εὐθὺς ἀπιὼν, καὶ μετὰ ταῦτ' ἦγεν ἡσυχίαν,
αὐτοῦ. α. ε. μήτε τῶν αὑτοῦ συμμάχων, μήτε τῶν ἄλλων ἑλλήνων μηδένα μηδὲν λυπήσας, ὅμως ἦν
οὐδένα. ε. ἦν ἄν. η. ἄν τις κατὰ τῶν ἐναντιωθέντων οἷς ἔπραττεν ἐκεῖνος, μέμψις καὶ κατηγορία. εἰ δὲ ὁμοίως
ἁπάντων, τὸ ἀξίωμα, τὴν ἡγεμονίαν, τὴν ἐλευθερίαν περιείλετο, μᾶλλον δὲ καὶ τὰς πολιτεί- 112
ας ὅσων ἠδύνατο, πῶς οὐχ ἁπάντων ἐνδοξότατα ὑμεῖς ἐβουλεύσασθε, ἐμοὶ πεισθέντες.
ἀλλ' ἐκεῖσε ἐπανέρχομαι. τί τὴν πόλιν αἰσχίνη προσῆκε ποιεῖν, ἀρχὴν καὶ τυραννίδα τῶν ἑλ-
τίνων. ε. λήνων ὁρῶσαν ἑαυτῷ κατασκευαζόμενον φίλιππον· ἢ τί τὸν σύμβουλον ἔδει λέγειν ἢ
γράφειν τὸν ἀθήνησιν ἐμέ· καὶ γὰρ τοῦτο πλεῖστον διαφέρει· ὃς συνῄδειν, ἐκ παντὸς μὲν τοῦ χρό- 113

χε φίλιππος) Μονονουχὶ μέμφεται τὴν τύχην, ἐφ' οἷς βραδύτερον πεπολίτευται· διὰ τοῦτο γὰρ κατέσχε τῶν πλείστων ὁ φίλιππος, οὔπω δημοσθένης βλέπων ἐπὶ τοῦ βήματος.

Κατέσχε) Ἐχειρώσατο. Τούτων) Τῶν πρὸ τοῦ πολιτεύεσθαι, 104
οὐχ ἅπτεταί μου. Ἐπὶ ταῦτα ἐπέστην) Ὥσπερ τινος δαίμονος ἐπιστασίαν λέγει, τῆς αὐτοῦ κηδεμονίας τὴν παρουσίαν. Διεκωλύθη) Ὁ φίλιππος. Πλεονέκτημα) Προτέ- 105
ρημα. Φορὰ προδοτῶν) Τροπικῶς εἶπε· φορὰ γὰρ εἴωθε λέγεσθαι ἐπὶ σίτου ἢ ἄλλων καρπῶν τῶν φερομένων ἐν ἑκάστῳ ἐνιαυτῷ· ἐνέμεινε δὲ τῇ τροπῇ, εἰπών, καὶ φυομένου κακοῦ. Λαβὼν) Ὁ φίλιππος. 106

Κακῶς ἔχοντας) Ὅμοιον τῷ, αἱ πόλεις ἐνόσουν. Διέθηκε) Ἐποίησε τῶν ἑλλήνων. Τοῖς δὲ) Τοὺς προδότας. Συνισταμένου) Ἤγουν 107
ἐν ὑπάρξει ὄντος· τοῦ οὐ συνωμένου καὶ εἰς σύστασιν ἐρχομένου. πλείω γὰρ σημαίνει τὸ συνίστασθαι· τὸ πεπηγέναι, τὸ ἐν ὑπάρξει εἶναι, τὸ ἀποκαθίστασθαι, τὸ φίλον τινὶ γίνεσθαι. Ὁ γὰρ 108
ἐνταῦθα) Ἤγουν ἐν τῷ λέγειν ὑπὲρ τῶν ἑλλήνων. Πότερον αὐτὴν ἐχρῆν) Ἀποστροφὴ καὶ κατ' ἐρώτησιν τὸ σχῆμα· θαρρεῖ γάρ. ἔστι δὲ φρόνημα μὲν, τὸ ἀπὸ τῶν ἔργων· ἡ δὲ ἀξία, τῆς τύχης. Φρόνημα) Ὕψωμα.

Ἀξίαν) Τιμήν. Συγκατακτᾶσθαι) Γίνεσθαι συναιτίους τῷ φιλίππῳ τῆς κτήσεως τῆς ἀρχῆς τῶν ἑλλήνων. Δεινὸν γὰρ ὡς ἀληθῶς) 109
Τῇ οἰκείᾳ κρίσει, τὸ ἄπευκτον ἐμφαίνει τοῦ πράγματος. Ἀλλὰ καὶ 111
τούτων) Ἤγουν τῶν συναιτίων καὶ τῶν περιεωρακότων. Ἀπηλλάχασι) Ἤγουν πλέον ἐδυστύχησαν. Ἦγεν ἡσυχίαν) Ἡσύχαζε. Τὴν ἐλευ- 112
θερίαν) Αὐτονομίαν ἠκρωτηρίαζε. Πολιτείας) Δημοκρατίας.

Λέγειν) Δημηγορεῖν ἢ ψηφίζεσθαι. Τοῦ χρόνου) Τῆς ζωῆς ἕως 113

τῆς ἡμέρας ἐκείνης. Καὶ πλείω σώματα καὶ χρήματα) Προλύει καὶ τὴν ὁ ῥήτωρ ἐσομένην ἀντίθεσιν, ἐν ᾗ περὶ Θη-
114 βαίων καὶ εὐβοέων ὁ αἰσχίνης διαλεγόμενος, τοῦτο ἐγκαλεῖ, ὅτι πολλὰ πεποίηκε δαπανῆσαι τὴν πόλιν. Τὸν ὀ-
φθαλμὸν ἐκκεκομμέν.) Ἐξορωρυγμένον. ἤδη ἐγνώκαμεν ὅτι τὸν ὀφθαλμὸν ἐπλήγη ἐν τῇ μεθώνῃ· τὴν δὲ κλεῖν, ἐν ἰλλυριοῖς·

νου μέχρι τῆς ἡμέρας ἐκείνης, ἀφ᾽ ἧς αὐτὸς ἐπὶ τὸ βῆμα ἀνέβην, ἀεὶ περὶ πρωτείων καὶ τιμῆς καὶ δόξης ἀγωνιζομένην τὴν πατρίδα, καὶ πλείω σώματα καὶ χρήματα ἀναλωκυῖαν ὑπὲρ φιλοτιμίας καὶ τῶν ἅπασι
114 τοῖς ἕλλησι συμφερόντων, ἢ τῶν ἄλλων ἑλλήνων οἱ τὰ ὑπὲρ αὐτῶν ἀναλώκασιν ἕκαστοι. ἑώρων δ᾽ αὐτὸν τὸν φίλιππον πρὸς ὃν ἡμῖν ὁ ἀγὼν, ὑπὲρ ἀρχῆς καὶ δυναστείας τὸν ὀφθαλμὸν ἐκκεκομμένον, τὴν κλεῖν κατεαγότα, τὴν χεῖρα, τὸ σκέλος πεπηρωμένον, πᾶν ὅ, τι
115 βουληθείη μέρος ἡ τύχη τοῦ σώματος παρελέσθαι, τοῦτο ῥᾳδίως καὶ ἑτοίμως προϊέμενον, ὥστε τῷ λοιπῷ μετὰ τιμῆς καὶ δόξης ζῆν. καὶ μὴν οὐδὲ τοῦτό γε οὐδεὶς ἂν εἰπεῖν τολμήσειεν, ὡς τῷ μὲν ἐν πέλλῃ τραφέντι, χωρίῳ ἀδόξῳ τότε γε ὄντι, καὶ μικρῷ, τοσαύτην μεγαλοψυ-
116 χίαν προσῆκεν ἐγγενέσθαι, ὥστε τῆς τῶν ἑλλήνων ἀρχῆς ἐπιθυμῆσαι, καὶ τοῦτ᾽ εἰς νοῦν ἐμβαλέσθαι. ὑμῖν δὲ οὖσιν ἀθηναίοις, καὶ καθ᾽ ἡμέραν ἑκάστην ἐν πᾶσι καὶ λόγοις καὶ θεωρήμασι τῆς τῶν προγόνων ἀρετῆς ὑπομνήματα ὁρῶσι, τοσαύτην κακίαν ὑπάρξαι, ὥστε τῆς
117 τῶν ἑλλήνων ἐλευθερίας αὐτεπαγγέλτους ἐθελοντὰς παραχωρῆσαι φιλίππῳ. οὐδ᾽ ἂν εἷς ταῦτα φήσειε. λοιπὸν τοίνυν ἦν καὶ ἀναγκαῖον ἅμα, πᾶσιν οἷς ἐκεῖνος ἔπραττεν ἀδικῶν ὑμᾶς, ἐναντιοῦσθαι δικαίως. τοῦτ᾽ ἐποιεῖτε μὲν ἐξ ἀρχῆς ὑμεῖς, εἰκότως καὶ προσηκόν-
118 τως. ἔγραφον δὲ καὶ συνεβούλευον καὶ ἐγὼ καθ᾽ οὓς ἐπολιτευόμην χρόνους. ὁμολογῶ. ἀλλὰ τί ἐχρῆν με ποιεῖν; ἤδη γάρ σε ἐρωτῶ. πάντα τἄλλα ἀφεὶς, ἀμφίπολιν, πύδναν, ποτίδαιαν, ἁλόννησον, οὐδενὸς τούτων μέμνημαι· σέρριον δὲ, καὶ δορίσκον, καὶ τὴν πεπαρήθου
119 πόρθησιν, καὶ ὅσα ἄλλα τοιαῦτα ἡ πόλις ἠδίκητο, οὐδ᾽ εἰ γέγονεν οἶδα· καίτοι σύ γ᾽ ἔφησθά με ταῦτα λέγοντα εἰς ἔχθραν ἐμβαλεῖν τουτουσὶ, εὐβούλου καὶ ἀριστοφῶντος καὶ διοπείθους, τῶν περὶ τούτων ψηφισμάτων ὄντων, οὐκ ἐμῶν. ὦ λέγων εὐχερῶς ὅ, τι ἂν βουληθῇς. οὐδὲ
120 νῦν περὶ τούτων ἐρῶ. ἀλλ᾽ ὁ τὴν εὔβοιαν ἐκεῖνος σφετεριζόμενος, καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν ἀττικὴν, καὶ μεγάροις ἐπιχειρῶν, καὶ καταλαμβάνων ὠρεὸν, καὶ κατασκάπτων πορθμὸν, καὶ καθιστὰς ἐν μὲν ὠρεῷ, φιλι-

τὸ δὲ σκέλος καὶ τὴν χεῖρα, ἐν σκύθαις. Πεπηρωμένον) Ἤγουν βε-
116 βλαμμένον. Εἰς νοῦν ἐμβαλέσθαι) Ἐννοῆσαι. Λόγοις) Ὁμιλητικοῖς, καὶ ἐν σκέψεσι περὶ τῶν κοινῶν πραγμάτων. Ὑπομνήματα) Εἰ-
117 κόνας. Κακίαν) Δειλίαν. Αὐτεπαγγέλτους) Αὐτοὺς ἡμᾶς ἐπαγγελλομένους. Παραχωρῆσαι φιλίππῳ) Τὸ οἰκεῖον κτῆμα ἡ λέξις σημαίνει ἀποδίδωσι μὲν γάρ τις τὸ ἀλλότριον, παραχωρεῖ δὲ τῶν ἰδίων. καὶ τῷ φιλίππῳ δὲ μετὰ βαρύτητος εἴρηται· τίνι γάρ, εἰπέ μοι, παραχωρεῖς· ὁμοφύλῳ; στέργω τὴν τύχην. λακεδαιμονίοις; οὐκ ἀνιῶμαι. ἐὰν δὲ ἐπιστήσῃς μοι μακεδόνα δεσπότην, οὐ φέρω τὴν συμφοράν, ἀρνοῦμαι τὸν ἐκ πέλλης ἡγούμενον.

Λοιπὸν τοίνυν ἦν καὶ ἀναγκαῖον) Ἱκανῶς ἐκ τῶν προλεχθέντων συνήγαγεν, ὡς ἀναγκαῖον, τὸν ὄντα ἀθηναῖον ὑπὲρ τῆς ἐλευθερίας τῶν ἑλλήνων ἀμύνασθαι. Τοῦτ᾽ ἐποιεῖτε μὲν ὑμεῖς.) Εἰ δὲ ἀναγκαῖον, καλῶς ἐποιεῖτε καὶ ὑμεῖς, αὐτὰ κἀγὼ συνεβούλευον. ἐνήλλαξε μέντοι τὴν τάξιν· ἦν γάρ, πρῶτον μὲν τὸ γράφειν· δεύτερον δὲ, τὸ πεισθέντας ποιεῖν, ἵνα δόξῃ ἕπεσθαι αὐτοῖς καὶ
118 τῷ φρονήματι τῷ κοινῷ. Ἔγραφον) Ἐψηφιζόμην. Ἐπολιτευόμην) Τὰ τῆς πολιτείας ἔπραττον.

Πύδναν) Τὸ νῦν κύτρος. Ποτίδαιαν) Ἡ νῦν βέροια. Τὴν πεπαρήθου) Πεπάρηθος, νῆσός ἐστι πρὸς τῷ αἰγαίῳ πελάγει περὶ τῆς θετταλίας. ταύτην ἐπόρθησεν ἄλκι-
119 μος ναύαρχος τοῦ φιλίππου. Τουτουσὶ) Δηλονότι τοὺς ἀθηναίους.

Εὐβούλου καὶ ἀριστοφῶντος) Δαιμονία τῶν προσηγοριῶν ἡ θέσις· προηγεῖται μὲν γὰρ ὁ εὔβουλος, καὶ ὁ φίλος εἶναι τοῦ μακεδόνος νομισθείς· διαδέχεται δὲ ἀριστοφῶν, ἀνὴρ, πολλάκις μὲν κριθεὶς, οὐδέποτε δὲ καταγνωσθείς· τρίτος δὲ ὁ διοπείθης, ὁ περὶ τὴν θράκην λυπήσας τὸν φίλιππον, περὶ οὗ ἀγωνίζεται ἐν φιλιππικοῖς ὁ ῥήτωρ. διὰ τοῦτο τελευταίου ἐμνημόνευσε, πᾶσαν ἀποτέμνων ὑπόνοιαν. Ὦ λέγων εὐχερῶς) Ἀσκέπτως· εἰ γὰρ ἀληθὲς ἢ ψεῦδος,
120 οὐ μέλει σοι. Περὶ τούτων) Ἃ παρ᾽ ἐποίησε μετὰ τοὺς ὅρκους. Σφετεριζόμενος) Ἰδιοποιούμενος. Ἐπιτείχισμα) Ἐπιτείχισμά ἐστιν ὁρμητήριον τοῖς πολεμίοις πεποιημένον, ἐξ οὗ ὁρμώμενοι τὴν πόλιν κακῶς ποιοῦσιν ἢ μάχονται. Ἐπιχειρῶν) Ἃ παρ᾽ ἐποίησε μετὰ τοὺς ὅρκους. Κατασκάπτων) Διὰ τὸ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

στίδην τύραννον, ἐν δ᾽ ἐρετρίᾳ, κλείταρχον· καὶ τὸν ἑλλή- 121
σποντον ὑφ᾽ ἑαυτῷ ποιούμενος, καὶ βυζάντιον πολιορκῶν,
καὶ πόλεις ἑλληνίδας, τινὰς μὲν ἀναιρῶν, εἰς τινὰς δὲ τοὺς
φυγάδας κατάγων, πότερον ταῦτα πάντα ποιῶν, ἠ-
δίκει καὶ παρεσπόνδει, καὶ ἔλυε τὴν εἰρήνην, ἢ οὔ· καὶ πότε-
ρον φανῆναί τινα τῶν ἑλλήνων τὸν ταῦτα κωλύσοντα 122
ποιεῖν αὐτὸν ἐχρῆν, ἢ μή; εἰ μὲν γὰρ μὴ ἐχρῆν, ἀλλὰ τὴν
μυσῶν λείαν καλουμένην, τὴν ἑλλάδα οὖσαν ὀφθῆναι,
ζώντων ἀθηναίων καὶ ὄντων, περιείργασμαι μὲν ἐγώ,
περὶ τῶν τοιούτων εἰπών. περιείργασται δ᾽ ἡ πόλις ἡ
πεισθεῖσα ἐμοί. ἔστω δὲ ἀδικήματα πάντα ταῦτα, ἃ 123
πέπρακται, καὶ ἁμαρτήματα ἐμά. εἰ δὲ ἔδει τούτων τι-
να κωλυτὴν φανῆναι, τίνα ἄλλον, ἢ τὸν ἀθηναίων δῆ-
μον προσήκει γενέσθαι. ταῦτα τοίνυν ἐπολιτευόμην
ἔγωγ᾽ ἐγώ. καὶ ὁρῶν καταδουλούμενον πάντας ἀνθρώ-
πους ἐκεῖνον, ἠναντιούμην, καὶ προλέγων, καὶ διδάσκων, μὴ 124
προΐεσθαι ταῦτα φιλίππῳ. καὶ μὴν, τὴν εἰρήνην γε
ἐκεῖνος ἔλυσε τὰ πλοῖα λαβών, οὐχ ἡ πόλις αἰσχίνη. φέ-
ρε δ᾽ αὐτὰ τὰ ψηφίσματα, καὶ τὴν ἐπιστολὴν τὴν τοῦ φι-
λίππου, καὶ λέγε ἐφεξῆς· ἀπὸ γὰρ τούτων ἐξεταζομένων,
τίς τίνος αἴτιός ἐστι, γενήσεται φανερόν. λέγε. 125

Ψήφισμα.

Ἐπὶ ἄρχοντος νεοκλέους, μηνὸς βοηδρομιῶνος, ἐκκλη-
σίας συγκλήτου ὑπὸ στρατηγῶν, συναχθείσης, εὔβου-
λος μνησιθέου κύπριος εἶπεν, ἐπειδὴ προσήγγειλαν οἱ
στρατηγοὶ ἐν τῇ ἐκκλησίᾳ, ὡς ἄρα λεωδάμαντα τὸν 126
ναύαρχον, καὶ τὰ μετ᾽ αὐτοῦ ἀποσταλέντα σκάφη εἴκο-
σιν ἐπὶ τὴν τοῦ σίτου παραπομπὴν εἰς ἑλλήσποντον, ὁ πα-
ρὰ φιλίππου στρατηγὸς ἀμύντας καταγήοχεν εἰς μακε-
δονίαν, καὶ ἐν φυλακῇ ἔχει, ἐπιμεληθῆναι τοὺς πρυτά-
νεις, καὶ τοὺς στρατηγούς, ὅπως ἡ βουλὴ συναχθῶσι, καὶ αἱ- 127
ρεθῶσι πρέσβεις πρὸς φίλιππον· οἱ παραγενόμενοι,
διαλέξονται πρὸς αὐτὸν περὶ τοῦ ἀφεθῆναι τὸν ναύαρ-
χον, καὶ τὰ πλοῖα, καὶ τοὺς στρατιώτας. καὶ εἰ μὲν δι᾽ ἄγνοιαν
ταῦτα πεποίηκεν ὁ ἀμύντας, ὅτι οὐ μεμψιμοιρεῖ ὁ δῆ-
μος οὐδὲν αὐτῷ. εἰ δέ τι πλημμελοῦντα παρὰ τὰ ἐ- 128
πεσταλμένα λαβών, ὅτι ἐπισκεψάμενοι ἀθηναῖοι, ἐπι-
τιμήσουσι κατὰ τὴν τῆς ὀλιγωρίας ἀξίαν. εἰ δὲ μηδέτε-
ρον τούτων ἐστίν, ἀλλ᾽ ἰδίᾳ ἀγνωμονοῦσιν, ἢ ὁ ἀποστεί-
λας, ἢ ὁ ἀπεσταλμένος, καὶ τοῦτο γράψαι λέγειν, ἵνα αἰ-
σθανόμενος ὁ δῆμος, βουλεύσηται τί δεῖ ποιεῖν. Τοῦτο 129
μὲν τοίνυν τὸ ψήφισμα, εὔβουλος ἔγραψεν, οὐκ ἐγώ· τὸ

σκάπτειν ποιῶν. Ἀναιρῶν) Ἀφα- 121
νίζων. Τοὺς φυγάδας κατάγων)
Τοὺς ἐξορίστους ποιῶν ἐπανελθεῖν,
ὑπὸ τῶν ἀθηναίων ἐλθεῖν εἰς τὴν
ἰδίαν πατρίδα. Τὴν μυσῶν 212
λείαν) Πλέοντες οἱ ἕλληνες ἐπὶ τὴν
τροίαν, προσώρμισαν τῇ μυσίᾳ, καὶ
νομίσαντες αὐτὴν εἶναι τὴν τροίαν,
ἐπόρθουν· τήλεφος δὲ ὁ τότε μυ-
σίας τύραννος πολλοὺς κατατοξεύ-
σας, ἐτρώθη καὶ αὐτὸς ὑπὸ ἀχιλ-
λέως εἰς τὸν μηρόν. εἶτα ὕστερον
χρωμένῳ αὐτῷ περὶ ἰάσεως ἀνεῖ-
λεν ὁ θεός, ὡς οὐκ ἄλλως θεραπευ-
θήσεται, εἰ μὴ ὁ τρώσας καὶ ἰάσεται.
ἵνα οὖν μὴ ἀπελθὼν πρὸς τὸν ἀχιλ-
λέα γνωσθῇ, λαβὼν σχῆμα πτωχοῦ,
ἀπελθὼν εἰς τὴν ἑλλάδα, προ-
σῆλθεν αὐτῷ ὡς πένης ἰάσεως τυχεῖν
βουλόμενος· ἐπεπαίδευτο γὰρ καὶ τὴν
ἰατρικὴν ὁ ἀχιλλεύς, ὡς παρὰ χεί-
ρωνι τραφείς. καὶ οὕτω θεραπευ-
θείς, μισθὸν τῆς ἰάσεως λέγεται δοῦ-
ναι τῷ ἀχιλλεῖ, τὸ καθηγήσασθαι
τοῖς ἕλλησι τῆς ἐπὶ τροίαν ὁδοῦ. εἴρη-
ται δὲ ἡ παροιμία ἐπὶ τῶν κακῶς
πασχόντων· τινὲς δὲ καὶ ἐπὶ τῶν ἀδί-
κως ἀπολλυμένων, ὡς καὶ ἡ μυσία
τότε ἀδίκως ἔπαθεν ὑπὸ τῶν ἑλ-
λήνων πρότερον, ὕστερον δὲ ὑπὸ τῶν
ἀστυγειτόνων καὶ λῃστῶν κατὰ τὴν τηλέ-
φου ἀποδημίαν. Περιείργασμαι)
Ματαίως συνεβουλευσάμην. ἐν-
ταῦθα ἐπὶ τῶν ἡμαρτημένων πρῶ-
τον ἑαυτὸν εἴρηκε· καίτοι ἐν τοῖς ἄνω
ἐναλλάξας, ὡς ἔφην. τὸ δὲ περιείρ-
γασμαι, περιττῶς καὶ οὐκ ἀναγκαίως
παρῄνεσά τι ἐγώ, καὶ ἡ πόλις ἡ πει-
σθεῖσα μάτην ἐπείσθη. εἶτα συνα-
γαγὼν τὴν πόλιν, καὶ συνάψας τῷ
ἁμαρτήματι, πάλιν αὐτὴν ἐλευ-
θερῶν, πρὸς εὔνοιαν ἕλκων καὶ ἑαυ-
τῷ περιτίθησιν ἅπαν τὸ πλημμέλη-
μα. Εἰ δὲ ἔδει τούτων κωλυτήν)
Ὕστερον ἐφύλαξε τὸ δίκαιον, πολλὰς 123
πρότερον τὰς ἀτοπίας ἐπισωρεύ-
σας. Καταδουλούμενον) Δούλους
ποιοῦντα. Ἐφεξῆς) Κατὰ τάξιν 127
ἐχόμενα ἀλλήλων. Βοηδρομιῶνος) 125
Ἰουνίου. Προσήγγειλαν) Ἐμήνυσαν.
Ἐν τῇ ἐκκλησίᾳ) Σύγκλητος ἐκκλη- 126
σία λέγεται ἡ γινομένη διά τι ἐξαί-
φνης κατεπεῖγον· τρεῖς γὰρ ἐκκλησίαι τοῦ
μηνὸς γίνονται ὡρισμέναι· ἡ δὲ σύγκλη-
τος οὐχ ὡρισμένη. Ὁ ἀποστείλας)
Ὁ φίλιππος. Ὁ ἀπεσταλμένος) Ὁ 128
ἀμύντας. Εὔβουλος ἔγραψε) 129
Πάλιν προτάττει τὸν εὔβουλον, ἵνα
δείξῃ περιφανῶς ἀδικοῦντα τὸν
φίλιππον, ὡς καταγνῶσαι αὐτοῦ καὶ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

129 δ' ἐφεξῆς, Ἀριστοφῶν. εἶθ' Ἡγήσιππος, εἶτα Ἀριστοφῶν
πάλιν, εἶτα Φιλοκράτης, εἶτα Κηφισοφῶν, εἶτα πάντες
οἱ ἄλλοι· ἐγὼ δ' οὐδὲν περὶ τούτων. Λέγε τὸ ψήφισμα.

Ψήφισμα.

Ἐπὶ Νικοκλέους ἄρχοντος βοηδρομιῶνος, ἕνῃ καὶ νέᾳ,
130 βουλῆς γνώμη, πρυτάνεις καὶ στρατηγοὶ ἐχρημάτισαν,
τὰ ἐκ τῆς ἐκκλησίας ἀνενεγκόντες, ὅτι ἔδοξε τῷ δή-
μῳ πρέσβεις ἑλέσθαι πρὸς Φίλιππον περὶ τῆς τῶν
πλοίων ἀνακομιδῆς, καὶ ἐντολὰς δοῦναι, κατὰ τὰ ἐκ τῆς
ἐκκλησίας ψηφίσματα. καὶ εἵλοντο τούσδε, Κηφισοφῶν-
131 τα Κλέωνος Ἀναφλύστιον, Δημόκριτον Δημοφῶντος Ἀνα-
γυρέσιον, Πολύκριτον Ἀπημάντου Κοθωκίδην. πρυτα-
νεία φυλῆς Ἱπποθοωντίδος, Ἀριστοφῶν Κολυττεὺς πρόε-
δρος εἶπεν. Ὥσπερ τοίνυν ἐγὼ ταῦτα δεικνύω τὰ ψη-
φίσματα, οὕτω καὶ σὺ δεῖξον Αἰσχίνη, ποῖον ἐγὼ γράψας
132 ψήφισμα, αἴτιός εἰμι τοῦ πολέμου. ἀλλ' οὐκ ἂν ἔχοις·
εἰ γὰρ εἶχες, οὐδὲν ἂν αὐτοῦ πρότερον νυνὶ παρέσχου. καὶ
μὴν οὐδ' ὁ Φίλιππος οὐδὲν αἰτιᾶταί με ὑπὲρ τοῦ
πολέμου, ἑτέροις ἐγκαλῶν. λέγε δ' αὐτὴν τὴν
ἐπιστολὴν τοῦ Φιλίππου.

133 Ἐπιστολὴ Φιλίππου.

Βασιλεὺς Μακεδόνων Φίλιππος, Ἀθηναίων τῇ βουλῇ καὶ
τῷ δήμῳ χαίρειν. Παραγενόμενοι πρὸς ἐμὲ οἱ πα-
ρ' ὑμῶν πρεσβευταί, Κηφισοφῶν, καὶ Δημόκριτος, καὶ Πολύ-
κριτος, διελέγοντο περὶ τῆς τῶν πλοίων ἀφέσεως, ὧν ἐ-
134 ναυάρχει Λαομέδων. καθόλου μὲν οὖν ἔμοιγε φαίνε-
σθε ἐν μεγάλῃ εὐηθείᾳ ἔσεσθαι, εἴ τ' οἴεσθέ με λανθά-
νειν, ὅτι ἐξαπεστάλη ταῦτα τὰ πλοῖα, πρόφασιν μὲν
ὡς τὸν σῖτον παραπέμψοντα ἐκ τοῦ Ἑλλησπόντου εἰς
Λῆμνον, βοηθήσοντα δὲ Σηλυμβριανοῖς, τοῖς ὑπ' ἐμοῦ
135 μὲν πολιορκουμένοις, οὐ συμπεριειλημμένοις δ' ἐν ταῖς
τῆς φιλίας κοινῇ κειμέναις ἡμῖν συνθήκαις. καὶ ταῦτα
συνετάχθη τῷ ναυάρχῳ, ἄνευ μὲν τοῦ δήμου τῶν Ἀθηναίων, ὑπὸ δέ τινων ἀρχόν-
των, καὶ ἑτέρων ἰδιωτῶν μὲν νῦν ὄντων, ἐκ παντὸς δὲ τρόπου βουλομένων τὸν δῆμον
136 ἀντὶ τῆς νῦν ὑπαρχούσης πρὸς ἐμὲ φιλίας, τὸν πόλεμον ἀναλαβεῖν, πολλῷ μᾶλ-
λον φιλοτιμουμένων τοῦτο συντετελέσθαι, ἢ τοῖς Σηλυμβριανοῖς βοηθῆσαι. καὶ ὑπο-
λαμβάνουσιν αὐτοῖς τὸ τοιοῦτον, πρόσοδον ἔσεσθαι. οὐ μέντοι μοι δοκεῖ τοῦτο χρήσι-
μον ὑπάρχειν οὔθ' ὑμῖν, οὔτ' ἐμοί. διόπερ τά τε νῦν καταχθέντα, πλοῖα πρὸς ὑμᾶς
137 ἀφίημι ὑμῖν· καὶ τοῦ λοιποῦ, ἐὰν βούλησθε μὴ ἐπιτρέπειν τοῖς προεστηκόσιν ὑμῶν κα-
κοήθως πολιτεύεσθαι, ἀλλ' ἐπιτιμᾶτε, πειράσομαι κἀγὼ διαφυλάττειν τὴν εἰρήνην.

Εὐτυχεῖτε.

Ἐνταῦθα οὐδαμοῦ Δημοσθένην γέγραφεν, οὐδ' αἰτίαν οὐδεμίαν κατ' ἐμοῦ. τί πο-

τ' οὖν

τὸν εὔβουλον· καὶ ἐξῆς μνημονεύει
129 τῶν δήμων λοιπόν. Ἐγὼ δ' οὐδὲν περὶ τούτων) Καλῶς τὸ περὶ τούτων, ἵνα μὴ πάντη ἑαυτὸν ἀποστερῇ τοῦ γράφειν. Βοηδρομιῶνος)
130 Ἰουνίου. Ἐχρημάτισαν) Τὴν τῶν
132 χρημάτων ἐξέτασιν ἐποίησαν. Λέγε δ' αὐτὴν τὴν ἐπιστολὴν τοῦ Φιλίππου) Σηλυμβρίαν ἐπολιόρκει Φίλιππος πόλιν τῆς ἐπὶ Θρᾴκης. ἔπεμψαν οὖν Ἀθηναῖοι πλοῖα σιτηγήσοντα αὐτοῖς ἐξ Ἑλλησπόντου, Λαομέδοντος ναυαρχοῦντος. καὶ ὑπονοήσας Φίλιππος μὴ ἐπὶ σιτηγίαν ἀφῖχθαι τὰ πλοῖα, ἀλλὰ βοηθήσοντα Σηλυμβριανοῖς, κατέσχεν αὐτά τε καὶ τὸν ναύαρχον, καὶ γέγραφεν Ἀθηναίοις ἐπιστολήν, αἰτιώμενος αὐτοὺς ὅτι βοηθοῦσι Σηλυμβριανοῖς οὐ συμπεριειλημμένοις τῇ εἰρήνῃ, καὶ παραινῶν αὐτοῖς ἐπὶ τὸ λελύσθαι τὰς σπονδάς· ἀπειλῶν τε ἀμυνεῖσθαι αὐτοὺς παντὶ σθένει, εἰ μὴ τῶν κατ' αὐτοῦ πραγμάτων πεπαύσονται. ἐλθόντων δὲ παρ' Ἀθηναίων εἰς αὐτὸν πρέσβεων, ἔδωκέ τε τὰ πλοῖα, καὶ ἀφῆκε τὸν ναύαρχον. νῦν οὖν Δημοσθένης αἰτιωμένου αὐτὸν Αἰσχίνου, ὡς αἴτιος ἐγένετο τοῦ πολέμου, δολίως μεταχειρίζεται τὸ πρᾶγμα, λέγων ἑαυτὸν μὴ ποιῆσαι τὸν πόλεμον, διὰ τὸ μὴ δηλῶσαι τὸν Φίλιππον τοῦτο ἐν τῇ ἐπιστολῇ. καίτοι αὐτὸς ἦν ὁ παρακεκινηκὼς Ἀθηναίους εἰς τὸ πολεμεῖν Φιλίππῳ, καὶ λέγων, ὡς τῷ μὲν ἔργῳ πάλαι πολεμεῖ πρὸς τὴν πόλιν, τῷ δὲ λόγῳ νῦν ὁμολογεῖ διὰ τῆς ἐπιστολῆς, καὶ πρὸς ὀργὴν ἐντεῦθεν Ἀθηναίους ἐπαίρων. ὅτι δὲ ταῦθ' οὕτως ἔχει, ἐκ τοῦ λόγου τοῦ ἐπιγεγραμμένου πρὸς τὴν τοῦ Φιλίππου ἐπιστολήν, πᾶς τις ἀναγνοὺς εἴσεται, καὶ φωράσει τὸ ποικίλον τοῦ ῥήτορος.
136 Φιλοτιμουμένων) Ἴσως, φιλοτι-
137 μουμένων. Προεστηκόσι) Δημαγωγοῖς. Οὐδαμοῦ Δημοσθένην)

τ' οἶω τοῖς ἄλλοις ἐγκαλῶν, τῶν ἐμοὶ πεπραγμένων οὐ- 138
χὶ μέμνηται· ὅτι τῶν ἀδικημάτων ἂν ἐμέμνητο τῶν ἑαυτοῦ,
εἴ τι περὶ ἐμοῦ γέγραφε· τούτων γὰρ εἰχόμην ἐγὼ, καὶ
τούτοις ἠναντιούμην. καὶ πρῶτον μὲν τὴν εἰς Πελο-
πόννησον πρεσβείαν ἔγραψα, ὅτε πρῶτον ἐκεῖνος εἰς
Πελοπόννησον παρεδύετο· εἶτα, τὴν εἰς Εὔβοιαν, ἡνίκα 139
Εὐβοίας ἥπτετο· εἶτα τὴν ἐπ' Ὠρεὸν ἔξοδον, οὐκέτι πρεσ-
βείαν, καὶ τὴν εἰς Ἐρέτειαν, ἐπειδὴ τυράννους ἐκεῖνος ἐν
ταύταις ταῖς πόλεσι κατέστησε. μετὰ ταῦτα δὲ τοὺς ἀπο-
στόλους ἅπαντας ἀπέστειλα, καθ' οὓς Χερρόνησος ἐσώθη,
καὶ Βυζάντιον, καὶ πάντες οἱ σύμμαχοι. ἐξ ὧν ὑμῖν μὲν, 140
τὰ κάλλιστα, ἔπαινοι, δόξαι, τιμαὶ, στέφανοι, χάριτες, πα-
ρὰ τῶν εὖ πεπονθότων ἐγίγνοντο· τῶν δὲ ἀδικουμένων,
τοῖς μὲν ὑμῖν τότε πεισθεῖσιν, ἡ σωτηρία περιεγένετο·
τοῖς δ' ὀλιγωρήσασι, τὸ πολλάκις ὧν ὑμεῖς προείπα-
τε, μεμνῆσθαι καὶ νομίζειν ὑμᾶς μὴ μόνον εὔνους αὐ- 141
τοῖς, ἀλλὰ καὶ φρονίμους ἀνθρώπους καὶ μάντεις εἶναι.
πάντα γὰρ ἐκβέβηκεν ἃ προείπατε αὐτοῖς. καὶ μὴν
ὅτι πολλὰ μὲν ἂν χρήματα ἔδωκε Φιλιστίδης, ὥστ' ἔχειν
Ὠρεὸν, πολλὰ δὲ Κλείταρχος, ὥστ' ἔχειν Ἐρέτειαν· πολλὰ
δ' αὐτὸς ὁ Φίλιππος, ὥστε ταῦθ' ὑπάρχειν ἐφ' ὑμᾶς 142
αὐτῷ, καὶ περὶ τῶν ἄλλων μηδὲν ἐξελέγχεσθαι, μηδὲ ἃ
ποιῶν ἠδίκει μηδένα ἐξετάζειν πανταχοῦ, οὐδεὶς ἀ-
γνοεῖ· καὶ πάντων ἥκιστα, σύ· οἱ γὰρ παρὰ τοῦ Κλειτάρχου, καὶ
τοῦ Φιλιστίδου τότε πρέσβεις δεῦρ' ἀφικνούμενοι, παρὰ
σοὶ κατέλυον Αἰσχίνη, καὶ σὺ προυξένεις αὐτῶν· οὓς ἡ μὲν 143
πόλις, ὡς ἐχθροὺς, καὶ οὔτε δίκαια οὔτε συμφέροντα λέ-
γοντας, ἀπήλασε· σοὶ δ' ἦσαν φίλοι. οὐ τοίνυν ἐπρά-
χθη τούτων οὐδὲν, ὦ βλασφημῶν περὶ ἐμοῦ, καὶ λέ-
γων, ὡς σιωπῶ μὲν λαβὼν, βοῶ δ' ἀναλώσας. ἀλλ' οὐ
σύ γε· ἀλλὰ βοᾷς μὲν ἔχων, παύσῃ δὲ οὐδέποτε, ἐὰν 144
μή σε οὗτοι παύσωσιν, ἀτιμώσαντες τήμερον. στεφανω-
σάντων τοίνυν ὑμῶν ἐμὲ ἐπὶ τούτοις τότε, καὶ γράψαν-
τος Ἀριστονίκου τὰς αὐτὰς συλλαβὰς, ἅσπερ οὑτοσὶ Κτη-
σιφῶν νῦν γέγραφε, καὶ ἀναρρηθέντος ἐν τῷ θεάτρῳ
τοῦ στεφάνου, καὶ δευτέρου κηρύγματος ἤδη μοι τούτου 145
γιγνομένου, οὔτ' ἀντεῖπεν Αἰσχίνης παρὼν, οὔτε τὸν εἰ-
πόντα ἐγράψατο. καί μοι λέγε καὶ τοῦτο τὸ ψήφισμα
λαβών. Λέγε.

Ψήφισμα.

» Ἐπὶ Χαιρωνίδου Ἡγήμονος ἄρχοντος, Γαμηλιῶνος ἕκτῃ 146
» ἀπιόντος, φυλῆς πρυτανευούσης Λεοντίδος, Ἀριστόνικος

ζ. — η. ἐρέτειαν. α.β. — πάντας. α. — ὑπῆρχον. — ἑαυτοῖς. α. — προεῖπε. η. — η. ἐρέτειαν. α. β.γ.ε.ζ. — ἐλέγχεσθαι. α.ε. — ἀφικόμενοι. α.ε. — ἀπήλασαν. α. — περὶ τὸ βῆ μα. γ. — γινομένου. α. — η. — χαιρώνδου. χ.β.Γ.ζ. — ἱσταμένου. χ.ζ.

138 Ἀπὸ τοῦ ὀνόματος μὴ κειμένου ἐπὶ
τῇ ἐπιστολῇ, ἰσχυρίζεται· ὀνομαστὶ μὲν
γὰρ οὐκ ἔγραψεν ὁ Φίλιππος, ὅμως
εἰς αὐτὸν τὸν Δημοσθένην αἰνιττό-
μενος καὶ τοὺς περὶ αὐτόν. Ἔγρα- 138
ψα) Ἐψηφισάμην. Παρεδύετο) 139
Ὡς ἐπὶ λῃστοῦ εἶπε τὴν λέξιν. Τὴν
εἰς Εὔβοιαν) Πρεσβείαν δηλονότι.
Ἔξοδον) Ἔξοδον λέγει αὐτὴν τὴν
στρατιάν. Πρεσβείαν) Ἀντὶ τοῦ στρα-
τιάν. Καὶ τὴν εἰς Ἐρέτειαν) Ἔξο-
δον. Τοὺς ἀποστόλους) Τὴν ναυ-
τικὴν δύναμιν λέγει, ἤγουν τὰς ἐκ-
πλεύσεις τῶν νεῶν. Καθ' οὓς)
Δι' ὧν. Ἀδικουμένων) Ὑπὸ Φι- 140
λίππου. Περιεγένετο) Ὑπῆρξεν.
Ὀλιγωρήσασι) Ἀμελήσασι.
Ἐκβέβηκεν) Εἰς τέλος ἦλθεν. 141
Καὶ μὴν ὅτι, πολλὰ μὲν ἂν χρήμα-
τα) Κατασκευὴ τῶν εἰρημένων καὶ
αὔξησις· ἵνα μή τε ὕπτιος ὁ λόγος
γίγνηται, καὶ ποιήσῃ τὴν πολιτείαν
σεμνοτέραν ἐκ τῆς τῶν χρημάτων κα-
ταφρονήσεως. Ταῦθ' ὑπάρχειν)
Τὰ πολίσματα ὑπάρχειν καθ' ὑ-
μῶν. Καὶ πάντων ἥκιστα σύ) Δη-
λονότι μάλιστα πάντων σύ. Κα- 143
τέλυον) Ἀνεπαύοντο. Προυξένεις)
Προεστάτευες, πρόξενος, ἀνάδοχος
ὑπῆρχες. Σοὶ δὲ ἦσαν φίλοι) Ὡς
τ' ἐφαίνη καὶ κατὰ τοῦτο τῇ θρεψαμένῃ
πολέμιος. Οὐ τοίνυν ἐπράχθη
τούτων οὐδὲν) Οὐ τοίνυν διεφθά-
ρην ὑπὸ χρημάτων ἐγώ· ἵνα ἀκολού-
θως ἐπαγάγῃ, ὦ βλασφημῶν περὶ
ἐμοῦ καὶ λέγων ὡς σιωπῶ μὲν λα-
βὼν, βοῶ δ' ἀναλώσας· εἶτα περι-
τρέπει δείκνυσι τὰ ἴδια τῶν δωροδο-
κούντων, ὡς βοῶσι μὲν ἔχοντες καὶ
συναγωνίζονται τῷ δεδωκότι. τοῦτο δὲ
Αἰσχίνης ποιεῖ. παύονται δὲ οὐδέ-
ποτε ἄλλως, εἰ μὴ ταῖς κολάσεσι.
Τούτων) Ὧν ἐπρέσβευσαν. 144
Καὶ ἀναρρηθέντος ἐν τῷ θεά-
τρῳ) Ἴσως οὐδενὸς ἐπισημηνα-
μένου οὐδὲ γραψαμένου, ἔλαθε
κυρωθὲν τὸ Ἀριστονίκου τὸ ψήφι-
σμα. οἱ δέ φασιν ὅτι, ξενικοῦ στεφά-
νου πεμφθέντος αὐτῷ, διὰ τῶν σε-
σωσμένων, ἔγραψεν Ἀριστόνικος ἐπι-
τρέψαι, καὶ τὸν δῆμον ἀναγορευθῆ-
ναι αὐτὸν ἐν τῷ θεάτρῳ, διὸ καὶ λέ-
γει· στεφανωσάντων τοίνυν ἐμὲ, καὶ
δευτέρου κηρύγματος ἤδη μοι τού-
του γνωσθέντος, ὡς καὶ ἑτέρου περὶ
Ἀριστονίκου τὸ αὐτὸ γράψαντος. ἔοι-
κε δὲ τοῦτο τὸ ψήφισμα εἶναι· εἰ γὰρ εἶχεν,
ἀνέγνω ἄν. διὰ τί ἔρριπται ἁπλῶς. οὐ
μὴν οὐδὲ ληπτέον τὸ δεύτερον κή-
ρυγμα τὸ ἐπὶ Κτησιφῶντος. μετὰ μη-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κρὸν γὰρ ἐρεῖ καὶ περὶ ἄλλων αὐτῷ
γραφεισῶν δωρεῶν, ὑπό τε ὑπερί-
149 δου καὶ δημομέλους. Ἔστιν οὖν ὅστις
ὑμῶν οἶδε) Ἀπὸ τοῦ παρεληλυθότος
κατασκευάζει τὸ νῦν· ἐπὶ γὰρ τοῦ νῦν
στεφάνου εἶπεν ὁ αἰσχίνης ὅτι ὀφλή-
σει πολλὴν αἰσχύνην ἡ πόλις, εἰ τοῦτον
οὐδὲν ἔχοντα χρηστὸν, πάμπολλα δὲ
ἡμαρτηκότα τιμήσειεν. ἀλλ' ἐπειδὴ
τοῦτο ἄδηλον, ἀπὸ τῶν φθασάντων
καὶ ἤδη γενομένων, λαμβάνει τὴν
πίστιν· εἰ γὰρ οὐδὲν ἐπ' ἐκείνων τὴν
αἰσχύνην συμβᾶσαν, οὐκ ἐπιζέτω καὶ
νῦν· καὶ γάρ πως εἰκὸς ἦν μᾶλλον τό-
τε γενέσθαι, ὅτε καὶ νεώτερα ὑπῆρχε
τὰ πράγματα, καὶ ἡ βάσανος ὑπ'
αὐτῶν ἀκριβεστέρα πῶς γίγνεται.
Χλευασμὸν) Εἶδος εἰρωνείας.
150 Ἐάν τε καλῶς ἔχῃ) Καὶ ὦσι συμ-
φέροντα. Ἐὰν δ' ὡς ἑτέρως) Ἐπι-
βλαβῆ. Οὐκοῦν μέχρι μὲν τῶν
χρόνων ἐκείνων) Συλλογίζεται οὕ-
τως· εἰ τοίνυν, φησὶν, οὐδὲν ἐπηκολού-
θησεν ὄνειδος τῇ πόλει ἐκ τῆς γεγραμ-
μένης τιμῆς ὑπὸ τοῦ ἀριστονίκου,
δέδεικται καὶ ὡμολόγηται ὡς ἅπας
ὁ πρὸ τοῦ ψηφίσματος τοῦ βίου μου
χρόνος, πάσης διαβολῆς ἐκαθά-
ρευσε, καὶ φανερῶς ἔνδοξα πεπολίτευ-
μαι· καὶ ἡ μαρτυρία τῶν ἔργων σα-
151 φεστέρα. Ἀνωμολόγημαι) Μία
ἐστὶ λέξις, ἀντὶ τοῦ ἀνακεκήρυγμαι.
Καταπραχθῆναι) Εἰς τέλος ἀ-
153 χθῆναι. Ἐπὶ θράκης) Τὸν τόπον.
Τὸ μὲν πρῶτον ἠξίου συμπολε-
μεῖν) Αὔξει κατὰ καιρὸν τοὺς βυζαν-
τίους, ἐπειδὴ μένει συνάπτειν αὐ-
τοὺς τοῖς ἀθηναίοις. ἱκέτης γέγονε
τῶν βυζαντίων διὰ τὴν χρείαν ὁ
φίλιππος, ἄνευ δαπάνης καὶ ὅπλων
ἀνύσειν προσδοκήσας τὸ σπουδα-
ζόμενον. Λέγοντες ἀληθῆ) Μόνον
οὐ δικαστὴς μέσος τῶν βυζαντίων
καὶ τοῦ φιλίππου γέγονε, μετὰ τὴν ἀμ-
φισβήτησιν διδοὺς τοῖς βυζαντίοις
ὡς νικῶσι τὴν ψῆφον. συναγωνίζε-
ται δὲ εἰκότως αὐτοῖς, ἐπειδὴ προ-
σέκρουσαν τοῖς ἀθηναίοις ἀποστάν-
τες πρότερον. Χαρακώματα)
149 Στήλας. Οὐκέτ' ἐρωτήσω) Ἐν-
ταῦθα οὐκ ἔτ' ἐπάγει τὴν ἐρώτησιν.
φοβούμενος μή τις εἴπῃ ὅτι οὐκ ἐ-
χρῆν· λελύπηνται γὰρ εἰς αὐτοὺς ὡς
ἀποστάντας· πολλάκις γὰρ εἴπομεν
ὅτι εἰ μὴ πάνυ θαρσεῖ ὁ ῥήτωρ ὡς
οὐκ ἀποκρίνεταί τις εἰ μὴ ὃ βού-
λεται, οὐ χρῆται τῷ σχήματι. ἐν-
ταῦθα δὲ τὸ ἀμφίβολον ὡς ὁμο-
λογούμενον φθάσας εἴρηκεν.
115 Ἀλλοτριωθῆναι) Ἀφ' ἡμῶν.

» Φρεάρριος, εἶπεν. ἐπειδὴ Δημοσθένης Δημοσθένους Παια-
» νιεὺς, πολλὰς καὶ μεγάλας χρείας παρέσχηται τῷ δή-
147 μῳ τῶν ἀθηναίων, καὶ πολλοῖς τῶν συμμάχων, καὶ
» πρότερον, καὶ ἐν τῷ παρόντι καιρῷ βεβοήθηκε διὰ
» τῶν ψηφισμάτων, καί τινας τῶν ἐν τῇ εὐβοίᾳ πόλεων
» ἠλευθέρωκε, καὶ διατελεῖ εὔνους ὢν τῷ δήμῳ τῶν ἀ-
» θηναίων, καὶ λέγει καὶ πράττει ὅ, τι ἂν δύνηται ἀγα-
148 θὸν ὑπέρ τε αὐτῶν ἀθηναίων καὶ τῶν ἄλλων ἑλλήνων, δε-
» δόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ τῶν ἀθηναίων, ἐπαινέσαι
» Δημοσθένην Δημοσθένους Παιανιέα, καὶ στεφανῶσαι
» χρυσῷ στεφάνῳ, καὶ ἀναγορεῦσαι τὸν στέφανον ἐν τῷ
» θεάτρῳ, διονυσίοις τραγῳδοῖς καινοῖς. τῆς δὲ ἀναγορεύ-
149 σεως τοῦ στεφάνου, ἐπιμεληθῆναι τὴν πρυτανεύουσαν
φυλὴν, καὶ τὸν ἀγωνοθέτην, εἶπεν ἀριστόνικος Φρεάρ-
ριος. Ἔστιν οὖν ὅστις ὑμῶν οἶδέ τινα αἰσχύνην συμβᾶ-
σαν τῇ πόλει διὰ τοῦτο τὸ ψήφισμα, ἢ χλευασμὸν, ἢ γέ-
λωτα, ἃ νῦν οὗτος ἔφη συμβήσεσθαι, ἐὰν ἐγὼ στεφανῶ-
150 μαι; καὶ μὴν, ὅταν ᾖ νέα καὶ γνώριμα πᾶσι τὰ πράγ-
ματα, ἐάν τε καλῶς ἔχῃ, χάριτος τυγχάνει· ἐὰν δ' ὡς ἑ-
τέρως, τιμωρίας. φαίνομαι τοίνυν ἐγὼ χάριτος τετυχη-
κὼς τότε, καὶ οὐ μέμψεως, οὐδὲ τιμωρίας. οὐκοῦν μέχρι
μὲν τῶν χρόνων ἐκείνων, ἐν οἷς ταῦτ' ἐπράχθη, πάντας
151 ἀνωμολόγημαι τοὺς χρόνους τὰ ἄριστα πράττειν τῇ πό-
λει, τῷ νικᾶν, ὅτ' ἐβουλεύεσθε, λέγων καὶ γράφων· τῷ κα-
ταπραχθῆναι τὰ γραφέντα, καὶ στεφάνους ἐξ αὐτῶν τῇ
πόλει, καὶ ἐμοὶ, καὶ πᾶσιν ὑμῖν γενέσθαι· τῷ θυσίας τοῖς θεοῖς,
καὶ προσόδους, ὡς ἀγαθῶν τούτων ὄντων, ὑμᾶς πεποιῆ-
152 σθαι. ἐπειδὴ τοίνυν ἐκ τῆς εὐβοίας ὁ φίλιππος ἐξηλά-
θη, τοῖς μὲν ὅπλοις, ὑφ' ὑμῶν· τῇ δὲ πολιτείᾳ, καὶ τοῖς
ψηφίσμασι, κἂν διαρραγῶσί τινες τούτων, ὑπ' ἐμοῦ,
ἕτερον κατὰ τῆς πόλεως ἐπιτειχισμὸν ἐζήτει. ὁρῶν δ' ὅτι
σίτῳ πάντων ἀνθρώπων πλείστῳ χρώμεθα ἐπεισάκ-
153 τῳ, βουλόμενος τῆς σιτοπομπείας κύριος γενέσθαι, πα-
ρελθὼν ἐπὶ θράκης, βυζαντίους συμμάχους ὄντας αὐ-
τῷ, τὸ μὲν πρῶτον ἠξίου συμπολεμεῖν τὸν πρὸς ὑμᾶς
πόλεμον· ὡς δ' οὐκ ἤθελον, οὐδ' ἐπὶ τούτοις ἔφασαν
τὴν συμμαχίαν πεποιῆσθαι λέγοντες ἀληθῆ, χαρακώ-
154 ματα βαλόμενος πρὸς τῇ πόλει καὶ μηχανήματ' ἐπι-
στήσας, ἐπολιόρκει. τούτων δὲ γιγνομένων, ὅτι μὲν προ-
σῆκε ποιεῖν ὑμᾶς, οὐκέτ' ἐρωτήσω· δῆλον γάρ ἐστιν ἅπα-
σιν. ἀλλὰ τίς ἦν ὁ βοηθήσας τοῖς βυζαντίοις, καὶ σώσας αὐ-
155 τούς; τίς ὁ κωλύσας τὸν ἑλλήσποντον ἀλλοτριωθῆναι κα-

τ' ἐκεῖ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τ' ἐκείνους τοὺς χρόνους ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι. ὅταν δ' ὑ-
μεῖς ὅταν εἴπω, τὴν πόλιν λέγω. τίς δὴ ὁ τῇ πόλει λέγων,
καὶ γράφων, καὶ πράττων, καὶ ἁπλῶς ἑαυτὸν εἰς τὰ
πράγματα ἀφειδῶς δούς· ἐγώ. ἀλλὰ μὴν, ἡλίκα
ταῦτα ὠφέλησεν ἅπαντας, οὐκ ἐκ λόγου δεῖ μαθεῖν, 156
ἀλλ' ἔργῳ πεπείρασθε· ὁ γὰρ τότε ἐνστὰς πόλεμος, ἄνευ
τοῦ καλὴν δόξαν ἐνεγκεῖν, ἐν πᾶσι τοῖς κατὰ τὸν βίον ἀ-
φθονωτέροις, καὶ εὐωνοτέροις διήγαγεν ὑμᾶς τῆς νῦν εἰ-
ρήνης, ἣν οὗτοι κατὰ τῆς πατρίδος τηροῦσιν οἱ χρηστοί, ἐπὶ
ταῖς μελλούσαις ἐλπίσιν ὧν διαμάρτοιεν, καὶ μὴ μετάσχοιεν 157
ὧν ὑμεῖς οἱ τὰ βέλτιστα βουλόμενοι τοὺς θεοὺς αἰτεῖτε, μη-
δὲ μεταδοῖεν ὑμῖν ὧν αὐτοὶ προῄρηνται. λέγε δὴ αὐ-
τοῖς καὶ τοὺς Βυζαντίων στεφάνους, καὶ τοὺς Περινθίων, οἷς
ἐστεφάνουν ἐκ τούτων τὴν πόλιν.

Ψήφισμα Βυζαντίων. 158

Ἐπὶ ἱερομνάμονος Βοσπορίχω, Δαμάγητος ἐν τᾷ ἁλίᾳ
ἔλεξεν, ἐκ τᾶς βωλᾶς λαβὼν ῥήτραν· ἐπειδὴ ὁ δᾶμος ὁ
Ἀθηναίων, ἔν τε τοῖς προγενομένοις καιροῖς εὐνοέων δια-
τελεῖ Βυζαντίοις, καὶ τοῖς συμμάχοις, καὶ συγγενέσι Περιν-
θίοις, καὶ πολλὰς καὶ μεγάλας χρείας παρέσχηται ἔν τε 159
τῷ παρεστακότι καιρῷ, Φιλίππου τοῦ Μακεδόνος ἐπι-
στρατεύσαντος ἐπὶ τὰν χώραν, καὶ τὰν πόλιν, ἐπ' ἀνα-
στάσει Βυζαντίων, καὶ Περινθίων, καὶ τὰν χώραν δαΐοντος, καὶ
δενδροκοπέοντος, βοηθήσας πλοίοισιν ἑκατὸν καὶ εἴκοσι,
καὶ σίτῳ, καὶ βέλεσι, καὶ ὁπλίταις, ἐξείλετο ἁμὲ ἐκ τῶν 160
μεγάλων κινδύνων, καὶ ἀποκατέστασε τὰν πάτριον πο-
λιτείαν, καὶ τὼς νόμως, καὶ τὼς τάφως, δεδόχθω τῷ δά-
μῳ τῷ Βυζαντίων, καὶ Περινθίων Ἀθηναίοις δόμεν ἐπι-
γαμίαν πολιτείαν, ἐκ τᾶς γᾶς, καὶ οἰκείαν προεδρίαν
ἐν τοῖς ἀγῶσι πόθολον ποτὶ τὰν βωλάν, καὶ τὸν δᾶμον, πρώτοις παρὰ τὰ ἱερά, καὶ 161
τοῖς κατοικεῖν ἐθέλουσι τὰν πόλιν, ἀλειτουργήτοις ἦμεν πασᾶν πρὸς τὰν λειτουργίαν·
στᾶσαι δὲ καὶ εἰκόνας τρεῖς ἑκκαιδεκαπήχεις ἐν τῷ Βοσπορίχῳ, στεφανούμενον τὸν δᾶ-
μον τῶν Ἀθηναίων, ὑπὸ τῷ δάμῳ τῶν Βυζαντίων καὶ Περινθίων· ἀποστεῖλαι δὲ καὶ
δωρείας ἐς τὰς ἐν τᾷ Ἑλλάδι πανηγύριας, Ἴσθμια, καὶ Νέμεα, καὶ Ὀλύμπια, καὶ Πύθια, 162
καὶ ἀνακαρύξαι τῷ στεφάνῳ, ᾧ στεφάνωται ὁ δᾶμος ὁ Ἀθηναίων ὑφ' ἡμῶν, ὅπως
ἐπιστέωνται οἱ Ἕλλανες πάντες, Ἀθηναίων ἀρετάν, καὶ τὰν Βυζαντίων, καὶ Περινθίων
εὐχαριστίαν. λέγε καὶ τοὺς παρὰ τῶν ἐν Χερρονήσῳ στεφάνους.

Ψήφισμα Χερρονησιτῶν.

Χερρονησιτῶν οἱ κατοικοῦντες Σηστόν, Ἐλεοῦντα, Μάδυτον, Ἀλωπεκόννησον, στεφανοῦσιν ἀ- 163
θηναίων τὴν βουλὴν καὶ τὸν δῆμον χρυσῷ στεφάνῳ, ἀπὸ ταλάντων ἑξήκοντα· καὶ Χά-
ριτος βωμὸν ἱδρύονται καὶ δήμου Ἀθηναίων, ὅτι πάντων μέγιστον ἀγαθῶν παραίτιος
γέγονε Χερρονησίταις, ἐξελόμενος ἐκ τῆς Φιλίππου, καὶ ἀποδοὺς τὰς πατρίδας,

Ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι) Εὐ-
καίρως, ὦ ἄνδρες Ἀθηναῖοι εἶπε, καὶ
οὐχὶ ὦ δικασταί, καίτοι πρὸς τοὺς
δικαστὰς διαλεγόμενος· ἐδεῖτο γὰρ
τῆς ἀξίας καὶ φιλανθρωπίας ἐνταῦ-
θα τῶν Ἀθηναίων, διασεσωκότων τοὺς
κινδυνεύοντας. εἶτα ἐπειδὴ τὸ ὑ-
μεῖς ἔμφασιν ἔχει τῶν καθημένων
πρὸς οὓς ὁ λόγος, ἀξιοπίστως ἅμα
καὶ συνετῶς ἐν αὐτοῖς εἶναι τὴν ὅλην
πόλιν διϊσχυρίζεται. Δεῖ μαθεῖν) 156
Ὑμᾶς δηλονότι. Ἐνστὰς πόλεμος)
Καθ' ἡμῶν. Τῆς νῦν εἰρήνης)
Τῆς ἐπὶ Ἀλεξάνδρου· φησὶ γάρ, οὐκ
ἔστι μᾶλλον εἰρήνη, ἀλλὰ δουλεία· ἐποιή-
σατο γὰρ καὶ αὐτὸς πρὸς αὐτοὺς ὥσ-
περ ὁ πατήρ, ὥστε αὐτοὺς αὐτονό-
μους εἶναι καὶ ἀφορολογήτους· ὅμως
μέντοι ὑπακούειν αὐτῶν κατὰ γῆν
καὶ κατὰ θάλατταν. Ἣν) Ἣν τινα εἰ-
ρήνην τηροῦσι μὴ συγχωροῦντες
ἡμᾶς Ἀλεξάνδρῳ πολεμῆσαι διὰ
τὰς μελλούσας ἐλπίδας. ἐλπίζουσι
γὰρ ἐπανελθόντα τὸν Ἀλέξανδρον κατὰ
τῶν Περσῶν, μεγάλα αὐτοῖς χαρί-
ζεσθαι ὡς προδόταις. Ὧν αὐτοὶ 157
προῄρηνται) Τῆς δουλείας δηλο-
νότι. Ῥήτραν) Γνώμην. Παρε- 158
στακότι) Ἤγουν ἐνεστῶτι. Ἀνα-
στάσει) Ἀναστατώσει. Δαΐοντος) 159
Δῃοῦντος καὶ ἀφανίζοντος. Ἐξεί-
λετο ἁμὲ) Ἐξήγαγεν ἐμέ. Ἀπο- 160
κατέστασε) Εἰς τὴν προτέραν κα-
τάστασιν ἐπανήγαγε. Ἐπιγαμίαν)
Συγγενικήν, γνησίαν, ὥσπερ ἀπὸ
γάμου συνελέθησαν, γνήσιοι ὥσπε-
ρ ἦσαν ὁμόφυλοι. Ἀνακαρύ- 162
ξαι) Ἀνακήρυξιν δοῦναι τῷ στεφά-
νῳ. Ἐπιστέωνται) Γινώσκωσιν.
Εὐχαριστίαν) Ἀντίδοσιν. Ἱδρύ- 163
ονται) Καθιδρύουσιν· ἤγουν θεοποι-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

164 τοὺς νόμους, τὴν εὐσέβειαν, τὰ ἱερά. καὶ ἐν τῷ μετὰ ταῦ-
"τα αἰῶνι παντί, οὐκ "ἐπιλείψει εὐχαριστῶν καὶ ποιῶν ὅ, τι *ἐκλείψει. β.γ.
"ἂν δύνηται ἀγαθόν. ταῦτα ἐψηφίσαντο *κοινῷ βουλευ- *ἐν. β.γ.ζ.η.
"τηρίῳ. Οὐκοῦν, οὐ μόνον τὸ Χερρόνησον καὶ Βυζάν-
τιον σῶσαι, οὐδὲ τὸ κωλῦσαι τὸν Ἑλλήσποντον ὑπὸ Φιλίπ
165 πῳ γενέσθαι τότε, οὐδὲ τὸ τιμᾶσθαι τὴν πόλιν ἐκ τού-
των, ἡ προαίρεσις ἡ ἐμή, καὶ ἡ πολιτεία διεπράξατο, γ.
ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις ἔδειξε τήν τε τῆς πόλεως
καλοκαγαθίαν, καὶ τὴν Φιλίππου κακίαν. ὁ μὲν γε
*φίλος καὶ σύμμαχος ὢν τοῖς Βυζαντίοις, πολιορκῶν αὐ- *φίλιππος. γ. β. η.
166 τοὺς ἑωρᾶτο ὑπὸ πάντων. οὗ τί γένοιτ' ἂν αἴσχιον ἢ καὶ. α.
μιαρώτερον; ὑμεῖς δ' οἱ καὶ μεμψάμενοι πολλά, καὶ δί-
καια ἂν ἐκείνοις εἰκότως περὶ ὧν ἠγνωμονήκεσαν εἰς ὑ-
μᾶς ἐν τοῖς ἔμπροσθεν χρόνοις, οὐ μόνον οὐ μνησικα-
κοῦντες, οὐδὲ προϊέμενοι τοὺς ἀδικουμένους, ἀλλὰ καὶ
167 σώζοντες ἐφαίνεσθε, ἐξ ὧν δόξαν, *εὔνοιαν, *παρὰ πάν- *καὶ. η.
των ἐκτᾶσθε. καὶ μήν, ὅτι πολλοὺς μὲν ἐστεφανώκατε *τιμήν. α.
ἤδη τῶν "πεπολιτευμένων, ἅπαντες ἴσασι. δι' ὅν τινα δ' *πολ-
ἄλλον ἡ πόλις ἐστεφάνωται, σύμβουλον λέγω καὶ ῥήτορα, ιτῶν. α.β.γ.
πλὴν δι' ἐμέ, οὐδ' ἂν εἷς εἰπεῖν ἔχοι. ἵνα τοίνυν καὶ τὰς
168 βλασφημίας, ἃς κατὰ τῶν Εὐβοέων καὶ τῶν Βυζαντίων
ἐποιήσατο, εἴ τι δυσχερὲς αὐτοῖς ἐπέπρακτο πρὸς ὑ-
μᾶς ὑπομιμνήσκων, συκοφαντίας οὔσας ἐπιδείξω,
μὴ μόνον τῷ ψευδεῖς εἶναι· τοῦτο μὲν γὰρ ὑπάρχειν ὑμᾶς
εἰδότας ἡγοῦμαι, ἀλλὰ καὶ τῷ, εἰ τὰ μάλιστ' ἦσαν ἀλη-
169 θεῖς, οὕτως, ὡς ἐγὼ κέχρημαι τοῖς πράγμασι συμφέ- *συμφέρει. η.
ρειν χρήσασθαι, ἓν ἢ δύο βούλομαι τῶν καθ' ὑμᾶς πε- χρ.
πραγμένων καλῶν τῇ πόλει διεξελθεῖν, καὶ ταῦτ' ἐν
βραχέσι· καὶ γὰρ ἄνδρα ἰδίᾳ, καὶ πόλιν κοινῇ, πρὸς τὰ
κάλλιστα τῶν ὑπαρχόντων ἀεὶ δεῖ τὰ λοιπὰ πειρᾶσθαι
170 πράττειν. ὑμεῖς τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι, Λακεδαιμο- α.
νίων γῆς καὶ θαλάττης ἀρχόντων, καὶ τὰ κύκλῳ τῆς Ἀττι-
κῆς κατεχόντων ἁρμοσταῖς καὶ φρουραῖς, Εὔβοιαν, Τάνα-
γραν, τὴν Βοιωτίαν ἅπασαν, Μέγαρα, Αἴγιναν, Κλεω-
νάς, τὰς ἄλλας νήσους, οὐ ναῦς, οὐ τείχη τῆς πόλεως τότε
171 κεκτημένης, ἐξήλθετε εἰς Ἁλίαρτον· καὶ πάλιν οὐ πολλαῖς
ἡμέραις ὕστερον εἰς Κόρινθον, τῶν τότε Ἀθηναίων πολλὰ ἂν
ἐχόντων μνησικακῆσαι, καὶ Κορινθίοις, καὶ Θηβαίοις, τῶν πε-

οὖσιν αὐτοῖς τοῖς Ἀθηναίοις.
165 Ἡ προαίρεσις ἡ ἐμή, καὶ ἡ πολιτεία) Ἡ βουλὴ ἡ ἐμή, καὶ ἡ ὑπὲρ τῆς πόλεως πρᾶξις. παρατήρει ὅπως πανταχοῦ τὴν προαίρεσιν καὶ τὴν ἐγχείρησιν ἐξετάζει αὐτούς, ἀλλ' οὐ τὸ τέλος σκοπεῖν. ἐπειδὴ τοῦτο ἀρχὴ ἐπὶ τῇ τύχῃ βούλεται, ὡς οὐκ ὢν ὑπεύθυνος. Πολιορκῶν) Διὰ τὸ μὴ ὑπακοῦσαι αὐτοὺς σὺν ἐκείνῳ πολε-
167 μεῖν ἡμῖν. Ἐξ ὧν) Ἐκ τοῦ δεηθῆναι τοῖς Βυζαντίοις, παριδόντες τὰ πταίσματα. Σύμβουλον λέγω καὶ ῥήτορα) Ἴσως ἡ διαστολὴ πρὸς τοὺς στρατηγούς. Πλὴν δι' ἐμέ) Ἀντὶ τοῦ εἰ μὴ δι' ἐμέ. Ἵνα τοίνυν καὶ τὰς βλασφημίας) Ἐπειδὴ δυστυχοῦντας ἀνθρώποις διέβαλλε, προλύσας ἱκανῶς διὰ τῶν προειρημένων, τὴν ἀντίθεσιν ὁ ῥήτωρ ἔθηκε νῦν φανερῶς. Ἐποιήσατο) Αἰσχίνης
168 δηλονότι. Συκοφαντίας οὔσας) Οὐ μόνον τῷ εἶναι ψευδεῖς. λέγεται γὰρ συκοφάντης οὐχ ὁ ψευδόμενος μόνον, ἀλλὰ καὶ ὁ πολυπραγμονῶν, τὰ μὴ προσήκοντα, καὶ λέγων πονηρά. Τοῦτο) Ὅτι ψευδεῖς ἦσαν.
169 Κέχρημαι) Ἀντὶ τοῦ ἐκεχρήμην. Χρήσασθαι) Βοηθῆσαι αὐτοῖς. Τῶν καθ' ὑμᾶς) Τῶν ἐφ' ὑμῶν, ἐν τῷ χρόνῳ ὑμῶν. Καὶ ταῦτ' ἐν βραχέσι) Ῥήμασι δηλονότι. διὰ τὸ ὀλιγωρεῖν τὸν ἀκροώμενον, ψυχαγωγεῖν βούλεται διὰ παραδειγμάτων σεμνῶν καὶ κατορθωμάτων λαμπρῶν. καὶ τὸ καθ' αὐτὸν ἀπολύσασθαι καὶ δεῖξαι ὡς διὰ τὸ ἔθος ἡ πόλις, οὐ δι' ἐμὲ βεβοήθηκε· καὶ γὰρ ὀφείλει καὶ ἕκαστος ἰδίᾳ, καὶ ἡ πόλις ὅλη, τὰ λοιπὰ πράττειν εἰς ζῆλον τῶν παλαιοτέρων. Τὰ λοιπὰ) Τὰ ἔμ-
170 προσθεν. Ὑμεῖς τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι) Καίτοι παλαιότερα τῶν νῦν ἐστὶ τὰ λεγόμενα, ἀλλὰ δῆλον ὡς πρὸς μίαν πόλιν διαλέγεται· διὸ καὶ εἶπεν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ γένος ὅλον δηλῶν. Οὐ ναῦς, οὐ τείχη) Ἦσαν γὰρ οἱ Λακεδαιμόνιοι λαβόντες αὐτῶν τὰς ναῦς ἐν Αἰγὸς ποταμῷ διὰ Λυσάνδρου, καὶ τὰ τείχη αὐτῶν κατασκάψαντες. ἀπογυμνοῖ δὲ αὐτὴν πάσης παρασκευῆς καὶ δυνάμεως, ἵνα πλέον δυσωπήσῃ τὸν κατήγορον· εἰ γὰρ ὅτε μηδεμίαν ἐκέκτητο δύναμιν, ἀντεῖχεν πρὸς τὴν τοσαύτην δύναμιν φιλανθρω-
171 πίας ἕνεκεν, πῶς ὅτε οὐκ ἀσθενὴς ἦν, ἀλλὰ καὶ σφόδρα ἐπίσημος καὶ δυνατή, προδώσειν τοὺς Ἕλληνας ἔμελλεν. Οὐ πολλαῖς) Ἵνα μὴ ὡς αὐξηθείσης τῆς δυνάμεως λοιπὸν ἐλαττώσῃ τὸ θαῦμα. αὕτη δέ ἐστιν ἡ μεγάλη μάχη ὀνομαζομένη. καὶ ἡττήθησαν Ἀθηναῖοι. ἀλλὰ προεθίζει τοὺς ἀκροατάς, ὅτι καί ποτε τὴν ἧτταν ἐστέρξαντο ὑπὲρ τῶν ἀδικουμένων πολεμήσαντες. ἐξαρκεῖ δὲ τὸ ἐξήλθετε. Τῶν τότε Ἀθηναίων πολλὰ ἂν ἐχόντων) Νῦν ὅτι περὶ τοῦ μὴ δεῖν μνησικακεῖν ἐμνη-

εἰ τὸν δεκελεικὸν πόλεμον προελθόντων, ἀλλ' οὐκ ἐ-
ποίουν τοῦτο οὐδ' ἐγγύς. καίτοι τότε ταῦτα ἀμφότερα
αἰσχύνη, οὔθ' ὑπὲρ εὐεργετῶν ἐποίουν, οὔτε ἀκίνδυνα 172
ἑώρων. ἀλλ' οὐ διὰ ταῦτα προΐεντο τοὺς καταφεύγον-
τας ἐφ' ἑαυτούς. ἀλλ' ὑπὲρ εὐδοξίας καὶ τιμῆς ἤθελον
τοῖς δεινοῖς αὐτοὺς διδόναι, ὀρθῶς καὶ καλῶς βουλευόμε-
νοι. πέρας μὲν γὰρ ἅπασιν ἀνθρώποις ἐστὶ τοῦ βίου ὁ
θάνατος, κἂν ἐν οἰκίσκῳ τις αὐτὸν καθείρξας τηρῇ. δεῖ 173
δὲ τοὺς ἀγαθοὺς ἄνδρας ἐγχειρεῖν μὲν ἅπασιν ἀεὶ τοῖς κα-
λοῖς, τὴν ἀγαθὴν προβαλλομένους ἐλπίδα, φέρειν
δ' ὅ,τι ἂν ὁ θεὸς διδῷ, γενναίως. ταῦτ' ἐποίουν οἱ ἡ-
μέτεροι πρόγονοι, ταῦθ' ὑμῶν οἱ πρεσβύτεροι. οἳ λα-
κεδαιμονίους οὐ φίλους ὄντας οὐδ' εὐεργέτας, ἀλλὰ πολ- 174
λὰ τὴν πόλιν ἡμῶν ἠδικηκότας καὶ μεγάλα, ἐπειδὴ θη-
βαῖοι κρατήσαντες ἐν λεύκτροις ἀνελεῖν ἐπεχείρουν,
διεκωλύσατε, οὐ φοβηθέντες τὴν τότε θηβαίοις ῥώ-
μην, καὶ δόξαν ὑπάρχουσαν, οὐδ' ὑπὲρ οἷα πεποιη-
κότων ἀνθρώπων κινδυνεύσετε διαλογισάμενοι. καὶ 175
γάρτοι πᾶσι τοῖς ἕλλησιν ἐδείξατε ἐκ τούτων, ὅτι κἂν ὁ-
τιοῦν τις εἰς ὑμᾶς ἐξαμάρτῃ, τούτῳ τὴν ὀργὴν εἰς τἆλλα
ἔχετε. ἂν δ' ὑπὲρ σωτηρίας, ἢ ἐλευθερίας κίνδυνός τις
αὐτοὺς καταλαμβάνῃ, οὔτε μνησικακήσετε, οὔτε ὑπο-
λογιεῖσθε, καὶ οὐκ ἐπὶ τούτων μόνον οὕτως ἐσχήκατε, ἀλ- 176
λὰ πάλιν σφετεριζομένων θηβαίων τὴν εὔβοιαν, οὐ
περιείδετε· οὐδ' ὧν ὑπὸ θεμίσωνος, καὶ θεοδώρου περὶ
ὠρωπὸν ἠδίκησθε, ἀνεμνήσθητε, ἀλλ' ἐβοηθήσατε καὶ
τούτοις τῶν ἐθελόντων, τριηράρχων τότε πρῶτον γενο-
μένων τῇ πόλει, ὧν εἷς ἦν ἐγώ. ἀλλ' οὔπω περὶ τούτων. 177
καίτοι, καλὸν μὲν ἐποιήσατε, καὶ τὸ σῶσαι τὴν νῆσον πολ-
λῷ δ' ἔτι τούτου κάλλιον, τὸ καταστάντες κύριοι, καὶ τῶν
σωμάτων, καὶ τῶν πόλεων, ἀποδοῦναι ταῦτα δικαίως αὐ-
τοῖς τοῖς ἐξημαρτηκόσιν εἰς ὑμᾶς, μηδὲν ὧν ἠδίκησθε, ἐν
οἷς ἐπιστεύθητε, ὑπολογισάμενοι. μυρία τοίνυν ἕτε- 178
ρα εἰπεῖν ἔχων, παραλείπω, ναυμαχίας, ἐξόδους, πε-
ζὰς στρατείας, καὶ πάλαι γεγονυίας, καὶ νῦν ἐφ' ὑμῶν
αὐτῶν, ἃς ἁπάσας ἡ πόλις τῆς τῶν ἄλλων ἕνεκ' ἑλλήνων
ἐλευθερίας καὶ σωτηρίας πεποίηται. εἶτα ἐγὼ τεθεωρη-
κὼς ἐν τοσούτοις καὶ τοιούτοις τὴν πόλιν ὑπὲρ τῶν τοῖς ἀλ- 179

μόνουσιν, εἶτα τοῖς τότε ἀθηναίοις, καίτοι γε τοῖς τοῦ αὐτοῦ ὡς εἰπομένοις λογισάμενος. Τοῦτο) Τὸ μνησικακῆσαι. Εὐεργετῶν) Μὴ ἐχθρῶν. 172 Ἀλλ' ὑπὲρ εὐδοξίας καὶ τιμῆς) Ἵνα μὴ δόξωσιν ὡς μισοῦντες ἀμυνόμενοι λακεδαιμονίους ὄντας ἐχθρούς, πεποιῆσθαι πόλεμον. τὸ δὲ ἤθελον, δι' οὐ δημοσθένους αὐτοῖς ἐρεθίζοντος. ὁ λόγος, φησίν, ἐξ ἧς ἡμέτερος, ἀλλὰ ἡ φύσις ἐκείνη πρὸς τὴν πρᾶξιν. εἶτα ἐπικρίνει καὶ βεβαιοῖ, τῶν πατέρων τὴν γνώμην ἀποδεχόμενος, καὶ τοῖς κοινοῖς λογισμοῖς κυροῖ τὸ πολίτευμα. ὥστε δοκεῖν μὲν παρὰ τοῖς ἀθηναίοις δημηγορεῖν, ἅπασι δὲ συμβουλεύειν ἀνθρώποις τὰ χρήσιμα. Ὀρθῶς) Δικαίως καὶ συμφερόντως. Κἂν ἐν οἰκίσκῳ τις αὐτὸν) 173 Φασὶ τὸν ὀρνέων οἶκον οὕτω καλεῖσθαι παρὰ ἀττικοῖς. λέγει οὖν ὅτι κἂν μεταβάλῃ τὴν δίαιταν, κἂν ὄρνις εἶναι νομίζηται, ἀποθανεῖται πάντως καὶ μὴ δεικνὺς ἑαυτόν, ἀλλ' οὕτω κρυπτόμενος. Καθείρξας) Περικλείσας. Ἀγαθοὺς) Ἀνδρείους. Ἐγχειρεῖν μὲν ἅπασιν ἀεί) Πάλιν τὴν ἐπιχείρησιν ἐπαινεῖ, τὸ δὲ πέρας οὐκ ἀναδέχεται. Καλοῖς) Ἀγαθοῖς πράγμασι. Τὴν ἀγαθὴν προβαλλομένους) Ὥσπερ πρόβολον, πρὸ ὀμμάτων ἔχοντας τὸ νικᾶν. Ταῦθ' ὑμῶν οἱ πρεσβύτεροι) Τί λέγεις τοὺς πάλαι προγόνους, φησί, καὶ ὑμῶν οἱ ζῶντες πρεσβύτεροι, ταύτην ἤσκουν τὴν γνώμην· οἳ καὶ τῶν λακεδαιμονίων κινδυνευόντων ἐφείσαντο, ἡνίκα οἱ κρατήσαντες αὐτῶν ἐν λεύκτροις διαφθείρειν ἐσπούδαζον. οὐκοῦν ἐπὶ τοῦ κινδυνεύειν κατὰ νόμον, ὡς δυστυχοῦσι μὲν ὀργίζεσθαι τοῖς ἐχθροῖς ἐπιλαθόμενοι δὲ ἐπαμύνειν. Οὐδ' ὧν 176 ὑπὸ Θεμίσωνος) Θεμίσων τε καὶ Θεόδωρος εὐβοεῖς*, ἐπιθέμενοι ὠρωπῷ, χωρίῳ ἀθηναίων, κειμένῳ μεταξὺ τῆς ἀττικῆς τῆς βοιωτίας, ἔλαβον αὐτό. ὡς δὲ ἀθηναῖοι ἔμελλον πολεμεῖν, ἔδοξε δίκῃ μᾶλλον κρίνεσθαι. τὸν δὲ μέχρι τῆς κρίσεως χρόνον θηβαῖοι ἔφασαν αὐτοὶ λαβόντες φυλάξειν τὸ χωρίον. ὡς δὲ ἔλαβον, "οὐδὲ ἑτέροις ἀπέδοσαν, μέχρις οὗ ὁ φίλιππος ὕστερον "ἀπενδόμενος ἀθηναίοις ἐν τῷ ἀναχωρεῖν ἐπὶ μακεδονίαν, ἐχαρίσατο αὐτοῖς τοῖς ἀθηναίοις, ἀπὸ θηβαίων λαβών. Τῶν ἐθελόντων) Οὐ χειροτονησάσης τῆς πόλεως τριηράρχους, ἀλλὰ τῶν ἐθελόντων γενομένων τριηράρχων. Τὴν νῆσον) Τὴν εὔβοιαν. Καὶ τῶν πόλεων) Τῆς εὐβοίας. Αὐτοῖς τοῖς ἐξημ.) Τοῖς εὐβοεῦσι. 177 Μηδὲν ὧν ἠδίκησθε) Νομοθετεῖ πάλιν ὁ ῥήτωρ τὰ κάλλιστα φιλοσοφῶν· οὐ δεῖ γὰρ ἂν ἔχοι λόγον ἀδικεῖν τοὺς πιστεύοντας. Ἐξόδους) Ἐκστρατείας. Τεθεωρηκὼς) Γεγονηκώς. 178

*ὄντες. β.

"οὐκ ἐδίδοσαν, ἀλλ' εἶχον αὐτοί. β.

"ἀπεισάμενος. β.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λοις συμφερόντων ἐθέλουσιν ἀγωνίζεσθαι, ὑπὲρ αὐτῶν
τούτων ἵνα τῆς συμβολῆς οὔσης, τί ἔμελλον κελεύσειν, ἢ τί
συμβουλεύσειν αὐτῇ ποιεῖν, μνησικακήσειν νὴ Δία πρὸς
180 τοὺς βουλομένους σώζεσθαι, καὶ προφάσεις ζητεῖν, δι᾽ ἃς
ἅπαντα προησόμεθα τὰ συμφέροντα; καὶ τίς οὐκ ἂν
ἀπέκτεινέ με δικαίως, εἴ τι τῶν ὑπαρχόντων τῇ πόλει κα-
λῶν, λόγῳ μόνον καταισχύνειν ἐπεχείρησα· ἐπεὶ τόγε ἔρ-
γον, οὐκ ἂν ἐποιήσατε ὑμεῖς, ἀκριβῶς οἶδα ἐγώ· εἰ γὰρ
181 ἠβούλεσθε, τί ἦν ἐμποδών· οὐκ ἐξῆν; οὐχ ὑπῆρχον οἱ
ταῦτα ἐροῦντες οὗτοι; βούλομαι τοίνυν ἐπανελθεῖν ἐφ᾽ ἃ
τούτων ἑξῆς ἐπολιτευόμην· καὶ σκοπεῖτε ἐν τούτοις πά-
λιν αὖ, τί τὸ τῇ πόλει βέλτιστον ἦν· ὁρῶν γὰρ, ὦ ἄνδρες ἀθη-
ναῖοι, τὸ ναυτικὸν ὑμῶν καταλυόμενον, καὶ τοὺς μὲν πλου-
182 σίους, ἀτελεῖς ἀπὸ μικρῶν ἀναλωμάτων γιγνομένους· τοὺς δὲ
μέτρια, ἢ μικρὰ κεκτημένους τῶν πολιτῶν, τὰ ὄντα
ἀπολλύντας, ἔτι δ᾽ ὑστερίζουσαν ἐκ τούτων τὴν πόλιν,
τῶν καιρῶν, ἔθηκα νόμον, καθ᾽ ὃν, τοὺς μὲν, τὰ δίκαια ποιεῖν
ἠνάγκασα τοὺς πλουσίους· τοὺς δὲ πένητας, ἔπαυσα ἀδι-
183 κουμένους· τῇ πόλει δ᾽ ὅπερ ἦν χρησιμώτατον, ἐν καιρῷ
γίγνεσθαι τὰς παρασκευὰς ἐποίησα, καὶ γραφεὶς τὸν ἀ-
γῶνα τοῦτον παρανόμων, εἰς ὑμᾶς εἰσῆλθον, καὶ ἀπέφυ-
γον. καὶ τὸ πέμπτον μέρος τῶν ψήφων, ὁ διώκων οὐκ ἔλα-
βε. καίτοι πόσα χρήματα τοὺς ἡγεμόνας τῶν συμμοριῶν,
184 ἢ τοὺς δευτέρους, καὶ τρίτους οἴεσθέ μοι διδόναι, ὥστε μά-
λιστα μὲν μὴ θεῖναί με τὸν νόμον τοῦτον, εἰ δὲ μὴ, κα-
ταβαλόντα με ἐᾶν ἐν ὑπωμοσίᾳ. τοσαῦτα ὦ ἄνδρες
ἀθηναῖοι, ὅσα ὀκνήσαιμ᾽ ἂν πρὸς ὑμᾶς εἰπεῖν. καὶ ταῦ-
τ᾽ εἰκότως ἔπραττον ἐκεῖνοι· ἦν γὰρ αὐτοῖς, ἐκ μὲν τῶν
185 προτέρων νόμων, συνεκκαίδεκα λειτουργεῖν, αὐτοῖς μὲν
μικρὰ καὶ οὐδὲν, ἀναλίσκουσι· τοὺς δ᾽ ἀπόρους τῶν πο-
λιτῶν, ἐπιτρίβουσιν· ἐκ δὲ τοῦ ἐμοῦ νόμου, τὸ γιγνόμε-
νον κατὰ τὴν οὐσίαν ἕκαστον τιθέναι. καὶ δυοῖν ἐφάνη τριή-
ραρχος ὁ τῆς μιᾶς, ἕκτος καὶ δέκατος ὢν πρότερον συν-
186 τελής· οὐδὲ γὰρ τριηράρχους ἐπωνόμαζον ἑαυτοὺς, ἀλ-
λὰ συντελεῖς. ὥστε δὴ ταῦτα λυθῆναι, καὶ μὴ τὰ δίκαια
ποιεῖν ἀναγκασθῆναι, οὐκ ἔσθ᾽ ὅ, τι οὐκ ἐδίδοσαν. καί
μοι λέγε, πρῶτον μὲν τὸ ψήφισμα, καθ᾽ ὃ εἰσῆλθον τὴν
187 γραφήν. εἶτα τοὺς καταλόγους, τόν τε ἐκ τοῦ προτέρου νόμου, καὶ τὸν κατὰ τὸν ἐμόν. λέγε.

Ψήφισμα.

„ Ἐπὶ ἄρχοντος Πολυκλέους, μηνὸς Βοηδρομιῶνος, ἕκτῃ ἐπὶ δέκα, φυλῆς πρυτανευού-
„ σης Ἱπποθοωντίδος, Δημοσθένης Δημοσθένους Παιανιεὺς, εἰσήνεγκε νόμον εἰς τὸ τρι-
188 ηραρχικὸν ἀντὶ τοῦ προτέρου, καθ᾽ ὃ αἱ συντέλειαι ἦσαν τῶν τριηράρχων. καὶ ἐπεχειροτόνησεν
ἡ βου-

Συμβολῆς οὔσης) Τοῦ βοηθῆναι τοὺς Βυζαντίους. Τί ἔμελλον κελεύσειν) Παραινέσειν. τὸ ἀξίωμα τοῦ συμβόλου, διὰ τοῦ κελεύειν ἐδήλωσεν, ὑπὲρ αὐτῆς τούτου ἵνα τῆς βουλῆς οὔσης· οἷον, ἐν οἷς ἐδοκοῦμεν ἄλλοις βοηθεῖν, καὶ τὸ λυσιτελὲς ἠνύετο τῆς πόλεως ἤδη· λέγω τὸ συμμαχεῖν Βυζαντίοις· ἐδόκει γὰρ τῷ φαινομένῳ μὲν Βυζαντίους ὠφελεῖν· ὠφελεῖ δὲ καὶ τὴν πόλιν διὰ τὴν σιτοπομπείαν.
180 Σώζεσθαι) Βυζαντίους. Οὐκ
181 ἐξῆν) Ἄδειαν εἶχε τι. Βούλομαι τοίνυν ἐπανελθεῖν) Τοῖς εἰρημένοις ὑπαιτίοις οὖσιν, ἀναμίξαι πάλιν τὴν μνήμην τῶν ἀγαθῶν ἐπείγεται, ἵνα στείλῃ τῶν ἐπαίνων τὴν μέμψιν. Τούτων ἑξῆς) Ἐχόμενα τῶν προειρημένων. Ὁρῶν γὰρ, ὦ ἄνδρες ἀθηναῖοι, τὸ ναυτικὸν ὑμῶν) Ὅρα τοῦ φροντίζοντος τὴν διάνοιαν. τὸ καταλυόμενον δὲ, τὸ κατὰ μικρὸν ἀφανίζεσθαι μέλλον. Τὸ ναυτικὸν)
182 Τάγμα. Ἀναλωμάτων) Δαπανημάτων. Τὰ ὄντα) Τὰ προσόντα αὐτοῖς. Ἔθηκα νόμον) Ἐνομοθέτησα· οὐ γὰρ ἐπείθοντο ψιλοῖς λόγοις οἱ πλούσιοι· εἶτα ἐπειδὴ τὸ ἀναγκάζειν ὕποπτον ἦν, ἐπήγαγεν εὐθὺς τὰ δίκαια ποιεῖν· δεῖ γὰρ καὶ ἄκοντας ἐμβάλλειν εἰς τὰ κατὰ τοὺς οἰκείους· ἀνεπαχθῶς γὰρ τὸν κατὰ τῶν πλουσίων μετεχειρίσατο λόγον, μεταλήψει τῶν ὀνομάτων εἰς τὸ χρήσιμον* με- *τὴν ζωήν. α
183 ταλλάξας. Παρασκευὰς) Τὰς πολεμικὰς ἑτοιμασίας. Καὶ γραφεὶς) Κατηγορηθεὶς παρανόμων.
184 Ὑπωμοσίᾳ) Ὑποθέσει, σκήψει, προφάσει· ἔστι γὰρ ὑπωμοσία, τὸ ὑπερτίθεσθαι δίκην, ἤγουν ἀναβάλλεσθαι. συνωμοσία δὲ τὸ κατὰ τινας βουλεύσασθαι καὶ ἀλλήλους ὅρκοις συνδεῖσθαι, μὴ ἀποστῆναι τοῦ ἀτόπου βουλεύματος, μέχρις ἂν τοῦτο τελεσθείη.
185 Ὀκνήσαιμι) Ἀναδυοίμην. Λειτουργεῖν) Συνεισφέρειν. Γιγνόμενον) Ὀφειλόμενον. Τιθέναι) Καταπιθέναι, διδόναι. Δυοῖν)
187 Νηῶν. Κατὰ τὸν ἐμὸν) Ὡς ἐμοὶ δοκεῖ. Προτέρου) Τοῦ νόμου.
188 Συντέλειαι) Συγκροτήσεις. Ἐπεχειροτόνησεν) Ἐπεψηφίσατο. ἐπιχειροτονία ἡ κατάστασις τῆς βουλῆς.

βουλῆς. γ.η.
ἤμελλον. α.
συμβουλεύειν α.η.
μνησικακεῖν. α.β.η.
α.η.
η.
αἰσχύνειν. α.
ποτε. α.
ἐποιήσασθε. α
α.
α.
γιγνομένους. α.β.γ.
καί. α.
α.
εἰς. α.β.
με. γ.
α.
α.β.γ.
ταῦτα. α.
α.
ἐγὼ. α.γ.
α.
ἐπωνόμαζον αὐτούς. α.
νόμον. α.β.
προτέρου. β.
ὧν. β. ὄν. γ. ζ.

ἡ βουλὴ καὶ ὁ δῆμος καὶ ἀπήνεγκε παρανόμων γραφὴν δη- 188
μοσθένει πατροκλῆς φλυεύς. καὶ τὸ μέρος τῶν ψήφων οὐ
λαβὼν, ἀπέτισε τὰς πεντακοσίας δραχμάς. φέρε δὴ καὶ
τὸν καλὸν κατάλογον.

## Κατάλογος.

189
Τοὺς τριηράρχους καλεῖσθαι ἐπὶ τὴν τριήρη συνεκ-
καίδεκα ἐκ τῶν ἐν τοῖς λόχοις συντελειῶν, ἀπὸ εἴκοσι
καὶ πέντε ἐτῶν εἰς τετταράκοντα, ἐπὶ ἴσον τῇ χορηγίᾳ
χρώμενον. φέρε δὴ παρὰ τοῦτον τὸν ἐκ τοῦ ἐμοῦ νόμου
κατάλογον. 190

## Κατάλογος.

Τοὺς τριηράρχους αἱρεῖσθαι ἐπὶ τὴν τριήρη, ἀπὸ τῆς
οὐσίας κατὰ τίμησιν, ἀπὸ ταλάντων δέκα· ἐὰν δὲ πλειόνων
ἡ οὐσία ἀποτετιμημένη ᾖ χρημάτων, κατὰ τὸν ἀναλογισμὸν, 191
ἕως τριῶν πλοίων καὶ ὑπηρετικοῦ ἡ λειτουργία ἔστω· κατὰ
τὴν αὐτὴν δὲ ἀναλογίαν ἔστω, καὶ οἷς ἐλάττων οὐσία ἐστὶ
τῶν δέκα ταλάντων, εἰς συντέλειαν συναγομένοις εἰς
τὰ δέκα τάλαντα. Ἆρά γε μικρὰ βοηθῆσαι τοῖς πένη-
σιν ὑμῖν δοκῶ, ἢ μικρὰ ἀναλῶσαι ἄν, τοῦ μὴ τὰ δίκαια 192
ποιεῖν ἐθέλειν οἱ πλούσιοι; οὐ τοίνυν μόνον τῷ μὴ καθυφεῖ-
ναι ταῦτα σεμνύνομαι, οὐδὲ τῷ γραφεὶς ἀποφυγεῖν,
ἀλλὰ καὶ τῷ συμφέροντα θεῖναι τὸν νόμον, καὶ τῷ πεῖραν
ἔργῳ δεδωκέναι· πάντα γὰρ τὸν πόλεμον τῶν ἀποστόλων
γιγνομένων κατὰ τὸν νόμον τὸν ἐμὸν, οὐχ ἱκετηρίαν ἔθηκε 193
τριήραρχος οὐδεὶς πώποτε ὡς ἀδικούμενος παρ' ὑμῖν,
οὐκ ἐν μουνυχίᾳ ἐκαθέζετο, οὐχ ὑπὸ τῶν ἀποστολέων
ἐδέθη· οὐ τριήρης οὔτ' ἔξω καταληφθεῖσα ἀπώλετο τῇ
πόλει, οὔτ' αὐτοῦ ἀπελείφθη, οὐ δυναμένη ἀνάγεσθαι.
καίτοι κατὰ τοὺς προτέρους νόμους, ἅπαντα ταῦτα ἐγί- 194
γνετο. τὸ δ' αἴτιον, ἐν τοῖς πένησιν ἦν, τὸ λειτουργεῖν μὴ
δύνασθαι· πολλὰ δὴ τὰ ἀδύνατα συνέβαινεν. ἐγὼ δ' ἐκ
τῶν ἀπόρων εἰς τοὺς εὐπόρους μετήνεγκα τὰς τριηραρ-
χίας. πάντ' οὖν τὰ δέοντα ἐγίγνετο. καὶ μὴν καὶ κατ' αὐ-
τὸ τοῦτο, ἄξιός εἰμι ἐπαίνου τυχεῖν, ὅτι πάντα τὰ τοιαῦτα 195
προῃρούμην πολιτεύματα, ἀφ' ὧν ἅμα δόξαι καὶ τι-
μαὶ καὶ δυνάμεις συνέβαινον τῇ πόλει· βάσκανον δὲ, καὶ πι-
κρὸν, καὶ κακόηθες οὐδέν ἐστι πολίτευμα ἐμὸν, οὐδὲ ταπει-
νὸν, οὐδὲ τῆς πόλεως ἀνάξιον. ταὐτὸ τοίνυν ἦθος ἔχων ἔν
τε τοῖς κατὰ τὴν πόλιν πολιτεύμασι, καὶ ἐν τοῖς ἑλληνικοῖς 196
φανήσομαι. οὔτε γὰρ ἐν τῇ πόλει τὰς παρὰ τῶν πλουσίων χάριτας μᾶλλον, ἢ τὰ τῶν

Φέρε δὴ καὶ τὸν καλὸν κατάλογον) 188
Ἐν ἤθει καὶ ἐν εἰρωνείᾳ· τὸν γράψαντα
γάρ πως κατέλεγε. Συντελειῶν) 189
Συνδόσεων. Πλειόνων) Τῶν δέ- 190
κα ταλάντων. Ἀποτετιμημένη ᾖ)
Ἤγουν ἔχῃ ἐκτίμησιν. Ἀναλο-
γισμὸν) Λογαριασμόν. Λειτουρ-
γία) Σύγκροτησις. Ἆρά γε μι- 191
κρὰ βοηθῆσαι τοῖς πένησιν) Οὐχ ἁ-
πλῶς πένησιν, ἀλλὰ καὶ ὑμῖν. Οὐ
τοίνυν μόνον τῷ μὴ) Ἀνακεφαλαι-
οῦται, τὴν αὔξησιν προστεθείς, οὐ
κατὰ τοῦτο μόνον αὐχῶ, ὅτι μὴ προὔ-
δωκα τὴν γραφὴν, ἀλλ' ὅτι καὶ αὐ-
τὸς ὁ νόμος ἐπιτέθη τῇ πείρᾳ·
ἔστι γὰρ, ἀπάτη μὲν τινῶν, εἶναι δὲ ἀ-
σύμφορον· ὅθεν τὴν ἀπὸ τῶν πρα-
γμάτων ἀπόδειξιν εἰς συμμαχίαν
καλῶν, τὰ ἑξῆς ἐπάγει κατὰ ἀναίρε-
σιν, οὐκ ἐν μουνυχίᾳ ἐκαθέζετο. ση-
μαίνει δ' ὅτι ἱκέτης ἦν ὁ τριήραρ-
χος. οὐ δεσμωτήριον ἑώρων οἱ ἄρχον-
τες οὗτοι οἱ τῶν ἀθηναίων ἀπόστο-
λοι καλούμενοι. Καθυφεῖναι) Ἐν-
δοῦναι πρὸς τὰς τῶν πλουσίων αἰ-
τήσεις. Γραφεὶς) Κατηγορηθείς.
Πεῖραν) Αἴσθησιν τοῦ συμφέρον- 192
τος. Πάντα γὰρ τὸν πόλεμον) Κα-
τὰ πάντα τὸν καιρὸν τοῦ πολέμου.
Οὐκ ἐν μουνυχίᾳ) Μουνύχιον,
τόπος περὶ τὸν πειραιᾶ, ἔνθα ἐστὶν
ἱερὸν μουνυχίας ἀρτέμιδος· κἀκεῖ
ἔφυγον, οἵ τινες τῶν τριηράρχων
ἠδικοῦντο, ἢ ναῦται, ἢ τινὲς τῶν
ἐξεταζομένων ἐν πειραιεῖ. ἐκλή-
θη δὲ μουνύχιον, ὥς φησιν ὁ διό-
δωρος παραφέρων τὰ ἑλλανίκου, λέ-
γων, ὡς ὅτι θρᾷκές ποτε στρατεύ-
σαντες κατὰ τῶν οἰκούντων τὸν μινυὸν — τῶν μινυῶν ὀρ-
ὀρχομενὸν τὸν τῆς βοιωτίας, ἐξέβα- — χομενῶν τὴν β
λον αὐτοὺς ἐκεῖθεν. οἱ δὲ ἐξαναστάν-
τες, ἦλθον εἰς ἀθήνας ἐπὶ μουνύ-
χου βασιλέως· ὁ δὲ ἐπέτρεψεν αὐ-
τοῖς οἰκῆσαι τὸν τόπον τὸν περὶ τὴν — τὴν μουνυχίαν
μουνυχίαν· ὅστις ἐπωνομάσθη παρ' — καλούμενον. β
αὐτῶν εἰς τιμὴν τοῦ βασιλέως.
Ἀποστολέων) Ἀποστολεῖς, οἱ ἐπιστάται
τῶν πλοίων. ὄνομα ἀρχῆς παρὰ
τοῖς ἀθηναίοις ἔργον ἐχούσης τὸ
φροντίζειν τῆς ναυτικῆς δυνάμεως,
καὶ τὸ ταχέως ἐξελθεῖν. Οὔτ' αὐτοῦ 193
ἀπελείφθη) Ἐν τῷ λιμένι αἱ ἐπισκευ-
ασος. Ἀπόρων) Πενήτων. Εὐπό- 194
ροις) Πλουσίοις. Μετήνεγκα) Ἡ
λέξις δηλοῖ τὸ αἰεξίκακον. Δέον-
τα) Συμφέροντα. Βάσκανον δὲ, 195
καὶ πικρὸν, καὶ κακόηθες) Ἀποτείνεται
πρὸς τὸν αἰσχίνην διὰ φθόνον τοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λοις συμφερόντων ἐθελουσὴν ἀγωνίζεσθαι, ὑπὲρ αὐτοῦ βουλῆς. γ. η.
εἶπον τινὰ τῆς συμβολῆς οὔσης, τί ἔμελλον κελεύσειν, ἢ τί ἤμελλον. α.
συμβουλεύσειν αὐτῇ ποιεῖν, μνησικακῆσαι νὴ Δία πρὸς συμβουλεύειν α. η.
180 τοὺς βουλομένους σώζεσθαι, καὶ προφάσεις ζητεῖν, δι' ἃς μνησικακεῖν. α. β. η.
ἀπωσόμεθα τὰ συμφέροντα; καὶ τίς οὐκ ἂν α. η.
ἀπέκτεινέ με δικαίως, εἴ τι τῶν ὑπαρχόντων τῇ πόλει κα- η.
λῶν, λόγῳ μόνον καταισχύνειν ἐπεχείρησα· ἐπεὶ τό γε ἔρ- αἰσχύνειν. α.
γον, οὐκ ἂν ἐποιήσατε ὑμεῖς, ἀκριβῶς οἶδα ἐγώ· εἰ γὰρ τότε. α. ἐποιήσασθε. α.
181 ἠβούλεσθε, τί ἦν ἐμποδών· οὐκ ἐξῆν; οὐχ ὑπῆρχον οἱ α.
ταῦτα ἐροῦντες οὗτοι; βούλομαι τοίνυν ἐπανελθεῖν ἐφ' ἃ
τούτων ἑξῆς ἐπολιτευόμην· καὶ σκοπεῖτε ἐν τούτοις πά-
λιν αὖ, τί ἦν τῇ πόλει βέλτιστον· ὁρῶν γάρ, ὦ ἄνδρες Ἀθη- α.
ναῖοι, τὸ ναυτικὸν ὑμῶν καταλυόμενον, καὶ τοὺς μὲν πλου-
182 σίους, ἀτελεῖς ἀπὸ μικρῶν ἀναλωμάτων γινομένους· τοὺς δὲ γιγνομένους. α. β. γ.
μέτρια, ἢ μικρὰ κεκτημένους τῶν πολιτῶν, τὰ ὄντα καὶ. α.
ἀπολλύντας, ἔτι δ' ὑστερίζουσαν ἐκ τούτων τὴν πόλιν, α.
τῶν καιρῶν, ἔθηκα νόμον, καθ' ὃν, τοὺς μὲν, τὰ δίκαια ποιεῖν
ἠνάγκασα τοὺς πλουσίους· τοὺς δὲ πένητας, ἔπαυσα ἀδι-
183 κουμένους· τῇ πόλει δ' ὅπερ ἦν χρησιμώτατον, ἐν καιρῷ
γίγνεσθαι τὰς παρασκευὰς ἐποίησα, καὶ γραφεὶς τὸν ἀ- εἰς. α. β.
γῶνα τοῦτον παρανόμων, εἰς ὑμᾶς εἰσῆλθον, καὶ ἀπέφυ-
γον. καὶ τὸ πέμπτον μέρος τῶν ψήφων, ὁ διώκων οὐκ ἔλα-
βε. καίτοι πόσα χρήματα τοὺς ἡγεμόνας τῶν συμμοριῶν,
184 ἢ τοὺς δευτέρους, καὶ τρίτους οἴεσθέ μοι διδόναι, ὥστε μά- με. γ.
λιστα μὲν μὴ θεῖναι με τὸν νόμον τοῦτον, εἰ δὲ μή, κα- α. α. β. γ.
ταβαλόντα με ἐᾶν ἐν ὑπωμοσίᾳ. τοσαῦτα ὦ ἄνδρες τοσαῦτα. α.
Ἀθηναῖοι, ὅσα ὀκνήσαιμ' ἂν πρὸς ὑμᾶς εἰπεῖν. καὶ ταῦ- α. ἐγὼ. α. β.
τ' εἰκότως ἔπραττον ἐκεῖνοι· ἦν γὰρ αὐτοῖς, ἐκ μὲν τῶν
185 προτέρων νόμων, συνεκκαίδεκα λειτουργεῖν, αὐτοῖς μὲν
μικρὰ καὶ οὐδέν, ἀναλίσκουσι· τοὺς δ' ἀπόρους τῶν πο-
λιτῶν, ἐπιτρίβουσιν· ἐκ δὲ τοῦ ἐμοῦ νόμου, τὸ γιγνόμε-
νον κατὰ τὴν οὐσίαν ἕκαστον τιθέναι· καὶ δυοῖν ἐφάνη τριή-
ραρχος ὁ τῆς μιᾶς, ἕκτος καὶ δέκατος ὢν πρότερον συν- α.
186 τελής· οὐδὲ γὰρ τριηράρχους ἐπωνόμαζον ἑαυτούς, ἀλ- ἔτι ὠνόμαζον αὑτοὺς. α.
λὰ συντελεῖς. ὥστε δὴ ταῦτα λυθῆναι, καὶ μὴ τὰ δίκαια
ποιεῖν ἀναγκασθῆναι, οὐκ ἔσθ' ὅ, τι οὐκ ἐδίδοσαν. καί
μοι λέγε, πρῶτον μὲν τὸ ψήφισμα, καθ' ὃ εἰσῆλθον τὴν
187 γραφήν. εἶτα τοὺς καταλόγους, τόν τε ἐκ τοῦ προτέρου νόμου, καὶ τὸν κατὰ τὸν ἐμόν. λέγε. ὁ ἐμὸς. α. β.

Ψήφισμα.

„ Ἐπὶ ἄρχοντος Πολυκλέους, μηνὸς Βοηδρομιῶνος, ἕκτῃ ἐπὶ δέκα, φυλῆς πρυτανευού-
„ σης Ἱπποθωντίδος, Δημοσθένης Δημοσθένους Παιανιεύς, εἰσήνεγκε νόμον εἰς τὸ τριη-
188 ραρχικὸν ἀντὶ τοῦ προτέρου, καθ' ὃ αἱ συντέλειαι ἦσαν τῶν τριηράρχων· καὶ ἐπεχειροτόνησεν πρότερον. β. ὧν. β. ἐτ. γ. ζ.
ἡ βου-

Συμβολῆς οὔσης) Τοῦ βοηθῆσαι τοῖς Βυζαντίοις. Τί ἔμελλον κελεύσειν) Παραινέσειν. τὸ ἀξίωμα τοῦ συμβούλου, διὰ τοῦ κελεύειν ἐδήλωσεν, ὑπὲρ αὐτῆς τῆς ἔπον τινὰ τῆς βουλῆς οὔσης· δηλ., ἐν οἷς ἐδοκοῦμεν ἀδίκοις βοηθεῖν, καὶ τὸ λυσιτελὲς ἠνύετο τῆς πόλεως ἤδη· λέγω τὸ συμμαχεῖν Βυζαντίοις· ἐδόκει γὰρ τῷ φαινομένῳ μὲν Βυζαντίους ὠφελεῖν· ὠφελεῖ δὲ καὶ τὴν πόλιν διὰ τὴν σιτοπομπείαν.
180 Σώζεσθαι) Βυζαντίους. Οὐκ
181 ἐξῆν) Ἀδεια εἶχε τί. Βούλομαι τοίνυν ἐπανελθεῖν) Τοῖς εἰρημένοις ὑπάρχουσι οὖσιν, ἀναμίξαι πάλιν τὴν μνήμην τῶν ἀγαθῶν ἐπείγεται, ἵνα στείλῃ τῶν ἐπαίνων τὴν μέμψιν. Τούτων ἑξῆς) Ἐχόμενα τῶν προειρημένων. Ὁρῶν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ ναυτικὸν ὑμῶν) Ὁρᾷ τοῦ φροντίζοντος τὴν διάνοιαν. τὸ καταλυόμενον δέ, τὸ κατὰ μικρὸν ἀφανίζεσθαι μέλλον. Τὸ ναυτικὸν)
182 Τάγμα. Ἀναλωμάτων) Δαπανημάτων. Τὰ ὄντα) Τὰ προσόντα αὐτοῖς. Ἔθηκα νόμον) Ἐνομοθέτησα· οὐ γὰρ ἐπίθοντο ψιλοῖς λόγοις οἱ πλούσιοι· εἶτα ἐπειδὴ τὸ ἀναγκάζειν ὕποπτον ἦν, ἐπήγαγεν εὐθὺς τὰ δίκαια ποιεῖν· δεῖ γὰρ καὶ ἄκοντας ἐμβάλλειν εἰς τὰ κατὰ τοὺς οἰκείους· ἀνεπαχθῶς γὰρ τὸν κατὰ τῶν πλουσίων μετεχειρίσατο λόγον, μεταλήψει τῶν ὀνομάτων εἰς τὸ χρήσιμον μεταλλάξας. Παρασκευὰς) Τὰς
183 πολεμικὰς ἑτοιμασίας. Καὶ γραφεὶς) Κατηγορηθεὶς παρανόμων.
184 Ὑπωμοσία) Ὑπόθεσις, σκῆψις, πρόφασις· ἔστι γὰρ ὑπωμοσία, τὸ ὑπερτίθεσθαι δίκην, ἤγουν ἀναβάλλεσθαι. συνωμοσία δέ, τὸ κατά τινας βουλεύσασθαι καὶ ἀλλήλοις ὅρκοις συνδεῖσθαι, μὴ ἀποστῆναι τοῦ ἀτόπου βουλεύματος, μέχρις ἂν οὗ τὸ πλεσθείη.
185 Ὀκνήσαιμι) Ἀναβαλοίμην. Λειτουργεῖν) Συνεισφέρειν. Γιγνόμενον) Ὀφειλόμενον. Τιθέναι) Καταπιθέναι, διδόναι. Δυοῖν)
187 Νηῶν. Κατὰ τὸν ἐμόν) Ὡς ἐμοὶ δοκεῖ. Προτέρου) Τοῦ νόμου.
188 Συντέλειαι) Συγκροτήσεις. Ἐπεχειροτόνησεν) Ἐπεψηφίσατο. ἐπιχειροτονία ἡ κατάστασις τῆς βουλῆς.

ζωήν. α

ἡ βουλὴ καὶ ὁ δῆμος· καὶ ἀπήνεγκε παρανόμων γραφὴν δι- 188
ωχθεὶς παρ' Αἰσχίνου φλυαρίας. καὶ τὸ μέρος τῶν ψήφων οὐ
λαβὼν, ἀπέτισε τὰς πεντακοσίας δραχμάς. φέρε δὴ καὶ
τὸν καλὸν κατάλογον.

'Κατάλογος.'

189 Τοὺς τριηράρχους καλεῖσθαι ἐπὶ τὴν τριήρη συνεκ-
καίδεκα ἐκ τῶν ἐν τοῖς λόχοις συντελειῶν, ἀπὸ εἴκοσι
καὶ πέντε ἐτῶν εἰς τετταράκοντα, ἐπὶ ἴσον τῇ χορηγίᾳ
χρωμένους. φέρε δὴ παρὰ τοῦτον τὸν ἐκ τοῦ ἐμοῦ νόμου
κατάλογον. 190

'Κατάλογος.'

Τοὺς τριηράρχους αἱρεῖσθαι ἐπὶ τὴν τριήρη, ἀπὸ τῆς
οὐσίας κατὰ τίμησιν, ἀπὸ ταλάντων δέκα· ἐὰν δὲ πλειόνων
ἡ οὐσία ἀποτετιμημένη ᾖ χρημάτων, κατὰ τὸν ἀναλογισμόν, 191
ἕως τριῶν πλοίων καὶ ὑπηρετικοῦ ἡ λειτουργία ἔστω· κατὰ
τὴν αὐτὴν δὲ ἀναλογίαν ἔστω, καὶ οἷς ἐλάττων οὐσία ἐστὶ
τῶν δέκα ταλάντων, εἰς συντέλειαν συναγομένοις εἰς
τὰ δέκα τάλαντα. Ἆρά γε μικρὰ βοηθῆσαι τοῖς πένη-
σιν ὑμῖν δοκῶ, ἢ μικρὰ ἀναλῶσαι ἄν, τοῦ μὴ τὰ δίκαια 192
ποιεῖν ἐθέλειν οἱ πλούσιοι; οὐ τοίνυν μόνον τῷ μὴ καθυφεῖ-
ναι ταῦτα σεμνύνομαι, οὐδὲ τῷ γραφεὶς ἀποφυγεῖν,
ἀλλὰ καὶ τῷ συμφέροντα θεῖναι τὸν νόμον, καὶ τῷ πεῖραν
ἔργῳ δεδωκέναι· πάντα γὰρ τὸν πόλεμον τῶν ἀποστόλων
γιγνομένων κατὰ τὸν νόμον τὸν ἐμόν, οὐχ ἱκετηρίαν ἔθηκε 193
τριήραρχος οὐδεὶς πώποτε ὡς ἀδικούμενος παρ' ὑμῖν,
οὐκ ἐν Μουνυχίᾳ ἐκαθέζετο, οὐχ ὑπὸ τῶν ἀποστολέων
ἐδέθη· οὐ τριήρης οὔτ' ἔξω καταλειφθεῖσα ἀπώλετο τῇ
πόλει, οὔτ' αὐτοῦ ἀπελείφθη, οὐ δυναμένη ἀνάγεσθαι.
καίτοι κατὰ τοὺς προτέρους νόμους, ἅπαντα ταῦτα ἐγί- 194
γνετο. τὸ δ' αἴτιον, ἐν τοῖς πένησιν ἦν, τὸ λειτουργεῖν μὴ
δύνασθαι· πολλὰ δὴ τὰ ἀδύνατα συνέβαινεν. ἐγὼ δ' ἐκ
τῶν ἀπόρων εἰς τοὺς εὐπόρους μετήνεγκα τὰς τριηραρ-
χίας. πάντ' οὖν τὰ δέοντα ἐγίγνετο. καὶ μὴν καὶ κατ' αὐ-
τὸ τοῦτο, ἄξιός εἰμι ἐπαίνου τυχεῖν, ὅτι πάντα τὰ τοιαῦτα 195
προῃρούμην πολιτεύματα, ἀφ' ὧν ἅμα δόξαι καὶ τι-
μαὶ καὶ δυνάμεις συνέβαινον τῇ πόλει· βάσκανον δὲ, καὶ πι-
κρὸν, καὶ κακόηθες οὐδέν ἐστι πολίτευμα ἐμόν, οὐδὲ ταπει-
νὸν, οὐδὲ τῆς πόλεως ἀνάξιον. ταὐτὸ τοίνυν ἦθος ἔχων ἔν
τε τοῖς κατὰ τὴν πόλιν πολιτεύμασι, καὶ ἐν τοῖς Ἑλληνικοῖς 196
φανήσομαι· οὔτε γὰρ ἐν τῇ πόλει τὰς παρὰ τῶν πλουσίων χάριτας μᾶλλον, ἢ τὰ τῶν

188 Φέρε δὴ καὶ τὸν καλὸν κατάλογον) 188
Ἐν ἤθει καὶ ἐν εἰρωνείᾳ· τὸν γράψαντα
γάρ πως κατέλεγε. Συντελειῶν) 189
Συνδόσεων. Πλειόνων) Τῶν δέ- 190
κα ταλάντων. Ἀποτετιμημένη ᾖ)
Ἤγουν ἔχῃ ἐκτίμησιν. Ἀναλο-
γισμόν) Λογαριασμόν. Λειτουρ-
189 γία) Συγκρότησις. Ἆρά γε μι- 191
κρὰ βοηθῆσαι τοῖς πένησιν) Οὐχ ἁ-
πλῶς πένησιν, ἀλλὰ καὶ ὑμῖν. Οὐ
τοίνυν μόνον τῷ μὴ) Ἀνακεφαλαι-
οῦται, τὴν αὔξησιν προστιθεὶς, οὐ
κατὰ τοῦτο μόνον αὐχῶ, ὅτι μὴ πρού-
δωκα τὴν γραφὴν, ἀλλ' ὅτι καὶ αὐ-
τὸς ὁ νόμος ἐπινέθη τῇ πείρᾳ·
190 ἔστι γὰρ, ἀπάτη μὲν νικᾶν, εἶναι δὲ ἀ-
σύμφορον· ὅθεν τὴν ἀπὸ τῶν πρα-
γμάτων ἀπόδειξιν εἰς συμμαχίαν
καλῶν, τὰ ἑξῆς ἐπάγει κατὰ αἵρε-
σιν, οὐκ ἐν Μουνυχίᾳ ἐκαθέζετο. ση-
μαίνει δ' ὅτι ἱκέτης ἦν ὁ τριήραρ-
χος. οὐ δεσμώτην ἑώρων οἱ ἄρχον-
191 τες οὗτοι οἱ τῶν Ἀθηναίων ἀπόστο-
λοι καλούμενοι. Καθυφεῖναι) Ἐν-
δοῦναι πρὸς τὰς τῶν πλουσίων αἰ-
τήσεις. Γραφεὶς) Κατηγορηθείς.
Πεῖραν) Αἴσθησιν τοῦ συμφέρον- 192
τος. Πάντα γὰρ τὸν πόλεμον) Κα-
τὰ πάντα τὸν καιρὸν τοῦ πολέμου.
192 Οὐκ ἐν Μουνυχίᾳ) Μουνύχιον,
τόπος περὶ τὸν Πειραιᾶ, ἔνθα ἐστὶν
ἱερὸν Μουνυχίας Ἀρτέμιδος· κἀκεῖ
ἔφευγον, οἵ τινες τῶν τριηράρχων
ἠδικοῦντο, ἢ ναῦται, ἢ τινὲς τῶν
ἐξεταζομένων ἐν Πειραιεῖ. ἐκλή-
θη δὲ Μουνύχιον, ὥς φησιν ὁ Διό-
δωρος περιφέρων τὰ Ἑλλανίκου, λέ-
γων, ὡς ὅτι Θρᾷκές ποτε στρατεύ-
σαντες κατὰ τῶν οἰκούντων τὸν Μινυῶν [τῶν Μινυῶν Ὀρχομενῶν τῶν β]
Ὀρχομενὸν τὸν τῆς Βοιωτίας, ἐξέβα-
λον αὐτοὺς ἐκεῖθεν. οἱ δὲ ἐξαναστάν-
τες, ἦλθον εἰς Ἀθήνας ἐπὶ Μουνύ-
χου βασιλέως· ὁ δὲ ἐπέτρεψεν αὐ-
τοῖς οἰκῆσαι τὸν τόπον τὸν περὶ τὴν [τὴν Μουνυχίαν καλούμενοι. β]
Μουνυχίαν· ὅστις ἐπωνομάσθη παρ'
αὐτῶν εἰς τιμὴν τοῦ βασιλέως.
Ἀποστολέων) Ἀποστολεῖς, οἱ ἐπιστάται
τῶν πλοίων. ὄνομα ἀρχῆς παρὰ
τοῖς Ἀθηναίοις ἔργον ἐχούσης τὸ
φροντίζειν τῆς ναυτικῆς δυνάμεως,
καὶ τὸ ταχέως ἐξελθεῖν. Οὔτ' αὐτοῦ 193
ἀπελείφθη) Ἐν τῷ λιμένι αἰ επισκευ-
ασθεῖσα. Ἀπόρων) Πενήτων. Εὐπό- 194
ρους) Πλουσίους. Μετήνεγκα) Ἡ
λέξις δηλοῖ τὸ ἀνεξίκακον. Δέον-
τα) Συμφέροντα. Βάσκανον δὲ, 195
καὶ πικρὸν, καὶ κακόηθες) Ἀποτείνεται
πρὸς τὸν Αἰσχίνην διὰ φθόνον τῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πολλῶν δίκαια εἱλόμην, οὔτ' ἐν τοῖς Ἑλληνικοῖς τὰ Φι-
λίππου δῶρα καὶ τὴν ξενίαν ἠγάπησα, ἀντὶ τῶν κοινῇ
πᾶσι τοῖς Ἕλλησι συμφερόντων. ἡγοῦμαι τοίνυν λοι-
πὸν εἶναί μοι περὶ τοῦ κηρύγματος εἰπεῖν, καὶ τῶν εὐθυνῶν.
197 τὸ γὰρ ὡς τὰ ἄριστά τε ἔπραττον, καὶ διὰ παντὸς εὔνους α.
εἰμὶ, καὶ πρόθυμος εὖ ποιεῖν ὑμᾶς, ἱκανῶς ἐκ τῶν εἰρη- κ.ε.
μένων δεδηλῶσθαί μοι νομίζω. καίτοι τὰ μέγιστά γε τῶν γ.
πεπολιτευμένων καὶ πεπραγμένων ἐμαυτῷ παραλεί-
πω, ὑπολαμβάνων, πρῶτον μὲν ἐφεξῆς τοὺς περὶ αὐτοῦ
198 τοῦ παρανόμου λόγους ἀποδοῦναί με δεῖν· εἶτα, κἂν μηδὲν
εἴπω περὶ τῶν λοιπῶν πολιτευμάτων, ὁμοίως παρ' ὑμῶν
ἑκάστου τὸ συνειδὸς ὑπάρχειν μοι. τῶν μὲν οὖν λό- ἱκάστῳ. α. ὑπάρχει. η.
γων, οὓς οὗτος ἄνω καὶ κάτω διακυκῶν ἔλεγε περὶ τῶν κυκῶν. α. διακυκλῶν
παραγεγραμμένων νόμων, οὔτε μὰ τοὺς θεοὺς οἶμαι
199 ὑμᾶς μανθάνειν, οὔτ' αὐτὸς ἠδυνάμην συνεῖναι τοὺς κ.β.γ. κυκλῶν. ε.
πολλούς. ἁπλῶς δὲ τὴν ὀρθὴν ὁδὸν περὶ τῶν δικαίων α.
διαλέξομαι· τοσούτου γὰρ δέω λέγειν ὡς οὐκ εἰμὶ ὑ- γεγραμμέ-
πεύθυνος, ὃ νῦν οὗτος πολλάκις διέβαλλε καὶ διωρίζετο, νων. αὐτὸν. η.
ὥστε ἅπαντα τὸν βίον ὑπεύθυνος εἶναι ὁμολογῶ, ὧν ἢ δια- συνιέναι. β.
200 κεχείρικα, ἢ πεπολίτευμαι παρ' ὑμῖν. ὧν μέντοι γε ἐκ τοσούτῳ. η. ἡμῖν. ζ.
τῆς ἰδίας οὐσίας ἐπαγγειλάμενος δέδωκα τῷ δήμῳ, οὐ-
δεμίαν ἡμέραν ὑπεύθυνος εἶναί φημι· ἀκούεις Αἰσχίνη;
οὐδὲ ἄλλον οὐδένα, οὐδ' ἂν τῶν ἐννέα ἀρχόντων τις ὢν
τύχῃ· τίς γάρ ἐστι νόμος τοσαύτης ἀδικίας καὶ μισαν-
201 θρωπίας μεστὸς, ὥστε τὸν δόντα τι τῶν ἰδίων, καὶ ποιήσαν-
τα πρᾶγμα φιλάνθρωπον καὶ φιλόδωρον, τῆς χάρι-
τος μὲν ἀποστερεῖν, εἰς δὲ τοὺς συκοφάντας ἄγειν, καὶ τού- ε.
τους ἐπὶ τὰς εὐθύνας ὧν ἔδωκεν ἐφιστάναι. οὐδὲ εἷς δή- δέδωκε. α. η.
που. εἰ δέ φησιν οὗτος, δειξάτω, κἀγὼ στέρξω, καὶ σιωπή- α. β.
202 σομαι. ἀλλ' οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι. ἀλλ' οὗτος συ- α. β. η.
κοφαντῶν ὅτι ἐπὶ θεωρικῷ τότε ὢν ἐπέδωκα τὰ χρή- τῷ. α. β. γ.
ματα. ἐπήνεσεν αὐτὸν, φησὶν, ἡ βουλὴ, ὑπεύθυνον ὄντα, οὐ
περὶ τούτων γε οὐδενὸς ὧν ὑπεύθυνος ἦν, ἀλλ' ἐφ' οἷς
ἐπέδωκα ὦ συκοφάντα, ἀλλὰ καὶ τειχοποιὸς ἦσθα, φη-
203 σί· καὶ διὰ αὐτό γε τοῦτο ὀρθῶς ἐπῃνούμην, ὅτι τὰ ἀνη- η.
λωμένα ἐπέδωκα, καὶ οὐκ ἐλογιζόμην. ὁ μὲν γὰρ λο- ἀναλωμένα. α. η.
γισμὸς, εὐθυνῶν καὶ τῶν ἐξετασόντων προσδεῖται. ἡ δὲ ἐξεταζομέ-
δωρεὰ, χάριτος καὶ ἐπαίνου δικαία ἐστὶ τυγχάνειν. διό- νων. α.
περ ταῦτ' ἔγραψεν ὅδε περὶ ἐμοῦ. ὅτι δ' οὕτως ταῦτα
204 ἔχει, καὶ οὐ μόνον ἐν τοῖς νόμοις, ἀλλὰ καὶ ἐν τοῖς ἡμε- α. η.
τέροις ἤθεσιν ὥρισται, ἐγὼ ῥᾳδίως πολλαχόθεν δείξω. διδάξω. η.

στεφάνου. βάσκανον δὲ, φιλαίτιον,
196 μεμψίμοιρον. Ἡγοῦμαι τοίνυν
λοιπὸν) Τὸ κατὰ νόμον ἐν θεάτρῳ γε-
νέσθαι τὸ κήρυγμα εἴρηκε. καὶ ὅπως
οὐχ ὑπεύθυνον ἔγραψέ με στεφανοῦ-
σθαι. ἐλέγομεν ὅτι τὸ δίκαιον καὶ τὴν
ἐξέτασιν τῆς πολιτείας εἰς δύο διε-
λὼν, καὶ μέσον τάξας τὸ νόμιμον,
οὕτω πεποίηκε τὴν διοίκησιν. Ἄλλως.
Ἕως ὧδε τὰ περὶ τῆς πολιτείας. ἐνταῦ-
θα δὲ εἰσβάλλει εἰς τὸν περὶ τῶν ὑπευθύ-
νων νόμον καὶ μετ' οὐ πολὺ πάλιν ἐπα-
νήξει περὶ τῶν πολιτειῶν. Λόγους)
198 Ἀποδείξεις. Περὶ τῶν παραγεγραμμέ-
νων νόμων) Νόθων νόμων, ὧν εἰσήγαγεν
Αἰσχίνης. παρ' οὓς παρέγραψα τὸ ψή-
φισμα, σημειωσάμενος ὅτι παρὰ
τούτους τοὺς νόμους ἐγράφη τὸ ψήφι-
199 σμα. Συνεῖναι) Συνιέναι τοὺς πολ-
λοὺς αὐτὸν ἀπ' ἐκείνων. Ἁπλῶς) Ἀ-
200 περίεργος. Ὧν μέντοι γε) Τὸν νό-
μον τοῦτο λύει τῷ ῥητῷ καὶ τῇ διανοίᾳ·
ἐκείνου γὰρ λέγοντος ὅτι ὁ νόμος οὐκ ἐᾷ
τὸν ὑπεύθυνον στεφανοῦν, οὗτος τῇ
διανοίᾳ κέχρηται λέγων, ὡς ὅστις
μὲν κοινὰ ἀναλίσκει χρήματα, τοῦτον
ὁ νόμος εὐθύνει, οὐ μὴν τὸν ἐξ ἰδίων
ἀνηλωκότα. Ἐπαγγειλάμενος)
Ὑποσχόμενος. Τούτους) Τοὺς συ-
202 κοφάντας τε καὶ τοὺς δόντας. Ἐπέ-
δωκα) Ἐπένειμα. Ἐπήνεσεν αὐτὸν
ἡ βουλὴ ὑπεύθυνον ὄντα) Τοῦτο ὡς
ἀπὸ Αἰσχίνου λέγοντος ὅτι ἀπατηθεῖ-
σα ἡ βουλὴ ὑπ' αὐτοῦ, ἐπήνεσεν αὐ-
τὸν καὶ ἐστεφάνωσεν ὑπεύθυνον ὄντα.
Ἄλλως. Ἀντὶ τοῦ εἰπεῖν, ὁ Κτησι-
φῶν ὑποσημαίνει τὴν βουλὴν, ὡς ἐ-
πανέστατο ἤδη, ἵνα φαίνηται τῆς βουλῆς,
οὐ Κτησιφῶντος κατηγορῶν. Οὐ περὶ
τούτων γε οὐδενὸς) Μὴ κατηγόρει, φη-
σὶν, ἀδίκως, μηδὲ συκοφάντει τὴν εἰ-
ρήνην. οὐ γὰρ οὕτως ὡς σὺ λέγεις,
ἐν οἷς εἰμὶ ὑπεύθυνος ἐπήνεσεν, ἀλλὰ
δι' ἅπερ ἐπέδωκα· διόπερ καὶ εὐ-
καίρως ἐπήνεγκε τὸ, ὦ συκοφάντα.
Ἀλλὰ καὶ τειχοποιὸς ἦσθα, φησί)
Καὶ τοῦτο ὡς ἀπὸ Αἰσχίνου· τοῦτο μὲν
εἰ συνῆπτο τῷ ἄνω τῷ περὶ τῶν
θεωρικῶν, ἅμα ταῖς δύο ἀρ-
χαῖς αὐτὸν ἡ ἀντίθεσις ἔνοχον ὄν-
τα ἐδείκνυε, λέγουσα ὅτι κατὰ ταὐ-
τὸν καὶ τοῖς θεωρικοῖς ὑπεύθυνον ὄν-
τα καὶ τῇ κατασκευῇ τοῦ τείχους ἔ-
γραψε τιμηθῆναι, ἰσχυρά πως ἐ-
φαίνετο σφόδρα. καὶ περὶ τὴν αἵ-
ρεσιν ἠπορούμην· νῦν δὲ τὸ ἰσχυρὸν
διαπαίξας, τὸ περὶ τῶν θεωρικῶν καὶ
μετὰ τὴν ἀπάτην ὑποκλέψας,
ὡς ἐκ περιουσίας εἰσάγει ληροῦντα
περὶ τούτων τὸν Αἰσχίνην, καὶ λέγοντα τειχοποιὸς ἦσθα, ὅπου μάλιστα ἡ προλαβοῦσα, λύσις ἀκόλουθος ἦν, ἐν οἷς ἔλεγεν.

ἀλλ'

α.γ. πρῶτον μὲν γὰρ ναυσικλῆς στρατηγῶν, ἐφ' οἷς ἀπὸ τῶν
προεῖτο. α. ἰδίων προεῖτο, πολλάκις ἐστεφάνωται ὑφ' ὑμῶν. εἶθ' ὅτε
προεῖτο. β. τὰς ἀσπίδας διότιμος ἔδωκε, καὶ πάλιν χαρίδημος, ἐστε- 206
γ.ε.η. ἐπ.β. φανοῦντο· εἶθ' οὗτος νεοπτόλεμος, πολλῶν ἔργων ἐπιστά-
ἐστεφανοῦντο. α. ἐστεφανωμένος ἦν. γε. ζ. της ὤν, ἐφ' οἷς ἐπέδωκε, τετίμηται. σχέτλιον γὰρ ἂν εἴη τοῦ-
τό γε, εἰ τὸν τινὰ ἀρχὴν ἄρχοντι, ἢ διδόναι τὰ ἑαυτοῦ τῇ
πόλει, διὰ τὴν ἀρχὴν μὴ ἐξέσται, ἢ τῶν δοθέντων ἀντὶ 207
ὑφέξει. α.γ. τοῦ κομίσασθαι χάριν, εὐθύνας ὑφέξει. ὅτι τοίνυν ταῦ-
τ' ἀληθῆ λέγω, λέγε τὰ ψηφίσματά μοι τὰ τούτοις γεγε-
α. νημένα αὐτά, λαβών. λέγε. Ψήφισμα.

φρεάρριος. ε.ς. „ Ἄρχων δημόνικος φλυεύς, βοηδρομιῶνος ἕκτῃ μετ' εἰ-
„ κάδα, γνώμη βουλῆς, καὶ δήμου, καλλίας φρεάρριος εἶ- 208
„ πεν, ὅτι δοκεῖ τῇ βουλῇ καὶ τῷ δήμῳ στεφανῶσαι ναυσι-
„ κλέα τὸν ἐπὶ τῶν ὅπλων, ὅτι ἀθηναίων ὁπλιτῶν δισχι-
„ λίων ὄντων ἐν ἴμβρῳ, καὶ βοηθοῦντων τοῖς κατοικοῦσιν
φιλώνος. ζ.η „ ἀθηναίων τὴν νῆσον, οὐ δυναμένου φίλωνος τοῦ ἐπὶ
„ τῆς διοικήσεως κεχειροτονημένου διὰ τοὺς χειμῶνας 209
„ πλεῦσαι, καὶ μισθοδοτῆσαι τοὺς ὁπλίτας, ἐκ τῆς ἰδίας
„ οὐσίας ἔδωκε, καὶ οὐκ εἰσέπραξε τὸν δῆμον, καὶ ἀναγορεῦ-
„ σαι τὸν στέφανον διονυσίοις τραγῳδοῖς καινοῖς.

Ψήφισμα.

Επρον β.ε. η. „ Εἶπε καλλίας φρεάρριος, πρυτάνεων λεγόντων βουλῆς 210
φρεάρριος. γ. „ γνώμη. ἐπεὶ χαρίδημος ὁ ἐπὶ τῶν ὁπλιτῶν, ἀποστα-
σταλεὶς. ε. „ λεὶς εἰς σαλαμῖνα, καὶ διότιμος ὁ ἐπὶ τῶν ἱππέων, ἐν τῇ
ὑπὸ. η. „ ἐπὶ τοῦ ποταμοῦ μάχῃ τῶν στρατιωτῶν τινῶν ὑπὸ τῶν
„ πολεμίων σκυλευθέντων, ἐκ τῶν ἰδίων ἀναλωμάτων καθώ-
„ πλισαν τοὺς νεανίσκους ἀσπίσιν ὀκτακοσίαις, δεδόχθαι τῇ 211
„ βουλῇ καὶ τῷ δήμῳ στεφανῶσαι χαρίδημον καὶ διότιμον,
„ χρυσῷ στεφάνῳ, καὶ ἀναγορεῦσαι παναθηναίοις τοῖς με-
„ γάλοις ἐν τῷ γυμνικῷ ἀγῶνι, καὶ διονυσίοις τραγῳδοῖς
„ καινοῖς. τῆς δὲ ἀναγορεύσεως ἐπιμεληθῆναι, θεσμοθέτας,
„ πρυτάνεις, ἀγωνοθέτας. Τούτων ἕκαστος αἰσχίνη, τῆς 212
ἐστεφανοῦντο. β. μὲν ἀρχῆς ἧς ἦρχεν, ὑπεύθυνος ἦν, ἐφ' οἷς δὲ ἐστεφανοῦ-
το, οὐχ ὑπεύθυνος. οὐκοῦν οὐδ' ἐγώ. ταὐτὰ γὰρ δίκαιά ἐστί
α.ε.η. μοι περὶ τῶν αὐτῶν τοῖς ἄλλοις δήπου. ἐπέδωκα; καὶ ἐπαι-
νοῦμαι διὰ ταῦτα, οὐκ ὢν ὧν ἐπέδωκα ὑπεύθυνος. ἦρχον; καὶ δέδωκά γε εὐθύνας ἐκεί- 213
νων, οὐχ ὧν ἐπέδωκα. νὴ δία ἀλλ' ἀδίκως ἦρξα; εἶτα παρὼν ὅτε με εἰσῆγον οἱ λογισταί,
α. διὰ τί οὐ κατηγόρεις; ἵνα τοίνυν εἰδῆτε ὅτι αὐτὸς οὗτός μοι μαρτυρεῖ, ἐφ' οἷς οὐχ ὑπεύ-
θυνος ἦν ἐστεφανῶσθαι, λαβὼν ἀνάγνωθι τὸ ψήφισμα ὅλον τὸ γραφέν μοι· οἷς γὰρ οὐκ
ἐγράψατο τοῦ προβουλεύματος, τούτοις ἃ διώκει, συκοφαντῶν φανήσεται. λέγε. 214

γ.η. Ψήφισμα.

„ Ἐπὶ ἄρχοντος εὐθυκλέους, πυανεψιῶνος ἐνάτῃ ἀπιόντος, φυλῆς πρυτανευούσης οἰ-

ἀλλ' ἐφ' οἷς ἐπέδωκα. διὸ καὶ φιλοτιμεῖται διορίζόμενος. Πρῶτον μὲν) Ἐπεὶ τὰς ἐπαγωγὴ τῆς ἀκροάσεως· ὡς 206 καὶ τοῦ αἰσχίνου λέγοντος, ὅτι οὐκ ἔξεστι τὸν ὄντα ἐν ἀρχῇ φιλοτιμεῖσθαι τὰ ἑαυτοῦ καὶ χαρίζεσθαι, οὕτως ἐπάγει τὰ παραδείγματα· εἰκὸς δὲ ἦν μετὰ τὸ δοῦναι τὰς εὐθύνας, στεφανωθῆναι αὐτούς, ἀλλ' ἀορίστως προσῆκται. Εἶθ' οὗ- 206 207 τος νεοπτόλεμος) Οἰκειότερον τοῦτο πρὸς αὐτὸν τὸ παράδειγμα. καὶ γάρ τοι καὶ πλουταῖόν ἐστι. Σχέτλιον γὰρ ἂν εἴη τοῦτό γε) Μετὰ τὴν ἀπόδειξιν, εὐλόγως σχετλιάζει τοῖς κοινοῖς λογισμοῖς λοιπὸν χρώμενος· ἐπειδὴ ἄρχω τινὰ ἀρχήν, διὰ ὡς ἐμὲ δοῦλον ποιεῖν· οὐ δέον γὰρ τοῖς ἐμοῖς 208 χρῆσθαι ὡς βούλομαι καὶ οὐχ ἁπλῶς διδόναι τὰ ἑαυτοῦ εἰπών, ἀπηλλάγη, ἀλλὰ διδόναι τῇ πόλει προσέθηκεν, ὀνόματι τῆς πατρίδος τὴν αἰτίαν συναίξων. Τοῖς κατοικοῦσι) 208 Ἀθηναίοις. Ὁ ἐπὶ τῶν ὁπλιτῶν) 210 Ὁ ἐπιστάτης τῶν ὁπλιτῶν. Ὁ ἐπὶ 209 τῶν ἱππέων) Ὁ τοῦ ἱππικοῦ ἐπιστάτης. Ἐπέδωκα, καὶ ἐπαινοῦμαι διὰ 212 ταῦτα) Ἐλέγχων αὐτὸν ὡς ἀγνώμονα καὶ ψευδόμενον, οὐκοῦν οὐ λέγω εὐθύνας ἀπαιτεῖσθαι δίκαιος ὢν ἐχαρισάμην, ἀλλὰ τιμᾶσθαι· φυλάττεσθαι γὰρ ἐπὶ πάντων προσήκει 210 τὸ αὐτὸ δίκαιον. ποῖον τοῦτο, ἀκούε καὶ μάνθανε· ἐπέδωκα; ἐπαινοῦμαι τῆς ἐπιδόσεως χάριν. ἦρξά τινα ἀρχήν; εἶτα δέον εἰπεῖν ὡς ἐπὶ τοῦ προτέρου, δίδωμι τὰς εὐθύνας, τούτων ἐνήλλαξε τὸν χρόνον, καὶ δέδωκα εὐθύνας ἐκείνων· ὡς τινας ὑπολαβεῖν 211 ἐντεῦθεν, ὡς μεταξὺ τῆς γραφῆς ἀποτεθείσης, πρὶν ἐλθεῖν εἰς τὸ δικαστήριον, φοβηθεὶς παρέσχε τὰς εὐθύνας τούτων· διὰ τοῦτο καὶ πλάττεταί τινας ὥσπερ εὐθυνοφορίας παρ' αἰσχίνου. Νὴ δί' ἀλλ' ἀδίκως ἦρξα) 213 Οὐ τοῦτο πάλιν αἰσχίνης κατηγορεῖ, 212 ἀλλ' ὁ ῥήτωρ τοῦτο αὐτὸ προστίθησιν, ἐπειδὴ θαρρεῖ ἑαυτῷ μὴ κεκλοφέναι. Ἄλλως. Καὶ τὴν λύσιν εὐθέως κατ' ἐπιτίμησιν εἰσάγει· καὶ τί προδότης ἐγένου τῆς πόλεως τῇ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

»νηΐδος, Κτησιφῶν Λεωσθένους Ἀναφλύστιος εἶπεν. ἐπειδὴ Δη-
»μοσθένης Δημοσθένους Παιανιεὺς γενόμενος ἐπιμελητὴς
»τῆς τῶν τειχῶν ἐπισκευῆς, καὶ προσαναλώσας εἰς τὰ
215 ἔργα ἀπὸ τῆς ἰδίας οὐσίας τρία τάλαντα, ἐπέδωκε ταῦτα
»τῷ δήμῳ· καὶ ἐπὶ τοῦ θεωρικοῦ κατασταθεὶς, ἐπέδωκε τοῖς
»ἐκ πασῶν τῶν φυλῶν θεωροῖς ἑκατὸν μνᾶς εἰς θυσίας·
»δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ τῶν Ἀθηναίων, ἐπαι-
»νέσαι Δημοσθένην Δημοσθένους Παιανιέα, ἀρετῆς ἕνε-
216 κα καὶ καλοκαγαθίας, ἧς ἔχων διατελεῖ ἐν παντὶ και-
»ρῷ εἰς τὸν δῆμον τῶν Ἀθηναίων· καὶ στεφανῶσαι χρυσῷ
»στεφάνῳ, καὶ ἀναγορεῦσαι τὸν στέφανον ἐν τῷ θεάτρῳ
»Διονυσίοις τραγῳδοῖς καινοῖς· τῆς δὲ ἀναγορεύσεως, ἐπι-
»μεληθῆναι τὸν ἀγωνοθέτην. Οὐκοῦν ἃ μὲν ἐπέδω-
217 κα, ταῦτ᾽ ἐστὶν, ὧν οὐδὲν σὺ γέγραψαι· ἃ δέ φησιν ἡ βου-
λὴ δεῖν ἀντὶ τούτων γενέσθαι μοι, ταῦτ᾽ ἐστὶν ἃ διώκεις.
τὸ λαβεῖν οὖν τὰ διδόμενα ὁμολογῶν ἔννομον εἶναι, τὸ χά-
ριν τούτων ἀποδοῦναι, παρανόμων γράφῃ; ὁ δὲ παμ-
πόνηρος ἄνθρωπος, καὶ θεοῖς ἐχθρὸς καὶ βάσκανος ὄν-
218 τως, ποῖός τις ἂν εἴη πρὸς θεῶν· οὐχ ὁ τοιοῦτος; καὶ μὴν
περὶ τοῦ γε ἐν τῷ θεάτρῳ κηρύττεσθαι, τὸ μὲν μυριά-
κις μυρίους κεκηρῦχθαι, παραλείπω· καὶ τὸ πολλάκις αὐ-
τὸς ἐστεφανῶσθαι πρότερον. ἀλλὰ πρὸς θεῶν οὕτω
σκαιὸς εἶ, καὶ ἀναίσθητος Αἰσχίνη, ὥστε οὐ δύνασθαι λο-
219 γίσασθαι, ὅτι τῷ μὲν στεφανουμένῳ τὸν αὐτὸν ἔχει ζῆλον
ὁ στέφανος, ὅποι ἂν ἀναρρηθῇ· τοῦ δὲ τῶν στεφανούντων
ἕνεκα συμφέροντος ἐν τῷ θεάτρῳ γίγνεται τὸ κήρυ-
γμα; οἱ γὰρ ἀκούσαντες ἅπαντες, εἰς τὸ ποιεῖν εὖ τὴν πόλιν
προτρέπονται· καὶ τοὺς ἀποδιδόντας τὴν χάριν, μᾶλλον
220 ἐπαινοῦσι τοῦ στεφανουμένου, διόπερ τὸν νόμον τοῦτον ἡ πό-
λις γέγραφε. Λέγε δή μοι αὐτὸν τὸν νόμον λαβών.

Νόμος.

»Ὅσους στεφανοῦσί τινες τῶν δήμων, τὰς ἀναγορεύσεις
»στεφάνων ποιεῖσθαι ἐν αὐτοῖς ἑκάστους τοῖς ἰδίοις δήμοις, ἐὰν
221 μή τινας ὁ δῆμος ὁ τῶν Ἀθηναίων, ἢ ἡ βουλὴ στεφανο
»τούτους δ᾽ ἐξεῖναι ἐν τῷ θεάτρῳ Διονυσίοις ἀναγορεύε-
»σθαι. Ἀκούεις Αἰσχίνη τοῦ νόμου λέγοντος σαφῶς, πλὴν
ἐάν τινας ὁ δῆμος, ἢ ἡ βουλὴ στεφανώσηται· τούτους δὲ ἀνα-
γορευέτω. τί οὖν ὦ ταλαίπωρε συκοφαντεῖς· τί λόγους
222 πλάττεις· τί σαυτὸν οὐχ ἐλλεβορίζεις ἐπὶ τούτοις. ἀλλ᾽ οὐ-
δ᾽ αἰσχύνῃ φθόνου δίκην εἰσάγων, οὐκ ἀδικήματος οὐδενός. καὶ νόμους, τοὺς μὲν, μετα-
ποιῶν· τῶν δ᾽, ἀφαιρῶν μέρη, οὓς ὅλους δίκαιον ἦν ἀναγινώσκεσθαι, τοῖς γε ὀμωμοκόσι
κατὰ τοὺς νόμους ψηφιεῖσθαι. ἔπειτα τοιαῦτα ποιῶν, λέγεις ἃ δεῖ προσεῖναι τῷ δημοτικῷ

ὥσπερ

σιωπῇ. πῶς τοῦ Δημοσθένους ἐφείσω πολιτευσαμένου τὰ χείριστα. τίς εἶδέ σε τῶν λογιστῶν τὴν πονηρίαν μεμ-
217 φόμενον. Γέγραψαι) Πλάτων φησὶ, γραφὴν σέ τις ὡς ἔοικε γέγραπται· κεῖται ἐν τῷ Εὐθύφρονι. Ἃ δέ φησιν ἡ βουλὴ δεῖν) Πάλιν ἐνέμεινε τῷ θεωρήματι, ἀντὶ τοῦ Κτησιφῶντος μεταλαβὼν τὴν βουλήν. ἐνθυμεῖται δὲ πάνυ χαριέντως ἐλέγχων ὡς ἀχάριστον ὁμοῦ καὶ ἀνόητον· εἰ, ἂν μέν τις διδῷ τὰ ἑαυτοῦ, λαμβάνειν τὴν βουλὴν οὐκ ἐκώλυσας· ἂν δὲ θέλῃ τὸν δεδωκότα ἀμείψασθαι, παράνομον καλεῖς τὸ γινόμενον· καινὸς ἀναφαίνῃ νομοθέτης, τὸ μὲν λαβεῖν ἐπαινῶν, τὸ δὲ ἀποδοῦναι μεμφόμενος. προσεκτέον δὲ πάλιν τὸ ἀποδοῦναι ὡς εὐκαίρως εἰρημένον, ἵνα φαίνηται χρέος
218 ἀποπληροῦσα ἡ βουλή. Καὶ μὴν περὶ τοῦ γε ἐν τῷ θεάτρῳ) Μεταβαίνει λοιπὸν καὶ εἰς τὸ ἕτερον νόμιμον τοῦ περὶ τοῦ κηρύγματος. καὶ βλέπε τὴν εἰσαγωγὴν ὅπως ἔχει· καὶ μὴν περὶ τοῦ κηρύγματος εἰ σκοπείη τις, ὁμοίως συκοφάντην εὑρήσει καὶ βάσκανον. Τὸ μὲν μυριάκις μυρίους) Πολλὰ ἀληθεύων τῷ ἀορίστῳ· πολλοὶ γὰρ πολλάκις ἐστεφανώθησαν, ἀλλὰ τῶν ξένων, βουληθείσης τῆς πόλεως. ὅπερ ἀποκρύπτων, εὔπορον τὴν ἀπάτην
221 ἐργάζεται. Ἀκούεις Αἰσχίνη τοῦ νόμου) Ὅτι παρακρίνεσθαι χρεία, προστίθησι τὸ σαφὲς ἔχειν τὸν νόμον, ὑφαρπάζων τὸν ἀκροατὴν τῆς ἐξετάσεως τὴν ἀκρίβειαν. δοκεῖ δὲ τὸ ῥητὸν κατὰ τὸ ἐλλεῖπον ἀσφαλέστερον ποιεῖν· εὐκρινητέον οὖν οὕτως· ὁ νόμος, φησὶ, λέγει σαφῶς, μηδεὶς ἐν τῷ θεάτρῳ κηρυττέσθω, πλὴν ἐκείνων οὓς ἂν ὁ δῆμος ἕλοιτο, καὶ ἡ βουλὴ ψηφίσαιτο. Τούτους δὲ ἀναγορευέτω) Ὁ κῆρυξ δηλονότι, οὓς ἂν ὁ δῆμος ἕληται καὶ ἡ βουλή. ἰστέον δὲ ὅτι περὶ τῶν ξένων ὁ νόμος ταῦτα διείρηκεν ὡς εἴπομεν. Τί οὖν ὦ ταλαίπωρε) Οἰκτείρει τὸν ἐχθρὸν ὑπεύθυνον ποιῶν τῷ ἐγκλήματι. παῦσαι δὲ δυστυχέστατε τῇ ἀληθείᾳ μαχόμενος. ἐλεῶ σε πολεμοῦντα τῷ νόμῳ. ἀπαλλάττου τῆς νόσου· χρήσιμος ἐν τοῖς τοιούτοις κακοῖς ὁ ἐλλέβορος· δέχου τῆς πόας τὴν θεραπείαν· ῥῖψον ἀπὸ τῆς ψυχῆς τὸ ἀρρώστημα.

ὥσπερ ἀνδριάντα ἐκδεδωκὼς κατὰ συγγραφὴν, εἶτα οὐκ 223
ἔχοντα ἃ προσῆκεν ἐκ τῆς συγγραφῆς κομιζόμενος ἢ
λόγῳ τοὺς δημοτικοὺς, ἀλλ' οὐ τοῖς πράγμασι, καὶ τοῖς
πολιτεύμασι γινωσκομένους. καὶ βοᾷς, ῥητὰ καὶ ἄρρητα
ὀνομάζων ὥσπερ ἐξ ἁμάξης, ἃ σοὶ καὶ τῷ σῷ γένει πρό-
σεστιν, οὐκ ἐμοί. καίτοι καὶ τοῦτο, ὦ ἄνδρες Ἀθηναῖοι, ἐγὼ 224
λοιδορίαν κατηγορίας τούτῳ διαφέρειν ἡγοῦμαι, τῷ
τὴν μὲν κατηγορίαν, ἀδικήματ' ἔχειν, ὧν ἐν τοῖς νό-
μοις εἰσὶν αἱ τιμωρίαι· τὴν δὲ λοιδορίαν, βλασφημίας,
ἃς κατὰ τὴν αὐτῶν φύσιν τοῖς ἐχθροῖς περὶ ἀλλήλων
συμβαίνει λέγειν. οἰκοδομῆσαι δὲ τοὺς προγόνους ταυ- 225
τὶ τὰ δικαστήρια ὑπείληφα, οὐχ ἵνα συλλέξαντες ὑμᾶς
εἰς ταῦτα ἀπὸ τῶν ἰδίων, κακῶς τὰ ἀπόρρητα λέγωμεν
ἀλλήλους, ἀλλ' ἵνα ἐξελέγχωμεν, ἐάν τις ἠδικηκώς τι
τυγχάνῃ τὴν πόλιν. ταῦτα τοίνυν εἰδὼς Αἰσχίνης, οὐδὲν
ἧττον ἐμοῦ πομπεύειν ἀντὶ τοῦ κατηγορεῖν εἵλετο. οὐ μὴν 226
οὐδ' ἐνταῦθα ἔλαττον ἔχων, δίκαιός ἐστιν ἀπελθεῖν. ἤδη
δὲ ἐπὶ ταῦτα πορεύσομαι, τοσοῦτον αὐτὸν ἐρωτήσας· πό-
τερόν σέ τις Αἰσχίνη τῆς πόλεως ἐχθρὸν, ἢ ἐμὸν εἶναι φῇ; ἐ-
μὸν δηλονότι. εἶτα, οὗ μὲν ἦν παρ' ἐμοῦ δίκην κατὰ τοὺς νό-
μους ὑπὲρ τούτων λαβεῖν εἴπερ ἠδίκουν, ἐξέλιπες ἐν ταῖς 227
εὐθύναις, ἐν ταῖς γραφαῖς, ἐν ταῖς ἄλλαις κρίσεσιν. οὗ
δ' ἐγὼ μὲν ἀθῷος ἅπασι, τοῖς νόμοις, τῷ χρόνῳ, τῇ προ-
θεσμίᾳ, τῷ κεκρίσθαι περὶ πάντων πολλάκις τούτων
πρότερον, τῷ μηδεπώποτε ἐξελεγχθῆναι μηδὲν ὑ-
μᾶς ἀδικῶν, τῇ πόλει δ' ἢ πλέον ἢ ἔλαττον ἀνάγκη τῶν 228
γε δημοσίᾳ πεπραγμένων μετεῖναι τῆς δόξης, ἐνταῦ-
θα ἀπήντηκας; ὅρα μὴ, τούτων μὲν ἐχθρὸς ἦς, ἐμοὶ
δὲ προσποιῇ. ἐπειδὴ τοίνυν, ἡ μὲν εὐσεβὴς καὶ δικαία

223 Ὥσπερ ἀνδριάντα ἐκδεδωκώς) Ὁ 223 Αἰσχίνης οὐ συγχωρῶν εἶναι τὸν ῥήτορα δημοτικὸν, ἔφασκεν ὥσπερ πλάττων τὸν δημαγωγὸν, ὃς ὀφείλει εὐγενὴς εἶναι καὶ προγόνων σεμνῶν, καὶ τεθράφθαι καλῶς, πεπαιδεῦσθαι ἐλευθέρως, κήδεσθαι τῆς πατρίδος, καὶ τὰ 224 τοιαῦτα· εἶτα μετὰ τὴν ἀπαρίθμησιν τούτων αἰτιαθεὶς τὰ κατὰ τὸν Δημοσθένην, καὶ μηδὲν τοιοῦτον εὑρὼν προσὸν αὐτῷ, σχετλιάζει καὶ ἀγανακτεῖ. διασύρει οὖν τῇ παραθέσει τοῦ ὁμοίου τὸν λογισμόν· ἤδη γάρ τις φησιν εἰ δημιουργὸν ἀξιοῖ πλάσαι αὐτῷ ἀνδριάντα καὶ τὰ ὅμοια σχήματα οἷα 225 δὴ ἔχειν πρὸς αὐτὸν ποιησάμενος, ἐπειδὰν μετὰ ταῦτα ἐλθὼν μὴ εὕροι ἐνόντα ἐν τῷ πλάσματι τοῦ ἀνδριάντος τὰ ἐν τῇ γραφῇ, εἰκότως δυσχεραίνει καὶ καταβοᾷ τοῦ τεχνίτου. Κατὰ συγγραφήν) Λέγει κατὰ πρόταξιν, οἷον ὡσανεὶ προέταξας ἀν- 226 δριαντοποιῷ ἀνδριάντα ποιῆσαι κατά τινα ἐπιταγήν· οἷον ἐπέταξας αὐτῷ, ὅτι βούλομαι εἶναι αὐτὸν τὸν ἀνδριάντα, τοιαύτας δὲ τὰς χεῖρας αὐτοῦ ἔχειν, τοιούσδε καὶ τοὺς πόδας, τοιαύτην δὲ καὶ τὴν κεφαλὴν ὁμοίως· εἶτα μὴ δεξάμενος αὐτὸν τὸν ἀνδριάντα ὥσπερ 227 ἐπέταξας, ἐνεκάλεις ὕστερον τῷ ἀνδριαντοποιῷ. Οὐδὲν ἧττον ἐμοῦ) 226 Ἐπιτήρει ὅτι ἐν οἷς ὠφελεῖ, δίδωσιν Αἰσχίνῃ τὸ ἴσον εἰς σύνεσιν, καὶ οὕτω περιτρέπει. Πομπεύειν) Ὑβρίζειν, λοιδορεῖν. Πότερόν σέ τις Αἰσχίνη) Μέλλων τὰς λοιδορίας ἐργά- 228 σασθαι, προοδοποιεῖ ἑαυτῷ τὴν παρὰ τῶν καθημένων εὐμένειαν, ἐχθρὸν ἀποφαίνων τῆς πόλεως οὐχ ἑαυτοῦ τὸν Αἰσχίνην, ἵν' οὕτως, ὅσαπερ ἂν εἴποι βλασφημῶν αὐτὸν, ἡδέως ἀκούσωσιν ὡς ἐχθροῦ κοινοῦ βαλλομένου. ὁ οὖν λόγος τοιοῦτος· πῶς ἐμὸς ὢν ἐχθρός· τοῦτο γὰρ αὖ ὁμολογήσας ἐρωτηθεὶς, οὐδαμοῦ φαίνῃ γεγονώς μου κατήγορος, οὐκ ἐν εὐθύναις, οὐκ ἐν γραφαῖς, οὐκ ἐν ἄλλαις κρίσεσιν ἁπλῶς, ὡς εἶναι δῆλον ἀφ' οὗ σεσιώπηκας, ὡς οὐκ εἶ τῷ Δημοσθένει πολέμιος· ἀλλὰ ἡνίκα καθαρῶς ἐγὼ καὶ ἄμεμπτος ἐφάνην. Ἐξέλιπες) Ἀφῆκες. Εὐθύναις) Εὔθυνη ἐστὶν ὧν δημοσίᾳ τις ἐπιστεύθη· γραφὴ, ἐπὶ τῶν 227 παρανόμων· κρίσις δὲ, ἐπὶ ἐγκλήματος. Ἀθῷος) Ἀζήμιος. Τῇ πόλει δ' ἢ πλέον) Ἀπὸ τοῦ λαβεῖν με, φησὶ, τὸν στέ- 228 φανον, ὃ δημοσίᾳ ἐπράχθη, ἀνάγκη τῇ πόλει δόξης μετεῖναι ἢ πλέον ἢ ἔλαττον, τοῦτ' ἔστιν ἢ μέρος τῆς δόξης, ἢ καὶ τὸ ὅλον. Ἐνταῦθα) Ἐπὶ μάχης. Ὅρα μὴ, τούτων μὲν ἐχθρὸς ἦς) Τὸ ὅρα, καλῶς· οὐ θέλει γὰρ αὐτὸς ἀποφαίνεσθαι· ἀλλ' ἡ τῶν πραγμάτων ἀναγκάζει σε φύσις, φησὶν, ὁμολογεῖν. θαυμάζω δὲ τὴν δεινότητα, ὅτι πρότερον ὅτι τῆς αὐξήσεως χρεία ἦν, ὅλης τῆς πόλεως ἀπέδειξεν ἐχθρὸν τὸν Αἰσχίνην· ὅτε δὲ συνεπληρώθη πᾶσα ἡ περίοδος, οὐκ ἔτι λέγει τὴν πόλιν, ἀλλὰ τοὺς δικαστὰς λέγων· μὴ τούτων μὲν ἐχθρὸς ἦς· αὐτῶν γὰρ ἐδεῖτο νῦν τῆς εὐνοίας ἵνα, θηράσῃ μὲν τὴν ψῆφον οὕτως, ἐγείρῃ δὲ τῶν ἀντιδίκων τὸν πόλεμον· διὸ καὶ θαρρῶν, εὐθὺς ἐπάγει. Ἐπειδὴ τοίνυν) Κινήσας αὐτάρκως εἰς δυσμένειαν τοὺς ἀκούοντας, ἐπισημαίνεται ὡς νενικηκώς· δέδεικται γὰρ, φησὶν, ἡ εὐσεβὴς καὶ δικαία ψῆφος τοῖς ἅπασι· τὸ μὲν οἰκεῖον οὐ φανερῶς εἰπὼν, ὡς αὐτὸς ὀφείλει τὴν ψῆφον λαβεῖν· ὑπαινιττόμενος δὲ ἀπὸ τῆς τῶν πραγμάτων ἀποδείξεως τοῦτο. ἔστι δὲ αὐτῷ μέχρι τούτου, τὸ μέρος τοῦ δικαίου τὸ περὶ τῶν εὐεργετημάτων, ᾧ καὶ νόμιμον συνῆψεν ἀσθενὲς ὑπάρχον, ὡς ἔφαμεν. φυλάττει δὲ μετὰ τὰς λοιδορίας τῇ μνήμῃ τὸ ἄλλο τοῦ κεφαλαίου μέρος· ἐν ᾧ τῶν ἐν Χαιρωνείᾳ κακῶν γεγενημένων, ἀναιρεῖ τὰ ἐγκλήματα. Ζητοῦσί τινες καὶ ποῦ ἐστὶν ἡ ἀπόδοσις περὶ τούτου τοῦ κώλου· οὐδὲν γὰρ ἐπήγαγε πρὸς ὃ εἶπεν, ἐπειδή. περὶ τούτου πολλοὶ ἐπεχείρησαν ἀπολογήσασθαι καὶ σχεδὸν εἰπεῖν πάντας ἀπέχον· οἱ μὲν γὰρ αὐτῶν ἔφασκον ὡς δεῖ ἐν ὑπερβάτῳ αὐτὸ ἀναγινώσκεσθαι· ἄλλοι δὲ διέστρεφον τὴν φράσιν, ἐναλλάττοντες τοὺς συνδέσμους ζητοῦντες στῆσαι



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὴν ἀπόδοσιν. ἡμεῖς δὲ φαμὲν ὡς ὅτι ὁ ἑρμογένης ἐν τῷ περὶ ἰδεῶν, ἐμπεσὼν εἰς τὸ ἐξηγήσασθαι τοῦτο τὸ κῶλον, οὕτως αὐτὸ ἔλυσεν, ὅτι ἀπὸ θυμοῦ ὁ δημοσθένης ἐνταῦθα οὐδὲν ἐπήγαγεν. Αλλως. Τοῦτο τὸ κῶλον οὐκ ἔχει ἀπόδοσιν· διὰ εἰς θυμὸν ἐμπεσὼν ὁ ῥήτωρ, καὶ πολλὰ μεταξὺ θεὶς, ἀφῆκεν οὕτως. μαρτυρεῖ δὲ καὶ ἑρμογένης ἐν τῷ περὶ ἰδεῶν, κατατεταγὼς εἰς τὴν τούτου ἐξήγησιν.

ψῆφος ἅπασι δέδοκται· δεῖ δέ με ὡς ἔοικε, καίπερ οὐ φι- ε.
229 λολοίδορον ὄντα φύσει, διὰ τὰς ὑπὸ τούτου βλα- η.
σφημίας εἰρημένας, ἀντὶ πολλῶν καὶ ψευδῶν αὐτὰ τὰ
ἀναγκαιότατα εἰπεῖν περὶ αὐτοῦ, καὶ δεῖξαι, τίς ὢν καὶ τίνων,
ῥᾳδίως οὕτως ἄρχει τοῦ κακῶς λέγειν, καὶ λόγους τινὰς
διασύρει, αὐτὸς εἰρηκὼς ἅ τις οὐκ ἂν ὤκνησε τῶν με- διασύρει. α.
230 τρίων ἀνθρώπων φθέγξασθαι. εἰ γὰρ αἰακὸς, ἢ ῥαδά-
μανθυς, ἢ μίνως ἦν ὁ κατηγορῶν, ἀλλὰ μὴ σπερμολό-
γος, περίτριμμα ἀγορᾶς, ὄλεθρος γραμματεὺς, οὐκ
ἂν αὐτὸν οἶμαι τοιαῦτ᾽ εἰπεῖν, οὐδ᾽ ἂν οὕτως ἐπαχθεῖς ταῦτ. η.
λόγους πορίσασθαι, ὥσπερ ἐν τραγῳδίᾳ βοῶντα, ὦ γῆ
231 καὶ ἥλιε, καὶ ἀρετὴ, καὶ τὰ τοιαῦτα· καὶ πάλιν σύνεσιν
καὶ παιδείαν ἐπικαλούμενον, ᾗ τὰ καλὰ καὶ τὰ αἰσχρὰ η.
διαγιγνώσκεται· ταῦτα γὰρ δήπουθεν ἠκούετ᾽ αὐτοῦ λέ- ἠκούσατ. α. ἀκούετε. η.
γοντος. σοὶ δ᾽ ἀρετῆς, ὦ κάθαρμα, ἢ τοῖς σοῖς τίς μετουσία,
ἢ καλῶν ἢ μὴ τοιούτων τίς διάγνωσις· πόθεν λαβόντι, ἢ α. ρ
232 πῶς ἀξιωθέντι· ποῦ δὲ παιδείας σοὶ θέμις μνησθῆναι, ἧς,
τῶν μὲν ὡς ἀληθῶς τετυχηκότων οὐδ᾽ ἂν εἷς εἴποι περὶ
αὑτοῦ τοιοῦτον οὐδέν· ἀλλὰ κἂν ἑτέρου λέγοντος ἐρυ- αὐτοῦ. ζ. η.
θριάσειε. τοῖς δὲ ἀπολειφθεῖσι μὲν ὥσπερ σὺ, προσποιου-
μένοις δὲ ὑπ᾽ ἀναισθησίας, τὸ τοὺς ἀκούοντας ἀλγεῖν ποιεῖν
233 ὅταν λέγωσιν, οὐ τὸ δοκεῖν τοιούτοις εἶναι περίεστιν. οὐκ τοιούτοις. α. ε
ἀπορῶν δ᾽ ὅ, τι χρὴ περὶ σοῦ καὶ τῶν σῶν εἰπεῖν, ἀπορῶ τοῦ, ἀπορῶ. η.
πρώτου μνησθῶ· πότερ᾽ ὡς ὁ πατήρ σου τρόμης, ἐδούλευε πρώτου. γ. ζ. η.
παρ᾽ ἐλπίᾳ τῷ πρὸς τῷ θησείῳ διδάσκοντι γράμματα,
χοίνικας παχείας ἔχων καὶ ξύλον· ἢ ὡς ἡ μήτηρ σου τοῖς με-
24 θημερινοῖς γάμοις ἐν τῷ κλισίῳ τῷ πρὸς τῷ καλαμί- σικλείῳ. ε.
τῃ ἥρωϊ χρωμένη, τὸν καλὸν ἀνδριάντα, καὶ τριταγωνιστὴν ἄ- προσώπῳ. γ. α.
κρον ἐξέθρεψέ σε· ἀλλὰ πάντες ἴσασι ταῦτα, κἂν ἐγὼ μὴ
λέγω. ἀλλ᾽ ὡς ὁ τριηραύλης φορμίων ὁ δίωνος τοῦ φρεαρρίου φρεαρρίου. η. α. γ. φρεαρρίδου. ζ.
δοῦλος, ἀνέστησεν αὐτὴν ἀπὸ ταύτης τῆς καλῆς ἐργασίας;
235 ἀλλὰ νὴ τὸν δία καὶ τοὺς θεοὺς, ὀκνῶ μὴ περὶ σοῦ τὰ προσή-
κοντα λέγων, αὐτὸς οὐ προσήκοντας ἐμαυτῷ δόξω ἑαυτῷ. η.

Ψῆφος) Η περὶ τοῦ στεφάνου. Δεῖ δέ με ὡς ἔοικε) Δύο συγγνώμας ἔθηκεν· ἐκ μὲν 229 τοῦ, δεῖ με, τὴν ἀνάγκην δηλῶν· ἐκ δὲ τοῦ, φιλολοίδορον, ὅτι οὐ μετ᾽ ἡδονῆς ἐντρυφᾷ τοῖς αἰσχίνου κακοῖς, ἀποστρεφομένης τῆς φύσεως τὸ πρᾶγμα. Τίς ὢν) Ηγουν οὐδαμινός. 230 Αρχει) Αρχὴν ποιεῖ. Αἰακός) Οὗτοι οἱ τρεῖς διεβόηντο ἐπὶ δικαιοσύνῃ. Αλλὰ μὴ σπερμολόγος) Τινές φασιν οὕτω καλεῖσθαι τὸν κολοιὸν, ὡς ἀλλοτρίοις πτεροῖς προσχρησάμενον. καὶ δὴ καὶ ὁ αἰσχίνης οὐδὲν ἴδιον ἔχει· τοῖς δὲ τῶν ἄλλων λόγοις προσκέχρηντο, αὐτὸς ἀπαίδευτος ὤν. ἢ σπερμολόγος, ἀσεβὴς, ἀπὸ τῶν βωμῶν συνέγων τὰ ἐπιτιθέμενα ὑπὸ τῶν ἄλλων. τάχα δὲ καὶ πένης, ὁ τὰ ἀποπίπτοντα ἀπὸ τῶν βασταζόντων ἀναλαμβάνων, τὰ κατὰ βραχὺ ἀπὸ τῆς γῆς συλλέγων, καὶ οὕτω τρεφόμενος, εὐτελὴς καὶ φαῦλος ἄνθρωπος. Ολεθρος) Η ὀλέθρου ἄξιος, ἢ ὁ πολλοῖς προξενήσας ὄλεθρον, τῷ μεταβάλλειν τὰ γράμματα ἐν τῷ ἀναγινώσκειν. Γραμματεύς) Ο τῶν γραμμάτων τε κύριος καὶ τῶν ψηφισμάτων φύλαξ.

Επαχθεῖς) Φορτικούς. Πορίσασθαι) Συναγαγεῖν, λαβεῖν. Ωσπερ ἐν τραγῳδίᾳ βοῶντα, ὦ γῆ καὶ ἥλιε) Εοικε γὰρ τραγικὰ εἶναι ταῦτα. καὶ ἅμα εἰς τὴν τέχνην ἀποσκώπτει, σύνεσιν καὶ παιδείαν ἐπικαλούμενος· ὁ γὰρ αἰσχίνης δυσχεραίνων εἰ δημοσθένης ὀφθείη στεφανούμενος, 231 καὶ ταῦτα ἐφθέγγετο. Επικαλούμενον) Επιβοώμενον. Διάγνωσις) Ιστορία, γνῶσις τῶν πάλαι ποτὲ 232 γενομένων πραγμάτων. Απολειφθεῖσι) Τῆς παιδείας ἐστερημένοις.

Προσποιουμένοις) Ιδιοποιουμένοις. 233 Οὐκ ἀπορῶν δὲ ὅ, τι χρὴ περὶ σοῦ) Εγκωμιαστικοῦ νοήματος ἐπελάβετο· ἐπεὶ καὶ ὁ ψόγος τῶν ἐγκωμιαστικῶν. ὁ δὲ λέγει τοιοῦτόν ἐστιν. οὐκ ἀπορῶν τοῦ εἰπεῖν πολλὰ κατὰ σοῦ, ἀλλ᾽ εὐπορῶν, ἐν τούτῳ δοκῶ ἀπορεῖν ἐν τῷ μὴ εἰδέναι με ποῖα πρῶτον προστάξω αὐτῶν τῶν πολλῶν. Παρ᾽ ἐλπίᾳ) Οὗτος ὁ ἐλπίας χαμαιδιδάσκαλος ἦν παρὰ τοῖς ἀθηναίοις, ὑπόχρεον ἔχων τὸν πατέρα τοῦ αἰσχίνου. Θησείῳ) Τῷ τεμένει τοῦ θησέως. Χοίνικας παχείας) Εἰπὼν δουλεύειν αὐτὸν, τὰ ἑπόμενα τοῖς φαύλοις τῶν δούλων ἐπήγαγε, τὰς πέδας λέγων· τοῦτο γὰρ καλεῖ χοίνικας, τὸ σχοινίον δηλῶν. Αλλως. Χοίνικας καλεῖ τὰς πέδας· τὸ δὲ ξύλον, ἢ πρὸς τὸ ἐπερείδεσθαι τὸν τρόμην ἐν τῷ βα-
34 δίζειν καὶ ἐπαναπαύεσθαι, ἢ πρὸς τὸ δύνασθαι συνάπτειν τοὺς πόδας αὐτοῦ. Κλισίῳ) Τῷ προστῴῳ. ἔστι δὲ ὄνομα τόπου. Τὸν καλὸν ἀνδριάντα) Μικρὸς γὰρ ἦν ὁ αἰσχίνης τὸ σῶμα. Τριταγωνιστὴν ἄκρον) Καὶ τοῦτο κατὰ τὸ ἦθος· ἔστι γὰρ ἀναθέστατον. Εξέθρεψε) Τέλειον ἐξέθρεψέ σε καὶ ἐποίησε. Αλλ᾽ ὡς ὁ τριηραύλης) Οὐχ ἁπλῶς αὐλητής. ἦσαν γὰρ καὶ ἐπίσημοι· ἀλλ᾽ ἐν τριήρει αὐλῶν ἄμουσον ῥυθμόν. Τῆς καλῆς ἐργασ.) Κατ᾽ εἰρωνείαν· λέγει γὰρ τῆς πορνείας. Οκνῶ

μὴ περὶ

ἠξίωσ' αὐτ. α. — ὡς. η.

προσῆκε διαλέγεσθαι λόγους. Ταῦτα μὲν οὖν ἐάσω· ἀπ' αὐτῶν
δὲ ὧν αὐτὸς βεβίωκεν, ἄρξομαι· οὐδὲ γὰρ ὧν ἔτυχεν, ἦν·
ἀλλ' οἷς ὁ δῆμος καταρᾶται. ὀψὲ γάρ ποτε. ὀψὲ λέγω;
236 χθὲς μὲν οὖν καὶ πρώην, ἅμα Ἀθηναῖος καὶ ῥήτωρ
γέγονε· καὶ δύο συλλαβὰς προσθεὶς, τὸν μὲν πατέρα,
ἀντὶ τρόμητος, ἐποίησεν Ἀτρόμητον· τὴν δὲ μητέρα
σεμνῶς πάνυ, Γλαυκοθέαν ὠνόμασεν, ἣν ἔμπουσαν
ἅπαντες ἴσασι καλουμένην, ἐκ τοῦ πάντα ποιεῖν καὶ
237 πάσχειν δηλονότι, ταύτης τῆς ἐπωνυμίας τυχοῦσαν· πό-
θεν γὰρ ἄλλοθεν· ἀλλ' ὅμως οὕτως ἀχάριστος εἶ καὶ πονη-
ρὸς φύσει, ὥστε ἐλεύθερος ἐκ δούλου, καὶ πλούσιος ἐκ
πτωχοῦ διὰ τουτουσὶ γεγονὼς, οὐχ ὅπως χάριν αὐτοῖς
ἔχεις, ἀλλὰ μισθώσας σαυτὸν κατὰ τουτωνὶ πολιτεύῃ.
238 καὶ περὶ ὧν μὲν ἐστί τις ἀμφισβήτησις ὡς ἄρα ὑπὲρ
τῆς πόλεως εἴρηκεν, ἐάσω· ἃ δ' ὑπὲρ τῶν ἐχθρῶν φανε-
ρῶς ἀπεδείχθη πράττων, ταῦτα ἀναμνήσω. τίς γὰρ ὑ-
μῶν οὐκ οἶδε τὸν ἀποψηφισθέντα Ἀντιφῶντα, ὃς ἐπαγ-
γειλάμενος Φιλίππῳ τὰ νεώρια ἐμπρήσειν τὰ ὑμέ-
239 τερα, εἰς τὴν πόλιν ἦλθεν· ὃν λαβόντος ἐμοῦ κεκρυμ-
μένον ἐν Πειραιεῖ, καὶ καταστήσαντος εἰς τὴν ἐκκλησίαν,
βοῶν ὁ βάσκανος οὗτος καὶ κεκραγὼς, ὡς ἐν δημοκρα-
τίᾳ δεινὰ ποιῶ, τοὺς ἠτυχηκότας τῶν πολιτῶν ὑβρίζων,
καὶ ἐπ' οἰκίας βαδίζων ἄνευ ψηφίσματος, ἀφεθῆναι
240 ἐποίησε. καὶ εἰ μὴ ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου τὸ πρᾶγμα
αἰσθομένη, καὶ τὴν ὑμετέραν ἄγνοιαν ἐν οὐ δέοντι συμ-
βεβηκυῖαν ἰδοῦσα, ἐπεζήτησε τὸν ἄνθρωπον, καὶ συλ-
λαβοῦσα ἐπανήγαγεν ὡς ὑμᾶς, ἐξήρπαστ' ἂν ὁ τοιοῦτος
καὶ τὸ δίκην δοῦναι διαδὺς, ἐξεπέμπετ' ἂν ὑπὸ τοῦ
241 σεμνολόγου τουτουί· νῦν δ' ὑμεῖς στρεβλώσαντες αὐτὸν,
ἀπεκτείνατε, ὡς ἔδει γε καὶ τοῦτον. τοιγαροῦν εἰδυῖα ταῦ-

Margin: *ἀσέμνως Γλαυκοθέαν. χ.β. — *τούτοις. ε. — *καί. ε. — *τούτων. ε. — ἐπεδείχθη. α. ἐδείχθη. ε. α. — *ὑμέτερα. ε. — *κεκρυμμένου. η. — *ἐπὶ τάς. ε. — *τούτου. α. ε.

μὴ περὶ σοῦ) Δύο αἰνίττεται, καὶ τὸ δο- 235
κεῖν εἶναι σώφρονα, καὶ τὸ φεύγειν τὰς
λοιδορίας καὶ ὅσον ἀληθεῖς. Οὐ
δὲ γὰρ ὧν ἔτυχεν, ἦν) Τὸ παρ' ὑπό-
νοιαν καλούμενον· ἐπειδὴ γὰρ ὃ προσ-
εδόκων οἱ ἀκροαταὶ, κρεῖττον ἐπή-
γαγε. Καταρᾶται) Ἵνα λέγῃ ὡς
προδότης· τοῖς τοιούτοις δὲ κατα-
ρᾶται ὁ δῆμος διὰ τοῦ κήρυκος.
Ὀψὲ γάρ ποτε) Δεῖ λαβεῖν, τὸ μὲν
πρότερον ὀψὲ, ὡς παρ' διηγουμένου· τὸ
δὲ δεύτερον, ὡς κατ' ἐρώτησιν, καὶ
ὡς ἐκπληττόμενος, ὅτι ἐλησμόνησεν
εἰπεῖν τὸ ἐχθὲς, μεμοσῶν γε τὸ πρό-
τον ἀντὶ τοῦ ὀψίως. κατὰ κοινὸν δὲ τὸ
ἦν. Καὶ δύο συλλαβὰς) Μίαν μὲν, 236
εἰς τὸ ὄνομα τοῦ πατρός· μίαν δὲ, εἰς
τὸ τῆς μητρός. Ἔμπουσαν) Ἐκ τοῦ
πάντα αἰσχρῶς καὶ ἀνοσίως ποιεῖν·
τοιαύτη γὰρ ἡ πάλαι ἔμπουσα. Διὰ 237
τουτουσὶ) Τοὺς πολίτας. Οὐχ ὅ-
πως) Ἤγουν οὐ μόνον. Κατὰ του-
τωνὶ πολιτεύῃ) Ἤγουν πράττεις πᾶ-
σαν πρᾶξιν καὶ κινεῖς κατ' αὐτῶν.
Καὶ περὶ ὧν μὲν ἐστί τις ἀμφισβή- 238
τησις) Ἐπιδείκνυσιν ἐν τούτοις, ὅτι
οὐχ ὡς ἐχθρὸς ἀκριβολογεῖται,
πάντα ἐξετάζων ἃ ἥμαρτεν, ἀλλὰ
πλεῖστα καὶ παραπέμπεται. διηγεῖται
δὲ τὰ σαφέστερα καὶ εὐδηλότερα· διὸ
καὶ ἀκολούθως ἐπήγαγε. Τὸν ἀ-
ποψηφισθέντα) Οὗτος γὰρ ὁ Ἀντι-
φῶν, Ἀθηναῖος ἐδόκει εἶναι τὸ πρό-
τερον· γενομένων δὲ τῶν καλουμέ-
νων διαψηφίσεων, ὅ ἐστιν ἐξετάσεων
ἐν τοῖς δήμοις ὡς ἔθος, εἰ ἄρα φύσει
Ἀθηναῖος οὐκ ὢν, ἐνέγραψεν ἑαυ-
τὸν ἐκ σπουδῆς τινῶν εἰς τοὺς ἀστούς·
ἀπεψηφίσθη δὲ καὶ ἀπεδοκιμάσθη,
ὡς οὐκ ὢν αὐτός, καὶ ἐκβέβληται, λυ-
πηθεὶς ᾤχετο πρὸς τὸν Φίλιππον, καὶ
ὑπέσχετο αὐτῷ λάθρα τῆς Ἀττικῆς
ἐπιβὰς ἐμπρήσειν τῆς Ἀττικῆς τὰ
νεώρια. Τὰ νεώρια) Τόποι εἰς
οὓς αἱ νῆες ἀνέλκονται. Λαβόντος) Κατασχόντος. Κεκρυμμένον ἐν Πειραιεῖ) Τὰ εἰκότα εἴρηκεν ὡς πεῖσαι δυνάμε- 239
να· ὅ, τε γὰρ τόπος τοῦ Πειραιῶς ὕποπτος, καὶ ὁ τρόπος· κεκρυμμένον γὰρ εἰπὼν, εἰς πίστιν ἄγει τὴν τόλμαν. Καταστήσαντος)
Δῆλον ποιήσαντος ἐν τῇ ἐκκλησίᾳ τοῦ δήμου. Ὡς ἐν δημοκρατίᾳ δεινὰ ποιῶ) Μιμεῖται τοῦ Αἰσχίνου τοὺς λόγους, τὸ πι-
θανὸν αὐτοῖς εἰς ἀπάτην διδούς· ὅρα γὰρ ὅπως ὀνομάζει τὴν πολιτείαν ἐκ φιλανθρωπίας γνωριζομένην· καὶ τοὺς ἠτυχη-
κότας λέγων τῶν πολιτῶν, μηχανᾶται τὴν ἄφεσιν. ποιεῖ δὲ λεληθότως πάλιν πολέμιον τῷ δήμῳ τὸν Αἰσχίνην, εἴγε ὁ μὲν,
ὡς οὐκ ὄντα πολίτην ἐκάλει. Καὶ ἐπ' οἰκίας βαδίζων) Ἐγὼ δηλονότι βαδίζων ἐπὶ οἰκίας τὰς τῶν ἀνθρώπων. πολὺν δὲ
ἔπαινον φέρει τῷ ῥήτορι· οὕτως ὑπὲρ τοῦ κοινῇ συμφέροντος ἀγρυπνεῖ, ὡς καὶ μηδενὸς εἰδότος καὶ ἐπιτρέψαντος αὐτὸν
ἐπιζητεῖν τοὺς βλάπτειν ἐθέλοντας. τινὲς δὲ τῷ ἑξῆς συνῆψαν τὸ ἄνευ ψηφίσματος ἀφεθῆναι ἐποίησεν· ἀπατήσας γὰρ τὸν
δῆμον ἔπεισεν ἀφεθῆναι τὸν ἄνθρωπον ὀξέως, ὡς μηδὲ καιρὸν ἐγγενέσθαι οὐ φείσασθαι. ὅλον τοίνυν ἐξ ἀμφοῖν. Καὶ εἰ μὴ 240
ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου) Συνάπτει ἑαυτὸν τῷ σεμνοτάτῳ βουλευτηρίῳ, καὶ καρποῦται μετ' ἐκείνης τιμὴν πρὸς τὴν
δόξαν· ὁ γὰρ εὗρε μὲν Δημοσθένης, ἀπέλυσε δὲ Αἰσχίνης, ἐπεζήτησεν ἡ βουλὴ καὶ ἀνέσωσε. Τὸ πρᾶγμα αἰσθομένη) Τὴν ὑ-
πόθεσιν νοήσασα. Ἐν οὐ δέοντι συμβεβηκυῖαν) Ὀνειδίζει τρόπον τινὰ τῷ δήμῳ διὰ τοῦ προσώπου τῆς βουλῆς· ἔστι μὲν γὰρ ὡς
ἀνθρώποις ἀγνοεῖν. τὸ δὲ, ἐν οὐ δέοντι, τοιοῦτόν ἐστιν· ἀγνοεῖν ἔδει διδαχθέντας ὑπὸ τοῦ ῥήτορος ἄνευ ἔχοντες δημηγόρον,
τὴν ἐπιβουλὴν οὐ συνήκατε· συνηπίστατο τῷ συμβούλῳ ὁ προδότης, καὶ ὑμᾶς ἐγοήτευσε. Καὶ συλλαβοῦσα) Πανταχό-
θεν ἀγρεύσασα τὴν θήραν, οὐκ ἀπολέσασα. κατασκευάζει δὲ διὰ τῆς φυγῆς τὴν ὑπόνοιαν· οὐ γὰρ ἂν οὕτω σπουδαίως
ἔφυγεν, εἰ μὴ συνῄδει ὡς ὑπεύθυνος ἦν. Ἐπανήγαγεν ὡς ὑμᾶς) Θέασαι τῆς λέξεως τὴν ἀκρίβειαν· ἐπειδὴ γὰρ εἰ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τα ἡ βουλὴ ἡ ἐξ ἀρείου πάγου, τὰ τότε τούτῳ πεπραγ-
μένα, χειροτονησάντων αὐτὸν ὑμῶν σύνδικον ὑπὲρ τοῦ
ἱεροῦ τοῦ ἐν Δήλῳ, ἀπὸ τῆς αὐτῆς ἀγνοίας, ἀφ' ἧσπερ
242 πολλὰ προΐεσθε τῶν κοινῶν, ὡς προσείλεσθε, κἀκείνην
καὶ τοῦ πράγματος κυρίαν ἐποιήσατε, τοῦτον μὲν εὐθὺς
ἀπήλασεν ὡς προδότην, ὑπερείδῃ δὲ λέγειν προσέ-
ταξε· καὶ ταῦτα ἀπὸ τοῦ βωμοῦ φέρουσα τὴν ψῆφον
ἔπραξε, καὶ οὐδεμία ψῆφος ἠνέχθη τῷ μιαρῷ τούτῳ.
243 Καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

Μάρτυρες.

"Μαρτυροῦσι Δημοσθένει ὑπὲρ ἁπάντων οἵδε· Καλλίας
"Σουνιεύς, Ζήνων Φλυεύς, Κλέων Φαληρεύς, Δημόνικος Μα-
"ραθώνιος, ὅτι τοῦ δήμου ποτὲ χειροτονήσαντος Αἰσχίνην
244 σύνδικον ὑπὲρ τοῦ ἱεροῦ τοῦ ἐν Δήλῳ εἰς τοὺς Ἀμφικτύο-
"νας, συνεδρεύσαντες ἡμεῖς, ἐκρίναμεν Ὑπερείδην ἄξιον
"εἶναι μᾶλλον ὑπὲρ τῆς πόλεως λέγειν· καὶ ἀπεστάλη Ὑ-
"περείδης. Οὐκοῦν ὅτε τούτου μέλλοντος λέγειν ἀπή-
λασεν αὐτὸν ἡ βουλή, καὶ προσέταξεν ἑτέρῳ, τότε καὶ προ-
245 δότην εἶναι καὶ κακόνουν ὑμῖν ἀπέφηνεν. Ἓν μὲν τοίνυν
τοῦτο τοιοῦτο πολίτευμα τοῦ νεανίου τούτου, ὅμοιόν γε· οὐ γὰρ
οἷς ἐμοῦ κατηγορεῖ· ἕτερον δὲ ἀναμιμνήσκεσθε. Ὅτε γὰρ
Πύθωνα Φίλιππος ἔπεμψε τὸν Βυζάντιον, καὶ παρὰ τῶν
αὐτοῦ συμμάχων ἁπάντων συνέπεμψε πρέσβεις, ὡς
246 ἐν αἰσχύνῃ ποιήσων τὴν πόλιν καὶ δείξων ἀδικοῦσαν,
τότε, ἐγὼ μὲν τῷ Πύθωνι θρασυνομένῳ, καὶ πολλῷ ῥέ-
οντι καθ' ὑμῶν, οὐκ εἶξα, οὐδ' ὑπεχώρησα, ἀλλ' ἀναστὰς
ἀντεῖπον, καὶ τὰ τῆς πόλεως δίκαια οὐχὶ προὔδωκα, ἀλ-
λ' ἀδικοῦντα Φίλιππον ἐξήλεγξα φανερῶς οὕτως, ὥσ-
247 τε τοὺς ἐκείνου συμμάχους αὐτοὺς ἀνισταμένους, ὁμολογεῖν·
οὗτος δὲ συνηγωνίζετο, καὶ τἀναντία ἐμαρτύρει τῇ πα-
τρίδι, καὶ ταῦτα ψευδῆ. Καὶ οὐκ ἀπέχρη ταῦτα, ἀλλὰ καὶ
πάλιν μετὰ ταῦθ' ὕστερον, Ἀναξίνῳ τῷ κατασκόπῳ συ-
νιών, εἰς τὴν Θράσωνος οἰκίαν ἐλήφθη. Καίτοι ὅστις τῷ
248 ὑπὸ τῶν πολεμίων πεμφθέντι μόνος μόνῳ συνῄει καὶ
ἐκοινολογεῖτο, οὗτος αὐτὸς ὑπῆρχε τῇ φύσει κατάσκοπος
καὶ πολέμιος τῇ πατρίδι. Καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, κά-
λει μοι τούτων τοὺς μάρτυρας.

Μάρτυρες.

249 Μελέδημος Κλέωνος, Ὑπερείδης Καλλαίσχρου, Νικόμαχος

---

πεν αὐτὸν ἀπὸ τῆς ἐκκλησίας δι' αἰσχίνην προβάλεσθαι, κυρίως εἶπε τὸ ἐπανήγαγεν ἐς τὸν αὐτὸν τόπον, αὖθις κατέστησεν αὐτὸν τῇ βουλῇ ὑφ' ἧς σέσωσται πρότερον.

241 Τοιγαροῦν εἰδυῖα ταῦτα ἡ βουλὴ ἡ ἐξ ἀρείου πάγου) Συνάπτει καὶ ἕτερον πολίτευμα τῆς βουλῆς δικαίως κατ' αἰσχίνου γενόμενον. καὶ ἔστι κἀνταῦθα τὴν δαιμονίαν αὐτοῦ κατοπτεῦσαι φύσιν· ἵνα γὰρ μὴ δόξῃ χάριτι δημοσθένους γεγονέναι τὸ τοῦ ἀντιφῶντος, εἰσάγει τὴν βουλὴν αὐτὴν καθ' αὐτὴν ἐκ τοῦ ῥήτορος καταγινώσκουσαν, καὶ ποιεῖ κατὰ τῆς πονηρίας αἰσχίνου τὴν ψῆφον τῆς βουλῆς ἐξ ἀμφοτέρων βεβαίαν. Τούτῳ) Τῷ αἰσχίνῃ.

242 Προείλεσθε) Προεκρίνατε. Κυρίαν) Τὴν βουλὴν τοῦ ἀρείου πάγου.

Καὶ ταῦτα ἀπὸ τοῦ βωμοῦ φέρουσα) Ἀναιρεῖ τὰ ὑφορμοῦντα, ἵνα μὴ δυσμένειαν τις μαρτυρήσῃ τῇ βουλῇ. τὸ δέ, ἀπὸ τοῦ βωμοῦ, ἤτοι ὅτι ἐκεῖθεν λαμβάνουσα τὰς ψήφους, οὕτως ἐδίδου· ἢ ὅτι τὰς χεῖρας ἐπιθεῖσα τῷ βωμῷ καὶ θύουσα, μετέθηκεν ἐπὶ τὰς ψήφους τὴν χεῖρα γέμουσαν ἢ τοῦ βωμοῦ, μετὰ τὸν βωμόν. Ἠνέχθη) Συνέβη.

μετετίθει τὰς χεῖρας ἐπὶ τὰς ψήφους, ὡς μηδὲν πρὸς ἔχθραν, ἀλλὰ δικαίως ψηφίζεσθαι. β.

244 Οὐκοῦν ὅτε τούτου μέλλοντος) Δοὺς ἐκ τῆς μαρτυρίας τὴν πίστιν, χρῆται λοιπὸν ἐνθυμήματι· ἡ δὲ σύνταξις ἐπικίνδυνος καὶ σολοικοφανής τισιν ἐνομίσθη· μεταχειριστέον δὲ αὐτὴν οὕτως, ἀμείβοντας μέν, οὐδὲν δὲ τὸ παράπαν ἔξωθεν ἐπεισάγοντας· οὐκοῦν ὅτε τούτου μέλλοντος λέγειν, προσέταξεν ἑτέρῳ δηλονότι λέγειν, καὶ ἀπήλασεν αὐτὸν ἡ βουλὴ τῆς συνδικίας. Τοῦ νεανίου
245 τούτου) Τοῦ ἐξ ἐπάρσεως μωροῦ τοῖς αὐτοῦ πολιτεύμασιν· οὐ γὰρ ὅμοιον, δηλονότι οἷς ἐμοῦ κατηγορεῖ.

246 Ἐν αἰσχύνῃ ποιήσων) Αἰσχυνῶν τὴν πόλιν. ἐνήλλαξε δὲ ὁ ῥήτωρ ἐξεπίτηδες οἶμαι τὰ ῥήματα, τὴν ἀτοπίαν τῆς φιλίππου γνώμης δηλῶν· ἐπεὶ πρότερον τις ἐλέγχειν ὀφείλει τὸν ἀδικοῦντα, εἶτα καταισχύνειν.

Καὶ πολλῷ ῥέοντι καθ' ὑμῶν) Λόγοις κινοῦντι δίκην ῥεύματος. σκόπει δὲ κἀνταῦθα τὸ μέγεθος τῆς μεγαλονοίας τοῦ ῥήτορος, ὅτι καὶ δοκῶν ὡς οἴονταί τινες, καὶ θαυμάζειν τὸν πύθωνα, οὐδὲ ἐπισημαίνει αὐτῷ οὐδὲ σύνεσιν ἐμαρτύρησεν· ἀλλὰ τὸ ῥοῶδες καὶ λάλον ἁπλῶς προείληφεν· ἅπερ οὐ τέχνης ἀληθοῦς γίνεται σύμβολα, ῥητορικῆς δὲ ὡς εἰπεῖν εἴδωλα μᾶλλον· διὸ καὶ θρασυνόμενον αὐτὸν εἰπών, διέβαλε. Καὶ τὰ τῆς πόλεως οὐχὶ προὔδωκα δίκαια) Ἐπειδὴ εἶπεν, οὐκ εἶξα, οὐδ' ὑπεχώρησα, καὶ ἔμελλέ τις τὸν ἀντίπαλον ἐννοῶν ὑπο-
247 νοεῖν ὡς ἄρα ῥήτορι ῥήτωρ ἐβάσκαινε· διὸ καὶ σαφέστατα μετάγει τὴν αἰτίαν πρὸς τὸ εὐφημότερον, τὰ δίκαια τῆς πό-
248 λεως οὐ προὔδωκα φήσας. Οὐκ ἀπέχρη) Οὐκ ἀρεστά. Συνιών) Συνερχόμενος. Ἐλήφθη) Ἐφωράθη. Συνῄει)

Συνηρ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

διοφάντου, μαρτυροῦσι δημοσθένει, καὶ ἐπωμόσαντο ἐπὶ
τῶν στρατηγῶν, εἰδέναι αἰσχίνην ἀτρομήτου κοθωκίδην
συνερχόμενον νυκτὸς εἰς τὴν θράσωνος οἰκίαν, καὶ κοι-
νολογούμενον ἀναξίνῳ, ὃς ἐκρίθη εἶναι κατάσκοπος παρὰ
φιλίππου. αὗται ἀπεδόθησαν αἱ μαρτυρίαι ἐπὶ νικίου, 250
ἑκατομβαιῶνος τρίτῃ ἱσταμένου.

Μυρία τοίνυν ἕτερ' εἰπεῖν ἔχων περὶ αὐτοῦ, παραλείπω·
καὶ γὰρ οὕτω πως ἔχει· πολλὰ ἂν ἐγὼ νῦν ἔτι τούτων ἔχοι-
μι δεῖξαι, ὧν οὗτος κατ' ἐκείνους τοὺς χρόνους, τοῖς μὲν ἐ-
χθροῖς ὑπηρετῶν, ἐμοὶ δ' ἐπηρεάζων εὑρέθη. ἀλλ' οὐ τί- 251
θεται ταῦτα παρ' ὑμῖν εἰς ἀκριβῆ μνήμην, οὐδ' ἣν προ-
σῆκεν ὀργήν· ἀλλὰ δεδώκατε ἔθει τινὶ φαύλῳ πολλὴν
ἐξουσίαν τῷ βουλομένῳ τὸν λέγοντά τι τῶν ὑμῖν συμ-
φερόντων, ὑποσκελίζειν καὶ συκοφαντεῖν, τῆς ἐπὶ ταῖς
λοιδορίαις ἡδονῆς καὶ χάριτος, τὸ τῆς πόλεως συμφέρον 252
ἀνταλλαττόμενοι· διόπερ ῥᾷόν ἐστι καὶ ἀσφαλέστερον ἀεὶ
τοῖς ἐχθροῖς ὑπηρετοῦντα μισθαρνεῖν, ἢ τὴν ὑπὲρ ὑμῶν
ἑλόμενον τάξιν πολιτεύεσθαι. καὶ τὸ μὲν δὴ πρὸ τοῦ
πολεμεῖν, φανερῶς συναγωνίζεσθαι φιλίππῳ, δεινὸν
μέν, ὦ γῆ καὶ θεοί· πῶς γὰρ οὔ· κατὰ τῆς πατρίδος. δότε 235
δὲ εἰ βούλεσθε δότε αὐτῷ τοῦτο· ἀλλ' ἐπειδὴ φανερῶς ἤδη τὰ πλοῖα ἐσεσύλητο,
α.μ.γ.ε.η. χερρόνησος ἐπορθεῖτο, ἐπὶ τὴν ἀττικὴν ἐπορεύετ' ἄνθρωπος, οὐκέτι καὶ ἐν ἀμ-
φισβητησίμῳ τὰ πράγματα ἦν, ἀλλ' ἐνειστήκει πόλεμος. ὅ, τι μὲν πώποτ' ἔπρα-
ἰμῶν.ε. ξεν ὑπὲρ ὑμῶν ὁ βάσκανος οὑτοσὶ ἰαμβειογράφος, οὐκ ἂν ἔχοι δεῖξαι· οὐδ' ἔστιν 254
οὗτος.α. ἰαμβοφάγος ε. οὔτε μεῖζον οὔτ' ἔλαττον ψήφισμα οὐδὲν αἰσχίνῃ περὶ τῶν συμφερόντων τῇ πόλει.
αἰσχίνου.ε. εἰ δέ φησι, νῦν δειξάτω ἐπὶ τῷ ἐμῷ ὕδατι. ἀλλ' οὐκ ἔστιν οὐδέν. καίτοι δυοῖν αὐ-
τὸν ἀνάγκη θάτερον, ἢ μηδὲν τοῖς πραττομένοις ὑπ' ἐμοῦ τότ' ἔχοντα ἐγκαλεῖν, μὴ
αὐτὸ.η.ζ. αὐτῷ. γράφειν παρὰ ταῦθ' ἕτερα· ἢ τὸ τῶν ἐχθρῶν συμφέρον ζητοῦντα, μὴ φέρειν εἰς μέ- 255
τὸ.ε. σον τὰ τούτων ἀμείνω. ἆρ' οὖν οὐδὲ ἔλεγεν, ὥσπερ οὐδὲ ἔγραφεν, ἡνίκα ἐργάσασθαί
οὐδὲν.ζ. καινὸν.η. τι δέοι κακὸν ὑμᾶς; οὐ μὲν οὖν ἦν εἰπεῖν ἑτέρῳ. καὶ τὰ μὲν ἄλλα καὶ φέρειν ἠδύνα-
ἐμὲν ἦν οὖν. το ὡς ἔοικεν ἡ πόλις, ἃ ποιῶν οὗτος ἐλάνθανεν· ἓν δ' ἐπεξειργάσατο, ὦ ἄνδρες ἀ-
ε. θηναῖοι τοιοῦτον ὃ πᾶσι τοῖς προτέροις ἐπέθηκε τέλος· περὶ οὗ τοὺς πολλοὺς ἀνά- 256
α.β.γ.ε.η. ἀνήλωσε.α.η λωσε λόγους, τὰ τῶν ἀμφισσέων τῶν λοκρῶν διεξιὼν δόγματα, ὡς διαστρέψων τἀ-
η. ληθές. τὸ δ', οὐ τοιοῦτόν ἐστι· πόθεν· πολλοῦ γε καὶ δεῖ. οὐδέποτ' ἐκνίψῃ σὺ τἀκεῖ
κ. πεπραγμένα σαυτῷ· οὐχ οὕτω πολλὰ ἐρεῖς. καλῶ δ' ἐναντίον ὑμῶν, ὦ ἄνδρες
πάντας.ε. ἀθηναῖοι, τοὺς θεοὺς ἅπαντας καὶ πάσας, ὅσοι τὴν χώραν ἔχουσι τὴν ἀττικήν, καὶ τὸν 257
ἀπόλλω τὸν πύθιον, ὃς πατρῷός ἐστι τῇ πόλει, καὶ ἐπεύχομαι πᾶσι τούτοις, εἰ μὲν ἀλη-
τοῦτον.α.ε. θῆ πρὸς ὑμᾶς εἴποιμι, καὶ εἶπον τότ' εὐθὺς ἐν τῷ δήμῳ, ὅτε πρῶτον εἶδον τουτο-
νὶ τὸν μιαρὸν τούτου τοῦ πράγματος ἁπτόμενον· ἔγνων γὰρ εὐθέως ἔγνων, εὐτυχίαν
μοι δοῦναι καὶ σωτηρίαν· εἰ δὲ πρὸς ἔχθραν, ἢ φιλονεικίας ἰδίας ἕνεκα, αἰτίαν ἐπάγω 258
ἀνίας.ζ.α. τούτῳ ψευδῆ, πάντων τῶν ἀγαθῶν ἀνόνητόν με ποιῆσαι. τί οὖν ταῦτ' ἐπήραμαι
καὶ διετεινάμην οὑτωσὶ σφοδρῶς· ὅτι καὶ γράμματ' ἔχων ἐν τῷ δημοσίῳ κείμενα,

Συνήρχετο. Ἀπεδόθησαν) Φανε- 250
ραὶ ἐγένοντο. Ἑκατομβαιῶνος)
Ἀπριλλίου. Οὕτω πως ἔχει) Ὡς
μέλλω λέγειν. Ὑπηρετῶν) Μισθω- 251
τὸς ὤν. Οὐ τίθεται ταῦτα) Ἤγουν
οὐκ ἀκριβῶς μνημονεύεται ταῦτα
παρ' ὑμῖν τὰ πράγματα. Οὐδ' ἣν
προσῆκεν) Δώσετε τούτῳ. Φαύ-
λῳ) Κακῷ. Αὐτῷ) Τῷ αἰσχίνῃ. 253
Ἐσεσύλητο) Ἐσκυλεύθησαν.
Ἄνθρωπος) Ὁ φίλιππος. Ὁ βά- 254
σκανος) Ὁ φθονερός. Ὑπ' ἐμοῦ
τότ' ἔχοντα) Ἀντὶ τοῦ ἐμέ. Ταῦ- 255
θ' ἕτερα) Τὰ ἐμὰ ψηφίσματα.
Τούτων) Τῶν ἐμῶν ψηφισμάτων.
Ὥσπερ οὐδὲ ἔγραφεν) Ἀλλ' ἔλεγε
μέν, οὐκ ἔγραφε δέ, πλείονα ὧν εἴ-
ρηκα. Ἐπεξειργάσατο) Ἐπὶ τοῖς
προτέροις εἰργάσατο. Ἐκνίψῃ) 256
Καθάρῃς. Πεπραγμένα) Εἰς
τοὺς ἀμφισσεῖς. Καλῶ δὲ) Ἐπι-
καλοῦμαι. Τοῦ πράγματος ἁ- 257
πτόμενον) Γενόμενον πυλαγόραν.
Ἀνόνητον) Ἐστερημένον. Τί οὖν) 258
Τίνος οὖν ἕνεκα κατήραμαι.
Διετεινάμην) Διὰ συντόνου
σπουδῆς ἀπηρνούμην, διϊσχυρισάμην. Ἐν τῷ δημοσίῳ) Οἴκῳ δη-

λογόπ' ὦ οἱ δημόσιοι χάρ) ἐκεῖνο. Ἐξ ὧν ταῦτ') Ἃ κατηγορῶ τὸν
259 αἰσχίνην. Ὑποληφθῇ) Δοξασθῇ.
Ἐν ἀμφίσσῃ) Ἄμφισσα πόλις τῆς λοκρίδος· ἐλάτεια δὲ, μεγίστη πόλις
260 τῆς φωκίδος. Ἡρέθη) Προεκρίθη. Συγκατασκευάσας) Τῷ φι-
261 λίππῳ δηλονότι. Ἐκ παρακλήσεως) Ἀπὸ παρακινήσεως τοῦ αἰσχίνου. Αἰτίαν) Μέμψιν. Ἥτις δὲ ἡ φύσις) Ἡ ἀρχὴ τῶν πραγμάτων. Συνεσκευάσθη) Μετὰ δόλου γέγο-
262 νε. Συντεθὲν) Συσκευασθέν. Ἱστο-
263 ρίαν) Γνῶσιν. Κακῶς) Ἀνάνδρως. Αὐτῷ) Τῷ φιλίππῳ. Ἐκ τῆς χώ-
264 ρας) Αὐτοῦ δηλονότι. Ἐδεῖτο) Χρείαν. Διιέντων) Δίοδον διδόντων. Αὐτῷ) Τῷ φιλίππῳ. Τῷ πολέμῳ κρατοῦντι) Τὴν ἰσχὺν ἔχοντι εἰς τὸν πόλεμον, νικῶντι. Τὰ μὲν,
265 παρακρούσεσθαι) Εἰς τινὰ μὲν ἀπατῆσαι. Ὡς εὖ) Πῶς ἐπιτηδεί-
266 ως λέγω. Αὐτοὺς) Τοὺς θηβαίους. Δεήσεσθαι) Χρείαν σχήσειν. Εἰσηγοῖτο) Συνεβούλευε τοῖς ἀθηναίοις. Ὑπόψεσθαι) Ἐν ὑποψίᾳ ἔσεσθαι. Ὁ τοῦτο ποιῶν) Τὸ εἰσηγεῖσθαι. Εὐπόρως λήσειν) Ὤετο λαθεῖν.
267 Προβληθεὶς) Χειροτονηθείς. Ἀνερρήθη) Ἀνηγορεύθη. Ἀξίωμα) Τὴν
268 τιμήν.

ἐξ ὧν ταῦτ' ἐπιδείξω σαφῶς, καὶ ὑμᾶς εἰδὼς τὰ πε-
259 πραγμένα μνημονεύοντας, ἐκεῖνο φοβοῦμαι, μὴ τῶν εἰρ-
γασμένων αὐτῷ κακῶν, οὐδὲν ἐλάττων ὑποληφθῇ. ὅπερ *ἑαυτῷ. α. ε.
πρότερον συνέβη ὅτε τοὺς ταλαιπώρους Φωκέας ἐποί- *αὐτῷ. ε.
ησεν ἀπολέσθαι, τὰ ψευδῆ δεῦρ' ἀπαγγείλας· τὸν γὰρ ἐν
ἀμφίσσῃ πόλεμον, δι' ὃν εἰς ἐλάτειαν ἦλθε φίλιππος,
260 καὶ δι' ὃν ᾑρέθη τῶν ἀμφικτυόνων ἡγεμών, ὃς ἅπαντα ἀνέ-
τρεψε τὰ τῶν ἑλλήνων, οὗτός ἐστιν ὁ συγκατασκευάσας καὶ *πράγματα. α.
πάντων εἷς ἀνὴρ τῶν μεγίστων αἴτιος κακῶν*. καὶ τότ' εὐ-
θὺς ἐμοῦ διαμαρτυρομένου καὶ βοῶντος ἐν τῇ ἐκκλη- *κεκλημένος. α. ε. ζ.
σίᾳ, πόλεμον εἰς τὴν ἀττικὴν ἄγεις αἰσχίνη, πόλεμον ἀμ- εἰσάγεις. α. ε.
261 φικτυονικόν, οἱ μὲν ἐκ παρακλήσεως συγκαθήμενοι, οὐκ
εἴων με λέγειν· οἱ δ' ἐθαύμαζον, καὶ κενὴν αἰτίαν διὰ τὴν καινὴν. γρ. α. ζ. κοινὴν. ε.
ἰδίαν ἔχθραν ἐπάγειν με ὑπελάμβανον αὐτῷ. ἥτις δ' ἡ
φύσις, ὦ ἄνδρες ἀθηναῖοι, γέγονε τούτων τῶν πραγμά- α. γ. ε. η.
των, καὶ τίνος ἕνεκα ταῦτα συνεσκευάσθη, καὶ πῶς ἐπρά-
262 χθη, νῦν ἀκούσατε, ἐπειδὴ τότε ἐκωλύθητε· καὶ γὰρ εὖ ὑπακούσατε. ζ.
πρᾶγμα συντεθὲν ὄψεσθε, καὶ μεγάλα ὠφελήσεσθε
πρὸς ἱστορίαν τῶν κοινῶν. καὶ ὅση δεινότης ἦν ἐν τῷ φι- ἐμπειρίαν. γρ. α. ε.
λίππῳ, θεάσασθε. οὐκ ἦν τοῦ πρὸς ὑμᾶς πολέμου πέ- ἡμᾶς. α.
ρας οὐδ' ἀπαλλαγὴ φιλίππῳ, εἰ μὴ θηβαίους καὶ θεττα-
263 λοὺς ἐχθροὺς ποιήσειε τῇ πόλει· ἀλλὰ καίπερ ἀθλίως καὶ
κακῶς τῶν στρατηγῶν τῶν ὑμετέρων πολεμούντων αὐτῷ, ὅμως ὑπ' αὐτοῦ τοῦ πολέ-
μου καὶ τῶν λῃστῶν μυρία ἔπασχε κακά· οὔτε γὰρ ἐξήγετο τῶν ἐκ τῆς χώρας γιγνο- ἐκ τῆς. ε.
μένων οὐδέν, οὔτ' εἰσήγετο ὧν ἐδεῖτο αὐτῷ· ἦν δὲ οὔτε ἐν τῇ θαλάττῃ κρείττων τότε ὑ- ἔδει. γρ. α. ε.
264 μῶν, οὔτ' εἰς τὴν ἀττικὴν ἐλθεῖν δυνατός, μήτε θετταλῶν ἀκολουθούντων, μήτε θη- ἀκολουθούντων. η. π. γρ.
βαίων διιέντων· συνέβαινε δὲ αὐτῷ, τῷ πολέμῳ κρατοῦντι, τοὺς ὁποιουσδήποθ' ὑμεῖς
ἐξεπέμπετε στρατηγούς· ἐῶ γὰρ τοῦτό γε, αὐτῇ τῇ φύσει τοῦ τόπου καὶ τῶν ὑπαρχόν- ἐκπέμπετε. η.
των* ἑκατέροις κακοπαθεῖν. εἰ μὲν οὖν τῆς ἰδίας ἕνεκεν ἔχθρας, ἢ τοὺς θετταλοὺς ἢ *πραγμάτων. η.
265 τοὺς θηβαίους συμπείθοι βαδίζειν ἐφ' ὑμᾶς, οὐδὲν ἂν ἡγεῖτο προσέξειν αὐτῷ τὸν νοῦν· ἡμᾶς. ε.
ἂν δὲ τὰς ἐκείνων κοινὰς προφάσεις λαβὼν, ἡγεμὼν αἱρεθῇ, ῥᾷον ἤλπιζε τὰ μὲν, πα- οὐδένα ἡγεῖτο προσέχειν. γρ. α. ε.
ρακρούσεσθαι, τὰ δὲ πείσειν. τί οὖν ἐπιχειρεῖ, θεάσασθε ὡς εὖ· πόλεμον ποιῆσαι τοῖς παρακρούσεσθαι. ε. γρ. η.
ἀμφικτύοσι, καὶ περὶ τὴν πυλαίαν ταραχήν· εἰς γὰρ ταῦτ' εὐθὺς αὐτοὺς ὑπελάμβα- πεῖσαι. ε.
266 νεν αὐτοῦ δεήσεσθαι. εἰ μὲν τοίνυν τοῦτον ἢ τῶν παρ' ἑαυτοῦ πεμπομένων ἱερομνημόνων, ἢ τοῦτο. α. ε.
τῶν ἐκείνου συμμάχων εἰσηγοῖτό τις, ὑπόψεσθαι τὸ πρᾶγμα ἐνόμιζε καὶ τοὺς θηβαί- ἅπαντας. α. ε.
ους καὶ τοὺς θετταλούς, καὶ πάντας φυλάξεσθαι· ἂν δὲ ἀθηναῖος ᾖ, καὶ παρ' ὑμῶν τῶν
ὑπεναντίων ὁ τοῦτο ποιῶν, εὐπόρως λήσειν· ὅπερ συνέβη. πῶς οὖν ταῦτ' ἐποίησε· μισθοῦ- φυλάξεσθαι. γρ. ζ. η.
267 ται τουτονί. οὐδενὸς δὲ προειδότος οἶμαι τὸ πρᾶγμα, οὐδὲ φυλάττοντος, ὥσπερ εἴωθε μηδενὸς
τὰ τοιαῦτα παρ' ὑμῖν γίγνεσθαι, προβληθεὶς πυλαγόρας οὗτος, καὶ τριῶν ἢ τεττάρων παρ. ε.
χειροτονησάντων αὐτόν, ἀνερρήθη. ὡς δὲ τὸ τῆς πόλεως ἀξίωμα λαβὼν, ἀφίκετο εἰς ἡμῖν. α. ὑμῶν. γ. ε.
τοὺς ἀμφικτύονας, πάντα τἄλλ' ἀφεὶς καὶ παριδὼν, ἐπέραινεν ἐφ' οἷς ἐμισθώθη· *δὲ. ε. πρὸς. ε.
καὶ λό-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ λόγους εὐπροσώπους καὶ μύθους, ὅθεν ἡ κιρραία 268
χώρα καθιερώθη, συνθεὶς καὶ διεξελθών, ἀνθρώπους ἀ-
πείρους λόγων καὶ τὸ μέλλον οὐ προορωμένους τοὺς ἱερο-
μνήμονας πείθει ψηφίσασθαι περιελθεῖν τὴν χώραν· ἣν
οἱ μὲν ἀμφισσεῖς, σφῶν αὐτῶν οὖσαν, γεωργεῖν ἔφασαν·
οὗτος δὲ τῆς ἱερᾶς χώρας ᾐτιᾶτο εἶναι, οὐδεμίαν δίκην τῶν 269
λοκρῶν ἐπαγόντων ἡμῖν, οὐδ᾽ ἃ νῦν οὗτος λέγων προ-
φασίζεται οὐκ ἀληθῆ. γνώσεσθε δ᾽ ἐκεῖθεν· οὐκ ἐνῆν ἄνευ
τοῦ προσκαλέσασθαι δήπου, τοῖς λοκροῖς δίκην κατὰ τῆς
πόλεως συντελέσασθαι. τίς οὖν ἐκλήτευσεν ὑμᾶς; ἀπὸ
ποίας ἀρχῆς; εἰπὲ τὸν εἰδότα, δεῖξον. ἀλλ᾽ οὐκ ἂν ἔχοις. 270
ἀλλὰ κενῇ προφάσει ταύτῃ κατεχρῶ καὶ ψευδεῖ. πε-
ριιόντων τοίνυν τὴν χώραν τῶν ἀμφικτυόνων κατὰ τὴν ὑφή-
γησιν τὴν τούτου, προσπεσόντες οἱ λοκροί, μικροῦ μὲν
ἅπαντας κατηκόντισαν· τινὰς δὲ καὶ συνήρπασαν τῶν
ἱερομνημόνων. ὡς δ᾽ ἅπαξ ἐκ τούτων ἐγκλήματα καὶ 271
πόλεμος πρὸς τοὺς ἀμφισσεῖς ἐταράχθη, τὸ μὲν πρῶ-
τον, ὁ κόττυφος αὐτῶν τῶν ἀμφικτυόνων, ἤγαγε στρατιάν.
ὡς δέ, οἱ μέν, οὐκ ἦλθον, οἱ δ᾽ ἐλθόντες οὐδὲν ἐποίουν, εἰς
τὴν ἐπιοῦσαν πυλαίαν ἐπὶ τὸν φίλιππον εὐθὺς ἡγεμό-
να ἦγον, οἱ κατεσκευασμένοι, καὶ πάλαι πονηροὶ τῶν θετ- 272
ταλῶν καὶ τῶν ἐν ταῖς ἄλλαις πόλεσι, καὶ προφάσεις εὐλό-
γους εἰλήφεσαν· ἢ γὰρ αὐτοὺς εἰσφέρειν καὶ ξένους τρέφειν
ἔφασαν δεῖν, καὶ ζημιοῦν τοὺς μὴ ταῦτα ποιοῦντας· ἢ
ἐκεῖνον αἱρεῖσθαι. τί δεῖ τὰ πολλὰ λέγειν; ᾑρέθη γὰρ ἐκ τούτων ἡγεμών· καὶ μετὰ ταῦτ᾽ εὐ- 273
θὺς δύναμιν συλλέξας καὶ παρελθὼν ὡς ἐπὶ τὴν κιρραίαν, ἐρρῶσθαι φράσας πολ-
λὰ καὶ κιρραίοις καὶ λοκροῖς, τὴν ἐλάτειαν καταλαμβάνει. εἰ μὲν οὖν μὴ μετέγνωσαν
εὐθὺς θηβαῖοι, καὶ μεθ᾽ ἡμῶν ἐγένοντο, ὥσπερ χειμάρρους ἂν ἅπαν τοῦτο τὸ πρᾶγμα,
εἰς τὴν πόλιν εἰσέπεσε· νῦν δὲ τότε γ᾽ ἐξαίφνης ἐπέσχον αὐτὸν ἐκεῖνοι. μάλιστα μέν, ὦ ἄν- 274
δρες ἀθηναῖοι, θεῶν τινὸς εὐνοίᾳ πρὸς ὑμᾶς. εἶτα μέντοι καὶ ὅσον καθ᾽ ἕνα ἄνδρα καὶ δι᾽
ἐμέ. δὸς δέ μοι τὰ δόγματα ταῦτα καὶ τοὺς χρόνους ἐν οἷς ἕκαστα πέπρακται· ἵν᾽ εἰ-
δῆτε ἡλίκα πράγματα ἡ μιαρὰ κεφαλὴ ταράξασα αὕτη, δίκην οὐκ ἔδωκε. λέ-
γε μοι τὰ δόγματα.

## Δόγμα ἀμφικτυόνων. 275

» Ἐπὶ ἱερέως κλειναγόρου ἐαρινῆς πυλαίας, ἔδοξε τοῖς πυλαγόραις καὶ τοῖς συνέδροις τῶν
» ἀμφικτυόνων, ἐπειδὴ ἀμφισσεῖς ἐπιβαίνουσιν ἐπὶ τὴν ἱερὰν χώραν, καὶ σπείρουσι, καὶ βο-
» σκήμασι κατανέμουσιν, ἐπελθεῖν τοὺς πυλαγόρας, καὶ τοὺς συνέδρους, καὶ στήλαις διε-
» λαβεῖν τοὺς ὅρους, καὶ ἀπειπεῖν τοῖς ἀμφισσεῦσι τοῦ λοιποῦ μὴ ἐπιβαίνειν.

## Ἕτερον δόγμα.

» Ἐπὶ ἱερέως κλειναγόρου ἐαρινῆς πυλαίας ἔδοξε τοῖς πυλαγόραις καὶ τοῖς συνέδροις 276
» τῶν ἀμφικτυόνων καὶ τῷ κοινῷ τῶν ἀμφικτυόνων, ἐπειδὴ οἱ ἐξ ἀμφίσσης τὴν ἱερὰν χώ-
» ραν κατανειμάμενοι γεωργοῦσι, καὶ βοσκήματα νέμουσι, καὶ κωλυόμενοι τοῦτο ποιεῖν,

---

Καθιερώθη) Ἀφιερώθη τῷ Ἀπόλλωνι.
Συνθεὶς) Πλασάμενος. Ἱερο- 268
μνήμονας) Οἱ πεμπόμενοι εἰς τὸ τῶν
ἀμφικτυόνων συνέδριον, ὡς κύριοι
τῶν ψήφων, ἐλέγοντο ἱερομνήμονες.
Ἠτιᾶτο) Ἐμέμφετο. Ἐκεῖθεν) 269
Ἀπὸ τῆς ῥηθησομένης αἰτίας. Τῆς
πόλεως) Τῆς κιρραίας. Συντε-
λέσασθαι) Πρᾶξαι. Ἐκλήτευσεν)
Εἰς κρίσιν προσεκαλέσατο, ὡς κλη-
τήρ· οὕτω γὰρ ἐκαλοῦντο οἱ τοὺς κρι-
νομένους εἰς κρίσιν προσκαλούμενοι.
Προφάσει) Εἰς τὸ κατηγορεῖν. 270
Περιιόντων) Περιερχομένων. Ἐκ 271
τούτων) Ἀπὸ μιᾶς ἀρχῆς, αἰτίας
μιᾶς. Ἐταράχθη) Ἐπὶ ταραχῆς
ἐγένετο. Κόττυφος) Ἱερομνήμων
ἦν θετταλὸς ἢ ἀρκάς, πάντα β.
πράττων ὑπὲρ φιλίππου. Ὡς δέ,
οἱ μὲν) Τῶν ἀμφικτυόνων. Εἰς τὴν
ἐπιοῦσαν) Εἰς τὴν ἑορτώδη ἡμέραν
τὴν μετὰ ταῦτα. Οἱ κατεσκευα- 272
σμένοι) Οἱ συγκατασκευασάμενοι
τὸν δόλον. Εἰλήφεσαν) Εἶχον ἀπὸ
τῶν πραγμάτων. Ἡγεμὼν) Ὁ 273
φίλιππος δηλονότι. Διαλαβεῖν) 275
Περικυκλῶσαι. Τοῦ λοιποῦ)
Χρόνου. Ἐαρινῆς) Κατὰ τὴν πυ- 276
λαίαν τὴν γινομένην εἰς τὸν καιρὸν
τοῦ ἔαρος. Πυλαίας) Πυλαία ἡ
μέση τοῦ ὕπατος εὐρυχωρία παρὰ
ταῖς θύραις. Κατανειμάμενοι) Δια-
μερισάμενοι ἑαυτοῖς τὴν γῆν.
Βοσκήματα νέμ.) Καταβόσκουσι

---

πλέσασθαι. α. | ἡμᾶς. α. β. ε. | ἐπὶ. ε. | κατηγ. γ. α. | τούτου. α. ε. | ἐπέσχεν. γ. α. | ταῦτα. γ. | εὐθέως. α. | ὁ φίλιππος. ε. | εὐθέως. α. | ... εἶδον οἱ. α. | ἐπέσχεν ἐκεῖνος. η. | ... α. ε. η. | α. | καί μοι λέγε. α. | Δόγματα. γ. ε. ζ. | ἱεροκλέους. γ. | ἐπειδὴ καὶ τῷ κοινῷ τῶν ἀμφικτυόνων. γ. ε. | ἐλθεῖν. ζ. | ὅρους. η. | γ. η. | ε.

278 τῇ τομῇ τῶν βοσκημάτων. Πλημμελούμενον) Ἀδικούμενον. Αὐτὸν) Τὸν Φίλιππον. Ἐπυλαγόρησεν) Πυ-
280 λαγόρας ἐγένετο ὁ Αἰσχίνης. Ἀπεκρύπτετο) Ἐν κρυπτῷ καὶ ἐν ἀπορρήτοις εἶχεν. Τῶν ἐν τῇ συμμαχίᾳ)
281 Συμμάχων). Πλημμελοῦσιν) Ἀδικοῦσιν. Λεηλατοῦσιν) Ἀφανίζουσιν. Ἀμύνασθαι) Κολάσαι. Παραβαίνοντας) Ἀσεβεῖς. Συναντᾶτε) Συνέρχεσθε ἡμῖν. Ἐπισιτι-
282 σμόν) Ἐφόδια. Τοῖς δὲ μὴ συναντήσασι) Τοῖς μὴ συνελθοῦσι, κολά-
283 σομεν κοινῇ συναθροισθέντες. Συμπαρασκευάσας) Συγκατασκευάσας. Παρ' ἑκάστοις) Ἔθνεσι δηλο-
284 νότι. Ὀκνήσαιμι) Ἀναβαλοίμην. Ἀλιτήριον) Φθορέα. Ὅπως ποτέ)
285 Τὸ ποτὲ ἀργόν. Πρὸ τῆς ἀληθείας) Ἔμπροσθεν. Ἐγὼ μὲν τὰ ἔργα) Ἐ-
286 γὼ ἐπόνησα ὑπὲρ ὑμῶν. Τῶν τὰ

» ἐν τοῖς ὅπλοις παραγινόμενοι, τὸ κοινὸν τῶν Ἑλλήνων συ-
277 νέδριον κεκωλύκασι μετὰ βίας, τινὰς δὲ καὶ τετραυματί-
» κασι, καὶ τὸν στρατηγὸν τὸν ᾑρημένον τῶν Ἀμφικτυόνων Κόττυ-
» φον τὸν Ἀρκάδα, πρεσβεῦσαι πρὸς Φίλιππον τὸν Μακε-
» δόνα, καὶ ἀξιοῦν ἵνα βοηθήσῃ τῷ τε Ἀπόλλωνι, καὶ τοῖς Ἀμ-
» φικτύοσιν, ὅπως μὴ περιίδῃ ὑπὸ τῶν ἀσεβῶν Ἀμφισ-
278 σέων τὸν θεὸν πλημμελούμενον· καὶ διότι αὐτὸν στρατηγὸν
» αὐτοκράτορα αἱροῦνται οἱ Ἕλληνες οἱ μετέχοντες τοῦ συνε-
» δρίου τῶν Ἀμφικτυόνων. λέγε δὴ καὶ τοὺς χρόνους, ἐν οἷς
ταῦτ' ἐγίγνετο· εἰσὶ γὰρ καθ' οὓς ἐπυλαγόρησεν οὗτος. λέγε.

Χρόνοι.

279 Ἄρχων Μνησιθείδης, μηνὸς Ἀνθεστηριῶνος, ἕκτῃ ἐπὶ δε-
» κάτῃ. Δὸς δή μοι τὴν ἐπιστολὴν, ἣν ὡς οὐχ ὑπήκουον
οἱ Θηβαῖοι, πέμπει πρὸς τοὺς ἐν Πελοποννήσῳ συμμά-
χους ὁ Φίλιππος· ἵν' εἰδῆτε καὶ ἐκ ταύτης σαφῶς, ὅτι τὴν
μὲν ἀληθῆ πρόφασιν τῶν πραγμάτων, τὸ ταῦτ' ἐπὶ τὴν Ἑλλάδα καὶ τοὺς Θηβαίους
280 καὶ ὑμᾶς πράττειν, ἀπεκρύπτετο· κοινὰ δὲ καὶ τοῖς Ἀμφικτύοσι δόξαντα ποιεῖν, προσε-
ποιεῖτο. ὁ δὲ τὰς ἀφορμὰς ταύτας καὶ τὰς προφάσεις παραδοὺς αὐτῷ, οὗτος ἦν. λέγε.

Ἐπιστολὴ Φιλίππου.

» Βασιλεὺς Μακεδόνων Φίλιππος, Πελοποννησίων τῶν ἐν τῇ συμμαχίᾳ τοῖς δημιουργοῖς
» καὶ τοῖς συνέδροις καὶ τοῖς ἄλλοις συμμάχοις πᾶσι, χαίρειν. Ἐπειδὴ Λοκροὶ οἱ κα-
281 λούμενοι Ὀζόλαι, κατοικοῦντες ἐν Ἀμφίσσῃ, πλημμελοῦσιν εἰς τὸ ἱερὸν τοῦ Ἀπόλλωνος τοῦ
» ἐν Δελφοῖς, καὶ τὴν ἱερὰν χώραν ἐρχόμενοι μετὰ ὅπλων λεηλατοῦσι, βούλομαι τῷ θεῷ
» μεθ' ὑμῶν βοηθεῖν, καὶ ἀμύνασθαι τοὺς παραβαίνοντάς τι τῶν ἐν ἀνθρώποις εὐσεβῶν·
» ὥστε συναντᾶτε μετὰ τῶν ὅπλων εἰς τὴν Φωκίδα, ἔχοντες ἐπισιτισμὸν ἡμερῶν τεσ-
282 σαράκοντα, τοῦ ἐνεστῶτος μηνὸς λώου, ὡς ἡμεῖς ἄγομεν· ὡς δὲ Ἀθηναῖοι, βοηδρομιῶνος·
» ὡς δὲ Κορίνθιοι, πανέμου. τοῖς δὲ μὴ συναντήσασι, πανδημεὶ χρησόμεθα· τοῖς δὲ συμ-
» βούλοις ἡμῖν μὴ κειμένοις, ἐπιζημίοις. Εὐτυχεῖτε. Ὁρᾶτε ὅτι, φεύγει μὲν τὰς
ἰδίας προφάσεις, εἰς δὲ τὰς Ἀμφικτυονικὰς καταφεύγει; τίς οὖν ὁ ταῦτα συμπαρα-
283 σκευάσας αὐτῷ· τίς ὁ τὰς προφάσεις ταύτας ἐνδούς· τίς ὁ τῶν κακῶν τῶν γεγενη-
μένων μάλιστα αἴτιος οὐκ ἔστι; μὴ τοίνυν λέγετε, ὦ ἄνδρες Ἀθηναῖοι, περιιόντες, ὡς ὑ-
φ' ἑνὸς τοιαῦτα πέπονθεν ἡ Ἑλλὰς ἀνθρώπου, οὐχ ὑφ' ἑνὸς, ἀλλ' ὑπὸ πολλῶν καὶ πονηρῶν
τῶν παρ' ἑκάστοις, ὦ γῆ καὶ θεοί· ὧν εἷς οὗτος ἐστίν, ὃν εἰ μηδὲν εὐλαβηθέντα τἀληθὲς εἰπεῖν
284 δέοι, οὐκ ἂν ὀκνήσαιμι ἔγωγε κοινὸν ἀλιτήριον τῶν μετὰ ταῦτα ἀπολωλότων ἁπάν-
των εἰπεῖν, ἀνθρώπων, τόπων, πόλεων· ὁ γὰρ τὸ σπέρμα παρασχών, οὗτος τῶν φύντων
κακῶν αἴτιος. ὃν ὅπως ποτὲ οὐκ εὐθὺς ἰδόντες ἀπεστράφητε, θαυμάζω· πλὴν πολύ
τι σκότος ὡς ἔοικεν ἐστὶ πρὸ ὑμῶν πρὸς τῆς ἀληθείας. συμβέβηκε τοίνυν μοι τῶν κατὰ τῆς
285 πατρίδος τούτῳ πεπραγμένων ἁψαμένῳ, εἰς ἃ τούτοις ἐναντιούμενος αὐτὸς πε-
πολίτευμαι, ἀφῖχθαι· ἃ πολλῶν μὲν ἕνεκα, εἰκότως ἀκούσετέ μου. μάλιστα δ' ὅτι αἰ-
σχρόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ ἐγὼ μὲν τὰ ἔργα τῶν ὑπὲρ ὑμῶν πόνων ὑπέμεινα, ὑ-
μεῖς δὲ μηδὲ τοὺς λόγους αὐτῶν ἀνέξεσθε. ὁρῶν γὰρ ἐγὼ Θηβαίους, σχεδὸν δὲ καὶ ὑμᾶς,
286 ὑπὸ τῶν τὰ Φιλίππου πραττόντων καὶ διεφθαρμένων παρ' ἑκατέροις, ὃ μὲν ἦν
ἀμφ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀμφοτέροις φοβερὸν καὶ φυλακῆς πολλῆς δεόμενον, τὸ τὸν Φίλιππον ἐᾶν αὐξάνεσθαι προορῶντας, καὶ οὐδὲ καθ' ἓν φυλαττομένους, εἰς ἔχθραν δὲ καὶ τὸ προσκρούειν ἀλλήλοις ἑτοίμως ἔχοντας, ὅπως τοῦτο μὴ γενήσεται, παρατηρῶν διετέλουν, οὐκ ἀπὸ τῆς ἐμαυτοῦ γνώμης μόνον 287
ταῦτα συμφέρειν ὑπολαμβάνων, ἀλλ' εἰδὼς Ἀριστοφῶντα, καὶ πάλιν Εὔβουλον, πάντα τὸν χρόνον βουλομένους πρᾶξαι ταύτην τὴν φιλίαν, καὶ περὶ τῶν ἄλλων πολλάκις ἀντιλέγοντας ἑαυτοῖς, τοῦτο ὁμογνωμονοῦντας ἀεί. οὓς σὺ ζῶντας μὲν ὦ κίναδος, κολακεύων παρηκολού- 288
θεις τεθνεώτων δ' οὐκ αἰσθάνῃ κατηγορῶν. ἃ γὰρ περὶ Θηβαίων ἐπιτιμᾷς ἐμοί, ἐκείνων πολὺ μᾶλλον, ἢ ἐμοῦ κατηγορεῖς, τῶν πρότερον ἢ ἐγὼ ταύτην τὴν συμμαχίαν δοκιμασάντων. ἀλλ' ἐκεῖσε ἐπάνειμι, ὅτι τὸν ἐν Ἀμφίσσῃ πόλεμον, τούτου μὲν ποιήσαντος, συμπεραναμένων 289
δὲ τῶν ἄλλων τῶν συνεργῶν αὐτῷ τὴν πρὸς τοὺς Θηβαίους ἔχθραν, συνέβη τὸν Φίλιππον ἐλθεῖν ἐφ' ἡμᾶς, οὗπερ ἕνεκα τὰς πόλεις οὗτοι συνέκρουον, καὶ εἰ μὴ προεξανέστημεν μικρόν, οὐδ' ἀναλαβεῖν αὖθις ἂν ἠδυνήθημεν. οὕτω μέχρι πόρρω προήγαγον οὗτοι τὸ πρᾶγμα. ἐν 290
οἷς δ' ἦτε ἤδη τὰ πρὸς ἀλλήλους, τουτωνὶ τῶν ψηφισμάτων ἀκούσαντες καὶ τῶν ἀποκρίσεων, εἴσεσθε. καί μοι λέγε ταῦτα λαβών.

Marginal notes: παρ'. ε. — προορῶντας. η. — ἀλλήλοις. χ. α. — γενήσεται. ε. γενήσηται. γ. — ε. — βουλομένοις. ε. — εἰς. α. ε. ζ. — ὡς. α. — κίναδος. ε. — καί. α. — αὐτῶν. η. α. — α. ἑαυτοῖς. η. — α. τὴν ἔχθραν. ε. — τούτων. α. ε.

Φιλίππου παρελθόντων) Τῶν φιλιππιζόντων δηλονότι. Παρ' ἑκατέροις) Παρ' ἡμῖν καὶ Θηβαίοις. 286 Οὐδὲ καθ' ἓν) Οὐδόλως. Τοῦτο μὴ γενήσεται) Αὐξάνεσθαι τὸν Φίλιππον. Γνώμης) Διαγνώσεως. 287 Πρᾶξαι) Συμβῆναι. Φιλίαν) Τοῦ Φιλίππου. Τῶν ἄλλων) Τῶν πολιτικῶν πραγμάτων. 289 Τούτου μὲν) Τοῦ Αἰσχίνου. Συνέκρουον) Εἰς στάσιν συνέβαλλον. Ἀναλαβεῖν) Εἰς τὴν προτέραν κατάστασιν ποιῆσαι ἐλθεῖν. 290 Προήγαγον) Ηὔξησαν εἰς πλέος ἀκμήν, προήγαγον τὸ δεινόν. 291 Ἐλαφηβολιῶνος) Σεπτεμβρίου εἰκοστῇ τετάρτῃ. (φεβ. ε.) Ἃς μὲν κατείληφε) Τινὰς μὲν κατέσχε. Τῶν ἀστυγειτόνων) Τῶν πλησιοχώρων. Ἐπὶ τὴν Ἀττικὴν) Κατὰ τῶν Ἀθηναίων. 292 Ἐπιβάλλεται) Ἀπτεται, ἀγαπᾷ. Πίστεις) Συνθήκας. Διαλέξονται) Ὁμιλήσουσιν. Παρακαλέσουσι) Παρακινήσουσι. Χρόνον) Τὸν τεταγμένον δηλονότι χρόνον. Ἀνοχὰς) Ἤγουν τὴν μετὰ συμβιβάσεως ἀργίαν καὶ διακοπὴν τοῦ πολέμου. 293 Θαργηλιῶνος) Ἀπριλλίου. Μουνυχιῶνος) Ἰανουαρίου τριακοστῇ. Γνώμη) Ἡ ῥηθησομένη. 294 Ἐπιβάλλεται) Ἐπιχειρεῖ. Καταστῆσαι) Ποιῆσαι.

## Ψήφισμα.

» Ἐπὶ ἄρχοντος Ἡροπύθου, μηνὸς Ἐλαφηβολιῶνος, ἕκτῃ φθίνοντος, φυλῆς πρυτανευ- 291
» ούσης Ἐρεχθηΐδος, βουλῆς καὶ στρατηγῶν γνώμη, ἐπειδὴ Φίλιππος, ἃς μὲν κατείληφε πό-
» λεις τῶν ἀστυγειτόνων, τινὰς δὲ πορθεῖ, κεφαλαίῳ δὲ ἐπὶ τὴν Ἀττικὴν παρασκευάζεται
» παραγίγνεσθαι, παρ' οὐδὲν ἡγούμενος τὰς ἡμετέρας συνθήκας, καὶ τοὺς ὅρκους λύειν
» ἐπιβάλλεται, καὶ τὴν εἰρήνην, παραβαίνων τὰς κοινὰς πίστεις, δεδόχθαι τῇ βουλῇ καὶ τῷ 292
» δήμῳ πέμπειν πρὸς αὐτὸν πρέσβεις, οἵτινες αὐτῷ διαλέξονται, καὶ παρακαλέσουσιν
» αὐτόν, μάλιστα μὲν τὴν πρὸς ἡμᾶς ὁμόνοιαν διατηρεῖν καὶ τὰς συνθήκας· εἰ δὲ μή,
» πρὸς τὸ βουλεύσασθαι δοῦναι χρόνον τῇ πόλει, καὶ τὰς ἀνοχὰς ποιήσασθαι, μέχρι τοῦ
» Θαργηλιῶνος μηνός. ᾑρέθησαν ἐκ τῆς βουλῆς, Σῖμος Ἀναγυράσιος, Εὐθύδημος Φλυά- 293
σιος, Βουλαγόρας Ἀλωπεκῆθεν.

Marginal notes: κατείληφε. ε. ε. — παραγίγνεσθαι. ε. — τῷ. γ. — χρόνους. η. — ποιεῖσθαι. η. — Βουλαγόρας. ε.

## Ἕτερον ψήφισμα.

» Ἐπὶ ἄρχοντος Ἡροπύθου, μηνὸς Μουνυχιῶνος ἕνῃ καὶ νέᾳ, πολεμάρχου γνώμη, ἐπειδὴ
» Φίλιππος εἰς ἀλλοτριότητα Θηβαίους πρὸς ὑμᾶς ἐπιβάλλεται καταστῆσαι, παρε- 294
» σκεύασται δὲ καὶ παντὶ τῷ στρατεύματι πρὸς τοὺς ἔγγιστα τῆς Ἀττικῆς παραγίγνεσθαι
» τόποις, παραβαίνων τὰς πρὸς ἡμᾶς ὑπαρχούσας αὐτῷ συνθήκας, δεδόχθαι τῇ βουλῇ
» καὶ τῷ δήμῳ, πέμψαι πρὸς αὐτὸν κήρυκα καὶ πρέσβεις, οἵτινες ἀξιώσουσι, καὶ παρα-
» καλέσουσιν αὐτὸν ποιήσασθαι τὰς ἀνοχάς, ὅπως ἐνδεχομένως ὁ δῆμος βουλεύσηται· 295
» καὶ γὰρ νῦν οὐ κέκρικε βοηθεῖν ἐν οὐδενὶ τῶν μετρίων. ᾑρέθησαν ἐκ τῆς βουλῆς, Νέαρχος

Marginal notes: ἔνῃ. ε. η. — ἀλλοτριότητας. ε. — τόποις. ζ. — ναὶ. ζ. — η. — ἀποδεχόμενον. ε. χ. ζ. η. — ε.

296 Αἵρεσιν) Σκοπόν. Βέλτιον) Κα
297 λόν, συμφέρον. Πεπλημμελημένοι)
298 Ἠδικημένοι. Τοῖς παρακαλουμέ
299 νοις) Πράγμασι δηλονότι. Ἐκο-
μισάμην) Ἔλαβον. Προσφέρον-
ται) Προσάγουσι τιμήν. Συγκαταί
νους) Συμφώνους, στοιχοῦντας τῇ ἐκεί
νου γνώμῃ. Παρακαλουμένοις)
300 Πράγμασι δηλονότι. Κατὰ πολ
λά) Κατὰ πολύ. Τὰ πρὸς ἡμᾶς
ἔχειν ἐν εὐνοίᾳ) Ἤγουν ἔχετε εὐνοϊ-
301 κῶς πρὸς ἐμέ. Οἴσειν) Κομίσειν.
302 Ῥοπήν) Βοήθειαν. Προθέσεως) Προ
αιρέσεως. Ψηφίσμασι) Τοῖς προει
ρημένοις. Συμπνευσόντων) Ὁμο-
νοησόντων. Κατείληφεν) Ὁ φίλιπ
πος. Ἐξεῖργον) Ἐκώλυον. Ἐνε-
πίμπρασαν) Κατέκαυσαν. Χρη
ματίσαι) Ἤγουν τῆς ὁμιλίας ἀποφή
303 νασθαι τὰ δεδογμένα. Ἄνω κα-
θῆτο) Μετέωρος ἦν ἐκδεχόμενος τὰ
304 βουλευθέντα. Ὡς εἰσῆλθεν) Εἰς τὸ
βουλευ-

σωσινόμου, πολυκράτης ἐπιφρόνος· καὶ κῆρυξ εὔνομος ἀναφλύστιος ἐκ τοῦ δήμου. Λέγε δὴ καὶ τὰς ἀποκρίσεις.

Ἀποκρίσεις ἀθηναίοις.

296 Βασιλεὺς μακεδόνων φίλιππος, ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ, χαίρειν. Ἣν μὲν ἀπ' ἀρχῆς εἴχετε πρὸς ἡμᾶς αἵρεσιν, οὐκ ἀγνοῶ, καὶ τίνα σπουδὴν ποιεῖσθε, προσκαλέσασθαι βουλόμενοι θετταλοὺς καὶ θηβαίους, ἔτι δὲ καὶ βοιωτούς· βέλτιον δ' αὐτῶν φρονούντων καὶ μὴ βουλο-
297 μένων ἐφ' ὑμῖν ποιήσασθαι τὴν ἑαυτῶν αἵρεσιν, ἀλλὰ κατὰ τὸ συμφέρον ἱσταμένων, νῦν ἐξ ὑποστροφῆς ἀποστείλαντες ὑμεῖς πρός με, πρέσβεις καὶ κήρυκας, συνθηκῶν μνημονεύετε, καὶ τὰς ἀνοχὰς αἰτεῖσθε, κατ' οὐδὲν ὑφ' ἡμῶν πεπληγμένοι. ἐγὼ μέντοι ἀκούσας τῶν πρεσβευτῶν
298 συγκατατίθεμαι τοῖς παρακαλουμένοις καὶ ἕτοιμός εἰμι ποιεῖσθαι τὰς ἀνοχάς, ἄν περ τοὺς οὐκ ὀρθῶς συμβουλεύοντας ὑμῖν παραπέμψαντες, τῆς προσηκούσης ἀτιμίας ἀξιώσητε. Ἔρρωσθε.

Ἀποκρίσεις θηβαίοις.

299 Βασιλεὺς μακεδόνων φίλιππος, θηβαίων τῇ βουλῇ καὶ τῷ δήμῳ, χαίρειν. Ἐκομισάμην τὴν παρ' ὑμῶν ἐπιστολήν, δι' ἧς μοι τὴν ὁμόνοιαν καὶ τὴν εἰρήνην ἀνανεοῦσθε· πυνθάνομαι μέντοι, διότι πᾶσαν ὑμῖν ἀθηναῖοι προσφέρονται φιλοτιμίαν, βουλόμενοι ὑμᾶς συγκαταίνους γενέσθαι τοῖς ὑπ' αὐτῶν παρακαλουμένοις. πρότερον μὲν οὖν
300 ὑμῶν κατεγίγνωσκον, ἐπὶ τῷ μέλλειν πείθεσθαι ταῖς ἐκείνων ἐλπίσι, καὶ ἐπακολουθεῖν αὐτῶν τῇ προαιρέσει. νῦν δ' ἐπιγνοὺς ὑμᾶς τὰ πρὸς ἡμᾶς ἐζητηκότας, ἔχειν εἰρήνην μᾶλλον ἢ ταῖς ἑτέρων ἐπακολουθεῖν γνώμαις, ἥσθην καὶ μᾶλλον ὑμᾶς ἐπαινῶ καὶ τὰ πολλά, μάλιστα δ' ἐπὶ τῷ βουλεύσασθαι περὶ τούτων ἀσφαλέστερον, καὶ τὰ πρὸς ἡ-
301 μᾶς ἔχειν ἐν εὐνοίᾳ· ὅπερ οὐ μικρὰν ὑμῖν οἴσειν ἐλπίζω ῥοπήν, ἐάν περ ἐπὶ ταύτης μένητε τῆς προθέσεως. Ἔρρωσθε. Οὕτω διαθεὶς ὁ φίλιππος τὰς πόλεις πρὸς ἀλλήλας διὰ τούτων, καὶ τούτοις ἐπαρθεὶς τοῖς ψηφίσμασι καὶ ταῖς ἀποκρίσεσιν, ἧκεν ἔχων τὴν δύναμιν, καὶ τὴν ἐλάτειαν κατέλαβεν, ὡς οὐδ' ἂν εἴ τι γένοιτο, ἔτι συμπνευσόν-
302 των ὑμῶν καὶ τῶν θηβαίων. ἀλλὰ μὴν τὸν τότε συμβάντα ἐν τῇ πόλει θόρυβον, ἴστε μὲν ἅπαντες· μικρὰ δ' ἀκούσατε ὅμως αὐτὰ τὰ ἀναγκαιότατα. ἑσπέρα μὲν γὰρ ἦν· ἧκε δ' ἀγγέλλων τις ὡς τοὺς πρυτάνεις, ὡς ἐλάτεια κατείληπται. καὶ μετὰ ταῦτα οἱ μέν, εὐθὺς ἐξαναστάντες μεταξὺ δειπνοῦντες, τούς τε ἐκ τῶν σκηνῶν τῶν κατὰ τὴν ἀγορὰν ἐξεῖρ-
303 γον, καὶ τὰ γέρρα ἐνεπίμπρασαν· οἱ δέ, τοὺς στρατηγοὺς μετεπέμποντο, καὶ τὸν σαλπικτὴν ἐκάλουν· καὶ θορύβου πλήρης ἦν ἡ πόλις· τῇ δ' ὑστεραίᾳ ἅμα τῇ ἡμέρᾳ, οἱ μὲν πρυτάνεις, τὴν βουλὴν ἐκάλουν εἰς τὸ βουλευτήριον· ὑμεῖς δ', εἰς τὴν ἐκκλησίαν ἐπορεύεσθε· καὶ πρὶν ἐκείνην χρηματίσαι καὶ προβουλεῦσαι, πᾶς ὁ δῆμος ἄνω καθῆ-
304 το. καὶ μετὰ ταῦτα ὡς εἰσῆλθεν ἡ βουλή, καὶ ἀπήγγειλαν οἱ πρυτάνεις τὰ προσηγγελμένα ἑαυτοῖς, καὶ τὸν ἥκοντα παρήγαγον, κἀκεῖνος εἶπεν, ἠρώτα μὲν ὁ κῆρυξ, τίς ἀγορεύειν βούλεται· παρῄει δ' οὐδείς. πολλάκις δὲ τοῦ κήρυκος ἐρωτῶντος, οὐδὲν μᾶλλον ἀνίστατο

οὐδείς.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὐδείς, ἁπάντων μὲν τῶν στρατηγῶν παρόντων, ἁπάντων δὲ τῶν ῥητόρων. καλούσης δὲ τῆς κοινῆς τῆς πατρίδος 305
φωνῆς τὸν ἐροῦνθ' ὑπὲρ σωτηρίας· ἣν γὰρ ὁ κῆρυξ κατὰ τοὺς νόμους φωνὴν ἀφίησι, ταύτην κοινὴν τῆς πα-
ἀγ. τρίδος δίκαιόν ἐστιν ἡγεῖσθαι. καίτοι εἰ μὲν τοὺς σωθῆ-
παρεισελθεῖν υ. ναι τὴν πόλιν βουλομένους παρελθεῖν ἔδει, πάντες ἂν ὑμεῖς καὶ οἱ ἄλλοι Ἀθηναῖοι ἀναστάντες ἐπὶ τὸ βῆμα 306
ἐβαδίζετε. πάντες γὰρ οἶδ' ὅτι, σωθῆναι αὐτὴν ἐβούλεσθε. εἰ δὲ τοὺς πλουσιωτάτους, οἱ τριακόσιοι· εἰ δὲ τοὺς ἀμφότερα ταῦτα, καὶ εὔνους τῇ πόλει καὶ πλουσίους, οἱ μετὰ ταῦτα τὰς μεγάλας ἐπιδόσεις ἐπιδόντες·
ταῦτ' ν. καὶ γὰρ εὐνοίᾳ καὶ πλούτῳ τοῦτ' ἐποίησαν. ἀλλ' ὡς ἔοι- 307
κεν, ἐκεῖνος ὁ καιρὸς, καὶ ἡ ἡμέρα ἐκείνη, οὐ μόνον εὔνουν καὶ πλούσιον ἄνδρα ἐκάλει, ἀλλὰ καὶ παρηκολουθηκότα τοῖς πράγμασιν ἐξ ἀρχῆς, καὶ συλλελογισμένον ὀρθῶς, τίνος εἵνεκα ταῦτ' ἔπραττεν ὁ Φίλιππος, καὶ τί βουλόμενος· ὁ γὰρ μὴ ταῦτ' εἰδὼς, μήτ' ἐξητακὼς πόρρωθεν ἐπιμελῶς, οὔτ' εἰ εὔνους ἦν, οὔτ' εἰ πλούσιος, 308
μέλλει· α· γ· οὐδὲν μᾶλλον ἔμελλεν ὅ, τι χρὴ ποιεῖν εἴσεσθαι, οὐδ' ὑμῖν ἕξειν συμβουλεύειν. ἐφάνην τοίνυν οὗτος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐγὼ, καὶ παρελθὼν εἶπον εἰς ὑμᾶς, ἅ μου δυοῖν ἕνεκ' ἀκούσατε προσσχόντες τὸν νοῦν· ἑνὸς μὲν, ἵν' εἰδῆτε ὅτι μόνος τῶν λεγόντων καὶ πολιτευομένων ἐγὼ, τὴν τῆς εὐνοίας τάξιν ἐν τοῖς δεινοῖς οὐκ ἔλιπον· ἀλλὰ καὶ λέ- 309
γων καὶ γράφων, ἐξηταζόμην τὰ δέοντα ὑπὲρ ὑμῶν ἐν αὐτοῖς τοῖς φοβεροῖς·
ἁπάσης· υ· ἑτέρου δὲ, ὅτι μικρὸν ἀναλώσαντες χρόνον, πολλῷ πρὸς τὰ λοιπὰ τῆς πάσης* πο-
ὑπὸ· ε· ν· λιτείας ἔσεσθε ἐμπειρότεροι. εἶπον τοίνυν, ὅτι τοὺς μὲν ὡς ὑπαρχόντων* Θηβαίων Φιλίππῳ, λίαν θορυβουμένους, ἀγνοεῖν τὰ παρόντα πράγματα ἡγοῦμαι. 310
εὖ γὰρ οἶδ' ὅτι, εἰ τοῦθ' οὕτως ἐτύγχανεν ἔχον, οὐκ ἂν αὐτὸν ἠκούομεν ἐν Ἐλατείᾳ*
νῦν· α· ε· ποιήσει· γ· ὄντα, ἀλλ' ἐπὶ τοῖς ἡμετέροις ὁρίοις. ὅτι μέντοι, ἵνα ἕτοιμα* ποιήσηται τὰ ἐν Θήβαις ἥκει, σαφῶς ἐπίσταμαι. ὡς δ' ἔχει ταῦτα, ἔφην, ἀκούσατέ μου· ἐκεῖνος ὅσους ἢ πεῖσαι χρήμασι Θηβαίων, ἢ ἐξαπατῆσαι ἐνῆν, ἅπαντας ηὐτρέπισται· τοὺς δ' ἀπ' ἀρ- 311
χῆς ἀνθεστηκότας αὐτῷ καὶ νῦν ἐναντιουμένους, οὐδαμῶς πεῖσαι δύναται. τί οὖν βούλεται, καὶ τίνος ἕνεκα τὴν Ἐλάτειαν κατείληφε; πλησίον δύναμιν δείξας καὶ παραστήσας τὰ ὅπλα, τοὺς μὲν ἑαυτοῦ φίλους, θρασεῖς ποιῆσαι καὶ ἐπᾶραι· τοὺς δ' ἐναντιουμένους, καταπλῆξαι, ἵν' ἢ συγχωρήσωσι φοβηθέντες, ἃ νῦν οὐκ ἐθέλουσιν, ἢ βι- 312
ασθῶσιν. εἰ μὲν οὖν προαιρησόμεθα ἡμεῖς, ἔφην, ἐν τῷ παρόντι, εἴ τι δύσκολον πέπρακται Θηβαίοις πρὸς ἡμᾶς, τούτου μεμνῆσθαι, καὶ ἀπιστεῖν αὐτοῖς ὡς ἐν τῇ τῶν ἐχθρῶν οὖσι μερίδι· πρῶτον μὲν ἃ ἂν εὔξαιτο Φίλιππος, ποιήσομεν· εἶτα φοβοῦ-
αὐτῷ· α· μαι μὴ προσδεξαμένων τῶν νῦν ἀνθεστηκότων αὐτῷ, καὶ μιᾷ γνώμῃ πάντων* 313
φιλιππισάντων, εἰς τὴν Ἀττικὴν ἔλθωσιν ἀμφότεροι. ἂν μέντοι πεισθῆτέ μοι, καὶ πρὸς τῷ σκοπεῖν, ἀλλὰ μὴ φιλονεικεῖν περὶ ὧν ἂν λέγω γένησθε, οἶμαι καὶ τὰ δέοντα λέγειν δόξειν, καὶ τὸν ἐφεστηκότα κίνδυνον τῇ πόλει διαλύσειν. τί οὖν φημὶ δεῖν;
ἢ· ε· ζ· πρῶτον μὲν τὸν παρόντα ἐπανεῖναι φόβον· εἶτα* μεταθέσθαι, καὶ φοβεῖσθαι πάντας ὑ- 314
ἐγγύτερον· α· ε· πὲρ Θηβαίων· πολὺ γὰρ τῶν δεινῶν εἰσὶν *ἐγγυτέρω, καὶ προτέροις αὐ-

πιελόν. Ῥητόρων) Δημαγωγῶν. Ἐροῦνθ') Βουλόμενον. Παρελθεῖν) Εἰς τὸ μέσον. Ἐπιδόσεις) χορηγίας. 305 Συλλελογισμένον) Ἐνθυμημένον. 306 Ὀρθῶς) Ἀπλανῶς. Ἐξητακὼς) Εἰς 307 ἀκρίβειαν μεμαθηκώς. Οὐδὲν μᾶλλον) Οὐδ' ὅλως. Εἴσεσθαι) Γνωρίσειν. Ἅ μου ἀκούσατε) λέγοντος δηλονότι. Ἐξηταζόμην) 308 Ἐφαινόμην. Φίλων Φιλίππῳ) Παρ' εἰθισμένους κατὰ τὴν ἀρχήν. Πλησίον) 309 Τῶν Θηβαίων. Παραστήσας) Πλη- 310 σίον κατ' ὀφθαλμοὺς στήσας. Ἐπᾶ- 311 ραι) Παρακινῆσαι. Ἐν τῷ παρόντι) Καιρῷ δηλονότι. Εἶτα) Δηλονότι τοῦ 312 πολέμου. Ἀμφότεροι) Ὅ, τε Φίλιπ- 313



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῖς* ὁ κίνδυνος· ἔπειτα ἐξαγαγόντας Ἐλευσῖνάδε *ἐκεῖ α. ε.
315 τοὺς ἐν ἡλικίᾳ καὶ τοὺς ἱππέας, δεῖξαι πᾶσιν ὑμᾶς ἡμᾶς· ε.
αὐτοὺς ἐν τοῖς ὅπλοις ὄντας· ἵνα τοῖς ἐν Θήβαις φρο-
νοῦσι τὰ ὑμέτερα ἐξ ἴσου γένηται τὸ παρρησιάζε- °ἡμέτερα α.
σθαι περὶ τῶν δικαίων, εἰδόσιν, ὅτι ὥσπερ τοῖς πωλοῦσι ε. ζ.
316 Φιλίππῳ τὴν πατρίδα, πάρεσθ' ἡ βοηθήσουσα δύ-
ναμις ἐν Ἐλατείᾳ· οὕτω τοῖς ὑπὲρ τῆς ἐλευθερίας ἀ-
γωνίζεσθαι βουλομένοις, ὑπάρχεθ' ὑμεῖς ἕτοι-
μοι, καὶ βοηθήσετε, ἄν τις ἐπ' αὐτοὺς ἴῃ. μετὰ ταῦ-
317 τα χειροτονῆσαι κελεύω δέκα πρέσβεις, καὶ ποιῆσαι
τούτους κυρίους μετὰ τῶν στρατηγῶν, καὶ τοῦ, πότε δεῖ *κτ. α.
ἐκεῖσε βαδίζειν καὶ τῆς ἐξόδου. ἐπειδὰν δ' ἔλθω-
σιν οἱ πρέσβεις εἰς Θήβας, πῶς χρήσασθε τῷ πρά- χρήσασθαι· ε.
318 γματι τούτῳ παραινῶ, πάνυ μοι προσέχετε τὸν χρήσασθαι παραινῶ τοῦ-
νοῦν· μὴ δεῖσθε Θηβαίων μηδέν. αἰσχρὸς γὰρ ὁ και- το· γ·
ρός· ἀλλ' ἐπαγγείλασθε βοηθήσειν, ἐὰν κελεύω- °ἐπαγγέλλεσθε. α. ε.
σιν, ὡς ἐκείνων* ὄντων ἐν τοῖς ἐσχάτοις κινδύνοις, *μὲν. ε. ζ.
319 ἡμῶν δὲ ἄμεινον ἢ ἐκεῖνοι τὸ μέλλον προορωμέ- ἐκείνων· γ·
νων· ἵν' ἐὰν μὲν δέξωνται ταῦτα καὶ πεισθῶσιν ἡμῖν, καὶ ἃ βουλόμεθα ὦμεν διῳκημέ-
νοι, καὶ μετὰ προσχήματος ἀξίου τῆς πόλεως ταῦτα πράξωμεν. ἐὰν δ' ἄρα μὴ σχήματος· α. καταχεῖν ζ.
συμβῇ κατατυχεῖν, ἐκεῖνοι μὲν ἑαυτοῖς ἐγκαλῶσιν, ἄν τι νῦν ἐξαμαρτάνωσιν· ἡμῖν δὲ κατὰ τύχην· ε. ἐάν· α.
320 μηδὲν αἰσχρὸν μηδὲ ταπεινὸν ᾖ πεπραγμένον. Ταῦτα καὶ παραπλήσια τούτοις
εἰπὼν, κατέβην· συνεπαινεσάντων δὲ πάντων, καὶ οὐδενὸς εἰπόντος ἐναντίον οὐδέν,
οὐκ εἶπον μὲν ταῦτα, οὐκ ἔγραψα δέ· οὐδ' ἔγραψα μέν, οὐκ ἐπρέσβευσα δέ·
οὐδ' ἐπρέσβευσα μέν, οὐκ ἔπεισα δὲ Θηβαίους· ἀλλ' ἀπὸ τῆς ἀρχῆς διὰ πάν-
321 των ἄχρι τῆς τελευτῆς διεξῆλθον, καὶ ἔδωκα ἐμαυτὸν ὑμῖν, ἁπλῶς εἰς τοὺς περιε- α.
στηκότας τῇ πόλει κινδύνους. καί μοι φέρε τὸ ψήφισμα, τὸ τότε γενόμενον. καίτοι τίνα βού- *ὦ. α.
λει σε* Αἰσχίνη, καὶ τίνα ἐμαυτὸν ἐκείνην τὴν ἡμέραν εἶναι θῶ. βούλει ἐμαυτὸν μέν, ὃν
ἂν σὺ λοιδορούμενος καὶ διασύρων, καλέσαις Βάταλον· σὲ δὲ μηδὲ ἥρωα τὸν τυχόν- ἥρω· α.
322 τα· ἀλλὰ τούτων τινὰ τῶν ἀπὸ τῆς σκηνῆς Κρεσφόντην, ἢ Κρέοντα, ἢ ὃν ἐν Κολυττῷ
ποτὲ Οἰνόμαον κακῶς ὑποκρινόμενος ἐπέτριψας; τότε τοίνυν κατ' ἐκεῖνον τὸν °συνέτριψας ζ.
καιρὸν, ὁ Παιανιεὺς ἐγὼ Βάταλος, Οἰνομάου τοῦ Κοθωκίδου σοῦ, πλείονος ἄξιος ὢν ἐ-
φάνην τῇ πατρίδι. σὺ μέν γε οὐδὲν οὐδαμοῦ χρήσιμος ἦσθα. ἐγὼ δὲ πάντα ὅσα °ἅπαντα ἃ· α.
323 προσῆκε τὸν ἀγαθὸν πολίτην, ἔπραττον. λέγε τὸ ψήφισμα* *μοι. α.

Ψήφισμα Δημοσθένους.

«Ἐπὶ ἄρχοντος Ναυσικλέους, φυλῆς πρυτανευούσης Αἰαντίδος, Σκιροφοριῶνος ἕκ-
«τῃ ἐπὶ δέκα· Δημοσθένης Δημοσθένους Παιανιεὺς εἶπεν· ἐπειδὴ Φίλιππος ὁ Μακε-
324 δόνων βασιλεύς, ἔν τε τῷ παρεληλυθότι χρόνῳ παραβαίνων φαίνεται τὰς γεγενη-
μένας αὐτῷ συνθήκας πρὸς τὸν Ἀθηναίων δῆμον περὶ τῆς εἰρήνης, ὑπεριδὼν τοὺς
ὅρκους, καὶ τὰ παρὰ πᾶσι τοῖς Ἕλλησι νομιζόμενα εἶναι δίκαια, καὶ πόλεις παραιρεῖται
οὐδὲν αὐτῷ προσηκούσας, τινὰς δέ, καὶ Ἀθηναίων οὔσας, δοριαλώτους πεποίηκεν, οὐδὲν
325 προαδικηθεὶς ὑπὸ τοῦ δήμου τῶν Ἀθηναίων. ἔν τε τῷ παρόντι ἐπὶ πολὺ προάγει,

τῇ τε

314 πῶς καὶ οἱ Θηβαῖοι. Ἐφεστηκότα) Ἐπι-
315 κείμενον. Ἐπανεῖναι) Ἄνεσιν δοῦναι
Μεταθέσθαι) Μεταστῆναι. Περὶ
316 τῶν δικαίων) Περὶ τῆς ὁμονοίας τῆς πό-
317 λεως. Εἰδόσι) Νοήσασιν. Ἐκεῖσε
318 βαδίζειν) Εἰς τὰς Θήβας. Διῳκη-
319 μένοι) Οἰκονομήσαντες. Προσχή-
ματος) Μετὰ τιμῆς ἀξίας. Κατα-
τυχεῖν) Ἐπιτεύξεσθαι τοῦ ζητήματος τοῦ-
220 του. Οὐκ ἔγραψα) Κλιμακωτὸν
321 σχῆμα. Διεξῆλθον) Ἐπορευόμην. Ἁ-
πλῶς) Ἀφροντίστως. Εἶναι θῶ) Ὀ-
νομασθήσω. Βάταλον) Φλύα-
322 ρον. ἔστιν ὄνομα αὐλητοῦ. Κρεσφόν-
την) Ἡρακλέους υἱὸς ὁ Κρεσφόν-
της. Ἐγὼ Βάταλος) Κατὰ σέ. Χρή-
323 σιμος) Τῇ πατρίδι. Σκιροφοριῶ-
324 νος) Μαΐου. Ὑπεριδὼν) Ἀθετήσας.
Δίκαια) Ἤγουν τὸ τηρεῖν τοὺς ὅρκους.
Παραιρεῖται) Δουλοῖ. Προση-
κούσας) Ἁρμοζούσας. Δοριαλώ-
τους) Αἰχμαλώτους. Οὐδὲν) Κατ'
325 οὐδέν. Τῷ παρόντι) Καιρῷ. Προ-
άγει) Προάγεται. Ἃς μὲν ἐμφρούρους
ποιεῖ) Τινὰς ἐνέβαλεν οἰκείαν φρου-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῇ τε βίᾳ καὶ τῇ ὠμότητι· καὶ γὰρ ἑλληνίδας πόλεις, ἃς
μὲν ἐμφρούρους ποιεῖ, καὶ τὰς πολιτείας καταλύει, τι-
νὰς δὲ καὶ ἐξανδραποδιζόμενος κατασκάπτει, εἰς ἐνίας
δὲ καὶ ἀντὶ ἑλλήνων βαρβάρους κατοικίζει, ἐπὶ τὰ ἱερὰ
καὶ τοὺς τάφους ἐπάγων, οὐδὲν ἀλλότριον ποιῶν οὔτε τῆς 326
ἑαυτοῦ πατρίδος, οὔτε τοῦ τρόπου, καὶ τῇ νῦν αὐτοῦ
καταχρώμενος. ε. παρούσῃ τύχῃ κατακόρως χρώμενος, ἐπιλελησμέ-
νος ἑαυτοῦ, ὅτι ἐκ μικροῦ καὶ τοῦ τυχόντος γέγονεν ἀ-
νελπίστως μέγας· καὶ ἕως μὲν πόλεις ἑώρα περιαιρούμε-
νον αὐτὸν βαρβάρους καὶ ἰδίας, ὑπελάμβανεν ἔλατ- 227
τον εἶναι ὁ δῆμος ὁ ἀθηναίων, τὸ εἰς αὑτὸν πλημμελεῖ-
σθαι· νῦν δὲ ὁρῶν ἑλληνίδας πόλεις, τὰς μὲν, ὑβριζο-
μένας, τὰς δὲ, ἀναστάτους γιγνομένας, δεινὸν ἡγεῖται εἶ-
ναι καὶ ἀνάξιον τῆς τῶν προγόνων δόξης, τὸ περιορᾶν τοὺς ἕλληνας καταδουλουμέ-
νους· διὸ δέδοκται τῇ βουλῇ καὶ τῷ δήμῳ τῷ ἀθηναίων, εὐξαμένους καὶ θύσαντας 328
τοῖς θεοῖς καὶ ἥρωσι τοῖς κατέχουσι τὴν πόλιν, καὶ τὴν χώραν τῶν ἀθηναίων, καὶ ἐνθυ-
μηθεῖσι τῆς τῶν προγόνων ἀρετῆς, διότι περὶ πλείονος ἐποιοῦντο τὴν τῶν ἑλλή-
νων ἐλευθερίαν διατηρεῖν, ἢ τὴν ἰδίαν πατρίδα, διακοσίας ναῦς καθέλκειν εἰς τὴν
θάλατταν, καὶ τὸν ναύαρχον ἀναπλεῖν ἐντὸς πυλῶν, καὶ τὸν στρατηγὸν καὶ τὸν ἵππαρ- 329
χον, τὰς πεζὰς καὶ τὰς ἱππικὰς δυνάμεις ἐλευσῖνάδε ἐξάγειν· πέμψαι δὲ καὶ πρέ-
σβεις πρὸς τοὺς ἄλλους ἕλληνας, πρῶτον δὲ πάντων πρὸς θηβαίους, διὰ τὸ ἐγγυτά-
τω εἶναι τὸν φίλιππον τῆς ἐκείνων χώρας· παρακαλεῖν δὲ αὐτοὺς, μηδὲν καταπλα-
γέντας τὸν φίλιππον, ἀντέχεσθαι τῆς ἑαυτῶν, καὶ τῆς τῶν ἄλλων ἑλλήνων ἐλευθερίας· 330
οὐδὲ. ε. καὶ ὅτι ὁ ἀθηναίων δῆμος, οὐδὲν μνησικακῶν, εἴ τι πρότερον γέγονεν ἀλλότριον ταῖς
πόλεσι πρὸς ἀλλήλας, βοηθήσει, καὶ δυνάμεσι καὶ χρήμασι, καὶ βέλεσι καὶ ὅπλοις,
εἰδὼς ὅτι αὐτοῖς μὲν πρὸς ἀλλήλους διαμφισβητεῖν περὶ τῆς ἡγεμονίας οὖσιν
ἕλλησι, καλόν· ὑπὸ δὲ ἀλλοφύλου ἀνθρώπου ἄρχεσθαι, καὶ τῆς ἡγεμονίας ἀποστε- 331
ρεῖσθαι, ἀνάξιον εἶναι καὶ τῆς τῶν ἑλλήνων δόξης, καὶ τῆς τῶν προγόνων ἀρετῆς. ἔτι δὲ
ἀληθείᾳ. γ. οὐδὲ ἀλλότριον ἡγεῖται εἶναι ὁ ἀθηναίων δῆμος τὸν θηβαίων δῆμον, οὔτε τῇ συγγενείᾳ,
οὔτε τῷ ὁμοφύλῳ. ἀναμιμνήσκεται δὲ καὶ τὰς τῶν προγόνων τῶν ἑαυτοῦ εἰς τοὺς
ἀποστερημένους. γ. θηβαίων προγόνους εὐεργεσίας· καὶ γὰρ τοὺς ἡρακλέους παῖδας ἀποστερουμένους 332
ὑπὸ τῶν πελοποννησίων τῆς πατρῴας ἀρχῆς, κατήγαγον, τοῖς ὅπλοις κρατήσαν-
ἐκγόνοις. ε. τες τοὺς ἀντιβαίνειν πειρωμένους τοῖς ἡρακλέους ἐγγόνοις, καὶ τὸν οἰδίπουν καὶ τοὺς
πεσόντας. μ. μετ᾽ ἐκείνου ἐκπεσόντας, ὑπεδεξάμεθα· καὶ ἕτερα πολλὰ ἡμῖν ὑπάρχει φι-
διό. γ. λάνθρωπα καὶ ἔνδοξα πρὸς θηβαίους· διόπερ οὐδὲ νῦν ἀποστήσεται ὁ ἀθηναίων δῆ- 333
μος, τῶν θηβαίοις τε καὶ ἄλλοις ἕλλησι συμφερόντων· συνθέσθαι δὲ πρὸς αὐτοὺς καὶ
συμμαχίαν καὶ ἐπιγαμίαν ποιήσασθαι, καὶ ὅρκους δοῦναι καὶ λαβεῖν. πρέσβεις,
σφήττιος. μ. δημοσθένης δημοσθένους παιανιεὺς, ὑπερίδης κλεάνδρου σφήτιος, μνησιθείδης
φρεάρριος. ἀντιφάνους φρεάρριος, δημοκράτης σωφίλου φλιεὺς, κάλλαισχρος διοτίμου κοθω- 334
θηβαίοις ἐγένετο. μ. κίδης. Αὕτη τῶν περὶ θήβας ἐγένετο πραγμάτων ἀρχὴ καὶ κατάστασις πρώτη,
ἐγίνετο. α. τὰ πρὸ τούτων εἰς ἔχθραν καὶ μῖσος καὶ ἀπιστίαν τῶν πόλεων ὑπηγμένων ὑπὸ τού-
των· τοῦτο τὸ ψήφισμα, τὸν τότε τῇ πόλει περιστάντα κίνδυνον, παρελθεῖν ἐποίησεν

ἐᾶν. Πολιτείας) Δημοκρατίας. 325
Κατασκάπτει) Ἀφανίζει. Ἐπὶ τὰ
ἱερὰ) Ἐπὶ τὸ κατασκάψαι τοὺς τάφους
καὶ τὰ ἱερά. Ἀνελπίστως) Παρὰ τὴν 326
ἑαυτοῦ ἐλπίδα. Πλημμελεῖσθαι) Ἀ- 327
μαρτάνειν. Τοῖς θεοῖς) Ἥρωσι τοῖς 328
ἐγχωρείοις θεοῖς, ὡς ἀθηνᾷ, καὶ τὰ
ἑξῆς. Ἐντὸς πυλῶν) Εἰς τὰς θερμο- 329
πύλας. Τῆς ἐκείνων) Τῶν θηβαί-
ων. Εἰδὼς) Ὁ δῆμος. Τοῖς ἡ- 330
ρακλέους ἐγγόνοις) Ὅρα ὅτι θηβαῖοι 332
εὔχονται εἶναι ἀπόγονοι ἡρακλέους, ὡς 333
ἐκ θηβῶν ἐκείνου. Ἀποστήσεται)
Στερήσεται. Συνθέσθαι) Συμφω- 334
νῆσαι. Αὕτη) Σημείωσαι κατὰ ἀπό-
στασιν. Τὰ πρὸ τούτων) Τῶν και-
ρῶν, τὰ πρότερον. Ὑπὸ τούτων)
Τῶν δωροδόκων.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

335 ὥσπερ νέφος. ἦν μὲν τοίνυν τοῦ δικαίου πολίτου
δεῖξαι πᾶσιν, εἴ τι τούτων εἶχεν ἄμεινον, μὴ νῦν ἐπιτι-
μᾶν. ὁ γὰρ σύμβουλος καὶ ὁ συκοφάντης, ἐν οὐδενὶ τῶν
ἄλλων οὐδὲν ἐοικότες, ἐν τούτῳ πλεῖστον ἀλλήλων δια-
336 φέρουσιν. ὁ μὲν γὰρ, πρὸ τῶν πραγμάτων γνώμην
ἀποφαίνεται, καὶ δίδωσιν αὑτὸν ὑπεύθυνον τοῖς πει-
σθεῖσι, τῇ τύχῃ, τοῖς καιροῖς, τῷ βουλομένῳ. ὁ δὲ σι-
γήσας ἡνίκ᾽ ἔδει λέγειν, ἄν τι δύσκολον συμβῇ, τοῦτο
337 βασκαίνει. ἦν μὲν οὖν ὅπερ εἶπον ἐκεῖνος ὁ καιρὸς τοῦ
γε φροντίζοντος ἀνδρὸς τῆς πόλεως, καὶ τῶν δικαίων
λόγων. ἐγὼ δὲ τοσαύτην ὑπερβολὴν ποιοῦμαι, ὥστε
ἂν νῦν ἔχῃ τις δεῖξαί τι βέλτιον, ἢ ὅλως εἴ τι ἄλλο ἐνῆν
338 πλὴν ὧν ἐγὼ προειλόμην, ἀδικεῖν ὁμολογῶ. εἰ γὰρ
ἔσθ᾽ ὅ,τι τις νῦν ἑώρακεν ὃ συνήνεγκεν ἂν τότε πρα-
χθὲν, τοῦτ᾽ ἐγώ φημι δεῖν ἐμὲ μὴ λαθεῖν. εἰ δὲ μήτ᾽ ἔστι,
μήτ᾽ ἦν, μήτ᾽ ἂν εἰπεῖν ἔχοι μηδεὶς μηδέπω καὶ τή-
339 μερον, τί τὸν σύμβουλον ἐχρῆν ποιεῖν, οὐ τῶν φαινομέ-
νων καὶ ἐνόντων τὰ κράτιστα ἑλέσθαι; τοῦτο τοίνυν ἐποίησα*, τοῦ κήρυκος ἐρωτῶντος
Αἰσχίνη, τίς ἀγορεύειν βούλεται, οὐ τίς αἰτιᾶσθαι περὶ τῶν παρεληλυθότων, οὐδὲ
τίς ἐγγυᾶσθαι τὰ μέλλοντα ἔσεσθαι. σοῦ δ᾽ ἀφώνου κατ᾽ ἐκείνους τοὺς χρόνους ἐν ταῖς
340 ἐκκλησίαις καθημένου, ἐγὼ παριὼν ἔλεγον. ἐπειδὴ δὲ οὐ τότε, ἀλλὰ νῦν δεῖξον.
εἰπέ· τίς ἢ λόγος ὅντινα ἐχρῆν εὑρεῖν, ἢ καιρὸς συμφέρων ὑπ᾽ ἐμοῦ παρελείφθη τῇ πό-
λει; τίς δὲ συμμαχία, τίς πρᾶξις, ἐφ᾽ ἣν μᾶλλον ἔδει με ἀγαγεῖν τουτουσί. ἀλλὰ
μὴν, τὸ μὲν παρεληλυθὸς ἀεὶ παρὰ πᾶσιν ἀφεῖται, καὶ οὐδεὶς περὶ τούτου προτί-
341 θησιν οὐδαμοῦ βουλήν. τὸ δὲ μέλλον ἢ τὸ παρὸν, τὴν τοῦ συμβούλου τάξιν ἀπαιτεῖ. τότε
τοίνυν τὰ μὲν, ἔμελλεν ὡς ἐδόκει τῶν δεινῶν, τὰ δ᾽ ἤδη παρῆν, ἐν οἷς τὴν προαίρεσίν
μου σκόπει τῆς πολιτείας, μὴ τὰ συμβαίνοντα συκοφάντει. τὸ μὲν γὰρ πέρας, ὡς ἂν
ὁ δαίμων βουληθῇ, πάντων γίγνεται. ἡ δὲ προαίρεσις αὐτὴ, τὴν τοῦ συμβούλου διά-
342 νοιαν δηλοῖ. μὴ δὴ τοῦτο ὡς ἀδίκημα ἐμὸν θῇς, εἰ κρατῆσαι συνέβη Φιλίππῳ τῇ
μάχῃ. ἐν γὰρ τῷ θεῷ τὸ τούτου τέλος ἦν, οὐκ ἐν ἐμοί. ἀλλ᾽ ὡς οὐχ ἅπαντα
ὅσα ἐνῆν κατ᾽ ἀνθρώπινον λογισμὸν εἱλόμην, καὶ δικαίως ταῦτα καὶ ἐπιμελῶς ἔ-
πραξα, καὶ φιλοπόνως ὑπὲρ δύναμιν, ἢ ὡς οὐ καλὰ καὶ τῆς πόλεως ἄξια πρά-
343 γματα ἐνεστησάμην καὶ ἀναγκαῖα, ταῦτά μοι δεῖξον, καὶ τότ᾽ ἤδη κατηγόρει μου.
εἰ δ᾽ ὁ συμβὰς σκηπτὸς, ἢ χειμὼν, μὴ μόνον ἡμῶν, ἀλλὰ καὶ πάντων τῶν ἄλλων
Ἑλλήνων μείζων γέγονε, τί χρὴ ποιεῖν; ὥσπερ ἂν εἴ τις ναύκληρον πάντ᾽ ἐπὶ σωτηρίᾳ
πράξαντα, καὶ κατασκευάσαντα τὸ πλοῖον, ἀφ᾽ ὧν ὑπελάμβανε σωθήσεσθαι,
344 εἶτα χειμῶνι χρησάμενον, καὶ πονησάντων αὐτῷ τῶν σκευῶν, ἢ καὶ συντριβέντων
ὅλως, τῆς ναυαγίας αἰτιῷτο. ἀλλ᾽ οὔτε ἐκυβέρνων τὴν
ναῦν φήσειεν ἄν. ὥσπερ οὐδ᾽ ἐστρατήγουν ἐγώ, οὔτε τῆς
τύχης κύριος ἦν, ἀλλ᾽ ἐκείνη τῶν πάντων. ἀλλ᾽ ἐκεῖνο
345 λογίζου, καὶ ὅρα· εἰ μετὰ τῶν Θηβαίων ἡμῖν ἀγωνιζομέ-
νοις, οὕτως εἵμαρτο πρᾶξαι, τί χρὴ προσδοκᾶν, εἰ
μηδὲ

335 Ἄλλων) Πραγμάτων. Ἀποφαί-
336 νεται) Καθαρῶς. Ὁ μὲν γὰρ) Σύμ-
βουλος δηλαδή. Γνώμην) Λογι-
σμόν, βουλήν. Σιγήσας) Ὁ συκο-
φάντης. Δύσκολον) Δυστυχὲς ἀπὸ
337 τύχης. Βασκαίνει) Μέμφεται.
Φροντίζοντος ἀνδρὸς) Τοῦ ἀρίστου
συμβούλου. Βέλτιον) Φρονιμώτερον.
338 Ὅλως) Καθολικῶς. Ἑώρακεν)
Ἐνόησε. Συνήνεγκεν) Ὠφέλησε.
339 Ἦν) Ὁ γενομένος. Ἐνόντων) Δυ-
340 νατῶν. Οὐ τότε) Ἔδειξας δηλαδή.
341 Τουτουσί) Τοὺς Ἀθηναίους. Τὸ
παρὸν) Τὸ ἐνεστώς. Τότε τοίνυν)
Κατ᾽ ἐκεῖνον τὸν καιρόν. Πέ-
ρας) Ἡ ἔκβασις τοῦ πράγματος.
342 Κρατῆσαι) Νικῆσαι. Τῷ θεῷ)
Ἡ τῇ δυνάμει τοῦ θεοῦ. Κατ᾽ ἀν-
θρώπινον λογισμὸν) Καθὼς δεῖ λο-
γισμὸν ἀνθρωπικῆσαι. Ἐνεστησά-
343 μην) Ἔπραξα. Σκηπτὸς) Κεραυνός.
Μείζων γέγονε) Ἤγουν περιεγέ-
νετο. Κατασκευάσαντα) Ἀπαρτί-
344 σαντα. Χειμῶνι χρησάμενον) Δια-
φθορᾷ περιπεπτωκότα. Ἐκείνη τῶν
345 πάντων) Κυρία δηλονότι. Εἵμαρτο
πρᾶξαι) Πεπρωμένον ἦν δυστυχῆ-
σαι δηλαδή. Τί χρὴ) Ἤγουν ὑπὲρ
τοῦ μὴ τοῖς Θηβαίοις ὁμονοῖσαι μὲν ἡ-
346 μῶν ποιήσασθαι. Περιείη) Περιέχει.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μηδὲ τούτους ἔχοιμεν συμμάχους, ἀλλὰ Φιλίππῳ
προσέθεντο, ὑπὲρ ὧν τότ᾽ ἐκεῖνος πάσας ἀφῆκε φωνάς.
καὶ εἰ νῦν τριῶν ἡμερῶν ὁδὸν ἀπὸ τῆς Ἀττικῆς τῆς μά-
χης γεγενημένης, τοσοῦτος κίνδυνος καὶ φόβος περι- 346
έστη τὴν πόλιν, τί ἂν εἴ που τῆς χώρας ταὐτὸ τοῦτο πά-
θος συνέβη, προσδοκῆσαι χρῆν. ἆρ᾽ οἶσθ᾽ ὅτι νῦν
μὲν στῆναι, συνελθεῖν, ἀναπνεῦσαι; πολλὰ μία ἡμέρα
καὶ δύο καὶ τρεῖς ἔδοσαν τῶν εἰς σωτηρίαν τῇ πόλει. τότε
δ᾽ οὐκ ἄξιον εἰπεῖν, ἅ γε μηδὲ πεῖραν ἔδωκε θεῶν τι- 347
νὸς εὐνοίᾳ, καὶ τῷ προβαλέσθαι τὴν πόλιν ταύτην
τὴν συμμαχίαν, ἧς σὺ κατηγορεῖς. ἔστι δὲ ταυτὶ πάν-
τα μοι τὰ πολλά, πρὸς ὑμᾶς, ἄνδρες δικασταί, καὶ
τοὺς περιεστηκότας ἔξωθεν καὶ ἀκροωμένους. ἐπεὶ πρός
γε τοῦτον αὐτὸν τὸν κατάπτυστον, βραχὺς καὶ σαφὴς ἐξ- 348
ήρκει λόγος. εἰ μὲν γὰρ ἦν σοὶ πρόδηλα τὰ μέλλοντα,
αἰσχίνη, μόνῳ τῶν ἄλλων, ὅτε ἐβουλεύετο ἡ πόλις περὶ
τούτων, τότε ἔδει προλέγειν. εἰ δὲ μὴ προῄδεις, τῆς
αὐτῆς ἀγνοίας ὑπεύθυνος εἶ τοῖς ἄλλοις, ὥστε τί μᾶλ-
λον ἐμοῦ σὺ ταῦτα κατηγορεῖς, ἢ ἐγὼ σοῦ· τοσοῦτον γὰρ 349
ἀμείνων ἐγὼ σοῦ πολίτης γέγονα εἰς αὐτὰ ταῦτα ἃ
λέγω, καὶ οὔπω περὶ τῶν ἄλλων διαλέγομαι, ὅσον
ἐγὼ μὲν ἔδωκα ἐμαυτὸν εἰς τὰ πᾶσι δοκοῦντα συμ-
φέρειν, οὐδένα κίνδυνον ὀκνήσας ἴδιον, οὐδ᾽ ὑπολογισάμενος. σὺ δὲ οὔτε ἕτερα εἶ-
πες βελτίω τούτων, οὐ γὰρ ἂν τούτοις ἐχρῶντο, οὔτε εἰς ταῦτα χρήσιμον οὐδὲν σαυ- 350
τὸν παρέσχες. ὅπερ δ᾽ ἂν ὁ φαυλότατος καὶ δυσμενέστατος ἄνθρωπος ποιήσειε τῇ
πόλει, τοῦτο πεποιηκὼς ἐπὶ τοῖς συμβᾶσιν ἐξήτασαι, καὶ ἅμα Ἀρίστρατος ἐν Νάξῳ
καὶ Ἀριστόλαος ἐν Θάσῳ οἱ καθάπαξ ἐχθροὶ τῆς πόλεως, τοὺς Ἀθηναίων κρίνουσι φί-
λους, καὶ Ἀθήνησιν αἰσχίνης Δημοσθένους κατηγορεῖ. καίτοι ὅτῳ τὰ τῶν Ἑλλήνων ἀτυχή- 351
ματα ἐνευδοκιμεῖν ἀπέκειτο, ἀπολωλέναι μᾶλλον οὗτός ἐστι δίκαιος, ἢ κατηγορεῖν
ἑτέρου. καὶ ὅτῳ συνενηνόχασιν οἱ αὐτοὶ καιροί, καὶ τοῖς τῆς πόλεως ἐχθροῖς, οὐκ ἔνι τοῦ-
τον εὔνουν εἶναι τῇ πατρίδι. δηλοῖς δὲ καὶ ἐξ ὧν ζῇς, καὶ ποιεῖς, καὶ πολιτεύῃ, καὶ πάλιν
οὐ πολιτεύῃ. πράττεταί τι τῶν ὑμῖν δοκούντων συμφέρειν; ἄφωνος αἰσχίνης. ἀν- 352
τέκρουσέ τι καὶ γέγονεν οἷον οὐκ ἔδει; πάρεστιν αἰσχίνης. ὥσπερ τὰ ῥήγματα, καὶ τὰ σπά-
σματα, ὅταν τι κακὸν τὸ σῶμα λάβῃ, τότε κινεῖται. ἐπειδὴ δὲ πολὺς τοῖς συμβεβη-
κόσιν ἔγκειται, βούλομαί τι καὶ παράδοξον εἰπεῖν· καί μου πρὸς Διὸς καὶ θεῶν, μη-
δεὶς τὴν ὑπερβολὴν θαυμάσῃ, ἀλλὰ μετ᾽ εὐνοίας ὃ λέγω θεωρησάτω. εἰ γὰρ ἦν 353
ἅπασι πρόδηλα τὰ μέλλοντα γενήσεσθαι, καὶ προῄδεσαν πάντες, καὶ σὺ προὔ-
λεγες αἰσχίνη, καὶ διεμαρτύρου βοῶν καὶ κεκραγώς, ὃς οὐδ᾽ ἐφθέγξω, οὐδ᾽ οὕτως
ἀποστατέον τῇ πόλει τούτων ἦν, εἴπερ ἢ δόξης, ἢ προγόνων, ἢ τοῦ μέλλοντος αἰῶνος
εἶχε λόγον. νῦν μὲν γὰρ ἀποτυχεῖν δοκεῖ τῶν πραγμάτων, ὃ πᾶσι κοινόν ἐστιν 354
ἀνθρώποις, ὅταν τῷ θεῷ ταῦτα δοκῇ. τότε δ᾽ ἀξιοῦσα προεστάναι τῶν ἄλλων,
εἶτα ἀποστᾶσα τούτου, Φιλίππῳ προδεδωκέναι πάντας ἂν ἔσχεν αἰτίαν. εἰ γὰρ ταῦ-

Νῦν μὲν) Τὸ νῦν ἐνταῦθα λῆμμα 346
χρόνου δηλοῖ, καὶ ἔστιν ἐπὶ παρεληλυθότος. Θεῶν τινὸς εὔνοια) Σὺν 347
τῇ εὐνοίᾳ τῶν θεῶν. αἴτιον τὸ χρήσασθαι τῇ συμμαχίᾳ ὡς προβλήματι
τοῦτ᾽ ἔστι ἀσφαλείᾳ. Κατηγορεῖς)
Παραγραφικόν. Ἐπεί) Διλήμμα-
τον τὸ σχῆμα. Ἄλλων) Πραγμάτων 348
δηλονότι. Ὀκνήσας) Ἡγουν φοβη- 349
θεὶς εἰς τὸν κατ᾽ ἐμὲ δοκοῦντα κίνδυνον. Ὑπολογισάμενος) φροντισάμενος. Τούτοις) Τοῖς ῥηθεῖσιν 350
ὑπ᾽ ἐμοῦ δηλαδή. Χρήσιμον)
Χρειώδες. Ἐνευδοκιμεῖν ἀπέκειτο) 351
Ἔμελλε τὰ ἑλληνικὰ παθήματα εὐδοκιμεῖν, ἐπαγαγεῖν τούτῳ. Συνενηνόχασιν) Ὠφέλησαν καὶ λυσιτελεῖς
ἐκόμισαν οἱ τῆς δυστυχίας καιροί.
Πολιτεύῃ) Ἴδιον βασκανίας. Ὥς- 352
περ τὰ ῥήγματα) Σημείωσαι σχῆμα
παράστασιν κατ᾽ ἀντιστροφήν. Οἷον
οὐκ ἔδει) Πρᾶγμα ἀσύμφορον. Ἔγ-
κειται) Ἐπεμβαίνων δηλονότι. Δο- 354
κῇ) Τὸ ἀποτυχεῖν δηλαδή. Προεστάναι) Καθ᾽ ὃν καιρὸν λέγω ἐγώ.
Τούτου) Τοῦ ἄρχειν δηλονότι. Αἰτίαν) Μέμψιν. Προεῖτο ἀκονιτί)
Προδέδωκε χωρὶς ἀγῶνος ἢ βίας.
Μὴ γὰρ τῆς πόλεως) Σὺ γὰρ κατέπλυσι τῆς πόλεως δηλαδή. Πρεῖσθαι) 355
Εἰς δυστυχίαν δηλονότι.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὰ πρόσθ' ἀκονιτί, περὶ ὧν οὐδένα κίνδυνον ὅντινα οὐχ ὑπέμειναν οἱ πρόγονοι, τίς οὐχὶ κατέπτυσεν ἂν σοῦ.
355 μὴ γὰρ* τῆς πόλεώς γε, μηδ' ἐμοῦ. τίσι δ' ὀφθαλμοῖς πρὸς Διὸς ἑωρῶμεν ἂν τοὺς εἰς τὴν πόλιν ἀνθρώπους ἀφικνουμένους, εἰ τὰ μὲν πράγματα εἰς ὅπερ νυνὶ περιέστη, ἡγεμὼν καὶ κύριος ᾑρέθη Φίλιππος ἁπάντων, τὸν δ' ὑπὲρ τοῦ μὴ γενέσθαι ταῦτα
356 ἀγῶνα, ἕτεροι χωρὶς ἡμῶν ἦσαν πεποιημένοι. καὶ ταῦτα μηδεπώποτε τῆς πόλεως ἐν τοῖς ἔμπροσθεν χρόνοις ἀσφάλειαν ἄδοξον μᾶλλον, ἢ τὸν ὑπὲρ τῶν καλῶν κίνδυνον ᾑρημένης. τίς γὰρ οὐκ οἶδεν Ἑλλήνων, τίς δὲ βαρβάρων, ὅτι καὶ παρὰ Θηβαίων, καὶ παρὰ τῶν
357 ἔτι τούτων πρότερον ἰσχυρῶν γενομένων Λακεδαιμονίων, καὶ παρὰ τοῦ Περσῶν βασιλέως, μετὰ πολλῆς χάριτος τοῦτ' ἂν ἁσμένως ἐδόθη τῇ πόλει, ὅ, τι βούλεται λαβούσῃ καὶ τὰ ἑαυτῆς ἐχούσῃ, τὸ κελευόμενον ποιεῖν, καὶ ἐᾶν ἕτερον τῶν Ἑλλήνων προεστάναι. ἀλλ' οὐκ ἦν ταῦτα ὡς ἔοικε* τοῖς Ἀθηναίοις
358 πάτρια, οὐδ' ἀνεκτά, οὐδ' ἔμφυτα, οὐδ' ἠδυνήθη πώποτε τὴν πόλιν οὐδεὶς ἐκ παντὸς τοῦ χρόνου πεῖσαι τοῖς ἰσχύουσι μέν, μὴ δίκαια δὲ πράττουσι, προσθεμένην ἀσφαλῶς δουλεύειν· ἀλλ' ἀγωνιζομένη περὶ πρωτείων καὶ τιμῆς καὶ δόξης* κινδυνεύουσα, πάντα τὸν αἰῶνα διατετέλεκε. καὶ ταῦτα οὕτω σεμνὰ καὶ προσήκοντα
359 τοῖς ἡμετέροις ἤθεσιν ὑμεῖς ὑπολαμβάνετε εἶναι, ὥστε καὶ τῶν προγόνων τοὺς ταῦτα πράξαντας μάλιστ' ἐπαινεῖτε, εἰκότως. τίς γὰρ οὐκ ἂν ἀγάσαιτο τῶν ἀνδρῶν ἐκείνων τῆς ἀρετῆς, οἳ καὶ τὴν χώραν καὶ τὴν πόλιν ἐκλιπεῖν ὑπέμειναν εἰς τὰς τριήρεις ἐμβάντες, ὑπὲρ τοῦ μὴ τὸ κελευόμενον ποιῆσαι. τὸν μὲν ταῦτα συμβου-
360 λεύσαντα Θεμιστοκλέα στρατηγὸν ἑλόμενοι, τὸν δ' ὑπακούειν τοῖς ἐπιταττομένοις ἀποφηνάμενον Κυρσίλον καταλιθώσαντες, οὐ μόνον αὐτόν, ἀλλὰ καὶ αἱ γυναῖκες αἱ ὑμέτεραι τὴν γυναῖκα αὐτοῦ. οὐ γὰρ ἐζήτουν οἱ τότε Ἀθηναῖοι οὔτε ῥήτορα, οὔτε στρατηγόν, δι' ὅτου δουλεύσουσιν εὐτυχῶς· ἀλλ' οὐδὲ ζῆν ἠξίουν, εἰ μὴ μετ' ἐλευθερίας
361 αὐτοῖς ἐξέσται τοῦτο ποιεῖν. ἡγεῖτο γὰρ αὐτῶν ἕκαστος, οὐχὶ τῷ πατρὶ καὶ τῇ μητρὶ μόνον γεγενῆσθαι, ἀλλὰ καὶ τῇ πατρίδι. διαφέρει δὲ τί; ὅτι ὁ μὲν τοῖς γονεῦσι μόνον γεγενῆσθαι νομίζων, τὸν τῆς εἱμαρμένης καὶ τὸν αὐτόματον θάνατον περιμένει. ὁ δὲ καὶ τῇ πατρίδι, ὑπὲρ τοῦ μὴ ταύτην ἐπιδεῖν δουλεύουσαν, ἀποθνῄσκειν ἐθελή-
362 σει, καὶ φοβερωτέρας ἡγήσεται τὰς ὕβρεις καὶ τὰς ἀτιμίας, ἃς ἐν δουλευούσῃ τῇ πόλει φέρειν ἀνάγκη*. εἰ μὲν τοίνυν τοῦτ' ἐπεχείρουν λέγειν, ὡς* ἐγὼ προήγαγον ὑμᾶς ἄξια τῶν προγόνων φρονεῖν, οὐκ ἔστιν ὅστις, οὐκ ἂν εἰκότως ἐπιτιμήσειέ μοι. νῦν δ' ἐγὼ μὲν ὑμετέρας τὰς τοιαύτας προαιρέσεις ἀποφαίνω, καὶ δείκνυμι ὅτι
363 καὶ πρὸ ἐμοῦ τοῦτ' εἶχε τὸ φρόνημα ἡ πόλις. τῆς μέντοι διακονίας τῆς ἐφ' ἑκάστοις τῶν πεπραγμένων, καὶ ἐμαυτῷ μετεῖναί φημι. οὗτος δὲ τῶν ὅλων κατηγορῶν, καὶ κελεύων ὑμᾶς ἐμοὶ πικρῶς ἔχειν, ὡς φόβων καὶ κινδύνων αἰτίῳ τῇ πόλει γεγενημένῳ, τῆς μὲν εἰς τὸ παρὸν τιμῆς ἐμὲ ἀποστερῆσαι γλίχεται, τὰ δ' εἰς ἅπαντα τὸν
364 λοιπὸν χρόνον ἐγκώμια ὑμῶν ἀφαιρεῖται. εἰ γὰρ ὡς οὐ τὰ βέλτιστα ἐμοῦ πολιτευσαμένου τουδὶ καταψηφιεῖσθε, ἡμαρτηκέναι δόξετε, οὐ τῆς τύχης ἀγνωμοσύνῃ τὰ συμ-
βάντα

358 Πάτρια) Τὰ ἔθη. Ἔμφυτα) Φυσικά. Σεμνά) Σεβάσμια. Εἰς 359 τὰς τριήρεις ἐμβάντες) Αἰνίττεται τὸν Περσικὸν πόλεμον. Τοῦτο ποιεῖν) Τὸ ζῆν ἀσφαλῶς. Τῷ πατρὶ καὶ τῇ μητρί) Ἤγουν χάριν τῶν πατέρων καὶ τῶν μητέρων. Αὐτόματον) Φυσικόν. 362 Προήγαγον) Προεκαλεσάμην. Ἐπιτιμήσειέ μοι) Ἀντὶ τοῦ πᾶς ἂν ἐπετίμησε. 363 Τὸ φρόνημα) Τὴν προαίρεσιν. Ἐφ' ἑκάστοις) Πράγμασι δηλονότι. Μετεῖναι) Μετουσίαν εἶναι. Πικρῶς ἔχειν) Ὠμῶς διακεῖσθαι. Τὸ παρόν) Τὸ ἐνεστώς. 364 Ἡμαρτηκέναι) Ἐκπεσεῖν τοῦ ὀρθῶς ἔχειν ὡς πεισθέντες ἐμοὶ δηλονότι. Παθεῖν) Ἀλλ' ὑπ' ἐμοῦ δηλαδή. Ἀγνωμοσύνῃ) Ἤγουν ἀδικίᾳ.

*προεῖπε. ε. ζ.
ἀκονιτί. α. β. η.
*οὐχ εἶπα. α.
*δή. α.
περιέστηκε. α.
ἐποίησαν. ζ.
γενομένων α.
*ποτε. α. ζ.
*καί. ε.
ὑπολαμβάνετε γε. α. β.
συμβουλεύσαντα. ε.
η.
*τοῦ θανάτου α. β. ε. ζ.
*ἐγὼ α. ε. ζ.

Γρ. ὅλως ἡμάρτετε ἄνδρες ἀθηναῖοι α.ε. ὄντα παθεῖν. ἀλλ' οὐκ ἔστιν οὐκ ἔστιν ὅπως ἡμάρτετε ἄνδρες ἀθηναῖοι, τὸν ὑπὲρ τῆς ἁπάντων ἐλευθερίας καὶ σωτηρίας, κίνδυνον ἀράμενοι· οὐ μὰ τοὺς ἐν μαραθῶνι προκινδυνεύσαντας τῶν προγόνων, καὶ τοὺς 365
ἐν πλαταιαῖς παραταξαμένους, καὶ τοὺς ἐν σαλαμῖνι ναυμαχήσαντας, καὶ τοὺς ἐπ' ἀρτεμισίῳ, καὶ πολλοὺς ἑτέρους τοὺς ἐν τοῖς δημοσίοις μνήμασι κειμένους ἀγαθοὺς ἄνδρας. οὓς ἅπαντας ὁμοίως ἡ πόλις τῆς αὐτῆς ἀξιώσασα τιμῆς, ἔθαψεν, αἰσχίνη. οὐχὶ τοὺς κα366
τορθώσαντας αὐτῶν, οὐδὲ τοὺς κρατήσαντας μόνους
ἔνειμεν α. δικαίως. ὃ μὲν γὰρ ἦν ἀνδρῶν ἀγαθῶν ἔργον, ἅπασι πέπρακται. τῇ τύχῃ δέ, ἣν ὁ δαίμων ἀπένειμεν ἑκάστοις, ταύτῃ κέχρηνται. ἔπειτ', ὦ κατάρατε, καὶ γραμματοκύφων, σὺ μὲν τῆς παρὰ τουτωνὶ τιμῆς καὶ φι- 367
λανθρωπίας ἐμὲ ἀποστερῆσαι βουλόμενος, τρόπαια καὶ μάχας, καὶ παλαιὰ ἔργα ἔλεγες, ὧν τίνος προσεδεῖτο ὁ παρὼν ἀγὼν οὑτοσί. ἐμὲ δέ, ὦ τριταγωνιστά, *α. τὸν περὶ τῶν πρωτείων σύμβουλον τῇ πόλει παριόντα, τὸ ἀναλαβόντα α ε. τίνος φρόνημα λαβόντα ἀναβαίνειν ἐπὶ τὸ βῆμα ἔδει; 368
*τὸ α.ε. ὦ α.ε. τὸ* τούτων ἀνάξια ἐροῦντος; δικαίως μέντ' ἂν ἀπέθανον. ἐπεὶ οὐδ' ὑμᾶς, ἄνδρες ἀθηναῖοι, ἀπὸ τῆς αὐτῆς διανοίας δεῖ, τάς τε ἰδίας δίκας, καὶ τὰς δημοσίας κρίνειν. ἀλλὰ τὰ μὲν τοῦ καθ' ἡμέραν βίου συμβόλαια, ἐπὶ τῶν ἰδίων νόμων καὶ ἔργων σκοποῦντας, τὰς δὲ κοινὰς προαιρέσεις, εἰς τὰ τῶν προγόνων ἀξιώματα ἀποβλέποντας. καὶ παραλαμβάνειν γε ἅμα τῇ βακτηρίᾳ καὶ τῷ συμβό- 369
*δεῖ α ε. εἰσίητε α λῳ, τὸ φρόνημα τὸ τῆς πόλεως νομίζειν ἕκαστον ὑμῶν,* ὅταν τὰ δημόσια εἰσίητε κρινοῦντες, εἴπερ ἄξια ἐκείνων πράττειν οἴεσθε χρῆναι. ἀλλὰ γὰρ ἐμπεσὼν εἰς τὰ πεπραγμένα τοῖς προγόνοις ὑμῶν, ἔστιν ἃ τῶν ψηφισμάτων παρέβην καὶ τῶν 370
πραχθέντων. ἐπανελθεῖν οὖν ὅθεν εἰς ταῦτα ἐξέβην, βούλομαι. ὡς γὰρ ἀφικόμεθα εἰς τὰς θήβας, καταλαμβάνομεν φιλίππου, καὶ θετταλῶν, καὶ τῶν ἄλλων συμμάχων παρόντας πρέσβεις, καὶ τοὺς μὲν ἡμετέρους φίλους ἐν φόβῳ· τοὺς δ' ἐκείνου, θρασεῖς. ὅτι δ' οὐ νῦν ταῦτα λέγω τοῦ συμφέροντος ἕνεκα ἐμαυτῷ, λέγε μοι τὴν 371
ἐπιστολήν, ἣν τότε ἐπέμψαμεν εὐθὺς οἱ πρέσβεις. καί τοι, τοσαύτῃ γε ὑπερβολῇ συκοφαντίας οὗτος κέχρηται, ὥστ' εἰ μέν τι τῶν δεόντων ἐπράχθη, τὸν καιρόν, οὐκ ἐμέ φησιν αἴτιον γεγενῆσθαι. τῶν δ' ὡς ἑτέρως συμβάντων ἁπάντων, ἐμὲ καὶ τὴν ἐμὴν τύχην αἰτίαν εἶναι. καὶ ὡς ἔοικεν ὁ σύμβουλος καὶ ῥήτωρ ἐγώ, τῶν μὲν ἐκ λό- 372
βουλεύσασθαι α.β.ε.κ. γου καὶ τοῦ βουλεύσασθαι πραχθέντων, οὐδενὸς αὐτῷ συναίτιος εἶναι δοκῶ. τῶν δ' ἐν τοῖς ὅπλοις καὶ κατὰ τὴν στρατηγίαν ἀτυχηθέντων, μόνος αἴτιος εἶναι. πῶς ἂν ὠμότερος
α. συκοφάντης γένοιτ' ἄν, ἢ καταρατότερος τούτου. Λέγε τὴν ἐπιστολήν.

Ἐπιστολή.

373
Ἐπειδὴ τοίνυν ἐποιήσαντο τὴν ἐκκλησίαν, προσῆγον ἐκείνους προτέρους διὰ τὸ
εἰσελθόντες. τὴν τῶν συμμάχων τάξιν ἐκείνους ἔχειν. καὶ παρελθόντες, ἐδημηγόρουν, πολλὰ μὲν

Δημοσίοις μνήμασι) Ἤγουν κενοταφίοις. 365 Κρατήσαντας μόνους) Ἀλλὰ καὶ μηδὲ ποιοῦν ἐκεῖσε δηλαδὴ πιέσαντας. 366 Γραμματοκύφων) Ὑπογραμματεύς. Προσεδεῖτο) Χρείαν εἶχον. 367 Καθ' ἡμέραν βίου) Δεῖ κρίνειν ἑκάστους δηλαδή. 368 Συμβόλαια) Τὰ κοινὰ συναλλάγματα. Κοινὰς προαιρέσεις) Δεῖ κρίνειν δηλονότι. 369 Ἀξιώματα) Φρονήματα. Συμβόλῳ) Σημείῳ· σύμβολον, σημεῖον τι ὅπερ ἐπάνω τῆς κεφαλῆς εἶχον οἱ κριταί. Τὸ φρόνημα) Τὸ δὲ νόημα.
Δημόσια) Πράγματα δηλονότι. Ἐκείνων) Τῶν προγόνων δηλαδή. Χρῆναι) Χρεὼν εἶναι. Ἃ) Τινά. 370 Παρέβην) Παρέδραμον. Συμμάχων) Τοῦ φιλίππου δηλονότι. Τύχην) Φάσκει δηλαδή. 372 Οὐδενὸς) Οὐδὲν ἐν ὑμῖν πρᾶξιν ἀγαθόν. Αὐτῷ) Κατὰ τὸν αἰσχίνην, ὅπερ ἐστὶν ἡ ἐμὴ συμβουλὴ κατὰ τὸν αἰσχίνην ἀνωφελής ἐστιν.
Ἐπειδὴ τοίνυν) Μέχρι τούτου ἀτελῶς ἔχει καὶ τὰς ἐπιστολὰς καὶ τὰ ψηφίσματα καὶ τοὺς μάρτυρας. 373 Προτέρους) Ἡμῶν δηλαδή. Ἐκείνους) Τοὺς φιλίππου πρέσβεις. Ἐπρά-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

373 ξαπ) Ἠπατήθητε. Διιέντας) Δι-
374 οδον διδόντας. Συνεμβαλόντας) Συστρατεύοντας καθ' ὑμῶν μετὰ τοῦ Φιλίππου. Ἔφασαν) Ἔλεγον δηλα-
375 δὴ ὅτι ἐξ ὧν ὑμᾶς συμβουλεύουσιν Ἀθηναῖοι μόνον εἰ πισθῆτε, διαρπασθήσεται τὰ βοσκήματα ὑμῶν.
376 Καθ' ἕκαστα) Ἤγουν κατὰ μέρος. Ἀντὶ παντὸς) Ἀντὶ τῆς ζωῆς μου ἡρετισάμην τὸ λεπτολογῆσαι αὐτὰ καθ' ἕκαστον. Κατακλυσμὸν) Καταχυσιν· ὡς γὰρ κατακλυσμὸς συνηθῶν ὁ Φίλιππος πάντα ὑφ' ἡμῶν ἀπῆρεν
377 Μετὰ ταῦτα) Μετὰ τὸ πεῖσαι ἡμᾶς. Οἰκείως) Συγγενικῶς. Δέχεσθαι)
378 Καθ' ἣν εἰσεδέξαντο τὴν στρατιὰν ἐντὸς τῶν πυλῶν. Ἐφ' ὑμῖν) Ἐπὶ τῇ
379 ἐξουσίᾳ τῇ ὑμετέρᾳ. Κατά γε ὑμᾶς) Κατὰ τὴν ὑμετέραν γνώμην.
380 Συμπαραταξάμενοι) Μετὰ παρατάξεως πεποιηκότες τὰς μάχας. Τῷ κόσμῳ) Τῷ ὅπλων δηλαδή. Ταῖς
381 παρασκευαῖς) Συντάξεσι δηλονότι. Πομπαὶ) Πανηγύρεις. Καὶ ἔγωγε) Σχῆμα διλήμματι. Ζήλου)
382 Μακαρισμοῦ. Δυσμεναίνων) Φθονῶν, ἐχθαίρων δηλαδή. Ἐξητάζετο) Συνηριθμεῖτο. Ὀμωμοκότας) Δικαστάς.

Φίλιππον ἐγκωμιάζοντες, πολλὰ δ' ὑμῶν κατηγοροῦντες, ἅπανθ' ὅσα πώποτε ἐναντία ἐπράξατε ᵛπάντα. α.
374 Θηβαίοις, ἀναμιμνήσκοντες. τὸ δ' οὖν κεφάλαιον, ἠξίουν, ὧν μὲν εὖ πεπόνθεσαν ὑπὸ Φιλίππου, χάριν πεπόνθασι α. ε.
αὐτοὺς ἀποδοῦναι. ὧν δ' ὑφ' ὑμῶν ἠδίκηνται, δίκην αὐτοὺς ε. ἡμῶν. α.
λαβεῖν ὁποτέρως βούλονται· ἢ διιέντας αὐτοὺς ἐφ' ὑμᾶς, ἢ συνεμβαλόντας εἰς τὴν Ἀττικήν. καὶ ἐδείκνυ- ἡμᾶς. α.
375 σαν ὡς ᾤοντο, ἐκ μὲν ὧν αὐτοὶ συνεβούλευον, τὰ ἐκ τῆς Ἀττικῆς βοσκήματα καὶ ἀνδράποδα, καὶ τἆλλα ἀγαθὰ, εἰς τὴν Βοιωτίαν ἥξοντα. ἐκ δὲ ὧν ἡμᾶς ἐρεῖν ἔφασαν, τὰ ἐν τῇ Βοιωτίᾳ διαρπασθησόμενα ὑπὸ τοῦ πολέμου· καὶ ἄλλα πολλὰ πρὸς τούτοις. εἰς
376 ταῦτα δὲ πάντα συντείνοντα, ἔλεγον. ἃ δ' ὑμεῖς πρὸς ὑμεῖς. α. ι
ταῦτα ἀντείπομεν, τὰ μὲν καθ' ἕκαστα, ἐγὼ μὲν ἀντὶ παντὸς ἂν τιμησαίμην εἰπεῖν, τοῦ βίου. ὑμᾶς δὲ δέδοικα, μὴ παρεληλυθότων τῶν καιρῶν, ὥσπερ ἂν εἰ κατακλυσμὸν γεγενῆσθαι τῶν πραγμάτων ἡγούμενοι,
377 μάταιον ὄχλον τοὺς περὶ τούτων λόγους νομίσητε. ἃ ἐπίσημον
δ' οὖν ἐπείσαμεν ἡμεῖς, καὶ ἃ ἡμῖν ἀπεκρίναντο, ἀκούσατε. Λέγε ᵛτουτὶ λαβών. ταῦτα. α.

Ἀπόκρισις Θηβαίων.

Μετὰ ταῦτα τοίνυν ἐκάλουν ὑμᾶς, καὶ μετεπέμποντο. °ἐξῆτε, ἐβοηθεῖτε, ἵνα τὰ ἐν ἐξῄειτε
378 μέσῳ παραλείπω, οὕτως οἰκείως ὑμᾶς ἐδέχοντο, ὥστ' ἔξω τῶν ὁπλιτῶν καὶ τῶν ἱππέων ὄντων εἰς τὰς οἰκίας καὶ τὸ ἄστυ δέχεσθαι τὴν στρατιὰν, ἐπὶ παῖδας καὶ γυναῖκας καὶ τὰ τιμιώτατα. καί τοι, τρία ἐν ἐκείνῃ τῇ ἡμέρᾳ πᾶσιν ἀνθρώποις ἔδειξαν ἐγκώμια Θηβαῖοι ᵛκαθ' ὑμῶν τὰ κάλλιστα· ἓν μὲν ἀνδρίας, ἕτερον δὲ δικαιοσύ- περί. ε. τρίτον. ζ.
379 νης, τρίτον δὲ σωφροσύνης. καὶ γὰρ τὸν ἀγῶνα μεθ' ὑμῶν μᾶλλον, ἢ πρὸς ὑμᾶς ἑλόμενοι ποιήσασθαι, καὶ ἀμείνους εἶναι, καὶ δικαιότερα ἀξιοῦν ὑμᾶς ἔκριναν ᵛἢ Φιλίππου. Φιλίππου. α. ε. ζ.
καὶ τὰ παρ' αὑτοῖς, καὶ τὰ παρὰ πᾶσι δ' ἐν πλείστῃ φυλακῇ παῖδας καὶ γυναῖκας ἐφ' ὑμῖν ποιήσαντες, σωφροσύνης πίστιν περὶ ὑμῶν ἔχοντες ἔδειξαν. ἐν οἷς ᵛἅπασιν, ἄν- πᾶσιν. α. ε
380 δρες Ἀθηναῖοι, κατά γε ὑμᾶς *ὀρθῶς ἐφάνησαν ἐγνωκότες. οὔτε γὰρ εἰς τὴν πόλιν εἰσελθόντος τοῦ στρατοπέδου, οὐδεὶς οὐδὲν, οὐδὲ ἀδίκως ὑμῖν ἐνεκάλεσεν, οὕτω σώφρονας ᵛπαρέχεσθαι ὑμᾶς αὐτοὺς, δίς τε συμπαραταξάμενοι, τὰς πρώτας μάχας, τήν ἐπὶ τοῦ ποταμοῦ, καὶ τὴν χειμερινὴν, οὐκ ἀμέμπτους μόνον ὑμᾶς αὐτοὺς, ἀλλὰ καὶ θαυ- *Θηβαῖοι .. παρέχετε. ι
381 μαστοὺς ἐδείξατε, τῷ κόσμῳ, ταῖς παρασκευαῖς, τῇ προθυμίᾳ, ἐφ' οἷς παρὰ μὲν τῶν ἄλλων, ὑμῖν ἐγίγνοντο ἔπαινοι· παρὰ δὲ ᵛὑμῶν, θυσίαι καὶ πομπαὶ τοῖς θεοῖς. καὶ ἔγωγε, ἡμῶν. ζ.
ἡδέως ἂν ἐροίμην Αἰσχίνην, ὅτε ταῦτ' ἐπράττετο, καὶ ζήλου, καὶ χαρᾶς, καὶ ἐπαίνων *ἦν. π. ε.
*ἣν ἡ πόλις μεστὴ, πότερον συνέθυε καὶ συνευφραίνετο τοῖς πολλοῖς, ἢ λυπούμε-
382 νος καὶ στένων καὶ δυσμεναίνων ἐπὶ τοῖς κοινοῖς ἀγαθοῖς, οἴκοι ᵛκαθῆτο. εἰ μὲν γὰρ παρῆν καὶ μετὰ τῶν ἄλλων ἐξητάζετο, πῶς οὐ δεινὰ ποιεῖ, μᾶλλον δ' οὐδ' ὅσια, εἰ ὧν ὡς ἀρίστων καθῆσο. α. ι
*αὐτοὺς τοὺς θεοὺς ἐποιήσατο μάρτυρας, ταῦθ' ὡς οὐκ ᵛἄριστα νῦν ὑμᾶς ἀξιοῖ ψηφίσασθαι τοὺς ὀμωμοκότας τοὺς θεούς. εἰ δὲ μὴ παρῆν, πῶς οὐκ ἀπολωλέναι πολλάκις *ὄντων. α. ε. ἄξια. α.

ἐστ

… σιος, εἰ ἐφ' οἷς ἔχαιρον οἱ ἄλλοι, ταῦτα λυπεῖτε
ὁρῶν. Λέγε δὴ καὶ ταῦτα τὰ ψηφίσματά μοι.

Ψηφίσματα θυσιῶν.

Οὐκοῦν, ἡμεῖς μὲν ἐν θυσίαις ἦμεν τότε· Θηβαῖοι δ'
ἐν τῷ δι' ἡμᾶς σεσῶσθαι νομίζειν, καὶ περιεστήκει τῆς
βοηθείας δεήσεσθαι δοκοῦσιν, ἀφ' ὧν ἔπραττον οὗτοι 384
ᵃαὐτοῖς βοηθεῖν ἑτέροις, ἐξ ὧν ἐπείσθητέ μοι. ἀλλὰ
μὴν, οἵας τότε ἠφίει φωνὰς ὁ Φίλιππος, καὶ ἐν οἵαις
ἦν ταραχαῖς ἐπὶ τούτοις, ἐκ τῶν ἐπιστολῶν τῶν ἐκεί-
νου μαθήσεσθε, ὧν εἰς Πελοπόννησον ἔπεμψε. καί μοι
λέγε ταύτας λαβών. ἵν' εἰδῆτε ὅτι ἡ ἐμὴ συνέχεια καὶ 385
ᶜπλάνη καὶ ταλαιπωρίαι, καὶ τὰ πολλὰ ψηφίσμα-
τα, ἃ νῦν οὗτος διέσυρε, τί ἀπειργάσατο. καί τοι πολ-
λοὶ παρ' ὑμῖν, ἄνδρες Ἀθηναῖοι, γεγόνασι ῥήτορες ἔν-
δοξοι καὶ μεγάλοι πρὸ ἐμοῦ, Καλλίστρατος ἐκεῖνος, Ἀ-
ριστοφῶν, Κέφαλος, Θρασύβουλος, ἕτεροι μυρίοι· ἀλλ' 386
ὅμως οὐδεὶς τούτων πώποτε διὰ παντὸς ἔδωκεν ἑαυ-
τὸν εἰς οὐδὲν τῇ πόλει. ἀλλ' ὁ μὲν γράφων, οὐκ ἂν
ἐπρέσβευσεν· ὁ δὲ πρεσβεύων, οὐκ ἂν ἔγραψεν. ὑπε-
λείπετο γὰρ αὐτῶν ἕκαστος ἑαυτῷ ἅμα μὲν ῥαστώνην,
ἅμα δ' εἴ τι γένοιτο, ἀναφοράν. τί οὖν εἴποι τις ἄν. σὺ τοσοῦτον ὑπερῆρας ῥώμῃ 387
καὶ τόλμῃ τοὺς ἄλλους, ὥστε πάντα ποιεῖν αὐτός; οὐ λέγω ταῦτα· ἀλλ' οὕτως ἐπεπεί-
σμην μέγαν εἶναι τὸν κατειληφότα κίνδυνον τὴν πόλιν, ὥστ' οὐκ ἐδόκει μοι χώραν,
οὐδὲ πρόνοιαν οὐδεμίαν τῆς ἰδίας ἀσφαλείας διδόναι· ἀλλ' ἀγαπητὸν εἶναι, εἰ μη-
δὲν παραλείπων τις, ἃ δεῖ πράξειεν. ἐπεπείσμην δ' ὑπὲρ ἐμαυτοῦ, τυχὸν μὲν, 388
ἀναισθητῶν, ὅμως δ' ἐπεπείσμην, μήτε γράφοντ' ἂν ἐμοῦ γράψαι βέλτιον μη-
δένα, μήτε πράττοντα τι πρᾶξαι, μήτε πρεσβεύοντα πρεσβεῦσαι προθυμό-
τερον, μήτε δικαιότερον, διὰ ταῦτα ἐν ἅπασιν ἐμαυτὸν ἔταττον. Λέγε δὴ τὰς
ἐπιστολὰς* Φιλίππου.

Ἐπιστολαί. 389

Εἰς ταῦτα κατέστησε Φίλιππον ἡ ἐμὴ πολιτεία, Αἰσχίνη. ταύτην τὴν φωνὴν ἐ-
κεῖνος ἀφῆκε δι' ἐμέ, πολλοὺς καὶ θρασεῖς τὰ πρὸ τούτων τῇ πόλει ἐπαιρόμενος
λόγους, ἀνθ' ὧν δικαίως ἐστεφανούμην ὑπὸ τουτωνί. καὶ σὺ παρὼν οὐκ ἀντέλε-
γες. ὁ δὲ γραψάμενος Διώνδας, τὸ πέμπτον μέρος τῶν ψήφων οὐκ ἔλαβε. Καί 390
μοι λέγε ταῦτα τὰ ψηφίσματα, τὰ τότε μὲν ἀποπεφευγότα, ὑπὸ τούτου δ' οὐδὲ
γραφέντα.

Ψηφίσματα.

Ταυτὶ τὰ ψηφίσματα, ὦ ἄνδρες Ἀθηναῖοι, τὰς αὐτὰς συλλαβὰς, καὶ τὰ αὐτὰ ῥήμα-
τα ἔχει, ἅπερ πρότερον μὲν Ἀριστόνικος, νῦν δὲ Κτησιφῶν γέγραφεν οὑτοσί. καὶ ταῦτ' Αἰ- 391
σχίνης, οὔτ' ἐδίωξεν αὐτὸς, οὔτε τῷ γραψαμένῳ συγκατηγόρησε. καί τοι τότε τὸν Δημο-
μέλην τὸν ταῦτα γράφοντα, καὶ τὸν Ὑπερείδην, εἴπερ ἀληθῆ μου νῦν κατηγορεῖ, μᾶλ-
λον ἂν εἰκότως, ἢ τόνδ' ἐδίωκε. διὰ τί; ὅτι τῷ μὲν ἔστ' ἀνενεγκεῖν ἐπ' ἐκείνους, καὶ
τὰς τῶν δικαστηρίων γνώσεις, καὶ τὸ, τοῦτον αὐτὸν ἐκείνων μὴ κατηγορηκέναι, ταῦτα γρα- 392
ψάντων ἅπερ οὗτος νυνί, καὶ τὸ, τοὺς νόμους μηκέτι ἐᾶν περὶ τῶν οὕτω πραχθέντων

Περιεστήκει) Περιεγένετο ἡμῖν. 383
Οὗτοι) Οἱ περὶ τὸν Αἰσχίνην. 384
Ἐπὶ τούτοις) Ἕνεκεν τῶν συμβάν-
των. Ἡ ἐμὴ συνέχεια) Ἤγουν ἡ 385
πλησμονὴ τοῦ δημηγορεῖν καὶ τοῦ ψη-
φίζεσθαι, ἐξ ὧν ἐπλανᾶσθε καὶ ἐτα-
λαιπωρήσατε. ὡς οὗτος με διαβάλλει
λέγων. Ἔνδοξοι) Ἐπὶ τῇ ἰσχύϊ τῆς
γλώττης. Πρεσβεύων) Πρεσβευ- 386
τὴς γενόμενος. Ἀναφορὰν) Μετά- 387
θεσιν τῆς αἰτίας. Διδόναι) Ἐμαυ-
τῷ δηλαδή. Εἶναι) Ἐδόκει δηλονό-
τι.
Τούτων) Τῶν λόγων δηλαδή. Τῇ 389
πόλει) Κατὰ τῆς πόλεως. Ἐπαιρό-
μενος) Ἐπαίρων. Τουτωνὶ) Τῶν δι-
καστῶν. Ἀποπεφευγότα) Ἤγουν ἔ-
ξω τῆς κατηγορίας γενόμενα. Γρα-
φέντα) Κατηγορηθέντα. 390
Τῷ γραψαμένῳ) Τῷ Διώνδᾳ. 391
Γράφοντα) Περὶ ἐμοῦ δηλονότι. 392
Τόνδ') Τὸν Κτησιφῶντα. Γνώ-
σεις) Ὅτι ἐκυρώθησαν ὑπὸ τῆς βου-
λῆς. Τοῦτον αὐτὸν) Τὸν Αἰσχίνην.
Ἐκείνων) Τῶν ψηφισμάτων.
Γραψάντων) Ψηφισαμένων. Οὗ-
τος) Ὁ Κτησιφῶν. Πραχθέντων)
Ὑπὲρ τῶν ἀρίστων πολιτευμάτων τῶν

ᵃαὐτοῖς. α. ν.
ᵇἐπιστολῶν. ν.
ᶜταλαιπωρίαι. α. ν.
ᵈὑμῖν ὦ ἀθηναῖοι. α.
ᵉγένοιτο. α. ε.
ᶠὥραν α.
ᵍπαραλιπών. α.
ʰἀναίσθητον. α. β
αἰσθητῶς. ζ.
α.
ˡπᾶσιν. α.
α. ε.
ᵐταῖς τοῦ. α. ν.
α.
ⁿτούτων. α.
ᵒοὐ ε.
α. ν.
γράψαντα ν. τούτῳ μὲν γὰρ ἔστιν. α.

ὠφελούντων τὴν πολιτείαν. Τού-
393 των) Ὧν εἶπον. Ἐκλέξαντα) Χω-
ρίσαντα. Μετενεγκόντα) Μεταβι-
βάσαντα. Μεταθέντα) Μετὰ πα-
ραδρομὴν πολλῶν χρόνων ἐπάγον-
394 τα. Τὰ πράγματα) Τὸ κατηγορῆ-
σαι αὐτὰ τὰ ἔργα. Ἐλέγχους φυγὼν) Τοὺς ἐγγὺς τῶν πραγμάτων ἐλέγ-
χους φυγών. Ῥητόρων) Δημηγό-
395 ρων. Λόγων) Προφορικῶν δηλο-
νότι. Ἥκετ' ἔχοντες) Τουτέστι περὶ ἐ-
μοῦ μὲν ὑπολαμβάνειν μεγάλα, πε-
ρὶ δὲ τούτου μικρά. Μεταπείθειν)
397 Τὰς ὑπολήψεις, τουτέστιν, ἐμοῦ μὲν
λέγοντος περὶ τῆς πατρίδος, τούτου δὲ
ὑπὲρ Φιλίππου. Τὴν δόξαν) Περὶ
ἑκατέρου ὑπόληψιν. Πραγμάτων)
398 Χρημάτων. Λογισμός) Λογαριασμός. Βραχέσι) Ῥήμασι. Ἑπτα-
399 κόσια στάδια) Μίλια μη. Ἀντανε-
400 λεῖν) Ἀνταναιρεῖσθαι. Φιλανθρω-
πίας) Τουτέστι διὰ τὸ φιλανθρωπεύε-
σθαι πρὸς ὑμᾶς ἐκεῖνον, ὅτι παρ' ἡ-
μῶν παρ' ἐκείνου ζητοῦντες. Περι-
401 βαλλόμενος) Μηχανὴν περιτιθεὶς πε-
ρὶ τὰ λοιπὰ τῶν πραγμάτων. Γέ-
γονε) Ἤγουν αὔξησιν ἔλαβον. Ἀλλ'
ἐπ' αὐτῶν τῶν ἔργων) Ἀλλ' ἔξω τοῦ δέ-
οντος ἐκίνησαν. Σκόπει) Ἀθρόει.

κατηγορεῖν, * ὃ πολλὰ ἔπραττε. τότε δ' αὐτὸ τὸ πρᾶ-
γμα ἀνεκρίνετο ἀφ' ἑαυτοῦ πρὶν καὶ τούτων προλα-
βεῖν. ἀλλ' οὐκ ἦν οἶμαι τότε, ἃ νυνὶ ποιεῖς ἐκ παλαι-
393 ῶν χρόνων, καὶ ψηφισμάτων πολλῶν ἐκλέξαντα, ἃ
μήτε προῄδει μηδεὶς, μήτ' ἂν ᾠήθη τήμερον ῥηθῆ-
ναι, διαβάλλειν. καὶ μετενεγκόντα τοὺς χρόνους, καὶ προφά-
σεις ἀντὶ τῶν ἀληθῶν ψευδεῖς μεταθέντα τοῖς πεπραγ-
μένοις, δοκεῖν τι λέγειν. Οὐκ ἦν τότε ταῦτα, ἀλλ' ἐ-
394 π' αὐτῆς * ἀληθείας ἐγγὺς οὔσης, τῶν ἔργων ἔτι με-
μνημένων ὑμῶν, καὶ μόνον οὐκ ἐν ταῖς χερσὶν ἕκαστα ἐ-
χόντων, πάντες ἐγίγνοντ' ἂν οἱ λόγοι. διόπερ τοὺς παρ'
αὐτὰ τὰ πράγματα ἐλέγχους φυγὼν, νῦν ὕστερον ἥ-
κει, ῥητόρων ἀγῶνα νομίζων ὥς γέ μοι δοκεῖ, καὶ οὐχὶ τῶν
395 πεπολιτευμένων ἐξέτασιν ποιήσειν ὑμᾶς ὑπολαμ-
βάνων, καὶ λόγου κρίσιν, οὐ τοῦ τῇ πόλει συμφέροντος
ἔσεσθαι. εἶτα σοφίζεται, καί φησι προσήκειν, ἣν μὲν οἴ-
κοθεν ἥκετ' ἔχοντες δόξαν περὶ ἡμῶν ἀμελῆσαι. ὥσπερ
δ' ὅταν οἰόμενοι περιεῖναι χρήματά τῳ λογίζησθε,
396 ἂν καθαραὶ ὦσιν αἱ ψῆφοι, καὶ μηδὲν περιῇ, συγχω-
ρεῖτε, οὕτω καὶ νῦν τοῖς ἐκ τοῦ λόγου φαινομένοις προσ-
θέσθαι. θεάσασθε τοίνυν ὡς σαθρὸν ὡς ἔοικεν ἐστὶ φύ-
σει, πᾶν ὅ, τι ἂν μὴ δικαίως ᾖ πεπραγμένον. ἐκ γὰρ αὐτοῦ τοῦ σοφοῦ τούτου παρα-
397 δείγματος, ὡμολόγηκε νυνὶ ὑμᾶς ὑπάρχειν ἐγνωσμένους, ἐμὲ μὲν λέγειν ὑπὲρ τῆς
πατρίδος, αὐτὸν δ' ὑπὲρ Φιλίππου. οὐ γὰρ ἂν μεταπείθειν ὑμᾶς ἐζήτει, μὴ τοιαύ-
της οὔσης τῆς ὑπαρχούσης ὑπολήψεως περὶ ἑκατέρου. καὶ μὴν ὅτι γε οὐ δίκαια
λέγει μεταθέσθαι ταύτην τὴν δόξαν ἀξιῶν ὑμᾶς, ἐγὼ διδάξω ῥᾳδίως. οὐ τιθεὶς ψή-
398 φους. οὐ γάρ ἐστιν ὁ τῶν πραγμάτων οὗτος λογισμός· ἀλλ' ἀναμιμνήσκων ἕκαστα
ἐν βραχέσι, λογισταῖς ἅμα καὶ μάρτυσι τοῖς ἀκούουσιν ὑμῖν χρώμενος. ἡ γὰρ ἐμὴ πο-
λιτεία, ἧς οὗτος κατηγορεῖ, ἀντὶ μὲν τοῦ Θηβαίους μετὰ Φιλίππου συνεμβαλεῖν εἰς τὴν
χώραν, ὃ πάντες ᾤοντο ἔσεσθαι, μεθ' ἡμῶν παραταξαμένους, ἐκεῖνον κωλύειν ἐποίη-
399 σεν. ἀντὶ δὲ τοῦ, ἐν τῇ Ἀττικῇ τὸν πόλεμον εἶναι, ἑπτακόσια στάδια ἀπὸ τῆς πόλεως, ἐπὶ
τοῖς Βοιωτῶν ὁρίοις γενέσθαι. ἀντὶ δὲ τοῦ, τοὺς λῃστὰς ἡμᾶς φέρειν καὶ ἄγειν ἐκ τῆς Εὐ-
βοίας, ἐν εἰρήνῃ τὴν Ἀττικὴν ἐκ θαλάττης εἶναι πάντα τὸν πόλεμον. ἀντὶ δὲ τοῦ, τὸν Ἑλ-
λήσποντον ἔχειν Φίλιππον λαβόντα Βυζάντιον, συμπολεμεῖν τοὺς Βυζαντίους μεθ' ἡ-
400 μῶν πρὸς ἐκεῖνον *. ἆρά σοι ψήφοις ὅμοιος ὁ τῶν ἔργων λογισμὸς φαίνεται, ἢ δεῖν ἀν-
τανελεῖν ταῦτα, ἀλλ' οὐχ ὅπως τὸν ἅπαντα χρόνον μνημονευθήσεται σκέψασθαι. καὶ
οὐκ ἔτι προστίθημι, ὅτι τῆς μὲν ὠμότητος, ἣν ἐν οἷς καθάπαξ τινῶν κύριος κατέ-
στη Φίλιππος, ἔστιν ἰδεῖν, ἑτέροις πειραθῆναι συνέβη. τῆς δὲ φιλανθρωπίας, ἣν
401 τὰ λοιπὰ τῶν πραγμάτων ἐκεῖνος περιβαλλόμενος πρὸς ὑμᾶς ἐπλάττετο, ὑμεῖς
καλῶς ποιοῦντες τοὺς καρποὺς κεκόμισθε. ἀλλ' ἐῶ ταῦτα. καὶ μὴν οὐδὲ τοῦτο εἰ-
πεῖν ὀκνήσω, ὅτι ὁ τὸν ῥήτορα βουλόμενος δικαίως ἐξετάζειν, καὶ μὴ συκοφαντεῖν, οὐκ
ἂν οἷα σὺ νῦν ἔλεγες, τοιαῦτα κατηγόρει, παραδείγματα πλάττων, καὶ ῥήματα, καὶ
σχήματα,

*ἣ ε.
ἐφ' α.
ὑφ' ε.
προσλαβεῖν
α.
λαβεῖν. η.
*τῆς. α. ζ.
α.
α.
α.
ὥστε μοι. α.
α. η.
λόγου. α. β. η.
ἧκατ'. η.
ἀναλογίζησθε. ζ.
προσθέσθαι.
α.
προσεῖναι
ζ.
α.
ἐγνωκότας. ζ.
α.
συνεισβαλεῖν
α. ε. ζ. η.
α.
συμπαραταξαμένους α. η.
ἀττικῆς. ε.
ἀπὸ. ε. η.
*ἐπίνοια. α.
ε. η.

χρήματα μιμούμενος. πολὺ γὰρ παρὰ τοῦτο οὐχ ὁρᾷς 401
γέγονε τὰ τῶν ἑλλήνων πράγματα, εἰ τουτὶ τὸ ῥῆ-
μα, ἀλλὰ μὴ τουτὶ διελέχθην ἐγώ. ἢ δευρὶ τὴν χεῖ-
ρα, ἀλλὰ μὴ δευρὶ παρήνεγκα. ἀλλ᾽ ἐπ᾽ αὐτῶν τῶν
ἔργων μὲν ἐσκόπει, τίνας εἶχεν ἀφορμὰς ἡ πόλις, καὶ τί-
νας δυνάμεις, ὅτ᾽ εἰς τὰ πράγματα εἰσῄει, καὶ τί- 403
νας συνήγαγον αὐτῇ μετὰ ταῦτ᾽ ἐπιστὰς ἐγώ. καὶ πῶς
εἶχε τὰ τῶν ἐναντίων. εἶτ᾽ εἰ μὲν ἐλάττους ἐποίησα
τὰς δυνάμεις, παρ᾽ ἐμοὶ τἀδίκημ᾽ ἂν ἐδείκνυες ὄν.
εἰ δὲ πολλῷ μείζους, οὐκ ἂν ἐσυκοφάντεις. ἐπειδὴ δὲ
σὺ τοῦτο πέφευγας, ἐγὼ ποιήσω. καὶ σκοπεῖτε εἰ δι- 404
καίως χρήσομαι τῷ λόγῳ. δύναμιν μὲν τοίνυν εἶχεν
ἡ πόλις τοὺς νησιώτας, οὐχ ἅπαντας, ἀλλὰ τοὺς ἀ-
σθενεστάτους. οὔτε γὰρ χίος, οὔτε ῥόδος, οὔτε κέρκυρα μεθ᾽
ἡμῶν ἦν. χρημάτων δὲ σύνταξιν εἰς πέντε καὶ τετταρ-
άκοντα τάλαντα. καὶ ταῦτ᾽ ἦν προεξειλεγμένα. ὁ- 405
πλίτην δὲ, ἢ ἱππέα, πλὴν τῶν οἰκείων, οὐδένα. ὃ δὲ
πάντων καὶ φοβερώτατον καὶ μάλισθ᾽ ὑπὲρ τῶν ἐχθρῶν, οὗτοι παρεσκευάκει-
σαν τοὺς περιχώρους πάντας, ἔχθρας ἢ φιλίας ἐγγυτέρω, μεγαρέας, θηβαίους, εὐβοέ-
ας.* τὰ μὲν τῆς πόλεως, οὕτως ὑπῆρχεν ἔχοντα. καὶ οὐδεὶς ἂν ἔχοι παρὰ ταῦτ᾽ εἰ- 406
πεῖν ἄλλο οὐδέν. τὰ δὲ τοῦ φιλίππου πρὸς ὃν ἦν ἡμῖν ὁ ἀγών, σκέψασθε πῶς. πρῶ-
τον μὲν ἦρχε τῶν ἀκολουθούντων αὐτὸς αὐτοκράτωρ* τῶν εἰς τὸν πόλεμον* μέγιστόν
ἐστιν ἁπάντων. εἶθ᾽ οὗτοι τὰ ὅπλα εἶχον ἐν ταῖς χερσὶν ἀεί. ἔπειτα χρημάτων εὐπό-
ρει, καὶ ἔπραττεν ἃ δόξειεν αὐτῷ. οὐ προλέγων ἐν τοῖς ψηφίσμασιν, οὐδ᾽ ἐν τῷ φα- 407
νερῷ βουλευόμενος, οὐδ᾽ ὑπὸ τῶν συκοφαντούντων κρινόμενος, οὐδὲ γραφὰς φεύ-
γων παρανόμων, οὐδ᾽ ὑπεύθυνος ὢν οὐδενί. ἀλλ᾽ ἁπλῶς αὐτὸς δεσπότης, ἡγεμών,
κύριος πάντων. ἐγὼ δ᾽ ὁ πρὸς τοῦτον ἀντιτεταγμένος, καὶ γὰρ τοῦτ᾽ ἐξετάσαι δίκαι-
ον, τίνος κύριος ἦν, οὐδενός. αὐτὸ γὰρ τὸ δημηγορεῖν πρῶτον, οὗ μόνου μετεῖχον ἐγώ, 408
ἐξ ἴσου προυτίθετε ὑμεῖς, τοῖς παρ᾽ ἐκείνου μισθαρνοῦσι καὶ ἐμοί, καὶ ὅσα οὗτοι περιγέ-
νοιντο ἐμοῦ, πολλὰ δ᾽ ἐγίγνετο τοιαῦτα, δι᾽ ἣν ἕκαστον τύχοι πρόφασιν, ταῦθ᾽ ὑ-
πὲρ τῶν ἐχθρῶν ἀπῆτε βεβουλευμένοι. ἀλλ᾽ ὅμως ἐκ τοιούτων ἐγὼ ἐλαττωμάτων,
συμμάχους μὲν ὑμῖν ἐποίησα, εὐβοέας, ἀχαιούς, κορινθίους, θηβαίους, μεγαρέας, 409
λευκαδίους, κερκυραίους. ἀφ᾽ ὧν μύριοι μὲν καὶ πεντακισχίλιοι ξένοι, δισχίλιοι δὲ ἱππεῖς
ἄνευ τῶν πολιτικῶν δυνάμεων συνήχθησαν. χρημάτων δὲ ὅσων ἠδυνήθην, ἐγὼ πλεί-
στην συντέλειαν ἐποίησα. εἰ δὲ λέγεις ἢ τὰ πρὸς θηβαίους δίκαια, αἰσχίνη, ἢ τὰ πρὸς
βυζαντίους, ἢ τὰ πρὸς εὐβοέας, ἢ περὶ τῶν ἴσων νυνὶ διαλέγῃ, πρῶτον μὲν ἀγνοεῖς, 410
ὅτι καὶ πρότερον τῶν ὑπὲρ τῶν ἑλλήνων ἐκείνων ἀγωνισαμένων τριήρων, τριακοσί-
ων οὐσῶν τῶν πασῶν, τὰς διακοσίας ἡ πόλις παρέσχετο, καὶ οὐκ ἐλαττοῦσθαι νομίζουσα, οὐδὲ
κρίνουσα τοὺς ταῦτα συμβουλεύσαντας, οὐδὲ ἀγανακτοῦσα ἐπὶ τούτοις ἑωρᾶτο. αἰσχρὸν
γάρ. ἀλλὰ τοῖς θεοῖς ἔχουσα χάριν, εἰ κοινοῦ κινδύνου τοῖς ἕλλησι περιστάντος, αὐτὴ δι- 411
πλάσια τῶν ἄλλων εἰς τὴν ἁπάντων σωτηρίαν παρέσχετο. εἶτα κενὰς χαρίζῃ χά-
ριτας τουτοισί, συκοφαντῶν ἐμέ. τί γὰρ νῦν λέγεις οἷα ἐχρῆν πράττειν, ἀλλ᾽ οὐ τότ᾽

ζετο ὁ βουλόμενος ἐξετάζειν ἐμέ.
Ἐπιστὰς ἐγώ) Ἐπιστάτης γενόμενος τοῖς πράγμασι. Πέφευγας) Τὸ τὰ πράγματα ἐξετάζειν. Δικαίως) Μετρίως. Σύνταξιν) Συγκρότησιν. Προεξειλεγμένα) Προαπαιτηθέντα. Οἰκείων) Ἐγχωρίων. Παρεσκευάκεισαν) Ἡτοίμασαν. Ἐγγυτέρω) Εἶναι δηλαδή. Οὗτοι) Οἱ περὶ τὸν φίλιππον. Ἔπραττεν) Ἐκεῖνος. Προλέγων) Τὸν πόλεμον.
Φεύγων) Κατηγορούμενος. Ἁπλῶς) Καθολικῶς εἰπεῖν. Τοῦτον) Τὸν φίλιππον. Περιγένοιντο) Κρείττονες ἐγένοντο. Τύχοι πρόφασιν) Διὰ τὴν τυχοῦσαν πρόφασιν. Ἀφ᾽ ὧν) Ἐξ ὧν δηλονότι. Συντέλειαν) Συνεισφοράν. Εἰ δὲ λέγεις) Ὅτι δίκαιον ἦν κἀκεῖνο ὡς τὴν αὐτὴν παρασκευὴν ἡμῖν ποιῆσαι. Ἐλαττοῦσθαι) Ἐλάττωσιν ἔχειν αὐτὴν πρὸς ἑαυτήν.
Τί γὰρ νῦν λέγεις) Διαφορεῖται ἡ ἀνάγνωσις· ἄλλως γὰρ ἀναγινώσκεται, στιγμῆς ἐν τῷ λέγειν μεσπιπτού-

διαζ. α.
σκόπει. ε.
εἰσῄειν α. ε. η.
τὰ ἀδικήματα α.
ἐσυκοφάντει. α. β.
α. η.
παρεσκευάσαν. α. η.
ἅπαντας. α. ε.
*ὃ. α. ε. η.
ὑπῆρχε. α.
*ὢν. α. β. ε. η.
*ὅ. α. β. ε. ζ. η.
ἁπάντων. α. ε. η.
τριήρων. α. ε. η.
πολέμου. η.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σις, τὰ ἄλλοις ἐν μόνῳ τῷ περιέπειν
411 πτωμένης. Ενεδέχετο) Δυνατὸν ἦν
412 εἰπεῖν. Γροσθήσων) Δώσων ἐκείνοις.
413 Ετοιμος) Φίλιππος. Ακριβολο-
γουμένου) Ακριβῶς περὶ τούτων ἐξετά-
ζοντος τῶν δικαίων. Απῆλθον) Αφ'
ἡμῶν. Εξεδόθησαν) Υπ' ἐμοῦ πα-
414 ρεδόθησαν. Απηλάθησαν) Υφ'
ὑμῶν. Ομορος) Πλησιόχωρος.
Βάσκανον) Μεμψίμοιρον. Κίναι-
415 δος) Αναιδὴς καὶ ἀναισχύντως ὁ αἰσχί-
νης. πραγματικὴ ἡ σύνταξις· μαλ-
θακός, ἀνδρόγυνος, βδελυρός.
Εξ ἀρχῆς) Αφ' οὗ ἤρξατο πολιτεύ-
416 εσθαι. Ελεύθερον) Πεπαρρησιασμέ-
νον. Αὐτοτραγικὸς πίθηκος) Οἴκο-
θεν καὶ ἀφ' ἑαυτοῦ ἔχει τὸ πιθηκίζεσθαι.
Κάμνουσι) Νοσοῦσι. Τὰ νομι-
ζόμενα) Τὰ κατὰ νόμους φερόμενα τοῖς
417 ἐχθροῖς· Γαυριᾷς) Αλαζονεύῃ.
Τῶν παρ' ἐμοί) Πολιτευμάτων δη-
λονότι. Λογίζεσθε) Ως ῥηθήσεται δηλα-
418 δή. Τῷ λόγῳ) Τῷ ἐμῷ δηλονότι.
Κατεστρέφετο) Εκεῖνος δηλαδή.
419 Μαλακίαν) Χαύνωσιν. Τοῖς λόγοις)
Κύριος ὤν. Σκαιὸς) Απαίδευτος.
410 Οὐ παραιτοῦμαι) Οὐκ ἀθετῶ. Τί-
να οὖν ἐστι ταῦτα) Ων εἰμὶ ὑπεύθυνος.
421 Οκνους) Αναβολάς. Αναγκαῖα)
Φυσικά. Ελάχιστον) Ολιγώτερον.

ὧν ἐν τῇ πόλει, καὶ πρὸ τῶν ταῦτ' ἔγραφες, εἶτα πρὸς ἐλέ-
412 γετο παρὰ τοὺς πρώτους καιρούς· ἐν οἷς οὐχ ὅσα ἐβουλόμεθα. η.
ἂν βουλοίμεθα, ἀλλ' ὅσα δεῖ τὰ πράγματα, ἔδει δέ-
χεσθαι. ὁ γὰρ ἀντωνούμενος καὶ ταχὺ τοὺς παρ' ἡμῶν ἀ-
πελαυνομένους προσδεξόμενος καὶ χρήματα προσ- προσδεξάμενος. η.
θήσων, ὑπῆρχεν ἕτοιμος. ἀλλ' εἰ νῦν ἐπὶ τοῖς πεπραγ-
413 μένοις κατηγορίας ἔχω, τί ἂν οἴεσθε, εἴ ποτ' ἐμοῦ περὶ εἴ ποτε α. ε.
τούτων ἀκριβολογουμένου, ἀπῆλθον αἱ πόλεις καὶ προ-
σέθεντο Φιλίππῳ, καὶ ἅμα Εὐβοίας, καὶ Θηβῶν, καὶ Βυ-
ζαντίου κύριος κατέστη, τί ποιεῖν ἄν, ἢ τί οἴεσθε λέγειν τοὺς
ἀσεβεῖς ἀνθρώπους τουτουσί; οὐχ ὡς ἐξεδόθησαν; οὐχ
414 ὡς ἀπηλάθησαν, βουλόμενοι μεθ' ἡμῶν εἶναι; εἶτα τοῦ καὶ. ζ.
μὲν Ἑλλησπόντου διὰ Βυζαντίων ἐγκρατὴς καθέστηκε, καὶ κατέστη Φι-
τῆς σιτοπομπίας τῆς τῶν Ἑλλήνων κύριος γέγονε. πό- λιππος. ε. η. σιτοπομπία
λεμος δ' ὅμορος καὶ βαρὺς εἰς τὴν Ἀττικὴν διὰ Θηβαί- α ε η.
ων κεκόμισται. ἄπλους δ' ἡ θάλαττα ὑπὸ τῶν ἐκ τῆς α.
415 Εὐβοίας ὁρμωμένων λῃστῶν γέγονεν. οὐκ ἂν ταῦτ' ἔλε-
γον, καὶ πολλά γε πρὸς τούτοις ἕτερα. πονηρόν, ὦ ἄν-
δρες Ἀθηναῖοι, πονηρὸν ὁ συκοφάντης ἀεί, καὶ πάντα-
χόθεν βάσκανον καὶ φιλαίτιον, τοῦτο δὲ καὶ φύσει κίνα- κίναιδος. η.
δος τἀνθρώπιόν ἐστιν, οὐδὲν ἐξ ἀρχῆς ὑγιὲς πεποιηκός, ε.
416 οὐδ' ἐλεύθερον. αὐτοτραγικὸς πίθηκος, ἀρουραῖος Οἰνόμαος, παράσημος ῥήτωρ. τί γὰρ ἀεί. α. ε. η.
ἡ σὴ δεινότης εἰς ὄνησιν ἥκει τῇ πατρίδι; νῦν ἡμῖν λέγεις ὑπὲρ τῶν παρεληλυθότων;
ὥσπερ ἂν εἴ τις ἰατρός, ἀσθενοῦσι μὲν τοῖς κάμνουσιν εἰσιών, μὴ λέγοι μηδὲ δεικνύοι,
δι' ὧν ἀποφεύξονται τὴν νόσον. ἐπειδὴ δὲ τελευτήσειέ τις αὐτῶν, καὶ τὰ νομιζόμενα αὐ- ἐπειδάν. α.
417 τῷ φέροιτο, ἀκολουθῶν ἐπὶ τὸ μνῆμα, διεξίοι· εἰ τό, καὶ τὸ ἐποίησεν ἄνθρωπος οὑτοσί, διεξίει α.
οὐκ ἂν ἀπέθανεν. ἐμβρόντητε, εἶτα νῦν λέγεις; οὐ τοίνυν οὐδὲ τὴν ἧτταν εἰ ταύτῃ γαυ- παρ' ἐμοῦ. ε.
ριᾷς, ἐφ' ᾗ στένειν σε, ὦ κατάρατε, προσῆκεν, ἐν οὐδενὶ τῶν παρ' ἐμοὶ γεγονυῖαν εὑρή- ὅποι α. ε.
σετε τῇ πόλει. οὑτωσὶ δὲ λογίζεσθε. οὐδαμοῦ πώποτε ὅπου πρεσβευτὴς ἐπέμφθην ἐξεπέμφθη α. η.
418 ὑφ' ὑμῶν ἐγώ, ἡττηθεὶς ἀπῆλθον τῶν παρὰ Φιλίππου πρέσβεων, οὐκ ἐκ Θετταλί- παρ. η.
ας, οὐδ' ἐξ Ἀμβρακίας· οὐκ ἐξ Ἰλλυριῶν, οὐ παρὰ τῶν Θρᾳκῶν βασιλέων, οὐκ
ἐκ Βυζαντίου, οὐκ ἄλλοθεν οὐδαμόθεν. οὐ τὰ τελευταῖα πρώην ἐκ Θηβῶν, ἀλλ' νῦν. α.
ἐν οἷς κρατηθεῖεν οἱ πρέσβεις αὐτοῦ τῷ λόγῳ, ταῦτα τοῖς ὅπλοις ἐπιὼν κατεστρέφε-
419 το. ταῦτ' οὖν ἀπαιτεῖς παρ' ἐμοῦ, καὶ οὐκ αἰσχύνῃ τὸν αὐτὸν εἴς τε μαλακίαν σκώ- γενῆσθαι.
πτων, καὶ τῆς τοῦ Φιλίππου δυνάμεως ἀξιῶν ἕνα ὄντα κρείττω γενέσθαι; καὶ ταῦ-
τα τοῖς λόγοις· τίνος γὰρ ἄλλου κύριος ἦν ἐγώ; οὐ γὰρ τῆς γε ἑκάστου ψυχῆς, οὐδὲ τῆς τύ-
χης τῶν παραταξαμένων, οὐδὲ τῆς στρατηγίας, ἧς ἐμὲ ἀπαιτεῖς εὐθύνας, οὕτω σκαι-
420 ὸς εἶ. ἀλλὰ μήν, ὧν γ' ἂν ὁ ῥήτωρ ὑπεύθυνος εἴη, πᾶσαν ἐξέτασιν λάμβανε. οὐ πα-
ραιτοῦμαι. τίνα οὖν ἐστι ταῦτα; ἰδεῖν τὰ πράγματα ἀρχόμενα, καὶ προαισθέσθαι,
καὶ προειπεῖν τοῖς ἄλλοις, ταῦτα πέπρακταί μοι. καὶ ἔτι τὰς ἑκασταχοῦ βραδυτῆ-
τας, ὄκνους, ἀγνοίας, φιλονεικίας, ἃ πολιτικὰ ταῖς πόλεσι πρόσεστιν ἁπάσαις, καὶ ἀ-
421 ναγκαῖα ἁμαρτήματα, ταῦθ' ὡς εἰς ἐλάχιστα συστεῖλαι, καὶ τοὐναντίον εἰς ὁμόνοι-
αν καὶ

...Η ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

[illegible] ἀλλὰ καὶ φιλίαν*, καὶ τοῦ τὰ δέοντα ποιεῖν ὁρμὴν προ-
τρέψαι. καὶ ταῦτά μοι πάντα πεποίηται, καὶ οὐδεὶς μή-
ποτε ἀνθρώπων εὕρῃ τὸ κατ᾽ ἐμὲ οὐδὲν ἐλλειφθέν.
εἰ τοίνυν τις ὁντινοῦν ἔροιτο, τίσι τὰ πλεῖστα Φίλιπ-
πος ὧν κατέπραξε διῳκήσατο, πάντες ἂν εἴποιεν 422
τῷ στρατοπέδῳ, καὶ τῷ διδόναι, καὶ τῷ διαφθείρειν τοὺς
*δυναμένων. η. ἐπὶ τῶν πραγμάτων. οὐκοῦν, τῶν μὲν *δυνάμεων,
οὔτε κύριος, οὔθ᾽ ἡγεμὼν ἦν ἐγώ. ὥστε οὐδὲ ὁ λόγος
τῶν κατὰ ταῦτα πραχθέντων, πρὸς ἐμέ. καὶ μὴν, τῷ
γε μὴ διαφθαρῆναι χρήμασιν, ἢ μὴ, κεκράτηκα 423
Φιλίππου. ὥσπερ γὰρ ὁ ὠνούμενος νενίκηκε τὸν λαβόντα
ἐὰν πρίηται, οὕτως ὁ μὴ λαβὼν, μηδὲ διαφθαρεὶς,
νενίκηκε τὸν ὠνούμενον. ὥστε ἀήττητος ἡ πόλις τὸ κατ᾽ ἐ-
μέ. ἃ μὲν τοίνυν ἐγὼ παρεσχόμην εἰς τὸ δικαίως τοι-
αῦτα γράφειν τουτονὶ περὶ ἐμοῦ, πρὸς πολλοῖς ἑτέ- 424
ροις, ταῦτα καὶ παραπλήσια τούτοις ἐστίν. ἃ δ᾽ οἱ πάν-
τες ὑμεῖς ἴστε, ταῦτα ἤδη λέξω. μετὰ γὰρ τὴν μάχην
εὐθὺς ὁ δῆμος, εἰδὼς καὶ ἑορακὼς πάντα ὅσα ἔπραττον
ἐγὼ ἐν αὐτοῖς τοῖς δεινοῖς καὶ φοβεροῖς ἐμβεβηκώς,

Προτρέψαι) Παρακινῆσαι. Κατ᾽ ἐ- 421
μὲ) Ὅσον τὸ εἰς ἐμὲ ἧκον. Τίσι)
Διὰ τίνων ὀργάνων.
Διδόναι) Ἤγουν χρήματα. Δια- 422
φθείρειν) Δωροδοκεῖν τοὺς ῥήτορας.
Ὁ λόγος) Ἡ ἀπολογία. Λαβὼν)
Τὰ χρήματα. Κατ᾽ ἐμὲ) Κατὰ 423
τὴν δύναμιν ἐμοῦ. Ὠνούμενον)
Τὸν δῶρα διδόντα. Τουτονὶ) Τὸν
κτησιφῶντα. Τὰς ἐμὰς γνώμας) 424
Τὰ ἐμὰ ψηφίσματα. Φυλακῆς) 425
Τῆς τηρήσεως τῆς πόλεως. Σιτώ-
νην) Ἀγοράζοντα σῖτον. Συστάν-
των) Συναθροισθέντων. Γραφὰς) 426
Κατηγορίας. Δι᾽ ἑαυτῶν) Αὐτο-
προσώπως. Ἀπείρατον) Ἀπρόσ- 427
βλητον. Τὰ εὔορκα) Ἀληθῆ, δί-
καια. Ἀπεψηφίζεσθέ μου) Ἤγουν ἀ- 428
πεκρύσασθε τὴν ψῆφον δι᾽ ἐμὲ, ἀθῷ-
όν με ἐποιεῖτε ταῖς ψήφοις. Οὐχ ὃ 429
τὸν δῆμον) Ἐπαναφορὰ κατὰ κῶλον.
Μηδεμίαν γραφὴν φυγεῖν) Τὸ μη- 430
δ᾽ ὅλως κατηγορηθῆναι, ἤγουν ἴ-
σως ἐστὶ, τῷ μηδ᾽ ὅλως φυγόντι.
Ἀλλὰ τί μᾶλλον) Ἀντὶ τοῦ οὐδὲν μᾶλ-
λον. Φυγὼν) Ἐγὼ κατηγορηθείς.

ἡνίκα οὐδὲ ἀγνωμονῆσαί τι θαυμαστὸν ἦν τοὺς πολλοὺς πρὸς ἐμέ· πρῶτον μὲν 425
*βουλομένοις. ε. ζ. η. περὶ σωτηρίας τῆς πόλεως*, τὰς ἐμὰς γνώμας ἐχειροτόνει. καὶ πάνθ᾽ ὅσα τῆς φυλα-
κῆς ἕνεκα ἐπράττετο, ἡ διάταξις τῶν φυλάκων, αἱ τάφροι, τὰ εἰς τὰ τείχη χρή-
ματα, διὰ τῶν ἐμῶν ψηφισμάτων ἐγίνετο. ἔπειτα αἱρούμενος σιτώνην ἐκ πάντων
ἐμὲ ἐχειροτόνησεν ὁ δῆμος. καὶ μετὰ ταῦτα συστάντων οἷς ἦν ἐπιμελὲς κακῶς ἐμὲ ποι- 426
εῖν, καὶ γραφὰς, εὐθύνας, εἰσαγγελίας, πάντα ταῦτα ἐπαγόντων μοι, οὐ δι᾽ ἑαυτῶν τό
γε πρῶτον, ἀλλὰ δι᾽ ὧν μάλιστα ὑπελάμβανον ἀγνοηθήσεσθαι. ἴστε γὰρ δήπου καὶ μέ-
*σχεδὸν τὴν. α. ε. ζ. η. μνησθε, ὅτι τοὺς πρώτους χρόνους, κατὰ ἑκάστην *ἡμέραν ἐκρινόμην ἐγὼ, καὶ οὔτε ἀ-
πόνοια Σωσικλέους, οὔτε συκοφαντία Φιλοκράτους, οὔτε Διώνδου, καὶ *Μελάντου μα- 427
*μελάνθου. α. ε. η. νία, οὔτ᾽ ἄλλο οὐδὲν, ἀπείρατον ἦν τούτοις κατ᾽ ἐμοῦ. ἐν τοίνυν τούτοις πᾶσι, μά-
*α. ε. η. λιστα μὲν διὰ τοὺς θεοὺς, δεύτερον δὲ δι᾽ ὑμᾶς, καὶ τοὺς *ἄλλους *ἅπαντας Ἀθηναίους,
*α. ε. η. ἐσωζόμην δικαίως. τοῦτο γὰρ καὶ ἀληθές ἐστι, καὶ ὑπὲρ τῶν ὀμωμοκότων, καὶ *ὑπὲρ
*διαγνόντων. ζ. τῶν τὰ εὔορκα *γνόντων δικαστῶν. οὐκοῦν ἐν μὲν οἷς εἰσηγγελλόμην ὅτε ἀπεψηφί- 428
ζεσθέ μου καὶ τὸ πέμπτον μέρος τῶν ψήφων τοῖς διώκουσιν οὐ μετεδίδοτε, τότ᾽ ἐψη-
φίζεσθε τὰ ἄριστά με πράττειν. ἐν οἷς δὲ τὰς γραφὰς ἀπέφυγον, ἔννομα καὶ γρά-
φειν καὶ λέγειν ἀπεδεικνύμην. ἐν οἷς δὲ τὰς εὐθύνας ἐπεσημαίνεσθε, δικαίως καὶ ἀ-
δωροδοκήτως πάντα πεπρᾶχθαί μοι προσωμολογεῖτε. τούτων οὖν οὕτως 429
*θέσθαι. α. ἐχόντων, τί προσῆκον ἢ τί δίκαιον ἦν τοῖς ὑπ᾽ ἐμοῦ πεπραγμένοις *θέσθαι
τὸν Κτησιφῶντα ὄνομα, οὐχ ὃ τὸν δῆμον ἑώρα τιθέμενον; οὐχ ὃ τοὺς ὀμωμοκό-
τας δικαστάς; οὐχ ὃ τὴν ἀλήθειαν παρὰ πᾶσι βεβαιοῦσαν; ναί φησιν. ἀλλὰ
*φεύγειν. α. τὸ τοῦ Κεφάλου καλὸν, τὸ μηδεμίαν γραφὴν *φυγεῖν; καὶ νὴ Δί᾽ εὔδαιμόν γε. ἀλλὰ 430
*φεύγων. α. τί μᾶλλον, ὁ πολλάκις μὲν *φυγὼν, μηδεπώποτε δ᾽ ἐξελεγχθεὶς ἀδικῶν, ἐν ἐγ-
κλήματι γίγνοιτ᾽ ἂν διὰ τοῦτο δικαίως; καίτοι πρός γε τοῦτον, ἄνδρες Ἀθηναῖοι,

430 Τοῦτον) Τὸν αἰσχίνην. Ἐγράψα-
431 τό με) Ὁ αἰσχίνης. Ἀγνωμοσύνην) Ἀκρισίαν. Τύχην προφέρει) Τὰ τυχηρὰ συμπτώματα ὀνειδίζει. Θε-
433 ωρήσατε) Ἐξετάσατε. Ἀνθρωπινώτερον) Ὅσον ἁρμόζει εἰς ἀνθρωπίνην φύσιν.
434 Ἐπέχει) Κρατεῖ. Προσ-
415 κροῦσαι) Πταῖσαι. Μέρος μετειληφέναι) Ἤγουν μετέχομεν καὶ ἡμεῖς τῆς ἐναντίας τύχης ἐκ μέρους. Ἰδίαν τύχην) Τὴν μερικὴν δυστυχίαν. Νο-
4 6 μίζω δὲ) Ὅμοιον τῷ καὶ ὡς ἐμαυτὸν πείθω λίαν ὀρθῶς. Κυριωτέραν) Ἰσχυροτέραν. Ψυχρότητα) Ἀναι-
437 σθησίαν. Προπηλακίζει) Φανερῶς ὑ-
438 βρίζει. Χαλεποῦ) Τοῦ ἐπικειμένου. Ἐνόντων) Δυνατῶν. Ὑπῆρξεν) Ἐγένετο. Τὰ προσήκοντα) Ἁρ-
439 μόδια. Τούτοις) Τοῖς προϋπηργμένοις. Ἀπολείπεσθαι) Ἀμοιρεῖν.
Χρήσιμον) Λυσιτελῆ. Πρὸς τὰ κοινὰ προσῆλθον) Ἡψάμην τῶν πολιτικῶν πραγμάτων δηλαδή. Τοὺς
440 ἐχθροὺς) Τοὺς κατὰ σὲ τὸν αἰσχίνην. Συμβεβίωκα) Συνεκληρώθην κατὰ τὸν βίον. Σεμνὸς ἀνήρ) Εἰρωνικῶς.

καὶ τὸ τὴν κεφαλὴν καλὸν εἰπεῖν ἐστί μοι. οὐδεμίαν γὰρ πώ-
ποτ᾽ ἐγράψατό με, οὐδ᾽ ἐδίωξε γραφήν· ὥστε ὑπὸ
431 σοῦ γε ὡμολόγημαι μηδὲν εἶναι τοῦ Κεφάλου χείρων πο-
λίτης. πολλαχόθεν μὲν τοίνυν ἄν τις ἴδοι τὴν ἀγνω-
μοσύνην αὐτοῦ καὶ τὴν βασκανίαν. οὐχ ἥκιστα δ᾽ ἀφ᾽ ὧν
περὶ τῆς τύχης διελέχθη. ἐγὼ δ᾽ ὅλως μὲν ὅστις ἄν- διηλέχθη. β.
θρωπος ὤν, ἀνθρώπῳ τύχην προφέρει, πάντε-
432 λῶς ἀνόητον ἡγοῦμαι* ἣν γὰρ ὁ τὰ βέλτιστα πράττειν * καὶ ἀπαίδευτον. α.
νομίζων καὶ ἀρίστην ἔχειν οἰόμενος, οὐκ οἶδεν εἰ μενεῖ
τοιαύτη μέχρι τῆς ἑσπέρας, πῶς χρὴ περὶ ταύτης
λέγειν, ἢ πῶς ὀνειδίζειν ἑτέρῳ. ἐπειδὴ δ᾽ οὗτος πρὸς
πολλοῖς ἄλλοις καὶ περὶ τούτων ὑπερηφάνως κέχρηται ὑπερηφανῶς. α.
433 τῷ λόγῳ, σκέψασθε ὦ ἄνδρες Ἀθηναῖοι καὶ θεωρή- α.
σατε, ὅσῳ καὶ ἀληθέστερον καὶ ἀνθρωπινώτερον ἐγὼ πε-
ρὶ τῆς τύχης τούτου διαλεχθήσομαι. ἐγὼ τὴν μὲν τύχην. ζ.
τῆς πόλεως τύχην, ἀγαθὴν ἡγοῦμαι. καὶ ταῦθ᾽ ὁρῶ α. ταῦθ᾽. α.
καὶ τὸν Δία τὸν Δωδωναῖον ὑμῖν καὶ τὸν Ἀπόλλω τὸν Πύθι- ἡμῖν. η.
434 ον μαντευόμενον. τὴν μέντοι τῶν πάντων ἀνθρώπων
ἣ νῦν ἐπέχει, χαλεπὴν καὶ δεινήν. τίς γὰρ Ἑλλήνων, ἢ τίς
βαρβάρων, οὐ πολλῶν κακῶν* ἐν τῷ παρόντι πεπείραται καιρῷ. τὸ μὲν τοίνυν * καὶ μεγάλων.
προελέσθαι τὰ κάλλιστα, καὶ τὸ τῶν οἰηθέντων ἐκείνων Ἑλλήνων εἰ προοῖτο ἡμᾶς, ἐν α. ζ. α.
435 εὐδαιμονίᾳ διάξειν* αὐτῶν ἐκείνων ἄμεινον πράττειν, τῆς ἀγαθῆς τύχης τῆς πό- προεῖτο. α.
λεως εἶναι τίθημι. τὸ δὲ προσκροῦσαι, καὶ τὸ μὴ πάνθ᾽ ὡς ἠβουλήμεθ᾽ ἡμῖν συμβῆναι * πάντων. α.
τῆς τῶν ἄλλων ἀνθρώπων τύχης τὸ ἐπιβάλλον ἐφ᾽ ἡμᾶς μέρος μετειληφέναι νομί- α. ὅσα. α. ε.
ζω τὴν πόλιν. τὴν δὲ ἰδίαν τύχην τὴν ἐμήν, καὶ τὴν ἑνὸς ἡμῶν ἑκάστου, ἐν τοῖς ὑμῶν. η.
ἰδίοις ἐξετάζειν δίκαιον εἶναι νομίζω. ἐγὼ μὲν οὖν οὑτωσὶ περὶ τῆς τύχης ἐξετάζειν α.
436 ἀξιῶ, ὀρθῶς καὶ δικαίως ὡς ἐμαυτῷ δοκῶ. νομίζω δὲ καὶ ὑμῖν συνδοκεῖν. ὁ δέ, τὴν
ἰδίαν τύχην τὴν ἐμήν, τῆς κοινῆς τῆς πόλεως κυριωτέραν εἶναί φησι· τὴν μικρὰν καὶ
φαύλην, τῆς ἀγαθῆς καὶ μεγάλης. καὶ πῶς ἔνι τοῦτο γενέσθαι. καὶ μήν, εἴγε τὴν ἐ-
437 μὴν τύχην πάντως ἐξετάζειν, αἰσχίνη, προαιρῇ, πρὸς τὴν σαυτοῦ σκόπει· κἂν εὕ-
ρῃς τὴν ἐμὴν βελτίω τῆς σῆς, παῦσαι λοιδορούμενος αὐτῇ. σκόπει τοίνυν εὐθὺς
ἐξ ἀρχῆς· καί μου πρὸς Διὸς καὶ θεῶν, μηδεμίαν ψυχρότητα καταγνῷ μηδείς. ἐ-
γὼ γὰρ οὔτ᾽ εἴ τις πενίαν προπηλακίζει, νοῦν ἔχειν ἡγοῦμαι, οὔτ᾽ εἴ τις ἐν ἀφθόνοις τρα-
438 φείς, ἐπὶ τούτῳ σεμνύνεται. ἀλλ᾽ ὑπὸ τῆς τουτουὶ τοῦ χαλεποῦ βλασφημίας καὶ συ- τούτου. α.
κοφαντίας, εἰς τοιούτους λόγους ἐμπίπτειν ἀναγκάζομαι, οἷς ἐκ τῶν ἐνόντων ὡς ἂν
δύνωμαι μετριώτατα χρήσομαι. ἐμοὶ μὲν τοίνυν ὑπῆρξεν, αἰσχίνη, παιδὶ μὲν ὄντι
φοιτᾶν εἰς τὰ προσήκοντα διδασκαλεῖα, καὶ ἔχειν ὅσα χρὴ τὸν μηδὲν αἰσχρὸν ποιή-
439 σοντα δι᾽ ἔνδειαν.* ἐξελθόντι δ᾽ ἐκ παίδων, ἀκόλουθα τούτοις πράττειν, χορηγεῖν, τρι- * καὶ. η.
ηραρχεῖν, εἰσφέρειν, μηδεμιᾶς φιλοτιμίας, μήτε ἰδίας μήτε δημοσίας ἀπολείπε-
σθαι· ἀλλὰ καὶ τῇ πόλει, καὶ τοῖς φίλοις χρήσιμον εἶναι. ἐπειδὴ δὲ πρὸς τὰ κοινὰ προ-
σῆλθον, ἔδοξέ μοι τοιαῦτα πολιτεύματα ἑλέσθαι, ὥστε καὶ ὑπὸ τῆς πατρίδος, καὶ
440 ὑπὸ τῶν ἄλλων Ἑλλήνων πολλάκις ἐστεφανῶσθαι, καὶ μηδὲ τοὺς ἐχθροὺς ὑμᾶς, ὡς οὐ καλά γε

ἦν ἃ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἣν προεξελόμην, ἐπιχειρεῖν λέγειν. ἐγὼ μὲν δή, τοιαύ-
τῃ συμβεβίωκα τύχῃ. καὶ πόλλ' ἂν ἔχων ἕτερ' εἰπεῖν
περὶ αὐτῆς, παραλείπω, φυλαττόμενος τὸ λυπῆσαί
τινα ἐν οἷς σεμνύνομαι. σὺ δ' ὁ σεμνὸς ἀνήρ, καὶ δια-
πτύων τοὺς ἄλλους, σκόπει πρὸς ταύτην ποίᾳ τινὶ κέ- 442
χρησαι τύχῃ· δι' ἣν παῖς μὲν ὤν, μετὰ πολλῆς ἐνδείας
ἐτράφης, ἅμα τῷ πατρὶ πρὸς τῷ διδασκαλείῳ
προσεδρεύων, τὸ μέλαν τρίβων, καὶ τὰ βάθρα σπογ-
γίζων, καὶ τὸ παιδαγωγεῖον κορῶν, οἰκέτου τάξιν, οὐκ
ἐλευθέρου παιδὸς ἔχων. ἀνὴρ δὲ γενόμενος τῇ μητρὶ 443
τελούσῃ, τὰς βίβλους ἀνεγίνωσκες, καὶ τἆλλα συνε-
σκευωροῦ· τὴν μὲν νύκτα νεβρίζων, καὶ κρατηρί-
ζων, καὶ καθαίρων τοὺς τελουμένους, καὶ ἀπομάττων τῷ
πηλῷ, καὶ τοῖς πιτύροις, καὶ ἀνιστὰς ἀπὸ τοῦ καθαρ-
μοῦ, καὶ κελεύων λέγειν, ἔφυγον κακόν, εὗρον ἄμει- 444
νον· ἐπὶ τῷ μηδένα πώποτε τηλικοῦτον ὀλολύξαι σε-
μνυνόμενος. καὶ ἔγωγε νομίζω· μὴ γὰρ οἴεσθ' αὐτὸν
φθέγγεσθαι μὲν οὕτω μέγα, ὀλολύζειν δ' οὐχ ὑπέρ-
λαμπρον. ἐν δὲ ταῖς ἡμέραις τοὺς καλοὺς θιάσους ἄ-
γων διὰ τῶν ὁδῶν, τοὺς ἐστεφανωμένους τῷ μαράθῳ καὶ 445
τῇ λεύκῃ, τοὺς ὄφεις τοὺς παρείας θλίβων καὶ ὑπὲρ τῆς
κεφαλῆς αἰωρῶν, καὶ βοῶν, εὐοῖ σαβοῖ, καὶ ἐπορχού-
μενος ὕης ἄττης, ἄττης ὕης· ἔξαρχος καὶ προηγεμών,
καὶ κιττοφόρος, καὶ λιχνοφόρος, καὶ τὰ τοιαῦτα ὑπὸ
τῶν γραϊδίων προσαγορευόμενος, μισθὸν λαμβά- 446
νων τούτων, ἔνθρυπτα καὶ στρεπτοὺς καὶ νεήλατα, ἐφ' οἷς
τίς οὐκ ἂν ὡς ἀληθῶς αὑτὸν εὐδαιμονίσειε, καὶ τὴν αὑ-
τοῦ τύχην. ἐπειδὴ δὲ εἰς τοὺς δημότας ἐνεγράφης ὁ-
πωσδήποτε, ἐῶ γὰρ τοῦτο*. ἐπειδή γ' ἐνεγράφης,
εὐθέως τὸ κάλλιστον ἐξελέξω τῶν ἔργων, ὑπογραμ- 447
ματεύειν καὶ ὑπηρετεῖν τοῖς ἀρχιδίοις· ὡς δ' ἀπηλ-
λάγης ποτὲ καὶ τούτου, πάνθ' ἃ τῶν ἄλλων κατηγορεῖς, αὐτὸς ποιήσας, οὐ κατῄσχυ-
νας μὰ Δί' οὐδὲν τῶν προϋπηργμένων τῷ μετὰ ταῦτα βίῳ· ἀλλὰ μισθώσας σαυτὸν
τοῖς βαρυστόνοις ἐπικαλουμένοις ἐκείνοις ὑποκριταῖς, Σιμύκᾳ καὶ Σωκράτει, ἐτριτα- 448
γωνίστεις, σῦκα καὶ βότρυς καὶ ἐλαίας συλλέγων, ὥσπερ ὀπωρώνης ἐκ τῶν ἀλλοτρίων χω-
ρίων, πλείω λαμβάνων ἀπὸ τούτων τραύματα, ἢ τῶν ἀγώνων, οὓς ὑμεῖς περὶ τῆς ψυχῆς
ἠγωνίζεσθε. ἦν γὰρ ἄσπονδος καὶ ἀκήρυκτος ὑμῖν ὁ πρὸς τοὺς θεατὰς πόλεμος· ὑφ' ὧν
τὰ πολλὰ τραύματα εἰληφώς, εἰκότως τοὺς ἀπείρους τῶν τοιούτων κινδύνων, ὡς δει- 449
λοὺς σκώπτεις. ἀλλὰ γὰρ παρεὶς ἐξ ὧν τὴν πενίαν αἰτιάσαιτ' ἄν τις, πρὸς αὐτὰ τὰ
τοῦ τρόπου σου βαδιοῦμαι κατηγορήματα. τοιαύτην γὰρ εἵλου πολιτείαν, ἐπειδή ποτε
καὶ τοῦτ' ἐπῆλθέ σοι ποιῆσαι, δι' ἣν εὐτυχούσης μὲν τῆς πατρίδος, λαγὼ βίον ἔζης, δε-
διὼς καὶ τρέμων, καὶ ἀεὶ πληγήσεσθαι προσδοκῶν ἐφ' οἷς σαυτῷ συνῄδεις ἀδικοῦντι. ἐν 450

τινάς. η. — ὁποία α. ε. η. — νεβρίζων. α. ε. — ἀνιστάς. α. η. α. — παρείας. α. — σαβοῖ ε. η. — λικνοφόρος. α β. ε. η. — γε α η. — δ' οὖν. η. α. — διελέξω. η. — γραμματεύειν. α. — ἀρχίοις. α. ἀρχιδίοις β. ἀρχείοις. ε. — σιμμύλῳ. ε. ζ. η σι. — ἀγωνίζεσθε. η — α η. — α. — α. η. — λαγὼς α. η. — ἀδικῶν. α.

Διαπτύων) Φαυλίζων, ὑβρίζων. 442
Παιδαγωγεῖον) Σχολεῖον. Κορῶν) Φιλοκαλῶν. Νεβρίζων) Νεβρίδα 443
περικείμενος. νεβρίζων ὁ διὰ τῶν νεβρῶν κατά τινα λόγον ἄρρητον. οἱ μὲν ὡς τὸ πλοῦτος νεβρίδα ἐνημμένους, καὶ τοὺς τελουμένους διαζωννύντας. Κρατηρίζων) Κρατῆρα κατέχων. Απομάττων) Απομοργνύς.
Υπέρλαμπρον) Ταῖς μὲν νυξὶν οὕτως ἦσθα ποιῶν. Θιάσους ἄγων) Ο δηλῶν τὸ ἀθροιζόμενον πλῆθος ἐπὶ τελετῇ καὶ τιμῇ τῶν θεῶν, ὑποκρινόμενος. Ευοῖ σαβοῖ) Βακχικὸν ἐπίφθεγμα κατὰ τὴν Φρυγῶν διάλεκτον, ἵνα οὕτως ἔχωσιν εὖ οἱ μύσται. ἀπὸ τούτου μέντοι καὶ ὁ σαβάζιος καὶ διονύσιος, σαβάζιος διόνυσος. Κιττοφόρος) Εστεμμένος κιττῷ. Λιχνοφόρος) Παρὰ φύλαξι τιμώμενος. 444 445
Ενθρυπτα, Ψωμοὶ ἦσαν οἴνῳ βεβρεγμένοι, οὓς ἐποίουν εἰς σκάφην ἄρτους διαθρύψαντες, καὶ φακὴν ἐπισκεδάσαντες. Νεήλατα) Αλευρα νεωστὶ ἐληλασμένα. Ενεγράφης) Ενετάγης. Αρχιδίοις) Ηγουν τοῖς γραμματοφυλακείοις, τοῖς δημοσίοις οἴκοις, ἔνθα οἱ δημόσιοι χάρται ἔκειντο. 446 447
Τοῖς βαρυστόνοις) Τοῖς ἀξίοις βαρέων στεναγμῶν. Ετριταγωνίστεις) Πολλάκις ἠγωνίζου. Οπωρώνης) Ο ὠνούμενος τὰς ὀπώρας. Απὸ τούτων) Τῶν βαρυστόνων ὑποκριτῶν. 448
Ηγωνίζεσθε) Πρὸς τοὺς ἄλλους ἀθηναίους τοῦτο λέγει. Ασπονδος) Ακατάλλακτος. Ακήρυκτος) Συντομος.
Υφ' ὧν) Θεατῶν δηλονότι. Παρεὶς) Εγώ, ὅτι πένης ὢν ταῦτα ἐποίει. 449
Επῆλθέ σοι) Ενθύμιον ἔλαβες.
Δι' ἣν) Τὴν πολιτείαν δηλαδή.
Συνῄδεις) Διὰ τὰ ἀδικήματα ἃ πρὶν ἐποίεις. Ωψαι) Εθεάθης. 450
Παράλληλα) Παρακείμενα.

452 Ετέλεις) Τὰ τοῦ Διονύσου μυστήρια ἐδίδασκες. Εγραμμάτευες) Υπογραμματεὺς ἦσθα. Εκκλησίαζον) Τῆς βουλῆς μετεῖχον. Δοκιμά-
453 ζομαι) Αξιος κρίνομαι. Ανωμολόγημαι) Ηγουν περφημέρωμαι ἀπὸ τῆς ὁμολογίας πάντων, ὅτι οὐκ ἀδικῶ.
Τοῦτο ποιεῖν) Συκοφαντεῖν. Τρι-
455 ταγωνιστὴν) Τριταγωνιστὴν αὐτὸν φησὶν ὡς ἀδοκιμώτατον τῶν ὑποκριτῶν, ἐν τρίτῃ τάξει καταριθμῶν ἀπὸ Σοφοκλέους, ὃς πρῶτος ἐχρήσατο τρισὶν ὑποκριταῖς, καὶ τῷ καλουμένῳ τριταγωνιστῇ.
456 Ελυσάμην) Διαλύτης ὢν ἠλευθέρωσα τινὰς ἐκ τῶν πολεμίων.
Συνεξέδωκα) Συνεπορίησα.
458 Υπείλημμαι) Οποίαν ὑπόληψιν ἔχουσι πρός με. Πάντων) Τῶν κα-
459 κῶν δηλονότι. Τύχην κοινὴν) Δυ-
460 στυχίαν. Αἰτίαν) Γενομένην δηλονότι. Ολον μέρος) Τῆς ἀτυχίας ἀφ'
461 ὑμῶν ἐμὲ δηλαδή. Παρῆπε) Γα-

οἷς δ' ἠτύχησαν οἱ ἄλλοι, θρασὺς ὢν ὑφ' ἁπάντων ὤφθαι. καίτοι, ὅστις χιλίων πολιτῶν ἀποθανόντων *ἐθάρρησε, τί δεῖ παθεῖν ὑπὸ τῶν ζώντων δίκαιός ἐστι. πολ- *ἐθάρρησεν. α.
451 λὰ τοίνυν ἕτερ' εἰπεῖν ἔχων περὶ αὐτοῦ, *παραλείψω. οὐ γὰρ ὅσ' ἂν δείξαιμι προσόντ' αἰσχρὰ τούτῳ καὶ ὀνείδη, πάντ' οἶμαι δεῖν εὐχερῶς λέγειν· ἀλλ' ὅσα μηδὲν αἰσχρόν ἐστιν εἰπεῖν ἐμοί. ἐξέτασον τοίνυν παρ' ἄλληλα τὰ σοὶ καὶ ἐμοὶ βεβιωμένα πράως καὶ μὴ πικρῶς αἰ- *παραλείπω. α.
452 σχίνη. εἶτ' ἐρώτησον τουτουσὶ, τὴν :ὁποτέρου τύχην ἂν ἕλοιθ' ἕκαστος αὐτῶν. ἐδίδασκες γράμματα, ἐγὼ δ' ἐφοίτων. ἐτέλεις, ἐγὼ δ' ἐτελούμην. ἐχόρευες, ἐγὼ δ' ἐχορήγουν. ἐγραμμάτευες, ἐγὼ δ' ἐκκλησίαζον. ἐτριταγωνίστεις, ἐγὼ δ' ἐθεώρουν. ἐξέπι- :ποτέρου. α.
453 πτες, ἐγὼ δ' ἐσύριττον. ὑπὲρ τῶν ἐχθρῶν πεπολίτευσαι πάντα, ἐγὼ δὲ ὑπὲρ τῆς πατρίδος. ἐῶ τἆλλα. ἀλλὰ νυνὶ τήμερον, ἐγὼ μὲν ὑπὲρ τοῦ στεφανωθῆναι δοκιμάζομαι. τὸ δὲ μηδοτιοῦν ἀδικεῖν, ἀνωμολόγημαι. σοὶ δὲ συκοφάντῃ μὲν εἶναι δοκεῖν ὑπάρχει. κινδυνεύεις δ', εἴτε δεῖ σε ἔ-
454 τι τοῦτο ποιεῖν, εἴτε ἤδη πεπαῦσθαι, μὴ μεταλαβόντα τὸ πέμπτον μέρος τῶν ψήφων. ἀγαθῇ δὲ, οὐχ ὁρᾷς τύχῃ :συμβεβιωκὼς, τῆς ἐμῆς ὡς φαύλης κατηγορεῖς. φέρε δὴ καὶ τὰς τῶν λειτουργιῶν μαρτυρίας, ὧν λελειτούργηκα, ὑμῖν ἀναγνῶ πάσας. :παρανάγνωθι δὴ ἡμῖν καὶ σὺ τὰς ῥήσεις ἃς ˜ἐλυμαίνου. ἥκω λιπὼν κευθμῶνα :συμβεβηκώς. ζ. ν. :παράγνωθι. ζ. α. ζ. ˜ἐλυμαίνω. α.
455 καὶ σκότου πύλας. καὶ ˙κακ' ἀγγέλλειν μὲν ἴσθι μὴ θέλοντά με. καὶ κακὸν κακῶς σε μάλιστα μὲν οἱ θεοὶ, ἔπειτα δ' οὗτοι πάντες ἀπολέσειαν, πονηρὸν ὄντα πολίτην καὶ προδότην καὶ τριταγωνιστήν. Λέγε τὰς μαρτυρίας. ˙κακαγγέλλειν. α. ν.

μαρτυρίαι.

456 Εν μὲν τοίνυν τοῖς πρὸς τὴν πόλιν, τοιοῦτος· ἐν δὲ τοῖς ἰδίοις, εἰ μὴ πάντες ἴστε ὅτι κοινὸς καὶ φιλάνθρωπος, καὶ τοῖς δεομένοις ἐπαρκῶν, σιωπῶ καὶ οὐδὲν ἂν εἴποιμι, οὐδὲ παρασχοίμην ἂν περὶ τούτων οὐδεμίαν μαρτυρίαν, οὔτ' εἴ τινας ἐκ τῶν πολεμίων ἐλυσάμην, οὔτ' ¹εἴ τισι θυγατέρας συνεξέδωκα, οὔτε τῶν τοιούτων οὐδέν. καὶ γὰρ ¹εἴ τινας. ν
457 οὕτω πως ὑπείληφα, ἐγὼ νομίζω τὸν μὲν εὖ παθόντα, δεῖν μεμνῆσθαι τὸν πάντα χρόνον· τὸν δὲ *ποιήσαντα, εὐθὺς ἐπιλελῆσθαι, εἰ δεῖ τὸν μὲν, χρηστοῦ, τὸν δὲ μὴ μικροψύχου ποιεῖν ἔργον ἀνθρώπου. τὸ δὲ τὰς ἰδίας εὐεργεσίας ὑπομιμνήσκειν καὶ λέγειν, μικροῦ δεῖν ὅμοιόν ἐστι, τῷ ὀνειδίζειν. οὐ δὴ ποιήσω τοιοῦτον οὐδὲν, οὐδὲ προα- *εὖ. α. β.
458 χθήσομαι. ἀλλ' ὅπως ποθ' ὑπείλημμαι περὶ τούτων, ἀρκεῖ μοι. βούλομαι δὲ τῶν ἰδίων ἀπαλλαγεὶς, ἔτι μικρὰ πρὸς ὑμᾶς εἰπεῖν περὶ τῶν κοινῶν. εἰ μὲν γὰρ ἔχεις αἰσχίνη, τῶν ὑπὸ τουτονὶ τὸν ἥλιον εἰπεῖν ἀνθρώπων, ὅστις ἀθῷος τῆς φιλίππου πρότερον, καὶ νῦν τῆς ἀλεξάνδρου δυναστείας γέγονεν, ἢ τῶν ἑλλήνων, ἢ τῶν βαρβάρων, ἔστω.
459 συγχωρῶ σοι, τὴν ἐμὴν εἴτε τύχην, εἴτε δυστυχίαν ὀνομάζειν βούλει, πάντων αἰτίαν γεγενῆσθαι. εἰ δὲ καὶ τῶν μηδεπώποτ' ἰδόντων ἐμὲ, μηδὲ φωνὴν ἀκηκοότων ἐμοῦ, πολλοὶ πολλὰ καὶ δεινὰ πεπόνθασι, μὴ μόνον κατ' *ἄνδρα, ἀλλὰ καὶ πόλεις ὅλαι καὶ ἔθνη, πόσῳ δικαιότερον καὶ ἀληθέστερον, τὴν ἁπάντων ὡς ἔοικεν ἀνθρώπων τύχην κοινὴν, *ἕνα ζ.

καὶ φορὰν

καὶ φοβεῖν τινα πραγμάτων χαλεπῶν, καὶ οὐχ οἷόν τ' ἔσται, τούτων αἰτίαν ἡγεῖσθαι. σὺ τοίνυν ταῦτα ἀφεὶς, 460
ἐμὲ τὸν παρὰ τούτοισι πολιτευόμενον αἰτιᾷ. καὶ ταῦτ' εἰδὼς ὅτι καὶ εἰ μὴ τὸ ὅλον μέρος γ' ἐπιβάλλει τῆς βλασφημίας ἅπασι, καὶ μάλιστα σοί. εἰ μὲν γὰρ ἐγὼ καθ' ἐμαυτὸν αὐτοκράτωρ ὢν περὶ τῶν πραγμάτων ἐβουλευόμην, ἦν ἂν τοῖς ἄλλοις ῥήτορσιν ὑμῖν ἐμὲ αἰτιᾶ- 461
σθαι. εἰ δὲ παρῆτε μὲν ἐν ταῖς ἐκκλησίαις ἁπάσαις ἀεί, ἐν κοινῷ δὲ τὸ συμφέρον ἡ πόλις προὐτίθει σκοπεῖν. πᾶσι δὲ ταῦτ' ἐδόκει τότε ἄριστα εἶναι, καὶ μάλιστα σοί. οὐ γὰρ ἐπ' εὐνοίᾳ γ' ἐμοὶ παρεχώρεις ἐλπίδων, καὶ ζήλου, καὶ τιμῶν, ἃ πάντα προσῆν τοῖς τότε πραττομέ- 462
νοις ὑπ' ἐμοῦ, ἀλλὰ τῆς ἀληθείας ἡττώμενος δηλονότι, καὶ τῷ μηδὲν ἔχειν εἰπεῖν βέλτιον, πῶς οὐκ ἀδικεῖς καὶ δεινὰ ποιεῖς, τούτοις νῦν ἐγκαλῶν, ὧν τότε οὐκ εἶχες λέγειν βελτίω. παρὰ μὲν τοίνυν τοῖς ἄλλοις, ἔγωγ' ὁρῶ πᾶσιν ἀνθρώποις διωρισμένα καὶ τεταγμένα πως τὰ τοιαῦτα. ἀδικεῖ τις ἑκών; ὀργὴ καὶ τιμωρία κατ' αὐτοῦ. ἐξήμαρτέ τις ἄκων; συγγνώμη ἀντὶ τῆς τιμωρίας τούτῳ. οὔτε ἀδι- 463
κῶν τις, οὔτε ἐξαμαρτάνων, εἰς τὰ πᾶσι δοκοῦντα συμφέρειν ἑαυτὸν δοὺς, οὐ κατώρθωσε μεθ' ἁπάντων; οὐκ ὀνειδίζειν οὐδὲ λοιδορεῖσθαι τῷ τοιούτῳ δίκαιον, ἀλλὰ συνάχθεσθαι. φανήσεται τοίνυν ταῦτα πάντα οὕτως, οὐ μόνον ἐν τοῖς νόμοις, ἀλλὰ καὶ ἡ φύσις αὐτὴ τοῖς ἀγράφοις νομίμοις καὶ τοῖς ἀνθρωπίνοις ἤθεσι διώρικεν. Αἰσχίνης 464
τοίνυν τοσοῦτον ὑπερβέβληκεν ἅπαντας ἀνθρώπους ὠμότητι, καὶ συκοφαντίᾳ, ὥστε καὶ ὧν αὐτὸς ὡς ἀτυχημάτων ἐμέμνητο, καὶ ταῦτ' ἐμοῦ κατηγορεῖ. καὶ πρὸς τοῖς ἄλλοις ὥσπερ αὐτὸς ἁπλῶς καὶ μετ' εὐνοίας πάντας εἰρηκὼς τοὺς λόγους, φυλάττειν ἐμὲ καὶ τηρεῖν ἐκέλευεν, ὅπως μὴ παρακρούσομαι, μηδὲ ἐξαπατήσω, δεινὸν, καὶ γόητα, καὶ σο- 465
φιστὴν, καὶ τὰ τοιαῦτα ὀνομάζων. ὡς ἐὰν πρότερός τις εἴποι τὰ προσόνθ' ἑαυτῷ περὶ ἄλλου, καὶ δὴ ταῦθ' οὕτως ἔχοντα, καὶ οὐκ ἔτι τοὺς ἀκούοντας σκεψομένους, τίς ποτ' αὐτός ἐστιν ὁ ταῦτα λέγων. ἐγὼ δ' οἶδ' ὅτι γιγνώσκετε τοῦτον ἅπαντες, καὶ πολὺ τούτῳ μᾶλλον, ἢ ἐμὲ νομίζετε ταῦτα προσεῖναι. κἀκεῖνο δ' εὖ οἶδ' ὅτι τὴν ἐμὴν 466
δεινότητα. ἔστω γάρ. καίτοι ἔγωγε ὁρῶ τῆς τῶν λεγόντων δυνάμεως, τοὺς ἀκούοντας πλεῖστον μέρος κυρίους ὄντας. ὡς γὰρ ἂν ὑμεῖς ἀποδέξησθε, καὶ πρὸς ἕκαστον ἔχητ' εὐνοίας, οὕτως ὁ λέγων ἔδοξε φρονεῖν. εἰ δ' οὖν ἐστι καὶ παρ' ἐμοί τις ἐμπειρία τοιαύτη, ταύτην μὲν εὑρήσετε πάντες ἐν τοῖς κοινοῖς ἐξεταζομένην ὑπὲρ ὑμῶν ἀεὶ, καὶ οὐδα- 467
μοῦ καθ' ὑμῶν, οὐδ' ἰδίᾳ. τὴν δὲ τούτου, τοὐναντίον οὐ μόνον τῷ λέγειν ὑπὲρ τῶν ἐχθρῶν, ἀλλὰ καὶ εἴ τις ἐλύπησέ τι τοῦτον, ἢ προσέκρουσέ που κατὰ τούτων. οὐ γὰρ αὐτῇ δικαίως, οὐδ' ἐφ' ἃ συμφέρει τῇ πόλει χρῆται. οὔτε γὰρ τὴν ὀργὴν, οὔτε τὴν ἔχθραν, οὔτε ἄλλο οὐδὲν τῶν τοιούτων, τὸν καλὸν κἀγαθὸν πολίτην δεῖ τοὺς ὑπὲρ τῶν κοινῶν εἰσεληλυθότας δικαστὰς 468
ἀξιοῦν αὑτῷ βεβαιοῦν, οὐδ' ὑπὲρ τούτων εἰς ὑμᾶς εἰσιέναι. ἀλλὰ μάλιστα μὲν μὴ ἔχειν ταῦτ' ἐν τῇ φύσει. εἰ δ' ἄρα ἀνάγκη, πρᾴως καὶ μετρίως διακείμενα ἔχειν. ἐν τίσιν οὖν σφοδρὸν εἶναι τὸν πολιτευόμενον καὶ τὸν ῥήτορα δεῖ; ἐν οἷς τῶν ὅλων τι κινδυνεύεται τῇ πόλει, καὶ ἐν οἷς πρὸς τοὺς ἐναντίους ἐστί τι τῷ δήμῳ. ἐν τούτοις. ταῦτα γὰρ γενναίου 469
καὶ ἀγαθοῦ πολίτου. μηδενὸς δ' ἀδικήματος πώποτε δημοσίου, προσθήσω δὲ μη-

ἔνι. α. τουτοισί α. ε. πεπολιτευμένον α. β ε η. ἀπεῖν. α. καὶ τοῦτο υ α. ἐξαμαρτών. α. αὐτὸν α. καλορθοῦνται η. νόμοις. ε. ἔδει η. α. ἐκέλευσε. ε. εἴπῃ α. ἐκ ἔτι. α. ε. ἰδίᾳ α. η α. διακείμενα. ε ζ. διακείμενα η. ἐστὶ α.

ρεπῆ χαίρει. Ἐλπίδων) Ἕνεκα δηλονότι. Ζήλου) Μακαρισμοῦ. 461
460 Διωρισμένα) Διακεκριμένα, κεχωρισμένα. Ἐξήμαρτέ τις) Ἔξω τοῦ δέοντος ἐγένετο. 462
Οὕτως) Ἔχοντα δηλαδή. 463
Τοῖς ἄλλοις) Οἷς εἶπε δηλονότι. 464
Ἁπλῶς) Ἀπεριέργως. Ἐξαπατήσω) Αὖθις δηλαδή. Δεινὸν) Πονηρόν. Γόητα) Ἀπατεῶνα. 465
461 Ἐν τοῖς κοινοῖς) Πράγμασι δηλονότι. Ἐξεταζομένην) Φαινομένην. 467
Προσέκρουσε) Ἠναντιώθη. Ἀλλὰ μάλιστα) Παραινεῖ τῇ φύσει ἐγκείμενα ἔχειν. Σφοδρὸν) Τῷ θυμῷ δηλαδή. Κινδυνεύεται) Εἰς κίνδυνον ἔρχεταί τι τῆς πόλεως. 468
Ἐν τούτοις) 469
462 Δεῖ ἔχειν τὴν ὀργήν. Συνεσκευασμένον) Αὐτὸν τὸν αἰσχίνην τεχνουρ-

470 γῆσαι τὰ καὶ μεμηχανευμένον. Χρηστοῦ) ἀνθρώπου δηλαδή. Κακίαν) ἀκέραιον. Φωνασκίας) φωνῆς ἄσκη-
471 σιν καὶ μεγαλοφωνίας. Τοῖς πολλοῖς)
472 τοῖς δημόταις. Οὐκ ἐπὶ τῆς αὐτῆς)
473 οὐ τὰ αὐτὰ λογίζεται. Χρείαν) τὴν
474 προστασίαν. Τουτωνὶ) τῶν δικαστῶν.
475 Ἡγῇ) ἡγούμενος νομίζεις. Διομνύμενος) διϊσχυριζόμενος μεθ' ὅρκου. Ἀλλ' ἐμὲ) ἔφης δηλαδή. Τούτων) τῶν προειρημένων λόγων. Ξενίαν) ὑποδοχὴν δηλονότι. ξενίαν
477 ὑποδεχόμενος. Ἠμνημόνησε) ἡ πόλις δηλαδή. Ἐροῦντα) τὸν λέξοντα ἐγκώμιον δηλαδή.

δ' ἰδίαν δίκην ἀξιώσαντα λαβεῖν παρ' ἐμοῦ, μήθ' ὑπὲρ τῆς πόλεως, μήθ' ὑπὲρ αὐτοῦ, στεφάνους καὶ ἐπαίνους κατηγορεῖν νῦν ἥκειν συνεσκευασμένον. καὶ τουτοισὶ τοσούτοις. α.
470 λόγους ἀνηλωκέναι, ἰδίας ἔχθρας, καὶ φθόνου, καὶ μικροψυχίας ἐστὶ σημεῖον, οὐδενὸς χρηστοῦ. τὸ δὲ δὴ καὶ τοὺς πρὸς ἐμὲ αὐτὸν ἀγῶνας ἐάσαντα, νῦν ἐπὶ τόνδ' ἐμαυτόν. α. ἥκειν, πᾶσαν ἔχει κακίαν. καί μοι γε δοκεῖς ἐκ τούτων, Αἰσχίνη, τὴν λόγων ἐπίδειξίν τινα φωνασκίας βου-
471 λόμενος ποιήσασθαι, τοῦτον προῃρῆσθαι τὸν ἀγῶνα, οὐκ ἀδικήματος οὐδενὸς λαβεῖν τιμωρίαν. ἔστι δ' οὐχ ὁ λόγος τοῦ ῥήτορος, Αἰσχίνη, τίμιος, οὐδ' ὁ τόνος τῆς φωνῆς, ἀλλὰ τὸ ταὐτὰ προαιρεῖσθαι τοῖς πολλοῖς, καὶ τὸ, τοὺς αὐτοὺς μισεῖν καὶ φιλεῖν, ταῦτα. α.
472 οὕσπερ ἂν ἡ πατρίς. ὁ γὰρ οὕτως ἔχων τὴν ψυχήν, οὗτος ἐπ' εὐνοίᾳ πάντ' ἐρεῖ. ὁ δ' ἀφ' ὧν ἡ πόλις προορᾶταί τινα κίνδυνον ἑαυτῇ, τούτους θεραπεύων, οὐκ ἐπὶ τῆς αὐτῆς ὁρμεῖ τοῖς πολλοῖς. οὔκουν οὐδὲ τῆς ἀσφαλείας τὴν αὐτὴν ἔχει προσδοκίαν. ἀλλ' ὁρᾷς, ἐγώ· ταὐτὰ γὰρ συμφέροντα εἱλόμην τουτοισί, καὶ οὐδὲν ἐξαίρετον ταῦτα. α.
473 οὐδ' ἴδιον πεποίημαι. ἆρ' οὖν οὐδὲ σύ; καὶ πῶς; ὃς εὐθέως μετὰ τὴν μάχην πρεσβευτὴς ἐπορεύου πρὸς Φίλιππον, ὃς ἦν τῶν ἐν ἐκείνοις τοῖς χρόνοις συμφορῶν αἴτιος τῇ πατρίδι, καὶ ταῦτ' ἀρνούμενος πάντα τὸν ἔμπροσθεν χρόνον ταύτην τὴν χρείαν, ὡς πάντες ἴσασι. καίτοι τίς * ὁ τὴν πόλιν ἐξαπατῶν; οὐχ ὁ μὴ λέγων ἃ *ἴω. κ.
474 φρονεῖ; τῷ δ' ὁ κῆρυξ καταρᾶται δικαίως; οὐ τῷ τοιούτῳ; τί δὲ μεῖζον ἔχοι τις ἂν εἰπεῖν ἀδίκημα κατ' ἀνδρὸς ῥήτορος, εἰ μὴ ταὐτὰ καὶ φρονεῖ καὶ λέγει; σὺ τοίνυν τοι- ταῦτα ἀ. α. οὗτος εὑρέθης. εἶτα σὺ φθέγγῃ, καὶ βλέπειν εἰς τὰ τουτωνὶ πρόσωπα τολμᾷς; πότερ' οὐχ ἡγῇ γιγνώσκειν αὐτοὺς ὅστις εἶ; ἢ τοσοῦτον ὕπνον καὶ λήθην ἅπαντας ἔχειν, ὥστ' οὐ με-
475 μνῆσθαι τοὺς λόγους, οὓς ἐδημηγόρεις ἐν τῷ δήμῳ, καταρώμενος καὶ διομνύμενος, *πολέμῳ. α. μηδὲν εἶναί σοι καὶ Φιλίππῳ πρᾶγμα. ἀλλ' ἐμὲ τὴν αἰτίαν σοι ταύτην ἐπάγειν, τῆς ἰδίας ἕνεκα ἔχθρας, οὐκ οὖσαν ἀληθῆ. ὡς δ' ἀπηγγέλθη τάχισθ' ἡ μάχη, οὐδὲν τούτων φροντίσας, εὐθὺς ὡμολόγεις καὶ προσεποιοῦ φιλίαν καὶ ξενίαν εἶναί σοι πρὸς
476 αὐτόν. τῇ μισθαρνίᾳ ταῦτα μετατιθέμενος τὰ ὀνόματα. ἐκ ποίας γὰρ ἴσης ἢ δικαίας προφάσεως, Αἰσχίνη, τῷ Γλαυκοθέας τῆς τυμπανιστρίας, ξένος, ἢ φίλος, ἢ γνώριμος ἦν Φίλιππος, ἐγὼ μὲν οὐχ ὁρῶ. ἀλλ' ἐμισθώθης ἐπὶ τῷ τὰ τουτωνὶ συμφέροντα διαφθείρειν. ἀλλ' ὅμως οὕτω φανερῶς αὐτοῖς εἰλημμένος προδότης, αὐτὸς α. ε.
477 καὶ κατὰ σαυτοῦ μηνυτὴς ἐπὶ τοῖς συμβᾶσι γεγονώς, ἐμοὶ λοιδορῇ, καὶ ὀνειδίζεις ταῦτα, ὧν πάντας μᾶλλον αἰτίους εὑρήσεις ἢ ἐμέ. πολλὰ καὶ καλὰ καὶ μεγάλα ἡ πόλις, Αἰσχίνη, καὶ προείλετο καὶ κατώρθωσε δι' ἐμοῦ, ὧν οὐκ ἠμνημόνησε. σημεῖον δέ. χειροτονῶν γὰρ ὁ δῆμος τὸν ἐροῦντ' ἐπὶ τοῖς τετελευτηκόσι παρ' αὐτὰ τὰ συμβάντα, οὐ
478 σὲ ἐχειροτόνησε προβληθέντα, καίπερ εὔφωνον ὄντα, οὐδὲ Δημάδην, ἄρτι πεποιηκότα τὴν εἰρήνην, οὐδ' Ἡγήμονα, οὐδ' ἄλλον ὑμῶν οὐδένα, ἀλλ' ἐμέ. καὶ παρελθόντος ἡγήμονα. α. σοῦ καὶ Πυθοκλέους ὠμῶς καὶ ἀναιδῶς, ὦ Ζεῦ καὶ θεοί, καὶ κατηγορούντων ἐμοῦ ταῦτα, ἃ καὶ σὺ νυνί, καὶ λοιδορουμένων, ἔτι ἄμεινον ἐχειροτόνησεν ἐμέ. τὸ δ' αἴτιον, οὐκ
479 ἀγνοεῖς μέν, ὅμως δὲ φράσω σοι κἀγώ. ἀμφότερα ᾔδεσαν αὐτοί, τήν τ' ἐμὴν ἐπὶ. α. ζ. κ. εὔνοιαν καὶ προθυμίαν, μεθ' ἧς τὰ πράγματ' ἔπραττον, καὶ τὴν ὑμετέραν ἀδικίαν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δειλίαν· ἀλλὰ γὰρ εὐθενούντων τῶν πραγμάτων ἠρνεῖ-
σθε διομνύμενοι, ταῦτ' ἐν οἷς ἔπταισεν ἡ πόλις, ὡμο-
λογήσατε. τοὺς οὖν ἐπὶ τοῖς κοινοῖς ἀτυχήμασιν ὧν ἐ-
φρόνουν λαβόντας ἄδειαν, ἐχθροὺς μὲν πάλαι, φανε- 480
ροὺς δὲ τόθ' ἡγήσαντο αὐτοῖς γεγενῆσθαι. εἶτα καὶ προ-
σήκειν ὑπελάμβανον τὸν ἐροῦντα τοῦτ' ἐπὶ τοῖς τε-
τελευτηκόσι, καὶ τὴν ἐκείνων ἀρετὴν κοσμήσοντα,
μήθ' ὁμωρόφιον, μήθ' ὁμόσπονδον γεγενημένον εἶναι
τοῖς πρὸς ἐκείνους παραταξαμένοις, μηδ' ἐκεῖ μὲν 481
κωμάζειν καὶ παιανίζειν ἐπὶ ταῖς τῶν Ἑλλήνων συμφο-
ραῖς μετὰ τῶν αὐτοχείρων τοῦ φόνου, δεῦρο δ' ἐλθόντας
τιμᾶσθαι. καὶ μηδὲ τῇ φωνῇ δακρύειν ὑποκρινομέ-
νους τὴν ἐκείνων τύχην. ἀλλὰ τῇ ψυχῇ συναλγεῖν.
τοῦτο δ' ἑώρων παρ' ἑαυτοῖς καὶ παρ' ἐμοί, παρὰ δ' ὑ- 482
μῖν οὔ. διὰ ταῦτ' ἐμὲ ἐχειροτόνησαν, καὶ οὐχ ὑμᾶς. καὶ οὐχ ὁ μὲν δῆμος οὕτως, οἱ δὲ
τῶν τετελευτηκότων πατέρες καὶ ἀδελφοί, ὑπὸ τοῦ δήμου τότε αἱρεθέντες ἐπὶ
τὰς ταφάς, ἄλλως πως. ἀλλὰ δέον ποιεῖν αὐτοὺς τὸ περίδειπνον ὡς παρ' οἰκειοτάτῳ τῶν
τετελευτηκότων, ὥσπερ τἆλλ' εἴωθε γίγνεσθαι, τοῦτ' ἐποίησαν παρ' ἐμοί. εἰκότως. γένει μὲν 483
γὰρ ἕκαστος ἑκάστῳ, μᾶλλον οἰκεῖος ἦν ἐμοῦ. κοινῇ δὲ πᾶσιν, οὐδεὶς ἐγγυτέρω· ᾧ γὰρ τὸ ἐκεί-
νους σωθῆναι, καὶ κατορθῶσαι μάλιστα διέφερεν, οὗτος καὶ παθόντων ἃ μήποτ' ὤφε-
λον, τῆς ὑπὲρ ἁπάντων λύπης πλεῖστον μετεῖχε. λέγε δ' αὐτῷ τοῦτο τὸ ἐπί-
γραμμα, ὃ δημοσίᾳ προείλετο ἡ πόλις αὐτοῖς ἐπιγράψαι. ἵν' εἰδῇς αἰσχίνη καὶ ἐν 484
αὐτῷ τούτῳ, σαυτὸν ἀγνώμονα καὶ συκοφάντην ὄντα, καὶ μιαρόν. Λέγε.

Ἐπίγραμμα.

Οἷδε πάτρας ἕνεκα σφετέρας, εἰς δῆριν ἔθεντο
ὅπλα, καὶ ἀντιπάλων ὕβριν ἀπεσκέδασαν. 485
Μαρνάμενοι δ' ἀρετῆς καὶ δείματος, οὐκ ἐσάωσαν
ψυχάς, ἀλλ' ἀΐδην κοινὸν ἔθεντο βραβέην.
Οὕνεκεν Ἑλλήνων, ὡς μὴ ζυγὸν αὐχένι θέντες,
δουλοσύνης στυγερὰν ἀμφὶς ἔχωσιν ὕβριν. 486
Γαῖα δὲ πατρὶς ἔχει κόλποις τῶν πλεῖστα καμόντων
σώματ'. ἐπεὶ θνητοῖς ἐκ Διός, ἥδε κρίσις.
Μηδὲν ἁμαρτεῖν ἐστὶ θεῶν καὶ πάντα κατορθοῦν
ἐν βιοτῇ. μοῖραν δ' οὔτι φυγεῖν ἔπορεν. 487

Ἀκούεις αἰσχίνη καὶ ἐν αὐτῷ τούτῳ, ὡς τὸ μηδὲν ἁμαρτεῖν ἐστὶ θεῶν, καὶ πάντα κα-
τορθοῦν; οὐ τῷ συμβούλῳ τὴν τοῦ κατορθοῦν τοὺς ἀγωνιζομένους ἀνέθηκε δύναμιν,
ἀλλὰ τοῖς θεοῖς. τί οὖν ὦ κατάρατε ἐμοὶ περὶ τούτων λοιδορῇ, καὶ λέγεις, ἅ σοι καὶ
τοῖς σοῖς οἱ θεοὶ τρέψαιεν εἰς κεφαλήν. πολλὰ τοίνυν, ὦ ἄνδρες ἀθηναῖοι, καὶ ἄλλα 488
κατηγορηκότος αὐτοῦ καὶ κατεψευσμένου, ἓν μάλιστ' ἐθαύμασα ἁπάντων, ὅτι τῶν
συμβεβηκότων τότε τῇ πόλει ἀναμνησθείς, οὐχ ὡς ἂν εὔνους, οὐδὲ δίκαιος πολί-
της ἔσχε τὴν γνώμην, οὐδ' ἐδάκρυσεν, οὐδ' ἔπαθεν οὐδὲν τοιοῦτον τῇ ψυχῇ.
ἀλλ' ἐπάρας τὴν φωνὴν καὶ γεγηθώς, καὶ λαρυγγίζων, ᾤετο μὲν ἐμοῦ κατηγορεῖν 489

Ἐκείνοις) τεθνεῶσι. Παιανίζειν) Εὔχεσθαι τοῖς θεοῖς χάριν ὁμολογεῖν· παιὰν γὰρ ὕμνος χαριστήριος. Αὐτοχείρων) Αὐτοκρατόρων. 481
Ἐπὶ τὰς ταφὰς) Ἐπὶ τὸ θάπτειν. 482
Ἄλλως πως) Εἶπον δηλαδή.
Ἀλλὰ δέον ποιεῖν) Ἀλλὰ κἀκεῖνοι συνεφώνησαν τῇ χειροτονίᾳ τοῦ δήμου.
Περίδειπνον) Τὴν εὐωχίαν τὴν ἐπιτάφιον. Παρ' ἐμοί) Παρὰ τῇ ἐμῇ οἰκίᾳ. 483
Διέφερεν) Κέρδος ἦν. Δημοσίᾳ) Συμφωνίᾳ τοῦ δήμου. 484
Δῆριν) Μάχην. 485
Ἀντιπάλων) Ἐχθρῶν. Ἀπεσκέδασαν) Διεσκόρπισαν. Μαρνάμενοι) Μαχόμενοι. Ἀρετῆς) Ἕνεκα δηλαδή. Δείματος) Φόβου οὗ εἶχον ὑπὲρ τῆς πατρίδος. Βραβέην) Βραβεῖον. 485
Ἐστὶ) Ἴδιον δηλονότι. Γνώμην) Προαίρεσιν. Λαρυγγίζων) Πλα- 489

εὐθηνούντων. ε.ζ. — ὑπολαμβάνοντος. ζ. — ὑπέλαβον. ε.η. — α.ε. — μηδ'. α. ὑπόσπονδον. ε. — α. — ὑποκρινόμενον. η. — α. — ἢ ἐπὶ τοῖς ἀποθανοῦσιν ἑστίαν γινόμενον περίδειπνον. — οὗτοι. α. — α. — θεοῦ. α. — α. — α. — μνησθεὶς. α.ζ — καὶ. α. — λαρυγγίζων. α.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

489 νύναι τὴν φωνήν. Ἐξέφερε) Κα-
τὰ τὸ φαινόμενον. Καὶ εἰ μηδὲν
ἄλλο) Λέγει φροντίζειν τῶν νόμων καὶ
490 τῆς πολιτείας. Πάντων) Τῶν κα-
κῶν. Πράγματα) Ὀχλήσεις.
491 Προαιρέσεως) Θελήματος.
492 Ἐπιτιμῶ) Ἐπιπλήττω αὐτῷ ὡς
493 ἐψευσμένῳ. Φιλιππισμόν) Φρο-
495 νοῦντα τὰ τοῦ Φιλίππου. Ἕκα-
στοι) Τῶν προδοτῶν. Ἐποίησαν)
497 Τοὺς ἑαυτῶν πολίτας. Μιαροί)
Φονεῖς. Προπεπωκότες) Ἤγουν
498 προδεδωκότες. Ἕλλησιν) Ἤγουν
τοῖς προγόνοις τῶν Ἑλλήνων. Ἀνα-
τετραφότες) Καταλύσαντες. Συ-
στάσεως) Πλήθους τῶν πολιτῶν. Λη-
ρεῖν) Πολυλογεῖν.

δηλονότι, δεῖγμα δὲ ἐξέφερε καθ' ἑαυτοῦ, ὅτι* τοῖς γε- *ὑπ.ς.
γενημένοις ἀνιαροῖς, οὐδὲν ὁμοίως ἔχει τοῖς ἄλλοις. καίτοι
:τὸν τῶν νόμων καὶ τῆς πολιτείας φάσκοντα φροντίζειν, :καὶ τούτων τῶν.ν.
ὥσπερ οὗτος νυνί. καὶ εἰ μηδὲν ἄλλο, τοῦτό γ' ἔχειν δεῖ,
490 ˋτὸ ταὐτὰ λυπεῖσθαι καὶ ταὐτὰ χαίρειν τοῖς πολλοῖς, καὶ ˋα. ταῦτα λυ-
μὴ τῇ προαιρέσει τῶν κοινῶν, ἐν τῷ τῶν ἐναντίων μέ- πεῖσθαι καὶ
ρει τετάχθαι. ὃ σὺ νυνὶ πεποιηκὼς εἶ φανερός. ἐμὲ ταῦτα.α.
πάντων αἴτιον, καὶ δι' ἐμὲ εἰς πράγματα φάσκων
ἐμπεσεῖν τὴν πόλιν. οὐκ ἀπὸ τῆς ἐμῆς πολιτείας,
491 οὐδὲ προαιρέσεως, ἀρξαμένων ὑμῶν τοῖς Ἕλλησι
βοηθεῖν. ἐπεὶ ἔμοιγ' εἰ τοῦτο δοθείη* παρ' ὑμῶν, ˋτὸ *δωρεὰ.ν.
σαῦτα δι' ἐμὲ ὑμᾶς ἠναντιῶσθαι τῇ κατὰ τῶν Ἑλλή- ˋα.ν.
νων ἀρχῇ πραττομένῃ, "μείζων ἂν δοθείη δω- "κρείττων.ζ.
492 ρεὰ συμπασῶν ὧν τοῖς ἄλλοις δεδώκατε. ἀλλ' οὔτ' ἂν ἐγὼ ταῦτα φήσαιμι· ἀδι-
κοίην γὰρ ἂν ὑμᾶς, οὔτ' ἂν ὑμεῖς εὖ οἶδ' ὅτι "συγχωρήσαιτε. οὗτος δὲ εἰ * δίκαια "συγχωρήσαι-τε.α.
ἐποίει, οὐκ ἂν ἕνεκα τῆς πρὸς ἐμὲ ἔχθρας, τὰ μέγιστα τῶν ὑμετέρων καλῶν ἔβλα- *τὰ.α.ε.ν.
πτε καὶ διέβαλλεν. ἀλλὰ τί ταῦτ' ἐπιτιμῶ, πολλῷ σχετλιώτερα ἄλλα κατηγορη-
493 κότος αὐτοῦ καὶ κατεψευσμένου· ὃς γὰρ ἐμοῦ φιλιππισμόν, ὦ γῆ καὶ θεοί, κατη-
γορεῖ, τί οὗτος οὐκ ἂν εἴποι. καίτοι, νὴ τὸν Ἡρακλέα καὶ πάντας ˋτοὺς' θεούς, εἴγ' ἐπ' ˋα.
ἀληθείας δέοι 'σκοπεῖσθαι, τὸ "καταψεύδεσθαι, καὶ δι' ἔχθραν τι λέγειν ἀνελόντας 'σκοπεῖν ζ.
ἐκ μέσου, τίνες ὡς ἀληθῶς εἰσίν, οἷς ἂν εἰκότως καὶ δικαίως τὴν τῶν γεγενημένων "καταψεῦσθαι. α.ε.ν.
494 αἰτίαν ἐπὶ τὴν κεφαλὴν ἀναθεῖεν ἅπαντες, τοὺς ὁμοίους τούτῳ παρ' ἑκάστῃ τῶν πό-
λεων "εὕροι τις ἄν, οὐχὶ τοὺς ἐμοί. οἳ ὅτ' ἦν ἀσθενῆ τὰ Φιλίππου πράγματα καὶ κο- "εὕροιτ' ἄν. α.ν.
μιδῇ μικρά, πολλάκις προλεγόντων "ἡμῶν, καὶ παρακαλούντων, καὶ διδασκόντων "ὑμῶν.ν.
τὰ βέλτιστα, τῆς ἰδίας ἕνεκ' αἰσχροκερδείας, τὰ κοινῇ συμφέροντα προΐεντο. τοὺς ὑ-
495 πάρχοντας ἕκαστοι πολίτας ἐξαπατῶντες καὶ διαφθείροντες, ἕως δούλους ἐποίησαν.
Θετταλούς, Δάοχος, Κινέας, "Θρασύδαος. Ἀρκάδας, Κερκιδᾶς, Ἱερώνυμος, Εὐκαλπί- "θρασύλαος.
δας. Ἀργείους, Μύρτης, Τελέδαμος, Μνασέας. Ἠλείους, Εὐξίθεος, Κλεότιμος, Ἀρί- κερκίδας. εὐ-καμπίδας.
σταιχμος. Μεσσηνίους, οἱ Φιλιάδου τοῦ θεοῖς ἐχθροῦ παῖδες, Νέων, καὶ Θρασύλοχος. Σι- τελέδαμος.
496 κυωνίους, Ἀρίστρατος, Ἐπιχάρης. Κορινθίους, Δείναρχος, Δημάρετος. Μεγαρέας, Πτοιό- μνασίας. ἠλεί-ους.α.β.ε.ζ.
δωρος, Ἕλιξος, Περίλαος. Θηβαίους, Τιμόλαος, Θεογείτων, Ἀνεμοίτας. Εὐβοέας, Ἵππαρ- τὶς.α ἥλιξος.
χος, Κλείταρχος, Σωσίστρατος. ἐπιλείψει με λέγοντα ἡ ἡμέρα τὰ τῶν προδοτῶν α. περίλαος.
ὀνόματα. οὗτοι πάντες εἰσίν, ἄνδρες Ἀθηναῖοι, τῶν αὐτῶν βουλευμάτων ἐν ταῖς αὐτῶν α. ἱππαρχίτων.α
497 πατρίσιν, ὧνπερ οὗτοι παρ' ὑμῖν, ἄνθρωποι μιαροὶ καὶ κόλακες, καὶ ἀλάστορες, ἠκρω- °θρασύμαχος.ν.
τηριασμένοι τὰς ἑαυτῶν ἕκαστοι πατρίδας, τὴν ἐλευθερίαν προπεπωκότες, πρό-
τερον μὲν Φιλίππῳ, νῦν δὲ Ἀλεξάνδρῳ, τῇ γαστρὶ μετροῦντες καὶ τοῖς αἰσχίστοις τὴν
εὐδαιμονίαν. τὴν δ' ἐλευθερίαν καὶ τὸ μηδένα ἔχειν δεσπότην αὐτῶν, ἃ τοῖς προ-
498 τέροις Ἕλλησιν ὅροι τῶν ἀγαθῶν ἦσαν καὶ κανόνες, 'ἀνατετροφότες. ταύτης τοίνυν τῆς 'ἀναπεπτρα-φότες.β.ε.ζ.
οὕτως αἰσχρᾶς καὶ περιβοήτου συστάσεως καὶ κακίας, μᾶλλον δέ, ˋὦ ἄνδρες Ἀθηναῖοι, ˋα.ν.
προδοσίας, εἰ δεῖ μὴ ληρεῖν, τῆς τῶν Ἑλλήνων ἐλευθερίας, ἥ τε πόλις παρὰ πᾶσιν ἀν-
θρώποις ἀναίτιος γέγονεν ἐκ τῶν ἐμῶν πολιτευμάτων, καὶ ἐγὼ παρ' ὑμῖν. εἶτά μ' ἐρω-
499 τᾷς ἀντὶ ποίας ἀρετῆς ἀξιῶ τιμᾶσθαι; ἐγὼ "δή σοι λέγω, ὅτι τῶν πολιτευομένων "ἤδη.ζ.

παρὰ

παρὰ τοῖς νῦν διαφθαρέντων ἁπάντων ἀρξα-
μένων ἀπὸ σοῦ, πρότερον μὲν ὑπὸ Φιλίππου, νῦν
δ' ὑπ' Ἀλεξάνδρου, ἐμὲ οὔτε καιρὸς, οὔτε φιλανθρω-
πία λόγων, οὔτ' ἐπαγγελιῶν μέγεθος, οὔτ' ἐλπὶς, οὔτε
οὐδὲν α. φόβος, οὔτε χάρις, οὔτ' ἄλλο οὐδὲν ἐπῆρεν, οὐδὲ προη- 500
γάγετο ὧν ἔκρινα δικαίων καὶ συμφερόντων τῇ πα-
τρίδι, οὐδὲν προδοῦναι. οὐδ' ὅσα συμβεβούλευκα
τούτοις. α. πώποτε τουτοισὶ ὁμοίως ὑμῖν, ὥσπερ ἂν εἰ ἐν τρυ-
α. τάνῃ, ῥέπων ἐπὶ τὸ λῆμμα συμβεβούλευκα. ἀλλ' ἀ-
α. π' ὀρθῆς, καὶ δικαίας, καὶ ἀδιαφθόρου τῆς ψυχῆς, πάν- 501
τα μοι πέπρακται. καὶ μεγίστων δὴ πραγμάτων
α. ε. τῶν κατ' ἐμαυτὸν ἀνθρώπων προστὰς, πάντα ταῦ-
καὶ ἁπλῶς. α. ε. θ' ὑγιῶς καὶ δικαίως* πεπολίτευμαι. διὰ ταῦτ' ἀ-
ξιῶ τιμᾶσθαι. τὸν δὲ τειχισμὸν τοῦτον ὃν σύ μου διέ-
ταφρείαν. α. συρες καὶ τὴν ταφρείαν, ἄξια μὲν χάριτος καὶ ἐπαί- 502
α. νου κρίνω· πῶς γὰρ οὔ. πόρρω μέντοι που τῶν ἐμαυτῷ
α. πεπολιτευμένων τίθεμαι. οὐ γὰρ λίθοις ἐτείχισα τὴν πόλιν, οὐδὲ πλίνθοις ἐγὼ, οὐ
βούλῃ. α. ε. ν. δ' ἐπὶ τούτοις μέγιστον τῶν ἐμαυτοῦ φρονῶ. ἀλλ' ἐὰν τὸν ἐμὸν τειχισμὸν βούλῃ δι-
α. καίως σκοπεῖν, εὑρήσεις ὅπλα, καὶ πόλεις, καὶ τόπους, καὶ λιμένας, καὶ ναῦς, καὶ πολ-
λοὺς ἵππους, καὶ τοὺς ὑπὲρ τούτων ἀμυνουμένους. ταῦτα προὐβαλόμην ἐγὼ πρὸ 503
πόλιν. ει τῆς Ἀττικῆς, ὅσον ἦν ἀνθρωπίνῳ λογισμῷ δυνατὸν, καὶ τούτοις ἐτείχισα τὴν χώ-
α. ραν, οὐχὶ τὸν κύκλον μόνον τοῦ Πειραιῶς, οὐδὲ τοῦ ἄστεος. οὐδέ γ' ἡττήθην ἐγὼ τοῖς
λογισμοῖς Φιλίππου. πολλοῦ γε καὶ δεῖ, οὐδὲ ταῖς παρασκευαῖς. ἀλλ' οἱ τῶν συμ-
μάχων στρατηγοὶ, καὶ αἱ δυνάμεις τῇ τύχῃ. τίνες αἱ τούτων ἀποδείξεις; ἐναργεῖς 504
χρῆν. α. καὶ φανεραί. σκοπεῖτε δέ. τί χρῆν τὸν εὔνουν πολίτην ποιεῖν, τί τὸν μετὰ πάσης προ-
νοίας καὶ προθυμίας καὶ δικαιοσύνης ὑπὲρ τῆς πατρίδος πολιτευόμενον. οὐκ
τῆς. α. ἐκ μὲν* θαλάττης τὴν Εὔβοιαν προβαλέσθαι πρὸ τῆς Ἀττικῆς, ἐκ δὲ τῆς με-
σογείας τὴν Βοιωτίαν, ἐκ δὲ τῶν πρὸς Πελοπόννησον τόπων, τοὺς ὁμόρους ταύτῃ; οὐ 505
σιτοπομπίαν. α. τὴν σιτοπομπείαν, ὅπως παρὰ πᾶσαν φιλίαν ἄχρι τοῦ Πειραιῶς κομισθήσεται
προϊδέσθαι. β. προὐιδέσθ. ζ. προϊδέσθαι; καὶ τὰ μὲν σῶσαι τῶν ὑπαρχόντων, ἐκπέμποντα βοηθείας, καὶ λέγοντα
προκόννησον. α. καὶ γράφοντα τοιαῦτα, τὴν Προκόννησον, τὴν Χερρόνησον, τὴν Τένεδον, τὰ δ' ὅπως οἰκεῖα
προνησο. ζ. καὶ σύμμαχ' ὑπάρξῃ, πρᾶξαι τὸ Βυζάντιον, τὴν Ἄβυδον, τὴν Εὔβοιαν; καὶ τῶν μὲν τοῖς 506
χερρόνησον. α ὑπάρξῃ. α. ἐχθροῖς ὑπαρχουσῶν δυνάμεων, τὰς μεγίστας ἀφελεῖν. ὧν δ' ἐνέλιπε τῇ πόλει, ταῦτα
ἐνέλειπε. α. προσθεῖναι. ταῦτα τοίνυν ὑμῖν ἅπαντα πέπρακται τοῖς ἐμοῖς ψηφίσμασι, καὶ τοῖς
α. ἐμοῖς πολιτεύμασιν. ἃ καὶ βεβουλευμένα, ὦ ἄνδρες Ἀθηναῖοι, ἐὰν ἄνευ φθόνου τις
βεβουλευμένοις. ν. βούληται σκοπεῖν, ὀρθῶς εὑρήσει, καὶ πεπραγμένα πάσῃ δικαιοσύνῃ, καὶ τὸν ἑκάστου 507
α. καιρὸν οὐ παρεθέντα, οὐδ' ἀγνοηθέντα, οὐδὲ προεθέντα ὑπ' ἐμοῦ, καὶ ὅσα εἰς ἀν-
δρὸς ἑνὸς δύναμιν καὶ λογισμὸν ἧκεν, οὐδὲν ἐλλειφθέν. εἰ δ' ἢ δαίμονός τινος, ἢ τύχης,
ἐαθέντα. ζ. ἢ τῶν στρατηγῶν φαυλότης, ἢ τῶν προδιδόντων τὰς πόλεις ὑμῶν κακία, ἢ πάντα
προεθέντα. α ταῦτα ἅμα ἐλυμαίνετο τοῖς ὅλοις, ἕως ἀνέτρεψε, τί Δημοσθένης ἀδικεῖ; εἰ δ' οἷος 508
α. ἦν ἐγὼ παρ' ὑμῖν κατὰ τὴν ἐμαυτοῦ τάξιν, εἷς ἐν ἑκάστῃ τῶν Ἑλληνίδων πόλεων ἀ-
ἀνέτρεψε. α. α. νὴρ ἐγένετο, μᾶλλον δ' εἰ ἕνα ἄνδρα μόνον Θετταλία, καὶ ἕνα ἄνδρα Ἀρκαδία,

Ἐπῆρεν) Ἦρεν, παρεκίνησεν. 500
Προηγάγετο) Ἐξήγαγε.
Ἀδιαφθόρου) Ἀδωροδοκήτου. 501
Τῶν κατ' ἐμαυτὸν) Τῶν κατὰ
τὴν ἐμὴν τάξιν. Προστὰς) Προ-
στάτης γενόμενος. Τὸν δὲ τειχισμὸν)
Τὸν καθαιρεσμὸν τῆς τάφρου. Τί-
θεμαι) Λογίζομαι. Οὐδ' ἐπὶ τού- 502
τοις) Οὐκ ἐπὶ τῷ τειχισμῷ καὶ ἐπὶ τῇ
ταφρείᾳ μέγα φρονῶ, ἀλλ' ἐπὶ τῇ ἑ-
τέρων ἐμοῦ πράξεων. Προὐβα- 503
λόμην) Φυλακτήριον ἔθηκα ἔμπροσ-
θεν τῆς Ἀττικῆς. Λογισμοῖς) Ἐν-
θυμήμασι. Παρασκευαῖς) Πα-
ρατάξεσι τῶν ὁπλιτῶν. Τῇ τύχῃ) 504
Ἡττήθησαν ὑπὸ τῆς τύχης.
Ἀποδείξεις) Ὅτι οὐχ ἡττήθην ἐ-
γώ. Ὁμόρους) Γείτονας τῇ Ἀττικῇ. 505
Παρὰ πᾶσαν φιλίαν) Διὰ πάσης
φιλικῆς γῆς. Φαυλότης) Ἀσθένεια. 507
Ἐλυμαίνετο) Λύμην καὶ βορὰν ἐ- 508
ποίησεν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

511 Ἀναμφισβητήτως) Ὁμολογουμέ-
512 νως. Θεραπεύειν) Διὰ ἐπιμελείας ἔ-
χειν. Βασκαίνειν) Φθονεῖν. Ἡσυ-
χίαν ἄγειν) Χρὴ τὸν ἀγαθὸν πολίτην.
513 Ὕπουλον) Δολεράν. Ἁπλῶς) Ἀ-
514 περιέργως. Ἀνθρώπινα) Συμ-
πτώματα δηλαδή. Συνείρει) Συμ-
πλέκει. Ἀπνευστί) Ἀδιακόπως.
515 Τῆς μελέτης) Τῆς περὶ τοὺς λόγους
516 φροντίδος δηλαδή. Θέσεις) Εἰσα-
γωγάς. Ἀποδειχθεῖσι) Φανεροῖς.
Τοῖς ἄνω) Παλαιοῖς. Οὐχ ὁπο-
στοσοῦν) Ἤγουν ἐν οὐδενὶ ἀριθμῷ.
517 Πράξαντος) Ὑπουργήσαντος.
Ξενικῶν) Συμμάχων. Ἐπι-
σκευὴ) Ἀνάκλησις.

ταῦτα φρονοῦντα ἔχειν ἐμοί, οὐδεὶς οὔτε τῶν ἔξω πο-
λλῶν Ἑλλήνων, οὔτε τῶν εἴσω, τοῖς πρὸς ὑμᾶς κακοῖς ἐκεχειρή-
509 τ' ἄν. ἀλλὰ πάντες ἂν ὄντες ἐλεύθεροι, καὶ αὐτόνομοι,
μετὰ πάσης ἀδείας ἀσφαλῶς, ἐν εὐδαιμονίᾳ τὰς ἑ-
αυτῶν ᾤκουν πατρίδας, τὴν τοσούτων καὶ τοιούτων
ἀγαθῶν ὑμῖν καὶ τοῖς ἄλλοις Ἀθηναίοις ἔχοντες χά-
ριν δι' ἐμέ. ἵνα δ' εἰδῆτε, ὅτι πολλῷ τοῖς λόγοις ἐλάτ-
510 τοσι χρῶμαι τῶν ἔργων, εὐλαβούμενος τὸν φθόνον,
λέγε μοι ταυτί, καὶ ἀνάγνωθι λαβὼν τὸν ἀριθμὸν τῶν
βοηθειῶν κατὰ τὰ ἐμὰ ψηφίσματα.

Ἀριθμὸς βοηθειῶν, κατὰ τὰ ἐμὰ ψηφίσματα.

Ταῦτα καὶ τὰ τοιαῦτα πράττειν Αἰσχίνη τὸν καλὸν κά-
511 γαθὸν πολίτην δεῖ. ὧν κατορθουμένων μὲν ὦ γῆ καὶ θεοί, ἐν μεγίστοις ἀναμφισβη-
τήτως ὑπῆρχεν εἶναι, καὶ τὸ δικαίως προσῆν, ὡς ἑτέρως δὲ συμβαινόντων, τὸ γοῦν εὐδο-
κιμεῖν περίεστι, καὶ τὸ μηδένα μέμφεσθαι τὴν πόλιν, μηδὲ τὴν προαίρεσιν αὐτῆς.
ἀλλὰ τὴν τύχην κακίζειν, τὴν οὕτω τὰ πράγματα κρίνασαν, οὐ μὰ Δί' οὐκ ἀπο-
512 στάντα τῶν συμφερόντων τῇ πόλει, μισθώσαντα δ' αὑτὸν τοῖς ἐναντίοις, τοὺς ὑπὲρ τῶν
ἐχθρῶν καιρούς, ἀντὶ τῶν *τῆς πατρίδος, θεραπεύειν. οὐδὲ τὸν μὲν πράγματα ἄ-
ξια τῆς πόλεως ὑποστάντα λέγειν καὶ γράφειν, καὶ μένειν ἐπὶ τούτων, βασκαίνειν.
ἐὰν δέ τις ἰδίᾳ τι λυπήσῃ, τοῦτο μεμνῆσθαι καὶ τηρεῖν, οὐδ' ἡσυχίαν ἄγειν ἄδικον
513 καὶ ὕπουλον, ὡς σὺ ποιεῖς πολλάκις. ἔστι γὰρ ἔστιν ἡσυχία δικαία καὶ συμφέρουσα
τῇ πόλει, ἣν οἱ πολλοὶ τῶν πολιτῶν ὑμεῖς ἁπλῶς ἄγετε. ἀλλ' οὐ ταύτην οὗτος ἄγει
τὴν ἡσυχίαν. πολλοῦ γε καὶ δεῖ. ἀλλ' ἀποστὰς ὅταν αὐτῷ δόξῃ τῆς πολιτείας, πολ-
λάκις δὲ δοκεῖ, φυλάττει ὁπηνίκα *ἔστε μεστοὶ τοῦ συνεχῶς λέγοντος, ἢ παρὰ τῆς
514 τύχης τι συμβέβηκεν ἐναντίωμα, ἢ ἄλλο τι δύσκολον γέγονε. πολλὰ δὲ τὰ ἀνθρώ-
πινα. εἶτ' ἐπὶ τούτῳ τῷ καιρῷ ῥήτωρ ἐξαίφνης ἐκ τῆς ἡσυχίας, ὥσπερ πνεῦμα
ἐφάνη. καὶ πεφωνασκηκώς, καὶ συνειλεχὼς ῥήματα καὶ λόγους, συνείρει τούτους σα-
φῶς καὶ ἀπνευστί, ὄνησιν μὲν οὐδεμίαν φέροντας, οὐδ' ἀγαθοῦ κτῆσιν οὐδενός, συμ-
515 φορὰν δὲ τῷ τυχόντι τῶν πολιτῶν καὶ κοινὴν αἰσχύνην. καίτοι ταύτης τῆς μελέτης
καὶ τῆς ἐπιμελείας Αἰσχίνη, εἴπερ ἐκ ψυχῆς δικαίας ἐγίγνετο, καὶ τὰ τῆς πατρίδος
συμφέροντα προῃρημένης, τοὺς καρποὺς ἔδει γενναίους καὶ καλοὺς καὶ πᾶσιν ὠφε-
λίμους εἶναι, συμμαχίας πόλεων, πόρους χρημάτων, ἐμπορίου κατασκευήν, νόμων
516 συμφερόντων θέσεις. τοῖς ἀποδειχθεῖσιν ἐχθροῖς ἐναντιώματα. τούτων γὰρ ἁπάντων
ἦν * ἐν τοῖς ἄνω χρόνοις ἐξέτασις. καὶ ἔδωκεν ὁ παρελθὼν χρόνος πολλὰς ἀποδείξεις
*ἀνδρὶ καλῷ τε καὶ ἀγαθῷ. ἐν οἷς οὐδαμοῦ σὺ φανήσῃ γεγονώς, οὐ πρῶτος, οὐ δεύ-
τερος, οὐ τρίτος, οὐ τέταρτος, οὐ πέμπτος, οὐχ ἕκτος, οὐχ ὁποστοσοῦν. οὔκουν ἐπί γε
517 οἷς ἡ πατρὶς ηὐξάνετο. τίς γὰρ συμμαχία σοῦ πράξαντος γέγονε τῇ πόλει. τίς δὲ
βοήθεια, ἢ κτῆσις εὐνοίας, ἢ δόξης. τίς δὲ πρεσβεία. τίς διακονία, δι' ἣν ἡ πόλις ἐν-
τιμοτέρα γέγονε. τί τῶν οἰκείων, ἢ τῶν Ἑλληνικῶν καὶ ξενικῶν, οἷς ἐπέστης, ἐπηνώρθωται
διὰ σέ. ποῖαι τριήρεις, ποῖα βέλη, ποῖοι νεώσοικοι, τίς ἐπισκευὴ τειχῶν, ποῖον ἱππι-
518 κόν. τί τῶν ἁπάντων σὺ χρήσιμος εἶ, τίς ἢ τοῖς εὐπόροις, ἢ τοῖς ἀπόροις, πολιτικὴ
καὶ κοινὴ βοήθεια χρημάτων παρὰ σοῦ; οὐδεμία. ἀλλ' ὦ τᾶν, εἰ μηδὲν τούτων, εὔνοιά γε

καὶ προ-

ἔχειν. α. ε. η.
λαβέ. α.
α.
μεγίστης ἀ-
ναμφισβητή-
τως. ζ.
κρίνουσαν. ε.
η.
ὑπὲρ. ε.
ὑπὸ. η.
ἐπὶ προση-
μένον βασκαί-
νειν. α. ε. ζ.
οὐδέν. α.
ὕπουλον. α.
φυλάττειν. α.
ὑμεῖς. α. ε. η.
αἰ ἐφάνη. α.
συνειλοχὼς. α.
καὶ. ε. η.
καὶ. η.
οὐκοῦν. α.
ἐφ' οἷς. η. ζ.
ἐφ' ἃ. α. ε. η.
ἐφ' οἷς. β.
νεώσοικοι. α.
ε. η.
γέγονας. α. ε.
η.
πάντων. α.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ προθυμία, ποῦ; πότε; ὅς τις, ὦ πάντων ἀδικώ-
τατε, οὐδ᾽ ὅτε ἅπαντες ὅσοι πώποτ᾽ ἐφθέγξαντο
ἐπὶ τοῦ βήματος, εἰς σωτηρίαν ἐπεδίδοσαν. καὶ τὸ
τελευταῖον Ἀριστόνικος τὸ συνειλεγμένον ἀργύριον 519
εἰς τὴν ἐπιτιμίαν, οὐδὲ τότε οὔτε παρῆλθες, οὔτε
ἐπέδωκας οὐδέν. οὐκ ἀπορῶν. πῶς γάρ, ὅς γε κεκλη-
ρονόμηκας μὲν τῶν Φίλωνος τοῦ κηδεστοῦ χρημάτων
πλειόνων, ἢ πέντε ταλάντων. διτάλαντον δ᾽ εἶχες
ἔρανον δωρεὰν παρὰ τῶν ἡγεμόνων τῶν συμμοριῶν. 520
ἐφ᾽ οἷς ἐλυμήνω τὸν τριηραρχικὸν νόμον. ἀλλ᾽ ἵνα
μὴ λόγον ἐκ λόγου λέγων, τοῦ παρόντος ἐμαυτὸν
* γ.α.κ. ἐκκρούσω, παραλείψω ταῦτα. ἀλλ᾽ ὅτι * οὐχὶ δι᾽
ἔνδειαν οὐκ ἐπέδωκας, ἐκ τούτων δῆλον. ἀλλὰ φυ-
λάττων τὸ μηδὲν ἐναντίον γενέσθαι παρὰ σοῦ, τούτοις 521
οἷς ἅπαντα πολιτεύῃ. ἐν τίσιν οὖν σὺ νεανίας, καὶ πη-

Ἐπεδίδοσαν) Συνεκρότουν. 51
Ἐπιτιμίαν) Διὰ τιμὴν τῆς πό- 51
λεως. Ἡγεμόνων τῶν συμμοριῶν) 51
Ἀρχόντων τῶν πραγμάτων τῶν ναυ-
τικῶν. Ἐκκρούσω) Ἐκβαλῶ.
Τούτων) τῶν πολιτῶν. Συ-
ζῶντα) Νῦν δηλονότι. Ὑπεστί τις) 52
Ὕπεστιν ἐκείνοις φθόνος. Κρίνο-
μαι) Ἐξετάζομαι. Θεωροῦμαι) 52
Παραβάλλομαι.
Διὰ τὰς τῶν προτέρων εὐεργε-
σίας) Διὰ ταύτας δηλαδὴ οὔσας
μεγάλας κατηγορεῖν, καὶ τὰς παρ᾽
ἡμῶν γινομένας τῇ πόλει οὔσας οὐκ
ἀναξίας ἐκείνων.
Οἱ διασύροντες) Οἱ διαβάλλοντες. 52
Τοὺς ζῶντας) τὸν νῦν χρόνον δη- 52
λονότι.
Οὐδενὶ ἐξίσταμαι) Οὐδενὶ παρα- 52
χωρῶ τῶν προτέρων δηλαδή.

νίκα λαμπρός; ἡνίκ᾽ ἂν εἰπεῖν τι κατὰ τούτων δέοι, ἐν τούτοις λαμπροφωνότατος,
μνημονικώτατος, ὑποκριτὴς ἄριστος, τραγικὸς, Θεοκρίνης. εἶτα τῶν πρότερον γεγε-
° μὴν δὲ ζ. νημένων ἀνδρῶν ἀγαθῶν μέμνησαι. καὶ καλῶς ποιεῖς. οὐ ° μέντοι δίκαιόν ἐστιν, ὦ ` ἄν-
` α. δρες Ἀθηναῖοι, τὴν πρὸς τοὺς τετελευτηκότας εὔνοιαν ὑπάρχουσαν προσλα- 522
βόντα παρ᾽ ὑμῶν, πρὸς ἐκείνους ἐξετάζειν καὶ παραβάλλειν ἐμέ, τὸν συζῶντα μεθ᾽
ὑμῶν. τίς γὰρ οὐκ οἶδε τῶν πάντων, ὅτι τοῖς μὲν ζῶσι πᾶσιν ὕπεστί τις ἢ πλείων, ἢ
ἐλάττων φθόνος. τοὺς τεθνεῶτας δέ, οὐδὲ τῶν ἐχθρῶν οὐδεὶς ἔτι μισεῖ. οὕτως οὖν ἐχόν-
των τούτων τῇ φύσει, πρὸς τοὺς πρὸ ἐμαυτοῦ νῦν ἐγὼ κρίνομαι, καὶ θεωροῦμαι; 523
* ἐστὶν. κ. μηδαμῶς. οὔτε γὰρ δίκαιον, οὔτ᾽ ἴσον * αἰσχίνη, ἀλλὰ πρὸς σέ, καὶ ἄλλον ° εἴ τινα
° ὅν.α.ε. βούλει, τῶν ταὐτὰ ` σοὶ προῃρημένων καὶ ζώντων. κἀκεῖνο σκόπει πότερον κάλλιον
` α. καὶ ἄμεινον τῇ πόλει, διὰ τὰς τῶν ¨ προτέρων εὐεργεσίας οὔσας ὑπερμεγέθεις, οὐ-
° σκόπει.α. δ᾽ ὅσον εἴποι τις ἂν ἡλίκας, τὰς ἐπὶ τὸν παρόντα βίον γιγνομένας, εἰς ἀχαριστίαν 524
¨ προτέρων.α. καὶ προπηλακισμὸν ἄγειν, ἢ πᾶσιν, ὅσοι τι μετ᾽ εὐνοίας πράττουσι, τῆς παρὰ τού-
` α.ε. των τιμῆς καὶ φιλανθρωπίας μετεῖναι. καὶ μήν, εἰ ` καὶ ' τοῦτ᾽ ἄρα δεῖ με εἰπεῖν,
ἡ μὲν ἐμὴ πολιτεία καὶ προαίρεσις ἄν τις ὀρθῶς σκοπῇ, ταῖς τῶν τότε ἐπαινου-
° ἄλλοις. μένων ἀνδρῶν ὁμοία, καὶ ταὐτὰ βουλομένη φανήσεται, ἡ δὲ σή, ταῖς τῶν τοὺς ° τοιού- 525
` α. τους ` τότε συκοφαντούντων. δῆλον γὰρ ὅτι ` καὶ ' κατ᾽ ἐκείνους ἦσάν τινες τοὺς χρό-
¨ οἱ διέσυρον νους, ¨ οἱ διασύροντες τοὺς ὄντας τότε, τοὺς δὲ πρότερον γεγενημένους ἐπῄνουν,
μὲν τούς.α. βάσκανον πρᾶγμα καὶ ταὐτὸ ποιοῦντες σοί. εἶτα λέγεις ὡς οὐδὲν ὅμοιός εἰμι
ἐκείνοις ἐγώ; σὺ δ᾽ ὅμοιος αἰσχίνη; ὁ δ᾽ ἀδελφὸς ὁ σός; ἄλλος δέ τις τῶν νῦν ῥητόρων; 526
` ε.κ. ἐγὼ μὲν ` γὰρ ' οὐδένα φημί. ἀλλὰ πρὸς τοὺς ζῶντας ὦ χρηστέ, ἵνα μηδὲν ἄλλο εἴ-
° κατὰ σαυτόν. πω, τὸν ζῶντα ἐξέταζε. καὶ τοὺς ° καθ᾽ αὑτόν, ὥσπερ τἄλλα πάντα. τοὺς ποιητάς. τοὺς
α.κ. χορούς. τοὺς ἀγωνιστάς. ὁ Φιλάμμων, οὐχ ὅτι Γλαύκου τοῦ Καρυστίου καὶ τινῶν ` ἑτέρων '
` α. πρότερον γεγενημένων ἀθλητῶν ἀσθενέστερος ἦν, ἀστεφάνωτος ἐκ τῆς Ὀλυμπίας 527
* οὐδ᾽.κ. ἀπῄει, ἀλλ᾽ * ὅτι τῶν εἰσελθόντων πρὸς αὐτὸν ἄριστα ἐμάχετο, ἐστεφανοῦτο, καὶ νι-
° αὐτόν.α. κῶν ἀνηγορεύετο, καὶ σύ, πρὸς τοὺς νῦν ὅρα με ῥήτορας, πρὸς ° σαυτόν. πρὸς ὅν τινα
βούλει τῶν ἁπάντων, οὐδενὶ ἐξίσταμαι, ὧν ὅτε μὲν τῇ πόλει τὰ βέλτιστα ἑλέσθαι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

528 Ἐφαμίλλου) Ἴσης. Ἐν κοινῷ) Εἰς τὴν κοινότητα. Διῳκεῖτο) Ὠικονομεῖτο.
529 Μισθαρνεῖν) Δωροδοκεῖν.
530 Ἀσθενής) Ἐπὶ πτωχίας. Μέτριον πολίτην) Τὴν ἰσότητα ἀγαπῶντα τῆς πόλεως, ἤγουν τῆς πολιτείας. Ἀνεπιφθονώτατον) Ἀμεμπτότατον. Τοῦ γενναίου) Γενναιότητα.
531 Τούτου) Τῆς εὐνοίας. Φύσις) Τοῦ ἀνθρώπου. Ἕτερα) Τῆς τύχης. Ταύτην) Τὴν εὔνοιαν. Παρ' ἐμοὶ μεμενηκυῖαν) Ἐφ' ἡμῖν ἐστὶ τὸ ἀγαπᾶν.
532 Τὸ γὰρ ἐξ ἀρχῆς) Τοῦ πολιτεύεσθαί με.
533 Τούτοις) Τοῖς φιλιππίζουσι.
534 Διαμενεῖ) Ἤγουν ἡ εὐτυχία τῶν ἐχθρῶν.
535 Ἐξώλεις) Ἐξώλης ὁ ἄξιος ἀπωλείας, προώλης δὲ ὁ πρὸ τοῦ καιροῦ τοῦ θανεῖν αὐτὸν φθαρείς.

528 παρὰ τὴν ἐφάμιλλον τῆς εἰς τὴν πατρίδα εὐνοίας ἐν
κοινῷ πᾶσι κειμένης, ἐγὼ *κράτιστα λέγων ἐφαινό- *τὰ βέλτιστα. α.
μην. καὶ τοῖς ἐμοῖς ψηφίσμασι, καὶ νόμοις, καὶ πρε-
σβείαις, ἅπαντα διῳκεῖτο. ὑμῶν δ' οὐδεὶς ἦν οὐδα-
μοῦ, πλὴν εἰ τούτοις ἐπηρεάσαι τι δέοι. ἐπειδὴ δ' ἃ
529 μή ποτ' ὤφελε συνέβη, καὶ οὐκ ἔτι συμβούλων,
ἀλλὰ τῶν τοῖς °ἐπιταττομένοις ὑπηρετούντων, καὶ °ἐπιταττομένοις. α. ε. π.
τῶν κατὰ τῆς πατρίδος μισθαρνεῖν ἑτοίμων, καὶ τῶν
κολακεύειν ἑτέροις βουλομένων ἐξέτασις ἦν, τηνι-
καῦτα σὺ, καὶ τούτων ἕκαστος ἐν τάξει, καὶ μέγας, καὶ
530 λαμπρὸς ἱπποτρόφος. ἐγὼ δ' ἀσθενής, ὁμολογῶ.
ἀλλ' εὔνους μᾶλλον ὑμῶν, τουτοισί. δύο δ' ὦ ἄνδρες
ἀθηναῖοι ταῦτα, τὸν φύσει μέτριον πολίτην ἔχειν δεῖ.
οὕτω γάρ μοι περὶ ἐμαυτοῦ λέγοντι, ἀνεπιφθονώ-
τατον εἰπεῖν. ἐν μὲν *ταῖς ἐξουσίαις, τὴν τοῦ γενναίου καὶ `τὴν τοῦ' πρωτείου τῇ πό- *γὰρ ζ.
531 λει προαίρεσιν διαφυλάττειν, ἐν παντὶ δὲ καιρῷ καὶ πράξει, τὴν εὔνοιαν. τούτου `α.
γὰρ ἡ φύσις κυρία. τοῦ δύνασθαι δὲ καὶ ἰσχύειν, 'ἕτερα. ταύτην τοίνυν παρ' ἐμοὶ με- 'ἑτέρα. ζ.
μενηκυῖαν εὑρήσετε ἁπλῶς. ὁρᾶτε δέ. οὐκ ἐξαιτούμενος, οὐκ ἀμφικτυονικὰς δί-
κας ἐπαγόντων `μοι,' οὐκ ἀπειλούντων, οὐκ "ἀπαγγελλομένων, οὐχὶ τοὺς κατα- `α.
532 ράτους τούτους, ὥσπερ θηρία μοι προσβαλλόντων, οὐδαμῶς προδέδωκα ἐγὼ τὴν "ἐπαγγελλομένων.
εἰς ὑμᾶς εὔνοιαν. τὸ γὰρ ἐξ ἀρχῆς εὐθὺς ὀρθὴν καὶ δικαίαν τὴν ὁδὸν τῆς πολιτείας
εἱλόμην, τὰς τιμάς, τὰς δυναστείας, τὰς εὐδοξίας, τὰς τῆς πατρίδος θεραπεύειν,
ταύτας αὔξειν, μετὰ τούτων εἶναι. οὐκ ἐπὶ μὲν τοῖς ἑτέρων εὐτυχήμασι φαιδρὸς ἐγὼ
533 καὶ γεγηθὼς κατὰ τὴν ἀγορὰν περιέρχομαι, τὴν δεξιὰν προτείνων καὶ εὐαγγελι-
ζόμενος τούτοις, οὓς ἂν ἐκεῖσε ἀπαγγέλλειν οἴωμαι, τῶν δὲ τῆς πόλεως ἀγαθῶν πε-
φρικὼς ἀκούω, καὶ στένων καὶ κύπτων εἰς τὴν γῆν, ὥσπερ οἱ δυσσεβεῖς οὗτοι, οἳ τὴν
μὲν πόλιν διασύρουσιν, ὥσπερ οὐχ αὑτοὺς διασύροντες ὅταν τοῦτο ποιῶσιν. ἔξω
534 δὲ βλέπουσι. καὶ ἐν οἷς ἀτυχησάντων τῶν ἑλλήνων εὐτύχησεν ἕτερος, ταῦτ' ἐπαινοῦ-
σι. καὶ ὅπως τὸν ἅπαντα χρόνον 'διαμενεῖ, φασὶ δεῖν τηρεῖν. μὴ δῆτ' ὦ πάντες θεοί, 'μενεῖ α.
μηδεὶς ταῦθ' ὑμῶν ἐπινεύσειεν. ἀλλὰ μάλιστα μὲν, καὶ τούτοις βελτίω τινὰ νοῦν καὶ
φρένας ἐνθείητε. εἰ δ' ἄρα ἔχουσιν `οὕτως' ἀνιάτως, τούτους μὲν 'αὐτοὺς καθ' `ἑαυ- `α. 'αὐτοῖς. α.
535 τοὺς, ἐξώλεις `καὶ προώλεις' ἐν γῇ καὶ θαλάττῃ ποιήσατε. ἡμῖν δὲ τοῖς λοιποῖς, `α.
τὴν "ταχίστην ἀπαλλαγὴν τῶν ἐπηρτημένων φόβων δότε, καὶ σωτηρίαν ἀσφαλῆ. "μεγίστην. ε. β.

## ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ, ΤΟΥ ΠΕΡΙ ΤΗΣ παραπρεσβείας λόγου.

Αἰσχίνης ἦν ἀνὴρ ἀθηναῖος, υἱὸς ἀτρομήτου, καὶ γλαυκοθέας, ἀμφοτέρων ἀδόξων ὥς φησι δημοσθένης· τὸν μὲν γὰρ, γράμματα διδάσκοντα. τὴν δὲ, καθαίρουσαν, καὶ "τελετάς τινας `οὐ σπουδαίας διαγγέλλουσαν φησὶ διαζῆν. παραδέδοται δὲ καὶ αὐτὸς ὁ αἰσχίνης, τραγῳδιῶν τε ὑποκριτὴς γενόμενος, καὶ γραμματεὺς τῆς πόλεως, ἥτις ἦν εὐτελὴς ὑπηρεσία. ὕστερον μέντοι τῶν ῥητόρων εἷς ἐγένετο. καὶ περὶ τῆς εἰρήνης πρὸς φίλιππον ἐπρέσβευσε. πολεμοῦντες γὰρ *ἀθηναῖοι φιλίππῳ περὶ ἀμφιπόλεως, καὶ πολλὰ μὲν αὐτοὶ δεινὰ πάσχοντες, δρῶντες δὲ οὐδὲν ἄξιον λόγου, ἐπεθύμησαν ὑπὲρ εἰρήνης πρεσβεύσασθαι πρὸς τὸν φίλιππον. πέμπουσι δὲ πρέσβεις, δέκα τὸν ἀριθμόν. ἐν οἷς αἰσχίνης τε καὶ δημοσθένης ἦσαν. δεξαμένου δὲ φιλίππου τὰς διαλύσεις, πάλιν οἱ αὐτοὶ πρεσβεύουσι δεύτερον, ὅπως οἱ περὶ τῆς εἰρήνης ὅρκοι γένοιντο. περὶ δὲ ταῦτα τὰ πράγματα, κατηγορεῖ ὁ δημοσθένης αἰσχίνου, τρία. ὅτι φιλοκράτει αἰσχρὰν καὶ ἀσύμφορον εἰρήνην

"τελοῦσαν. ε. `ε. *οἱ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*α. ἔθος γὰρ ἦν τοὺς καλῶς πρεσβευσαμένους, εἰς δημόσιον ἀείσιτον καλεῖσθαι. Ἀποροῦσι δὲ* τινες, ὅτι εἰ ἠπίστατο
Δημοσθένης ὅτι προδόται ἦσαν, διατί ἐποίησεν αὐτοὺς κληθῆναι εἰς δημόσιον ἀείσιτον. Καὶ λέγομεν ὅτι μετὰ τὸ ἀεί-
σιτον, ἔγνω τὸν σκοπὸν αὐτῶν. τῆς δὲ τῆς δευτέρας πρεσβείας, μόνος ὁ Δημοσθένης δέδωκεν εὐθύνας. μέλλοντος δὲ τοῦ
*αἰσχίνου. α. Αἰσχίνου παρέχειν, ἐπέστη Τίμαρχος καὶ Δημοσθένης κατηγορήσοντες* τούτου. καὶ ᾔτησεν Αἰσχίνης ἀνάκρισιν γενέσθαι. καὶ
γενομένης ἀνακρίσεως, ἔδειξε Τίμαρχον ἡταιρηκότα, καὶ ἐξέβαλον αὐτόν. νόμος γὰρ ἦν τὸν ἡταιρηκότα μὴ πολι-
τεύεσθαι. εἶτα ἐπέστη κατηγορήσων ὁ Δημοσθένης. Καὶ λέγουσί τινες, πῶς ἐνταῦθα μέμνηται τῆς τρίτης πρεσβείας.
*καί. α. *Λέγομεν δ' ὅτι μετὰ τρία ἔτη τῆς γραφῆς, εἰσῆλθεν ἔχων τὴν κατηγορίαν. γενομένης γὰρ τῆς δευτέρας πρεσβείας,
μαθόντες οἱ Ἀθηναῖοι τὴν τῶν Φωκέων ἀπώλειαν, ἐσκευαγώγουν ἐκ τῶν ἀγρῶν, καὶ ἐν πολλῷ θορύβῳ ἦσαν. καὶ μετὰ
τρία ἔτη, εἰσῆλθεν ὁ Δημοσθένης κατηγορήσων Αἰσχίνου, καὶ κρίνει αὐτὸν διὰ δύο ἐγκλήματα. διὰ τὴν ἀπώλειαν
τῶν Φωκέων, καὶ διὰ δωροδοκίαν. Ἰστέον δὲ ὅτι προηγούμενόν ἐστιν ἔγκλημα, ὅτι Φωκεῖς ἀπολώλασι. πρὸς σύστασιν
*τοῦ. ζ. τούτου, δεύτερον ἐνέκυψε ζήτημα. ὅτι ἐπὶ χρήμασιν Αἰσχίνης τοῦτο πέπρακται. ὡς σύστασιν γίνεσθαι* τοῦ προτέρου ἐγκλή-
ματος τοῦ κατὰ Φωκέας. τεκμήριά ἐστι τοῦ πάλαι ταῦτα ἐσκευωρῆσθαι καὶ κατεσκευάσθαι, δι' ὧν ἅμα καὶ περιαιρεῖ
τὸ χρῶμα Αἰσχίνου, καταφεύγοντος ἐπὶ ἄγνοιαν καὶ συγγνώμην. καὶ τούτων τὰ μὲν, ἐκ τῶν παρειμένων εἴληφε· τὰ δὲ,
ἐκ τῶν πεπραγμένων. συνεῖπε γὰρ Φιλοκράτει, ἄνευ Φωκέων γράφοντι τὴν εἰρήνην. οὐκ ἔλαβεν ὅρκους παρὰ Θετ-
ταλῶν συμμαχούντων Φιλίππῳ. οἱ οὐκ ἂν συνεστράτευσαν ἐπὶ Φωκέας, εἴπερ δεδωκότες ἦσαν τοὺς ὅρκους. ἐνέδωκε
*ἐκεῖνο. α. Φιλίππῳ χρόνῳ παρασκευάσασθαι τὴν ἐπὶ Φωκέας στρατείαν. διέτριψε γὰρ* ἐκεῖνος τοὺς χρόνους ἐξεπίτηδες ἀνα-
λίσκων, ἵνα μὴ περιπλεύσας ὁ δῆμος, κλείσῃ τὰς Πύλας. ἐξηπάτησε τὴν πόλιν ἐπανελθὼν ἐπίτηδες διτταῖς ἐλπί-
*Θηβαῖοι α. σι. μιᾷ μὲν, ὅτι ἀπολοῦνται*. ἑτέρᾳ δὲ, ὅτι Φωκεῖς σωθήσονται. ὥστε μὴ ἐγχειρεῖσθαι βουλεύσασθαί τι δεξιὸν ὑπὲρ
*τῇ πόλει α. Φωκέων. εἶπε γὰρ δεῖν Φιλίππῳ πιστεύειν. σώσειν γὰρ αὐτοὺς* τῆς πόλεως ἐπηγγείλατο. καὶ τοῦ μὲν προτέρου ταῦτα τεκ-
*χρήματα. μήρια. τοῦ δὲ δευτέρου, τοῦ περὶ τῶν δώρων, ἐν ᾧ δείκνυται ὅτι* εἰλήφει Αἰσχίνης, ταῦτα τεκμήρια ὧν ὁμοίως τὰ μὲν
α. ἐκ τῶν παρειμένων ἐστὶ, τὰ δὲ ἐκ τῶν πεπραγμένων. οὐ μισεῖ Φίλιππον, καίπερ ἐξαπατηθεὶς ὑπ' αὐτοῦ ὥς φησι. συ-
*αὐτοῦ τῶν. α νεῖπε Φιλίππῳ γενέσθαι Ἀμφικτύονα, πρεσβευσαμένων περὶ* αὐτοῦ Ἀμφικτυόνων. σύνεστιν ἀεὶ Φιλοκράτει χρή-
*φιλοκρά- ματα εἰληφότι. καλούμενος ἐπὶ μαρτυρίαν ἡνίκα Ὑπερίδης εἰσήγγειλε* Φιλοκράτην, παρὼν οὐκ ἐφθέγξατο. χει-
τει α. ροτονηθεὶς πρεσβευτὴς ἐπὶ τὴν Φωκίδα πρὸς Φίλιππον ἐπὶ ταῖς ὑποσχέσεσιν, ἀρρωστεῖν προσεποιήσατο. ἀλόντων
Φωκέων ἐπὶ τὴν ἐξωμοσίαν, ἀχειροτόνητος πορεύεται, ὅτε καὶ φυλάξασθαι αὐτὸν ἐχρῆν. ταῦτα τὰ τεκμήρια τοῦ
δευτέρου λόγου. ἔστι δὲ τούτων τὸ ἰσχυρότερον, καὶ οὗ μάλιστα ἀντέχεται, ἡ ἐπαγγελία, καὶ ἡ ὑπόσχεσις Αἰσχίνου, ἡ πε-
ρὶ Θηβαίων καὶ Φωκέων.

Η μὲν ὑπόθεσις τοῦ λόγου, στοχαστική. οὐ γὰρ συντρέχει τοῖς ἐγκαλουμένοις Αἰσχίνης. ἀλλ' ἀρνεῖται παντάπασι. τὸ
*τοῦ λόγου. ζ. δὲ εἶδος*, οἱ μὲν, ἁπλοῦν νενομίκασιν, ὕλης πολλῆς ὡς ἐν ἀληθείᾳ συνδραμούσης. οἱ δὲ, συγκατασκευαζόμενον,
δύο λαβόντες ἐγκλήματα, τὸ κατὰ Φωκέας, καὶ Θρᾴκην. μὲν ἀνδρὸς δὲ ἐμπίπτοντά φησιν. εἴληπται δὲ ἐκ διαβολῆς τὸ
προοίμιον· δι' ὧν γὰρ αὐτὸν δεδιότα ποιεῖ καὶ δεόμενον, διὰ τούτων δείκνυσιν οὐ πάνυ τοῖς δικαίοις τεθαρρηκότα. καὶ
ἅμα συγκρουστικὸν ἂν εἴη τὸ ῥῆμα, ἐκ διαβολῆς τοῦ τε ἀντιδίκου καὶ τῶν συνηγόρων αὐτοῦ, ὅ ἐστι τοῦ Εὐβούλου, καὶ τῶν περὶ
αὐτόν. ἀεὶ γὰρ ὁ Εὔβουλος ἐπολέμει τῷ Δημοσθένει, ἀπὸ τῆς αἰτίας τῆς κατ' Ἀρίσταρχον, ὡς ἔγνωμεν ἐν τῷ κατὰ Μειδίου.

ΕΙΣ ΤΟΝ ΠΑΡΑπρεσβείας Δημοσθένους λόγον ἐξήγησις.

# ΔΗΜΟΣΘΕΝΟΥΣ, Ο ΠΕΡΙ ΤΗΣ ΠΑΡΑΠΡΕΣΒΕΙΑΣ ΛΟΓΟΣ.

1 ΟΣη μὲν ὦ ἄνδρες Ἀθηναῖοι *α.
σπουδὴ περὶ τουτονὶ τὸν ἀγῶνα καὶ
παραγγελία γέγονε, σχεδὸν οἶμαι
πάντας ὑμᾶς ᾐσθῆσθαι, ἑωρα-
κότας ἄρτι τοὺς ὅτε ἐκληροῦσθε,
2 ἐνοχλοῦντας καὶ προσιόντας ὑμῖν.

1 ΟΣΗ μὲν ὦ ἄνδρες Ἀθηναῖοι σπουδὴ περὶ τουτονὶ τὸν ἀγῶνα καὶ παραγγελία γέγονε, σχεδὸν οἶμαι πάντας ὑμᾶς ᾐσθῆσθαι.) Συγκρουστικὸν εὐθὺς τὸ προοίμιον, ἐκ διαβολῆς τοῦ τε ἀντιδίκου καὶ τῶν συνηγόρων αὐτοῦ. ὅ ἐστι, τοῦ Εὐβούλου καὶ τῶν περὶ αὐτόν. ἀεὶ γὰρ ὁ Εὔβουλος πολεμεῖ τῷ Δημοσθένει, ἐκ τῆς αἰτίας τῆς κατ' Ἀρίσταρχον, ὡς ἔγνωμεν ἐν τῷ κατὰ Μειδίου, σπουδὴ δὲ τοῦ Αἰσχίνου καὶ τῶν ἄλλων αὐτοῦ συνηγόρων· τὸ δὲ ἑωρακότας ἄρτι, κατασκευή ἐστι τῆς προτάσεως. δεῖ δὲ τὸν ῥήτορα, μὴ μόνον τὴν κρινομένην ὑπόθεσιν συνορᾶν, ἀλλὰ καὶ τὰ λυποῦντα περὶ τῆς ὑποθέσεως. ἐπεὶ τοίνυν ἑώρα συνεστηκότας οὐκ ὀλίγους περὶ τὸν Αἰσχίνην, καὶ Εὔβουλον ἄνδρα τῶν εὐδοκιμούντων ἕνα, πρὸς τούτους ἀποτεινόμενος, διδάσκει τοὺς ἀκούοντας πείθεσθαι τοῖς νόμοις καὶ τοῖς ὅρκοις μᾶλλον, ἢ τοῖς συνηγόροις. φυλακτέον δὲ ἐν προοιμίοις ἐπ' αὐτῶν τῶν ὀνομάτων ποιεῖσθαι τὰς διαβολάς· οὐ γὰρ ῥητορικὸν ἀρχόμενον πολλοῖς προσκρούειν. αἰνίττεται δὲ πολλὰ διὰ τῆς εὐνοίας. καὶ γὰρ διαβάλλει τὸν Αἰσχίνην, ὡς μὴ ὑποθαρροῦντα τοῖς δικαίοις ἐκ τοῦ καταφεύγειν ἐπὶ τοὺς βοηθήσοντας. καὶ πλήττει τοὺς περὶ τὸν Εὔβουλον ὡς κοινωνοῦντας, καὶ ὑπόπτους ποιεῖ τοῖς δικάζουσι τοὺς συνεστηκότας. ἔτι γε μὴν αἰνίττεται καὶ τὸ ἰσχυρὸν τοῖς δικαίοις αὐτός· οὐ γὰρ ἂν πολλοὶ συνῆλθον ἐπὶ ταύτην τὴν σπουδὴν, εἰ μὴ τὸν ἔλεγχον ἐδεδίεσαν. ἔπειτα κρείττους ἀποφαίνει καὶ ἰσχυροτέρους τοὺς δικάζοντας τῆς τῶν πλουσίων δυνάμεως· ἐπ' αὐτοῖς γὰρ εἶναι ἰσχυροὺς ποιεῖν τοὺς πλουσίους καὶ μή. τοῦτο δὲ χρήσιμον αὐτῷ, πρὸς τὸ παρασκευάζειν θαρρεῖν τοὺς δικαστάς. Τουτονὶ) τὸν προκείμενον. Παραγγελία) παράκλησις, δέησις, προτροπή. Γέγονε) ἐκ τοῦ κατηγοροῦντος δηλονότι. Ἠισθῆσθαι) συνεννοῆσθαι. τὸ δὲ ἄρτι ἀντὶ τοῦ πρὸ ὀλίγου. ἐνοχλοῦντας δὲ λέγει, ἤγουν οὐχὶ θαρροῦντας τῷ δικαίῳ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κοινῷ, ἀλλὰ ὄχλησιν εἰσάγοντας, ὄχλησιν καὶ ἀδικίαν ἀποκαλῶν τὴν παράκλησιν. ἵνα δείξῃ ὡς αὐτοὶ τὰς δεήσεις ὡς ἀδίκους οὐ προσεδέξαντο. Δεήσομαι δὲ πάντων) Τὸ δεήσομαι, ἔστι συμπέρασμα τῆς προτάσεως. τὸ δὲ ἄν- 2
δρα, τὸν Εὔβουλον λέγει. οὐκ ὀνομάζει δὲ αὐτὸν φανερῶς, αἰνίττεται δὲ ὅπως ὠφελεῖ τὸ αὐτῷ, τὸ δὲ Αἰσχίνου πῶς βλάπτει.

δεήσομαι δὲ πάντων ὑμῶν, ἃ καὶ τοῖς μὴ δεηθεῖσι δί-
καιόν ἐστιν ὑπάρχειν, μηδεμίαν μήτε χάριν, μήτε ἄν-
δρα ποιεῖσθαι περὶ πλείονος, ἢ τὸ δίκαιον καὶ τὸν ὅρκον,
ὃν εἰσελήλυθεν ἕκαστος ὑμῶν ὀμωμοκώς. ἐνθυμουμέ-
νους, ὅτι ταῦτα μέν ἐστιν ὑπὲρ ὑμῶν καὶ ὅλης τῆς πό- 3
λεως. αἱ δὲ τῶν παρακλήτων αὗται δεήσεις καὶ σπου-
δαί, τῶν ἰδίων πλεονεξιῶν ἕνεκα γίγνονται. ἃς ἵνα κω-
λύητε οἱ νόμοι συνήγαγον ὑμᾶς, οὐχ ἵνα κυρίας τοῖς
ἀδικοῦσι ποιῆτε. τοὺς μὲν οὖν ἄλλους ὅσοι πρὸς τὰ κοι-
νὰ δικαίως προσέρχονται, κἂν δεδωκότες ὦσιν εὐθύ- 4
νας, τὴν ἀειλογίαν ὁρῶ προτεινομένους. τουτονὶ δ᾽ Αἰ-
σχίνην, πολὺ τἀναντία τούτων· πρὶν γὰρ εἰσελθεῖν εἰς ὑ-
μᾶς καὶ λόγον δοῦναι τῶν πεπραγμένων, τὸν μέν, ἀ-
νῄρηκε τῶν ἐπὶ τὰς εὐθύνας ἐλθόντων. τοῖς δέ, ἀπειλεῖ
περιιών. δεινότατον πάντων ἔθος καὶ ° ἀσυμφορώτατον 5
ὑμῖν, εἰς τὴν πολιτείαν εἰσάγων· εἰ γὰρ ὁ πράξας τι
τῶν κοινῶν καὶ διοικήσας, τῷ καθ᾽ ἑαυτὸν φόβῳ, καὶ μὴ
τῷ δικαίῳ κατασκευάσει μηδένα εἶναι κατήγορον αὑτοῦ,
παντάπασιν ἄκυροι πάντων ὑμεῖς γενήσεσθε. τὸ μὲν οὖν

° βαρυσυμφορώτατον.

αὐτῶν. α.

Δεήσομαι δέ. Οὗτοι μὲν παρενοχλοῦσιν, ἐγὼ δὲ ἱκετεύω, τίνων οὖν δεῖ τυχεῖν, οὐκ ἄλλων, ἀλλὰ ἃ καὶ τοῖς μὴ δεηθεῖσι δίκαιόν ἐστιν ὑπάρχειν. τὸ δὲ μήτ᾽ ἄνδρα ποιεῖσθαι, πρὸς τὸν Εὔβουλον ἀποτείνεται πολέμιον ὄντα αὐτῷ. οὗ
3 κἂν τῷ περὶ τοῦ Μειδίου ποιεῖται μνήμην. σωφρονεῖ δὲ καὶ ὀργιζόμενος ὁ ῥήτωρ· κρύπτει γὰρ ἐν προοιμίοις τὴν προσηγορίαν τῇ τέχνῃ πειθόμενος. Ἢ τὸ δίκαιον καὶ τὸν ὅρκον) Τὸ μέν, ἐντρέπει. τὸ δέ, φοβεῖ. τῶν δὲ ἰδίων πλεονεξιῶν κερδῶν καὶ δυναστειῶν, ὅ-
4 ταν ἴδωσιν αὐτοὺς προϊσταμένους τῶν κρινομένων καὶ σῴζοντας, προξενοῦσιν αὐτοῖς κερδῶν ἀφορμάς. Τῶν 3
παρακλήτων) Ἤτοι τῶν ἐκ παρακλήσεως ἐλθόντων συνηγορῆσαι, ἀλλ᾽ οὐ τοῦ δικαίου ἕνεκα παραγινομένων. Ἃς ἵνα κωλύητε) Ἀλλὰ μὴ φοβεῖσθε· ἐ-
5 φ᾽ ὑμῖν γάρ ἐστι τὸ κωλῦσαι, τῶν νόμων παρεχόντων τὴν ἄδειαν. Τὴν ἀει- 4
λογίαν ὁρῶ) Ἀειλογία ἐστὶ τὸ ἀεὶ προτείνεσθαι λόγον, καὶ λέγειν τίς ὑμῶν κατηγορεῖ, διὰ τὸ μηδὲν αὐτοῖς τῶν φαύλων συνειδέναι. τοῦτο δὲ ποιοῦσι, συνειδότες ὅτι ὁσάκις κρίνονται καθαροί, τοσαυτάκις καὶ θαυμάζονται. φησὶ δὲ ὁ Γενέθλιος, ὅτι πεποίηται ἡ λέξις τῷ ῥήτορι τῆς ἀειλογίας· σπανίως γὰρ εὑρίσκεται παρ᾽ ἄλλῳ.

Τοὺς μὲν οὖν ἄλλους) Ἐνταῦθά ἐστι τὸ δεύτερον προοίμιον ἐκ διαβολῆς εἰλημμένον καὶ αὐτό, ὡς καὶ τὸ πρῶτον. ὡς οὐ θαρρεῖ τοῖς δικαίοις. ὅλη δὲ ἡ ὑπόθεσις, κατὰ συμπλοκὴν προελήλυθεν καὶ γὰρ κατηγορεῖ καὶ ἀπολογεῖται. τοιοῦτον αὐτῷ καὶ τὸ προοίμιον εἴληπται· καὶ γὰρ ἐπ᾽ ἀμφότερα ἕλκεται. μόνου δὲ τούτου τοῦ ῥήτορος καὶ Θουκυδίδου καὶ Πλάτωνος καὶ τῶν ὁμοίων τούτοις διὰ τῆς αὐτῆς ἐννοίας πολλὰ κατορθοῦν. ἔχει δὲ καὶ τοῦτο μεταληπτικοῦ λύσιν. αὐτὸς μὴ δεδωκὼς εὐθύνας, πῶς ἑτέρου κατηγορεῖς. ὁ δέ, ὅτι δέδωκε σημαίνει, καὶ ὅτι πάλιν περὶ τῶν αὐτῶν διδόναι βούλεται προκηρύττει. Ὅσοι πρὸς τὰ κοινά) Τῷ γὰρ μηδὲν ἑαυτοῖς συνειδέναι κακόν, ἀεὶ θέλουσι καὶ ὑπομένουσι δοῦναι λόγον· τοῦτο γάρ ἐστιν ἀειλογία. ἐπειδὴ δὲ ἐπαχθὲς ἦν τὸ περὶ αὐτῶν λέγειν, καθολικῶς ἐπήγαγε. τοῖς μὲν οὖν ἄλλοις. καὶ ἀξιόπιστον ἑαυτὸν ποιεῖ μονονουχὶ βοῶν, τίς τὰς εὐθύνας λαμβάνειν προῄρηται. μίμνησαί μου πρὸς θεῶν Αἰσχίνη τὴν πρόκλησιν, οὐ καὶ ἄλλως καθολικῶς λέγει τὸν λόγον. ἵνα δείξῃ τοὺς μὲν ἄλλους πάντας βελτιωθέντας, τοῖς τῶν Ἀθηναίων παιδεύμασι, καὶ ταῖς ὁσημέραι διδαχαῖς. τουτονὶ δὲ μόνον Αἰσχίνην μηδὲ μετὰ τοσούτους λόγους καὶ πράξεις τοσαύτας τὰς εἰς ἄλλους βελτιωθέντα. καὶ ἐντεῦθεν ἐπαινεῖ καὶ τοὺς πολίτας. καὶ ἐκ παραθέσεως μεγίστως ψέγει καὶ διαβάλλει τὸν κατηγορούμενον. Πρὶν γὰρ εἰσελθεῖν εἰς ὑμᾶς) Ἔδει μὲν γὰρ πρῶτον παρασχεῖν εὐθύνας, εἶθ᾽ οὕτω τοῦ Τιμάρχου κατηγορεῖν. νυνὶ δὲ οὐκ ἀξιώσας εἰς ὑμᾶς εἰσελθεῖν, οὐδὲ θεάσασθαι τοὺς δικαστὰς ἀνεχόμενος, ἠτίμωσε τὸν ἄνθρωπον. εὖ δὲ καὶ τὸ προτεινομένους εἶπεν, ἵν᾽ αὐτοὶ θαρροῦντες τοῖς βουλομένοις προτρέψωσι. Τὸν μὲν ἀνῄρηκε) Τίμαρχον δηλαδή, ἢ ὅτι ἄτιμος γέγονεν. οὗτοι δὲ τῷ μηδενὸς τῶν κοινῶν μετέχειν ἐγγὺς τῶν τεθνηκότων εἰσίν, ἢ ὥς τινές φασιν, ἐπειδὴ ἀπήγξατο τὴν αἰσχύνην οὐκ ἐνεγκών. Τοῖς δέ, ἀπειλεῖ περιιών) Ἦν μὲν ἀκόλουθον εἰπεῖν. ἐμοὶ δ᾽ ἀπειλεῖ. ἀλλ᾽ ἐπειδὴ αἰσχρὸν ἦν, ἀορίστως εἴρηκε. δείκνυσι δὲ ὅτι καὶ ἄλλοι ἦλθον ἂν ἐπὶ τὴν κατηγορίαν, εἰ μὴ ἐφοβοῦντο. τὸ δὲ περιιών, διὰ ἔργον τοῦτο ποιούμενος. καὶ πολυπραγμονῶν μή τις ἄρα κατηγορήσει. διά, τίς ἄρα ἀπειλεῖ μοι γραφήν. τίς μοι σύνοιδεν ἐν τῇ πρεσβείᾳ τὰ σφάλματα. σεμνύνει δὲ καὶ ἄλλως ὁ ῥήτωρ ἑαυτὸν διὰ τούτων, εἰ τῶν ἄλλων φοβουμένων καὶ οὐ κατηγορούντων αὐτὸς τοῦτο οὐ πέπονθε. Καὶ ° βαρυσυμφορώτατον ὑμῖν) ° α
Ὁ γὰρ ἀναιρῶν καὶ ἐπιστομίζων τὸν κατήγορον, τὸν τόπον ἀναιρεῖ τοῦ δικάζοντος, εἰ μηδεὶς ἔτι δικάζεται. Φόβῳ) ρω
Μετὰ φόβου, ἤγουν διὰ φόβου. Τὸ μὲν οὖν ἐξελέγχειν πολλὰ καὶ δεινά) Τρίτον προοίμιον μεταληπτικὸν ἐκ τοῦ 5
χρόνου, περιέχον λύσιν. ἔστι δὲ ἡ σύνταξις οὕτως ὅπερ δὲ φοβοῦμαι καίπερ ὑπειληφώς, ὅ ἐστι πιστεύων, καὶ θαρρῶν ἐν ταῖς ἀποδείξεσιν ὅπερ προεῖπε, τοῦτο φράσω, φησί, πρὸς ὑμᾶς καὶ οὐκ '' ἀποκρύψομαι. διὰ τί δὲ εἶπε φοβοῦμαι. ἐπει- '' ἀ
δὴ ἔμελλεν ὥσπερ ἐλέγχειν τοὺς δικαστὰς μὴ σφόδρα προσέχοντας τοῖς πράγμασι, ἀλλ᾽ ἐπιλανθανομένους τῷ χρόνῳ. καὶ ὅπερ οὖν φησὶ φοβούμενος τοῦτο, οὐκ ἀποκρύψομαί φησι τῷ φόβῳ τῷ πρὸς ὑμᾶς· γράφεται γὰρ καὶ ἀπο-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κρύψομαι. σημειωτέον δέ, ὡς ὅπερ ἦν αἰσχίνου καὶ τοῦ φθάνοντος παραγραφικόν, τοῦτο δι' ὑπερβολὴν τέχνης ὁ δημοσθένης προήρπασεν, ἵνα μὴ ἔχῃ χρήσασθαι αὐτῷ ὁ αἰσχίνης. ἀεὶ δὲ τὸ ἐναντίον οὗ βούλεται ποιεῖν κατασκευάζειν εἴωθεν· αὐτὸς γὰρ μέλλων τὴν καθ' ἑαυτὸν διοικεῖσθαι, καὶ προορώμενος τὰς παρ' αἰσχίνου διαβολάς, δεδοικέναι φησὶ τῶν δικαζόντων τὴν λήθην.

ὡς ἂν τῆς ἀληθείας πολλάκις διαμαρτόντων αὐτῶν, διὰ χρόνου πλῆθος καὶ λήθην. ἵνα ἃ μὴ προτίθησι, πιστευθῇ ἃ δὴ αἰσχίνης ἐρεῖ, ὕποπτα
6 γένηται. Ὁ δὲ καίπερ ὑπειληφώς)
Ἔστι μὲν αὕτη τοῦ πιστεύων. ἐκόλασε δὲ τῇ λέξει τὸ ὑπερήφανον. τὸ δὲ οὐχ ἧττον ὦ ἄνδρες ἀθηναῖοι, οἱονεὶ οὐχ ἧττον ἰσχύει καιρὸς, ἢ πραγμάτων φύσις. ἢ οὕτως. οὐ μᾶλλον ἐξελέγχονται τοῖς πράγμασιν οἱ ἀδικοῦντες ἢ τοῖς καιροῖς, ὅταν ἐπὶ προσφάτοις κρίνωνται. Ταῦτα) τοὺς ἐξελέγχους. Ἀγῶνες) Ἤγουν αἱ κρίσεις. Τῶν καιρῶν) Τῶν παρελθόντων
7 ὁπότε ἐγένοντο. Λήθην ἢ συνήθειαν) Δύο γὰρ ταῦτα ὁ χρόνος ποιεῖ. ἢ γὰρ ἐπιλανθανόμεθα, ἢ συνεθισθέντες ὡς καλὰ ἀγαπῶμεν. Ὡς δή μοι δοκεῖτ' ἄν.) Συμπέρασμά ἐστι τοῦ προοιμίου. ὡς γὰρ ὡμολογημένην λαβὼν τὴν πρότασιν, οὐκ εἶπε κατασκευήν, εὐθὺς δὲ εἰσβάλλει εἰς τὴν προκατασκευὴν ἐκ τοῦ, εἰ σκέψαισθε παρ' ὑμῖν, εἰπεῖν. τοῦτο δὲ τὸ νόημα διπλῆν ἔχει τὴν δύναμιν. ἐπισφραγίζεται γὰρ τὰ προειρημένα διὰ τοῦ προοιμίου, καὶ τῶν μελλόντων κατάρχεται. ἅπτεται δὲ ἤδη λοιπὸν τῆς προκατασκευῆς. ἔχει δὲ τοιαύτην ἡ προκατασκευὴ δύναμιν, ὥστε τινὰ τῶν λυπούντων περὶ τὴν ὑπόθεσιν διορθοῦσθαι. ἔστι δὲ ἡ χρεία αὐτῆς, καὶ οὗ περ ἕνεκα τοῖς ῥήτορσιν ἐπιτήδευται αὕτη. ἤτοι γὰρ τὴν ὑπόθεσιν ἅπασαν ὁ ῥήτωρ συμπεπλεγμένην ὁρῶν, καὶ πολλῶν πραγμάτων περιεκτικὴν καὶ δυσδιάκριτον, διὰ τοῦτο δεῖται τῆς προκατασκευῆς, ἵνα τὴν σύγχυσιν ἅπασαν διαλύσῃ, καὶ εἰς κεφάλαια τὴν ὑπόθεσιν ἀνάγων παρασκευάσῃ τοὺς ἀκροατάς, ὥσπερ πρός τινας κανόνας ἀποβλέποντας, οὕτως ἀπαιτεῖν παρ' αὐτοῦ τὰς ἀποδείξεις, καὶ περὶ ταῦτα τὰ κεφάλαια ἵστασθαι, ἢ πρὸς τὸν ὅλον ἀγῶνα τοὺς δικάζοντας ἐναντίως ἔχοντας ὁρᾷ, καὶ δεῖται προδιορθώσασθαι τὴν γνώμην αὐτῶν, ὡς ἐν τῷ κατὰ μειδίου πεποίηκεν. ἢ μέρος τι τῆς ὑποθέσεως ὁρῶν δι' ὃ δεῖ μεθόδου τινός, κέχρηται τῇ προκατασκευῇ, καθάπερ ἐν τῷ κατ' ἀριστοκράτους λόγῳ.

6 ἐξελέγχειν πολλὰ καὶ δεινὰ πεποιηκότα τουτονί, καὶ τῆς
ἐσχάτης ὄντα τιμωρίας ἄξιον, θαρρῶ καὶ πάνυ πιστεύω. ὃ δέ, καίπερ ὑπειληφὼς ταῦτα, φοβοῦμαι, φράσω πρὸς ὑμᾶς, καὶ οὐκ ἀποκρύψομαι, ὅτι μοι δοκοῦσιν ἅπαντες οἱ παρ' ὑμῖν ἀγῶνες, οὐχ ἧττον, ὦ
7 ἄνδρες ἀθηναῖοι, τῶν καιρῶν, ἢ τῶν πραγμάτων εἶναι, καὶ τὸ, χρόνον γεγενῆσθαι μετὰ τὴν πρεσβείαν πολύν, δέδοικα μή τινα λήθην, ἢ συνήθειαν τῶν ἀδικημάτων ὑμῖν ἐμπεποιήκει. ὡς δή μοι δοκεῖτ' ἂν ὅμως ἐκ τούτων καὶ γνῶναι τὰ δίκαια, καὶ δικάσαι νυνί, ταῦθ'
8 ὑμῖν λέξω. εἰ σκέψαισθε παρ' ὑμῖν αὐτοῖς ὦ ἄνδρες δικασταὶ καὶ λογίσαισθε, τίνων προσήκει τῇ πόλει λόγον παρὰ πρεσβευτοῦ λαβεῖν. πρῶτον μὲν τοίνυν, ὧν ἀπήγγειλε. δεύτερον δέ, ὧν ἔπεισε. τρίτον δέ, ὧν προσετά-

*ἀπορ.α.
*ὑμῖν.α.ε.ζ. η.
*ταῦ.α.ε.ζ. σκέψαισθε καὶ λογίσαισθε. α.ε.ζ.

8 Εἰ σκέψαισθε παρ' ὑμῖν αὐτοῖς) Προκατασκευὴ διακρίνουσα τὰ ἐν τῇ ὑποθέσει ζητούμενα. Λόγον) Ἤγουν ἀπολογίαν. Πρῶτον μὲν τοίνυν ὧν ἀπήγγειλε.) Οὐκ ἦν μὲν τῇ τάξει πρῶτον τὸ ἀπαγγεῖλαι, ἀλλὰ τὸ ἰσχυρότερον, καὶ τὸ σημεῖον προέθηκεν, *ἐφ' ὃ μάλιστα κρίνεται ὁ αἰσχίνης. ἐλάβετο οὖν εὐθὺς τοῦ μεγίστου τῶν τεκμηρίων. τοῦτο δὲ γέγονεν αὐτῷ τῆς ὑποθέσεως ὅλης. ἐπειδὴ γὰρ οὔτε ἐκ γραμμάτων, οὔτε ἐκ ψηφισμάτων, οὔτε διὰ ἄλλων ἀποδείξεων ἔχει τὸν ἔλεγχον, εἰκότως ἐχώρησεν ἐπὶ τοὺς αἰσχίνου λόγους καὶ τούτων καθάπτεται, ὥσπερ εἴ τινος ἀρχῆς καὶ κρηπῖδος. καὶ πρὸς τούτους ἀποβλέπων, τὴν ὅλην κατηγορίαν ποιεῖται. ἔστι τοίνυν τό, ὧν ἀπήγγειλε, διπλοῦν, καὶ τούτου τοῦ ἐγκλήματος ἔχει δύο τεκμήρια· ἓν μέν, ὅτι ἀπήγγειλεν ἀπολεῖσθαι θηβαίους. ἕτερον δέ, ὅτι ὑπέσχετο σωθήσεσθαι φωκέας. καὶ ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον, καὶ αὐτὸς προϊὼν ἔδειξεν. ἰδίαν τι γὰρ *ἑκατέρῳ τούτων ἀποδέδωκεν ἐργασίαν. καὶ διὰ τούτοις αὐτίθησι χρήματα. ὡς ἐπ' αὐτῶν τῶν ῥητῶν ἐπιδείξομεν. Δεύτερον δέ, ὧν ἔπεισεν) Ἢ ὑμᾶς, δηλονότι εἰπών, ταῦτα, δι' ὧν ἀπώλετο τὰ *πράγματα ἢ τούτοις, πρὸς οὓς ἐπέμφθη, ἢ ὅτι ἡνίκα ἐβουλεύετο ἡ πόλις περὶ τοῦ πῶς χρὴ ποιήσασθαι τὴν εἰρήνην, ἔπεισεν αὐτοὺς *φωκέων ποιήσασθαι, καὶ χωρὶς τῶν ἄλλων ἑλλήνων, καὶ ἡνίκα λέγειν ἐβούλετο δημοσθένης, ἔπεισε μὴ ἀκοῦσαι τῶν δημοσθένους λόγων τὸν δῆμον. ἐπὶ τούτοις ἔπεισε μήτε στρατεύσασθαι ὑπὲρ φωκέας, μήτε ψηφίσασθαί τι ἄξιον ὑπὲρ τῆς αὐτῶν σωτηρίας, μηδὲ μὴν ἀπιστεῖν τῷ φιλίππῳ. ταῦτα πάντα γὰρ συμπεριέλαβε μὲν ἐνταῦθα βραχέσι ῥήμασιν. ἐπὶ δὲ τῆς ἐργασίας ἔδειξεν οὐκ ὄντα μικρά, οὐδὲ ὀλίγα, πλείστας αὐτοῖς καὶ ἰσχυροτάτας ἀποδοὺς ἐργασίας. ὁμοῦ τι διὰ τούτων παραγράφει τοὺς αἰσχίνου λόγους, οὓς ποιήσεται περὶ τῆς εἰρήνης αἰτιώμενος δημοσθένην, ὡς εἰσηγησάμενον τὴν εἰρήνην. τοῦτο δὲ τὸ μέρος δέδοικε δημοσθένης. λύει δὲ οὐδὲν ἧττον διὰ τοῦ δευτέρου τὸ ἰσχυρότατον αἰσχίνου χρῶμα καὶ τὸ ἀντιληπτικὸν ἅμα· τοῦ γὰρ αἰσχίνου δυναμένου κατὰ φύσιν ἀναχωρεῖν ἐπὶ τὴν ἀπάτην, ἣν ὑπὸ φιλίππου ἠπάτητο, καὶ λέγειν ἐξεῖναι καὶ ἀπαγγέλλειν ἅπερ ἀκήκοεν, ἐπειδὴ καὶ ὧν ἔπεισε δι' ἑνὸς ῥήματος, ἀμφότερα ταῦτα ἀνῄρηκε. Τρίτον δέ, ὧν προσετάξατε αὐτῷ. εἶτα τῶν χρόνων) Ταῦτα αὐτὰ καθ' αὑτὰ κρινόμενα, ἐγκλήματ' ἂν εἴη. νῦν δὲ πρὸς ἀπόδειξιν ἑτέρου παραλαμβανόμενα τεκμήρια γίνεται) προσέταξε δὲ αὐτῷ ταῦτα. πρῶτον μὲν λαβεῖν τοὺς ὅρκους παρὰ τῶν συμμάχων. λέγει δὲ θετταλῶν. εἶτα προσέταξεν αὐτῷ πεῖσαι φίλιππον ἀμφίπολιν ἀποδοῦναι τῇ πόλει· ἐπειδὴ γὰρ ἐκ ψηφισμάτων καὶ προσταγμάτων ἐγγράφων οὐκ ἔχει τοῦτο ἐλέγχειν, ἀορίστως ἐχρήσατο τῷ ῥήματι, εἰπὼν ὧν προσετάξατε αὐτῷ· τὸ γὰρ προσετάξατε ἀπροσδιορίστως τεθὲν πότερον ἐγγράφως ἢ οὔ, δίδωσιν αὐτῷ χορηγίαν ἐφ' ἅπαντα τὰ ἐγκλήματα· τῶν γὰρ προσταγμάτων, ἃ μέν ἐστιν ἔγγραφα, τὰ δὲ ἄγραφα· ἔγγραφα μέν, τὰ περὶ τῶν ὅρκων. ἄγραφα δέ, τὰ περὶ τῆς ἀμφιπόλεως καὶ τῶν φωκέων. ἐν ᾧ καὶ τὸ καθ' ἑαυ-

τὸν

*ἐφ' ὧ.γρ.
*ἑκατέρα.α
*πράγματα α
*φωκέων.α.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸν προοιμιάζεται ὁ ῥήτωρ· ἐπειδὴ γὰρ Αἰσχίνης ἀποσκώπτων φησὶ λέγοντα αὐτὸν προοίμιον ὑπὲρ τῆς Ἀμφιπόλεως ἐκπεσεῖν, ἐντεῦθεν ἤδη διωθεῖται τὸ ἔγκλημα, καὶ δίδωσιν Αἰσχίνῃ προσῆκον λέγειν οὐχ ἑαυτῷ, εἴπερ αὐτῷ ἡ πόλις προσετάξατο. εἰκότως δὲ προσέταξε τούτῳ· μόνος γὰρ ἐφώρασε Φίλιππον ἐπιβουλεύοντα τοῖς Ἕλλησι καὶ μόνος παρεκάλει τὸν δῆμον καὶ τοὺς Ἕλληνας ἐπὶ τὴν ἀνάλυσιν τάξιν τῶν πραγμάτων. ἔστι μὲν οὖν ἰσχυρότατον μέρος πρὸς τὴν κατηγορίαν, οἱ παρ' Αἰσχίνου λόγοι, οὓς διεῖλε δίχα, εἴς τε τὸ εἰπεῖν καὶ πεῖσαι. καίτοι γε ἓν πρᾶγμα εἶναι δοκεῖ, τὸ, τι εἰπεῖν καὶ πεῖσαι· ἅμα γὰρ τῷ λέγειν καὶ πείθει τις. ἀλλ' ἐπειδὴ τὸ μὲν λέγειν ἀπαγγελίαν περιέχειν δύναται, τὸ δὲ πείθειν συμβουλήν· διὰ τοῦτο τὸ μὲν, ὡς εἶδος, τὸ δὲ, ὡς γένος εἴληφεν. ἕπεται δὲ τούτῳ τῷ μέρει καὶ τὰ λοιπά· εἰ γὰρ αὐτὸς ἀπήγγειλεν, αὐτὸς ἠπάτησεν, αὐτοῦ ἄρα εἴη ἂν καὶ τὰ λοιπὰ ἁμαρτήματα. ὅρα δὲ ὅτι τῶν προκειμένων τὰ μὲν ἴδια Αἰσχίνου, τὰ δὲ λοιπὰ, τῶν πρέσβεων. ἴδια μὲν, ἅ, τι ἀπήγγειλε, ἅ, τι εἶπε. τὸ δὲ ὧν προσετάξατε, αὐτῷ κοινὸν γενέσθαι δυνάμενον κατὰ τὴν πρεσβείαν ἔγκλημα, ἐπ' αὐτὴν ἀνήνεγκε τὸν Αἰσχίνην· τοῦτον γὰρ εἰκὸς τὰ πάντα ᾠκονομηκέναι, τὸν ἑλόμενον ὑπὲρ ἁπάντων καὶ εἰπεῖν καὶ ψεύσασθαι. μετὰ ταῦτα, τῶν χρόνων, καθ' οὓς ἐποίησεν ὑμᾶς μὴ βοηθῆσαι Φωκεῦσι, μελλήσας ἕως ἂν ἔσω τῶν Πυλῶν γένηται Φίλιππος. δοκεῖ δὲ καὶ τοῦτο κοινὸν ἔγκλημα εἶναι τῶν πρέσβεων. ἀλλὰ πραχθὲν μὲν, ἐγένετο ἂν τῶν πάντων κοινόν· ὑποταχθὲν δὲ τοῖς ἄλλοις, ἴδιον Αἰσχίνου γίνεται. τίνες τοίνυν εἰσὶν οἱ χρόνοι; οὐκοῦν περὶ τὸν ἐκείνων, οὓς ἀνάλωσε παρασκευαζομένου Φιλίππου ἐπὶ Φωκέας. εἶθ' ὑπὸ ψεύσματι Φιλίππου χωρισθεὶς, καταλαβόντος σχεδὸν ἤδη τὰς πύλας, οὐκ ἀνέδωκε τῷ δήμῳ περιπλεύσαντι κλεῖσαι τὰς πύλας. πρὸς τούτοις ἐν οἷς ἀντεξετάζει οὓς ἀνάλωσε χρόνους ἐπὶ τῆς προτέρας πρεσβείας, καὶ οὓς ἐπὶ τῆς δευτέρας. τεκμήριον τὸν χρόνον λαμβάνων τῆς δωροδοκίας. εἰ δέ τις οἴεται τῶν χρόνων μεμνημένον αὐτὸν τὴν Θρᾴκην λέγειν, οὐκ ὀρθῶς ὑπείληφεν· οὐ γὰρ χρόνος ἐστὶν ἡ Θρᾴκη, ἀλλ' ὅτι δῶρα εἴληφε, τεκμήριον ἡ ταχυτὴς, καὶ ἡ βραδυτής. Ἐφ' ἅπασι δὲ τούτοις 8
εἰ ἀδωροδοκήτως) Καλῶς ἐπήγαγε τὸ ἀδωροδοκήτως μετὰ τὰ ἄλλα ὅλα, ὡς ἰσχυρότερον· ἀεὶ γὰρ ἐν τοῖς ἄκροις τίθεται τὰ ἰσχυρά. τὰ δὲ ἥττονα καὶ ἀσθενῆ, ἐν τῷ μέσῳ. ἐπειδὴ πρὸς ἕκαστον τῶν προειρημένων ἐστί τις αὐτῷ ἀπολογία. οἷον, ἐπὶ τῆς ἀπαγγελίας, ὅτι ἠπατήθην ὑπὸ Φιλίππου. ἐπὶ τοῦ πεῖσαι, ὅτι ἀγνοῶν οὕτως ὑμᾶς ἔπειθον, ὡς νομίζων τὰ παρ' ἐκείνου εἶναι ἀληθῆ. τὸν χρόνον ὅτι ἄκων ἐβράδυνα, ἢ διὰ νόσον, ἢ δι' ἄλλο τι. ἐπὶ δὲ τοῦ δωροδοκεῖν οὐδὲν ἔχει ἐπειπεῖν. Ἄλλως. Τελευταῖον ταχθὲν τοῦτο, ἀνῄρηκεν Αἰσχίνου πᾶσαν ἀπολογίαν. ὥστε μὴ δύνασθαι ἀγωνίζεσθαι, ἀποδείκνυσιν· εἰ γὰρ ἀπήγγειλε τὰ ψευδῆ, καὶ ἔπεισεν ἀπατῶν, καὶ τῶν προστεταγμένων πεποίηκεν οὐδὲ ἕν, καὶ τοὺς χρόνους ἀνήλωσεν, ἔχει μὲν ἴσως ἀπολογίαν εἰ μὴ φανῇ δωροδόκος. ὁ τεθεὶς δὲ ἔνοχος τῇ μιαρίᾳ, οὐδεμίαν ἕξει τῶν ἐγκλημάτων ἀπολογίαν, ἵνα καὶ τὰ κοινὰ, ἴδια γένηται· εἰ γὰρ ἁπάντων εἴη τὰ ἐγκλήματα, μόνος δὲ εἴληφε δῶρα, καὶ τοῖς ἄλλοις ἡμαρτηκέναι καθέστηκεν αἴτιος. ἔστι οὖν τελειμερὴς ἡ προκατασκευή. καὶ τἄλλα μὲν ἐστὶν ὡς ἂν γένοιτο κατὰ πάντων πρέσβεων. τὸ δὲ τελευταῖον μέρος τῆς προκατασκευῆς, ἴδιόν ἐστιν Αἰσχίνου. ἰστέον ὅτι τὸ πέμπτον ἐν τῇ προκατασκευῇ κεφάλαιον τεθειμένον, προστιθὲν διὰ τοῦτο αἰτεῖται τῶν ἐπιχειρημάτων προσθήκην δυνάμεις. Πάντα 9
ταῦτα πέπρακται) Δεινότατον πάνυ· οὐ γὰρ εἶπεν, εἴρηται, ἀλλὰ πέπρακται. συνεθίζων αὐτοὺς ἔργα νομίζειν τὰ ῥήματα. Περὶ ὧν γε) Προσήκει τῷ πρεσβευτῇ. Εἶεν. τῶν δὲ δὴ χρόνων διὰ τί; ὃν ἄν τις ἑκὼν καθυφῇ) Διὰ μὲν δὴ τοῦ ἑκὼν, τὸ χρῶμα ἀναιρεῖ, διὰ δὲ τοῦ καθυφῇ, τὴν δωροδοκίαν μηνύει. ὅθεν ἐπήνεγκε, καὶ προδῷ. Διώρισε) Διεσάφ- 10 11

ἤτοι τ. α. ξατε αὐτῷ. μετὰ ταῦτα δὲ τῶν χρόνων. ἐφ' ἅπασι δὲ τούτοις, εἰ ἀδωροδοκήτως ἢ μὴ, ταῦτα πάντα πέπρακται. 9
(ἑκάστου. α.) τί δήποτε τούτων*; ὅτι ἐκ μὲν τῶν ἀπαγγελιῶν, ὧν βουλεύσασθαι (ἰ. ε. ζ. η. βουλεύεσθαι. ἰ. ε.) περὶ τῶν πραγμάτων ὀρθῶς ὑμῖν ἐστιν. ἂν μὲν οὖν ὦσιν ἀληθεῖς, τὰ δέοντα ἔγνωτε· ἂν δὲ (ἐὰν. α.) μὴ τοιαῦται, τἀναντία (ἐὰν. α.). τὰς δὲ συμβουλίας, πιστοτέρας ὑπολαμβάνετ' εἶναι τὰς τῶν πρέσβεων· ὡς γὰρ εἰδότων περὶ ὧν ἐπέμφθησαν, ἀκούετε. οὐδὲν οὖν ἐξελέγχεσθαι δίκαιός ἐστιν ὁ πρεσβευτὴς φαῦλον, οὐδὲ ἀσύμφορον ὑμῖν συμβεβουλευκώς. καὶ μὴν, περὶ ὧν γε προσετάξατε εἰπεῖν, ἢ πρᾶξαι, καὶ διαρρήδην ἐψηφίσασθε ποιῆσαι, προσήκει διῳκηκέναι (διοικῆσαι. ζ.). εἶεν. τῶν δὲ δὴ χρόνων διὰ τί; ὅτι πολλάκις, ὦ ἄνδρες Ἀθηναῖοι, συμβαίνει πολλῶν πραγμάτων καὶ μεγάλων καιρὸν ἐν βραχεῖ χρόνῳ γίγνεσθαι. ὃν ἐάν τις ἑκὼν καθυφῇ τοῖς ἐναντίοις καὶ προδῷ, οὐδ' ἂν (ἂν. α. ε.) ὁτιοῦν ποιῇ, πάλιν οἷός τ' ἔσται σῶσαι. ἀλλὰ μὴν, ὑπέρ γε τοῦ προῖκα, ἢ μὴ, τὸ μὲν ἐκ τούτων λαμβάνειν, ἐξ ὧν ἡ πόλις βλάπτεται, πάντες οἶδ' ὅτι φήσαιτ' ἂν εἶναι δεινὸν, καὶ πολλῆς ὀργῆς ἄξιον. ὁ μέντοι τὸν νόμον θεὶς, οὐ διεῖλε τοῦτο, ἀλλ' ἁπλῶς εἶπε, μηδαμῶς δῶρα λαμβάνειν (λαμβάνοντα. α.), ἡγούμενος, ὡς ἐμοὶ δοκεῖ, τὸν ἅπαξ λαβόντα καὶ διαφθαρέντα ὑπὸ χρημάτων, οὐδὲ κριτὴν ἔτι τῶν συμφερόντων ἀσφαλῆ μένειν* (ἔτι. ε. η.) τῇ πόλει. ἂν μὲν τοίνυν ἐξελέγξω καὶ δείξω σαφῶς Αἰσχίνην τουτονὶ καὶ μηδὲν ἀληθὲς ἀπηγγελκότα, καὶ κεκωλυκότα

Margin: προσέταξε. α. — ἐπιέναι. γρ. — ἐνέδωκε. α. — τὸν τόπον. α. — τῇ δευτέρᾳ. α.

15 λε διεχώρεισι. Δῶρα καὶ μισθοὺς εἰληφότα) Συνέζευξε τοῖς δώροις τὸν μισθὸν, ἐπονείδιστον ὄνομα. πρὸς δὲ καὶ τὴν κοινότητα τοῦ φιλοκράτους, τὴν διαφορὰν τῆς γνώμης τιθέμενος. Εμὲ μὲν φαῦλον ἡγεῖσθε) Τιμωρία γὰρ αὐτάρκης τὸν ἀθηναίων σύμβουλον καὶ πρεσβευτὴν φαῦλον παρ' ἀθηναίοις νομίζεσθαι. φαῦλον, ἤγουν ψεύστην. Αφετε) Ηγουν ἀπολύσατε τῆς καταγνώσεως.

Πολλὰ δὲ καὶ δεινὰ κατηγορεῖν ἔχων) Προκαταστατικὸν ἐννόημα. πληρώσας τὴν προκατασκευὴν, εἰσβάλλει ἐντεῦθεν ἐπὶ τὴν προκατάστασιν. αἰνίττεται ἴσως τὴν ἐν μακεδονίᾳ μέθην, καὶ *τὴν γυναῖκα τὴν ὀλυνθίαν αἰχμάλωτον καὶ τὴν ἀγχόνην τὴν ποινίδιον, καὶ τὰ κατὰ θρᾴκην. ἔφην δὲ ὅτι τὸ ἦθος αἰσχίνου καὶ ἡ προειληφυῖα δόξα, καὶ ἡ πρόληψις, ταράττει τὸν ῥήτορα. ἐπειδὴ γὰρ ἀφ' ἧς ἡμέρας εἷλε τὸν τίμαρχον, εὐδοκιμεῖν ἐπὶ *σωφροσύνῃ ἐδόκει, πόρρωθεν καταπαγγέλλεται, τοῦ ἤθους καὶ τῆς ὑποκρίσεως τὸν ἔλεγχον. τὸ *δὲ ἐξ ὧν οὐκ ἔστιν ὃς ἂν οὐκ εἰκότως μισήσειεν αὐτὸν, σημαντικόν ἐστιν, ὅτι παρ' ἡμῖν *οἱ φαυλότατοι μαθόντες τὸν βίον αἰσχίνου, μισήσουσιν. αἰνίττεται δὲ, ὡς εἶπον, τὴν ἐν μακεδονίᾳ μέθην, καὶ *τὰ ἑξῆς. Μνημο-

*σωφροσύνην. α.

*γὰρ. α.

*καὶ α.

*α.

*α.

16 νεύοντας ὑμῶν) Θηρεύει μαρτυρίαν ἤδη παρὰ τῶν ἀκουόντων, ἵνα καὶ τὴν κατάστασιν μόνον, οὐκ ἀγῶνα ἐργάσηται καὶ τὸ ἐπαχθὲν πιστεύηται, ὅτι τοῖς ἑαυτοῦ πεπραγμένοις καὶ δεδημηγορημένοις ἐν ἀρχῇ, μάλιστα ἐξελεγχθήσεται δῶρα ἔχων, διχόθεν δὲ ὁ ἔλεγχος, καὶ παρὰ τῶν ἀκροατῶν, καὶ παρὰ τοῦ φεύγοντος. λέγει δὲ οὐ πάντα ἐν τῷ προκαταστατικῷ τὰ μέρη τῆς καταστάσεως, φοβηθεὶς τῶν λόγων τὸν ὄχλον. ἀλλ' ἐπαγγέλλεται μὲν περὶ τῆς δωροδοκίας εἰπεῖν. σιγᾷ δὲ τὸ κατὰ φωκέας ὡς ἑπόμενον καὶ ἀκόλουθον. Υπομνῆσαι) Ηγουν εἰς μετρίαν μνήμην ἀγαγεῖν. Δημηγο-

17 ρεῖν) Παρρησίᾳ λέγειν προσῆκεν εἶναι. Εστι τοίνυν οὗτος ὁ πρῶτος ἀθηναίων) Εὐκατάσκευος διήγησις ὡς ταῖς αἰτίαις ἐγκατασκευαζομένη, διότι ἐστὶ σύντομος καὶ πολιτική. αὕτη ἐστὶν ἡ κατάστασις. διῴκηται δὲ σοφώτατα, ἵνα δὴ ὢν ὡς φρόνιμον καὶ πρὸ τῶν ἄλλων αἰσθόμενον εἰσάγει. διὰ τοῦτο ἀμέλει τὸ, ὅτι οὐκ ἠπάτηται. διμερὴς δέ ἐστιν ἡ κατάστασις, ὥσπερ καὶ ἡ ὑπόθεσις. καὶ τὸ μὲν πρῶτον μέρος αὐτῆς, προελεγκτικὸν τῆς δωροδοκίας ἐστί. καὶ λαμβάνει πέρας τοῦτο τὸ μέρος ἐνταῦθα, καὶ ταῦθ' ὁ σχετλιώτατος καὶ ἀναιδὴς οὗτος ἐτόλμα λέγειν, ἐφεστηκότων τῶν πρέσβεων καὶ ἀκουόντων, οὓς ἀπὸ τῶν ἑλλήνων ὑμεῖς μετεπέμψασθε, ὑπὸ τούτου πεισθέντες, ὅτ' οὔπω πεπρακὼς αὑτὸν ἦν. τὸ δὲ δεύτερον μέρος ἐστὶ, προελεγκτικὸν τοῦ κατὰ φωκέας ἐγκλήματος, οὗ ἡ ἀρχὴ, Ον μὲν οὖν τρόπον, ὦ ἄνδρες ἀθηναῖοι, χειροτονησάντων ὑμῶν ἐπὶ τοὺς ὅρκους αὐτὸν πάλιν. ὁρᾷς γὰρ ὅπως ἡ μετάβασις σαφὴς πάνυ καὶ πρόδηλος, πρότερον μὲν εἰσαχθεῖσα ἐν προοιμίου εἴδει ἔπειθ', ὅτι καταπαγγέλλεται πραγμάτων ἑτέρων ἀπόδειξιν. ἔστι καὶ τρίτον μέρος τῆς καταστάσεως, ἐν ᾧ τὰς αἰτίας ἀποδίδωσι τῶν προειρημένων. οὗ ἡ ἀρχὴ, Τοῦ, χάριν δὴ ταῦτα πρῶτον ὑπέμνησα. ἐπειδὴ δὲ διαίρεσιν εἰπεῖν τοῦ λόγου προυθέμεθα. κωλύει δὲ οὐδὲν διὰ βραχέων ὡς περὶ σπέρματα καταβαλλομένους ἐξοδεῦσαι τοὺς ἐντυγχάνοντας, δεῖ τῆς δεινότητος πανταχοῦ στοχάζεσθαι τὸν ῥήτορα. ἐπεὶ τοίνυν οὐκ ἦν εἰκὸς τὸν φίλιππον δῶρα δοῦναι ἀνδρὶ τῶν τυχόντων, ἀλλὰ τῷ δοκοῦντι τῶν ἄλλων κατὰ τὴν πρεσβείαν κρατεῖν καὶ ἐπειδὴ οὐχ οἷόν τε ἦν *προδοῦναι φωκέας τὸν μὴ μάλιστα πάντων δυνάμενον, οὔτε μὴν οἷόν τε ἦν πεῖσαι τοὺς ἀκούοντας, ὅτι πάντων τῶν πρέσβεων *μόνος ἦν αἰσχίνης προδότης. ἀναγκαίως εἰδὼς τοῦτο, εὐθὺς ἐν ἀρχῇ τῆς καταστάσεως θεραπεύει τὸ ἀντικείμενον. τὰ πρῶτα γὰρ αἰσχίνῃ διδοὺς τῆς πολιτείας, καὶ μονονουχὶ *περὶ κλέους ἀξίωμα περιτιθεὶς, τὴν δύναμιν αὔξει, καὶ τῷ προσώπῳ μέγιστον ἀξίωμα περιτίθησιν, ἵνα καὶ ἀναγκαίως φαίνηται φίλιππος τοῦτον θεραπεύων ὃν μάλιστα κρατοῦντα τῆς πρεσβείας ἑώρα, καὶ τῷ παντὶ ἀγῶνι παρασκευάζει τὴν πιθανότητα. τὸ δὲ θαυμασιώτατον, ἐκεῖνό ἐστιν, ὅτι αὐτὸν αἰσχίνην παρέχεται τῶν δωροδόκων κατήγορον, καὶ μάρτυρα τοῦ διαφθείρεσθαι ὑπὸ φιλίππου τοὺς εἰς μακεδονίαν ἀφικνουμένους. ἐπὶ τούτοις καὶ τρίτον, ὅτι οὐ διελάνθανεν αὐτὸν ἡ τοῦ φιλίππου προαίρεσις, διά τε ἦν περὶ τὴν πόλιν καὶ τὴν ἑλλάδα, ἵνα καὶ τὸ χρῶμα φαίνηται διὰ τούτων λύων. οὐ γὰρ ἦν εἰκὸς ἀγνοῆσαι τοῦ φιλίππου τὴν γνώμην τὸν πάλαι ποτὲ κατηγοροῦντα τοῦ φιλίππου τὸν τρόπον. Εἰς τὸ αὐτό. Τοῦτο περιέχει τοῦ χρώματος ὁ γὰρ αἰσθόμενος πρῶτος φίλιππον ἐπιβουλεύοντα τοῖς ἕλλησι καὶ φωκεῦσιν, ἤδη ἐπιβουλεύοντα καὶ διαφθείροντα

*μὲν. α.

*ὄντων. α.

*περὶ κλέους. α.

14 ἐμοῦ τὸν δῆμον ἀκοῦσαι τἀληθῆ, καὶ πάντα τἀναντία τῶν συμφερόντων ὑμῖν συμβεβουλευκότα, καὶ μηδὲν ὧν προσετάξατε, ἐν τῇ πρεσβείᾳ πεποιηκότα, καὶ ἀνηλωκότα τοὺς χρόνους, ἐν οἷς πολλῶν καὶ μεγάλων πραγμάτων καιροὶ *προεῖνται τῇ πόλει, καὶ πάντων

*προεῖνται. α.

15 τούτων δῶρα καὶ μισθοὺς εἰληφότα μετὰ φιλοκράτους, καταψηφίσασθε αὐτοῦ. καὶ δίκην ἀξίαν τῶν ἀδικημάτων λάβετε· ἂν δὲ μὴ δείξω ταῦτα, ἢ μὴ πάντα, ἐμὲ μὲν φαῦλον ἡγεῖσθε, τοῦτον δὲ ἀφετε. πολλὰ δὲ καὶ δεινὰ κατηγορεῖν ἔχων ἔτι πρὸς τούτοις ἕτερα, ὦ *ἄνδρες

ἐμὲ.

*α.

16 ἀθηναῖοι, ἐξ ὧν οὐκ ἔσθ' ὅστις ἂν *οὐκ εἰκότως μισήσειεν αὐτὸν, βούλομαι πρὸ πάντων, ὧν μέλλω λέγειν, μνημονεύοντας ὑμῶν οἶδ' ὅτι *τοὺς πολλοὺς ὑπομνῆσαι, εἰς ἵνα τάξιν ἔταξεν ἑαυτὸν αἰσχίνης ἐν τῇ πολιτείᾳ τὸ πρῶτον, καὶ τίνας λόγους κατὰ τοῦ φι-

*οὐ. α.

*α.

17 λίππου δημηγορεῖν ᾤετο δεῖν, ἵν' εἰδῆτε ὅτι τοῖς ὑφ' *ἑαυτοῦ πεπραγμένοις *καὶ δεδημηγορημένοις ἐν ἀρχῇ, τούτοις μάλιστα πάντων ἐξελεγχθήσεται δῶρα ἔχων. ἔστι τοίνυν οὗτος ὁ πρῶτος ἀθηναίων αἰσθόμενος φίλιππον, ὡς τότε δημηγορῶν ἔφη, ἐπιβουλεύοντα

αὐ. τ.

18 τοῖς ἕλλησι, καὶ διαφθείροντά τινας τῶν ἐν ἀρκαδίᾳ

φθείροντα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

προεστηκότων, καὶ ἔχων Ἴσχανδρον τὸν Νεοπτολέμου
δευτεραγωνιστήν. προσιὼν μὲν τῇ βουλῇ, προσιὼν δὲ
χοῖ α. τῷ δήμῳ περὶ τούτων, καὶ πείσας ὑμᾶς πανταχοῦ
πέμψαι α. πρέσβεις πέμπειν τοὺς συνάξοντας δεῦρο τοὺς βου-
λευσομένους περὶ τοῦ πρὸς Φίλιππον πολέμου· καὶ 19
ἀπαγγέλλων, μετὰ ταῦτα ἥκων ἐξ Ἀρκαδίας, τοὺς μα-
κροὺς ἐκείνους καὶ καλοὺς λόγους, οὓς ἐν τοῖς μυρίοις ἐν
Μεγάλῃ πόλει, πρὸς Ἱερώνυμον τὸν ὑπὲρ Φιλίππου
λέγοντα, ὑπὲρ ὑμῶν ἔφη δεδημηγορηκέναι. καὶ διε-
ξιὼν ἡλίκα τὴν Ἑλλάδα πᾶσαν, οὐχὶ τὰς ἰδίας ἀδικοῦ- 20
σι μόνον πατρίδας οἱ δωροδοκοῦντες, καὶ χρήματα
λαμβάνοντες παρὰ Φιλίππου. ἐπειδὴ τοίνυν ταῦτα
πολιτευομένου τούτου τότε, καὶ τοῦτο τὸ δεῖγμα ἐξε-
αὐ. α. νηνοχότος περὶ ἑαυτοῦ, τοὺς περὶ τῆς εἰρήνης πρέ-
ὑπ. α. σβεις πέμπειν ὡς Φίλιππον ἐπείσθητε ὑπὸ Ἀριστο- 21
δήμου καὶ Νεοπτολέμου καὶ Κτησιφῶντος, καὶ τῶν ἄλλων
οὐδὲν. ε. τῶν ἐκεῖθεν ἀπαγγελλόντων οὐδ' ὁτιοῦν ὑγιές, γίγνεται
τῶν πρέσβεων τούτων εἷς καὶ οὗτος, οὐχ ὡς τῶν ἀπο-
δωσομένων τὰ ὑμέτερα, οὐδ' ὡς τῶν πεπιστευκότων
α. ε. τῷ Φιλίππῳ, ἀλλ' ὡς τῶν φυλαξόντων τοὺς ἄλλους· 22
διὰ γὰρ τοὺς προειρημένους λόγους καὶ τὴν πρὸς
πρ. α. Φίλιππον ἀπέχθειαν, ταύτην εἰκότως περὶ αὐτοῦ
ἔ. α. ε. πάντες εἴχετε τὴν δόξαν. προσελθὼν τοίνυν ἐμοὶ
μετὰ ταῦτα, συνετάττετο κοινῇ πρεσβεύειν. καὶ ὅπως τὸν
α. μιαρὸν καὶ ἀναιδῆ φυλάξωμεν ἀμφότεροι τὸν Φι- 23
λοκράτην, πολλὰ παρεκελεύσατο. καὶ μέχρι τοῦ δεῦ-
ρο ἐπανελθεῖν ἀπὸ τῆς προτέρας πρεσβείας ἐμέ γ' οὖν,
α. ε. ὦ ἄνδρες Ἀθηναῖοι, διεφθαρμένος καὶ πεπρακὼς
ἑαυτὸν, ἐλάνθανε. χωρὶς γὰρ τῶν ἄλλων, ὧν, ὅπερ εἶπον,
πρὸ ἐκκλησίας. α. εἰρήκει πρότερον, ἀναστὰς τῇ προτεραίᾳ τῶν ἐκ- 24
κλησιῶν, ἐν αἷς περὶ τῆς εἰρήνης ἐβουλεύεσθε, ἤρξατο
ἀρχὴν, ἣν ἐγὼ καὶ τοῖς ῥήμασιν οἶμαι τοῖς αὐτοῖς, οἷς
οὗτος εἶπεν, ἐν ὑμῖν ἀπομνημονεύσειν. εἰ πάνυ πο-
ε. λὺν, ἔφη, χρόνον ἐσκόπει Φιλοκράτης, ὦ ἄνδρες Ἀ-
θηναῖοι, ὅπως ἂν ἄριστα ἐναντιωθείη τῇ εἰρήνῃ, οὐκ 25
οἶμαι. α. ε. η. ἂν αὐτὸν ἄμεινον εὑρεῖν οἶμαι, ἢ τοιαῦτα γράφοντα. ἐγὼ
δὲ ταύτην μὲν τὴν εἰρήνην, ἕως ἂν εἷς Ἀθηναίων
κἂν. α. η. λείπηται, οὐδέποτ' ἂν συμβουλεύσαιμι ποιήσασθαι
τῇ πόλει. εἰρήνην μέντοι φημὶ δεῖν ποιεῖσθαι. καὶ τοιού

φθείροντά τινας τῶν ἐν Ἀρκαδίᾳ, ἵνα ἐξ ἀκολουθίας τὸν προεστηκότα τῆς πρεσβείας φαίνηται διαφθείρων.

Καὶ ἔχων Ἴσχανδρον) Παρέχει μὲν τοῖς Αἰσχίνου λόγοις ἡ μαρτυρία. οὐκ ἀπήλλακται δὲ καὶ σκώμματος· ὑποκριτὴν γὰρ ἔχει τὸν συναγωνιζόμενον. 1

Προσιὼν μὲν τῇ βουλῇ, προσιὼν δὲ τῷ δήμῳ) Θεώρησον πόσην αὐτοῦ μαρτυρεῖ τὴν εὔνοιαν καὶ σπουδήν. παρενώχλει γὰρ πᾶσιν ὁρμῶν λέγων ἀδικοῦντα τὸν Φίλιππον. διὰ δὲ τοῦ ἥκων, τὴν ἔξοδον καὶ τὸ ἀπελθεῖν ἐδήλωσεν, εἰ καὶ μὴ εἴρηκε φανερῶς. τὸν δὲ Ἱερώνυμον, προδότην τινὰ λέγει τῶν Ἀρκάδων, ἀνθυπειπόντα αὐτῷ ἐν Ἀρκαδίᾳ περὶ τοῦ πολέμου τοῦ πρὸς Φίλιππον, μαθητὴν γενόμενον Ἰσοκράτης. Συνάξοντας) Συναγαγόντας. Καλοὺς) Οὐκ ἔστιν εἰρωνικῶς, ἀλλὰ κατ' ἀλήθειαν· ὕστερον γὰρ μέλλει ἐπιφέρειν τὸ κατ' εἰρωνείαν. 15

Οὐχὶ τὰς ἰδίας ἀδικοῦσι) Αὐτὴν ποιεῖ τὸ μέγεθος τοῦ κακοῦ τοῦ κατὰ τὴν προδοσίαν ὁρίζοντα. Πολιτευομένου) Τὰ τῆς πολιτείας οἰκονομοῦντος, τούτου φροντίζοντος ὑπὲρ τῶν πολιτικῶν. Δεῖγμα) Ἤγουν ἀπόδειξιν δείξαντος. Καὶ Κτησιφῶντος) Οὐκ ἔστιν οὗτος εἷς τῶν ὑποκριτῶν, ἀλλ' ἑτέρας ἕνεκα προφάσεως ἀποσταλεὶς εἰς τὴν Μακεδονίαν, καὶ παρὰ τοῦ Φιλίππου ἀκηκοὼς, ὡς βούλεται σπείσασθαι, οὕτως ἀπήγγελλε. 20 21

Γίγνεται τῶν πρέσβεων οὗτος) Παρὰ χρόνον· ἔστι γὰρ ἀντὶ τοῦ ἐγίνετο. ὅμοιον δὲ τῷ τοῦ Θουκυδίδου· ἐπαινοῦσι τὸν προσθέντα τῷ νόμῳ, ἀντὶ τοῦ ἐπῄνεσαν. Ἀποδωσομένων) Ἤγουν ἐμπολησόντων. Πεπιστευκότων) Πληροφορίαν ἐχόντων δηλαδὴ τῶν εὐνοούντων τῷ Φιλίππῳ.

Δόξαν) Ὑπόληψιν. Προσελθὼν τοίνυν ἐμοὶ μετὰ ταῦτα) Παρὰ τοῦ ἀντιδίκου λαμβάνει τῆς οἰκείας δόξης καὶ προαιρέσεως μαρτυρίαν· οὐδενὶ γὰρ τῶν πρέσβεων περὶ σωτηρίας πραγμάτων Αἰσχίνης φαίνεται διαλεγόμενος, εἰ μὴ μόνον τῷ ῥήτορι· ὥστε ἔπαινον τὸν οἰκεῖον ἀνεπαχθῆ γενέσθαι, μὴ παρ' αὐτοῦ λεγόμενον, ἀλλὰ παρὰ τοῦ ἀντιδίκου μαρτυρούμενον. Συνετάττετο) Συνεφώνει, παρεκάλει ὁμογνωμονεῖν. 22

Καὶ ὅπως τὸν μιαρὸν) Ἄνοια φησὶ τοῦ δήμου πολλὴ εἶχε ἤδη ὡς προδότης ἦν ὁ Φιλοκράτης. ὅτι δὲ ἀμφοτέροις ἐχθρὸς ὁ Φιλοκράτης, Αἰσχίνης μαρτυρεῖ. πῶς οὖν καλούμενος ἐπὶ τὴν μαρτυρίαν Φιλοκράτους Αἰσχίνης σιγᾷ; καὶ τίς ἡ κοινωνία τῆς πολλῆς εὐνοίας ὑπὲρ Φιλοκράτους αὕτη; πῶς δὲ πολλὴν ὑπὲρ αὐτοῦ ποιεῖται [illegible]; ἵνα δὲ ἄλλων παρεχόμεθα μάρτυρα τοῦ πολεμεῖν αὐτῷ Δημοσθένη, σαφῶς καὶ διαρρήδην μαρτυροῦντος

26 τοὺς μὲν πρώτους εἶπε βραχεῖς, καὶ μετρίους λόγους· ὁ δὲ ταῦ-
τ' εἰπὼν τῇ προτεραίᾳ, πάντων ἀκουόντων ὑμῶν, εἰς
τὴν ὑστεραίαν, ἐν ᾗ τὴν εἰρήνην ἔδει κυροῦσθαι, ἐμοῦ
τῷ τῶν συμμάχων συνηγοροῦντος δόγματι, καὶ
τὴν εἰρήνην, ὅπως ἴση καὶ δικαία γενήσεται πράτ-
27 τοντος, καὶ ὑμῶν βουλομένων ταῦτα, καὶ οὐδὲ φωνὴν
ἐθελόντων ἀκούειν, τοῦ καταπτύστου Φιλοκράτους, ἀνα-
στὰς ἐδημηγόρει καὶ συνηγόρει ἐκείνῳ πολλῶν ἀξίους,
ὦ Ζεῦ, καὶ πάντες θεοί, θανάτων λόγους, ὡς οὔτε τῶν
προγόνων ὑμᾶς μεμνῆσθαι δέοι, οὔτε τὰ τῶν
28 τρόπαια, καὶ τὰς ναυμαχίας λεγόντων ἀνέχεσθαι.
νόμον τε θήσειν, καὶ γράψειν, μηδενὶ τῶν Ἑλλήνων ὑμᾶς
βοηθεῖν, ὃς ἂν μὴ πρότερος ὑμῖν βεβοηθηκὼς ᾖ.
καὶ ταῦτα ὁ σχέτλιος, καὶ ἀναιδὴς οὗτος ἐτόλμα λέγειν,
ἐφεστηκότων * πρέσβεων καὶ ἀκουόντων, οὓς ἀπὸ τῶν Ἑλλήνων
29 μετεπέμψασθε, ὑπὸ τούτου τότε πεισθέντες, ὅτ' οὔ-
πω πεπρακὼς ἑαυτὸν ἦν. ὃν μὲν οὖν τρόπον, ὦ ἄν-
δρες Ἀθηναῖοι, χρονοτριβησάντων ὑμῶν ἐπὶ τοὺς ὅρκους
αὖθις πάλιν, τούς τε χρόνους κατέτριψε, καὶ τὰ πρά-
γματα πάντα ἐλυμήνατο τὰ τῆς πόλεως, καὶ ὅσαι
30 περὶ τούτων ἐμοὶ πρὸς τοῦτον ἀπέχθειαι συνέβησαν
βουλομένῳ κωλύειν, αὐτίκα ἀκούσεσθε. ἀλλ' ἐπειδὴ πά-
λιν ἥκομεν ἐκ τῆς πρεσβείας ταύτης τῆς ἐπὶ τοὺς
ὅρκους, ἧς περ εἰσὶν αἱ νῦν εὔθυναι, οὔτε μικρὸν, οὔτε μέ-
γα οὐδὲ ὁτιοῦν εὑρημένοι τῶν ὅτε τὴν εἰρήνην ἐποιεῖσ-
31 θε λεχθέντων, καὶ προσδοκηθέντων· ἀλλὰ πάντα
ἐξηπατημένοι, καὶ τούτων ἕτερ' αὖθις αὖ πεπραγό-
των, καὶ ° παρὰ τὸ ψήφισμα πεπρεσβευκότων, προ-
σῆμεν τῇ βουλῇ. καὶ ταυτὶ πολλοὶ συνίσασιν ἃ μέλλω
λέγειν· τὸ γὰρ βουλευτήριον, μεστὸν ἦν ἰδιωτῶν. παρελ-
32. θὼν δ' ἐγὼ, πάντα τἀληθῆ πρὸς τὴν βουλὴν ἀπήγ-
γειλα. καὶ κατηγόρησα τούτων. καὶ ἀνεμνησάμην
ἀπὸ τῶν πρώτων ἐλπίδων ἐκείνων, ὧν ὁ Κτησιφῶν καὶ
ὁ Ἀριστόδημος ἀπήγγειλαν πρὸς ὑμᾶς. καὶ μετὰ ταῦ-
τα ὅτε τὴν εἰρήνην ἐποιεῖσθε, ἃ οὗτος ἐδημηγόρησε, καὶ
33 εἰς ἃ " προήχασι τὴν πόλιν, καὶ περὶ τῶν ὑπολοί-
πων· ταῦτα δ' ἦν Φωκεῖς, καὶ πάλαι· μὴ προέσθαι
συνεβούλευον, μηδὲ " ταῦτα παθεῖν, μηδ' ἀναρτω-
μένους ἐλπίσιν ἐξ ἐλπίδων, καὶ ὑποσχέσεσιν, εἰς τοὔσχα-
τον ἐλθεῖν τὰ πράγματα ἐᾶσαι. καὶ ἔπεισα ταῦτα
34 τὴν βουλήν. ἐπειδὴ δ' ἧκεν ἡ ἐκκλησία, καὶ πρὸς ὑμᾶς

αἰσχίνου. ἄγνοια οὖν, ὡς εἴρηται, τοῦ δήμου πολλὴ, εἴγε εἰδότες ὡς προδότης Φιλοκράτης, ἐχειροτόνησαν αὐτόν. ἔστι δὲ οὐ τοιοῦτον. ἀλλ' ἐπειδὴ χρεία πολλάκις ἐν ταῖς πρεσβείαις ἰταμωτέρων καὶ παρρησιαστικῶν, ἵνα μὴ τὰ δίκαια διὰ τὴν ἐπιείκειαν προῶνται τῆς πόλεως, ἐδόκει δὲ τοιοῦτος ὁ Φιλοκράτης, ἕνεκεν τούτου εἵλοντο αὐτὸν, ὡς οὐκ εὐχερῆ ὄντα εἰς τὸ μεταπεισθῆναι καὶ διαφθαρῆναι, εἶπε τὸ φυλάξωμεν. διὰ τοῦτο γὰρ μιαρὸν καὶ ἀναιδῆ ἐκάλεσεν οὐ προ-
25 δότην. Ἄριστα) Ἰσχυρότερα, ῥητορικώτερα. Δεῖν) Ἀντὶ τοῦ ἀναγ-
26 καῖον εἶναι. Βραχεῖς τε καὶ μετρίους) Τὸ μὲν, τῆς συντομίας. τὸ δὲ, τῆς ἀρετῆς τῶν εἰρημένων. Βραχεῖς, ἤγουν συντόμους. μετρίους, ἤγουν ἐπιεικεῖς, φιλανθρώπους. Συνηγοροῦντος δόγματι) Συμμαχοῦντος δόξῃ. Πράττον-
27 τος) Ἀγωνιζομένου. Ταῦτα) ἐμά. Ὡς οὔτε τῶν προγόνων ὑμᾶς) Ὁ μὲν Αἰσχίνης περὶ τῶν φαυλοτέρων ἔφη. οὓς καὶ ζηλοῦν ἐκώλυσεν. ὁ δὲ τῷ κοινῷ, τὸν λόγον ἐστοχάσατο. σοφίζεται γὰρ ἐνταῦθα ὁ ῥήτωρ· ὁ μὲν γὰρ Αἰσχίνης τὸ ἄκαιρον τοῦ μιμεῖσθαι τινὰς τῶν γονέων ἔλεγε φυλάττεσθαι, αἰνιττόμενος τοὺς ἐν Σικελίᾳ μόνους· οὐ γὰρ ἔλεγε περὶ πάντων τῶν προγόνων· ὁ δὲ ῥήτωρ, τῷ καθολικῷ ὀνόματι τῶν προγό-
28 νων, διαβάλλει τὸν λόγον. Νόμον τε θήσειν) Ἰδοὺ καὶ νομοθέτην αὐτὸν ἀποφαίνει, πανταχόθεν αὔξων τὴν φρόνησιν. Μηδενὶ τῶν Ἑλλήνων) Παραινεῖ τῇ πόλει τὴν αὐτοῦ δωροδοκίαν μιμήσασθαι, καὶ μισθοῦ βοηθῆσαι τοῖς Ἕλλησιν. Σχέτλιος)
29 Δυστυχής. Κατέτριψε) Ἤγουν ἀρ-
30 γῶς καὶ ἀμελῶς διετρίβασε. Ἀλλ' ἐπειδὴ πάλιν ἥκομεν) Τὸ εἶδος τοῦ λόγου περιβλητικὸν κατὰ τὴν μέθοδον. τὸ γοῦν ἀναστρέφειν τὰ πράγματα, καὶ τὰ δεύτερα πρῶτα λέγειν, εἶτα ἐπεμβάλλειν τὰ πρῶτα, περιβολῆς ἴδιον. Εὔθυναι) Ἐξετάσεις, ἔρευ-
31 ναι. Καὶ προσδοκηθέντων) Ὑπὲρ τοῦ ° πρὸς Νεοπτόλεμον λέγει καὶ Ἀριστόδημον καὶ τούτων ἕτερα τῶν Θράκην λέγει. Προσῄειμεν) Πρῶτον γὰρ ἔδει εἰσελθεῖν ἐν τῇ βουλῇ, εἶτα ἐν τῷ δήμῳ. Τὸ γὰρ βουλευτήριον μεστὸν) Τὴν ἐπιθυμίαν αἰνίττεται τοῦ μαθεῖν· οὐ γὰρ ἀνέμειναν τὴν ἐκκλησίαν κατὰ τὸ ἔθος, ἀλλ' ἀνεμίχθησαν οἱ ἰδιῶται τοῖς βουλευταῖς.
32 Κατηγόρησα τούτων) Οὐ λέγει περὶ πάντων τῶν πρέσβεων, ἀλλὰ περὶ τῶν
33 αἰτίων. Προέσθαι) Προδοῦναι. Ἀναρτωμένους) Ἐκκρεμαμένους. Εἰς τοὔσχατον) Ἀπώλειαν. Ἧκεν) Συνηθροίσθη.

° περὶ Ἀριστόδημον καὶ Νεοπτόλεμον.

κ. τε. ε.
" γένηται. β. δ.
' συνηγόρει σιν. α. ε.
" δέον. α. δ.
" γράφ. α.
' πρότερον. α δ.
` δ.
* ἐπὶ τῶν. ε β. ε. δ. η.
` α ε. δ.
` α. ε.
" αὐ. α.
" τὰ περὶ. α β. ε.
° παρ' αὐτὸ τό. α. ε η.
" προσῄειμεν. α. ε.
" προήχασιν ζ.
" ταυτὰ. ε. ζ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔδει λέγειν, παρελθὼν Αἰσχίνης οὑτοσὶ πρῶτος ἡμῶν
ἁπάντων· καὶ πρὸς Διὸς, καὶ θεῶν πειρᾶσθε συν-
διαμνημονεύειν ἂν ἀληθῆ λέγω· τὰ γὰρ πάντα*
πράγματα λυμηνάμενα ὑμῶν, καὶ διαφθείραν-
τα ὅλως, ταῦτ' ἐστὶν ἤδη. τοῦ μὲν ἀπαγγέλλειν τι τῶν 35
πεπρεσβευμένων, ἢ περὶ τῶν ἐν τῇ βουλῇ ῥηθέντων, εἰ
ἄρα ἠμφισβήτει μὴ ἀληθῆ λέγειν ἐμέ, μνησθῆναι,
πάμπληθες ἀπέσχεν. εἶπε δὲ τοιούτους λόγους, καὶ τη-
λικαῦτα, καὶ τοσαῦτα ἔχοντας ἀγαθά, ὥσθ' ἅπαν-
τας ὑμᾶς λαβὼν ᾤχετο· ἔφη γὰρ ἥκειν πεπεικὼς Φί- 36
λιππον, πάνθ' ὅσα συμφέρει τῇ πόλει, καὶ περὶ τῶν
ἐν Ἀμφικτύοσι, καὶ περὶ τῶν ἄλλων ἁπάντων. καὶ διε-
ξῆλθε λόγον μακρὸν ὑμῖν, ὃν κατὰ Θηβαίων εἰπεῖν πρὸς
Φίλιππον ἔφη. καὶ τὰ κεφάλαια ἀπήγγελλε πρὸς
ὑμᾶς, καὶ ἀπελογίζετο ἐκ τῶν αὐτῷ πεπρεσβευ- 37
μένων δυοῖν, ἢ τριῶν ἡμερῶν, ὑμᾶς μένοντας οἴκοι,
καὶ οὐ στρατευομένους, οὐδ' ἐνοχλουμένους, Θήβας μὲν
πολιορκουμένας αὐτὰς καθ' αὑτὰς χωρὶς τῆς ἄλλης
Βοιωτίας, ἀκούσεσθαι. Θεσπιὰς δὲ, καὶ Πλαταιὰς οἰκι-
ζομένας. τῷ θεῷ δὲ τὰ χρήματα εἰσπραττόμενα, 38
οὐ παρὰ Φωκέων, ἀλλὰ παρὰ Θηβαίων, τῶν βου-
λευσάντων τὴν κατάληψιν τοῦ ἱεροῦ. διδάσκειν γὰρ
αὐτὸς ἔφη τὸν Φίλιππον, ὅτι οὐδὲν ἧττον ἠσεβήκασιν οἱ
βεβουλευκότες, τῶν ταῖς χερσὶ πραξάντων. καὶ διὰ
ταῦτα, χρήματα αὑτῷ τοὺς Θηβαίους ἐπικεκηρυχέναι. 39
ἀκούειν δὲ καὶ τῶν Εὐβοέων ἐνίων ἔφη πεφοβημένων καὶ
τεταραγμένων τὴν πρὸς τὴν πόλιν οἰκειότητα
Φιλίππῳ γεγενημένην· καὶ λεγόντων ὅτι οὐ λελήθα-
τε ἡμᾶς, ὦ ἄνδρες πρέσβεις, ἐφ' οἷς πεποίησθε τὴν εἰ-
ρήνην πρὸς Φίλιππον· οὐδ' ἀγνοοῦμεν, ὅτι ὑμεῖς 40
μὲν Ἀμφίπολιν δεδώκατε ἐκείνῳ, Φίλιππος δ'
ὑμῖν Εὔβοιαν ὡμολόγηκε παραδώσειν. εἶναι μέντοι καὶ
ἄλλο διῳκημένον αὐτῷ. οὐ μήν πω τοῦτο βούλεσθαι
λέγειν. καὶ γὰρ νῦν τινὰς αὐτῷ τῶν φθονεῖν συμπρέσ-
βεων. ὑπῃνίττετο δ' οὕτω πως, καὶ προὐδήλου τὸν Ὠρω- 41
πόν. εὐδοκιμῶν δ' ἐπὶ τούτοις εἰκότως, καὶ δοκῶν καὶ
ῥήτωρ ἄριστος εἶναι, καὶ ἀνὴρ θαυμαστὸς, κατέβη μάλα

θροῖσθαι. Πρῶτος) Ἐν προοιμιολογίᾳ. 34
Πειρᾶσθε συνδιαμνημονεύειν)
Αἰσχυνθῆτε) καθ' ἕκαστον τῶν ἀκουόν-
των, μόνος ἀπολειφθῆναι τῆς μνή-
μης. Πάμπληθες) Παντελῶς, ὅ-
λως. Ὥσθ' ἅπαντας) Ἀντὶ τοῦ δου- 35
λώσας ὑμᾶς τοῖς ἡδέσι λόγοις, ὥσ-
περ αἰχμαλώτους ἀπήγαγεν. Ἔφη 36
γὰρ ἥκειν πεπεικὼς) Καλῶς εἶπε
πεπεικὼς, οὐκ ἀκηκοὼς παρὰ Φι-
λίππου ἁπλῶς, ἀλλὰ πεπεικὼς Φι-
λίππον, ἵνα μὴ ὡς ἐξαπατηθεὶς
φαίνηται. προδιαλύει δὲ καὶ οὕτω τὸ
χρῶμα· πῶς γὰρ ὁ τότε πείσας ἠπά-
τηται. Καὶ περὶ τῶν ἐν Ἀμφι-
κτύοσιν) Ὥστε ζητῆσαι καὶ μαθεῖν,
τίνες ἐσύλησαν τοῦ ἱεροῦ τὰ χρήματα.
ἔμελλε γὰρ τοῖς Ἀμφικτύοσι τοῦτο·
Φωκέων γὰρ καὶ Θηβαίων πολεμούν-
των πρὸς ἑαυτοὺς διὰ τὴν παρα-
ποταμίαν γῆν, οἱ Θηβαῖοι μᾶλ-
λον ἱεροσύλησαν τὸ ἐν Δελφοῖς ἱε-
ρὸν ἢ περ οἱ Φωκεῖς, εἰ καὶ οἱ Φω-
κεῖς κατὰ τὸ ἀληθὲς τοῦτο πεποιήκα-
σι· πρότεροι γὰρ φησὶν ἐπεχείρησαν οἱ
Θηβαῖοι τοῦτο ποιῆσαι, καὶ οὐδὲν ἧττον
ἠσεβήκασιν οἱ βεβουλευκότες τῶν ταῖς
χερσὶ διαπραξάντων, ὡς ἐπιφέρει
μετὰ μικρὸν λόγον μακρόν. Ἀπε- 37
λογίζετο) Ἐστοχάζετο, ἐπελάμβανε.
ἀπὸ τοῦ ὑπὸ λόγους καὶ ἀριθμοὺς
ἐπιτιθεῖ. Πεπρεσβευμένων) Ἡ-
γεῖτο ἐκ τῆς πρεσβείας ἑαυτοῦ ὡς
τεθαρρηκὼς αὐτῇ. Δυοῖν ἢ τριῶν
ἡμερῶν) Τὸ τάχος τῆς ἐπαγγελίας
τὴν ἀπάτην ἐπηύξησε. Καθ' αὑ-
τὰς) Μόνας. Εἰσπραττόμενα) Ζη-
τούμενα. Διδάσκειν γὰρ αὐτὸς 38
ἔφη) Ὅρα ὅπως πάλιν προδιοι-
κεῖται τὴν λύσιν. ὁ γὰρ διδάσκων οὐ
φενακίζεται. καὶ τὸ αὐτὸς δὲ, τὴν
ἐξοχὴν δηλοῖ τῆς εὑρέσεως. οὐκ ἄν
οὖν ὁ τοιοῦτος ἀπατηθείη. Ἐπικεκη- 39
ρυχέναι) Ὁμολογεῖται ὑποσχέσθαι
δοῦναι. ὅταν πόλις ἔχῃ πρός τινα
δυσμένειαν, ἐπιβοᾷ καὶ κηρύττει μι-
σθὸν καὶ χρήματα τῷ φονεύσαντι.
ἄλλο δέ ἐστιν ἐπικηρυκεία, καὶ ἄλλο
ἐπικήρυξις· ἐπικηρυκεία μὲν ἡ φι-
λία· ἐπικήρυξις δὲ, ὅταν ἡ πόλις,
ὡς ἔφημεν, ἐχθρὸν ἔχουσά τινα
ἐπιβουλεύοντα αὐτῇ, καὶ βούλοιτο
αὐτὸν ἀνελεῖν*, χρήματα κηρύτ-
τει δοῦναι τῷ ἀνελόντι αὐτόν. πολ-
λάκις δὲ καὶ ἐπὶ ἰδιωτῶν τοῦτο ἐγίνετο. Ὦ ἄνδρες πρέσβεις) Τοῦτο ὥσπερ ἠθοποιία ἐστὶν, ὡς ἐκ τῶν Εὐβοέων
λεγόντων πρὸς τὸν Αἰσχίνην καὶ τοὺς ἄλλους πρέσβεις, καὶ πῶς εὑρέθησαν αὐτοὶ οἱ πρέσβεις ἐν τῇ Εὐβοίᾳ.
λέγομεν ὅτι δι' αὐτῆς παρῆλθον ἐπανερχόμενοι ἐπὶ τὰς Ἀθήνας· οὐ γὰρ ἠδυνήθησαν διὰ τῆς Βοιωτίας ἐπανελθεῖν
διὰ τὴν ἔχθραν ἣν εἶχον πρὸς τοὺς Θηβαίους. ἦσαν δὲ οἱ Εὐβοεῖς Ἀθηναίων ἐκ παίδων, ἐκ τῶν ὑστέρων θουκυ-
δίδου, μέχρι τοῦ νῦν χρόνου. Ὡμολόγηκε) Καθυπέσχετο. Εὐδοκιμῶν) Ἡγεῖτο δόκιμος δόξας ἕνεκεν τούτων. 40
Ῥήτωρ ἄριστος) Πιθανολόγος ἐπὶ τέχνης. Ἀνὴρ θαυμαστὸς) Ἐπαινετὸς ἐπὶ γνώμης. Κατέβη μάλα 41

Marginal readings: εἰ ε. — τὰ α.π. — λυμηνάμενα ὑμᾶς. α.δ. — πᾶ.α. — ἀπέσχεν, ε. ἀπέστη. ζ. — λαθὼν. α.δ. — ὑπελογίζετο ε. — ἑαυτὰ ε. — εἶ.α. — ἑαυ.α.λ.θ. — πρέσβεων.α — ἀπολειφθῆναι.α. — γυναῖκα α. — εἴα. — ἔφαμεν.α. — ἐβούλετο.α. — * ὡς βαρυνθεὶς ἑαυτῇ α.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σεμνῶς. ἀναστὰς δ' ἐγώ, ταῦτά τε οὐκ ἔφην εἰδέ-
ναι. καὶ *ἐπειρώμην τι λέγειν τούτων, ὧν εἰς τὴν βου- *ἅμα.ε.
42 λὴν ἀπήγγειλα. καὶ παραστάς, ὁ μὲν, ἔνθεν, ὁ δέ,
ἔνθεν, οὑτοσὶ καὶ Φιλοκράτης, ἐβόων, ἐξέκρουόν με,
τελευτῶντες ἐχλεύαζον. ὑμεῖς δ' ἐγελᾶτε. καὶ °οὔτε °οὐδ' α.
ἀκούειν ἠθέλετε, οὔτε πιστεύειν 'ἐβούλεσθε ἄλλα, πλὴν 'ἐβούλεσθ.
ἃ οὗτος ἀπηγγέλκει. καὶ νὴ τοὺς θεούς, εἰκός τι παθεῖν
43 ἔμοιγ' ἐδοκεῖτε· τίς γὰρ ἂν ἠνέσχετο, τηλικαῦτα καὶ
τοσαῦτα ἔσεσθαι προσδοκῶν ἀγαθά, ἢ ταῦθ' ὡς
οὐκ ἔσται λέγοντός τινος, ἢ κατηγοροῦντος τῶν πε-
πραγμένων τούτοις. πάντα γὰρ τἄλλα, οἶμαι, τότε `καὶ `α.
δεύτερα ἦν, ʹτῶν °ὑποκειμένων προσδοκιῶν, καὶ ʹὧν.α.
44 τῶν ἐλπίδων. οἱ δ' ἀντιλέγοντες, ὄχλος "ἄλλως, καὶ °κρινομένων. "ἄλλος α.
βασκανία ⁱκατεφαίνετο. ταῦτα δὲ θαυμάσια ἡλίκα ⁱκατεφαί-
καὶ συμφέροντα ἐδόκει τῇ πόλει πεπρᾶχθαι. τοῦ, νοντο.κ.
χάριν δὴ ταῦτα ὑπέμνησα πρῶτα νῦν ὑμᾶς,
καὶ διεξῆλθον τούτους τοὺς λόγους. ἑνὸς μὲν ὦ `ἄν- `α.δ.
45 δρες ἀθηναῖοι μάλιστα καὶ πρώτου, ἵνα μηδεὶς
ὑμῶν, ἐπειδάν τι λέγοντος ἀκούῃ μου, καὶ κατηγο-
ροῦντος τῶν πεπραγμένων, καὶ δοκῇ δεινὸν αὐτῷ, καὶ
ὑπερβάλλον εἶναι, εἶτα 'τότε οὐκ ἔλεγες παραχρῆ-
μα ταῦτα; οὐδ' ἐδίδασκες ἡμᾶς; θαυμάζῃ. ἀλλὰ
46 μεμνημένοι τὰς ὑποσχέσεις τὰς τούτων, ἃς ἐφ'
*ἑκάστων ποιούμενοι τῶν καιρῶν °ἐξέκλειον λόγου τυγ- *ἑκάστῳ.α.
χάνειν τοὺς ἄλλους, καὶ τὴν "ἐπαγγελίαν τὴν τούτου δ.κ. °ἐξέκρουον β.
ταύτην τὴν καλὴν εἰδῆτε, ὅτι πρὸς ἅπασι τοῖς ἐξέβαλλον ζ.
ἄλλοις, καὶ τοῦτο ἠδίκησθε ʹὑπ' αὐτοῦ, ὅτι τἀληθῆ "κ ἀπαγγε-
47 ʹπαραχρῆμα, καὶ ἡνίκα ἔδει πυνθάνεσθαι, διεκωλύ- λίαν. ʹπαρ.α.ε.δ.
θητε, ἐλπίσι καὶ φενακισμοῖς καὶ ὑποσχέσεσιν ἐξα- `α.
πατώμενοι. πρώτου μὲν τούτου, καὶ μάλιστα οὗπερ
εἶπον ἕνεκα, ταῦτα διεξῆλθον. δευτέρου δέ τινος, καὶ
οὐδὲν ἐλάττονος, ἢ τούτου, ἵνα τὴν, ὅτ' ἀδωροδόκη-
48 τος ὑπῆρχε, προαίρεσιν αὐτοῦ τῆς πολιτείας ἀνα-
μνησθέντες, ὡς προβεβλημένη, καὶ ἄπιστος ἦν πρὸς
τὸν Φίλιππον, τὴν μετὰ ταῦτα ἐξαίφνης γεγονυῖαν
πίστιν, καὶ φιλίαν σκέψησθε. εἶτα *μὲν ἐκβέβηκεν *εἰ.α.
ὅσα ʹἀπήγγειλε πρὸς ὑμᾶς οὗτος, καὶ καλῶς εἶχε ʹἀπήγγελκε.
49 τὰ πεπραγμένα, διὰ τὴν ἀλήθειαν, καὶ τὸ συμ- α.δ.ε.κ.
φέρει τῇ πόλει γεγενῆσθαι νομίσητε. εἰ δὲ πάντα ἔχει.α.
τἀναντία, ὧν οὗτος εἶπε, πέπρακται, καὶ πολλὴν αἰ-
σχύνην, καὶ μεγάλους κινδύνους ταῦτ' ἔχει τῇ πόλει, διὰ τὴν αἰσχροκέρδειαν τὴν τούτου,
καὶ τὸ χρημάτων ἀποδόσθαι τἀληθῆ, μεταβεβλημένον εἰδῆτε αὐτόν. βούλομαι δ',
ἐπειδήπερ

41 σεμνῶς) Πλήθει λεληθότως τὸν δῆ-
μον, ὅτι παραδοκιμοῦσιν οἱ φενα-
κίζοντες. σεμνῶς, ἤγουν μεγαλο-
42 πρεπῶς. Ἐβόων, ἐξέκρουόν με)
Αἰσχίνου βοῶντος, Φιλοκράτους πα-
ροινοῦντος, προκατειλημμένου τοῦ
δήμου, πῶς Δημοσθένης ὀφθήσεται.
ἐξέκρουόν με, ἀντὶ τοῦ ἐπονείδιζον. ἐ-
χλεύαζον δὲ, ἐνέπαιζον μετ' εἰρω-
νείας. Νὴ τοὺς θεούς, εἰκός τι πα-
θεῖν) Θεραπεύει τὸν δῆμον μετὰ τὴν
43 ἐπιτίμησιν. Δεύτερα) Ἐλάττονα.
Ὑποκειμένων) Παρεσκευασμένων. Ὄ-
χλος) Ταυτόν ἐστιν εἰπεῖν, ὀχλοῦν-
44 τες ἦσαν καὶ φθονοῦντες. Τοῦ χά-
ριν δή) Πληρώσας τὴν διήγησιν, εἰσ-
βάλλει ἐντεῦθεν ἐπὶ τὸ πρῶτον κε-
φάλαιον τοῦ στοχασμοῦ, ὅπερ ἐστὶ τὸ
παραγραφικόν. λαμβάνει δὲ αὐτὸ
`α. ἐκ τοῦ χρόνου. οἷον, καὶ διὰ τί μὴ τότε
45 ἀντέλεγες. Παραχρῆμα) ἤγουν
συντόμως μετὰ τὴν πρεσβείαν.
47 Οὗπερ εἶπον) Ὅτι οὐκ ἐδίδασκον
ταῦτα παραχρῆμα, ἀλλὰ μετὰ ταῦ-
48 τα. Ὡς προβεβλημένη) Εὐλα-
βῶς ἔχουσα καὶ φυλαττομένη πρὸ
τῶν ἄλλων ἦν, ἔμπροσθεν μα-
χομένη. Καλῶς) Συμφερόν-
49 τως. Διὰ τὴν ἀλήθειαν) Τοῦ Αἰ-
σχίνου δηλαδή. Διὰ τὴν αἰσχρο-
κέρδειαν) Νομίσητε γεγενῆσθαι.
Ἀποδόσθαι) Πωλῆσαι. Βούλομαι
δὲ) Πληρώσας τὸ παραγραφικὸν, εἰσ-
βάλλει ἐντεῦθεν ἐπὶ τὸ δεύτερον κε-
φάλαιον τοῦ στοχασμοῦ, ὅπερ ἐστὶν ἡ
τῶν ἐλέγχων ἀπαίτησις. Ἄλλως.
Συμπεράνας τὴν κατάστασιν, ἄρχεται
ἐντεῦθεν τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους,
ὧν ἐστι τὸ προοίμιον. ἐπειδὴ δὲ κινη-
θέντος τοῦ ἐγκλήματος ἐδείχθη τὸ
μέγεθος, ἀφέμενος ἀναγκαίως ὧν
προήρξατο, τὴν λυποῦσαν αὐτὸν ἀν-
τίθεσιν διαβάλλειν πειρᾶται. ἔστι δὲ
αὕτη τις ἡ ἀπὸ τῆς Αἰσχίνου δυνά-
μεως· ἀλλ' οὐχ ἱκανῶς Αἰσχίνης.
οὐδὲ τοσαύτην ἔχει δύναμιν, ὥστε
εἰκοσιδύο πόλεων προδοῦναι κα-
τάλογον. τί δή ποτε στοχαστικῆς οὔσης
τῆς ὑποθέσεως, ἐλέγχων ἀπαιτήσει οὐ
κέχρηται· καὶ λέγομεν, ὅτι γνώμης ἐστὶ
στοχασμὸς οὐχ οἷόν τε δὲ προδήλων
ὄντων τῶν πραγμάτων, ὑφ' ὧν πέ-
*ὑπάρχον- πρακται. καὶ καταφανοῦς ὄντος τοῦ
τος.α. πεποιηκότος, ἐλέγχων ἀπαίτησιν γε-
νέσθαι· ἐνταῦθα γὰρ τῆς βουλήσεως
μόνης ἐξέτασις καὶ τῶν τεκμηρίων.
ἐλέγχους δὲ οὐκ ἀπαιτοῦμεν, ὅτι μὴ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὴν ἑτέρου γνώμην οὐδέ τις ἑκών, ἢ ἄκων. καὶ ἐξηπατημένος τοὺς λόγους εἴρηκε. καὶ ἡ βούλησις δὲ ἠρέμα μὲν δηλοῦται· φυλάττεται δὲ ἡ πλείων ἐξέτασις ἐν τῷ χρώματι. τὴν δὲ δύναμιν βλάψουσαν καὶ ὑπερβαίνουσαν τὴν ποιότητα, κατέμιξε τῇ θέσει τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους, πιθανὰ ποιῶν τὰ ἐγκλήματα. Ὃν τρόπον) Ἀντὶ τοῦ καθ' ὃν 50

ἐπειδήπερ εἰς τούτους περιῆλθον οἱ λόγοι, ὃν τρό- 50
πον τὰ περὶ τοὺς Φωκέας πράγματα ὑμῶν περιεί-
λοντο, πρῶτον εἰπεῖν ἁπάντων. δεῖ δὲ μηδένα ὑμῶν,
ὦ ἄνδρες δικασταί, εἰς τὸ τῶν πραγμάτων μέγεθος
ἀποβλέψαντα, μείζους τὰς κατηγορίας, καὶ τὰς αἰ-
τίας, τῆς τούτου δόξης νομίσαι. ἀλλ' ἐκεῖνο ὁρᾶν, ὅτι 51
εἰ καὶ ὄντινα οὖν ὑμεῖς εἰς ταύτην τὴν τάξιν κα-
τεστήσατε, καὶ τῶν συμβάντων καιρῶν ἐποιήσατε κύ-
ριον, εἴθ' οὗτος, εἴπερ, ὥσπερ οὗτος, ἐβουλήθη μισθώσας
ἑαυτὸν τοῖς ἐχθροῖς, ἐξαπατᾶν ὑμᾶς, καὶ φενακί-
ζειν, τῶν ἴσων ἂν αἴτιος ἦν κακῶν, ὅσωνπερ καὶ οὗτος. 52
οὐ γὰρ εἰ φαύλοις ὑμεῖς χρῆσθε εἰς τὰ κοινὰ πολλά-
κις ἀνθρώποις, καὶ τὰ πράγματά ἐστι φαῦλα, ὧν ἡ
πόλις ἀξιοῦται παρὰ τοῖς ἄλλοις. οὐδὲ πολλοῦ δεῖ.
εἶτα καὶ Φωκέας ἀπολώλεκε μέν, οἶμαι, Φίλιππος,
συνηγωνίσαντο δ' οὗτοι. τοῦτο δὴ δεῖ σκοπεῖν, καὶ ὁρᾶν 53
εἰ ὅσα τῆς τῶν Φωκέων σωτηρίας ἐπὶ τὴν πρε-
σβείαν ἧκε, ταῦτα πάντα ἀπώλεσαν οὗτοι, καὶ διέ-
φθειραν ἑκόντες οὐχ ὡς ὅδε Φωκέας ἀπώλεσεν
αὐτὸς καθ' ἑαυτόν. πόθεν. δὸς δέ μοι τὸ προβούλευμα,

ὑστέρησαν τρόπον ποτὲ ὑμᾶς τοὺς Φωκεῖς. Δεῖ δὲ μηδένα ὑμῶν) Ἡ μὲν βούλησις μέχρι τοῦ μετρίου συμπλέκεται ἐκ τούτου. εἴθ' οὗτος, εἴπερ, ὥσπερ οὗτος, ἠβουλήθη μισθώσας αὑτὸν τοῖς ἐχθροῖς ἐξαπατᾶν ὑμᾶς καὶ φενακίζειν, τῶν ἴσων αἴτιος ἦν κακῶν, ὅσωνπερ καὶ οὗτος. τὴν δέ γε δύναμιν ηὔξησεν ἐκ τῆς ποιότητος, εἰπών, ὅτι ὑμεῖς κατεστήσατε κύριον, καὶ τοὺς καιροὺς συνῆψεν ἐπὶ τούτοις, μέρος τῆς δυνάμεως ὄντας. διὰ τί δὲ ἐπ' ἐλάχιστον χρῆται νῦν τῇ βουλήσει. λέγομεν ὅτι τεχνικῶς τοῦτο ποιεῖ· βούλεται γὰρ αὐτὴν τηρῆσαι ἐν τῷ δευτέρῳ στοχασμῷ· δεύτερος γὰρ ἐμπίπτει μεταξὺ τοῦ λόγου ἀντιθέσεως· ὅτι, καὶ πόθεν δῆλον ὅτι ταῦτα ἠβουλόμην ποιεῖν. ἰστέον δέ, διὰ τοῦ εἰπεῖν ἐβουλήθη, ἐσήμανε τὴν βούλησιν· τὴν γὰρ δύναμιν προειπών, ἐπήγαγε τὴν βούλησιν. Ὅτι ὄντιν' οὖν ὑμεῖς) Εἰ 51 καὶ τοῦ αἰσχίνου ταπεινότερόν τε καὶ ἥττω. Εἴθ' οὗτος) Συνέζευξε τῇ δυνάμει τὴν βούλησιν, κρατύνων αὐτὴν τῇ κοινωνίᾳ. Οὐ γὰρ εἰ φαύλοις) 52 Τοῦτο μὲν ἐστὶ μέρος τῆς ἀντιθέσεως, ὅτι φαῦλος, καὶ τῶν τυχόντων, καὶ οὐδὲ τῶν σεμνῶν, οὐδὲ τῶν λαμπρῶν αἰσχίνης, οὐκ ἐξεπίτηδες φαυλίζων. οὐ παρ' ἑαυτοῦ δὲ φαυλίζων· ἐναντίον γὰρ ἦν· ἀλλὰ παρὰ τῶν ἐχόντων ταύτην τὴν ὑπόληψιν λαμβάνων τὸν λόγον. ἔστι δὲ καὶ τῶν ἀσαφῶν τὸ χωρίον. τί οὖν βούλεται λέγειν ἐν τούτῳ, ὅτι οἱ Φωκεῖς, εἰ καὶ φαύλῳ ἐχρήσασθε διακόνῳ καὶ πρεσβευτῇ, οὐ πρὸς ἐκεῖνον εἶδον, ἀλλὰ πρὸς τὴν πόλιν. Ἀξιοῦται) Ἀξία κρίνεται. τί γάρ, ὧν ἡ πόλις ἀξιοῦται παρὰ τοῖς ἄλλοις, ἐπ' αὐτοῖς ἀναφέρεται, ἀντὶ τοῦ, οὐκ ἠξίωσαν ὀλιγωρῆσαι τῶν αἰσχίνου λόγων. ἀλλ' ἐπεῖδον πρός τε τὸ τῆς πόλεως πρόσωπον καὶ ἀξίωμα, καὶ τούτοις πιστεύσαντες ἀπώλοντο. ἵνα δὲ ἡ δύναμις ἰσχυρὰ γένηται, προσέθηκε καὶ τοὺς ἄλλους πρέσβεις, καὶ διευκρινήσειν ἐπὶ τινὶ κατηγορεῖ, προσθεὶς καὶ εἰπών, εἰ ὅσα τῆς Φωκέων σωτηρίας ἐπὶ τὴν πρεσβείαν ἧκε, ταῦθ' ἅπαντ' ἀπώλεσαν οὗτοι. καὶ προσέθηκε πάλιν τὴν βούλησιν, εἰπών. καὶ διέφθειραν ἑκόντες. τὸ δέ γε ἰσχυρότερον μέρος τῆς βουλήσεως, τὴν αἰτίαν, οὐ λέγει· τούτου γὰρ τοῦ κεφαλαίου τὸ μέγιστον μέρος ἐστὶν ἡ αἰτία, ἣν ἐν τῷ δευτέρῳ στοχασμῷ διεφύλαξε. Δὸς δέ μοι τὸ προβούλευμα) 53 Εἰσβάλλει ἐπὶ τὴν τῶν ἐλέγχων ἀπαίτησιν, πληρώσας τὴν δύναμιν. προβούλευμα δὲ λέγει, τὸ ἀκοῦσαι τὴν βουλὴν περὶ τοῦ Δημοσθένους κατηγοροῦντος τοῦ αἰσχίνου, καὶ τῶν ἄλλων πρέσβεων, ὅτι παρεπρέσβευσαν, καὶ καταψηφίσασθαι αὐτῶν ὡς ἀδικησάντων, καὶ γράψαι καὶ ψήφισμα ἕνα αὐτῶν τῶν βουλευτῶν, ὥστε μὴ κληθέντα εἰς τὸ πρυτανεῖον ἐπὶ δεῖπνον· ἀεὶ γὰρ οἱ πρέσβεις ἐπανερχόμενοι, ἐκαλοῦντο ἐπὶ δεῖπνον ἔθει τινὶ τιμῆς χάριν· τοῦτο γὰρ προεφέρει εἰς ἔλεγχον αὐτῶν τῆς προδοσίας, ὅτι ὡς προδοτῶν καταγνοῦσα ἡ βουλή, οὐκ ἐκάλεσεν αὐτοὺς εἰς δεῖπνον. Ἄλλως. Μετέβη πάλιν ἐντεῦθεν ἐπὶ τὸ κεφάλαιον, οὗπερ ἦν ἐξαρχῆς τὸ προοίμιον. λέγω δὴ τοῦ ἀπ' ἀρχῆς ἄχρι τέλους. ἄρχεται δὲ ἐκ μεταληπτικοῦ, νῦν ἡμῖν λέγεις περὶ τῆς προδοσίας, ἐξὸν περὶ τῶν πραγμάτων εἰπεῖν καὶ σῶσαι; ὁ δέ, ὅτι οὐκ ἐσίγησε συνίστησι, παρεχόμενος τὸ προβούλευμα· ἔστι γὰρ σημεῖον τῶν αὐτοῦ λόγων, ὅπερ ἐψηφίσατο πρὸς τὰς ἐπαγγελίας τοῦ ῥήτορος. πληρώσας δὲ διὰ τῆς προσηκούσης ἐξεργασίας τὸν τρόπον, μεταβέβηκεν ἐπ' αὐτὰ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, καθαρῶς ἀπὸ τῶν χρόνων ἀρξάμενος· αἰτιᾶται γὰρ τὸν αἰσχίνην, ὡς ἐξεπίτηδες ἀποκλείσαντα τῶν καιρῶν τὴν πόλιν· ὡς δὲ μηδὲ ἐγγενέσθαι δυνάσθαι περὶ τῶν προκειμένων τοῦ Φιλίππου κατειληφότος τὰς πύλας· ἅμα τε γὰρ ἤκουσε, κἀκεῖνος παρῆν. εὔδηλον ὡς ἀπολώλει τῆς βοηθείας ὁ χρόνος, ἐν ᾧ κλεῖσαι τὰς πύλας εἰ οἷόν τε ἦν τῷ δήμῳ. εἶτ' ἐπειδὴ ἀντέπιπτεν· οὐ γὰρ ἦν ἑτέρως βοηθεῖν προειπόντας Φωκεῦσιν ἀσφαλέστερόν τι περὶ αὐτῶν βουλεύσασθαι. ἔλυσε δύο λύσεσι· μιᾷ μέν, ὅτι οὐδεὶς ἀνέγνω τῷ δήμῳ τὸ προβούλευμα. ἢ γὰρ ἂν ὁ δῆμος ἐβουλεύσατο. ἑτέρᾳ δέ, ὅτι εἰ καὶ βουλεύσασθαι ὁ δῆμος οἷός τε ἦν, ἐξηπάτησεν αὐτὸν αἰσχίνης, ἐλπίσι καὶ ὑποσχέσεσιν. ἐν ᾧ καὶ εἰσάγει τὰ ἰσχυρότατα τῶν τεκμηρίων, λέγων τοὺς αἰσχίνου λόγους.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

54 ὃ πρὸς τὴν ἐμὴν ἐπαγγελίαν ἐψηφίσατο ἡ βουλή, καὶ τὴν μαρτυρίαν τὴν τοῦ γράψαντος αὐτὸ τότε, ἵνα εἰδῆτε, ὅτι ἐγὼ μὲν οὐδὲ τότε σιγήσας, οὐδὲ νῦν ἀφίσταμαι τῶν πεπραγμένων, ἀλλ' εὐθὺς κατηγόρουν, καὶ προεωρώμην τὰ μέλλοντα. ἡ βουλὴ δὲ ἡ μὴ
55 κωλυθεῖσα ἀκοῦσαι τἀληθῆ παρ' ἐμοῦ, οὔτ' ἐπῄνεσε τούτους, οὔτ' εἰς τὸ πρυτανεῖον ἠξίωσε καλέσαι. καίτοι τοῦτο ἀφ' οὗ γέγονεν ἡ πόλις, οὐδείς πώποτέ φησι παθεῖν οὐδένας πρέσβεις. οὐδὲ τιμαγόραν, ὃν θάνατον κατεχειροτόνησεν ὁ δῆμος. ἀλλ' οὗτοι πεπόνθασι.
56 Λέγε δ' αὖθις, πρῶτον μὲν τὴν μαρτυρίαν· εἶτα τὸ προβούλευμα.

## Μαρτυρία, προβούλευμα.

Ἐνταῦθ' οὔτ' ἔπαινος, οὔτε κλῆσις εἰς τὸ πρυτανεῖόν ἐστι τῶν πρέσβεων ὑπὸ τῆς βουλῆς. εἰ δέ φησιν οὗτος,
57 δειξάτω καὶ παρασχέσθω, κἀγὼ καταβαίνω, ἀλλ' οὐκ ἔστιν. εἰ μὲν τοίνυν ταὐτὰ πάντες ἐπρεσβεύομεν, δικαίως οὐδένα ἐπῄνεσεν ἡ βουλή. δεινὰ γὰρ ὡς ἀληθῶς τὰ πεπραγμένα πᾶσιν. εἰ δ', οἱ μὲν τὰ δίκαια ἔπραττον ὑμῶν, οἱ δέ, τἀναντία· διὰ τοὺς πεπονηρευμένους,
58 ὡς ἔοικε, τοῖς ἐπιεικέσι συμβεβηκὸς ἂν εἴη, ταύτης τῆς ἀτιμίας μετεσχηκέναι. πῶς οὖν ῥᾳδίως ἅπαντες εἴσεσθε, τίς ποτ' ἐσθ' ὁ πονηρός· ἀναμνήσθητε παρ' ὑμῖν αὐτοῖς, τίς ἐσθ' ὁ κατηγορῶν τῶν πεπραγμένων ἐξ ἀρχῆς. δῆλον γὰρ ὅτι, τῷ μὲν ἠδικηκότι, σιγᾶν ἐξήρκει,
59 καὶ διακρουσαμένῳ τὸν παρόντα χρόνον, μηκέτ' εἰς λόγον περὶ τῶν πεπραγμένων ἑαυτὸν καθιστάναι. τῷ δὲ μηδὲν αὑτῷ συνειδότι δεινόν, εἰ σιγῴη, πονηρῶν καὶ δεινῶν ἔργων δόξαι κοινωνεῖν τῷ σιωπῆσαι. εἰμὶ τοίνυν ὁ κατηγορῶν ἐξ ἀρχῆς, ἐγὼ τούτων.
60 τούτων δ', οὐδεὶς ἐμοῦ. ἡ μὲν τοίνυν βουλή, ταῦτα προβεβουλεύκει, τῆς δ' ἐκκλησίας γινομένης, καὶ τοῦ φιλίππου παρόντος ἐν πύλαις ἤδη· ἦν γὰρ οὗτος πρῶτον ἁπάντων τῶν ἀδικημάτων, τὸ τὸν φίλιππον ἐπιστῆσαι τοῖς πράγμασι τούτοις, καὶ δέον ὑμᾶς ἀκοῦσαι περὶ τῶν πραγμάτων, εἶτα βουλεύσασθαι, μετὰ ταῦτα δὲ πράττειν ὅ, τι δόξαι, ἅμα
61 ἀκούειν, κἀκεῖνον παρεῖναι, καὶ μηδ' ὅ, τι χρὴ ποιεῖν, ῥᾴδιον εἰπεῖν εἶναι. πρὸς δὲ τούτοις, τοῦτο μὲν οὐδεὶς ἀνέγνω τῷ δήμῳ τὸ προβούλευμα, οὐδ' ἤκουσεν ὁ δῆμος. ἀναστὰς δὲ οὗτος, ἐδημηγόρει ταῦτα, ἃ διεξῆλθον ἄρτι πρὸς ὑμᾶς ἐγώ, τὰ πολλά, καὶ μεγάλα ἀγαθά, ἃ πεπεικὼς ἔφη τὸν φίλιππον ἥκειν, καὶ διὰ ταῦτα, χρήματα αὐτῷ τοὺς θηβαίους
62 ἐπικεκηρυχέναι. ὥστε ὑμᾶς ἐκπεπληγμένους τῇ παρουσίᾳ τὸ πρῶτον τῇ τοῦ φιλίππου, καὶ τούτοις ὀργιζομένους ἐπὶ τῷ μὴ προηγγελκέναι, πρᾳοτέρους γενέσθαι τινός, πάνθ', ὅσα ἐβούλεσθε ὑμῖν ἔσεσθαι, προσδοκήσαντας. καὶ μηδὲ φωνὴν ἀκούειν ἐθέλειν ἐμοῦ, μηδ' ἄλλου μηδενός, καὶ μετὰ ταῦτα ἀνεγινώσκετο ἡ ἐπιστολὴ ἡ παρὰ τοῦ φιλίππου.

ἣν οὗτος

[Margin variants: ἀπαγγελίαν α. — προεώρων α.β.δ. — φησὶ α. — δ. α. — ἐντεῦθεν α. — δ. α. — ἡμῶν ζ. — πάντες α. — μάθοιτε ζ. — αὐτοὶ α. — α. — οὖν α. — δόξει α. — χρὴ α. — ἐστὶ α. — τινὸς — α. δ.]

Ἐπαγγελίαν) Πρόσταξιν ἢ αἴτησιν. Κωλυθεῖσα) Ὡς πρότερον. Τούτους) Τοὺς πρέσβεας. Οὔτε εἰς τὸ πρυτανεῖον) Ἐνεδέχετο ὑπερτεθῆναι τὴν κλῆσιν, ἕως ἂν γνῷ ἡ βουλὴ τὴν ἀκρίβειαν. ἢ ὅτι οὔπω ἐν τῷ δήμῳ ἀπεπρέσβευσαν. ὁ δὲ τὴν ὑπόθεσιν εἰς τὸ μὴ γενέσθαι μηδὲ ἔσεσθαι παραλαμβάνει. Οὐ θάνατον κατεχειροτόνησαν) Κατεδίκασε, κατέκρινεν. ἐνήλλαξε δὲ τὸν χρόνον· δῆλον γὰρ ὡς ἐκλήθη πρότερον· εἶθ' ὕστερον καταγνωσθεὶς ἀνῃρέθη.
57 Εἰ μὲν τοίνυν ταὐτά) Λύει τοῦτο διλημματικῷ σχήματι· ὅτι εἰ μὲν πάντες οἱ πρέσβεις ταὐτὰ ἐπρεσβεύομεν, ὅ ἐστιν, εἰ πάντες ἐψευδόμεθα προδόται, δικαίως ἂν πάντες οὐκ ἐκλήθημεν. εἰ δέ, οἱ μὲν ἡμῶν τὰ δίκαια ἔπραττον· οἱ δέ, παρεπρέσβευσαν, διὰ τοὺς παραπρεσβεύσαντας συνέβη καὶ τοὺς ἄλλους μὴ κληθῆναι. Δεινά) Φοβερά.
59 Διακρουσαμένῳ) Ἐκφυγόντι, ἀποπεμψαμένῳ.
60 Ἡ μὲν οὖν βουλὴ ταῦτα) Ἐντεῦθεν ἄρχεται τῶν σημείων, ὅπερ κεφάλαιον καλεῖται, τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους. Ἀναστὰς
61 δ' οὗτος ἐδημηγόρει) Δύο θὲς ἀπ' ἀρχῆς ἄχρι τέλους, τόν τε χρόνον, καὶ τοὺς λόγους αἰσχίνου, ἀναγκαίως καὶ χρῶμα ἐπήγαγεν· ἑκάστῳ γὰρ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους ἀποδο-
62 τέον χρῶμα. Παρουσίᾳ) Ἐπιδημίᾳ. Τούτοις) Τοῖς πρέσβεσι.
Προηγγελκέναι) Ὡς τὸ βοηθῆσαι φωκεῦσι. Πρᾳοτέρους γενέσθαι τινός) Ἢ πάντως ἀνθρώπου βούλεται τὸ τινός, ἢ τινὸς λέγει· πόρρω γὰρ εὑρεῖν παραπλήσιον ἐς φιλανθρωπίαν.
Καὶ μετὰ ταῦτα ἀνεγινώσκετο ἡ ἐπιστολὴ ἡ παρὰ φιλίππου) Τοῦτο

τὴν οὗτος ἔγραψεν ἀπολειφθεὶς ἡμῶν, ἄντικρυς οὑτω- 63
σί, καὶ διαρρήδην ἀπολογία γεγραμμένη τῶν τού-
τοις ἡμαρτημένων. καὶ γὰρ ὡς αὐτὸς κατεκώλυσεν
αὐτούς, βουλομένους ἐπὶ τὰς πόλεις ἰέναι, καὶ τοὺς ὅρ-
κους ἀπολαμβάνειν, ἐνεστι. καὶ ὡς, ἵνα συνδιαλλάτ-
τωσιν αὐτῷ τοὺς ἀλεῖς πρὸς τοὺς Φαρσαλίους, κα- 64
τέχειν αὐτούς. καὶ πάντα ἀναδεχόμενος, καὶ εἰς ἑαυ-
τὸν ποιούμενος, τὰ τούτων ἁμαρτήματά ἐστιν. ὑπὲρ
ἐπήγγελλε. δὲ Φωκέων, ἢ Θεσπιέων, ἢ ὧν οὗτος ἀπήγγελλε πρὸς
ὑμᾶς, ἀλλ' οὐδὲ μικρόν. καὶ τοῦτο, οὐκ ἀπὸ ταὐ-
τομάτου τοῦτον ἐπράχθη τὸν τρόπον. ἀλλ' ὑπὲρ 65
μὲν ὧν παρὰ τούτων ὑμᾶς ἔδει δίκην λαμβά-
νειν, οὐ πεποιηκότων οὐδὲ διῳκηκότων οὐδέν, ὧν ὑμεῖς
κ.α.δ.η. προσετάξατε ἐν τῷ ψηφίσματι, ἐκεῖνος ἐνδέ-
χεται τὴν αἰτίαν. καί φησιν αὐτὸς αἴτιος γεγενῆσθαι,
ὃν οὐκ ἐμέλλετε ὑμεῖς οἶμαι δυνήσεσθαι κολάσαι. 66
ἃ δ' ἐκεῖνος ἐξαπατῆσαι, καὶ προλαβεῖν τῆς πό-
βουλεύεται. λεως ἐβούλετο, οὗτος ἀπήγγελλεν, ἵνα μηδὲ ἐγκαλέ-
δι. ἐπήγγελλεν. σαι, μηδὲ μέμψασθαι μηδὲν ὕστερον ὑμεῖς ἔχητε
Φιλίππῳ, μήτ' ἐν ἐπιστολῇ, μήτ' ἄλλοθι μηδαμοῦ
ἔχοιτε. α. τῶν ἐκείνῳ ... των. α. ε. τοῖς παρ' ἐκείνου τούτων ὄντων. λέγε δή μοι αὐτοῖς αὐ- 67
τὴν τὴν ἐπιστολήν, ἣν ἔγραψε μὲν οὗτος, ἔπεμψε
δ' ἐκεῖνος. καὶ σκοπεῖτε ὅτι τοῦτον ἔχει τὸν τρόπον,
νῦν ὃν ε. α. ὃν διεξελήλυθα ἐγώ. λέγε.

## Ἐπιστολή.

α. Ἀκούετε ὦ ἄνδρες Ἀθηναῖοι τῆς ἐπιστολῆς, ὡς 68
καλὴ καὶ φιλάνθρωπος. περὶ δὲ Φωκέων, ἢ Θη-
βαίων, ἢ τῶν ἄλλων, ὧν οὗτος ἀπήγγελλε πρὸς ὑμᾶς,
οὐδὲ γρύ. ταύτης τοίνυν οὐδὲν οὐδέν ἐστιν ὑγιές. καὶ τοῦτο
ἤλεις. β. αὐτίκα δὴ μάλα ὑμεῖς ὄψεσθε. οἱ μὲν γὰρ ἀλεῖς,
α.β.ε. οὓς ἵνα συνδιαλλάττωσιν, ἐκεῖνος κατασχεῖν φησὶ 69
α.δ. τούτους, τοιαύτης τετυχήκασι τῆς διαλλαγῆς,
διαγωγῆς. η. ἀνάστατος. ὥστ' ἐξελήλανται, καὶ ἀνάστατος ἡ πόλις αὐτῶν γέ-
γονε. τοὺς δ' αἰχμαλώτους, ὁ σκοπῶν τί ἂν ποιῶν ὑμῖν
ε.η. χαρίσαιτο, οὐδ' ἐνθυμηθῆναί φησι λύσασθαι.
μεμαρτύρηται δὲ δήπουθεν ὑμῖν ἐν τῷ δήμῳ πολλά- 70
κις, ὡς ἐγὼ τάλαντον ἔχων ἐπ' αὐτοὺς ᾠχόμην. καὶ νῦν
β.ε.η. δὲ μαρτυρηθήσεται. διὰ καὶ τὴν ἐμὴν φιλοτιμίαν
οὗτος ἀφαιρούμενος, τοῦτ' ἔπεισεν ἐκεῖνον ἐγγράψαι. ὃ
τοίνυν μέγιστον ἁπάντων. ὁ γὰρ εἰς τὴν προτέραν γρά-
ψας ἐπιστολήν, ἣν ἠνέγκαμεν ἡμεῖς, ὅτι ἔγραφον 71
ἤ. α.β.δ.ζ. ἄν, καὶ διαρρήδην ἡλίκα ὑμᾶς εὖ ποιήσω, εἰ εὖ ᾔδειν

δέ ἐστι τὸ χρῆμα τὸ ὑπὲρ τῶν χρό- 63
νων, ὁ φίλιππος κατεῖχε, καὶ τούτου γέ-
γονεν ἐκεῖνος αἴτιος. εἶτα ἡ λύσις
εὐθύς· οὗτος ἔγραψε τὴν ἐπιστολὴν
ἀπολειφθεὶς ἡμῶν, οἱονεὶ χωρισθείς.
πρὸς δὲ τοὺς ἐκείνου λόγους τοῦ α.
αἰσχίνου δηλαδή, ἀπάντησιν οὕτω
λέγων· φίλιππος οὐκ ἐξηπάτησεν,
ἀλλ' αἰσχίνης. Ἣν οὗτος ἔγραψεν 63
ἀπολειφθεὶς ἡμῶν) Τὸ μὲν ἀπο-
λειφθεὶς ἡμῶν, ἵνα μὴ δόξῃ κοι-
νωνεῖν τῶν πραχθέντων. τὸ δέ, οὗτος
ἔγραψεν, ἵνα μὴ ἐπὶ φίλιππον ἄγῃ
τὴν αἰτίαν· ἐπὶ τὰς πόλεις δέ, ἵνα
τὰς συμμαχικὰς δηλοῖ, ἃς καὶ ὅρ-
κους ἔδει. οὐκ ἀπὸ ταὐτομάτου δέ,
καὶ ἁπλῶς, καὶ ὡς ἔτυχεν, ἵνα μὴ
δείξῃ τὴν κακουργίαν, ὅτι ἐμηχανή- δόξῃ. α.
σατο τὴν ἐπιβουλὴν αἰσχίνης καὶ φί- πανουργίας.
λιππος. Διαρρήδην) Μεγαλο-
φώνως. Συνδιαλλάττωσιν) Φι-
λιώσωσιν. Τοὺς ἀλεῖς πρὸς τοὺς 64
φαρσαλίους) Ἤδη ἔγνωμεν ἐν τοῖς
φιλιππικοῖς, ὅτι αἱ δύω πόλεις
αὗται τῆς Θετταλίας ἐστασίαζον
πρὸς ἑαυτάς· ἡ μὲν φάρσαλος,
φίλη οὖσα τοῦ φιλίππου· ἡ δὲ ὅλως,
τῶν ἀθηναίων· φίλιππος δὲ αὐ-
τοὺς συνετάραττε. Λέγε αὐτοῖς 67
τὴν ἐπιστολήν) Τὸ θαυμασιώτατον τοῦτό
ἐστιν, ὅτι ἣν περ αἰσχίνης ἐχρήσα-
το πρὸς ἀπολογίαν ἐπιστολήν, ταύ-
την ἔλαβε πρὸς κατηγορίαν δη-
μοσθένης· σύνηθες γὰρ αὐτῷ, τὰ
ἰσχυρὰ τῶν ἀντιδίκων, διὰ τὴν ἰσχὺν
δεινότητος αὐτοῦ ποιεῖσθαι. Περὶ 68
δὲ φωκέων) Μετὰ τὴν ἀνάγνωσιν
τῆς ἐπιστολῆς, ὥσπερ ἐπιβεβαιούμε-
νος τὴν ἐξ αὐτῆς ὠφέλειαν, πάλιν
λέγει. περὶ δὲ φωκέων, ἢ θηβαίων, ἐπαγγ. αἱ
ἢ τῶν ἄλλων ὧν οὗτος ἀπήγγειλε πρὸς
ὑμᾶς, οὐδὲ γρύ. οὗτος οὐκ ἄρα φί-
λιππος ἐξηπάτηκε. τοῦτο γάρ ἐστιν ὃ
προορᾶται. λύσας δὲ ἐν τῷ μετα-
ξὺ τὰ λυποῦντα, καὶ συστήσας τὴν
ἐπιστολήν, αἰσχίνου μᾶλλον, ἢ φιλίπ-
που εἶναι, πάλιν ἐπὶ τοὺς αἰσχίνου λό-
γους ἐπανῆκεν, οὐκ ἀναχωρῶν τῶν
ἰσχυροτάτων, θεώρημα παραδιδούς,
ἐνδιατρίβειν τοῖς ἀναγκαίοις.
Οὐδὲ γρύ) Γράφει δηλονότι.
ἀντὶ τοῦ οὐδὲ ὅλως. εἴρηται δὲ ἀπὸ
μεταφορᾶς τοῦ ῥύπου τοῦ γινομέ-
νου ἐν τοῖς ὄνυξιν. Ὁ σκοπῶν) 69
φίλιππος δηλονότι. ἐκείνου γράψαν-
τος πρὸς ἀθηναίους, ὅτι σκοπῶ τί
ποιῶν ὑμῖν χαρίσαιμι. Λύσασθαι)
Διὰ λύτρων ἀποδοῦναι. Ἐγγρά- 70
ψαι) Μὴ λῦσαι τοὺς ἄνδρας. Ὁ τοί-
νυν μέγιστον) Ἀποκοπὴ τὸ σχῆμα.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ τὴν συμμαχίαν μοι συγκεχωρημένην. γεγονυίας δὲ τῆς συμμαχίας, οὔ φησιν εἰδέναι, τί ἂν ποιῶν χαρίσαιτο, οὐδὲ ὃ αὐτὸς ὑπέσχετο. τοῦτο γὰρ ἤδη
72 δηλονότι, εἴπερ μὴ ἐφενάκιζεν ὑμᾶς. ἀλλὰ μὴν, ὅτι ταῦθ' ἐστὶ τότε ἔγραψε, λέγε μοι λαβὼν ἐκ τῆς προτέρας ἐπιστολῆς αὐτὸ τοῦτο ἐνθένδε. λέγε.

Ἐξ ἐπιστολῆς.

Οὐκοῦν, πρὶν μὲν εἰρήνης τυχεῖν, εἰ καὶ συμμα-
73 χία προσγένοιτ' αὐτῷ, γράψειν ὡμολόγει ἡλίκα τὴν πόλιν εὖ ποιήσει. ἐπειδὴ δ' ἀμφότερα αὐτῷ γέγονεν, οὔ φησιν εἰδέναι, τί ἂν ποιῶν χαρίσαιτο. ἐὰν δ' ὑμεῖς λέγητε, ποιήσειν ἃ μήτε αἰσχύνην, μήτ' ἀδοξίαν αὐτῷ φέρει, εἰς ταύτας τὰς προ-
74 φάσεις καταφεύγων. κἂν ἄρα εἴπητέ τι, καὶ προαχθῆτε ὑμεῖς ἐπαγγείλασθαι, ἀναχώρησιν ἑαυτῷ καταλείπει. ταῦτα τοίνυν, καὶ πολλὰ ἕτερα ἐνῆν παραχρῆμα τότ' εὐθὺς ἐξελέγχειν, καὶ διδάσκειν ὑμᾶς, καὶ μὴ προΐεσθαι τὰ πράγματα
75 ἐᾶν, εἰ μὴ Θεσπιαὶ καὶ Πλαταιαί, καὶ τὸ Θηβαίους αὐτίκα δὴ μάλα δώσειν δίκην, ἀφείλετο τὴν ἀλήθειαν. καίτοι ταῦτα, εἰ μὲν ἀκοῦσαι μόνον ἔδει, καὶ φενακισθῆναι τὴν πόλιν, ὀρθῶς ἐλέγετο. εἰ δὲ πραχθῆναι τῷ ὄντι, σιωπᾶσθαι συνέφερεν. εἰ μὲν γὰρ
76 ἐνταῦθ' ἦν ἤδη τὰ πράγματα, ὥστε μηδ' αἰσθομένοις τοῖς Θηβαίοις πλέον εἶναι μηδὲν, τί οὐ γέγονεν. εἰ δὲ παρὰ τὸ προαισθέσθαι κεκώλυται, τίς ὁ ἐκλαλήσας. οὐχ οὗτος; ἀλλ' οὔτε ἔμελλεν, οὔτ' ἐβουλήθη ταῦτ' οὔτ' ἤλπισεν οὗτος. ὥστε τοῦ γε ἐκλε-
77 λαληκέναι, μηδ' αἰτίαν ἐχέτω. ἀλλὰ φενακισθῆναι τοῖς λόγοις τούτοις ὑμᾶς ἔδει, καὶ ἐμοῦ τἀληθῆ μὴ ἐθελῆσαι ἀκοῦσαι, καὶ αὐτοὺς οἴκοι καταμεῖναι, καὶ ψήφισμα νικῆσαι τοιοῦτον, δι' οὗ Φωκεῖς ἀπολοῦνται; διὰ ταῦτ' ἐσπαθᾶτο ταῦτα, καὶ διὰ ταῦτ' ἐδη-
78 μηγορεῖτο. ἀκούων τοίνυν ἐγὼ τηλικαῦτα καὶ τοιαῦτα ἐπαγγελλομένου τούτου τότε, καὶ ἀκριβῶς εἰδὼς, ὅτι ψεύδεται, καὶ ὅθεν, φράσω πρὸς ὑμᾶς· πρότερον μὲν, ἐκ τοῦ, ὅτε τοὺς ὅρκους ἤμελλε Φίλιππος ὀμνύναι τοὺς περὶ τῆς εἰρήνης, ἐκσπόνδους ἀπο-
79 φανθῆναι τοὺς Φωκέας ὑπὸ τούτων, ὃ σιωπᾶν, καὶ

κεχωρημένην. ζ. α.ϐ.δ.ε.η. ἃ.α. οὕτω τότε ἔγραψε.α.ϐ.δ. Ἐπιστολή.α. ἂν α. ὃ.α. εἶκα. α. ἵνα.α.δ. καταλείπῃ. α.ζ. προΐε.α. ἐάν.α.δ. α.δ. αἰσθανο.α. δ.η. καὶ.α. καταμένειν. α. ἀκούειν. α. παρεῖναι.η. τοιοῦτο.α. α.

74 ἀντὶ τοῦ ἀκούσατέ μου. Ἐπαγγείλασθαι) Ἀντὶ τοῦ αἰτῆσαι. Προΐε-
75 σθαι) Προδιδόναι. Εἰ μὴ Θεσπιαὶ καὶ Πλαταιαί) Πάλιν ἐνταῦθα προσέθηκε τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους, Θηβαίους, οὐκ ἀθρόως ἐκχέας ἅπαντα, κατὰ δὲ μέρος ἀεὶ προστίθησιν, ἵνα καὶ αἱ λύσεις ἀκόλουθοι, καὶ οἱ λόγοι σαφεῖς γίνωνται. εὐθὺς γοῦν ἐπὶ τὴν μνήμην Θηβαίων ἐλθὼν, πάλιν τὸ χρῶμα ἐξήτησεν, ὥσπερ καὶ ἐπὶ τῶν προτέρων· ἔφη γὰρ καὶ τὸ Θηβαίους αὐτίκα δὴ μάλα δώσειν δίκην. ποῦ τοίνυν ἡ δίκη. ἤκουσαν οἱ Θηβαῖοι φησὶ, καὶ διὰ τοῦτο ἐφυλάξαντο· καὶ Φίλιππος οὐκ ἔσχεν ἀνελεῖν τὰς Θήβας. εἰ τοίνυν παρὰ τὸ προαισθέσθαι κεκώλυται, τίς ὁ ἐκλαλήσας· οὐχ οὗτος; ἔχει καὶ τὸ χρῶμα, καὶ τὴν λύσιν εὐθὺς τοῦ χρώματος ἐπὶ τούτοις ἀκολούθως ζητήσας τὸ μεταληπτικόν. πῶς οὖν ἐσιώπησας ἀπατωμένης τῆς πόλεως. καὶ πρὸς τοῦτο ἀπαντῶν, ὑπομιμνήσκει τῆς ἑαυτοῦ παρόδου, καὶ ὧν ἔπαθε λέγειν βουλόμενος. εἶτ' ἐπειδήπερ οὐκ εἶχε μαρτυρίαν τῶν λόγων, ὡς ἐν ποιήματι ἠθοποιΐας συνέπλασεν· ἔχει γὰρ καὶ τὸ μεγαλεῖον τῶν λόγων ἐκ τοῦ Πλάτωνος. καὶ λαμβάνει τὸ χρήσιμον ἐκ τῶν διὰ λόγων τῶν ἀμοιβαίων, εἰδὼς καιρὸν καὶ πιθανὸν εἰσάγων. οὐδὲ γὰρ ἀκατάσκευον ἀφῆκεν ὅ,τι εἴρηκεν, ἀλλ' ἐπὶ τῇ τῆς πλάσεως εὑρέσει, τὴν πίστιν παρέσχετο· μᾶλλον γὰρ ἐνδιατιθέμεθα πρὸς τοὺς ἐγκατασκεύους λόγους, ἢ τοὺς ἁπλούστερον εἰρημένους. Καίτοι ταῦτα, εἰ μὲν ἀκοῦσαι) Λύσις ἰσχυροτάτη ἀντιθέσεως, δεῖ, ἀλλ' ἀκούσαντες οἱ Θηβαῖοι ἐφυλάξαντο, καὶ δι' αὐτὸ οὐ διεφθάρησαν, εἶτα λύει αὐτὴν διλημμάτῳ χρησάμενος σχήματι· ἔμελλε κατὰ τὸ ἀληθὲς ταῦτα ποιῶν ὁ Φίλιππος, ἢ οὔ. εἰ μὲν γὰρ οὐκ ἔμελλε ποιήσειν, ἀλλὰ σὺ ἠπάτας, εἰκότως ἐφλυάρεις ταῦτα ἀπατῶν ἡμᾶς, εἰδὼς ὅτι οὐ γενήσεται. εἰ δὲ διὰ τὸ προαισθέσθαι κεκώλυται, διὰ τί μὴ ἐσιώπας· εἰ μὲν γὰρ ἐγίνωσκες, ὅτι ἐὰν ἀκούσωσιν οἱ Θηβαῖοι οὐ δυνήσονται φυλάξασθαι, ὡς ὄντες ἀσθενεῖς, τί οὖν μὴ διεφθάρησαν. εἰ δὲ ἐγίνωσκες, ὅτι ἰσχυροί εἰσι, καὶ ἐὰν προακούσωσιν, φυλά-
76 ξονται, τί ἐφλυάρεις. Οὗτος) Ὁ
77 Αἰσχίνης. Διὰ ταῦτ' ἐσπαθᾶτο) Συνετίθη, ὑφαίνετο, μεταφορικῶς ἀπὸ τῆς τῶν ὑφαντῶν σπάθης. κατεσκευάζετο, ἢ ἐπιδαψιλεύετο. ἐκ τοῦ σπαθᾶν, καὶ πολλὴν κρόκην ἐμβάλλειν τῇ ἐσθῆτι, ὡς ἔχομεν τὴν χρῆσιν παρὰ τῷ Ἀριστοφάνει ἐν ταῖς Νεφέλαις· ὦ γύναι λίαν σπαθᾷς. Καὶ ὅθεν) ἐψεύδε-
79 το. Ὑπὸ τούτων) Ὑπὸ Φιλίππου καὶ Αἰσχίνου. Σιωπᾶν) Τοῦτο γὰρ ἔδει τὸν Φίλιππον σιωπᾶν, καὶ μὴ προσθεῖναι τῇ

α. ποιῆσαι. α. φυλάττον)

εἰρήνῃ

ἐὰν εἰκὸς ἦν, εἴπερ ἔμελλον σώζεσθαι· ἔπειτα, ἐκ τοῦ
*τοῦ.α.ε.ζ. μήτε τοὺς παρὰ* Φιλίππου πρέσβεις ταῦτα λέγειν,
μήτε τὴν ἐπιστολὴν τὴν τοῦ Φιλίππου· ἀλλὰ τουτονί.
ἐκ τούτων οὖν τεκμαιρόμενος. ἀναστὰς ἐγὼ παρελθὼν,
ἐπειρώμην μὲν ἀντιλέγειν· ὡς δ' ἀκούειν οὐκ ἠθέ- 80
λετε, ἡσυχίαν ἦγον, τοσοῦτον μόνον διαμαρτυράμε-
νος· καὶ πρὸς Διὸς καὶ θεῶν ἀναμιμνήσκεσθε· ὅτι ταῦ-
τα οὔτε οἶδα, οὔτε κοινωνῶ. προσέθηκα δὲ ὡς οὐδὲ
ταχέως η. α.δ. προσδοκῶ· ταχέως δ' ὑμῶν ἐπὶ τῷ μηδὲ προσ-
ἐχόντων.α ζ δοκᾶν ¹χόντων, καὶ ὅπως γε, ὦ ἄνδρες Ἀθηναῖοι, ἔ- 81
α. φην, ἄν τι τούτων γίγνηται, τούτους* ἐπαινέσετε, καὶ
γίγνηται. τιμήσετε, καὶ στεφανώσετε· ἐμὲ δὲ, μή. καὶ μέντοι κἄν
μὲν α.ε.δ.η τι τῶν ἐναντίων, ὅπως τούτοις ὀργιεῖσθε. ἐγὼ δὲ, ἀφίστα-
ὑπολαμβάνων α.δ. μαι, μὴ νῦν ὑπολαβὼν Αἰσχίνης οὑτοσί, μὴ νῦν ἀ-
φίστασο, ἔφη. ἀλλ' ὅπως τότε μὴ προσποιήσῃ. νὴ Δία, 82
ἀναστὰς α.δ. ἀδικήσω γε, ἔφην. ἐπαναστὰς δὲ ὁ Φιλοκράτης μά-
α. λα ὑβριστικῶς, οὐδέν ἐστιν, ἔφη, θαυμαστὸν, ὦ ἄνδρες
Ἀθηναῖοι, μὴ ταὐτὰ ἐμοὶ καὶ Δημοσθένει δοκεῖν· οὗτος
γὰρ ὕδωρ, ἐγὼ δὲ οἶνον πίνω. καὶ ὑμεῖς ἐγελᾶτε. σκέ-
δὲ α. ψασθε δὴ τὸ ψήφισμα, ὃ δίδωσι γράψας μετὰ ταῦτα 83
οὕτως, ἐπεί τοι καλῶς.α. ὁ Φιλοκράτης· ἀκοῦσαι μὲν γὰρ οὑτωσὶ, παγκάλως ἔ-
χει. ἐπειδὰν δὲ τοὺς καιροὺς συλλογίσηταί τις, ἐφ' ὧν
ὑποθέσεις.η. ἐγράφη, καὶ τὰς ὑποσχέσεις, ἃς οὗτοι ὑπισχνοῦντο, τό-
τε οὐδὲν ἄλλο, φανήσονται, πλὴν παραδόντες Φιλίπ-
μονονουχὶ. α. πῳ καὶ Θηβαίοις Φωκέας, μόνον οὐκ ὀπίσω τὼ χεῖρε 84
δήσαντες. λέγε τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ.

α. Ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ ψήφισμα, ὅσων ἐ-
παίνων καὶ ὅσης εὐφημίας μεστόν ἐστι, καὶ τὴν εἰρήνην
ἐκγόνοις.α. ε.δ. εἶναι τὴν αὐτὴν, ἥνπερ Φιλίππῳ, καὶ τοῖς ἐγγόνοις, 85

εἰρήνην τό, πλὴν Φωκέων καὶ Ἀλέων, εἴπερ ἔμελλεν αὐτοὺς σῶσαι, καὶ μὴ τοῖς ἐκσπόνδοις ἀφεῖναι καταστρέψα-
σθαι. Ταχέως δ' ὑμῶν) ἐδόκει τρόπον βασκαίνειν τῇ εὐπραξίᾳ τῆς πόλεως, δι' ὧν οὐδὲ προσδοκᾶν 80
ἀνέχεται· ἐδόκει γὰρ ἀπεύχεσθαι τὰ ἀγαθὰ τῇ πόλει τῷ μὴ προσδοκᾶν. Ἐχόντων) εἰς ἐμέ, διὰ τὸ εἰπεῖν 81
ἐμὲ προσδοκᾶν. καὶ ὅπως γε ἔ-
φην καὶ τοῦτο, ὅτι ἄν τι τούτων, καὶ
τὰ λοιπά. Μὴ νῦν ὑπολαμ-
βάνων) Οὐ νῦν ὀφείλεις ἐκ-
στῆναι τοῦ δοκεῖν κεκοινωνηκέναι
ἡμῖν τῆς πρεσβείας, ἀλλὰ τότε ἀφί-
στασο, καὶ μὴ προσποιήσῃ κοινωνεῖν
ἡμῖν, ὅταν ταῦτα λέγηται, καὶ ἡμεῖς
μένωμεν στεφανοῦσθαι διὰ ταῦ- ' μελλομεν.
τα. Οὗτος μὲν γὰρ ὕδωρ) Ἐπειδὴ α.
ἡμέρᾳ τροφῇ καὶ ποτῷ χρῶνται οἱ ἄν- 82
θρωποι, ὕδατι δὲ τὰ θηρία ˋμό- ˋα.
νῳ εἰς πόσιν, σκώπτων αὐτὸν εἰς
θηριώδη βίον ὁ Φιλοκράτης, ταῦτα
ἔλεγεν. ἄγει δ' αὐτοὺς εἰς ὑπόμνη-
σιν τοῦ σκώμματος, ἵν' ἐπιταράξας
τῷ γελοίῳ τῶν δικαστῶν τὰς κρίσεις,
συμμάχῳ τῷ πάθει πρὸς τὴν πει-
θὼ καταχρήσηται. θαυμαστὴ δὲ καὶ
τῆς ὕβρεως ἡ προσποίησις· ἐκ γὰρ τῆς
τοῦ ἐχθροῦ κρίσεως, τοῦ βίου τὴν ἐγκρά-
τειαν ἐσέμνυνε καὶ πρὸς τὰ τῆς μι-
σθαρνίας ἐγκλήματα· ὁ γὰρ ὕδωρ πί-
νων, πῶς αἰσχρὸν κέρδος ἐποθεῖ.
Σκέψασθε δὴ τὸ ψήφισμα) Ταῦ- 83
τα αἰτίαν καὶ πίστιν περιέχει τοῦ διὰ
τοὺς Αἰσχίνου λόγους ἰσχῦσαι τὸ Φιλο-
κράτους ψήφισμα· εἰ γὰρ ἅμα τι εἶ-
πεν Αἰσχίνης, ἅμα τι Φιλοκράτης ἔ-
γραψεν, εἴη ἂν τὸ ψήφισμα περιε-
κτικὸν τῶν Αἰσχίνου λόγων. ὅτι μὲν
οὖν καὶ τοῦτο τῶν ἀπ' ἀρχῆς ἄχρι
τέλους, δῆλον. ὅτι δὲ λυπεῖ τὸν ῥήτο-
ρα, γνοίη τις ἂν, ἐνθυμηθεὶς ὅτι ῥᾴ-
διον Αἰσχίνῃ μεταστατικῷ χρωμένῳ
εἰς τὴν ἀπολογίαν, μετενεγκεῖν ἐπὶ
τὸν Φιλοκράτην τὸ ἔγκλημα· ἐρεῖ γὰρ
ὡς ὁ γράψας τὸ ψήφισμα, καὶ τὸν
Φίλιππον ἐπαινέσας, αἴτιος γέγονε
τοῦ μὴ τὴν πόλιν ψηφίσασθαί τι χρη-
στὸν ὑπὲρ τῶν Φωκέων. τοῦτο οὖν εὐ-
λαβηθεὶς ὁ ῥήτωρ, δεινότητι κέχρη-
ται· πρῶτον μὲν ἀποδεικνὺς ταὐτὸν
Αἰσχίνου τὴν δημηγορίαν καὶ τὸ ψή-
φισμα· ἔπειτα, ὅτι οὐκ ἂν παρεδέ-
ξατο τὸ ˋτοῦ Φιλοκράτους γράμμα ˋα.
ἡ πόλις, μὴ τῶν ὑποσχέσεων τούτων
προειρημένων· ὅπερ γὰρ ἐπὶ τῆς ἐπιστολῆς εἴπομεν, τοῦτο κἀνταῦθα ἐποίησε, τὸ ἰσχυρὸν τοῦ ἀντιδίκου, συναγωνιστικὸν
ἑαυτῷ πεποίηκεν. εἶτα πάλιν ἐνταῦθα φοβηθεὶς τὸ παρ' Αἰσχίνου γράμμα· ἠδύνατο γὰρ ἐκ τῶν γεγραμμένων ἐν τῷ ψη-
φίσματι μαρτυρίαν λαβεῖν, ὅτι Φίλιππος ἦν ὁ ὑπισχνούμενος, εἴρηκεν εἰπών, ἀλλ' οὐδὲν ἐκεῖνος ἐπηγγέλλετο. ἀλλ'
οὗτος ἦν ὁ λέγων ὑπὲρ αὐτοῦ καὶ ὑπισχνούμενος. εἶτα ἐπιβεβαιοῖ, ὅτι Αἰσχίνου μᾶλλον, ἢ Φιλοκράτους τὸ ψήφι-
σμα, πάλιν ἐπάγει λέγων. πρὸς δὲ τοὺς παρὰ τούτου λόγους ὡρμηκότας ὑμᾶς λαβὼν ὁ Φιλοκράτης, ἐγέγραφε
τοῦτο τὸ ψήφισμα· δείκνυται γὰρ ἐν τούτοις κατασκευὴν εἶναι τῆς τοῦ ψηφίσματος ἀπάτης, τοὺς Αἰσχίνου λόγους.
Μετὰ ταῦτα) Μετὰ τὸ σκῶψαι. Μόνον οὐκ ὀπίσω) Ἔδει πληθυντικῶς εἰπεῖν τὰς χεῖρας, ἵνα ᾖ ἐπὶ πάν- 84
των. ὡρμηκότας ˋὑμᾶς λαβὼν ἀλόγως αὐτῷ πεισθέντας καὶ προσχωρήσαντας. φρονίμως δὲ ἐπάγει τὴν αἰτίαν ˋα.
ἐπὶ τὸν Αἰσχίνην· οὐκ ἂν γὰρ εὗρε, φησὶν, ἀπατῆσαι ὁ Φιλοκράτης, εἰ μὴ τὴν ἀπάτην Αἰσχίνης προκατεσκεύασεν.
Τὼ χεῖρε) Ἐπὶ ἑνὸς ἑκάστου τῶν Φωκέων. Εὐφημίας) Ὅσα ἔγραψε, φησὶν, ὁ Φιλοκράτης περὶ Φιλίππου.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

85 Ἐκεῖνός γε ἐπηγγέλλετο) Εἴποι ἄν τις, ὅτι ἐναντιοῦται ἑαυτῷ, λέγων, ἀλλ' οὐδὲν ἐπηγγέλλετο. ᵃκαὶ λέγομεν ὅτι αὕτη λύσις ἐστὶ τοῦ ἐναντίου, ἵνα, ὅταν λέγῃ τό, οὐδὲν ὑπισχνεῖτο, νοήσωμεν ὡρισμένως· ὅταν δὲ λέγῃ, ὅτι ὑπισχνεῖτο, ᵇνοήσωμεν ἀορίστως. Ἐπὶ τοὺς διακωλύοντας) Οὐκ εἶπε φανερῶς τοὺς φωκέας· οὐ γὰρ ἂν ἠνέσχοντο ἀθηναῖοι· ἀλλὰ τῷ ἀορίστῳ ἔλαθε τὴν ᶜκακουργίαν ἐργασάμενος.

ᵃα. ᵇἵνα λαβωμὲν ὅτι α. ᶜπανουργίαν.

88 Εὐφημότατα ἀνθρώπων) Τοῦτο, φασί, τεχνικῶς ἐξεῦρε· παρέδωκε γὰρ τοῖς ἐχθροῖς αὐτῶν εὐφήμως, τῷ κοινῷ ὀνόματι χρησάμενος τῶν ἀμφικτυόνων.

Ἀλλ' οὐδὲ συγκαλέσαι) Ταῦτα ἀπὸ τῶν παρειμένων λοιπόν. ἔστι δὲ καὶ αὐτὸ μέρος τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους. ὁ δὲ πρόξενος, στρατηγὸς ἦν ἀθηναίων. διέτριβε δὲ περὶ πύλας, ἐπιτηρῶν τὴν φιλίππου πάροδον.

89 Καίτοι καὶ ἐπιστολάς) Πάλιν ἕτερον καὶ τοῦτο μεταστατικόν· διορθούμενος γὰρ ἐφ' ἑαυτοῦ τὰς αἰτίας αἰσχίνης, τὰς μέν, ἐπὶ φιλοκράτην ἀναθήσει· τὰς δέ, τῇ πόλει· τί γὰρ ἐρεῖ. ὑμεῖς αἴτιοι γεγόνατε τῆς φωκέων ἁλώσεως, κληθέντες μὲν ὑπὸ φιλίππου, ταῖς δὲ ἐπιστολαῖς μὴ ὑπακούσαντες. ἡ λύσις τοίνυν εὐθύς, καὶ συνεχής, τό, οὐχ' ἵνα ἐξέλθητε. πώμαλα. ὄνομα δέ ἐστιν ὑφ' ἓν ἀναγνωζόμενον, ὡς μέν τινές φασι σικελῶν κομισάντων τῆς ἐκεῖθεν φυγάδων. ἰσοδυναμεῖ δὲ τῷ κατ' οὐδένα τρόπον. καὶ τῷ οὐδ' ὅλως. καὶ ἄλλην δὲ λύσιν ἐπήγαγε τῷ αὐτῷ μεταστατικῷ, ἵνα μὴ ἀμύνοιντο, μηδὲ ἀντέχοιεν οἱ φωκεῖς ἐπὶ ταῖς παρ' ὑμῶν ἐπανέχοντες ἐλπίσιν. ἀναγινώσκει δὲ καὶ τὰς ἐπιστολὰς τοῦ μακεδόνος, αἷς οἷόν τε ἦν χρήσασθαι αἰσχίνην, ἵνα τὰ ἰσχυρὰ πανταχοῦ, τὰς ἀπολογίας αὐτοῦ σαθρὰς

90 ἐργάζηται. Χρόνους) Οὐ τοὺς περὶ θρᾴκην λέγει νῦν ἐν οἷς τὰ ἐκεῖ πράγματα ἀπώλετο, ἀλλὰ τοὺς φωκέων. Ἀνελών) Φθείρας. Τηνικαῦτα) Τότε. Τούτῳ) Τῷ αἰσχίνῃ. Ἥκιστα) Οὐδαμῶς. Ἀλλ' ἵνα) Ἀνάλυσις μετα-

91 στατική. Αὐτόν) Τὸν φίλιππον. Ἀμύνοιντο) Τιμωρεῖεν.

Ἐπανέχοντες) Θαῤῥοῦντες.

92 Καλοῦσιν) Ἡμᾶς. Ἤδη γε) Τὸ τάχος δηλοῖ διὰ τῆς λέξεως· οἷον ἤπειγεν ἡμᾶς ἐξιέναι ταῖς ἐπιστολαῖς ὁ φίλιππος τοῖς ἔργοις ἐναντιούμενος. Συνειπεῖν) Ἀναγκάσαι. Καὶ τὸν πρόξενον ὅν) Τρίτην ἐπήνεγκε λύσιν ἀγωνιστικωτέραν. ἀπὸ δὲ τοῦ ἐναντίου τὸ ἐπιχείρημα. εἰ φίλιππος ἐκάλει καθαρᾷ τῇ γνώμῃ, τί ἄλλο προσῆκεν,

καὶ τὴν συμμαχίαν· καὶ ἐπαινέσαι δὲ Φίλιππον,
ὅτι ἐπαγγέλλεται τὰ δίκαια ποιήσειν. ἀλλ' οὐδὲν ἐ-
κεῖνός γε ἐπηγγέλλετο. ἀλλὰ πόσου ᵃγ' ἐδ' ἐπαγ- ᵃα.δ.
γέλλεσθαι, ὥστ' οὐδ' εἰδέναι φησί, τί ἂν ποιῶν ὑ-
86 μῖν χαρίσαιτο. ἀλλ' ἔστιν ἦν ὁ λέγων ὑπὲρ αὐ-
τοῦ καὶ ὑπισχνούμενος. πρὸς δὲ τοὺς παρὰ τούτου
λόγους ὡρμηκότας ὑμᾶς λαβὼν ὁ Φιλοκράτης, ἐγ-
γράφει τοῦτο εἰς τὸ ψήφισμα· ἐὰν δὲ μὴ ποιῶσι
Φωκεῖς ἃ δεῖ, καὶ παραδιδῶσι τοῖς ἀμφικτύοσι τὸ
87 ἱερόν, ὅτι βοηθήσει ὁ δῆμος ὁ *ἀθηναίων ἐπὶ τοὺς * τῶν.α.η.
διακωλύοντας, ᵇαὐτὰ γίγνεσθαι. οὐκοῦν ὦ ᶜἄνδρες ᵇταῦτα.α.ζ.
ἀθηναῖοι, μενόντων μὲν ὑμῶν οἴκοι, καὶ οὐκ ἐξε- ᶜα.
ληλυθότων, ἀπεληλυθότων δὲ τῶν λακεδαιμονίων,
καὶ προῃσθημένων τὴν ἀπάτην, οὐδενὸς δ' ἄλ-
88 λου ᵈπαρόντος τῶν ἀμφικτυόνων, πλὴν θετταλῶν ᵈπαρόντων.
καὶ θηβαίων, εὐφημότατα ἀνθρώπων, τούτοις γέ α.δ.
γραφε παραδοῦναι τὸ ἱερόν, γράψας τοῖς ἀμφι-
κτύοσι παραδοῦναι. ποίοις. οὐ γὰρ ἦσαν αὐτόθι,
πλὴν θηβαῖοι, καὶ θετταλοί. ᵉἀλλ' οὐδὲ συγκαλέ- ᵉἀλλ' οὐ συγκαλέσαι δὲ.α.
89 σαι τοὺς ἀμφικτύονας, οὐδ' ἐπισχεῖν, ἕως ἂν συλ-
λεγῶσιν, οὐδὲ βοηθεῖν πρόξενον εἰς Φωκέας, οὐδ'
ἐξιέναι ἀθηναίους, οὐδὲ τοιοῦτον οὐδέν. καίτοι καὶ
ἐπιστολὰς ἔπεμψεν ὁ Φίλιππος δύο καλούσας ὑ-
μᾶς, οὐχ' ἵν' ἐξέλθητε· πώμαλα. οὐ γὰρ ἄν ποτε
90 τοὺς χρόνους ἀνελὼν ἐν οἷς ἠδυνήθητ' ἂν ἐξελ-
θεῖν, τηνικαῦτα ἐκάλει. οὐδ' ἂν ἐμέ, ἡνίκα ἐνθέν-
δ' ᶠἀποπλεῖν ἐβουλόμην, κατεκώλυεν, οὐδὲ ᵍτοιαῦ- ᶠἀποπιστεῖν.
τα λέγειν τούτῳ προσέταττεν, ἐξ ὧν ἥκιστα ὑμεῖς ᵍτοιαῦτα.α.β
ἐμέλλετε ἐξιέναι. ἀλλ' ἵνα, ἃ ἐβούλεσθε οἰόμενοι
91 πράξειν αὐτόν, μηδὲν ἐναντίον ʰψηφίσαισθε αὐ- ʰψηφίσησθε.
τῷ, μηδ' ἀμύνοιντο, μηδ' ἀντέχοιεν οἱ Φωκεῖς ε.η.
ἐπὶ ταῖς παρ' ὑμῶν ἐπανέχοντες ἐλπίσιν, ἀλλ' ἀπο-
γνόντες ⁱἅπαντες, ἑαυτοὺς ἐγχειρίσαιεν. λέγε δή ⁱἅπαντα.α.
αὐτοῖς αὐτὰς τὰς ἐπιστολὰς τὰς τοῦ Φιλίππου.

92 Ἐπιστολαί.

Αἱ μὲν τοίνυν ἐπιστολαί, καλοῦσιν αὗται. καὶ νὴ
Δία, ἤδη γε. τούτοις δ', εἴπερ ἦν ὑγιές τι τούτων, τί
δ' ἄλλο προσῆκεν ἢ συνειπεῖν ὅπως ʲἐπεξέλθοιτε ʲἐξέλθοιτε.α.
ὑμεῖς, καὶ τὸν πρόξενον, ὃν περὶ τοὺς τόπους ᾔδεσαν

ὄντα,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὄντα, γράφειν εὐθέως βοηθεῖν. πάντα τοίνυν τἀναντία 93
ἐπέστειλεν.α. ἐπέστελλε.ε. τούτων φαίνονται πεποιηκότες, εἰκότως. οὐ γὰρ οἷς ἐπέστελλε, προσεῖχον τὸν νοῦν. ἀλλ' ἃ φρονῶν ταῦτ' ἔγραφε, συνῄδεσαν. τούτοις οὖν συνέπραττον, καὶ τούτοις συνηγωνίζοντο. οἱ μὲν τοίνυν Φωκεῖς, ὡς τὰ
ἤπ.α. παρ' ὑμῶν ἐπύθοντο ἐκ τῆς ἐκκλησίας, καὶ τὸ ψή- 94
φισμα τοῦτ' ἔλαβον τὸ τοῦ Φιλοκράτους, καὶ τὴν ἐπαγγελίαν ἐπύθοντο τὴν τούτου, καὶ τὰς ὑποσχέσεις, κατὰ πάντας τοὺς τρόπους ἀπώλοντο. σκοπεῖτε γάρ. ἦσαν ἀπιστοῦντές τινες αὐτόθι τῷ Φιλίππῳ,
ἐπήχθησαν. καὶ νοῦν ἔχοντες. οὗτοι πιστεύειν ὑπήχθησαν. διὰ 95
τί; ὅτι ἡγοῦντο, οὐδ' εἰ δεκάκις Φίλιππος αὐτοὺς ἐξηπάτα, οὐδέποτ' ἂν τούς γε Ἀθηναίων πρέσβεις,
α. Ἀθηναίους ἐξαπατᾶν τολμῆσαι. ἀλλ' εἶναι ταῦτα
τολμᾶν.α.η ἀθηναίοις. ἀληθῆ, ἃ οὗτος ἀπήγγειλε πρὸς ὑμᾶς. καὶ τοῖς Θηβαίοις ἥκειν, οὐκ αὐτοῖς, ὄλεθρον. ἦσαν ἄλλοι τι- 96
ἀμυνέσθαι.α.ζ. νές, οἳ πάντα ὁτιοῦν καὶ ἀμύνασθαι δεῖν ᾤοντο. ἀλλὰ
ὑπάρξειν.α καὶ τούτους μαλακοὺς ἐποίησε τὸ τὸν Φίλιππον ὑπάρχειν αὐτοῖς πεπεῖσθαι, καὶ τὸ ταῦτα εἰ μὴ ποιήσουσιν, ὑμᾶς ἐπ' αὐτοὺς ἥξειν, οὓς βοηθήσειν αὐτοῖς ἤλπιζον ἐκεῖνοι. ἀλλὰ καὶ μεταμέλειν ὑμῖν ᾤοντό τινες, 97
ἦν.α. πεποιημένοις τὴν πρὸς Φίλιππον εἰρήνην. τού-
ἐψηφίσασθε. τοις ὅτι καὶ τοῖς ἐκγόνοις τὴν αὐτὴν ἐψηφίσασθε, ἐπέδειξαν· ὥστε πανταχῇ τὰ παρ' ὑμῶν ἀπογνωσθῆ-
α.η. ναι. διόπερ ταῦτα πάντα εἰς ἓν ψήφισμα οὗτοι συνεσκευάσαντο. ὃ καὶ μέγιστον ἔμοιγε δοκοῦσιν ἁπάντων 98
ὑμᾶς ἠδικηκέναι· τὸ γὰρ πρὸς ἄνδρα θνητόν, καὶ διὰ καιρούς τινας ἰσχύοντα, γράφοντας εἰρήνην, ἀθάνατον συνθέσθαι τὴν κατὰ τῆς πόλεως αἰσχύνην, καὶ ἀπο-
α.η. στερῆσαι μὴ μόνον τῶν ἄλλων τῶν ἄλλων, ἀλλὰ καὶ τῶν παρὰ τῆς τύχης εὐεργεσιῶν τὴν πόλιν, καὶ τοσαύτῃ 99
χρήσασθαι.α. περιουσίᾳ χρήσασθαι πονηρίας, ὥστε μὴ μόνον τοὺς ὄντας Ἀθηναίους, ἀλλὰ καὶ τοὺς ὕστερόν ποτε μέλλοντας ἔσεσθαι, πάντας ἠδικηκέναι, πῶς οὐχὶ πάνδεινόν ἐστι. τοῦτο τοίνυν οὐδέποθ' ὑμεῖς ὑπεμείνατ' ἂν ὕστερον προσγράψαι πρὸς τὴν εἰρήνην, τό, καὶ 100
ὑποθέσεσι.η τοῖς ἐκγόνοις, εἰ μὴ ταῖς παρ' Αἰσχίνου ῥηθείσαις ὑποσχέσεσι τότε ἐπιστεύσατε. αἷς περ οἱ Φωκεῖς πιστεύ-
ἑαυτοῖς α. σαντες, ἀπώλοντο. καὶ γάρ τοι, παραδόντες αὑτοὺς Φιλίππῳ, καὶ ἑκόντες ἐγχειρίσαντες ἐκείνῳ τὰς πόλεις, ἁπάντων τῶν ἐναντίων, ὧν πρὸς ὑμᾶς οὗτος ἀ- 101
πήγγελεν, ἔτυχον. ἵνα δὲ εἴδητε σαφῶς, ὅτι ταῦθ'

93 ἢ συνειπεῖν, ὅπως ἐξέλθοιτε ὑμεῖς, καὶ τὸν πρόξενον, ὃν περὶ τοὺς τόπους ᾔδεσαν ὄντα, γράφειν εὐθέως βοηθεῖν. ἀλλὰ μὴν οὐ συνεβούλευον ταῦτα, οὐδὲ ἔγραφον. ᾔδεσαν ἄρα ἃ φρονῶν ταῦτ' ἔγραψεν ὁ Φίλιππος.
Τούτων) Ὧν ἀπήγγελε. Τού- 93
94 τοις οὖν) Οἷς ὁ Φίλιππος ἐφρόνει.
Οἱ μὲν τοίνυν Φωκεῖς) Τέταρτον μεταστατικόν· ἀλλ' οἱ Φωκεῖς αἴτιοι γεγόνασιν, εἴσω πυλῶν δεξάμενοι Φίλιππον. προλαμβάνει δὲ τῇ δυνάμει τὴν ἀντίθεσιν τῇ λύσει. τί γάρ φησι, πυθόμενοι Φωκεῖς τὸ ψήφισμα, καὶ τὴν ἐπαγγε- ἀπαγγε-
95 λίαν τούτου, καὶ τὰς ὑποσχέσεις, ἐ- λίαν.
θάρρησαν τῷ Μακεδόνι· ἐπεὶ πρό γε τούτων τῶν λόγων ἦσαν οἱ ἀπιστοῦντές τινες αὐτόθι τῷ Φιλίππῳ καὶ νοῦν ἔχοντες· ἀλλὰ νομίσαντες μὴ ἀπατηθῆναι τὸν δῆμον ὑπὸ τῶν πρέσβεων, ἠναγκάσθησαν πιστεῦ-
96 σαι. οὐ μὴν οὐδὲ ἀπαράσκευοι πρὸς πόλεμον καὶ πολιορκίαν ἦσαν Φωκεῖς, ὡς ἂν Αἰσχίνου τὴν ἀσθένειαν αἰτιωμένου Φωκέων, καὶ λέγοντος διὰ ταῦτ' ἀναγκασθῆναι αὐτοὺς ὑποκατακλίνεσθαι· ἀνάγκη γὰρ ἦν τὸν μεθιστάντα ἐπὶ Φωκέας τὴν αἰτίαν,
97 εἰπεῖν τοὺς τρόπους, δι' οὓς ἑάλωσαν. ἢ γὰρ ὅτι ἐξηπατήθησαν, ἢ ὅτι ἀμύνασθαι οὐκ ἠδυνήθησαν. Αὐτόθι) Ἐν Φωκεῦσι. 94
Οὓς βοηθήσειν) Ἡμᾶς. Τού- 96
τοις ὅτι) Τοῖς οὕτω οἰομένοις. 97
Διόπερ ταῦτα πάντα) Ἰστέον ὅτι πολλὰ χρώματα λέγει, ἐπειδὴ πολ-
98 λὰ καὶ τὰ σημεῖα· ἀλλὰ ταῦτα μὲν μερικά, ἐκεῖνο δὲ κυριώτερον καὶ πρὸς τὸ ἔγκλημα τὸ κατὰ Φωκέας, τὸ τῆς ἀπάτης. Ἵνα δὲ εἴδητε σα- 101
φῶς) Τοῦτο μὲν ᾠήθησάν τινες τῶν παρ' ἡμῖν, αἰτία τις τῶν μαρτύρων κεῖσθαι παρασπορῆς. ἡμεῖς εἰρή- παρασπο-
99 καμεν ὅτι οὐχ οἷόν τε ἐν τῷ ἀπὸ ρῆς.α.
γνώμης στοχασμῷ μάρτυρας παρέχεσθαι ὁμολογημένων τῶν πραγμάτων ὑφ' ὧν πέπρακται. ἀλλ' εἶδος ἐλέγχων τοῦτό ἐστι καὶ ἀπόδειξις, τοῦ διὰ τὸν Αἰσχίνην Φωκέας ἀπολωλέναι. λέγει γάρ, ἵνα τοίνυν εἴδητε, ὅτι οὐ δι' ὑμᾶς, οὐδὲ δι' αὐ-
100 τούς, οὐδὲ διὰ Φίλιππον ἠπατηκότα Φωκεῖς ἀπολώλασι, τοὺς χρόνους ὑμῖν λογιοῦμαι· ἐκ τῶν χρόνων γὰρ βούλεται συλλογίσασθαι τὴν ἀπόδειξιν, ἵν' ἡ τοῦ χρόνου βραδύτης, καὶ τὸ δὴ λεγόμενον ἀκαρές, σύστασιν ἐργάσηται τοῦ διὰ τὸν Αἰσχίνην ἀπολω-
101 λέναι Φωκέας· εἰ γὰρ πρὸ τῆς εἰρήνης ἐσώζοντο, καὶ μετὰ τὴν εἰρήνην



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐπαγγελλομένου δὲ καὶ ὑποσχομένου τὴν σωτηρίαν αἰσχίνου, τρεῖς ἡμέραι γεγόνασιν ἐξ οὗ τῶν φωκεῖς ἐπύθοντο· εἶτα συνθεμένων πρὸς φίλιππον ἅλωσις γέγονε, πῶς οὐκ εὔδηλον δι' αἰσχίνην ἀπολωλέναι. μὴ γὰρ δὴ λογιζώμεθα, μηδὲ τὰς πέντε ἡμέρας, ἐν αἷς οἱ φωκεῖς ἐπύθοντο· λέγει γὰρ αὐτοὺς ἐγνωκέναι μετὰ τὰς πέντε ἡμέρας. δύο δὲ ἐν τῷ μεταξὺ μόνας τῆς ἐπαγγελίας γεγενῆσθαι καὶ τῆς ἁλώσεως. πάλιν αἰσχίνου δυναμένου χρήσασθαι, καὶ λέγειν ὅτι αὐτοὶ πιστεύσαντες τῷ φιλίππῳ, τοῦτον τὸν τρόπον σπεισάμενοι, ἐπειδὰν ἐπάγῃ ἀπόδειξιν, μετ' ὑπερβαλλούσης δεινότητος. ἐκ περιτροπῆς γὰρ τὸ αὐτὸ πάλιν εἰς τοὐναντίον λαμβάνει. τὸ γὰρ μὴ ἀπολέσθαι τὰς πόλεις ἐκ πολιορκίας, ἀλλ' ἐκ συμβάσεως καὶ σπονδῶν, σημεῖον εἶναι λέγει τοῦ πιστεύσαντας αὐτοὺς τοῖς λόγοις αἰσχίνου, τὰς
101 πίστεις προσδέξασθαι. Ελαφηβο-
102 λιῶνος) Δεκεμβρίου. Σκιροφο-
103 ριῶνος) Μαρτίου. Ἀπὸ τοίνυν ταύτης) Ἀπὸ ταύτης οὖν τῆς ιϛ τοῦ μαρτίου διαγενομένων ἡμερῶν ἀκη-
104 κόασι ταῦτα οἱ φωκεῖς. Ταύτην)
105 Εἰκοστήν. Ηκε δὲ δερκύλλος) Ὁ πεμφθεὶς ἀπαιτῆσαι παρὰ φιλίππου τὰς ὑποσχέσεις, ὃς ἤκουσεν ἐν χαλκίδι τὰ συμβάντα φωκεῦσι.
106 Καὶ πέμπτην) Τῇ γὰρ κγ. ἐγίνοντο αἱ σπονδαί. Αὐτὸ συμβαίνει) Ἀντὶ τοῦ ἀκριβῶς συμβαίνει πέμπτην εἶναι, εἰς ἣν καὶ ἐσπείσαντο καὶ ἀπώλοντο. ἰστέον δὲ ὅτι ἀριθμοῦσιν οἱ ἀθηναῖοι ἕως τῶν δώδεκα ὡς ἡμεῖς, ὡς ἔχομεν τὴν χρῆσιν ἐν τῷ κατὰ τιμοκράτους, ἐν οἷς λέγει, ἑνδέκατον, καὶ δωδέκατον, τὸν νόμον εἰσήνεγκε τῇ τῶν κρονίων. εἶτα λοιπὸν οὐκέτι ὁμοίως ἡμῖν, ἀλλὰ κατὰ προσθήκην ἀριθμοῦσιν, οἷον οὕτως· τρίτη ἐπὶ δέκα, τετάρτη ἐπὶ δέκα. ἐπὶ τὰ πλείονα προστιθέντες τὰ ἥττονα, ἕως ἁπλῶς τῆς εἰκάδος. εἶτα λοιπὸν ἐκ τῆς πρώτης καὶ εἰκάδος ἐξ ὑποστροφῆς λέγοντες τὴν πρώτην εἰκάδα, δεκάτην. καὶ τὴν δευτέραν εἰκάδα ἐνάτην· καὶ τὴν τρίτην εἰκάδα ὀγδόην, καὶ ὁμοίως οὕτως ἕως τῆς τριακάδος. ἐπειδή, ὡς ἔγνωμεν, κατὰ σελήνην ἀριθμοῦσιν οἱ ἀθηναῖοι· καὶ ἐκ τῆς εἰκοστῆς πρώτης, τὰ πλεῖστα αὐτῆς φῶτα μειούμενα φαίνεται, τὸ δὲ τρίτη ἐπὶ δέκα καὶ τὰς ἄλλας ἕως εἰκάδος, ἀττικῇ συνηθείᾳ λέγουσιν· ἃς δὲ εἴπομεν λέγεσθαι ἐξ ὑποστροφῆς, ταύτας καὶ φθινούσας καλοῦσι μετὰ τοῦ προσθεῖναι τὴν ἡμέραν ἑκάστην ἀπὸ πρώτης ἀρξαμένους· οἷον, πρώτη φθίνοντος, καὶ δευτέρα φθίνοντος, καὶ ἀκολούθως ἀεὶ χρήσασθαι τῇ προσθήκῃ. ἐπειδή, ὡς εἴπομεν, φθίνειν ὥσπερ καὶ
107 φθείρεσθαι δοκεῖ τὰ φῶτα. τὴν δὲ τριακάδα καλοῦσιν ἕνην τε καὶ νέαν. Ετι τοίνυν τὸ μηδεμίαν) Ἀρχὴ τούτων αὐτῷ προκεχώρηκεν ἡ ἀπόδειξις τοῦ κατὰ φωκίας κεφαλαίου, καὶ τὰς οἰκείας πίστεις παρέσχετο, ἀνελὼν δηλαδὴ τὰ ὑφορμοῦντα τῇ ἑαυτοῦ πίστει, ἵνα πανταχόθεν τὸ πιθανὸν ὁ λόγος συνεργάσηται. ἐντεῦθεν δ' ἀφίσταται τῆς τοῦ ἐγκλήματος ἀποδείξεως· χωρεῖ δ' ἐπὶ τὰς τῆς ποιότητος ἀντιθέσεις· ὡς γὰρ αἰσχίνου μηδὲν ἔτι ἔχοντος εἰπεῖν ἰσχυρόν, ἀποστῆσαι δὲ τοὺς ἀθηναίους

σπουδα

Margin: ἐπαγγελλομένου.α. ὑποσχομένου.α. — (ἕως) τῆς α. — (πρώτη) φθίνοντος α.

οὕτω καὶ διὰ τούτους ἀπώλωλε, τοὺς χρόνους ὑμῖν λογιοῦμαι, καθ' οὓς ἐγίγνετο ἕκαστα. περὶ ὧν δ' ἄν τις
101 ἀντιλέξῃ τούτων, ἀναστὰς ἐν τῷ ἐμῷ ὕδατι εἰπάτω. ἡ μὲν τοίνυν εἰρήνη, ἐλαφηβολιῶνος ἐνάτη ἐπὶ δέκα ἐγένετο. ἀπεδημήσαμεν δ' ἡμεῖς ἐπὶ τοὺς ὅρκους, τρεῖς μῆνας ὅλους. καὶ τοῦτον ἅπαντα τὸν χρόνον ἦσαν οἱ φωκεῖς σῷοι. ἥκομεν δὲ δεῦρο ἀπὸ
102 τῆς πρεσβείας τῆς ἐπὶ τοὺς ὅρκους, τρίτῃ ἐπὶ δεκάτῃ τοῦ σκιροφοριῶνος μηνός. καὶ παρῆν ἐν πύλαις ὁ φίλιππος ἤδη. καὶ τοῖς φωκεῦσιν ἐπηγγέλλετο. ὧν οὐδὲν ἐπίστευον ἐκεῖνοι. σημεῖον δέ. οὐ γὰρ ἂν δεῦρο ἧκον ὡς ὑμᾶς. ἡ δ' ἐκκλησία μετὰ ταῦτα, ἐν ᾗ πάν-
103 τα τὰ πράγματα ἀπώλεσαν οὗτοι ψευσάμενοι καὶ φενακίσαντες ὑμᾶς, τῇ ἕκτῃ ἐπὶ δέκα ἐγίγνετο τοῦ σκιροφοριῶνος*. ἀπὸ τοίνυν ταύτης, πεμπταῖα λογίζομαι καὶ τὰ παρ' ὑμῶν ἐν τοῖς φωκεῦσι γενέσθαι. παρῆσαν γὰρ οἱ τῶν φωκέων πρέσβεις ἐνθάδε. καὶ ἦν
104 αὐτοῖς καὶ τί ἀπαγγελοῦσιν οὗτοι, καὶ τί ψηφιεῖσθε ὑμεῖς, ἐπιμελὲς εἰδέναι. οὐκοῦν εἰκάς, ἣν ἴσμεν πυθέσθαι τοὺς φωκέας τὰ παρ' ὑμῶν. ἀπὸ γὰρ τῆς ἕκτης εἰς ταύτην, πέμπτη γίνεται. ὑστέρα τοίνυν, δεκάτη. ἐνάτη. ὀγδόη, ταύτῃ ἐγίγνοντο αἱ σπονδαί. καὶ πάντα τἀκεῖ
105 πράγματα ἀπωλώλει, καὶ τέλος εἶχε. τῷ τοῦτο δῆλον; τῇ τετράδι φθίνοντος ἐκκλησιάζετε μὲν ὑμεῖς τότ' ἐν πειραιεῖ περὶ τῶν ἐν τοῖς νεωρίοις, ἧκε δὲ δερκύλλος ἐκ χαλκίδος. καὶ ἀπήγγελλεν ὑμῖν, ὅτι πάντα τὰ πράγματα ἐγκεχείρικε θηβαίοις ὁ φίλιππος. καὶ
106 πέμπτην οὖσαν ἡμέραν εἶναι ταύτην ἐλογίζετο, ἀφ' οὗ γεγόνασιν αἱ σπονδαί. ὀγδόη τοίνυν, ἑβδόμη, ἕκτη, πέμπτη, τετράς, αὐτὸ συμβαίνει, εἰς ταύτην εἶναι πέμπτην. οὐκοῦν τοῖς χρόνοις οἷς ἀπήγγελλον, οἷς ἔγραφον, πᾶσιν ἐξελέγχονται συνηγωνισμένοι φιλίππῳ,
107 καὶ συναίτιοι γεγονότες τοῦ τῶν φωκέων ὀλέθρου. ἔτι τοίνυν τὸ μηδεμίαν τῶν πόλεων τῶν ἐν φωκεῦσιν

Margin: τούτῳ.α. — ἀνάτη. — δεκάτη.β.ε. — δέκα.α. — ἀπολωλέκασιν.α. — δεκάτη.β.α.ε. — μηνός.α. — α.κ. — ἀπαγγέλλουσιν.α. — τῷ.α. — ἐλέγχοντ(αι).α. — ε.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σπουδάζοντος τῆς ὀργῆς καὶ παραιτοῦντος τοὺς ἀκούοντας, καὶ ἀξιοῦντος μὴ ὀργίζεσθαι ὑπὲρ Φωκέων, μὴ συμμάχοις εἶναι, βούλεται ὁ Δημοσθένης, ἐκ τῆς ἀντιθέσεως πλείονα τὸν παροξυσμὸν ἐργάσασθαι· καὶ παραλαμβάνει τὴν ἀντίθεσιν καὶ τὴν λύσιν ἐργάζεται. ὁμοῦ δὲ καὶ ἐπίλογός ἐστι τὸ γιγνόμενον. ἴδιον δὲ τῶν ἐπιλόγων αὔξησις.

ἡλῶναι πολιορκίᾳ, μηδ' ἐκ προσβολῆς κατὰ κράτος· ἀλλ' ἐκ τοῦ πείσασθαι, πάντας ἄρδην ἀπολέσθαι, μέγιστόν ἐστι σημεῖον, τοῦ διὰ τούτους πεισθέντας αὐτοὺς ὡς ὑπὸ τοῦ Φιλίππου σωθήσονται, ταῦτα 108
παθεῖν· οὐ γὰρ ἐκεῖνόν γε ἠγνόουν. Φέρε δή μοι καὶ τὴν συμμαχίαν τὴν τῶν Φωκέων καὶ τὰ δόγματα ὑφ' ὧν καθεῖλεν αὐτῶν τὰ τείχη, ἵν' εἰδῆτε οἵων ὑπαρχόντων αὐτοῖς παρ' ὑμῶν, οἵων ἔτυχον, διὰ τούτους τοὺς θεοῖς ἐχθρούς. λέγε.

## Συμμαχία Ἀθηναίων καὶ Φωκέων.

α. α. Α μὲν τοίνυν ὑπῆρχε παρ' ὑμῶν αὐτοῖς, ταῦτ' ἐστί· φιλία, συμμαχία, βοήθεια· ὧν δ' ἔτυχον διὰ τοῦτον τὸν βοηθῆσαι κωλύσαντα ὑμᾶς, ἀκούσατε. λέγε.

κωλύσοντα. α. α.

## Ὁμολογία Φιλίππου καὶ Φωκέων.

ἡμᾶς. α. ἀκούσατε. α. α.

Ἀκούετε ὦ ἄνδρες Ἀθηναῖοι· ὁμολογία Φιλίππου καὶ Φωκέων, φησίν, οὐχὶ τῶν Θηβαίων καὶ Φωκέων, οὐδὲ Θετταλῶν καὶ Φωκέων, οὐδὲ Λοκρῶν, οὐδὲ ἄλλου τῶν παρόντων οὐδενός. καὶ πάλιν, παραδοῦναι δὲ τὰς πόλεις φησὶ Φωκέας Φιλίππῳ, οὐχὶ Θηβαίοις, 111
οὐχὶ Θετταλοῖς, οὐδὲ ἄλλῳ οὐδενί. διὰ τί; ὅτι Φίλιππος ἀπηγγέλλετο πρὸς ὑμᾶς ὑπὸ τούτου ἐπὶ τῇ τῶν Φωκέων σωτηρίᾳ παρεληλυθέναι. τούτῳ δὴ πάντα ἐπίστευον. καὶ πρὸς τοῦτον πάντ' ἐσκόπουν. πρὸς τοῦτον ἐποιοῦντο τὴν εἰρήνην. λέγε δὴ τὰ λοιπά. 112
καὶ σκοπεῖτε τί πιστεύσαντες, τί ἔπαθον. ἆρά γε ὅμοια, ἢ παραπλήσια, οἷς οὗτος ἀπήγγελλε. λέγε.

τῶν. α. α. πάντων. α. οὐδέ. α. α. ε. οἷα. α. α.

## Δόγμα Ἀμφικτυόνων.

α. Τούτων ὦ ἄνδρες Ἀθηναῖοι, δεινότερα οὐ γέγονεν, οὐδὲ μείζω πράγματα ἐφ' ἡμῶν ἐν τοῖς Ἕλλησιν. οἶμαι δ' οὐδ' ἐν τῷ πρόσθεν χρόνῳ. τηλικούτων μέντοι, καὶ τοιούτων πραγμάτων κύριος εἷς ἀνὴρ Φίλιππος γέγονε διὰ τούτους, οὔσης τῆς Ἀθηναίων πόλεως, ᾗ προεστάναι τῶν Ἑλλήνων πάτριον, καὶ μηδὲν τοιοῦτον περιορᾶν γιγνόμενον. ὃν μὲν τοίνυν τρό- 114

ὑμῶν. α. ζ. ἔμπροσθεν. α. 113

αὐξανόμενα δὲ, ἢ ἀπὸ ποιότητος προσώπων, ἢ ἀπὸ ποιότητος πραγμάτων. ὁ μὲν οὖν Αἰσχίνης, καθαιρεῖ τὴν ποιότητα, ὅτι οὐκ ἦσαν σύμμαχοι, καὶ πολλὰ τὴν πόλιν ἠδίκησαν. ὁ δὲ, παραλαμβάνων τὰς ἀντιθέσεις, συνίστησι διὰ τῆς λύσεως τὴν ποιότητα, σύμμαχοι τῆς πόλεως οἱ Φωκεῖς καὶ εὐεργέται τοῦ δήμου. Φέρε δή μοι τὴν συμμαχίαν τὴν τῶν Φωκέων, λέγων. Ἄρδην) Ἀντὶ τοῦ 107
παντελῶς, παρὰ τὸ αἴρειν καὶ λογίζεσθαι. Διὰ τούτους) Τὸν Αἰσχίνην καὶ Φιλοκράτην. Αὐτοῖς) Τοὺς 109
Φωκέας. Οὐ γὰρ ἐκεῖνόν γε ἠγνόουν) 108
Ἵνα μὴ λέγωσι διὰ τί γὰρ αὐτῷ ἐπείθοντο οἱ Φωκεῖς, δείκνυσιν ὅτι ᾔδεσαν αὐτὸν, καὶ οὐκ ἂν ἐθάῤῥησαν αὐτῷ· διὰ τούτους δὲ. οὐ γὰρ οἱ Ἀθηναῖοι, ἀλλ' οἱ περὶ τὸν Αἰσχίνην, τοῖς 110
πάθεσιν αἴτιοι. Ἐκεῖνόν γε) Τὸν Φίλιππον. Ὧν δ' ἔτυχον) Ἵνα μὴ 109
δοκῇ συνηγορεῖν τοῖς τοῦ ἀντιδίκου λόγοις, τὸ τῆς πόλεως μέρος ἐξήτασεν· εἶτ' ἐπειδὴ τὸ ἐναντίον πρὸς τὴν χρείαν αὐτῷ γέγονε τὸ ῥηθὲν, πῶς οὖν οὐκ ἐβοηθήσαμεν τοῖς συμμάχοις, ἵνα μὴ δοκοίη κατηγορεῖν τῆς πόλεως, μεταστήσας εὐθὺς ἅμα τῇ ἐργασίᾳ τὸ ἔγκλημα εἶπε. διὰ τοῦτον τὸν βοηθῆσαι κωλύσαντα.
Τούτῳ δὴ) Τῷ Αἰσχίνῃ. Τούτων ὦ ἄνδρες Ἀθηναῖοι) Τῷ δευτέρῳ χρόνῳ, αὔξει τὸ πάθος. κινεῖ δὲ καὶ φόβον ἀπὸ τῶν πολεμίων, ἵνα πανταχόθεν ὀργὴ συλλέγηται· ἀπὸ τῆς ποιότητος, ἀπὸ τῶν χρόνων, ἀπὸ τῆς τῶν πολεμίων αὐξήσεως. εἶτα καὶ ἄλλο δεινώσεως εἶδος, ὅτι καὶ οὔσης τῆς Ἀθηναίων πόλεως, αἱ τῶν Ἑλλήνων ἀπόλλυνται πόλεις. καὶ διὰ τίνας· διὰ τοὺς Ἀθηναίων πρέσβεις, ἵνα διχόθεν τὸ τῆς ὀργῆς γίνηται, καὶ ὅτι σωζομένης τῆς πόλεως, καὶ ὅτι ἣν σώζειν ἔδει, ταύτην οἱ πρέσβεις ἀπώλλυον. καὶ ἡ ἀκρίβεια δὲ, ὅτι, ᾗ προεστάναι τῶν Ἑλλήνων πάτριον, ἵνα κἂν ἠδικηκότες ὀφθῶσιν οἱ Φωκεῖς, δοκῇ πάτριον τῇ πόλει καὶ τὸ σώζειν τοὺς ἀδικοῦντας. Χρόνῳ) Γενήσεται δὴ 113
λοιπόν. Πάτριον) Ἐστὶ, συνήθες καὶ ἴδιον. Καὶ μηδὲν τοιοῦτον περιορᾶν γιγνόμενον) Τοῦτο πολλὴν ἔχει τὴν ἔμφασιν τῆς ἀτοπίας. τὴν γὰρ κατὰ τῆς πόλεως βλασφημίαν αὔξει διὰ τούτου, ὅτι δέδωκε λαβὰς Αἰσχίνης τοῖς βουλομένοις κατηγορεῖν τοῦ δήμου, ὥσπερ ἤδη παροξύνων ἐπὶ τὴν τιμωρίαν τοὺς δικάζοντας· ἓν γὰρ εἶδος τοῦ περιορᾶν τὰ τοιαῦτα, τὸ μὴ τιμωρήσασθαι τὸν αἴτιον. Ὃν μὲν τοίνυν τρόπον) Ἐμβαίνει τὸ πάθος, εἴς τε 114
τὴν δείνωσιν, καὶ τὴν διατύπωσιν. ἐξ αὐτοῦ δὲ τοῦ εἴδους καὶ τοῦ τρόπου τοῦ πάθους, ὑπ' ὄψιν ἄγει τῷ λόγῳ τὰς συμφοράς. βούλεται δὲ ἡ διατύπωσις, τὰ καθ' ἕκαστον περιεργάζεσθαι· καὶ ἵνα ὁ μειωσμὸς κατάδηλος γίνηται,

τινοὶ ταλαίπωροι φωκεῖς ἀπολώλασιν, οὐ μόνον ἐκ
τῶν δογμάτων τούτων ἐστὶν ἰδεῖν, ἀλλὰ καὶ ἐκ τῶν ἔρ-
γων, ἃ πέπρακται. θέαμα δεινὸν ὦ ἄνδρες ἀθη-
ναῖοι, καὶ ἐλεεινόν· ὅτε γὰρ νῦν ἐπορευόμεθα εἰς δελ-
115 φούς, ἐξ ἀνάγκης ἦν ἡμῖν ὁρᾶν ° πάντα ταῦτα, οἰκίας
κατεσκαμμένας, τείχη περιῃρημένα, χώραν ἔρημον
τῶν ἐν ἡλικίᾳ· γύναια δὲ καὶ παιδάρια ὀλίγα, καὶ
πρεσβύτας ἀνθρώπους οἰκτρούς. ὅλως δ', οὐδ' ἂν
εἷς ἐφικέσθαι τῷ λόγῳ δύναιτο τῶν ἐκεῖ κακῶν νῦν
116 ὄντων. ἀλλὰ μὴν, ὅτι τὴν ἐναντίαν ποτὲ θηβαίοις,
ψῆφον ἔθεντο οὗτοι περὶ ' ὑμῶν ὑπὲρ ἀνδραπο-
δισμοῦ ' προτεθεῖσαν, ὑμῶν ἔγωγε ἀκούω πάν-
των. τίνα ἂν οὖν οἴεσθε ὦ ἄνδρες ἀθηναῖοι τοὺς
προγόνους ὑμῶν, εἰ λάβοιεν αἴσθησιν, ψῆφον ἢ
117 γνώμην θέσθαι, περὶ τῶν τοῦ τῶν φωκέων ὀλέθρου
αἰτίων. ἐγὼ μὲν γὰρ οἶμαι, κἂν καταλεύσαντας αὐ-
τοὺς ταῖς ἑαυτῶν χερσὶ, καθαροὺς ἔσεσθαι νομίζειν.
πῶς γὰρ οὐκ αἰσχρὸν, μᾶλλον δ', εἴ τις ἐστὶν ὑπερ-
βολὴ τούτου, τοὺς σεσωκότας ' ἡμᾶς τότε, καὶ τὴν
118 σώζουσαν περὶ ἡμῶν ψῆφον θεμένους, τούτους, τὴν

Marginal notes: ἐρ. ἄγοι α. — ἅπαντα. α. — ἡ. — ἡμῶν. ζ. — προτεθεῖσαν. α. — α. — γρ. ὑμᾶς.

προοίμιον κέχρηται, γόον καὶ θρῆνον ἐμποιοῦντι τοῖς ἀκούουσι. ταλαιπώρως γὰρ ὀνομάσας, τὴν τύχην ὠδύρ-
114 ετο. Θέαμα δεινὸν ὦ ἄνδρες ἀθηναῖοι) Διασκευὴ τις ἐπιλογική, ἐκ μέρους τὰ κατὰ φωκέας αὔξουσα πά-
θη. ἀπὸ τῶν φόβων δὲ ἄρχεται, ἵνα εἰκὼν καὶ παράδειγμα γένηται τὸ γενόμενον τοῦ μέλλοντος· καὶ μὴ μόνον ὀ-
δύρωνται φωκέας, ἀλλὰ καὶ ὑπὲρ τῶν ἄλλων ἑλλήνων δεδίασι. διατύπωσις δὲ τὸ σχῆμα, ὥσπερ ὅταν διατυποῖ τις καὶ εἰς ὄψιν ἄγη τὰ πράγματα διὰ τῶν λόγων. διαφέρει δὲ ἡ διατύπωσις τῆς ἐκφράσεως, τῷ, τὴν μὲν διατύπωσιν, διὰ πάθος τι λέγεσθαι· τὴν δὲ ἔκφρασιν, ὥσπερ ἐν διηγήματι εἶναι. Ὅτε γὰρ νῦν ἐπορευόμεθα εἰς δελφούς) Ἀπόδειξις ἅμα καὶ πίστις τοῖς λεγομένοις γέγονε. πόθεν γινώσκεις· νῦν ἐπορευόμεθα εἰς δελφούς. καὶ τὰ λεγόμε-
115 να ἡ ὁδὸς πιστοῦται. Ἐξ ἀνάγκης ἦν) Ὥσπερ δυσχεραίνων, ὅτι θεατὴς γέγονεν ἐλεεινῶν συμφορῶν, ἀπὸ τοῦ γένους ἄρχεται. αἱ γὰρ αὐξήσεις, ἀπὸ τῶν γενῶν, καὶ ἀπὸ τῶν εἰδῶν γίνονται. Οἰκίας κατεσκαμμένας) Μεταβέβηκεν ἐπὶ τὰ εἴδη· τὰ γὰρ καθ' ἕκαστον, ἐμψυχότερον τὸν λόγον ἐργάζεται· καὶ χαίρει τούτῳ ἡ διατύπωσις. τῶν οἰκιῶν φησὶ κατεσκαμμένων, ἀπολώλασιν οἱ ἔνοικοι. ἔχει δὲ καὶ τῆς ὕβρεως τῶν πολεμίων ἔμφασιν· ἡ γὰρ κατασκαφὴ, περιφανέστερον εἶδος τῆς συμφορᾶς. Τείχη περιῃρημένα) Διὰ μὲν τῶν οἰκιῶν, τὸν γόον ηὔξησε· διὰ δὲ τῶν τειχῶν, τὸν φόβον. Χώραν ἔρημον τῶν ἐν ἡλικίᾳ) Διπλοῦν τι πά-
θος ἐνταῦθα· γὰρ ὁμοῦ καὶ φόβος καὶ ἔλεος· τίνες γὰρ οἱ ἀνῃρημένοι οἱ ἄνδρες οἱ ἐπὶ τῆς ἡλικίας. ἀπὸ τῶν ἀψύ-
χων μεθίστησι τὸ πάθος ἐπὶ τὰ ἔμψυχα. Τῶν ἐν ἡλικίᾳ) Νέων. Γύναια δὲ καὶ παιδάρια) Ἄχρηστα πρὸς
τὸν πόλεμον. ἃ καὶ ἀφῆκε μάρτυρα τῶν ἀπὸ τῆς χώρας οὐδένα, τὴν συμφορὰν συναύξων. ὄντος δὲ ἀσθενοῦς
' ἔδειξεν. α. φύσει τοῦ γυναικείου φύλου, ἔτι καὶ τῷ ὑποκοριστικῷ ὀνόματι παιδάρια, ἀσθενέστερον ' ἀπέδειξεν. οὐδὲ παῖδας
ἡβῶντας εἶπεν, ἵνα κἂν παραμυθία ταῖς μητράσι γένηται. Καὶ πρεσβύτας ἀνθρώπους οἰκτρούς) Πρε-
σβύτης μὲν γὰρ αὐτὸς καθ' ἑαυτὸν δεῖται τοῦ συμμαχήσοντος· νῦν δὲ καὶ ἡ οἰκτρότης συμπεσοῦσα, παρα-
' ἑκάστην τῶν μυθίαν οὐ δέδωκε. πῶς μὲν οὖν ἐν τούτοις τὸ φωκέων πάθος εἰργάσατο, καὶ ὅπως ἐμψύχως ' ἕκαστον τῶν
ἡλικιῶν. ἡλικιῶν τῶν ἐπεξελήλυθεν, ἔξεστι μὲν ἐκ τῶν εἰρημένων συνιδεῖν· ἔξεστι δὲ μιμουμένους καὶ ἕτερα πλείω προσ-
θεῖναι. ἐξελέγχει μὲν τοι ὁ δημοσθένης ἐν τούτοις, τοὺς τολμήσαντας εἰπεῖν, ὅτι οὐχ ἱκανός ἐστιν ἐλεεινολογήσα-
' τοῦτο. α. σθαι. ἐπεὶ δὲ παροξῦναι κατὰ ' τοῦ τολμήσαντος ἔδει· ὁ δὲ παροξυσμὸς γίνοιτ' ἂν ἐξ ὀργῆς, μᾶλλον ἐχρῆν φό-
βον ἐμποιῆσαι καὶ δέος. ὅπερ συνεκέρασεν, ἐξ ἀμφοτέρων τὴν οἰκείαν ἐργασίαν ἀποδιδοὺς, καὶ τὴν προσή-
116 κουσαν ἑκάστῳ μέρει. Ἀλλὰ μὴν, ὅτι τὴν ἐναντίαν) Μετὰ τὸν πελοποννησιακὸν πόλεμον, κατακρατήσαντες
ἰσχυρῶς οἱ λακεδαιμόνιοι τῶν ἀθηναίων, προέθηκαν ψῆφον περὶ τῶν ἀθηναίων τοῖς ἰδίοις συμμάχοις, ὥστε ἀ-
ποκρίνασθαι ἕκαστον, τί βούλεται παθεῖν τοὺς ἀθηναίους. εἶτα εὐανθός τις θηβαῖος ἐψηφίσατο, τὴν μὲν πόλιν αὐ-
τῶν κατασκαφῆναι, τὴν δὲ χώραν μηλόβοτον γενέσθαι, ἵν' ἐκεῖ νέμωνται τὰ τῶν βοιωτῶν πρόβατα. οἱ δὲ
φωκεῖς ὄντες καὶ αὐτοὶ τότε ὑπὸ τοῖς λακεδαιμονίοις, ἀντέλεξαν, συμβουλεύοντες μὴ ἑτερόφθαλμον τὴν ἑλ-
λάδα ποιῆσαι, αἰνιττόμενοι δύο ὀφθαλμοὺς εἶναι τῆς ἑλλάδος, τήν τε ἀθηναίων πόλιν, καὶ τὴν τῶν λακεδαι-
μονίων. καὶ οὕτω πεισθέντες οἱ λακεδαιμόνιοι, οὐ κατέσκαψαν λοιπὸν τὴν πόλιν. Ἀλλὰ μὴν ὅτι τὴν ἐναν-
τίαν) Αὐτοὶ γὰρ περὶ ἡμῶν ἀντέψηφισαν, προκειμένης σκέψεως τί δεῖ παθεῖν, παραινούντων θηβαίων μηλό-
βοτον ποιῆσαι τὴν ἀττικήν. ἐνταῦθα συνίστησι καὶ τὴν εὐεργέτησαν, ὅτε οὐκ ἦσαν σύμμαχοι, ἵνα εἰ καὶ μὴ
νῦν ἦσαν σύμμαχοι, φανῶσιν ἄξιοι τῆς ἰσορρόπου βοηθείας· περὶ ἁλώσεως γὰρ τότε κινδυνευούσῃ τῇ πό-
λει, συνέστησαν, ἐναντιουμένων μὲν θηβαίων, παρόντων δὲ λακεδαιμονίων. οὐκοῦν ἔδει καὶ αὐτοὺς, τῆς αὐ-
' ὑμῶν. α. τῆς βοηθείας παρ' ' ἡμῶν τετυχηκέναι. τὸ δὲ τὴν ἐναντίαν ποτὲ θηβαίοις, προσθεὶς, χαλεπωτέραν τὴν ὀρ-
γὴν εἰργάσατο. εἰ αὐτοὶ μὲν θηβαίοις ὑπὲρ ἀθηναίων διηνέχθησαν· νῦν δὲ διὰ τοὺς προδότας, ἐτιμωρήθη-
σαν. ἔστιν οὖν ἔτι καὶ ταῦτα τῶν ἐπιλόγων. Οὗτοι) Οἱ φωκεῖς. Ἀνδραποδισμοῦ) τῆς πόλεως. Ὑμῶν
117 ἔγωγε ἀκούω) Ὑμῶν ὁ λόγος, ὃν δημοσθένης ἐπλάσατο. Καταλεύσαντας) Λιθοκόπους ποιήσαντας.

Καί

ἐναντίων τετυχηκέναι διὰ τούτους, καὶ περιεῶφθαι τοιαῦτα πεπονθότας, οἷα οὐδένες ἄλλοι τῶν ἑλλήνων. τίς 119
οὖν ὁ τούτων αἴτιος. τίς ὁ ταῦτα φενακίσας. οὐχ οὗτος; πολλὰ μὲν τοίνυν ἄν τις ὦ ἄνδρες ἀθηναῖοι, φίλιππον εὐδαιμονίσαι τῆς τύχης, εἰκότως· ὃ τὸ μάλιστ' ἂν εὐδαιμονίσειεν ἁπάντων, ὃ μὰ τοὺς θεοὺς καὶ τὰς θεὰς οὐκ ἔχω λέγειν ἔγωγε ἄλλον ὅστις 120
εὐτύχηκεν ἐφ' ἡμῶν. τὸ μὲν γὰρ πόλεις μεγάλας εἰληφέναι, καὶ χώραν πολλὴν ὑφ' ἑαυτῷ πεποιῆσθαι, καὶ πάντα τὰ τοιαῦτα, ζηλωτὰ μὲν ἐστιν, οἶμαι καὶ λαμπρά· πῶς γὰρ οὔ; ἔχοι δ' ἄν τις εἰπεῖν πεπραγμένα καὶ ἑτέροις πολλοῖς. ἀλλ' ἐκεῖνο ἴδιον, καὶ οὐδενὶ τῶν ἁπάν- 121
των ἄλλῳ γεγονὸς εὐτύχημα. τὸ ποῖον; τὸ ἐπειδὴ πονηρῶν ἀνθρώπων εἰς τὰ πράγματα αὐτῷ ἐδέησε, πονηροτέρους εὑρεῖν ἢ ἐβούλετο. πῶς γὰρ οὐχ οὗτοι τοιοῦτοι δικαίως ὑποληφθεῖεν ἄν, οἵ γε ἃ ὑπὲρ ὧν αὐτὸς φίλιππος τηλικούτων ὄντων αὐτῷ τῶν δια- 122
φόρων, οὐκ ἐτόλμα ψεύσασθαι, οὔτ' εἰς ἐπιστολὴν γράψαι οὐδεμίαν, οὐδὲ πρεσβευτὴς οὐδεὶς εἶπε τῶν παρ' ἐκείνου, ἐπὶ ταῦτα οὗτοι μισθώσαντες ἑαυτούς, ὑμᾶς ἐξηπάτων. καὶ ὁ μὲν ἀντίπατρος, καὶ ὁ παρμενίων, δεσπότῃ διακονοῦντες, καὶ οὐ μέλλοντες ὑμῖν μετὰ 123
ταῦτα ἐντεύξεσθαι, ὅμως τοῦθ' εὕροντο, τὸ μὴ δι' αὑτῶν ὑμᾶς ἐξαπατηθῆναι. οἱ δ' ἀθηναῖοι, τῆς ἐλευθερωτάτης πόλεως πρέσβεις ταχθέντες, ὑμᾶς, οἷς ἀπαντῶντας ἐμβλέπειν, οἷς συζῆν ἀνάγκη τὸν λοιπὸν βίον, καὶ ἐν οἷς εὐθύνας ἤμελλον δώσειν τῶν πεπραγμένων, 124
τούτους ἐξαπατᾶν ὑπέστησαν. πῶς ἂν ἄνθρωποι κακίους, ἢ μᾶλλον ἀπονενοημένοι τούτων γένοιντο. ἵνα τοίνυν εἰδῆτε ὅτι καὶ κατάρατός ἐστιν ὑφ' ὑμῶν, καὶ οὐχ ὅσιον ὑμῖν, οὐδ' εὐσεβές ἐστι τοιαῦτα ἐψευσμένον αὐτὸν ἀφεῖναι, λέγε τὴν ἀράν, καὶ ἀνάγνωθι λαβὼν τὴν ἐκ τοῦ νόμου ταυτηνί. ΑΡΑ. Ταῦθ' ὑπὲρ ὑμῶν ὦ ἄνδρες ἀθηναῖοι, καθ' ἑκά- 125
στην ἐκκλησίαν ὁ κῆρυξ εὔχεται, νόμῳ προστεταγμένα. καὶ ὅταν ἡ βουλὴ κάθηται, παρ' ἐκείνῃ πάλιν. καὶ ταῦτ' οὐκ ἔνεστιν εἰπεῖν τούτῳ, ὡς οὐκ εὖ ᾔδει· ὑπογραμματεύων γὰρ ὑμῖν, καὶ ὑπηρετῶν τῇ βουλῇ, αὐτὸς ἐξηγεῖτο τὸν νόμον τοῦτον τῷ κήρυκι. πῶς οὖν οὐκ ἄτοπον καὶ ὑπερφυὲς ἂν πεποιηκότες ὑμεῖς εἴητε, εἰ ἃρ' ἃ προστάττετε, μᾶλ- 126
λον δ' ἀξιοῦτε ποιῆσαι ὑπὲρ ὑμῶν τοὺς θεούς, ταῦτ' αὐτοὶ κύριοι γεγενημένοι τήμερον μὴ ποιήσετε. ἀλλ' ὃν ἐκείνοις εὔχεσθε ἐξώλη ποιεῖν αὐτὸν καὶ γένος, καὶ οἰκίαν, τοῦτον ἀφίετε αὐτοί. μηδαμῶς. ὃς γὰρ ἂν ὑμᾶς λάθῃ, τοῦτον ἀφίετε τοῖς θεοῖς κολάζειν· ὃν δ' αὐτοὶ λάβητε μηκέτ' ἐκείνοις περὶ τούτου προστάττε- 127
τε. εἰς τοῦτον τοίνυν ἀναιδείας καὶ τόλμης αὐτὸν ἥξειν ἀκούω, ὥστε πάντων τῶν πεπραγμένων ἐκστάντα, ὧν ἀπήγγελλεν, ὧν ὑπέσχετο, ὧν πεφενάκικε τὴν πόλιν, ὥσπερ ἐν ἄλλοις τισὶ κρινόμενον, καὶ οὐκ ἐν ὑμῖν τοῖς πάντ' εἰδόσι,

Καὶ περιεῶφθαι) Τοὺς φωκεῖς. 118
Ἐδέησε) Συνέβη. Τηλικούτων 121
ὄντων αὐτῷ τῶν διαφόρων) Πολὺ γὰρ ὑμῶν κἀκείνου τὸ μέσον, καὶ μεγάλη τις πρὸς αὐτὸν ἡμῖν ἡ διαφορά.
Τῆς ἐλευθερωτάτης πόλεως) Οἳ 123
κύριοι εἰσὶ τὸ πράττειν ὃ βούλονται, οὐχ ὥσπερ ἐκεῖνοι δεσπότῃ διακονούμενοι. Λέγε τὴν ἀράν) Δεί- 124
κνυσιν ὅτι οὐδενὸς τῶν δημαγωγιδῶν καταψηφιοῦνται, ἀλλ' ἀνδρὸς φαύλου καὶ τῶν τυχόντων ἑνός, δι' ὧν γραμματεύοντα ὑπαναγινώσκειν τὴν ἀρὰν ποιεῖ. δι' ὧν δέ φησι μηδὲν καταφαίνειν τῶν προστιθεμένων τοῖς θεοῖς, φόβον ἐφίστησιν αὐτοῖς, τὴν παρὰ τῶν κρειττόνων, μάλιστα δὲ ἀθηναίοις. βούλεται δὲ λεληθότως δόγματα δοῦναι ἐνταῦθα πλατωνικά, ὅτι περὶ ὧν δυνάμεθα πρᾶξαι, καὶ ἐν ἡμῖν τοῦτο, οὐ δεῖ ἀφέντας ἡμᾶς τὸ πράττειν, χαλάζειν ταῖς εὐχαῖς. ἐν οἷς δὲ οὐ δυνάμεθα, δεῖ εὔχεσθαι, οἷον εὐτυχεῖν, ὑγιαίνειν. Πάλιν) Εὔχε- 125
ται. Ἐκείνοις) Τοῖς θεοῖς. Καὶ 126
γένος) Αὐτοῦ. Μηδαμῶς) Ἀφήσητε. Εἰς τοῦτο τοίνυν ἀναιδείας) 127
Ἀρχὴ ἑτέρας ἀποδείξεως πρὸς τὰ προειρημένα παρὰ τοῦ αἰτίου. μέχρι γὰρ ὧδε ἡ διήγησις· ἐντεῦθεν λοιπὸν οἱ ἀγῶνες. Ἄλλως. Ἡ μετάθεσις τῆς αἰτίας κατ' ἀντίθεσιν. ἔστι δὲ μεταστατικῆς. σημείωσαι δὲ ὅτι τούτου μνημονεύει ὁ ἑρμογένης τοῦ κεφαλαίου, ἐν τῷ γ΄. περὶ τῶν εὑρέσεων. ἰωνικὰ λέγε τάδε, ἐπὶ μηδὲ δημοσθένης ἠδύνατο πολλάκις ἐνὶ χρῆσθαι ὀνόματι ἐπιχρήματι. καὶ ποτὲ μὲν αὐτῷ

ἀ. ἀ. ἡμᾶ. παίντων.α. ἀ. οἴχε.α. ἀ. αὐτῷ.α. οὐδὲ γράψαι. α. οὔπ.α. ἀπεύξασθαι. α. οἱ δ' ἀθηναῖοι οἱ.α.ε. χρόνον.α. λαβὲ.α. τούτῳ.α. α. ἀ. ἀ. ποιεῖν.α.δ.ε. λάθοι.α. ἂν αὐτὸν λάβοιτε.α.

τρέψας, μεταποιήσας δὲ ὡς ἐν τῇ παραπρεσβείας τοῦ σχήματος τοῦ μεταστατικοῦ ὄν. Ἄλλως. Ἰστέον ὅτι πληρώσας τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, ἐπὶ τὰς ἀντιθέσεις αὐτοῦ τοῦ αἰσχίνου μετέρχεται· πρῶτον γὰρ ἔδειξε τὰ σημεῖα τὰ αὐτοῦ οἷς ἐκατηγόρει. εἶτα καὶ τὰ ἀντιλεγόμενα ὑπὸ τοῦ ἀντιδίκου θέλει λῦσαι· οὐ γὰρ δεῖ μόνον τὰ ἴδια συνιστᾶναι, ἀλλὰ καὶ ἐκβάλλειν τὰ παρὰ τῶν ἀντιδίκων. χωρεῖ οὖν ἐπὶ τὰς ἀντιθέσεις αὐτοῦ τοῦ αἰσχίνου, ὁμοῦ τι τρεῖς οὔσας· τὴν περὶ λακεδαιμονίων, καὶ φωκέων, καὶ περὶ ἡγησίππου. καὶ τὴν μὲν λακεδαιμονίων καὶ ἡγησίππου, μεταστατικὰς οὔσας· τὴν δὲ τῶν φωκέων, ἀντεγκληματικήν. Ἄλλως. Ἐντεῦθεν τῶν ἐπιλόγων τῶν μερικῶν πεπαυμένων, εἰσάγει τὰς ἀντιθέσεις πρὸς τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους. καὶ ἔστιν ἡ μέν, μεταστατική, ὅταν ἄγῃ ἐπὶ λακεδαιμονίους καὶ ἡγήσιππον τὰς αἰτίας. ἡ δέ, ἀντεγκληματική· μέμφεται γὰρ τοῖς φωκεῦσιν ἀξίως παθεῖν. τὴν δὲ τοιαύτην θέσιν, ὑπερβαλλούσῃ καὶ ἀρρήτῳ τέχνῃ. κατεδέχετο γὰρ ὁ αἰσχίνης διὰ τούτου τὸ ἔγκλημα· ὁ γὰρ ἀξίους προφαίνων παθεῖν τοὺς φωκέας, ἐν τῇ τοῦ μίσους ὁμολογίᾳ τὴν ἐπιβουλὴν ἐλέγχει. ὁ δὲ ῥήτωρ ἡγήσιππος ἐδόκει τὰ φωκέων φρονεῖν, ὃς παροξύνας τὸν φίλιππον, αἴτιος ἐγένετο τοῦ ἀπολέσθαι αὐτούς. πολλὰς δὲ ὁμοῦ καὶ διαφόρους ἀντιθέσεις τεθεικώς, μίαν κατὰ πασῶν λύουσαν τέως ἀπὸ τοῦ χρόνου προσήγαγεν. εἶτα πρὸς τὴν ἀντεγκληματικήν, τό, τε ἔθος, καὶ τὸ συμφέρον ἀντέθηκεν. *δοκεῖ δὲ τῷ μηδενὶ θαυμαστὸν εἶναι καὶ ἐπίλογον ἐν μέσῳ λόγου τυγχάνειν· μέθοδος γὰρ τοῖς παλαιοῖς καὶ μάλιστά γε τῷ ῥήτορι, πληρώσαντι μὴ μόνον ἔγκλημα, ἀλλὰ καὶ κεφάλαιον, ἐπιλογίζεσθαι. καὶ οὐκ ἐπιλογίζεσθαι μόνον, ἀλλὰ καὶ προοιμιάζεσθαι περὶ τῶν δευτέρων. ὥστε πολλὰ μὲν ἔχειν προοίμια τὸν λόγον, πολλοὺς δὲ καὶ ἐπιλόγους καθ᾽ ἕκαστον μέρος τῶν κεφαλαίων· καὶ οἱ ἐπίλογοι δέ, οἱ μὲν τελευταῖοι πάσης ἂν εἶεν τῆς ὑποθέσεως· οἱ δὲ κατὰ μέρος ἑκάστου τῶν κεφαλαίων. πληρώσας τοίνυν ἐνταῦθα τὰς ἀποδείξεις τοῦ διὰ τὸν αἰσχίνην ἀπολωλέναι φωκέας, ἀναγκαίως μετὰ τὴν προδοσίαν καὶ τὴν ἅλωσιν, ηὔξησε τὰ συμβεβηκότα· ὅταν δὲ τὴν αὔξησιν εἴπω, τοὺς ἐπιλόγους λέγω. κατασκευάσαντος οὖν ἐνταῦθα τοῦ αἰσχίνου ὅτι ἄξιοι ἦσαν ἀπολέσθαι φωκεῖς, ἀκολούθως πρὸς τὴν τοιαύτην ἐναντιώσας ὁ ῥήτωρ εἶπεν, εἰς τοῦτο τοίνυν ἀναιδείας καὶ τόλμης αὐτὸν ἥξειν ἀκούω· ἀναιδὴς γάρ, ὁ τὰ μὲν ἐπὶ τῶν αὐτῶν ἀντιπλέκειν αὐτὸς ἑαυτῷ, πάλαι ὑποσχόμενος πείσειν τὸν φίλιππον



128 προῦτον μὲν λακεδαιμονίων, εἶτα Φωκέων, εἶθ᾽
ἡγησίππου κατηγορήσειν. ἔστι δὲ ταῦτα γέλως, μᾶλ-
λον δὲ ἀναισχυντία δεινή. ὅσα γὰρ νῦν ἐρεῖ περὶ
τῶν Φωκέων, ἢ τῶν λακεδαιμονίων, ἢ τοῦ ἡγησίπ-
που, ἢ ὡς πρόξενον οὐχ ὑπεδέξαντο, ἢ ὡς ἀσε-
129 βεῖς εἰσίν, ἢ ὅ, τι δὴ δή ποτε αὐτῶν κατηγορῇ, πάν-
τα δήπου ταῦτα, πρὸ τοῦ τοὺς πρέσβεις τούτους
δεῦρ᾽ ἥκειν, ἐπέπρακτο. καὶ οὐκ ἦν ἐμποδὼν τῷ
τοὺς Φωκέας σώζεσθαι, ὡς* τὶς" φησιν, αἰσχίνης αὐτὸς *πρ. β. πυ. ε " γρ. ὡς φησί τις.
οὑτοσί. οὐ γὰρ ὡς εἰ μὴ διὰ λακεδαιμονίους, οὐδ᾽ ὡς
130 εἰ μὴ πρόξενον οὐχ °ὑπεδέξαντο, οὐδ᾽ ὡς εἰ μὴ °ἀπεδέξαντο. ζ.
δι᾽ ἡγήσιππον, οὐδ᾽ ὡς εἰ μὴ διὰ τὸ, καὶ τὸ, ἐσώ-
θησαν ἂν οἱ Φωκεῖς, οὐχ οὕτω τότε ἀπήγγελλεν·
ἀλλὰ πάντα ταῦτα ὑπερβάς, διαρρήδην ἥκειν
ἔφη πεπεικὼς φίλιππον, Φωκέας σώζειν, τὴν Βοιω-
131 τίαν οἰκίζειν, °ὑμῖν τὰ πράγματα οἰκεῖα ποιεῖν· ταῦ- °ἡμῖν. α. δ.
τα πεπράξεσθαι δυοῖν ἢ τριῶν ἡμερῶν. καὶ διὰ
ταῦτα χρήματ᾽ ἑαυτῷ τοὺς θηβαίους ἐπικεκηρυ-
χέναι. μὴ τοίνυν ἃ πρὸ τοῦ τοῦτον ἀπαγγεῖλαι
132 ταῦτα, ἐπέπρακτο ἢ λακεδαιμονίοις, ἢ Φωκεῦ-
σιν, ἀκούετε, μηδὲ ἀνέχεσθε· μηδὲ κατηγορεῖν ἐᾶ-
τε Φωκέων, ὡς πονηροί. οὐδὲ γὰρ λακεδαιμονίους

128 σώσειν φωκέας. καὶ μετὰ τὴν ἐπάνοδον εἰπὼν ὅτι σωθήσονται, νῦν φησὶν ἀξίους αὐτοὺς εἶναι τῆς διαφθορᾶς. Πρῶτον μὲν λακεδαιμονίων) Ἀφίκοντο λακεδαιμόνιοι πλείστας ἐλπίδας ἔχοντες, ἀποδοθήσεσθαι τῇ ἑαυτῶν μητροπόλει δωρίδι· λέγω τὸ ἱερόν· τούτων γὰρ ἦν τὸ ἀρχαῖον. ἀλλὰ καὶ τούτους ἐξηπάτησε φίλιππος. γνόντες δὲ αὐτὸν ἐν παρασκευῇ ὄντα τῆς δηώσεως, εἰκότως ἐξέκλινον. ἡγησίππου δὲ μέμνηται, διότι φιλίππῳ πρεσβευομένῳ περὶ τῆς εἰρήνης, ὁ πρῶτος εἰπών, καὶ διακωλύσας ἡγήσιππος ἦν. φωκέων δὲ κατηγορεῖ, διότι καθ᾽ ὃν χρόνον ἔνσπονδοι τοῖς ἀθηναίοις ἦσαν, ἀπέστειλαν πρόξενον αὐτοῖς βοηθήσοντα οἱ ἀθηναῖοι. οἱ δὲ οὐ προσεδέξαντο, κατάληψιν τῶν πόλεων ὑποπτεύσαντες. ἐντεῦθεν πονηροὺς φωκέας ἐκάλεσεν. ἀσεβεῖς δέ, ὅτι μετὰ τὸ τὸν πρόξενον μὴ δέξασθαι, μελλόντων ἀθηναίων ἐπιτελεῖν τὰ μυστήρια κατὰ τὸ σύνηθες, τὰς μυστηριώδεις
130 σπονδὰς οὐκ ἐδέξαντο οὐδὲ τούτους φωκεῖς. ὅθεν αὐτοὺς καὶ ἀσεβεῖς ὠνόμασεν. Ἀλλὰ πάντα ταῦθ᾽ ὑπερβάς) Πόρρωθεν ἤδη προαναιρεῖ τὸ χρῶμα· οὐ γὰρ ἦν εἰκὸς τὸν διδάξαντα καὶ πείσαντα τινά, ὑπὸ τοῦ διδασκομένου καὶ πεπεισμένου ἐξαπατᾶσθαι. Βοιωτίαν οἰκίζειν) Οὐ λέγει τὴν πᾶσαν, ἀλλὰ πόλεις αὐτῆς, ἃς κατέσκαψαν οἱ θηβαῖοι μὴ βουλομένας αὐτοῖς ὑπακούειν· φημὶ δὴ θεσπιὰς καὶ πλαταιάς. κατέσκαψαν δὲ αὐτάς, ἰσχύσαντες μετὰ τὰ ἐν λεύκτροις.
131 Μὴ τοίνυν) Ἑτέρα μεταποίησις τοῦ αὐτοῦ ἐπιχειρήματος.

Πέντε γὰρ γεγόνασι) Τὰ ὀνόματα τῶν πραγμάτων ἡμέρας ἐκάλεσεν. Ὑποποιήσωνται) Ἀντὶ τοῦ φίλους ποιή- 134
σωνται τοὺς λακεδαιμονίους δι' ὑμῶν. Μὴ οὖν ὅτι καὶ λακεδαιμονίους) Κατηγορεῖ γὰρ φωκέων ὡς ἠπατημένων. 137
φωκεῖς πονηροί, φωκεῖς ἀσεβεῖς. εἶτα δὲ καὶ ἐξηπατήθησαν ὑπὸ φιλίππου. Ἂν τοίνυν ἀντὶ φωκέων) Ἑτέρα με- 138
τάθεσις τῆς αἰτίας κατ' ἀντίθεσιν. ἔστι δὲ ἀντιστατική. Ἄλλως. Τὸ ἀντιστατικόν ἐστι κεφάλαιον τῆς ἀντιστάσεως. ἔστι δὲ καὶ ἐνθύμημα ἀντιστατικόν. διαφέρει δέ, ὅτι ἐν μὲν τῇ ἀντιστάσει, ἐξ αὐτοῦ ἀδικήματός ἐστι τὸ εὐεργέτημα. ἐν δὲ τῷ ἐνθυμήματι, ἄλλο τὸ ἀδίκημα, καὶ ἕτερον τὸ εὐεργέτημα. Ἄλλως, ἂν τοίνυν. Ἀντιστατική, τὸ συμφέρον ἐπισάγουσα, ἀφ' ὧν ἠδίκησε. συνέζευκται δέ πως τῇ ἀντεγκληματικῇ, ὡς ἔχουσα πρὸς αὐτὴν συγγένειαν· ἐν οἷς γὰρ λέγει ὅτι καλῶς καὶ ἀξίως ἀπολώλασιν οἱ φωκεῖς, ἐπάγει ὅτι καὶ ἄλλα ἔχομεν ἀντὶ τῶν ἀπολωλότων χωρία σωζόμενα. Ἄλλως. Πρῶτον ἦν τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους, ὡς ἐν ἀρχῇ ἐξέθετο ὧν ἀπήγγελλε. δεύτερον δὲ ὧν ἔπεισεν. οὐκοῦν τὸ ἔπεισε φαίνεται τριμερές. ἓν μέν, ὅτι ἔπεισε τὴν πόλιν μὴ βοηθεῖν φωκεῦσιν, εἰπὼν σωθήσεσθαι φωκέας παρὰ φιλίππου. δεύτερον, ὅτι ἔπεισε περὶ θηβαίων, ὡς ἀπολοῦνται θηβαῖοι. τρίτον, ἔπεισεν, ἡνίκα ἐποιεῖτο τὴν εἰρήνην, φωκέας μὲν ἐξαλεῖψαι τοῦ ψηφίσματος, πιστεῦσαι δὲ ἐπαγγελλομένῳ αὐτῷ πείσειν τὸν φίλιππον. οὐκοῦν πρὸς τοῦτό ἐστιν ἡ παροῦσα ἀντίθεσις. πῶς ἔπεισας τὴν πόλιν ἄνευ φωκέων τὴν εἰρήνην ποιήσασθαι. ὃ δὲ βούλεται εἰπεῖν, τοιοῦτόν ἐστι, κινούμενοι μὲν ὑπὸ τοῦ ῥήτορος διὰ τὸ χρήσιμον, δακνόμενοι δέ, διὰ τῆς ἐργασίας. εἰ μὴ τὴν εἰρήνην ἐποιησάμεθα, ὥσπερ ἤξιου φίλιππος, ἄνευ φωκέων, οὐδὲν ἂν ἐκώλυσεν ἐπὶ θρᾴκης ὄντα λαβεῖν τὴν χερρόνησον. καὶ διὰ τοῦτο ἀνάγκη γέγονεν οὕτω ποιήσασθαι τὴν εἰρήνην, ὡς ἐβούλετο φίλιππος, διότι ἐδεδοίκειμεν ὑπὲρ χερρονήσου. ἐπειδὴ δὲ ἡ ἀντίθεσις μία ἐστὶν ἐπὶ τῶν ἀντιθετικῶν ἀντιστατικὴ γάρ ἐστι· ζητοῦμεν

διὰ τὴν ἀρετὴν αὐτῶν ποτε ἐσώσατε, οὐδὲ τοὺς 133
καταράτους εὐβοέας τουτουσί, οὐδ' ἄλλους πολλούς·
ἀλλ' ὅτι συμφέρον ἦν, σῶς εἶναι τῇ πόλει, ὥσπερ Φω-
κέας νυνί. καὶ τί τῶν Φωκέων, ἢ τῶν λακεδαιμονίων, ἢ
ὑμῶν, ἢ ἄλλου τινὸς ἀνθρώπου, μετὰ τοὺς παρὰ τούτου
λόγους ἐξαμαρτόντος, οὐκ ἀπέβη τὰ πρὸς ὑμᾶς ὑ- 134
πὸ τούτου τότε ῥηθέντα, τοῦτ' ἐρωτᾶτε· οὐ γὰρ ἕξει
δεῖξαι· πέντε γὰρ γεγόνασιν ἡμέραι μόναι, ἐν αἷς οὗτος
ἀπήγγελλε τὰ ψευδῆ· ὑμεῖς ἐπιστεύσατε· οἱ Φωκεῖς
ἐπύθοντο· ἐνέδωκαν ἑαυτούς· ἀπώλοντο. ὅθεν οἶμαι, καὶ
δῆλόν ἐστι σαφῶς, ὅτι πᾶσα ἀπάτη καὶ τέχνη συνε- 135
σκευάσθη τοῦ περὶ τοὺς Φωκέας ὀλέθρου· ἐν μὲν γὰρ
* μετ'. β. α. χρόνον οὐχ οἷός τ' ἦν ἐλθεῖν ὁ Φίλιππος * διὰ τὴν
εἰρήνην, ἀλλ' ἦν ἐν παρασκευῇ· τοὺς λακεδαιμο-
νίους μετεπέμπετο, πάντα τὰ πράγματα ὑπισχνού-
* ἡμῶν. α. μενος πράξειν ἐκείνοις, ἵνα μὴ δι' * ὑμῶν αὐτοὺς οἱ Φω- 136
* ἀπο. α. α. κεῖς * ὑποποιήσωνται. ἐπεὶ δὲ ἧκεν εἰς πύλας, οἱ λα-
κεδαιμόνιοι δ' αἰσθόμενοι τὴν ἐνέδραν, ὑπεχώρη-
σαν, τοῦτον αὖ προὐκαθῆκεν ἐξαπατᾶν ὑμᾶς, ἵνα
μὴ πάλιν ὑμῶν αἰσθομένων, ὅτι θηβαίοις τὰ πρά-
* πράττειν. ζ. γματα * πράττει, εἰς χρόνους καὶ πόλεμον καὶ * τρι- 137
* διατριβὴν. βὴν, * ἐμπέσῃ, τῶν μὲν Φωκέων ἀμυνομένων, ὑμῶν
* ποιήσῃ. ε. δὲ βοηθούντων· ἀλλ' ἀκονιτὶ πάνθ' ὑφ' ἑαυτῷ ποιή-
σηται. ὅπερ καὶ γέγονε. μὴ οὖν ὅτι καὶ λακεδαιμο-
νίους καὶ Φωκέας ἐξηπάτησε Φίλιππος, διὰ ταῦ-
* ἡμᾶς. τα ὧν * ὑμᾶς οὗτος ἐξηπάτησε, μὴ δότω δίκην· οὐ γὰρ 138
δίκαιον. ἂν τοίνυν ἀντὶ Φωκέων, καὶ πυλῶν, καὶ τῶν
ἄλλων τῶν ἀπολωλότων, χερρόνησος ὡς περίεστι τῇ
πόλει λέγῃ, πρὸς Διὸς καὶ θεῶν, μὴ ἀποδέξησθε, ὦ
ἄνδρες δικασταί, μηδ' ὑπομείνητε, πρὸς οἷς ἐκ τῆς

πόθεν πέπτωκεν. οὐκοῦν τὸ μὲν ἔγκλημά ἐστιν ὅτι προδέδωκας τοὺς φωκέας. αἱ δὲ ἀποδείξεις τούτου ποικίλαι, καὶ πολλὰ τεκμήρια. ἓν τοίνυν ἐστὶ τῶν τεκμηρίων τῆς προδοσίας, ὅτι βουλευομένης τῆς πόλεως πῶς χρὴ ποιήσασθαι τὴν εἰρήνην, παρελθὼν αἰσχίνης ἀνέπεισεν ἄνευ φωκέων ποιήσασθαι· ἐμὲν οὖν δημοσθένης τοῦτο προτίθεται, ὡς τεκμήριον. ὁ δὲ αἰσχίνης ἐπὶ τὴν χρείαν μεθιστάς, τῷ συμφέροντι κέχρηται· ἐρεῖ γάρ, οὐκ ἐνῆν ἄλλως πεῖσαι φίλιππον δέξασθαι τοὺς παρὰ τῆς πόλεως ὅρκους, μὴ τῶν φωκέων ἐξῃρημένων. εἰ μὴ ἐβουλεύμεθα ἐξελεῖν τοὺς φωκέας, πολεμῶν ἂν ὁ φίλιππος τῇ πόλει, τὴν χερρόνησον ἔλαβε. κηδόμενος ταύτην τῇ πόλει σώζεσθαι, παρῄνεσα τῷ δήμῳ πλὴν φωκέων ποιήσασθαι τὴν εἰρήνην. ἐπεὶ τοίνυν τεκμήριον ἦν τῆς προδοσίας τὸ πεῖσαι τὴν πόλιν ἐξελεῖν τῶν ὅρκων φωκέας, ἀναγκαίως ἀπαιτῶν πρὸς τοῦτο αἰσχίνης, τὴν αἰτίαν λέγει, δι' ἣν κατηναγκάσθη τοῦτο ποιῆσαι. ἔστιν οὖν ἡ αἰτία ἀντιστατική. ἦν μὲν οὖν δυσχερὴς ἡ λύσις τῷ ῥήτορι τῆς ἀντιθέσεως· δοκεῖ γὰρ ὡς ἀληθῶς ἔχεσθαι τῆς ἀληθείας, ὅτι δεδοικότες περὶ τῆς χερρονήσου τότε, τὴν εἰρήνην ἐδέξαντο. ἵνα τοίνυν μὴ συνδραμὼν ταῖς ἀληθείαις ὁ δικαστὴς ἀποδέξηται τοὺς αἰσχίνου λόγους, προλαβὼν ὁ δημοσθένης συγχεῖ καὶ ταράττει τὸν λόγον, ἀσάφειαν ἐνστήσας ταῖς ἀπολογίαις κατασκευάζων· λέγει γὰρ συγκρουστικῶς, ὡς αὖ αἰσχίνου λέγοντος, πανούργως τὴν πόλιν ταῖς

141 συνθήκας πεποιῆσθαι, ὠνουμένῳ τὴν σωτηρίαν τῆς Χερρονήσου, τῇ τῶν Φωκέων ἀπωλείᾳ, ἵνα τοῦ Αἰσχίνου τὸ ἰσχυρὸν ἐκλύσῃ. Καὶ ἐκ τῆς ἀπολογίας ὄνειδος) Πολέμιος τοίνυν Αἰσχίνης καὶ πρεσβεύων ἐστὶ καὶ " φθεγγόμενος. *φθέγγοι.

139 Εἶτα καὶ νῦν ἐν μείζονι) Τοῦτο εἶπε διὰ τὴν ἀντίθεσιν τὴν λέγουσαν, ὅτι ἔχετε τὴν Χερρόνησον ἀντὶ Φωκέων. καὶ πρῶτον μὲν ἔλυσε λέγων, ὅτι ἀντὶ Φωκέων ἔχομεν Χερρόνησον· εἴχομεν γὰρ αὐτὴν καὶ ἤδη σωζομένων. εἶτα καὶ ὅτι νῦν οὐδὲ τὴν Χερρόνησον ἔχομεν ἀσφαλῶς. κινδυνεύσει γὰρ καὶ αὐτὴ ἀπολέσθαι, ἀπολουμένων Φωκέων. Ἢ τότε) Ὅτε φησὶν ἐσώζοντο οἱ Φωκεῖς. Εἰς αὐτὴν) Τὴν
141 Χερρόνησον. Πρὶν τούτων τι τῆς πόλεως. Καὶ μάλιστα μὲν καὶ σωζομένων Φωκέων εἴχομεν ἀσφαλῶς τὴν Χερρόνησον. εἶτα οὐδὲ ἔχειν αὐτὴν νῦν ἀπολουμένων Φωκέων ῥᾳδίως δυνήσεσθε. Τούτων) Τῶν Φωκικῶν πόλεων. Τίς οὖν ἡ ταύτης περιουσία) Τί οὖν χρησιμεύει ἡμῖν τὸ σώζεσθαι τὴν Χερρόνησον, ὁπότε ἀφῃρέθησαν οἱ φόβοι ἐξ αὐτῆς τοῦ Φιλίππου τῶν βουλομένων αὐτὴν ἀδικῆσαι. Ἔτι τοίνυν καὶ τοιοῦτόν τι) Ἀντίθεσις μεταληπτικὴ ἀπὸ προσώπου. διαφέρει δὲ παραγραφῆς, ἐν τῷ δοκεῖν ἑκατέρας ἐκβάλλειν τὰς κρίσεις, καθὸ ἡ μὲν γραφὴ παντελῶς ἐκβάλλει τὴν κρίσιν, ὅτι οὐ δεῖ περὶ τῶν αὐτῶν ἀγωνίζεσθαι· ἡ δὲ μεταληπτικὴ οὐ πάντως ἐκβάλλει τὴν κρίσιν, ἀλλὰ μεταλαμβάνει, ὅτι ἄλλως ἔδει αὐτὴν γενέσθαι. ὥσπερ καὶ ἐνταῦθα, ἐκ προσώπου " Δημοσθένης μεταλαμβάνει τὴν κρίσιν, καὶ λέγει ὅτι, οὐ σύ μου ὀφείλεις κατηγορεῖν, ἀλλ᾽ οἱ Φωκεῖς οἱ πεπονθότες. *γρ. αἰσχίνης. Ἄλλως. Ἄλλη μεταληπτικὴ ἀντίθεσις, τὸ πρόσωπον λαμβάνουσα κατὰ παραγραφήν· οὐ γὰρ εἶπε πρεσβευτὴς εἶ σύ. τί σύ μου κατηγορεῖς, ἀλλὰ καὶ μὴ Φωκεῖς· χρήσιμος καὶ διὰ πολλὰς αἰτίας, ταύτῃ τῇ ἀντιθέσει κέχρηται. πρῶτον μέν, ἵνα τοὺς Αἰσχίνου μάρτυρας διαβάλλῃ. ἔπειτα, ἵνα τοῖς λόγοις Αἰσχίνου βεβαιωθῇ τὸ ἔγκλημα· ἰδὼν γὰρ οὐ μικρὰν ῥοπὴν γεγενημένην τῷ ἀντιδίκῳ ἐκ τοῦ παρέχεσθαι μάρτυρας Φωκεῖς ἀρνουμένους διὰ τὸν Αἰσχίνην ἀπολωλέναι, ἠναγκάσθη ὥσπερ ἐκ διορθώσεως ταύτῃ χρήσασθαι τῇ ἀντιθέσει πρὸς ἀναίρεσιν τῶν ἰσχυρῶν ἐκείνου. ἔστι δὲ μεταληπτική. μεμεθόδευται δὲ οὐχ ὡς παραγραφομένου Αἰσχίνου, ἀλλ᾽ ὡς μετὰ τοῦ Δημοσθένους ἀπαιτοῦντος καὶ τοὺς Φωκέας, ἵνα καὶ αὐτὸς τῇ οἰκείᾳ φωνῇ κατήγορον φαίνηται παραδεχόμενος τὸν ῥήτορα. κατὰ δὲ τὴν λύσιν, ἄξιον θαυμάσαι τὸν ῥήτορα τῆς μεθόδου, ὅπως μὴ δοκῶν πρὸς τοὺς Αἰσχίνου μάρτυρας διαλέγεσθαι, λεληθότως ἐκβάλλῃ τοὺς μάρτυρας, οὓς Αἰσχίνης παρέχεται· ἐπειδὴ γὰρ Αἰσχίνης παρέχετο μάρτυρας Φωκεῖς, οἵ φασι μηδενὸς τῶν κακῶν αἴτιον γεγενῆσθαι αὐτοῖς τὸν Αἰσχίνην, ἀναγκαίως ὁ Δημοσθένης τὸ μεταληπτικὸν πρὸς τὴν οἰκείαν χρείαν ἐξεῦρεν, ἵνα τοὺς ἐκείνου
143 μάρτυρας ἐκβάλλειν δοκῇ, καί, εἰ κινοῖτο λόγος παρ᾽ Αἰσχίνου, μεταληπτικῶς φαίνοιτο καὶ τοῦτο λύων. Οὐ γὰρ ἂν ἔγωγ᾽ ἂν ἔδωκα) Ἀντιπίπτοντος λύσις· διὰ τί σὺ μὴ δέδωκας. ἤρκει μοι καὶ μόνα βοῶντα τὰ πράγματα. καὶ ἄλλην δὲ ἀδοξίαν διωθεῖται· τοῦ γὰρ Αἰσχίνου λέγοντος, ἐμισθώσαντό τινας τῶν Ὀλυνθίων, ὥστε μου καταμαρτυρεῖν ἀπὸ τῶν Φωκέων
144 ἐκβάλλει τὴν ἀπόνοιαν. Ταῖς Ἀθήνησιν εὐθύναις) Ὥστε μὴ εἶναι ἕκαστον τῶν λόγων, εἴ τις Ἀθήνησιν εὐθύνας δίδωσιν. οἱ δὲ, ἀπήλλαξαν ὡς ἐν σχήματι τὰς πτώσεις, γενικὴν ἀντὶ αἰτιατικῆς εἰληφότες, καὶ εὐθυνῶν εἰπόντες. τὸ δὲ παρῃρημένοι,

ἀντί τοῦ

---

139 καὶ ἐκ τῆς ἀπολογίας ὄνειδος᾽ προσκατασκευασθῆ- " παρασκευασθῆναι. ε.
ναι τῇ πόλει, ὡς ἄρα ὑμεῖς τῶν ἰδίων τι κτημάτων γρ. προσκατασκευασθῆναι
ὑπεξαιρούμενοι, τὴν τῶν συμμάχων σωτηρίαν " προή- " προείδοτε. ζ
κασθε· οὐ γὰρ ἐποιήσατε τοῦτο. ἀλλ᾽ ἤδη τῆς εἰρήνης
γεγονυίας, καὶ τῆς Χερρονήσου σώας οὔσης, τέτταρας
140 μῆνας ὅλους ἐσώζοντο οἱ Φωκεῖς τοὺς ὕστερον. ἡ δὲ τούτου
ψευδολογία, μετὰ ταῦθ᾽ ὕστερον αὐτοὺς ἀπώλεσεν, ἐξα-
πατήσασα ὑμᾶς. εἶτα καὶ νῦν ἐν μείζονι κινδύνῳ τὴν
Χερρόνησον οὖσαν εὑρήσετε, ἢ τότε. πότερον γὰρ εὐπο-
ρώτερον ἂν δίκην ἔδωκε Φίλιππος ἐξαμαρτὼν εἰς
141 αὐτήν, πρὶν τούτων τι τῆς πόλεως " προλαβεῖν, ἢ νυνί. " πρός. α.
ἐγὼ μὲν οἶμαι, τότε πολλῷ. τίς οὖν ἡ ταύτης περιου-
σία. τῶν φόβων ἀφῃρημένων, καὶ τῶν κινδύνων τῶν τοῦ
βουληθέντος αὐτὴν ἀδικῆσαι. Ἔτι τοίνυν, καὶ τοιοῦ-
τόν τι μέλλειν αὐτὸν ἀκούω λέγειν, ὅτι θαυμάζει, τί δή-
142 ποτε Δημοσθένης μὲν αὐτοῦ κατηγορεῖ, Φωκέων δὲ οὐ-
δείς. ὡς δὴ τοῦτ᾽ ἔχει, βέλτιον προακοῦσαι παρ᾽ ἐμοῦ.
Φωκέων τῶν ἐκπεπτωκότων οἱ μέν, οἶμαι, βέλτιστοι καὶ
μετριώτατοι, φυγάδες γεγενημένοι, καὶ τοιαῦτα πε-
πονθότες, ἡσυχίαν ἄγουσι. καὶ οὐδεὶς ἂν αὐτῶν ἐθελή-
143 σειεν ὑπὲρ τῶν κοινῶν συμφορῶν ἰδίαν ἔχθραν ἀνε-
λέσθαι. οἱ δὲ μηδοτιοῦν ἂν ἀργυρίου ποιήσοντες,
τὸν δώσοντα οὐκ ἔχουσιν " ἑαυτοῖς. οὐ γὰρ ἔγωγ᾽ ἂν ἔ- " αὐ. α. λ.
δωκα οὐδενὶ οὐδέν, ὥστε μοι παραστάντας " ἐνταυθοῖ. " ἐνταῦθα. α
βοᾶν οἷα πεπόνθασιν. ἡ γὰρ ἀλήθεια, καὶ τὰ πεπραγ-
144 μένα " αὐτὰ βοᾷ. ἀλλὰ μήν, ὅ, τε δῆμος ὁ τῶν Φω- " αὐτά. ε
κέων, οὕτω κακῶς καὶ ἐλεεινῶς διάκειται, ὥστε μὴ περὶ
τοῦ κατηγορεῖν ἑκάστῳ * ταῖς Ἀθήνησιν εὐθύναις εἶναι τὸν * περὶ. α. λ.
λόγον· ἀλλ᾽ οὐ δουλεύειν, καὶ τεθνάναι τῷ φόβῳ καὶ τοὺς Θη- λ.
βαίους, καὶ τοὺς Φιλίππου ξένους, οὓς ἀναγκάζονται τρέ-
145 φειν, διῳκισμένοι κατὰ κώμας, καὶ παρῃρημένοι τὰ ὅπλα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μὴ δὴ ταῦτα λέγειν αὐτὸν ἐᾶτε· ἀλλ' ὡς οὐκ ἀπο-
λώλασι Φωκεῖς δεικνύναι. ἢ ὡς οὐχ ὑπέσχετο σώσειν
χρ. ὁσι. αὐτοὺς Φίλιππος. τοῦτο γάρ εἰσι πρεσβείας εὐθῦναι. τί
πέπρακται; τί ἀπήγγελκας; εἰ μὲν ἀληθῆ, σώζου. εἰ δὲ
ψευδῆ, δίκην δός. εἰ δὲ μὴ πάρεισι Φωκεῖς, τί τοῦτο; οὕτω 146
σύν. α. γὰρ διέθηκας αὐτούς, οἶμαι, τὸ μέρος σύ, ὥστε μήτε τοῖς
ἀμύνασθαι. φίλοις βοηθεῖν, μήτε τοὺς ἐχθροὺς ἀμύνεσθαι δύνα-
ε. δ. σθαι. καὶ μήν, ὅτι χωρὶς τῆς ἄλλης αἰσχύνης καὶ ἀδο-
ξίας, ἣν τὰ πεπραγμένα ἔχει, καὶ μεγάλοι κίνδυνοι
τούτου. περιεστᾶσιν ἐκ τούτων τὴν πόλιν, ῥᾴδιον δεῖξαι. τίς 147
γὰρ οὐκ οἶδεν ὑμῶν, ὅτι τῷ Φωκέων πολέμῳ, καὶ τῷ κυ-
ρίους εἶναι πυλῶν Φωκέας, ἥ τε ἀπὸ Θηβαίων ἄδεια
ἡμῖν. α. δ. ὑπῆρχεν ὑμῖν, καὶ τὸ μηδέποτε ἂν ἐλθεῖν εἰς Πελοπόν-
νησον, μηδ' εἰς Εὔβοιαν, μηδ' εἰς τὴν Ἀττικὴν μηδὲ
Φίλιππον, μηδὲ Θηβαίους; ταύτην μέντοι τὴν ἀπὸ τοῦ 148
τόπου καὶ τῶν πραγμάτων αὐτῶν ἀσφάλειαν ὑπάρ-
χουσαν τῇ πόλει, ταῖς τούτων ἀπάταις καὶ ψευδολο-
προήκασθ'. γίαις πεισθέντες, προήκαθ' ὑμεῖς· καὶ τετειχισμέ-
ι. δ. νην ὅπλοις, καὶ πολέμῳ συνεχεῖ, καὶ πόλεσι με-
γάλαις συμμάχων ἀνδρῶν, καὶ χώρᾳ πολλῇ, πε- 149
ριείδετε ἀνασταθεῖσαν. καὶ ματαία μὲν ἡ προ-
τέρα βοήθεια ἡ εἰς Πύλας ὑμῖν γέγονεν, ἣν μετὰ πλειό-
νων ἢ διακοσίων ταλάντων ἐποιήσασθε, ἐὰν λογίση-
χρ. σθε τὰς ἰδίας δαπάνας τῶν στρατευσαμένων· μά-
ταιαι δὲ καὶ αἱ κατὰ Θηβαίων ἐλπίδες. ὃ δὲ πολλῶν ὄντων 150
καὶ δεινῶν, ὧν οὗτος ὑπηρέτηκε Φιλίππῳ, πλείστην ὕ-
δ. ε. βριν ὡς ἀληθῶς ἔχει κατὰ τῆς πόλεως, καὶ κατὰ πάντων
ὑμῶν, τοῦτ' ἀκούσατέ μου, ὅτι τοῖς Θηβαίοις ἐγνωκό-
τος ἐξ ἀρχῆς τοῦ Φιλίππου πάνθ' ὑπὲρ προῄρητο
ποιεῖν, οὗτος ἀπαγγείλας τἀναντία, καὶ φανεροὺς ἐπι- 151
δείξας ὑμᾶς οὐχὶ βουλομένους, ὑμῖν μὲν τὴν ἔ-
χθραν, τὴν πρὸς Θηβαίους μείζω, Φιλίππῳ δὲ τὴν
χάριν πεποίηκε. πῶς ἂν οὖν ὑβριστικώτερον ἄνθρω-
πος ὑμῖν ἐχρήσατο; λέγε δὴ τὸ ψήφισμα λαβὼν τὸ
δ. ε. τοῦ Διοφάντου, καὶ τὸ τοῦ Καλλισθένους, ἵν' εἰδῆτε, ὅτι, 152
ὅτε μὲν τὰ δέοντα ἐποιεῖτε, θυσιῶν καὶ ἐπαίνων ἠ-
ὑμῖν. ξιοῦσθε παρ' ἡμῖν αὐτοῖς, καὶ παρὰ τοῖς ἄλλοις Ἕλλη-
παρηκτ. ζ. σιν. ἐπειδὴ δὲ ὑπὸ τούτων παρεκρούσθητε, παι-

αὐτὴν τῶν ἀφῃρημένοι. Μὴ δὴ ταῦτα 145
λέγειν) Ἡ σύνταξις πρὸς τὸ αὐτῷ,
ὅτι διά με Δημοσθένης μου κατηγο-
ρεῖ, Φωκέων δὲ οὐδεὶς, ἐν τοῖς αὐτῷ
ἔλεγεν. Εἰ δὲ μὴ πάρεισι Φω-
κεῖς) Εἰ δὲ Φωκεῖς μὴ πάρεισιν ἐν
ταῖς Ἀθήναις, ἐπὶ τῷ συνηγορῆσαι
μὲν τῷ Δημοσθένει, καὶ καταμαρτυ-
ρῆσαι τοῦ Αἰσχίνου. Καὶ μήν, ὅτι 146
χωρὶς) Ἐνταῦθα ἀκολουθία σώζε-
ται πρὸς τὴν λύσιν τῆς αἰτιατικῆς
ἀντιθέσεως· τῆς γὰρ λύσεως λεγού-
σης, μετὰ τὴν εἰρήνην γεγενῆσθαι
τὴν ἅλωσιν, ἀκολούθως ἐζήτησεν ὁ
Αἰσχίνης. εἰ τίνων ἔγωγε τοὺς Φωκέ-
ας προδέδωκα; ὡς σὺ φῂς, τίνος
ἕνεκεν οὐκ ἐλθόντες [illegible]τοὶ κατη-
γοροῦσι; ἡ μέντοι ἀντίθεσις Αἰσχίνου
τοῦτο ἐβούλετο λέγειν, ὅτι χρησιμώτε-
ρον ἡ Χερρόνησος Φωκέων τῇ πόλει.
οὐκοῦν πρὸς τοῦτο ἀπαντῶν ὁ Δημο-
σθένης, δείκνυσι τοὐναντίον, ὅτι χρη-
σιμώτεροι Φωκεῖς ἦσαν μᾶλλον τῇ
πόλει. εἶτα ἐπιδὴ περ ἀντέπιπτεν ὅτι
ἀσθενεῖς ἦσαν Φωκεῖς, ἐκ τῆς θέσεως,
καὶ τοῦ τόπου, καὶ τῶν τότε συμβεβη-
κότων πολέμων αὔξει τὴν δύναμιν.
λέγει δὲ αὖ πικρῶς. τίς γὰρ οὐκ οἶδεν ὑ-
μῶν, ὅτι τῷ Φωκέων πολέμῳ, καὶ τῷ
κυρίους εἶναι πυλῶν Φωκέας, ἥ τε ἀπὸ
Θηβαίων ἄδεια ὑπῆρχεν ὑμῖν, καὶ τὸ
μηδέποτε ἐλθεῖν ἂν εἰς Πελοπόννησον,
μηδ' εἰς τὴν Ἀττικὴν Φίλιππον; οὕτω
χρησιμώτεροι Φωκεῖς ἦσαν σωζόμενοι
Χερρονήσου τῇ πόλει· μὴ γὰρ ἔχειν ἐκ
τῆς δυνάμεως τῶν Φωκέων συστῆσαι
τὴν ὠφέλειαν, μηδὲ μὴν ἐκ τῆς
προαιρέσεως, ἐκ τῆς φύσεως τῶν
τόπων καὶ τῶν συμβεβηκότων τὴν ὠ-
φέλειαν ηὔξησε. καὶ πρὸς σύστασιν
τούτου τοῦ μέρους, ὅτι μεγάλα ὠφέ-
λουν τὴν πόλιν σωζόμενοι, παρέχεται
δύο ψηφίσματα, τό, τε Διοφάντου,
καθ' ὃ ἔδοξεν αὐτοῖς θύειν τοῖς θε-
οῖς, εἴρξασι Φιλίππου τὴν ἐπὶ τὰς
πύλας ὁδὸν τὸ πρότερον, καὶ τὸ Καλ-
λισθένους, καθ' ὃ μετὰ τὴν ἅλωσιν ἐ-
σκευαγώγουν ἐκ τῆς χώρας. Καὶ
μεγάλοι κίνδυνοι περιεστᾶσιν) Λογι-
σμῷ λοιπὸν τοῦ συμφέροντος, φοβεῖ
τοὺς Ἀθηναίους, αὔξων τὰ Φωκέων,
καὶ δεικνὺς τὴν ἀπὸ τῆς ἐκείνων σω-
τηρίας ἀσφάλειαν. ἧς ἀπολομένης,
συναπολεῖται καὶ τὰ φρουρούμενα·
ὅρα γὰρ ὅτι καὶ ἀπὸ γῆς καὶ ἀπὸ θα-
λάττης μαρτυρεῖ τὴν Ἀττικὴν ὑπ' ἐ-
κείνων τε φρουρεῖσθαι τῇ θέσει. Ὅτι τῷ Φωκέων πολέμῳ) Ἵνα σημαίνῃ τὸν κατὰ γῆν καὶ κατὰ θάλατταν πόλεμον. 147
Καὶ ματαία μὲν ἡ προτέρα βοήθεια) Ἧς μέμνηται ἐν τοῖς Φιλιππικοῖς· καὶ τὰ πλεῦστα περὶ τὴν εἰς Πύλας. 149
Μάταιαι δέ) Ὅτι οὐ μόνον δημόσια χρήματα ἀνάλωσαν τότε, ἀλλὰ καὶ εἰσφορὰς ἐποιήσαντο ἐκ τῶν ἰδίων οὐσιῶν. 150
Τὸ τοῦ Διοφάντου καὶ τὸ τοῦ Καλλισθένους) Οὗτος ὁ Διόφαντος τῶν συμμάχων προσωθέντων, καὶ ἀπελαθέντες ἐκ 152



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δας καὶ γυναῖκας ἐκ τῶν ἀγρῶν μετεκομίζετε, καὶ τὰ
164 ἡράκλεια ἐν τῷ τείχει θύειν ἐψηφίζεσθε, εἰρήνης οὔσης. ὃ καὶ θαυμάζω, εἰ τὸν μηδὲ τοὺς θεούς, καθ᾽ ὃ πάτριον ἦν, τιμᾶσθαι ποιήσαντα, τοῦτον ἀτιμώρητον ἀφήσετε. λέγε δὲ τὸ ψήφισμα. Ψήφισμα. Ταῦτα μὲν τότε ἄξια, ὦ ἄνδρες ἀθηναῖοι, τῶν πεπραγμένων ἐψη-
165 φίσασθε. λέγε δὴ τὰ μετὰ ταῦτα.

Ψήφισμα.

Ταῦτα τότε ἐψηφίζεσθ᾽ ὑμεῖς διὰ τούτους, οὐκ ἐπὶ ταύταις ταῖς ἐλπίσιν οὔτε κατ᾽ ἀρχὰς ποιησάμενοι τὴν εἰρήνην καὶ τὴν συμμαχίαν, οὔθ᾽ ὕστερον ἐγγρά-
166 ψαι πεισθέντες αὐτὴν καὶ τοῖς ἐκγόνοις· ἀλλ᾽ ὡς θαυμάσια ἡλίκα πεισόμενοι διὰ τούτους ἀγαθά. καὶ μήν, καὶ μετὰ ταῦτα ὁσάκις πρὸς πορθμῷ, ἢ πρὸς μεγάροις ἀκούοντες δύναμιν φιλίππου καὶ ξένους, ἐθορυβεῖσθε, πάντες ἐπίστασθε. οὐ τοίνυν εἰ μήπω τῆς
167 ἀττικῆς ἐπιβαίνει, δεῖ σκοπεῖν οὐδὲ ῥᾳθυμεῖν, ἀλλ᾽ εἰ διὰ τούτους ἐξουσία γέγονεν αὐτῷ, τοῦθ᾽ ὅταν βούληται ποιῆσαι, τοῦθ᾽ ὁρᾶν. καὶ πρὸς ἐκεῖνο τὸ δεινὸν βλέπειν, καὶ τὸν αἴτιον, καὶ τὸν παρασκευάσαντα ταύτην τὴν ἐξουσίαν ἐκείνῳ, μισεῖν καὶ τιμωρεῖσθαι. οἶδα
168 τοίνυν ὅτι τοὺς μὲν ὑπὲρ τῶν κατηγορημένων αὐτοῦ λόγους, αἰσχίνης φεύξεται. βουλόμενος δ᾽ ὑμᾶς ὡς πορρωτάτω τῶν πραγμάτων ἀπάγειν, διέξεισιν ἡλίκα πᾶσιν ἀνθρώποις ἀγαθὰ ἐκ τῆς εἰρήνης γίγνεται, καὶ τοὐναντίον ἐκ τοῦ πολέμου κακά. καὶ ὅλως
169 ἐγκώμια εἰρήνης ἐρεῖ, καὶ τοιαῦτα ἀπολογήσεται. ἔστι δὲ καὶ ταῦτα πάντα κατηγορήματα τούτου. εἰ γὰρ ἡ τοῖς ἄλλοις ἀγαθῶν αἰτία, τοσούτων πραγμάτων, καὶ τηλικαύτης ταραχῆς ἡμῖν αἰτία γέγονε, τί τις εἶναι τοῦτο φαίη, πλὴν ὅτι δῶρα λαβόντες
170 οὗτοι, καλὸν πρᾶγμα φύσει, κακῶς διέθηκαν. τί δέ. οὐ τριήρεις τριακόσιαι, καὶ σκεύη ταύταις, καὶ κλήματα ὑμῖν περίεσι, καὶ περιέσται διὰ τὴν εἰρήνην; ἴσως ἂν εἴποι. πρὸς δὴ ταῦτα, ἐκεῖνο ὑμᾶς ὑπολαμβάνειν δεῖ, ὅτι καὶ τὰ φιλίππου πρά-
171 γματα ἐκ τῆς εἰρήνης γέγονεν εὐπορώτερα πολλῷ καὶ κατασκευαῖς ὅπλων, καὶ χώραις, καὶ προσόδοις, αἳ γεγόνασιν ἐκείνῳ μεγάλαι. γεγόνασι δὲ καὶ ἡμῖν τινές.

τῆς φωκίδος φιλίππου ἔγραψε χαριστηρίους θυσίας θύειν τοῖς θεοῖς. τὸ δὲ τοῦ καλλισθένους, ἐκ τοῦ ἐναντίου. ἑαλωκότων φωκέων, καὶ φόβου καταχόντος πολλοῦ, κελεύει σκευαγωγεῖν ἐκ τῶν ἀγρῶν, καὶ μηδένα ἔξω μένειν, ὡς τῶν πολεμίων ἐπιόντων, διὰ τὸ τὰ ἡράκλεια εἴσω τῆς πόλεως τελεῖν. ἃ δέον ἦν ἔξω τείχους
166 ἄγειν. Θαυμάσια) Ἐπὶ καλοῦ τέθηκε τὴν λέξιν. Πρὸς πορθμῷ) Πάλιν ἀπὸ θαλάττης καὶ ἀπὸ γῆς ὁ φόβος. πορθμὸς μὲν γὰρ τῆς εὐβοίας. αὕτη δὲ νῆσος. τὰ δὲ μέγαρα, ἐν ἠ-
167 πείρῳ. Οἶδα τοίνυν ὅτι) Ἔστι μὲν καὶ αὕτη ἡ ἀντίθεσις πρὸς τὶ τῶν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους. ἔχεται δὲ τῆς προτέρας ἔτι· σχεδὸν γὰρ καὶ αὕτη τοῦ αὐτοῦ γένους ἐστὶν ἀντιστατική. οὐκοῦν ἔχει διαφορὰν τὴν πρὸς ἐκεῖνο τὸ ἀπ᾽ ἀρχῆς, ὅτι αὐτὸς ἔπεισας τὴν εἰρήνην ποιήσασθαι. ἵνα φαίνηται ἀποκρινόμενος αἰσχίνης, ὅτι ἔπεισα, βέλτιον τῶν πολέμων τὴν εἰρήνην ἡγούμενος. αὔξει δὲ κατὰ ταύτην τὴν ἀντίθεσιν πολλὰ καὶ οὐ μικρά. πρότερον μέν, ὅτι τῷ ἑαυτοῦ πεπραγμένον, μετατίθησιν ἐπὶ τὸν ἀντίδικον. δοκεῖ γὰρ συμβεβουλευκέναι καὶ αὐτὸς περὶ τοῦ δεῖν γενέσθαι τὴν εἰρήνην. οὐκοῦν ἵνα φαίνηται αὐτὸς αἰσχίνης ἀναδεχόμενος τὸ κατὰ τὴν εἰρήνην, οὕτως εἰσῆξε τῇ ἀντιθέσει χρώμενος. διόπερ ἄξιον ἀγασθῆναι τῆς δεινότητος, ὅτι ὑπὲρ ὧν αὐτὸς ἔμελλεν ἐγκλημάτων ἀπολογεῖσθαι, ταῦτα ἤδη πεποίηκεν ἐγκώμια τῆς ἀπολογίας αἰσχίνου. εἰ γὰρ ὁ ἀντίδικος ἐγκώμια τῆς εἰρήνης ἐρεῖ, πῶς ἂν ἔτι τοῦ τὴν εἰρήνην πείσαντος γενέσθαι κατηγορήσειε. καὶ ἡ ἀπόκρισις δέ, ἀκόλουθος τοῖς ἀπ᾽ ἀρχῆς ἄχρι τέλους. ναί φησιν. οὐδὲν γὰρ ἄτοπον συμβουλεύειν εἰρήνην ἄγειν, ἐπειδὴ πολλῶν ἀγαθῶν τοῖς ἀνθρώποις ἡ εἰρήνη αἰτία καθίσταται. οὐκ ἀνατρέπει δὲ τὴν ἀντίθεσιν, ὅπερ οἰκεῖον τοῦ λέγοντος, ἀλλὰ καὶ καταδέχεται. τί γάρ φησιν ὅτι δῶρα λαμβάνοντες οὗτοι, τὸ καλὸν πρᾶγμα φύσει, κακῶς διέθηκαν, ἵνα ἡ μὲν εἰρήνη μὴ κατηγορῆται, τὰ δὲ ἐν τῇ εἰρήνῃ πραχθέντα ποιῆται ἐγκλήματα. καὶ πόθεν δῆλον ὅτι τὸ ἔγκλημα τὸ περὶ τῆς εἰρήνης δημοσθένης δέδωκεν, ἐν τῷ περὶ στεφάνου δεδήλωκε λόγῳ· τὴν γὰρ προτέραν ἀντίθεσιν καὶ τὸ πρότερον ἔγκλημα, τὸ τὴν εἰρήνην γενέσθαι, ἔθηκεν, ἀρνούμενος αὐτὸς μὴ πεποιηκέναι. οὐκοῦν οὐδὲ τῆς ἐξ ἀρχῆς εἰρήνης ἡγεμών, οὐδ᾽ αἴτιος ἐγὼ φαίνομαι, καλῶς προσθεὶς τὸ ἐξ ἀρχῆς· ἐπειδὴ γὰρ ψήφισμα παρέχετο δημοσθένους αἰσχίνης, διαρρήδην περὶ τῆς εἰρήνης λέγοντος, διὰ τοῦτο τὰ δεύτερα σιωπήσας, ἐπὶ τὴν ἀρχὴν ἵεται,

καὶ παιδία. π. λ. ζ.

Ψήφισμα διοφάντου περὶ τὸ θῦσαι τοῖς θεοῖς ὑπὲρ τοῦ διῶξαι φίλιππον.

Ψήφισμα καλλισθένους περὶ τὸ σκευαγωγεῖν ἐκ τῶν ἀγρῶν, δι᾽ ἅπερ ἐποίησε φίλιππος εἰς τοὺς φωκέας.

ὅτι. α.

ἐθορυβεῖσθε. β. ε. ζ. λ.

πεπραγμένων. β. ε. λ.

λ.

α. λ.

διὰ. α. ε. λ.

χρήματα. α. β. λ.

δεῖ τοῦτο. α. λ.

χ. ὑπολαμβάνειν.

ἀναφέρων

μηδενός. καὶ οὐκ ἔφην τοῦθ' οὕτως ἔχειν. οὐδαμοῦ 212
γὰρ ἂν φανῆναι καθ' ἑαυτὸν ἐκεῖνον, εἰ μὴ τοὺς συνα-
γωνιζομένους τούτων τινὰς ἕξειν. ἵν' οὖν μήτε ἀφῶ,
μήτ' αἰτιάσωμαι μηδένα, ἔφην ἐγώ, ἀλλ' ὃ
τὸ πρᾶγμα αὐτὸ, τοὺς μὲν αἰτίους εὕρῃ, τοὺς δὲ μὴ με-
τεσχηκότας ἀφῇ, ἀναστὰς ὁ βουλόμενος καὶ παρελ- 213
θὼν εἰς ὑμᾶς, ἀποφηνάσθω μὴ μετέχειν, μηδὲ ἀρέ-
σκειν αὐτῷ τὰ ὑπὸ Φιλοκράτους πεπραγμένα. καὶ
τὸν τοῦτο ποιήσαντα, ἀφίημι ἔγωγε, ἔφην. ταῦτα, καὶ
μνημονεύετε, ὡς ἐγὼ οἶμαι. οὐ τοίνυν παρῆλθεν
οὐδεὶς, οὐδ' ἔδειξεν ἑαυτόν. καὶ τῶν μὲν ἄλλων, ἔστιν 214
ἑκάστῳ τις, ὡς ἔοικε, πρόφασις. ὁ μὲν, οὐχ ὑπεύ-
θυνος ἦν. ὁ δ' οὐχὶ παρῆν ἴσως. τῷ δὲ, κηδεστὴς
ἦν ἐκεῖ. τούτῳ δ' οὐδὲν τούτων. ἀλλ' οὕτω καθά-
παξ πέπρακεν ἑαυτὸν, καὶ οὐκ ἐπὶ τοῖς παρεληλυ-
θόσι μεμισθάρνηκε μόνον, ἀλλὰ καὶ μετὰ ταῦτα δῆ- 215
λός ἐστιν, ἐάνπερ ἐκφύγῃ νῦν, καθ' ὑμῶν ὑπάρξων
ἐκείνῳ, ὥστε ἵνα μηδὲν ἐναντίον μηδὲ ῥῆμα προή-
ται Φιλίππῳ, οὐδ' ἀφιέντων ἀφίησιν, ἀλλ' ἀδοξεῖν,
κρίνεσθαι, πάσχειν ὁτιοῦν, αἱρεῖται παρ' ὑμῖν μᾶλλον,
ἢ Φιλίππῳ τι ποιῆσαι μὴ πρὸς ἡδονήν. καίτοι, τίς 216
ἡ κοινωνία, τίς ἡ πολλὴ πρόνοια ὑπὲρ Φιλοκρά-
τους αὐτῷ. ὃς εἰ τὰ κάλλιστα, καὶ πάντα τὰ συμφέ-
ροντα ἐπεπρεσβεύκει, χρήματα δ' ὡμολόγει λαβεῖν
ἐκ τῆς πρεσβείας, ὥσπερ ὡμολόγει, τοῦτό γε αὐτὸ
φυγεῖν καὶ διευλαβηθῆναι τὸν προῖκα πρεσβεύον- 217
τι προσῆκε, καὶ διαμαρτύρεσθαι τὸ καθ' αὑ-
τόν. οὐ τοίνυν πεποίηκε τοῦτ' αἰσχίνης. ταῦτ' οὐ
φανερὰ ὦ ἄνδρες ἀθηναῖοι; ταῦτ' οὐχὶ βοᾷ
καὶ λέγει, ὅτι χρήματα εἴληφεν αἰσχίνης, καὶ πο-
νηρός ἐστιν ἀργυρίου συνεχῶς, οὐ δι' ἀβελτερίαν, 218
οὐδὲ δι' ἄγνοιαν, οὐδὲ ἀποτυγχάνων; καὶ τίς μου
καταμαρτυρεῖ, φησὶ, δῶρα λαβεῖν. τοῦτο γάρ ἐστι
τὸ λαμπρόν. τὰ πράγματ' αἰσχίνη, ἅπερ πιστό-
τατά ἐστιν ἁπάντων. καὶ οὐκ ἔνεστιν εἰπεῖν, οὐδ' αἰ-
τιάσασθαι, ὡς ἢ πεπεισμένα, ἢ χαριζόμενά τῳ, ἐστὶ 219
τοιαῦτα, ἀλλ' οἷα περ αὐτὰ προδοὺς, καὶ διαφθεί-
ρας σὺ πεποίηκας, τοιαῦτα ἐξεταζόμενα φαίνεται.
πρὸς δὲ τοῖς πράγμασιν, αὐτὸς αὐτίκα δὴ σὺ σαυτοῦ
καταμαρτυρήσεις. ἀπόκριναι γὰρ δεῦρ' ἀναστάς μοι. οὐ
γὰρ δὴ δι' ἀπειρίαν γε, οὐ φήσεις ἔχειν ὅ,τι εἴποις. ὃς γὰρ 220
ἀγῶνας καινοὺς ὥσπερ δράματα, καὶ τούτους ἀμαρτύρους, πρὸς διαμεμετρη-

τὰ πεπραγμένα αὐτῷ. ε.α.

γρ. α. ε.α.

ἐστιν. α. α.

αἰ. α.

ἀφίεται. α. ή. ὑμῶν.

διαμαρτύρε. β. ἑαυτ. α.

Μηδὲ ἀρέσκειν αὐτῷ) Δελεάζει πρὸς τὸ μαρτυρῆσαι τοὺς πρέσβεις ἁπλούστερον εἰπών. οὐδὲν γὰρ μέγα καὶ ἄτοπον λέγει ὡς οὐκ ἀρέσκει μοι. 213
Ἀφίημι ἔγωγε) Ὁρᾷ τοῦ ἀξιώματος τὸ μέγεθος, εἴγε αὐτὸς ἀντὶ τῆς πόλεως ἀποφαίνεται. Ὁ μὲν, οὐχ ὑπεύθυνος) Ἀντὶ τοῦ ἐγὼ ὁ Δημοσθένης, ὁ δ' ἢ σὺ δῆλον ὁ Φιλοκράτης. 214
Ὁ δ' οὐχὶ παρῆν) Εἷς τῶν πρέσβεων ὁ Ἰατροκλῆς. Τῷ δὲ, κηδεστὴς ἦν ἐκεῖ) Φρύνωνι. πολλὴ καὶ δριμύτης καὶ σωφροσύνη δι' ὧν μὴ γὰρ ἀπολογεῖται, καθάπτεται. τὸ δὲ κρύπτειν τὴν αἰσχύνην καρτερεῖ. γαμβρὸν αὐτοῦ εὐφήμως ἀποκαλεῖ τὸν Φίλιππον διὰ τὸν υἱόν. Τούτῳ δ') Αἰσχίνῃ. Οὐδ' ἀφιέντων ἀφίησιν) Οὕτως οὐ βούλεται κατὰ Φιλίππου λέγειν, ὥστε ζημίαν ἡγεῖται τὸ μὴ συνηγορεῖν αὐτῷ. κἂν γὰρ ὑμεῖς ἀφῆτε αὐτὸν, ἀνεύθυνος εἶ, φάσκοντες, μὴ πολιτεύου, ἀπαλλάττου, οὐκ ἀφίσταται ὑμῶν ἢ τὸν ἔλεγχον ἀπαιτήσεις κατ' αὐτὴν θέσιν. 215
Ταῦτ' οὐχὶ βοᾷ) Μικροῦ δεῖν καὶ φωνὴν τοῖς πράγμασι προστέθεικεν, ἔμψυχον τὸν λόγον ποιῶν. καὶ τὸ, Συνεχῶς δὲ, τὸ πλῆθος τῶν ἀποδείξεων ἐμφαίνει. Καὶ τίς μου καταμαρτυρεῖ, 218
φησί.) Ἐν βαρύτητι κεῖται οὕτως. ὡς τῆς ἀποδείξεως δὲ τῆς διὰ τῶν πραγμάτων ἐλεγχούσης εἰληφότα, ἐν ἤθει τὴν ἀντίθεσιν εἰσήγαγε. καὶ τούτων οὕτω δεικνυμένων φησὶ, τολμᾷ λέγειν, καὶ τίς μου καταμαρτυρεῖ δῶρα λαβεῖν ἢ λύσις δὲ κατ' ἀντεξέτασιν τῶν πραγμάτων. ἵνα τούτων ἀξιοπιστότερα, δῆλον ὅτι τὰ πράγματα. Τοῦτο γάρ ἐστι τὸ λαμπρόν.) Ἢ ὅτι ἔτι ὡς μέγα καὶ λαμπρὸν αἰσχίνης προτείνει, ἢ ὅτι τὸ φανερῶς σε πλέον ἐλέγχον, τοῦτ' ἐστιν. Ἀπόκριναι γὰρ δεῦρο.) Ἡ πρὸς ἀνωτέρω ἔχει τὴν ἀναφορὰν τοῦτο, ἐπὶ τῶν ἄλλων πρέσβεων ἐχόντων πρόφασιν, σὺ οὐδεμίαν ἔχεις τοῦ μὴ ὑπακοῦσαι. ἐπεὶ ἀπόκριναι, διὰ τί οὐχ ὑπήκουσας καλούμενος. τὸ δὲ ἀναστὰς, ἐπειδὴ εἰς τὸ ἕτερον βῆμα τοῦ κρινομένου ἐκαθέζετο, ἕως ἂν πληρώσῃ τὸν λόγον ἐπὶ τοῦ ἑτέρου βήματος ὁ κατήγορος. ἢ πρὸς τὸ νῦν ἀπόκριναι εἰρημένων. ἀπόκριναι ὅτι οὐ τὰ πράγματα εἰσὶ τῶν μαρτύρων πιστότερα. Ὃς γὰρ 220
ἀγῶνας καινοὺς) Κλιμακικὴ περίοδος, μέρος τοῦ βήματος, ὡς ἀποστροφὴν ἐργαζομένου καὶ καταφορὰν, διότι κατηγορήσει τὴν μάρχυ, γέροντος ἀνδρός.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

220 ὡς ἠταιρηκότος. Καινούς) Παράδοξος ὁ κατὰ τὴν μαρτύρων ἀγών. ἐπειδὴ σχεδὸν γεγυμνακὼς αὐτὸν λοιπὸν περὶ τῆς ἑταιρήσεως κατηγόρησε, ἐάσας τὴν νέαν ἡλικίαν τὴν ὕποπτον. αἰτίαν δὲ εἰπὼν τίνος ἕνεκα καλούμενος, ὅτι Ὑπερίδης τὴν
* ἔσκεμμαι. εἰσαγγελίαν ἐποιεῖτο, οὐχ ὑπήκουσας; ἐπειδὴ παραπίπτειν. οὐ γὰρ * ἐσκεμμένην, οὐδ' ἑτοίμως ἔχω λέγειν, τὴν αἰτίαν ἐξεῖλεν εἰπών. Ὡς γὰρ ἀγῶνας καινοὺς ὥσπερ δράματα, καὶ ταῦτα ἀμαρτύρους πρὸς διαμεμετρημένην τὴν ἡμέραν αἱρεῖς διώκων) Τὸ ὥσπερ δράματα, διὰ τὸ εἶναι ὑποκριτὴν εἶπεν, οἱονεὶ πλάσματα. εἰσάγονται γὰρ κἀκεῖ ἐπὶ τῆς σκηνῆς καινὰ δράματα. τὸ δέ, καὶ τούτους ἀμαρτύρους, ἔμφασιν ἔχει τοῦ μηδεμίαν ἀπόδειξιν ἀκριβῆ παρεχόμενον, Τίμαρχον καταδικάσασθαι, χρήσιμον δὲ καὶ πρὸς τὴν παροῦσαν ὑπόθεσιν. οὐδὲ γὰρ αὐτὸς παρέχεται μάρτυρας. ἵνα τὸ ὅμοιον τῷ ὁμοίῳ παραβληθέν, τὴν ἴσην ἀξίαν παρὰ τοῖς ἀκούουσι λάβῃ. τὸ δέ, πρὸς διαμεμετρημένην τὴν ἡμέραν φησίν, ὅτι τινὲς τῶν ἀγώνων διὰ τὸ μέγεθος, λαμβάνουσιν ὅρον τὴν ἡμέραν, καὶ ὕδωρ τὸ ἐξαρκοῦν. Αἱρεῖς δέ, ὁ διώκων καὶ ὁ κατηγορῶν.

Ἄλλως. Αἱρεῖς) Ἀντὶ τοῦ νικᾷς. ὃ παροξυτόνως ἀναγνωστέον. πώμαλα, δίχα περισπωμένως. Πολλῶν τοίνυν καὶ δεινῶν ὄντων) Ἄλλο ἀπ' ἀρχῆς ἄχρι τέλους, καὶ τοῦτο ἐκ τῶν πεπραγμένων. ἁμαρτάνει δέ τι περὶ τοῦτο τὸ μέρος γενόμενος, οὐκ ἐπιστήσας τῷ καιρῷ, καθ' ὃν ἡ πρεσβεία γέγονε. γέγονε γὰρ αὕτη τρίτη πρεσβεία πρὸς Φίλιππον, ὄντα ἐν Φωκεῦσιν ἤδη. συνίστησί τε διὰ τούτου τόν τε ἔλεγχον τῆς δωροδοκίας, καὶ τὸ παραμύθιον αὐτοῦ. δι' ἣν γὰρ αἰτίαν οὐκ ἐφώρασε τοὺς Αἰσχίνου λόγους μετὰ τὴν ἔξοδον, συνίστησιν ἐκ τοῦ τὸν Αἰσχίνην καταμεῖναι

221 δεῦρο. Δοκεῖ) Ἀντὶ τοῦ φαίνεται.

222 Ἐξωμοσάμην εὐθέως) Σοφώτατα πρόσκειται τὸ εὐθέως· ἐπειδὴ γὰρ καὶ Αἰσχίνης ἐξωμόσατο, τὸ μὲν αὐτοῦ δείκνυσιν εὐλόγως γενόμενον· τὸν δὲ Αἰσχίνην μετὰ τὸ στέρξαι, κακούργως ἀρνησάμενον. δηλοῖ δὲ ἅμα καὶ τὴν εὔνοιαν. ὡς γὰρ φιλόπολίν με ἠναγκάσατο. ἐξωμοσία δὲ διαφέρει ὑπωμοσίας. ἐξωμοσία μὲν γάρ ἐστιν ἡ παντελὴς ἄρνησις μεθ' ὅρκου. ὑπωμοσία δέ, ἡ ἔνορκος ἀναβολή, ὅταν ὀμνύῃ τις, ὅτι νῦν μὲν οὐ δύναμαι ποιῆσαι τόδε, ὕστερον δὲ αὐτὸ ποιήσω. διωμοσία δέ, ἡ γινομένη ἐν τοῖς δικαστηρίοις, ὅταν ὀμνύῃ καὶ ὁ κατήγορος

224 καὶ ὁ φεύγων. αὕτη δὲ καὶ ἀντωμοσία λέγεται. Μὴ σύγκλητος ἐκκλησία γένηται) Τρεῖς ἐκκλησίαι τοῦ μηνὸς ἐγίνοντο ὡρισμέναι. ἡ δὲ σύγκλητος οὐχ ὡρισμένη. σύγκλητος δὲ ἐκκλησία ἐκλήθη, ἐπειδὴ ἐν μὲν ταῖς νομίμοις καὶ συνήθεσιν, ἀφ' ἑαυτοῦ ὁ δῆμος συνέτρεχεν. ὅταν δὲ ἐξ ἀνάγκης τινὸς σύλλογος γένηται, συνεκάλουν τινὲς περιιόντες. Καὶ τὰ πράγματα ἐκφύγῃ τὸν Φίλιππον.) Οἷον, τὸ κατασκάψαι Φωκίας. ὅρα δὲ πῶς ἡμᾶς ἐδίδαξεν ἐνταῦθα, ὅτι καὶ τῆς τρίτης πρεσβείας πεμφθείσης παρὰ τῶν Ἀθηναίων, ἔτι ἐσῴζοντο οἱ Φωκεῖς. Οὔ-

225 τε γὰρ σῖτος ἦν) Οἱ μέν, * περὶ τῆς Μακεδονίας ἔλαβον. οἱ δέ, * περὶ τῆς Φωκίας. εἶτα ἐπειδὴ εἰκὸς ἦν τινας ἐννοεῖν, ὅτι, ἀλλ' ἔξωθεν ἐπισάξει, λύων φησίν, οὔθ' ἡ σιτοπομπία δυνατή. τὸ δὲ ἥρει, ἀντὶ τοῦ ἐλάμβανε, καὶ ἐχειροῦτο. ἔστι δὲ ὡς ἐκ τοῦ αἱρῶ ῥήματος περισπωμένου.

* παρά. * παρά.

μένην τὴν ἡμέραν αἱρεῖς διώκων, δῆλον ὅτι πάνδει-
νος εἶ τις. πολλῶν τοίνυν καὶ δεινῶν ὄντων τῶν πεπρα-
221 γμένων Αἰσχίνῃ τούτῳ, καὶ πολλὴν κακίαν ἐχόντων, ὡς
καὶ ὑμῖν, οἶμαι, δοκεῖ, οὐδέν ἐστιν οὗ μέλλω λέγειν, ὡς
ἐγὼ κρίνω, δεινότερον, οὐδ' ὅ,τι μᾶλλον δεδωροδοκη-
κότ' αὐτὸν ἐπ' αὐτοφώρῳ, καὶ πεπρακότα πάντ' ἐξε-
λέγξει. ἐπειδὴ γὰρ * ἀπεστείλατ' αὖθις αὖ τὸ τρίτον τοὺς * ἀπεστέλλετ'. α.β.ᵭ.
222 πρέσβεις ὡς τὸν Φίλιππον, ἐπὶ ταῖς καλαῖς καὶ μεγά-
λαις ἐλπίσι ταύταις, αἷς οὗτος * ὑπίσχνετο, ἐχειροτο- * ὑπέσχετο. α.β.ᵭ.
νήσατε καὶ τοῦτον, καὶ ἐμέ, καὶ τῶν ἄλλων τοὺς πλείστους
τοὺς αὐτούς. ἐγὼ μὲν δὴ παρελθὼν, ἐξωμοσάμην εὐ-
θέως. καὶ θορυβούντων τινῶν, καὶ κελευόντων βαδίζειν,
223 οὐκ ἂν ἔφην * ἀπελθεῖν. οὗτος δ' ἐκεχειροτόνητο. ἐπει- * παρελθεῖν.
δὴ δὲ ἀνέστη μετὰ ταῦτα ἡ ἐκκλησία, συνελθόντες
ἐβουλεύοντο οὗτοι, τίνα αὐτοῦ καταλείψουσιν. ἔτι γὰρ τῶν
πραγμάτων ὄντων μετεώρων καὶ τοῦ μέλλοντος ἀ-
δήλου, σύλλογοι καὶ λόγοι παντοδαποὶ κατὰ τὴν ἀγο-
224 ρὰν ἐγίγνοντο τότε. ἐφοβοῦντο δὴ μὴ σύγκλητος ἐκ-
κλησία * γένοιτο ἐξαίφνης· εἶτα ἀκούσαντες ὑμεῖς * γένηται. α.
ἐμοῦ τἀληθῆ, * ψηφίσησθέ τι τῶν δεόντων ὑπὲρ τῶν * ἐπιψηφίσησθε. α.
Φωκέων, καὶ τὰ πράγματα * ἐκφύγοι τὸν Φίλιππον. * ἐκφύγῃ. ᵭ.
εἰ γὰρ ἐψηφίσασθε μόνον, καὶ μικρὰν ὑπεφήνατε ἐλπί-
225 δα ἡντινοῦν αὐτοῖς, ἐσώθησαν ἄν. οὐ γὰρ ἐνῆν, οὐκ ἐνῆν
μὴ παρακρουσθέντων * ὑμῶν, μεῖναι τῷ Φιλίππῳ. * αὐτῶν. α.ᵭ.
οὔτε γὰρ σῖτος ἐνῆν ἐν τῇ χώρᾳ, ἀσπόρου διὰ τὸν πόλε-
μον γεγονυίας, οὔθ' ἡ σιτοπομπεία δυνατή, τριήρων οὐ-
σῶν ὑμετέρων ἐκεῖ, καὶ τῆς θαλάττης κρατουσῶν· αἵ τε πό-
226 λεις, πολλαὶ καὶ χαλεπαὶ λαβεῖν αἱ τῶν Φωκέων, μὴ οὐ
χρόνῳ καὶ πολιορκίᾳ. εἰ γὰρ ἐν ἡμέρᾳ πόλιν ἥρει, δύο καὶ
εἴκοσιν εἰσὶν ἀριθμῷ. διὰ δὴ ταῦτα πάντα, ἵνα μηδὲν
μετάθησθε, ὧν ἐξηπάτησθε, τοῦτον αὐτοῦ κατέλιπον.
ἐξομόσασθαι μὲν δὴ μὴ μετ' αἰτίας τινός, δεινὸν ἦν, καὶ

ὑποψία

χρῶμα τὸ κυριώτερον ἔρχεται λοιπόν, ὅ ἐστι πρὸς τὰ σημεῖα τοῦ αἰσχίνου. ἅ ἐστιν ἐν οἷς ἀπήγγειλε. περὶ δὲ τῆς
λύσεως διαβάλλει, ὡς ἔθος, ἀνατρέπει οὕτω πως. Ἐὰν δ᾽ ἀποτυγχάνῃ) Περὶ τοῦ μὴ ἔχειν ἄδειαν αὐτὸν κρι- 193
τὴν λέγειν ἔλαθέ με ἐν οἷς ψηφίζεται. Οὐ γὰρ ἂν ἐξαρκέσειεν) Οἷον λέγει φωκεῦσι τὴν ἄγνοιαν, καὶ στήσει 194

τούτῳ. α. αὐτῷ. ζ. οὕτω πέπρακται, αὐτός τε ἀφίημι αἰσχίνην, καὶ 192
ὑμῖν ἀφεῖναι συμβουλεύω. καίτοι τῶν σκήψεων τού-
των, οὐδεμία ἐστὶ πολιτική, οὐδὲ δικαία. οὐδένα γὰρ
τὰ κοινὰ πράττειν ὑμεῖς κελεύετε, οὐδ᾽ ἀναγκάζε-
δύνα. α. δ. τε. ἀλλ᾽ ἐπειδάν τις ἑαυτὸν πείσας δύνασθαι, προ-
σέλθῃ, πρᾶγμα ποιοῦντες ἀνθρώπων χρηστῶν 193
προς. α. δ. καὶ φιλανθρώπων, εὐνοϊκῶς* δέχεσθε, καὶ οὐ φθο-
νερῶς. ἀλλὰ καὶ χειροτονεῖτε, καὶ τὰ ὑμέτερα αὐ-
τιμήσεται. ζ. τῶν ἐγχειρίζετε. ἐὰν μὲν οὖν κατορθοῖ τις, τιμηθή-
σεται, καὶ πλέον ἕξει κατὰ τοῦτο τῶν πολλῶν. ἐὰν δ᾽
ἀποτυγχάνῃ, σκήψεις καὶ προφάσεις ἐρεῖ; ἀλλ᾽ οὐ 194
δίκαιον. οὐ γὰρ ἂν ἐξαρκέσειε τοῖς ἀπολωλόσι συμ-
αὐτῶν. μάχοις, οὐδὲ τοῖς παισίν*, οὐδὲ ταῖς γυναιξίν, οὐ-
δὲ τοῖς ἄλλοις, διὰ τὴν ἀβελτηρίαν τὴν ἐμήν, ἵνα
μὴ τὴν τούτου λέγω, τοιαῦτα πεπονθέναι. πολλοῦ γε
καὶ δεῖ. ἀλλ᾽ ὅμως ὑμεῖς ἄφετε αἰσχίνῃ τὰ δεινὰ 195
ταῦτα, καὶ ὑπερβάλλοντα, ἂν δι᾽ εὐήθειαν, ἢ δι᾽ ἄλ-
τινά. α. ε. λην *ἄγνοιαν ἡντινοῦν λελυμασμένος φανῇ. ἂν μέν-
τοι διὰ πονηρίαν ἀργύριον λαβὼν καὶ δῶρα, καὶ
τοῦτ᾽ ἐξελεγχθῇ σαφῶς ὑπ᾽ αὐτῶν τῶν πεπρα-
γμένων, μάλιστα μέν, εἰ οἷόν τε, ἀποκτείνατε· εἰ δὲ 196
λοιποῖς. α. μή, ζῶντα τοῖς *πολλοῖς παράδειγμα ποιήσατε. σκο-
β. ε. δ. πεῖτε δὴ τὸν ἔλεγχον τὸν ὑπὲρ τούτων, ὡς δίκαιος
χρ. ἐστί. ἔσται, *μεθ᾽ ὑμῶν. ἀνάγκη δή που τοὺς λόγους τού-
τους, αἰσχίνην τουτονὶ πρὸς ὑμᾶς εἰπεῖν, τοὺς περὶ
τῶν φωκέων, καὶ τῶν θεσπιέων, καὶ τῆς εὐβοίας, εἴπερ 197

τὰς συμφοράς, ὁμολογεῖ τὴν ἀ-
βελτηρίαν. Ἂν μέντοι διὰ πονη- 195
ρίαν) Ἕως ὧδε ἐπλήρωσε τὸν πρῶ-
τον στοχασμόν· καὶ ἄρχεται ἐντεῦ-
θεν τοῦ δευτέρου. δείξας γὰρ ἐν τῷ
πρώτῳ ὅτι ἀπώλεσε φωκέας, καὶ
διελθὼν ἕως τοῦ χρώματος, ἐμπε-
σόντος ἄλλου ζητήματος, ὅτι διὰ δῶ-
ρα ταῦτα ἐποίησας, τοῦτο μεταχει-
ρίζεται. Ἀργύριον λαβὼν καὶ δῶ-
ρα) Ὁρᾷς ὅπως ἀπὸ τοῦ χρώματος
δεύτερον ἀναφαίνεται ζήτημα τὸ
περὶ τῆς δωροδοκίας; ὁ μὲν γὰρ ἐ-
ρεῖ, ὡς ἠπάτηται, ἡμεῖς δὲ ἀποδει-
κνύομεν ὡς ἑκὼν εἴρηκεν, ἀπατῆσαι
διὰ τὴν μισθαρνίαν ἑλόμενος.
Σκοπεῖτε δή) Ἐντεῦθεν ἀποδει- 196
κτικῶς τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους
ἄρχεται. Ὡς δίκαιος ἔσται μεθ᾽
ὑμῶν) Ὁ νοῦς ἐστιν οὗτος, σκοπεῖτε
μεθ᾽ ἡμῶν ὡς δίκαιος ἔσται ὁ ἔ-
λεγχος. ἐὰν δὲ ᾖ μεθ᾽ ὑμῶν, μέ-
νει ὡς ἔχει τὸ ῥητόν, ἵνα ᾖ, ὁ ἔλεγ-
χος δίκαιος ἔσται μεθ᾽ ὑμῶν. καὶ
ὑμεῖς γὰρ δίκαιοι. ἐντεῦθεν δὲ παρα-
πλέκει καὶ τὸν δεύτερον στοχασμόν.
ἐὰν δῶρα μὲν λαβὼν φανῇ, φανή-
σεται οὐδαμῶς ἐξηπατημένος. ἂν μέν-
τοι διὰ πονηρίαν ἀργύριον λαβὼν
καὶ δῶρα, καὶ τοῦτ᾽ ἐξελεγχθῇ σα-
φῶς ὑπ᾽ αὐτῶν τῶν πεπραγμένων.
ἐπειδὴ γὰρ οὐκ ἔχει μάρτυρας οὐδ᾽
αὐτὸς παρασχέσθαι τῆς δωροδοκίας,
ἀξιοῖ διὰ τῶν πεπραγμένων ἐξε-
λέγχειν ὡς οὐκ ἠπατήθη. ἐντεῦθεν
δὲ ἐπὶ τὰς ἀποδείξεις χωρεῖ λοιπόν,
καὶ τὰς λύσεις τοῦ μηδαμῶς αἰσχί-
νην ἐξηπατῆσθαι. λέγομεν δὲ πολ-
λάκις, ὅτι πᾶν χρῶμα ἐκ τῆς τοῦ
ἀκολούθου ἀπαιτήσεως λύεται. εἰ ἐξη-
πατήθη, ἀναγκαῖον ἦν αὐτὸν μισεῖν τὸν ἐξηπατηκότα. ἀλλὰ μὴν οὐ μισεῖ τὸν φίλιππον, οὐκ ἄρα ἐξηπατήθη. διαιρεῖ δὲ τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους εἰς αἰτίας διπλᾶς. εἴρηκας αἰσχίνη, ἢ αὐτὸς πιστεύσας τῷ φιλίππου τρόπῳ ὅτι φωκέας σώζει, ἢ διὰ ῥῆσιν ἀκούσας τοῦ φιλίππου λέγοντος. εἰ μὲν οὖν ἐκεῖνός σε ἐξηπάτησε, δικαίως ὑπὸ σοῦ μισεῖται. εἰ δὲ αὐτὸς ἐξηπατήθης πιστεύσας τῷ φιλίππου τρόπῳ, καὶ κατὰ τοῦτο εἰ πολεμεῖν αὐτῷ δίκαιος. οὐ γὰρ ἐφάνη τοιοῦτος, οἷον καὶ ἤλπισας. οὐκοῦν δι᾽ ἀμφότερα ταῦτα δίκαιος ἦσθα μισεῖν. ἀλλ᾽ οὐδεὶς ἀκήκοεν οὐδὲ λόγῳ μισοῦντά σε φίλιππον. ἐπεὶ οὐ διὰ τῶν ἔργων τοῦτο ἀπέδειξας, τοὐναντίον δὲ καὶ ὑπὲρ ἐκείνου λέγεις. πῶς οὖν ἐξηπατήθης, οὐχὶ δὲ χρήματα λαβών, τούτοις *προσήκει τοὺς λόγους. Ἄξιον δὲ ζητῆσαι περὶ ὧν ἑρμογένης *προσήκει. ἐπιχειρολόγησε περὶ τῶν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους. ἐὰν μὲν ἐν λόγοις ᾖ, κατὰ ῥητὸν καὶ διάνοιαν λύεται. ἐὰν δὲ ἐν πάθεσι, συγγνωμονικῶς· ἐὰν δὲ ἐν ἔργοις, θετικῶς. εὑρήσομεν δὲ ἀπὸ τῶν ἐν λόγοις ὄντων οὐχ ὑγιὲς ὂν τὸ θεώρημα. ῥητὸν μὲν γάρ ἐστι τοῦ αἰσχίνου, ὅτι σωθήσονται οἱ φωκεῖς. τοῦτο γὰρ ἦν, ὃ ὑπέσχετο. λύσις δὲ εἰ κατὰ διάνοιαν ἦν, οὕτως ἂν εἶπε, σωθήσονται φωκεῖς. πῶς, ἐξελθούσης τῆς πόλεως, ψηφιζομένης τι χρηστὸν ὑπὲρ τῶν φωκέων. αἱ γὰρ λύσεις τοῦ ῥητοῦ κατὰ προσθήκην τοῦ ἐμπίπτοντος γίνονται. οἷον, ὡς ἐπ᾽ ἐκείνου, ξένον μὴ ἀναβαίνειν ἐπὶ τὸ τεῖχος. τοῦτό ἐστι τὸ ῥητόν. ἡ δὲ λύσις ὀλίγον τι προστεθεῖσα τῷ ῥητῷ, ποιεῖ τὴν διάνοιαν. ξένον μὴ ἀναβαίνειν, λέγει τὸν κατασκοπήσαντα, τὸν ἐπὶ βλάβῃ τῆς πόλεως περιαθροῦντα, καὶ περιεργαζόμενον, οὐ μὴν τὸν ἐπὶ σωτηρίᾳ ἀναβαίνοντα λέγει. ὁρᾷς ὅτι τῷ ῥητῷ, ὡς λείπει, προστεθεὶς λύειν τὸ ῥητὸν δοκεῖ; ἐπὶ στοχαστικοῦ πάλιν ζητήματος ἐκείνου. θαρσεῖτε, ὦ δημόται οὐκ εἰς μακρὰν λυθήσεσθε. τοῦτό ἐστι τὸ ῥητὸν καὶ δοκεῖ τὸ θεώρημα σώζεσθαι. προσθήκη γὰρ βραχεῖά τινος, δοκεῖ λύεσθαι τὸ ῥητόν. ἐνταῦθα δὲ ἐπὶ τοῦ κατ᾽ αἰσχίνου λόγου, σωζόμενον

μὴ πεπεικὼς αὐτὸν ἑκὼν ἐξηπάτα, δυοῖν θά- λ.
τερον, ἢ διαρρήδην ἀκούσαντα ὑπισχνουμένου Φι- φιλίππου. βι
λίππου, ὅτι ταῦτα πράξει καὶ ποιήσει· ἤ, εἰ μὴ
τοῦτο, γοητευθέντα, καὶ φενακισθέντα τῇ περὶ τὰ ἄλ-
198 λα φιλανθρωπίᾳ, καὶ ταῦτ' ἐλπίσαντα παρ' αὐ-

οὐχ εὑρισκόμενον τὸ θεώρημα. ἀλλ' ἔστιν ἐνταῦθα τὸ χρῶμα μεταστατικὸν ὁμοῦ, καὶ συγγνωμονικόν. ἐξαπατηθεὶς γὰρ ὑπὸ Φιλίππου, λέγει ταῦτα εἰρηκέναι. οὐκοῦν εἰ μὲν ἐπὶ τὸν Φίλιππον μεθίστησι, μεταστατικόν. εἰ δὲ αὐτῷ συγγινώσκεσθαι ἀξιοῖ, ὡς ἠπατημένος, συγγνωμονικὸν γίνεται. δεῖ τοίνυν μὴ ἀνεξετάστως παραδέχεσθαι τὰ ἐν ταῖς τέχναις ὥσπερ νενομοθετημένα, ἀλλ' ἐπὶ πολλὰς καὶ διαφόρους ἄγειν ὑποθέσεις. κἂν εὕρῃς ἐφαρμόττον τὸ θεώρημα, τότε θαρρεῖν καὶ χρῆσθαι. ἐὰν δὲ ὀλίγοις μὲν ἐφαρμόττῃ, μὴ πᾶσι δέ, δῆλον ὅτι φανήσεται οὐκ ἔχον ὑγιῶς. καὶ γὰρ οὐδ' ἐπὶ τοῦ πλάσματος τοῦ ξένου φανήσεται τὸ θεώρημα. πένης καὶ πλούσιος ἐχθροὶ τὰ πολιτικά. ἐν συμποσίῳ ὤμοσεν ὁ πλούσιος τυραννήσειν. ἀντώμοσεν ὁ πένης τυραννοκτονήσειν. εὕρηται νεκρὸς ἀσκύλευτος ὁ πένης ἀναχωρῶν ἀπὸ τοῦ δείπνου, καὶ κρίνεται φόνου ὁ πλούσιος. ποῖον γάρ ἐστι τὸ πρῶτον ἀπ' ἀρχῆς ἄχρι τέλους; ὤμοσε τυραννήσειν ὁ πλούσιος. οὐκοῦν τοῦτο ἐν ῥητῷ κεῖται. ἡ λύσις ἐνταῦθα οὐκ ἐκ διανοίας, ἀλλὰ συγγνωμονικὴ γίνεται. παρὰ γὰρ μέθην εἰρηκέναι φησί. πῶς οὖν λέξομεν ἀληθῆ νομοθετεῖν τὸν τεχνικόν. ἵνα δὲ μὴ ἀπερίσκεπτον τοῦτο ὑποληφθῇ, λέγω ὅτι τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους ὅσα ἐν λόγοις ἐστί, τὰ μὲν οὕτως εἴρηται. καὶ ἔστιν ὡς μηδεμιᾶς δεῖσθαι προσθήκης. τὰ δὲ οὕτω τηρεῖται, ὥστε ἐπὶ δύο ὁδοὺς φέρεσθαι τὴν ἐξήγησιν. οἷς μὲν γὰρ οἷόν τι ἐστὶ προστεθεῖναι ὡς ἐλλεῖπον, διανοίᾳ λύεται. ἃ δὲ ἀπηρτισμένην ἔχει τὴν διάνοιαν, ταῦτα ἢ μεταστατικῶς, ἢ συγγνωμονικῶς λυθήσεται. τῶν δὲ συγγνωμονικῶν ἐστὶ καὶ ὁ ἔρως, καὶ ἡ ἄγνοια, καὶ ἡ μέθη, καὶ ἡ ἀβελτηρία, καὶ ὅσα τοῦ γένους ἐστὶ τούτου. ἡ γὰρ συγγνώμη, ἀπὸ τῶν παθῶν χαρακτηρίζεται τῆς ψυχῆς. ἐπειδὴ δὲ πολλάκις ἀναμεμιγμέναι εὑρίσκονται αἱ ἀντιθέσεις ἐν τῷ αὐτῷ ζητήματι, ἥ τε συγγνωμονικὴ καὶ μεταστατική, ἀπὸ τῆς προτέρας δεῖ χαρακτηρίζειν τὸ ζήτημα. ἐὰν μὲν γὰρ ἡ συγγνωμονικὴ προτέρα, συγγνωμονικὸν ποιεῖ τὸ ζήτημα. ἐὰν δὲ ἡ μεταστατική, μεταστατικόν. ἐπεί γε εἰς τύχην μεταφέρων ὁ Δημοσθένης ἐν τῷ περὶ στεφάνου τὸ πταῖσμα, μεταστατικῶς ἀπολογεῖται. καὶ οὐ δύναται ὑπεύθυνος γενέσθαι ἡ τύχη, ὥς φησιν ὁ Ἑρμογένης. ἐνταῦθα δὲ τὴν ἄγνοιαν ὡς λύσιν λαβὼν τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους· ἠγνόησα γάρ, φησί, τὸν Φιλίππου τρόπον, συγγνωμονικῶς λύει. εἰ μὲν οὕτως ἠγνόησας, ἢ ἐξηπατήθης, συγγνώμης ἀξιωθήσῃ. ἐπεὶ καὶ τὴν ὀργὴν ἐν τῷ κατὰ Μειδίου πάθος οὖσαν τῶν περὶ τὴν ψυχήν, συγγνωμονικῶς ἔλυσεν· εἰ μὲν δι' ὀργὴν ταῦτα πεποίηκε Μειδίας, καὶ ἑξῆς. ἐπανέλθωμεν δὲ ἐπὶ τὸ προκείμενον. οὐκοῦν ἡ λύσις τοῦ χρώματος εἰσάγει τὴν βούλησιν. καὶ τίνα τρόπον. ἂν μέν τι διὰ πονηρίαν ἀργύριον λαβὼν καὶ δῶρα. καὶ πάλιν ἑξῆς. διότι οὐ παρακρουσθείς, οὐδὲ ἐξαπατηθείς, ἀλλὰ μισθώσας αὑτόν, καὶ λαβὼν ἀργύριον, ταῦτα εἶπε καὶ προὔδωκεν "ἐκεῖνος. ἐλέγομεν δὲ ἀρχόμενοι τοῦ λόγου, ὅτι ἤρξατο μὲν τὰ τῆς βουλήσεως ἐν τῷ κεφαλαίῳ τῷ περὶ τῆς δυνάμεως. τὴν δὲ πλείονα ἐργασίαν ἐτήρησεν ἐν τῷ δευτέρῳ στοχασμῷ. ἡ γὰρ βούλησις γέγονε μεταξὺ τῶν δύο στοχασμῶν, λύουσα μὲν τὸ χρῶμα, εἰσάγουσα δὲ τὸν δεύτερον στοχασμόν. εἰσάγει δὲ αὐτὸν ἀπὸ τῆς αἰτίας, εἰπών, ὅτι μισθώσας αὑτὸν καὶ λαβὼν ἀργύριον, προὔδωκεν ἐκείνῳ. ἡ γὰρ αἰτία ἐνταῦθα ζητεῖται. διὰ τί ἂν Αἰσχίνης ἐβουλήθη τὸν δῆμον ἐξαπατῆσαι. τὸ δὲ μέγιστον τῶν ἐν βουλήσει, ἔστιν ἡ αἰτία. δεῖ γὰρ πανταχοῦ βούλησιν ἐξετάζοντα, τὴν αἰτίαν ζητεῖν. ὡς ἂν ἐξέλῃς τὴν αἰτίαν τῆς βουλήσεως, ἄχρηστον καὶ ἀνωφελῆ ποιήσεις τὴν βούλησιν. δι' ἣν αἰτίαν ἠβουλήθη προδοῦναι; δι' ἣν αἰτίαν ἠβουλήθη ἐξαπατῆσαι; ἵνα ἀργύρια λάβῃ, φησίν. εἶτ' ἐπειδὴ ἀντιπίπτει ἐκ τῆς ἐργασίας, οὐ γέγονε καιρὸς ὥστε μισηθῆναι Φίλιππον, εὐκαίρως ἔλυσεν εἰπών. καὶ μὴν ἧκον πρὸς ὑμᾶς ἔναγχος Θετταλοί, καὶ Φιλίππου πρέσβεις μετ' αὐτῶν, ἀξιοῦντες ὑμᾶς, Φίλιππον Ἀμφικτύονα εἶναι ψηφίσασθαι. ὥστε τοσοῦτον ἀπέχεις ἀντιπίπτειν, ὥστε καὶ συναγωνίσασθαι προείλου. ἄχρι μὲν οὖν τούτου, ἔστι τὰ τῆς βουλήσεως, κοινά τι ὄντα τῆς λύσεως τοῦ χρώματος, καὶ εἰσακτικὰ τοῦ περὶ τῶν δώρων ζητήματος. Ἐπισημήνασθαι δὲ ἄξιον ὃ περὶ τῶν ἐμπιπτόντων εἰώθασιν αἱ τέχναι λέγειν. λέγουσι γὰρ ὅτι τὸ χρῶμα ποιεῖ τὸ δεύτερον ζήτημα. αὐτὸ γὰρ τὸ χρῶμα οὐδὲν ἄλλο ἐστίν, ἢ τὸ εἰσαγόμενον ζήτημα. ἐνταῦθα δὲ εὑρίσκεται ἄλλο μὲν τὸ χρῶμα, ἄλλο δὲ τὸ ἀγωνιζόμενον ζήτημα. χρῶμα μὲν γάρ ἐστιν, ὅτι ἐξαπατηθεὶς ὑπὸ τοῦ Φιλίππου, ταῦτα εἴρηκα. ἡ δὲ λύσις, ὅτι οὐκ ἐξαπατηθεὶς ταῦτα εἴρηκας. εἰ γὰρ ἐξηπατήθης, καὶ ἐμίσησας ἂν Φίλιππον. ἀλλὰ μὴν οὐκ ἐμίσησας, οὐκ ἄρα ἐξηπατήθης. δῶρα δὲ λαβὼν εἴρηκας. καὶ αὕτη εὑρίσκεται ἡ αἰτία, δι' ἣν ἐξηπάτησας. ἡ αἰτία οὖν γέγονεν ἐνταῦθα ὁ δεύτερος στοχασμός, εἰ δῶρα εἴληφα, παράγου μάρτυρας ὦ Δημόσθενες. καὶ γίνεται ἐνταῦθα ἐμπῖπτον ζήτημα. εἰ δὲ μὴ συντρέχει ταῖς νῦν τέχναις ὁ τοῦ ῥήτορος λόγος, οὐ τὰς τέχνας δεῖ κυριωτέρας ἡγεῖσθαι τῶν Δημοσθένους λόγων. τοὺς γὰρ ἀρχετύπους, νομοθέτας ὑπολαμβάνειν δεῖ, οὐ τοὺς παρ' αὐτῶν μικρὰ λαμβάνοντας. δεῖ οὖν ἐπὶ τὸν ῥήτορα καταφεύγειν. καὶ γὰρ ἐν τῷ τοῦ ἀσώτου προβλήματι, καθολικῶς Ἑρμογένης ἡμῖν ἀποφαίνεται, μὴ οἷόν τε ἁπλοῦν εἶναι στοχασμὸν δυοῖν πραγμάτων, ἄντικρυς Ἰσοκράτους ἡμῖν, ἐν τῷ πρὸς Εὐθύ-
197 νουν τἀναντία νενομοθετηκότος. Δυοῖν θάτερον) Οἱ εἰρημένοι λόγοι, φησί, παρὰ σοῦ ἐν ταῖς ἐπαγγελίαις,
δι' ἕτερον τῶν δύο πάντως ἐλέχθησαν. ἢ γὰρ φανερῶς εἰπόντος τοῦ Φιλίππου, σώσω Φωκέας, καὶ ἀπολῶ Θηβαίους, ἀκούσας καὶ πιστεύσας ἀπήγγειλας, ἢ πρᾶον αὐτὸν καὶ φιλάνθρωπον ἐν τοῖς ἄλλοις ἰδών, ἤλπισας καὶ ταῦτα ποιήσειν αὐτόν, καὶ θαρσήσας ὑπέσχου. οὐκοῦν ἐξ ἀμφοτέρων ἀποτυχών, μισεῖν ὀφείλεις τὸν Φίλιππον, ὅτι οὔτε τοὺς λόγους, οὓς εἶπεν, ἐβεβαίωσεν, οὔτε τὰς ἐλπίδας, ἃς εἶχες, ἐπλήρωσεν. ἀλλὰ μὴν φαίνῃ καὶ ἐπαινῶν αὐτόν, καὶ θαυμάζων. καὶ οὐ δύνασαι εἰπεῖν ὡς ἠπάτησαι.

"γρ. ἐκείνῳ.

Ἀλλὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῦ. οὐκ ἔνεστι τούτων οὐδὲν ἐν χωρίς. οὐκ οὖν τού-
των ἀμφοτέρων, μάλιστα πάντων ἀνθρώπων, μι-
σεῖν αὐτῷ προσήκει Φίλιππον. διὰ τί; ὅτι τὸ μὲν
ἐκείνου μέρος, πάντ' αὐτῷ γέγονε τὰ δυνατώτατα καὶ
τὰ ἄριστα. ὑμᾶς ἐξηπάτηκεν, ἄδοξος, δικαίως ἀ- 199
πολωλέναι κρίνεται. καὶ εἴ γέ τι τῶν προσηκόν-
των ἐγίνετο, ἐν εἰσαγγελίᾳ πάλαι ἂν ἦν. νῦν δὲ
διὰ τὴν ὑμετέραν εὐήθειαν καὶ πρᾳότητα, εὐθύ-
νας δίδωσι, καὶ ταύτας ὁπηνίκα βούλεται. ἔστιν οὖν
ὅς τις ὑμῶν φωνὴν ἀκήκοεν Αἰσχίνου κατηγοροῦν- 200
τος Φιλίππου; τίς δὴ ἐξελέγχοντα, ἢ λέγοντά τι
τοῦτον[1] ἑώρακεν; οὐ δὲ εἷς. ἀλλ' ἅπαντες Ἀθη-
ναῖοι πρότερον[2] κατηγοροῦσι Φιλίππου, καὶ ὁ τυ-
χὼν ἀεί. ὧν οὐδεὶς οὐδὲν ἰδίᾳ ἠδίκηται δήπου. ἐγὼ
δὲ ἐκείνους τοὺς λόγους ἐζήτουν παρὰ τούτου, εἴ- 201
περ μὴ πεπρακὼς ἑαυτὸν ἦν, ἄνδρες Ἀθηναῖοι,
ἐμοὶ μὲν χρήσασθε ὅ, τι βούλεσθε. ἐπίστευσα, ἐ-
ξηπατήθην, ἥμαρτον, ὁμολογῶ. τὸν δὴ ἄνθρω-
πον, ὦ ἄνδρες Ἀθηναῖοι, φυλάττεσθε. ἄπιστος, γόης,
πονηρός. οὐχ ὁρᾶτε οἷα πεποίηκεν ἐμέ; οἷα ἐξη- 202
πάτηκε; τούτων οὐδένα ἀκούω τὸν λόγον, οὐδὴ ὑμεῖς. διὰ τί; ὅτι, οὐ παρα-
κρουσθείς, οὐδὴ ἐξαπατηθείς, ἀλλὰ μισθώσας ἑαυτόν, καὶ λαβὼν ἀργύριον,
ταῦτ' εἶπε. καὶ προὔδωκεν ἐκείνῳ, καὶ γέγονε καλὸς κἀγαθός, καὶ δίκαιος μι-
σθωτὸς[3] ἐκείνῳ, πρεσβευτὴς μέν τοι καὶ πολίτης[4] ὑμῖν, προδότης, καὶ τρὶς οὐχ 203
ἅπαξ ἀπολωλέναι δίκαιος. οὐ τοίνυν ἐκ τούτων μόνων δῆλος ἐσθ' ὅτι χρημά-
των ἅπαντα εἶπεν ἐκεῖνα. ἀλλ' ἧκον ὡς ὑμᾶς ἔναγχος Θετταλοί, καὶ Φιλίπ-
που πρέσβεις μετ' αὐτῶν, ἀξιοῦντες ὑμᾶς, Φίλιππον Ἀμφικτύονα εἶναι ψηφί-
σασθαι. τῷ προσῆκεν οὖν ἀντειπεῖν τούτοις μάλιστα πάντων ἀνθρώπων; Αἰ- 204
σχίνῃ τουτῳί. διὰ τί; ὅτι οἷς οὗτος ἀπήγγειλε πρὸς ὑμᾶς, τούτοις τἀναντία
ἐποίησεν[5] ἐκεῖνος. οὗτος μὲν γὰρ ἔφη Θεσπιάς, καὶ Πλαταιὰς αὐτὸν τειχιεῖν καὶ
τοὺς μὲν Φωκέας οὐκ ἀπολεῖν, τὴν δὲ Θηβαίων ὕβριν, ὑμῖν[6] καταλύσειν. ὁ δὲ
τοὺς μὲν Θηβαίους μείζους, ἢ προσῆκε, πεποίηκε. τοὺς δὲ Φωκέας, ἄρδην ἀ- 205
πολώλεκε. καὶ τὰς μὲν Θεσπιὰς καὶ Πλαταιὰς οὐ τετείχικε, τὸν δὲ Ὀρχομενόν,
καὶ τὴν Κορώνειαν προσεξηνδραπόδισται. πῶς ἂν ἐναντιώτερα πράγματα
ἑαυτοῖς τούτων γένοιτο. οὐ τοίνυν ἀντεῖπεν, οὐδὲ διῆρε τὸ στόμα, οὐδὴ ἐφθέγξα-
το ἐναντίον οὐδέν. καὶ οὐχὶ τοῦτό πω δεινόν,[7] τηλικοῦτον ὄν. ἀλλὰ καὶ συνεῖ- 206
πε μόνος τῶν ἐν τῇ πόλει πάντων ἀνθρώπων. καίτοι τοῦτό γε οὐδὲ ὁ Φιλοκρά-
της ἐτόλμησε ποιῆσαι, ὁ μιαρός, ἀλλ' Αἰσχίνης οὑτοσί. καὶ θορυβούντων ὑμῶν,
καὶ οὐκ ἐθελόντων ἀκούειν αὐτοῦ, καταβαίνων ἀπὸ τοῦ βήματος ἐνδεικνύμε-
νος τοῖς πρέσβεσι τοῖς[8] παρὰ Φιλίππου παροῦσι, πολλοὺς ἔφη τοὺς θορυβοῦντας 207
εἶναι, ὀλίγους δὲ τοὺς στρατευομένους, ὅταν δέῃ. μέμνησθε γὰρ δήπου αὐτός
ὤν, οἶμαι, θαυμάσιος στρατιώτης, ὦ Ζεῦ. ἔτι τοίνυν, εἰ μὲν μηδένα ἔχοντα μη-

[1] οὐδείς.
[2] πρότερον. α. δ.
[3] Φιλίππῳ. α. δ.
[4] ὑμέτερος. α. ε.
[5] πεποίηκεν. ε.
[6] ἡμῖν. α. δ. ζ.
[7] καίτοι ὂν δεινόν. χ.
[8] παρὰ τοῦ. α. β. δ. ζ. δ.

Ἀλλὰ πάντες Ἀθηναῖοι πρό- 200
τερον κατηγοροῦσι Φιλίππου) Ἵνα
μὴ εἴπῃ τις, ἀλλὰ καιρὸς οὐκ ἦν
τοῦ κατηγορεῖν. Ἐγὼ δὲ ἐκείνους) 201
Οὗτος καὶ ἰδίᾳ ἀδικηθεὶς οὐδ' οὕ-
τως κατηγορεῖ. Ἐμοὶ μὲν χρή-
σασθε) Τῶν ἰσοκώλων διαλύει τὴν
ἁρμονίαν. τὸ γὰρ ἠθικὸν οὐκ ἐθέλει
τὴν τῆς λέξεως εὐρυθμίαν ἐνδύε-
σθαι. Τρίς) Πολλάκις, ὡς τό, 202
τρὶς μάκαρες. Προσεξηνδρα- 204
πόδισται) Οὐ γὰρ μόνον φάσκει μὴ
γεγενῆσθαι ἃ ὑπέσχετο, ἀλλὰ καὶ
προσθήκας ἐπισάγει κακῶν. ἐπὶ
μὲν Θηβαίων εἰπὼν τὸ μείζους, ἢ
προσῆκε, πεποίηκεν. ἐπὶ δὲ Θεσπι-
έων, Ὀρχομενὸν καὶ Κορώνειαν ὅτι
προσαπώλεσεν. Ἐνδεικνύμενος 205
τοῖς πρέσβεις) Ὅλην ἀπογυμνοῖ
τὴν προαίρεσιν ἐκ τῶν λόγων.
Μέμνησθε) Ἐν ἤθει τοῦτο ἀνα- 206
γνωστέον. Ἔτι τοίνυν εἰ μὲν μη-
δένα) Εἰσβάλλει εἰς τὴν τῶν ἐλέγ-
χων ἀπαίτησιν. βούλεται δὲ εἰπεῖν
ὅτι, εἰ μὴ ἦν τὰ πράγματα κα-
ταμαρτυροῦντα αὐτοῦ, βασάνους καὶ
τὰ τοιαῦτα ὑπόλοιπον ἦν σκοπεῖν.

Ἄλλως. Ἐπὶ τοίνυν) Ἐπὶ τὴν τῶν ἐλέγχων ἀπαίτησιν χωρεῖ τοῦ δευτέρου ζητήματος. ὡς δὲ αἰσχίνου τοὺς μάρτυρας ἀπαιτήσαντος, οὕτως ἀπήντησεν. εἰ μηδὲν μηδένα εἴχομεν δεῖξαι τῶν πρέσβεων ἔχοντα, τῶν οἰκετῶν ἔδει βασανίσαι τινάς. τῆς τῶν μαρτύρων συστάσεως ἐντεῦθεν ἄρχεται, τῆς περὶ τῶν δώρων λέγω. Καὶ ζητοῦμεν τί δήποτε ἐνταῦθα μέλλων μεταβαίνειν ἀπὸ στοχασμοῦ ἐφ᾽ ἕτερον στοχασμὸν, οὔτε ἐπιλογίσατο, οὔτε προοιμίῳ κατεχρήσατο, ἀρχόμενος δευτέρου ζητήματος, ἀλλὰ συνῆψεν οὕτως, ὥστε ἀδιάκριτον δοκεῖν εἶναι τὴν εἴσοδον, καὶ τί εἰωθὼς τοῦτο ποιεῖν. Καὶ φαμὲν ὅτι ἔνθα μὲν διῄρηται τὰ πράγματα ἀπὸ τῶν πραγμάτων ἐκεῖ καὶ ἐπιλογίζεται καὶ προοιμιάζεται. ἔνθα δὲ συμπλοκή τις ἐστὶ, καὶ οὐκ ἔστιν ἁπλῆ ὑπόθεσις, ἐκεῖ συμπλέκει καὶ τὰ κεφάλαια καὶ τὰ πράγματα. ὃ δὴ καὶ δείκνυσι μὴ ἁπλοῦν εἶναι στοχασμὸν τὸν παρόντα λόγον, ὡς τινὲς ᾠήθησαν. ἐπεὶ γὰρ ὁ ἐμπίπτων, πρὸς ἀπόδειξιν τοῦ προτέρου λαμβάνεται, διὰ τοῦτο οὐχ ἡγήσατο καιρὸν εἶναι διελεῖν τὴν ἑκάστου ἀπόδειξιν, τοὐναντίον δὲ καὶ συνάψαι τῷ δευτέρῳ τὰ πρότερα. ἡ γὰρ ἐπαγωγὴ τοῦ ἐμπίπτοντος, ἀπόδειξις γίνεται τοῦ ἑκόντα αὐτὸν ἐξαπατῆσαι. γίνεται δὲ ἐμπίπτον, διότι καὶ τελείαν ἐργασίαν ἐπεδέξατο ἀπὸ τοῦ χρώματος ἀναφύεσθαι· ἀλλ᾽ οὐ πάντως αὐτὸ τὸ χρῶμα γίνεται δευτέρου ζήτημα. ἔθος δὲ τῷ δημοσθένει, καὶ πρὸ τῶν ἀντιθέσεων τιθέναι λύσιν, καὶ μετὰ τὰς ἀντιθέσεις. ὅρα γὰρ πῶς ἀντικρὺς λύσις ἐστὶ τῆς τῶν ἐλέγχων ἀπαιτήσεως. ὡς γὰρ αἰσχίνου τοὺς μάρτυρας ἀπαιτοῦντος ἀπήντηκεν. εἰ μὲν μηδένα μηδὲν ἔχοντα ἔχομεν δεῖξαι τῶν πρέσβεων εἰληφότα, τινὰς τῶν οἰκετῶν ὑπόλοιπον ἦν βασανίζειν.

δὲν εἴχομεν δεῖξαι τῶν πρέσβεων, μηδ᾽ °ἦν ὥς- °ἀνῶ. α.
τε ἰδεῖν ἅπαντας, βασάνους καὶ τὰ τοιαῦτα ὑπό-
λοιπον ἂν ἦν σκοπεῖν. εἰ δὲ Φιλοκράτης μὴ μό-
208 νον ὡμολόγει πρὸς ὑμῖν ἐν τῷ δήμῳ πολλάκις, ἀλ-
λὰ καὶ ἐδείκνυεν ὑμῖν, πυροπωλῶν, οἰκοδομῶν, βα-
διεῖσθαι φάσκων, κἂν μὴ χειροτονῆτε ὑμεῖς ξυλη-
γῶν, τὸ χρυσίον καταλλαττόμενος φανερῶς ἐπὶ
ταῖς τραπέζαις, οὐκ ἔνι δήπου τοῦτον εἰπεῖν, ὡς
209 οὐκ εἴληφε, τὸν αὐτὸν ὁμολογοῦντα καὶ δεικνύο-
ντα. ἔστιν °οὖν οὕτω τις ἀνθρώπων ἀνόητος, ἢ κα- °τοίνυν α
κοδαίμων, ὥσθ᾽, ἵνα λαμβάνῃ μὲν Φιλοκρά-
της, ἀδοξῇ δὲ αὐτὸς καὶ °κινδυνεύῃ, ἐξὸν αὐτῷ °κινδυνεύει α. ο.
μετὰ τῶν μηδὲν ἠδικηκότων ἐξετάζεσθαι, τούτοις
210 μὲν πολεμεῖν, πρὸς δ᾽ ἐκεῖνον ἐλθὼν κρίνεσθαι
°βούλεται; ἐγὼ μὲν, οὐδένα οἶμαι. ἀλλὰ ταῦτα °βούλεσθαι. οἶο. α. ε. αἰ.
πάντα, °ἐὰν ὀρθῶς σκοπῆτε, εὑρήσετε μεγάλα, ὦ
ἄνδρες ἀθηναῖοι, καὶ ἐναργῆ σημεῖα, τοῦ χρήμα-
τα τοῦτον ἔχειν. ὃ τοίνυν ὕστατον μὲν γέγονεν, οὐδε-
211 νὸς δ᾽ ἐστὶν ἔλαττον σημεῖον τοῦ πεπρακέναι τοῦτον
ἑαυτὸν Φιλίππῳ, θεάσασθε. ἴστε δήπου πρώην, ὅτε
εἰσήγγειλεν ὑπερίδης Φιλοκράτην, ὅτι παρελθὼν
ἐγὼ, δυσχεραίνειν ἔφην ἕν τι °τῶν τῆς εἰσαγγελίας, °α. β. ε.
εἰ μόνος Φιλοκράτης τοσούτων, καὶ °τηλικούτων ἀδι- °τοιούτων. α
κημάτων αἴτιος γέγονεν. οἱ δ᾽ ἐννέα τῶν °πρέσβεων, °σημ. α.

οὐ γὰρ ἐξῆν ἐλευθέρους βασανίζεσθαι τότε, ἀλλ᾽ ἢ δούλους τῆς πόλεως, ἢ οἰκέτας ἰδιωτῶν. εἰ δὲ δείκνυται φιλοκράτης εἰληφώς, τούτου δὲ φίλος αἰσχίνης, εἴληφεν ἄρα καὶ μετὰ φιλοκράτους αἰσχίνης. ἐπειδὴ γὰρ καὶ αὐτὸ τοῦτο στοχαστικὸν ἐγένετο ζήτημα, εἰληφότος φιλοκράτους καὶ αἰσχίνης εἴληφεν, ὁ διατελεῖ τῷ μέρει τούτῳ, συνιστὰς ἐκ τῆς πάνυ φιλίας καὶ τῆς πολλῆς οἰκειότητος, εἰληφέναι τὸν αἰσχίνην· καὶ διὰ τοῦτο καὶ ἀπὸ τῶν ἐναντίων ἐξετάζει. οὐ μόνον γὰρ ἀπὸ τῆς οἰκειότητος, ἀλλὰ καὶ ἀπὸ τοῦ ἐξὸν διαμαρτυράμενον τῆς τοιαύτης ὑποψίας αὐτὴν ἀπολύσασθαι, οὐκ ἐποίησε τοῦτο, παρελθών, καὶ τοῦ καλοῦντος αὐτὸν τοῦ ῥήτορος. λέγει γοῦν, οὐ τοίνυν παρῆλθεν αἰσχίνης, οὐδ᾽ ἔδειξεν αὐτὸν ἵν᾽ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους συνάπτει τὰ ἀπὸ τῶν πεπραγμένων, καὶ ἀπὸ τῶν παρεπομένων· ὅτι σύνεστιν ἀεὶ τῷ φιλοκράτει. καὶ τοῦτο μὲν ἀπὸ τῶν πεπραγμένων. ἀπὸ δὲ τῶν παρεπομένων, ὅτι καλούμενος οὐχ ὑπήκουεν. εἶτ᾽ ἐπειδὴ καὶ τοῦτο κοινὸν ἦν· οὐδὲ γὰρ ἄλλος οὐδεὶς κατεμαρτύρησε φιλοκράτους· τοῖς μὲν ἄλλοις συγγνώμην ἔχει· αἰσχίνην δὲ οὐκ ἀφίησι τοῦ ἐγκλήματος, λέγων, Καὶ τῶν μὲν ἄλλων ἑκάστῳ, ἔστι τις πρόφασις, τούτῳ δὲ οὐδὲν τούτων. ἐν τούτῳ τῷ μέρει καὶ φανερῶς ἐμνημόνευσε φρονοῦντος, ἀμφότερα διὰ τοῦ αὐτοῦ θεωρήματος διοικούμενος. καὶ τὸ μὴ προσκροῦσαί τισι τῶν πρέσβεων, καὶ τὸ ἐπαγαγέσθαι. ἐὰν μὲν προσκρούσῃ, παροξυνεῖ· καὶ προσάξεται εἰς λοιδορίαν· καὶ διὰ τούτου στήσῃ μὴ κεκοινωνηκέναι τῆς °λοιδορίας αὐτῆς. ἐὰν δὲ ἐπαγάγηται, ἕξει καταμαρτυροῦντας αἰσχίνου. ὅπερ καὶ τοῦτο διὰ παντὸς διοικεῖται τοῦ δευτέρου στοχασμοῦ. ἐπιμένει δὲ τῷ κατὰ φιλοκράτους λόγῳ, βουλόμενος περὶ πλείονα εἴδη τῶν ἐπιχειρημάτων καὶ τὴν σύστασιν ἐργάσασθαι τῆς δωροδοκίας. Πυροπωλῶν) Τὸν σῖτον πωλῶν. Ξυληγῶν) Ξύλα λέγων. °χρ. δωροδοκίας.

208 Τὸ χρυσίον) Ὅπερ εἰλήφει ἐκ μακεδονίας ἀπὸ φιλίππου ἀντικατήλλασσεν εἰς ἀττικὰ νομίσματα ἵνα ἔχῃ
210 ταῦτα ἀναλίσκειν εἰς αὐτὰς τὰς ἀθήνας. Πρὸς δ᾽ ἐκεῖνον ἐλθών) Προσχωρήσας δὲ τῷ φιλοκράτει καὶ μετ᾽
211 αὐτοῦ γενόμενος. Εἰ μόνος φιλοκράτης) Ὅτι φιλοκράτης μόνος ἐστὶν αἴτιος τῶν τοιούτων κακῶν, ἄλλος δὲ οὐδείς.

Μηδ᾽

ἡ δέ γε τῶν πραγμάτων κατασκευὴ καὶ τῶν συμ- 172
[ἑαυ α.] μάχων, δι' ἣν ἢ αὑτοῖς ἢ τοῖς κρείττοσι τἀγαθὰ
πάντες κέκτηνται, ἡ μὲν ἡμετέρα πραθεῖσα ὑπὸ
[τούτου] τούτων, ἀπόλωλε καὶ γέγονεν ἀσθενής. ἡ δ' ἐκείνου,
φοβερὰ καὶ μείζων πολλῷ. οὐ δὴ δίκαιον. ἐκείνῳ μὲν
ἀμφότερα ηὐξῆσθαι διὰ τούτους, καὶ τὰ τῶν συμμά- 173
[ὑμῖν. α. ζ.] χων, καὶ τὰ τῶν προσόδων. ἡμῖν δὲ ἃ καὶ δικαίως ἂν
[ὑπῆρξεν. α. δ.] ὑπῆρχεν ἐκ τῆς εἰρήνης, ταῦτα ἀντὶ ὧν ἀπέδοντο οὗτοι,
λογίζεσθαι· οὐ γὰρ ταῦτ' ἀντ' ἐκείνων γέγονεν. οὐδὲ
πολλοῦ δεῖ. ἀλλὰ ταῦτα μὲν ἦν ἂν ὁμοίως ἡμῖν. ἐκεῖ-
να δὲ τούτοις ἂν προσῆν, εἰ μὴ διὰ τούτους. ὅλως δέ, 174
[δ. ε.] ὦ ἄνδρες Ἀθηναῖοι, καὶ δίκαιον δήπου φήσαιτ' ἂν εἶ-
ναι, μήτ' εἰ πολλὰ καὶ δεινὰ τὰ συμβεβηκότα ἐστὶ τῇ
πόλει, μηδενὸς δ' Αἰσχίνης αἴτιος τούτων, εἰς τοῦτον ἐλ-
θεῖν τὴν ὀργήν, μήτ' εἴ τι τῶν δεόντων πέπρακται
[τοῦτον. α. δ.] δι' ἄλλον τινά, τοῦτο σῶσαι τουτονί· ἀλλ' ὅσων ἐστὶν αἴ- 175
τιος σκεψάμενοι, καὶ χάριν ἂν ταύτης ἄξιος ᾖ, καὶ
τοὐναντίον ὀργήν, ἂν τοιαῦτα φαίνηται πεποιηκώς,
[ἂν. α.] ποιήσασθε. πῶς οὖν εὑρήσετε ταῦτα δικαίως; ἐὰν μὴ
πάντα ἅμα ἐᾶτε ταράττειν αὐτόν, τὰ τῶν στρατη-
γῶν ἀδικήματα, τὸν πόλεμον τὸν πρὸς Φίλιπ- 176
[ἀφ. β.] πον, τὰ ἀπὸ τῆς εἰρήνης ἀγαθά· ἀλλ' ἕκαστον ἐφ' ἑαυτοῦ
σκοπεῖτε· οἷον, ἦν ἡμῖν πόλεμος πρὸς Φίλιππον; ἦν.
ἐνταῦθα ἐγκαλεῖ τις Αἰσχίνῃ; βούλεταί τις τούτου κα-
τηγορεῖν περὶ τῶν ἐν τῷ πολέμῳ πραχθέντων; οὐ-
[τούτου.] δὲ εἷς. οὐκοῦν περὶ τούτων γε αὐτὸν ἀφεῖται, καὶ οὐ- 177
[β. δ.] δὲν αὐτὸν δεῖ λέγειν. περὶ γὰρ τῶν ἀμφισβητουμένων
[παρέχεσθαι. ε.] καὶ τοὺς μάρτυρας παρέχεσθαι, καὶ τὰ τεκμήρια δεῖ
λέγειν τὸν φεύγοντα, οὐ τὰ ὁμολογούμενα ἀπολο-
[α. δ. ζ.] γούμενον ἐξαπατᾶν. ὅπως τοίνυν τὰ περὶ τοῦ πο-
λέμου μηδὲν ἐρεῖς. οὐδεὶς γὰρ οὐδὲν αἰτιᾶταί σε περὶ 178
[ποιεῖσθαι. δ.] αὐτοῦ. μετὰ ταῦτα εἰρήνην τινὲς ἡμᾶς ἔπειθον ποιή-
σασθαι. ἐπείσθημεν. πρέσβεις ἐπέμψαμεν. ἤγαγον
οὗτοι δεῦρο τοὺς ποιησομένους τὴν εἰρήνην. πάλιν ἐν-
ταῦθα περὶ τούτων μέμφεταί τις Αἰσχίνην; φησί τις εἰ-
σηγήσασθαι τοῦτον εἰρήνην, ἢ ἀδικεῖν, ὅτι δεῦρο ἤγα- 179
γε τοὺς ποιησομένους; οὐδὲ εἷς. οὐκοῦν οὐδ' ὑπὲρ
αὐτοῦ τοῦ ποιήσασθαι τὴν πόλιν εἰρήνην, οὐδὲν αὐτῷ λεκτέον. οὐ γάρ ἐστιν αἴτιος.
τί οὖν ἄνθρωπε λέγεις, εἴ τις ἔροιτό με, καὶ πόθεν ἄρχῃ κατηγορεῖν. ὅθεν, ὦ
[βουλομένων.] ἄνδρες Ἀθηναῖοι· βουλευομένων ὑμῶν, οὐ περὶ τοῦ εἰ ποιητέον εἰρήνην, ἢ μή· 180
[α. δ.] [λέγουσι. β. ε.] ἐδέδοκτο γὰρ ἤδη τοῦτό γε· ἀλλ' ὑπὲρ τοῦ ποίαν τινά, τοῖς τὰ δίκαια γράφουσιν ἀν-
τειπών, τῷ μισθοῦ γράφοντι συνεῖπε, δῶρα λαβών· καὶ μετὰ ταῦτα ἐπὶ τοὺς ὁρ-

ἀναφέρων ἐπὶ τὸν ἀεισόδημον μὴ νεοπόλεμον αὐτήν. Δι' ἣν) Λέ- 172
γει τὴν εἰρήνην· ἢ γὰρ ἑαυτοῖς περιποιοῦσι συμμαχοῦντες τὰ ἀγαθά, ἢ τοῖς κρείττοσιν αὐτῶν καὶ δυνατωτέροις, οἷς καὶ συνάπτονται διὰ τὴν χρείαν. Ὅλως δέ, ὦ ἄνδρες Ἀθη- 174
ναῖοι) Ἵνα μὴ τὸ σόφισμα αὐτοῦ κατάφορον γένηται, καὶ δεδοικὼς τοὺς περὶ τῆς εἰρήνης λόγους, ἀνέδραμεν ἐπὶ τὸν πόλεμον, τὸ ζητούμενον τῷ ζητουμένῳ συσκιάζων. ἐν γὰρ τῷ πλήθει τῶν πραγμάτων, οὐκ ἄν τις ῥᾳδίως φωράσειεν, ὅπερ οὗ καὶ δέδοικεν. ἀμέλει γοῦν πολλὰ προειπών, εἰς αὐτὸ τὸ ἰσχυρότερον κατέληξεν εἰπών. εἴργετε οὖν εἴργετε αὐτὸν τῶν ὑπὲρ τῆς εἰρήνης λόγων. ἐπειδὴ δὲ δοκεῖ γεγραφέναι ψήφισμα περὶ τῆς εἰρήνης, ἀπολογούμενος ὑπὲρ τούτου, ποτὲ μὲν μεταστατικῶς ἐπὶ τοὺς περὶ νεοπόλεμον καὶ ἀεισόδημον τὴν αἰτίαν φέρει, ποτὲ δὲ συμπεριλαμβάνει τὴν πόλιν, ποτὲ δὲ τὴν ἐκ τῆς ἀνάγκης χρείας προβάλλεται εἰπών, ἤγαγον ἄρα τοὺς ποιησομένους πάλιν ἐπὶ τὴν πρεσβείαν. κἀνταῦθα μεθιστάς, ἐπειδὴ ὑπὲρ αὐτὸς φαίνεται καὶ τοὺς παρὰ Φιλίππου πρέσβεις ἥκοντας τῇ βουλῇ προσάγων, καὶ ὅλως τοῦτο τὸ μέρος διοικησάμενος, οὐ λαμπρῶς ἐν τῷ περὶ στεφάνου ἀπολελόγηται, μεταβέβηκεν ἐπὶ τὸ χρῶμα. διατί δὲ κἀνταῦθα οὐχ ὁμοίως ἀπολογεῖται περὶ τῆς εἰρήνης, ὥσπερ ἐν τῷ περὶ τοῦ στεφάνου; ὅτι ἐνταῦθα μὲν αὐτὸς ἔχων προαπολογίαν, καὶ δυνάμενος, ὡς ἐβούλετο, τὰ συμφέροντα διοικήσασθαι, πρὸς τὴν χρείαν μεθώδευσεν. ἐν δὲ τῷ περὶ στεφάνου κατηγορούμενος, καὶ τῆς αἰτίας λαμπρῶς εἰς αὐτὸν φερομένης, ἠνάγκασται διὰ τῆς εἰρήνης διαρρήδην ποιήσασθαι τὴν ἀπολογίαν.

Τοῦ μισθοῦ) Αἰνίττεται τῷ Φι- 180
λοκράτει.

Καὶ μετὰ ταῦτα) Τρίτον κεφάλαιον τῆς προκατασκευῆς.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

182 Τούτῳ) Αἰσχίνῃ. Δεξάμενοι) Ἤγουν διαδεξάμενοι τοὺς περὶ ἀ-
183 ριστόδημον. Πάντα ἀπώλεσαν) Εἰς τὸ φενακίσαι ὑμᾶς. ἤτοι παρὰ
186 τὸ φενακίσαι ὑμᾶς. Πολλῷ)
189 Κακῷ ἢ τόκῳ. Ἔξω τοῦ ἀδόξως γεγενῆσθαι) Ὅτι οὐκ ἐχωρίζετο ἡ ἀδοξία, ἀλλ' ὑπῆρχεν ἐν τοῖς πράγ-
190 μασιν. Ἀνήκεστον) Λύσις τοῦ χρώματος τοῦ πρὸς τὰς ἐπαγγελίας.

Ὅτι μὲν τοίνυν αἰσχρῶς) Ἐπεὶ πολλῶν ὄντων τεκμηρίων, ὡς ἔφαμεν κατὰ τὴν ὑπόθεσιν, οὐδενὶ τούτων οὕτως, ὡς ταῖς ἐπαγγελίαις καὶ ταῖς ὑποσχέσεσι διϊσχυρίζεσθαι ἀναγκαῖως ἦν, ἐνταῦθα λοιπόν, αὐτό τε τὸ τεκμήριον προτείνει, καὶ τὴν ἀντίθεσιν τὴν πρὸς αὐτὸ θείς, λύειν πειρᾶται. οὐ μὴν τέθεικεν οὕτως ἐκ τοῦ προφανοῦς, ὡς ἐν ἀντιθέσεως εἴδει. ἀλλὰ τὴν λύσιν εἰσάγων, τὸ χρῶμα ἐνέφηνεν. ὡς γὰρ αἰσχίνου δυναμένου λέγειν ὅτι ἔτι δι' ἀβελτηρίαν, ἢ δι' εὐήθειαν, ἢ δι' ἄγνοιαν τοῦ φιλίππου τρόπου ταῦτα εἴρηκεν, οὕτω καὶ αὐτὸς συντρέχων φησίν, ἐὰν ταῦθ' οὕτως ὑπ' ἀβελτηρίας φανῇ πεπραγμένα· οὐ γὰρ ἁπλῶς παραδέχεται τὸν παρ' αἰσχίνου λόγον, ἀλλὰ τὴν διὰ τῶν πραγμάτων μόνον ἐπίδειξιν ἐπιζητεῖ. τί γάρ, φησίν, εἰ ταῦθ' ὑπὸ ἀβελτηρίας, ἢ δι' εὐήθειαν, ἢ δι' ἄλλην ἄγνοιαν ἡντινοῦν τούτῳ πέπρακται, αἰτεῖ τῶν λόγων τὰς πράξεις ἐπιζητῶν. ἐξ ὧν αἱ ἀποδείξεις εἰσὶν ἰσχυραί· καὶ πάλιν ὀλίγον προελθών, εἰς τὴν αὐτὴν λύσιν ἐπάγει. ἀλλ' ὑμεῖς ἀφετε αἰσχίνῃ τὰ δεινὰ ταῦτα καὶ ὑπερβάλλοντα, ἂν δι' εὐήθειαν, ἢ δι' ἄλλην ἄγνοιαν λελυμασμένος
191 φανῇ. Ἐγὼ δὲ ὦ ἄνδρες) Ἐκλείπει ἡ πιθανὴ ἀπολογία. Ὥστε, εἰ ταῦθ' ὑπ' ἀβελτηρίας) Ἐπὶ τὸ

κηρυξ αἱρεθείς, ὧν μὲν ὑμεῖς προσετάξατε, οὐδὲν ποιῶν
181 ἐποίησε· τοὺς δ' ἐπὶ τοῦ πολέμου διασωθέντας, ἀ-
πώλεσε τῶν συμμάχων. καὶ τηλικαῦτα ἐψεύσα-
το, ἡλίκα οὐδεὶς ἀνθρώπων ἄλλος πώποτε, οὔτε B. ἄ. ζ.
πρότερον, οὔθ' ὕστερον· καὶ μὲν γὰρ ἐξ ἀρχῆς ἄχρι ἄ.
182 τοῦ λόγου τυχεῖν φίλιππον ὑπὲρ τῆς εἰρήνης, κτη-
σιφῶν καὶ ἀριστόδημος τὴν πρώτην τὴν πρό- ἄ.
την ἔφερον τοῦ φενακισμοῦ. ἐπεὶ δ' εἰς τὸ πράτ-
τειν ἤδη τὰ πράγματα ἧκε, φιλοκράτει καὶ τού- ἧκον. αἰσ.
183 τῳ παρέδωκαν.* δεξάμενοι δ' οὗτοι, πάντ' ἀπώ- *ἐκ. α. ε. ἄ.
λεσαν. εἶτ' ἐπειδὴ δεῖ λόγον αὐτὸν καὶ δίκην ὑπέ- κ. ὑποσχ.
χειν τῶν πεπραγμένων, ὧν, οἶμαι, πανοῦργος οὗ-
τος, καὶ θεοῖς ἐχθρός, καὶ γραμματεύς, ὡς ὑπὲρ
184 τῆς εἰρήνης, κρινόμενος ἀπολογήσεται· οὐχ ἵνα πλεόνων, ἢ κατηγορεῖ τις αὐτοῦ, δῷ λόγον. μανία γὰρ
τοῦτό γε. ἀλλ' ὁρᾷ τοῦθ', ὅτι ἐν μὲν τοῖς ὑφ' ἑαυ- ὑπ' αὐτοῦ.
τοῦ πεπραγμένοις, ἀγαθὸν μὲν οὐδέν ἐστιν, ἅπαν-
185 τα δὲ τἀδικήματα. ἡ δ' ὑπὲρ τῆς εἰρήνης ἀπολο-
γία, καὶ εἰ μηδὲν ἄλλο, τοὔνομα γοῦν ἔχει φιλάν- οὔπω. α.
θρωπον. ἣν δέδοικα μέν, ὦ ἄνδρες ἀθηναῖοι, δέ-
δοικα, μὴ λελήθαμεν, ὥσπερ οἱ δανειζόμενοι, ἐπὶ
186 πολλῷ ἄγοντες. τὸ γὰρ ἀσφαλὲς αὐτῆς, καὶ τὸ βέ-
βαιον οὗτοι προὔδοσαν, φωκέας, καὶ πύλας. οὐ μὴν
διά τοῦτόν γε ἐξ ἀρχῆς ἐποιησάμεθα. ἀλλ' ἄτο- ἐποιησάμεθα.
πον μὲν ἐστὶν ὃ μέλλω λέγειν, ἀληθὲς δὲ πάνυ· εἰ γάρ κ. ἐποιησάμεθα τὴν εἰρήνην.
187 τις ὡς ἀληθῶς χαίρει τῇ εἰρήνῃ, τοῖς στρατηγοῖς ὧν
κατηγοροῦσιν ἅπαντες, χάριν αὐτοῖς ἐχέτω. εἰ γὰρ
ἐκεῖνοι ὡς ὑμεῖς ἐβούλεσθε ἐπολέμουν, οὐδ' ὄνο-
μα εἰρήνης ἂν ὑμεῖς ἠνέσχεσθε. εἰρήνη μὲν οὖν δι'
188 ἐκείνους· ἐπικίνδυνος δέ, καὶ σφαλερὰ καὶ ἄπι-
στος διὰ τούτους γέγονε δωροδοκήσαντας. εἴργε-
τε οὖν, εἴργετε αὐτόν, τῶν ὑπὲρ τῆς εἰρήνης λόγων.
εἰς δὲ τοὺς ὑπὲρ τῶν πεπραγμένων ἐμβιβάζετε.
189 οὐ γὰρ αἰσχίνης ὑπὲρ τῆς εἰρήνης κρίνεται, οὔ. ἀλλ' ἡ εἰρήνη, δι' αἰσχίνην διαβέβληται.
σημεῖον δέ. εἰ γὰρ ἡ μὲν εἰρήνη ἐγεγόνει, μηδὲν δ' ὕστερον ἐξηπάτησθε ὑμεῖς, μη-
δ' ἀπωλώλει τῶν συμμάχων μηδείς, τίνα ἀνθρώπων ἐλύπησεν ἂν ἡ εἰρήνη, ἔξω
190 τοῦ ἀδόξως γεγενῆσθαι. καίτοι καὶ τούτου συναίτιος οὗτος, συνειπὼν φιλοκράτει. ἀλλὰ
ἀνήκεστόν γε οὐδὲν ἂν ἦν γεγονός. νῦν δ', οἶμαι, πολλῶν ἄλλων ἐστὶ κακῶν αἴτιος
οὗτος. ὅτι μὲν τοίνυν αἰσχρῶς, καὶ κακῶς πάντα ταῦτα ὑπὸ τούτων ἀπολώ-
191 λε καὶ διέφθαρται, οἶμαι πάντας ὑμᾶς εἰδέναι. ἐγὼ δέ, ὦ ἄνδρες δικασταί, τοσοῦ- ἄ.
τον ἀπέχω τοῦ συκοφαντεῖν τινὰ τοῖς πράγμασι τούτοις προσάγειν, ἢ ὑμᾶς ἀ- παραγαγεῖν.
ξιοῦν, ὥστε, εἰ ταῦθ' ὑπ' ἀβελτηρίας, ἢ δι' εὐήθειαν, ἢ δι' ἄλλην ἄγνοιαν ἡντινοῦν ἄ.

οὕτω

* τοιαῦτα. ὑποψία μεγάλη. τί λέγεις, ἐπὶ τοσαῦτα καὶ τηλι- 227
καῦτα ἀγαθά, οὐχὶ βαδίζεις ἀπαγγείλας, οὐδὲ πρε-
σβεύεις; ἔδει δὲ μένειν; πῶς οὖν; ἀρρωστεῖν προφασίζεται.
καὶ λαβὼν ἐξήκεστον τὸν ἰατρὸν ἀδελφὸς αὐτοῦ, καὶ προ-
σελθὼν τῇ βουλῇ, ἐξωμόσατο ἀρρωστεῖν τουτονί, καὶ αὐτὸς
ἐχειροτονήθη. ἐπειδὴ δ' ἀπολώλεσαν οἱ φωκεῖς ὕστερον 228
ἡμέραις πέντε ἢ ἕξ, καὶ τέλος εἶχε τὸ μίσθωμα, ὥσπερ
ἂν ἄλλο τι, τούτῳ, καὶ ὁ δερκύλλος ἐκ τῆς χαλκίδος ἧκεν
ἀναστρέψας, καὶ ἀπήγγελλεν ὑμῖν ἐκκλησιάζουσιν ἐν
πειραιεῖ, ὅτι φωκεῖς ἀπολώλασι· καὶ ὑμεῖς, ὦ ἄνδρες
* ταῦτ' α.λ. ἀθηναῖοι, ταῦτα ἀκούσαντες, εἰκότως καὶ ἐκείνοις συ 229
νήχθεσθε, καὶ αὐτοὶ ἐξεπέπληχθε, καὶ παῖδας καὶ γυναῖ-
κας ἐκ τῶν ἀγρῶν κατακομίζειν ἐψηφίζεσθε, καὶ τὰ
φρούρια ἐπισκευάζειν, καὶ τὸν πειραιᾶ τειχίζειν, καὶ τὰ
ἡράκλεια ἐν ἄστει θύειν. ἐπειδὴ τοιαύτη ἦν, καὶ τοσαύτη
ταραχὴ καὶ τοσοῦτος θόρυβος περιειστήκει τὴν πόλιν, 230
* ὁ σοφὸς οὗτος καὶ δεινός. τηνικαῦτα ὁ δεινός, καὶ σοφὸς οὗτος, καὶ εὔφωνος, οὔτε
βουλῆς, οὔτε δήμου χειροτονήσαντος αὐτόν, ᾤχετο
* εἰς. ζ. πρεσβεύων ὡς τὸν ταῦτα πεποιηκότα, οὔτε τὴν ἀρ-
ρωστίαν, ἐφ' ᾗ τότε ἐξωμόσατο, ὑπολογισάμενος,
οὔθ' ὅτι πρεσβευτὴς ἄλλος ᾕρητο ἀντ' αὐτοῦ, οὔθ' ὅτι 231
τῶν τοιούτων ὁ νόμος θάνατον τὴν ζημίαν εἶναι κελεύει, οὔθ' ὅτι
πάνδεινόν ἐστιν ἀπηγγελκότα ὡς ἐπικεκήρυκται χρή-
ματα αὐτῷ ἐν θήβαις, ἐπειδὴ θηβαῖοι πρὸς τῷ τὴν
βοιωτίαν ἅπασαν ἔχειν, καὶ τῆς τῶν φωκέων χώρας
ἐγκρατεῖς γεγόνασι, τηνικαῦτα εἰς μέσας τὰς θή- 232
βας, καὶ τὸ τῶν θηβαίων στρατόπεδον βαδίζειν· ἀλλ'
οὕτως ἔκφρων ἦν, καὶ ὅλως πρὸς τῷ λήμματι
* ἅπαντα ταῦτα. ζ. καὶ τῷ δωροδοκήματι, ὥστε πάντα τὰ ἄλλα ἀνε-
λὼν καὶ παριδὼν ᾤχετο. καὶ τοιούτου τοῦ πράγματος
ὄντος, ἔτι πολλῷ δεινότερά ἐστιν, ἃ ἐκεῖσε ἐλθὼν διε- 233
πράξατο. ἁπάντων γὰρ ὑμῶν τουτωνί, καὶ τῶν ἄλ-
λων ἀθηναίων οὕτω δεινὰ καὶ σχέτλια ἡγουμένων
τοὺς ταλαιπώρους πάσχειν φωκέας, ὥστε μήτε τοὺς
ἐκ τῆς βουλῆς θεωροὺς, μήτε τοὺς θεσμοθέτας εἰς
* παραπέμψαι ε.α. τὰ πύθια πέμψαι, ἀλλ' ἀποστῆναι τῆς πατρίου 234
θεωρίας, οὗτος εἰς τὰ ἐπινίκια τῶν πραγμάτων καὶ
τοῦ πολέμου, ἃ θηβαῖοι καὶ φίλιππος ἔθυον, εἱστιᾶτο
ἐλθών, καὶ σπονδῶν μετεῖχε καὶ εὐχῶν, ἃς ἐπὶ τοῖς
τῶν συμμάχων τῶν ἡμετέρων τείχεσι, καὶ χώραις,
* ἀπολωλόσι. ε. καὶ ὅπλοις ἀπολωλόσιν, ηὔχετο ἐκεῖνος· καὶ συνε- 235
στεφανοῦτο, καὶ συνεπαιώνιζε φιλίππῳ, καὶ φιλο-

227 Τί λέγεις.) Πλάσις χαριέντως τοῦ προσώπου συμπλέκοντος. ἔστι δὲ ἀποστροφὴ πρὸς αὐτόν, ὡς ἐκ τῶν ἀθηναίων. τὸ δέ, ἔδει δὲ μένειν, ὡς ἐκ τοῦ δήμου ἐκείνοις. τὸ δὲ πῶς οὖν, καὶ ἐρώτησιν. τοῦτο γάρ φησιν ὁ ῥήτωρ. τί οὖν ὅτι χρεία ἦν παραμεῖναι. 227
228 Καὶ τέλος εἶχε τὸ μίσθωμα) Ὡς μεσεγγυήσαντος αἰσχίνου, καὶ ὁμολογήσαντος ἃ ἔπαθον φωκεῖς. Ὑμῖν ἐκκλησιάζουσι) Δηλονότι, σκοπούντων αὐτῶν ἢ περὶ τοῦ νεωρίου, ἢ περὶ ἄλλου τινός. παρατήρησαι δὲ ἐκ τούτου, ὅτι, ὡς ἤδη ἔγνωμεν, οὐ μόνον ἐν πνυκὶ ἐκκλησίαζον, ἀλλὰ πολλάκις ἐν πειραιεῖ καὶ 228
229 ἐν ἄλλοις τόποις. καὶ λοιπόν, ὅπου συνήγοντο, ἐκκλησία ἐκαλεῖτο· οὐχ ὅτι οἱ τόποι ἐκκλησίαι ἐκαλοῦντο, ἀλλὰ ὅτι συνήγετο ὁ δῆμος παρὰ τὸ αὐτοὺς ἐκεῖσε ἐκκλησιάσαι. ἡ δὲ πνὺξ ἐκαλεῖτο, ἀπὸ τοῦ πυκνῶς ἐκεῖ τὸν δῆμον πλησιάζειν. Ἐπειδὴ τοιαύτη τα- 229
230 ραχή.) Συνῆψεν ἐντεῦθεν τὴν λεγομένην πιθανὴν ἀπολογίαν. καὶ μὴν εἰ συνῄδειν ἐμαυτῷ δεδωροδοκηκότι, οὐκ ἂν οὕτω προφανῶς ἀπῄειν, ὥστε κατάφορον ἐμαυτὸν καταστῆσαι. ἡ λύσις. Ἀλλ' οὕτως ἔκφρων ἦν, καὶ ὅλως πρὸς τῷ λήμματι καὶ τῷ δω-
231 ροδοκήματι, ὥστε ταῦτα πάντα ἀνελὼν καὶ παριδὼν ᾤχου. Ἀνελὼν δὲ ταῦτα, ποῖα; τὸ ἀρρωστῆσαι, τὸ φοβεῖσθαι θηβαίους, ὅτι ἔλεγεν ἐν τῇ ἀρχῇ, ὅτι οὕτως αὐτὸν ἐμίσησαν οἱ θηβαῖοι, ὥστε καὶ χρήματα κατ' αὐτοῦ ἐπικήρυξαι. καὶ τἄλλα. ἄξιον δὲ ἰδεῖν ποῖόν ἐστι τὸ χρῶμα τῶν ἀπ' ἀρχῆς
232 ἄχρι τέλους. ἐξωμόσατο αἰσχίνης· ἕτερος ἐχειροτονήθη. αὐτὸς πρεσβεύεται μετὰ τὴν πρεσβείαν. τί τοίνυν φησὶ πρὸς ταῦτα. ὅτι οὐκ ἐξαλήλιπτο ἡ χειροτονία· καὶ ἄτοπον ἦν χειροτονηθέντα, ἐπειδὴ ῥᾷον ἔσχον, βαδίζειν παρὰ τὸν φί-
233 λιππον. ὁ ῥήτωρ, εἰ ἐς ἂν ἕτερος ἀντιχειροτονηθείη, οὐκ ἔδει σε βαδίζειν τότε, οὐχ ὅτε * θηβαίους ἀπολωλότας ἐπύθου. Καὶ τοιούτου τοῦ πράγματος) Ἔθος ἦν πάτριον πέμπειν τῷ ἀπόλλωνι ἐν τῷ ἀγῶνι τῶν πυθίων τοὺς θεωροὺς καὶ τοὺς θεσμοθέτας, ἵνα μεῖζον ᾖ τὸ ἀξί- * φωκέας. 232
ωμα τῆς θυσίας. Ἃ θηβαῖοι καὶ φίλιπ- 234
234 πος ἔθυον) Θηβαίους προσθεὶς τῷ φιλίππῳ, δεδήλωκε διὰ τῶν ἐχθρῶν, ὅτι δεινὰ καὶ ὁ φίλιππος ηὔχετο. ἄρα δὲ ὅπως ὁ μὲν ἦν ἀνεύθυνον τὸ ἑστιᾶσθαι καὶ σπένδειν, τοὺς πρέσβεις ἐπισημαρτυρῆσαι. τὸ δὲ ἐστεφανῶσθαι κατὰ τῆς πατρίδος ὁ ῥήτωρ, ἐκ τοῦ ἀκο-
235 λούθου, καὶ μὴ εἰπόντων τῶν πρέσβεων, κατεσκεύασε. Καὶ φιλο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

235 τησίας) Ἅπερ φιλεῖ γίνεσθαι ἐν τοῖς συμποσίοις, τὸ δεξιοῦσθαι ἀλλήλοις τοῖς ποτηρίοις· πολλάκις καὶ ταῦτα τὰ ποτήρια χαρίζεσθαι τὸν βασιλέα, οἷς προέπινε χρυσᾶ ὄντα. τοῦτο γάρ ἐστι τὸ προπίνειν. ταῦτα δὲ πάλιν ὡς ἐγκλήματα καὶ σημεῖα προδοσίας πεποίηται. τὸ δὲ ψήφισμα *ὥσπερ τις ἐψηφίσατο τῶν πολιτῶν, ὅτε ἐξωμόσατο ὁ Αἰσχίνης ἀρρωστεῖν. φιλοτησία, ἡ κύλιξ, ἣν κατὰ φιλίαν τοῖς φίλοις προὔπινον.

*ὅπερ.

236 Δημόσιος) Οἶκος δηλαδή.

238 Οὐκοῦν ᾤχετο μὲν παρὰ τὸν νόμον) Ἐνταῦθα ἐπιλογίζεται λοιπὸν, καὶ συναγωγὴν ποιεῖται τῶν ἐγκλημάτων, πληρώσας τὸ δεύτερον ζήτημα. σύνηθες γὰρ αὐτῷ τοῦτο ποιεῖν, μετὰ τὰς ἀποδείξεις τὰς ἰσχυροτέρας ἐπιλογίζεσθαι. ἔστι δὲ τοῦ δευτέρου ζητήματος τὰ κεφάλαια ταῦτα. τῶν μὲν γὰρ παρειμένων, ἓν πρῶτον. οὐδὲ πώποτ᾽ ἐμνήσθης τοῦ Φιλίππου κακῶς, ἐπειδήπερ σαυτὸν περιπεπτωκότα δεινοῖς ἑώρας. μετὰ τὴν ἐπαγγελίαν οὐκ ἐμνησικάκησας. ἀπὸ δὲ τῶν πεπραγμένων, ὅτι Πύθωνος ἀφικομένου, καὶ τινῶν ἑτέρων πρέσβεων, εἶτα ἀξιούντων Φίλιππον ἀμφικτύονα ψηφίσασθαι, πάντων ἀντιλεγόντων, μόνος συνεῖπες. τὸ χρῶμα συνῆπται τούτοις, οὗπερ οὐκ ἐμνήσθημεν πρότερον, νυνὶ δὲ προσθήσομεν, ὅτι πόλεμον εὐλαβηθεὶς, συνεῖπεν τοῖς πρέσβεσι. θαυμάσαι δὲ δεῖ τὸν ῥήτορα τῆς δεινότητος, ὅτι οὐχ ὡς χρῶμα εἰσήγαγεν, ἀλλὰ συγκρουστικῶς παροξῦναι μᾶλλον, ἢ συστῆσαι τὴν ἀπολογίαν αὐτοῦ προαιρούμενος. τρίτον ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, ὅτι Φιλοκράτης δωροδόκος εἶναι ὁμολογεῖ. οὗτος δὲ Φιλοκράτει συνῆν. τέταρτον, ὅτι εἰσαγγείλαντος Ὑπερίδου Φιλοκράτην, καλοῦντός μου διαρρήδην τοὺς βουλομένους διαμαρτύρεσθαι ὅτι μὴ κεκοινωνήκασιν, οὐ παρῆλθεν Αἰσχίνης.

243 Πωλούντων) Παρὰ τῶν συνεστηκότων καὶ συναγορευόντων Αἰσχίνῃ. Τάχα τίνων. Ἀντίθεσις ἐπιλογική. χρησίμως δὲ ταύτην ἔπλασεν ὁ ῥήτωρ, ἵνα δείξῃ Φίλιππον μέγαν διὰ τοῦ λέγειν, ὅτι μέλλομεν αὐτὸν κινῆσαι εἰς ὀργὴν, ἐὰν τὸν φίλον αὐτοῦ τιμωρησώμεθα, ἵνα διὰ τούτου κινήσῃ τοὺς δικαστὰς, πρὸς τὸ αἱρεῖσθαι μᾶλλον τιμωρήσασθαι τὸν Αἰσχίνην. Ἄλλως.

τησίας *προὔπινε. καὶ ταῦτ᾽ οὐκ ἔνεστιν ἐμοὶ μὲν *προὔπινε β.δ.ζ.
οὕτω, τούτῳ δ᾽ ἄλλως πως εἰπεῖν· ἀλλ᾽ ὑπὲρ μὲν τῆς
ἐξωμοσίας, ἐν τοῖς κοινοῖς τοῖς ὑμετέροις γράμμα-
236 σιν ἐν τῷ μητρῴῳ, ταῦτ᾽ ἐστὶν, ἐφ᾽ οἷς ὁ δημόσιος τέ-
τακται. καὶ ψήφισμα ἄντικρυς περὶ τούτου τοῦ ὀνό-
ματος γέγραπται. ὑπὲρ δὲ ὧν *ἐκεῖ διεπράξατο, οἱ *ἐκεῖσε ἐλθὼν. α.δ.
συμπρεσβεύοντες καὶ παρόντες, *καταμαρτυρήσουσιν. *καταμαρτυροῦσιν. α.δ.
οἵπερ ἐμοὶ ταῦτα διηγοῦντο. οὐ γὰρ ἔγωγε αὖθις συ-
237 νεπρέσβευσα, ἀλλ᾽ ἐξωμοσάμην. καί μοι λέγε τὸ ψή-
φισμα, καὶ τὰ γράμματα, καὶ τοὺς μάρτυρας κάλει.

Ψήφισμα. Γράμματα. Μάρτυρες.

Τίνας οὖν εὐχὰς ὑπολαμβάνετε εὔχεσθαι τοῖς
θεοῖς τὸν Φίλιππον, ὅτ᾽ ἔσπενδεν, ἢ τοὺς Θηβαίους; ἆρ᾽
238 οὐ κράτος πολέμου, καὶ νίκην αὐτοῖς καὶ τοῖς συμ-
μάχοις διδόναι; καὶ τἀναντία τούτων τοῖς τῶν Φω-
κέων; οὐκοῦν ταῦτα συνηύχετο οὗτος, καὶ κατηρᾶτο
τῇ πατρίδι, ἃ νῦν εἰς κεφαλὴν ὑμᾶς αὐτῷ δεῖ
τρέψαι. οὐκοῦν, ᾤχετο μὲν παρὰ τὸν νόμον, ὃς θά-
239 νατον κελεύει τούτων τὴν ζημίαν εἶναι· ἐλθὼν δὲ
ἐκεῖσε, ἑτέρων θανάτων ἄξια ποιῶν πέφανται· τὰ
δ᾽ ἔμπροσθεν πεπραγμένα, καὶ πεπρεσβευμένα
ὑπὲρ τούτων, ἀποκτείνειεν ἂν αὐτὸν δικαίως. σκο-
πεῖτε τοίνυν τί τίμημα ἔσται, ὃ *ταύτην ἕξει τὴν *τοιαύτην. α
240 ἀξίαν, ὡς τε τοσούτων *ἀδικημάτων ἀξιόχρεων *πραγμάτων. β.ζ.
φαίνεσθαι. πῶς γὰρ οὐκ αἰσχρὸν, ὦ ἄνδρες Ἀθη-
ναῖοι, δημοσίᾳ μὲν ἅπαντας *ὑμᾶς καὶ ὅλον τὸν *β.
δῆμον, ἅπασι τοῖς πεπραγμένοις ἐκ τῆς εἰρή-
νης ἐπιτιμᾶν, καὶ μήτε τῶν ἐν ἀμφικτύοσι κοι-
241 νωνεῖν ἐθέλειν, δυσκόλως τε ἔχειν καὶ ὑπόπτως
πρὸς τὸν Φίλιππον, ὡς ἀσεβῶν καὶ δεινῶν ὄντων
τῶν πεπραγμένων, καὶ οὔτε δικαίων, οὔθ᾽ ὑμῖν
συμφερόντων· εἰς δὲ τὸ δικαστήριον εἰσελθόντας, τὰς
ὑπὲρ τούτων εὐθύνας δικάσοντας, καὶ τὸν ὅρκον
242 τὸν ὑπὲρ τῆς πόλεως ὀμωμοκότας, τὸν ἁπάντων
τῶν κακῶν αἴτιον, καὶ ὃν εἰλήφατε ἐπαυτοφώρῳ
τοιαῦτα πεποιηκότα, τοῦτον ἀφεῖναι. καὶ τίς οὐ δι-
καίως ὑμῖν ἂν ἐγκαλέσειε τῶν ἄλλων πολιτῶν, μᾶλ-
243 λον δὲ ἁπάντων τῶν ἄλλων ἑλλήνων, ὁρῶν Φιλίππῳ μὲν
ὑμᾶς ὀργιζομένους, ὃς ἐκ τοῦ πολέμου *μὲν πινόμε- *α.β.δ.
νος τὴν εἰρήνην, παρὰ τῶν πωλούντων τὰς πράξεις
*ἐωνεῖτο, πρᾶγμα πολλὴν συγγνώμην ἔχον διαπρατ- *ὠνεῖτο. α. δ.η.
τόμενος, τουτονὶ δὲ ἀφιέντας, ὃς τὰ ὑμέτερα οὕτως
αἰσχρῶς

Τάχα τοίνυν) Ἀπὸ τοῦ συμφέροντος ἐστὶν αὕτη ἡ ἀντίθεσις, ζητούντων εἰ λυσιτελήσει καταψηφίσασθαι. ἔστι δὲ 243
ἀκόλουθος τοῖς ἀνωτέρω ῥηθεῖσιν· εἰπόντος γὰρ τοῦ δημοσθένους δίκαιον εἶναι τὸν αἰσχίνην τιμωρηθῆναι, ἀκόλουθον ἦν εἰπεῖν τὸν αἰσχίνην μὴ συμφέρειν τοῦτο τοῖς ἀθηναίοις, ἵνα μὴ ἐχθρῶς αὐτοῖς διατεθῇ ὁ φίλιππος.

αἰσχρῶς ἀπέδοτο, τῶν νόμων τὰ ἔσχατα ταττόν- 243
των ἐπιτίμια, ἐάν τις ταῦτα ποιῇ. τάχα τοίνυν ἴσως
καὶ τοιοῦτος ἥξει τις λόγος παρὰ τούτων, ὡς ἀρχὴ
γενήσεται τῆς πρὸς φίλιππον ἔχθρας, εἰ τῶν πρεσβευ-
σάντων τὴν εἰρήνην, καταψηφιεῖσθε. ἐγὼ δ' εἰ τοῦ-
τ' ἔστιν ἀληθές, οὐκ ἔχω σκοπούμενος εὑρεῖν, ὅ,τι του- 244
του μεῖζον κατηγορήσω. εἰ γὰρ ὁ τῆς εἰρήνης χρήμα-
αὐτῆς. α. δ. τα ἀναλώσας ὥστε τυχεῖν*, οὗτος οὕτω νῦν γέγονε
φοβερὸς καὶ μέγας, ὥστε τῶν ὅρκων καὶ τῶν δικαίων
ἀμελήσαντας ὑμᾶς, ἤδη, τί φιλίππῳ χαριεῖσθε,
γρ. πεπονθό-τες. σκοπεῖν, τί ˇ παθόντες ἂν οἱ τούτων αἴτιοι, τὴν προ- 245
σήκουσαν δίκην δεδωκότες εἶεν. οὐ μὴν ἀλλ' ὅτι καὶ
φιλίας ἀρχὴ συμφερούσης ὑμῖν μᾶλλον ἐκ τῶν
εἰκότων γενήσεται, καὶ τοῦτ' οἶμαι δείξειν. εὖ γὰρ εἰδέναι
χρὴ τοῦθ' ὅτι οὐ καταφρονεῖ φίλιππος, ὦ ἄνδρες ἀ-
θηναῖοι, τῆς πόλεως τῆς ὑμετέρας, οὐδ' ἀχρηστοτέ- 246
ρους νομίσας ὑμᾶς θηβαίων, ἐκείνους εἵλετ' ἀνθ' ὑ-
μῶν· ἀλλ' ὑπὸ τούτων ἐδιδάχθη, καὶ ταῦτ' ἤκου-
σεν, ἅπερ καὶ πρότερόν ποτ' εἶπον ἐγὼ πρὸς ὑμᾶς
ἐν τῷ δήμῳ, καὶ τούτων οὐδεὶς ἀντεῖπεν, ὡς ὁ μὲν
δῆμός ἐστιν ὄχλος, ἀσταθμητότατον πρᾶγμα τῶν 247
ἀσυνετον. α. δ. ἁπάντων, καὶ ἀσυνετώτατον, ὥσπερ ἐν θαλάτ-
‖ κῦμα. τῃ ‖ πνεῦμα ἀκατάστατον, ὡς ἂν τύχοι, κινούμενον. ὁ
μὲν ἦλθεν, ὁ δ' ἀπῆλθε. μέλει δ' οὐδενὶ τῶν κοινῶν, ἀλ-
λ' οὐδὲ μέμνηται. δεῖ δέ τινας φίλους ὑπάρχειν τοὺς ἕ-
γρ. παρ' α. ε. κασθα πράξοντας ° ἐν ὑμῖν αὐτῷ, καὶ διοικήσοντας ‖ οἷ- 248
§ ὅ,τι. α. δ. ἂν αὐτῷ δίκῃ. κἂν περ αὐτῷ τοῦτο ‖ κατασκευασθῇ,
‖ παρασκευα-σθῇ. α. πᾶν ὅ,τι ἂν βούληται παρ' ὑμῖν, ῥᾳδίως διαπράξεσθαι.

Ἀλλ' ἐπειδήπερ οἱ ἐπίλογοι ἐκ τῶν
243 τελικῶν κεφαλαίων λαμβάνονται, διὰ τοῦτο πολλάκις ἐκ τούτων ἐπιλογικαί τινες ἐμπίπτουσιν ἀντιθέσεις, ἐν στοχασμῷ, καὶ ἐν ὅρῳ, ἤδη δέ που καὶ ἐν ἑτέραις στάσεσιν. ἡ δὲ ἐπίσκεψις λοιπὸν περὶ τῆς τιμωρίας. Ἀμέλει γοῦν οὐχ ὡς παρ' αἰσχίνου
244 ταύτην εἰσήγαγεν, ἀλλ' ὡς παρὰ τῶν συνηγόρων. εἰπών, τάχα τοίνυν καὶ τοιοῦτος ἥξει λόγος παρὰ τούτων. δηλονότι τῶν συνεστηκότων καὶ συνηγορούντων αἰσχίνῃ. ἡ λύσις δὲ κατ' ἀντιπαράστασιν. προτέραν δὲ τὴν λύσιν τῆς ἀντιθέσεως ἐξηργάσατο, ἔκ τε τῶν αἰσχίνου λόγων, καὶ παρα-
245 δειγμάτων, τοῦτο μέν, τῶν κατὰ βασιλέα καὶ τιμαγόραν μνησθείς, τοῦτο δέ, τῶν κατὰ θηβαίους καὶ τοὺς πρέσβεις οἰκεῖα δὲ ἄμφω τὰ παραδείγματα. τὸ μὲν γὰρ πρότερον, διαβάλλει τὸν αἰσχίνην, ὅμοιον ἀποφαίνων τιμαγόρᾳ τοῦτον. τὸ δέ, ἔπαινον πε-
246 ριέχει τοῦ ῥήτορος δι' εἰκότος τῆς κατὰ φίλωνα. ἃ γὰρ εἶπέ τις περὶ τοῦ ῥήτορος, ταῦθ' ὁ δημοσθένης λέγων, ἑαυτὸν ἀποσεμνύνειν βούλεται. ἐν σχήματι γὰρ τὸν μὲν ἀντίδικον διαβάλλει, ἑαυτὸν δὲ συνίστησι. πιστοῦται δὲ καὶ τὸ προκείμενον ὅτι εὐερ-
247 γετήσειεν ἂν τὴν πόλιν τῶν ἀθηναίων φίλιππος, μὴ ὄντων τῶν δωροδόκων. ἵνα δὲ ἐκ τῆς λύσεως ἀκολούθως ἐπὶ τὴν ἑξῆς ἀντίθεσιν ἔλθῃ, πάλιν κατὰ καιρὸν ἐμνημόνευσε τῶν τε οἰκείων εἰσηγήσεων ἃς ἐποιήσατο βουλευομένης τῆς πόλεως
248 περὶ τοῦ τίνα χρὴ ποιῆσαι τὴν εἰρήνην, καὶ τῶν αἰσχίνου λόγων, ὧν εἶπε τότε ἐναντιούμενος· πάλιν γὰρ ἀνέδραμεν ἀπὸ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους, δεικνὺς ποῖα λέγων καὶ οἷα πολιτευόμενος αἰσχίνης, οἵων αἴτιος γέγονε τῇ πατρίδι. πῶς τοίνυν πέπεικε. καὶ κρατοῦντος ὁμοῦ τὴν προτέραν ἡμέραν, καὶ πεπεικότος ὑμᾶς τὸ τῶν συμμάχων δόγμα κυρῶσαι, εἶτα τὴν ὑστεραίαν τὴν φιλοκράτους γνώμην ἑλέσθαι ἔπεισεν. ὁμοῦ μὲν ἀπὸ φιλοκράτους μεταφέρων ἐπὶ τοῦτον τὸ ἔγκλημα, ὁμοῦ δὲ καὶ ὑπομιμνήσκων, ὅτι οὐκ ἐσιώπησεν, ὁμοῦ δέ, καὶ διδοὺς χώραν τῇ ἑξῆς ἀντιθέσει. εἰπὼν γὰρ ἐν τούτοις τίνα ἔπεισεν αἰσχίνης τὸν δῆμον ψηφίσασθαι, βουλευόμενον περὶ τοῦ πῶς χρὴ ποιήσασθαι τὴν εἰρήνην, κακῶς τῷ πολέμῳ τῶν στρατηγῶν κεχρημένων, λέγων, οἵους μὲν εἶπεν φίλων λόγους ὑπὲρ τῆς θηβαίων πόλεως, οἵους δὲ αἰσχίνης ὑπὲρ τῶν ἀθηναίων, ἀναγκαίως ἐπὶ τὴν ἀντίθεσιν ἦλθεν ἐν ᾗ φησὶ μὴ εἶναι δυνατὸν οὕτω ποιήσασθαι τὴν εἰρήνην, ὡς δημοσθένης ἠξίου, καὶ διὰ τὴν μαρτυρίαν τοῦ ἀντιδίκου τῶν βελτίστων* αὐτὸς κομίζεται. εἰ γὰρ ὁ μὲν ἠξίου βελτίστην γενέσθαι τὴν εἰρήνην καὶ μαρτυρῶν αἰσχίνης φαίνεται, αἰσχίνης δ' ἠναντιοῦτο, ἔπαινον μὲν ἑαυτοῦ διὰ τῆς μαρτυρίας καθίστησιν ἰσχυρότατον. αἰσχίνῃ δ' οὐ τὸν τυχόντα περιάπτει‖ λόγον. ἔστιν οὖν τρία μέρη τῆς ἀντιθέσεως· τὸ μὲν γὰρ αὐτῆς ἔχει ἔπαινον τοῦ ῥήτορος. τὸ δέ, ὁμολογίαν, ὅτι αἰσχίνης ἠξίου τὴν εἰρήνην γίνεσθαι. τρίτη δέ, ὅτι οἱ στρατηγοὶ κακῶς ἐχρῶντο τῷ πολέμῳ. ἡ λύσις δὲ αὐτῆς, ἀπὸ τῆς δωροδοκίας. ὅθεν καὶ δευτέρα, μετὰ τὸν δεύτερον στοχασμὸν τέτακται.

* δόξαι.
‖ ψόγον.

Εἰ γὰρ ὁ 244
τῆς εἰρήνης) Λύσις κατὰ τὸ α΄ εἶδος τοῦ βιαίου. Οὐ μὴν ἀλλ' ὅτι) Ἑτέρα λύσις κατὰ τὸ β΄ εἶδος τοῦ βιαίου. Εἶπον ἐγὼ) Ὡς 245 246
ἐμοῦ ψευδομένου ἐφ' οἷς εἶπον. Ὡς ἂν τύχοι) Ἀπὸ τοῦ τὰ συμπιπτόμενα ἄτακτα κεῖσθαι. Ὁ μὲν ἦλθεν, ὁ δ' ἀπῆλθεν) 247



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Οὕτω τινές. ἦλθέ τις διαλεχθῆναι αὐτῷ. ὁ δὲ ἀπῆλθεν οὐκ ἀναμεί-
248 νας ἀκοῦσαι. Ἤκουσε) Ὁ Φίλιπ-
253 πος. Ὡς ἔφασαν, πολλά) Οὐκ ἀνέχεται περὶ προδοσίας καὶ δωροδοκίας διαλαβὼν οἰκείῳ χρῆσθαι προσώπῳ, ἀλλ' ὡς παρ' ἑτέρων ἀκούσας λέγει. Οἱ τῶν Θηβαίων πρέσβεις) Βαρέως ἀναγνωστέον. οἱ τὸν Φίλιππον δῆμον ὑποδεξάμενοι. καὶ ὢ θέαμα καινότερον, Θηβαῖοι μὲν ἀττικίζοντες, Ἀθηναῖοι δὲ τὰ Θηβαίων νοήσαντες (γρ. φρονήσαντες). Οὐχ ὑπὸ Θη-
βαίων, ἀλλ' ὑπὲρ ὑμῶν) Ὁ μὲν εἰπών,
254 Θηβαῖος, ὁ δὲ λόγος, ὑπὲρ Ἀθηναίων. Ταῦτα γάρ ἐστιν, ἃ συνεῖπε μὲν Αἰσχίνης. Ἐνήλλαξε τὴν τάξιν, τὸ πρῶτον δεύτερον εἰπών, ἵν' ὅλον τῷ ἀντιδίκῳ λογίσηται. Φίλοι καὶ ξέ-
νοι) Ἐκ παραλλήλου τὰ αὐτά.
258 Ἀντιθῶμεν δή) Ταῦτά ἐστιν ἃ λέγει ὁ Αἰσχίνης κακοήθη ἀντίθετα εἶναι, ἐν

εἰ μὲν οὕτως ἤκουσεν, οἶμαι, τοὺς τότε ταῦτα πρὸς αὐ-
τὸν εἰπόντας, καὶ παραχρῆμα ὡς δεῦρ' ἐπανῆλθον.
249 ἀποτετυμπανισμένους, ἐποίησεν ἂν τοῦτο τὸ βασι-
λεύς. τί δ' ἦν, ὃ ἐκεῖνος ἐποίησεν; ἐξαπατηθεὶς ὑπὸ
Τιμαγόρου, καὶ τετταράκοντα τάλαντα, ὡς λέγεται,
δεδωκὼς αὐτῷ, ἐπειδὴ παρ' ὑμῶν ἐπύθετο αὐτὸν τε-
θνεῶτα, καὶ οὐδὲ τοῦ ζῆν ὄντα κύριον ἑαυτῷ βεβαιῶ-
250 σαι, μή τί γ' ἃ ἐκείνῳ τότε ὑπέσχετο, πρᾶξαι, ἔγνω
τὴν τιμὴν οὐχὶ τῷ κυρίῳ τῶν πραγμάτων δε-
δωκώς. καὶ γάρ τοι, πρῶτον μὲν Ἀμφίπολιν, πόλιν (γρ. πάλιν. α. β.)
ἡμετέραν δούλην κατέστησεν, ἣν τότε σύμμαχον
αὐτοῦ καὶ φίλην ἔγραψεν. εἶτ' οὐδενὶ πώποτε ἔδω- (ὑπέσχ. α. δ.)
251 κε χρήματα τὸ λοιπόν. ταὐτὸ τοίνυν τοῦτ' ἂν ἐποίη-
σεν ὁ Φίλιππος, εἴ τινα τούτων εἶδε δίκην διδόντα, καὶ (ἄ. β. δ.)
νῦν, ἂν ἴδῃ, ποιήσει. ἐπειδὰν δὲ ἀκούσῃ λέγοντας, εὐ- (γρ. εἴδῃ. δ.)
δοκιμοῦντας ἐν ὑμῖν, ἑτέρους κρίνοντας, τί καὶ ποιή-
σαι ζητοίη; πολλὰ ἀναλίσκειν, ἐξὸν ἐλάττω; καὶ πάντας θεραπεύειν βουλήσεται, (ζητεῖ. α. β. δ. βούλεται. α. ζ.)
252 δύο ἢ τρεῖς ἐξόν; μαίνοιτο μέντ' ἄν. οὐδὲ γὰρ τὴν τῶν Θηβαίων πόλιν εἵλετο δημο- (βούλοιτο. δ.)
σίᾳ ποιεῖν ὁ Φίλιππος εὖ. πολλοῦ γε καὶ δεῖ. ἀλλ' ὑπὸ τῶν πρέσβεων ἐπείσθη. ὃν (ε. η.)
δὲ τρόπον, φράσω πρὸς ὑμᾶς ἐγώ. ἦλθον πρὸς αὐτὸν πρέσβεις ἐκ Θηβῶν, ὅτε περ (δ.)
καὶ παρ' ὑμῶν ἡμεῖς ἦμεν ἐκεῖ. τούτοις χρήματα ἐκεῖνος ἐβούλετο δοῦναι, καὶ πάνυ (ἧκον. α. δ.)
253 γε, ὡς ἔφασαν, πολλά. οὐκ ἐδέξαντο, οὐδ' ἔλαβον ταῦτα οἱ τῶν Θηβαίων πρέσβεις.
μετὰ ταῦτα ἐν θυσίᾳ τινὶ καὶ δείπνῳ πίνων καὶ φιλανθρωπευόμενος πρὸς αὐτοὺς
ὁ Φίλιππος, ἄλλα τε δὴ πολλά, οἷον αἰχμάλωτα καὶ τὰ τοιαῦτα, καὶ τελευτῶν, ἐκ-
πώματα ἀργυρᾶ καὶ χρυσᾶ προὔτεινεν αὐτοῖς. ταῦτα πάντα ἐκεῖνοι διεω- (γρ. προὔτεινε. α. β. ε. δ. η.)
254 θοῦντο, καὶ οὐδαμῇ προσίεντο ἑαυτούς. τελευτῶν δέ, Φίλων εἷς τῶν πρέσβεων (διωθοῦντο. α. δ.)
εἶπεν, ὦ ἄνδρες Ἀθηναῖοι, λόγον, οὐχ ὑπὸ Θηβαίων, ἀλλ' ὑπὲρ ὑμῶν ἄξιον εἰ-
ρῆσθαι. ἔφη γάρ, τὸν Φίλιππον ὁρῶν μεγαλοψύχως καὶ φιλανθρώπως ἔχοντα πρὸς
αὐτούς, ἥδεσθαι καὶ χαίρειν. αὐτοὶ μὲν οὖν ὑπάρχειν αὐτῷ φίλοι καὶ ξένοι καὶ ἄνευ τῶν
255 δώρων τούτων. εἰς δὲ τὰ τῆς πόλεως πράγματα, ἐν οἷς ἦν τότε, τὴν φιλανθρω- (φιλίαν. ε.)
πίαν αὐτὸν ἠξίουν ταύτην προσθέντα, ἄξιόν τι καὶ αὐτοῦ καὶ τῶν Θηβαίων πρᾶξαι. (γρ. προτείναντα. α. δ.)
καὶ ὅλην δὲ τὴν πόλιν οὕτω καὶ σφᾶς ὡμολόγουν ὑπάρξειν αὐτῷ. καὶ γάρ τοι σκέ-
ψασθε, τί τοῖς Θηβαίοις γέγονεν ἐκ τούτων, καὶ τί συμβέβηκε. καὶ θεάσασθε ἐπ' αὐτῆς
255 τῆς ἀληθείας, ἡλίκον ἐστὶ τὸ μὴ πωλεῖν τὰ τῆς πόλεως πράγματα. πρῶτον μὲν
τοίνυν εἰρήνη γέγονεν αὐτοῖς, πονοῦσι, καὶ ταλαιπωρουμένοις ἤδη τῷ πολέμῳ, καὶ
ἡττωμένοις. εἶτα τῶν ἐχθρῶν Φωκέων, ἄρδην ὄλεθρος, καὶ ὅλων τῶν τειχῶν καὶ
τῶν πόλεων ἀναίρεσις. ἆρα καὶ μόνα ταῦτα; οὐ μὰ Δί', ἀλλ' ἔτι πρὸς τούτοις, Ὀρχομε-
257 νός, Κορώνεια, Κορσιαί, τὸ Τιλφωσσαῖον, τῆς τῶν Φωκέων χώρας ὅσην ἐβούλοντο. τοῖς μὲν
δὴ Θηβαίοις, ταῦτα ἐκ τῆς εἰρήνης γέγονεν, ὧν οὐδ' ἂν εὔξαιντο δήπου μείζονα.
τοῖς δὲ πρέσβεσι τοῖς τῶν Θηβαίων, τί; οὐδέν, πλὴν τὸ τούτων αἰτίοις γεγενῆσθαι
τῇ πατρίδι. τοῦτο δὲ καλόν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σεμνὸν εἰς ἀρετῆς λόγον καὶ
258 δόξης, ἣν οὗτοι χρημάτων ἀπέδοντο. ἀντιθῶμεν δή, τί τῇ τῶν Ἀθηναίων πόλει γέ-

γονεν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γονεν ἐκ τῆς εἰρήνης, καὶ τί τοῖς πρέσβεσι τοῖς τῶν Ἀθηναίων. καὶ θεωρεῖτε εἰ παραπλήσια τῇ πόλει, καὶ τούτοις αὐτοῖς. τῇ πόλει μὲν τοίνυν, ἀφεστηκέναι μὲν ἁπάντων καὶ τῶν κτημάτων, καὶ τῶν συμμάχων, ὡμομολογηκέναι δὲ Φιλίππῳ, κἂν ἄλλος τις ἴῃ ποτ' ἐπ' αὐ- 259
τά, βουλόμενος σώζειν, ὑμᾶς κωλύσειν· καὶ τὸν μὲν ὑμῖν βουλόμενον παραδοῦναι, ἐχθρὸν ἡγήσασθαι καὶ πολέμιον. τὸν δὲ ἀπεστερηκότα, σύμμαχον καὶ φίλον. ταῦτα γάρ ἐστιν, ἃ συνεῖπε μὲν Αἰσχίνης οὑτοσί, ἔγραψε δὲ ὁ τούτου συνεργὸς Φιλοκράτης. καὶ κρατοῦν- 260
τος ἐμοῦ τῇ προτέρᾳ ἡμέρᾳ, καὶ πεπεικότος ὑμᾶς, τὸ τῶν συμμάχων δόγμα κυρῶσαι, καὶ καλέσαι τοὺς πρέσβεις τοὺς τοῦ Φιλίππου, ἐκκρούσας οὗτος εἰς τὴν ὑστεραίαν, τὴν τοῦ Φιλοκράτους γνώμην ἔπεισεν ὑμᾶς ἑλέσθαι. ἐν ᾗ καὶ ταῦτα, καὶ πολλὰ ἄλλα ἔτι τούτων 261
δεινότερα ἐστὶ γεγραμμένα. τῇ μὲν δὴ πόλει ταῦτα ἐκ τῆς εἰρήνης γέγονεν. ὧν οὐδ' εὑρεῖν αἴσχιω ῥᾴδιον. τοῖς δὲ πρέσβεσι τί τοῖς ταῦτα πράξασι; τὰ μὲν ἄλλα σιωπῶ, πλὴν ὅσα ἑωράκατε ὑμεῖς, οἰκίας, ξύλα, πυρούς, ἀλλ' ἃ ἐν τῇ τῶν ἀπολωλότων συμ- 262
μάχων χώρᾳ, κτήματα, καὶ γεωργίαι παμπληθεῖς, Φιλοκράτει μὲν τάλαντον ἔχουσαι πρόσοδον, τούτῳ δ' Αἰσχίνῃ, τριάκοντα μνᾶς. καίτοι, πῶς οὐ δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σχέτλιον, τὰς τῶν ὑμετέρων συμμάχων συμφορὰς προσόδους τοῖς πρέσβεσι τοῖς ὑμετέροις γεγενῆσθαι· 263
καὶ τὴν αὐτὴν εἰρήνην τῇ μὲν ἐκπεμψάσῃ τῇ πόλει, τῶν μὲν συμμάχων ὄλεθρον, τῶν δὲ κτημάτων ἀπόστασιν, ἀντὶ δὲ δόξης, αἰσχύνην γεγενῆσθαι, τοῖς δὲ πρέσβεσι τοῖς κατὰ τῆς πόλεως ταῦτα πράξασι, προσόδους, εὐπορίας, κτήματα, πλοῦτον, ἀντὶ τῶν ἐσχάτων ἀπορειῶν, εἰργάσθαι. Ἀλλὰ μὴν, ὅτι ταῦτ' ἀλη- 264
θῆ λέγω, κάλει μοι τούτων τοὺς Ὀλυνθίους μάρτυρας.

Μάρτυρες.

Οὐ τοίνυν θαυμάσαιμ' ἄν, εἰ καὶ τοιοῦτό τι τολμήσει λέγειν, ὡς οὐκ ἦν καλή, οὐδ' οἵαν ἠξίουν ἐγὼ τὴν εἰρήνην ποιήσασθαι, κακῶς τοῦ πολέμου τῶν στρα- 265
τηγῶν κεχρημένων. ἂν δὴ ταῦτα λέγῃ, πρὸς θεῶν ἐρωτήσατε αὐτὸν μεμνημένοι, πότερον ἐξ ἑτέρας τινὸς ᾤχετο πρεσβεύων πόλεως, ἢ ταύτης τῆς αὐτῆς. εἰ μὲν γὰρ ἐξ ἑτέρας, ἣν κεκρατηκέναι* τοῦ πολέμου φήσει, καὶ χρηστοὺς ἔχειν τοὺς στρατηγούς, εἰκότως χρήματα εἴληφεν. εἰ δ' ἐκ ταύτης αὐτῆς, τίνος ἕνεκα ἐφ' οἷς ἡ πέμψασα 266
πόλις τῶν ἑαυτῆς ἀπέστη, ἐπὶ τούτοις οὗτος δῶρα προσλαβὼν φαίνεται. τῶν γὰρ αὐτῶν ἔδει τήν τε πέμψασαν πόλιν τυγχάνειν, καὶ τοὺς ἐκ ταύτης πρέσβεις, εἴπερ τι τῶν δικαίων ἐγίγνετο. ἔτι τοίνυν κἀκεῖνο σκέψασθε, ὦ ἄνδρες Ἀθηναῖοι. πότερ' οἴεσθε, πλέον Φωκέας Θηβαίων, ἢ Φίλιππον ὑμῶν κρατεῖν τοῦ 267
πολέμου. ἐγὼ μὲν γὰρ εὖ οἶδ' ὅτι Φωκεῖς Θηβαίων. εἶχον γὰρ Ὀρχομενόν, καὶ Κορώνειαν,

ἐγήσασθ. α.
ὅλη. ε.
ἀλλὰ α. λ.
κβ.
πύργους. λ.
τάλαντα. β.
ὀλυνθίων.
κε. ἐκ ταύτης. λ.
κ. α. ε. λ.
καλοὺς. λ.
δωρεάς. λ.

τοῦ ἰδίου λόγου. Ξύλα, πυρούς) 261
Ταῦτα Φιλοκράτην ἔχοντα ᾔδεσαν ἅπαντες. προκατασκευάσαι δὲ τὴν συνηγορίαν, ἐβιάσατο δεῖξαι, ὡς καὶ τῶν τοιούτων ἐστὶ κοινωνός.

Τριάκοντα μνᾶς) Τὸ ἥμισυ ἐχα- 262
ρίσατο τῷ Φιλοκράτει. Ὡς οὐκ ἦν 264
καλή, οὐδ' οἵαν ἠξίουν) Μεταστατικὴ ἀντίθεσις ἐπὶ τοὺς στρατηγοὺς μεταφέρουσα τὴν αἰτίαν. ποιεῖ δὲ αὐτὸν ὁμολογοῦντα, ὡς ἡ εἰρήνη κακή. ἵνα λύσωμεν ὅτι διὰ τὴν αὐτοῦ δωροδοκίαν ἐγένετο κακή, οὐ διὰ τοὺς στρατηγούς, οὓς αἰτιᾶται. Πότερον 265
ἐξ ἑτέρας) Οἷον νενικηκυίας ἢ ταύτης, δηλονότι τῆς ἡττημένης. * ἐν τινὶ βίβλῳ γέ- 266
γραπται ταῦτα, μετὰ τὸ ἐγίγνετο. Νῦν δὲ ἡ μὲν πόλις, τῶν αὐτῆς ἀφέστηκεν· οὗτος δὲ χρήματα εἴληφεν. ἀλλ' οὐχ ἡγοῦμαι εἶναι γνήσια Δημοσθένους. Ἔτι τοίνυν κἀκεῖνο) Δεύτερον ἐπιχείρημα εἰς τὸ αὐτό. πειρᾶται δὲ ἀποδεικνύναι διὰ τῶν δευτέρων, ὅτι οὔτε τὸ ἡττᾶσθαι, οὔτε τὸ νικᾶν αἴτιον γένοιτ' ἂν τοῦ τὸν Φίλιππον ποιῆσαι κακῶς τοὺς Φωκέας, ἀλλ' ἡ πρόφασις τῶν πρέσβεων· λέγει γὰρ ὅτι, εἰ καὶ συνέβαινεν ἡμᾶς ἡττᾶσθαι τοῦ πολέμου, ὡς καὶ Θηβαίους ὑπὸ Φωκέων, οὐδὲν ἂν ἐκώλυσεν αὐξηθῆναι τὰ πράγματα τῆς πόλεως, μὴ αὐξηθέντος Αἰσχίνου. ἡττῶντο γὰρ οἱ Θηβαῖοι τοῦ πολέμου τῶν Φωκέων. προσθέμενος δὲ τοῖς Θηβαίοις τοῖς ἡττημένοις ὁ Φι-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ τὸ Τιλφωσαῖον, καὶ τοὺς ἐν *νέωσιν ἀπειλῆφθαι *νεώσιναις. ε. π.
*αὐτῶν, καὶ ἑβδομήκοντα καὶ *διακοσίους ἀπεκλό- *αὐτοῦ. β. *τετρακοσίους.
268 νεσθαι ἐπὶ τῷ ἡδυλείῳ, καὶ τρόπαιον εἱστήκει, καὶ ἱπ-
ποκρατοῦν, καὶ κακῶν ἰλιὰς περιειστήκει θηβαίους.
ὑμῖν δὲ, τοιοῦτο μὲν, οὔτ' ἦν*, οὔτε γένοιτο τοῦ λοι- *μηδὲν, μήτε. α. δ. ζ. η.
ποῦ. τοῦτο δ' ἦν τὸ δυσκολώτατον τοῦ πρὸς φίλιππον πο-
269 λέμου· οὐκ ἐδύνασθε κακῶς, ἡνίκα ἐβούλεσθε, ποιεῖν
ἐκεῖνον. τοῦ δὲ μὴ παθεῖν ἔτι αὐτοὶ πᾶσαν ἄδειαν ἤγε-
τε. ὑπὸ τ' οὖν ἐκ τῆς αὐτῆς εἰρήνης, τοῖς μὲν θη-
βαίοις, τοῖς τοσοῦτο κρατουμένοις τῷ πολέμῳ,
270 καὶ τὰ ἑαυτῶν κομίσασθαι, καὶ τὰ τῶν ἐχθρῶν προσ-
λαβεῖν *ἐγέγονε· τοῖς δὲ ἀθηναίοις *ὑμῖν καὶ ἃ *γέγονε. α. ζ. *ἡμῖν. ε.
τῷ πολέμῳ διεσώζετο, ταῦτ' ἐπὶ τῆς εἰρήνης ἀ-
πολωλεκέναι. ὅτι τὰ μὲν ἐκείνων, οὐκ ἀπέδοντο οἱ
271 πρέσβεις, τὰ δ' *ὑμέτερα, οὗτοι πεπράκασιν. *ἡμετ. α.
ἀλλὰ νὴ δία τοὺς συμμάχους ἀπειρηκέναι φή-
σει τῷ πολέμῳ· ὅτι γὰρ ταῦτα οὕτω πέπρα-
χθαι, καὶ ἐκ τῶν *ἐπιλοίπων ἔτι μᾶλλον εἴσε- *ὑπολοίπων. δ.
272 σθε. ἐπειδὴ γὰρ ἡ μὲν εἰρήνη τέλος εἶχεν αὐτῇ ἡ
τοῦ φιλοκράτους, ἣ συνέπειν οὗτος· οἱ δὲ πρέ-

267 λιππος διὰ τοὺς λόγους τῶν πρέσβεων, ἐπικινδυνέστερα τὰ πράγματα τῶν θηβαίων πεποίηται. Ἀπειλῆφθαι αὐ-
268 τῶν) Πολιορκουμένους τινὰς καὶ ἀπειλημμένους ἐν τῷ χωρίῳ ἑαυτῶν, διέσωσαν οἱ φωκεῖς καὶ ἐρύσαντο. Ἐπὶ τῷ ἡδυλείῳ) Ἡδύλειον τόπος, ἢ ὄρος ἐν βοιωτίᾳ. Ἄλλως. Ἡδύλειον, ὄρος ἐν βοιωτίᾳ ἔχον μὲν σταδία· καλεῖται δὲ τειχῶς. τὸ μὲν σύνεγγυς τῶν ποταμῶν, ἡδύλειον· τὸ δὲ κατὰ μέσον, ἀκόντιον· τὸ δὲ ὑπὲρ τὸν ὀρχομενὸν κείμενον, ἑρμίσιον. Κακῶν ἰλιὰς) Ἀπὸ τῶν ἐν τροίᾳ κακῶν ἡ παροιμία, ἐπὶ τῶν τὰ δεινότατα παθόντων. φησὶ δὲ ὁ γενέθλιος, ὅτι ἐνήλλακται ἡ πτῶσις· ἔδει γὰρ εἰπεῖν ἰλιάδος
271 κακά. Ἀλλὰ νὴ Δία τοὺς συμμάχους) Ἡ αὐτή ἐστιν ἀντὶ τῆς προκειμένης. τοῦ γὰρ γενέσθαι τὴν εἰρήνην κακήν, καὶ οἱ στρατηγοὶ αἴτιοι, καὶ οἱ σύμμαχοι φωκεῖς, ἀπειρηκότες τῷ πολέμῳ. προῆκται δὲ μετ' εἰρωνείας ὡς ἔλεγον. ἀλλ' ὅμως φανερῶς οὕτως ἡττηθέντων θηβαίων, τολμᾷ λέγειν αἰσχίνης ὅτι ἀπειρήκασι φωκεῖς τῷ πολέμῳ. καὶ οὕτως ἡ ἀντίθεσις διὰ τὴν τῆς τάξεως εὐκαιρίαν ἑαυτὴν λύει. Ἄλλως. Ἐπεὶ μὲν τὸ προκείμενον ἐπιδεῖξαι, ὅτι ἐκ τοῦ ψηφίσματος φιλοκράτους καὶ τῆς συνηγορίας αἰσχίνου. τοῦτον τὸν τρόπον φωκεῖς ἀπολώλασι· καὶ ὅτι ἐπὶ τούτοις καὶ αἰσχίνης κεκόμισται χρήματα· τὸ δ' ἐπαγόμενον παρ' αἰσχίνου ἀντέγκλημα, κρύπτεται μὲν ἐπὶ τοῦ παρόντος. λύεται δὲ εὐθὺς ἐφεξῆς· ἐπειδὴ γὰρ ἡ μὲν εἰρήνη, καὶ τἄλλα. διὰ τοῦτο μὲν ἄρχεται λύειν ὡς ἔφαμεν τὸ ἀντέγκλημα· τὸ δὲ αὐτὸ καὶ πρὸς ἀπόδειξιν λαμβάνει τῆς αἰσχίνου δωροδοκίας. βούλεται γὰρ μὴ μόνον ἀπολογήσασθαι, ὑπὲρ τῆς θρᾳκικῆς, ἀλλὰ καὶ ἀντεγκαλέσαι περὶ τῆς αὐτῆς αἰσχίνῃ, ὡς ἑκόντι προϊεμένῳ καὶ αὐτὴν καὶ τὸν κερσοβλέπτην.

Ὅτι γὰρ ταῦτα οὕτω) Τοῦτο πλείστην ἀκολουθίαν ἔχει πρὸς τὴν ἀντίθεσιν· ἐπειδὴ γὰρ βουλομένης τῆς πόλεως περὶ τοῦ τίνα δεῖ γενέσθαι τὴν εἰρήνην, καὶ ἐπὶ τίσιν, ὁ δημοσθένης ἐγκαλεῖ τῷ αἰσχίνῃ, ὡς παρελθόντι καὶ πείσαντι αὐτὴν φωκέων ποιήσασθαι, καὶ πάλιν αἰσχίνης ἐγκαλεῖ τῷ δημοσθένει, ὡς πείσαντι αὐτὴν κερσοβλέπτου ποιήσασθαι, ἀποδείξας ἐν ταῖς προκειμέναις λύσεσιν, ὅτι οὐ διὰ τὸ ἡττᾶσθαι τὴν πόλιν, ἠνάγκασε τοιαύτην ποιήσασθαι τὴν εἰρήνην αἰσχίνης, ἀπολογεῖται πάλιν ἐντεῦθεν, ὡς οὐ δι' αὐτὸν ἀπώλετο κερσοβλέπτης, γράψαντα μὴ ἀναμένειν τοὺς παρ' ἐκείνου συνέδρους, ἀλλὰ δι' αἰσχίνην βραδύναντα, καὶ μὴ σπεύσαντα εἰς τοὺς τόπους, ἔνθα
ἐπύθετο εἶναι φίλιππον. ὡς καὶ δημοσθένης *ἐγέγραφει, ὡς εἶναι τὴν ἀντίθεσιν ἀντεγκληματικήν· οὐ μόνον ἔπεισεν ὑμᾶς *ἐγγεγράφει. α.
αἰσχίνης τὴν εἰρήνην αὐτὴν φωκέων ποιήσασθαι, ἀλλὰ καὶ σὺ ἔπεισας ἡμᾶς, ὦ δημόσθενες, αὐτὴν κερσοβλέπτου ποιήσασθαι. ἀντεγκαλοῦσιν οὖν ἀλλήλοις περὶ ὧν ἔπεισαν. ὁ μὲν δημοσθένης αἰσχίνῃ, ὅτι αὐτὴν φωκέων· ὁ δὲ αἰσχίνης πάλιν τῷ ῥήτορι, ὅτι αὐτὴν τοῦ κερσοβλέπτου. διὰ τοῦτο συστήσας ὁ δημοσθένης ὅτι οὐ καλῶς αὐτὴν φωκέων, συνίστησιν ἐντεῦθεν ὅτι καλῶς αὐτὴν κερσοβλέπτου, ἐπὶ τοῦ τότε παρόντος καιροῦ· ῥᾴδιον γὰρ ἦν ἐᾶσαι τὸν κερσοβλέπτην, πλεύσαντας ἐπὶ τὴν θρᾴκην τοὺς πρέσβεις. ἔθος δὲ τῷ δημοσθένει τὰ χαλεπώτατα, καὶ ἃ δέδοικε προλύσαντι, μετὰ ταῦτα ἐπάγειν πολλάκις αὐτὰ τὰ λυποῦντα, τουτέστι, τὰς παρὰ τῶν ἀντιδίκων προτάσεις. προϊούσης οὖν τῆς ἐργασίας, τοῦτο ἐπήγαγεν. ἐνθένδε τοίνυν αὐτοὺς ἐξήγαγον, ὡς σπεύδειν σῶσαι τὸν κερσοβλέπτην. τούτων δὲ βραδυνόντων καὶ μὴ θελόντων ἵνα αὐτὸν προδῶσι, καὶ πάλιν ἑξῆς. Καὶ μὴν ὅτι τὸν φίλιππον ἐν ἑλλησπόντῳ κατελάβομεν. Ἐνταῦθα γάρ ἐστιν ἐνδεικνυμένου ποιήσασθαι ταχέως τὴν εἰρήνην ἐπὶ τῷ σώζεσθαι κερσοβλέπτην. καὶ ἡ μαρτυρία δὲ τοῦ εὐκλείδου αὐτὸ τοῦτο συνίστησι. διὰ γὰρ τὴν βραδυτῆτα τῶν πρέσβεων, ἔφη πρὸς εὐκλείδην ὁ φίλιππος ἀγνοῆσαι τὸν καιρὸν τῆς εἰρήνης, καὶ διὰ τοῦτο χειρώσασθαι τὸν κερσοβλέπτην. ὥστε τοῦτο τὸ μέρος λύσιν περιέχει τῶν κατὰ δημοσθένους ἐγκλημάτων. καὶ ἀντέγκλημα κατ' αἰσχίνου, ὡς ἑκόντως προεμένου τὸν κερσοβλέπτην. παραφθεγγων δὲ τοὔνομα τοῦ κερσοβλέπτου, καὶ τὴν περὶ αὐτοῦ μνήμην τὴν θρᾴκην ἀντ' ἐκείνου προβάλλεται, τῷ μείζονι τὸ ἔλαττον συμπεριλαμβάνων. καὶ πλείω καὶ μείζω ἐγκαλῶν ἢ ἐγκαλεῖται. φανερωτέραν δὲ ἐποίησε καὶ ἐνεργεστέραν τὴν χρῆσιν τοῦ θεωρήματος εἰπὼν ἐφεξῆς.

Καὶ ἐκ τῶν ἐπιλοίπων) Τῶν θρᾳκῶν λέγει. οὕτως οἶδεν οὐκ ἐγκλήματα προηγούμενα, ἀλλ' ὡς ὑπόλοιπα ἀποδείξεων.

Ἀπῄρκεσαν)

σβεις ἀπήρκεσαν οἱ τοῦ Φιλίππου, λαβόντες τοὺς
ὅρκους, καὶ μέχρι τούτου γε οὐδὲν ἠδίκησαν ἓν τῶν
πεπραγμένων, ἀλλ᾽ αἰσχρὰ μὲν ἡ εἰρήνη καὶ ἀνα-
ἂν. ξία τῆς πόλεως, ἀντὶ δὲ τούτων δὴ τὰ θαυμάσια 273
ἔμελλεν ἡμῖν ἀγαθὰ ἔσεσθαι. ἠξίουν ὑμᾶς ἐγώ, καὶ
τούτοις ἔλεγον πλεῖν τὴν ταχίστην ἐφ᾽ Ἑλλησπόντου, καὶ
μὴ προέσθαι, μηδ᾽ ἐᾶσαι καταλαβεῖν Φίλιππον, μη-
δὲν ἐν τῷ μεταξὺ χρόνῳ τῶν ἐκεῖ τι χωρίων. ᾔδειν
γενομ. γὰρ ἀκριβῶς, ὅτι πάνθ᾽ ὅσα ἂν ἐκ πολέμου γιγνο- 274
μένης εἰρήνης προεθῇ, ταῦτα τοῖς ἀμελήσασιν ἀ-
πόλλυται. οὐδεὶς γὰρ πώποτε ὑπὲρ τῶν ὅλων πεισθεὶς
εἰρήνην ἄγειν, ὑπὲρ τῶν ἐγκαταλειφθέντων ἐξ ἀρ-
ἐθελῆσαι. λ. χῆς ἠθέλησε πολεμεῖν. ἀλλὰ ταῦθ᾽ οἱ προλαβόν-
τες ἔχουσι, χωρὶς δὲ τούτων, δυοῖν χρησίμοιν οὐ δια- 275
ὑμῶν. λ. μαρτήσεσθαι τὴν πόλιν ἡγούμην, πλευσάντων ἡμῶν.
αὐτὰ. ε. ἢ γὰρ παρόντων, καὶ κατὰ τὸ ψήφισμα αὐτὸν ἐξορκω-
ἃ. λ. ε. π. σάντων, ἃ μὲν εἰλήφει τῶν τῆς πόλεως, ἀποδώσειν,
ἐκείνου. α. λ. τῶν δὲ λοιπῶν ἀφέξεσθαι, ἢ μὴ ποιοῦντος τούτου ταῦ-
ι π. ἀπαγγελεῖν. τα, ἀπαγγέλλειν ἡμᾶς εὐθέως δεῦρο. ὥστ᾽ ἐν ἐκεί- 276
λ. νοις τοῖς πόρρω, καὶ ἐλάττοσι τὴν πλεονεξίαν, καὶ
ἰδόντας. π. τὴν ἀπιστίαν εἰδότας ὑμᾶς, περὶ τῶνδε τῶν ἐγγύς,
δὲ. α. καὶ τῶν μειζόνων, λέγω δὴ Φωκέων καὶ Πυλῶν, οὐ
προήσεσθαι. μὴ προλαβόντος δ᾽ ἐκείνου ταῦτα,
μηδ᾽ ὑμῶν ἐξαπατηθέντων, ἅπαντ᾽ ἐν ἀσφαλεῖ 277
λ. τὰ πράγματ᾽ ὑμῖν ἔσεσθαι, καὶ παρ᾽ ἑκόντος ὑ-
πάρξειν αὐτοῦ τὰ δίκαια. καὶ ταῦτ᾽ εἰκότως οὕτως
ὑπελάμβανον ἕξειν. εἰ γὰρ ἦσαν, ὡς ἦσαν τότε,
οἱ Φωκεῖς σῷοι, καὶ Πύλας εἶχον, ἐκεῖνος μὲν οὐδὲν ἂν
εἶχεν ὑμῖν ἀνατείνασθαι φοβερόν, δι᾽ ὃ τῶν δικαίων 278
παρείδετε. α. ἄν τι παρείδετε. οὔτε γὰρ κατὰ γῆν παρελθών, οὔτε ναυσὶ κρατήσας, εἰς τὴν
Ἀττικὴν ἥξειν ἔμελλεν, ὑμεῖς δ᾽ ἐκείνῳ παραχρῆμα, εἰ μὴ τὰ δίκαια ποιοίη, κλεί-
ἐμπορεῖα. β. σειν τὰ ἐμπόρια, καὶ χρημάτων γ᾽ ἐν ἀπορίᾳ, καὶ τῶν ἄλλων ἐν πολιορκίᾳ πά-
δουλεύων. π. λιν αὐτὸν καταστήσειν. ὥστε ἐκεῖνος ὁ δουλεύσων ἔμελλεν ἔσεσθαι τοῖς ἀπὸ τῆς εἰρή- 279
νης λυσιτελοῦσιν, οὐχ ὑμεῖς. καὶ ταῦθ᾽ ὅτι οὐκ ἐπὶ τοῖς συμβεβηκόσι νῦν πλάτ-
εὐθέως α. δ. ε. π. τομαι, καὶ προσποιοῦμαι, ἀλλὰ τότ᾽ εὐθὺς ἐγνώκειν καὶ προεωρώμην ὑ-
πὲρ ὑμῶν, καὶ τούτοις ἔλεγον, ἐκεῖθεν εἴσεσθε. ἐπειδὴ γὰρ ἐκκλησία μὲν οὐκ ἔτ᾽
ἦν ὑπόλοιπος οὐδεμία διὰ τὸ προκατακεχρῆσθαι, οὗτοι δ᾽ οὐκ ἀπῄεσαν, 280
ἀλλ᾽ αὐτοῦ διέτριβον, γράφω ψήφισμα βουλεύων, τὴν βουλὴν ποιήσαντος τοῦ
δήμου κυρίαν, ἀπιέναι τοὺς πρέσβεις τὴν ταχίστην· τὸν δὲ στρατηγὸν Πρόξενον,
κομίζειν αὐτοὺς ἐπὶ τοὺς τόπους, ἐν οἷς ἂν ὄντα Φίλιππον πυνθάνηται. γρά-
ψας ὥσπερ νῦν λέγω τοῖς ῥήμασιν, αὐτίκρυς οὕτως. Καί μοι λέγε τοῦτο τὸ 281
ψήφισμα λαβών.

Ἀπήρκεσαν) Ἀπηλλάχεσαν, ἀπὸ 272
τοῦ ἀπαίρω. Ἠξίουν ὑμᾶς ἐγὼ 273
καὶ τούτοις ἔλεγον, πλεῖν τὴν ταχί-
στην ἐφ᾽ Ἑλλησπόντου) Ἡ γὰρ ταχυτὴς
καὶ ἡ σπουδή, ἔμφασιν ἔχει τῆς Δη-
μοσθένους κηδεμονίας, καὶ τοῦ σπου-
δάζειν αὐτὸν σῶσαι τὸν Κερσοβλέπτην,
ἵνα παρὰ τὸν μέλλοντα καὶ τὸν βρα-
δύνοντα ἡ προδοσία γένηται. Καὶ
μὴ προέσθαι μηδ᾽ ἐᾶσαι) Δεικνῦ-
σιν ὅτι οὐ παρὰ τὸ μὴ ἀναμεῖναι
τοὺς Κερσοβλέπτου συνέδρους, ἀπώ-
λωλεν ὁ Κερσοβλέπτης, ἀλλὰ διὰ τὴν
τούτου βραδυτῆτα ὥστε ἡ προδο-
σία ἐνταῦθα πέφυκεν. εἶτα ἐπειδὴ
περ ἀντέπιπτεν, ἀλλ᾽ ἄδηλον εἰ μήπω
ταῦτα κατειλήφει Φίλιππος, ἐμέρι-
σε τὴν λύσιν, ταῦτα εἰπών, δίχα.
ἀλλ᾽ εἰ καὶ προειλήφει, ἀλλ᾽ οὐ πάν-
τα, καὶ αὐτὰ δὲ πάντα, ἃ προει-
λήφει, πάντως ἂν ἀπέδωκε παρόν-
των ἡμῶν, καὶ τῶν λοιπῶν ἐφείσατο
ἄν· ἢ εἰ μὴ ταῦτα ἐπεποιήκει, οὐκ ἂν
ὡρκίζομεν αὐτόν. καὶ πάντες ἂν ἐφυ-
λαξάμεθα, ταῦτα εἰδότες, ἐξαπα-
τηθῆναι περὶ Φωκέων. καὶ κατα-
σκευάζει διὰ τῶν ἑξῆς, ὅτι καὶ ῥᾴ-
διον ἦν ἀνακομίσασθαι Κερσοβλέ-
πτην σωζόμενον. Ἄλλως. Δυοῖν
ἀποδεικτικὸν τὸ προκείμενον· ἑνὸς
μὲν ὅτι οὐ παρ᾽ αὐτὸν ἀπώλωλε Κερ-
σοβλέπτης ἑτέρου δὲ τοῦ διὰ τὸν Αἰ-
σχίνην, καὶ τοὺς ἄλλους πρέσβεις ἑ-
κόντας ἐπιβουλεύσαντας ἀπολωλέ-
ναι. Ἐν τῷ μεταξὺ χρόνῳ) Τῆς
εἰρήνης καὶ τῶν ὅρκων. Ἀνατεί- 278
νασθαι) Ἀπειλῆσαι. Διὰ τὸ προ- 280
κατακεχρῆσθαι) Δεδαπανῆσθαι.
Τὸν δὲ στρατηγὸν πρόξενον) Τοῦτο λέγει, ἵνα μὴ προφασίζωνται φόβον, ἢ κίνδυνον.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

282 Συνέσμεν τῷ προξένῳ) Ἵνα μὴ εἴπῃ, σὺ μὲν ἔγραψας λαβεῖν παρὰ τοῦ προξένου ἡμᾶς τριήρη, οὐκ ἠδυ-
γρ. Συνεμίξαμεν. νήθημεν δὲ εὑρεῖν αὐτόν. διὰ τοῦτο ἐπάγει. ἐπορεύοντο κύκλῳ, καμπάς τινας καὶ οὐκ ὀρθὴν ποιούμενοι. Τρεῖς καὶ εἴκοσιν ἡμέρας) Λύσιν περιέχει τοῦ ἀντιπίπτοντος· ἐπειδὴ γὰρ ἠδύνατο αἰσχίνης ἀνθυποφέρειν, ἀλλ' οὐκ ἦν ῥᾴδιον ἐν ἐλαχίστῳ χρόνῳ εἰς τὸν φίλιππον ἥκειν, λύει δηλῶν, ὅτι μάλιστα μὲν ἔδει πλεῖν. εἰ δ' ἄρα μὴ ἐβούλεσθε, ἱκανὸς ἦν ὁ χρόνος, ὥστε κατὰ γῆν ὑμᾶς πορευθέντας συμμῖξαι φιλίππῳ. πέλλη δ' ἡ πατρὶς φιλίππου ἐκλήθη, διὰ τὸ ὑπὸ βοὸς εὑρεθῆναι τὴν προσηγορίαν πέλλης τὸ χρῶμα, ὅ ἐστι πεφρῶδες κατὰ τὴν μακεδόνων φωνήν, ἢ παρὰ τοὺς πέλας τοὺς λίθους
283 κατὰ τὴν μακεδόνων φωνήν. Ἐν δὲ τούτῳ, δορίσκον) Ἔδειξε δι' ἣν αἰτίαν ἀπώλετο κερσοβλέπτης καὶ θρᾴκη. καὶ τὰ μὲν τῶν ἐγκλημάτων, ἐπὶ φίλιππον μετήνεγκε, τὰ δέ, εἰς τοὺς πρέσβεις. Τὰ ἐπὶ τειχῶν) Ἐν θρᾴκῃ δηλονότι χωρία καὶ φρούρια. σκόπει δὲ ὅτι ἄνω μὲν ἐπράττοντο εἶπεν, ἑαυτὸν τοῦ ἐγκλήματος ὑπεξαιρῶν. ὕστερον δὲ καὶ ἑαυτὸν συγκατέμιξεν. ὃ ἦν διὰ τὴν ἀνάγκην ἀνεύθυ-
384 νον. Πολλὰ λέγοντος ἐμοῦ) Ἵνα μὴ πρὸς ἀφοσίωσιν ἅπαξ εἰρηκέναι δοκῇ, προσέθηκε τὸ ἀεί· κοινῇ τι καὶ φανερῶς λέγοντος· ὡς ἐνδεχομένου καὶ σωθῆναι τὸν κερσοβλέπτην. αἱ δὲ ποικίλαι δημηγορίαι, καὶ συμβουλαί, καὶ πλάσεις, καὶ πρὸς τοὺς πρέσβεις ἀπέχθειαι, ἔνδειξιν περιέχουσι τῆς τε εὐνοίας τοῦ ῥήτορος, καὶ τῆς ἐπιβουλῆς ἐκείνων. Ὁ δὲ τούτοις ἀντιλέγων) Τοῦτο εἶπεν, ἵνα μὴ γένηται παντελῶς κοινόν, ἀλλ' ἴδιον. τοῦτο μὲν οὖν καὶ πάλαι προδιῳκήσατο ἐν τῇ τῶν ἐλέγχων ἀπαιτήσει, εἰπὼν μέγιστον εἶναι τοῦτο τὸ σημεῖον τῆς δωροδοκίας τοῦ αἰσχίνου, τό, ἐξὸν αὐτῷ καταμαρτυρήσαντα φιλοκράτους, ἀπηλλάχθαι τῆς ὑποψίας, μήτε παρελθεῖν, μήτε εἰπεῖν ἐναντίον φιλοκράτει μηδέν. ἐνταῦθα δὲ ὁμοίως τῷ αὐτῷ κατακέχρηται καὶ ἐπὶ τῶν ἄλλων πρέσβεων, ἐνάγων αὐτοὺς καὶ τι ἐπιμένος (?) ἐπὶ τὴν μαρ-
286 τυρίαν τὴν κατ' αἰσχίνου. Οἵτινες δ' οἱ τούτων μετεσχηκότες) Πολλή γε ἡ δεινότης. ἐγκαλυμμένος γὰρ τοσοῦτον ἀπέχει καθ' ἑαυτὸν δοῦναι λαβεῖν, ὥστε καὶ περὶ τῶν αὐτῶν ἐγκαλῶν φαίνεται. τὸ δ' ἀνοσιωτάτους ἀνθρώπους, ἡ λέξις αὕτη δηλοῖ τὸν φιλόπολιν. πῶς γὰρ οὐκ ἀσεβέστατοι προδιδόντες τὴν γῆν, ἐν ᾗ πρῶτοι εἶδον τὸν ἥλιον; Ἀλλὰ νὴ δία, ἐν τούτῳ τῷ χρόνῳ) Ἐν τῷ χρόνῳ, ἐν ᾧ ἐκάθηντο ἐν πέλλῃ τὸν φίλιππον ἀναμένοντες. δεινῶσαι δὲ ἐβουλήθη διὰ τῶν ἑξῆς τὸ ἀδίκημα, καὶ σύστασιν δοῦναι τῷ δωροδοκήματι. ὅπου γὰρ ἐπανιόντες τοὺς ὅρκους ἔλαβον, καὶ οὐκ ἐπ' αὐτῆς τῆς μακεδονίας, οὐδ' ἐν μέσῳ τῶν στρατοπέδων, οὐδ' ἐν ἱερῷ, ἀλλ' ἐν πανδοχείῳ καὶ κρύβδην, κατὰ τὴν ἐπάνοδον. καὶ δῆλον ὅτι διατιθῆναι ὀργιλωτέρους βούλεται τοὺς δικάζοντας. ὅμως δ' οὐδὲν ἧττον καὶ τὸ καθ' ἑαυτὸν ἀπολύσασθαι. ἵνα δὲ μὴ εἴπωσιν, ὅτι οὐκ ἐν ἱερόν, ἀντεξετάσει τοὺς τόπους, ὅτι καὶ ἱεροῦ παρακειμένου ἐν πανδοκείῳ. οἱ ὅρκοι ἐγίνοντο ἐν βεβήλῳ τόπῳ καὶ φαύλῳ, καὶ ταῦτα ἱεροῦ πλησίον ὄντος διοσκουρείου. καὶ διὰ τοῦτο καὶ μάρτυρας τοὺς θιασώτας (?) τὸν τόπον ἐπικαλεῖται. παρέβαλε δὲ τὰ κατὰ τοὺς ὅρκους οὐκ ἀκολούθως, ἀλλ' ἵνα σημεῖον σημείου καὶ τοῦτο γένηται. ἡ μὲν γὰρ βραδυτής, σημεῖόν ἐστι τῆς δωροδοκίας, καὶ τὸ

## Ψήφισμα.

Ἐνθένδε μὲν τοίνυν αὐτοὺς ἐξήγαγον, οὕτως ἀ- γρ. ἀκούοντας. ἢ. ἀλόντας. ἢ.
282 κοντας, ὡς καθαρῶς οἷς μετὰ ταῦτα ἐποίουν, εἴσε-
σθε. ἐπειδὴ δ' ἀφικόμεθα εἰς ὠρεόν, καὶ συνεμίξαμεν γρ. συνέσμεν, καὶ συνετάξαμεν.
τῷ προξένῳ, ἀμελήσαντες οὗτοι τοῦ πλεῖν, καὶ τὰ
προστεταγμένα πράττειν, ἐπορεύοντο κύκλῳ. καὶ πρὶν
εἰς μακεδονίαν ἐλθεῖν, τρεῖς καὶ εἴκοσιν ἡμέρας ἀνη-
283 λώσαμεν. τὰς δ' ἄλλας ἁπάσας καθήμεθα ἐν πέλ- γρ. ἐκαθήμεθα.
λῃ, πρὶν φίλιππον ἐλθεῖν. σὺν αἷς ἐπορεύθημεν ὁμοῦ
πεντήκοντα ὅλας. ἐν δὲ τούτῳ, δορίσκον, θρᾴκην, τὰ
ἐπὶ τειχῶν, ἱερὸν ὄρος, πάντα τὰ πράγματα ἐν εἰ-
ρήνῃ καὶ σπονδαῖς ἦρει, καὶ διῴκειτο ὁ φίλιππος, πολλὰ
284 λέγοντος ἐμοῦ καὶ θρυλλοῦντος ἀεί· τὸ μὲν πρῶτον,
ὡς ἂν εἰς κοινόν, γνώμην ἀποφαινομένου· μετὰ ταῦ- κοινῷ. α. ζ.
τα δέ, ὡς ἀγνοοῦντας διδάσκοντος· τελευτῶντος δέ, ὡς
ἂν πρὸς πεπρακότας ἑαυτούς, καὶ ἀνοσιωτάτους ἀν-
θρώπους, οὐδὲν ὑποστελλομένου. ὁ δὲ τούτοις ἀντιλέ-
285 γων φανερῶς, καὶ ἅπασιν ἐναντιούμενος, οἷς ἔλεγον μὲν πᾶσι.
ἐγώ, ἐψήφισθε δ' ὑφ' ὑμῶν, οὗτος ἦν. εἰ δὲ καὶ πᾶσιν ἤρε-
σκε ταῦτα τοῖς ἄλλοις πρέσβεσιν, αὐτίκα εἴσεσθε. ἐγὼ
μὲν γάρ, οὐδέν πω λέγω περὶ οὐδενός, οὐδ' αἰτιῶμαι,
οὐδ' ἀναγκασθέντα αὐτῶν οὐδένα δεῖ δοκεῖν χρηστὸν εἶναι
286 τήμερον, ἀλλὰ δι' αὐτόν, καὶ τὸ μὴ κεκοινωνηκέναι τῶν
ἀδικημάτων. ὅτι μὲν γὰρ αἰσχρὰ καὶ δεινά, καὶ οὐ προῖ-
κα τὰ πεπραγμένα, πάντες ὑμεῖς ἑωράκατε. οἵ-
τινες δ' οἱ τούτων μετεσχηκότες, αὐτὰ δηλώσει. ἀλλὰ
νὴ δία, ἐν τούτῳ τῷ χρόνῳ τοὺς ὅρκους ἔλαβον πα-
287 ρὰ τῶν συμμάχων, ἢ τἄλλ', ἃ προσῆκεν, ἐποίησαν;
πολλοῦ γε καὶ δεῖ. ἀλλὰ τρεῖς μῆνας ὅλους ἀποδημή-
σαντες, καὶ χιλίας δραχμὰς λαβόντες ἐφόδιον παρ'
ὑμῶν, ὅσα παρ' οὐδεμιᾶς πόλεως, οὔθ' ὅτε ἐκεῖσε ἐπο- ὅσα οὐδὲ παρὰ μιᾶς ἄλλης πό...
ρεύοντο, οὔθ' ὅτ' ἐκεῖθεν δεῦρο, τοὺς ὅρκους ἔλαβον. ἀλλ'

ἑκόντως

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐν τῷ πανδοκείῳ τῷ πρὸ τοῦ διοσκορείου· εἴ τις ὑ- 288
μῶν εἰς φερὰς ἀφῖκται, οἶδεν ὃ ἐγὼ λέγω· ἐνταῦ-
θα ἐγίγνοντο οἱ ὅρκοι, ὅτε δεῦρο ἤδη τὸ στράτευμα
ἄγων ἐβάδιζε φίλιππος αἰσχρῶς, ὦ ἄνδρες ἀθη-
ναῖοι, καὶ ἀναξίως ὑμῶν. καίτοι τοῦθ' ὁ φίλιππος ἁ-
πάντων ἂν ἐτιμήσατο πλείστου, τοῦτον τὸν τρόπον πρα- 289
χθῆναι. τήν τε γὰρ εἰρήνην οὐχὶ δυνηθέντων ὡς ἐ-
πεχείρησαν οὗτοι τὸ πρῶτον, πλὴν ἀλέων καὶ φω-
κέων γράψαι· ἀλλ' ἀναγκασθέντος ὑφ' ὑμῶν τοῦ φι-
λοκράτους ταῦτα μὲν ἀπαλεῖψαι, γράψαι δ' ἄν-
τικρυς ἀθηναίους, καὶ τοὺς ἀθηναίων συμμάχους, οὐκ 290
ἐβούλετο τοῦτον ὀμωμοκέναι τὸν ὅρκον οὐδένα τῶν αὐ-
τοῦ συμμάχων. οὐ γὰρ αὐτῷ συστρατεύσειν ἐφ' ἃ
νῦν ἔχει τῶν ὑμετέρων ἔμελλον, ἀλλ' ἕξειν πρόφα-
σιν τοὺς ὅρκους· οὔτε μάρτυρας γενέσθαι τῶν ὑπο-
σχέσεων, ἐφ' αἷς εὑρίσκετο τὴν εἰρήνην· οὐδὲ τοῦ- 291
το δειχθῆναι πᾶσιν, ὅτι οὐκ ἄρα ἡ πόλις ἡ τῶν ἀ-
θηναίων ἡττᾶτο τῷ πολέμῳ. ἀλλὰ φίλιππός ἐστιν ὁ
τῆς εἰρήνης ἐπιθυμῶν, καὶ ὁ πολλὰ ὑπισχνούμε-
νος τοῖς ἀθηναίοις, ὥστε τυχεῖν τῆς εἰρήνης. ἵνα δὴ
μὴ γένηται ταῦθ', ἃ λέγω, φανερά, διὰ ταῦτα 292
ᾤετο δεῖν αὐτοὺς μηδαμόσε βαδίζειν. οὗτοι δ' ἐχα-
ρίζοντο πάντα, ἐνδεικνύμενοι καὶ ὑπερκολακεύον-
τες ἐκεῖνον. καίτοι ταῦθ' ὅταν ἐξελέγχωνται πάν-
τα, τοὺς χρόνους ἀνηλωκότες, τὰ ἐν θρᾴκῃ προει-
μένοι, μηδὲν ὧν ἐψηφίσασθε, πεποιηκότες, μηδ' 293
ὧν συμφέρον ἦν, τὰ ψευδῆ δεῦρ' ἀπηγγελκότες,
πῶς ἔνεστι παρὰ γε νοῦν ἔχουσι δικασταῖς, καὶ βουλομέ-
νοις εὐορκεῖν, τούτοις σώζεσθαι. ἀλλὰ μὴν ὅτι ταῦτ'
ἀληθῆ λέγω, λέγε πρῶτον μὲν τὸ ψήφισμα, ὡς ὀμ-
νύναι προσῆκεν ὑμῖν· εἶτα τὴν ἐπιστολὴν τὴν τοῦ 294
φιλίππου· εἶτα τὸ φιλοκράτους ψήφισμα· εἶτα τὸ τοῦ δήμου.

ΨΗΦΙΣΜΑ. ΕΠΙΣΤΟΛΗ. ΨΗΦΙΣΜΑΤΑ.

Καὶ μὴν, ὅτι τὸν φίλιππον ἐν ἑλλησπόντῳ κατελαμβάνομεν ἄν, εἴ τις ἐπείθε- 295
τό μοι, καὶ τὰ προστεταγμένα ὑφ' ὑμῶν ἐποίει κατὰ τὰ ψηφίσματα, κάλει τοὺς
ἐκεῖ παρόντας μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

Λέγε δὴ καὶ τὴν ἑτέραν μαρτυρίαν, ἃ πρὸς εὐκλείδην ὕστερον ἐλθόντα του-
τονὶ, ἀπεκρίνατο φίλιππος. 296

ΜΑΡΤΥΡΙΑ.

Ὅτι τοίνυν οὐδ' ἄρνησίς ἐστιν αὐτοῖς, τὸ μὴ ταῦθ' ὑπὲρ φιλίππου πράτ-
τειν, τοῦτο ἀκούσατέ μου. ὅτε γὰρ τὴν προτέραν ἀπῇμεν πρεσβείαν, τὴν περὶ
τῆς εἰρήνης, κήρυκα ὑμεῖς προαπεστείλατε, ὅστις ὑμῖν ἐσπείσατο. τότε μὲν τοί-
νυν ὡς τάχιστα εἰς ὠρεὸν ἦλθον, οὐκ ἀνέμειναν τὸν κήρυκα, οὐδὲ ἐποίησαν τὸν 297

ἀπὸ ζ. — α. — αὐτοῦ β. — ἔσεσθαι α. — γρ. οὔτε. — ὡς ἐκ. — ὑποσχό. α. — αἱ τύχαι. α. — οὐδαμῶς ᾤετο δεῖν τούτους βαδίζειν. α. — καὶ π. — ψήφισμα. — ἡμετέραν. π. — γρ. ἀνήλωσαν, ἤγουν ἔπεμψαν.

288 ἑκόντως παραδοῦναι τὴν θρᾴκην. ἡ δὲ τῶν κατὰ τοὺς ὅρκους μνήμη δείξασα μήτε ἐν καιρῷ γεγενημένους, μήτε ἐν τόπῳ προσήκοντι, πιστοῦται τὸ σημεῖον τῆς δωροδοκίας. Ὅτι δεῦ- 288
ρο ἤδη τὸ στράτευμα) Βούλεται μὲν εἰς φωκέας εἰπεῖν, ἐπειδὴ ἄνω κατεσκεύασεν, ὡς τεῖχος καὶ ἀσφάλεια τῶν ἀθηναίων ἦσαν οἱ φωκεῖς σωζόμενοι. διὰ δὲ τοῦ ἀπολέσθαι ἐκεῖνα, ἀνεῴχθη αὐτῷ καὶ ἐπὶ τὴν ἀττικὴν ὁδός. Εἶτα τὴν ἐπιστολὴν 294
τὴν τοῦ φιλίππου) Ἣν ἀνέγνωκα ἐν τῷ περὶ στεφάνου. ὅπου εἶπεν, ἐγὼ ταῦτα πεποίηκα ἄκοντων ἀθηναίων. τὸ δέ γε ψήφισμα τοῦ φιλοκράτους, ἐν ᾧ ἔγραψεν, ἑκατέρους ἔχειν ἃ ἔχουσι. τὸ δὲ τοῦ δήμου, ἔνθα διωρθώσαντο, ἕκαστον ἔχειν τὰ ἑαυτοῦ.
Καὶ μὴν, ὅτι τὸν φίλιππον) Ἐπιμένει ταῖς ἀποδείξεσι· τὸ γὰρ ἔγκλημα πανταχοῦ χαλεπὸν, διὰ πάντων συνιστάς, ὅτι οὐ δι' αὐτὸν ἀπώλετο κερσοβλέπτης. Λέγε δὴ καὶ 295
τὴν ἑτέραν μαρτυρίαν) Ἀκούσασα ἡ πόλις ἀπολωλέναι τὸν κερσοβλέπτην, ἀπέστελλεν ὕστερον εὐκλείδην αἰτιασόμενον φίλιππον διὰ τὰ ἐν θρᾴκῃ γενόμενα. ὁ δὲ, ἀπεκρίνατο μηδὲν ἡμαρτηκέναι. ὀψὲ γάρ ποτε συντυχεῖν τοῖς πρέσβεσι, καὶ πρὸ τῶν ὅρκων λαβεῖν αὐτά. σκόπει δὲ καὶ τὰς λέξεις, καὶ ἐπιτήρει, πῶς μὲν τοῖς εὐθύνοις τὸ ἀπῇεσαν λέγει. πῶς δὲ ἐπὶ τοῖς μεμπτοῖς ἦλθον εἰς ὠρεὸν οὗτοι, πόρρω ἑαυτὸν ποιῶν. καὶ τὸ, οὐκ ἀνέμειναν τὸν κήρυκα, καὶ τὰ τοιαῦτα ἐπιτήρει. Ὅτι τοίνυν 296
οὐδ' ἄρνησίς ἐστιν) Ἀπολογησάμενος ὑπὲρ ἑαυτοῦ, καὶ συστήσας ὅτι οὐ δι' αὐτὸν ἀπώλετο κερσοβλέπτης, ἐντεῦθεν ἄρχεται τῶν ἀποδείξεων τῶν κατ' αἰσχίνου, συνιστὰς δι' αὐτὸν ἀπολωλέναι τὴν θρᾴκην.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χρόνον οὐδένα. ἄλλου δὲ πολιορκουμένου διέπλευσαν
εἰς τοῦτον. καὶ πάλιν ἐντεῦθεν πρὸς Παρμενίωνα τὸν
πολιορκοῦντα ἐξελθόντες, ἀπῄεσαν διὰ τοῦ πολεμίου
στρατεύματος εἰς *Παγασάς. καὶ προϊόντες, ἀπήν- *πηγασάς. α.
298 των ἐν Λαρίσῃ τῷ κήρυκι. τοσαύτῃ σπουδῇ καὶ
προθυμίᾳ τότ' ἐχρῶντο. ἐπειδὴ δ' εἰρήνη μὲν ἦν,
*ἅπασα δ' ἀσφάλεια ἰέναι, καὶ πρόσταγμα παρ' *πᾶσα. β.
ὑμῶν σπεύδειν, τηνικαῦτα οὔτ' ἐπείγεσθαι *βαδί- *βαδίζουσι. ο.
ζουσιν, οὔτε πλεῖν αὐτοῖς ἐπῄει. τί δήποτε; ὅτι τότε
299 μὲν τὸ τὴν εἰρήνην ὡς τάχιστα γίγνεσθαι, τοῦτ' ἦν
ὑπὲρ Φιλίππου. νῦν δέ, τὸ ὡς πλεῖστον τὸν μεταξὺ
χρόνον, *διατετρῖφθαι, πρὶν τοὺς ὅρκους ἀπο- *διατριφθῆναι. α. β. ε. κ.
λαβεῖν. ἀλλὰ μήν, ὅτι καὶ ταῦτ' ἀληθῆ λέγω, *λά- *λέγ. α. ε. ι. ο. κ.
βε μοι καὶ ταύτην τὴν μαρτυρίαν.

300 Μαρτυρία.

Ἔστιν οὖν ὅπως ἂν μᾶλλον ἄνθρωποι πάνθ' ὑπὲρ
Φιλίππου πράττοντες ἐξελεγχθεῖεν, ἢ τὴν αὐτὴν
ὁδόν, ἡνίκα μὲν σπεύδειν ὑφ' ὑμῶν ἔδει, καθήμενοι,
ὅτε δ' οὐ *βαδίζειν προσῆκε πρὶν ἐλθεῖν τὸν κήρυ- *δ. α. ζ.
301 κα, ἐπειγόμενοι; ὃν τοίνυν χρόνον ἦμεν ἐκεῖ καὶ κα-
θήμεθα ἐν Πέλλῃ, σκέψασθε τί πράττειν ἕκαστος ἡ-
μῶν προείλετο. ἐγὼ μὲν τοίνυν τοὺς αἰχμαλώτους
ἀνασώζειν, καὶ ζητεῖν, καὶ τὰ ἐμαυτοῦ χρήματ' ἀνα-
λίσκειν, καὶ Φίλιππον ἀξιοῦν, ὧν ἡμῖν ἐδίδου ξενίων,
302 τούτους λύσασθαι. *αὐτὸς δέ, αὐτίκα ἀκούσεσθε τί *οὗτος. α.
ποιῶν διετέλεσε. τί οὖν ἦν τοῦτο; τὸ κοινῇ τὸν Φίλιπ-
πον χρήματα ἡμῖν διδόναι. ἵνα γὰρ μηδὲ τοῦτο ἀγνοῆ-
τε, ἐκεῖνος ἡμᾶς διεκωδώνισεν ἅπαντας, ἑκάστῳ τινὰ
τρόπον *προσπέμπων ἰδίᾳ, καὶ πολύ γε, ὦ ἄνδρες Ἀθη- *προπέμ. ι. β. δ. κ.
303 ναῖοι, διδοὺς χρυσίον. ὡς δ' ἀπετύγχανεν ὁτουδήπο-
τε (οὐ γὰρ ἐμέ γε εἰπεῖν ἐμαυτὸν δεῖ, ἀλλὰ τὰ ἔργα
καὶ τὰ πεπραγμένα αὐτὰ δηλώσει), τὰ κοινῇ δοθέν-
τα, *ἅπαντας ἡγεῖτο εὐήθως λήψεσθαι. ἀσφάλειαν *πάντας. ο.
οὖν ἔσεσθαι τοῖς °ἰδίᾳ πεπρακόσιν ἑαυτούς, εἰ καὶ °διαπεπρα. ο.
304 κατὰ μικρὸν τοῦ κοινῇ λαβεῖν πάντες μετάσχοιμεν· διὰ
ταῦτ' *ἐδίδοτο. ξένια δ' ἦν ἡ πρόφασις. ἐπεὶ δ' *ἐδίδου. α.
ἐκώλυσα ἐγώ, πάλιν προσδιενείμαντο οὗτοι. τοῦ
Φιλίππου δ' ἐπεὶ ταῦτ' εἰς τοὺς αἰχμαλώτους ἠ-
ξίουν αὐτὸν ἀναλίσκειν ἐγώ, οὔτε κατειπεῖν τούτων εἶχε καλῶς, οὔτ' εἰπεῖν ὅτι
305 ἀλλ' ἔχουσιν ὁ δεῖνα καὶ ὁ δεῖνα, οὔτε φυγεῖν τὸ ἀνάλωμα· ὡμολόγησε μὲν δή, διε-
κρούσατο δὲ εἰς τὰ Παναθήναια φήσας ἀποπέμψειν. *λέγε δὴ τὴν μαρτυρίαν
τὴν Ἀπολλοφάνους, εἶτα τὴν τῶν ἄλλων τῶν παρόντων. *λέγε. α.

Μαρτυ

300 Ἔστιν οὖν ὅπως ἂν) Ἐνθύμημα ἐπὶ τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους, καὶ ἀπόδειξις ἐναργὴς ὥσπερ ἐν συλλογισμῷ τοῦ διὰ τὸν Αἰσχίνην ἀπο-
301 λωλέναι τὸν Κερσοβλέπτην. Σκέψασθε τί πράττειν ἕκαστος) Εὐκαίρως βούλεται φιλοτιμίας ἑαυτοῦ προστιθεῖν. ἢ τὴν ἀγρυπνίαν καὶ τὴν σπουδὴν αὐτοῦ δηλοῖ, οἷον ποῦ πλανᾶται πολίτης ἐμός. ποῦ δυστυχεῖ τις αὐτόχθων αἰχμάλωτος. προσέθηκε δὲ τοὺς αἰχμαλώτους τούτῳ τῷ μέρει, ἵνα ἀναίρεσιν ἐργάσηται τῆς ὑπονοίας. τίς γὰρ ἂν εἵλετο παρὰ τῶν πολεμίων λαβεῖν, τὴν *οὐσίαν ὑπὲρ τῶν αἰχμαλώτων τῆς πόλεως προϊέμενος. ἀνὰ καὶ εἰσαγωγὴ τῆς μνήμης τῶν ξενίων, δεινότητος ἀνάπλεως. οὐ γὰρ ὡς ἄπιστον κατασκευάζων εἰσήγαγεν, ἀλλ' ὡς ὁμολογουμένῳ κατεχρήσατο· ξένια αὐτοῖς ἐδίδου Φίλιππος, ὥς φησιν. ἐμέρισε δὲ τοὺς ἐλέγχους τῆς δωροδοκίας καὶ τούτῳ τῷ μέρει, ἵνα τὰ καθ' ἑαυτὸν ἀποστρέψηται. ἐπειδὴ γὰρ ἀναγκαῖον ἦν τὸν ἑκόντα προδεδωκότα Κερσοβλέπτην, ἐπὶ χρήμασιν αὐτὸν προδεδωκέναι, ἀναγκαίως ἐνταῦθα ἐζήτηται, τίς ἐστιν, ὃς χρήματα εἴληφεν. ὁ γὰρ μὴ ξένια ἑλόμενος παρὰ Φιλίππου λαβεῖν, ἀλλὰ μισήσας καὶ ἀποστραφεὶς καὶ τοῖς ἄλλοις ἀπειπὼν μὴ λαβεῖν, δῆλός ἐστι μὴ προδούς· τί γὰρ ἂν ἐβουλήθη προδοῦναι μέλλων κερδαίνειν μηδέν. ὁ δέ γε λαβὼν [illegible] παρὰ Φιλίππου τὰς δωρεάς, δῆλός ἐστι προέμενος αὐτῷ τὴν Θρᾴκην. τοῦτο δὲ πεποίηκεν Αἰσχίνης. δι' Αἰσχίνην ἄρα καὶ Κερσοβλέπτης ἀ-
302 πώλετο. Διεκωδώνιζεν ἅπαντας) Ἐδοκίμασεν· ἐπείρασεν ἀπὸ μεταφορᾶς τοῦ κώδωνος, οὗ περιάγουσι νύκτωρ οἱ φύλακες ἀποπειρώμενοι, εἰ ἐγρηγόρασιν οἱ περὶ τὰς πύλας
303 φυλάττοντες. Ὡς δ' ἀπετύγχανεν) Ἐνταῦθα τὴν ἑαυτοῦ βούλησιν κατασκευάζει, ὡς ἐπὶ τῷ Κερσοβλέπτῃ. ἵνα εἰκὸς ἦν αὐτὸν μᾶλλον προδοῦναι, τὸν μηδὲ ξένια λαβεῖν ἑλόμενον, καὶ τὴν οὐσίαν προϊέμενον ὑπὲρ τῶν αἰχμαλώτων, ἢ τὸν λάθρα παρὰ Φιλίππου ξένια λαβόντα.

Εὐήθως λήψεσθαι) Ἀντὶ τοῦ ὕστερον λαβεῖν ὡς δηλοῦντα δωροδοκίαν.

*γρ. οὐσίαν.

Μαρτυρία.

Φέρε δὴ καὶ ὅσους αὐτὸς ἐλυσάμην τῶν αἰχμαλώ-
των, εἴπω πρὸς ὑμᾶς. ἐν ὅσῳ γὰρ οὐχὶ παρόντος πω 306
τοῦ Φιλίππου, διετρίβομεν ἐν Πέλλῃ, ἔνιοι τῶν ἑαλω-
κότων, ὅσοι περ ἦσαν ἐξηγγυημένοι, ἀπιστοῦντες, ὡς
ἀπεῖσαι α. ἐμοὶ δοκεῖ, μὴ δυνήσεσθαι μετὰ ταῦτα πεῖσαι τὸν
Φίλιππον, ἑαυτοῖς ἔφασαν βούλεσθαι λύσασθαι, καὶ
μηδεμίαν χάριν τούτου ἔχειν Φιλίππῳ· καὶ ἐδανείζον- 307
το, ὁ μὲν τρεῖς μνᾶς, ὁ δὲ πέντε, ὁ δέ, ὅπως συνέβαινεν
ἑκάστῳ τὰ λύτρα. ἐπειδὴ τοίνυν τοῖς λοιποῖς ὡμολό-
γησεν ὁ Φίλιππος λύσασθαι, συγκαλέσας ἐγὼ τού-
ἔχρησα τὸ ἀργύριον. ζ. η. γ. ἔχρησα τὰ ἀργύρια. τους, οἷς αὐτὸς ἔχρησα τ' ἀργύριον, καὶ τὰ πεπραγ-
μένα ὑπομνήσας, ἵνα μὴ δόξωσιν ἔλαττον ἔχειν 308
ἐπειχθέντες, μηδ' ἐκ τῶν ἰδίων λελυτρῶσθαι πένη-
τες ἄνθρωποι, τῶν ἄλλων ὑπὸ τοῦ Φιλίππου προσ-
δοκωμένων ἀφεθήσεσθαι, ἔδωκα δωρεὰν τὰ λύτρα.
καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, λέγε καὶ τὰς μαρτυρίας
ταύτας. 309

Μαρτυρίαι.

Ὅσα μὲν τοίνυν ἀφῆκα χρήματα, καὶ δωρεὰν ἔδω-
κα τοῖς ἀτυχήσασι τῶν πολιτῶν, ταῦτ' ἐστιν. ὅταν δὲ
οὗτος αὐτίκα δὴ λέγῃ πρὸς ὑμᾶς, τί δήποτε, ὡς φῄς
ὦ Δημόσθενες, ἀπὸ τοῦ συμφρονεῖν ἐμὲ Φιλοκράτει, γνοὺς 310
οὐδὲν ὑγιὲς ἡμᾶς πράττοντας, τὴν μετὰ ταῦτα πρε-
σβείαν τὴν ἐπὶ τοὺς ὅρκους συνεπρέσβευσας πάλιν,
καὶ οὐκ ἐξωμόσω; ταῦτα μέμνησθε, ὅτι τούτοις ὡμο-
α. ε. λογήκειν ἥξειν, οὓς ἐλυσάμην, καὶ κομιεῖν τὰ λύτρα,
σώζειν. ζ. η. α. καὶ σώσειν εἰς δύναμιν. δεινὸν οὖν ἦν ψεύσασθαι, καὶ 311
προέσθαι δυστυχοῦντας ἀνθρώπους πολίτας. ἰδίᾳ
δ' ἐξομοσάμενον, οὐ πάνυ καλόν, οὐδ' ἀσφαλὲς
ἦν ἐκεῖσε πλανᾶσθαι. ἐπεὶ εἰ μὴ διὰ τὸ τούτους βού-
λεσθαι σῶσαι, ἐξώλης ἀπολοίμην, καὶ προώλης,
ε. η. εἰ καὶ προσλαβὼν γ' ἂν ἀργύριον πάνυ πολύ, 312
μετὰ τούτων ἐπρέσβευσα. σημεῖον δέ. ἐπὶ γὰρ τὴν τρί-
την πρεσβείαν δὶς με χειροτονησάντων ὑμῶν, δὶς ἐξω-
μοσάμην. καὶ παρὰ ταύτην τὴν ἀποδημίαν, πάν-
τα τἀναντία ἔπραττον τούτοις. ὧν μὲν τοίνυν αὐτο-
κράτωρ ἦν ἐγὼ κατὰ τὴν πρεσβείαν, τοῦτον εἶχε τὸν τρόπον ὑμῖν. ἃ δ' οὗτοι 313
ἅπαντα. β. πλείους ὄντες ἐνίκων, ἅπαντ' ἀπόλωλε. καίτοι καὶ τἆλλα πάντα, ἀκολούθως ἂν
τούτοις ἐπέπρακτο, εἴ τις ἐπείθετό μοι. οὐ γὰρ ἔγωγε οὕτως ἄθλιος οὐδ' ἄφρων
ἦν, ὥστε χρήματα μὲν διδόναι, λαμβάνοντας ὁρῶν ἑτέρους, ὑπὲρ τῆς πρὸς
ὑμᾶς φιλοτιμίας· ἃ δ' ἄνευ μὲν δαπάνης οἷά τε ἦν πραχθῆναι, πολλῷ δὲ 314

Φέρε δὴ καὶ ὅσους αὐτὸς) Δυοῖν ἐστὶν 305
ἐν τούτῳ σύστασις, τοῦ τε αὐτὸν μὴ δω-
ροδόκον γεγενῆσθαι, καὶ τοῦ μόνον τῶν
πρέσβεων εἶναι φιλόπολιν. ἐπειδὴ γὰρ
τὸ ἔγκλημα εἰς ἅπαντας διήκει. ἅ-
παντες γὰρ ἐδόκουν διαπεπεικέναι
κατὰ τὴν Μακεδονίαν, τῇ διαφορᾷ τὸ
ἐξισάζον λύει. Οὗτοι μὲν τὴν ἄλ-
λως διῆγον· ἐγὼ δὲ ὑπὲρ τῆς πόλεως
καὶ τῶν αἰχμαλώτων τὴν διατριβὴν
ἀνήλισκον. Ἀπιστοῦντες, ὡς ἐμοὶ 306
δοκεῖ) Μεγάλην ἀποφαίνει τὴν
δαπάνην ὡς καὶ τοὺς αἰχμαλώτους
ἀδύνατον νομίσαι προῖκα τὴν ἄφε-
σιν γενέσθαι. τὸ δὲ ἐδανείζοντο, δοκεῖ
μὲν ὑβριστικὸν εἶναι. αὐξῆσαι δὲ τὴν δα-
πάνην βουλόμενος, εἶπεν ὅτι καὶ τὸν
τόκον ἀφῆκα καὶ κεφάλαιον. Οἷς 307
αὐτὸς ἔχρησα τ' ἀργύριον) Ἐπειδὴ
ἐκακίζετο ὁ τόκος, ὑπέμνησε μὲν
ἐξ ἀρχῆς, χρηστῷ δὲ ὀνόματι τῷ ἔχρη-
σα, ἐκφεύγει τὸ ἄτοπον. Τῶν ἄλ- 308
λων ὑπὸ τοῦ Φιλίππου) Αἰνίττεται δὲ
ὅτι πάντας ἀφῆκεν, εἰ μὴ προλα-
βὼν ὑπέσχετο αὐτοῖς λύσασθαι καὶ
σώσειν εἰς δύναμιν. ἀφῆκα δὲ λέγει,
τὰ δοθέντα παρὰ Φιλίππου αὐτῷ
εἰς λόγον ξενίων. τὸ δὲ ἔδωκα δω-
ρεάν, ἅπερ ἐχαρίσατο τοῖς αἰχμα-
λώτοις. Καὶ δωρεὰν ἔδωκα τοῖς 309
ἀτυχήσασι) Συλλογίζεται τὸ κεφά-
λαιον μετὰ τοῦ τόκου, ἵνα φαίνηται αὐ- αὐτὸ. χ.
τῷ τὸ τῆς φιλοτιμίας διπλάσιον.

Δεινὸν οὖν ψεύσασθαι) Ἐμοὶ μὲν 311
δεινὸν ἐπὶ ὀλίγων ψεύσασθαι. Αἰσχί-
νης δὲ παρούσης ὅλης τῆς πόλεως ἐ-
ψεύσατο. εἰ δεινὸν πρὸς ὀλίγους ψεύ-
σασθαι καὶ ταῦτα δυστυχοῦντας, δει-
νότερον πρὸς ὅλον δῆμον καὶ ταῦτα τῶν
Ἀθηναίων. ἀντιπῖπτον δὲ λύει, ἵνα
μή τις εἴπῃ, ἀλλ' ἠδύνω καὶ ἐν τῇ δευ-
τέρᾳ πρεσβείᾳ ἐξομόσασθαι, ὥστε
μὴ ἀπελθεῖν μετὰ τῶν πρέσβεων, ἀλλ'
ἰδίᾳ. ἐπάγει οὖν· ἀλλ' οὐκ ἦν μοι ἀ-
σφαλὲς τὸ ἰδίᾳ ἀπελθεῖν καὶ πλανᾶ-
σθαι ἐκεῖσε, μὴ ἔχοντι τὸ ἀσφαλὲς τὸ
ἐκ τῶν πρέσβεων. Ἰδίᾳ δ' ἐξομο-
σάμενον) Οὐκ ἔστιν ἀργόν, ἀλλ' ἔχει τὴν
ἀναφορὰν πρὸς τὴν Αἰσχίνου πρε-
σβείαν. μᾶλλον δὲ πορείαν καὶ πλάνην
παρὰ τὸν Φίλιππον. Ἐξώλης ἀπο-
λοίμην) Ἐξώλης λέγεται ὁ ἀπολού-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

315 μείζονας ὠφελείας εἶχε πάσῃ τῇ πόλει, ταῦτ' οὐκ
ἐβουλόμην γίγνεσθαι, καὶ σφόδρα γε ὦ ἄνδρες ἀθη-
ναῖοι. ἀλλ', οἶμαι, προσεῖχον οὐδέν μοι. φέρε δή, τί τού- πρεί. α.
τῳ πέπρακται παρὰ ταῦτα, καὶ τί τῷ φιλοκρά-
τει, θεάσασθε. παράλληλα γὰρ ἔσται φανερώτερα.
316 πρῶτον μὲν τοίνυν φωκεῖς ἐκσπόνδους καὶ ἁλεῖς ἀπέ- π.
φηναν, καὶ κερσοβλέπτην, καὶ παρὰ τὸ ψήφισμα,
καὶ παρὰ τὰ πρὸς ὑμᾶς εἰρημένα. εἶτα τὸ ψήφισμα
ἐπεχείρησαν κινεῖν, καὶ μεταίρειν, ἐφ' ᾧ πρεσβεύοντες
ἥκομεν. εἶτα καρδιανοὺς φιλίππου συμμάχους ἀνέ- ἐν. β. α.
317 γραψαν. καὶ τὴν μὲν γραφεῖσαν ἐπιστολὴν ὑπ'
ἐμοῦ πρὸς ὑμᾶς, ἀπεψηφίσαντο μὴ πέμπειν· αὐτοὶ γρ. ἀπέψη-
δ' οὐδὲν ὑγιὲς γράψαντες ἔπεμψαν. εἶθ' ὁ γεν- φαν.
ναῖος οὑτοσί, ἐμὲ μὲν τὸν δῆμον ἔφη τὸν ὑμέτερον κα-
ταλύσειν ἐπηγγέλθαι φιλίππῳ, ὅτι ταῦτ' ἐπέπληττ-
318 τον, οὐ μόνον αἰσχρὰ νομίζων, ἀλλὰ καὶ δεδιὼς μὴ συμ-
παραπόλωμαι διὰ τούτους, αὐτὸς δὲ ἰδίᾳ πάντα τὸν
χρόνον ἐντυγχάνων οὐδέποτε ἐπαύσατο φιλίππῳ.
καὶ τὰ μὲν ἄλλα, σιωπῶ. δερκύλλος δ' αὐτὸν ἐν φεραῖς
τὴν νύκτα ἐφύλαξεν, οὐκ ἐγώ, τὸν παῖδα ἔχων τὸν
319 ἐμὸν τουτονί. καὶ λαβὼν ἐξιόντα ἐκ τῆς φιλίππου
σκηνῆς, ἐμοὶ τὸν παῖδα ἐκέλευσεν ἀπαγγέλλειν, καὶ αὐτὸν
μεμνῆσθαι, καὶ τὸ τελευταῖον ὁ βδελυρὸς οὗτος καὶ οὑτοσί. α.
ἀναιδής, νύκτα καὶ ἡμέραν ἀπιόντων ἡμῶν, ἀπελεί-
φθη παρὰ φιλίππῳ. καὶ ταῦτα ὅτι ἀληθῆ λέγω,
320 πρῶτον μὲν αὐτὸς ἐγὼ συγγραψάμενος, καὶ καταστή-
σας ἐμαυτὸν ὑπεύθυνον, μαρτυρήσω. εἶτα τῶν ἄλλων
πρέσβεων ἕκαστον καλῶ, καὶ δυοῖν θάτερον, ἢ μαρ-
τυρεῖν, ἢ ἐξόμνυσθαι ἀναγκάσω. ἐὰν δ' ἐξομνύωσιν,
ἐπιορκοῦντας ἐξελέγξω πρὸς ὑμῖν φανερῶς. προφανῶς. ε. α.

Μαρτυρία.

321 Οἵοις μὲν τοίνυν κακοῖς καὶ πράγμασι κατὰ τὴν ἀπο-
δημίαν ἅπασαν συνειχόμην, ἑωράκατε. τί γὰρ συνεῖχον α. ε. α.

315 μένος ἐκ τῆς πατρίδος. παρῳδήσας δὲ ὁ πρὸς τῆς εἰμαρμένης πιθοῦτων. Παράλληλα) Παράλληλα αὐτὶ τοῦ παρα-
317 τεθειμένα παρ' ἀλλήλοις καὶ συγκρινόμενα. Εἶθ' ὁ γενναῖος οὑτοσί) Τῇ ὑπερβολῇ τῶν ἐγκλημάτων, τὸ κατὰ θράκην ἔγκλημα λύει. ὅταν γὰρ παρὰ τὴν ἀξίαν καὶ τὴν ὑπόνοιαν μείζονά τις ἐγκαλεῖ τοῦ ἐλάττονος ἡμαρτηκότι, τὸ τηνικαῦτα διὰ τὴν ὑπερβολὴν ἀπιστεῖν εἰώθασιν οἱ ἀκούοντες. Καταλύσειν ἐπηγγέλθαι) Καὶ τοῦτο ἀπίθανον ἀπὸ τοῦ μεγέθους τῶν ἐγκλημάτων. πῶς γὰρ ἂν πιστεύσειεν ὅλον τὸν ἀθηναίων τὸν δῆμον καταπροδοθῆναι ὑφ' ἑνὸς ἀνδρὸς τῷ μακεδόνι. Ὅτι ταῦτ' ἐπέπληττον) Τοῦτο ἡ λύσις. τὸν γὰρ ἐπιπλήττοντα τοῖς δωροδόκοις, τοῦτον ἔδει τἀναντία ποιεῖν. καὶ ἄλλη δὲ λύσις, δεδιὼς μὴ συμπαραπόλωμαι. πῶς γὰρ ἂν προδοίη
318 τούτοις μεθ' ὧν συναπόλοιτο. Δερκύλλος δ' αὐτόν) Ἵνα μὴ δοκῇ ὡς ἐχθρὸς λέγειν, ἄλλῳ περιτίθησι. καὶ ὁ καιρὸς δὲ τῆς νυκτὸς ὑποψίαν ἐργάζεται. οὐκέτι δὲ περὶ τῆς θράκης ταῦτα λέγει, ἵνα μὴ ὥσπερ ἴδιον γένηται τὸ ἔγκλημα, ἀλλὰ τῆς ὅλης δωροδοκίας. ἐπειδὴ γὰρ ἐνεκάλεσε τῷ δημοσθένει προδεδωκέναι τὸν κερσοβλέπτην, διὰ τοῦτο ἐφύλαξε τὰς ἀποδείξεις τῆς δωροδοκίας κἂν τούτῳ τῷ
320 μέρει. Καὶ ταῦτα ὅτι ἀληθῆ λέγω) Πῶς κατηγορῶν μαρτυρεῖν ἐπαγγέλλεται ἢ δῆλον ὡς ἐν ἄλλοις, καὶ οὐκ ἐν οἷς ἐγγράφει. ἔστι δὲ τὸ ἐγγράφως κατηγορεῖν, μᾶλλον ἐπικίνδυνον. ἐπεὶ οὖν ἄτοπον ἦν τὸν αὐτὸν κατηγορεῖν, καὶ μαρτυρεῖν, ἔδωκεν ἡμῖν μεθόδους, προσθεὶς, καὶ εἰπὼν, καὶ συγγραψάμενος. ὁ γὰρ κατὰ συγγραφὴν μαρτυρῶν, ἑαυτὸν ὑπεύθυνον κατηγορίᾳ καθίστησιν. ἐπειδὴ δὲ τὰς εὐθύνας ἀπαιτῶν, οὐδὲν παράδοξον εἰ βούλεται μαρτυρεῖν συγγραψάμενος. ἔπειτα καὶ δι' ἄλλο τι χρήσιμον τοῦτο πεποίηκεν, ἵνα καὶ τοὺς ἄλλους προτρέψηται ταὐτὸν ποιῆσαι, ἑαυτὸν παράδειγμα τοῖς ἄλλοις παρέχων. καὶ προσδοκίαν ἐκείνοις τὴν μαρτυρίαν, οὐ περὶ ὧν νῦν προέτεινε· κατηγορεῖ μὲν γὰρ προδοσίας φωκέων καὶ δωροδοκίας ἐνταῦθα, ὅτι νύκτα καὶ ἡμέραν ἔμεινε παρὰ φιλίππῳ αἰσχίνης. πλὴν δὲ διαφορὰ μαρτυρίας καὶ μάρτυρος. ὁ μὲν γὰρ μάρτυς, αὐτοπροσώπως εἰσιὼν ἐμαρτύρει, καὶ ἦν ὑπόδικος. ὁ μέντοι γε μαρτυρίαν συγγραψάμενος, ἐδίδου ἑαυτὸν ὑπεύθυνον τῷ καταμαρτυρηθέντι καὶ εἰς τὸν μετὰ ταῦτα χρόνον. προειδὼν δὲ τὴν τῶν πρέσβεων ἀπέχθειαν, χρησίμως ἐπὶ τὴν μαρτυρίαν αὐτοὺς καλεῖ. ἢ γὰρ μαρτυρήσαντες παρέξουσιν ὃ βούλεται, ἢ ἀνταμόμενοι δείξουσιν ὡς οὐ ταῦτα ἐκείνῳ
321 ἐπρέσβευσε. τοῦτο δὲ ἐστὶν ὃ μάλιστα στῆσαι βούλεται. Οἵοις μὲν τοίνυν) Κληθέντες οἱ πρέσβεις, οὐκ ἠθέλησαν μαρτυρεῖν. διὸ σχετλιάζων ταῦτα λέγει. κινηθείσης δὲ ἐκ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους ἀντιθέσεως καθ' ἃ ἔδοξεν αἰσχίνης πεπεικέναι τὸν δῆμον αὐτῷ φωκέων ποιήσασθαι τὴν εἰρήνην, ἀντιτέθη ἑτέρα ἀντίθεσις ἀντεγκληματική. καὶ μὴν οὐ δεινότερα ἔπεισας ὦ δημόσθενες, καταναγκάσας τὴν πόλιν ποιήσασθαι θᾶττον τὰς συνθήκας, πρὶν ἀφικέσθαι τοὺς παρὰ κερσοβλέπτου συνέδρους. καὶ τοῦτον τὸν τρόπον αὐτὸς ἀπολώλεκας κερσοβλέπτην. διὰ τοῦτο τοίνυν ἠναγκάσθη ὁ δημοσθέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὐτοὺς οἴεσθε ποιεῖν ἐκεῖ ἐλθόντας τοῦ διδόντος, ἔθ'
ὑμῶν ὁρώντων τῶν καὶ τιμῆσαι κυρίων ὄντων, καὶ τοὐναν- 322
τίον κολάσαι, τοιαῦτα ποιοῦσι. συλλογίσασθαι δὴ βούλο-
κ. α. ε. λ. μαι τὰ κατηγορημένα ἀπ' ἀρχῆς, ἵνα ὅσα ὑμῖν ὑπεσχό-
πεποιηκέναι. μην ἀρχόμενος τοῦ λόγου, δείξω πεποιηκώς. ἐπέδει-
λ. ἀπήλ. λ. ξα οὐδὲν ἀληθὲς ἀπηγγελκότα, ἀλλὰ φενακίσαντα
ὑμᾶς, μάρτυσι τοῖς γεγενημένοις αὐτοῖς, οὐ λόγοις χρώ- 323
μενος. ἐπέδειξα αἴτιον γεγενημένον τοῦ μὴ θέλειν ὑμᾶς
ἀκούειν ἐμοῦ τἀληθῆ, ταῖς ὑποσχέσεσι, καὶ τοῖς ἐπαγ-
προκαταλ. γέλμασι τοῖς τούτου καταληφθέντας τότε, πάντα
λ. η. τἀναντία συμβεβουλευκότα, ἢ ἔδει· καὶ τῇ μὲν τῶν συμ-
μάχων ἀντειπόντα εἰρήνῃ, τῇ δὲ Φιλοκράτους συνα- 324
γορεύσαντα, τοὺς χρόνους κατατρίψαντα, ἵνα μηδ'
ἐξέλεσθαι. ἢ εἰ βούλησθε, δύναισθε ἐξελθεῖν εἰς Φωκέας· καὶ ἄλλα
ἐπὶ τῆς ἀποδημίας, πολλὰ καὶ δεινὰ εἰργασμένον,
προδεδωκότα πάντα, πεπρακότα, δῶρα ἔχοντα, οὐ-
δὲν ἐλλελοιπότα μοχθηρίας. οὐκοῦν ταῦθ' ὑπεσχόμην 325
ἀπήλ. α. λ. ἐν ἀρχῇ, ταῦτ' ἐπέδειξα. ὁρᾶτε τοίνυν τὰ μετὰ
λ. ταῦτα. ἁπλοῦς γάρ ἐστιν ὁ μέλλων λόγος οὑπιὼν πρὸς
ὑμᾶς ἤδη. ὀμωμόκατε ψηφιεῖσθαι κατὰ τοὺς νόμους, καὶ
τὰ ψηφίσματα τοῦ δήμου, καὶ τῆς βουλῆς τῶν πεντα-
κοσίων. φαίνεται δ' οὗτος πάντα τἀναντία τοῖς νόμοις, 326
τοῖς ψηφίσμασι, τοῖς δικαίοις πεπρεσβευκώς. οὐκοῦν
ἡλωκέναι. ἑαλωκέναι προσήκει, παρά γε νοῦν ἔχουσι δικα-
λ. η. σταῖς. εἰ γὰρ ἄλλο μηδὲν ἠδίκει, δύο τῶν πεπραγμέ-
νων ἐστὶν ἱκανὰ αὐτὸν ἀποκτεῖναι. οὐ γὰρ μόνον Φωκέας,
ἀλλὰ καὶ Θρᾴκην προδέδωκε Φιλίππῳ, καί τοι δύο 327
χρησιμωτέρους τόπους τῆς οἰκουμένης οὐδ' ἂν εἷς
ἀπο. λ. ἐπιδεῖξαι τῇ πόλει, κατὰ μὲν γῆν, Πυλῶν, ἐκ θαλάτ-
της δέ, τοῦ Ἑλλησπόντου. ἃ συναμφότερα οὗτοι πε-
πράκασιν αἰσχρῶς, καὶ καθ' ὑμῶν ἐγκεχειρίκασι Φι-
λίππῳ. τοῦτο τοίνυν αὐτὸ ἄνευ τῶν ἄλλων, ἡλίκον ἐστὶν 328
ἀδίκημα, τὸ Θρᾴκην, καὶ τὰ τείχη προέσθαι; μυρία
ἂν εἴη λέγειν, καὶ ὅσοι διὰ ταῦτα ἀπολώλασι παρ'
ὑμῖν. οἱ δέ, ὅτι χρήματα πάμπολλα ὠφλήκασιν, οὐ
χαλεπὸν δεῖξαι, Ἐργόφιλος, Τιμόμαχος, Κηφισόδοτος,
τὸ παλαιόν ποτε Ἐργοκλῆς, Διονύσιος, ἄλλοι, οὓς ὀλίγου 329
δέω σύμπαντας εἰπεῖν ἐλάττω τὴν πόλιν βεβλαφέναι τούτου. ἀλλ' ἔτι γάρ τοι, ὦ ἄν-
δρες Ἀθηναῖοι, ἐκ λογισμοῦ τὰ δεινὰ ἐφυλάττεσθε ὑμεῖς καὶ προεωρᾶσθε. νῦν δ'
ὅ,τι ἂν μὴ καθ' ἡμέραν ὑμᾶς ἐνοχλῇ, καὶ παρὸν λυπῇ, παρορᾶτε. εἶτα τὴν ἄλλως
ἐνταῦθα ψηφίζεσθε, ἀποδοῦναι δὲ καὶ Κερσοβλέπτῃ τὸν Φίλιππον τοὺς ὅρκους, μὴ με- 330
τέχειν δὲ τῶν ἐν Ἀμφικτύοσιν, ἐπανορθώσασθαι δὲ τὴν εἰρήνην. καίτοι τούτων οὐδενὸς

ὁ Δημοσθένης, μὴ μόνον τὸ κατὰ Φω-
κέων συστῆσαι προδοσίαν γεγονός,
ἀλλὰ καὶ ἀπολογήσασθαι ὑπὲρ αὐτοῦ
ὡς μὴ ἀπολωλεκότος τὸν Κερσοβλέ-
πτην. καὶ ἀντεγκαλέσαι Αἰσχίνῃ ἐκ τῆς
αὐτῆς ἀκολουθίας, περί τε τοῦ Κερσο-
βλέπτου, καὶ αὐτῆς τῆς Θρᾴκης, παν-
ταχοῦ συνιστὰς ἐπὶ δώροις αὐτὸν καὶ
τὰς εἰσηγήσεις· καὶ τὰς βραδυτῆτας
πεποιηκέναι τῶν χρόνων. ὡς μὴ ζήτη-
μα τοῦτο εἶναι. ἀλλ' ἀπόδειξιν καὶ σύστασιν
τῆς δωροδοκίας, ὅτι οὐδὲ πώποτε οὔτ'
εἶπεν Αἰσχίνης, οὔτε εἰσηγήσατο, ἄνευ
τοῦ λαβεῖν χρήματα ἐπὶ δώροις τὰς
εἰσηγήσεις ποιεῖσθαι. Συλλογίσα- 322
σθαι δὴ βούλομαι τὰ κατηγορημένα)
Ἀνακεφαλαίωσιν ποιεῖται τῶν εἰρη-
μένων, πολλῶν ὄντων, ἵνα μὴ ἐπιλά-
θωνται. αὐτὸς δὲ ἐπισημαίνεται καὶ
διὰ τῶν ἐπιλόγων ταῦτα. ηὔξησε δέ,
ἵνα μᾶλλον τοὺς ἀκούοντας εἰς ὀργὴν
ἐγκαλέσηται. αὐτίκα γοῦν οὐκ ἀπο-
δείξεις, ἀλλὰ αὐξήσεις πεποίηται. αἱ δὲ
αὐξήσεις, πάθους εἰσὶ κινητικαί, ἡγη-
σάμενος συναρπάσειν ἐκ τούτων τοὺς
ἀκούοντας, καὶ προαγαγεῖν εἰς ὀργήν.
Ἄλλως. Συλλογίζεται λοιπόν, καὶ ἀνα-
κεφαλαιοῦται τὰ προειρημένα πά-
λιν, ἵνα δείξῃ τοῦτο τὸ μέρος ὂν τῶν
προειρημένων, οὐκ αὐτὸ καθ' αὐτὸ ὑ-
πάρχον ζήτημα· ὁ γὰρ κοινὸς ἐπίλο-
γος τὴν τῶν πραγμάτων κοινωνίαν
συνίστησιν. Οὐ γὰρ μόνον Φωκέας) Ἐν- 326
τεῦθέν τινες συγκατασκευαζόμενον
ἀπεφήναντο εἶναι τὸν λόγον, οὐκ ὀρθῶς.
οὐ γὰρ ἐξ ἀρχῆς, οὐδ' ἐν τοῖς ἀγῶσι
τοῦτο ποιήσας φαίνεται, ἀλλ' ὕστερον ὡς
ἐν ἐπιλόγοις αὔξων τὴν δωροδο-
κίαν. ἔστι δὲ ἐμπίπτον. τινὲς δὲ ᾠήθησαν
συγκατασκευαζόμενον, διὰ τὸ ὥσπερ
δύο ἐγκλήματα εἶναι, τὰ περὶ Θρᾴκην,
καὶ τὰ κατὰ Φωκέας. ἡμεῖς δὲ λέγομεν
ὅτι οὐκ ἀπὸ ἑνὸς ῥήματός τινος δεῖ χαρα-
κτηρίζειν πᾶσαν στάσιν, ἀλλ' ἐκ τῶν
πλειόνων. εἰ γὰρ ἦν συγκατασκευα-
ζόμενος, διὰ τί μὴ ἔταξε τὰ κατὰ Θρᾴ-
κην, μήτε ἐν τῇ διηγήσει, μήτε ἐν τοῖς
ἀγῶσι. λέγομεν γοῦν, ὅτι εἰς σημεῖον
μόνον τῆς προδοσίας λέγει τὰ κατὰ
Θρᾴκην, ὥσπερ καὶ ἄλλων σημείων ἐ-
μνήσθη. Καί τοι τούτων οὐδενὸς) 330
Μετὰ τὴν ἀπώλειαν τῆς Θρᾴκης καὶ τῶν
Φωκέων, ἐψηφίσαντο ἀναγκάζοντες

ἂν τῶν ψηφισμάτων ἔδει εἰ πλεῖν οὗτος ἤθελε, καὶ τὰ αὐτὸς. a.
331 πεντήκοντα ποιεῖν. νῦν δ' ἃ μὴ κατέπλευσασι σῶσαι,
βαδίζειν κελεύων, ἀπολώλεκεν*. ἃ δ' εἴποι δεῖ τἀληθῆ, * οὗτος. a. A
ψευδόμενος. ἀγανακτήσει τοίνυν αὐτίκα δὴ μάλα, ὡς
ἐγὼ πυνθάνομαι, εἰ μόνος τῶν ἐν τῷ δήμῳ λεγόντων,
λόγων εὐθύνας ὑφέξει. ἐγὼ δ' ὅτι μὲν πάντες εἰκότως
332 ἂν ὧν λέγουσι, δίκην ὑπέχοιεν, εἴ τι ἐπ' ἀργυρίῳ τι κ. ὑπόσχοιεν. a β.
λέγοιεν, παραλείψω. ἀλλ' ἐκεῖνο λέγω. εἰ μὲν αἰσχίνης
ἰδιώτης ὢν ἀπελήρησέ τι, καὶ διήμαρτε, μὴ σφόδρα ἀ- ἀκριβῶς λογίσασθε. a.
κριβολογήσησθε, ἀλλ' ἐᾶτε, συγγνώμην ἔχετε. εἰ δὲ
πρεσβευτὴς ὢν ἐπὶ χρήμασιν ἐξεπίτηδες ἐξηπάτη- ἐξηπάτησεν. a. n.
333 κεν ὑμᾶς, μὴ ἀφίετε, μηδ' ἀνάσχησθε, ὡς οὐ δεῖ δίκην,
ὧν εἶπεν, ὑποσχεῖν. τίνος γὰρ ἄλλου δεῖ δίκην παρὰ πρέ-
σβεων, ἢ λόγων, λαμβάνειν; εἰσὶ γὰρ οἱ πρέσβεις, οὐ τριή-
ρων, οὐδὲ τόπων, οὐδὲ ὁπλιτῶν, οὐδ' ἀκροπόλεων κύ-
ριοι. οὐδεὶς γὰρ πρέσβεσι ταῦτα ἐγχειρίζει, ἀλλὰ λόγων,
334 καὶ χρόνων. τοὺς μὲν οὖν χρόνους εἰ μὲν μὴ παραιρεῖ(λε) τίνι. a.
τῆς πόλεως, οὐκ ἀδικεῖ. εἰ δ' ἀνήλωσεν, ἠδίκηκε. τοὺς δὲ λό-
γους, εἰ μὲν ἀληθεῖς ἀπήγγελκεν, ἢ συμφέροντας, ἀπο-
φευγέτω. εἰ δὲ καὶ ψευδεῖς, καὶ μισθοῦ, καὶ ἀσυμφόρους, ἁ-
λισκέσθω. οὐδὲν γὰρ ἔσθ' ὅ,τι μεῖζον ἂν ὑμᾶς ἀδικήσειέ
335 τις, ἢ ψευδῆ λέγων. οἷς γὰρ ἐστὶν ἡ πολιτεία ἐν λόγοις,
πῶς, ἂν οὗτοι μὴ ἀληθεῖς ὦσιν, ἀσφαλῶς ἐστὶ πολι- ἔνεστι. a.
τεύεσθαι; ἐὰν δὲ δὴ καὶ πρὸς ἃ τοῖς ἐχθροῖς συμφέρει, a. n.
δῶρά τις λαμβάνων λέγῃ, πῶς οὐχὶ καὶ κινδυνεύσετε; a.
οὐδέ γε τοὺς χρόνους ἴσον ἐστὶν ἀδίκημα ὀλιγαρχίας,
336 ἢ τυράννου παρελέσθαι, καὶ ὑμῶν. οὐδ' ὀλίγου γε δεῖ. ἐν ἀναβάλλεσθαι a.
ἐκείναις γάρ, οἶμαι, ταῖς πολιτείαις, πάντα ἐξ ἐπιτά- μὲν. β.
γματος ὀξέως γίνεται. ὑμῖν δέ, πρῶτον μὲν περὶ πάν-
των, τὴν βουλὴν ἀκοῦσαι, καὶ προβουλεῦσαι δεῖ, καὶ τοῦθ'
ὅταν ᾖ κήρυξι καὶ πρεσβείαις προγεγραμμένον, οὐκ
337 ἀεί. εἶτ' ἐκκλησίαν ποιῆσαι, καὶ ταύτην ὅταν ἐκ τῶν
νόμων καθήκῃ. εἶτα κρατῆσαι, καὶ περιγενέσθαι δεῖ τοὺς
τὰ βέλτιστα λέγοντας, τῶν ἢ δι' ἄγνοιαν, ἢ διὰ μοχθηρίαν
ἀντιλεγόντων. ἐφ' ἅπασι δὲ τούτοις, ἐπειδὰν καὶ δεδογμέ-
νον ᾖ, καὶ συμφέρον ἤδη φαίνηται, χρόνον δεῖ δοθῆναι τῇ
338 τῶν πολλῶν ἀδυναμίᾳ, ἐν ᾧ καὶ πορίσονται ταῦθ', ὧν ἂν
δέωνται, ὅπως ἂν τὰ δόξαντα καὶ δυνηθῶσι ποιῆσαι. ὁ
δὴ τοὺς χρόνους τούτους ἀναιρῶν τῆς οἵας παρ' ἡμῖν ἐστὶ πο-
λιτείας, οὐ χρόνους ἀνήρηκεν οὗτος, ἀλλὰ τὰ πράγμα- κύκλος. a.
339 τα ἁπλῶς ἀφῄρηται. ἔστι τοίνυν τις πρόχειρος λόγος,
πᾶσι τοῖς ἐξαπατᾶν ὑμᾶς βουλομένοις, οἱ ταράττον-
τες τὴν

αὐτὸν ἀφεῖναι τὸν κερσοβλέπτην, καὶ τῆς ἀμφικτυονίας ἀποστῆναι. διὸ λέγει. καίτοι τούτων οὐδενὸς ἄν. οὐ γὰρ ἂν ἔφθη καταστρεψάμενος τὸν κερσοβλέπτην ὁ φίλιππος, εἰ πλεῖν ἤθελεν αἰσχίνης, ἐσώζοντο γὰρ ἂν φωκεῖς, καὶ οὐ κατεφρόνει τῆς
331 πόλεως ὁ φίλιππος. Ἀγανακτήσει τοίνυν) Ἀντιληπτικὴ ἡ ἀντίθεσις. ἐξῆν γὰρ λέγειν, φησί, καὶ τὸ ἀπαγγέλλειν ἀνεύθυνον. λύει δὲ κατὰ συνδρομὴν ὅτι πάντως λόγων δεῖ παρέχειν εὐθύνας. ἔστι δὲ τῶν σημείων τοῦ προτέρου ζητήματος. τὸ δὲ ἀντιληπτικὸν εἴρηται βαρέως. τὸ δὲ ἀγανακτήσει, σημαίνει τὸν τύραννον, μὴ ἀνεχόμενον εὐθύνας διδόναι. καλῶς δὲ ἐφ' ἅπασι τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους τέθειται, ἵνα μηδαμόθεν ἔχῃ πρὸς τὴν ἀπολογίαν ἐπικουρίαν. ἑάλωκεν εἰσηγούμενος ταῦτα τῷ φιλοκράτει, κωλύσας τοὺς ἕλληνας κοινωνῆσαι τοῦ συνεδρίου, πείσας τὴν πόλιν ἄνευ φωκέων ποιήσασθαι τὴν εἰρήνην, μὴ συγχωρήσας τι περὶ τῶν δικαίων μηδένα λόγον ποιῆσαι, περὶ τῆς ἀμφιπόλεως λέγω καὶ τῆς θρᾴκης. ἐξηπάτησεν ἀπελθὼν ἐκ τῆς πρεσβείας πρὸς τὸν δῆμον. εἶπε σωθήσεσθαι φωκέας, καὶ ἀπολώλασιν· ἀπολεῖσθαι θηβαίους, καὶ σώζονται. πῶς οὖν δυνήσεται καταφεύγειν ἐπὶ τὸ ἐξεῖναι λέγειν. Ἄλλως. Τὸ συνεκτικώτατον τῆς ἀπολογίας αἰσχίνου τοῦτο
336 ἐστὶ τὸ κεφάλαιον. Καὶ τοῦθ' ὅταν ᾖ κήρυξι) Πρόγραμμα ἐστὶ τὸ προτιθέμενον τῆς ἐκκλησίας, ὥστε βουλεύσασθαι, ἢ περὶ τοῦ πέμψαι πρέσβεις, ἢ πρέσβεων ἡκόντων, μαθεῖν ὅ,τι λέ-
337 γουσι. Τῇ τῶν πολλῶν ἀδυναμίᾳ.) Τῇ τῶν πενήτων διοικήσει. δεῖ γὰρ ἐνδοῦναι αὐτοῖς, ἵνα τὰ οἴκοι διοικήσωνται. Ἔστι τοίνυν τις πρόχειρος λόγος) Ἀντίθεσις ἐπιλογικὴ καὶ ἀκόλουθος τῇ προτέρᾳ· ἡ μὲν γάρ, ἀρχὴν ἔχθρας λέγει γενέσθαι. ἡ δὲ νῦν, ὅτι οὐκ ἐῶσιν εὖ ποιεῖν τὸν φίλιππον. καὶ ἐκείνη μὲν ἐλέγχει ὅτι ἀρχὴ γεγένηται τῆς πρὸς φίλιππον ἔχθρας· ἐνταῦθα δὲ ἀκολούθως, ὅτι οὐδὲ εὐεργετήσει. οὐ γὰρ οἷόν τε τὸν ἔχθιστον, εὐεργέτην γενέσθαι τῶν πολεμίων. ἐκεῖνο περὶ τῆς εἰρήνης ἦν, ἐνταῦθα περὶ τῆς εὐεργεσίας, καὶ ὅτι οὐκ εὖ ποιήσει τοῦ λοιποῦ τὸν δῆμον, εἰ καταψηφιούμεθα τῶν πρέσβεων. ἡ δὲ λύσις, ἐξ ἀτέχνων πίστεων. προφέρεται γὰρ διαφόρους ἐπιστολάς, ἐν αἷς πλεῖστα πολλάκις ὑποσχόμενος, οὐδέν τι τὴν πόλιν ποιήσας φαίνεται. Ἄλλως. Πεπληρωμένων τῶν κεφαλαίων ἤδη καὶ τῶν ἀποδείξεων, μετελήλυθεν ἐπὶ τὴν ἀντίθεσιν ταύτην, ἐπιλόγου χρείαν πληροῦσαν· ἔχει δὲ ἀκολουθίαν πλείστην καὶ συγγένειαν

τες τὴν πόλιν, οἱ διακωλύοντες Φίλιππον εὖ ποιῆ-
σαι τὴν πόλιν πρὸς οὓς ἐγὼ λόγον μὲν οὐδένα ἐρῶ, 340
τὰς δ' ἐπιστολὰς ὑμῖν ἀναγνώσομαι τὰς τοῦ Φιλίππου,
καὶ τοὺς χρόνους, ἐφ' ὧν ἕκαστα ἐξηπάτηθε, ὑπο-
μνήσω, ἵνα εἰδῆτε ὅτι τὸ ψυχρὸν τοῦτο ὄνομα, τὸ ἄχρι
κόρου, παρελήλυθ' ἐκεῖνος φενακίζων ὑμᾶς.

Ἐπιστολαὶ Φιλίππου. 341

Οὕτω τοίνυν αἰσχρά, καὶ πολλά, καὶ πάντα καθ' ὑμῶν
πεπρεσβευκώς, περιιὼν λέγει, τί δ' ἂν εἴποις περὶ
Δημοσθένους, ὃς τῶν συμπρέσβεων κατηγορεῖ. νὴ Δία,
εἴτε βούλομαί γε, εἴτε μή, περὶ ὅλην μὲν τὴν ἀπο-
δημίαν ὑπὸ σοῦ τοιαῦτα ἐπιβεβουλευμένος, 342
δυοῖν δὲ αἱρέσεων οὐσῶν μοι νυνί, ἢ τοιούτων τῶν πε-
πραγμένων ὄντων, δοκεῖν κοινωνεῖν ὑμῖν, ἢ κατηγο-
ρεῖν, ἐγὼ δ' οὐδὲ συμπεπρεσβευκέναι φημί σοι· πρε-
σβεύειν μέντοι, σὲ μὲν πολλὰ καὶ δεινά, ἐμαυτὸν δ'
ὑπὲρ τουτωνί, τὰ βέλτιστα. ἀλλὰ Φιλοκράτης σοι 343
συμπεπρέσβευκε, κἀκείνῳ σύ, καὶ Φρύνων. ὑμεῖς γὰρ
ταῦτα ἐπράττετε, καὶ ταῦτα ἅπασιν ὑμῖν ταῦτα
ἤρεσκε. ποῦ δ' ἅλες, ποῦ τράπεζαι, ποῦ σπονδαί.
ταῦτα γὰρ τραγῳδεῖ περιιών, ὥσπερ οὐχὶ τοὺς ἀδι-
κοῦντας τούτων ὄντας προδότας, ἀλλὰ τοὺς τὰ δί- 344
καια ποιοῦντας. ἐγὼ δ' οἶδ' ὅτι πάντες οἱ πρυτάνεις
θύουσιν ἑκάστοτε * κοινῇ, καὶ συνδειπνοῦσιν ἀλλήλοις, καὶ
συσπένδουσι. καὶ οὐ διὰ τοῦτο οἱ χρηστοὶ τοὺς πονηροὺς
μιμοῦνται, ἀλλ' ἐὰν ἀδικοῦντα λάβωσί τινα αὐτῶν,
τῇ βουλῇ καὶ τῷ δήμῳ δηλοῦσι. καὶ ἡ βουλὴ τὰ αὐ- 345
τὰ ταῦτα εἰσιτήρια ἔθυσε, συνειστιάθη· σπονδῶν
ἱερῶν ἐκοινώνησαν οἱ στρατηγοί· σχεδόν, ὡς εἰπεῖν, αἱ
ἀρχαὶ πᾶσαι. ἆρ' οὖν διὰ ταῦτα τοῖς ἀδικοῦσιν
αὐτῶν ἔδωκαν ἄδειαν; πολλοῦ γε καὶ δεῖ. Λέων Τι-
μαγόρου κατηγορεῖ, συμπεπρεσβευκὼς τέττα- 346
ρα ἔτη· Εὔβουλος θαῤῥηκὼς, καὶ Σμικύθου συνε-
σιτευκώς· Κόνων ὁ παλαιὸς ἐκεῖνος, Ἀδειμάντου, συ-
στρατηγήσας. πότεροι οὖν τοὺς ἅλας, καὶ τὰς
σπονδὰς παρέβαινον, Αἰσχίνη, οἱ προδιδόντες, καὶ
παραπρεσβεύοντες, καὶ οἱ δωροδοκοῦντες, ἢ οἱ κα- 347
τηγοροῦντες. οἱ ἀδικοῦντες δηλονότι τὰς ὅλης γε
τῆς πατρίδος σπονδάς, ὥσπερ σύ, καὶ οὐ μόνον τὰς
ἰδίας. ἵνα τοίνυν εἰδῆτε ὅτι οὐ μόνον τῶν δημοσίᾳ πώ-
ποτε ἐληλυθότων ὡς Φίλιππον ἀνθρώπων, ἀλλὰ καὶ τῶν
ἰδίᾳ, καὶ πάντων, οὗτοι φαυλότατοι καὶ πονηρότατοι γε- 348

ἐπιβεβουλευμένος. η.
ἅπασιν. α.
* καὶ νυνὶ ταῦτα. δ. η.
δι. δ.
δ.
θαῤῥητικῶς. ε.
συσσιτικῶς α. β. δ. η.
* πρὸς. εἰς. ξ

πρὸς τὴν προειρημένην ἤδη ἐπιλογικὴν ἑτέραν ἀντίθεσιν. ἐν ἐκείνῃ μὲν γὰρ ἐλέγετο, ὅτι ἀρχὴ γενήσεται τῆς πρὸς Φίλιππον ἔχθρας. ἐνταῦθα δὲ ἀκολούθως, ὅτι οὐδὲ εὐεργετήσει, καὶ ὅτι οὐκ εὖ ποιήσει τὸν λοιπὸν τὸν δῆμον, εἰ καταψηφιούμεθα τῶν πρέσβεων. ἡ δὲ λύσις ἐκ ἀτέχνων πίστεων. παρέχεται γάρ, καὶ τὰ ἑξῆς, ὥσπερ ἄνω. Τὰς δ' ἐπιστο-
λὰς ὑμῖν ἀναγνώσομαι) Ἐν αἷς εὖ ποιεῖν ἐπαγγελλόμενος, οὐδὲν ἤγαγεν εἰς πέρας. Ὅτι τὸ ψυχρὸν τοῦτο ὄνομα) Ἢ τὸ ἀλαζονείας γέμον· ψυχροὺς γὰρ τοὺς ἀλαζόνας λέγουσιν, ἐν οἷς ἄνω καὶ κάτω βοᾷ εὐεργετῆσαι τοὺς Ἀθηναίους. παρελήλυθεν ἄχρι κόρου ἀπατῶν. ἐκορέσθη μὲν τῆς ἀπάτης. ἢ ὥς τινες, ψυχρὸν τὸ εὐτελές, καὶ παροιμιῶ-
δες, τὸ ἄχρι κόρου. Οὕτω τοίνυν αἰ- 341
σχρά) Προοίμιον καὶ εἰσβολὴ τῆς παρεκβάσεως. ἀπὸ δὲ μὲν οἰκείου ἤθους ἀρξάμενος, πειρᾶται τὴν οἰκείαν σώζειν ὑπόληψιν, φιλοσόφου πρᾶγμα, οὐ ῥήτορος ἀπεργασάμενος. τοῦ μὲν γὰρ ῥήτορος, συμφέρον ἐστὶ τὸ τὰ ἐμπίπτοντα ζητεῖν. τοῦ δὲ φιλοσόφου, φροντίζειν τῆς εἰς ἅπαντα τὸν βίον ὑπολήψεώς τε καὶ δόξης. εἴληφεν οὖν τὴν πρόφασιν ἀπὸ τῶν Αἰσχίνου λόγων. Δημοσθενικῆς γὰρ τοῦτο μεθόδου, τὸ μὴ ἀπὸ τοῦ οἰκείου προσώπου εἰσάγειν ἢ ψόγου ἀναίρεσιν, ἢ οἰκείων ἐπαίνων σύστασιν, ἀλλὰ κατά τινα ἀνάγκην καὶ χρείαν. ὡς οὖν Αἰσχίνου βλασφήμοις περὶ αὐτοῦ πεποιημένου λόγοις, οὕτως ἀναγκάζεται τὴν ἀπολογίαν ποιεῖσθαι. εἶτ' εὐαφόρμως μέτεισιν ἀπὸ τοῦ οἰκείου ἤθους ἐπὶ τὴν αὐτοῦ ἐξέτασιν τοῦ ἤθους Αἰσχίνου καὶ γίνεται τὸ ἴδιον τῆς παραβάσεως, κατὰ τὴν αὐτοῦ παρεξέτασιν, ὡς ἐστὶ παρόμοιον τῷ περὶ τοῦ ἐν τῷ στεφάνῳ μέρει. ἐκεῖ μὲν γὰρ βίον ὅλον ὅλῳ ἀντεξέτασε βίῳ. ἐνταῦθα δὲ τὴν ἀπὸ τῆς πρεσβείας ὑπάρχουσαν ὑπόληψιν ἑκατέροις, τίς μὲν παρὰ τοῖς ἀνθρώποις Δημοσθένης εἶναι δοκεῖ, τίς δ' Αἰσχίνης ὑπείληπται. καὶ ὅτι Δημοσθένης καὶ σώφρων τὸν βίον, καὶ ὅτι ἀκόλουθον ἦθος παρέχεται τῇ πολιτείᾳ. καὶ ὅτι οὐχὶ φιλαπεχθήμων, οὐ περὶ φίλους ἀλιτήριος, οὐ περὶ ἅλας καὶ τράπεζαν ἀσεβής. ὁ δὲ ὅτι περὶ τὴν πόλιν ἄδικος. ὅτι ἀκόλαστος, ὅτι οὐ σώφρων· οὐ γὰρ οἷόν τε τὸν περὶ ταῦτα ἀκόλαστον, δικαιοπραγίαν τι-
μᾶν. Ἐγὼ δ' οἶδ' ὅτι πάντες) Διὰ 344
παραδειγμάτων ἡ λύσις. Εἰσιτήρια) 345
Προηγεῖται γὰρ εἰσιούσης τῆς βουλῆς, ὁ τὰς θυσίας ποιούμενος. Συμπεπρεσβευκὼς τέσσαρα ἔτη) Τῷ μήκει τοῦ χρόνου τὴν ἀπολογίαν ἐπέτεινεν, ἠχώθη τεττάρων ἐτῶν συνήθειαν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γόνασι, μικρὸν ἀκούσατέ μου ἔξω τι τῆς* πρεσβείας * πρεσβ. α. ἡ.
ταυτησί. ἐπειδὴ γὰρ εἷλεν Ὄλυνθον Φίλιππος, Ὀλύμπια
ἐποίει. εἰς δὲ τὴν θυσίαν ταύτην, καὶ τὴν πανήγυριν,
πάντας τοὺς τεχνίτας συνήγαγεν. ἑστιῶν δ' αὐτούς, καὶ
349 στεφανῶν τοὺς νενικηκότας, ἤρετο Σάτυρον τουτονί, τὸν
κωμικὸν ὑποκριτήν, τί δὴ* μόνος οὐδὲν ἐπαγγέλλεται, * ποτε. α.
ἢ τίνα ἐν αὐτῷ μικροψυχίαν, ἢ πρὸς αὐτὸν ἀηδίαν
"ἐνεωρακὼς εἴη; εἰπεῖν δέ φασι τὸν Σάτυρον, ὅτι ὧν μὲν " ἑωρακὼς. δ.
οἱ ἄλλοι δέονται, οὐδενὸς ὧν ἐν χρείᾳ τυγχάνει· ἃ δ'
350 ἂν" αὐτὸς ἐπαγγείλαιτο ἡδέως, ῥᾷστα μὲν εἶναι Φιλίπ- " αὐτὸς. ε.
πῳ δοῦναι, καὶ χαρίσασθαι πάντων· δεδοικέναι δέ, μὴ
διαμάρτῃ. κελεύσαντος δ' ἐκείνου λέγειν, καί τι καὶ νεα-
νιευσαμένου τοιοῦτον, ὡς οὐδὲν ὅ, τι οὐ ποιήσει, εἰπεῖν αὐ-
τόν φασιν, ὅτι ἦν αὐτῷ Ἀπολλοφάνης ὁ Πυδναῖος, ξέ-
351 νος, καὶ φίλος. ἐπειδὴ δὲ δολοφονηθεὶς ἐτελεύτησεν ἐκεῖ-
νος, φοβηθέντες οἱ συγγενεῖς αὐτοῦ, ὑπεξέθεντο τὰς θυ-
γατέρας παιδία οὔσας εἰς Ὄλυνθον. αὗται" νῦν, ἔφη, τῆς " τίνων. β.
πόλεως ἁλούσης αἰχμάλωτοι γεγόνασι· καὶ εἰσὶ παρὰ
σοί, ἡλικίαν ἔχουσαι γάμου. ταύτας αἰτῶ σε, καὶ δέομαι,
352 δός μοι. βούλομαι δέ σε ἀκοῦσαι, καὶ μαθεῖν, οἵαν μοι
δώσεις δωρεάν, ἐὰν ἄρα δῷς· ἀφ' ἧς ἐγὼ κερδανῶ μὲν
οὐδέν*, προῖκα δὲ προσθείς, ἐκδώσω, καὶ οὐ περιόψο- * ἐὰν λάβω.
μαι παθούσας οὐδὲν ἀνάξιον, οὔθ' ἡμῶν, οὔτε τοῦ πα- δ. η.
τρός. ὡς δ' ἀκοῦσαι τοὺς παρόντας ἐν τῷ συμποσίῳ,
353 τοσοῦτον κρότον, καὶ ἔπαινον, καὶ θόρυβον παρὰ πάντων
γενέσθαι, ὥστε τὸν Φίλιππον παθεῖν τι, καὶ δοῦναι. καί-
τοι τῶν ἀποκτεινάντων ἦν Ἀλέξανδρον, τὸν ἀδελφὸν τὸν
Φιλίππου, εἷς οὗτος ὁ Ἀπολλοφάνης. ἐξετάσωμεν δὴ πρὸς
τὸ τοῦ Σατύρου "τούτου συμπόσιον, ἕτερον συμπόσιον τὸ " τούτου. δ. η.
354 τούτων ἐν Μακεδονίᾳ γενόμενον. καὶ θεάσασθε εἰ πα-
ραπλήσιον τούτῳ, καὶ ὅμοιον. κληθέντες γὰρ οὗτοι πρὸς

348 Ἐπειδὴ γὰρ εἷλεν Ὄλυνθον) Ὑπέμνησε πάθους καὶ συμφορᾶς τοὺς ἀκούοντας. ἀλγοῦσι γὰρ ἐπὶ τοῖς Ὀλυνθίοις, ὡς μόνοις ἂν κωλύσασί τι Φίλιππον ἐλθεῖν ἐπὶ τὴν Ἑλλάδα. Ὀλύμπια ἐποίει) Ἐκ τῆς πανηγύρεως, τὸ πάθος τῶν ἀκουόντων ἔτι μᾶλλον ηὔξησεν· αἱ γὰρ εὐπραγίαι τῶν πολεμίων, λυποῦσι τοὺς ἡττωμένους. ὁ μὲν οὖν, πανήγυριν εἰσήγαγεν ἐπὶ νίκῃ καὶ συμφορᾷ τῶν Ἑλλήνων. ἡ δὲ πόλις πληγεῖσα τοῖς συμβεβηκόσιν, ἔστενε τὰς συμφοράς. τὰ Ὀλύμπια δέ, πρῶτος Ἀρχέλαος ἐν Δίῳ τῆς Μακεδονίας κατέδειξεν. ἤγετο δ' ἐπὶ ἐννέα, ὥς φησιν, ἡμέρας, ἰσαρίθμους ταῖς Μούσαις. συνέζευξε δὲ τὰ κατὰ τὴν Ὄλυνθον, ἵνα δοκῇ πανηγυρίζειν ἐπὶ τῇ τῶν Ἑλλήνων ἁλώσει. καὶ συνεορτάζει καὶ ὁ Αἰσχίνης, οἷον, ἐγὼ μὲν ἐθρήνουν, Φίλιππος δὲ ἐτέλει μετ' Αἰσχίνου πανήγυριν. Εἰς δὲ τὴν θυσίαν ταύτην) Ἐκ δευτέρου ηὔξησε τὰ συμβεβηκότα. καὶ γὰρ τοῖς θεοῖς ἔθυε, καὶ πανήγυρις συνεκροτεῖτο. τεχνίτας δέ, τοὺς ὑποκριτὰς οὕτω καλεῖ κωμικούς τε καὶ τραγικούς. τὴν δὲ τοῦ ἤθους ἔμφασιν, ἣν περιτίθησι τῷ Σατύρῳ, ἔδειξε διὰ τῆς διανοίας τοῦ λόγου. τὸ γὰρ σιγᾶν καὶ μὴ φθέγγεσθαι, σημεῖον τοῦ στένειν καὶ ἀνιᾶσθαι τοῖς συμβεβηκόσι γίνεται.

349 Τί δὴ μόνος οὐδὲν ἐπαγγέλλεται) Τὸ μὲν ἐπαγγέλλεσθαι αἰτεῖν σημαίνει, ὅτι δὲ ἔθος τῷ Φιλίππῳ διαφθείρειν ἐν συμποσίῳ, συνίστησι. καὶ τὴν ἐγκράτειαν ἐπαινεῖ τοῦ σιωπῶντος. μικροψυχίαν δὲ ὠνόμασε, τὴν περὶ τὰ χρήματα φειδώ. ἡ δὲ πλάσις σύμπασα τὸ ἦθος ἐμφανίζει, ὅπως χρημάτων κρείττων ὁ Σάτυρος, καὶ ταῦτα τεχνίτης ὤν, καὶ συνήθειαν ἔχων τοῦ λαμβάνειν. καὶ ἡ πολλὴ δὲ παράκλησις, καὶ ὁ μετὰ τοῦ δέους λόγος. καὶ τὸ μὴ ἐπιδραμεῖν εὐθὺς ταῖς αἰτήσεσι, μέγεθος ἐμφανίζει τῆς αἰτήσεως, εὔνοιαν δὲ
350 τοῦ αἰτοῦντος. Δεδοικέναι δὲ μὴ διαμάρτῃ) Δι' ὧν εὐλαβεῖσθαι προσποιεῖται, πλέον εἰς τὸ δοῦναι παροξύνει τὸν Φίλιππον. Καί τι νεανιευσαμένου τοιοῦτον) Τὸ ἀλαζονικὸν αὐτοῦ καὶ αὔθαδες διαβάλλει. ἐμφαίνει δὲ βαθέως, ὅτι καὶ Φωκέας εἰ ἐξῄτησε Φίλιππον Αἰσχίνης, οὐκ ἂν
351 ἀπέτυχεν. Αἰχμάλωτοι γεγόνασιν) Οὐδὲν ἁμαρτήσασαι, τῆς δηο-
352 τείας μετεσχήκασι τύχης. Βούλομαι δέ σε ἀκοῦσαι) Ἵνα μὴ ἄλλο τι ὑποπτεύσῃ ὁ Φίλιππος, διδάσκει αὐτὸν τὴν αἰτίαν τοῦ αἰτήματος, δηλονότι ἕνεκα τοῦ μὴ αὐτὰς ἑαυτῶν, οὔτε πα-
353 τρός, οὔθ' ἡμῶν ἀνάξιον παθεῖν. ὡραῖαι γὰρ ἔχουσαι, μὴ διὰ τὴν ἀπορίαν τῶν ἀναγκαίων πορνεύσωσι. Τοσοῦτον κρότον) Τὸ ἴδιον τῆς εὐημερείας τῆς ἐν τῇ κωμῳδίᾳ, προσέθηκεν ὁ ῥήτωρ. Ὥστε τὸν Φίλιππον παθεῖν) Τὰς ἀνθρωπίνας ἠλέησε τύχας, καὶ πέπονθέ τι ἀνθρώπινον.

Καί τοι τῶν ἀποκτεινάντων) Ὅσον εὔκαιρος αἴτησις ἰσχύει, δεδήλωκε· δι' ὧν ἐπελάθετο τῆς πρὸς τὸν ἀδελφὸν εὐνοίας ὁ Φίλιππος.

Ἐξετάσωμεν δή) Εἰρωνείᾳ διέσυρε τὴν τοῦ Αἰσχίνου δόξαν. διὰ δὲ τοῦ, κληθέντες γὰρ οὗτοι, δηλοῖ ὅτι αὐτὸς οὐ κέκληται. ἤδη γὰρ ὅτι οὐ πιαθήσομαι. διὰ δὲ τοῦ, οὐκ ἐπορεύθην, μεῖζον αἰνίττεται, ὡς καὶ κληθεὶς οὐκ ἀπελήλυθε. δηλοῖ δὲ ὅτι ὁ τοῦ τυράννου παῖς οὐκ ἠγνόησε διακρῖναι τοὺς εὔνους καὶ δύσνους τῇ πόλει. καλεῖ γὰρ Αἰσχίνην, καὶ Φιλοκράτην, καὶ Φρυνῶνα. οὕτως ἤδη τοὺς ὁμοίους συγκροτεῖν εἰς συμπόσιον.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τὸν υἱὸν τοῦ φαιδίμου) Ἀπὸ τοῦ πατρὸς χαρακτηρίζει τὸν παῖδα. ὑπομνήσει δὲ τῶν συμβεβηκότων τῇ πόλει δεινῶν· 354
καὶ ὅτι ἐδείπνουν παρὰ παιδὶ τοῦ λυμηναμένου ποτὲ τὴν δημοκρατίαν. εἰκὸς γὰρ ἦν τεθραμμένον ἐν ὕβρει τοιαῦτα συγκροτεῖν συμπόσια * γεγυμνασμένα τοῦ σώφρονος. καὶ τὸ ᾤχοντο, πλείστην ἐμφαίνει τὴν ἡδονήν. μόνον οὐκ ἦσαν ὑπόπτεροι φθάσαντες τῇ παρουσίᾳ τὴν κλῆσιν. Ἐγὼ δὲ οὐκ ἐπορεύθην.) Ἔκφασιν μὲν ἔχει τοῦ αὐτὸν μὲν κληθέντα μὴ ἀπελθεῖν· ἔχει δὲ καὶ μεσότητα τοῦ μὴ κληθῆναι· τὸ γὰρ κληθέντες οὗτοι, οὐχ ὅτι διὰ καταφρόνησιν οὐκ ἐκλήθη αὐτὸς, δείκνυσιν, ἀλλ' ὅτι ἐγινώσκετο μισῶν τοὺς τριάκοντα, καὶ τοὺς τῶν λυπησάντων παῖδας τὴν πόλιν. Ἐπειδὴ δὲ ἧκον εἰς τὸ πίνειν.) Παυσάμενοι τοῦ ἐσθίειν, ἔπινον μόνον. καὶ εἰκότως ἐμεθύσκοντο καὶ παρῴνουν. τὸ δὲ μετὰ δεῖπνον ἥκειν εἰς φιλοποσίαν, ἱκανὸν εἰς κατηγορίαν ἀνδρὸς πρεσβευτοῦ καὶ ῥήτορος, τὴν δοκοῦσαν δὲ σωφροσύνην ἐξελέγχει, δεικνὺς ἀκρατῆ περὶ μέθην. Εἰσάγει τινά) Ἵνα ἡ εἴσοδος τῆς γυναικὸς καιρὸν τὸν πρέποντα λάβῃ, πίνουσιν αὐτοῖς καὶ μεθύουσιν εἰσάγει. δείκνυσι δὲ συγγένειαν τῶν συμποσίων, ὅτι ὁ μὲν φίλιππος, μετ' Ὀλύνθου ἤγαγε συμπόσιον. ὁ δὲ ξενόφρων, συνεκρότει συμπόσιον ἐπὶ τοῖς λαφύροις καὶ τοῖς αἰχμαλώτοις τῶν ὀλυνθίων. ἐλευθέραν δὲ καὶ σώφρονα εἰπὼν, τὸ οἰκεῖον ἦθος, καὶ ἣν εἶπεν ὑπόληψιν περὶ ὀλυνθίων ἐπισημαίνεται. ἐλευθέραν δὲ καὶ σώφρονα καὶ μετὰ τὴν ἅλωσιν οὐ διέφθειρεν ἡ τύχη τὸν τρόπον. οὐκ ἤμειψεν ἡ δουλεία τὴν γνώμην. ἵνα δὲ παροξύνῃ τοὺς ἀκούοντας, τῆς αἰχμαλώτου γυναικὸς ἐμνημόνευσεν. ἵνα δὲ ἀφέληται τὴν αἰσχίνου δόξαν, τὴν ἀκρασίαν καὶ ἀκολασίαν διεχφωμώδησεν. ἵνα δὲ πιθανότητα ὁ λόγος λάβῃ, ὡς ἐν πύστεως εἴδει συνέπλασε τὸ διήγημα, ἐναργείαν τῷ λόγῳ διδούς.

| | | |
|---|---|---|
| | ξενόφρονα τὸν υἱὸν τοῦ φαιδίμου, τοῦ τῶν τριάκοντα, | |
| γρ. ἦλθον. β. | ᾤχοντο. ἐγὼ δὲ οὐκ ἐπορεύθην. ἐπειδὴ δὲ ἧκον εἰς τὸ | |
| | πίνειν, εἰσάγει τινὰ ὀλυνθίαν γυναῖκα, εὐπρεπῆ μὲν, | |
| ἔργον. α. β. | ἐλευθέραν δὲ καὶ σώφρονα, ὡς τὸ τέλος ἐδήλωσε. | 355 |
| η. ε. η. | ταύτην, τὸ μὲν πρῶτον, οὑτωσὶ πίνειν ἡσυχῇ, καὶ τρώ- | |
| | γειν ἠνάγκαζον οὗτοι, μοι δοκεῖν, ὡς διηγεῖτο ἰατροκλῆς | |
| | ἐμοὶ τῇ ὑστεραίᾳ, ὡς δὲ προῄει τὸ πρᾶγμα, καὶ | |
| | διεθερμαίνοντο, κατακλίνεσθαι, καί τι καὶ ᾄδειν ἐκέ- | |
| | λευον. ἀδημονούσης δὲ τῆς ἀνθρώπου, καὶ οὔτε | 356 |
| | ἐθελούσης, οὔτε ἐπισταμένης, ὕβριν τὸ πρᾶγμα ἔ- | |
| | φασαν οὑτοσὶ, καὶ ὁ φρύνων. καὶ οὐκ ἀνεκτὸν εἶναι τῶν | |
| | θεοῖς ἐχθρῶν, καὶ ἀλιτηρίων ὀλυνθίων αἰχμάλωτον | |
| | οὖσαν, τρυφᾶν. καὶ κάλει παῖδα, καὶ ἱμάντα τις φερέτω. | |
| ἦλθεν. α. ε. | ἧκεν οἰκέτης ἔχων ῥυτῆρα, καὶ πεπωκότων, οἶμαι, καὶ | 357 |
| ι. | μικρῶν ὄντων τῶν παροξυνόντων, εἰπούσης τι, καὶ δα- | |
| μαραν. διακρυσάσης η. | κρυσάσης ἐκείνης, περιρρήξας τὸν χιτωνίσκον ὁ οἰκέτης, | |

συμποτῶν. γρ.

Οὑτωσὶ πίνειν ἡσυχῇ καὶ τρώγειν) Ἔδει πιθανὸν εἶναι τὸν ἐξαγγέλλοντα, ἵνα καὶ ὁ λόγος τὴν πίστιν λάβῃ, καὶ ὁ ἐξαγγέλλων μαρτυρίαν ἔχῃ τῆς ἀκολασίας μὴ κοινωνεῖν. τὸ δὲ ἠνάγκαζον, βεβαιοῦντός ἐστι τῆς γυναικὸς τὴν σωφροσύνην. καὶ ἡσυχῇ προσθεὶς, πιθανότητα εἰργάσατο. οὐ γὰρ ἦν ἀπεικὸς ἀναγκαζομένην, εἶτα ὁρῶσαν ἡσυχῇ κοινωνεῖν τραπέζης, μηδὲν οἰομένης ἀδικήσεσθαι. Ὡς διηγεῖτο ἰατροκλῆς) Αὐτῇ γὰρ τῇ ἡμέρᾳ οὐδὲ συντυχεῖν μοι δεδύνηται, διὰ τὸ μέχρι τῆς ἑσπέρας κατεσχηκέναι τὸ συμπόσιον. τὸ δὲ ἐμοὶ, ἔμφασιν ἔχει τῆς αὐτοῦ ὀρθῆς προαιρέσεως. οὐ γὰρ ἂν αὐτῷ διηγεῖτο, εἰ μὴ ᾔδει ὅτι ἀγανακτήσαι ἔμελλεν. Ὡς δὲ προῄει τὸ πρᾶγμα) Οὐκ ἀθρόως ἐξήγγειλε τὴν ἀκολασίαν. οὐ γὰρ πιθανὸν, οὐδὲ ῥητορικὸν ἦν εὐθὺς ἀπιθάνως ἐπιβαλεῖν τῷ πράγματι, καὶ τῆς ἀκμῆς γίνεσθαι τὸν ἔλεγχον, ἵνα ἡ ἀνάγκη τῆς φύσεως ἐξελέγχῃ καὶ τὴν προαίρεσιν. οὐ γὰρ ἦν ἀπεικὸς παρὰ τῷ τυράννῳ εἰς ὕβριν γυναῖκα αἰχμάλωτον γίνεσθαι. Ἰστέον δὲ ὅτι ἐν τούτῳ τῷ χωρίῳ ἀνέστησαν οἱ δικασταὶ καὶ εἴασαν ῥήτορα λέγοντα, τοῦ εὐβούλου συμπράττοντος τῷ αἰσχίνῃ, μισοῦντος δὲ τὸν ῥήτορα, εἰπόντος αὐτοῖς, τοιούτων αἰσχρῶν ἀνέχεσθε λέγοντος δημοσθένους. Ῥυτῆρα δὲ μάλιστα) Κυρίως δὲ λέγεται ῥυτὴρ ὁ χαλινός. παρὰ τὸ ῥύεσθαι καὶ ἕλκεσθαι ὑπὸ τῶν ἡνιόχων. Καί τι καὶ ᾄδειν ἐκέλευον) Μίμησις ἀκριβὴς τῶν ἀκρατῶς ἐχόντων. προσποιοῦνται γὰρ εἶναι καὶ μουσικοί. τῆς δὲ αὐτοῦ ἀσελγείας καὶ τὸ ᾄδειν κελεύειν καὶ τὸ κατακλίνεσθαι.

Ἀδημονούσης δὲ τῆς ἀνθρώπου) Ἔδει εἰπεῖν βοώσης καὶ ἐπικαλουμένης τοὺς βοηθήσοντας, οὐκ ἀδημονούσης, ἀλλὰ τῆς φύσεως τὴν ἀσθένειαν διὰ τῆς λέξεως ἐνέφηνεν. οὕτως οἶδεν οἰκείοις χρῆσθαι ὀνόμασι, σημαίνουσι τῶν ὑποκειμένων πραγμάτων τὰς φύσεις. Καὶ οὔτε ἐθελούσης) Ἵνα τὸ μὴ θέλειν τῆς γνώμης ἔργον γένηται. τὸ δὲ μὴ ἐπισταμένης τῆς ἀγωγῆς καὶ τοῦ βίου. οὐ γὰρ ἤκτο διὰ τοιούτων. Ὕβριν τὸ πρᾶγμα ἔφασαν) Ὅταν μὲν δέῃ διαβάλλειν εἰς δωροδοκίαν, φιλοκράτης συνάπτεται. ὅτε δὲ εἰς ἀκολασίαν καὶ ἀκρασίαν, τότε φρύνων διὰ τὴν περὶ τὸν υἱὸν πρᾶξιν· οὐ γὰρ ἦν ἀπεικὸς τὸν προδόντα τὴν ὥραν τοῦ παιδὸς, τοῦτον εἰς γυναῖκα ἀλλοτρίαν ὑβρίζειν. Καὶ οὐκ ἀνεκτὸν εἶναι τῶν θεοῖς ἐχθρῶν) Ἐνταῦθα λαμπρῶς ἣν ἔχουσι δυσμένειαν πρὸς τὴν δημοκρατίαν ἐξήλεγξεν. ταῦτα γάρ, φησι, τῆς πικρίας, ἣν ἔχουσι πρὸς τὸν δῆμόν ἐστι τεκμήρια. τὸ δὲ τρυφᾶν ἐστὶν ἐν ἐξουσίᾳ εἶναι τοῦ πράττειν ὅ, τι βούλεται. Καὶ κάλει παῖδα) Μιμεῖται ὥσπερ ἐν δράματι ἐξεστηκότων ἀνδρῶν μέθῃ καὶ ἔρωτι πεπληγότων. Εἰπούσης καὶ δακρυσάσης) Καλῶς εἰσήγαγε τὰ ὑπ' ἐκείνης ῥηθέντα, ἵνα ὁ ἀκροατὴς οἴηται περιαλγοῦσαν αὐτὴν ἐπικαλεῖσθαι τὴν ἀθηναίων πόλιν, τὸ, τι γὰρ εἰπεῖν ἔμφασιν ἔχει, ὅτι ἐπὶ 357
τὴν πόλιν ἀνέδραμε ταῖς ἐλπίσιν ὑπορρυγγύουσα, καὶ ταῦτα φάσκουσα παρὰ τῶν ἀθηναίων ὑπομιμνῄσκουσα. ἆρα μὴ ἐν σκύθαις εἰμὶ οὔτοι τῆς φιλανθρωποτάτης πρέσβεις πόλεως; καὶ τὸ ἐδάκρυσε δὲ, ὅτι ἐξ ὧν ἤλπισεν ἐλεεῖσθαι, παρὰ τούτων ὑβρίζετο. Περιρρήξας τὸν χιτωνίσκον) Καὶ τὸ ἄγριον καὶ τὸ αἰσχρὸν σημαίνει τῆς γνώμης· γυμνοῦ γὰρ τὸ σῶμα διότι πρὸς ἡδονὴν ἤδη γιγνόμενον τοῖς θεωμένοις.

γρ. ὑπὸ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ξαίνει κατὰ τοῦ νώτου πολλάς. ἔξω δ' αὐτῆς οὖσα ὑπὸ
τοῦ κακοῦ, καὶ τοῦ πράγματος ἡ γυνή, ἀναπηδήσα-
358 σα, προσπίπτει πρὸς τὰ γόνατα τῷ Ἰατροκλεῖ, καὶ τὴν
τράπεζαν ἀνατρέπει. καὶ εἰ μὴ ἐκεῖνος ἀφείλετο*, ἀ- *αὐτὴν. α. ε. η.
πώλετ' ἂν παροινουμένη. καὶ γὰρ ἡ παροινία τοῦ κα-
θάρματος τουτουὶ δεινή. καὶ περὶ ταύτης τῆς ἀνθρώ- τούτου. α. περὶ. γρ. δ.
που, καὶ ἐν Ἀρκαδίᾳ λόγος ἦν ἐν τοῖς μυρίοις. καὶ
359 Διόφαντος ἐν ὑμῖν ἀπήγγελλεν, ἃ νῦν αὐτὸν μαρτυ- ἡμῖν. α.
ρεῖν ἀναγκάσω, καὶ κατὰ Θετταλίαν πολὺς λόγος, καὶ
πανταχοῦ. Καὶ τοιαῦτα συνειδὼς ἑαυτῷ πεπραγ-
μένα ὁ ἀκάθαρτος οὑτοσί, τολμήσει βλέπειν εἰς ὑ- *κατάρατος. η.
μᾶς; καὶ τὸν βεβιωμένον αὐτῷ βίον αὐτίκα δὴ μάλα
360 ἐρεῖ λαμπρᾷ τῇ φωνῇ; ἐφ' οἷς ἔγωγε ἀποπνίγο-
μαι. οὐκ ἴσασιν οὗτοι, τὸ μὲν ἐξ ἀρχῆς τὰς βίβλους
ἀναγινώσκοντά σε τῇ μητρὶ τελούσῃ, καὶ παῖδα
ὄντα ἐν θιάσοις καὶ μεθύουσιν ἀνθρώποις καλινδού-
μενον; μετὰ ταῦτα δὲ ταῖς ἀρχαῖς ὑπογραμμα-
361 τεύοντα, καὶ δυοῖν, ἢ τριῶν δραχμῶν πονηρὸν ὄντα; καὶ. α.
τὰ τελευταῖα δέ, ἔναγχος ἐν χορηγίοις ἀλλοτρίοις ἐπὶ
τῷ τριταγωνιστεῖν ἀγαπητῶς παρατρεφόμενον;
ποῖον οὖν ἐρεῖς βίον, ὃν οὐ βεβίωκας, ἐπεὶ ὅ γε βε-
βιωμένος σοι, τοιοῦτος ὢν φαίνεται. ἀλλὰ δὴ τὰ τῆς
362 ἐξουσίας; ὅτι ἄλλον ἔκρινε περὶ ὑμῖν ἐπὶ πορνείᾳ.
ἀλλὰ μή πω ταῦτα, ἀλλὰ τὰς μαρτυρίας μοι λέγε
πρῶτον ταυτασί.

Μαρτυρία.

Τοσούτων τοίνυν καὶ τοιούτων ὄντων, ὦ ἄνδρες δικα- *κακῶν. α.
363 σταί, ὧν ἀδικοῦν ὑμᾶς ἐξελήλεγκται, ἐν οἷς τί κακὸν οὐκ
ἔνι, δωροδόκος, κόλαξ, ταῖς ἀραῖς ἔνοχος, ψεύστης,
τῶν φίλων προδότης, πάντα ἔνεστι τὰ λεγόμενα, γρ. δεινότατα. β. δ.
πρὸς οὐδὲν τούτων ἀπολογήσεται, οὐδ' ἕξει δικαίαν
οὐδ' ἁπλῆν εἰπεῖν ἀπολογίαν οὐδεμίαν. ἃ δ' ἐγὼ πέ-
364 πυσμαι μέλλειν αὐτὸν λέγειν, ἔστι μὲν ἐγγυτάτω μανίας.
οὐ μήν, ἀλλ' ἴσως τῷ μηδὲν ἔχοντι δίκαιον ἄλλο εἰπεῖν,
ἀνάγκη πάντα μηχανᾶσθαι. ἀκούω γὰρ αὐτὸν ἐρεῖν,
ὡς ἄρα ἐγὼ πάντων ὧν κατηγορῶ, κοινωνὸς γέγονα, καὶ *κατηγορ...
365 συνήρεσκε ταῦτά μοι, καὶ συνέπραττον αὐτῷ. ἔπειτα
ἐξαίφνης μεταβέβλημαι καὶ κατηγορῶ. ἔστι δὲ ὑπὲρ
μὲν τῶν πεπραγμένων, οὔτε δικαία, οὔτε προσήκου-

357 Ξαίνει κατὰ τοῦ νώτου πολλάς) Τὸ ἀμέτρον τῶν πληγῶν, τὴν πρὸς τὴν πόλιν βεβαιοῖ δυσμένειαν. Ἔξω δ' αὐτῆς οὖσα) Ἐμαρτύρησε τῆς γυναικὸς τὴν σωφροσύνην. οὐ γὰρ ἂν κατέφυγεν ἐπὶ τὸν συνηδόμενον ταῖς ἀσελγείαις. οἶδε γὰρ πάντως αὐτὸν ἐπὶ τοῖς γινομένοις ἀγανακτιζόμενον. ὅθεν αὐτὸν ὑπέθετο καὶ διηγούμενον αὐτῷ τῇ ὑστεραίᾳ τὰ γινόμενα. οὐ κατὰ προαίρεσιν δὲ ἀνατρέπει τὴν τράπεζαν. τοῦτο δὲ ὡς πρὸς τὸ ὑπ' αἰσχίνου εἰρημένον κατὰ τοῦ ῥήτορος. ποῦ δ' ἅλες, ποῦ τράπεζαι. ἰδοὺ γάρ, ἃ αὐτὸς 358 αἰτιᾶται, πεποίηκε. Καὶ γὰρ ἡ παροινία) Καλῶς ὠνόμασεν ἐπὶ τοιούτοις μέσοις, κάθαρμα τὸν αἰσχίνην. αὐτὸ γάρ ἐστι κάθαρμα τὸ καθαιρόμενον, καὶ ὃ ἂν ἀποσείσαιτό τις. ἵνα δὲ μὴ μικρὸν ἡγήσωνται οἱ ἀκούοντες τὸ γινόμενον, ηὔξησεν αὐτὸ τῇ μαρτυρίᾳ τῶν Θετταλῶν καὶ τῶν Ἀρκάδων γένεσιν ἑλληνικοῖς καὶ ἀντικειμένοις τῇ πόλει. λυπεῖ δὲ τοὺς ἀκούοντας, ὅταν τὰ παρ' αὐτοῖς συμβαίνοντα ἡδονὴν καὶ γέλωτα κατασκευάζῃ τοῖς ἐναντίοις. ἐχθροὶ γὰρ καὶ Ἀρκάδες καὶ Θετταλοί.

359 Καὶ Διόφαντος ἐν ἡμῖν) Οὐκ ἐκ τῆς Δημοσθένους μόνης κατηγορίας φαίνεται δεινὸν τὸ γένος, ἀλλὰ καὶ ἐκ τῆς Διοφάντου καταβοήσεως. ὅτι μέντοι γε τοῦ βίου ἕνεκα τοῦ αἰσχίνου καὶ τῆς ὑπολήψεως ἐρρέθη σύμπαντα, δῆλον ἐκ τῶν ἐπαγομένων. τί γάρ, φησίν. καὶ τοιαῦτα συνειδὼς αὑτῷ πεπραγμένα καὶ τὰ ἑξῆς οὕτως, ἄρα ἐφαίνετο ὁ Δημοσθένης ἀνιώμενος ἐπὶ τῇ ὑπολήψει καὶ τῇ δόξῃ, ἧς ἐτύγχανε παρὰ τὴν ἀξίαν αἰσχίνης. ἀνιῶσι γὰρ τὸ φρόνημα τῶν ἐλευθέρων οἱ παρ' ἀξίαν εὖ πράττοντες, καὶ ἐπιμαρτυρεῖ τῷ θεωρήματι καὶ Ἰσοκράτης ἐν τῷ πανηγυρικῷ, τοῖς βαρβάροις ἀξιῶν φθονεῖν παρὰ τὴν ἀξίαν πολλῶν κυρίοις καθεστηκόσι. 360 Καὶ παῖδα ὄντα ἐν θιάσοις) Ἀναμίξας τὴν ἡλικίαν, τὴν διαβολὴν ὕφηνε. δοκεῖ δὲ ταῦτα εἶναι μυστήρια δημοτελῆ καὶ 361 κοινά, καὶ οὐ πάνυ σεμνά. Καὶ δυοῖν καὶ τριῶν δραχμῶν) Ἐνίοτε γὰρ λαμβάνοντες οἱ γραμματεῖς ἀργύριον, ἑτέρως ἀνεγίνωσκον πρὸς τὸ χρήσιμον τοὺς νόμους καὶ τὰ ψηφίσματα.

364 Ἐγγυτάτω μανίας) Τὸ ψιλῷ λόγῳ δωροδοκίας ὀνειδίζειν τῷ φιλοπόλιδι. Ἀκούω γὰρ αὐτόν) Ἕως ὧδε ἐπλήρωσε τὸ περὶ κατηγορίας αἰσχίνου. ἐντεῦθεν δὲ βούλεται καὶ ὑπὲρ ἑαυτοῦ ἀπολογήσασθαι εἰς ἃ αὐτοῦ κατηγόρησεν αἰσχίνης. καλῶς δὲ ἐποίησεν, ὅτι ἐν τοῖς ἐπιλόγοις ἔταξε ταῦτα καὶ οὐκ ἐν τοῖς ἀγῶσιν. ἡ γὰρ ἂν ἐδόκει ἑαυτοῦ κατηγορεῖν.

Πάντων ὧν κατηγορῶ) Τῇ ὑπερβολῇ διὰ τοῦ πάντων εἰπεῖν ἐμφαίνει τὸ ἄτοπον, καὶ ὅτι ψεύδεται.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σα ἡ τοιαύτη ἀπολογία. ἐμοῦ μέν τοι τὶς κατηγορία. 366
ἐγὼ μὲν γὰρ εἰ ταῦτα πεποίηκα, φαῦλός εἰμι ἄν-
θρωπος. τὰ δὲ πράγματα οὐδὲν βελτίω διὰ τοῦ-
το. οὐδὲ πολλοῦ δεῖ. οὐ μὴν ἀλλ' ἔγωγε οἶμαί μοι
προσήκειν ἀμφότερα ὑμῖν ἐπιδεῖξαι, καὶ ὅτι ψεύ-
* ἔσται. δ. σεται, ταῦτα ἐὰν λέγῃ. καὶ τὴν δικαίαν ἥτις * ἐστὶν 367
ἀπολογία, φράζεται. ἡ μὲν τοίνυν δικαία, καὶ ἁπλῆ,
* κατηγορούμενα. δ. η. ἢ ὡς οὐ πέπρακται τὰ * κατηγορημένα, δεῖξαι, ἢ ὡς
πεπραγμένα συμφέρει τῇ πόλει. τούτων δ' οὐδέ-
* δύναται εἰπεῖν. δ. τερον * δύναιτ' ἂν οὗτος ποιῆσαι. οὔτε γὰρ ὡς συμ-
φέρει δήπου Φωκέας ἀπολωλέναι, καὶ πύλας Φίλιπ- 358
πον ἔχειν, καὶ Θηβαίους ἰσχύειν, καὶ ἐν Εὐβοίᾳ στρατιώ-
τας εἶναι, καὶ Μεγάροις ἐπιβουλεύειν, καὶ ἀνώμοτον εἶναι
τὴν εἰρήνην, ἔνεστι λέγειν αὐτῷ, οἷς τότε τἀναντία
ἀπήγγειλε πρὸς ὑμᾶς, ὡς συμφέροντα καὶ γινησό-
μενα, οὔτε ὡς οὐ πέπρακται ταῦτα, δυνήσεται πεῖσαι τοὺς αὐτοὺς ἑωρακότας ὑμᾶς, 369
* οὐδενός. δ. καὶ εὖ εἰδότας. οὐκοῦν ὡς οὐ κεκοινώνηκα τούτοις * μηδενός, λοιπόν μοι δεῖξαι. βού-
λεσθε οὖν ὑμῖν πάντα τὰ ἄλλα ἀφεὶς, ἃ παρ' ὑμῖν ἀντεῖπον, ἃ ἐν τῇ ἀποδη-
* ὅπως. δ. μίᾳ προσέκρουον, ὡς ἅπαντα τὸν χρόνον ἠναντιώμην, * αὐτοὺς παράσχωμαι μάρ-
τυρας τουτουσί; ὡς πάντα τἀναντία ἐμοὶ, καὶ τούτοις πέπρακται; καὶ χρήματα 370
* ὑφ'. β. οὗτοι μὲν ἔχουσιν * ἐφ' ὑμῖν, ἐγὼ δ' οὐκ ἠθέλησα λαβεῖν; θεάσασθε δή. τίνα τῶν
ἐν τῇ πόλει φήσαιτ' ἂν βδελυρώτατον εἶναι, καὶ πλείστης ὀλιγωρίας καὶ ἀναιδείας
μεστόν. οὐδεὶς οὐδ' ἂν ἁμαρτὼν ὑμῶν ἄλλον εὖ οἶδ' ὅτι φήσειεν ἄν, ἢ Φιλοκράτην.
τίνα δὲ φθέγγεσθαι μέγιστον ἁπάντων, καὶ σαφέστατ' ἂν εἰπεῖν ὅ, τι βούλοιτο λαμ- 371
πρᾷ τῇ φωνῇ; Αἰσχίνην οἶδ' ὅτι τουτονί. τίνα δ' οὗτοι μὲν ἄτολμον, καὶ δειλὸν πρὸς
* εἶναι. α. β. τοὺς ὄχλους φασὶν *, ἐγὼ δ' εὐλαβῆ; ἐμέ. οὐδὲν γὰρ πώποτ' οὔτ' ἠνώχλησα, οὔτε
* ἐβιασάμην. α. ε. η. μὴ βουλομένους ὑμᾶς * βεβίασμαι. οὐκοῦν ἐν πάσαις ταῖς ἐκκλησίαις, ὁσάκις λό-
γος γέγονε περὶ τούτων, καὶ κατηγοροῦντος ἀκούετέ μου, καὶ ἐλέγχοντος ἀεὶ τούτους, 372
καὶ λέγοντος ἄντικρυς, ὅτι χρήματα εἰλήφασι, καὶ πάντα τὰ πράγματα πεπρά-
κασι τῆς πόλεως. καὶ τούτων οὐδεὶς πώποτ' ἀκούων ταῦτα, ἀντεῖπεν· οὐδὲ διῆρε τὸ
στόμα, οὐδ' ἔδειξεν ἑαυτόν. τί ποτ' οὖν ἐστι τὸ αἴτιον, ὅτι οἱ βδελυρώτατοι πάντων τῶν
* οὐδέν. δ. ἐν τῇ πόλει καὶ μέγιστον φθεγγόμενοι, τοῦ καὶ ἀτολμοτάτου πάντων ἐμοῦ, * καὶ οὐδένος 373
* δ. μεῖζον φθεγγομένου, τοσοῦτον ἡττῶνται. ὅτι τἀληθὲς ἰσχυρόν ἐστι, καὶ τοὐναντίον ἀσθε-
νές. τὸ συνειδέναι πεπρακόσιν ἑαυτοῖς τὰ πράγματα, τοῦτο παραιρεῖται τὴν
θρασύτητα τὴν τούτων, τοῦτο ἀποστρέφει τὴν γλῶτταν. ἐμφράττει τὸ στόμα, ἄγ-
χει, σιωπᾶν ποιεῖ. τὸ τοίνυν τελευταῖον, ἴστε δήπου καὶ πρώην ἐν Πειραιεῖ, ὅτ' αὐτὸν 374
οὐκ εἰᾶτε πρεσβεύειν, βοῶντα ὡς εἰσαγγελεῖ με, καὶ γράψεται, καὶ ἰοὺ ἰού. καίτοι, ταῦτα
μέν ἐστι μακρῶν, καὶ πολλῶν ἀγώνων καὶ λόγων ἀρχή, ἐκεῖνα δ' ἁπλᾶ. καὶ δύ' ἢ τρία
ἴσως ῥήματα, ἃ κἂν ἐχθὲς ἑωνημένος ἄνθρωπος εἰπεῖν δυνηθείη. ἄνδρες Ἀθη-
ναῖοι, τουτὶ τὸ πρᾶγμα παράδοξόν ἐστιν. οὑτοσὶ κατηγορεῖ ταῦτα ἐμοῦ, ὧν αὐτὸς κοι- 375
νωνὸς γέγονε. καὶ χρήματα εἰληφέναι φησὶν ἐμέ, αὐτὸς εἰληφώς, ἢ μετειληφώς.
τούτων μὲν τοίνυν οὐδὲν εἶπεν, οὐδ' ἐφθέγξατο, οὐδ' ἤκουσεν ὑμῶν οὐδείς. ἀλλὰ δὲ

Ἐμοῦ μέν τοι τὶς * κατηγορεῖ) Οὐ 366
γὰρ εἰ Δημοσθένης μετέσχεν, ἤμειψεν * γρ. κατηγο-
ἡ φύσις τὰ πράγματα. Ἐγὼ μὲν ρία.
γὰρ εἰ ταῦτα) Συντρέχει πρῶτον
τῇ ἀντιπαραστάσει χρώμενος. θαρ-
ρεῖ γὰρ αὐτοῦ τῇ ποιότητι. Οὐκοῦν 369
ὡς οὐ κεκοινώνηκα) Ἐντεῦθεν ἡ ἔν-
στασις. Ὅτ' αὐτὸν οὐκ εἰᾶτε πρε- 374
σβεύειν) Βουλόμενον γὰρ αὐτὸν ἐπὶ τὴν
τρίτην ἐξελθεῖν πρεσβείαν, ἣν ὡς
νοσῶν παρῃτήσατο, οὐκ εἴων ἐξελ-
θεῖν. ἀλλ' ἐκώλυε μὲν ἡ πόλις, κατη-
γορουμένην δ' ἐγώ. καὶ ἔστι μὲν ὡς
δυσχεραίνοντος τὰ ῥήματα, ἴσως δὲ
καὶ διὰ τὴν τέχνην καὶ τὴν ὑπό-
κρισιν. Ἃ κἂν ἐχθὲς ἑωνημένος)
Οὐ προμελετήσας, οὐδὲ προπαι-
δευμένος, ἀλλὰ ἐχθὲς ἐκ βαρβά-
ρων ἥκων. Ἢ μετειληφώς) Τὸ 375
μέρος μετ' ἐμοῦ λαβών, ἵνα πῶς
ὁμολογήσῃ εἰληφέναι ὁ Αἰσχίνης.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἠπείλει. διὰ τί; ὅτι ταῦτα μὲν αὐτῷ συνήδει πε- δι.
πραγμένα, καὶ δοῦλος ἦν τῶν ῥημάτων τούτων.
376 οὐκοῦν προσίστατο πρὸς ταῦτα ἡ διάνοια. ἀλλ' ἀνεδύε-
το. ἐπελαμβάνετο γὰρ αὐτοῦ τὸ συνειδέναι. λοιδορεῖσθαι
δ' ἄλλα ἄττα, οὐδεὶς ἐκώλυεν αὐτόν, οὐδὲ βλασφη- γρ. οὐδέν.
μεῖν. ὃ τοίνυν μέγιστον ἁπάντων, καὶ οὐ λόγος ἀλλ' ἔρ-
γον ἤδη. βουλομένου γὰρ ἐμοῦ τὰ δίκαια, ὥσπερ ἐπρέ-
377 σβευσα δίς, οὕτω καὶ λόγον ὑμῖν δοῦναι δίς, προσελ-
θὼν Αἰσχίνης οὑτοσὶ τοῖς λογισταῖς, ἔχων μάρτυρας
πολλούς, ἀπηγόρευε μὴ καλεῖν ἐμὲ εἰς τὸ δικαστήριον,
ὡς δεδωκότα εὐθύνας, καὶ οὐκ ὄντα ὑπεύθυνον. καὶ
τὸ πρᾶγμα ἦν ὑπεργέλοιον. τί οὖν ἦν τοῦτο; τῆς
378 προτέρας ἐκείνης πρεσβείας, ἧς οὐδεὶς κατηγόρει, λό-
γον δούς, οὐκ ἔτ' ἐβούλετο αὖθις περὶ ταύτης εἰσιέναι,
ἧς νῦν εἰσέρχεται, ἐν ᾗ πάντα τὰ ἀδικήματα ἐνῆν.
ἐκ δὲ τοῦ δὶς ἐμὲ εἰσελθεῖν, ἀνάγκη περιίστατο καὶ τού-
τῳ, πάλιν εἰσιέναι. διὰ ταῦτα οὐκ εἴα καλεῖν. καί- τοῦτ' α.
379 τοι τοῦτο τὸ ἔργον, ὦ ἄνδρες Ἀθηναῖοι, ἀμφότερ' ὑμῖν
ἐπιδείκνυσι σαφῶς, καὶ κατεγνωκότα ἑαυτοῦ τοῦτον,
ὥστε μηδενὶ νῦν ὑμῶν εὐσεβῶς ἔχειν ἀποψηφίσα- κ.
σθαι αὐτοῦ, καὶ μηδὲν ἀληθὲς ἐροῦντα περὶ ἐμοῦ. εἰ
γὰρ εἶχε, τότ' ἂν καὶ λέγων, καὶ κατηγορῶν ἐξητάζετο,
380 οὐ μὰ Δία, οὐκ ἀπηγόρευε καλεῖν. ὡς τοίνυν ταῦτ'
ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

Μάρτυρες.

Ἀλλὰ μήν, ἐάν γέ τι ἔξω τῆς πρεσβείας βλα-
σφημῇ περὶ ἐμοῦ, κατὰ πολλὰ οὐκ ἂν εἰκότως ἀκού-
οιτε αὐτοῦ. οὐ γὰρ ἐγὼ κρίνομαι τήμερον, οὐδ' ἐγχεῖ
381 μετὰ ταῦθ' ὕδωρ οὐδεὶς ἐμοί. τί οὖν ἐστι ταῦτα, πλὴν
δικαίων λόγων ἀπορία. τίς γὰρ ἂν κατηγορεῖν ἕλοιτο
κρινόμενος, ἔχων ὅ, τι ἀπολογήσεται. ἔτι τοίνυν κἀ-
κεῖνο σκοπεῖτε, ὦ ἄνδρες δικασταί· εἰ ἐκρινόμην μὲν μ.
ἐγώ, κατηγόρει δ' Αἰσχίνης οὑτοσί, Φίλιππος δ' ἦν ὁ
382 κρίνων, εἶτα ἐγὼ μηδὲν ἔχων εἰπεῖν ὡς οὐκ ἀδικῶ,
κακῶς ἔλεγον τουτονί, καὶ προπηλακίζειν ἐπεχείρουν,
οὐκ ἂν οἴεσθε καὶ κατ' αὐτὸ τοῦτο ἀγανακτῆσαι τὸν τὸν...
Φίλιππον, εἰ παρ' ἐκείνῳ τοὺς ἐκείνου τις εὐεργέτας κα-
κῶς λέγει; μὴ τοίνυν ὑμεῖς χείρους γένησθε Φιλίπ- λέγοι. δι.
383 που, ἀλλ' ὑπὲρ ὧν ἀγωνίζεται, περὶ τούτων ἀναγ-
κάζετε αὐτὸν ἀπολογεῖσθαι. λέγε μοι τὴν μαρτυρίαν.

Μαρτυρία.

Οὐκοῦν ἐγὼ μὲν ἐκ τοῦ μηδὲν ἐμαυτῷ συνει-
δέναι

377 Λογισταῖς) Λογισταὶ ἐκαλοῦντο οἱ εἰσάγοντες ἐν τῷ δήμῳ τοὺς ὑπευθύνους. ἀρχὴ γὰρ ἦν καὶ αὕτη ἡ τῶν λογιστῶν. Ἔχων μάρτυρας) Τοὺς ἀκούοντας. οἷον ἐπὶ μαρτύρων λέγων πολλῶν. Καὶ τὸ πρᾶγμα ἦν ὑπεργέλοιον) Ἐγὼ μὲν οὐκ ἔφευγον τὰς εὐθύνας, αὐτὸς δὲ ἐκώλυεν.

380 Οὐδ' ἐγχεῖ μετὰ ταῦθ' ὕδωρ) Τοῦτ' ἔστιν, οὐδείς μοι λόγον μετὰ ταῦτα δίδωσιν, οὐδὲ ἀπολογίαν, ἤγουν οὐκ ἐξέσται μοι μετὰ ταῦτα περὶ τῶν ἐμοὶ κατηγορημένων ἀπολογεῖ-
381 σθαι. Ἔτι τοίνυν κἀκεῖνο σκοπεῖτε) Πληρώσας οἰκείαν γνώμην ἀπὸ τῆς ποιότητος τῶν δικαζόντων, ἐπιλογίζεται καὶ ἧς ἔχουσι προαιρέσεως ἐπὶ τοῦ παρόντος, καὶ ἵνα δόξαν περὶ αὐτῶν ἕξουσιν οἱ Ἕλληνες, εἰ κακῶς κρίνοιεν τὸν παρόντα ἀγῶνα. ἔχοντος δὲ ὑπόληψιν κατὰ τὴν πόλιν Αἰσχίνου οὐ φαύλην, οὐδὲ ἄδοξον, ἀφ' ἧς ἡμέρας τὸν Τίμαρχον ἔκρινε, ταύτην τὴν δόξαν ἀποκέσθαι Δημοσθένης βουλόμενος, καὶ δεῖξαι τὸν βίον οὐ συμφωνοῦντα τῇ δόξῃ, ὑπέθετο δύο συμπόσια ὅμοιον ὁμοίῳ παραθείς. τόπος μὲν γὰρ ὁ αὐτὸς τῷ συμποσίῳ ὑπόκειται ἡ Μακεδονία. τὰ δὲ πρόσωπα ὅμοια. ὑποκριτὴς γὰρ τραγῳδίας Αἰσχίνης. ὑποκριτὴς δὲ καὶ ὁ Σάτυρος. φιλοποσία ἐν ἀμφοτέροις, καὶ κρίσις τῆς περὶ τὰ ἀφροδίσια ἀκρασίας καὶ μέθης. οὐκοῦν ὁ μὲν Σάτυρος παρθένους ὥραν ἐχούσας γάμου, ἔτι δὲ σωφροσύνην οὐχ ἡττημένος τῆς ὥρας, ἀλλὰ σώζων ταῖς κόραις τὰς ὥρας. ὁ δὲ ῥήτωρ ὁ Ἀθηναῖος γυναῖκα συνοικοῦσαν ἀνδρὶ λαβών, ἡττᾶτο τῆς ὄψεως. καὶ μεθύων διεθερμαίνετο. καὶ ἐπειδὴ τὸ λεγόμενον ὕποπτον ἦν, δέδωκε τῷ δράματι ἄτοπον τὴν τοῦ τυράννου ξενίαν, τοῦ τῶν τριάκοντα. ἔδει γὰρ παρὰ ἀνδρὶ ἀσώτῳ συγκροτηθῆναι συμπόσιον. καὶ ἵνα ὁ λόγος τὴν πιθανότητα προσλάβῃ, πότος μετὰ τὸ δεῖπνον συνίσταται. καὶ ὁ μέν, τὰς θυγατέρας τοῦ λυπήσαντος τὸν Φίλιππον σώζειν αἱρεῖται. τῶν γὰρ ἀπεκτονότων τὸν ἀδελφὸν τοῦ Φιλίππου Ἀλέξανδρον, εἷς ἦν Ἀπολλοφάνης. ὁ δέ, τῶν συμμάχων τῶν τοῖς Ἀθηναίοις Ὀλυνθίων, γυναῖκα καὶ αἰχμάλωτον ὕβρισε. καὶ ἣν ἔδει ἐ-
382 λεεῖν, ταύτην ᾐκίζετο. Εἰ παρ' ἐκείνῳ τοὺς ἐκείνου τὶς εὐεργέτας) Φανερῶς μὲν εὐεργέτην Φιλίππου τὸν Αἰσχίνην εἴρηκε, βαρὺ τὸ πρᾶ-

δέναι δεινὸν, καὶ λόγον διδόναι, καὶ πάντα τὰ ἐκ τῶν
(οὗτος δὲ.) νόμων ὑπέχειν ὡμολόγει δεῖν. οὑτοσὶ δὲ τἀναντία. πῶς
(ἃ. ν.) οὖν ταὐτὰ ἐμοὶ, καὶ τούτῳ ταῦτα πέπρακται, ἢ 384
πῶς ἔνεστι τούτῳ ταῦτα πρὸς ὑμᾶς λέγειν, ἃ μηδ᾽
ᾐτιᾶτο πρότερον πώποτε. οὐδαμῶς δήπου. ἀλλ᾽

γμα πιὼν, ἑαυτὸν δὲ τῆς πόλεως οὐκέτι, διὰ τὸ φορτικὸν, καὶ τὸ τοῦ νοήματος ἴσον ἀπαιτοῦντος. Μηδ᾽ εἰ φαῦλον ἐγώ) Πρὸς τὸ καλὸν καὶ μέγα, φαῦλον ἐπήγαγεν. ὃ δηλοῖ καὶ τὸ κακὸν, καὶ τὸ εὐτελές. 386

ὅμως ἐρεῖ. καὶ νὴ Δί᾽ εἰκότως γε. ἴστε γὰρ δήπου τοῦθ᾽, ὅτι ἀφ᾽ οὗ γεγόνασιν ἄν-
θρωποι, καὶ κρίσεις γίνονται, οὐδεὶς πώποτ᾽ ὁμολογῶν ἀδικεῖν ἑάλω. ἀλλ᾽ ἀναι-
σχυντοῦσιν, ἀρνοῦνται, ψεύδονται, προφάσεις πλάττονται, πάντα ποιοῦσιν, 385
ὑπὲρ τοῦ μὴ δοῦναι δίκην. ὧν οὐδενὶ δεῖ παρακρουσθῆναι τήμερον ὑμᾶς, ἀλλ᾽
ἀφ᾽ ὧν ἴστε αὐτοὶ, τὰ πράγματα κρίναι, μὴ τοῖς ἐμοῖς λόγοις, μηδὲ τοῖς τού-
(ἑτοίμως. β.) του προσέχειν, μηδέ γε τοῖς μάρτυσιν, οὓς οὗτος ἑτοίμους ἕξει μαρτυρεῖν ὁτιοῦν,
Φιλίππῳ χορηγῷ χρώμενος. ὄψεσθε δ᾽ ὡς ἑτοίμως αὐτῷ μαρτυρήσουσι, μηδέ 386
γε εἰ καλὸν καὶ μέγα οὗτος φθέγξεται, μηδ᾽ εἰ φαῦλον ἐγώ. οὐ γὰρ ῥητόρων, οὐδὲ
λόγων κρίσιν ὑμᾶς τήμερον, εἴπερ εὖ φρονεῖτε, προσήκει ποιεῖν, ἀλλ᾽ ὑπὲρ
πραγμάτων, αἰσχρῶς, καὶ δεινῶς ἀπολωλότων, τὴν ὑπάρχουσαν αἰσχύνην
εἰς τοὺς αἰτίους ἀπώσασθαι, τὰ πεπραγμένα, ἃ πάντες ἐπίστασθε, ἐξετάσαν- 387
τας. τίνα οὖν ἐστι ταῦτα; ἃ ὑμεῖς ἴστε, καὶ οὐ παρ᾽ ἡμῶν ὑμᾶς ἀκοῦσαι δεῖ. εἰ μὲν
(ὑπέσχοντο. ν.) γὰρ ἅπαντα, ὅσα ὑπέσχηθ᾽ ὑμῖν, ἐκ τῆς εἰρήνης γέγονε, καὶ τοσαύτης ἀναν-
(ἡμῖν. α.) δρίας, καὶ κακίας ὑμεῖς ὁμολογεῖτε εἶναι μεστοὶ, ὥστε μήτε ἐν τῇ χώρᾳ τῶν πολε-
μίων ὄντων, μήτε ἐκ θαλάττης πολιορκούμενοι, μήτε ἐν ἄλλῳ μηδενὶ δεινῷ 388
τῆς πόλεως οὔσης, ἀλλὰ καὶ σῖτον εὔωνον ὠνούμενοι, καὶ τἄλλα οὐδὲν χεῖρον
(παρὰ. δ.) πράττοντες, ἢ νῦν, προειδότες καὶ προακηκοότες περὶ τούτων, καὶ τοὺς συμ-
μάχους ἀπολουμένους, καὶ Θηβαίους ἰσχυροὺς γενησομένους, καὶ τὰ ἐπὶ Θρᾴκης
Φίλιππον ληψόμενον, καὶ τὰ ἐν Εὐβοίᾳ κατασκευασθησόμενα ὁρμητήρια ἐφ᾽ 389
(ἐποιήσατε. α.) ὑμᾶς, καὶ πάντα, ἃ πέπρακται, γενησόμενα, εἶτα τὴν εἰρήνην ἐποιήσασθε ἀ-
(ἐ. ν.) γαπητῶς, ἀποψηφίσασθε Αἰσχίνου, καὶ μὴ πρὸς τοσούτοις αἴσχεσι, καὶ ἐπιορκίαν
(προσκτήσεσθε.) προσκτήσησθε. οὐδὲν γὰρ ὑμᾶς ἀδικεῖ, ἀλλ᾽ ἐγὼ μαίνομαι καὶ τετύφωμαι νῦν
(ν.) κατηγορῶν αὐτοῦ. εἰ δ᾽ ἅπαντα τἀναντία τούτων, καὶ πολλὰ καὶ φιλάνθρωπα εἰ- 390
πόντες, Φίλιππον φιλεῖν τὴν πόλιν, Φωκέας σώσειν, Θηβαίους παύσειν τῆς ὕβρεως,
ἔτι πρὸς τούτοις μείζονα, ἢ κατ᾽ Ἀμφίπολιν, εὖ ποιήσειν ὑμᾶς, ἂν τύχῃ τῆς εἰρήνης,
Εὔβοιαν, Ὠρωπὸν ἀποδώσειν, εἰ ταῦτ᾽ εἰπόντες καὶ ὑποσχόμενοι πάντα, ἐξηπατή-
(χ. μόνον οὐχὶ.) κασι, καὶ πεφενακίκασι, καὶ μονονοὺ τὴν Ἀττικὴν ὑμῶν περιῃρήκασι, καταψηφίσα- 391
σθε. καὶ μὴ πρὸς τοῖς ἄλλοις, οἷς ὕβρισθε· οὐ γὰρ ἔγωγ᾽ οἶδ᾽ ὅτι χρὴ λέγειν ἄλλο· καὶ
(εἰσενέγκησθε.) ὑπὲρ ὧν οὗτοι δεδωροδοκήκασιν, ὑμεῖς τὴν ἀρὰν καὶ τὴν ἐπιορκίαν οἴκαδε ἀπε-
(ν.) νέγκησθε. ἔτι τοίνυν κἀκεῖνο σκοπεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, τίνος ἕνεκα ἐγὼ μηδὲν
(δικασταί. β.) ἠδικηκότων τούτων, κατηγορεῖν ἂν προειλόμην. οὐ γὰρ εὑρήσετε. ἡδὺ πολλοὺς ἐχθροὺς 392
(ἐχθρὰ. α. δ.) ἔχειν; οὐδ᾽ αὖ ἀσφαλές. ἀλλ᾽ ὑπῆρχέ μοι πρὸς τοῦτον ἀπέχθειά τις; οὐδεμία.
τί οὖν; ἐφοβοῦ περὶ σεαυτοῦ, καὶ διὰ δειλίαν, ταύτην ἡγήσω σωτηρίαν. καὶ γὰρ ταῦτα
ἀκήκοα αὐτὸν λέγειν. καίτοι, μηδενός γε ὄντος Αἰσχίνη δεινοῦ, μηδὲ ἀδικήματος, ὡς
(λέγεις. α. δ.) σὺ φής. εἰ γὰρ αὖ ταῦτ᾽ ἐρεῖ, σκοπεῖτε ὦ ἄνδρες δικασταί, εἰ ἐφ᾽ οἷς ὁ μηδοτιοῦν ἀ- 393
δικῶν ἐφοβούμην ἐγὼ, μὴ διὰ τούτους ἀπόλωμαι, τί τούτοις προσήκει παθεῖν
τοὺς αὐτοὺς ἠδικηκότας. ἀλλ᾽ οὐ διὰ ταῦτα, ἀλλὰ διὰ τί σου κατηγορῶ; συκοφαντῶ νὴ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

397 Συνεπισπάσησθέ με) Συνελκύσητε, συγκατενέγκητε. 398 Νῦν δ' ἀναπεπτωκότες ἦτε) οἷον ὕπτιοι καὶ νυστάζοντες, ἀλλ' οὐκ ὀρθοὶ καὶ νήφοντες. 399 Νῦν λέγειν ἐξάγομαι) Μανίας γὰρ ἐνέπλησάν με οἱ δυσσεβεῖς οὗτοι, ὥστε καὶ ἃ κρύπτειν ἔκρινον, ἀναγκασθῆναι βοᾶν. Καὶ ἀηδὲς ἐμοὶ καὶ τούτῳ γέγονεν) Ἵνα μὴ ἀντιπίπτῃ. τί οὖν εἰ τὴν φιλίαν ἔλυσας αὐτὸς κακὸς περὶ αὐτὸν φανείς, φησίν. ἀφ' οὗ πρὸς Φίλιππον ἀφῖκται καὶ τὰ Φιλίππου φρονεῖ, κἂν ἡ τύχη συνάψῃ αὐτῷ καὶ ἀναγκασθῇ που συντυχεῖν, κατὰ πεῖσαν τὴν ἀμύνεται θᾶττον ἀποπηδῶν. 400 Μετὰ δ' Αἰσχίνου περιέρχεται) Ἵνα μή τις ὑπολάβῃ ὅτι ἀγροῖκός ἐστι καὶ σκαιὸς τὸν τρόπον, διὰ τοῦτό σε ἀποφεύγει, ἐπάγει ὅτι μετ' Αἰσχίνου περιέρχεται πᾶσαν τὴν πόλιν.

δία, ἵνα ἀργύριον λάβω παρὰ σοῦ; καὶ πότερον κρεῖττον ἦν μοι παρὰ Φιλίππου λαβεῖν, τοῦ διδόντος πολύ, καὶ μηδενὸς τούτων ἔλαττον, καὶ φίλον κἀκεῖνον ἔχειν
394 καὶ τούτους (ἦσαν γὰρ ἄν, ἦσαν φίλοι μοι τῶν αὐτῶν κε- ἡ.
κοινωνηκότι· οὐδὲ γὰρ νῦν ἔχθραν πατρικὴν ἔχουσι πρὸς ἐμέ, ἀλλ' ὅτι τῶν πεπραγμένων οὐ μετέσχηκα), ἢ παρὰ τούτων, ἀφ' ὧν εἰλήφασι, μεταιτεῖν, κἀκείνῳ τε ἐχθρὸν εἶναι καὶ τούτοις; καὶ τοὺς μὲν αἰχμαλώτους ἐκ τῶν ἰδίων
395 τοσούτων χρημάτων "λύσασθαι, μικρὰ δ' ἀξιοῦν "λύεσθαι. α.δ.η.
παρὰ τούτων αἰσχρῶς μετ' ἔχθρας λαμβάνειν; οὐκ ἔστι ταῦτα. ἀλλ' ἀπήγγειλα μὲν τἀληθῆ, καὶ ἀπεσχόμην τοῦ λαβεῖν, τοῦ δικαίου καὶ τῆς ἀληθείας ἕνεκα, καὶ τοῦ λοιποῦ βίου, νομίζων, ὥσπερ ἄλλοι τινές, παρ'
396 ὑμῖν, καὶ αὐτός, ὢν ἐπιεικής, τιμηθήσεσθαι καὶ πλέον ἕξειν τῶν πολλῶν κατὰ τοῦτο, καὶ οὐκ ἀνταλλακτέον εἶναί μοι τὴν πρὸς ὑμᾶς φιλοτιμίαν, οὐδενὸς κέρδους. μισῶ δὲ τούτους, ὅτι μοχθηροὺς καὶ θεοῖς ἐχθροὺς εἶδον ἐν τῇ πρεσβείᾳ. καὶ ἀπεστέρημαι καὶ τῶν ἰδίων φιλοτιμιῶν, διὰ τὴν τούτων δωροδοκίαν, πρὸς ὅλην δυσχερῶς ὑμῶν τὴν πρεσβείαν
397 ἐσχηκότων. κατηγορῶ δὲ νυνί, καὶ ἐπὶ τὰς εὐθύνας ἥκω, τὸ μέλλον προορώμενος, καὶ βουλόμενος ἀγῶνι καὶ δικαστηρίῳ μοι διωρίσθαι παρ' ὑμῖν, ὅτι τἀναντία ἐμοὶ καὶ τούτοις πέπρακται. καὶ δέδοικα, δέδοικα (εἰρήσεται γάρ, ὦ ἄνδρες δικασταί, ᾿α β.η.
πάντα ἃ φρονῶ πρὸς ὑμᾶς) μή ποτε μὲν τούτοις συνεπισπάσησθέ με τὸν μη-
398 δὲν ἀδικοῦντα, νῦν δ' ἀναπεπτωκότες ἦτε. παντάπασι γάρ, ὦ ἄνδρες Ἀ- ᾿α.η.
θηναῖοι, ἐκλελύσθαι μοι δοκεῖτε, καὶ παθεῖν ἀναμένειν τὰ δεινά, ἑτέρους δὲ πάσχοντας ὁρῶντες οὐ "φυλάττεσθε, οὐδὲ "φροντίζετε τῆς πόλεως πάλαι κατὰ τοὺς πολλοὺς καὶ δεινοὺς τρόπους "ἀδικουμένης, οὐκ οἴεσθε δεινὸν εἶναι καὶ ὑπερφυές. καὶ "φυλάττεσθαι "φροντίζειν. α.δ.η.
399 γὰρ εἴ τι σιωπᾶν ἐγνώκειν, νῦν λέγειν ἐξάγομαι. ἴστε δήπου Πυθοκλέα τουτονὶ τὸν "διαφθειρομένης α.β.δ. διεφθαρμένης η.
Πυθοδώρου. τούτῳ πάνυ φιλανθρώπως ἐκεχρήμην ἐγώ. καὶ ἀηδὲς ἐμοὶ καὶ τούτῳ γέγονεν εἰς τὴν ἡμέραν ταύτην οὐδέν. οὗτος ἐκτρέπεταί με νῦν ἀπαντῶν, ἀφ' οὗ πρὸς Φίλιππον ἀφῖκται. κἂν ἀναγκασθῇ που συντυχεῖν, ἀπε-
400 πήδησεν εὐθέως, μή τις αὐτὸν ἴδῃ λαλοῦντα ἐμοί. μετὰ δὲ Αἰσχίνου περιέρχεται τὴν ἀγορὰν κύκλῳ, καὶ βουλεύεται, καὶ σκοπεῖ. οὐκοῦν, δεινὸν ὦ ἄνδρες Ἀθηναῖοι καὶ σχέτλιον, τοῖς μὲν τὰ Φιλίππου πράγματα ᾑρημένοις θεραπεύειν, οὕτως ἀκριβῆ τὴν παρ' ἐκείνου πρὸς ἑκάτερα αἴσθησιν ὑπάρχειν, ὥστε ἕκαστον
401 ὥσπερ ἂν εἰ παρεστηκότος αὐτοῦ, μηδ' ὧν ἂν ἐνθάδε πράξῃ, μηδὲν ἡγεῖσθαι λήσειν, ἀλλὰ καὶ φίλους νομίζειν, οὓς ἂν ἐκείνῳ δοκῇ, καὶ μὴ φίλους ὡσαύτως· τοῖς δὲ πρὸς ὑμᾶς ζῶσι, καὶ τῆς παρ' ὑμῶν τιμῆς γλιχομένοις, καὶ μὴ προδεδωκόσι ταύτην, τοσαύτην κωφότητα καὶ τοσοῦτο σκότος παρ' ὑμῶν ἀ-
402 παντᾶν, ὥστε τοῖς ἀλιτηρίοις τούτοις ἐξ ἴσου νῦν ἐμὲ ἀγωνίζεσθαι, καὶ ταῦτα παρ' ὑμῖν τοῖς ἅπαντα εἰδόσι. βούλεσθε οὖν εἰδέναι καὶ ἀκοῦσαι τὸ τούτων αἴτιον; ἐγὼ δὴ φράσω. ἀξιῶ δὲ μηδένα "ἄχθεσθαί μοι λέγοντι τἀληθῆ. ὅτι ἐκεῖνος μὲν ἕν, οἶμαι, σῶμα ἔχων καὶ ψυχὴν μίαν, παντὶ θυμῷ καὶ φιλεῖ "ἄχθεσθαι. η.

τοὺς

τοὺς ἑαυτὸν εὖ ποιοῦντας, καὶ μισεῖ τοὺς τἀναντία. 403
ὑμῶν δὲ ἕκαστος, πρῶτον μὲν, οὔτε τὸν εὖ ποιοῦντα τὴν πόλιν, αὑτὸν εὖ ποιεῖν ἡγεῖται, οὔτε τὸν κακῶς, κακῶς· ἀλλ᾽ ἕτερά ἐστιν ἑκάστῳ προὐργιαίτερα, ὑφ᾽ ὧν παράγεσθε πολλάκις, ἔλεος, φθόνος, ὀργή, χαρίσασθαι τῷ δεηθέντι, ἄλλα μυρία· ἂν γὰρ ἅπαν- 404
τά τις ἐκφύγῃ τἆλλα, τούς γε οὐδένα βουλομένους εἶναι τοιοῦτον, οὐ διαφεύξεται. ἡ δ᾽ ἐφ᾽ ἑκάστου τούτων ἁμαρτία, κατὰ μικρὸν ὑπορρέουσα, ἀθρόως τῇ πόλει γίγνεται βλάβη. ὧν μηδὲν, ὦ ἄνδρες Ἀθηναῖοι, πάθητε τήμερον, μηδ᾽ ἀφῆτε τοῦτον, ὃς ὑμᾶς τηλι- 405
καῦτα ἠδίκηκε. καὶ γὰρ ὡς ἀληθῶς τίς ἔσται λόγος περὶ ὑμῶν, εἰ τοῦτον ἀφήσετε. Ἀθήνηθεν ἐπρέσβευσαν τινες ὡς Φίλιππον τουτονὶ, Φιλοκράτης, Αἰσχίνης, Φρύνων, Δημοσθένης. τί οὖν; ὁ μὲν, πρὸς τῷ μηδὲν ἐκ τῆς πρεσβείας λαβεῖν, τοὺς αἰχμαλώτους ἐκ 406
τῶν ἰδίων ἐλύσατο. ὁ δὲ, ὧν τὰ τῆς πόλεως πράγματα χρημάτων ἀπέδοτο, τούτων πόρνας ἠγόραζε καὶ ἰχθῦς περιιών. καὶ ὁ μὲν, τὸν υἱὸν ἔπεμψε Φιλίππῳ πρὶν εἰς ἄνδρας ἐγγράψαι, ὁ μιαρὸς Φρύνων· ὁ δ᾽ οὐδὲν ἀνάξιον οὔτε τῆς πόλεως, οὔτε αὑτοῦ διε- 407
πράξατο. καὶ ὁ μὲν, χορηγῶν, καὶ τριηραρχῶν, ἔτι καὶ ταῦτ᾽ ᾤετο δεῖν ἐθελοντὴς ἀναλίσκειν, λύεσθαι τοὺς αἰχμαλώτους, μηδένα ἐν συμφορᾷ τῶν πολιτῶν δι᾽ ἔνδειαν περιορᾶν. ὁ δὲ, τοσούτου δεῖ τῶν ὑπαρχόντων τινὰ αἰχμαλώτων σῶσαι, ὥσθ᾽ ὅλον τόπον, καὶ πλείους ἢ μυρίους μὲν ὁπλίτας, ὁμοῦ 408
δὲ πλείους ἢ χιλίους ἱππέας τῶν ὑπαρχόντων συμμάχων ὅπως αἰχμάλωτοι γένωνται Φιλίππῳ, συμπαρεσκεύασε. τί οὖν μετὰ ταῦτα; Ἀθηναῖοι λαβόντες ᾔδεσαν μὲν γὰρ πάλαι· τί δὲ; τοὺς μὲν χρήματα εἰληφότας καὶ δῶρα, καὶ καταισχύναντας ἑαυτοὺς, τὴν πόλιν, τοὺς ἑαυτῶν παῖδας ἀφίεσαν, καὶ νοῦν ἔχειν ἡ- 409
γοῦντο, καὶ τὴν πόλιν εὐθηνεῖσθαι, τὸν δὲ κατηγοροῦντα τί; ἐμβεβροντῆσθαι, τὴν πόλιν ἀγνοεῖν, οὐκ ἔχειν ὅποι τὰ ἑαυτοῦ ῥίπτῃ. καὶ τίς, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο ἰδὼν τὸ παράδειγμα, δίκαιον αὑτὸν παρέχειν ἐθελήσει; τίς προῖκα πρεσβεύειν, εἰ μήτε λαβεῖν, μήτε τῶν εἰληφότων ἀξιοπιστότερον παρ᾽ ὑμῖν εἶναι δοκεῖν ὑπάρ- 410
ξει. ὥστε οὐ μόνον κρίνετε τήμερον τούτους, οὔ, ἀλλὰ καὶ νόμον τούτοις τίθεσθε εἰς ἅπαντα τὸν μετὰ ταῦτα χρόνον, πότερον χρημάτων αἰσχρῶς ὑπὲρ τῶν ἐχθρῶν πρεσβεύειν ἅπαντας προσήκει, ἢ προῖκα ὑπὲρ ὑμῶν τὰ βέλτιστα ἀδωροδοκήτως. ἀλλὰ μὴν περὶ μὲν τῶν ἄλλων, οὐδενὸς προσδεῖσθε μαρτύρων· ὡς δὲ τὸν υἱὸν ἔπεμ- 411
ψεν ὁ Φρύνων, κάλει μοι τούτων τοὺς μάρτυρας.

Μάρτυρες.

Τοῦτον μὲν τοίνυν οὐκ ἔκρινεν Αἰσχίνης, ὅτι τὸν αὑτοῦ παῖδα ἐπ᾽ αἰσχύνῃ πρὸς Φίλιππον ἔπεμψεν. εἰ δέ τις ὢν ἐφ᾽ ἡλικίας, ἑτέρου βελτίων τὴν ἰδέαν, 412
μὴ προϊδόμενος τὴν ἐξ ἐκείνης τῆς ὄψεως ὑποψίαν, ἰταμώτερον τῷ μετα-

Τούς γε οὐδένα βουλομένους) Ἢ διὰ τὸ φθονεῖν τοῖς οὖσιν ἀγαθοῖς, ἢ διὰ τὸ μὴ βούλεσθαι εἶναί τινα κακὸν ἐν τῇ πόλει. 404
Ἀθήνηθεν ἐπρέσβευσάν τινες) Σκόπει τὴν μέθοδον ὅτι πλειόνων ὄντων πρέσβεων, τοὺς μὲν ἄλλους ἀφῆκεν. τοὺς δὲ τρεῖς τοὺς ἐπισημοτάτους ἐπὶ κακίᾳ ὠνόμασεν, ἑαυτὸν μόνον ὡς εὔνουν αἰτιᾶται. 405
Πρὶν εἰς ἄνδρας ἐγγράψαι) Τὴν ὑποψίαν αἰσχρὰν ποιεῖ ἡ ἡλικία. 406
Τοῦτον μὲν τοίνυν οὐκ ἔκρινεν Αἰσχίνης) Ἀμύνεται τὸν Φρύνωνα τῆς καταμαρτυρήσεως, καὶ καιρὸν ἔχει τὸ πικρὸν τοῦ λόγου μετὰ τὴν γενομένην κατὰ Δημοσθένους ὕβριν. ἐφ᾽ οἷς γὰρ παρελθόντες, αὐτοῦ καταμαρτυρεῖν, ὕβρισαν, ἐπὶ τούτοις παροξυνθεὶς, ἐλέγχει τὸν βίον. εἶτα συνίστησιν, ὅτι οὐδὲ σώφρων Αἰσχίνης, προδέδωκέ φησι τὴν ὥραν τοῦ παιδὸς Φιλίππῳ Φρύνων. πόσῳ τοίνυν ὁ σωφρονιστὴς Αἰσχίνης. καίτοιγε ἐπὶ παιδὶ μειρακίῳ δίκαιος ἦν κατηγορεῖν προδοθέντι τυράννῳ, ὃς ἀνδρὸς πρεσβύτου κατηγόρηκεν, ἐκπεφευγότος ἤδη τῷ μήκει τῆς ἡλικίας τὸ ἔγκλημα. 411
Εἰ δέ τις ὢν ἐφ᾽ ἡλικίας) Ἀπολογεῖται δαιμονίως ὑπὲρ Τιμάρχου, ἔλαττον αὐτῷ κα- 412

ἀπορρ. α. δ.
ἀφῆτε. α. β. δ. ε. η.
ἀφῆτε. α. δ. η.
α.
λύσασθαι. ζ.
αἰχμαλώτων. α. β. ε.
ἀφῆκαν. α. δ. ε. η.
εὐθενεῖσθαι. β. δ. η.
γρ. ὅπου. α.
γρ. ῥίπτει. δ. ῥίπτῃ. ζ.
α. η.
παρέχειν. α. η.
ἑαυτοῦ. δ. η.
ἐπ᾽. α.
οὐ. α. δ.

κὸν μαρτυρήσας, καὶ διὰ τούτου τοῦ μείζονος, χαλεπωτέρου μᾶλλον ἀπαλλάξας ἐγκλήματος. ἰταμώτερον γὰρ εἰπὼν αὐτὸν κεχρῆσθαι τῷ μετὰ ταῦτα βίῳ, συνέδραμε τῷ θράσει, καὶ ἀπήλλαξεν ἑαυτὸν ἑκατέρωθεν τῆς αἰσχύνης· τὸν τε ἰταμὸν βίον εἰπὼν, καὶ τὴν ἐκ τῆς εὐπρεπείας δόξαν. ἐντεῦθεν γὰρ κἀκείνῳ φυῦαι τὴν γένεσιν τῆς διαβολῆς ἐκ τῶν ἔργων, οὐδ' ἐκ τῶν βεβιωμένων κανόνα γὰρ ἡμῖν δίδωσιν ὁ ῥήτωρ, ὅτι ἐν ταῖς ὑπὲρ τῶν φαυλοτάτων ἀπολογίαις, ἀφεῖναι δεῖ τι μικρὸν καὶ δέξασθαι, δι' οὗ τὸ μεῖζον ἀπωσόμεθα· καὶ γὰρ πιθανὸς ἔσται ὁ λόγος, οὐ τῷ παντὸς ἐκβαλλόντων ἡμῶν, ἀλλ' ἀντὶ τῆς πονηρίας δεχομένων τὴν ἰταμότητα.

412 Φέρε δὴ καὶ περὶ τῆς ἑστιάσεως) Ἐντεῦθεν λαμπρῶς εἰσήει εἰς τὴν ὑπὲρ ἑαυτοῦ γενομένην ἀπολογίαν. ἔστι δὲ τὸ μὲν ἔγκλημα κατὰ τοῦ ῥήτορος, ὅτι δωροδόκος. αἱ δὲ ἀποδείξεις διτταί. μία μὲν, ὅτι αὐτὸς ἔγραψε τὸ ψήφισμα περὶ ἑστιάσεως τῆς ἐν πρυτανείῳ περὶ τῶν πρέσβεων. [a]οὕτως ἐκοινώνει τῆς πρεσβείας καὶ τῶν πραττομένων· ἑτέρα δὲ, ὅτι αὐτὸς εἱστίασε τοὺς παρὰ Φιλίππου πρέσβεις, καὶ θέαν τὸν ἀρχιτέκτονα αὐτοῖς νεῖμαι, αὐτοῖς προσέταξε· καὶ φοινικίδας ὑπεστόρεσε· καὶ ὀρεικοῖς ζεύγεσιν ἐξέπεμψε μέχρις Εὐρίπου, καὶ τῆς Χαλκίδος. περὶ μὲν οὖν τῆς ἑστιάσεως τῶν πρεσβευτῶν, ἔστιν οὕτως εἰπεῖν τὴν διάνοιαν Αἰσχίνου, εἰ μὲν ἐδωροδόκησαν, δῆλον ὅτι καὶ Δημοσθένης ὁ ἐπαινέτης. εἰ δὲ μὴ αὐτὸς, οὐδ' ἐκεῖνοι. περὶ δὲ τῶν κατὰ Φίλιππον, ὅτι εἰ ἐδίδου Φίλιππος τοῖς θεραπεύουσιν αὐτὸν, καὶ τοῖς ἐκείνου πρέσβεσιν ἔδει δοῦναι. πρὸς μὲν οὖν τὸ πρῶτον μέρος τῆς ἀντιθέσεως, χρῶμα ἀπέδωκε, λύων ἀπὸ τοῦ χρόνου, εἰπὼν, πρὸ τοῦ φανεροὺς αὐτοὺς γενέσθαι προδότας γεγράφθαι αὐτῷ τὸ ψήφισμα· πρὸς δὲ τὸ δεύτερον, ὅτι ἐξένισα τοὺς Φιλίππου πρέσβεις, κατὰ συνδρομὴν ἀπήντηκεν ἀντιστατικῷ χρησάμενος. ὑπὲρ ὑμῶν ἐξένισα, ἐνδεικνύμενος, ὅτι καὶ ἐν πᾶσι πλεονεκτοῦμεν, καὶ ἐν ταῖς παρ' αὐτοῖς νομιζομέναις εὐδαιμονίαις τοὺς Μακεδόνας, καταγελῶν εἰ ἐν τοῖς συμποσίοις ὁρίζονται τὴν εὐδαιμονίαν. οὔτε δὲ τῶν ὀρεικῶν ζευγῶν, οὔτε τῶν ἐν τῷ θεάτρῳ στρωμάτων, οὔτε ἄλλου οὐδενὸς ἐπεμνήσθη, φοβηθεὶς ἰσχυροτέραν δι' αὐτῶν τὴν ἀντίθεσιν ἀπεργάσασθαι. ἔδοξε δὲ λύειν σύμπαντα ταῦτα συλλαβὼν τῷ τῆς λαμπρότητος καὶ τῷ τῆς εὐδαιμονίας ὀνόματι. ἐφ' οἷς γὰρ εἶδεν αὐτοὺς σεμνυνομένους καὶ μεγαλαυχουμένους, ταῦτα ἀπέφηνε πάντα μικρὰ, διὰ τῆς οἰκείας μεγαλοπρεπείας, καὶ ὧν παρέσχετο.

417 Ἴσως τοίνυν ἀδελφὸς) Ἐκβολὴ τῶν συνηγόρων ὡς ἐν τοῖς ἐπιλόγοις ἐν δὲ ταῖς λέξεσιν [b]ἐκακούργησεν ὡς εἰπὼν, ὡς καὶ τῶν ἀδελφῶν αἰσχυνομένων αὐτῷ βοηθῆσαι διὰ τὴν περιφάνειαν τῶν ἀδικημάτων. ἐπειδὴ δὲ στρατηγὸς εἷς τῶν ἀδελφῶν Αἰσχίνου γέγονε, καὶ λαμπρὸς ἐστὶ τῇ πόλει, τῆς στρατηγίας ἀφέμενος, καὶ τὸν ἔμπροσθεν διασύρας βίον, τὴν [c]εὐδοξίαν ἣν ἔχουσιν, ἀνῄρηκε τῇ τῶν ὀνειδῶν τῶν ἀπὸ τοῦ γένους, καὶ τῆς ὅλης αἰσχύνης παραθέσει. εἶτα συνάπτει τὸν μὴ στρατηγήσαντα τῷ στρατηγήσαντι, ἵνα τὴν κοινὴν πιότητα τῶν τειχῶν λάβῃ· ἐπειδὴ γὰρ εἰώθασιν οἱ δικάζοντες πολλάκις καὶ διὰ τὸ εὐπατρίδας εἶναι, καὶ διὰ γένος, καταχαρίζεσθαι τοῖς κρινομένοις τὰς ψήφους, ἐξεφαύλισε τὴν παλαιὰν τύχην, ἐξετάσας τὴν ὅλην οἰκίαν Αἰσχίνου. ἔδωκε δὲ ἡ μὲν

ταῦτα ἐχρήσατο βίῳ, τοῦτον, ὡς πεπορισμένον, κέκρικε. φέρε δὴ περὶ τῆς ἑστιάσεως, καὶ τοῦ ψηφίσματος εἴπω. μικροῦ γε, ἃ μάλιστά [d]με δεῖ πρὸς ὑμᾶς εἰπεῖν,
413 παρῆλθον. τῆς πρώτης ἐκείνης πρεσβείας γράφων τὸ προβούλευμα ἐγὼ, καὶ πάλιν ἐν τῷ δήμῳ, [e]ταῖς ἐκκλησίαις, ἐν αἷς ἐμέλλετε βουλεύεσθαι [f]περὶ τῆς εἰρήνης, οὐδενὸς οὔτε λόγου πω παρὰ τούτων, οὔτ' ἀδικήματος ὄντος φανεροῦ, [g]τὸν νόμον ἔθος ποιῶν,
414 καὶ ἐπῄνεσα τούτους, καὶ εἰς τὸ πρυτανεῖον ἐκάλεσα. καὶ νὴ Δί' ἔγωγε, καὶ τοὺς παρὰ τοῦ Φιλίππου πρέσβεις ἐξένισα, καὶ πάνυ γε, ὦ ἄνδρες Ἀθηναῖοι, λαμπρῶς· [h]ἐπειδὴ γὰρ ἑώρων αὐτοὺς, καὶ ἐπὶ τοῖς τοιούτοις ἐκεῖ σεμνυνομένους, ὡς εὐδαίμονας καὶ λαμπροὺς, εὐθὺς
415 ἡγούμην ἐν τούτοις πρῶτον αὐτοὺς περιεῖναι δεῖν αὐτῶν, καὶ μεγαλοψυχοτέρους φαίνεσθαι. ταῦτα δὴ [i]παρέξεται νῦν οὗτος λέγων, ὡς αὐτὸς ἐπῄνεσεν ἡμᾶς, καὶ αὐτὸς εἱστία τοὺς πρέσβεις, τὸ, πότε, οὐ [j]διορίζων. ἔστι δὲ ταῦτα πρὸ τοῦ τὴν πόλιν ἠδικῆσθαί τι, καὶ φανε-
416 ροὺς τούτους πεπρακότας ἑαυτοὺς γενέσθαι, ὅτε ἄρτι μὲν ἧκον οἱ πρέσβεις τὸ πρῶτον, ἔδει δὲ ἀκοῦσαι τὸν δῆμον, τί λέγουσιν, οὐδέπω δὲ οὐδ' ἐστὶ συνερῶν δῆλος οὗτος τῷ Φιλοκράτει, οὔτ' ἐκεῖνος τοιαῦτα [k]γράφων. ἂν δὴ ταῦτα λέγῃ, μέμνησθε τοὺς χρόνους, ὅτι τῶν ἀ-
417 δικημάτων εἰσὶ πρότεροι. μετὰ ταῦτα δὲ, οὐδὲν ἐμοὶ πρὸς τούτους οἰκεῖον, οὐδὲ κοινὸν γέγονε. λέγε τὴν μαρτυρίαν.

## Μαρτυρία.

Ἴσως τοίνυν ἀδελφὸς αὐτῷ συνερεῖ Φιλοχάρης,
418 καὶ Ἀφόβητος. πρὸς οὓς ἀμφοτέρους ὑμῖν, πολλὰ καὶ δίκαια ἔστιν εἰπεῖν. ἀνάγκη δὲ, ὦ [l]ἄνδρες Ἀθηναῖοι, μετὰ παρρησίας διαλεχθῆναι, μηδὲν [m]ὑποκρινόμε-

[a] γρ. οὕτως.
[b] γρ. ἐπανούργησεν.
[c] γρ. εὐδοξίαν.
[d] μὲ ἔδει. β. π.
[e] ἐν.
[f] περὶ. δ.
[g] τὸ κοινὸν νόμιμον. α. δ.
[h] ἐπεὶ. δ.
[i] γρ. παράξει] παράξει. α. δ. παράξει. κ.
[j] γρ. παράξει] προσδιορ. α.
[k] γράφων. π.
[l] κ.
[m] ὑποστελλόμενον. α. β. δ. ι. κ. γρ. ὑποστελλόμενον.

νον. ἡμεῖς ἀφόβητε, καὶ σὺ Φιλόχαρες, ἴσμεν σὲ μὲν
τὰς ἀλαβαστροθήκας γράφοντα, καὶ τὰ τύμπανα. τού-
τους δ' ὑπογραμματέας, καὶ τοὺς τυχόντας ἀν- 419
θρώπους, καὶ οὐδεμιᾶς κακίας ταῦτα, ἀλλ' οὐδὲ
στρατηγίας γε ἄξια, πρεσβειῶν, στρατηγιῶν, τῶν μεγί-
στων τιμῶν ἠξιώσαμεν. εἰ τοίνυν μηδὲν ὑμῶν ἠδίκει
μηδείς, οὐχ ἡμεῖς χάριν ὑμῖν οὐδενός, ἀλλ' ὑμεῖς ἡ-
*ἔχητε. π. μῖν δικαίως ἂν *ἔχοιτε τούτων. πολλοὺς γὰρ ὑμῶν 420
*μᾶλλον ἀξίους τιμᾶσθαι παρέντες, ἡμεῖς ὑμᾶς ἐσε-
μνύνομεν. εἰ δὲ δὴ καὶ ἐν αὐτοῖς, οἷς ἐτιμᾶσθε, ἠδί-
γρ. *πῶς οὐ. κηκέ τις ὑμῶν, καὶ ταῦτα τοιαῦτα, *πόσῳ μᾶλλον ἂν
μισοῖσθε δικαίως, ἢ σῴζοισθε. ἐγὼ μὲν οἶμαι πολλῷ.
βιάσονται τοίνυν ἴσως, μεγαλόφωνοι καὶ ἀναιδεῖς ὄν- 421
γρ. *συγγνώμην. τες, καὶ τό, *συγγνώμην ἀδελφῷ βοηθεῖν προσειλη-
*ἐνθυμηθέντες. α. γ. φότες. ὑμεῖς δὲ μὴ ἡττᾶσθε, ἐκεῖνο *ἐνθυμούμενοι,
ὅτι τούτοις μὲν τούτου προσήκει φροντίζειν· ὑμῖν δὲ
τῶν νόμων, καὶ ὅλης τῆς πόλεως, καὶ παρὰ πάντα, τῶν
*τινός. ὅρκων, οὓς αὐτοὶ κάθησθε ὀμωμοκότες. καὶ γὰρ εἴ *τινας 422
δεδέηνται τουτονὶ σῴζειν, πότερ' ἂν μηδὲν ἀδικῶν
φαίνηται τὴν πόλιν, ἢ κἂν ἀδικῶν, σκοπεῖτε. εἰ μὲν
γὰρ μὴ ἀδικῶν, κἀγώ φημι δεῖν. εἰ δ' ὅλως κἂν ὁ-
γρ. *οὐδὲ ἐπ. τιοῦν, *ἐπιορκεῖν δεδέηνται. οὐ γὰρ εἰ κρύβδην ἐστὶν ἡ
ψῆφος, λήσει τοὺς θεούς, ἀλλὰ καὶ τοῦτο καὶ πάντων 423
ἄριστα ὁ τιθεὶς τὸν νόμον εἶδε, τὸ κρύβδην ψηφίζεσθαι.
ἀλλὰ τί; ὅτι τούτων μὲν οὐδεὶς εἴσεται τὸν ἑαυτῷ κε-
χαρισμένον ὑμῶν· οἱ θεοὶ δὲ εἴσονται, καὶ τὸ δαιμό-
νιον, τὸν μὴ τὰ δίκαια ψηφισάμενον. παρ' ὧν κρεῖττόν
ἐστιν ἑκάστῳ τὰς ἀγαθὰς ἐλπίδας τοῖς παισὶ καὶ ἑαυτῷ 424
τὰ δίκαια γνόντα, καὶ τὰ προσήκοντα περιποιήσα-
σθαι, ἢ τὴν ἀφανῆ καὶ ἄδηλον χάριν τούτοις κατα-
θέσθαι, καὶ ἀφεῖναι τοῦτον, ὃς αὐτὸς ἑαυτοῦ καταμεμαρ-
τύρηκε. τίνα γὰρ Αἰσχίνη μάρτυρα μείζω παράσχω-
μαι τοῦ πολλὰ καὶ δεινὰ πεπρεσβεῦσθαί σοι, ἢ σὲ κατὰ 425
σεαυτοῦ· ὃς γὰρ ᾠήθης χρῆναι τὸν φανερόν τι ποιῆσαι
βουληθέντα τῶν σοὶ πεπρεσβευμένων, τηλικαύτῃ καὶ
τοιαύτῃ συμφορᾷ περιβαλεῖν, δῆλον ὅτι δεινόν ἄν τι
παθεῖν σαυτὸν ἤλπιζες, εἰ πύθοιντο οὗτοι τὰ πεπραγ-
μένα σοι. τοῦτο τοίνυν ἂν ὑμεῖς εὖ φρονῆτε, κα- 426
θ' αὑτοῦ συμβήσεται τούτῳ πεπρᾶχθαι, οὐ μόνον κατὰ
τοῦθ', ὅτι παμμέγεθες σημεῖόν ἐστι τῶν πεπρεσβευ-
μένων, ἀλλ' ὅτι καὶ κατηγορῶν, ἐκείνους τοὺς λόγους
εἶπεν, οἳ κατ' αὐτοῦ νῦν ὑπάρχουσιν. ἃ γὰρ ᾤετο σὺ δίκαια, ὅτε Τίμαρχον ἔκρινες,

δὲ ἡμῖν θεώρημα τὸ τὰ μέγιστα πᾶσι νομιζόμενα, ὡς μικρὰ καὶ φαῦλα, διαβάλλειν. ἐπειδὴ γὰρ ὁ Φιλοχάρης ζωγράφος ἦν, κατὰ τέχνην, ἢ Ἀπελλῆν, ἢ Εὐφράνορα, ἤ τινα τῶν ἐνδοξοτάτων, καθελεῖν βουλόμενος αὐτοῦ τὴν τέχνην, ἀλαβαστροθηκῶν καὶ τυμπάνων γραφέα καθεστηκέναι φησίν, ἀπὸ τοῦ μείζονος ἐπὶ τὸ ἔλαττον καταβάλλων τὸ ἐπιτήδευμα, καὶ διασύρων τῇ ταπεινότητι. Ἄλλως. πεπλήρωται αὐτῷ τὰ τῆς παρεκβάσεως. τὰ δὲ τῶν ἐπιλόγων τῶν ἐν τῷ ἀγῶνι ἐντεῦθεν ἄρχεται, ἴδιον δὲ καὶ τοῦτο τῶν ἐπιλόγων, τὸ τοῖς συνηγόροις ἐμβάλλειν, ὃ ποιεῖ νῦν. κοινωνεῖ δὲ ὁ ἐπίλογος τῇ παρεκβάσει τῷ προκεῖσθαι τῷ ῥήτορι ἐν ἀμφοτέροις ἢ διαβολὴν ἐργάσασθαι, ἢ σύστασιν ἤθους καὶ βίου τῶν προκειμένων. διαφέρει δὲ τῷ τὴν μὲν παρέκβασιν τοῦ μὴ νῦν κρινομένου βίου τὴν ἐξέτασιν ἔχειν, ἀλλὰ τῶν ἐν τῷ ἄλλῳ χρόνῳ βεβιωμένων· τὸν δὲ ἐπίλογον αὐτῶν τῶν κρινομένων αὔξησιν περιέχειν, τῶν συντεινόντων πρὸς αὐτὰ τὰ κρινό-
μενα. Ἴσμεν σε μὲν τὰς ἀλαβα- 418
στροθήκας) Τῶν ληκυθίων τῶν μὴ ἐχόντων λαβάς, ἀλλὰ λείων τὰς κίστας καὶ θήκας. ἐζωγράφουν δὲ αὐτάς, ἵνα τοὺς ἀγοράζοντας δελεάζωνται. ἔοικε δὲ οὐδὲ σεμνὸν αὐτὸν φάσκειν ζωγράφον, ἀλλ' εὐτελέστατον. ἦσαν γὰρ καὶ θαυμαστότεροι ζωγράφοι. Τούτους δὲ ὑπογραμματέας) Ἀφόβητον λέγει καὶ τὸν Αἰσχίνην. εἶτα ἐπειδήπερ εἶδεν ἀντιπίπτουσαν αὐτῷ τὴν τῶν ἀκουόντων ποιότητα· ἐπῄνηται γὰρ καὶ χειροτέχναι σύμπαντες, ἢ οἱ πλείους· ἀνῄρηκεν εἰπών· καὶ οὐδεμιᾶς κακίας ταῦτα, ἀλλ' οὐδὲ στρατηγίας ἄξια. καὶ ἵνα μὴ τοῦ ἀξιώματος αἰδώς τις τοῖς ἀκούουσι γένηται, κατέστησεν αὐτὸν εἰς τὸ δεῖν μᾶλλον χάριν ὁμολογεῖν τῷ ἀξιώματι, ὅμοιόν τι ποιῶν τοῖς ἐν τῷ κατὰ Μειδίου. καὶ γὰρ ἵνα μὴ δυσωπήσῃ κἀκεῖ τοῖς ἀξιώμασιν ὁ Μειδίας, εἰς τὸ δεῖν χάριν αὐτὸν ὁμολογεῖν, ἐπὶ τῷ ἀξιώματι τῇ πόλει περιέστησε. προστίθησι δὲ ὅτι καὶ ἄξιος τιμωρίας ὁ παρ' ἀξίαν τυχὼν ἀξιώματος, καταισχύνων καὶ τὸ ἀξίωμα, καὶ τὸν τηλικούτων ἠ-
ξιωκότα δῆμον. Ἃ γὰρ ᾤετο σὺ 426
δίκαια) Ἐπειδὴ πρὸς ἀπόδειξιν τῆς δωροδοκίας, λαμβάνει τὸ κατὰ Τιμάρχου, εἰκότως ἀπολογεῖται ὑπὲρ τοῦ ἀνδρός, καὶ προδιοικεῖται αὐτῷ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

427 ταῦτα δήπου ταῦτα καὶ κατὰ σοῦ προσήκει τοῖς ἄλλοις
ἰσχύειν. ἔλεγε τοίνυν τότε πρὸς τοὺς δικαστὰς, ὅτι
ἀπολογήσεται δὲ Δημοσθένης ὑπὲρ αὐτοῦ, καὶ κατη- α.
γορήσει τῶν ἐμοὶ πεπρεσβευμένων. εἶτα ἂν ὑμᾶς ἀ- παραγαγὼν. α. δ.
παγάγῃ τῷ λόγῳ, νεανιεύσεται καὶ περιιὼν ἐρεῖ. πῶς;
428 τί, τοὺς δικαστὰς ἀπαγαγὼν ἀπὸ τῆς ὑποθέσεως, ᾠ-
χόμην τὸ πρᾶγμα αὐτῶν ὑφελόμενος. μὴ σύ γε.
ἀλλ' ὑπὲρ ὧν ἀγωνίζῃ, ὑπὲρ τούτων ἀπολογοῦ. περὶ. β.
τότε δὲ ἡνίκα ἐκεῖνον ἔκρινες, ἐξῆν σοι κατηγορεῖν καὶ γε. περὶ
λέγειν ὅ,τι ἐβούλου. ἀλλὰ μὴν, καὶ ἔτι τοῖς δικασταῖς
429 ἔλεγες, οὐδένα μάρτυρα ἔχων, ἐφ' οἷς ἔκρινες τὸν ἄν-
θρωπον. παραχέαθαι, Φήμη δ' οὔ τις πάμπαν ἀ-
πόλλυται, ἥν τινα πολλοὶ Λαοὶ φημίξωσι. θεός νύ τις
ἐστὶ καὶ αὐτή. οὐκοῦν Αἰσχίνη καὶ σὲ πάντες οὗτοι χρή-
ματα φασὶν ἐκ τῆς πρεσβείας εἰληφέναι. ὥστε καὶ κατὰ
430 σοῦ δήπουθεν, Φήμη δ' οὔ τις πάμπαν ἀπόλλυται, ἥν
τινα πολλοὶ Λαοὶ φημίξωσιν. θεός νύ τις ἐστὶ καὶ αὐτή.
ὅσῳ γὰρ αὖ σε πλείους, ἢ ἐκεῖνον, αἰτιῶνται, θεώρησον
ὡς ἔχει. τὸν μὲν Τίμαρχον οὐδ' οἱ πρόσχωροι πάντες
ἐγίγνωσκον. ὑμᾶς δὲ τοὺς πρέσβεις, οὐδεὶς Ἑλλήνων, οὐ-
431 δὲ βαρβάρων ἐσθ' ὅστις οὔ φησι χρήματα ἐκ τῆς
πρεσβείας εἰληφέναι. ὥς εἴπερ ἐστὶν ἀληθὴς ἡ φήμη,
καὶ καθ' ὑμῶν ἐστὶν ἡ παρὰ τῶν πολλῶν. ἣν ὅτι πι-
στὴν εἶναι δεῖ, καὶ θεός νύ τις ἐστὶ καὶ αὐτὴ, καὶ ὅτι σοφὸς
ἦν ὁ ποιητὴς, ὁ ταῦτα ποιήσας, σὺ διώρισας αὐτός. η.
432 ἔτι τοίνυν ἰαμβεῖα δήπου συλλέξας ἐπέραινεν. οἷον, δ.
Ὅστις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνὴρ, Οὐ πώ-
ποτ' ἠρώτησα, γιγνώσκων, ὅτι, Τοιοῦτός ἐστιν οἷσπερ
ἥδεται ξυνών. εἶτα τὸν εἰς τοὺς ὄρνις εἰσιόντα, καὶ μετὰ
πιτταλάκου περιιόντα, καὶ τοιαῦτ' εἰπὼν, ἀγνοεῖτ' ἔ- παταλάκου.
433 φη, ποῖόν τινα ἡγεῖσθαι δεῖ; οὐκοῦν Αἰσχίνη καὶ κατὰ σοῦ η.
τὰ ἰαμβεῖα ταῦτ' ἁρμόσει νῦν ἐμοί. κἂν ἐγὼ λέγω
πρὸς τούτους, ὀρθῶς καὶ προσηκόντως ἐρῶ. ὅς τις δ.
δ' ὁμιλῶν ἥδεται, καὶ ταῦτα πρεσβεύων Φιλοκράτει,
οὐ πώποτ' ἠρώτησα, γινώσκων ὅτι ἀργύριον εἴληφεν οὗτος, ὥσπερ Φιλοκράτης, ὁ
434 ὁμολογῶν. λογογράφους τοίνυν καὶ σοφιστὰς ἀποκαλῶν τοὺς ἄλλους, καὶ ὑβρίζειν
πειρώμενος, αὐτὸς ἐξελεγχθήσεται τούτοις ὢν ἔνοχος. ταῦτα μὲν γὰρ τὰ ἰαμβεῖα,
ἐκ Φοίνικός ἐστιν Εὐριπίδου. τοῦτο δὲ τὸ δρᾶμα, οὐδὲ πώποτε, οὔτε Θεόδωρος, οὔ-
τε Ἀριστόδημος ὑπεκρίνατο. οἷς οὗτος τὰ τρίτα λέγων διετέλεσεν. ἀλλὰ Μόλων ἠ-
435 γωνίζετο, καὶ εἰ δή τις ἄλλος τῶν παλαιῶν ὑποκριτῶν. Ἀντιγόνην δὲ Σοφοκλέους,
πολλάκις μὲν Θεόδωρος, πολλάκις δὲ Ἀριστόδημος ὑποκέκριται. ἐν ᾗ πεποιημέ- ὑπεκρίνατο.
να ἰαμβεῖα καλῶς καὶ συμφερόντως ὑμῖν πολλάκις οὗτος εἰρηκὼς, καὶ ἀκριβῶς α.ι.δ. ὑπεκρίνετο. η.
ἐξεπιστά-

τῆς ἀτιμίας ἄφεσιν. ὁ γὰρ πείθων ταῦτα ἀεὶ καὶ κατὰ μέρος πείθων τὴν πόλιν, ἔστιν ὅτε καιροῦ γινομένου, καὶ τὸν ἅπαντα δῆμον πείσει ῥαδίως ψηφίσασθαι τὴν ἐπιτιμίαν αὐτῷ. συμπλέκει δὲ τῷ κατὰ Τιμάρχου χρησιμώτερον, διὰ δεινότητα. ἐπειδὴ γὰρ ἀμφότεροι ἐκείνῳ ἀγῶνα παρασχόμενος, ἔδοξεν αἱρεῖν τὸν ἐναντίον, βουλόμενος τῶν ὁμοίων τυχεῖν καὶ αὐτὸς ἐπὶ τοῦ παρόντος ἀγῶνος, τῶν ὁμοίων παραδειγμάτων ἐμνήσθη· καὶ τὰ συνεκτικώτατα τοῦ λόγου τῆς κατὰ Τιμάρχου κατηγορίας λαβὼν, τοῖς αὐτοῖς καὶ κατ' Αἰσχίνου κέχρηται, οἷς εἰ μὲν ἀκολουθήσωσιν οἱ δικάζοντες, ὀρθῶς νενίκηκεν Αἰσχίνης. εἰ δὲ μὴ πεισθεῖεν, οὐκ ὀρθῶς. εἰ γὰρ ὁ Αἰσχίνης διὰ τούτων νενίκηκεν, ὁ δὲ Δημοσθένης τοῖς αὐτοῖς χρώμενος, οὐ νικήσει, οὐ τὰ αὐτὰ περὶ τῶν αὐτῶν οἱ δικασταὶ δικάζοντες ὀφθήσονται. ὥστε καὶ τὴν κατηγορίαν Τιμάρχου διαβεβλῆσθαι, καὶ τὴν κατηγορίαν Δημοσθένους μηδαμῶς ἡττῆσθαι.

427 Πῶς, τί) Γῆ γὰρ, ἐξιόντος αὐτοῦ ἀπὸ τοῦ δικαστηρίου ἐρωτῶσιν οἱ φίλοι. πῶς ὦ Δημόσθενες ἔχει τὸ πρᾶγμα. τί γέγονεν. εἶτα ἀποκρίνεται αὐτοῖς. ᾠχόμην αὐτοὺς ἀπατήσας τῷ λόγῳ. ἢ ὅλον ἀπ' αὐτοῦ τοῦ ῥήτορος· πῶς ὑμῖν ἔδοξα. τί κατώρθωσα. εἶτα ἐπάγει τὰ ἑξῆς ἢ τὰ μὲν ἀπὸ τοῦ ῥήτορος. πῶς ὑμῖν ἔδοξα; τὰ δὲ ἀπ' ἄλλων, εἶτα ἐκεῖνοι ὑπολαμβάνουσι, τί κατώρθωσας. καὶ ἐπάγει τὰ ἑξῆς. Ἰστέον δὲ ὅτι τῷ μὲν κατηγόρῳ, ἔξεστι κατηγορεῖν ὃ βούλεται· τῷ [illegible] ἀπολογουμένῳ, μόνων τῶν κατηγορηθέντων ποιεῖσθαι τὴν
429 λύσιν. Οὐδένα μάρτυρα ἔχων) Οὐδένα μάρτυρα δυνάμενος παρασχέσθαι ἐπὶ τούτοις, ἐφ' οἷς Τίμαρχον ἔκρινες. ἔλεγες δὲ δηλονότι τά-
431 δε τὰ Ἡσιόδου ἔπη. Ὡς εἴπερ ἐστὶν ἀληθὴς) Οὐ διστάζων εἶπεν, ἀλλ' ἔστιν ἀντὶ τοῦ ἐπείπερ, ὡς καὶ ἐν τῷ κατὰ Ἀριστοκράτους. εἴπερ ἦν Ἕλλην ὁ παθών.

ἐπιστάμενος. ἐξεπιστάμενος, παρέλιπεν. ἴστε γὰρ δήπου τοῦθ', ὅτι

δι. ὑπερέβη. α. ἐν πᾶσι δράμασι τοῖς τραγικοῖς, ἐξαίρετόν ἐστιν ὥσ- 445

τὸ. ἅπασι. δι. περ γέρας τι τοῖς τριταγωνισταῖς, τὸ τοὺς τυράννους, καὶ τοὺς τὰ σκῆπτρα ἔχοντας, εἰσιέναι. ταῦτα τοίνυν ἐν τῷ δράματι τούτῳ σκέψασθε, ὁ κρέων αἰσχίνης, οἷα λέγων πεποίηται τῷ ποιητῇ, ἃ οὔτε πρὸς αὑτὸν οὗ-

διελ. α. δι. τος ὑπὲρ τῆς πρεσβείας διελέχθη, οὔτε πρὸς τοὺς δι- 446

καστὰς εἶπε, λέγε.

## ΙΑΜΒΕΙΑ ΣΟΦΟΚΛΕΟΥΣ,

### ΕΞ ΑΝΤΙΓΟΝΗΣ.

Ἀμήχανον δὲ παντὸς ἀνδρὸς ἐκμαθεῖν,
ψυχήν τε καὶ φρόνημα καὶ γνώμην, πρὶν ἂν
ἀρχαῖς τε καὶ νόμοισιν ἐντριβὴς φανῇ.
ἐμοὶ γὰρ ὅστις πᾶσαν εὐθύνων πόλιν,
μὴ τῶν ἀρίστων ἅπτεται βουλευμάτων,
τὴν. α. ἀλλ' ἐκ φόβου του γλῶσσαν ἐγκλείσας ἔχει.
κάκιστος εἶναι νῦν τε καὶ πάλαι δοκεῖ.
καὶ μείζον' ὅστις ἀντὶ τῆς αὑτοῦ πάτρας
φίλον νομίζει, τοῦτον οὐδαμοῦ λέγω.
ἐγὼ γὰρ ἴστω ζεὺς, ὁ πάνθ' ὁρῶν ἀεὶ,
οὔτ' ἂν σιωπήσαιμι τὴν ἄτην ὁρῶν
στείχουσαν ἀστοῖς ἀντὶ τῆς σωτηρίας,
οὔτ' ἂν φίλον ποτ' ἄνδρα δυσμενῆ χθονὸς
θείμην ἐμαυτῷ, τοῦτο γιγνώσκων, ὅτι
ἥδ' ἐστὶν ἡ σῴζουσα, καὶ ταύτης ἔπι
πλέοντες ὀρθῆς, τοὺς φίλους ποιούμεθα.

Τούτων αἰσχίνης οὐδὲν εἶπε πρὸς αὑτὸν ἐν τῇ πρε- 450

σβείᾳ· ἀλλ' ἀντὶ μὲν τῆς πόλεως, τὴν φιλίππου ξενίαν, καὶ τὴν φιλίαν πολλῷ μείζονα ἡγήσατο αὑτῷ, καὶ λυσιτελεστέραν, ἐρρῶσθαι πολλὰ φράσας τῷ σοφῷ σοφοκλεῖ. τὴν δὲ ἄτην ὁρῶν στείχουσαν ὁμοῦ

σκαπαὶ. η. τὴν ἐπὶ φωκέας στρατείαν, οὐ προεῖπεν, οὐδὲ προε- 451

ἐξήγγ. α. δι. ξήγγειλεν, ἀλλὰ τοὐναντίον, συνέκρυψε, καὶ συνέπραξε. καὶ τοὺς βουλομένους εἰπεῖν, διεκώλυσεν, οὐκ ἀναμνησθεὶς ὅτι, ἥδ' ἐστὶν ἡ σῴζουσα, καὶ ταύτης ἔπι, τελοῦσα μὲν ἡ μήτηρ αὐτοῦ καὶ καθαίρουσα, καὶ καρ-

χρωμένων. η. δι. πουμένη τὰς τῶν χρωμένων οἰκίας, ἐξέθρεψε το- 452

σούτους τουτουσί, διδάσκων δ' ὁ πατὴρ γράμματα,

ἥρω. α. δι. ὡς ἐγὼ τῶν πρεσβυτέρων ἀκούω, πρὸς τῷ τοῦ ἥρωος τοῦ ἰατροῦ, ὅπως ἠδύνατο, ἀλλ' οὖν ἐν ταύτῃ γε ἔζη. ὑπογραμματεύοντες δὲ οὗτοι καὶ ὑπηρετοῦντες ἁπάσαις ταῖς ἀρχαῖς, ἀργύριον εἰλήφεσαν. 453

Ἐξαίρετόν ἐστιν ὥσπερ γέρας) Ἵνα μὴ ἔχῃ λέγειν, ὅτι οὐκ οἶδα· οὐ γὰρ ὑπεκρινάμην τὸ δρᾶμα. λέγει ὁ τὰς θεατρικὰς ἱστορίας συγγράψας. διὰ τοῦτο τοῖς τριταγωνισταῖς τὰς ὑποκρίσεις τῶν δυναστευόντων παρέχεσθαι, ἐπειδὴ ἧττον ἐστὶ παθητικὰ καὶ ὑπέρογκα. Ὁ κρέων αἰσχίνης) Ἤγουν ὁ τὸν κρέοντα ὑποκρινόμενος αἰσχίνης. 445

Πεποίηται τῷ ποιητῇ) Ἵνα ἀποστάσῃ ἀπ' αὐτοῦ τὴν φιλοτιμίαν· οὐ γὰρ ἦν αὐτὸς ὁ ποιήσας.

Ἐρρῶσθαι πολλὰ φράσας) Ἀντὶ τοῦ οἰμώζειν. τῶν διφορουμένων γὰρ ἡ λέξις, καὶ ἐπὶ κακοῦ λέγεται. 450

447 τὸ δὲ στείχουσαν ὁμοῦ, ἀντὶ τοῦ ἐγγύς. Καὶ τοὺς βουλομένους εἰπεῖν) 451

Ἑαυτὸν δηλοῖ ἀνεπαχθῶς. Ταύτης ἔπι τελοῦσα) Τινες ἐνόμισαν μίαν λέξιν εἶναι, οὐκ ἔστι δέ. ἀλλὰ τὸ ἔπι, συναπτέον πρὸς τὸ ταύτης. καὶ τὸ τελοῦσα καθ' ἑαυτὸν, ἵνα

448 ᾖ, ἐπὶ ταύτης τελοῦσα. ἤδη δὲ ἔγνωμεν ὅτι ἐπῳδὸς ἦν ἡ μήτηρ αἰσχίνου, κατὰ τοὺς δημοσθενείους λόγους, καὶ καθαίρουσα τοὺς μέλλοντας μυεῖσθαι. Ὡς ἐγὼ τῶν πρεσβυτέρων 452

ἀκούω) Μέμνηται τῶν προγόνων αἰσχίνου· ὅσῳ γὰρ ἂν ἐκ φαυλοτέρων καὶ ταπεινοτέρων ἐπιδείξει γενόμε-

449 νον, τοσούτῳ μᾶλλον ἀφαιρεθήσεται καὶ τὴν τῆς ὑπολήψεως αἰδῶ, καὶ ἄρχει τῆς ἀσελγείας. δύο δὲ μέρη τῶν ἐπιλόγων εἰργάσατο. ἓν μὲν, τὸ κατὰ τὸ ἦθος· ἕτερον δὲ, τὸ κατὰ τοὺς λόγους, οἷς αἰσχίνης ἐχρήσατο ἐν τῷ κατὰ τιμάρχου. ἐντεῦθεν τρίτον ἐστὶ μέ-

450 ρος λοιπὸν, ὃ πρὸς τοὺς ἀκούοντάς ἐστιν, ἐκφοβοῦντος ἤδη, καὶ ταράττοντος ἐφ' οἷς ἅπαξ αἱ πόλεις μετὰ προδοτῶν εἰσὶ, φόβον ἐργάσασθαι τοῖς ἀκούουσι βουλόμενος. ὡς οὐ μικρᾶς φροντίδος δεῖ τοῖς παροῦσι πρὸς τὰς ὑπερβαλλούσας δωροδο-

451 κίας. ἐν ᾧ μέρει, καὶ τὰ κατὰ τὸν ζέλειτην ἐξήτασε· καὶ ὅσα οἱ πατέρες κατὰ τῶν προδοτῶν πολλάκις ἐψηφίσαντο. προστίθησι δὲ καὶ ὅσα ἐπὶ τῆς παρούσης ἡλικίας ἐψήφισαι κατὰ προδοτῶν. ἐν ᾧ πάλιν μέρει ὁ λέων καὶ ὁ τιμαγόρας, καὶ οἱ πρεσβεύσαν-

452 τες πρὸς τὸν βασιλέα τῶν περσῶν, τῆς εἰρήνης τῆς ἐπὶ ἀνταλκίδου γενομένης, ἐξεταζόμενοι φαίνονται. ὁ δὲ ἰατρὸς, ἥρως, ἐλέγετο παρὰ τοῖς ἀθηναίοις. ἐκλήθη δὲ ἥρως, διὰ τὸ μέγεθος τοῦ σώματος, τὸ δὲ κύριον ὄνομα αὐτοῦ ἀριστόμαχος. ἡ δὲ θό-

453 λος, τόπος ἦν, ἔνθα ἐσιτοδοῦντο οἱ

τοῦ δημοσίου γραμματεῖς, ἢ χειροτονηθέντες ἐκ τῆς πόλεως. ἐκλήθη δὲ θόλος, διὰ τὸ θολοειδὲς καὶ στρογγύλον ἔχειν τὸ σχῆμα. Ἄλλως. Θόλος, τόπος, ἐν ᾧ ἐδείπνουν οἱ πρυτάνεις.

454 Εἶτ' οὐ σὺ σοφιστὴς, καὶ πονηρός γε) Προστίθησιν ἀπὸ τῆς οἰκείας κρίσεως ἐπ' ἀμφοτέρων τὴν ῥοπὴν τοῦ κακοῦ, ἵνα τῆς γνώμης ᾖ, καὶ μὴ τῆς τύχης
455 τὸ κατηγόρημα. Φέρε δὴ καὶ περὶ τοῦ σόλωνος) Σημείωσαι περὶ τοῦ σόλωνος, ὅτι ἀμφισβητούντων μεγαρέων καὶ ἀθηναίων περὶ σαλαμῖνος, ὁ σόλων ἐκ τῶν ὁμηρικῶν ἐπῶν τὴν ἀπόδειξιν ἐποιήσατο, στίχον παρενθεὶς πεπλασμένον. Αἴας δ' ἐκ σαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας. καὶ προσέθηκε τόνδε τὸν στίχον. Στῆσε δ' ἄγων, ἵν' ἀθηναίων ἵσταντο φάλαγγες. τοῦτον πλάσας τὸν στίχον, ἐνίκησεν ἐν τῇ δίκῃ τοὺς μεγαρέας. ἔδειξε γὰρ ὅτι ἀθηναίων ἦν ἡ σαλαμὶς ἐκ παλαιοῦ. σημείωσαι δὲ καὶ τὰ ἐλεγεῖα τούτου. τὰ μὲν πρῶτα, Ἴομεν εἰς σαλαμῖνα μαχησόμενοι περὶ νήσου, Ἱμερτῆς χαλεπόν τ' αἶσχος ἀπωσάμενοι. τὰ δὲ δεύτερα. Ἡμετέρα δὲ πόλις κατὰ μὲν διὸς οὔποτ' ὀλεῖται Αἶσαν, καὶ μακάρων θεῶν φρένας ἀθανάτων Τοίη γὰρ μεγάθυμος ἐπίσκοπος ὀβριμοπάτρη Παλλὰς ἀθηναίη χεῖρας ὕπερθεν ἔχει. Αὐτοὶ δὲ φθείρειν μεγάλην πόλιν ἀφραδίῃσιν Ἀστοὶ βούλονται χρήμασι πειθόμενοι.
462 Καὶ πιλίδιον λαβὼν ἐπὶ

καὶ τὸ τελευταῖον ὑφ' ὑμῶν γραμματεῖς χειροτονη-
θέντες, δύο ἔτη διεπράφησαν ἐν τῇ θόλῳ, πρεσβεύων ἐτρά. ἀλ.
δ' ἀπέσταλτο νῦν ἐστιν ἐκ ταύτης αὐτῆς, τούτων οὐ-
454 δὲν ἐσκέψατο, οὐδ' ὅπως ὀρθὴ πλεύσεται, περιείδετο·
ἀλλ' ἀνέτρεψε, καὶ κατέδυσε, καὶ τὸ καθ' αὑτὸν ὅπως
ἐπὶ τοῖς ἐχθροῖς ἔσται, παρεσκεύασεν. εἶτ' οὐ σὺ σοφι-
στὴς καὶ πονηρός γε; οὐ σὺ λογογράφος, καὶ θεοῖς ἐ- λογογράφος.
χθρός; ὃς ἃ μὲν πολλάκις ἠγωνίσω καὶ ἀκριβῶς ἐξη-
455 πίστασο, παρέβης· ἃ δ' οὐδεπώποτε ἐν τῷ βίῳ ὑπε-
κρίνω, ταῦτα ζητήσας ἐπὶ τῷ τῶν πολιτῶν βλάψαι
τινά, εἰς μέσον ἐνήνοχας. Φέρε δὴ καὶ περὶ τοῦ σόλωνος ἤνεγκες. ἀλ.
ὃν εἶπε λόγον, σκέψασθε. ἔφη γὰρ τὸν σόλωνα ἀνα- ἀλ.
κεῖσθαι τῆς τῶν τότε δημηγορούντων σωφροσύνης τοῦτο. ἀλ.
456 παράδειγμα, εἴσω τὴν χεῖρα ἔχοντα ἀναβεβλημέ-
νον, ἐπιπλήττων τι, καὶ λοιδορούμενος τῇ τοῦ τιμάρ-
χου προπετείᾳ. καίτοι τὸν μὲν ἀνδριάντα τοῦτον, οὔπω
πεντήκοντα ἔτη φασὶν ἀνακεῖσθαι σαλαμίνιοι. ἀπὸ
σόλωνος δὲ, ὁμοῦ διακόσιά ἐστιν ἔτη, καὶ τετταρά-
457 κοντα εἰς τὸν νυνὶ χρόνον. ὥσθ' ὁ δημιουργὸς ὁ τοῦτο νῦν παρόν-
πλάσας τὸ σχῆμα, οὐ μόνον οὐκ αὐτὸς ἦν κατ' ἐκεῖ- τα. ἀλ.
νον τὸν χρόνον, ἀλλ' οὐδ' ὁ πάππος αὐτοῦ. τοῦτο μὲν
τοίνυν εἶπε τοῖς δικασταῖς, καὶ ἐμιμήσατο. ὃ δὲ τοῦ
σχήματος ἦν τούτου πολλῷ τῇ πόλει λυσιτελέστερον,
458 τὸ τὴν ψυχὴν τοῦ σόλωνος ἰδεῖν, καὶ τὴν διάνοιαν,
ταύτην οὐκ ἐμιμήσατο, ἀλλὰ πᾶν τοὐναντίον. ἐκεῖνος μέν γε ἀφεστηκυίας σα-
λαμῖνος ἀθηναίων, καὶ θάνατον τὴν ζημίαν ψηφισαμένων, ἄν τις εἴπῃ κομίζε-
σθαι, τὸν ἴδιον κίνδυνον ὑποθεὶς, ἐλεγεῖα ποιήσας ᾖδε. καὶ τὴν μὲν χώραν ἔσωσε τῇ
459 πόλει· τὴν δ' ὑπάρχουσαν αἰσχύνην, ἀπήλλαξεν. οὗτος δὲ, ἣν ὁ βασιλεὺς, καὶ πάν-
τες οἱ ἕλληνες ὑμετέραν ἔγνωσαν, ἀμφίπολιν, ταύτην ἐξέδωκε, καὶ ἀπέδοτο. καὶ τῷ ταῦ-
τα γράφοντι συνεῖπε φιλοκράτει. ἄξιόν γε οὐ γὰρ ἦν σόλωνος ἀναμεμνῆσθαι. καὶ οὐ μὴ ἀθηναίοις.
μόνον ἐνταῦθα ταῦτ' ἐποίησεν, ἀλλὰ κἀκεῖσ' ἐλθὼν, οὐδὲ τοὔνομα ἐφθέγξατο τῆς χώ- ἀλλ' ἐκεῖσε. ἀλ.
460 ρας, ὑπὲρ ἧς ἐπρέσβευσε. καὶ ταῦτα αὐτὸς ἀπήγγελλε πρὸς ὑμᾶς· μέμνησθε γὰρ δή- ἐδέξατο. ἀλ.
που λέγοντ' αὐτὸν, ὅτι περὶ ἀμφιπόλεως εἶχον μὲν κἀγὼ λέγειν· ἵνα δ' ἐγγένηται δη-
μοσθένει περὶ αὐτῆς εἰπεῖν, παρέλιπον. ἐγὼ δὲ προσελθὼν, οὐδὲν ἔφην τούτων, ὧν ἐβού-
λετο εἰπεῖν πρὸς φίλιππον, ἐμοὶ παραλιπεῖν. θᾶττον γὰρ ἂν τοῦ αἵματος, ἢ λόγου, με-
461 ταδοῦναί τινι. ἀλλ', οἶμαι, τὰ χρήματ' εἰληφότα, οὐκ ἦν ἀντιλέγειν πρὸς φίλιππον, λαβόντα. ἀλ.
τὸν ὑπὲρ τούτου δεδωκότα, ὅπως ἐκείνῳ μὴ ἀποδῷ. Λέγε δή μοι λαβὼν καὶ τὰ τοῦ σό- ἀλ.
λωνος ἐλεγεῖα ταυτί, ἵν' εἰδῆτε, ὅτι καὶ ὁ σόλων ἐμίσει τοὺς, οἷος οὗτος, ἀνθρώπους. οὐ λέγειν
εἴσω τὴν χεῖρα ἔχοντα, αἰσχίνη, δεῖ, οὔ· ἀλλὰ πρεσβεύειν εἴσω τὴν χεῖρα ἔχοντα. σὺ δ' ἐκεῖ
462 προτείνας, καὶ ὑποσχὼν, καὶ καταισχύνας τούτους, ἐνθάδε σεμνολογῇ; καὶ λογάρια δύ- τούς. ἀλ.
στηνα μελετήσας καὶ φωνασκήσας, οὐκ οἴει δίκην δώσειν τηλικούτων καὶ τοσούτων ἀδι-
κημάτων, κἂν πιλίδιον λαβὼν ἐπὶ τὴν κεφαλὴν, περινοστῇς, καὶ ἐμοὶ λοιδορῇ; Λέγε σύ. περὶ. ἀλ.

Ελεγεῖα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐλεγεῖα Σόλωνος.

Ἡμετέρα δὲ πόλις, κατὰ μὲν Διὸς οὔποτ' ὀλεῖται 463
Αἶσαν, καὶ μακάρων θεῶν φρένας ἀθανάτων.
τοίη γὰρ μεγάθυμος ἐπίσκοπος ὀβριμοπάτρη
Παλλὰς Ἀθηναίη, χεῖρας ὕπερθεν ἔχει.
αὐτοὶ δὲ φθείρειν μεγάλην πόλιν ἀφραδίῃσιν
ἀστοὶ βούλονται, χρήμασι πειθόμενοι. 464
ἑτοῖμον. π. δήμου θ' ἡγεμόνων ἄδικος νόος, οἷσιν ° ἔτιμον
ὕβριος ἐκ μεγάλης, ἄλγεα πολλὰ παθεῖν.
οὐ γὰρ ἐπίστανται κατέχειν κόρον, οὐδὲ παρούσας
εὐφροσύνας, κοσμεῖν δαιτὸς ἐν ἡσυχίῃ.
χρήματα δ' ἱμείρουσιν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι, 465
πλουτοῦσι δ' ἀδίκοις ἔργμασι πειθόμενοι.

οὔθ' ἱερῶν κτεάνων, οὔτε τι δημοσίων
φειδόμενοι, κλέπτουσιν, ἐφ' ἁρπαγῇ ἄλλοθεν ἄλλος,
οὐδὲ φυλάσσονται σεμνὰ δίκης θέμεθλα.
ἣ σιγῶσα σύνοιδε τὰ γιγνόμενα, πρό τ' ἐόντα.
τῷ δὲ χρόνῳ πάντως ἦλθ' ἀποτισαμένη.
πῦ. π. ° τοῦτ' ἤδη πάσῃ πόλει ἔρχεται ἕλκος ἄφυκτον.
εἰς δὲ κακὴν ταχέως ἤλυθε δουλοσύνην.
ἣ στάσιν ἔμφυλον, πόλεμόν θ' εὕδοντ' ἐπεγείρει. 467
ὃς πολλῶν ἐρατὴν ὤλεσεν ἡλικίην.
ἐκ γὰρ δυσμενέων ταχέως πολυήρατον ἄστυ,
φίλοις. π. π. τρύχεται ἐν συνόδοις, τοῖς ἀδικοῦσι ° φίλοις.
ταῦτα μὲν ἐν δήμῳ στρέφεται κακά. τῶν δὲ πενιχρῶν,
ἱκνοῦνται πολλοὶ γαῖαν ἐς ἀλλοδαπὴν 468
πραθέντες, δεσμοῖσί τ' ἀεικελίοισι δεθέντες.

οὕτω δημόσιον κακὸν ἔρχεται οἴκαδ' ἑκάστῳ.
αὔλειοι δέ τ' ἔχειν οὐκ ἐθέλουσι θύραι.
ὑπέρθυρον. π. ὑψηλὸν δ' ὑπὲρ ἕρκος ὑπέρθορεν. εὗρε δὲ ° πάντως 469
πάντας. π. Εἴ γέ τις ἢ φεύγων ἐν μυχῷ, ἢ θαλάμῳ.
Ταῦτα διδάξαι θυμὸς Ἀθηναίους με κελεύει,
ὡς κακὰ πλεῖστα πόλει δυσνομία παρέχει.
εὐνομία δ' εὔκοσμα, καὶ ἄρτια πάντ' ἀποφαίνει,
καὶ θαμὰ τοῖς ἀδίκοις ἀμφιτίθησι πέδας. 470
τραχέα λειαίνει, παύει κόρον, ὕβριν ἀμαυροῖ,
αὐαίνει δ' ἄτης ἄνθεα φυόμενα.
εὐθύνει δὲ δίκας σκολιάς, ὑπερήφανά τ' ἔργα
πραΰνει, παύει δ' ἔργα διχοστασίης.
παύει δ' ἀργαλέης ἔριδος χόλον. ἔστι δ' ὑπ' αὐτῆς 471
πάντα κατ' ἀνθρώπους ἄρτια, καὶ πινυτά.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ τῶν τοιούτων ᾱ.ν.
472 ἀνθρώπων οἷα Σόλων λέγει, καὶ περὶ τῶν θεῶν, οὕς ὥς.ν.
φησι τὴν πόλιν σώζειν. ἐγὼ δ' ἀεὶ μὲν ἀληθῆ τὸν λό-
γον τοῦτον ἡγοῦμαι καὶ βούλομαι, ὡς ἄρα οἱ θεοὶ σώ-
ζουσιν ἡμῶν τὴν πόλιν· εἶπον δέ τινα ἡγοῦμαι καὶ οἶμαι.ν. β.ν.
βούλομαι, καὶ τὰ νῦν συμβεβηκότα πάντα ἐπὶ ταῖς
473 εὐθύναις ταυταισὶ, δαιμονίας τινὸς εὐνοίας ἔνδειγμα ν.
τῇ πόλει γεγενῆσθαι. σκοπεῖτε γάρ. ἄνθρωπος πολ- χ. ἐνδείγματα.
λὰ καὶ δεινὰ πρεσβεύσας, καὶ χώρας ἐκδεδωκὼς, ἐν
αἷς τοὺς θεοὺς ὑφ' ὑμῶν καὶ τῶν συμμάχων τιμᾶ-
σθαι προσῆκεν, ἠτίμωσεν ὑπακούσαντά τινα αὐτοῦ
474 κατήγορον. διὰ τί; ἵνα μήτε ἐλέου, μήτε συγγνώ-
μης ἐφ' οἷς αὐτὸς ἠδίκησε, τύχῃ. ἀλλὰ καὶ κατηγο- ἡμάρτ.ν.
ρῶν ἐκείνου, κακῶς λέγειν προείλετο ἐμέ. καὶ πάλιν
ἐν τῷ δήμῳ γραφὰς ἀποίσειν, καὶ τοιαῦτα ἠπείλει.
διὰ τί; ἵνα ὡς μετὰ πλείστης συγγνώμης παρ' ὑμῶν, χ. ὑμῖν.
475 ὁ τὰ τούτου πονηρεύματα ἀκριβέστατα εἰδὼς ἐγὼ, ἀκριβῶς.α. ε.ν.ν.
καὶ παρηκολουθηκὼς ἅπασι, κατηγορῶ. ἀλλὰ καὶ
διακρουόμενος πάντα τὸν ἔμπροσθεν χρόνον εἰ- διακρουσάμενος.ν.
σελθεῖν, εἰς τοιοῦτον ὑπῆκται καιρὸν, ἐν ᾧ τῶν ἐπιόν-
των ἕνεκα; εἰ μηδενὸς ἄλλου, οὐχ οἷόντε, οὐδ' ἀ-
476 σφαλὲς ὑμῖν δεδωροδοκηκότα τοῦτον ἀθῷον ἐᾶσαι.
ἀεὶ μὲν γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, προσήκει μισεῖν, καὶ κολάζειν τοὺς προδότας καὶ α.ν.
δωροδόκους. μάλιστα δὲ νῦν ἐπὶ καιροῦ τοῦτο γένοιτ' ἂν, καὶ πάντας ὠφελήσειεν ἀν- ν.
θρώπους κοινῇ. νόσημα γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, δεινὸν ἐμπέπτωκεν εἰς τὴν Ἑλλάδα,
477 καὶ χαλεπὸν, καὶ πολλῆς τινὸς εὐτυχίας, καὶ τῆς παρ' ὑμῶν ἐπιμελείας δεόμενον. οἱ γὰρ
ἐν ταῖς πόλεσι γνωριμώτατοι, καὶ προεστάναι τῶν κοινῶν ἀξιούμενοι, τὴν αὐτῶν
προδιδόντες ἐλευθερίαν, οἱ δυστυχεῖς, αὐθαίρετον αὐτοῖς ἐπάγονται δουλείαν, Φι- φιλίππου.ν.
λίππῳ ξενίαν, καὶ φιλίαν, καὶ ἑταιρείαν, καὶ τὰ τοιαῦθ' ὑποκοριζόμενοι, οἱ δὲ λοι-
478 ποὶ, καὶ τὰ κύρια, ἅττα ποτ' ἐστὶν ἐν ἑκάστῃ τῶν πόλεων, οὓς ἔδει τούτους κολάζειν, ν.
καὶ παραχρῆμα ἀποκτιννύναι, τοσοῦτον ἀπέχουσι τοῦ τοιοῦτόν τι ποιεῖν, ὥστε θαυ- ἀποδεικνύναι.ν.
μάζουσι, καὶ ζηλοῦσι, καὶ βούλοιτ' ἂν αὐτὸς ἕκαστος τοιοῦτος εἶναι. καίτοι τουτὶ τὸ πρᾶ- τοῦτο.α.
γμα, καὶ τὰ τοιαῦτα ζηλώματα, Θετταλῶν μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, μέχρι μὲν ν.
479 ἐχθὲς καὶ πρώην, τὴν ἡγεμονίαν, καὶ τὸ κοινὸν ἀξίωμα ἀπολώλεκει. νῦν δ' ἤδη καὶ χ. ἀπολώλεκε.
τὴν ἐλευθερίαν παραιρεῖται· τὰς γὰρ ἀκροπόλεις αὐτῶν, ἐνίων Μακεδόνες φρουροῦ- παραιρεῖται.
σιν. εἰς Πελοπόννησον δὲ εἰσελθὸν, τὰς ἐν Ἤλιδι σφαγὰς πεποίηκε. καὶ τοσαύτης πα- ν. παρανοίας.
ρανομίας, καὶ μανίας, καὶ παρανοίας ἐνέπλησε τοὺς ταλαιπώρους ἐκείνους, ὥστε, ἵνα ἀλ-
480 λήλων ἄρχωσι, καὶ Φιλίππῳ χαρίζωνται, συγγενεῖς αὐτῶν, καὶ πολίτας μιαιφονεῖν. καὶ οὐ-
δ' ἐνταῦθ' ἕστηκεν. ἀλλ' εἰς Ἀρκαδίαν εἰσελθὸν, πάντ' ἄνω καὶ κάτω τὰ ἐκεῖ πε-
ποίηκε, καὶ νῦν Ἀρκάδων πολλοὶ, προσῆκον αὐτοῖς ἐπ' ἐλευθερίᾳ μέγιστον φρο-
νεῖν ὁμοίως ὑμῖν· μόνοι γὰρ τῶν ἁπάντων ὑμεῖς αὐτόχθονές ἐστε, κἀκεῖνοι· Φίλιπ- ἴσως.β.
481 πον θαυμάζουσι, καὶ χαλκοῦν ἱστᾶσι, καὶ στεφανοῦσι. καὶ τὸ τελευταῖον, ἂν εἰς Πε- ὡς ἀφ.ε.
λοπόννησον

τὴν κεφαλὴν) Οἱ μέν φασιν, ὅτι ἐπὶ
ταῖς πομπαῖς ἐλοιδοροῦντο ἀλλή-
λοις προσωπεῖα φοροῦντες. ὑπο-
κάτω δὲ πιλίδια ἐφόρουν, ὥστε μὴ
βλάπτεσθαι καὶ τρίβεσθαι τὴν κεφα-
λήν. ὅτι τὸν Οἰνόμαον ὑποκρινόμε-
νος καὶ καταπεσὼν ἐπλήγη, καὶ ἐτραυ-
ματίσθη, καὶ ἐδέδετο τὴν κεφαλήν. οὐ
φεύξῃ οὖν τὸ μὴ δοῦναι δίκην κἂν
477 πιλίδιον φορῇς. Καὶ τὰ τοιαῦτα
ὑποκοριζόμενοι) Τὸ ὑποκορίζε-
σθαι, ἔστι κυρίως, τὸ τοῖς παισὶ πρὸς
ψυχαγωγίαν λέγειν τινὰ ὀνόματα, οἷον,
ὡς Διόνυσός ἐστιν, ὡς βασιλεύς. καὶ
τὰ τοιαῦτα. καταχρηστικῶς δὲ, τὸ
εὐφήμοις ὀνόμασι κλέπτειν τὴν ἀ-
479 τοπίαν. Τὴν ἡγεμονίαν καὶ τὸ κοι-
νὸν ἀξίωμα) Κοινὸν ἀξίωμα, τὴν
ἐλευθερίαν τῶν Ἑλλήνων φησίν. οὐ τῆς
Ἑλλάδος δέ φησι τὴν ἡγεμονίαν. οὐ
γὰρ εἶχον ταύτην οἱ Θετταλοί, ἀλλ' ἢ τῆς
Ἀμφικτυονίας, ἢ τῶν οἰκείων πόλεων
τὴν ἀρχήν. ἔοικε δὲ λέγειν, ἢ τὸ ἀ-
ξίωμα τῆς αὐτῆς ἀρχῆς, ἢ τῆς δι-
οικήσεως τῆς πυλαίας, ἢ ἁπλῶς τῆς
ἐλευθερίας, ὡς προείπομεν. Τὰς
ἐν Ἤλιδι σφαγάς) Ἐστασίαζον πρὸς
ἀλλήλους, οἱ μὲν τὰ Φιλίππου φρονοῦν-
τες, οἱ δὲ τἀναντία βουλόμενοι. εἶτα
ἀπέσφαξαν ἀλλήλους τῶν φιλιππι-
ζόντων ἐπικρατησάντων.

λοπόννησον ἴῃ, δέχεσθαι ταῖς πόλεσιν εἰσὶν ἐψηφι-
σμένοι. ταυτὶ δὲ ταῦτα ἀργεῖοι. ταῦτα νὴ τὴν δή-
λοιδορεῖν. η. μητρα, εἰ δεῖ μὴ ληρεῖν, εὐλαβείας οὐ μικρᾶς δεῖ-
ται, ὡς βαδίζον γε κύκλῳ, καὶ δεῦρο εἰσελήλυθεν
η. ὦ ἄνδρες ἀθηναῖοι τὸ νόσημα τοῦτο. ἕως οὖν ἐστὲ 482
ἐν ἀσφαλεῖ, φυλάξασθε. καὶ τοὺς πρώτους εἰσα-
γαγόντας, ἀτιμώσατε. εἰ δὲ μή, σκοπεῖτε, ὅπως μὴ
τηνικαῦτα εὖ λέγεσθαι δόξῃ τὰ νῦν εἰρημένα, ὅτε,
οὐδ' ὅ, τι χρὴ ποιεῖν, ἕξετε. οὐχ ὁρᾶτε ὡς ἐναργὲς
η. ὦ ἄνδρες ἀθηναῖοι, καὶ σαφὲς παράδειγμα οἱ 483
ταλαίπωροι γεγόνασιν ὀλύνθιοι; οἳ παρ' οὐδὲν οὕ-
τὸ ταῦτα. τως, ὡς τὰ τοιαῦτα ποιεῖν, ἀπολώλασιν, οἱ δείλαιοι.
ἔχοιτε δ' ἂν ἐξετάσαι καθαρῶς ἐκ τῶν συμβεβηκότων αὐτοῖς. ἐκεῖνοι γάρ, ἡνί-
κα μὲν τετρακοσίους ἱππέας ἐκέκτηντο μόνον, καὶ σύμπαντες οὐδὲν ἦσαν πλείους
πετρακισχιλίων. α. δ. τῶν πεντακισχιλίων τὸν ἀριθμόν, οὔπω χαλκιδέων πάντων εἰς ἓν συνῳκισμέ- 484
αὐτοῖς. η. νων, λακεδαιμονίων ἐπ' αὐτοὺς ἐλθόντων, πολλῇ ναυτικῇ καὶ πεζῇ δυνάμει·
ἴστε γὰρ δήπου τοῦθ' ὅτι γῆς, καὶ θαλάττης ἦρχον, ὡς ἔπος εἰπεῖν, λακεδαιμό-
νιοι κατ' ἐκείνους τοὺς χρόνους· ἀλλ' ὅμως τηλικαύτης ἐπ' αὐτοὺς ἐλθούσης δυνά-
ἀπολώλεσαν. δ. μεως, οὔτε τὴν πόλιν, οὔτε φρούριον οὐδὲν ἀπώλεσαν. ἀλλὰ καὶ μάχας πολ- 485
λὰς ἐκράτησαν, καὶ τρεῖς τῶν πολεμάρχων ἀπέκτειναν. καὶ τὸ τελευταῖον, ὅπως
ἐβούλοντο. ἠβούλοντο, οὕτω τὸν πόλεμον κατέθεντο. ἐπεὶ δὲ δωροδοκεῖν ἤρξαντό τινες, καὶ διὰ
ἀβελτηρίαν οἱ πολλοί, μᾶλλον δὲ διὰ δυστυχίαν, τούτους πιστοτέρους ἡγήσαντο
ἐστέγασε. β. τῶν ὑπὲρ αὐτῶν λεγόντων, καὶ λασθένης μὲν ἤρεψε τὴν οἰκίαν τοῖς ἐκ μακε- 486
δονίας δοθεῖσι ξύλοις, εὐθυκράτης δὲ βοῦς ἔτρεφε πολλὰς τιμὴν οὐδενὶ δοὺς, ἕτε-
ρος δέ τις ἧκεν ἔχων πρόβατα, ἄλλος δέ τις ἵππους, οἱ δὲ πολλοί, καθ' ὧν
ταῦτα ἐγίγνετο, οὐχ ὅπως ὠργίζοντο, ἢ κολάζειν ἠξίουν τοὺς ταῦτα ποιοῦντας,
ἀλλ' ἀπέβλεπον, ἐζήλουν, ἐτίμων, ἄνδρας ἡγοῦντο, ἐπειδὴ ταῦθ' οὕτω προή- 487
γετο, καὶ τὸ δωροδοκεῖν ἐκράτησε, χιλίους μὲν ἱππέας κεκτημένοι, πλείους δὲ
ὄντες ἢ μύριοι, πάντας δὲ τοὺς περιχώρους ἔχοντες συμμάχους, μυρίοις δὲ ξέ-
νοις, καὶ τριήρεσι πεντήκοντα ὑμῶν βοηθησάντων αὐτοῖς, καὶ ἔτι τῶν πολιτῶν τε-
ἐδυνήθη. δ. τρακισχιλίοις, οὐδὲν αὐτοὺς τούτων ἠδυνήθη σῶσαι· ἀλλὰ πρὶν μὲν ἐξελθεῖν ἐνιαυ- 488
τὸν τοῦ πολέμου, τὰς πόλεις ἁπάσας ἀπολωλέκεσαν τὰς ἐν τῇ χαλκιδικῇ οἱ προ-
ὑπακούων. δ. διδόντες, καὶ φίλιππος οὐκ ἔτ' εἶχεν ὑπακούειν τοῖς προδιδοῦσιν, οὐδ' εἶχεν ὅ,
εἶχον. ζ. τι πρῶτον λάβῃ. πεντακοσίους δ' ἱππέας προδοθέντας ὑπ' αὐτῶν τῶν ἡγε-
μόνων, ἔλαβεν αὐτοῖς ὅπλοις ὁ φίλιππος, ὅσους οὐδεὶς πώποτε ἄλλος ἀνθρώπων. 489
καὶ οὔτε τὸν ἥλιον ᾐσχύνοντο οἱ ταῦτα ποιοῦντες, οὔτε τὴν γῆν πατρίδα οὖσαν,
ἐφ' ἧς ἕστασαν, οὔτε ἱερά, οὔτε τάφους, οὔτε τὴν μετὰ ταῦτα γενησομένην αἰ-
σχύνην ἐπὶ τοῖς τοιούτοις ἔργοις. οὕτως ἔκφρονας, ὦ ἄνδρες ἀθηναῖοι, καὶ παρα-
πλῆγας τὸ δωροδοκεῖν ποιεῖ. ὑμᾶς οὖν, ὑμᾶς εὖ φρονεῖν δεῖ, τοὺς πολλούς, καὶ μὴ ἐπι- 490
τοὺς. δ. τρέπειν τὰ τοιαῦτα· ἀλλὰ κολάζειν δημοσίᾳ. καὶ γὰρ ἂν καὶ ὑπερφυὲς εἴη, εἰ κατὰ μὲν τῶν
γρ. προδιδόντων. ὀλυνθίους προδόντων, πολλὰ καὶ δεινὰ ἐψηφίσασθε, τοὺς δὲ παρ' ὑμῖν αὐτοῖς ἀδι-
κοῦντας, μὴ κολάζοντες φαίνοισθε. λέγε οὖν τὸ ψήφισμά μοι τὸ περὶ τῶν ὀλυνθίων.

Καὶ τοὺς πρώτους εἰσαγαγόντας 482
ἀτιμώσατε) Ἀνέῳξέ φησι τὰς πύ-
λας ὁ φιλοκράτης τῷ νοσήματι τού-
τῳ, καὶ αἰσχίνης αὐτός, καὶ μὴ βου-
λόμενοι εἰσηνέγκαν. οὐ γὰρ ἀφ' ἑ-
αυτοῦ εἰσῆλθεν, ἀλλὰ μὴ βουλόμε-
νον εἰσήγαγε. Καὶ τρεῖς τῶν πο- 485
λεμάρχων ἀπέκτειναν) Ονομα ἴδιον
τῶν ἀρχόντων. εἰσὶ δὲ οὗτοι, πο- γρ. πλευτίας.
λευταίας ἀγησιλάου ἀδελφός, μετ'
αὐτὸν ἀγησίπολις. τρίτος πολυβιά-
δης. πρὸς οὓς τὰς διαλύσεις οἱ ὀ-
λύνθιοι ἐπεποίηντο. Ηρεψε) Ερέ- 486
πτω τὸ θέμα αὐτοῦ, ὃ καὶ ἐρέφω.
Οὐχ ὅπως) Οὐ μόνον. Ἀλλ' ἀπέβλε- 487
πον) Ὥσπερ ἐκθειάζοντες αὐτούς.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

497 Ἀλλ' ὅλης οὔσης ἱερᾶς τῆς ἀκροπόλεως) ὡς ἀπὸ τῶν ἀριστατικῶν ἡ αὔξησις γίγνεται.

Ψήφισμα.

491 Ταῦτα ὑμεῖς ὦ ἄνδρες δικασταὶ, ὀρθῶς καὶ καλῶς πᾶσιν Ἕλλησί τε, καὶ βαρβάροις δοκεῖτε ἐψηφίσθαι, κατ' ἀνδρῶν προδοτῶν, καὶ θεοῖς ἐχθρῶν. ἐπὶ τοίνυν τὸ δωροδοκεῖν, ἀθηναῖοι. λ. ψηφίσασθαι. λ.
πρότερον τοῦ τὰ τοιαῦτα ποιεῖν ἐστὶ, καὶ δι' ἐκεῖνο καὶ τάδε πράττουσι τινὲς, ὃν
492 ἂν, ὦ ἄνδρες ἀθηναῖοι, δωροδοκοῦντα ἴδητε, τοῦτον καὶ προδότην εἶναι νομί- εἰδῆτε.
ζετε. εἰ δὲ ὁ μὲν, καιροὺς, ὁ δὲ πράγματα, ὁ δὲ στρατιώτας προδίδωσιν, ὧν ἂν ἕ-
καστος ὑμῶν οἶμαι, κύριος γίγνηται, ταῦτα διαφθείρει. μισεῖν δὲ ὁμοίως τοὺς τοι- γένηται. λ.
ούτους ἅπαντας προσήκει. ἔστι δ' ὑμῖν, ὦ ἄνδρες ἀθηναῖοι, περὶ τούτων μόνοις καὶ προδίδωσι καὶ. ε.
493 πάντων τῶν ἄλλων ἀνθρώπων, οἰκείοις χρῆσθαι παραδείγμασι, καὶ τοὺς προ- ε.
γόνους, οὓς ἐπαινεῖτε δικαίως, ἔργῳ μιμεῖσθαι. καὶ γὰρ εἰ μὴ τὰς μάχας, μηδὲ
τὰς στρατείας, μηδὲ τοὺς κινδύνους, ἐν οἷς ἦσαν ἐκεῖνοι λαμπροὶ, συμβαίνει στρατιάς.
καιρὸς, ἀλλ' ἄγετε ἡσυχίαν ὑμεῖς ἐν τῷ παρόντι, ἀλλὰ τόγε εὖ φρονεῖν αὐτῶν γρ. ἐν τοῖς συμβαίνῃ
494 μιμεῖσθε. τούτου γὰρ πανταχοῦ χρεία. καὶ οὐδέν ἐστι πραγματωδέστερον, οὐδ' μιμεῖσθαι καιρός.
ὀχληρότερον τὸ καλῶς φρονεῖν τοῦ κακῶς. ἀλλ' ἐν τῷ ἴσῳ χρόνῳ νυνὶ καθήμενος
ὑμῶν ἕκαστος, ἂν μὲν, ἃ χρὴ, γιγνώσκῃ περὶ τῶν πραγμάτων καὶ ψηφίζηται, βελ-
τίω τὰ κοινὰ ποιήσει τῇ πόλει, καὶ ἄξια τῶν προγόνων πράξει. ἂν δ', ἃ μὴ δεῖ,
495 φαυλότερα καὶ ἀνάξια τῶν προγόνων ποιήσει. τί οὖν ἐκεῖνοι περὶ τούτων ἐφρόνουν;
ταυτὶ λαβὼν ἀνάγνωθι γραμματεῦ. δεῖ γὰρ ὑμᾶς εἰδέναι, ὅτι ἐπὶ τοῖς τοιούτοις ἔρ-
γοις ῥαθυμεῖτε, ὧν θάνατον κατεγνώκασιν ὑμῶν οἱ πρόγονοι. λέγε ταῦτα. λ.

Γράμματα ἐκλογῆς. ἐκ στήλης.

496 Ἀκούετε ὦ ἄνδρες ἀθηναῖοι τῶν γραμμάτων λεγόντων, Ἄρθμιον τὸν Πυ- α.
θώνακτος τὸν Ζελείτην, ἐχθρὸν εἶναι καὶ πολέμιον τοῦ δήμου τῶν ἀθηναίων, καὶ
τῶν συμμάχων, αὐτὸν καὶ γένος ἅπαν. διὰ τί; ὅτι τὸν χρυσὸν, τὸν ἐκ τῶν βαρ- πᾶν. α. ε.
βάρων εἰς τοὺς Ἕλληνας ἤγαγεν. οὐκοῦν ἐστὶν, ὡς ἔοικεν, ἐκ τούτων ἰδεῖν, ὅτι οἱ
497 πρόγονοι μὲν ὑμῶν, ὅπως μηδὲ ἄλλος ἀνθρώπων μηδεὶς ἐπὶ χρήμασι, μη-
δὲν ἐργάσηται κακὸν τὴν Ἑλλάδα, ἐφρόντιζον. ὑμεῖς δὲ οὐδὲ τὴν πόλιν αὐτὴν γρ. ἐργάσαιτο.
ὅπως μηδεὶς τῶν πολιτῶν ἀδικήσῃ, προορᾶσθε. νὴ δί', ἀλλ' ὅπως ἔτυχε, ταῦτα τὰ
γράμματα ἕστηκεν; ἀλλ' ὅλης οὔσης ἱερᾶς τῆς ἀκροπόλεως ταυτησὶ καὶ πολλὴν ἡ μὰ δία.
498 εὐρυχωρίαν ἐχούσης, παρὰ τὴν χαλκῆν τὴν μεγάλην ἀθηνᾶν ἐν δεξιᾷ ἕστη- ἐκ δεξιᾶς.
κεν· ἣν, ἀριστεῖον ἡ πόλις τοῦ πρὸς τοὺς βαρβάρους πολέμου δόντων τῶν Ἑλλήνων, λ. ε.
τὰ χρήματα ταῦτα ἀνέθηκε. τότε μὲν τοίνυν οὕτω σεμνὸν ἦν τὸ δίκαιον, καὶ τὸ κο-
λάζειν τοὺς τὰ τοιαῦτα ποιοῦντας ἔντιμον, ὥστε τῆς αὐτῆς ἠξιοῦτο στάσεως τὸ, τε ἀρι-
499 στεῖον τῆς θεοῦ, καὶ αἱ κατὰ τῶν τὰ τοιαῦτα ἀδικούντων τιμωρίαι. νῦν δὲ, γέλως, ἄδεια,
αἰσχύνη, εἰ μὴ τὴν ἄγαν ταύτην ἐξουσίαν σχήσετε νῦν ὑμεῖς. νομίζω τοίνυν ὑμᾶς
ὦ ἄνδρες ἀθηναῖοι, οὐ καθ' ἕν τι μόνον τοὺς προγόνους μιμουμένους ὀρθῶς ἂν ποιεῖν,
ἀλλὰ καὶ κατὰ πάντα, ὅσα ἔπραττον ἐφεξῆς. ἐκεῖνοι τοίνυν, ὡς ἅπαντες εὖ οἶδ'
500 ὅτι τὸν λόγον τοῦτον ἀκηκόατε, Καλλίαν τὸν Ἱππονίκου ταύτην τὴν ὑπὸ πάντων
θρυλουμένην εἰρήνην πρεσβεύσαντα, ἵππου μὲν δρόμον ἡμέρας πεζῇ μὴ κα-
ταβαίνειν ἐπὶ τὴν θάλατταν βασιλέα, ἐντὸς δὲ Χελιδονέων καὶ Κυανέων πλοίῳ μα-
κρῷ μὴ πλεῖν, ὅτι δῶρα λαβεῖν ἔδοξε πρεσβεύσας, μικροῦ μὲν ἀπέκτειναν, ἐν δὲ
501 ταῖς εὐθύναις πεντήκοντα τάλαντα ἐπράξαντο. καίτοι καλλίω ταύτης εἰρήνην οὔτε
πρότε

προτέρων, οὔθ᾽ ὕστερον, οὐδεὶς ἂν εἰπεῖν ἔχοι πεποιη-
μένην τὴν πόλιν. ἀλλ᾽ οὐ τοῦτο ἐσκόπουν. τοῦτο μὲν
γὰρ ἡγοῦντο τὴν ἑαυτῶν ἀρετήν, τὸ δὲ τῆς πόλεως
δόξαι, αἰτίαν εἶναι. τοῦ δὲ προῖκα, ἢ μή, τὸν τρόπον τοῦ
πρεσβευτοῦ. τοῦτον οὖν δίκαιοι ἠξίουν παρέχεσθαι καὶ 502
ἀδωροδόκητον, τὸν προσιόντα τοῖς κοινοῖς. ἐκεῖνοι μὲν
οὖν οὕτως ἐχθρὸν ἡγοῦντο τὸ δωροδοκεῖν, καὶ ἀλυσιτε-
λὲς τῇ πόλει, ὥστε μήτ᾽ ἐπὶ πράξεως μηδεμιᾶς,
α. μήτε ἐπ᾽ ἀνδρὸς ἐᾶν γίγνεσθαι. ὑμεῖς δ᾽ ὦ ἄνδρες
Ἀθηναῖοι τὴν αὐτὴν εἰρήνην ἑωρακότες, τὰ μὲν τῶν 503
συμμάχων τῶν ὑμετέρων τείχη καθῃρηκυῖαν, τὰς δὲ τῶν
πρέσβεων οἰκίας οἰκοδομοῦσαν, καὶ τὰ μὲν τῆς πόλεως κτήματα ἀφῃρημένην,
ἀποκτενεῖτε. ἀ.ε. τούτοις δ᾽ ἃ μηδὲ ὄναρ ἤλπισαν πώποτε, κτησαμένην, οὐκ αὐτοὶ τούτους ἀπε-
κτείνατε, ἀλλὰ κατηγόρου προσδεῖσθε, καὶ λόγῳ κρίνετε, ὧν ἔργῳ τὰ ἀδικήματα 504
πάντες ὁρῶσιν. οὐ τοίνυν τὰ παλαιὰ ἄν τις ἔχοι μόνον εἰπεῖν, καὶ διὰ τούτων τῶν πα-
ραδειγμάτων ὑμᾶς ἐπὶ τιμωρίαν παρακαλέσαι, ἀλλ᾽ ἐφ᾽ ὑμῶν τουτωνὶ τῶν ἔτι
ζώντων ἀνθρώπων πολλοὶ δίκην δεδώκασιν· ὧν ἐγὼ τοὺς μὲν ἄλλους παραλείψω,
τῶν δ᾽ ἐκ πρεσβείας, ἣ πολὺ ταύτης ἐλάττω κακὰ τὴν πόλιν εἴργασται, θανάτῳ 505
δ. ζημιωθέντων, ἑνὸς ἢ δυοῖν ἐπιμνησθήσομαι. Καί μοι λέγε τουτὶ τὸ ψήφισμα
λαβών.

Ψήφισμα.

α. Κατὰ τουτὶ τὸ ψήφισμα ὦ ἄνδρες Ἀθηναῖοι τῶν πρέσβεων ἐκείνων ὑμεῖς
γρ. κατέγνωτε. δ.ε. θάνατον κατεγνώκατε, ὧν εἷς ἦν Ἐπικράτης, ἀνήρ, ὡς ἐγὼ τῶν πρεσβυτέρων ἀ- 506
Ἀθηνοκράτης. δ. κούω, σπουδαῖος, καὶ πολλὰ χρήσιμος τῇ πόλει, καὶ τῶν ἐκ Πειραιέως καταγαγόντων
τὸν δῆμον, καὶ ἄλλως δημοτικός. ἀλλ᾽ ὅμως οὐδὲν αὐτὸν ὠφέλησε τούτων. δικαίως. οὐ
ἡμίσεια, ἡμισεία. χρήσασθαι. δ. γὰρ ἐφ᾽ ἡμισείᾳ χρηστὸν εἶναι δεῖ, τὸν τὰ τηλικαῦτα διοικεῖν ἀξιοῦντα, οὐδὲ τὸ πι-
στευθῆναι προσλαβόντα παρ᾽ ὑμῶν, εἰς τὸ μείζω δύνασθαι κακουργεῖν, καταχρῆ- 507
σθαι· ἀλλ᾽ ἁπλῶς μηδὲν ὑμᾶς ἀδικεῖν ἑκόντα. Εἰ τοίνυν τι τούτων ἄπρακτόν
ἐστι τούτοις, ἐφ᾽ οἷς ἐκείνων θάνατος κατέγνωσται, ἐμὲ ἀποκτείνατε ἤδη. σκοπεῖτε
γάρ. ἐπειδὴ παρὰ τὰ γράμματα, φησιν, ἐπρέσβευσαν ἐκεῖνοι, καὶ τὸ ψήφισμα, καὶ
τοῦτ᾽ ἐστι τῶν ἐγκλημάτων τὸ πρῶτον. οὗτοι δ᾽ οὐ παρὰ τὰ γράμματα; οὐ τὸ μὲν 508
ψήφισμα Ἀθηναίοις, καὶ τοῖς Ἀθηναίων συμμάχοις εἶναι κελεύει τὴν εἰρήνην, οὗτοι
δὲ Φωκέας ἐκσπόνδους ἀπέφηναν; οὐ τὸ μὲν ψήφισμα τοὺς ἄρχοντας ὁρκοῦν, τοὺς
ἐν ταῖς πόλεσιν, οὗτοι δὲ οὓς ὁ Φίλιππος αὐτοῖς προσέπεμψε, τούτους ὥρκισαν;
οὐ τὸ μὲν ψήφισμα οὐδαμοῦ μόνους ἐντυγχάνειν Φιλίππῳ, οὗτοι δ᾽ οὐδὲν ἐπαύ- 509
σαντο ἰδίᾳ χρηματίζοντες; καὶ ἠλέγχθησαν τινὲς αὐτῶν ἐν τῇ βουλῇ οὐ τἀληθῆ
ἀπαγγέλλοντες. οὗτοι δέ γε καὶ ἐν τῷ δήμῳ. τὸ ὑπὸ τοῦ; τοῦτο γάρ ἐστι τὸ λαμ-
πρόν, ὑπ᾽ αὐτῶν τῶν πραγμάτων. οἷς γὰρ ἀπήγγειλαν οὗτοι, πάντα δήπου γέ-
γονε τἀναντία. οὐδ᾽ ἐπιστέλλοντές, φησι, τἀληθῆ. οὐκοῦν οὐδ᾽ οὗτοι. καὶ κατα- 510
λαβόντες. ε. ψευδόμενοι τῶν συμμάχων, καὶ δῶρα λαμβάνοντες. ἀντὶ μὲν τοίνυν τοῦ κατα-
καταψεύδεσθαι. δ. ψεύδεσθαι, παντελῶς ἀπολωλεκότες. πολλῷ δὲ δήπου τοῦτο τοῦ καταψεύσα-
σθαι δεινότερον. ἀλλὰ μήν, ὑπέρ γε τοῦ δῶρα εἰληφέναι, εἰ μὲν ἠρνοῦντο, ἐξε-
προσήκει. α.ε. λέγχειν τὸ λοιπὸν ἂν ἦν. ἐπειδὴ δὲ ὁμολογοῦσιν, ἀπάγειν δήπου προσῆκε. τί οὖν 511

ὧν εἷς ἦν Ἐπικράτης) Πολλῶν 506
ὄντων τῶν κεκολασμένων, τοῦ Ἐπικρά-
τους ἐμνημόνευσεν, ἵνα φανῶσιν μη-
δὲ τῶν ἀρίστων φειδόμενοι. Καὶ 509
ἠλέγχθησαν τινὲς) Τοῦτο πάλιν ἐκ τοῦ
προτέρου ψηφίσματος εἴληπται. ἀλλ᾽
οἱ μὲν ἐπὶ τῆς βουλῆς μόνης ἐψεύσαν-
το· οὗτοι δὲ καὶ ἐπὶ τοῦ δήμου. Οὐδ᾽ 510
ἐπιστέλλοντες, φησί, τἀληθῆ) Ἀπὸ κοι-
νοῦ τὸ ἠλέγχθησαν. Ἀλλὰ μήν, ὑπέρ
γε τοῦ δῶρα) Τῷ ἀπὸ τοῦ ἐναντίου κέ-
χρηται ἐπιχειρήματι, φάσκων ἄτοπον
εἶναι τοὺς μὲν στρατηγοὺς καὶ τῶν στρατηγῶν
παῖδας ἐκπεπτωκέναι δι᾽ ἁμαρτή-
ματα μικρὰ καὶ φαῦλα. τῶν ἀξιομήτου



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δὲ μὴ ἐκπεσεῖν. ἐν ᾧ καὶ τὸν ἔλεον
ἐκβάλλει, ὑπομνήσας καὶ τῶν λό-
γων, οἷς τοῦ Τιμάρχου τὸν ἔλεον ἐξέ-
512 βαλε. Καὶ τὸν ἀφ' ἁρμοδίου καὶ
ἀριστογείτονος) Τὸν πρόξενον λέγει
514 τῶν στρατηγῶν. ἐκεῖθεν γὰρ ἦν. Παι-
δία ὁμώνυμα) Εἰκὸς γὰρ ἦν τὸν πρό-
ξενον τῷ ἁρμοδίου ὀνόματι χρήσασθαι
ἐπί τινος υἱοῦ. Ἐφ' οἷς ἑτέρα
τέθνηκεν ἱέρεια) Ἐφ' οἷς φαρμά-
κοις, καὶ ἄλλη ἱέρεια τέθνηκε. λέγει
δὲ τὴν νίνον λεγομένην. κατηγόρη-
σε δὲ ταύτης μενεκλῆς, ὡς φίλτρα
ποιούσης τοῖς νέοις· ὃ δὲ λέγει, τοι-
οῦτόν ἐστιν. ἐξ ἀρχῆς γέλωτα εἶναι, καὶ
ὕβριν κατὰ τῶν ὄντως μυστηρίων, ὅτι
τὰ πλούμενα ταῦτα, τὴν ἱέρειαν
ἀπέκτειναν μετὰ τοῦτο τοῦ θεοῦ χρή-
σαντος, ἐᾶσαι γίνεσθαι τὴν αἰσχίνου
518 μητέρα, μυεῖν ἐπέτρεψεν. Ὅτι
τοῦτον εἶδεν ἀδικοῦντα) Ἐπειδὴ διὰ
σωφροσύνην ἐνομίζετο τοῦ Τιμάρχου
κατηγορῆσαι, ὑποβάλλει ἄλλην αἰ-
τίαν, καὶ ἀναιρεῖ τὴν καλήν. Εἰ
γὰρ παρὰ τῶν εἰς αὐτοὺς ἐξαμαρ-
τανόντων) Πορνευόντων ἑαυτούς.
Ἅπτεται δὲ τῆς ὑπολήψεως καθαι-
519 ρῶν αὐτήν. Νὴ Δί'. οἱ νέοι γάρ)
Ἀνθυποφορὰν ἔθηκεν ἐπιλογικὴν ἐκ
τῆς αἰσχίνου πιότητος ἀπὸ τῆς ἐρ-
γασίας ἀνακύψασαν. Ἀλλὰ χρήσι-
μός ἐστι τῇ πόλει σωφρονίζων διὰ τοῦ
βίου τοὺς παῖδας. Ἔτι δ' ὅτι ἐξε-
πίτηδες αὐτὸς ἑαυτῷ κινεῖ τὰς τοι-
αύτας ἐναντιώσεις, ἵνα πλείονας
ἐπιχειρημάτων εὐπορίας εὑρίσκῃ,
ἐπαινεῖ μὲν οὖν τὴν ἀγωγὴν τῶν
παίδων, διὰ τῆς λύσεως. δια-
βάλλει δὲ τὸν αἰσχίνην, ὅτι ἀδο-
ξίαν ἰσχυρὰν περιῆψε τῇ πόλει. καὶ

ὦ ἄνδρες ἀθηναῖοι; τούτων οὕτως ἐχόντων, ὑμεῖς ἐ-
κείνων τῶν ἀνδρῶν ὄντες, οἱ δὲ, καὶ τινὲς αὐτῶν ἔτι ζῶν-
τες, ὑπομενεῖτε τὸν μὲν εὐεργέτην τοῦ δήμου, καὶ
τὸν ἐκ πειραιῶς ἐπικράτην, ἐκπεσεῖν καὶ κολα- γρ. εὐθυκρά-την. αλ.
512 σθῆναι, καὶ πάλιν πρώην θρασύβουλον ἐκεῖνον, τὸν αλ.
θρασυβούλου τοῦ δημοτικοῦ υἱόν, καὶ τοῦ ἀπὸ φυλῆς
καταγαγόντος τὸν δῆμον, τάλαντα δέκα ὠφληκέναι,
καὶ τὸν ἀφ' ἁρμοδίου, καὶ ἀριστογείτονος, καὶ τῶν αλ.
τὰ μέγιστα ἀγαθὰ ἐργασαμένων ὑμᾶς, οὓς νόμῳ γρ. εἰργασμένων.
513 διὰ τὰς εὐεργεσίας, ἃς ὑπῆρξαν εἰς ὑμᾶς, ἐν ἅ-
πασι τοῖς ἱεροῖς, ἐπὶ ταῖς θυσίαις, σπονδῶν, καὶ κρα-
τήρων, κοινωνοὺς πεποίησθε, καὶ ᾄδετε καὶ τιμᾶτε ἐ-
ξ ἴσου τοῖς ἥρωσι, καὶ τοῖς θεοῖς, τούτους μὲν πάντας ἅπαντας. α.
τὴν ἐκ τῶν νόμων δίκην ὑπεσχηκέναι, καὶ μήτε συγ-
514 γνώμην, μήτε ἔλεον, μήτε παιδία κλάοντα ὁ- κλαίοντα. αλ.
μώνυμα τῶν εὐεργετῶν, μήτ' ἄλλο μηδὲν αὐτοὺς
ὠφεληκέναι, τὸν δὲ ἀτρομήτου τοῦ γραμματιστοῦ, καὶ
γλαυκοθέας τῆς τοὺς θιάσους συναγούσης, ἐφ' οἷς
ἑτέρα τέθνηκεν ἱέρεια, τοῦτον ὑμεῖς λαβόντες τὸν τῶν
515 τοιούτων, τὸν οὐδὲ καθ' ἓν χρήσιμον τῇ πόλει, οὐκ
αὐτόν, οὐ πατέρα, οὐκ ἄλλον οὐδένα τῶν τούτου, ἀ-
φήσετε; ποῖος γὰρ ἵππος, ποία τριήρης, ποία στρα-
τεία, ποία χορηγία, τίς χορηγός, τίς λειτουργία, τίς χορὸς. αι
εἰσφορά, τίς εὔνοια, ποῖος κίνδυνος, τί τούτων τίς.
516 ἁπάντων, ἐν παντὶ τῷ χρόνῳ γέγονε παρὰ τού- τῶν. α. τούτου. αλ.
των τῇ πόλει; καίτοι, κἂν εἰ ταῦτα πάντα ὑπῆρ-
χεν, ἐκεῖνο δὲ μὴ προσῆν, τὸ, δικαίως, καὶ προῖκα
πεπρεσβευκέναι, ἀπολωλέναι δήπου προσῆκεν αὐ- γρ. αὐτοί. α.
τῷ. εἰ δὲ μήτε ταῦτα, μήτε ἐκεῖνα, οὐ τιμωρήσε-
517 σθε; οὐκ ἀναμνησθήσεσθε, ὧν οὗτος κατηγορῶν ἔλεγε τιμάρχου; ὡς οὐδέν ἐστιν
ὄφελος πόλεως, ἥτις μὴ νεῦρα ἐπὶ τοὺς ἀδικοῦντας ἔχει· οὐδὲ πολιτείας ἐν ᾗ
συγγνώμη καὶ παραγγελία τῶν νόμων μεῖζον ἰσχύουσιν. οὐδὲ χρῆν ὑμᾶς οὔτε τὴν πλέον ἰσχύει
μητέρα δεῖν, τὴν τιμάρχου, γραῦν γυναῖκα, οὔτε τὰ παιδία, οὔτε ἄλλον οὐ- αλ. δεῖ τὸ. α.
518 δένα· ἀλλ' ἐκεῖνο ὁρᾶν, ὅτι εἰ προήσεσθε τὰ τῶν νόμων, καὶ τὰ τῆς πολιτείας, οὐχ π. ζ.
εὑρήσετε τοὺς ὑμᾶς αὐτοὺς ἐλεήσοντας. ἀλλ' ὁ μὲν ταλαίπωρος ἄνθρωπος ἠτί-
μωται, ὅτι τοῦτον εἶδεν ἀδικοῦντα, τοῦτον δ' ἀθῷον διήσετε εἶναι; διὰ τί. εἰ γὰρ
παρὰ τῶν εἰς ἑαυτοὺς ἐξαμαρτανόντων τηλικαύτην ἠξίωσε δίκην αἰσχίνης λα- αὐτοὺς. α.
519 βεῖν· παρὰ τῶν εἰς τὰ τῆς πόλεως τηλικαῦτα ἡμαρτηκότων, ὧν εἷς οὗτος ὢν ἐξε-
λέγχεται, πηλίκην ὑμᾶς προσήκει λαβεῖν, τοὺς ὀμωμοκότας καὶ δικάζοντας;
νὴ Δί'. οἱ νέοι γὰρ ὑμῶν δι' ἐκεῖνον τὸν ἀγῶνα ἔσονται βελτίους οὐκοῦν καὶ διὰ ὑμῶν.
τόνδε οἱ πολιτευόμενοι, δι' ὧν τὰ μέγιστα κινδυνεύεται τῇ πόλει. προσήκει τούτων γρ. α.
520 δὲ καὶ τούτων φροντίζειν. ἵνα τοίνυν εἰδῆτε, ὅτι καὶ τοῦτον ἀπώλεσε τὸν τι- β. ε.
μαρχον,

μαρχον, οὐ μὰ Δία οὐχὶ τῶν ὑμετέρων παίδων, ὅπως
ἔσονται σώφρονες, προορῶν. εἰσὶ γὰρ ὦ ἄνδρες Ἀθη-
ναῖοι καὶ νῦν σώφρονες. μὴ γὰρ οὕτω γένοιτο κακῶς τῇ
πόλει, ὥστε Ἀφοβήτου καὶ Αἰσχίνου σωφρονιστῶν δεηθῆ-
ναι τοὺς νεωτέρους. ἀλλ' ὅτι βουλεύων ἔγραψεν, ἄν τις 521
ὡς Φίλιππον ὅπλα ἄγων ἁλῷ, ἢ σκεύη τριηρικά, θά-
νατον εἶναι τὴν ζημίαν. σημεῖον δέ. πόσον γὰρ ἐδημηγό-
ρει χρόνον Τίμαρχος; πολύν. οὐκοῦν τοῦτον ἦν Αἰσχίνης
ἅπαντα ἐν τῇ πόλει, καὶ οὐδεπώποτε ἠγανάκτησεν,
οὐδὲ δεινὸν ἡγήσατο εἶναι τὸ πρᾶγμα, εἰ ὁ τοιοῦτος λέ- 522
γει, ἕως εἰς Μακεδονίαν ἐλθών, ἑαυτὸν ἐμίσθωσε Φι-
λίππῳ. Λέγε δή μοι τὸ ψήφισμα λαβὼν αὐτὸ τὸ
τοῦ Τιμάρχου.

## Ψήφισμα.

Ὁ μὲν τοίνυν ὑπὲρ ὑμῶν γράψας, μὴ ἄγειν ἐν 523
ζημιοῦσθαι. ἄλ. τῷ πολέμῳ πρὸς Φίλιππον ὅπλα, εἰ δὲ μή, θανά-
τῳ ζημιοῦσθαι, ἀπόλωλε, καὶ ὕβρισται. ὁ δὲ καὶ τὰ τῶν
ὑμετέρων συμμάχων ὅπλα ἐκείνῳ παραδοὺς οὑτοσί,
κατηγόρει, καὶ περὶ πορνείας ἔλεγεν, ὦ γῆ καὶ θεοί. δυοῖν
μὲν κηδεσταῖν παρεστηκότοιν, οὓς ἰδόντες ἂν ὑμεῖς, ἀνα- 524
κράγοιτε, Νικίου τε τοῦ βδελυροῦ, ὃς ἑαυτὸν ἐμίσθωσεν
κυρηβίωνος. ἄλ. εἰς Αἴγυπτον Χαβρίᾳ, καὶ τοῦ καταράτου κηρυβίωνος,
ὃς ἐν ταῖς πομπαῖς ἄνευ τοῦ προσωπείου κωμάζει.
καὶ τί ταῦτα; ἀλλὰ τὸν ἀδελφὸν ὁρῶν Ἀφόβητον. ἀλλὰ
ἄλ. δῆτα ἄνω ποταμῶν ἐκείνῃ τῇ ἡμέρᾳ πάντες ὅσοι οἱ 525
περὶ πορνείας ἐρρύησαν λόγοι. καὶ μὴν εἰς ὅσην αἰ-
τούτων. α. σχύνην καὶ ἀτιμίαν τὴν πόλιν ὑμῶν ἡ τούτου πονη-
ρία, καὶ ψευδολογία καταστήσασα ἔχει, πάντα τὰ ἄλ-
ἄ. ἄλ. λα ἀφεὶς πάντες ὑμεῖς ἴστε, ἐρῶ. πρότερον μὲν
ἡμῖν. ἄλ. γὰρ ὦ ἄνδρες Ἀθηναῖοι, τί παρ' ὑμῖν ἐψήφισται, τοῦτ' 526
ἄλ. ἤδη. ἐπετήρουν οἱ ἄλλοι πάντες Ἕλληνες. νῦν δὲ δὴ πε-
ριερχόμεθα ἡμεῖς, τί δέδοκται τοῖς ἄλλοις, σκοποῦντες,
γὰρ. α. καὶ ὠτακουστοῦντες τί τὰ τῶν Ἀρκάδων, τί τὰ τῶν Ἀμ-
εἰ ταῦτα; ἄλ. φικτυόνων. ποῖ πορεύσεται Φίλιππος, ζῇ, ἢ τέθνηκεν. οὐ
τοιαῦτα ποιοῦμεν; ἐγὼ δέ οὐ δέδοικα, εἰ Φίλιππος ζῇ, 527
ἀλλ' εἰ τῆς πόλεως τέθνηκε τὸ τοὺς ἀδικοῦντας μισεῖν,
καὶ τιμωρεῖσθαι. οὐδὲ φοβεῖ με Φίλιππος, ἂν τὰ παρ'
ὑμῖν α. ὑμῶν ὑγιαίνῃ, ἀλλ' εἰ παρ' ὑμῖν ἄδεια γενήσεται τοῖς
παρ' ἐκείνου, μισθαρνεῖν βουλομένοις, καὶ συνεροῦσί τι-
παρ' ὑμῖν. α. β. ι. ἄλ. νες τούτοις τῶν ὑφ' ὑμῶν πεπιστευμένων, καὶ πάντα τὸν 528
ἔμπροσθεν χρόνον ἀρνούμενοι μὴ πράττειν ὑπὲρ
Φιλίππου, νῦν ἀναβήσονται. ταῦτα φοβεῖ με. τί γὰρ δή-

τίνος ἕνεκα κατηγόρησε Τιμάρχου,
συνίστησιν, οὐχ ὅτι εὔνοις, φησίν, ἦν
ὑμῖν, καὶ Φιλίππῳ πολέμιος. τὴν δὲ
βούλησιν Αἰσχίνου, δι' ἣν κατηγόρησε
Τιμάρχου, διὰ παρρησίας σχήματι μᾶλ-
λον ἔπλεξεν, εἰπὼν οὐκ οἶδα ὅπως ἔχο- ἐπέπληξε.
μεν. ὁ γὰρ ἀκροατὴς παρ' ἑαυτῷ βασα-
νίζων τὸν λόγον, μείζονα κατ' αὐτοῦ
λαμβάνει τὴν ὑπόνοιαν ὧν ὁ ῥήτωρ
ἐπέπληξεν, ἢ φανερῶς ὠνείδισε. Πό- 521
σον γὰρ ἐδημηγόρει χρόνον Τίμαρχος)
Ὅτι καὶ νέος ἦν, καὶ χρόνον εἶχεν ἡ γρα-
φὴ πλέον. ἦν δὲ ἐν τῇ πόλει εἰπεῖν, ἵνα
μὴ λέγῃ ὅτι ἀπόντος ἐλάνθανεν.

Ἀπόλωλε καὶ ὕβρισται) Τὸ δεύτε- 523
ρον προστεθὲν τὸ μάτην καὶ ἀδίκως
ἀπολωλέναι δηλοῖ. κηδεστὰς δὲ ἐν-
ταῦθα καλεῖ, τοὺς ἀδελφοὺς τῆς γυ-
ναικὸς αὐτοῦ. Ὃς ἑαυτὸν ἐμίσθωσε 524
Χαβρίᾳ) Αἰγύπτιόν τινά φασιν οὕτω
καλεῖσθαι. ἐμίσθωσε δὲ ἐπ' αἰσχρότητι.
Καὶ τοῦ καταράτου κηρυβίωνος)
Τὸ μὲν ὄνομα, Ἐπικράτης. τὸ δὲ κηρυ-
βίωνος, ἀττικῶς. λέγει δέ, τὸ κάθαρ-
μα καὶ εὐτελές. κηρύβια γὰρ τὰ ἀπο-
καθάρματα τοῦ σίτου λέγουσι. τὸ ἀ-
ναίσχυντον δὲ αὐτοῦ βουλόμενος δεῖ-
ξαι, εἶπεν ἄνευ τοῦ προσώπου. οἱ γὰρ
ἐν ταῖς ἑορταῖς τότε βουλόμενοι σκώ-
πτειν τινάς, ἐφόρουν προσωπεῖα, ἵνα
μὴ αἰσχύνωνται. ἰστέον δὲ ὅτι οἱ νεώτε-
ροι λέγουσιν αὐτὸ προσωπεῖον. ἐν δὲ
τοῖς ἀρχαιοτέροις βιβλίοις εὑρίσκεται
τὸ πρόσωπον. λέξις δὲ ἐκ παρωνομα-
σίας τείτου εἴδους τῆς κατὰ λέξιν δρι-
μύτητος. Ἀλλὰ δῆτα ἄνω ποτα- 525
μῶν) Ἐναλλὰξ καὶ ἀτάκτως ἡ παροι-
μία ἔχει. ὅτι, Αἰσχίνης κατηγορεῖ πορ-
νείας, ὅλην τὴν ἑστίαν πορνῶν ἔχων
μεστήν. ἡ παροιμία δὲ λέγεται ἐπὶ τῶν
ἐναντίως φρονούντων. τὸ δὲ ἐρρύησαν
περὶ ποταμοῦ λέγων, ἐνέμεινε τῇ
τροπῇ. Τοῦτ' ἐπετήρουν) Ὥσπερ τι 526
θεῖον ἐπετήρουν διὰ τὸ μὴ ἀπολέσαι
τὸ κέρδος. Νῦν δὲ δὴ περιερχόμεθα
ἡμεῖς) Ὡς τῆς ἐσχάτης συμφορᾶς,
ἀποδημεῖ τις Ἀθηναῖος ὤν, ἵνα
συμβουλῆς ἀκούσῃ τινός, ὁ τοῖς ἄλ-
λοις ἀεὶ γινόμενος σύμβουλος. Ἀλλ' 527
εἰ τῆς πόλεως τέθνηκε) Τὸ μὲν ἀπο-
λόμενον, ἔστι καὶ εὑρεθῆναι. τὸ δὲ τεθνη-
κός, οὐκέτι ἔσται. Καὶ συνεροῦσί
τινες τούτοις) Μετέβη ἐπ' ἄλλον συνή-
γορον οὐ φαῦλόν τινα καὶ ἀδόκιμον,
οὐδὲ τῶν κατὰ τὴν πόλιν ἀριθμουμέ-
νων ἐν πολλοῖς· ἀλλ' ἀποφερόμενον τὰ
πρῶτα, καὶ δοκοῦντα ὑπὲρ τοὺς πολλοὺς
εἶναι, Εὔβουλον, τὸν διὰ χειρὸς ἔχοντα
τὴν πολιτείαν. τοῦτον γὰρ δέδοικε, καὶ τὴν
παρ' αὐτοῦ ῥοπήν, καὶ προσθήκην. λέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ποτε ηὔχου, Ἡγησίλεω μὲν κρινομένου, ὃς ἀνεψιός ἐστί ἡγησίλεω καὶ κρινομένου.
σοι, καὶ Θρασυβούλῳ πρώην τῷ Νικηράτου θείῳ, ἐπὶ μὲν τῆς
529 πρώτης ψήφου, οὐδ' ὑπακοῦσαι καλούμενος ἠθέλησας, ἤθελες.
εἴς τε τὸ τίμημα ἀναβάς, ὑπὲρ μὲν ἐκείνων οὐδ' ὁτιοῦν βῆμα. β.
ἔλεγες, ἐδέου δὲ τῶν δικαστῶν συγγνώμην ἔχειν σοι. εἶτα ὑπὲρ
μὲν συγγενῶν καὶ ἀναγκαίων ἀνθρώπων οὐκ ἀναβαίνεις, ὑπὲρ
Αἰσχίνου δ' ἀναβήσῃ; ὅς, ἡνίκα ἔκρινεν Ἀριστοφῶν Φιλόνι-
530 κον, καὶ δι' ἐκείνου τῶν σοι πεπραγμένων κατηγόρει, συγκα-
τηγόρει μετ' ἐκείνου σου, καὶ τῶν ἐχθρῶν τῶν σῶν εἷς ἐξητάζετο.
ἐπειδὴ δὲ σὺ μὲν τουτουσὶ δεξάμενος, καὶ φήσας κατα-
βαίνειν εἰς Πειραιᾶ δεῖν ἤδη, καὶ χρήματα εἰσφέρειν, καὶ τὰ
θεωρικὰ στρατιωτικὰ ποιεῖν, ἢ χειροτονεῖν, ἃ συνεῖπε μὲν
531 οὗτος, ἔγραψε δ' ὁ βδελυρὸς Φιλοκράτης, ἐξ ὧν ἀντὶ
καλῆς αἰσχρὰν συνέβη γενέσθαι τὴν εἰρήνην, οὗτοι δ' ἐ- γεγονέναι. ἄλλ.
πειδὴ τοῖς μετὰ ταῦτα ἀδικήμασι πάντα ἀπολωλέ- ἐ. α.
κασι, τηνικαῦτα διήλλαξαι, καὶ ἐν μὲν τῷ δήμῳ κατηρῶ
Φιλίππου καὶ κατὰ τῶν παίδων ὤμνυες, ἦ μὴν ἀπο- φιλίππῳ. β. ε.
532 λωλέναι Φίλιππον ἂν βούλεσθαι. νῦν δὲ βοηθήσεις τού-
τῳ; πῶς οὖν ἀπολεῖται, ὅταν τοὺς παρ' ἐκείνου δωροδο- ἐκείνῳ. ἄλλ.
κοῦντας σὺ σώζῃς; τί γὰρ δήποτε, Μοιροκλέα μὲν ἔκρι- ἄλλ. ἔκρινες α. ν.
νας, εἰ παρὰ τῶν τὰ μέταλλα ἐωνημένων εἴκοσιν ἐξέ- περί. β.
λεξε δραχμὰς παρ' ἑκάστου, καὶ Κηφισοφῶντα γρα-
533 φὴν ἱερῶν χρημάτων ἐδίωκες, εἰ τρισὶν ὕστερον ἡμέ-
ραις ἐπὶ τὴν τράπεζαν ἔθηκεν ἑπτὰ μνᾶς, τοὺς δ' ἔχον-
τας, ὁμολογοῦντας, ἐξελεγχομένους ἐπαυτοφώρῳ,
ἐπὶ τῷ τῶν συμμάχων ὀλέθρῳ ταῦτα πεποιηκότας,
τούτους οὐ κρίνεις, ἀλλὰ καὶ σώζειν κελεύεις; καὶ μήν, ὅτι
534 ταῦτα μέν ἐστι φοβερά, καὶ προνοίας καὶ φυλακῆς
πολλῆς δεόμενα· ἐφ' οἷς δὲ ἐκείνους σὺ ἔκρινες, γέλως, ἔκρινας. α.
ἐκεῖθεν ὄψεσθε. ἦσάν ἐν Ἤλιδι κλέπτοντες τὰ κοινά τι-
νές; καὶ μάλα εἰκός γε. ἔστιν οὖν ὅστις μετέσχεν αὐτόθι μετέσχηκεν. δ.
νῦν τούτων τοῦ καταλῦσαι τὸν δῆμον; οὐδὲ εἷς. τί δέ; οὐδείς.
535 ἦσάν ὅτε ἦν Ὄλυνθος, τοιοῦτοί τινες ἄλλοι; ἐγὼ μὲν οἶ-
μαι. ἆρ' οὖν διὰ τούτους ἀπώλετο Ὄλυνθος; οὔ. τί οὖν,
Μεγαρεῦσιν οὐκ οἴεσθ' εἶναί τινα κλέπτην, καὶ παρεκλέγοντα τὰ κοινά; ἀνάγκη, καὶ πέ-
φηνε. τίς οὖν αἴτιος αὐτόθι νῦν τούτων, τῶν συμβεβηκότων πραγμάτων; οὐδὲ εἷς. ἀλλὰ
536 ποῖοι, καὶ τίνες εἰσὶν οἱ τὰ τοιαῦτα τηλικαῦτα, καὶ τοιαῦτα ἀδικοῦντες; οἱ νομίζοντες ἑ-
αυτοὺς ἀξιόχρεως εἶναι τοῦ Φιλίππου ξένοι καὶ φίλοι προσαγορεύεσθαι. οἱ στρατηγιᾶν
τε, καὶ προστασίας ἀξιούμενοι, οἱ μείζους τῶν πολλῶν οἰόμενοι δεῖν εἶναι. οὐ Περίλαος
ἐκρίνετο ἔναγχος ἐν τοῖς Μεγαρεῦσιν, ἐν τοῖς τριακοσίοις, ὅτι πρὸς Φίλιππον ἀφί- ἄλλ.
κετο, καὶ παρελθὼν Πτοιόδωρος, αὐτὸν ἐξῃτήσατο, καὶ πλούτῳ, καὶ γένει, καὶ δόξῃ
537 πρῶτος Μεγαρέων, καὶ πάλιν ὡς Φίλιππον ἐξέπεμψε, καὶ μετὰ ταῦτα ὁ μὲν ἧκεν καπποκδίαζε. 3.
ἄγων

---

γινωσιν γάρ τινες δι' αὐτῆς τὸν Αἰσχίνην ἐλθεῖν εἰς ὑποψίαν οὖν καθίστησιν Εὔβουλον, φιλιππισμοῦ κοινωνίας τῆς πρὸς τὸν Αἰσχίνην. καὶ ὅσῳ γε μάλιστα κατὰ τὴν πόλιν ἰσχύειν δοκεῖ, τοσούτῳ μᾶλλον ἐκφοβεῖ τὸν δῆμον περιουσίᾳ τῆς δυναστείας, εἰς περιουσίαν κακοηθείας δεικνὺς αὐτὸν ἐπιχρώμενον. ἐπειδὴ δὲ τῶν ἐπισημοτάτων καὶ δυναστευόντων ἦν κατὰ τὴν πόλιν ὁ Εὔβουλος, πλείστης ἐδεήθη τῆς ἀντιρρήσεως, καὶ τῶν πρὸς αὐτὸν ἀγώνων. ἀντιτίθησιν οὖν καὶ χρησμοὺς θεῶν καὶ μαντείας, δεικνὺς ἐκ λογισμῶν διὰ πάντων, μηδὲν τοῖς τοιούτοις καθ' ἑαυτῶν ἐνδιδόναι, ἔτι δὲ καὶ ἀπὸ τῶν πολιτευμάτων αὐτῶν, ἐπιχειρήσει διαβάλλειν

528 τὸν Εὔβουλον. Ἡγησίλεω μὲν κρινομένου) Οὗτος εἰς εὔνοιαν ἐπιστρατήγησεν, ὅτε τῷ Πλουτάρχῳ τὴν βοήθειαν ἔπεμψαν Ἀθηναῖοι, ὡς εἶπεν ἐν Φιλιππικοῖς. ἐκρίθη γὰρ ὡς συνεξαπατήσας τοῦ Πλουτάρχου τὸν δῆμον. (γρ. τῷ Πλουτάρχῳ.) βούλεται οὖν δεῖξαι ὅτι οὐ φιλανθρωπίας ἕνεκα συναγωνίζεται τῷ Αἰσχίνῃ, ἀλλὰ διὰ τὸ φιλιππίζειν, ὅπου γε τοῦ οἰκείου τοῦ Ἡγησίλεω οὐκ ἐφρόντισε.

Τῷ Νικηράτου θείῳ) Ἄλλο παράδειγμα, δηλοῖον ὡς οὐ δι' ἔλεον συμβάλλεται ὁ καὶ τοῦ θείου καταφρονήσας τότε. Καλούμενος) Ἵνα μὴ εἴπῃ, οὐ γὰρ ἐδέετό μου, ὅτι καὶ ἐβόα καλῶν ἀλλ' ἀ-

530 νόητος ἦν ἡ βοή. Συγκατηγόρει μετ' ἐκείνου σου) Οὗτος οὖν ὁ καὶ τοῖς συγγενέσι μὴ βοηθήσας, τὸν δὲ κατήγορον συμπράττων, δόξειεν ἂν μὴ διὰ τὸν Φίλιππον πεπεῖσθαι τὴν βοή-

532 θειαν. Τί γὰρ δήποτε Μοιροκλέα.) Ἐν τοῖς ἄνω παραδείγμασιν, ὅτι οὐ φιλάνθρωπος ἔδειξε. πῶς γὰρ ὁ τοῖς ἐπιτηδείοις μὴ βοηθῶν, νῦν δὲ ὅτι καὶ τοὺς ὀλίγα ἡμαρτηκότας φαίνεται κρίνων, ἵνα μή τις λέγῃ, ἀήθης γάρ ἐστι τοῦ κατηγορεῖν. καὶ διὰ τοῦτο φείδεται τοῦ Αἰ-

536 σχίνου. Ξένοι καὶ φίλοι προσαγορεύεσθαι) Τοῦτο εἴρηκεν, ἐπειδὴ παρ' ἄχρι ὀνόματος τὴν φιλίαν οἶδεν οὖσαν τὴν παρὰ τῶν ἐχθρῶν. Καὶ πλούτῳ, καὶ γένει, καὶ δόξῃ) ἵνα

ἔχειν τοὺς ξένους, ὅσ᾽ ἔνδον ἐτύρβευε τοιαῦτα. οὐ γὰρ
ἐστιν, οὐκ ἔστιν ὅ, τι τῶν πάντων μᾶλλον φυλακτέον ὑμῖν
ἢ τὸ, μείζω τινὰ τῶν πολλῶν ἐᾶν γίγνεσθαι. μή μοι 538
σῳζέσθω, μηδ᾽ ἀπολλύσθω μηδεὶς, ὃν ἂν ὁ δεῖνα ἢ ὁ
δεῖνα βούληται, ἀλλ᾽ ὃν ἂν τὰ πεπραγμένα σώζῃ καὶ τοὐ-
ναντίον τοῦτο τῆς προσηκούσης ψήφου παρ᾽ ὑμῶν ὑπὲρ
αὐτοῦ τυγχανέτω. τοῦτο γάρ ἐστι δημοτικόν. ἔτι τοίνυν, πολ-
λοὶ παρ᾽ ὑμῖν ἐπὶ καιρῶν γεγόνασιν ἰσχυροὶ, Καλλίστρα- 539
τος ἐκεῖνος, αὖθις Ἀριστοφῶν, Διόφαντος, τούτων ἕτεροι
πρότεροι. ἀλλὰ ποῦ τούτων ἕκαστος ἐπρώτευεν; ἐν τῷ
δήμῳ· ἐν δὲ τοῖς δικαστηρίοις, οὐδείς πω μέχρι τῆς τή-
μερον ἡμέρας ὑμῶν, οὐδὲ τῶν νόμων, οὐδὲ τῶν ὅρκων
κρείττων γέγονε. μὴ τοίνυν μηδὲ νῦν τοῦτον ἐάσητε. 540
α. ὅτι γὰρ ταῦτα φυλάττοισθε ἂν εἰκότως μᾶλλον ὑμεῖς,
ἢ τούτοις πιστεύοιτε, τὰς τῶν θεῶν ὑμῖν μαντείας ἀναγνώ-
σομαι, οἵπερ ἀεὶ σώζουσι τὴν πόλιν πολλῷ τῶν προε-
στηκότων μᾶλλον. Λέγε τὰς μαντείας. 541

μὴ δόξῃ ὁ Εὔβουλος, ὡς εὐεργέτης καὶ
πλούσιος, μὴ λέγεσθαι εἶναι προδότης,
εἰκάζει αὐτῷ τὸν π.οιόδωρον. ὅρα τὸν
π.οιόδωρόν φησι, καὶ φυλάττου τὸν Εὔ-
βουλον. Ἐτύρβευε) κατεσκεύαζε, 537
ἐμηχανᾶτο, μεταφορὰ ἀπὸ τοῦ γά-
λακτος συναγομένου. Ἐπὶ καιρῶν 539
γεγόνασι) Πάνυ θαυμασίως ἐπεχεί-
ρησεν, οὐ πάντῃ τοὺς ἰσχυροὺς ἀτιμά-
ζων, καὶ ἐκβάλλων· ὠφελεῖ γὰρ καὶ τοῦτο
τὰς πόλεις, ἀλλὰ ἀπὸ τοῦ τόπου τοῦ ἔργου
διαβάλλων. Ὅπως ἂν μὴ χαί- 543
ρωσιν οἱ ἐχθροί) Ὁρᾷς ὅτι τῶν ἐχθρῶν
οἱ μὲν, ἔξωθεν ἐπιβουλεύουσιν, οἱ δὲ ἔν-
δοθεν συμπράττουσιν. Ἔξωθεν οἱ ἐπι-
βουλεύοντες) Τοῦτο δοκεῖ μὲν εἶναι καθ᾽
ἑαυτό. ἔχεται δὲ τῶν ἄνω, ἔνθα φησὶ, συ-
νέχειν τὴν πόλιν, ὅπως ἐν μιᾷ γένηται
γνώμη. Ταῦτα τοίνυν ἐφ᾽ ὑμῖν ἐστί) 546
Φρονίμως πάνυ μετὰ τὴν αὔξησιν τῆς
τῶν προδοτῶν κακίας καὶ τῆς δυναστείας,
μείζονα καὶ ἰσχυρότερα δείκνυσι τὰ δι-
καστήρια. ἵνα μὴ φοβῶνται αὐτοὺς,
ἀλλὰ κολάζωσιν. Ὃς γὰρ ἑαυτὸν 547

## Μαντεῖαι.

*ἄ.β. Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν θεῶν οἷα ὑμῖν προλέγουσιν; εἰ μὲν τοίνυν
πολεμούντων ὑμῶν ταῦτ᾽ ἀνῃρήκασι, τοὺς στρατηγοὺς λέγουσι φυλάττεσθαι. πο-
λέμου γὰρ εἰσὶν ἡγεμόνες οἱ στρατηγοί. εἰ δὲ πεποιημένων εἰρήνην, τοὺς ἐπὶ τῆς πο- 548
λιτείας ἐφεστηκότας. οὗτοι γὰρ ἡγοῦνται, τούτοις πείθεσθ᾽ ὑμεῖς, ὑπὸ τούτων δέος ἐστὶ
μὴ παρακρουσθῆτε. καὶ τὴν πόλιν δεῖν συνέχειν φησὶν ἡ μαντεία, ὅπως ἂν μίαν
γνώμην ἔχωσιν ἅπαντες, καὶ μὴ τοῖς ἐχθροῖς ἡδονὴν ποιῶσι. πότερον οὖν οἴεσθ᾽ ὦ
ἄνδρες Ἀθηναῖοι τὸν τοσαῦτα κακὰ εἰργασμένον, σωθέντα, ἢ δίκην δόντα, ἡδονὴν ἂν 543
Φιλίππῳ ποιῆσαι; ἐγὼ μὲν οἶμαι σωθέντα. φησὶ δέ γε ἡ μαντεία ἀεὶ δεῖν ὅπως ἂν
*ἡμῖν. ε. μὴ χαίρωσιν οἱ ἐχθροὶ, ποιεῖν. ἅπασι τοίνυν μιᾷ γνώμῃ παρακελεύεται* κολάζειν
τοὺς ὑπηρετηκότας τι τοῖς ἐχθροῖς, ὁ Ζεὺς, ἡ Διώνη, πάντες οἱ θεοί. ἔξωθεν οἱ ἐπι-
βουλεύοντες, ἔνδοθεν δὲ οἱ συμπράττοντες. οὐκοῦν τῶν ἐπιβουλευόντων μὲν ἔργον, 544
τὸ διδόναι, τῶν συμπραττόντων δὲ τὸ λαμβάνειν, καὶ τοὺς εἰληφότας ἐκσώζειν. ἔτι
τοίνυν κἂν ἀπ᾽ ἀνθρωπίνου λογισμοῦ τοῦτ᾽ ἴδοι τις, ὅτι πάντων ἐχθρότατον καὶ φο-
βερώτατον τὸ τὸν προεστηκότα ἐᾶν οἰκεῖον γίγνεσθαι, τοῖς μὴ τῶν αὐτῶν ἐπιθυμοῦ- 545
σι τῷ δήμῳ. τίσι γὰρ τῶν πραγμάτων ἐγκρατὴς γέγονε Φίλιππος ἁπάντων, καὶ
τίσι τὰ μέγιστα κατείργασται τῶν πεπραγμένων, σκέψασθε. τῷ παρὰ τῶν πωλούν-
των τὰς πράξεις ὠνεῖσθαι. τῷ τοὺς προεστηκότας ἐν ταῖς πόλεσι διαφθείρειν,
καὶ ἐπαίρειν τούτους. ταῦτα τοίνυν ἐφ᾽ ὑμῖν ἐστὶν ἀμφότερα, ἐὰν βούλησθε, ἀχρεῖα 546
ποιῆσαι τήμερον, ἐὰν τῶν μὲν, μὴ ἐθέλητε ἀκούειν τῶν τοῖς τοιούτοις συνηγορού-
*ὑμῖν β. ε. α. των, ἀλλ᾽ ἐπιδείξητε ἀκύρους ὄντας* ὑμῶν· νῦν γάρ φασιν εἶναι κυρίους, τὸν δὲ πε-
*ἐῶ πα. α. πρακότα ἑαυτὸν κολάσητε, καὶ τοῦτον ἅπαντες ἴδωσι. πᾶσι μὲν γὰρ εἰκότως ἂν
ὀργισθείητε, ὦ ἄνδρες Ἀθηναῖοι, τῷ τοιαῦτα πεποιηκότι, καὶ προδεδωκότι συμ- 547
μάχους, καὶ φίλους, καὶ καιρούς, ἐν ὧν ἢ καλῶς, ἢ κακῶς ἑκάστοις ἔχει τὰ πάν-
τα. οὐ μὴν, οὐδενὶ μᾶλλον, οὐδὲ δικαιότερον, ἢ τούτῳ. ὃς γὰρ ἑαυτὸν τάξας τῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ποτε Εὔβουλε, Ἡγησίλεω μὲν κρινομένου, ὃς ἀνεψιός ἐστί Ἡγησίλεω κρινομένου.
σοι, καὶ Θρασυβούλου πρῴην τοῦ Νικηράτου θείου, ἐπὶ μὲν τῆς
529 πρώτης ψήφου, οὐδ' ὑπακοῦσαι καλούμενος ἠθέλησας, ἤθελες.
εἰς τὸ δὲ τίμημα ἀναβὰς, ὑπὲρ μὲν ἐκείνων οὐδ' ὁτιοῦν βῆμα. β.
ἔλεγες, ἐδέου δὲ τῶν δικαστῶν συγγνώμην ἔχειν σοι. εἶτα ὑπὲρ
μὲν συγγενῶν καὶ ἀναγκαίων ἀνθρώπων οὐκ ἀναβαίνεις; ὑπὲρ
αἰσχίνου δὲ ἀναβήσῃ; ὃς, ἡνίκα ἔκρινεν ἀριστοφῶν φιλόνει-
530 κον, καὶ δι' ἐκείνου τῶν σοι πεπραγμένων κατηγόρει, συγκα-
τηγόρει μετ' ἐκείνου σου, καὶ τῶν ἐχθρῶν τῶν σῶν εἷς ἐξητάζετο.
ἐπειδὴ δὲ σὺ μὲν τουτουσὶ δεξάμενος, καὶ φήσας κατα-
βαίνειν εἰς πειραιᾶ δεῖν ἤδη, καὶ χρήματα εἰσφέρειν, καὶ τὰ
θεωρικὰ στρατιωτικὰ ποιεῖν, ἢ χειροτονεῖν, ἃ συνεῖπε μὲν
531 οὗτος, ἔγραψε δὲ ὁ βδελυρὸς φιλοκράτης, ἐξ ὧν ἀντὶ
καλῆς αἰσχρὰν συνέβη γενέσθαι τὴν εἰρήνην, οὗτοι δὲ ἐ- γεγενῆσθαι. α.
πειδὴ τοῖς μετὰ ταῦτα ἀδικήμασι πάντα ἀπολωλέ- ἐ. α.
κασι, τηνικαῦτα διήλλαξαι, καὶ ἐν μὲν τῷ δήμῳ κατηγο-
ρῶν φιλίππου καὶ κατὰ τῶν παίδων ὤμνυες, ἦ μὴν ἀπο- φιλίππῳ. β. ε.
532 λωλέναι φίλιππον ἂν βούλεσθε· νῦν δὲ βοηθήσεις τού-
τῳ; πῶς οὖν ἀπολεῖται ὅταν τοὺς παρ' ἐκείνου δωροδο- ἐκείνῳ. α.
κοῦντας, σὺ σώζῃς. τί γὰρ δήποτε, μοιροκλέα μὲν ἔκρι- α. ἔκρινες α. ε
νας, εἰ παρὰ τῶν τὰ μέταλλα ἐωνημένων εἴκοσιν ἐξέ- περὶ. β.
λεξε δραχμὰς παρ' ἑκάστου, καὶ κηφισοφῶντα γρα-
533 φὴν ἱερῶν χρημάτων ἐδίωκες. εἰ τρισὶν ὕστερον ἡμέ-
ραις ἐπὶ τὴν τράπεζαν ἔθηκεν ἑπτὰ μνᾶς, τοὺς δὲ ἔχον-
τας, ὁμολογοῦντας, ἐξελεγχομένους ἐπαυτοφώρῳ,
ἐπὶ τῷ τῶν συμμάχων ὀλέθρῳ ταῦτα πεποιηκότας,
τούτους οὐ κρίνεις, ἀλλὰ καὶ σώζειν κελεύεις; καὶ μὴν, ὅτι
534 ταῦτα μέν ἐστι φοβερὰ, καὶ προνοίας καὶ φυλακῆς
πολλῆς δεόμενα· ἐφ' οἷς δὲ ἐκείνους σὺ ἔκρινες, γέλως, ἔκρινας. α.
ἐκεῖθεν ὄψεσθε. ἦσαν ἐν ἤλιδι κλέπτοντες τὰ κοινά τι-
νές· καὶ μάλα εἰκός γε. ἔστιν οὖν ὅστις μετέσχεν αὐτόθι μετέσχηκεν. δ
νῦν τούτων τοῦ καταλῦσαι τὸν δῆμον; οὐδὲ εἷς. τί δὲ οὐδείς.
535 ἦσαν ὅτε ἦν ὄλυνθος, τοιοῦτοί τινες ἄλλοι, ἐγὼ μὲν οἶ-
μαι. ἆρ' οὖν διὰ τούτους ἀπώλετο ὄλυνθος; οὔ. τί οὖν,
μεγάροις οὐκ οἴεσθε εἶναί τινα κλέπτην, καὶ παρεκλέγοντα τὰ κοινά; ἀνάγκη, καὶ πέ-
φηνε. τίς οὖν αἴτιος αὐτόθι νῦν τούτων, τῶν συμβεβηκότων πραγμάτων; οὐδὲ εἷς. ἀλλὰ
536 ποῖοι, καὶ τίνες εἰσὶν οἱ τὰ τοιαῦτα τηλικαῦτα, καὶ τοιαῦτα ἀδικοῦντες; οἱ νομίζοντες ἑ-
αυτοὺς ἀξιόχρεως εἶναι τοῦ φιλίππου ξένοι, καὶ φίλοι προσαγορεύεσθαι. οἱ στρατηγιῶν-
τε, καὶ προστασίας ἀξιούμενοι, οἱ μείζους τῶν πολλῶν οἰόμενοι δεῖν εἶναι. οὐ περίλαος
ἐκρίνετο ἔναγχος ἐν τοῖς μεγάροις, ἐν τοῖς τριακοσίοις, ὅτι πρὸς φίλιππον ἀφί- α.
κετο, καὶ παρελθὼν πτοιόδωρος, αὐτὸν ἐξητήσατο, καὶ πλούτῳ, καὶ γένει, καὶ δόξῃ
537 πρῶτος μεγαρέων, καὶ πάλιν ὡς φίλιππον ἐξέπεμψε, καὶ μετὰ ταῦτα ὁ μὲν ἧκεν κατεσκεύα-
ἄγων ζε. β.

γνῶσι γάρ τινες διὰ αὐτοῦ τὸν αἰσχίνην ἐλθοῦσαι εἰς ὑποψίαν οὖν κατέστησεν εὔβουλον, φιλιππισμοῦ κοινωνίας τῆς πρὸς τὸν αἰσχίνην. καὶ ὅσῳ γε μάλιστα κατὰ τὴν πόλιν ἰσχύειν ἐδόκει, τοσούτῳ μᾶλλον ἐκφοβεῖ τὸν δῆμον περιουσίᾳ τῆς δυναστείας, εἰς περιουσίαν κακονοίας δηλονότι αὐτὸν ἐπιχρώμενον. ἐπειδὴ δὲ τῶν ἐπισημοτάτων καὶ δυναστευόντων ἦν κατὰ τὴν πόλιν ὁ εὔβουλος, πλείστης ἐδεήθη τῆς ἀντιρρήσεως, καὶ τῶν πρὸς αὐτὸν ἀγώνων. ἀντιθήκειν οὖν καὶ χρησμοὺς θεῶν καὶ μαντείας, δηλονότι ἐκ λογισμῶν διὰ πάντων, μηδὲν τοῖς τοιούτοις καθ' ἑαυτῶν ἐνδιδόναι, ἔτι δὲ καὶ ἀπὸ τῶν πολιτευμάτων αὐτῶν, ἐπεχείρησε διαβάλλειν
528 τὸν εὔβουλον. Ἡγησίλεω μὲν κρινομένου) Οὗτος εἰς εὔβοιαν ἐστρατήγησεν, ὅτε τῷ πλουτάρχῳ τὴν βοήθειαν ἔπεμψαν ἀθηναῖοι. ὡς εἴπομεν ἐν φιλιππικοῖς. ἐκρίθη γὰρ ὡς συνεξαπατήσας τοῦ πλουτάρχου τὸν δῆμον. (γρ. τῷ πλουτάρχῳ.) βούλεται οὖν δεῖξαι ὅτι οὐ φιλανθρωπίας ἕνεκα συναγωνίζεται τῷ αἰσχίνῃ, ἀλλὰ διὰ τὸ φιλιππίζειν, ὅπου γε τοῦ οἰκείου τοῦ ἡγησίλεω οὐκ ἐφρόντισε.

Τῷ νικηράτου θείῳ) Ἄλλο παράδειγμα, δηλονότι ὡς οὐ δι' ἔλεον συμβάλλεται, ὁ καὶ τοῦ θείου καταφρονήσας τότε. Καλούμενος) Ἵνα μὴ εἴπῃ, οὐ γὰρ ἐδέετό μου, ὅτι καὶ ἐβόα καλῶν, ἀλλ' ἀ-
530 νόητος ἦν ἡ βοή. Συγκατηγόρει μετ' ἐκείνου σου) Οὗτος οὖν ὁ καὶ τοῖς συγγενέσι μὴ βοηθήσας. τὸ δὲ κατηγόρῳ συμπράττων, δόξειεν ἂν μὴ διὰ τὸν φίλιππον πεπεῖσθαι τὴν βοή-
532 θειαν. Τί γὰρ δή ποτε μοιροκλέα.) Ἐν τοῖς δυσὶ παραδείγμασιν, ὅτι οὐ φιλάνθρωπος ἔδειξε. πῶς γὰρ ὁ τοῖς ἐπιτηδείοις μὴ βοηθῶν, νῦν δὲ ὅτι καὶ τοὺς ὀλίγα ἡμαρτηκότας φαίνεται κρίνων, ἵνα μή τις λέγῃ, ἀήθης γάρ ἐστιν οὗτος κατηγορεῖν. καὶ διὰ τοῦτο φείδεται τοῦ αἰ-
536 σχίνου. Ξένοι καὶ φίλοι προσαγορεύεσθαι) Τοῦτο εἴρηκεν, ἐπειδὴ παρ' ἄχρι ὀνόματος τὴν φιλίαν οἶδεν οὖσαν τὴν παρὰ τῶν ἐχθρῶν. Καὶ πλούτῳ, καὶ γένει, καὶ δόξῃ) Ἵνα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔχειν τοὺς ξένους, ὅσα ἔνδον ἐτύρβευε τοιαῦτα. οὐ γάρ
ἐστιν, οὐκ ἔστιν ὅ,τι τῶν πάντων μᾶλλον εὐλαβεῖσθαι
δεῖ ἢ τὸ, μείζω τινὰ τῶν πολλῶν ἐᾶν γίγνεσθαι. μή μοι 538
σῳζέσθω, μηδ' ἀπολλύσθω μηδεὶς, ὃν ἐὰν ὁ δεῖνα ἢ ὁ
δεῖνα βούληται, ἀλλ' ὃν ἂν τὰ πεπραγμένα σῴζῃ· καὶ τοὐ-
ναντίον τούτῳ τῆς προσηκούσης ψήφου παρ' ὑμῶν ὑπαρ-
χέτω τυγχάνειν. τοῦτο γάρ ἐστι δημοτικόν. ἔτι τοίνυν, πολ-
λοὶ παρ' ὑμῖν ἐπὶ καιρῶν γεγόνασιν ἰσχυροί, καλλίστρα- 539
τος ἐκεῖνος, αὖθις ἀριστοφῶν, διόφαντος, τούτων ἕτεροι
πρότεροι. ἀλλὰ ποῦ τούτων ἕκαστος ἐπρώτευεν; ἐν τῷ
δήμῳ· ἐν δὲ τοῖς δικαστηρίοις, οὐδείς πω μέχρι τῆς τή-
μερον ἡμέρας ὑμῶν, οὐδὲ τῶν νόμων, οὐδὲ τῶν ὅρκων
κρείττων γέγονε. μὴ τοίνυν μηδὲ νῦν τοῦτον ἐάσητε. 540
*ἀ. ὅτι γὰρ ταῦτα φυλάττοισθε ἂν εἰκότως μᾶλλον ὑμεῖς,
ἢ τούτοις πιστεύοιτε, τὰς τῶν θεῶν ὑμῖν μαντείας ἀναγνώ-
σομαι, οἵ περ ἀεὶ σῴζουσι τὴν πόλιν πολλῷ τῶν προε-
στηκότων μᾶλλον. Λέγε τὰς μαντείας. 541

Μαντεῖαι.

*ἄ.β. Ἀκούετε, ὦ ἄνδρες ἀθηναῖοι, τῶν θεῶν* οἷα ὑμῖν προλέγουσιν; εἰ μὲν τοίνυν
πολεμούντων ὑμῶν ταῦτ' ἀνῃρήκασι, τοὺς στρατηγοὺς λέγουσι φυλάττεσθαι. πο-
λέμου γάρ εἰσιν ἡγεμόνες οἱ στρατηγοί. εἰ δὲ πεποιημένων εἰρήνην, τοὺς ἐπὶ τῆς πο- 548
λιτείας ἐφεστηκότας. οὗτοι γὰρ ἡγοῦνται, τούτοις πείθεσθε ὑμεῖς, ὑπὸ τούτων δέος ἐστὶ
μὴ παρακρουσθῆτε. καὶ τὴν πόλιν δεῖν συνέχειν φησὶν ἡ μαντεία, ὅπως ἂν μίαν
γνώμην ἔχωσιν ἅπαντες, καὶ μὴ τοῖς ἐχθροῖς ἡδονὴν ποιῶσι. πότερον οὖν οἴεσθ' ὦ
ἄνδρες ἀθηναῖοι τὸν τοσαῦτα κακὰ εἰργασμένον, σωθέντα, ἢ δίκην δόντα, ἡδονὴν ἂν 543
φιλίππῳ ποιῆσαι; ἐγὼ μὲν οἶμαι σωθέντα. φησὶ δέ γε ἡ μαντεία ἀεὶ δεῖν ὅπως ἂν
*ἡμῖν. ε. μὴ χαίρωσιν οἱ ἐχθροὶ, ποιεῖν. ἅπασι τοίνυν μιᾷ γνώμῃ παρακελεύεται * κολάζειν
τοὺς ὑπηρετηκότας τι τοῖς ἐχθροῖς, ὁ ζεὺς, ἡ διώνη, πάντες οἱ θεοί. ἔξωθεν οἱ ἐπι-
βουλεύοντες, ἔνδοθεν δὲ οἱ συμπράττοντες. οὐκοῦν τῶν ἐπιβουλευόντων μὲν ἔργον, 544
τὸ διδόναι· τῶν συμπραττόντων δὲ τὸ λαμβάνειν, καὶ τοὺς εἰληφότας ἐκσῴζειν. ἔτι
τοίνυν κἂν ἀπ' ἀνθρωπίνου λογισμοῦ τοῦτο ἴδοι τις, ὅτι πάντων ἐχθρότατον καὶ φο-
βερώτατον τὸ τὸν προεστηκότα ἐᾶν οἰκεῖον γίγνεσθαι, τοῖς μὴ τῶν αὐτῶν ἐπιθυμοῦ- 545
σι τῷ δήμῳ. τίσι γὰρ τῶν πραγμάτων ἐγκρατὴς γέγονε φίλιππος ἁπάντων, καὶ
τίσι τὰ μέγιστα κατείργασται τῶν πεπραγμένων, σκέψασθε. τῷ παρὰ τῶν πωλού-
των τὰς πράξεις ὠνεῖσθαι. τῷ τοὺς προεστηκότας ἐν ταῖς πόλεσι διαφθείρειν,
καὶ ἐπαίρειν τούτους. ταῦτα τοίνυν ἐφ' ὑμῖν ἐστιν ἀμφότερα, ἐὰν βούλησθε, ἀχρεῖα 546
ποιῆσαι τήμερον, ἐὰν τῶν μὲν, μὴ ἐθέλητε ἀκούειν τῶν τοῖς τοιούτοις συνηγορού-
*ὑμῖν. β. ε. ἀ. των, ἀλλ' ἐπιδείξητε ἀκύρους ὄντας* ὑμῶν· νῦν γάρ φασιν εἶναι κυρίους, τὸν δὲ πε-
*τοῦτο π. ἀ. πρακότα ἑαυτὸν κολάσητε, καὶ* τοῦτον ἅπαντες ἴδωσι. παντὶ μὲν γὰρ εἰκότως ἂν
ὀργισθείητε, ὦ ἄνδρες ἀθηναῖοι, τὰ τοιαῦτα πεποιηκότι, καὶ προδεδωκότι συμ- 547
μάχους, καὶ φίλους, καὶ καιροὺς, μεθ' ὧν ἢ καλῶς, ἢ κακῶς ἑκάστοις ἔχει τὰ πάν-
τα. οὐ μὴν, οὐδενὶ μᾶλλον, οὐδὲ δικαιότερον, ἢ τούτῳ. ὃς γὰρ ἑαυτὸν τάξας τῶν

μὴ δόξῃ ὁ εὔβουλος, ὡς εὐεργέτης καὶ
πλούσιος, μὴ λέγεσθαι εἶναι προδότης,
εἰκάζει αὐτῷ τὸν πολιόδωρον. ὅρα τὸ
πολιόδωρόν φησι, καὶ φυλάττει τὸν εὔ-
βουλον. Ἐτύρβευε) κατεσκεύαζε, 537
ἐμηχανᾶτο, μεταφορὰ ἀπὸ τοῦ γά-
λακτος συναγομένου. Ἐπὶ καιρῶν 539
γεγόνασι) Πάνυ θαυμασίως ἐπιχεί-
ρησεν, οὐ πάντῃ τοὺς ἰσχυροὺς ἀτιμά-
ζων, καὶ ἐκβάλλων· ὠφελεῖ γὰρ καὶ τοῦτο
τὰς πόλεις, ἀλλὰ ἀπὸ τοῦ τόπου τὸ τοιοῦ-
το διαβάλλων. Ὅπως ἂν μὴ χαί- 543
ρωσιν οἱ ἐχθροί) Ὁ ἑξῆς ὅτι τῶν ἐχθρῶν
οἱ μὲν, ἔξωθεν ἐπιβουλεύουσιν, οἱ δὲ ἔν-
δοθεν συμπράττουσιν. Ἔξωθεν οἱ ἐπι-
βουλεύοντες) Τοῦτο δοκεῖ μὲν εἶναι καθ'
ἑαυτό. ἔχεται δὲ τῶν ἄνω, ἔνθα φησὶ, συ-
νέχειν τὴν πόλιν, ὅπως ἐν μιᾷ γένηται
γνώμῃ. Ταῦτα τοίνυν ἐφ' ὑμῖν ἐστι) 546
Φρονίμως πάνυ μετὰ τὴν αὔξησιν τῆς
τῶν προδοτῶν κακίας καὶ τῆς δυναστείας,
μείζονα καὶ ἰσχυρότερα δείκνυσι τὰ δι-
καστήρια. ἵνα μὴ φοβῶνται αὐτοὺς,
ἀλλὰ κολάζωσιν. Ὃς γὰρ ἑαυτὸν 547

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀπιστούντων εἶναι Φιλίππῳ, καὶ μόνος ὡς προειδώς, ὅτι κοινὸς ἐκεῖνός ἐστιν ἐχθρὸς ἁπάντων τῶν ἑλλήνων,
548 ηὐτομόλησε καὶ προὔδωκε καὶ γέγονεν ἐξαίφνης ὑπὲρ Φιλίππου, πῶς οὐ πολλάκις ἔσθ' οὗτος ἄξιος ἀπολωλέναι. ἀλλὰ μὴν, ὅτι ταῦθ' οὕτως ἔχει, αὐτὸς οὐχ οἷός τε ἀντειπεῖν ἔσται. τίς γάρ ἐστιν ὁ τὸν ἴσχανδρον προσάγων ὑμῖν τὸ κατ' ἀρχάς, ὃν παρὰ τῶν ἐν ἀρκαδίᾳ φί-
549 λων τῇ πόλει δεδεῦρ' ἥκειν ἔφη. τίς ὁ συσκευάζεσθαι τὴν ἑλλάδα καὶ πελοπόννησον Φίλιππον βοῶν, ὑμᾶς δὲ καθεύδειν. τίς ὁ τοὺς καλοὺς καὶ μακροὺς καὶ πολλοὺς λόγους ἐκείνους δημηγορῶν, καὶ τὸ μιλτιάδου καὶ θεμιστοκλέους ψήφισμα ἀναγινώσκων, καὶ τὸν ἐν τῷ τῆς ἀγραύλου
550 τῶν ἐφήβων ὅρκον, οὐχ οὗτος; τίς ὁ πείσας ὑμᾶς μόνον οὐκ ἐπὶ τὴν ἐρυθρὰν θάλατταν πρεσβείας πέμπειν, ὡς ἐπιβουλευομένης μὲν ὑπὸ Φιλίππου τῆς ἑλλάδος, ὑμῖν δὲ προσῆκον προορᾶν ταῦτα, καὶ μὴ προΐεσθαι τὰ τῶν ἑλλήνων. οὐχ ὁ μὲν γράφων τὸ ψήφισμα εὔβου-
511 λος ἦν, ὁ δὲ πρεσβεύων εἰς πελοπόννησον, αἰσχίνης οὑτοσί; ἐλθὼν δὲ ἐκεῖσε ἅττα μέν ποτε °διελέχθη καὶ ἐδημηγόρησεν, αὐτὸς ἂν εἰδείη. ἃ δ' ἀπήγγελλε πρὸς ὑμᾶς, ὑμεῖς* οἶδ' ὅτι μέμνησθε πάντες. βάρβαρόν τε γὰρ πολλάκις καὶ ἀλάστορα τὸν Φίλιππον ἀποκαλῶν, ἐ-
552 δημηγόρει καὶ τοὺς ἀρκάδας ὑμῖν ἀπήγγελλεν ὡς ἔχαιρον, εἰ προσέξει τοῖς πράγμασιν ἤδη, καὶ ἐγείρεται ἡ τῶν ἀθηναίων πόλις. ὃ δὲ *πάντων μάλιστα ἀγανακτῆσαι ἔφη, συντυχεῖν γὰρ ἀπιὼν ἀτρεστίδᾳ παρὰ Φιλίπ-

° διελ. πότε. ἂν

* ἂν. ε.

* ἁπάντων. βο.

τάξαι) Ἀνακεφαλαίωσιν ποιεῖται τῶν εἰρημένων ἐν τῇ καταστάσει πάντων, μηδὲν παραλείπων, ὥστε εὐσύνοπτον γενέσθαι τὴν ὑπόθεσιν τοῖς δικάζουσι διὰ βραχέων. ἐπειδὴ γὰρ πολλὰ τὰ εἰρημένα, καὶ πολυμερὴς ὁ λόγος, καὶ πλοκὰς ἔχει ποικίλας· πολλαὶ δὲ καὶ αἱ αὐξήσεις, ἐξ ὧν ἡ ἐν τοῖς πράγμασι πολλάκις συνέβη ἀσάφεια, διὰ τοῦτο κατηναγκάσθη πάλιν αὐτῶν τῶν ἀναγκαιοτάτων ἐπιμνησθῆναι. ἄρχεται δὲ οὕτως· ὃς γὰρ ἑαυτὸν τάξας· τοῦτο γὰρ ὅμοιόν ἐστιν ἐκείνῃ τῇ ἐπιβολῇ τῆς καταστάσεως· ἔστι τοίνυν οὗτος πρῶτος ἀθηναίων αἰσθόμενος φίλιππον, καὶ τὰ ἑξῆς. εἰ δέ τι καὶ παραβέβληται τοιοῦτον ἐκβολῆς ἐλέου ἕνεκα ὥσπερ τὰ κατ' ἀτρεστίδαν καὶ τὰ γύναια, καὶ τὰ παιδάρια, ἢ ἄλλο τι τῶν αὐξήσεως ἐχομένων, οὐδὲν θαυμαστόν. συνήθης γὰρ τῷ ῥήτορι κατὰ τοὺς καιροὺς τοὺς ἐμπίπτοντας, χρῆσθαι τοῖς τοιούτοις τόποις.

549 Τίς ὁ τοὺς μακροὺς καὶ καλοὺς λόγους δημηγορῶν) Ἀποσκώψας αὐτὸν καὶ εἰς μῆκος λόγων, ἐπιφέρει δὲ καὶ τὸ μιλτιάδου, καὶ τὸ θεμιστοκλέους ψήφισμα ἀναγνούς, ὅτι μισοφίλιππος ἦν αἰσχίνης τὸ πρότερον. εἰ γὰρ ἠξίου τὴν πόλιν μιμεῖσθαι τὸν μιλτιάδου δρόμον, καὶ τὰ θεμιστοκλέους στρατηγήματα, καὶ τῶν ψηφισμάτων ὧν ἔγραφον ἐκεῖνοι προτρεπόμενοι τὴν πόλιν ἐπὶ τοὺς βαρβάρους, εὔδηλος ἦν τοῦτον διακείμενος τὸν τρόπον. ἐπαινεῖ δὲ, οὐχ ἵνα μαρτυρήσῃ τὴν ἀρετήν, ἀλλ' ἵνα διὰ τῆς μαρτυρίας ταύτης, φανερώτερον ἐλέγχῃ αὐτόν. τὸν γὰρ ἐναντία τούτων πολιτευόμενον, τίς οὐκ ἂν μισήσειεν ὡς δωροδόκον. ἀλλὰ καὶ τὸν ὅρκον τῶν ἐφήβων, ἐν τῷ τῆς ἀγραύλου αἰσχίνην ἀναγινώσκειν φησίν. ἧς πάνδροσος, καὶ ἕρση, ἀδελφαί. ἱέρεια δὲ γέγονεν ἡ ἄγραυλος ἀθηναίων ὥς φησι φιλόχορος. Καὶ τὸ μιλτιάδου καὶ θεμιστοκλέους) Ἐπιόντων τῶν μήδων, ἐξαρχῆς καὶ ὁ μιλτιάδης δραμεῖν εὐθὺς ἐπὶ τὸν μαραθῶνα ἐψηφίσατο, καὶ μὴ ἀναμένειν ἕως συλλεγῶσιν οἱ συμμαχήσοντες. διὸ καὶ νενίκηκε μόνος. ὁ δὲ θεμιστοκλῆς κατὰ γῆν ἄπορα βλέπων τὰ πράγματα, συνεβούλευσιν μὲν ἀφεῖναι τὴν πόλιν, εἰς σαλαμῖνα δὲ μετοικισθῆναι. ὁ γοῦν αἰσχίνης παροξύνων κατὰ τοῦ μακεδόνος αὐτούς, ἐκεῖνα προὔφερε. Καὶ τὸν ἐν τῷ τῆς ἀγραύλου) Ἔστι μὲν μία τῶν κέκροπος θυγατέρων ἡ ἄγραυλος. ἐν δὲ τῷ τεμένει αὐτῆς οἱ ἐξιόντες εἰς τοὺς ἐφήβους ἐκ παίδων, μετὰ πανοπλιῶν ὤμνυον ὑπερμαχεῖν ἄχρι θανάτου τῆς θρεψαμένης. ἡ δὲ ἱστορία αὕτη. Ἄγραυλος, καὶ ἕρση, καὶ πάνδροσος, θυγατέρες κέκροπος, ὥς φησιν ὁ φιλόχορος. λέγουσι δὲ ὅτι πολέμου συμβάντος παρ' ἀθηναίοις ὅτε εὔμολπος ἐστράτευσε κατ' ἐρεχθέως, καὶ μηκυνομένου τούτου, ἔχρησεν ὁ ἀπόλλων ἀπαλλαγήσεσθαι, ἐάν τις ἀνέλῃ ἑαυτὸν ὑπὲρ τῆς πόλεως. ἡ τοίνυν ἄγραυλος, ἑκοῦσα αὐτὴν ἐξέδωκεν εἰς θάνατον. ἔρριψε γὰρ ἑαυτὴν ἐκ τοῦ τείχους. εἶτα ἀπαλλαγέντες τοῦ πολέμου, ἱερὸν ὑπὲρ τούτου ἐστήσαντο αὐτῇ περὶ τὰ προπύλαια τῆς πόλεως. καὶ ἐκεῖσε ὤμνυον οἱ ἔφηβοι μέλλοντες ἐξιέναι εἰς πόλεμον.

550 Οὐχ ὁ μὲν γράφων τὸ ψήφισμα) Ἐμερίζοντο φησὶ τὴν κατὰ φιλίππου πρεσβολὴν αἰσχίνης καὶ εὔβουλος· ὁ μὲν, ψηφίσματα γράφων, ὁ δὲ πρεσβεύων εἰς πελοπόννησον, ἵνα τῇ κοινωνίᾳ καὶ αὐτὸς μεταβεβλημένος εὑρίσκηται.

552 Καὶ ἐγείρεται ἡ τῶν ἀθηναίων πόλις) Ἡ πολλὰ καθεύδουσα.

Συντυχεῖν γὰρ ἀπιὼν ἀτρεστίδᾳ) Χρησιμωτάτη γέγονεν αὐτῷ ἡ μνήμη τῶν κατ' ἀτρεστίδαν, οὐ μόνον διὰ τὴν τοῦ ἐλέου ἐκβολήν, ἀλλ' ἵνα καὶ φαίνηται διὰ τοῦτο αἰσχίνης συνομολογῶν τάς τε δωροδοκίας, καὶ τὰς φιλίππου δόσεις, καὶ ὅτι οἷός τέ ἐστι καὶ εἰς διαφθορεῖς καὶ ὅλας ὁμοῦ προδοῦναι πόλεις, ἵνα φαίνηται αἰσχίνης διὰ τῶν οἰκείων ἁλισκόμενος λόγων. τὰ γὰρ ὅμοια, τοῖς ὁμοίοις ἀκόλουθα. εἰ γὰρ ἀτρεστίδας ἦγεν αἰχμάλωτα, καὶ δι' ἀτρεστίδαν ὠδύρετο τὴν ἑλλάδα, ὠδύρετο ἄν τις καὶ διὰ τὸν αἰσχίνην φωκέας. οὐχ ἧττον γὰρ ἀτρεστίδου διὰ τὴν δωροδοκίαν αἰ-

πυνθανομ. που πορευομένῳ, καὶ μετ' αὐτοῦ γύναια καὶ παιδά- 554
ρια ὡς τριάκοντα βαδίζειν· αὐτὸς δὲ θαυμάσας,
ρέσθαι. α. ἐρέσθαι τινὰ τῶν ὁδοιπόρων, τίς ὁ ἄνθρωπός ἐστι,
β. β. καὶ τίς ὁ ὄχλος ὁ μετ' αὐτοῦ. ἐπειδὴ δὲ ἀκοῦσαι
ὅτι ἀτρεστίδας παρὰ φιλίππου τῶν ὀλυνθίων αἰχ-
μάλωτα δωρεὰν ταῦτα ἔχων ἀπέρχεται, δεινὸν αὐτῷ 555
τι δόξαι, καὶ δακρῦσαι, καὶ ὀδύρεσθαι τὴν ἑλλάδα,
ὡς κακῶς διάκειται, εἰ τοιαῦτα πάθη περιορᾷ γινό-
συνεβού- μενα. καὶ συνεβούλευσεν ὑμῖν, πέμπειν τινὰς εἰς
λευεν. β ε α. ὑπὲρ. ε. ἀρκαδίαν, οἵτινες κατηγορήσουσι τῶν τὰ φιλίππου
πραττόντων. ἀκούειν γὰρ ἔφη τῶν φίλων, ὡς ἐὰν ἐπι- 555
στροφὴν ἡ πόλις ποιήσηται καὶ πρέσβεις πέμψῃ, δί-
κην ἐκεῖνοι δώσουσι. ταῦτα μὲν τοίνυν τότε, καὶ μά-
α. λα ὦ ἄνδρες ἀθηναῖοι καλὰ, καὶ τῆς πόλεως
ἄξια, ἐδημηγόρει. ἐπειδὴ δὲ ἀφίκετο εἰς μακεδονίαν.
καὶ τὸν ἐχθρὸν εἶδε τὸν ἑαυτοῦ, καὶ τῶν ἑλλήνων, τὸν φί- 557
λιππον, ἆρά γε ὅμοια, ἢ παραπλήσια τούτοις; πολ-
λοῦ γε καὶ δεῖ, ἀλλὰ μήτε τῶν προγόνων μεμνῆσθαι,
μήτε τρόπαια λέγειν, μήτε βοηθεῖν μηδενί. τῶν τε
κελευόντων μετὰ τῶν ἑλλήνων περὶ τῆς πρὸς φίλιπ-
πον εἰρήνης βουλεύεσθαι, θαυμάζειν εἰ περὶ τῶν ὑμε- 558
τέρων ἰδίων ἄλλον τινὰ δεῖ πεισθῆναι. εἶναί τε τὸν φί-
λιππον αὐτὸν, ἡράκλεις, ἑλληνικώτατον ἀνθρώπων,
γρ. φιλονει- δεινότατον λέγειν, φιλαθηναιότατον. οὕτω δὲ ἀτόπους
κότ. δηλ. φιλελ- τινὰς ἐν τῇ πόλει καὶ δυσχερεῖς ἀνθρώπους εἶναι, ὥστε
ληνέστατον. οὐκ αἰσχύνεσθαι λοιδορουμένους αὐτῷ, καὶ βάρβα- 559
ρον αὐτὸν ἀποκαλοῦντας. ἔστιν οὖν ὅπως ἂν ταῦτ'
ἐκεῖνα προειρηκὼς, ὁ αὐτὸς ἀνὴρ μὴ διαφθαρεὶς,
ἐτόλμησεν εἰπεῖν. τί δέ ἐστιν ὅστις ἂν τὸν ἀτρεστίδαν
τότε μισήσας διὰ τοὺς τῶν ὀλυνθίων παῖδας, καὶ
συμπεράττειν α. τὰ γύναια, ταυτὰ φιλοκράτει νῦν πράττειν ὑπέ- 560
μεινεν; ὃς τὰς γυναῖκας ἐλευθέρας τῶν ὀλυνθίων
ἤγαγε δεῦρο ἐφ' ὕβρει· καὶ οὕτως ἐπὶ τῷ βδελυ-
ρῶς βεβιωκέναι γιγνώσκεται, ὥστε μηδὲν ἐμὲ αἰσχρὸν
εἰπεῖν νυνὶ περὶ αὐτοῦ δεῖν μηδὲ δυσχερές. ἀλλὰ τοσοῦτον εἰπόντος μόνον, ὅτι φιλο- 561
κράτης γυναῖκας ἤγαγε, πάντας ὑμᾶς εἰδέναι καὶ τοὺς περιεστηκότας τὰ μετὰ ταῦ-
τα, καὶ ἐλεεῖν εὖ οἶδ' ὅτι τὰς ἀτυχεῖς καὶ ταλαιπώρους ἀνθρώπους, ἃς οὐκ ἠλέη-
σεν αἰσχίνης, οὐδὲ ἐδάκρυσεν ἐπὶ ταύταις τὴν ἑλλάδα, εἰ παρὰ τοῖς συμμάχοις 62
κλαήσει. α. ὑπὸ τῶν πρέσβεων ὑβρίζονται. ἀλλὰ ὑπὲρ αὐτοῦ κλαήσει, τοῦ τὰ τοιαῦτα πεπρε-
κλαύσεται. ε. ἀναβιβάσε- σβευκότος, καὶ τὰ παιδία ἴσως παράξει καὶ ἀναβιβᾶται. ὑμεῖς δ' ἐνθυμεῖσθε ὦ ἄν-
ται. δρες δικασταὶ, πρὸς μὲν τὰ τούτου παιδία, ὅτι πολλῶν συμμάχων ὑμετέρων καὶ φί-
παθόντες. α. λων παῖδες ἀλῶνται, καὶ πτωχοὶ περιέρχονται, δεινὰ πεπονθότες διὰ τοῦτον, οὓς 563

κίαν αἰσχίνης καὶ φιλοκράτης.
Γύναια καὶ παιδάρια ὡς τριά- 554
κοντα βαδίζειν) Ὡς στοχαζόμενος
εἶπεν ἀορίστως τὸν ἀριθμὸν, ἵνα
ἀπολάβωσι καὶ γυναῖκας τριάκον-
τα, καὶ παιδάρια τριάκοντα.
Τίς ἄνθρωπός ἐστι, καὶ τίς ὄ-
χλος) Ἆρα μὴ τύραννος; ἆρα μὴ
στρατηγὸς τοῦ φιλίππου, λόγον καθί-
ζει τινά.
Ἀκούειν γὰρ ἔφη τῶν φίλων) Δί- 556
δωσιν αὐτῷ ποτε καὶ φίλους, ὅτι καὶ
αὐτὸς ἦν εὔνους. ἐπιστροφὴν δὲ, ἢ
τιμωρίαν κατὰ τῶν προδοτῶν, ἢ με-
ταβολὴν τοῦ τρόπου ἀπὸ ῥαθυμίας
εἰς σπουδήν. Μήτε τρόπαια λέ-
γειν) Ὅρα πῶς οὐκ εἶπε μάχας, οὐδὲ
κινδύνους, ἀλλὰ τρόπαια, τὸ ἡδὺ καὶ
σεμνὸν καὶ ἔνδοξον, οὐκ ἐῶν αἰδεῖσθαι.
Μήτε βοηθεῖν οὐδενί) Τὸ καθό- 557
λου, καὶ τὸ ἄτοπον, μηδὲ ἂν οἰκεῖος
ᾖ, μηδὲ ἂν παῖς ἐμὸς, μηδὲ ἂν εὖ
πεποιηκὼς πρότερον ἐμὲ, μηδὲ ἂν
οἱ θεοὶ προστάττωσι, καὶ ἀθηνᾶ συγ-
χωρῇ. Εἶναί τε τὸν φίλιππον αὐ- 558
τὸν, ἡράκλεις) Σημεῖον τοῦ θαύμα-
τος τὸ ἡράκλεις. ἑλληνικώτατον δὲ,
καθαρώτατον, εἰλικρινέστατον, ὅπερ
οἱ βάρβαροι ἀρνοῦνται, τοῦτο δεδώ-
ρηται ὁ τρόπος αὐτοῦ. Δεινότατον
λέγειν) Καὶ τοῦτο γὰρ ἑλληνικὸν, τὸ δύ-
νασθαι λέγειν, ὡς εἶναι καὶ τῷ τρόπῳ
καὶ τῇ γλώττῃ τὸν φίλιππον ἕλληνα.
Ἔστιν οὖν ὅπως ταῦτ' ἂν ἐκεῖνα) 559
Συναγωγὴ τῆς πίστεως. οὐκ ἠδύνατο
φησὶν ὁ ἐκεῖνα προειρηκὼς, ταῦτα
εἰπεῖν ὄντα ἐναντία, εἰ μὴ προδιέ-
φθαρτο. ὅρα δὲ αὐτὸν καὶ τὸ ἦθος
αἰσχίνου μιμησάμενον, ἐν οἷς ὑπέ-
μνησε αἰσχίνου δημηγορίαν εἰπών.
Ἤγαγε δεῦρ' ἐφ' ὕβρει) Βαρέως 560
εἰς ὄψιν τῶν ἀθηναίων αἱ γυναῖκες
ὑβρίζονται. Ἀλλ' ὑπὲρ αὐτοῦ κλαή- 562
σει) Ἵνα μὴ εἴπῃ, ὅτι οὐ πέφυκα δα-
κρύειν, καὶ διὰ τοῦτο οὐκ ἐδάκρυσα, ἐπά-
γει, ὅτι ὑπὲρ αὐτοῦ μὲν κλαήσει, ἐκείνας
δὲ οὐκ ἠλέησε. Καὶ πτωχοὶ περιέρ- 563
χονται) Ἐπλήρωσαν θρήνων τὴν οἰ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κενὴν πλανώμενοι. ἐπειδὴ δὲ ἐστὶν
ἀλᾶσθαι, τουτέστι πλανᾶσθαι κατὰ ἱστο-
ρίαν, ἢ ἐμπορίαν, ἵνα τὴν συμφορὰν
563 ἐμφήνῃ, τὸ πτωχοὶ προσέθηκε. Καὶ
προδότου παιδὸς) Προέταξε τοῦ χρη-
στοῦ ὀνόματος, λέγω τοῦ παιδὸς, τὸ αἰ-
566 σχρὸν, τὸ τοῦ προδότου. Ὡς ἐπέβη Μακε-
567 δονίας) Τὰς Ἀθήνας καταλιπών. Τίς
γάρ ἐστιν Ἑλλήνων) Τιμᾷ τὰς Ἀθήνας
καὶ βάρβαρος, καὶ δίδωσί μοι τὴν ψῆ-
φον, οὐχ ὡς Ἕλληνα φιλῶν, ἀλλὰ καὶ δυ-
σμενὴς, τῆς ἀληθείας ἡττώμενος. οὐκοῦν
ἔσω καὶ τῆς φύσεως πολεμίων Αἰσχίνης. Πο-
λεμιώτερος γάρ. Τρία ἐστὶ τὰ ποιοῦν-
τα μὴ λέγοντα τῆς Ἀττικῆς τὰ ἀνδρα-
γαθήματα. ἢ γὰρ ἀνόητος ὢν οὐκ οἶ-
δεν, ἢ ἀνήκοος ἔμεινεν ἔξω τῆς οἰκου-
μένης οἰκῶν, ἢ ἐχθρὸς ὑπάρχει τῆς πό-
λεως καὶ μισῶν, κρύπτειν πειρᾶται. δέον
ἓν τῶν τριῶν τὸν Αἰσχίνην ὑποστῆναι, μὴ
σιωπηθέμενον τῇ δόξῃ τῆς πόλεως.
598 Ἐν Μαραθῶνι) Τὸ Μαραθῶνι, ὅπου
569 μόνως ἐνίκησαν οἱ Ἀθηναῖοι. Εἶθ', οὓς
μηδὲ τῶν ἐχθρῶν) Τὰ κοινὰ τὰ ἐν Σα-
λαμῖνι, ἴδια πεποίηκεν οὗτος, ἀποστερῶν
τῶν ἐπαίνων δηλονότι. καλῶς δὲ τὸ ἀπο-
στερῶν. ἐπειδὴ καὶ κτῆμα αὐτῶν ἔφησε
τὴν δόξαν εἶναι. τοῦτο γάρ ἐστι καὶ τὸ στερη-
θείη ἑξῆς· στερίσκεται γάρ τις ὧν ἔχει·
ἀποστερεῖται δὲ τὰ ἀλλότρια. ἐνεβρά-
δυνε δὲ τοῖς προγόνοις, παροξύνων
πλέον τοὺς δικαστὰς τοὺς αἰδουμένους
571 αὐτούς. Καὶ χάριν ὑμῖν ἔχειν) Ἤδει
γὰρ ὅτι μείζονος, ἢ κατ' αὐτὸν, ἔτυχεν.
ὁ γὰρ τυχὼν τιμῆς, ἧς ἄξιός ἐστιν, οὐκ
ἔχει χάριν τῷ δόντι· ἀλλ' ὁ παρ' ἀξίαν
572 λαβών. Καὶ μέτριον παρεῖχεν ἑαυ-
τόν) Οὐκ ὢν δηλονότι, ἀλλ' ὑποκρινό-
μενος. Τὰς ὀφρῦς ἀνέσπακεν) Ἵνα
μὴ αὐτομάτως, ἢ ἐκ φύσεως γένηται,
αὐτὸς ἀνασπᾷ, φησί, πρὸς τοὺς και-
ροὺς σχηματιζόμενος. Καὶ ὁ γεγραμ-
ματευκὼς Αἰσχίνης) Ἐὰν τολμήσῃ τις
ὅλως εἰπεῖν, οὐχ ὁ νῦν γραμματεὺς
Αἰσχίνης, ἀλλ' ὁ ποτὲ γενόμενος, ἐχθρός
ἐστιν εὐθέως, καὶ τἄλλα. κατέχονται γὰρ
πάντες τῷ δέει.

ἔλεξε πολλῷ μᾶλλον ὑμῖν ἄξιον, ἢ τοῦ τοσαῦτα ἠδι- *τοιαῦτα
κηκότος, καὶ προδότου παιδός· καὶ ὅτι τοῖς ὑμετέροις
παισὶν οὗτοι, καὶ τοῖς ἐκγόνοις, προσσυγγράψαντες τὴν *τὴν εἰρ
564 εἰρήνην, καὶ τῶν ἐλπίδων ἀπεστερήκασι. πρὸς δὲ τὰ
αὐτοῦ τούτου δάκρυα, ὅτι νῦν ἔχετε ἄνθρωπον, ὃς εἰς
Ἀρκαδίαν ἐκέλευσεν ἐπὶ τοὺς ὑπὲρ Φιλίππου πράτ-
τοντας, πέμπειν τοὺς κατηγορήσοντας. νῦν τοίνυν ὑμᾶς
οὐκ εἰς Πελοπόννησον δεῖ πρεσβείαν πέμπειν, οὐδ'
565 ὁδὸν μακρὰν βαδίσαι, οὐδὲ ἐφόδια ἀναλίσκειν, ἀλλ'
ἄχρι τοῦ βήματος ἐνταυθοῖ προσελθόντα ἕκαστον ὑ-
μῶν, τὴν ὁσίαν καὶ δικαίαν ταύτην ψῆφον ὑπὲρ τῆς
πατρίδος θέσθαι κατ' ἀνδρὸς, ὃς, ὦ γῆ καὶ θεοὶ, ἐκεῖ-
να, ἃ διεξῆλθον ἐν ἀρχῇ διηγηματικῶς, τὸν Μαρα-
566 θῶνα, τὴν Σαλαμῖνα, τὰς μάχας, τὰ τρόπαια, ἐξαί-
φνης, ὡς ἐπέβη Μακεδονίας, πάντα τἀναντία τούτοις
ἔλεγε, μὴ προγόνων μεμνῆσθαι, μὴ τρόπαια λέ-
γειν, μὴ βοηθεῖν μηδενὶ, μὴ κοινῇ μετὰ τῶν Ἑλλήνων βου-
λεύεσθαι, μόνον οὐ καθελεῖν τὰ τείχη. καί τοι τούτων αἰ-
567 σχίους λόγοι οὐδένες πώποτε ἐν παντὶ τῷ χρόνῳ γεγό-
νασι παρ' ὑμῖν. τίς γάρ ἐστιν Ἑλλήνων, ἢ βαρβάρων οὕ-
τω σκαιὸς, ἢ ἀνήκοος, ἢ σφόδρα μισῶν τὴν πόλιν τὴν ἡ-
μετέραν, ὅστις, εἴ τις ἔροιτο, εἰπέ μοι, τῆς νῦν οὔσης Ἑλ-
λάδος ταυτησὶ καὶ οἰκουμένης, ἔσθ' ὅτι ταύτην ἂν
568 τὴν προσηγορίαν εἶχεν, ἢ ᾠκεῖτο ὑπὸ τῶν νῦν ἐχόν-
των Ἑλλήνων, εἰ μὴ τὰς ἀρετὰς ὑπὲρ αὐτῶν ἐκείνας ἐν
Μαραθῶνι, καὶ Σαλαμῖνι παρέσχοντο οἱ ἡμέτεροι πρό-
γονοι; οὐδ' ἂν εἷς οἶδ' ὅτι φήσειεν. ἀλλὰ ταῦτα πάν-
τα ὑπὸ τῶν βαρβάρων ἂν ἑαλωκέναι * εἶθ', οὓς μηδὲ *σωί ὅπ. ἀλ
569 τῶν ἐχθρῶν μηδεὶς ἂν, τούτων τῶν ἐγκωμίων, καὶ τῶν
ἐπαίνων ἀποστερήσειε, τούτων Αἰσχίνης ὑμᾶς οὐκ ἐᾷ με-
μνῆσθαι, τοὺς ἐξ ἐκείνων, ἵνα αὐτὸς ἀργύριον λάβῃ; καὶ
μὴν τῶν μὲν ἄλλων ἀγαθῶν, οὐ μέτεστι τοῖς τεθνεῶ-
570 σιν. οἱ δ' ἐπὶ τοῖς καλῶς πραχθεῖσιν ἔπαινοι, τῶν οὕτω
τετελευτηκότων ἴδιον κτῆμά εἰσιν. οὐδὲ γὰρ ὁ φθόνος αὐτοῖς ἔτι τηνικαῦτα ἐναν-
τιοῦται. ὧν ἀποστερῶν ἐκείνους οὗτος, αὐτὸς ἂν τῆς ἐπιτιμίας, δικαίως ἂν νῦν στερηθείη.
καὶ ταύτην ὑπὲρ τῶν προγόνων ὑμεῖς δίκην * λάβοιτε παρ' αὐτοῦ. τοιούτοις μέντοι *λάβοιτε. α.ς.
571 λόγοις, ὦ κακὴ κεφαλὴ, σὺ τὰ τῶν προγόνων ἔργα συλήσας, καὶ διασύρας
τῷ λόγῳ, πάντα τὰ πράγματα ἀπώλεσας. εἶτα γεωργεῖς ἐκ τούτων, καὶ σε-
μνὸς γέγονας. καὶ γὰρ αὖ τοῦτο, πρὸ μὲν τοῦ πάντα τὰ κακὰ εἰργάσθαι τὴν πό-
λιν, ὡμολόγει γεγραμματευκέναι, καὶ χάριν ὑμῖν ἔχειν τοῦ χειροτονηθῆναι καὶ
572 μέτριον παρεῖχεν ἑαυτόν. ἐπειδὴ δὲ * μυρία εἴργασται κακὰ, τὰς ὀφρῦς ἀνέσπα- *μυρία. α.ς.
κε. κἄν, ὁ γεγραμματευκὼς Αἰσχίνης, εἴποι τις, εὐθέως ἐχθρὸς καὶ κακῶς φησὶν ἀκη-
κοέναι, καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κεκάρθαι, καὶ διὰ τῆς ἀγορᾶς πορεύεται, θοἰμάτιον κα- 573
θεὶς ἄχρι τῶν σφυρῶν, ἴσα βαίνων πυθοκλεῖ, τὰς γνά-
θους φυσῶν. τῶν φιλίππου ξένων καὶ φίλων εἷς οὗτος ὑμῖν
ἤδη, τῶν ἀπαλλαγῆναι τοῦ δήμου βουλομένων, καὶ
κλύδωνα καὶ μανίαν τὰ καθεστηκότα πράγματα ἡ-
* προσίων. α. γουμένων, ὁ τέως ἔτι προσκυνῶν τὴν θόλον. Βού- 574
* κ. ἐπανελθεῖν. α. λομαι τοίνυν ὑμῖν ἐπὶ κεφαλαίων ἐπελθεῖν, ὃν
τρόπον ὑμᾶς κατεπολιτεύσατο φίλιππος, προσ-
λαβὼν τούτους τοὺς θεοῖς ἐχθρούς. πάνυ δὲ ἄξιον ἐξε-
τάσαι καὶ θεάσασθαι τὴν ἀπάτην ὅλην. τὸ μὲν γὰρ
* διαφθειρο- μένης. β. ε. ἀπ' ἀρχῆς τῆς εἰρήνης ἐπιθυμῶν, διαφορουμέ- 575
νης αὐτοῦ τῆς χώρας ὑπὸ τῶν λῃστῶν, καὶ κεκλῃσμέ-
νων τῶν ἐμπορίων, ὥστε ἀνόνητον ἐκεῖνον ἁπάντων
εἶναι τῶν ἀγαθῶν, τοὺς τὰ φιλάνθρωπα λέγοντας
ἐκείνους ἀπέστειλε ὑπὲρ αὑτοῦ, τὸν νεοπτόλεμον, τὸν
* ξενοφῶντα. δ ἀριστόδημον, τὸν κτησιφῶντα. ἐπειδὴ δὲ ἤλθομεν ὡς 576
αὐτὸν ἡμεῖς οἱ πρέσβεις, ἐμισθώσατο μὲν τοῦτον εὐ-
θέως, ὅπως συνερεῖ, καὶ συναγωνιεῖται τῷ μιαρῷ φι-
λοκράτει, καὶ τῶν τὰ δίκαια βουλομένων ὑμῶν
περιέσται. συνέγραψε δὲ ἐπιστολὴν ὡς
ὑμᾶς, ᾗ μάλιστα ἂν ᾤετο τῆς εἰρήνης τυχεῖν. ἦν δὲ οὐδὲν μᾶλλον μέγα αὐτῷ καθ' 577
ὑμῶν, οὐδ' οὕτω πρᾶξαι, εἰ μὴ φωκέας ἀπολεῖ. τοῦτο δὲ οὐκ ἦν εὔπορον. συνῆκτο
γὰρ αὐτῷ τὰ πράγματα ὥσπερ ἐκ τύχης εἰς καιρὸν τοιοῦτον, ὥστε ἢ μηδὲν ὧν ἐ-
βούλετο εἶναι διαπράξασθαι, ἢ ἀνάγκην εἶναι ψεύσασθαι καὶ ἐπιορκῆσαι, καὶ
μάρτυρας τῆς αὑτοῦ κακίας πάντας ἕλληνας καὶ βαρβάρους ποιήσασθαι. εἰ μὲν γὰρ
προσδέξαιτο φωκέας συμμάχους, καὶ μεθ' ὑμῶν τοὺς ὅρκους αὐτοῖς ἀποδοίη, τοὺς
πρὸς θετταλοὺς καὶ θηβαίους ὅρκους, παραβαίνειν εὐθὺς ἀναγκαῖον ἦν. ὧν τοῖς μὲν, τὴν
βοιωτίαν συνεξαιρήσειν ὀμωμόκει. τοῖς δὲ, τὴν πυλαίαν συγκαταστήσειν. εἰ δὲ μὴ 578
προσδέχοιτο, ὥσπερ οὐ προσίετο, οὐκ ἐάσειν ὑμᾶς αὐτὸν παρελθεῖν ἡγεῖτο, ἀλλὰ
βοηθήσειν εἰς πύλας. ὅπερ, εἰ μὴ παρεκρούσθητε, ἐποιήσατε ἄν. εἰ δὲ τοῦτο γένοιτο,
* τότε. α. ε. οὐκ ἐνεῖναι παρελθεῖν ἐλογίζετο. καὶ ταῦτα οὐ παρ' ἄλλων αὐτὸν ἔδει πυθέσθαι,
ἀλλ' αὐτὸς ὑπῆρχε μάρτυς ἑαυτῷ τοῦ πράγματος. ὅτε γὰρ τὸ πρῶτον φωκέας ἐ-
* β. α. κράτησεν ὁ φίλιππος, καὶ διέφθειρε τοὺς ξένους αὐτῶν, καὶ τὸν ἡγούμενον, καὶ στρατηγοῦν-
τα ὀνόμαρχον, τότε τῶν ὄντων ἁπάντων ἀνθρώπων οὐδενὸς οὔτε ἕλληνος, οὔτε βαρ-
βάρου φωκεῦσι βοηθήσαντος πλὴν ὑμῶν, οὐχ ὅπως παρῆλθεν, ἢ διεπράξατο ὧν 579
* ἐβουλήθη. β. ἠβουλήθη τι παρελθών, ἀλλ' οὐδὲ προσελθεῖν ἐγγὺς ἠδυνήθη. ἤδει δὲ σαφῶς, οἶμαι,
τοῦτο, ὅτι νῦν, ἡνίκα ἐστασίαζε μὲν αὐτῷ τὰ τῶν θετταλῶν, καὶ φεραῖοι πρῶτον οὐ
συνηκολούθουν, ἐκρατοῦντο δὲ θηβαῖοι, καὶ μάχῃ ἡττῶντο, καὶ τρόπαιον ἀπ'
αὐτῶν εἱστήκει, οὐκ ἔνεστι παρελθεῖν, εἰ βοηθήσεθ' ὑμεῖς, οὐδὲ ἂν ἐπιχειρῇ τοῖς ὅ-
πλοις, δυνήσεται, εἰ μή τις τέχνη προσγενήσεται. πῶς οὖν μήτε ψεύσομαι φα-
* πῶς ἐκ. γ. νερῶς, μήτε ἐπιορκεῖν δόξας, πάνθ' ὅσα βούλομαι διαπράξομαι· πῶς; οὕτως.
ἂν ἀθηναίων τινὰς εὕρω τοὺς ἀθηναίους ἐξαπατήσοντας· ταύτης γὰρ οὐκ ἔτ' ἐγὼ

Βούλομαι τοίνυν ὑμῖν ἐπὶ κεφαλ. 574
ἐπανελθεῖν) Ἀνακεφαλαίωσις τῶν ἐκ
τῆς δωροδοκίας κακῶν, ὧν ἐπολιτεύ-
σατο φίλιππος. οὐ γὰρ τοῖς ὅπλοις εἷ-
λεν ὑμᾶς, ἀλλ' ἐκ τῆς πολιτείας νενίκη-
κε. μονονοὺ γὰρ ἐδημηγόρει παρ' ὑμῖν,
τοὺς προδότας λέγων ἃ βούλεται.

Διαφορουμένης αὐτῷ τῆς χώρας) 575
Πορθουμένης, λεηλατουμένης. οὐ ὁ
τοὺς λῃστὰς μὴ φέρων, τοὺς φωκέας
ἀνήρπασε. Τοὺς τὰ φιλάνθρωπα
λέγοντας.) Ἐν λόγοις γὰρ μόνον ἦν, οὐκ
ἐν ἔργῳ ἡ φιλανθρωπία. Ἡμεῖς οἱ 576
πρέσβεις) Χωρίζει νῦν τὸν αἰσχίνην.
χρηστὸν γὰρ ὄνομα ἡ πρεσβεία. Ἐμι-
σθώσατο μὲν τοῦτον εὐθέως) Τὸ εὔκολον
αὐτοῦ καὶ εὔωνον δείκνυσι τὸ εὐθέως.
Οὔτε ἕλληνος, οὔτε βαρβάρου) Οὐ- 578
κοῦν καὶ νῦν ἠδύνατο καὶ μόνη ῥύσα-
σθαι αὐτοὺς ἡ πολιτεία, ἡ μηδὲ τότε
παρ' ἄλλων δεηθεῖσα συμμαχίας.

Πῶς; οὕτως) Σχ. ἔστι ζητοῦντος. τὸ 579
δὲ οὕτως, ὡς λοιπὸν εὑρέντων ἀθη-
ναίων τινάς, καὶ τοῦ φιλίππου ἀποροῦν-
τος, καὶ μονονοὺ δυσχεραίνοντος. ἆρα
παρ' ἀθηναίοις εὑρήσομεν ἄνδρα οὕ-
τωσὶ μοχθηρότατον; ἆρα δυνατὸν

τῆς αἰσχύνης κληρονομῶ. ἐπειδὴ οἱ μὲν παρ'
ἐκείνου πρέσβεις, προὔλεγον ὑμῖν, ὅτι Φωκέας οὐ
προσδέχεται Φίλιππος συμμάχους. οὗτοι δὲ ἐκ-
580 δεχόμενοι, τοιαῦτα ἐδημηγόρουν, ὡς φανερῶς μὲν
οὐχὶ καλῶς ἔχει τῷ Φιλίππῳ προσδέξασθαι τοὺς
Φωκέας συμμάχους, διὰ τοὺς Θηβαίους καὶ τοὺς Θετ-
ταλούς· ἐὰν δὲ γένηται τῶν πραγμάτων κύριος, καὶ
τῆς εἰρήνης τύχῃ, ἅπερ ἂν συνθέσθαι νῦν ἀξιώσαι-
μεν αὐτόν, ταῦτα ποιήσει τότε. τὴν μὲν τοίνυν εἰρήνην,
ταύταις ταῖς ἐλπίσι, καὶ ταῖς περισπουδαῖς, καὶ ταῖς
ὑπαγωγαῖς, εὕροντο παρ' ὑμῶν ἄνευ Φωκέων. τὴν δὲ — ἐπαγωγαῖς.
βοήθειαν ἔδει κωλῦσαι μετὰ ταῦτα τὴν εἰς τὰς Πύλας,
581 ἐφ' ἣν αἱ πεντήκοντα τριήρεις ὅμως ἐφώρμουν, ἵν', εἰ
πορεύοιτο Φίλιππος, κωλύοιτε ὑμεῖς. πῶς οὖν, τίς τέ-
χνη πάλιν αὖ γενήσεται περὶ ταύτης; τοὺς χρόνους ὑ-
μῶν ἀφελέσθαι, καὶ ἐπιστῆσαι τὰ πράγματα ἀγα-
γόντας ἄφνω, ἵνα, μηδ' ἂν βούλησθε, δυνήσησθε
ἐξελθεῖν. οὐκοῦν ταῦθ' οὗτοι περιελθόντες φαίνονται. ἐγὼ δ', ὥσπερ ἀκηκόατε ἤ- — περιελθόντες.
δη πολλάκις, οὐχὶ δυνηθεὶς προαπελθεῖν, ἀλλὰ καὶ μισθωσάμενος πλοῖον, κατε-
κωλύθην ἐκπλεῦσαι. ἀλλὰ καὶ πιστεῦσαι Φωκέας ἔδει Φιλίππῳ, καὶ ἑκόντας ἑαυ-
τοὺς ἐκδοῦναι, ἵνα μηδεὶς χρόνος ἐγγένηται τοῖς πράγμασι, μηδ' ἐναντίον ἔλ- — ἐκδοῦναι.
θῃ ψήφισμα παρ' ὑμῶν μηδέν. οὐκοῦν ὡς μὲν οἱ Φωκεῖς σωθήσονται, παρὰ τῶν Ἀ-
θηναίων πρέσβεων, ἀπαγγελθήσεται. ὥστε καὶ εἴ τις ἐμοὶ διαπιστεῖ, τούτοις πιστεύ-
σας, ἑαυτὸν ἐγχειριεῖ. τοὺς δ' Ἀθηναίους αὐτοὺς μεταπεμψόμεθ' ἡμεῖς, ἵνα πάντα, ὅσα
582 ἂν βούλωνται, νομίσαντες ὑπάρχειν σφίσι, μηδὲν ἐναντίον ψηφίσωνται. οὗτοι δὲ — ὑπάρξειν.
τοιαῦτα ἀπαγγελοῦσι παρ' ὑμῶν καὶ ὑποσχήσονται, ἐξ ὧν, μηδ' ἂν ὁτιοῦν ᾖ, κινη- — καὶ ὑμῶν.
θήσονται. τοῦτον τὸν τρόπον, καὶ τοιαύταις τέχναις, ὑπὸ τούτων τῶν κάκιστ' ἀπολου-
μένων ἀνθρώπων, πάντα τὰ πράγματα ἀπώλετο. καὶ γάρ τοι παραχρῆμα,
ἀντὶ μὲν τοῦ Θεσπιὰς καὶ Πλαταιὰς ἰδεῖν οἰκιζομένας, Ὀρχομενὸν καὶ Κορώνειαν ἠκού-
σατε ἐξηνδραποδισμένας. ἀντὶ δὲ τοῦ, τὰς Θήβας ταπεινὰς γενέσθαι, καὶ περιαιρε-
θῆναι τὴν ὕβριν καὶ τὸ φρόνημα αὐτῶν, τὰ τῶν συμμάχων τῶν ὑμετέρων Φω- — ἡμετέρων.
583 κέων τείχη κατεσκάπτετο. Θηβαῖοι δὲ ἦσαν οἱ κατασκάπτοντες, οἱ διοικισθέντες
ὑπὸ Αἰσχίνου τῷ λόγῳ. ἀντὶ δὲ τοῦ, τὴν Εὔβοιαν ἀντ' Ἀμφιπόλεως ἡμῖν πα-
ραδοθῆναι, ὁρμητήρια ἐφ' ἡμᾶς ἐν Εὐβοίᾳ Φίλιππος προκατεσκευάζετο,
καὶ Γεραιστῷ καὶ Μεγάροις ἐπιβουλεύων διατελεῖ. ἀντὶ δὲ τοῦ τὸν Ὠρωπὸν ὑμῖν — γεραιστῷ.
ἀποδοθῆναι, περὶ Δρυμοῦ καὶ τῆς πρὸς Πανάκτῳ χώρας, μεθ' ὅπλων ἐξερ- — περὶ πανάκτου.
χόμεθα. ὅ, τέως ἕως ἦσαν οἱ Φωκεῖς σῷοι, οὐδὲ πώποτε ἐποιήσαμεν. ἀντὶ δὲ
τοῦ, τὰ πάτρια ἐν τῷ ἱερῷ κατασταθῆναι, καὶ τὰ χρήματα εἰσπραχθῆναι
τῷ θεῷ, οἱ μὲν ὄντες Ἀμφικτύονες, φεύγουσι καὶ ἐξελήλανται, καὶ ἀνάστα-
584 τος αὐτῶν ἡ χώρα γέγονεν. οἱ δ' οὐδὲ πώποτε ἐν τῷ πρόσθεν χρόνῳ γενό-
μενοι, Μακεδόνες καὶ βάρβαροι, νῦν Ἀμφικτύονες εἶναι βιάζονται. ἐὰν δέ τις
περὶ τῶν ἱερῶν χρημάτων μνησθῇ, κατακρημνίζεται. ἡ πόλις δέ, τὴν προ-

μαντείαν 3

---

ὀφθῆναι τινὰ παρ' ἐκείνοις ῥᾳδίως
ψευσάμενον; φοβοῦμαι τὴν ἀττικὴν φύ-
σιν. χρηστοὺς ἐπίσταται τρέφειν οἰκή-
580 τορας. Ἅπερ ἂν συνθέσθαι νῦν
ἀξιώσαιμεν αὐτόν) Τί θέλει, φη-
σίν. αὐτὸς ἅπερ ὁμολογήσει τοῖς
λόγοις, ταῦτα κατορθώσει τοῖς ἔρ-
582 γοις. Μηδ' ἐναντίον ἔλθῃ ψήφι-
σμα) Ἤρκει μοι πρὸς τὴν δίκην τὸ
ψήφισμα δίκην σπάθης. ἐφοβεῖτο
γὰρ τὸ δόγμα τῶν Ἀθηναίων ὁ Φίλιπ-
πος. Ἀντὶ μὲν τοῦ Θεσπιὰς καὶ Πλα-
ταιὰς) Ἐπόθει, φησί, πόλεις ἑλληνί-
δας ἰδεῖν οἰκιζομένας, καὶ ἀνδραπο-
δισθείσας ἀκηκόατε. Καὶ περιαι-
ρεθῆναι τὴν ὕβριν) ἵνα μὴ κατὰ φθό-
νον δοκῇ λέγειν τὸ περιαιρεθῆναι δὲ
τοῦ φρονήματος καὶ τοῦ ἀξιώματος προ-
σέθηκε τὴν ὕβριν, ἵνα δικαίως δοκῇ
583 λέγειν. Θηβαῖοι δ' ἦσαν οἱ κατασκά-
πτοντες) Διπλοῦν εἰργάσατο πάθος,
ἐχθροὺς δεδωκὼς τοὺς αὐτόχειρας. Ὑπ' — ἐλέγχους.
Αἰσχίνου τῷ λόγῳ) Εἶδε καὶ Φωκέας εἶδον

μαντεῖον ἀφῄρηται, καὶ γέγονε τὰ πράγματα πάν-
τα, ὥσπερ αἴνιγμα τῇ πόλει. ὁ μὲν οὐδὲν ἔψευσται, καὶ
πάντα, ὅσα ἐβουλήθη, διαπέπρακται. ὑμεῖς δὲ ἅπερ
ηὔξασθε ἂν ἐλπίζοντες, τἀναντία τούτων ἑωράκα-
τε γιγνόμενα. καὶ δοκεῖτε μὲν εἰρήνην ἄγειν, πεπόν- 585
θατε δὲ δεινότερα, ἢ πολεμοῦντες. οὗτοι δὲ χρήματα
ἔχουσιν ἐπὶ τούτοις, καὶ μέχρι τῆς τήμερον ἡμέρας, δί-
κην οὐ δεδώκασιν. ὅτι δὲ ταῦθ' ἁπλῶς δεδωροδό-
κηται, καὶ τιμὴν ἔχουσι ἁπάντων τούτων οὗτοι, πολ-
λαχόθεν μὲν ἔγωγ' οἶμαι δῆλον ὑμῖν εἶναι πάλαι· καὶ 586
δέδοικα μὴ τοὐναντίον οὗ βούλομαι, ποιήσω, σφό-
δρα ἀκριβῶς δεικνύναι πειρώμενος, ἐνοχλῶ, πά-
λαι τοῦτο αὐτοὺς ὑμᾶς εἰδότας. ὅμως δ' οὖν ἔτι καὶ τόδε
ἀκούσατε μου. ἔστιν ὅντινα ὑμεῖς ὦ ἄνδρες δικασταί,
τῶν πρέσβεων, ὧν ἔπεμψε Φίλιππος, χαλκοῦν στή- 587
σαιτ' ἂν ἐν ἀγορᾷ; τί δέ. δοίητ' ἂν πρυτανείῳ σίτη-
σιν, ἢ ἄλλην τινὰ δωρεάν, αἷς τιμᾶτε τοὺς εὐεργέτας;
ἐγὼ μὲν οὐκ οἴομαι. διὰ τί; οὔτε γὰρ ὑμεῖς γε ἀχά-
ριστοί ἐστε, οὔτε ἄδικοι ἂν θέλοιτε, οὔτε κακοί. ἀλλ' ὅτι
πάνθ' ὑπὲρ Φιλίππου καὶ οὐδοτιοῦν ὑπὲρ ὑμῶν 588
ἔπραξαν, εἴποιτε ἄν· καὶ ἀληθῆ καὶ δίκαια ἂν εἴποιτε.
εἶτα οἴεσθε ὑμεῖς μὲν οὕτω γιγνώσκειν, τὸν δὲ Φίλιπ-
πον οὐχ οὕτως; ἀλλὰ τούτοις διδόναι τηλικαύτας καὶ
τοσαύτας δωρεάς, διότι ὑπὲρ ὑμῶν καλῶς καὶ δικαίως
ἐπρέσβευσαν; οὐκ ἔστι ταῦτα. τὸν γὰρ ἡγήσιππον ὁ- 589
ρᾶτε, καὶ τοὺς μετ' αὐτοῦ πρέσβεις ὅπως ἐδέξατο. τὰ μὲν
ἄλλα σιωπῶ. ἀλλὰ * Ξενοκλείδην τουτονὶ τὸν ποιη-
τὴν ἐξεκήρυξεν, ὅτι αὐτοὺς ὑπεδέξατο, πολίτας ὄν-
τας. τοῖς μὲν γὰρ ὑπὲρ ὑμῶν λέγουσι δικαίως, ὅσα ἂν
φρονῶσι, τοῦτον τὸν τρόπον προσφέρεται. τοῖς δὲ πε- 590
πρακόσιν ἑαυτούς, ὡς τούτοις. ταῦτ' οὖν μαρτύρων;
ταῦτ' οὖν ἐλέγχων τινῶν ἔτι δεῖται μειζόνων; ταῦτ'
ἀφαιρήσεταί τις ὑμῶν; εἶπε τοίνυν μοί τις ἄρτι προ-
σελθὼν πρὸ τοῦ δικαστηρίου, πρᾶγμα καινότατον
πάντων, Χάρητος κατηγορεῖν αὐτὸν παρεσκευάσθαι, καὶ 591
διὰ τούτου τοῦ τρόπου, καὶ διὰ τούτων τῶν λόγων, ἐξα-
πατήσειν ὑμᾶς ἐλπίζειν. ἐγὼ δ' ὅτι μὲν πάντα τρόπον
κρινόμενος Χάρης, εὑρεθήσεται πιστῶς καὶ εὐνοϊκῶς, ὅσον
ἦν ἐπ' ἐκείνῳ, πράττων ὑπὲρ ὑμῶν. διὰ δὲ τοὺς
ἐπὶ χρήμασι λυμαινομένους τοῖς πράγμασι, πολ- 592
λῶν ὑστερῶν, οὐ πάνυ διισχυρίζομαι. ἀλλ' ὑπερβολὴν ποιήσομαι. ἔστω γὰρ πάν-
τα τἀληθῆ λέξειν περὶ αὐτοῦ τουτονί. καὶ οὕτω τοίνυν κομιδῇ γέλως ἐστὶ κατηγορεῖν

συνθέντας, καὶ τοὺς Θηβαίους διοικι-
σθέντας τῷ ἔργῳ. νῦν δέ, οὓς τοῖς ῥή-
μασιν ἔσωσας, ἔφθειρας τοῖς πρά-
γμασιν, οὓς δὲ διῴκισας τῷ λόγῳ,
οὗτοι τοὺς Φωκέας αὐτόχειρες κα-
τέσκαψαν τῷ ἔργῳ. Ἔστιν ὅντιν' 586
ἂν ὑμεῖς) Τὰ μέρη τοῦ προτέρου
στοχασμοῦ ἐργασάμενος, μνημονεύει
οὐδὲν ἧττον καὶ τοῦ δευτέρου τοῦ περὶ
τῆς δωροδοκίας. καὶ ἄρχεται λοιπὸν
ἐντεῦθεν τοῦ κατὰ τὴν δωροδοκίαν ἐπι-
λόγου, φάσκων, ὅτι οὐκ ἂν ὁ Φίλιπ-
πος ἔδωκεν. οὐδὲ γὰρ ἂν ὑμεῖς εἰ-
κόνα δοίητε, οὐδὲ σιτηρέσιον, οὐδὲ τῶν
ἁπάντων οὐδέν, εἰ μὴ ὑπὲρ ὑμῶν
πολιτεύσαιτο. Ἀλλὰ Ξενοκλείδην 589
τουτονί) Οὗτος ποιητὴς ὢν Ἀθη-
ναῖος, διέτριβεν ἐν τῇ Μακεδονίᾳ.
ὃς ὑπεδέξατο πολίτην ὄντα καὶ ἀ-
σπαζόμενον τὸν ἡγήσιππον. εἶτα μα-
θὼν ὁ Φίλιππος ἀπείρηκεν αὐτῷ εἶναι
ἐν Μακεδονίᾳ. Τίς ἄρτι προσελ- 590
θὼν πρὸ τοῦ δικαστηρίου) Ἵνα μὴ δόξῃ
ἐσκεμμένα λέγειν, βούλεται δὲ πρὸς
τῷ τέλει τοῦ λόγου, στρατηγοὺς ἀντι-
τάξαι τῷ Αἰσχίνῃ, ὡς ὑβριζομένους
ὑπ' αὐτοῦ. Ἐγὼ δ' ὅτι μὲν πάν- 591
τα τρόπον κρινόμενος Χάρης) Ἐπειδὴ
μεμερισμένοι ἦσαν οἱ στρατηγοὶ καὶ
οἱ ῥήτορες, καὶ ἀλλήλοις συνεστήκει-
σαν, οἱ μέν, Εὐβούλῳ· οἱ δέ, τῷ ῥή-
τορι, ὧν Φωκίων ἦν τῶν ἐναντιουμέ-
νων Δημοσθένει, εἰκότως ἐπάγεται καὶ
αὐτὸς ἐνταῦθα τὴν εὔνοιαν τὴν τοῦ
Χάρητος, ὥσπερ καὶ τῷ κατὰ Μειδίου
πεποίηκε, συγκρίνων τοὺς ἄλλους ἱπ-
πάρχους Μειδίᾳ. κἀνταῦθα τὸ αὐτὸ
τοῦτο θεώρημα φαίνεται ἡμῖν ἐπιδει-
ξάμενος. τίνα τοῦτο; συγκρίνειν βούλε-
ται Χάρητα τῷ Αἰσχίνῃ, ὁμοῦ μὲν εὔ-
νοιαν ἑαυτῷ κατασκευάζων, ὁμοῦ
δὲ πρὸς ἐκεῖνον ἀπέχθειαν, ἵνα, ὥσ-
περ ὁ Φωκίων τέτακται μετὰ τῶν ἀν-
τιδικούντων τῷ ῥήτορι, οὕτω φαί-
νηται καὶ Χάρης αὐτῷ συντεταγμέ-
νος. ἐνδείκνυται οὖν ἀπολογούμενος
ὑπὲρ τοῦ ἀνδρός. καὶ ἐπειδὴ ἡ ἀντί-
θεσις εἶχεν αἰσχύνην ἐν τοῖς προειρη-
μένοις, ἀλλ' οὐχ οἷόν τε ἦν ποιήσα-
σθαι τὴν εἰρήνην, οἵαν ἠξίου Δημοσθέ-
νης, κακῶς τῶν στρατηγῶν κεχρημένων
τῷ πολέμῳ, φαίνεται ἀπαντλῶν τῶν
στρατηγῶν τῆς τοιαύτης βλασφημίας,
καταλιπὼν * τῶν στρατηγῶν τῷ βλα-
σφημοῦντι Αἰσχίνῃ, ἵν' Αἰσχίνης φαί-
νηται τῶν φίλων κατηγορῶν.

ὑμεῖς. α.
ηὔξάμεθ'.
α. δ.
* κ. γρ.
* ἦ.
* ἐστ'. α.
* γρ. καὶ ξενοκλείδην.
* γρ. ὧν δ.
σφόδρα. β.
λέγει. κ.

600 Καίτοι καὶ περὶ τῆς φωνῆς ἴσως εἰπεῖν ἀνάγκη) Ἐπ' ἄλλο τι μεταβαίνει μέρος τῶν λυπούντων λύπη. ἔστι γὰρ εὐφωνότατος Αἰσχίνης, ὡς αὐτὸς μαρτυρεῖ πολλάκις ὁ Δημοσθένης. ἐπειδὴ οὖν πολλάκις συμβαίνει τοὺς ἀκούοντας καταγοητεύεσθαι τῇ ποιᾷ φωνῇ καὶ ὑποκρίσει, διὰ τοῦτο εἰκότως καὶ τοῦτο, ὡς ἕνια τῶν λυπούντων, θεραπεῦσαι βούλεται. μέγα γὰρ εὐφωνία καὶ ὑπόκρισις ἐν ἀγῶνι καὶ λόγῳ, καὶ μάλιστα πρὸς ἰδιώτας κριτὰς ὅταν γίγνηται. ἐπειδὴ τοίνυν αὐτὸς ἡττᾶται τούτῳ τῷ μέρει, αἰτιᾶται τὴν εὐφωνίαν, τὴν ἑαυτοῦ γνώμην καὶ προαίρεσιν, βουλόμενος θηρεῦσαι τοὺς ἀκούοντας ἐκ τῆς περὶ αὐτὸν χρήσεως καὶ εὐνοίας, ἣν πολλάκις ὑπεδείξατο ἐν τοῖς κοινοῖς. ὅταν γὰρ μὴ ἔχωμεν ὁμοίοις ὅμοια ἀντιτιθέναι, τὸ τηνικαῦτα οὐδὲν κωλύει καὶ ἕτερα πλεονεκτήματα λέγειν. καὶ διὰ τοῦτο καιρὸν ἔχει καὶ τῶν ἑαυτοῦ πολιτευμάτων ὑπομνῆσαι, καὶ λύσεως αἰχμαλώτων, καὶ πολλῶν εὐεργετημάτων, ἵνα διὰ τούτων εἰς εὔνοιαν τοὺς ἀκούοντας ἐκκαλέσηται.

ἐκείνῳ τουτονί. ἐγὼ γὰρ Αἰσχίνην οὐδενὸς αἰτιῶμαι τῶν
ἐν τῷ πολέμῳ πραχθέντων. τούτων γάρ εἰσιν οἱ
593 στρατηγοὶ ὑπεύθυνοι. οὐδὲ τοῦ ποιήσασθαι τὴν πό- γρ. τῇ πόλει
λιν εἰρήνην. ἀλλ' ἄχρι τούτου πάντα ἀφίημι. τί οὖν
λέγω, καὶ πόθεν ἄρχομαι κατηγορεῖν; τοῦ ποιουμένης
τῆς πόλεως εἰρήνην, Φιλοκράτει συνειπεῖν, ἀλλὰ μὴ
τοῖς τὰ βέλτιστα γράφουσι, καὶ τοῦ δῶρα εἰληφέναι, τοῦ
594 μετὰ ταῦτα ἐπὶ τῆς ὑμετέρας πρεσβείας τοὺς χρό- ὑπερ. ὑστέρας. βουλ.
νους κατατρῖψαι, καὶ μηδὲν ὧν προσετάξατε ὑμεῖς,
ποιῆσαι. τοῦ φενακίσαι τὴν πόλιν, καὶ παραστήσαντα
τὰς ἐλπίδας, ὡς, ὅσα βουλόμεθα ἡμεῖς, Φίλιππος
πράξει, πάντα ἀπολωλεκέναι. τοῦ μετὰ ταῦτα ἑτέ-
595 ρων προλεγόντων, φυλάττεσθαι τὸν τοσαῦτα ἠδικη-
κότα, τοῦ τὸν ἐκείνῳ συνηγορεῖν. ταῦτα κατηγορῶ. ταῦ-
τα μέμνησθε. ἐπεὶ εἰ δικαίαν εἰρήνην καὶ ἴσην ἑώρων,
καὶ μηδὲν πεπρακότας ἀνθρώπους, μηδὲ ψευσα-
μένους ὕστερον, κἂν ἐπῄνουν, καὶ στεφανοῦν ἐκέλευον.
596 στρατηγὸς δ' εἴ τις ἠδίκηκεν ὑμᾶς, οὐχὶ κοινωνεῖ τῶν
νῦν εὐθύναις. ποῖος γὰρ στρατηγὸς Ἅλον, τίς δὲ Φωκέας ἄλλον. ἐ.
ἀπολώλεκε. τίς δὲ Δορίσκον, τίς δὲ Κερσοβλέπτην, τίς
δὲ ἱερὸν ὄρος, τίς δὲ Πύλας, τίς δὲ πεποίηκεν ἄχρι τῆς Ἀττικῆς, ὁδὸν διὰ συμμά-
χων καὶ φίλων εἶναι Φιλίππῳ. τίς δὲ Κορώνειαν. τίς δὲ Ὀρχομενόν. τίς δ' Εὔβοιαν ἀλλο-
597 τρίαν. τίς Μέγαρα πρῴην ὀλίγου. τίς Θηβαίους ἰσχυρούς. τούτων γὰρ οὐδὲν τοσούτων
καὶ τηλικούτων ὄντων, διὰ τοὺς στρατηγοὺς ἀπώλετο. οὐδὲν τῇ εἰρήνῃ συγχωρηθὲν, γρ. συγχωρηθεὶς
οὐδὲ πεισθέντων ὑμῶν ἔχει Φίλιππος. ἀλλὰ διὰ τούτους ἀπόλωλε, καὶ τὴν τούτων
δωροδοκίαν. ἂν τοίνυν ταῦτα μὲν φεύγῃ, πλανᾷ δὲ, καὶ πάντα μᾶλλον λέγῃ, ἐκεί-
598 νως αὐτὸν δέχεσθε. οὐ στρατηγῷ δικάζομεν, οὐ περὶ τούτων κρίνῃ, μὴ λέγε εἴ τις αἴ-
τιός ἐστι καὶ ἄλλος τοῦ τῶν Φωκέων ὀλέθρου. ἀλλ' ὡς οὐ σὺ συναίτιος εἶ, δεῖξον. τί
οὖν εἴ τι Δημοσθένης ἠδίκει, νῦν λέγεις, ἀλλ' οὐχ ὅτε τὰς εὐθύνας ἐδίδου, κατηγόρεις. γρ. ἠδίκηκε.
δι' αὐτὸ γὰρ εἶ τοῦτο, ἀπολωλέναι δίκαιος. μὴ λέγε ὡς καλὸν ἡ εἰρήνη, μηδὲ ὡς
599 συμφέρει. οὐδεὶς γὰρ αἰτιᾶταί σε τοῦ ποιήσασθαι τὴν πόλιν εἰρήνην, ἀλλ' ὡς οὐκ
αἰσχρὰ καὶ ἐπονείδιστα, καὶ πολλὰ ὕστερον ἐξηπατήμεθα, καὶ πάντα ἀπώλετο, ταῦ-
τα λέγε. τούτων γὰρ ἡμῖν ἁπάντων αἴτιος σὺ δέδειξαι. καὶ τί δὴ μέχρι νῦν τὸν τὰ νυνί. ἀ.
τοιαῦτα πεποιηκότα, ἐπαινεῖς. ἂν οὕτω φυλάττητε αὐτὸν, οὐχ ἕξει τί λέγῃ, ἀλλὰ
600 τὴν ἄλλως ἐνταῦθα ἐπαρεῖ τὴν φωνὴν, καὶ πεφωνασκηκὼς ἔσται. καίτοι καὶ περὶ
τῆς φωνῆς ἴσως εἰπεῖν ἀνάγκη. πάνυ γὰρ μέγα καὶ ἐπὶ ταύτῃ φρονεῖν αὐτὸν ἀκούω,
ὡς καθυποκρινούμενον ὑμᾶς. ἐμοὶ δὲ δοκεῖτε ἀτοπώτατον ἁπάντων ἂν ποιῆσαι, εἰ
ὅτε μὲν τὰ Θυέστου, καὶ τῶν ἐπὶ Τροίᾳ κακὰ ἠγωνίζετο, ἐξεβάλλετε αὐτὸν, καὶ ἐξε- Τροίαν. ἀ.
601 συρίττετε ἐκ τῶν θεάτρων, καὶ μόνον οὐ κατελεύετε οὕτως, ὥστε τελευτῶντα, τοῦ τρι-
ταγωνιστεῖν ἀποστῆναι. ἐπειδὴ δὲ οὐκ ἐπὶ τῆς σκηνῆς, ἀλλ' ἐν τοῖς κοινοῖς καὶ τοῖς β. ἀ.
μεγίστοις τῆς πόλεως πράγμασι μυρία εἴργασται κακὰ, τηνικαῦτα ὡς καλὸν γρ. καλῶς.
φθεγγομένῳ προσέχοιτε; μηδαμῶς. μηδὲν ἀβέλτερον ὑμεῖς πάθητε. ἀλλὰ λο-
γίζεσθε,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γρ. εὔφωνον σκοπεῖν. — ἤζεσθε, ὅτι δεῖ κήρυκα μὲν ἂν δοκιμάζητε, εὐφω- 602
νος, σκοπεῖν πρεσβευτὴν δέ, καὶ τῶν κοινῶν ἀξιοῦντά
τι πράττειν, δίκαιον καὶ φρόνημα ἔχοντα, ὑπὲρ μὲν — ἔχειν δεῖ.
ὑμῶν μέγα, πρὸς δὲ ὑμᾶς ἴσον. ὥσπερ ἐγὼ Φίλιπ-
πον μὲν οὐκ ἐθαύμασα, τοὺς δὲ αἰχμαλώτους θαυ-
μάσας ἔσωσα, οὐδὲν δὲ ὑπεστειλάμην. οὗτος δὴ ἐκείνῳ 603
μὲν προὐκυλινδεῖτο, καὶ τοὺς παιᾶνας ᾖδεν, ὑμῶν δὲ
ὑπερεώρα. ἔτι τοίνυν ὅταν μὲν ἴδητε δεινότητα, ἢ εὐ- — εἰδῆτε. α. ε.
φωνίαν, ἢ τι τῶν ἄλλων τῶν τοιούτων ἀγαθῶν ἐπὶ χρη-
στοῦ καὶ φιλοτίμου γεγενημένον ἀνθρώπου, συγχαίρειν
καὶ συνασκεῖν ἅπαντας δεῖ. κοινὸν γὰρ ὑμῖν ἅπασι τοῖς ἄλλοις τοῦτο τὸ ἀγαθὸν γί- 604
γνεται. ὅταν δὲ ἐπὶ δωροδόκου καὶ πονηροῦ, καὶ παντὸς ἥττονος λήμματος, ἀποκλείειν,
καὶ πικρῶς καὶ ἐναντίως ἀκούειν. ὡς πονηρία δυνάμεως δόξαν εὑρημένη παρ' ὑ-
μῶν, ἐπὶ τὴν πόλιν ἐστίν. ὁρᾶτε δὴ ἀφ' ὧν οὗτος εὐδοκιμεῖ, πηλίκα τῇ πόλει πε- — ἡλίκα δή.
ριέστηκε πράγματα. αἱ μὲν τοίνυν ἄλλαι δυνάμεις ἐπιεικῶς εἰσὶν αὐτάρκεις. ἡ 605
δὲ τοῦ λέγειν, ἂν τὰ παρ' ὑμῶν τῶν ἀκουόντων ἀντιστῇ, διακόπτεται. οὕτως οὖν ἀ-
κούετε τούτου, ὡς πονηροῦ, καὶ δωροδόκου, καὶ οὐδοτιοῦν ἐροῦντος ἀληθές. ὅτι δὴ οὐ
μόνον κατὰ τὰ ἄλλα, ἀλλὰ καὶ τὰ πρὸς αὐτὸν τὸν Φίλιππον πράγματα πανταχοῦ
χοῦ συμφέρει τουτονὶ ἑαλωκέναι, θεάσασθε. εἴτε γὰρ ἥξει ποτὲ εἰς ἀνάγκην τῶν δι- 606
καίων τι ποιεῖν τῇ πόλει, τὸν τρόπον μεταθήσεται. νῦν μὲν γὰρ προῄρηται τοὺς πολ-
λοὺς ἐξαπατᾶν, ὀλίγους θεραπεύειν. ἂν δὲ τούτους ἀπολωλότας πύθηται, ὑμῖν τοῖς
πολλοῖς, καὶ πάντων κυρίοις, τὰ λοιπὰ ποιεῖν βουλήσεται. εἴτ' ἐπὶ τῆς αὐτῆς, ἧς περ
νῦν, ἐξουσίας καὶ ἀσελγείας μένει, τοὺς ὁτιοῦν ἂν ἐκείνῳ ποιήσοντας ἀνῃρηκότες ἐκ 607 — γρ. μένει.
τῆς πόλεως ἔσεσθε, ἂν τούτους ἀνέλητε· εἰ γὰρ οἰόμενοι δίκην ὑφέξειν τοιαῦτα ἔ-
πραξαν, τούτοις, ἐὰν τὰ παρ' ὑμῶν ἀφεθῇ αὐτοῖς, τί οἴεσθε ποιήσειν. ποῖον Εὐθυ- — ποιεῖν δή.
κράτην, ποῖον Λασθένην, τίν' οὐχ ὑπερβαλεῖσθαι προδότην; τίνα δὴ οὐ πάντων
τῶν ἄλλων χείρω πολίτην ὑπάρξειν, ὁρῶντα τοῖς μὲν ἅπαντα πεπρακόσι, χρή- 608
ματα, δόξαν, ἀφορμήν, τὴν Φιλίππου ξενίαν περιοῦσαν· τοῖς δὲ δικαίους τε παρέ-
χουσιν ἑαυτούς, καὶ προσανηλωκόσι χρήματα, πράγματα, ἀπεχθείας, φθόνους — γρ. φθόνον.
προσιόντα παρ' ἐνίων; μηδαμῶς. οὔτε γὰρ πρὸς δόξαν, οὔτε πρὸς εὐσέβειαν, οὔτε
πρὸς ἀσφάλειαν, οὔτε πρὸς ἄλλο οὐδὲν ὑμῖν συμφέρει, τοῦτον ἀφεῖναι, ἀλλὰ τιμω- 609
ρησαμένους παράδειγμα ποιῆσαι πᾶσι, καὶ τοῖς πολίταις, καὶ τοῖς ἄλλοις Ἕλλησιν.

Οὗτος δὴ ἐκείνῳ μὲν προὐκυλινδεῖτο) Ὡς ἀνδράποδον δραπετεῦσαν. διὰ δὲ τῶν ἐναντίων μέρος κατασκευάζει αἰσχίνη. ἐπειδὴ δὲ ῥήτορες ἄμφω, ἐβουλήθη τὸ ἐξισάζον διαφορᾷ λῦσαι. δείκνυσι ὅτι, οὐ τῆς ἴσης τιμῆς, οὐδὲ τῆς ἀξίας ἀμφότεροι. εἴπερ ὁ μέν, ὑπὲρ τῆς πατρίδος. ὁ δέ, ὑπὲρ Φιλίππου πεπολίτευται. 603
Ὅτι δὴ οὐ μόνον κατὰ τὰ ἄλλα) Ἑκατέρως εἰπών, τί μὲν ἀποβήσεται αὐτοῖς ὀρθῶς δικάσασι, καὶ τί μή, κατέκλεισεν ἐν τούτοις λοιπὸν τὴν ὑπόθεσιν. 605

## ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ, ΤΟΥ ΠΕΡΙ ἀτελείας πρὸς Λεπτίνην λόγου.

Η τῶν Ἀθηναίων πόλις, ἄλλοις τε ἐτίμα τοὺς εὐεργέτας, καὶ ἀτελείᾳ λειτουργιῶν. πολλῶν οὖν λαμβανόντων αὐτήν, σπάνις ἐδόκει τῶν λειτουργησόντων εἶναι. διὰ τοῦτο Λεπτίνης νόμον εἰσήνεγκεν, εἶναι μηδένα ἀτελῆ, μήτε τὸ λοιπὸν ἐξὸν εἶναι τῷ δήμῳ δοῦναι. τὸν δὲ ἀτέλειαν αἰτήσαντα, πάσχειν τὰ ἔσχατα. τοῦτον ἀντεγράψαντο τὸν νόμον, πρότερον μὲν ἄλλοι, μεθ' ὧν καὶ Βάθιππος, καὶ οὐκ ἐπεξῆλθεν, ἢ χρήματα λαβών, ἢ νόσῳ περιπεσών. νῦν δὲ Φορμίων καὶ Κτήσιππος, ὁ Χαβρίου παῖς, καὶ τινὲς μετ' αὐτῶν, οἷς συνήγορος Δημοσθένης γίνεται. ὁ μὲν οὖν Λεπτίνης, πλέον ἰσχύει τῷ συμφέροντι. τὴν γὰρ χρείαν προΐσχεται. ὁ δὲ Δημοσθένης, τῷ τε ἐνδόξῳ, καὶ τῷ δικαίῳ. καὶ τῷ δικαίῳ μέν, ὅτι δίκαιόν ἐστι τοὺς εὖ ποιήσαντας, ἀντιπεπονθέναι, καὶ τοὺς ὀρθῶς ἀντιλαβόντας, τῶν δοθέντων μὴ ἀφαιρεῖσθαι. τῷ δὲ ἐνδόξῳ, διότι τάχα μὲν καὶ ἄλλοις αἴσχιον ἃ δεδώκασιν, ἀφαιρεῖσθαι. Ἀθηναίοις δὲ οὐχ ἥκιστα, οἷς ἀντ' ἄλλου γνωρίσματος, τὸ μεγαλόψυχον προσεῖναι δοκεῖ. ἐπιδείκνυσι δὲ ὅτι καὶ παρανόμως εἰσήνεγκε

ἐγράψαντο. α. η.

# ΕΙΣ ΤΟΝ ΠΡΟΣ ΛΕΠΤΙΝΗΝ ΠΕΡΙ ΑΤΕΛΕΙΑΣ, ΔΗΜΟΣΘΕΝΟΥΣ ΛΟΓΟΝ ΕΞΗΓΗΣΙΣ.

Ἄνδρες δικασταί, μάλιστα μὲν εἵνεκα τοῦ νομίζειν συμφέρειν τῇ πόλει λελύσθαι τὸν νόμον, εἶτα καὶ τοῦ παιδὸς εἵνεκα τοῦ χαβρίου, ὡμολόγησα τούτοις, ὡς ἂν οἷός τε ὦ, συνερεῖν) Οὗτος ὁ λόγος τὰ δύο εἴδη ἔχει, τό, τε συμβουλευτικόν, καὶ τὸ δικανικόν. τάχα δὲ καὶ τὸ πανηγυρικόν. Ἔστι δὲ δευτερολογία. Πᾶσα δὲ δευτερολογία, ἐπ᾽ ἔλαττον ἀσχολεῖται περὶ τὰς προοιμιακὰς ἐννοίας· ἐπειδὴ πῶς γὰρ τὰ λυποῦντα θεραπεύεται παρὰ τῶν λαγχανόντων τοῦ λέγειν τὴν προτέραν χώραν. τῶν δὲ δευτερολογιῶν ἐστὶ διαφορά· αἱ μὲν γὰρ αὐτῶν εἰσὶν ἐπίλογοι μόνον, ὥσπερ οἱ κατ᾽ ἀριστογείτονος προτεταγωνισαμένου τοῦ λυκούργου, ἢ μικρά, μᾶλλον δὲ οὐδὲν καταλιπόντος εἰς ἀπόδειξιν τῶν πραγμάτων τῷ ῥήτορι. αἱ δέ, ἐπ᾽ ἔλαττον μὲν ἔχουσι τὸν ἀγῶνα, ὥσπερ ὁ κατ᾽ ἀνδροτίωνος. διὰ τὸ μὴ πολὺ διαφέρειν κατὰ τὴν ἐν τοῖς λόγοις ὑπόληψιν διοδώρου εὐκτήμονα. ἡ δὲ νῦν ἐξεταζομένη δευτερολογία, σχεδὸν τὰ ἀναγκαιότατα τοῦ ἀγῶνος, συμπεριλαβοῦσα ἔχει, ὡς δείκνυται ἐκ τῆς ἐργασίας. διὰ ταύτην τὴν αἰτίαν, βραχὺ καὶ τὸ προοίμιον. ἐμφαντικὸν δὲ γέγονε τῶν ἀναγκαιοτάτων δύο κεφαλαίων, τοῦ τε συμφέροντος καὶ τοῦ δικαίου. ἃ δὴ καὶ κατωνόμασε, τὸ δὲ δίκαιον, διὰ τῆς συνηγορίας τῆς ὑπὲρ χαβρίου παιδὸς δεδήλωκεν. ἐμνημόνευσε δὲ καὶ τοῦ νομίμου ἐν ταυτῷ. διὰ μὲν οὖν τοῦ νόμου τὸ νόμιμον· διὰ δὲ τοῦ συμφέροντος, τὸ λυσιτελοῦν τῇ πόλει. διὰ δὲ τοῦ χαβρίου παιδός, τὸ δίκαιον. Εἶτα καὶ τοῦ παιδός) Ἀπολαυέτω, φησί, μετὰ τοῦ κοινοῦ συμφέροντος καὶ ὁ παῖς τοῦ εὐεργέτου. ὀνίνησιν ἡ γραφὴ τὴν πόλιν ὅλην, καὶ τοῦ στρατηγοῦ τὸν υἱόν. τὸν δὲ χαβρίαν ὀνομάζει, κρύπτων τοῦ παιδὸς τὴν προσηγορίαν, ἤτοι ὅτι νέος ἦν κομιδῇ, καὶ οὐδέν πω ἔπραξε, καὶ διὰ τοῦτο οὐκ ἦν αἰδέσιμος τοῖς ἀκούουσι, καὶ εἰκότως αὐτὸν ἀπὸ τοῦ γεγεννηκότος κοσμεῖ, καὶ ὥσπερ τινὰ κλῆρον, συμπλάττων τὸ γέρας αὐτῷ. πρέπον οὖν ἡγήσατο ἀπὸ τοῦ στρατηγήσαντος καὶ κεκοσμημένου ταῖς παρὰ τῆς πόλεως τιμαῖς, καὶ ἐνδοξοτέρου, τὴν συνηγορίαν ποιήσασθαι. διὰ γὰρ τὸν πατέρα, καὶ ὁ παῖς λαβεῖν ἀγωνίζεται. ὅτι μὲν οὖν οἱ παῖδες ἐνδοξότεροι τῶν πατέρων εἰσίν, ἀπὸ τῶν παίδων πολλάκις ἐπὶ τοὺς πατέρας ἡ φιλοτιμία χωρεῖ. ὅτι δὲ οἱ πατέρες διδόασι τοῖς παισὶ σεμνύνεσθαι, τότε ἀπὸ τῶν ἐνδόξων ἐπιχειρητέον. οὔπω γὰρ στρατηγὸς ὁ κτήσιππος, οὐδὲ λαμπρὸς ἐν κατορθώμασιν. εἰκότως οὖν ἀπ᾽ ἐκείνου μᾶλλον ἡ μνήμη. οὐ γὰρ ὅτι ἄσωτος ἦν ὁ παῖς, ὥς φασί τινες, ἔκρυψε τὴν προσηγορίαν. εἰ γὰρ τοῦτο ἦν, οὐκ ἂν ὅλως ἦγεν εἰς ὄψιν. νῦν δὲ καὶ νομοθετεῖ, καὶ παρέστηκε, καὶ πάντως ὄψις ἀκοῆς ἐναργεστέρα. Ὡμολόγησα τούτοις) Τοῖς περὶ τῆς ἀτελείας κινδυνεύουσιν, ἢ ὥς φασί τινες, φορμίωνι καὶ ἀψεφίωνι, ἀντεισφέρουσι τὸν ἀμείνω νόμον. υἱὸς δὲ βαθίππου ὁ ἀψεφίων, ἑλόμενος τὴν γραφήν, ὡς διάδοχος τοῦ παιδός. εἶτα ἰδιώτης ὤν, συνήγορον τὸν δημοσθένην ἐκάλεσεν. Ὡς ἂν οἷός τε ὦ) Τὸ κατὰ δύναμιν εἰσφέρω, φησί. μὴ ζήτει τὸ πλέον. 2 Ἔστι δ᾽ οὐκ ἄδηλον) Τεχνικὸν θεώρημα παρέδωκεν ἡμῖν ὁ ῥήτωρ ἐν τῷ κατ᾽ ἀνδροτίωνος, ἐν τῷ περὶ στεφάνου, κἀνταῦθα· εὐθὺς γὰρ μετὰ τὰς προοιμιακὰς ἐννοίας, ἄρχεται τῶν ἀντιθέσεων. διὰ μὲν δὴ ταύτην τὴν αἰτίαν, ἐκ τῶν ἀντικειμένων ἄρχεται. δύο δὲ προκειμένων κεφαλαίων, τοῦ τε δικαίου, καὶ τοῦ συμφέροντος, * ἀπὸ τοῦ συμφέροντος ἄρχεται. χωρεῖ δὲ μᾶλλον ἐπὶ τὸ δίκαιον, ὅτι λυπεῖ μᾶλλον αὐτὸν τὸ συμφέρον, πλείστην ἰσχὺν παρέχον λεπτίνῃ. συναγωνίζεται δὲ αὐτῷ τὸ δίκαιον. διὰ τοῦτο φυγὼν τὴν πρὸς ἐκεῖνο τὸ κεφάλαιον μάχην, πλέκεται τὸ ὑπὲρ αὐτοῦ. καὶ οὐ διὰ τοῦτο μόνον τὸ θεώρημα, ἀλλὰ καὶ δι᾽ ἕτερον. ἐπειδὴ γὰρ ὁ νόμος αὐτός, ὃν εἰσφέρει δημοσθένης ὑπὲρ κτησίππου καὶ φορμίωνος, τοῦτ᾽ ἐπαγγέλλεται τὸ κρίσεις εἶναι κατὰ τῶν ἀξίως δοκούντων εἰληφέναι δωρεάς, εὐθὺς ἐκ τῆς ἀντιθέσεως τὴν σύστασιν τοῦ νόμου προὔθηκεν, ἵνα μὴ φαίνηται αὐτὸς εἰσάγων τὸν νόμον, ἀλλὰ παρὰ λεπτίνου φαίνηται τὸ περὶ αὐτὸν νομοθετεῖν ἀδικούμενος οὕτως. δοκῶν δὲ συντρέχειν, δείκνυσιν ἄτοπον ὄν, διὰ τοὺς ὀλίγους ἀναξίους, ἀφαιρεῖσθαι τοὺς πλείονας. ὅταν γὰρ φιλονεικῇ δεῖν καὶ τοὺς ἀναξίους ἔχειν, τότε μάλιστα συνίστησι τοὺς δικαίως ἔχοντας δεῖν ἔχειν. δείκνυσι δὲ τὴν πόλιν, μὴ περὶ τούτου * κινδυνεύουσαν μόνον, ἀλλὰ καὶ περὶ πάσης τῆς πολιτείας, καὶ τῆς ἀξίας. σύνηθες γὰρ αὐτῷ ταράττειν τὸν ἀκροατήν, ἐν οἷς ἂν φοβῆται τὴν ὑπόθεσιν, καὶ μετάγειν ἐπὶ μείζονας καὶ παραδόξους φόβους· ὡς ἐν τῷ κατ᾽ ἀριστοκράτους ὑπὲρ χερρονήσου, ὡς ἐν τῷ περὶ εἰρήνης, ὑπὲρ πολέμου κοινοῦ τῶν ἑλλήνων, ὡς ἐν τῷ κατὰ τιμοκράτους, ὅτι ὑπὲρ ἀνδροτίωνος καὶ γλαυκέτου καὶ μελανώπου τίθεται, τοῦτο οὐχ ὑπὲρ ὑμῶν ὁ νόμος, ἐκεῖ μὲν φαυλίζων τὴν προαίρεσιν, ἐνταῦθα δέ, ὑπὲρ τῶν κυριωτάτων φοβῶν. Κἂν τις ἄλλος) Ἴσως τοὺς συνηγόρους

# ΔΗΜΟΣΘΕΝΟΥΣ, Ο ΠΡΟΣ ΤΩΝ ΛΕΠΤΙΝΗΝ ΛΟΓΟΣ.

Ἄνδρες δικασταί, μάλιστα μὲν εἵνεκα τοῦ νομίζειν συμφέρειν τῇ πόλει λελύσθαι τὸν νόμον, εἶτα καὶ τοῦ παιδὸς εἵνεκα τοῦ χαβρίου, ὡμολόγησα τούτοις, * ἂν οἷός τε ὦ, συνερεῖν. 1
ἔστι δ᾽ οὐκ ἄδηλον, ὦ ἄνδρες ἀθηναῖοι, τοῦτο, ὅτι λεπτίνης, κἂν τις ἄλλος ὑπὲρ τοῦ νόμου λέγῃ, δίκαιον μὲν οὐδὲν ἐρεῖ περὶ αὐτοῦ, φήσει δ᾽ ἀνα- 2



πράξας ἀ συμπράττων.

* οὐκ

ἀπαιτούμενος. ε.

* τοῦ μέρους. α.

τὸν νόμον. λέγει γὰρ ἐγγράφειν νόμον τὸν κελεύοντα ἀναιρεῖν πρότερον τὸν ἐναντίον νόμον. καὶ τότε αὐτὸν τιθέναι νόμον, ἵνα μὴ ἀλλήλοις ἐναντίοι νόμοι εὑρίσκωνται.

Ἄλλως.

Ὁ πρὸς Λεπτίνην λόγος, ἐπιγραφὴν ἔχει τοιαύτην, ἐπειδὴ γὰρ παρελθόντος τοῦ χρόνου, ἐν ᾧ ὑπεύθυνος ἦν κρίσει καὶ τιμωρίᾳ, γράψας τὸν νόμον, ἐφαίνετο Λεπτίνης ἀκίνδυνος. ὅθεν πρὸς αὐτόν, ἀλλ' οὐ κατ' αὐτοῦ ὁ λόγος. ἡ δὲ ὑπόθεσις, οὕτως ἔχει. συνήθης ἦν τῇ πόλει τῶν Ἀθηναίων τιμᾶν τοὺς εὐεργέτας μάλιστα πολλαῖς καὶ διαφόροις τιμαῖς, καὶ δὴ καὶ ἀτελείᾳ. πολλῶν δὲ εἰληφότων, καὶ ἀστῶν καὶ ξένων, ἐπέλειψαν οἱ λειτουργήσαντες. καὶ διὰ τοῦτο σχεδὸν τῶν λειτουργιῶν περιισταμένων εἰς τοὺς ἀπόρους, Λεπτίνης τῶν πολιτευομένων ἀνὴρ οὐκ ἀδόκιμος, ἔγραψε νόμον αὐτοῖς ῥήμασιν, οὕτως ἔχοντα. Ὅπως ἂν οἱ πλουσιώτατοι λειτουργῶσι, μηδένα ἀτελῆ εἶναι, πλὴν τῶν ἀφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος, καὶ τῶν ἐννέα ἀρχόντων. μηδὲ τολοιπὸν ἐξεῖναι τῷ δήμῳ αἰτηθέντι διδόναι. εἰ δέ τις αἰτῶν, ἄτιμον αὐτὸν εἶναι, καὶ γένος, καὶ οἰκίαν, καὶ ὑποκεῖσθαι γραφαῖς καὶ ἐνδείξεσιν. εἰ δὲ καὶ ἐν τούτοις ἁλῷ, ἔνοχον εἶναι τοῖς αὐτοῖς, οἷσπερ οἱ δικάζοντες, ὅταν ὀφείλοντες τῷ δημοσίῳ δικάζωσι. Τοῦ νόμου οὖν οὕτως ἔχοντος, ἐγράψατο μὲν τὸ πρότερον Βάθιππος Λεπτίνην. ὃς ἀπέθανε πρὶν εἰσελθεῖν τὴν γραφήν. κᾆτα διετρίβη χρόνος, καὶ γέγονε Λεπτίνης ἀνεύθυνος. νόμος γὰρ ἦν τὸν γράψαντα νόμον, ἢ ψήφισμα, μετ' ἐνιαυτὸν, μὴ εἶναι ὑπεύθυνον. ὅμως ἐπειδὴ καὶ οὕτω κατὰ τὸν νόμον ἐξῆν ποιεῖσθαι τὰς κατηγορίας, κἂν οἱ γράψαντες ἔξω κινδύνων ὦσι, μετὰ τὸν ἐνιαυτὸν ἐπέστη κατήγορος Ἀψεφίων υἱὸς Βαθίππου, ᾧ συνηγορεῖ Φορμίων ὁ ῥήτωρ, καὶ Κτήσιππος ὁ υἱὸς Χαβρίου, ᾧ συνηγορεῖ Δημοσθένης. τούτων οὖν κατηγόρων ἐπιστάντων, κατὰ τοῦ νόμου πεποίηται τὴν γραφήν. ἡ δὲ στάσις, πραγματικὴ ἔγγραφος. κεφάλαια δὲ τοῦ λόγου, τὸ νόμιμον, τὸ συμφέρον, τὸ δίκαιον. ἀναγκαῖον δὲ εἰπεῖν τὰς δικαιολογίας ἑκατέρων. καὶ ὁ μὲν Λεπτίνης ἰσχυρίζεται τῷ συμφέροντι, διὰ τὸ πλείους ποιεῖν λειτουργούς, καὶ ὅτι ἀσύμφορον ἡμῖν γίνεται, ἐὰν οἱ πένητες μόνοι λειτουργῶσιν· ἀπορήσουσι γὰρ τῷ χρόνῳ, καὶ οὐχ ἕξετε τοὺς λειτουργοῦντας. ἀλλὰ καὶ τῷ δικαίῳ, ὅτι δεινόν ἐστι τοὺς μὲν ἀδεῶς πλουτεῖν, τοὺς δὲ λειτουργοῦντας ἀεὶ πένεσθαι. ὁ δὲ κατήγορος, ἰσχυρίζεται τῷ νομίμῳ, καὶ τῷ δικαίῳ, καὶ τῷ συμφέροντι. καὶ ἔστι τὸ νόμιμον, διπλοῦν, περί τε τὸ πρόσωπον, καὶ τὸ πρᾶγμα. καὶ περὶ μὲν τὸ πρόσωπον, ἀφ' ὧν αὐτὸν ἐχρῆν ποιῆσαι, οὐκ ἐποίησε. παρέβη γὰρ τὸν θεσμόν. θεσμὸς δέ ἐστι, νόμος παρακελευόμενος πῶς δεῖ νομοθετεῖν. ἔδει γὰρ αὐτὸν γράψαντα, τιθέναι ἔμπροσθεν τῶν ἐπωνύμων, καὶ ἐν νομοθέταις κυρῶσαι. τοῦτο οὐκ ἐποίησε. περὶ δὲ τὸ πρᾶγμα, ὅτι παρέβη ὁ νόμος τὸν παλαιὸν νόμον, τὸν λέγοντα, τὰς τοῦ δήμου δωρεὰς εἶναι βεβαίας. ὑπεναντίος οὖν τῶν νόμων οὗτός ἐστιν, ὅτι κελευόντων ἐκείνων ὅσας ὁ δῆμος δέδωκε δωρεὰς, κυρίας εἶναι, οὗτος ἀφαιρεῖσθαι τὰς δεδομένας βιάζεται. τῷ δὲ δικαίῳ ἰσχυρίζεται, ὅτι οὐ δεῖ τοὺς εὐεργέτας ἀποστερεῖν δωρεῶν. τῷ δὲ συμφέροντι, τριχῶς ἰσχυρίζεται. πρῶτον μὲν ὅτι ἀσύμφορον ὑμῖν γενήσεται, ἑαυτοῖς εὐεργέτας ἀφαιρεῖσθαι τὴν δωρεάν. οὐκ ἔτι γὰρ ὁ Λεύκων πέμψει τὸν σῖτον ὑμῖν ἐκ τοῦ Βοσπόρου. δεύτερον δὲ, ὅτι ἀσύμφορον ὑμῖν ἔσται. οὐκ ἔτι γὰρ εὐεργετήσει τις τὴν πόλιν, στερουμένους τῆς δωρεᾶς ὁρῶν τοὺς ἄλλους. τρίτον δὲ, ὅτι ἀδοξήσετε. δόξετε γὰρ ἀγνώμονες εἶναι. ἔστι δὲ ὁ λόγος οὗτος δευτερολογία. ὁ Ἀψεφίων γὰρ ὡς πρεσβύτερος, ἔλαβε τὴν πρωτολογίαν. οὐκοῦν ὁ Λεπτίνης προηγουμένως τῷ συμφέροντι χρῆται, φάσκων ἐν ἀπορίᾳ καθιστάναι τὴν πόλιν τῶν λειτουργούντων. δευτέρῳ δὲ τῷ δικαίῳ, ὅπερ ἀπὸ τῆς ἰσότητος θεωρεῖται. πάνυ γάρ φησι δεινόν ἐστι, τινὰς μὲν πλουτεῖν, ἀτελείας ἐπειλημμένους, τὴν πόλιν δὲ μηδὲ τῶν λειτουργούντων εὐπορεῖν. προβάλλεται δὲ ὁ ῥήτωρ, τῷ μὲν δοκεῖν, τὴν κατηγορίαν τοῦ νόμου. συναποδύεται δὲ, καὶ κατασκευάζει καὶ τὴν σύστασιν τοῦ οἰκείου νόμου. ἐν γὰρ τῷ νομίμῳ κεφαλαίῳ καθίστησιν ἀναγινώσκων καὶ ἀντιτιθεὶς καὶ ἀντεξετάζων ἀμφοτέρους τοὺς νόμους, καὶ τὸ διάφορον ὅσον δεικνύς. ἵνα δὲ μὴ ἐξαίφνης, μηδὲ ἀναρμόστως παρέχηται τῶν νόμων τὴν σύστασιν, ἐκ πολλοῦ παρεσκεύασε καὶ ἡ πρώτη γε ἀντίθεσις τοῦ λόγου, τῷ μὲν δοκεῖν, ἐστὶ παρὰ Λεπτίνου. τῇ δ' ἀληθείᾳ, πρὸς σύστασιν τοῦ οἰκείου συμφέροντος ἐξεύρηται, ἵνα φαίνηται ὁ ἀντίδικος τὸν Δημοσθένους εἰσάγων νόμον. τί γὰρ ὁ Δημοσθένους βούλεται νόμος; τὰς δωρεὰς, ὅσας ὁ δῆμος ἔδωκε, κυρίας εἶναι· τοὺς δὲ ἔχοντας κρίνεσθαι, ἵν', εἰ μὲν ἄξιοι, ἔχωσιν· εἰ δὲ ἀναξίως ἔχειν δοκοῖεν, ἐλεγχθέντες ἀφαιρεθῶσιν. οὐκοῦν αὐτὸς ὁ Λεπτίνης τὸν Δημοσθένους νόμον κεκύρωκεν. ἔτι γὰρ αἰτιᾶται κατ' ἀρχὰς εὐθὺς ὅτι πολλοὶ τῶν εἰληφότων εἰσὶν ἀνάξιοι. οὐκοῦν ἔχει τὸν Δημοσθένους νόμον τοὺς ἀναξίους ἐκκρίνοντα. καὶ διὰ τοῦτο πάντων κατέσπαρται. ὁ γε πολὺς περὶ αὐτοῦ λόγος, ἑτοιμάζει τοὺς δικαστὰς πρὸς τὴν τοῦ νόμου μετὰ μικρὸν ἀνάγνωσιν. ἰδὼν δὲ ὅτι Λεπτίνης ἐκεῖνον ἔχει τὸν ἰσχυρότατον λόγον, ὡς, ἂν οἱ πλουσιώτατοι λειτουργῶσι, μηδένα ἀτελῆ εἶναι, οὐ ταύτην ἔθηκε προηγουμένην ἀντίθεσιν, ἀλλὰ τὴν λυσιτελοῦσαν αὐτῷ, καὶ τὴν μέλλουσαν εἰσφέρειν τὸν παρ' αὐτοῦ νόμον. ὅταν γὰρ λέγῃ, καὶ τούτῳ πλείστῳ χρήσεται τῷ λόγῳ, σοφίζεται τοὺς ἀκούοντας. οὐ γὰρ τῷ περὶ τῶν ἀναξίων πολλῷ χρήσεται τῷ λόγῳ, ἀλλὰ τῷ δηλονότι σπανίζειν τὴν πόλιν τῶν λειτουργούντων, καὶ τῷ συμφέρειν μετατιθέναι τὰς λειτουργίας ἀπὸ τῶν ἀπόρων εἰς τοὺς εὐπόρους. ἔστι δὲ τὸ μὲν εἶδος τοῦ λόγου δικανικόν, εἴ γε κρίσις ἐστὶν ἐπὶ τὸν νόμον. ἡ δέ γε ὕλη πᾶσα, ἐστὶ διπλῆ. καὶ ταύτης, ἡ μέν ἐστι δικανική, ἡ δὲ συμβουλευτική. εὕροις δ' ἂν οὐδὲ πανηγυρικῆς ἰδέας ἀμοιροῦντα τὸν λόγον, ἐν οἷς πειρᾶται σεμνύνειν ἕκαστον τῶν εὐεργετῶν. καὶ γὰρ ἐνταῦθα εὑρήσεις ἄξια τῶν ἀνδρῶν ἐγκώμια, καὶ λόγους εὐφήμους ἁρμόττοντας ταῖς ἐκείνων πράξεσιν, οἷον, ὡς ὅταν ἐμπομπεύῃ τοῖς Κόνωνος καὶ Χαβρίου κατορθώμασι, καὶ τοῖς Ἐπικέρδους, καὶ τῶν ἐκ Θάσου, καὶ Κορίνθου, καὶ Λεύκωνος. ἴωμεν δὲ ἐπὶ τὴν μεταχείρισιν τοῦ λόγου.

ΕΙΣ

α.
γρ. ἐγγράφειν γὰρ ἀναιρεῖν πρότερον τὸν ἐναντ. νομ. τὸν κελεύοντα τὰς τοῦ δήμου δωρεὰς εἶναι βεβαίας.
ὤν.
γραφ.
λειτουργήσοντες.
περιισταμένων. α.
αὖ. β.
αὖ. β.
καὶ. α.
Λεπτίνην.
γρ. συνεπιστάντων, συνιστάντων. ζ.
ἀμοιβῶν. α.
ἡμῖν.
γρ. ἑαυτῶν.
γρ. συναποδύεται.
α.
τῷ νόμῳ. α.

# ΔΗΜΟΣΘΕΝΟΥΣ, Ο ΠΡΟΣ ΤΩΝ ΛΕπτίνην λόγος.

Ἄνδρες δικασταί, μάλιστα μὲν εἵνεκα τοῦ νομίζειν συμφέρειν τῇ πόλει λελύσθαι τὸν νόμον, εἶτα καὶ τοῦ παιδὸς εἵνεκα τοῦ Χαβρίου, ὡμολόγησα τούτοις, * ἂν οἷός τε ὦ, συνερεῖν. 1
ἔστι δ᾽ οὐκ ἄδηλον, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦθ᾽, ὅτι Λεπτίνης, κἄν τις ἄλλος ὑπὲρ τοῦ νόμου λέγῃ, δίκαιον μὲν οὐδὲν ἐρεῖ περὶ αὐτοῦ, φήσει δ᾽ ἀνα- 2

* ὡς ἂν α. β.

## ΕΙΣ ΤΟΝ ΠΡΟΣ ΛΕΠΤΙΝΗΝ ΠΕΡΙ ΑΤΕΛΕΙΑΣ, ΔΗΜΟΣΘΕΝΟΥΣ ΛΟΓΟΝ ΕΞΗΓΗΣΙΣ.

Ἄνδρες δικασταί, μάλιστα μὲν εἵνεκα τοῦ νομίζειν συμφέρειν τῇ πόλει λελύσθαι τὸν νόμον, εἶτα καὶ τοῦ παιδὸς εἵνεκα τοῦ Χαβρίου, ὡμολόγησα τούτοις, ὡς ἂν οἷός τε ὦ, συνερεῖν) 1 Οὗτος ὁ λόγος τὰ δύο εἴδη ἔχει, τό, τε συμβουλευτικόν, καὶ τὸ δικανικόν· τάχα δὲ καὶ τὸ πανηγυρικόν. Ἔστι δὲ δευτερολογία. Πᾶσα δὲ δευτερολογία, ἐπ᾽ ἔλαττον ἀσχολεῖται περὶ τὰς προοιμιακὰς ἐννοίας· ἐπεικῶς γὰρ τὰ λυποῦντα θεραπεύεται παρὰ τῶν λαγχανόντων τοῦ λέγειν τὴν προτέραν χώραν. τῶν δὲ δευτερολογιῶν ἐστὶ διαφορά· αἱ μὲν γὰρ αὐτῶν εἰσὶν ἐπίλογοι μόνον, ὥσπερ οἱ κατ᾽ Ἀριστογείτονος προαγωνισαμένου Λυκούργου, ἢ μικρά, μᾶλλον δὲ οὐδὲν καταλιπόντος εἰς ἀπόδειξιν τῶν πραγμάτων τῷ ῥήτορι· αἱ δέ, ἐπ᾽ ἔλαττον μὲν ἔχουσι τὸν ἀγῶνα, ὥσπερ ὁ κατ᾽ Ἀνδροτίωνος, διὰ τὸ μὴ πολὺ διαφέρειν κατὰ τὴν ἐν τοῖς λόγοις ὑπόληψιν Διοδώρου Εὐκτήμονα. ἡ δὲ νῦν ἐξεταζομένη δευτερολογία, σχεδὸν τὰ ἀναγκαιότατα τοῦ ἀγῶνος, συμπεριλαβοῦσα ἔχει, ὡς δείκνυται ἐκ τῆς ἐργασίας. διὰ ταύτην τὴν αἰτίαν, βραχὺ καὶ τὸ προοίμιον. ἐμφαντικὸν δὲ γέγονε τῶν ἀναγκαιοτάτων δύο κεφαλαίων, τοῦ τε συμφέροντος καὶ τοῦ δικαίου. ἃ δὴ καὶ κατωνόμασε, τὸ δὲ δίκαιον, διὰ τῆς συνηγορίας τῆς ὑπὲρ Χαβρίου παιδὸς δεδήλωκεν. ἐμνημόνευσε δὲ καὶ τοῦ νομίμου ἐν ταυτῷ. διὰ μὲν οὖν τοῦ νόμου τὸ νόμιμον· διὰ δὲ τοῦ συμφέροντος, τὸ λυσιτελοῦν τῇ πόλει. διὰ δὲ τοῦ Χαβρίου παιδός, τὸ δίκαιον. Εἶτα καὶ τοῦ παιδὸς) Ἀπολαυέτω, φησί, μετὰ τοῦ κοινοῦ συμφέροντος καὶ ὁ παῖς τοῦ εὐεργέτου. ὀνίνησι ἡ γραφὴ καὶ τὴν πόλιν ὅλην, καὶ τοῦ στρατηγοῦ τὸν υἱόν. τὸν δὲ Χαβρίου ὀνομάζει, κρύπτων τοῦ παιδὸς τὴν προσηγορίαν, ἤτοι ὅτι νέος ἦν κομιδῆ, καὶ οὐδέν τι πω * ἔπραξε, καὶ διὰ τοῦτο οὐκ ἦν αἰδέσιμος τοῖς ἀκούουσι, καὶ εἰκότως αὐτὸν ἀπὸ τοῦ γεγεννηκότος κοσμεῖ, καθάπερ τινὰ κλῆρον, * συμπλάττων τὸ γέρας αὐτῷ. πρέπον οὖν ἡγήσατο ἀπὸ τοῦ στρατηγήσαντος καὶ κεκοσμημένου ταῖς παρὰ τῆς πόλεως τιμαῖς, καὶ ἐνδοξοτέρου, τὴν συνηγορίαν ποιήσασθαι· διὰ γὰρ τὸν πατέρα, καὶ ὁ παῖς λαβεῖν ἀγωνίζεται. ὅτι μὲν οὖν οἱ παῖδες ἐνδοξότεροι τῶν πατέρων εἰσίν, ἀπὸ τῶν παίδων πολλάκις ἐπὶ τοὺς πατέρας ἡ φιλοτιμία χωρεῖ. ὅτε δὲ οἱ πατέρες διδόασι τοῖς παισὶ τιμᾶσθαι, τότε ἀπὸ τῶν ἐνδόξων ἐπιχειρητέον. οὔπω γὰρ στρατηγὸς ὁ Κτήσιππος, οὐδὲ λαμπρὸς ἐν κατορθώμασι· εἰκότως οὖν ἀπ᾽ ἐκείνου μᾶλλον ἡ μνήμη· οὐ γὰρ ὅτι ἄσωτος ἦν ὁ παῖς, ὥς φασί τινες, ἔκρυψε τὴν προσηγορίαν. εἰ γὰρ τοῦτο ἦν, οὐκ ἂν ὅλως ἦγεν εἰς ὄψιν. νῦν δὲ καὶ νομοθετεῖ, καὶ παρέστηκε, καὶ πάντως ὄψις ἀκοῆς ἐναργεστέρα. Ὡμολόγησα τούτοις) Τοῖς περὶ τῆς ἀτελείας κινδυνεύουσιν, ἢ ὥς φασί τινες, Φορμίωνι καὶ Ἀψεφίωνι, ἀντεισφέρουσι τὸν ἀμείνω νόμον. υἱὸς δὲ Βαθίππου ὁ Ἀψεφίων, ἑλόμενος τὴν γραφήν, ὡς διάδοχος τοῦ παιδός. εἶτα ἰδιώτης ὤν, συνήγορον τὸν Δημοσθένην ἐκάλεσεν. Ὡς ἂν οἷός τε ὦ) Τὸ κατὰ δύναμιν εἰσφέρω, 2 φησί· μὴ ζήτει τὸ πλέον. Ἔστι δ᾽ οὐκ ἄδηλον) Τεχνικὸν θεώρημα παρέδωκεν ἡμῖν ὁ ῥήτωρ ἐν τῷ κατ᾽ Ἀνδροτίωνος, ἐν τῷ περὶ στεφάνου, κἀνταῦθα· εὐθὺς γὰρ μετὰ τὰς προοιμιακὰς ἐννοίας, ἄρχεται τῶν ἀντιθέσεων. διὰ μὲν δὴ ταύτην τὴν αἰτίαν, ἐκ τῶν ἀντικειμένων ἄρχεται. δύο δὲ προκειμένων κεφαλαίων, τοῦ τε δικαίου, καὶ τοῦ συμφέροντος * ἀπὸ τοῦ συμφέροντος ἄρχεται. χωρεῖ δὲ μᾶλλον ἐπὶ τὸ δίκαιον, ὅτι λυπεῖ μᾶλλον αὐτὸν τὸ συμφέρον, πλείστην ἰσχὺν παρέχον Λεπτίνῃ. συναγωνίζεται δὲ αὐτῷ τὸ δίκαιον. διὰ τοῦτο φυγὼν τὴν πρὸς ἐκεῖνο τὸ κεφάλαιον μάχην, πλέκεται τὸ ὑπὲρ αὐτοῦ. καὶ οὐ διὰ τοῦτο μόνον τὸ θεώρημα, ἀλλὰ καὶ δι᾽ ἕτερον. ἐπειδὴ γὰρ ὁ νόμος αὐτός, ὃν εἰσφέρει Δημοσθένης ὑπὲρ Κτησίππου καὶ Φορμίωνος, τοῦτ᾽ ἐπαγγέλλεται τὸ κρίσεις εἶναι κατὰ τῶν ἀξίως δοκούντων εἰληφέναι δωρεάς, εὐθὺς ἐκ τῆς ἀντιθέσεως τὴν σύστασιν τοῦ νόμου προέθηκεν, ἵνα μὴ φαίνηται αὐτὸς εἰσάγων τὸν νόμον, ἀλλὰ παρὰ Λεπτίνου φαίνηται τὸ περὶ αὐτὸν νομοθετεῖν * ἀδικούμενος οὕτως. δοκῶν δὲ συντρέχειν, δείκνυσιν ἄτοπον ὄν, διὰ τοὺς ὀλίγους ἀναξίους, ἀφαιρεῖσθαι τοὺς πλείονας. ὅταν γὰρ φιλονεικῇ δεῖν καὶ τοὺς ἀναξίους ἔχειν, τότε μάλιστα συνίστησι τοὺς δικαίως ἔχοντας δεῖν ἔχειν. δείκνυσι δὲ τὴν πόλιν, μὴ περὶ τούτου * κινδυνεύουσαν μόνον, ἀλλὰ καὶ περὶ πάσης τῆς πολιτείας, καὶ τῆς ἀξίας. σύνηθες γὰρ αὐτῷ ταράττειν τὸν ἀκροατήν, ἐν οἷς ἂν φοβῆται τὴν ὑπόθεσιν, καὶ μετάγειν ἐπὶ μείζονας καὶ παραδόξους φόβους· ὡς ἐν τῷ κατ᾽ Ἀριστοκράτους ὑπὲρ Χερρονήσου, ὡς ἐν τῷ περὶ εἰρήνης ὑπὲρ πολέμου κοινοῦ τῶν Ἑλλήνων, ὡς ἐν τῷ κατὰ Τιμοκράτους, ὅτι ὑπὲρ Ἀνδροτίωνος καὶ Γλαυκέτου καὶ Μελανώπου τίθεται, καὶ οὐχ ὑπὲρ ὑμῶν ὁ νόμος, ἐκεῖ μὲν φαυλίζων τὴν προαίρεσιν, ἐνταῦθα δέ, ὑπὲρ τῶν κυριωτάτων φοβῶν. Καὶ τις ἄλλος) Ἴσως τοὺς συνηγόρους

* προσέξας ἂ συμπραττῶν.
* οὐκ
* ἀπαιτούμενος ε.
* τοῦ μέρους.

ξίους τινὰς ἀνθρώπους * εὑρημένους ἀτέλειαν ἐκδε- * εὑρεῖν. π.
δυκέναι τὰς λειτουργίας, καὶ τούτῳ πλείστῳ χρήσεται
3 τῷ λόγῳ. ἐγὼ δὲ ὅτι μὲν τινῶν κατηγοροῦντας, πάν- κατηγοροῦντα, πάντας. α.
τας ἀφαιρεῖσθαι τὴν δωρειὰν τῶν ἀδικούντων ἐστίν, ἀδικούντων. α. ξ.
ἐάσω. καὶ γὰρ εἴρηται τρόπον τινά, καὶ ὑφ' ὑμῶν ἴσως
γιγνώσκεται. ἀλλ' ἐκεῖνο ἂν ἐροίμην ἡδέως αὐτόν, τί-
νος εἵνεκα, εἰ τὰ μάλιστα μὴ τινές, ἀλλὰ πάντες ἦσαν
4 ἀνάξιοι, τῶν αὐτῶν ἠξίωσεν ὑμᾶς τε καὶ τούτους. ἐν
μὲν γὰρ τῷ γράψαι μηδένα εἶναι ἀτελῆ, τοὺς ἔχον-
τας ἀφείλετο τὴν ἀτέλειαν. ἐν δὲ τῷ προσγρά-
ψαι μηδὲ τὸ λοιπὸν ἐξεῖναι δοῦναι ὑμᾶς, τὸ δοῦναι
ὑμῖν ἐξεῖναι. οὐ γὰρ ἐκεῖνό γ' ἔνεστιν εἰπεῖν, ὡς τοὺς αὐτοὺς
5 τρόπον, ὃν περ τοὺς ἔχοντας ἀφείλετο τὴν δωρειάν, ἀ-
ναξίους νομίζων, οὕτω καὶ τὸν δῆμον ἀνάξιον ἡγεῖτο,
* κύριον εἶναι τοῦ δοῦναι τὰ ἑαυτοῦ, ἐάν τῳ βούληται. * π. α. ν.
ἀλλὰ νὴ Δία ἐκεῖνό γ' ἂν ἴσως εἴποι πρὸς ταῦτα, ὅτι
διὰ τὸ ῥᾳδίως ἐξαπατᾶσθαι τὸν δῆμον, διὰ τοῦτο
6 οὕτως ἔθηκε τὸν νόμον; τί οὖν κωλύει πάντα ἀφη- ἔθηκα. αὐ. α.
ρῆσθαι, καὶ ὅλως τὴν πολιτείαν ὑμᾶς, κατὰ τοῦτον τὸν
λόγον. οὐ γάρ ἐστιν ἐφ' ὅτῳ τοῦτο οὐ πεπόνθατε τῶν
πάντων, ἀλλὰ καὶ ψηφίσματα πολλὰ πολλάκις ἐ-
ξαπατηθέντες κεχειροτονήκατε, καὶ συμμάχους ἤδη
7 τινὰς ἥττους, ἀντὶ κρειττόνων ἐπείσθητε ἑλέσθαι. καὶ
ὅλως ἐν, οἶμαι, πολλοῖς οἷς πράττετε, καὶ τοιοῦτό τι
συμβαίνειν ἀνάγκη. ἆρ' οὖν θησόμεθα νόμον διὰ τοῦ-

2 καὶ τοὺς συνδίκους λέγει. Εὑρημένους ἀτέλειαν) Περιποιήσαντας ἑαυτοῖς, καὶ λαβόντας ἀφ' ὧν ἐποίησαν. ἔθος δὲ ἦν παρ' Ἀθηναίοις τοὺς εὐεργέτας τῆς πόλεως λαμβάνειν διαφόρους τιμάς, ἢ χαλκῆν εἰκόνα, ἢ σίτησιν ἐν πρυτανείῳ, ἢ ἀτέλειαν, ἀλλ' οὐ πασῶν τῶν λειτουργιῶν· οὐδέποτε γὰρ ἐλάμβανον, οὔτε τῶν τριηραρχιῶν, οὔτε τῶν εἰ-
3 σφορῶν τοῦ πολέμου ἀτέλειαν. Ἐγὼ δ' ὅτι μὲν τινῶν) Κατ' ἐπίκρισιν, τὸ τοῦ ῥητοῦ κατηγορίας ἀντιλαμβάνεται, ὅτι διαβάλλων ὀλίγους βλάπτει τοὺς πάντας. Καὶ γὰρ εἴρηται) Ὑπὸ Φορμίωνος πάντως. καὶ ἵνα μὴ ὡς κατήγορος ὑποπτεύηται, προστίθησιν ὅτι καὶ ὑμεῖς ἅπαντες, καὶ μὴ λέγοντος ἑτέρου, γνωρίζετε. Τίνος ἕνεκα εἰ τὰ μάλ. μὴ τινες, ἀλλὰ π. ἦσαν ἀναξ. τῶν αὐτῶν) Κατὰ συγχώρησιν συνδραμών, συγκρούει τοῖς δικασταῖς τὸν Λεπτίνην, πόλεμον αὐτῷ πρὸς τοὺς καθημένους ἐγείρων. συνήθες γὰρ αὐτῷ τοῦτο πράττειν τὸν ἀκροατήν. ἐκ τούτων γὰρ εὔνουν. διὰ δὲ τὸ δέος, ποιεῖ καὶ προσεκτικώτερον, περὶ πάσης τῆς πολιτείας ἐμβάλλων * τὸ κέρδος α. φροντίδας· οὐκέτι γὰρ πρὸς * κίνδυνον ἀφορᾷ, ἀλλὰ ζητεῖ πρῶτον, ὅπως ἂν φύγῃ τὴν ἐπιβουλήν, τῆς
4 ἐξουσίας ἀποστερούμενος. Ἐν μὲν γὰρ τῷ) Ἀνασρέφουσα περίοδος.
Οὕτω καὶ τὸν δῆμον) Οὐ γὰρ ἐπ' ἀμφοῖν, φησί, δυνήσῃ προβάλλεσθαι τὸ ἀνάξιον, καὶ ἐπὶ τῶν εὐεργετῶν, καὶ ἐπὶ τοῦ δήμου. ἀνάξιοί τινες, ὦ Λεπτίνη, τῶν εἰληφότων εἰσίν; ἔστω. δέχομαι τὴν ἀπολογίαν. στερισκέσθωσαν οἱ ἀνάξιοι. τί σοι κατὰ * αὐτὴν. α. τοῦ δήμου τὴν τοιαύτην ὕβριν κεκίνηκεν· ἀφαιρῇ τῆς πατρίδος τὴν ἀδείαν. λύεις τὴν ἐξουσίαν τῆς πό-
5 λεως. Ἀλλὰ νὴ Δί' ἐκεῖνο) Πολλή τις ἔμφασις καὶ δεινότης, καὶ πολὺ τὸ πικρόν. μετενήνεκται γὰρ ὁ Λεπτίνης ἐφ' ἕτερον ἀπὸ τοῦ συμφέροντος. οὐκέτι γὰρ ἵνα λειτουργήσωσιν οἱ πλουσιώτατοι, τέθεικε τὸν νόμον, ἀλλ' ἵνα μὴ ἐξαπατᾶται ὁ δῆμος· ἵνα ὁ δῆμος, φησίν, ἀποστὰς τῆς περὶ τῶν λειτουργιῶν ζητήσεως, κἀπειδὴ τοῦ ἀνδρὸς τὴν δυσμένειαν, καὶ ὡς ὀλιγαρχίᾳ προοιμιάζεται τοσούτων ἀγαθῶν αὐτοὺς ἀποστερεῖν ἐπιχειρούμενος. πεπανούργηται δὲ σφόδρα τῆς ἐπιχειρήσεως ἡ εἴσοδος· ἵνα γὰρ μὴ τῆς τῶν ἀπατώντων δεινότητος εἴη τὸ ἔγκλημα, ἀλλὰ τῆς τῶν ἀπατωμένων εὐηθείας σημεῖον ὑπάρχῃ τὸ ὄνειδος, ἐπὶ τὸν δῆμον μετέστησε, διὰ τὸ ῥᾳδίως ἐξαπατᾶσθαι φήσας. λύει δὲ τῷ ἐξ ἀκολουθίας ἀτόπῳ, τῷ κατ' ἐρώτησιν ἐλέγχῳ τὴν πλῆξιν αὐξήσας. τί οὖν κωλύει, φησί, πάντα ἀφῃρῆσθαι· οὐδὲν γάρ ἐστι τῶν πάντων ἐν ᾧ τὸ ἀπατᾶσθαι πεφεύγαμεν. Ἰστέον δὲ ὅτι ἡ δευτέρα ἀντίθεσις, ἀπὸ τῆς ἐργασίας ἀνέκυψε. καὶ ἔστιν ἀνθυποφορά. διαφέρει δὲ ἀντίθεσις ἀνθυποφορᾶς, τῷ τὴν μὲν, ἐξ αὐτῶν ἀντικεῖσθαι τῶν πραγμάτων ἡμῖν· τὴν δέ, ἐκ τῆς ἐργασίας καὶ τῶν ἐπιχειρημάτων εὑρίσκεσθαι. ἡ μὲν οὖν προτέρα ἀντίθεσις αἰτιᾶται, ὅτι ἀνάξιοί τινες εἰλήφασι. τούτοις δὲ ὁ Δημοσθένους νόμος ἐκκρίνει. ἡ δὲ δευτέρα φησὶν ἐξαπατᾶσθαι τὸν δῆμον. διὰ τοῦτο δὲ ἐξ ἀντιθέσεων ἄρχεται, ἵνα τῷ μὲν δοκεῖν, ἐξ ἀντιθέσεως· τῇ δ' ἀληθείᾳ, προκατασκευάσῃ τῷ ἑαυτοῦ νόμῳ τὴν εἴσοδον· ἃ γὰρ Λεπτίνης ἐν ταύταις μέμφεται, ἀντικρυς ὁ τοῦ Δημοσθένους λέλυκε νόμος. δοὺς γὰρ κρίσιν, καὶ τοὺς ἀναξίους ἐκβαλών, οὔτε τὸν δῆμον ἐξαπατᾶσθαι συγχωρεῖ, καὶ τοὺς ἀναξίους ἐκβάλ-
6 λει. οὐκ ἠδυνήθη δὲ εὐθὺς ἀπὸ τῶν ἰδίων ἄρξασθαι κεφαλαίων, μὴ προκατηγορήσας τοῦ Λεπτίνου νόμου. Τί οὖν κωλύει)
7 Λύσις κατὰ συνδρομὴν ἐξ ἀντιπεριστάσεως. Ἆρ' οὖν θησόμεθα) Καλόν γε· οὐ γὰρ θησόμεθα νόμον ἐπὶ καθαιρέσει τῶν νόμων. κινδυνεύει γάρ τις περὶ τοῦ παντὸς ἀπατώμενος; κόλαζε τὸν ἀπατῶντα, μὴ τὸν φενακιζόμενον τιμωροῦ. ἔχει δὲ τοῦ πάσης διαφορὰν ἴσως πρὸς τοὺς δύο νόμους, τόν τε Λεπτίνου, καὶ τὸν παρεισφερόμενον. ὁ μὲν γὰρ Λεπτίνου, ἁπλῶς ἀφαιρεῖται· ὁ δὲ ἀντεισφερόμενος διδάσκει τἀληθές, δικαστήριον καθίζων, καὶ ἀτιμάζων τοὺς ἀπάτῃ εἰληφότας. ἀψίνης δὲ καὶ ἀσπάσιος, κατὰ τὴν εἰς ἄτοπον ἀπαγωγήν φασι τὸ ἐπιχείρημα. ἡμεῖς δὲ λέγομεν ὅτι ἡ εἰς ἄτοπον ἀπαγωγὴ γίνεται, ὅταν ἐξ ἀνάγκης ἀκολουθῇ τὰ ἄτοπα τοῖς προηγουμένοις. ὅταν δὲ ἡ φύσις τῶν πραγμάτων μὴ τοιοῦτον δεικνύῃ τὸ γινόμενον, τηνικαῦτα οὐ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ῥητέον τὴν ἄτοπον ἀπαγωγήν. ἐνταῦθα οὖν τὸ ἀκόλουθον ἔλαβεν ἀπὸ τοῦ ὁμοίου κατ᾽ ἐρώτησιν. ἔπειτα ἀνέστρεψεν ὡς ἔχει τι καὶ ἄτοπον τὴν ἐρώτησιν. οὐ μὴν ἀποδεικνύμενον διὰ τῶν ἑπομένων. Ἄλλως. Ἐνταῦθα ἔλαβε τὸ ἀκόλουθον ἀπὸ τοῦ ὁμοίου κατ᾽ ἐρώτησιν, ἔπειτα ἀνέστρεψεν, ὡς ἔχει μέν τι καὶ ἄτοπον τὴν ἐρώτησιν. οὐ μὴν ἀποδεικνύμενον διὰ τῶν ἐχομένων.

τα, μηδὲ τὸ λοιπὸν ἐξεῖναι τῇ βουλῇ, μηδὲ τῷ δήμῳ,
μήτε προβουλεύειν, μήτε χειροτονεῖν μηδέν; ἐγὼ μὲν
οὐκ οἶμαι· οὐ γὰρ ἐσμὲν ἀφαιρεθῆναι δίκαιοι, περὶ ὧν 8
ἂν ἐξαπατηθῶμεν, ἀλλὰ διδαχθῆναι ὅπως τοῦτο
μὴ πεισόμεθα, καὶ θέσθαι νόμον, οὐχ ὃς ἀφαιρήσεται
ἡμᾶς. α. τὸ κυρίους ὑμᾶς εἶναι τῆς δωρεᾶς, ἀλλὰ δι᾽ οὗ τὸν ἐξα-
πατῶντα τιμωρησόμεθα. εἰ τοίνυν τις ἐάσας ταῦτα,
αὐτὸ καθ᾽ αὑτὸ ἐξετάσειε, πότερόν ποτε λυσιτελέ- 9
στερόν ἐστι, κυρίους μὲν ὑμᾶς εἶναι τῆς δωρεᾶς, ἐξα-
πατηθέντας δέ ποτε καὶ φαύλῳ τινὶ δοῦναι, ἢ διὰ
τό. α. τὸ παντελῶς ἀκύρους γενέσθαι, μηδ᾽ ἂν ἄξιόν τι-
να εἰδῆτε, ἐξεῖναι τιμῆσαι, εὕροιτ᾽ ἂν μᾶλλον ἐκεῖνο
λυσιτελοῦν. διὰ τί; ὅτι ἐκ μὲν τοῦ πλείονας, ἢ 10
προσήκει. α. προσῆκε τιμᾶν, πολλοὺς εὖ ποιεῖν προκαλεῖσθε ὑ-
μᾶς. ἐκ δὲ τοῦ μηδενὶ, μηδ᾽ ἂν ἄξιος ᾖ διδόναι, πάν-
τας ἀπείρξετε τοῦ φιλοτιμεῖσθαι. πρὸς δὲ τούτῳ καὶ
δι᾽ ἐκεῖνο, ὅτι οἱ μὲν ἀνάξιόν τινα τιμήσαντες, εὐη-
θείας τινὰ δόξαν ἔχοιεν ἄν. οἱ δὲ τοὺς ἀγαθόν τι ποι- 11
αὐτούς. α. οῦντας ἑαυτοὺς, μὴ τοῖς ὁμοίοις ἀμειβόμενοι, κα-
κίας. ὅσῳ δὴ κρεῖττον εὐήθη δοκεῖν, ἢ πονηρὸν εἶναι, το-
σούτῳ λῦσαι τὸν νόμον κάλλιον, ἢ θέσθαι. οὐ τοίνυν
ἐκεῖνο α. ἔμοιγε οὐδ᾽ ἐκεῖνο εὔλογον, ὦ ἄνδρες Ἀθηναῖοι, σκο-
τούς. α. πουμένῳ φαίνεται, καταμεμφομένους τινὰς ἐπὶ ταῖς 12
ὑπαρχούσαις δωρεαῖς, τοὺς χρησίμους ὄντας τῶν τι-
μῶν ἀποστερεῖν. εἰ γὰρ ὑπαρχουσῶν τούτων, φαῦλοι
τούτων. α. ε. καὶ ἀνάξιοί τινες κατὰ τὸν τούτου λόγον εἰσὶ, τί χρὴ
προσδοκᾶν ἔσεσθαι τότε, ὅταν παντελῶς πλέον
μέλλῃ μηδὲν εἶναι τοῖς χρηστοῖς οὖσιν; ἔτι τοίνυν ὑ-
μᾶς κἀκεῖνο ἐνθυμεῖσθαι δεῖ, ὅτι ἐκ τῶν νῦν ὑ-
παρχόντων νόμων, καὶ πάλαι κυρίων, οὓς οὐδ᾽ αὐ-
τὸς οὗτος ἀντείποι ἂν, μὴ οὐχὶ καλῶς ἔχειν, ἐνιαυ-
τὸ ἥμισυ. τὸν διαλιπὼν ἕκαστος λειτουργεῖ. ὥστε τὸν ἥμισυν

διὰ τῶν ἐχομένων. Οὐ γὰρ ἐσμὲν ἀφαιρεθῆναι) Ἐσχημάτισε πρὸς ἀμφοτέρους τοὺς νόμους τὴν ἔννοιαν. πρὸς μὲν τὸν Λεπτίνου νόμον, τί ἀφαιρεῖται. πρὸς δὲ τὸν οἰκεῖον, τί διδάσκει, πῶς ἂν ὁ δῆμος ἔτι μὴ ἀπατᾶτο· δείκνυσι γὰρ κρίνεσθαι τοὺς εἰληφότας. Καὶ θέσθαι νόμον) Ὅρα πῶς ἐν τῷ δοκεῖν λύειν, κατατίθησι συμπλέκων ὁμοῦ τὰ κεφάλαια, καὶ τὸ δίκαιον, καὶ τὸ συμφέρον. ἔχεις γὰρ ἐν τούτοις ἀμφοτέρων τῶν νόμων εἰκόνας, τοῦ μὲν Λεπτίνου νόμου, διὰ τῆς ἀφαιρέσεως, τοῦ δὲ δημοσθένους, διὰ τῆς τῶν ἀπατώντων τιμωρίας· ὁ μὲν γὰρ ἀφαιρεῖται τελείως ἅπαντας· ὁ δὲ, τοὺς παρ᾽ ἀξίαν λαβόντας ἐξελεγχθέντας, τιμωρεῖσθαι προστάττει. 8

Πότερόν ποτε) Κατὰ παράθεσιν ἄγος λογισμὸς ἐκ τοῦ καθ᾽ ἕτερον ἀποβαίνοντος, ἵνα δειχθῇ βέλτιον, οὗ εἶπε Λεπτίνης, ὡς φαῦλον. λέγω δὴ τὸ διδόναι τινὶ καὶ ἀναξίῳ τὸν δῆμον ἐξηπατημένον. καὶ ὅτι ἧττον αἰσχρὸν εἰς εὐήθειαν σκώπτεσθαι, ἢ πονηρίαν. 9 Οὐ τοίνυν ἔμοιγε) Ἐπὶ τὴν ἐξ ἀρχῆς ἀντίθεσιν πάλιν ἐπανήγαγε τὸν λόγον. πῶς γὰρ ἀκόλουθον, φησι, τὴν αὐτὴν τοῖς τε κακοῖς μέμψιν, καὶ κατὰ τῶν ἀμέμπτων καὶ ὅλως εὐεργετῶν προχωρεῖν. ἀποστερεῖ γὰρ καὶ τούτους, κἀκείνους ὁμοίως. ἐξ οὗ πάντες ἔσονται πονηροὶ, μηδεμίαν τιμὴν τῆς ἀρετῆς ἐχούσης· τὸν γὰρ ἐκ χάριτος μὴ δοκιμάζοντα εἶναι χρηστὸν, οὐκ ἔνι δήπουθεν ἀτιμασθέντα γενέσθαι σπουδαῖον. ἐκαινοτόμησε δὲ τὴν μέθοδον. ἄνωθεν μὲν γὰρ ἐξήτασε τοὺς ἀναξίους καὶ τοὺς ἀξίους. ἐνταῦθα δὲ, κατὰ μόνον τῶν ἀναξίων πληροῖ τὴν ἔννοιαν, ἀφεὶς μὲν τὴν τῶν ἀξίων ἐξέτασιν· τοὺς φαύλους δὲ αὐτοὺς, καθ᾽ ἑαυτοὺς ἐξετάζων. καὶ γέγονεν ἡ ἔννοια, συμπέρασμα τῶν ἀντιθέσεων ἀμφοτέρων. Ἄλλως. Συγκρούσας ἱκανῶς διὰ τῶν προειρημένων καὶ τὴν ἀντίθεσιν Λεπτίνου, 11 12 13

καὶ τὴν λύσιν τῆς ἀνθυποφορᾶς χρησίμην εὑρών, καὶ προοικονομήσας διὰ τούτων τὴν οἰκείαν νομοθεσίαν, ἐπανήγαγεν ἐντεῦθεν ἐπὶ τὴν ἐξ ἀρχῆς ἀντίθεσιν. καινοτομεῖ δὲ τὴν μέθοδον κατὰ μόνων τῶν ἀναξίων πληρῶν τὴν ἔννοιαν. Ἔτι 13 τοίνυν ὑμᾶς, κἀκεῖνο) Πληρώσας τὸ δίκαιον, ἄρχεται τῆς ἐννοίας τοῦ συμφέροντος. ἐπεὶ δὲ οὔτε στρατηγοῦ, οὔτε τεχνίτου πρὸς τὰ ἰσχυρὰ τῶν ἀντιτεταγμένων χωρεῖν, ἀλλὰ μεθοδεύειν, ὡς ἔνι μάλιστα, καὶ ταῖς μεταχειρήσεσι περιγίνεσθαι, κλέπτει ἐντεῦθεν ἤδη τὴν εἴσοδον, ἵνα λάθῃ τὸν ἀκροατὴν ἔσω αὐτὰ τὰ πράγματα ἀσθενῆ γεγενημένα ἄγων, ἵνα ὅταν ἡ ἀντίθεσις ἀπὸ τοῦ συμφέροντος τεθῇ, ὁ ἀκροατὴς καταγνῷ τῆς ἀντιθέσεως ἐκ τῶν εἰρημένων ἡμμένος. τοῦ γὰρ Λεπτίνου πειρωμένου λέγειν, ὡς αἱ λειτουργίαι, νῦν μὲν εἰς πένητας ἀνθρώπους προσήκουσι, τότε δὲ λειτουργήσουσιν οἱ πλουσιώτατοι, προλύων καὶ προοικονομῶν, δείκνυσιν ὅτι οὔτε πολλοὺς περιποιήσει, καὶ ὅτι ὁ νόμος ἐδίδου αὐτοῖς τὴν ἀτέλειαν, ὥστε μηδὲν ἔχειν τοὺς ἀκούοντας εὑρίσκειν ἐκ τῆς ἀντιθέσεως ὄφελος. Ὥστε τὸν ἥμισυν) Σμικρύνει

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

14 ἔστ' ἀτελὴς τοῦ χρόνου. εἶτα ᵛἧς πᾶσι μέτεστι τοῦ ἡμι- χ. ᵛοἷς.
σου καὶ τοῖς μηδ' ὁτιοῦν ἀγαθὸν πεποιηκόσιν ὑμᾶς, ταύ-
της τοὺς εὖ ποιήσαντας, ὃ προστεθείκαμεν αὐτοῖς, τοῦ-
το ἀφελώμεθα; μηδαμῶς. οὔτε γὰρ ἄλλως καλόν,
οὔτε πρέπον ὑμῖν. πῶς γὰρ οὐκ αἰσχρόν, ὦ ἄνδρες
15 ἀθηναῖοι, κατὰ μὲν τὴν ἀγορὰν, ˣἀψευδῆ νόμον γε- ˣἀψευδεῖν. α.
γράφθαι, ἐφ' οἷς οὐδέν ἐστι δημοσίᾳ βλάβος εἴ τις
ψεύσεται, ἐν δὲ τῷ κοινῷ μὴ χρῆσθαι τῷ νόμῳ
τούτῳ τὴν πόλιν τὴν αὐτὴν ἐπιτάξασαν τοῖς ἰδιώ-
ταις, ἀλλὰ τοὺς ἀγαθόν τι πεποιηκότας ἐξαπατῆσαι,
16 καὶ ταῦτα οὐ μικρὰν ζημίαν ὀφλήσειν μέλλουσαν. οὐ
γὰρ εἰ μὴ χρήματα ἀπόλλυται, μόνον σκεπτέον, ἀλ-
λ' εἰ καὶ δόξαν χρηστήν, περὶ ἧς μᾶλλον σπουδάζετε,
ἢ περὶ χρημάτων, καὶ οὐ μόνον ὑμεῖς, ἀλλὰ καὶ οἱ πρό-
γονοι. τεκμήριον δέ· χρήματα μὲν γὰρ πλεῖστά πο-
17 τε κτησάμενοι, πάντα ὑπὲρ φιλοτιμίας ἀνήλωσαν.
ὑπὲρ δὲ δόξης, οὐδένα πώποτε κίνδυνον °ἐξέστησαν. °ὑπεχώρησαν. ζ.
ἀλλὰ καὶ τὰς ἰδίας οὐσίας προσαναλίσκοντες διε-
τέλουν. νῦν τοίνυν οὗτος ὁ νόμος, ταύτην ἀντὶ καλῆς
αἰσχρὰν τῇ πόλει περιάπτει, καὶ οὔτε τῶν προγόνων,
18 οὔτε ὑμῶν ἀξίαν. τρία γὰρ τὰ μέγιστα ὀνείδη κτᾶ-
ται· φθονερούς, ἀπίστους, ἀχαρίστους εἶναι δοκεῖν, ὅτι τοί-
νυν οὐδ' ἔστιν ὅλως, ὦ ἄνδρες ἀθηναῖοι, τοῦ ἤθους τοῦ
ᵃὑμετέρου, κύριον ποιῆσαι τοιοῦτον νόμον, καὶ τοῦτο πει- ᵃἡμετέρου. α.
ράσομαι δεῖξαι διὰ βραχέων, ἕν τι τῶν πρότερον
19 πεπραγμένων τῇ πόλει διεξελθών. λέγονται χρήμα-
τα οἱ τριάκοντα δανείσασθαι παρὰ λακεδαιμονίων
ἐπὶ τοὺς ἐν πειραιεῖ. ἐπειδὴ δὲ ἡ πόλις εἰς ἓν °ἦλθε, °συνῆλθε. ε. π.
καὶ τὰ πράγματα ἐκεῖνα κατέστη, πρέσβεις πέμψαν-

τὸ γέρας, καὶ εἰς εὐτέλειαν κατάγει, τὴν σεμνὴν ὀνομαζομένην ἀτέλειαν. μέρος μὲν αὐτοῖς καὶ οἰκεῖα οὖσιν εὐερ-
14 γέταις διδούς; μικρὰν δ' ἔτι λοιπὸν προστεθῆναι φάσκων τοῖς εὖ ποιήσασιν. Εἶτα ἧς πᾶσι μέτεστι) Τῆς ἀτε-
λείας δηλαδή εἰς αἰδῶ τῶν εἰληφότων τοὺς ἀκούοντας ἐκκαλεῖται, ἵνα τὴν ἀτοπίαν τῆς ἀφαιρέσεως δείξῃ ἠθικῶς. ὁ
πρὸς τὸν λεπτίνην διαλέγεται. πολύτροπος γὰρ ὁ ἀνήρ, καὶ πρὸς τὴν τῶν πραγμάτων φύσιν συμμεταβάλλεται. ὅταν μὲν γὰρ δέῃ συγκροῦσαι τῷ δήμῳ, τότε πικρῶς διαλέγεται. ὅταν δὲ πρὸς αὐτόν, τότε ἤθει ὑφειμένως. καὶ πρὸς τοὺς ἀκροατὰς δὲ παραπλησίως, ἐπειδὴ εἰς αὐτοὺς ἥκει τὸ κεφάλαιον τῆς ᵗσυγκρίσεως. καὶ βιάσασθαι μὲν οὐ δύναται, ἐκκαλέσασθαι δὲ εἰς αἰδῶ τῶν εἰληφότων βούλεται. οὕτω τὸ συμβουλευτικὸν ἐμπλέκεται πανταχοῦ. καὶ μάλιστα ἐν τοῖς ἐγκωμίοις, ἐν οἷς τὰ συμπεράσματα ἠθικά. Οὔτε γὰρ ἄλλως καλὸν) Οὔτε τῇ φύσει καλόν, φησιν, οὔτε τῷ ἤθει τῆς ἀττικῆς ἁρμόττον. εἰ γὰρ μέλλομεν ὠφελεῖσθαι, ἀλλά τοι γε ψεύδεσθαι ἀλυσιτελὲς εἰς δόξαν. ᵗκρίσεως.

Πῶς γὰρ οὐκ αἰσχρὸν) Ἐπιχείρημα ἀπὸ τοῦ ἐλάττονος, οὐκ ἀπήλλακται δὲ ἤθους, δι' οὗ αὔξει τὸ ὄνειδος. πολιτείαν γὰρ ἀψευδῆ μέχρι καὶ τῶν ὠνίων διώκοντες, πῶς δολερῶς κατασκευάζετε τὰς τιμάς, ἐπὶ μὲν τῶν οὐκ ἐχόντων τι βλαβερόν, τὸ ἁγνὸν φυλαττόμενοι· ἐπὶ δὲ τοῦ ζημίας μεστοῦ,
16 τὴν πρᾶξιν τολμῶντες. Οὐ γὰρ εἰ μὴ χρήματα) Τοῦτο ἀπὸ τοῦ μείζονός ἐστι. φιλεῖ γὰρ ἀκολουθεῖν ἀλλήλοις ἄμφω τὰ ἐπιχειρήματα, τὸ μέν, ἀπὸ τοῦ ἐλάττονος, τὸ δέ, ἀπὸ τοῦ μείζονος, κἀκείνῳ τοῦτο ὁμοίως. μὴ ἔχων δὲ ἀντιθεῖναι τῷ συμφέροντι ἕτερον συμφέρον ἐκ χρημάτων καὶ κέρδους, τὴν εὔκλειαν καὶ τὴν εὐδοξίαν, τῷ τῶν χρημάτων κέρδει ἀντιπαραβάλλειν πειρᾶται. δείξει δὲ μετὰ μικρόν,
17 ὅτι οὐδὲ κέρδος προσγίνεται. Ταύ-
18 την) Ἤγουν δόξαν. Ὅτι τοίνυν) Ἄλλος τόπος εἰς τὸ αὐτὸ ἐπιχείρημα, ὁ ἀπὸ τοῦ μείζονος. ὅταν γὰρ πλειόνων εὐπορῇ τόπων, οὐ φείδεται. ἔστι δ' ὁ μὲν πρότερος τόπος ἐξ ἐνθυμήματος. ὁ δὲ ἐντεῦθεν, ἐκ παραδείγματος. Τοῦ ἤθους) Ἤγουν τῆς ὑμετέ-
19 ρας γνώμης. Λέγονται χρήματα) Ἔστι μὲν τὸ παράδειγμα ἱστορικόν, πρὸς πίστιν τῶν προειρημένων εἰλημμένον· ὅσην δὲ ἔχει καὶ δεινότητα καὶ χάριν, ἄξιον συνιδεῖν. πρόσωπον δὲ ἔλαβε τῶν τριάκοντα τῶν λῃστικωτάτων, ἵνα φαίνηται ἡ πόλις πολλάκις, καὶ ὑπὲρ αὐτῶν τῶν πολεμίων αἱρουμένη προΐεσθαι. καὶ τὸ δριμὺ τοῦ ἐπιχειρήματος, ὅτι ἐδανείσαντο καὶ κατὰ τῆς πόλεως, καὶ παρὰ τινων πολεμίων ἑτέρων ἐπὶ τοὺς ἐν πειραιεῖ. τοῦτο δὲ κατὰ τῶν δημοτικῶν τῶν κατειληφότων τὸν πειραιᾶ. καὶ προσέθηκε τὸν καιρόν, καὶ τὸν τόπον, ἵνα καὶ τὴν χρείαν δηλώσῃ, ὅτι ὑπὲρ τῆς ἐλευθερίας ὁ δῆμος ἐκ πειραιῶς ἠγωνίζετο. οὕτω πανταχόθεν ἡ αὔξησις, ἐκ τῶν τόπων, ἐκ τῶν πράξεων, ἐκ τοῦ προσώπου. Ἐπειδὴ δὲ ἡ πόλις εἰς ἓν ἦλθε) Μιᾶς ἐγένετο γνώμης. διπλῆ γὰρ ἦν, στασιάζουσα. ἔκρυψε δὲ τὰ δεινὰ τῶν γενομένων, μὴ βουληθεὶς ἐμπομπεῦσαι ταῖς τῆς πόλεως συμφοραῖς. οὐδὲ γὰρ τοῦτο πρόκειται· ἀλλ' ἐπίδειξιν ποιήσασθαι βούλεται τοῦ τῆς πόλεως ἤθους· καὶ ὅπως ἐν ἁπάσαις ἔσται ἀεὶ κρείττων χρημάτων. τὴν δὲ αἰτίαν εἴρηκε τοῦ μὴ ἐκ δέους παρεσχηκέναι τὸν δῆμον· ἀλλ' ὅμως ἀδικηθεῖσα, καὶ τὴν ζημίαν αἱρεῖται· οὐ γὰρ ἀνάγκῃ, καὶ φόβῳ φαίνεται ὁ δῆμος διδούς, ἀλλὰ προαιρέσει νικώμενος· εἰ γὰρ καθεστηκότων τῶν πραγμάτων ἀπῄτουν τὰ χρήματα, τίς ἦν ἀνάγκη τὸν δῆμον διδόναι μὴ ὀρρωδοῦντα; οὕτως οὐ χρημάτων πώποτε πλεονεκτεῖν, ἀλλὰ δόξης βούλεται. Καὶ τὰ πράγματα ἐκεῖνα κατέστη) Τὰ τραγικὰ καὶ φρικώδη, τὰ τυραννικά. ὧν εὐλαβοῦμαι τὸν ζῆλον, καὶ τὴν μνήμην ἀπεύχομαι. Πρέσβεις πέμψαντες) Ἁπλοῦν τὸν λόγον πεποίηται, ἵνα μὴ φαίνηται παρὰ

λακεδαι-

α. τι, οἱ Λακεδαιμόνιοι, τὰ χρήματα ταῦτα ἀπῄ-
τουν. λόγων δὲ γιγνομένων, καὶ τῶν μὲν, τοὺς δημοσια- 20
μένους ἀποδοῦναι κελευόντων τοὺς ἐξ ἄστεος, τῶν
δὲ, τοῦτο πρῶτον ὑπάρξαι τῆς ὁμονοίας σημεῖον ἀξι-
ούντων, κοινῇ διαλῦσαι τὰ χρήματα, φασὶ τὸν δῆ-
*καὶ. ε. μον ἑλέσθαι* συνεισενεγκεῖν αὐτὸν, καὶ μετασχεῖν τῆς
*ὁμοσμένων. δαπάνης, ὥστε μὴ λῦσαι τῶν ὡμολογημένων μη- 21
ε. δέν. πῶς οὖν οὐ δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ τότε μὲν
τοῖς ἠδικηκόσιν ὑμᾶς ὑπὲρ τοῦ μὴ ψεύσασθαι, τὰ χρή-
ματα ταῦτα εἰσφέρειν ἠθελήσατε, νῦν δέ, ἐξὸν ὑ-
μῖν ἄνευ δαπάνης τὰ δίκαια ποιῆσαι τοῖς εὐεργέταις,
*ψεύσασθ. η. λύσασι τὸν νόμον, *ψεύδεσθαι μᾶλλον αἱρήσεσθε. ἐ- 22
*τοίνυν. α. α. γὼ μὲν* οὐκ ἀξιῶ. τὸ μὲν τοίνυν τῆς πόλεως ἦθος,
ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἐπ' ἄλλων πολλῶν, καὶ ἐφ' ὧν
εἶπον, ἴδοι τις ἂν τοιοῦτον, ἀψευδὲς καὶ χρηστόν, οὐ τὸ
λυσιτελέστατον πρὸς ἀργύριον σκοποῦν, ἀλλὰ τί καὶ
καλὸν πρᾶξαι, τὸ δὲ τοῦ θέντος τὸν νόμον, τὰ μὲν ἄλ- 23
*φαῦλον. α. λα ἔγωγε οὐκ οἶδα, οὐδὲ λέγω *φλαῦρον οὐδέν, οὐδὲ
*τύπου. ε. η. σύνοιδα. ἐκ δὲ τοῦ νόμου* σκοπῶν, εὑρίσκω πολὺ τού-
του κεχωρισμένον. φημὶ τοίνυν ἐγὼ κάλλιον εἶναι, τοῦ-
τον ὑμῖν ἀκολουθῆσαι περὶ τοῦ λῦσαι τὸν νόμον, ἢ ὑ-
μᾶς τούτῳ περὶ τοῦ θέσθαι· καὶ λυσιτελέστερον εἶναι καὶ 24
ὑμῖν καὶ τούτῳ, τὴν πόλιν πεπεικέναι Λεπτίνην, ὅ-
μοιον αὐτῇ γενέσθαι δοκεῖν, ἢ αὐτὴν ὑπὸ τούτου
πεπεῖσθαι, ὁμοίαν εἶναι τούτῳ· οὐδὲ γὰρ εἰ πάνυ χρη-
στός ἐστιν, ὡς ἐμοῦ γε ἕνεκα ἔστω, βελτίων ἐστὶ τῆς πό-
λεως τὸ ἦθος. νομίζω τοίνυν ὑμᾶς, ὦ ἄνδρες δικα- 25
*νόμου. ε. η. σταί, ἄμεινον ἂν περὶ τοῦ* παρόντος βουλεύσασθαι, εἰ
κἀκεῖνο μάθοιτε, ὅτι τῷ μόνῳ μείζους εἰσὶν αἱ παρὰ
*τοῦ δήμου. ε. η. *τῶν δήμων δωρεαὶ τῶν παρὰ τῶν ἄλλων πολιτειῶν
διδομένων, καὶ τοῦτο ἀφῄρηται νῦν τῷ νόμῳ. τῇ μὲν
γὰρ χρείᾳ, τῇ τῶν εὑρισκομένων τὰς δωρεάς, οἱ τύ- 26
ραννοι καὶ οἱ τὰς ὀλιγαρχίας ἔχοντες, μάλιστα δύ-
νανται τιμᾶν. πλούσιον γὰρ ὃν ἂν βούλωνται, παρα-
α. χρῆμα ἐποίησαν. τῇ δὲ τιμῇ καὶ τῇ βεβαιότητι, τὰς
παρὰ τῶν δήμων δωρεὰς εὑρήσετε οὔσας βελτίους. τό,
τε γὰρ μὴ μετ' αἰσχύνης ὡς κολακεύοντα λαμβά- 27
νειν, ἀλλ' ἐν ἰσηγορίᾳ, δοκοῦντα ἄξιόν τινος εἶναι, τι-
μᾶσθαι, τῶν καλῶν ἐστί· τό, τε ὑπὸ τῶν ὁμοίων
ἑκόντων θαυμάζεσθαι, τοῦ παρὰ τοῦ δεσπότου λαμ-
βάνειν ὁτιοῦν, κρεῖττον εἶναι δοκεῖ. παρὰ μὲν γὰρ ἐ-
κείνοις, μείζων ἐστὶν ὁ τοῦ μέλλοντος φόβος, τῆς παρού- 28

λακεδαιμονίων τις φόβος. ἐν εἰδει δὲ τῷ τοῦ λόγου πέμψαντες ἀπῄτουν, ὥσπερ ἰδιωτῶν πρὸς ἰδιώτας ὄντος τοῦ συναλλάγματος. Λόγων δὲ γι- 20
νομένων) Οὕτως ἡ πόλις ἦν ἄδεια καὶ πόρρω τῶν φόβων ἦν· καὶ ἡ τῶν δανεισαμένων δὲ αἰτία, παντάπασιν αἰαιρεῖ τοῦ φόβου τὴν ὑπόνοιαν.
Τοὺς ἐξ ἄστεος) Τοὺς τυραννικούς. αὐτοὶ γὰρ εἶχον τὸ ἄστυ. εἶτα ζημίας χρημάτων οὐκ ἀνεχόμενοι ψεύσασθαι, νῦν ἄνευ δαπάνης ψευσόμεθα; κἀκεῖ μὲν τοὺς ἀδικοῦντας προσέθηκεν, ἐνταῦθα δὲ τοὺς εὐεργέτας ὠνόμασε. Τῶν δὲ, τοῦτο πρῶτον) Οὕτως ὑπὲρ αὐτῶν ἐφοβοῦντο μᾶλλον, καὶ ὁ δῆμος οὕτως αὐτοῖς ἦν φοβερός. οὐ γὰρ προσδοκῶντες παρὰ Λακεδαιμονίων τὴν συμμαχίαν, ἠξίουν τὸν δῆμον πίστιν δοῦναι τῆς εἰς αὐτοὺς εὐνοίας τὴν καταβολὴν τοῦ δανείσματος. Φασὶ τὸν δῆμον ἑλέσθαι) Οὕτως ἐκ προαιρέσεως καὶ οὐ διὰ φόβον εἵλετο κοινωνεῖν τοῦ δανείσματος. διὰ δὲ τοῦ συνεισενεγκεῖν, καὶ ἑλέσθαι, τὴν ὑπερβάλλουσαν τοῦ δήμου προαίρεσιν ἐνέδειξε, διὰ τῶν ὀνομάτων. οὐκ ἀνάγκης, φησίν, ἐπειγούσης οὐδεμιᾶς, ὁ δῆμος εἰσήνεγκεν οἴκοθεν, οὐκ ἐξ ἀκροπόλεως, ἐκ περιουσίας λαβών.
Ὥστε μὴ λῦσαι τῶν ὡμολογημένων) Ἵνα φαίνηται μὲν πρὸς τὴν παροῦσαν ὑπόθεσιν ἑλκομένη χρησίμως ἡ ἔννοια. περὶ γὰρ τοῦ μὴ δεῖν λύειν τὰς δεδομένας δωρεάς, ὁ ἀγών. Τὸ 21 22
μὲν τοίνυν τῆς πόλεως) Τὸ ἐπιχείρημα ἀπὸ τοῦ ἐναντίου. δείκνυσι δὲ ὅτι οὐ λυσιτελεῖ ὁ νόμος, τὸ φυλακτήριον τῆς πόλεως διαφθείρων. καὶ διορίζεται, ὅτι ἐν μὲν ταῖς δυναστείαις, κολακείας ἆθλόν ἐστιν ἡ τιμή· ἐν δὲ ταῖς δημοκρατίαις, καθαρεύει τοῦ αἰσχροῦ. κἀκεῖ μὲν ὁ φόβος μείζων τῆς χάριτος. παρ' ἡμῖν δὲ ἡ δωρεὰ παντὸς δέους ἀπήλλακται. Τὸ δὲ, 23
τοῦ θέντος τὸν νόμον) Ἠφειδομένῳ ἔοικεν. οὐ μὴν ἀπήλλακται τοῦ πικρὸς εἶναι. οὔτε γὰρ τὸν ἔπαινον *καθαρῶς ἀποδίδωσιν, οὔτε ψέξαι τετόλμηκεν. οὕτω τὸ ἦθος τῷ πραγματικῷ συμπέπλεκται. Νομί- γρ. *καθαρόν. 25
ζω τοίνυν ὑμᾶς, ὦ ἄνδρες δικασταί) Τὸ ἐπιχείρημα ἐντεῦθεν ἀπὸ τοῦ ἴσου. ὅρα δὲ πῶς ἐφ' ἑκάστῳ προοιμιάζεται. εἰ γὰρ καὶ διὰ μικρῶν τὴν ἔννοιαν, ἀλλ' οὖν γε ὅμως προοιμιάζεται. ἡ δὲ ἰσότης, ὅτι διδόαμεν δωρεάς· καὶ αἱ λοιπαὶ δὲ πολιτεῖαι διδόασι, καὶ τάχα διαφέρουσαι



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σης χάριτος. παρὰ δ' ὑμῖν, ἀδεῶς ἂν ἄν τις λάβῃ τι, ἔχειν ὑπῆρξε, τὸν λοιπὸν ἅπαντα χρόνον. ὁ τοίνυν τὴν πίστιν ἀφαιρῶν τῶν δωρεῶν νόμος ἐστὶ, ᾧ μόνῳ κρείττους εἰσὶν αἱ παρ' ὑμῶν δωρεαὶ, τοῦτο ἀφαιρεῖται. *λαμβάνῃ. α. *ἐστι. α.
29 καίτοι τῶν ἁπασῶν ἡτινοσοῦν πολιτείας τὸ κομίζεσθαι τοὺς εὔνους τοῖς καθεστῶσι χάριν ἂν ἀφέλῃς, οὐ μικρὰν φυλακὴν αὐτῶν ταύτην ἀφῃρηκὼς ἔσῃ. Τάχα τοίνυν ἴσως ἐκεῖνο λέγειν ἂν ἐπιχειρήσειε Λεπτίνης, ἀπάγων ὑμᾶς ἀπὸ τούτων, ὡς αἱ λειτουργίαι, °ἧς ἄν τινος. α. η. *ἐξέλῃς. α.
30 νῦν μὲν εἰς πένητας ἀνθρώπους ἔρχονται, ἐκ δὲ τοῦ νόμου τούτου λειτουργήσουσιν οἱ πλουσιώτατοι. ἔστι δὲ τοῦτο, οὑτωσὶ μὲν ἀκοῦσαι, λόγον τινὰ ἔχον· εἰ δέ τις αὐτὸ ἀκριβῶς ἐξετάσειε; ψεῦδος ἂν ὂν φανείη. εἰσὶ γὰρ δήπου παρ' ἡμῖν αἵ τε τῶν μετοίκων
31 λειτουργίαι, καὶ αἱ πολιτικαί. ὧν °ἑκατέρων ἐστὶ τοῖς *εὑρημένοις ἡ ἀτέλεια, ἣν οὗτος ἀφαιρεῖται. τῶν γὰρ εἰς τὸν πόλεμον καὶ τὴν σωτηρίαν τῆς πό- °ἑκάστων. π. *εὑρομένοις.

τῇ τῶν χρημάτων περιουσίᾳ. ᾧ δὲ πλεονεκτεῖν δοκοῦμεν ἡμεῖς, τὴν πίστιν λέγω, τοῦτο ὁ νόμος ἀφαιρεῖσθαι βιάζεται. ὁρᾷς ὅτι διὰ πάντων τούτων τῶν ἐπιχειρημάτων, καὶ δοκεῖ τὸ δίκαιον ἐργάζεσθαι, πρὸς τὴν ἀντίθεσιν ἀγωνίζεται, ὅτι οὐ δεῖ τὰ δεδομένα ἀφαιρεῖσθαι. ἵνα καὶ φαίνηται τὸ συμφέρον ἐπαγγελλόμενος ὁ Λεπτίνης, ἀλλ' οὖν γε ὁ δῆμος
29 διὰ τὸ εὔλογον ἀφίησι. Τάχα τοίνυν ἴσως) Προανῄρηκεν ἐν ταῖς προκατασκευαῖς τῆς ἀντιθέσεως τὴν ἰσχύν. ἐξέλυσε δὲ πλέον τῷ διασχισμῷ αὐτήν. πρὸς δὲ, καὶ κατακερματίσας εἰς μέρη πολλά. μέγα γὰρ εἰς καθαίρεσιν τὸ καταμερίσαι, εἴγε καὶ ἀθροισμὸς ἐγείρει τὴν αὔξησιν. εἶτα *κακουργεῖ τοῖς ὀνόμασιν, ἵνα δείξῃ τὸν Λεπτίνην ψευδόμενον· διαβολὴν γὰρ περὶ τῆς ἀντιθέσεως κεκίνηκεν, ἵν' ὁ ἰσχυρότατος Λεπτίνου λόγος, ὕποπτος γένηται, καὶ ἡ εὕρεσις· ὁ γὰρ ἕτερα μὲν γράφων, ἕτερα δὲ φθεγγόμενος, ἀνίσχυρος. τοῦ γὰρ Λεπτίνου λέγοντος ἐν νόμῳ διαρρήδην ὅπως ἂν οἱ πλουσιώτατοι λειτουργῶσι, καὶ διὰ τοῦτο σημαίνοντος ὅτι πλούσιοι μὲν λειτουργοῦσιν ἴσως, οὐ μὴν οἱ πλουσιώτατοι διὰ τὸ τὰς ἀτελείας ἔχειν, τοῦτο ὁ ῥήτωρ μεταβαλὼν, οὐ κατὰ τὸ ὑποκείμενον λέγει, πένητας ἀντὶ πλουσίων λαβὼν, ἵνα φαίνηται τὴν ἰσχὺν ἐξελέγχων τοῦ νόμου. λέγω διὰ τῆς τῶν πλουσίων προσηγορίας. ἐναντία γὰρ πρὸς τὸ συμφέρον εὑρίσκει, ἵνα ἐκ ταύτης τῆς ἐννοίας καὶ τῆς προσηγορίας ὁ ἀκροατὴς ψευδόμενον Λεπτίνην λάβῃ, νῦν μὲν εἰς πένητας ἀνθρώπους τὰ τῶν λειτουργιῶν ἔρχεσθαι λέγοντα· νῦν δὲ λέγοντα πάλιν ὑπερθετικῶς, ὅπως ἂν οἱ πλουσιώτατοι. ἀντίκειται γὰρ οὐκ ἀκολούθως αὐτοῖς ὅ, τε πένης, καὶ ὁ πλούσιος. ἀλλ' ὁ μὲν πένης πρὸς τὸν πλούσιον· ὁ δὲ πλούσιος, πρὸς τὸν πλουσιώτατον. ἔστι τοίνυν ἡ ἀντίθεσις ἀπὸ τοῦ συμφέροντος κεφαλαίου. καὶ ταύτῃ μάλιστα Λεπτίνης ἰσχύει. καὶ ἡ ταράττουσα μάλιστα τὸν Δημοσθένην τῶν ἀντιλογιῶν, ἡ παροῦσά ἐστι. καὶ διὰ τοῦτο καὶ μεθόδοις πολλαῖς ἐχρήσατο, νῦν μὲν προλύων, νῦν δὲ προδιαβάλλων, νῦν δὲ τεχνικῶς πρὸς τὰ ὀνόματα. εἰ γὰρ ταύτην λύσειεν, ἰσχυρὰ τὰ λοιπὰ τοῦ λόγου. εἰς γὰρ τοῦτον τὸν λόγον καὶ ταύτην τὴν ὑπόσχεσιν ὁ ἀκροατὴς ἀπιδὼν, ἐδέξατο τὸν νόμον, ἀλλ' οὐχ ὡς ᾠήθησάν τινες ἐκείνην τὴν ἀντίθεσιν συνέχειν τὸν λόγον, ἣν πολλαχοῦ τίθησιν, ὅτι ἀνάξιοι πολλοὶ τῶν εἰληφότων τυγχάνουσιν ὄντες. ἐκείνην μὲν γὰρ εἰσάγει τοῦ οἰκείου χρησίμου ἕνεκα, προοικονομῶν τὸν οἰκεῖον νόμον. ταύτην δὲ μόνην χαλεπὴν καὶ ἀνταγωνιζομένην ἔχει. διόπερ οὐκ ἐθάρρησεν αὐτὴν προανταγωνιοῦσαν θεῖναι. Ὡς αἱ λει-
30 τουργίαι) Λύει τῷ κατὰ συνδρομὴν θεωρήματι, ὅ ἐστι τῇ ἀντιπαραστάσει. Ἔστι δὲ τοῦτο) Οὐκ ἠδυνήθη τὸ ἰσχυρὸν εὐθὺς ἀφελέσθαι. συγκατατίθεται οὖν καὶ αὐτὸς τοῖς λεγομένοις, ὡς οὐκ ἔχων ῥᾳδίως ἀντιλέγειν, ὅτι μεταστήσονται εἰς τοὺς πλουσιωτάτους αἱ λειτουργίαι. οὕτω πιθανὸν ἐδόκει τι, καὶ συμφέρον προτείνειν Λεπτίνης. διὸ καὶ μεθόδου δεῖται ἰσχυρᾶς πρὸς τὴν λύσιν. τίς οὖν ἡ μέθοδος; μερίζει τὰς λειτουργίας κατὰ πρόσωπον δίχα, τούς τε μετοίκους ἰδίᾳ, καὶ τοὺς πολίτας αὖθις. μέγα γὰρ εἰς καθαίρεσιν ὁ τοῦ πλήθους μερισμός. ὥσπερ αὔξησιν ὁ ἀθροισμὸς παρέχει. ὅπερ πάλιν ἐν ταῖς παραβολαῖς χρήσιμον ἡμῖν τὸ θεώρημα. καὶ γὰρ κἀκεῖ μερίζοντες τῶν πραγμάτων τὴν φύσιν, μεγαλοποιεῖν δυνάμεθα. κἀνταῦθα δὲ μεριζόμενα τὰ τῶν λειτουργιῶν, καθαίρεσιν φέρει. καὶ οὐδὲν κωλύει τὸ αὐτὸ θεώρημα, καθαιρεῖν καὶ αὔξειν κατὰ διάφορον λόγον. καὶ γὰρ ἡ πηλικότης οἶδεν αὔξειν τι καὶ μειοῦν. λύει δὲ τῷ κατὰ συνδρομὴν θεωρήματι, ὅπερ καλοῦσιν ἀντιπαράστασιν. συγκατατιθέμενος γὰρ τοῖς λεγομένοις ὑπὸ Λεπτίνου, βούλεται δῆθεν διὰ τοῦ μερισμοῦ, τὴν ἀκρίβειαν τοῦ λόγου °λαθεῖν, καὶ εἰ μὴ φαινόμενός ἐστιν, ἀλλ' ἀληθὴς ὁ λόγος. Εἰσὶ γὰρ δήπου παρ' ὑμῖν) Λύει τὰ κατὰ συνδρομὴν θεωρήματα, ὅ ἐστι τῇ ἀντιπαραστάσει. Ἄλλως. Ἀλέξανδρος μὲν ἐξηγούμενός φησιν, ὅτι ἔδει πανηγυριζούσης τῆς πόλεως, μήτε τοὺς ξένους, μήτε τοὺς μετοίκους πορρωτάτω τῶν ἀπολαύσεων καθεστάναι. ἐχορήγουν τοίνυν καὶ αὐτοὶ δηλονότι, καὶ εἱστίων ἀλλήλους, ἵνα μηδεὶς ἄμοιρος ᾖ κατὰ τὴν πόλιν μετουσίας τῶν ἑορτῶν. δόξειε δ' ἂν μᾶλλον ὁ Δημοσθένης διὰ τῆς ἐπαγομένης ἐννοίας πρὸς τὴν ἀντίθεσιν ἁπάντων, ἰσχυροτέραν αὐτὴν ποιεῖν. τί γὰρ ἕτερον εἶπε Λεπτίνης, ἢ ὅτι πολλοὶ τῶν μετοίκων καὶ τῶν πολιτῶν, ἔξω λειτουργιῶν καθεστᾶσι τὴν ἀτέλειαν ἔχοντες. οὐ μὴν οὕτως ἔχει. ἀλλ' εἰς τὸν μερισμὸν μεταβιβάζει τὸν ἀκροατὴν, ἵνα καθ' ἑκάτερον μέρος ἡ ἀπόδειξις εὐμαθεστέρα γένηται. εἶτα καὶ διὰ τῶν ξένων καὶ μετοίκων τὴν ἐκ περιουσίας λειτουργίαν δείκνυσι. ζητεῖ γὰρ ἡ πόλις, οὐκ εἴ τις μέτοικος χορηγήσει, ἀλλ' εἴ τις πολίτης
31 τῇ πόλει. Ὧν ἑκατέρων ἐστὶ τοῖς εὑρημένοις) Ὡς ἀντικαταλλαξαμένης τῆς πόλεως πρὸς τοὺς εὐεργέτας τὴν χάριν. εὑρέσθαι γάρ ἐστι τὸ λαβεῖν ἀνθ' ὧν τις ἔδωκε. Τῶν γὰρ εἰς τὸν πόλεμον) Δύο διὰ τῆς ἐννοίας ταύτης

*χ. πανουργεῖ. °μαθεῖν.

αἰτί.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὐτεῖ. ἔνι μὲν ὅτι οὐδεὶς ἀτελὴς τῶν εἰς τὸν πόλεμον, ὥστε χρησίμους φαίνεσθαι ταύτῃ τοὺς εἰληφότας τὴν ἀτέλειαν. περὶ ὧν ὁ πολὺς Λεπτίνου λόγος. ἕτερον δὲ, ἵνα μή τις οἴηται τὰς λειτουργίας ταύτας εἶναι ᵃ ταῖς εἰσφοραῖς καὶ τριηραρχίαις. τὸ δὲ, ἣν ἔστιν ἀφαιρεῖται, τεθὲν, τοῦ βιαίου καὶ τῆς ἀδικίας πλείστην ἔμφασιν ἔχει. ἀφαιρεῖται γάρ τις ἐκείνων, ὧν μὴ ἔστι κύριος, οὐ νόμῳ λαμβάνων, ἀλλὰ πολεμίων τρόπῳ χρώμενος.

ᵃ τὰς εἰσφορὰς καὶ τριηραρχίας.

λεως πασῶν εἰσφορῶν καὶ τριηραρχιῶν, ὀρθῶς καὶ
δικαίως, οὐδεὶς ἔστ' ἀτελὴς ἐκ τῶν παλαιῶν νόμων,
οὐδὲ οὓς αὐτὸς ἔγραψε, τοὺς ἀφ' Ἁρμοδίου καὶ Ἀρι- 32
στογείτονος. σκεψώμεθα δὴ τίνας ἡμῖν εἰσποιεῖ χο-
ρηγοὺς εἰς ἐκείνας τὰς λῃτουργίας, καὶ πόσους, ἐὰν
α. μὴ τούτῳ προσέχωμεν, ἀφήσει. οἱ μὲν τοίνυν
πλουσιώτατοι τριηραρχοῦντες ἀεὶ, τῶν χορηγιῶν
ἀτελεῖς ὑπάρχουσιν. οἱ δ' ἐλάττω τῶν ἱκανῶν κεκτη- 33
μένοι, τὴν ἀναγκαίαν ἀτέλειαν ἔχοντες, ἔξω τοῦ
τελεῖν εἰσὶ τούτου. οὐκοῦν τούτων μὲν οὐδετέρων
οὐδεὶς διὰ τὸν νόμον ἡμῖν προσέσται χορηγός. ἀλ-
λὰ νὴ Δία εἰς τὰς τῶν μετοίκων λῃτουργίας εἰσποιεῖ
πολλούς. ἀλλ' ἐὰν δείξῃ πέντε μόνους, ἐγὼ ληρεῖν ὁ- 34
μολογῶ. θήσω τοίνυν ἐγὼ μὴ τοιοῦτον εἶναι τοῦτο, ἀλ-
α. λὰ καὶ τῶν μετοίκων εἶναι πλείονας ἢ τοσούτους, ἐὰν
ὁ νόμος τεθῇ, τοὺς ἀεὶ λῃτουργοῦντας ἔσεσθαι, καὶ
τῶν πολιτῶν μηδένα ἐκ τριηραρχίας ὑπάρξειν ἀ-
τελῆ· σκεψώμεθα δὴ τί τοῦτ' ἔσται τῇ πόλει, ἐὰν ἅ- 35
παντες οὗτοι λῃτουργῶσι. φανήσεται γὰρ οὐδὲ πολ-
ἔρα.α. λοῦ δεῖ, τῆς γενησομένης ἄξιον αἰσχύνης. ὁρᾶτε δὲ
οὑτωσί. εἰσὶ τῶν ξένων ἀτελεῖς, δέκα θήσω. καὶ μὰ
τοὺς θεοὺς, ὅπερ εἶπον ἀρτίως, οὐκ οἶμαι πέντε εἶ-
ναι. καὶ μὴν, τῶν γε πολιτῶν, οὐκ εἰσὶ πέντε ἢ 36
ἕξ. οὐκοῦν ἀμφοτέρων, ἑκκαίδεκα· ποιήσωμεν
αὐτοὺς εἴκοσιν. εἰ δὲ βούλεσθε, τριάκοντα. πόσοι δή-
ποτ' εἰσὶν οἱ κατ' ἐνιαυτὸν τὰς ἐγκυκλίους λῃτουρ-
α. γίας λῃτουργοῦντες ὑμῖν, χορηγοὶ καὶ γυμνασίαρ-
χοι καὶ ἑστιάτορες. ἑξήκοντα ἴσως, ἢ μικρῷ πλεί- 37
ους σύμπαντες οὗτοι. ἵνα οὖν τριάκοντα ἄνθρω-
ποι, ἢ πλείους παρὰ πάντα τὸν χρόνον λῃτουργή-
ἀπίστως.ζ. ἡμᾶς.α. σωσιν ἡμῖν, τοὺς ἅπαντας ἀπίστους πρὸς ὑμᾶς
αὐτοὺς διαθῶμεν; ἀλλ' ἴσμεν ἐκεῖνο δήπου, ὅτι λῃ-
τουργήσουσι μὲν, ἄνπερ ἡ πόλις ᾖ, πολλοὶ, καὶ οὐκ 38
ἐπιλείψουσιν. εὖ δὲ ποιεῖν ἡμᾶς οὐδεὶς ἐθελήσει,
τοὺς πρότερον ποιήσαντας, ἐὰν ἠδικημένους ἴδῃ.
εἶεν. εἰ δὲ δὴ τὰ μάλιστα ἐπέλιπον οἱ χορηγεῖν οἷοί τε,

Οὐδὲ οὓς αὐτὸς ἔγραψε) Πρὸς σύστασιν τοῦ οἰκείου 32
λόγου τοῦτό φησιν· εἰ γὰρ αὐτὸς ὁ Λεπτίνης τούτους ἀνῆκε τῷ νόμῳ, εὔδηλον ὡς οὐχὶ λειτουργίαι τῶν πολεμίων γίνονται. Τούτῳ) Τῷ Λεπτίνῃ δηλαδή. Οἱ μὲν τοίνυν πλουσιώτατοι) Μερίσας τὰς λειτουργίας εἴς τε πολίτας καὶ τοὺς μετοίκους, καὶ ταύτην κατ' ἐρώτησιν ἐργασάμενος, ζητεῖ καθ' ἑκάτερον μέρος, πόσους εἰσποιεῖ Λεπτίνης, καὶ πόσους τῶν πενήτων ἀφίησιν. εἶτ' ἐπὶ τούτοις ἐξαίρει τοὺς πάνυ πλουσιωτάτους, ὡς ἀεὶ ταῖς τριηραρχίαις νενεμημένους. οὐκοῦν τὸ μέσον ᵇὑφαιρεθήσεται τῶν πλουσίων ὑφῃρημένων. οὐκοῦν εὐθὺς ἐξελέγχει τοῦ νόμου τὸ πρῶτον νόημα, ἐν ᾧ τὸ μέγιστον τῆς ὅλης νομοθεσίας· λέγοντος γὰρ τοῦ Λεπτίνου, ὅπως ἂν οἱ πλουσιώτατοι λειτουργῶσιν, αὐτὸς ἀφαιρεῖται τοὺς πλουσιωτάτους, νέμων ταῖς τριηραρχίαις. ὥστε εὐθὺς ἁλίσκεσθαι ψευδῆ τὸν Λεπτίνην· ἐκεῖ μὲν γὰρ ἀπαντῶν τῷ νόμῳ, ὅπως ἂν οἱ πλουσιώτατοι λειτουργῶσι, λέγει. δείκνυσι δὲ ἡ πολιτεία ψεῦδος ὄν, τὸ τοὺς πλουσιωτάτους λειτουργεῖν, νέμουσα ταῖς τριηραρχίαις αὐτούς· ὥστε πῶς ἂν οἱ πλουσιώτατοι λειτουργήσαιεν. ἡ λύσις δὲ τῆς ἀντιθέσεως κατὰ μείωσιν γέγονε, διὰ τὸ μὴ ἔχειν μὲν τὸν ῥήτορα ἀντρεπτικὴν ἀντιλογίαν, βιάζεσθαι δὲ ὑπὸ τῆς φύσεως τῶν πραγμάτων εἰς τοῦτο καταφέρεσθαι. εἶτα καὶ τὴν βλάβην εὐθὺς τῇ λύσει συνάπτει, ᶜπροστιθεὶς τοὺς ἅπαντας ἀπίστους πρὸς αὐτοὺς μέλλοντας γίνεσθαι. 34
Πολλούς) Ἀτελεῖς δηλονότι.
Θήσω τοίνυν ἐγὼ) Μετὰ τὴν ἀναίρεσιν, συγχώρησις. ἐκ περιουσίας γὰρ ταῦτα λέγει λοιπόν. Φανήσεται γὰρ οὐδὲ πολλοῦ δεῖ) Ἀντὶ τοῦ οὐδὲ αὐτῆς τῆς αἰσχύνης ἐστὶν ἄξιον. ὅ ἐστιν οὐδὲ ἰσόρροπον τῆς αἰσχύνης, ἀλλ' ἔλαττον κέρδος. ὥστε Λεπτίνης εἰς δόξαν ζημιῶν, οὐδὲν ὠφελεῖ, ἀλλὰ πονηρεύεται. 35 Ἵνα οὖν τριάκοντ' ἄνθρωποι) Οὐ λέγει τῶν τριάκοντα πλείους, ἀλλ' ἐὰν πολλοὺς δῶμεν ἐσομένους τριάκοντα. 37

ᵇ ὑπολειφθήσεται.α.
ᶜ προστεθεὶς.α.

Ἀλλ' ἴσμεν) Ἄλλος τρόπος λύσεως, καὶ τῷ καθ' ὑπόκρισιν κέχρηται σχήματι.
Ἄνπερ ἡ πόλις ᾖ, πολλοί) Πολὺ τὸ φιλόπολι καὶ τὸ ἀπὸ τῆς εὐνοίας ἦθος. οὐ γὰρ ἡ δεξιὰ τύχη τῆς πόλεως ἐάσει ποτὲ ἐπιλείψειν γενέσθαι λειτουργιῶν σωζομένης τῆς πόλεως. Εἶεν. εἰ δὲ δὴ) Ἄλλος τρόπος λύσεως ἐντεῦθεν, 38

ὅτι βέλτιον εἰς συντέλειαν ἀγαγεῖν τὰς λειτουργίας. καὶ τῷ καθ' ὑπόθεσιν κέχρηται σχήματι, ἵν' ἐκ περιουσίας τούτῳ χρώμενος φαίνηται. εἶτα συνάπτει πάλιν τῷ κατὰ μείωσιν συγκριτικῷ. ἀντεξετάζει γὰρ τὸν κατὰ συντέλειαν *τρόπον τοῖς ἐπαγγέλμασιν. Εἰς συντέλειαν ἀγαγεῖν) Ἄλλος τρόπος τὴν ἔνδειαν διορθούμενος κατὰ μετάληψιν. γρ.* τόπον.

38 ὡς ἐν ταῖς τριηραρχίαις πεποίηται καὶ ταῖς χορηγίαις καὶ τῇ παραθέσει τὸ βέλτιον εὑρίσκει. βέλτιον γὰρ τοῦτό φησιν, ὅτι βραχύτητι τὴν αἴσθησιν ὑποκλέπτει. Τριηραρχίας) Πάντες γὰρ ἐν ταῖς τριηραρχίαις συνετέλουν πλὴν τῶν ἐννέα ἀρχόντων.

40 Οὕτω τοίνυν τινὲς) Ἐπαινεῖ ἔχει τῶν *ἰδίων πίστεων, ὡς οὐδεὶς ἀναιρεῖν αὐτὰ ἰσχύει. μάχεται δὲ ἑτέρᾳ τινὶ ἀντιθέσει, ὡς ἄρα πλουτοῦσί τινες, οἱ ἀτελείας ἐπειλημμένοι, ἣν λύει κατ' ἄμφω φιλανθρώπως καὶ δικαίως. εἰ μὲν ἀδίκως καὶ κλέψαντες ἔχουσιν, ἔδει κατηγορεῖν. εἰ δὲ οὐδὲν παρανομήσαντες, συκοφαντεῖς, τὴν μέμψιν ποιούμενος. εἶτα ὡς οὐδ' ἔσεσθε εὐπορώτεροι, δείκνυσιν ἐκ τῆς ἀφαιρέσεως. τοῦτο γὰρ ἦν ἄλλο τῆς ἀντιθέσεως μέρος. Ἄλλως. Ἄλλης ἀντιθέσεως ἅπτεται. ἔστι δὲ δηλαδὴ τοῦ αὐτοῦ κεφαλαίου. ἔστι δὲ κατὰ μείωσιν συγκριτικῶς. *οἰκείων.

41 Ἰδίᾳ δέ τινες πλουτήσουσι) Καὶ τοῦτο πάλιν μερίζει. ἰδίᾳ γὰρ πλουτοῦσι. πῶς. πότερον ὑφῃρημένοι τὰ τῆς πόλεως, ἢ ἀδικοῦντες οὐδένα. εἰ μὲν ὑφῃρημένοι, κατηγορεῖν καὶ ἀφαιρεῖσθαι δεῖ. καὶ γίνεται ἡ λύσις τούτου μεταληπτική. εἰ δὲ οὐδὲν ἀδικοῦντες, οὐ χρὴ βασκαίνειν.

42 Καὶ μὴν περὶ τοῦ γε μὴ εἶναι χρή) Ἐντεῦθεν ἐπὶ τὸ ἕτερον μέρος μεταβαίνει τῆς ἀντιθέσεως. καὶ λύει τοῦτο κατὰ τρόπου διαφοράν. οὐ γὰρ ἐξ ὧν ἄν τις λειτουργήσειεν, αἱ πρόσοδοι τῆς πόλεως αὔξονταί φησιν. ἀλλ' ἑτέρωθεν ἔχει ταύτας ἡ πόλις. εἶτα εὐθὺς πάλιν μεταβαίνει ἐφ' ἑτέραν λύσιν. ἔστι δὲ καὶ αὕτη κατὰ σύγκρισιν, πότερον εὐδοξίαν αἱροῦνται μᾶλλον, ἢ χρήματα. λέγω δὲ τοῦτο, πρὸς δῆμον φιλότιμον τῆς πατρίου μεγαλοφροσύνης γέμοντα. ὃ γὰρ ἀντιθεῖναι ἰσχυρότατον πρὸς τοὺς λεπτίνου λόγους ἔχει, τοῦτό ἐστι τὸ

*πρὸ πρότ. α.
πρὸς διὸς, πότερον κρεῖττον ἦν εἰς συντέλειαν ἀγα-
γεῖν τὰς χορηγίας, ὥσπερ τὰς τριηραρχίας. ἢ τοὺς
39 εὐεργέτας ἀφελέσθαι τὰ δοθέντα; ἐγὼ μὲν ἐκεῖνο
οἶμαι. νῦν μέν γε τὸν χρόνον, ὃν ἂν τούτων ἕκαστος
*λειτουργῇ, δίδωσι τὴν ἀνάπαυσιν αὐτοῖς μόνον. μετὰ *οὐ
ταῦτα δὲ οὐδὲν ἔλαττον ἕκαστος αὐτῶν ἀναλώσει. τό-
τε δ' ἂν μικρᾶς συντελείας ἀπὸ τῶν ὑπαρχόντων
40 ἑκάστῳ γιγνομένης, οὐδὲν ἔπαθε δεινὸν οὐδεὶς, οὐ-
δ' εἰ πάνυ μικρὰ κεκτημένος ἦν. οὕτω τοίνυν τινὲς,
ὦ ἄνδρες ἀθηναῖοι, σφόδρα ἔχουσιν ἀλογίστως, ὥσ-
τε ἐπιχειροῦσι λέγειν πρὸς μὲν ταῦτα οὐδὲν, ἀλλὰ
δὲ τοιαδί, ὡς ἄρα δεινὸν, εἰ ἐν κοινῷ μὲν μηδοτιοῦν
41 *ὑπάρξει τῇ πόλει, ἰδίᾳ δέ τινες πλουτήσουσιν, ἀτε- *ὑπάρχει. α. ε.
λείας ἐπειλημμένοι. ἔστι δὲ ταῦτα `ἅμα` ἀμφότε- `α.
ρα οὐχὶ δίκαιον λέγειν. εἰ μὲν γάρ τις ἔχει πολλὰ,
μηδὲν ὑμᾶς ἀδικῶν, οὐχὶ δεῖ δήπου τούτῳ βα-
σκαίνειν. εἰ δ' ὑφῃρημένον φήσουσιν, `ἢ` τινὰ ἄλλον `α.
42 οὐχ ὃν προσήκει τρόπον `κεκτῆσθαι, εἰσὶ νόμοι, κα- `α.
θ' οὓς προσήκει κολάζειν. ὅτε δὲ τοῦτο μὴ ποιοῦ-
σι, οὐδὲ τὸν λόγον αὐτοῖς τοῦτον λεκτέον. καὶ μὴν
περί τοῦ γε μὴ εἶναι χρήματα κοινὰ τῇ πόλει, ἐκεῖ-
νο ὑμᾶς δεῖ σκοπεῖν, ὅτι οὐδὲν ἔσεσθε εὐπορώτεροι,
43 τὰς ἀτελείας ἐὰν ἀφέλησθε. οὐ γὰρ κοινωνεῖ ταῖς
δημοσίαις προσόδοις καὶ περιουσίαις ταῦτα τἀνα-
λώματα οὐδέν. χωρὶς δὲ τούτων, νυνὶ τῇ πόλει
δυοῖν ἀγαθοῖν ὄντοιν, πλούτου τε, καὶ τοῦ πρὸς ἅ-
παντας πιστεύεσθαι, *μεῖζόν ἐστι τὸ τῆς πίστεως ὑ- *κρεῖττον. π.
44 πάρχον ἡμῖν. εἰ δέ τις οἴεται δεῖν ὅτι χρήματα
οὐκ ἔχομεν, μηδὲ δόξαν ἔχειν ἡμᾶς χρηστὴν, οὐ
καλῶς φρονεῖ. ἐγὼ μὲν γὰρ εὔχομαι τοῖς θεοῖς,
μάλιστα μὲν ἡμῖν καὶ χρήματα πολλὰ γενέσθαι.

43 τῆς εὐδοξίας διὰ τὸ ἦθος τῶν ἀκουόντων. Χωρὶς δὲ τούτων, νυνὶ τῇ πόλει δυοῖν) Συνήθης καὶ τούτῳ τὸν πλοῦτον ἀγαθὸν καλεῖν, καὶ ἰσοκράτει, καὶ τοῖς παλαιοτάτοις. συγκρίνει δὲ τὸν πλοῦτον πρὸς εὔνοιαν. αἱ δὲ συγκρίσεις ἐξ ὁμογενῶν γίνονται. ἐὰν δέ τις ποτε πολέμου καὶ εἰρήνης, ἢ κακῶν καὶ ἀγαθῶν ἑτερογενῶν ὄντων δόξῃ ἀντεξετάσεις ποιεῖσθαι, οὐ φήσομεν εἶναι σύγκρισιν τὸ γινόμενον, ἀλλ' ἀντεξέτασιν μόνον. ἔχουσι μὲν γὰρ αἱ συγκρίσεις καὶ ἀντεξετάσεις, οὐ μὴν αἱ ἀντεξετάσεις πανταχοῦ εἰσὶ συγκρίσεις. ἐνταῦθα δὲ σύγκρισιν εἶναι φήσομεν τὸ γινόμενον, διὰ τὸ ὁμογενῆ τυγχάνειν τὰ ἀμφότερα. συγκρίνει δὲ τῷ πλούτῳ τὴν δόξαν πρὸς φιλότιμον δῆμον διαλεγόμενος. καὶ κρεῖττον δείκνυσι τὸ θαυμάζεσθαι. ἔχει δέ τινα καὶ κατὰ τὴν λέξιν ἀσάφειαν. οὐ γὰρ λέγει ὅτι τῇ πόλει πρόσεστι δύο. καὶ ὁ πλοῦτος καὶ τὸ θαυ-
44 μάζεσθαι, ἀλλὰ δυοῖν ὄντοιν ἀγαθοῖν παρὰ πᾶσιν ἀνθρώποις, τῇ πόλει τὸ κρεῖττον ὑπάρχει. Εἰ δέ τις οἴεται δεῖν) Τοῦτο εἰς λεπτίνην ἀπέρριψεν, ἠθικῶς μὲν, οὐ μὴν πόρρω καὶ τὸ πικρὸν ἐνδείξασθαι. διαβάλλει γὰρ τὸν οὕτω διακείμενον, ὅταν τοιαῦτα ἄτοπα λέγῃ, δι' ἑνὸς προσώπου παιδεύων τοὺς ἅπαντας. καίτοι τὸ ἑξῆς ἠθικώτερόν ἐστι τὸ, ἐγὼ μὲν γὰρ εὔχομαι τοῖς θεοῖς.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Φέρε δὴ καὶ τὰς εὐπορίας) Ἥκει πάλιν ἐπὶ τὸ αὐτὸ μέρος τῆς ἀντιθέσεως. ἀποροῦσί τινες, οὐκοῦν ὑπὲρ 45
τῆς πόλεως τὸν πλοῦτον συλλέγουσιν ἔν τε ταῖς ἱερομηνίαις καὶ ταῖς πανηγύρεσιν. εἶτ' ἐπιτίθησιν ὅτι ἅπαντες εἰσφέρουσιν εἰς τὸν πόλεμον οἱ τὴν ἀτέλειαν εἰληφότες. ἐξ οὗ καὶ ἡ σύγκρισις αὐτῷ συναύξεται. καὶ τὸ τῇ πόλει τὸν πλοῦτον συλλέγεσθαι δείκνυται. εἶτα παρέχεται νόμον, καὶ σοφίζεται περὶ αὐτόν. δύο γὰρ προτείνας, τὸ μὲν ἕτερον ἀποδείκνυσι. τὸ δ' ἕτερον συλλογίζεται. ὅτι μὲν γὰρ τριηραρχίας οὐδεὶς ἀτελής, συνομολογεῖται διὰ τοῦ νόμου. ὅτι δὲ καὶ εἰσφέρειν εἰώθασιν εἰς τὸν πόλεμον οἱ τὴν ἀτέλειαν ἔχοντες, συλλογίζεται, ὡς ἐν εἴδει τῆς τοῦ συλλογισμοῦ μεταστάσεως. τὸ γὰρ μὴ γεγραμμένον εἰς αὐτὸν τῷ ἐγγράφῳ συλλογίζεται, οὐδαμοῦ τοῦτο "προδιδόντος τοῦ νόμου. τὴν δὲ πίστιν τοῦ λόγου, προὔθηκε περὶ τῆς * εὐνοίας, εἰς τὴν μαρτυρίαν τῶν ἀκουόντων αὐτὴν ἀναγαγών. Τί γάρ, φησίν, ἴστε δήπου τοῦθ' ὅτι τῶν τριηραρχιῶν. καὶ ἑξῆς, ὡς τῆς μαρτυρίας ἀρκούσης αὐτῷ. παρὰ μὲν γὰρ τὰς ἐπὶ τῶν χορηγιῶν δαπάνας, τὸ χάριν ὁμολογεῖν πειρᾶται τοῖς πλουτοῦσι, τῇ παραθέσει τῶν καιρῶν τῆς προσθήκης ἐπινοῶν. ἂν εὑρεθῇ, φησί, χορηγὸς ψυχαγωγεῖ τοῖς θεωμένοις ὑμᾶς ἐν βραχεῖ μορίῳ τῆς ἡμέρας. ἐν δὲ ταῖς τριηραρχίαις, ἀντὶ τῆς ἡδονῆς ἡ σωτηρία, καὶ οὐ κατὰ μικρὸν μέρος, ἀλλ' ὅλον τὸν χρόνον, καὶ οὐκ ὀλίγοις ὑμῶν τοῖς ἐν τῷ θεάτρῳ φανεῖσιν, "ἀλλ' ὅλῃ τῇ πόλει.

47 Καὶ δίδοτε ἐν μέρει τιμῆς) Τί κομπάζεις, φησίν, ὡς ἐν ταῖς δωρεαῖς τοὺς εὖ ποιοῦντας νικῶν. ματαίαν χαρίζῃ τιμήν. φιλότιμος εἶ κενός. κἂν μὴ δῷς αὐτοῖς "ἔχω τριηραρχῶν τῆς χορηγίας ἀτέλειαν.

49 Ὁρᾶτε ὡς σαφῶς, ὦ ἄνδρες Ἀθηναῖοι) Ἀναγινώσκει τὸν νόμον, ὃς διείρηκεν, ὡς οὐδεὶς τῶν πλουσίων τριηραρχίας ἀτελής, ἵνα γένηται φανερὸν ὡς οἱ πλουτοῦντες ἐκ τῶν χορηγιῶν ἐποίουν συντελείας ἐν τοῖς πολέμοις. τριηραρχοῦντες δὲ οὐκέτι χορηγοῦσιν. οὐ γὰρ ἀμφότερα δύνανται. Διείρηκεν) Διαρρήδην εἶπεν.

50 Τίνα οὖν ῥᾳστώνην τοῖς πολλοῖς) Ὅτι ἐθάρρησε τοῖς δικαίοις καὶ τοῖς εἰρημένοις, τότε πρὸς τὸν Λεπτίνην ἐλεγκτικῶς διαλέγεται. καὶ περὶ τίνος, περὶ τοῦ μὴ τοὺς πένητας ἀνάπαυλαν ἔχειν, ἵν' ὁ ἐλεγκτικὸς λόγος ἐπὶ τῶν πενήτων γινόμενος, μᾶλλον ἀληθεύοντα δείξῃ τοῦτον, ψευδόμενον δὲ τὸν Λεπτίνην ἀπελέγξῃ. ἐνδείκνυται γὰρ διὰ τοῦ, τίνα γὰρ ῥᾳστώνην καὶ ἑξῆς, ὅτι τοὺς πολλοὺς ἀπατᾷς ῥήμασι μόνοις, τὴν ἀνάπαυλαν αὐτοῖς χαριζόμενος, ἕτερον ἀνθ' ἑτέρου ποιῶν. ὁ μὲν γὰρ Λεπτίνης φησίν, ὅπως ἂν οἱ πλουσιώτατοι λειτουργῶσιν. ὁ δὲ Δημοσθένης, ὡσανεὶ λέγοντος Λεπτίνου ὅτι τοὺς πένητας ἀφίημι, οὕτω τὸν ἀγῶνα καὶ τὴν μάχην ποιεῖται. ἐξαπατᾷς, φησί, τὸν δῆμον, καὶ λόγοις ἐπαγγέλλῃ μόνον τοῖς πένησι, κέρδος οὐδὲν περιποιῶν τοῖς πολλοῖς. δοκεῖ δὲ διασύρειν, καὶ εἰς ταπεινότητα κατάγειν τὸ ὑπὸ τοῦ νόμου δεικνύμενον.

51 Εἰ μιᾶς, ἢ δυοῖν φυλαῖν ἕνα χορηγόν) Τοῦτο ὡς ἀσαφὲς δῆθεν ζητεῖται. καὶ ἐξηγήσαντό τινες ὡς ἐν τοῖς Θαργηλίοις δυοῖν φυλαῖν, εἷς μόνος καθίστατο χορηγός. τοῖς δὲ μεγάλοις Διονυσίοις ἀνθεστηριῶνος μηνός, πλείονος αὐτῷ γινομένης τῆς δαπάνης, εἷς χορηγὸς ἑκάστης φυλῆς καθίστατο. ἐμοὶ δὲ δοκεῖ σοφιστικῶς εἰρῆσθαι σχήματι Θουκυδιδείῳ. εἶπε γὰρ ἐκεῖνος ἐν τῇ δευτέρᾳ τῶν ἱστοριῶν. τήν τε γὰρ τότε δὴ καὶ δι-

*διαμεῖναι α.
εἰ δὲ μή, τό γε πιστοῖς εἶναι καὶ βεβαίοις δοκεῖν "διαμένειν. 45
φέρε δὴ καὶ τὰς εὐπορίας, ἃς ἀναπαυομένους
τινὰς εὐπορήσειν οὗτοι φήσουσιν, εἰς "μέσον ὑμῖν γινομένας "δείξω. ἴστε γὰρ δήπου * ὅτι τῶν τριηραρχιῶν,
οὐδείς ἐστ' ἀτελής, οὐδὲ τῶν εἰσφορῶν τῶν εἰς τὸν πόλεμον. οὐκοῦν ὁ πολλὰ κεκτημένος οὗτος, ὅστις ἂν 45
ᾖ, πολλὰ εἰς ταῦτα συντελεῖ, πᾶσα ἀνάγκη, καὶ μὴν ὅτι δεῖ τὴν εὐπορίαν εἰς ταῦτα ὑπάρχειν πλείστην τῇ πόλει, πάντες ἂν ὁμολογήσειαν. παρὰ μὲν γὰρ τὰς ἐπὶ τῶν χορηγιῶν δαπάνας, "μικρὸν" ἡμέρας μέρος ἡ
χάρις τοῖς θεωμένοις ἡμῶν ἐστί. παρὰ δὲ τὰς τῶν εἰς 47
τὸν πόλεμον παρασκευῶν ἀφθονίας, πάντα τὸν χρόνον ἡ σωτηρία πάσῃ τῇ πόλει. ὥσθ' ὅσον ἐνθάδε ἀφίετε, ἐκεῖ κομίζεσθε. καὶ δίδοτε ἐν τιμῆς μέρει ταῦτα, ἃ καὶ μὴ λαβοῦσιν ἔστιν ἔχειν τοῖς τοῦ τριηραρχεῖν ἄξια κεκτημένοις. ἀλλὰ μὴν, ὅτι τῶν τριη- 48
ραρχιῶν οὐδείς ἐστ' ἀτελής, οἶμαι μὲν ὑμᾶς εἰδέναι πάντας. ὅμως δὲ καὶ τὸν νόμον ὑμῖν αὐτὸν ἀναγνώσετε. Λάβε τὸν περὶ τῶν τριηραρχιῶν νόμον, καὶ λέγε τοῦτον αὐτοῖς. Λέγε.

Νόμος. 49

Ἀτελῆ δὲ μηδένα εἶναι τριηραρχίας, πλὴν τῶν ἐννέα ἀρχόντων. ὁρᾶτε ὡς σαφῶς, ὦ ἄνδρες Ἀθηναῖοι, μηδένα εἶναι τριηραρχίας ἀτελῆ διείρηκεν ὁ νόμος, πλὴν τῶν ἐννέα ἀρχόντων; οὐκοῦν οἱ μὲν ἐλάττω κεκτημένοι τοῦ "τριηραρχίας ἄξια ἔχειν, ἐν 50
ταῖς εἰσφοραῖς συντελοῦσιν εἰς τὸν πόλεμον. οἱ δ' ἐφικνούμενοι τοῦ τριηραρχεῖν, εἰς ἀμφότερα ὑμῖν ὑπάρξουσι χρήσιμοι, καὶ τριηραρχεῖν, καὶ εἰσφέρειν. τίνα οὖν ῥᾳστώνην τοῖς πολλοῖς ὁ σός, ὦ Λεπτίνη, "ποιήσει νόμος, εἰ μιᾶς, ἢ δυοῖν φυλαῖν ἕνα χορηγὸν κα- 51

δίον. α. υ.
ἐπιδείξω. υ.
* τῶν δ. α. ε. υ.
α.
" λειτουργίας. α. ζ.
* ποιήσ. α. ε. υ.
" διδόντος.
* ἐννοίας.
" ἀλλὰ πάσῃ.
" ἔχων.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δραχμοὶ ὁπλῖται ἐφρούρουν. ἑαυτῷ γὰρ καὶ τῷ ὑπηρέτῃ μισθὸν δραχμὴν ἐλάμβανε. καὶ λείπει ἡ πρὸς προσθήσει ἵνα ἡ πρὸς δραχμὴν ἐλάμβανεν. οὕτω καὶ ἐνταῦθα εἰρῆσθαι γρ. εἰ μιᾶς, ἢ δυοῖν φυλαῖν πρὸς ἕνα χορηγὸν κα-
51 θίστησι. τίνος δ' ἕνεκα οὕτως συνέστειλεν. ἵνα μηδὲ φαίνηται πολλῶν χορηγῶν εὐπορίαν εὑρίσκων Λεπτίνης. Ος

αὐτὸς ἑνὸς ἄλλου τοῦτο ἅπαξ) Ὁ γὰρ ἅπαξ χορηγήσας, δηλαδὴ ἀπαλλάξεται τοῦ χορηγεῖν. ἔστι δὲ ἄλλο μὲν χορηγία, ἄλλο δὲ εἰσφορά, καὶ τριηραρχία. τριήραρχος μὲν γάρ ἐστιν, ὁ ναῦν παρεχόμενος πολεμικήν, καὶ σκεύη τῇ νηΐ, καὶ ὅσα τοιαῦτα. χορηγὸς δέ, ὁ τοῖς διονυσίοις καὶ τοῖς παναθηναίοις τῷ χορῷ τὴν ἐσθῆτα παρέχων, καὶ στεφάνους, καὶ κόσμον, καὶ ὅσα περὶ τὴν τοιαύτην πανήγυριν. ἑστιάτωρ δέ, ὁ τὴν φυλὴν εἰς δεῖπνον καλῶν. γυμνασίαρχος δέ, ὁ παρέχων τοὔλαιον τοῖς γυμναζομένοις. γυμνάσιον γὰρ τὴν παλαίστραν ἐκάλουν. καὶ κρατῆρας ἐμπιμπλᾶσαν τοῖς βουλομένοις δημοσίᾳ χρῆσθαι. εἰσφέρειν δὲ λέγουσιν εἰς τὸν πόλεμον, ὅταν ἔρανον διδῶσι, τοῖς ὑπὲρ τῆς πατρίδος παραταττομένοις. αὗται ἦσαν παρ' αὐτοῖς αἱ λειτουργίαι. αἱ μέν, πρὸς εἰρήνην· αἱ δέ, πρὸς πόλεμον. Τῆς δέ γ' αἰσχύνης ὅλην ἀναπίμπλησι τὴν πόλιν) Ὅτι τὸ μὲν χρήσιμον ἄπεστι, πληροῖ δὲ τῶν αἰσχίστων τὴν πόλιν, ἄφες λυθήτω θᾶττον ὁ νόμος τῇ τῶν καθημένων ψήφῳ. καὶ τοῖ μὲν μέτεστι τῆς αἰτίας ὁ δῆμος, τῆς δὲ τῆς βλασφημίας ἐλεύθερος. οὐκ ἀφίσταται δὲ τῆς εὐνοίας, ποιῶν μὲν τὸ ἔνδοξον κατασκευάζων, ποιῶν δὲ τοὐναντίον. ἐν ᾧ καὶ πλείοσι κέχρηται, ὡς ἐν καταφορᾷ, τοῖς ὀνόμασιν, αἰσχύνην καὶ ἀπιστίαν λέγων καὶ ἀδοξίαν. Οὐκοῦν, ὅτι πολλῷ) Ὁμολογεῖ μὲν καὶ αὐτὸς ὠφελείας τινὰ συμβαίνειν περὶ τοῦ νόμου. ἀλλὰ μείζω τῆς ὠφελείας εἶναι ταύ-
52 την τὴν βλάβην. Ἔτι δέ, ὦ ἄνδρες δικασταί) Δοκεῖ τοῦ νομίμου κεφαλαίου εἶναι, οὐκ ἔστι δέ, ἀλλὰ τοῦ συμφέροντος μᾶλλον. ἔστι δὲ τὸ ἐπιχείρημα ἀπὸ τοῦ ἐλλείποντος, ἢ ἀπὸ τοῦ ἀδιορίστου. Ἄλλως. Τοῦτό τινες οἴονται τοῦ νομίμου κεφαλαίου, μᾶλλον δὲ ἀποφαίνειν ὁ ῥήτωρ πειρᾶται πολλὴν ἐσομένην σιτοδείαν καὶ βλάβην ἐκ τῆς ἀσαφείας τὸ ἀποβαῖνον πολυπραγμονῶν. ἀεὶ γὰρ ὁ ῥήτωρ τὸ δοκοῦν ἀσαφὲς ἐπὶ τὸ συμφέρον ἀνάγει, τὴν ἀπ' αὐτοῦ βλάβην δηλῶν.

Μήτε τῶν ἰσοτελῶν μήτε τῶν ξένων) Ἰσοτελεῖς μὲν λέγει τοὺς ξένους, τοὺς τετυχηκότας τῆς ἴσης τιμῆς τοῖς πολίταις. τέλος γὰρ καὶ τὴν τῶν ἀρχόντων τιμὴν ὀνομάζουσιν, ὥσπερ καὶ Θουκυδίδης λέγει. Λακεδαιμονίων κατὰ λέγων τὰ τέλη, τοὺς ἄρχοντας ὀνομάζων αὐτῶν. ξένους δὲ λέγει, τοὺς οὐκ ἐγχωρίους. διὰ μὲν οὖν τῶν προειρημένων ἐπιχειρημάτων κατασκευάσειν, ὅτι οὐδὲν ὄφελος παραγίνεται τῇ πόλει κειμένου τοῦ νόμου. διὰ δὲ τοῦ παρόντος ἐπιχειρήματος, ὅτι καὶ βλάπτεται ἡ πόλις. τί γὰρ ἂν καὶ γένοιτο μεῖζον βλάβος σιτοδείας, περὶ ἧς ὁ παρὼν αὐτῷ κεκίνηται λόγος. Μὴ διειρῆσθαι δ' ὅτου ἀτελῆ) Τῷ ἐλλείποντι κέχρηται, μὴ διειρῆσθαι λέγων. τὸ ἀδιάκριτον τῆς λέξεως ἐπισημαινόμενος. πολλὰ δ' ἐπισημαίνεται ὡς παραλελειμμένα, καὶ ἀορίστως εἰρημένα τῷ νομοθέτῃ. πρῶτον δὲ ἐκεῖνο ὅτι τῶν ξένων εἰπὼν, οὐ διεδήλωσε πότερον τῶν οἰκούντων Ἀθήνησιν, ἢ περὶ τῶν ἀλλαχόθι. δεύτερον δὲ ὅτου ἀτελῆ. οὐ γὰρ εἶπε τὸ εἶδος τῆς ἀτελείας, ἢ ἄλλου τινὸς τέλους λέγων, καὶ ταῦτα τὰς καταβολὰς καὶ τελωνείας τὰς παρὰ τῶν ἐμπόρων· καὶ τὸ εἰς ὅσον αὐτὸν δεῖ συντελεῖν χορηγοῦντα τῇ πόλει, ὡς καὶ περὶ τὸ τέλος εἶναι τὴν ἀσάφειαν. πῇ μὲν γὰρ λέγεται ἡ τελωνεία. πῇ δὲ καὶ τὸ λειτουργεῖν τῇ πόλει. ἐπεὶ οὖν συνέβαινε τὸν Λεύκωνα εἶναι ἀτελῆ, πῇ μὲν διαπιθέμενον πυρὸν ἐν τῷ Πειραιεῖ, πῇ δὲ τὸ μὴ χορηγεῖν ξένον ὄντα, αἰτιᾶται ὡς διδόντος τοῦ νόμου κατὰ τὴν ἀσάφειαν ταύτην, καιρὸν τῷ βουλομένῳ καλεῖν εἰς χορηγίαν τὸν Λεύκωνα, καὶ μὴν καὶ ἐπηρεάζειν εἰς τελωνείαν. ὅθεν καὶ ζητεῖ κατὰ ποῖον τέλος ὁ Λεπτίνης λέγει, πότερον κατὰ τὸ μηδένα ἀ-
γρ. τελωνεῖν. τελῆ τῶν χορηγιῶν τυγχάνειν, ἢ κατὰ τὸ μὴ δεῖν αὐτὸν τελωνεῖσθαι, κατακλείων εἰς τὸ ἐξεῖναι τῷ βουλομένῳ τελώνῃ χορηγεῖν, καὶ καλεῖν εἰς χορηγίαν τὸν Λεύκωνα. ἐχρήσατο δὲ καὶ τοῖς τρισὶν ὀνόμασι, τῷ τῶν ἰσοτελῶν καὶ τῶν ξένων, τῷ τὸν Λεύκωνα τῶν τριῶν μετέχειν δύνασθαι. πολίτης μὲν γάρ ἐστι τῇ ποιήσει. ἰσοτελὴς δὲ τῇ τιμῇ. ξένος δὲ ὢν μήτε γένει μήτε φύσει πολίτης εἶναι. λυπεῖ δὲ τούτῳ τῷ μέρει σφόδρα. τί γὰρ ἂν γένοιτο μείζονος ταραχῆς αἴτιον τῇ πόλει, τῆς ἀπάσης τῆς σιτοδείας, ὅθεν καὶ εἰς τὸ τῆς βλάβης μέρος τοῦτο ἐξετάζει τὸ ἐπιχείρημα. ἵνα δὲ καὶ δοκῇ ἀπολογεῖσθαι ὑπὲρ τοῦ ἀνδρὸς μέλλοντος ἀποστερεῖν τὸν πυρὸν τῇ πόλει, δίδωσι τὴν αἰτίαν καὶ τὴν ἀνάγκην τοῦ συμβησομένου περὶ τῆς πόλεως. εἶτα προσβαλλόμενον, καὶ μεμφόμενον, καὶ ὀνειδίζοντα. εἶτα ἐπὶ τούτοις μόνοις ἀφαιρούμενος μόλις τὴν κατηγορίαν, ὥστε μη-
53 κέτι εἶναι τοῦ Λεύκωνος, ἀλλὰ τοῦ δήμου. Ἀφαιρεῖται καὶ Λεύκωνα τὸν ἄρχοντα) Ὁρᾷς ὅσην τὴν ἔμφασιν συνέστησεν; εἶτα προσθεὶς καὶ τὸ Βοσπόρου μονονοὺ βλέπειν αὐτοῖς ἐποίησε τοῦ σίτου τὰς ὁλκάδας μεστάς. ὥστε λιμοῦ παραίτιος ὁ Λε-
54 πτίνης γενήσεται, δι' ὧν ἀφαιρεῖται τῆς ἀτελείας τὸν ἄνθρωπον. Κατ' οὐδέτερον δ' αὐτῷ) Οὔτε ὡς πολίτῃ, οὔτε ὡς ξένῳ εὑρίσκοι)

θήσουσιν, ὃς δι' ἑνὸς ἀλλ' οὐ τοῦδ' ἅπαξ ποιήσας, ἀπαλλάξεται. ἐγὼ μὲν οὐχ ὁρῶ. τῆς δέ γε αἰσχύνης ὅλην ἀναπίμπλησι τὴν πόλιν, καὶ τῆς ἀπιστίας. οὐκοῦν, ὅτε πολλῷ μείζονα βλάπτει τῶν ὠφελειῶν ὧν ἔχει, προσ- βλάψει. ε.
52 ήκει λελύσθαι παρά τοῖς γ' αὐτόν; ἔγωγ' ἂν φαίην.
ἔτι δ', ὦ ἄνδρες δικασταί, διὰ τὸ γεγράφθαι ἐν τῷ νόμῳ διαρρήδην αὐτοῦ, μηδένα μήτε τῶν πολιτῶν μήτε τῶν ἰσοτελῶν, μήτε τῶν ξένων εἶναι ἀτελῆ, μὴ διῃ- γρ. διειρῆσθαι.
ρῆσθαι δ' ὅτου ἀτελῆ, χορηγίας, ἢ τίνος ἄλλου τέλους, ἀλλ'
53 ἁπλῶς ἀτελῆ μηδένα, πλὴν τῶν ἀφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος· καὶ ἐν μὲν τῷ μηδένα, πάντας περιλαμβάνειν τοὺς ἄλλους, ἐν δὲ τῷ τῶν ξένων, μὴ διορίζειν τῶν οἰκούντων Ἀθήνησιν, ἀφαιρεῖται καὶ Λεύκωνα τὸν ἄρχοντα Βοσπόρου καὶ τοὺς παῖδας αὐτοῦ τὴν δωρεάν, α.
54 ἣν ὑμεῖς ἔδοτε αὐτοῖς. ἔστι γὰρ γένει μὲν δήπου ὁ Λεύκων ξένος. τῇ δὲ παρ' ὑμῶν ποιήσει, πολίτης. κατ' οὐδέτερον δ' αὐτῷ τὴν ἀτέλειαν ἔστ' ἔχειν ἐκ τούτου τοῦ νόμου. οὐδετέρου. β.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καίτοι τῶν μὲν ἄλλων εὐεργετῶν, χρόνον τινὰ ἕκαστος
αὐτὸν. α. ε. ὑμῖν χρήσιμον ἑαυτὸν παρέσχεν. οὗτος δ', ἂν σκοπῆ-
τε, φανήσεται συνεχῶς ἡμᾶς εὖ ποιῶν. καὶ ταῦτα, 55
ὧν μάλιστα ἡμῶν ἡ πόλις δεῖται. ἴστε γὰρ δήπου τοῦθ'
ὅτι πλείστῳ τῶν ἁπάντων ἀνθρώπων ἡμεῖς ἐπει-
σάκτῳ σίτῳ χρώμεθα. πρὸς τοίνυν ἅπαντα τὸν
ἐκ τῶν ἄλλων ἐμπορείων ἀφικνούμενον, ὁ ἐκ τοῦ
πόντου σῖτος εἰσπλέων ἐστίν, εἰκότως. οὐ γὰρ μόνον διὰ 56
τὸ τὸν τόπον τοῦτον σῖτον ἔχειν πλεῖστον τοῦτο γίγνεται,
α. ἀλλὰ καὶ διὰ τὸ κύριον ὄντα τὸν λεύκωνα αὐτοῦ,
τοῖς ἄγουσι τὸν σῖτον ἀθήναζε, ἀτέλειαν δεδωκέναι,
κομίζεσθαι. ε. καὶ κηρύττειν πρώτους γεμίζεσθαι τοὺς ὡς ἡμᾶς
ὑμᾶς. α. πλέοντας. ἔχων γὰρ ἐκεῖνος ἑαυτῷ καὶ τοῖς παισὶ τὴν 57
ἀτέλειαν, ἅπασι δέδωκεν ὑμῖν. τοῦτο δὲ ἡλίκον ἐστί,
θεωρήσατε. ἐκεῖνος πράττεται τοὺς παρ' αὐτοῦ σῖτον
ἐξάγοντας, τριακοστήν. αἱ τοίνυν παρ' ἐκείνου δεῦρο
ἀφικνούμεναι σίτου μυριάδες, περὶ τετταράκον-
τά εἰσι. καὶ τοῦτο ἐκ τῆς παρὰ τοῖς σιτοφύλαξιν 58
ἀπογραφῆς ἄν τις ἴδοι. οὐκοῦν παρὰ μὲν τὰς τριά-
κοντα μυριάδας, μυρίους δίδωσι μεδίμνους ἡμῖν.
τοσοῦτο. παρὰ δὲ τὰς δέκα, ὡσπερανεὶ τρισχιλίους. τοσοῦτον
τοίνυν δεῖ ταύτην ἀποστερῆσαι τὴν δωρεὰν τὴν πό-
θευδοσίαν. λιν, ὥστε προσκατασκευάσας ἐμπόρειον θευδοσίαν, 59
ὅ φασιν οἱ πλέοντες οὐ χεῖρον εἶναι τοῦ βοσπόρου οὐ-
δοτιοῦν, κἀνταῦθα δέδωκε τὴν ἀτέλειαν ἡμῖν. καὶ
τὰ μὲν ἄλλα σιωπῶ, πολλὰ ἂν ἔχων εἰπεῖν, ὅσα
ἡμᾶς. ζ. εὐεργέτηκεν ὑμᾶς οὗτος ἀνὴρ καὶ αὐτὸς καὶ οἱ πρό-
γονοι. ἀλλὰ προπέρυσι σιτοδείας παρὰ πᾶσιν ἀν- 60
θρώποις γενομένης, οὐ μόνον ὑμῖν ἱκανὸν σῖτον ἀπέ-
στειλεν, ἀλλὰ τοσοῦτον ὥστε πεντεκαίδεκα ἀργυρίου
τάλαντα, ἃ καλλισθένης διῴκησε, προσπεριγενέσθαι.
τί οὖν οἴεσθε ὦ ἄνδρες ἀθηναῖοι τοῦτον, τὸν τοιοῦτον
περὶ ὑμᾶς γεγενημένον, ἐὰν ἀκούσῃ νόμῳ τὴν ἀτέ- 61
λειαν ὑμᾶς ἀφῃρημένους αὐτοῦ, καὶ μηδ' ἂν μετα-
δόξῃ ποτέ, ψηφισαμένους ἐξεῖναι δοῦναι; ἆρ' ἀγνοεῖ-
τε ὅτι ὁ αὐτὸς νόμος οὗτος ἐκεῖνόν τε ἀφαιρήσεται τὴν
ἀτέλειαν, κύριος ἂν γένηται, καὶ ὑμῶν τοὺς παρ' ἐ-
κείνου σιτηγοῦντας; οὐ γὰρ δήπου τοῦτό γε ὑπείλη- 62
φεν οὐδείς, ὡς ἐκεῖνος ὑπομενεῖ, ἑαυτῷ μὲν ἀκύρους
εἶναι τὰς παρ' ὑμῶν δωρεάς, ὑμῖν δὲ μένειν τὰς παρ'
ἑαυτῷ. α. ἑαυτοῦ. οὐκοῦν πρὸς πολλοῖς, οἷς ἂν ὁ νόμος βλά-

στερίσκοιντο γὰρ ἀμφότεροι. Ἴστε γὰρ 55
δήπου) Αὔξει τὴν εὐεργεσίαν τοῦ λεύκωνος, ἐκ τῶν ἐναντίων τὴν ἀπορίαν προσφέρων. ἐν γὰρ ταῖς ἐνδείαις, καὶ τὰ μικρὰ τῶν κερδῶν μεγάλα εἶναι δοκεῖ. ὅταν δὲ καὶ τοῦτο μέγιστον ᾖ, ποίαν λοιπὸν ὑπολείπει τοῖς ἀκούουσιν ὑπερβολήν, εἶτα καὶ συγκρίνει τὸν ἀπὸ τοῦ πόντου σῖτον πρὸς ἅπαντα τὸν ἁπανταχόθεν αὐτοῖς κομιζόμενον. οὐ γὰρ μόνον διὰ τὸν τόπον τοῦτον, ἐπειδὴ καθαίρεσιν εἶπε παραπεμπομένην τῷ θεωρήματι. δοκεῖ γὰρ αὐτὸς μᾶλλον ὠφελεῖσθαι ὁ πέμπων τὸν σῖτον, ἢ τὴν πόλιν ὠφελεῖν. ἀνῄρηκε καὶ τοῦτο τὸ ἀπίθανον, καὶ ὑπετέμετο. ὡς γὰρ τῶν ἀκουόντων λεγόντων, ὅτι διὰ τὸ πλεῖστον γίνεσθαι σῖτον ἐν τοῖς τόποις τοῦτο ποιεῖ. συνδρομὴν ἀνῄρηκε τῷ εἰπεῖν. οὐ γὰρ μόνον ὢν διὰ τὸν τόπον οὗτον σῖτον πλεῖστον ἔχειν τοῦτο γίνεται, ἀλλὰ τῷ δι' ἀτέλειαν ὑμῖν αὐτὸν δεδωκέναι, διὰ τοῦτο προτιμᾶ τῶν ἄλλων ἐμπόρων τοὺς ἀθηναίους. ἔχων γὰρ ἐκεῖνο ἑαυτῷ, συλλογίζεται τὸ κέρδος τῇ ποσότητι τὴν φιλοτιμίαν ἐγείρων. ἀπὸ τοῦ συνήθους τεταγμένου τέλους τὸ κέρδος δηλῶν. τοῦτο δὲ ἡλίκον ἐστί, τῇ πηλικότητι κέχρηται. ἵνα μὴ μόνον τοῖς περὶ τοῦ πράγματος αὐξήσῃ, ἀλλὰ καὶ δι' αὐτῆς τῆς ποιότητος. μέρος γὰρ καὶ οὗτο τῆς πηλικότητος. Ἐμπόρειον θευ- 59
δοσίαν) Τὸ μὲν ὄνομα τῷ ἐμπορείῳ, ἢ ἀπὸ τῆς ἀδελφῆς, ἢ ἀπὸ τῆς γαμετῆς ἀδιαφορεῖται γάρ. δείκνυσι δὲ καὶ οὕτω τὴν εὔνοιαν, ὅτι ἁμιλλᾶται πρὸς ἑαυτὸν ἐν ταῖς εὐποιΐαις ὑμῶν. διὰ τοῦτο γὰρ αὔξει καὶ αὐτὸ τὸ ἐμπόρειον, ἵνα μὴ φαύλη τις ἡ προσθήκη φανῇ. Ἄλλως. Θευδοσία, χωρίον βοσπόρου. Ἀλλὰ προπέρυσι σιτο- 60
δείας) Τὴν μνήμην ἀνακαινοῖ, τὰ ἀρχαῖα παραδραμών. ἀεὶ γὰρ ἔχουσι τῆς εὐεργεσίας τὴν αἴσθησιν. ἴστε γὰρ δήπου τοῦτο, φησίν, ὅτι τῆς οἰκουμένης ἁπάσης τῷ λιμῷ πιεσθείσης, μετέστησεν ὑμῖν τὴν εὐπορίαν τὴν συμφοράν, τότε πρῶτον ἴδιον σιτοδείαι ποιήσας, καὶ πλοῦτον καὶ κόρον. ἡκέτω καλλισθένης μάρτυς ἀληθής, τῆς φιλοτιμίας τοῦ λεύκωνος. λεγέτω τῶν ταλάντων τὸν ἀριθμὸν ὅσον τῇ πατρίδι προσεποίησε. Καὶ μηδ' ἂν μεταδόξῃ) 61
Εὐδιόρθωτα ποιεῖ τοῖς ἀθηναίοις τὰ πλημμελήματα. ἥμαρτεν ὁ δῆμος κακῶς βουλευσάμενος; ἄφες. τῇ μετανοίᾳ λύσει τὰ πταίσματα. ἀλλὰ οὗτο οὐκ ἔτι ἐξέσται, ἐὰν ὁ νόμος λεπτίνου κυρωθῇ. γέγραπται γὰρ τῷ νόμῳ μηδὲ λοιπὸν ἐξεῖναι δοῦναι. Καὶ ὑμῶν τοὺς παρ' ἐκείνου σιτηγοῦντας) Συναδικεῖσθαι λέγει τὴν πόλιν μετὰ τοῦ λεύκωνος.

γρ. διαπορεῖται.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ψευδεῖν ἡμᾶς φαίνεται, καὶ προσαφαιρεῖταί τι τῶν ὑπαρ-
63 χόντων ἤδη. εἶθ' ὑμεῖς ἔτι σκοπεῖτε, εἰ χρὴ τοῦτον ἐξα-
λεῖψαι, καὶ οὐ πάλαι βεβούλευσθε. Ανάγνωθι λαβὼν
αὐτοῖς τὰ ψηφίσματα `αὐτά', τὰ περὶ τοῦ λεύκωνος. ` α. ε.

## Ψηφίσματα.

Ως μὲν εἰκότως καὶ δικαίως τετύχηκε τῆς παρ'
64 "ὑμῶν ἀτελείας ὁ λεύκων, ἀκηκόατε ἐκ τῶν ψηφι- "ἡμῶν. α.
σμάτων *ὦ ἄνδρες δικασταί. τούτων δ' ἁπάντων στή- *ἤδη. ε. κ.
λας ἀντιγράφους ἐστήσασθ' ὑμεῖς τε κἀκεῖνος. τὴν
μὲν, ἐν βοσπόρῳ, τὴν δ' ἐν πειραιεῖ, τὴν δ' ἐφ' ἱε-
ρῷ. σκοπεῖτε δὴ πρὸς ὅσης κακίας ὑπερβολὴν ὑμᾶς
65 ὁ νόμος προάγει, ὃς ἀπιστότερον τὸν δῆμον καθίστη-
σιν ἑνὸς ἀνδρός. μὴ γὰρ οἴεσθε ὑμῖν ἄλλο τι τὰς στή-
λας ἑστάναι ταύτας, ἢ τούτων ἁπάντων, ὧν ἔχετε, ἢ
δεδώκατε, συνθήκας, αἷς ὁ μὲν λεύκων ἐμμένων
φαίνεται, καὶ ποιεῖν ἀεί τι προθυμούμενος ὑμᾶς εὖ,
66 ὑμεῖς δ' ἑστώσας, ἀκύρους `ἔσεσθε' πεποιηκότες, ὃ ` α.
πολὺ δεινότερον τοῦ καθελεῖν `ἐστί'. αὗται γὰρ οὑτωσί ` α.
τοῖς βουλομένοις κατὰ τῆς πόλεως βλασφημεῖν, τεκμή-
ριον ὡς ἀληθῆ λέγουσιν, ἑστήξουσι. φέρε, ἐὰν δὲ δὴ πέμ-
ψας ὡς ὑμᾶς ὁ λεύκων ἐρωτᾷ τί ἔχοντες ἐγκαλέ-
67 σαι, καὶ τί μεμφόμενοι, τὴν ἀτέλειαν αὐτὸν ἀφῄρησθε,
τί πρὸς θεῶν ἐροῦμεν. ἢ τί γράψει ποτὲ "ὁ τὸ ψή- "ὅ γε. α. ε. κ.
φισμα ὑπὲρ "ὑμῶν γράφων. ὅτι νὴ δία ἦσάν τινες τῶν "ἡμῶν. α.
εὑρημένων ἀνάξιοι; ἐὰν οὖν εἴπῃ πρὸς ταῦτα ἐκεῖ-
νος· καὶ γὰρ ἀθηναίων τινὲς `εἰσὶ' φαῦλοι ἴσως, καὶ οὐ ` α. κ.
68 διὰ ταῦτ' ἐγὼ τοὺς χρηστοὺς ἀφειλόμην, ἀλλὰ τὸν δῆ-
μον νομίζων χρηστόν, πάντας ἔχειν ἐῶ, οὐ δικαιότερ'
ἡμῶν ἐρεῖ; ἔμοι γ' οὖν δοκεῖ. παρὰ πᾶσι γὰρ ἀνθρώ-
ποις μᾶλλόν ἐστιν ἔθος διὰ τοὺς εὐεργέτας, καὶ ἄλλους
τινὰς εὖ ποιεῖν τῶν μὴ χρηστῶν, ἢ διὰ τοὺς φαύλους,
69 τοὺς "ὁμολογουμένους ἀξίους χάριτος, τὰ δοθέντα "ὁμολογουμένως. α.

63 πρὸς πολλοῖς γὰρ ἄλλοις βλάπτει καὶ εἰς δόξαν. ἡ δὲ ζημία τῶν πραγμάτων παγχάλεπος. Εἶθ' ὑμεῖς ἔτι σκοπεῖτε) Αὐξήσας τὴν κατηγορίαν, παροξύνει πρὸς τὴν ἀναίρεσιν. οὐ δεῖ περὶ τῶν ὁμολογουμένων σκοπεῖν. φθασάτω τοὺς λόγους ἡ λύσις. Ανάγνωθι λαβὼν αὐτοῖς αὐτὰ τὰ ψηφίσματα) Ἵνα αἰσχυνθῶσιν ἐναντία τοῖς δεδογμένοις ποιεῖν. εἰπὼν δὲ τὰς εὐεργεσίας ἤδη τῷ λόγῳ, βούλεται καὶ ἐγγράφως αὐτὰς ἀναγνῶναι. Ως μὲν εἰκότως καὶ δικαίως) Ορα πῶς δριμέως ὡς μισθὸν κεκομισμένον λεύκωνα δείκνυσιν. ἀνθ' ὧν γὰρ δέδωκεν, ἀντὶ τούτου μετείληφε. καθαίρων ἐν τούτῳ τὸ περὶ τούτου φρόνημα τοῦ δήμου, μᾶλλον δὲ μαρτύριον μέγιστον παρεχόμενος διὰ τούτου, ὅτι μεγάλα εὐεργέτηται ὁ δῆμος.

64 Αντιγράφους) Τὰ ἴσα ἐχούσας καὶ τὰ αὐτὰ βοώσας. Τὴν δ' ἐν πειραιεῖ) Διττῶς ἐκεῖνος. ἐπειδὴ καὶ ἐμπορίοις δύο ἐμπιστεύει ἔπειτα τὸ αἰσχρὸν ἐπάγει καθ' ὑπερβολήν. Νενίκηται ὑφ' ἑνὸς ἀνδρὸς ὅλη πόλις εἰς πίστιν. ἡττήθη δῆμος αὐτόχθων εἰς εὐγνωμοσύνην τοῦ λεύκωνος. Τὴν δ' ἐφ' ἱερῷ) Ἱερὸν οὕτω καλούμενον, διὰ τοὺς μινύας ἱερὸν ἱδρύσασθαι τῶν ἡρώων στελλομένων ἐπὶ τὸ χρυσόμαλλον δέρας. τοῦτο δέ ἐστι κατὰ τὸ στόμα τοῦ πόντου. Αλλως. Ἱερόν, τόπος ἐστὶ περὶ τὸν ἑλλήσποντον οὕτω καλούμενος, διὰ τὸ τοὺς μινύας ἱδρύσασθαι ἱερὸν τῶν θεῶν στελλομένους ἐπὶ τὸ χρυσό-
65 μαλλον δέρας. Ὧν ἔχετε, ἢ δεδώκατε συνθήκας) Σεμνὸν τῶν συνθηκῶν τὸ ὄνομα. διὸ καὶ ὁ παραβὰς
66 ἐπονείδιστος. Ὁ πολὺ δεινότερον τοῦ καθελεῖν) Θέλεις κυρῶσαι λεπτίνη τὸν νόμον; μικρὸν ἐπίσχες. ἄφες, καθελῶ τὰς στήλας, τὸν ἔγγραφόν μου καὶ δῆλον κατήγορον. αὗται κυροῦσι τὰς μέμψεις, βεβαιοῦσι τὰς διαβολὰς τὰς ματαίας ταυτασί, τὴν ἐπιλήσμονα τῶν εὐεργετῶν ἐξελέγχουσαι. Φέρε, ἐὰν δὲ δὴ πέμψας) Εὐκαίρως κέχρηται τῇ πλάσει. ἐναργέστερος γὰρ ὁμοῦ καὶ ἐμψυχότερος ὁ λόγος γίνεται. χαρίεν δὲ τὸ νόημα. μόνον γὰρ οὐχὶ διαδικασίαν πρὸς τὸν δῆμον καθίστησιν. εὐπρόσωπος δ' ἐστὶν ὁ λόγος. οὐ γὰρ τῇ παρ' ἑαυτοῦ συνηγορίᾳ. τοῖς δὲ αὐτοῦ δικαίοις νενικηκὼς ὁ λεύκων
67 φανεῖται. Ὁ τὸ ψήφισμα ὑπὲρ ὑμῶν γράφων) Ὁ τὴν ἀπόκρισιν ὑπὲρ ὑμῶν διδούς. Ὅτι νὴ δία ἦσάν τινες τῶν εὑρημένων) Οὐκ ἐπιλέλησται τοῦ οἰκείου θεωρήματος. ἀλλ' ἵνα δῷ τῷ οἰκείῳ νόμῳ παρείσδυσιν, αὐτὸν τὸν δῆμον ὁμολογοῦντα ποιεῖ τὴν ἀντίθεσιν. νὴ δία ἦσάν τινες τῶν εὑρημένων, ὡς μηδενὸς ἄλλου λυποῦντος τὴν πόλιν, ἢ τούτου. ἵνα ὁ νόμος τοῦ δημοσθένους μετὰ μικρὸν ἀναγινωσκόμενος, καὶ τοῦτο λύων φαίνηται. Καὶ γὰρ ἀθηναίων τινὲς) Ετέρῳ μὲν περιάπτει τὴν βλασφημίαν. οὐ μὴν οὐδὲ ἐνταῦθα ταύτην ἀκόλαστον τίθησιν. ἀλλὰ προσέθηκεν εἰς θεραπείαν, τινὰς εἰπών, ἀλλ' οὐ πάντας. καὶ ἴσως ἵνα καὶ τῷ ἐπιρρήματι, καὶ τῷ δισταγμῷ, μὴ πάντως ἀποφαίνηται κατὰ τῶν πολιτῶν, ὅτι πονηροὶ τυγχάνουσι. καλῶς δὲ ἐπιμένει τῇ εὐεργεσίᾳ τοῦ πράγματος, ἵν' ἐναργέ-
68 στερος αὐτοῖς ἔλεγχος γίνηται. καὶ διὰ βραχέων ἡ ἀντίθεσις ἀνῃρῆσθαι δοκῇ. Οὐ δικαιότερ' ἡμῶν ἐρεῖ; ἔμοι γ' οὖν δοκεῖ) Μετὰ τῶν κατηγορημένων καὶ αὐτὸς εὑρίσκεται, καὶ συνομολογεῖ ὅτι ἀδικεῖται ὁ λεύκων. εἶτα τοῖς κοινοῖς ἔθεσι καὶ λογισμοῖς ἐπικυροῖ τὸ ἐπιχείρημα, ὡς μᾶλλον φιλοῦσιν ἅπαντες αἰδοῖ τῶν χρηστῶν φαύλους



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀφαιρεῖσθαι. καὶ μὴν, οὐδ᾽ ὅπως οὐκ ἀντιδώσει τῷ
Λεύκωνί τις ἐὰν βούληται, δύναμαι σκοπούμενος εὑ-
ρεῖν. χρήματα μὲν γάρ ἐστιν ἀεὶ παρ᾽ ὑμῖν αὐτοῦ. κατὰ
δὲ τὸν νόμον τοῦτον, ἐάν τις ἐπ᾽ αὐτὰ ἔλθῃ, ἢ στερήσεται
τούτων, ἢ λειτουργεῖν ἀναγκασθήσεται. ἔστι δὲ τοῦτο οὐ τῆς 70
δαπάνης μέγιστον ἐκείνῳ, ἀλλ᾽ ὅτι τὴν δωρεὰν αὐτὸν
ὑμᾶς ἀφῃρῆσθαι νομιεῖ. οὐ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι,
μὴ Λεύκων ἀφῃρῆσθαι νομιεῖ. οὐ τοίνυν ὦ ἄνδρες Ἀ-
θηναῖοι μὴ Λεύκων ἀδικηθῇ μόνον δεῖ σκοπεῖν, ᾧ φι-
λοτιμίας ἕνεκα ἡ περὶ τῆς δωρεᾶς σπουδὴ γένοιτ᾽ ἄν, 71
οὐ χρείας, ἀλλὰ καὶ εἴ τις ἄλλος εὖ μὲν ἐποίησεν ὑμᾶς
εὖ πράττων, εἰς δέον δὲ νῦν γέγονεν αὐτῷ τὸ παρ᾽ ἡ-
μῶν λαβεῖν τότε τὴν ἀτέλειαν. τίς οὖν οὗτός ἐστιν;
Ἐπικέρδης ὁ [κυρηναῖος. αἰζ.] Κερκυραῖος. ὅς, εἴπερ τις ἄλλος τῶν εἰλη-
φότων, δικαίως ἠξιώθη ταύτης τῆς τιμῆς, οὐ τῷ με- 72
γάλα, ἢ θαυμάσια ἡλίκα δοῦναι, ἀλλὰ τῷ παρὰ
τοιοῦτον καιρὸν, ἐν ᾧ καὶ τῶν εὖ πεπονθότων ἔργον ἦν
εὑρεῖν ἐθέλοντά τινα, ὧν εὐεργέτητο, μεμνῆσθαι· οὗτος
γὰρ ἀνὴρ ὡς τὸ ψήφισμα τοῦτο δηλοῖ τὸ τότε αὐτῷ
γραφὲν, τοῖς ἁλοῦσι τότε ἐν Σικελίᾳ τῶν πολιτῶν ἐν 73
τοιαύτῃ συμφορᾷ καθεστηκόσιν, ἔδωκε μνᾶς ἑκατόν.
καὶ τοῦ μὴ τῷ λιμῷ πάντας αὐτοὺς ἀποθανεῖν, αἰτιώ-

τινὰς ἀγαπᾶν, ἢ μισεῖν τῶν πονηρῶν καὶ τοὺς ἀγαθοὺς ἀποστρέφεσθαι. Καὶ μὴν ὅπως οὐκ ἀντιδώσει) Ἄχρι τούτων 69
συμπεραινόμενος τὸν λόγον τὸν περὶ τῆς τελωνείας, μεταβέβηκεν ἐπὶ τὸ ὁμώνυμον. ὅτι γὰρ κατὰ τὸ πρότερον μέρος τὴν τελωνείας ἐξέτασιν, ἐκεῖθεν δῆλον. ἐλογίσατο γὰρ τίνα καρποῦται τέλη ἐκ τοῦ μὴ τελωνεῖσθαι. εἶτα ἔδειξεν αὐτοὺς ἀφαιρουμένους τὴν δωρεὰν τοῦ Λεύκωνος, εἶτα τὸν Λεύκωνα λοιπὸν ἀνταφαιρούμενον. οὐκοῦν τοῦτο περὶ τῆς τελωνείας εἴρηται. μεταβαίνει δὲ ἐφ᾽ ἕτερον τέλος καὶ τὴν ὁμωνυμίαν λέγω δὲ τὸ κατὰ τὴν λειτουργίαν. καὶ τὸ ἐπιχείρημα διὰ τῆς διαβολῆς σημαῖνον τὸ βούλημα. Ἄλλως. Ὡς κοινοτέρου τινὸς ἐπιχειρήματος ἀρχὴν ποιούμενος. λέγει δὴ τοῦ περὶ τῆς χορηγίας. διατί δὲ οὐκ ἐκ τοῦ προδήλου καὶ προφανοῦς εἰσήγαγεν ὅτι ἀντιδώσει τις, ἀλλ᾽ ἐκ τοῦ ἐναντίου κατ᾽ ἀναίρεσιν, ὅτι ἂν βουληθῇ τις ἀντιδοῦναι, οὐχ εὑρίσκω ὅπως λυθήσεται [φείσεται], καὶ οὐκ ἀντιδώσει. ὅτι τὸ μὲν ἐκ τοῦ προφανοῦς λέγειν, οὐκ ἔστι πιθανόν. τὸ δὲ κατ᾽ ἀναίρεσιν, σημαίνει τὴν τοῦ φιλονεικοῦντος προαίρεσιν. σχεδὸν γὰρ μιμεῖται τὸν τοῦ φιλονεικοῦντος τρόπον, διὰ τῆς τοῦ ἐνθυμήματος μεταχειρίσεως. Ἐάν τις ἐπ᾽ αὐτὰ ἔλθῃ) Κατὰ τὴν ἀντίδοσίν φησιν ἐπιλάβηται.

Ἔστι δὲ τοῦτο οὐ τῆς δαπάνης μέγιστον) 70
Ἀπὸ τῆς περιουσίας καὶ δυναστείας τοῦ Λεύκωνος ἀντέπεσεν. ἀλλὰ πλούσιος ὢν οὐκ αἰσθάνεται τῆς δαπάνης. ναὶ ἀλλ᾽ ἡ ἀφαίρεσις ἐπονείδιστος. Οὐ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι) Τί δήποτε ἀπὸ τῶν ἐλαττόνων ἐπὶ τὰ μείζονα ἄγων τὸν λόγον, ἐνταῦθα τοὐναντίον πεποίηκεν, ἀπὸ τῶν μειζόνων ἐπὶ τὰ ἐλάττονα ἦλθε. καὶ λεκτέον ὅτι, ὃ μᾶλλον ἐτάραττε τοὺς ἀκούοντας, τοῦτο καὶ προὔταξε. ποθεῖ γὰρ ὁ δῆμος τὸν σῖτον, καὶ στερισκόμενος ἄχθεται. ἀφ᾽ οὗ οὖν ἔμελλε πείθειν μᾶλλον, τοῦτο εἰς τὸν φόβον προὐβάλλετο. Ἀλλὰ καὶ εἴ τις ἄλλος εὖ μὲν ἐποίησε) Θαῦμα πολὺ τῆς ἐργασίας τοῦ Λεύκωνος ποιησά- 71
μενος ἐνταῦθα, καὶ οἶκτον ἐκτίθησι τοῦ Ἐπικέρδους, τῇ μεταβολῇ τῆς τύχης τὴν πειθὼ προσαγόμενος. ὁ γὰρ πάλαι φησὶν εὐημερῶν ὁ τὴν Ἀθηναίων πόλιν εὐεργετεῖν ἀξιῶν, οὗτος νῦν ἐπίκουρον ἔχει τοῦ ζῆν τὴν ἀτέλειαν, βεβλημένος ἀπὸ τῆς τύχης. φασὶ γὰρ τοὺς παῖδας μεταστῆσαι τοῦ Ἐπικέρδους ἀπὸ Κυρήνης Ἀθήναζε. καὶ διὰ τοῦτο λέγουσιν αὐτῷ εἰς δέον γεγονέναι τὸ παρ᾽ ὑμῶν δοθῆναι τὴν ἀτέλειαν. εἰκὸς γὰρ ἦν αὐτοὺς καὶ εἰς λειτουργίαν κληθῆναι παρόντας.

Τίς οὖν οὗτός ἐστιν; Ἐπικέρδης) Ἠρώτησε τοὺς Ἀθηναίους, ὡς ποθοῦντας τὸν τοιοῦτον εὐεργέτην μαθεῖν, ἵνα θαρρῶν ἀποκρίνηται. Κυρήνη δὲ πόλις ἐστὶ Λιβύης, Λακεδαιμονίων ἄποικος. Ἐπικέρδης δὲ, Κυρηναῖος, εὐεργέτης τοῦ δήμου κατὰ τὸν ἐν Σικελίᾳ καιρόν. ἰδὼν δὲ τῆς ἐπιδόσεως μικρὰν τὴν ποσότητα, ηὔξησεν αὐτὴν πολλαχόθεν. πρῶτον μὲν, τῷ συνδραμεῖν καὶ εἰπεῖν, οὐ τῷ μεγάλα καὶ θαυμάσια ἡλίκα δοῦναι. εἶτα, τῷ καιρῷ, καὶ τῇ γνώμῃ τοῦ δεδωκότος, καὶ τῇ ποιότητι τῶν ἀντικειμένων· καιρῷ μὲν, ὅτι ἥττητο ἡ πόλις, καὶ ἐν συμφοραῖς ἦν μεγάλαις· γνώμῃ δὲ, ὅτι ἐκ προαιρέσεως καὶ ἐθελοντής· ποιότητι δὲ τῶν πεπονθότων, ὅτι συμφορᾷ· φόβῳ δὲ τῶν ἀντικειμένων, ὅτι ἐπεκράτουν Συρακούσιοι καὶ Πελοποννήσιοι [λακεδαιμόνιοι]. ὧν οὐκ ἐφοβήθη τοῦ φρονήματος τὸν ὄγκον, ἀλλὰ καὶ τῇ γειτνιάσει αὔξει, ὅτι παρ᾽ οἷς ἦν. καὶ γὰρ τοῦτο συντελεῖ πρὸς αὔξησιν. τὸ γὰρ παρόντα μὴ φοβηθῆναι τὸν κίνδυνον, μηδὲ φιλοψυχῆσαι, οὐ μικρὸν εἰς φιλοτιμίαν. ἐν ᾧ καὶ τῶν εὖ πεπονθότων ἰδὼν τὴν ὀλιγότητα τῆς ἐπιδόσεως, ἐκ τοῦ κατὰ σύγκρισιν τόπου ηὔξησε. συνέκρινε γὰρ τὴν προαίρεσιν τῶν ἑκόντων εὐεργετούντων, πρὸς τὴν τοῦ δικαίως ἀποδιδόντος ἐν καιρῷ χάριν. δείξας δὲ ἐνίους τῶν ἀνθρώπων μηδ᾽ ἐθέλοντας ἀποδιδόναι ἐν ταῖς δυστυχίαις ἣν ὀφείλουσι χάριν, ηὔξησε τὴν τοῦ δεδωκότος προαίρεσιν, ὅτι ἐθελοντὴς τοῖς δυστυχοῦσιν ἐπέδωκεν.

Ὡς τὸ ψήφισμα τοῦτο δηλοῖ) Πιστοῦται διὰ τοῦ ψηφίσματος, τοῦ Ἐπικέρδους τὴν εὔνοιαν, ἵνα μὴ δοκῇ χαρί- 72
ζεσθαι τοῖς λόγοις. Καὶ τοῦ μὴ τῷ λιμῷ πάντας) Οὐ μόνον ἐκ τῶν προειρημένων τόπων ἐπηύξησεν, ὡς ἔφα- 73
μεν, ἀλλὰ καὶ ἐκ τοῦ κωλῦσαι τὰ συμβάντα αὐτοῖς, εἰ μὴ ἐπέδωκεν ἑκών. κωλύει γὰρ αὐτοὺς λιμῷ πάντας ἀποθανεῖν, προθύμως ἐπιδιδούς. Ἄλλως, εἰς τὸ αὐτό. Οὐ μόνον ηὔξησεν ἀφ᾽ ὧν ἐποίησεν, ἀλλὰ καὶ ἐξ ὧν ἐκώλυσε τὸ συμβὰν κακὸν ἀφ᾽ ὧν ἐπέδωκε· διχῶς γὰρ τὸ συμφέρον, ἢ κτῆσις κέρδους, ἢ ἀποχὴ βλάβης ὑπάρχει.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τατες ἐλθεῖν. καὶ μετὰ ταῦτα δοθείσης ἀτελείας αὐτῷ
διὰ ταῦτα παρ' ὑμῶν, ὁρῶν ἐν τῷ πολέμῳ τῷ πρὸ — πρὸς τοὺς τριάκοντα. γρ.
74 τῶν τριάκοντα μικρὸν σπανίζοντα τὸν δῆμον χρημά-
των, τάλαντον ἔδωκεν αὐτὸς ἐπαγγειλάμενος. σκέψα- — ἐπέδωκεν. α.
σθε δὴ πρὸς Διὸς καὶ θεῶν, ἄνδρες Ἀθηναῖοι, πῶς ἂν
ἄνθρωπος μᾶλλον φανερῶς γένοιτο εὔνους ὢν ὑμῖν, — α. φανερὸς. αι.
ἢ πῶς ἧττον ἄξιος ἀδικηθῆναι, ἢ πρῶτον μὲν εἰ πα- — ε.η.
75 ρὼν τῷ τῆς πόλεως ἀτυχήματι, μᾶλλον ἕλοιτο τοῖς
ἀτυχοῦσι καὶ τὴν παρὰ τούτων χάριν, ἥτις ποτ'
ἔμελλεν ἔσεσθαι, ἢ τοῖς ἐν ἐκείνῳ τῷ χρόνῳ κεκρατη-
κόσι, καὶ παρ' οἷς ἦν, δεύτερον δ' ἑτέραν χρείαν ἰδών,
εἰ φαίνοιτο διδούς, καὶ μὴ ὅπως ἴδια τὰ ὄντα σώσοι — σώσῃ. α.
76 προνοούμενος, ἀλλ' ὅπως τῶν ὑμετέρων μηδὲν ἐν-
δεὲς ἔσται τό γε καθ' αὑτόν. τοῦτον μέντοι τὸν τῷ μὲν ἔργῳ,
ἀεὶ τοὺς μεγίστους καιροὺς οὑτωσὶ κοινὰ τὰ ὄντα τῷ — παρὰ. α. αι. ζ.η.
δήμῳ κεκτημένον, τῷ δὲ ῥήματι καὶ τῇ τιμῇ τὴν ἀ-
τέλειαν ἔχοντα, οὐχὶ τὴν ἀτέλειαν ἀφαιρήσεσθε, οὐδὲ
77 γὰρ οὔσῃ χρώμενος φαίνεται. ἀλλὰ τὸ πιστεύειν ὑμῖν. οὗ — τῷ. α.
τί γένοιτ' ἂν αἴσχιον. τὸ τοίνυν ψήφισμα ὑμῖν αὐτὸ ἀνα-
γνώσεται τὸ τότε ψηφισθὲν τῷ ἀνδρί. καὶ θεωρεῖτε ὦ ἄν-
δρες Ἀθηναῖοι, ὅσα ψηφίσματα ἄκυρα ποιεῖ ὁ νόμος,
καὶ ὅσους ἀνθρώπους ἀδικεῖ, καὶ ἐν ὁποίοις καιροῖς χρη-
78 σίμους ὑμῖν παρασχόντας ἑαυτούς. εὑρήσετε γὰρ τούτους,
οὓς ἥκιστα προσῆκεν ἀδικοῦντα. Λέγε.

ΨΗΦΙΣΜΑΤΑ. — ψήφισμα. α.

Τὰς μὲν εὐεργεσίας, ἀνθ' ὧν εὕρετο τὴν ἀτέλειαν ὁ — ε.η. εὕρατο. η.
Ἐπικέρδης, ἀκηκόατε ἐκ τῶν ψηφισμάτων, ὦ ἄνδρες
79 δικασταί. σκοπεῖτε δὲ μὴ τοῦτο, εἰ μνᾶς ἑκατόν, καὶ πάλιν
τάλαντον ἔδωκεν. οὐδὲ γὰρ τοὺς λαβόντας ἔγωγε ἡ- — τάλαντα. α. οἶμαι. ε.
γοῦμαι τὸ πλῆθος τῶν χρημάτων θαυμάσαι, ἀλλὰ
τὴν προθυμίαν, καὶ τὸ αὐτὸν ἐπαγγειλάμενον ποιεῖν, καὶ
τοὺς καιρούς, ἐν οἷς. πάντες μὲν γάρ εἰσιν ἴσως ἄξιοι χά-
80 ριν ἀνταπολαμβάνειν οἱ προϋπάρχοντες, τοῦ ποιεῖν
ὑμᾶς εὖ, μάλιστα δ' οἱ παρὰ τὰς χρείας, ὧν εἷς οὗτος — α.ε.

74 Τάλαντον ἔδωκε) Μεταλαβεῖν φησὶ τὴν ἀτέλειαν ἐπὶ τοῖς πρότερον ἐπιδοθεῖσιν ἐν Σικελίᾳ, οὐχ ὡς ἂν καταφρονήσας ὅτι περ ἅπαξ ἔτυχε τῆς τιμῆς ἐπαύσατο τῆς κηδεμονίας, ἀλλὰ μηδενὸς αἰτήσαντος τὴν χρείαν ἰδών, αὐθαίρετος ἐφιλοτιμήσατο, αὐτὸς προσεπινοήσας τὴν αὔξησιν. Ἐπαγγειλάμενος) Ἀξιώσας, μᾶλλον δὲ αὐτεπάγγελτος, καὶ αὐθαίρετος. Σκέψασθε δὴ πρὸς Διὸς καὶ θεῶν) Εἰπὼν διὰ τῶν προειρημένων τὰς εὐεργεσίας, καὶ αὐξήσας εἰς ὅσον ἧκεν, ἐντεῦθεν ἐπενθυμεῖται τοῖς προειρημένοις. τοιοῦτος ὁ ῥήτωρ ἁπανταχοῦ μετὰ τὰ διηγήματα πάλιν ἐπενθυμούμενος. οὐχ ἁπλῶς δὲ ἐστὶ τὸ διήγημα ἐνταῦθα, ἀλλὰ δικανικόν. — ἁπλοῦν. γρ.

75 Καὶ τὴν παρὰ τούτων χάριν) Τῆς καλοκαγαθίας ἐπίδειξις. οὐ γὰρ ἐλπίδι τῆς ἀμοιβῆς ἐποίησεν εὖ· ἄδηλος γὰρ αὕτη· ἀλλ' εὐνοίᾳ καὶ φιλοστοργίᾳ τοὺς ἡττημένους ἀντὶ τῶν κεκρατηκότων ἠσπάσατο. καὶ οὐ μόνον νενικηκότων εἶπεν, ἀλλὰ καὶ παρ' οἷς ἦν. ὅτι καὶ συνηθείας κατεφρόνησε, καὶ φιλίας ἠμέλησε, καὶ φοβεῖσθαι τοὺς κρατοῦντας οὐκ ἠνέσχετο, προθέμενος ἐν πᾶσιν ὑμᾶς.

77 Οὐδὲ γὰρ οὔσῃ χρώμενος φαίνεται) Ἡ ἀτέλεια διττή. ἢ γὰρ κατ' ἐμπορείαν ἐστίν, ἢ κατὰ λειτουργίαν. οὔτε δὲ οἷόν τε λειτουργεῖν ξένον ὄντα καὶ Λιβύην οἰκοῦντα, οὔτε μὴ ἐμπορευόμενον· οὐδὲ γὰρ ἐμπορευόμενος φαίνεται. ὥσπερ ὁ Λεύκων μὴ φερομένων αὐτῷ ἀπὸ Λιβύης φορτίων, ὧν κερδαίνειν ἔμελλε. καὶ τοῦτο δῆλον ἐκ τῆς τῶν τελωνῶν ἀπογραφῆς, ὅθεν εἶπε τεθαρρηκότως. Οὐδὲ γὰρ οὔσῃ χρώμενος φαίνεται) Οὐ φαίνεται γὰρ ταῖς τῶν ἐμπόρων ἀπογραφαῖς χρώμενος.

Εἰς τὸ αὐτό. Ὁ μὲν ζητῶν λύων τὸ προκείμενόν φησι μὴ χρήσασθαι τῇ δωρεᾷ τὸν Ἐπικέρδην, διὰ τὸ ἑκόντα ἐπιδοῦναι μνᾶς ἑκατόν. ἡμεῖς δὲ φαμὲν μὴ τοῦτο βούλεσθαι τὸν Δημοσθένην σημαίνειν· οὐδὲ γὰρ ἐπιδόσεως, οὐδὲ φιλοτιμίας ἐστὶν ἀτέλεια, ἀλλὰ τῶν κατ' ἀνάγκην γινομένων λειτουργιῶν. πῶς οὖν φαίνεται Ἐπικέρδης μὴ χρώμενος. οὐχ ὅτι ἐπιδέδωκεν, ἀλλὰ τῷ μηδ' ἐμπορείαν ποιήσασθαι, μηδὲ κληθῆναι εἰς λειτουργίαν μηδὲ πώποτε. διὰ τὸ ἀπεῖναί τε φαίνεται τῇ δωρεᾷ μὴ χρήσασθαι· ὅτι γὰρ οὐκ ἂν ἐκλήθη αὐτὸς εἰς λειτουργίαν, δῆλον ἐκ τῶν κατὰ Λεύκωνα. ἐκεῖ γάρ φησι, παρ' ὑμῖν χρήματα ὑπάρχειν τῷ Λεύκωνι. ἐνταῦθα δὲ ὧν λάβοιτο ἄν τις Ἐπικέρδους μὴ ἔχοντος μηδεμίαν ἐμπορείαν ἐν τοῖς λιμέσι, πῶς ἄν τις λάβῃ). τὸ οὖν χρώμενος, ἀντὶ τοῦ χρησάμενος. οὐ γὰρ περὶ τῶν παίδων ἐνταῦθα πως ὁ λόγος ἐστίν, ἀλλὰ περὶ τοῦ πατρός. ὅτι δὲ καὶ τὸ συμπλεῖν εἰς πόλεμον οὐκ ἦν παράβασις ἀτελείας, δῆλον ἐκ τοῦ κατὰ Ἁρμόδιον καὶ Ἀριστογείτονα. καὶ γὰρ εἰληφότες ἀτέλειαν, ὅμως ἐχορήγουν εἰς πόλεμον. ὥστε εἰ Ἐπικέρδης εἰς πόλεμον ἐπιδέδωκεν, οὐδήπου διὰ τοῦτο τὴν δωρεὰν ἀνῄρηκεν, ἀλλὰ καὶ αὐτὸς παρέχεται νόμον τοιοῦτον, τὸν
78 κελεύοντα μηδένα ἀτελῆ εἶναι τῶν εἰς τὸν πόλεμον. Οὓς ἥκιστα προσῆκεν) Οὓς οὐδαμῶς ἀδικεῖν ἐχρῆν. Ἀλλὰ τὴν
79 προθυμίαν, καὶ τὸ αὐτόν) Τῇ κρίσει τῶν πατέρων σεμνύνει τὸν ἄνθρωπον. Οἱ προϋπάρχοντες τῷ ποιεῖν εὖ) Οἱ τὴν ἀρ-

χὴν της

...λω τῆς εὐ... σάμενοι. πλέον δὲ θαυμάσειεν ἄν τις τοὺς ἐν ταῖς χρείαις ὑπηρετήσαντας. Εἶτ' οὐκ αἰσχυνόμε- 80
θα ὦ ἄνδρες Ἀθηναῖοι) Χαριέντως τῷ αἰσχυνόμεθα συνῆψεν εὐθὺς τό, ὦ ἄνδρες Ἀθηναῖοι, ἵνα τῇ ποιότητι τῆς πό-
λεως μεῖζον φανῇ τὸ αἰσχρόν. Μηδὲν ἔχοντες ἐγκαλέσαι) Δίδαξόν με τινὰ τῆς ἀφαιρέσεως ἀπολογίαν προσιστώ-

ἀνὴρ ὢν φαίνεται. εἶτ' οὐκ αἰσχυνόμεθα, ὦ ἄνδρες Ἀ-
* α. θηναῖοι, τοὺς τοῦ τοιούτου παῖδας, εἰ μηδεμίαν ποιη-
σάμενοι τούτων μηδενὸς μνείαν, ἀφῃρημένοι φανούμε-
θα τὴν δωρεάν, μηδὲν ἔχοντες ἐγκαλέσαι; οὐ γὰρ εἰ ἕ- 81
τεροι μὲν ἦσαν οἱ τότε σωθέντες ὑπ' αὐτοῦ, καὶ δόντες
τὴν ἀτέλειαν, ἕτεροι δ' ὑμεῖς, οἱ νῦν ἀφαιρούμενοι,
ἀπολύει τοῦτο τὴν αἰσχύνην. ἀλλ' αὐτὸ δὴ τοῦτο, καὶ τὸ
ἰδόντες. ε. δεινόν ἐστιν. εἰ γὰρ οἱ μὲν εἰδόντες καὶ παθόντες, ἄξια
τούτων ἐνόμιζον εὖ πάσχειν, ἡμεῖς δ' οἱ λόγῳ ταῦτ' 82
ἀκούσαντες. α. ἀκούοντες ὡς ἀναξίων ἀφαιρησόμεθα, πῶς οὐχ
* ὁ ε. ὑπερδεινὸν ποιήσομεν. * αὐτὸς τοίνυν ἐστί μοι λόγος οὗ-
τος. καὶ περὶ τῶν τοὺς τετρακοσίους καταλυσάντων, καὶ
περὶ τῶν, ὅτ' ἔφευγεν ὁ δῆμος, χρησίμους αὐτοὺς πα-
ρασχόντων. πάντας γὰρ αὐτοὺς δεινότατ' ἂν ἡγοῦμαι 83
παθεῖν, εἴ τι τῶν τότε ψηφισθέντων αὖθις λυθείη. εἰ τοί-
νυν τις ὑμῶν ἐκεῖνο πέπεισται, πολὺ τοῦ δεηθῆναί τινος
τοιούτου νῦν ἀπέχειν τὴν πόλιν, ταῦτα μὲν εὐχέσθω
τοῖς θεοῖς, κἀγὼ συνεύχομαι· λογιζέσθω δὲ πρῶτον
μέν, ὅτι περὶ νόμου μέλλει φέρειν τὴν ψῆφον, ᾧ μὴ λυ- 84
θέντι δεήσει χρῆσθαι. δεύτερον δὲ ὅτι βλάπτουσιν οἱ
πονηροὶ νόμοι καὶ τὰς ἀσφαλῶς οἰκεῖν οἰομένας πό-
λεις. οὐ γὰρ ἂν μετέπιπτε τὰ πράγματα ἐπ' ἀμφό-
τερα, εἰ μὴ τοὺς μὲν ἐν κινδύνῳ καθεστηκότας καὶ
πράξεις χρησταί, καὶ νόμοι, καὶ ἄνδρες χρηστοί, καὶ πάντα 85
ἐξητασμένα ἐπὶ τὸ βέλτιον προῆγε· τοὺς δὲ ἐν πά-
σῃ καθεστάναι δοκοῦντας εὐδαιμονίᾳ, πάντα ταῦτα
ἀμελούμενα, ὑπέρρει κατὰ μικρόν. τῶν γὰρ ἀνθρώπων οἱ
πλεῖστοι, κτῶνται μὲν τἀγαθά, τῷ καλῶς βουλεύεσθαι,
καὶ μηδενὸς καταφρονεῖν, φυλάττειν δὲ οὐκ ἐθέλουσι 86
τοῖς αὐτοῖς τούτοις· ὃ μὴ πάθητε νῦν ὑμεῖς, μηδὲ οἴεσθε
νόμον τοιοῦτον θέσθαι δεῖν, ὃς καλῶς τε πράττουσαν
ἡμῶν. α. β ὑμῶν. ζ. η. τὴν πόλιν * ὑμῖν, πονηρᾶς δόξης ἀναπλήσει, ἐάν τέ τι
συμβῇ ποτέ, ἔρημον τῶν ἐθελησόντων ἀγαθόν τι ποιεῖν
αὐτὴν καταστήσει. οὐ τοίνυν μόνον, ὦ ἄνδρες Ἀθηναῖοι 87
τοὺς ἰδίᾳ γνόντας εὖ ποιεῖν ὑμᾶς, καὶ παρασχόντας χρη-

της εὐπρόσωπος τόπος τῷ σχήματι. ἂν καλέσῃ μέ τις τῶν παίδων ἀχάριστον, τίνα ἔγκλημα προφέρων λύσω τὴν μέμψιν. τί πραχθὲν ὑπαίτιον ἐπενεγκὼν αὐτοῖς, τὴν αἰσχύνην ἐκφεύξομαι. Οὐ γὰρ εἰ ἕτεροι μὲν 81
ἦσαν) Τῇ τῆς ἀπαντήσεως προσθήκῃ, τὴν ἀντίθεσιν ἀνεῖλε, φάσκων, οὐκ ἀπολύει τοῦτο τῆς αἰσχύνης, ἀλλὰ προσθήκην ἀδοξίας ποιήσει λυμαίνει τὴν τῶν προγόνων ψῆφον. λύεις προπετῶς, ἃ ἐκεῖνοι κεκρίκασι. καὶ ἡ προσθήκη βεβαιοῖ τὴν ἀλήθειαν, ὅσῳ κρείττων ἡ τῶν ὁρώντων καὶ παρόντων μαρτυρία τοῦ τὴν γνῶσιν ἐξ ἀκοῆς εἰληφότος. Καὶ περὶ τῶν τοὺς τε- 82
τρακοσίους) Ἐγένετο γάρ τις ἐν τῷ πελοποννησιακῷ πολέμῳ τετρακοσίων ὀλιγαρχία. ἣν οἱ καταλύσαντες ἐτιμήθησαν. Χρησίμους αὐτοὺς παρασχόντων) Ἐπὶ τῶν τριάκοντα λέγει. τότε γὰρ οἱ δημοτικοὶ μὴ φέροντες τὴν κακίαν τῶν τριάκοντα, ἔφυγον, καὶ οἱ ὑποδεξάμενοι ἐθαυμάσθησαν. Εἰ 83
τοίνυν τις ὑμῶν ἐκεῖνο πέπεισται) Τὰς τῆς ἔξωθεν ἐπισωρευούσας εὐεργεσίας, τὴν ἐκ τῆς ἀκολούθου νοήσεως ὑποβάλλει πρότασιν. ἐλέγομεν δὲ ὅτι, τὸ κατὰ τὸν ἐπὶ κέρδει ἐπιχείρημα, τῆς μελλούσης ἐστὶ βλάβης. τοῦτο τοίνυν ἐπισφραγίζεται, κατὰ τὸ νῦν προκείμενον ἐνθύμημα. ἀντέπεσε γὰρ ἐκ τῶν λεγομένων. ἀλλ' οὐκ ἂν δεηθείημεν τοῦ τὴν πόλιν εὐεργετήσοντος. οὐδὲ γάρ ἐστι πόλεμος. πρὸς ὃ γὰρ ἀγωνιζόμενος λύει ἐκ τῆς κοινῆς τῶν ἀνθρώπων φύσεως, καὶ τῶν κοινῶν λογισμῶν, ὡς ἄδηλον τὸ μέλλον, καὶ πάντα χρὴ προσδοκᾶν. οὕτως ἐπισφραγίζεται διὰ τούτων τὴν γενησομένην ἐκ τοῦ νόμου βλάβην, εἰ γένοιτο κύριος. Κἀγὼ συνεύχομαι) Τὴν ὑπερβολὴν τῆς εὐνοίας δηλοῖ, κοινωνῆσαι τῆς εὐχῆς οὐκ ὀκνῶν.
Ὧ μὴ λυθέντι δεήσει χρῆσθαι) Κυ- 84
ρίου ὄντος, εἰκός ἐστι γενέσθαι καὶ χρείαν εὐεργετῶν. ἄγουσι γὰρ τὰς εὐδαιμονούσας πόλεις ἐπὶ τὸ χεῖρον οἱ πονηροὶ νόμοι. τοῖς μὲν γὰρ ἀγαθοῖς ἀνδράσι, καὶ τοῖς ἀμείνοσι νόμοις ἀκολουθεῖ τὸ πράττειν καλῶς. τοῖς δὲ ἐναντίοις, πρὸς τὸ φαῦλον ἡ μεταβολή. Ἐπ' ἀμφότερα) Εὐτυχίαν καὶ δυστυχίαν.

Ὑπέρρει κατὰ μικρόν) Κατὰ μικρὸν ὑπεχώρει καὶ ἀπώλλυτο. ῥεῖν γὰρ τὸ φθείρεσθαι. ἐπεὶ καὶ οἱ ἄνθρωποι κτῶνται) μὲν εὐβου- 85
λίᾳ τὰ χρήσιμα· ῥιπτοῦσι δ' ἐξ ἀβουλίας κτώμενα. Ὃς καλῶς πράττουσαν τὴν πόλιν) Κατ' ἀμφότερον δείκνυσιν ἄ- 86
χρηστον καὶ ἀλυσιτελῆ τὸν νόμον ἐν ἀσφαλείᾳ τε γὰρ ζῶσιν ἡμῖν, ἡ τοῦ πράγματος ἀδοξία πρόσεισιν· ἑτέρου δέ τινος καὶ φαύ-
λου συμβαίνοντος, τοὺς ἐπικουροῦντα οὐχ ἕξομεν. Οὐ τοίνυν μόνον ὦ ἄνδρες Ἀθηναῖοι) Ἄλλο ἐπιχείρημα τοῦ αὐτοῦ 87
τόπου, διαφορὰν δὲ ἔχον οὐ μικράν. περὶ εὐεργέτου πάλιν μέλλει ποιεῖσθαι τὸν λόγον. δεικνὺς ὅσον βλάψει τὴν πόλιν, καὶ ὅσων

ἀποστερήσει εὐεργετῶν, εἰ καιρὸς γένοιτο. διαφέρει δὲ τὸ περὶ ἐπὶ κέρδους ἐπὶ χρήματος ἐκεῖνο μὲν ἴδιον, τοῦτο δὲ κοι-
νόν, ὅτι καὶ πόλεις ὅλας τὰς ἑαυτῶν πατρίδας συμμάχους κατέστησαν τῷ δήμῳ. ἀπὸ γὰρ τοῦ κατὰ πρόσωπον μεταβέβη-
κεν ἐπὶ τὰς πόλεις, ἰδίᾳ μὲν τοὺς περὶ τὸν Λεύκωνα, ἰδίᾳ δὲ τὸν ἐπὶ κέρδει μετὰ δὲ ταῦτα πλῆθος τῶν τὰς πατρίδας τὰς ἑαυ-
τῶν παρασκευασάντων συμμαχεῖν τῷ
δήμῳ. δύο δὲ ἀνῆκε διὰ τούτων ἐπι-
χρημάτων, ἓν μὲν, ὅτι τῶν ἀπιστοτά-
των ἐστὶν ἀποστερεῖν τοὺς εὐεργέτας· τὸν
ἕτερον δὲ, ὅτι κωλύσομεν δι' ὧν ἀποστε-
ροῦμεν καὶ τοὺς βουλομένους εὐεργετεῖν
ἐπὶ τηλικούτων καὶ τοιούτων καιρῶν, ἐν
σιτοδείᾳ μὲν τὸν Λεύκωνα, ἐν συμφο-
ραῖς δὲ ἐπὶ κέρδει. πάλαι δ' εὐεργεσία
89 καὶ ἐν ἔργοις καὶ ἐν λόγοις. Α παρ' ὑμῶν
τῶν πρεσβυτέρων) Ἱκανὸν ποιεῖται τὴν
πειθώ, τὸ λέγειν, ὡς ὑμεῖς μετὰ ταῦ-
90 τα ἐδιδάξατε. Ἀλλ' ὅθ' ἡ μεγάλη
μάχη) Περὶ ταύτης τῆς μάχης Ὑπερεί-
δης εἴρηκεν ἐν τῷ πρὸς Δίωνα. καὶ πα-
ρὰ Ἐφόρῳ καὶ Ἀνδροτίωνι ἱστορεῖται,
ὡς ἐνίκησαν τοὺς Ἀθηναίους Λακεδαι-
μόνιοι σφόδρα. Ἐπικηρυκεύεσθαι)
Διὰ κηρύκων σπονδὰς περὶ φιλίας
ποιήσασθαι. Καὶ τῆς παρόδου κρα-
τοῦντας) Ὡς καὶ τὴν ἀναχώρησιν καὶ τὴν
91 φυγὴν ἐπικίνδυνον εἶναι. Ἀλλὰ πλη-
σίον ὄντων, μεθ' ὅπλων) Αὔξησιν ἔχει
τῆς εὐνοίας. οὐκ ἔδεισαν τὸ πλῆθος, οὐδὲ
τὰ ὅπλα. οὐδὲ τοὺς πολίτας ᾐσχύνθησαν,
ἀλλὰ βιασάμενοι τοὺς ἔνδον, καταφρο-
νήσαντες τῶν ἔξω, εἰσέφρουν τὸ στρά-
τευμα, τοῦτ' ἔστιν εἰσεδέχοντο εἰς τὴν
πόλιν, ἤγουν ὑπεδέχοντο, τὸν μεθ' ὑμῶν
κίνδυνον τοῦ ζῆν ἀσφαλῶς προη-
92 μήσαντες. Ἡ ἐπὶ Ἀνταλκίδου) Οὗ-
τός ἐστιν ὁ τὴν αἰσχρὰν εἰρήνην πρὸς
βασιλέα τὸν μέγαν σπεισάμενος, ἐν
ᾗ τοὺς ἐν τῇ Ἀσίᾳ κατοικοῦντας
Ἕλληνας ἐκδότους τῷ βαρβάρῳ πε-
ποίηκε. τότε οὖν φησὶν ἐφυγάδευσαν
αὐτοὺς Λακεδαιμόνιοι ὑμεῖς δὲ ὑπε-
δέξασθε, καὶ προσηκόντως ἐστέρξα-
93 τε πάντα. Εἴ τις ἀκούσειεν ὡς Ἀ-
θηναῖοι σκοποῦσι) Σκέπτεταί τις ἤ-
δη περὶ τῶν κεκυρωμένων πάλιν, καὶ
ἀναιρεῖ τῶν ἐψηφισμένων τὴν πί-
στιν. ἀλλότριον τῶν Ἀθηναίων τὸ νόη-
μα. ξένον τῆς Ἀττικῆς τὸ *ἐλάττω-
μα. Ἀναγνῶθι δέ μοι) Ἀναγινώ-
σκει τὸ ψήφισμα καταιδέσαι βου-
95 λόμενος. Καὶ διεξιόντος ἀκού-
σας) Οἱ γὰρ μὴ τῇ ὄψει μαθόντες,
παρὰ τῶν εἰδότων διηγουμένων τὴν
γνῶσιν ἔχουσιν. ἄρ' οὖν φησὶν ὁ τοὺς
καιροὺς ἐκείνους ἢ θέᾳ, ἢ ἀκοῇ κα-
ταμαθών, ἐξεταζέτω τὸ μέγεθος τῆς
χάριτος. οὐκοῦν ἔσται πάντως τῆς κα-
κίας Ἀθηναίων κατήγορος. μισῶ γὰρ
φιλανθρωπίαν διὰ τὴν χρείαν συμβαί-
νουσαν. ὁ φιλότιμος ἐν ταῖς συμφο-
ραῖς, παρελθόντων τῶν δεινῶν, καὶ τὴν

*βούλευμα, ἤγουν σκέμμα.

σίμους αὐτοὺς ἐπὶ τηλικούτων καὶ τοιούτων καιρῶν,
οἵων μικρῷ πρότερον Φορμίων διεξελήλυθε, κἀγὼ
88 νῦν εἴρηκα, ἄξιόν ἐστιν εὐλαβηθῆναι ἀδικῆσαι, ἀλλὰ
καὶ πολλοὺς ἄλλους, οἳ πόλεις ὅλας τὰς ἑαυτῶν, πατρί-
δας, συμμάχους ἡμῖν ἐπὶ τοῦ πρὸς Λακεδαιμονίους
πολέμου παρέσχον, καὶ λέγοντες ἃ συμφέρει τῇ πόλει
τῇ ὑμετέρᾳ, καὶ πράττοντες. ὧν ἔνιοι, διὰ τὴν πρὸς
89 ὑμᾶς εὔνοιαν, στέρονται τῆς πατρίδος. ὧν ἐπέρχεταί
μοι πρώτους ἐξετάσαι τοὺς ἐκ Κορίνθου *φυγόντας, *φεύ. β.
ἀναγκάζομαι δὲ λέγειν πρὸς ὑμᾶς ταῦτα, ἃ παρ'
ὑμῶν τῶν πρεσβυτέρων αὐτὸς ἀκήκοα. τὰ μὲν οὖν
ἄλλα, ὅσα χρησίμους ἡμῖν ἑαυτοὺς ἐκεῖνοι παρέσχον,
90 ἐάσω. ἀλλ' ὅθ' ἡ μεγάλη μάχη πρὸς Λακεδαιμονίους
ἐγένετο ἡ ἐν Κορίνθῳ, τῶν ἐν τῇ πόλει βουλευσαμένων
μετὰ τὴν μάχην μὴ δέχεσθαι τῷ τείχει τοὺς στρα-
τιώτας, ἀλλὰ πρὸς Λακεδαιμονίους ἐπικηρυκεύε-
σθαι, ὁρῶντες ἠτυχηκυῖαν τὴν πόλιν, καὶ τῆς παρόδου
91 κρατοῦντας Λακεδαιμονίους, οὐχὶ προὔδωκαν, οὐδ'
ἐβουλεύσαντο ἰδίᾳ περὶ τῆς αὑτῶν σωτηρίας ἀλλὰ πλη-
σίον ὄντων, μεθ' ὅπλων, ἁπάντων Πελοποννησίων, ἀνέῳ-
ξαν τὰς πύλας ἡμῖν βίᾳ τῶν πολλῶν· καὶ μᾶλλον εἵ-
λοντο μεθ' ὑμῶν τῶν τότε *στρατευσαμένων εἴ τι δέοι *στρατευομ. β.
92 πάσχειν, ἢ χωρὶς ὑμῶν ἀκινδύνως σεσῶσθαι. καὶ εἰσέ-
φρουν τὸ στράτευμα, καὶ διέσωσαν ὑμᾶς, καὶ τοὺς συμ-
μάχους. ἐπειδὴ δὲ πρὸς Λακεδαιμονίους εἰρήνη μετὰ
ταῦτα ἐγένετο, ἡ ἐπὶ Ἀνταλκίδου ἀντὶ τῶν ἔργων τού-
των ὑπὸ Λακεδαιμονίων ἐξέπεσον. ὑποδεξάμενοι
93 δ' ὑμεῖς αὐτούς, ἐποιήσατε ἔργον ἀνθρώπων καλῶν
κἀγαθῶν. ἐψηφίσασθε γὰρ αὐτοῖς ἁπάντων, ὧν ἐδέοντο.
εἶτα ταῦτα νῦν εἰ χρὴ κύρια εἶναι σκοποῦμεν; ἀλλ' ὁ
λόγος πρῶτον αἰσχρὸς τοῖς σκοπουμένοις, εἴ τις ἀκού-
σειεν ὡς Ἀθηναῖοι σκοποῦσιν, εἰ χρὴ τοὺς εὐεργέτας
94 ἐᾶν τὰ δοθέντα ἔχειν. πάλαι γὰρ ἐσκέφθαι ταῦτα, καὶ
ἐγνῶσθαι προσῆκεν. Ἀνάγνωθι δέ μοι καὶ τοῦτο τὸ ψή-
φισμα αὐτοῖς.

Ψήφισμα.

Ἃ μὲν ἐψηφίσασθε τοῖς φεύγουσι δι' ὑμᾶς Κορινθίων, ταῦτ' ἐστίν, ὦ ἄνδρες δικασταί. ὁρᾶτε δ' εἴ τις ἐ-
95 κείνους τοὺς καιροὺς *ἰδών, ἢ παρών, ἢ τινος εἰδότος, καὶ *εἰδὼς. β.
διεξιόντος ἀκούσας, ἀκούσαι τοῦ νόμου τούτου τὰς τότε

δωρεὰς

...ωχης ... γωθείσης, ἐπιλήσομαι τῶν εὐεργεσιῶν καὶ ἀχάριστος. Νὴ Δία ἀνάξιοι γάρ τινες) Παθητικῶς εἰσάγει διὰ- 97
πυρῶν, ὡς σκληρὸν καὶ βάσκανον. εἰ ἄνω καὶ κάτω τοῦτο καὶ οὐδὲν ἄλλο περιέχετο. τὸ δὲ σύμπαν διὰ τὸν οἰκεῖον νόμον οὕ-
τως ἐμεθώδευσεν, ἵν' ἐκ τῆς συνεχοῦς μνήμης ὁ δῆμος ἠγμένος, τὸν ὑπὲρ τοῦ δήμου δέξηται λόγον. ἀπαγαγεῖν γὰρ ἀπὸ τοῦ Λεπτίνου νόμου καὶ τοῦ συμφέροντος, τὸν ἀκροατὴν βουλόμενος, μετατίθησιν αὐτοῦ τὴν διάνοιαν εἰς τὸ κατηγόρημα τῶν εἰληφότων, ὡς εἶεν ἀνάξιοι. καὶ οὐ τοῦτο δὲ μόνον ἔλεγε Λεπτίνης, ὅτι ἀνάξιοί εἰσιν, ἀλλ' ὅτι καὶ οὐκ εἰσὶ λειτουργοί. δίκαιον δὲ τοὺς πλουσίους λειτουργεῖν. ὃ δὲ ὡς ἰσχυρὸν αὐτοῦ δίδωσιν ἐν παντὶ τῷ νόμῳ, τοῦτο σαθρότατον δείκνυσι, καὶ ἄδικον, καὶ ἐνίους καὶ πάντας ἀδικεῖν. οὕτως ἡμᾶς ὁ ῥήτωρ ἐδίδαξε, τὰ μὲν ἰσχυρὰ τῶν ἀντιδίκων παραλείπειν· μεθοδεύειν δὲ ἐφ' ἕτερα τοὺς δικάζοντας. ταύτην οὖν τὴν ἀντίθεσιν λύει μεταληπτικῶς, πρῶτον μὲν ἀπὸ τρόπου, εἶτα ἀπὸ χρόνου. ἀπὸ χρόνου μὲν, ὅτι, ὅταν μὲν διδῶμεν, τὴν ἀξίαν δεῖ σκοπεῖν, οὐ μετὰ ταῦτα· τρόπῳ δὲ, ὅτι οὐ τὸν αὐτὸν τρόπον ἐξεταστέον ἰδιώτην καὶ πολίτην. Ἔπειτ' ἐκεῖνο ἀγνοεῖν φήσομεν) Παραγραφικῶς λύει τὴν ἀντίθεσιν. ἐχρῆν σε φησὶ τοῦτο αὐτὸ ἐξετάζειν ὅτε καὶ ἐτιμῶντο, εἰ ἄξιοί εἰσιν. οὐ νῦν μετὰ τὸ λαβεῖν, χρησάμενον λόγῳ εὐπροσώπῳ, καὶ ἀπολογίαν ἔχοντι, ὅτι ἀνάξιοι ἦσαν. Γνώμη χρησαμένων ἔργον ἀνθρώπων ἐστίν) Ἀντὶ τοῦ κακῶν, φρονίμων δὲ τοῦτο δὲ δοκεῖν ποιεῖ ὑμᾶς πεπονθέναι τὸ τῶν φθονούντων πάθος. Ἐγὼ δὲ οὐ τὸν αὐτὸν 98
τρόπον) Τὸ νόημα τοιοῦτον, ὅτι ἕκαστος τῶν ἀνθρώπων, ὅτε βούλεται δοῦναι θυγατέρα αὐτοῦ τινὶ, ἢ τὴν ἑτέρου λαβεῖν, ἐξετάζει πότερον ἄξιός ἐστιν, ἢ οὐ. καὶ πῶς δοξάσουσι περὶ αὐτοῦ, καὶ πότερον νόμιμον ἢ οὔ, καὶ τὸ γένος καὶ τὸν βίον. ἐπὶ δὲ τῶν εὐεργετῶν, οὐκέτι ὁμοίως, ἀλλὰ κἂν δυσγενὴς ᾖ, δέχονται, περὶ τὴν χρείαν τὴν πρᾶξιν ἀποδεχόμενοι, κἂν ὁ ποῖός τις ἂν ᾖ. Ὅταν μὲν οὖν εὖ πάσχειν) 100
Συμπέρασμα τοῦ ἐνθυμήματος. παρενέβαλε δὲ ταῦτα εἰς μῖσιν τοῦ μεμνῆσθαι τῶν εὐεργετῶν, ἵνα μὴ ὕπτιος καὶ πρόσκορος ὁ λόγος γένηται.

Ἀλλὰ νὴ Δία οὗτοι μόνοι) Οἱ 101
ἀναξίως εὑρημένοι τὴν ἀτέλειαν.
Ἐν δὲ, ἢ δύο δείξας ἐπὶ ψηφίσματα) Περὶ τῶν ξένων φησὶν ἐπειδὴ πάμπολλα ἐφεξῆς ἐρεῖ περὶ τῶν πολιτῶν ἐξετάζων.

δωρεὰς δοθείσας ἀφαιρούμενος, ὅσην ἂν κακίαν τῶν θεμένων τὸν νόμον καταγνοίη. οἱ παρὰ μὲν τὰς χρείας οὕ- 96
τω φιλάνθρωποι, καὶ πάντα ποιοῦντες. ἐπειδὴ δ' ἐπράξαμεν πάντα, ὅσ' ἂν εὐξαίμεθα, οὕτως ἀχάριστοι, καὶ κακοὶ φανησόμεθα, ὥστε τούς τε ἔχοντας ἀφῃρήμεθα, καὶ τὸ λοιπὸν μηδενὶ δοῦναι ταῦτ' ἐξεῖναι νόμον τεθείκαμεν. νὴ Δία ἀνάξιοι γάρ τινες τῶν εὑρημένων ταῦτ' ἦσαν. 97
ᵃ. τουτὶ γὰρ παρὰ πάντ' ἔσται τὸν λόγον αὐτοῖς. ἔπειτ' ἐκεῖνο ἀγνοεῖν φήσομεν, ὅτι τὴν ἀξίαν, ὅταν διδῶμεν, δεῖ σκοπεῖν, οὐ μετὰ ταῦθ' ὕστερον χρόνῳ παμπληθεῖ. τὸ μὲν γὰρ ἐξ ἀρχῆς τιμὴν δοῦναι, γνώμη χρησαμένων ἔργον ἀνθρώπων ἐστί. τὸ δὲ τοὺς ἔχοντας ἀφαιρεῖσθαι, 98
ᵃ. φθονούντων. τοῦτο δ' οὐχὶ δεῖ δοκεῖν ὑμᾶς πεπονθέναι. καὶ μὴν, οὐδὲ ἐκεῖνο ὀκνήσω περὶ τῆς ἀξίας αὐτῆς πρὸς ὑμᾶς εἰπεῖν. ἐγὼ γὰρ οὐ τὸν αὐτὸν τρόπον νομίζω πόλει τὸν ἄξιον ἐξεταστέον εἶναι, καὶ ἰδιώτῃ. οὐδὲ γὰρ περὶ τῶν αὐτῶν ἡ σκέψις. ἰδίᾳ μὲν γὰρ ἕκαστος ἡμῶν σκοπεῖ, τίς 99
ἄξιός ἐστιν, ἑκάστου κηδεστὴς, ἢ τῶν τοιούτων τι γίνεσθαι. ταῦτα δὲ καὶ νόμοις τισὶ, καὶ δόξαις διώρισται. κοινῇ δ' ἡ πόλις καὶ ὁ δῆμος, ὅς τις ἂν αὐτὸν εὖ ποιῇ καὶ σώζῃ. τοῦτο
ᵃ. δ' οὐ γένει καὶ δόξῃ κρινόμενον ἴδοι τις ἂν, ἀλλ' ἔργῳ. ὅταν μὲν οὖν εὖ πάσχειν δέῃ, τὸν βουλόμενον εὖ ποιεῖν 100
ᶻζητήσομεν. α. ᵃ. ἡμᾶς, ἐάσομεν. ἐπειδὰν δ' εὖ πάθωμεν, τότε τὴν ἀξίαν τοῦ ποιήσαντος σκεψόμεθα. οὐκ ἄρ' ὀρθῶς βουλευσόμεθα. ἀλλὰ νὴ Δία οὗτοι μόνοι τοῦτο πεπόνθασι), καὶ
*τοσοῦτον. α. β. περὶ τούτων μόνων ποιοῦμαι * τὸν λόγον; πολλοῦ γε καὶ δέω. ἀλλὰ πάντας μὲν οὐδ' ἂν ἐγχειρήσαιμι ἐξετάζειν, 101
ὅσοι πεποιηκότες ὑμᾶς εὖ, διὰ τὸν νόμον, εἰ μὴ λυθήσεται, τὰ δοθέντα ἀφαιρεθήσονται. ἓν δὲ, ἢ δύο δείξας ἐπὶ ψηφίσματα, ἀπαλλάττομαι τοῦ περὶ τούτων λέγειν. τοῦτο μὲν τοίνυν Θασίους τοὺς μετ' Ἐκ-
ᵃἀφαιρῆσθε. α φάντου, πῶς οὐκ ἀδικήσετε, ἐὰν ᵃἀφέλησθε τὴν 102
ἀτέλειαν, οἳ παραδόντες ὑμῖν Θάσον, καὶ τὴν Λακεδαιμονίων φρουρὰν μεθ' ὅπλων ἐκβαλόντες, καὶ Θρασύβουλον εἰσαγαγόντες, καὶ παρασχόντες φίλην

ᵃπαρὰ. α.

Τοῦτο μὲν τοίνυν Θασίους) Θάσος κατάντικρυ τῆς Θρᾴκης, ὅπου ἦν καὶ τὰ μέταλλά ποτε τῶν Ἀθηναίων. ἐπανῆλθε δὲ εἰς τὰ ὁμολογούμενα τῶν ἐπικεχειρημένων, καὶ τὸ κατ' Ἀρχέβιον καὶ Ἡρακλείδην τοῦ αὐτοῦ τόπου οἳ, ὥς φασιν, οὐδὲ φαίνονται ἀτέλειαν εἰς τὰς Ἀθήνας ἔχοντες. Καὶ τὴν Λακεδαιμονίων φρουρὰν μεθ' ὅπλων) Ὅτι εὐ λόγοις 102
ἔπεισαν, ἀλλ' ὅπλων ἐδεήθησαν πρὸς τὴν δίωξιν. Ἔκφαντος δὲ στρατηγὸς τῶν Θασίων. Θρασύβουλον δὲ τὸν αὐτὸν στρατηγὸν λέγει. τὸ δὲ εἰσαγαγόντες, μετὰ τὴν μάχην λέγει. Παρασχόντες) Ἤγουν παραδόντες ἤτοι ποιήσαντες.

b

103 Ὡς τε τὴν δεκάτην ἀποδόσθαι) 
Δεκάτην ἐκ τῶν φορτίων τῶν ἐμπό-
ρων τοῦ ἑλλησπόντου ἐλάμβανον. ἐπώ-
λουν οὖν τὰ τέλη, καὶ ἐποίουν χρημά-
των εὐπορεῖν τὴν πόλιν. εἶτα τὸ χρή-
σιμον τῶν χρημάτων λέγει, ὅτι λακε-
δαιμόνιοι ὁρῶντες ἐφοβήθησαν. καὶ ὡς
ἠθελήσαμεν, ἐσπείσαντο. πρόξενοι
δὲ λέγονται οἱ ἐν τοῖς ὁρίοις τοὺς ἐπι-
δημοῦντας δεχόμενοι, φίλοι τυγχά-
105 νοντες κοινῇ καὶ ἰδίᾳ. Ὡς συκοφαν-
τούντων) Οὐκ ἐχόντων οὐδὲν ἀληθὲς
106 ὡς πρὸς τὸ συμφέρον. Τούτων δ'
ἴσως ἔνιοι τῶν ἀνδρῶν) Ἐτεθνήκεισαν
γάρ τινες, ἀλλ' εἰ καὶ ἐκεῖνοι ἀπέθανον, ἀλλ'
αἱ εὐεργεσίαι οὐκ ἀπώλοντο. τινὲς δὲ
καὶ ζῶσιν. ἔλεγε δ' ὁ λεπτίνης, ὅτι οἱ
πλεῖστοι αὐτῶν τεθνήκασι, καὶ οὐ πολλοὺς
βλάψομεν. ὁ δέ, ἐκ περιτροπῆς αὐτὸ
ἔλαβε καὶ λέγει. μᾶλλον ὀφείλομεν μὴ
στερίσκειν αὐτοὺς διὰ τοὺς λοιπούς. διὰ
γὰρ τοῦτο τοὺς πάντας τιμῶντες ὀφθήσε-
107 σθε, καὶ ἡ πόλις δόξει εἶναι καλή. Τὰς
μὲν συμφοράς) Θέλει εἰπεῖν, εἰ ἔτυχε
κινδυνεῦσαι καὶ ἀποθανεῖν τοὺς εὖ
ποιήσαντας ὑμᾶς, καὶ δὴ ἀπώλοντο, καὶ
διαπαντὸς ἐκέχρηντο τῇ συμφορᾷ.
ἄδικον οὖν κινδυνεύειν μὲν ὡς ἐπὶ
φανεροῖς· τυχόντας δὲ, στερίσκεσθαι
τῆς ἐλπίδος καὶ τῆς τιμῆς.

103 ὑμῖν τὴν * ἑαυτῶν πατρίδα, αἴτιοι τοῦ γενέσθαι σύμ- * αὐτῶν. α.
μαχον τὸν περὶ θρᾴκην τόπον ὑμῖν ἐγένοντο. τοῦτο δ'
ἀρχέβιον καὶ ἡρακλείδην, οἳ βυζάντιον παραδόντες
θρασυβούλῳ, κυρίους ὑμᾶς ἐποίησαν τοῦ ἑλλησπόν-
του, ὥστε τὴν δεκάτην ἀποδόσθαι, καὶ χρημάτων
εὐπορήσαντας, λακεδαιμονίους ἀναγκάσαι τοιαύτην,
οἵαν ὑμῖν ἐδόκει, ποιήσασθαι τὴν εἰρήνην. ὧν, ὦ ἄν-
δρες ἀθηναῖοι, μετὰ ταῦθ' ἐκπεσόντων, ἐψηφίσασθε
ἅπερ, οἶμαι, φεύγουσιν εὐεργέταις δι' ὑμᾶς, προσῆκε,
προξενίαν, * εὐεργεσίαν, ἀτέλειαν ἁπάντων. εἶτα τοὺς * ἐπιγαμίαν.
104 δι' ὑμᾶς φεύγοντας, καὶ δικαίως τι παρ' ὑμῶν ' εὑρ- ' εὑραμένους, ἢ εὑρημένους.
ημένους, ἐάσομεν ἀφαιρεθῆναι τὰ δοθέντα μηδὲν ἔ-
χοντες ἐγκαλέσαι; ἀλλ' αἰσχρὸν ἂν εἴη. μάθοιτε δ' τοῦτο
μάλιστ' ἂν ἐκείνως, εἰ λογίσαισθε πρὸς ὑμᾶς αὐτούς,
εἴ τινες τῶν νυνὶ ἐχόντων πύδναν, ἢ ποτίδαιαν, ἤ τι τῶν
ἄλλων χωρίων, ἃ φιλίππῳ μέν ἐστιν ὑπήκοα, ὑμῖν δ'
ἐχθρά, τὸν αὐτὸν τρόπον, ὅνπερ ἡ θάσος ἦν τότε καὶ τὸ
βυζάντιον, λακεδαιμονίοις μὲν οἰκεῖα, ὑμῖν δὲ ἀλλό-
τρια, παραδώσειν ταῦτ' ἐπαγγείλαιντο, ἂν αὐτοῖς τὰς
αὐτὰς δῶτε δωρεάς, ἅσπερ ἐκφαντῷ τῷ θασίῳ καὶ
105 ἀρχεβίῳ τῷ βυζαντίῳ, καί τινες τούτων ἀντιλέγοιεν
αὐτοῖς ταῦτα λέγοντες, ὡς δεινόν, εἴ τινες μόνοι τῶν ἄλλων μετοίκων μὴ χορηγήσουσι,
πῶς ποτ' ἂν ἔχοιτε πρὸς τοὺς ταῦτα λέγοντας; ἢ δηλονότι φωνὴν οὐκ ἂν ἀνά-
σχοισθε, ὡς συκοφαντούντων. οὐκοῦν αἰσχρόν, εἰ μέλλοντες μὲν εὖ πάσχειν, συκοφάν-
την ἂν τὸν ταῦτα λέγοντα ἡγοῖσθε, ἐπὶ τῷ δ' ἀφελέσθαι τὰς τῶν προτέρων
εὐεργετῶν δωρεάς, ταῦτα λεγόντων ἀκούσεσθε. φέρε δὴ κἀκεῖνο ἐξετάσωμεν, οἱ
προδόντες τὴν πύδναν, καὶ ποτίδαιαν, καὶ τὰ ἄλλα χωρία τῷ φιλίππῳ, τῷ
ποτ' ἐπαρθέντες, ἡμᾶς ἠδίκουν; ἢ πᾶσι πρόδηλον τοῦτο, ὅτι ταῖς παρ' ἐκείνου δω-
106 ρεαῖς, ἃς διὰ ταῦτα ἔσεσθαι σφίσιν ἡγοῦντο. πότερον οὖν μᾶλλον ἔδει σε, ὦ λεπτί-
νη, τοὺς ἐχθρούς, εἰ δύνασαι, πεῖσαι τοὺς ἐπὶ τοῖς πρὸς ' ὑμᾶς ἀδικήμασι γιγνομέ- ' ἡμᾶς. α. ζ.
νοις, ἐκείνων εὐεργέτας μὴ τιμᾶν, ἢ θεῖναι νόμον ἡμῖν, ὃς τῶν ~ τοῖς ἡμετέροις εὐεργέ- ~ τῶν ἡμετέρων εὐεργετῶν ὑπαρχούσας δωρεὰς ἀφαιρήσουσι.
ταις ὑπαρχουσῶν δωρεῶν ἀφαιρεῖταί τι. ἐγὼ μὲν ἐκεῖνο οἶμαι. ἀλλ' ἵνα μὴ πόρρω τοῦ
παρόντος γένωμαι, λαβὲ τὰ ψηφίσματα, ἃ τοῖς θασίοις καὶ βυζαντίοις ἐγράφη,

Λέγε. Ψηφίσματα.

Ἠκούσατε μὲν τῶν ψηφισμάτων, ὦ ἄνδρες δικασταί, τούτων δὲ ἴσως ἔνιοι τῶν
ἀνδρῶν οὐκ ἔτ' εἰσίν, ἀλλὰ τὰ * ἔργα τὰ πραχθέντα ἐστίν, ἐπειδήπερ ἅπαξ ἐ- * γρ. ε.
107 πράχθη. προσήκει τοίνυν τὰς στήλας ταύτας κυρίας ἐᾶν τὸν πάντα χρόνον, ἵν',
ἕως μὲν ἄν τινες ζῶσι, μηδὲν ὑφ' ὑμῶν ἀδικῶνται, ἐπειδὰν δὲ τελευτήσωσιν, ἐκεῖ-
ναι, τοῦ τῆς πόλεως ἤθους μνημεῖον ὦσι, καὶ παραδείγματα ἑστῶσι τοῖς βουλομέ-
νοις τι ποιεῖν ὑμᾶς ἀγαθόν, ὅτι τοὺς εὖ ποιήσαντας ἡ πόλις ἀντευπεποίηκε. καὶ μὴν
μηδ' ἐκεῖνο γ' ὑμᾶς, ὦ ἄνδρες ἀθηναῖοι, λανθανέτω, ὅτι τῶν αἰσχίστων ἐστὶ πάντας
ἀνθρώποις ἰδεῖν καὶ ἀκοῦσαι, τὰς μὲν συμφοράς, αἷς δι' ὑμᾶς ἐχρήσαντο οἱ ἄνδρες
οὗτοι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τούτων) Τῶν ἀτυχημάτων. Πάνυ τοίνυν ἀχθοίμην ἄν) Ὡς φιλόπολις συνάχθεται, εἰ ἀπαμφίζει γνησίων 108
εὐεργετῶν ἡ πόλις· ἄξιον δὲ τὸ ἦθος τῆς εὐνοίας ἄγασθαι. τὸ γὰρ ἀχθοίμην ἂν εἰπεῖν, εἰ μὴ φαίνοιτο ἔχουσα γνησίους εὐεργέτας ἡ πόλις, ἐνδεικνυμένου τὴν εὔνοιαν, ἣν ἔχει τῇ πόλει ἀλγοῦντός τε καὶ βαρυνομένου, τὸ διάθεσιν ἔχειν αὐτοῖς τοὺς πολίτας, ὡς μηδὲ ἐλέγχειν ὑπὲρ τῆς ἀνηκούσης κινδυνεύειν. καὶ γὰρ τἄλλα ἀγαθά, τῆς αὐτῆς ἐστιν εὐνοίας, κατασκευὴ τοῦ ῥήτορος. ἐπειδὴ δὲ συνέβαινε τὸ ἐν καλῇ πόλει ἕνα εἶναι ἄριστον, διὰ τοῦτο εἴρηκε πλείστους. ἀρίστους δέ, ἵνα τὸ μὲν ᾖ τοῦ πλήθους, τὸ δὲ τῆς ἀρετῆς. (καινῇ. γρ.) Πρῶτον μὲν τοίνυν Κόνωνα) Ἀπὸ τῶν ξένων ἀρξάμενος ἐπὶ τὸν περὶ τῶν πολιτῶν ἐλήλυθε λόγον, πρῶτον μὲν ἵνα δείξῃ τὸ πλῆθος τῶν ἐγχωρίων εὐεργετῶν, καὶ ὅσων ἐν χρείᾳ γέγονε ξένων ποτέ. εἷς δὲ τῶνδε τῶν δέκα στρατηγῶν ἐστιν οὗτος πατήρ, οὗ μέμνηται καὶ ἐν τοῖς Φιλιππικοῖς. τί δήποτε δὲ τὸν Κόνωνα τοῦ Χαβρίου προέταξε; καί τοι περὶ ἐκείνου πᾶς ἦν ὁ λόγος αὐτῷ. λέγομεν δὲ ὅτι ὑπωπτεύετο ὡς διὰ τὸν υἱὸν αὐτοῦ ἠγωνίζετο, καὶ οὐ διὰ τὸ συμφέρον τῆς πόλεως, καὶ τῇ μνηστείᾳ αὐτοῦ, ὥς φασι, συνῆν. ἵνα οὖν μὴ ἐπιτηδὲς δόξῃ καὶ ὥσπερ ἐκ συντάγματος αὐτοῦ προφέρειν, ἀλλὰ διὰ τὴν πόλιν τὸν λόγον ποιεῖσθαι, τούτου χάριν τὸν Κόνωνα πρῶτον ἔθηκεν. Ἐντεῦθεν προοιμιάζεται μέλλων ἑτέρας μερίδος ἄρχεσθαι τοῦ περὶ τῶν πολιτῶν δηλονότι λόγου. Ἢ τὸν ἄνδρα ἢ τὰ πεπραγμένα) Καὶ τὸν τρόπον αὐτοῦ καὶ τὰς πράξεις διέρχεται. συμβαίνει γάρ τινα βίον καλὸν μὲν ἔχειν, μηδὲν δὲ ἐπικεχειρηκέναι κοινόν, διὰ τοῦτο τὰ δύο ὁμοῦ ἔλαβεν, τὰς δύο ποιότητας ἐξετάζων ἐν τῷ αὐτῷ, καὶ τοῦ προσώπου, καὶ τῶν πραγμάτων. ἔστι μὲν γὰρ πρόσωπον κατηγοροῦντα μὴ μέμφεσθαι πρᾶξιν. ἔστι δὲ πρᾶξιν ἀποδεχόμενον τὴν ποιότητα διαβάλλειν. νῦν δὲ ἐξ ἑκατέρων ἐργάζεται τἀνδρὶ τὸν ἔπαινον.

α. οὐ φῇ, πάντα τὸν χρόνον κυρίας αὐτοῖς γεγενημένας,
τὰς δὲ δωρεάς, ἃς ἀντὶ τούτων ἔλαβον παρ' ὑμῶν, καὶ
διαλελυμένας. δὴ λελυμένας. πολὺ γὰρ μᾶλλον ἥρμοττε, τὰ δοθέντα
ἐῶντες. ζ. ἐῶντας, τῶν ἀτυχημάτων ἀφαιρεῖν, ἢ τούτων μενόντων 108
τὰς δωρεὰς ἀφαιρεῖσθαι. φέρε γὰρ πρὸς Διός, τίς ἐστιν,
ὅστις εὖ ποιεῖν ὑμᾶς βουλήσεται, μέλλων, ἂν μὲν ἀποτύ-
χῃ, παραχρῆμα δίκην δώσειν τοῖς ἐχθροῖς· ἂν δὲ κατορ-
θώσῃ, τὰς χάριτας παρ' ὑμῶν ἀπίστους ἕξειν. πάνυ τοί-
νυν ἀχθοίμην ἄν, ὦ ἄνδρες δικασταί, εἰ τοῦτο μόνον δό-
ξένους. α, β. ξαιμι δίκαιον κατηγορεῖν τοῦ νόμου, ὅτι πολλοὺς * εὐερ-
γέτας ἀφαιρεῖται τὴν ἀτέλειαν, τῶν δὲ πολιτῶν μη-
δένα ἄξιον δοκεῖν ἔχειν δεῖξαι τῶν εὑρημένων ταύ-
α. την τὴν τιμήν. καὶ γὰρ καὶ τἄλλα ἀγαθὰ εὐξαί-
μην ἂν ἔγωγε παρ' ἡμῖν εἶναι πλεῖστα, καὶ ἄνδρας ἀρί- 109
στους, καὶ πλείστους εὐεργέτας τῆς πόλεως πολίτας εἶναι.
πρῶτον μὲν τοίνυν Κόνωνα σκοπεῖτε, εἰ ἄρα ἄξιον κα-
ταμεμψαμένους ἢ τὸν ἄνδρα, ἢ τὰ πεπραγμένα
α. αὐτῷ, ἄκυρόν τι ποιῆσαι τῶν ἐκείνῳ δοθέντων. οὗτος
α. γὰρ ἀνήρ, ὡς ὑμῶν τινῶν ἐστιν ἀκοῦσαι τῶν κατὰ τὴν αὐ-
τὴν ἡλικίαν ὄντων, μετὰ τὴν τοῦ δήμου κάθοδον τὴν ἐκ
τοῦ Πειραιῶς ἀσθενοῦς ὑμῶν τῆς πόλεως οὔσης, καὶ ναῦν
οὐδεμίαν κεκτημένης, στρατηγῶν βασιλεῖ, παρ' ὑμῶν
οὐδ' ἡντινοῦν ἀφορμὴν λαβών, κατεναυμάχησε
Λακεδαιμονίους. καὶ τοὺς πρότερον τοῖς ἄλλοις ἐπιτάτ- 110
τοντας, εἴθισεν ἀκούειν ὑμῶν, καὶ τοὺς ἁρμοστὰς ἐξήλα-
σεν ἐκ τῶν νήσων. καὶ μετὰ ταῦτα δεῦρ' ἐλθών, ἀνέστη-

Ὡς ὑμῶν τινῶν ἐστιν ἀκοῦσαι) Τῶν πρεσβυτέρων. ἀλλ' ἐπειδὴ ἔφη ἀκοῦσαι, ἡ δὲ ἀκοὴ οὐκ ἦν πιστή, προσέθηκε τοὺς θεασαμένους ἀπαγγείλαντας. Ἀσθενοῦς ἡμῶν τῆς πόλεως οὔσης) Περὶ τὸ τέλος τοῦ Πελοποννησιακοῦ πολέμου ἐν Ἀργινούσαις· ἔστι δὲ τῆς Λέσβου χωρίον, οὗ μετὰ τῶν Λακεδαιμονίων Ἀθηναῖοι ἐπολέμησαν. καὶ δὴ συνέβη Ἀθηναίοις νικῆσαι. τῶν δὲ πεπτωκότων τὰ σώματα ἐκ τῆς θαλάττης Ἀθηναῖοι διὰ τὸν χειμῶνα ἀνελέσθαι οὐκ ἠδυνήθησαν. ἦσαν γὰρ ναυμαχήσαντες. οἱ οὖν συγγενεῖς τῶν πεσόντων ὑπό τινων συκοφαντῶν ἀναπεισθέντες, προσῆλθον τῷ δήμῳ μελανειμονοῦντες, καὶ ἐπεσπάσαντο τοῦτον εἰς εὔνοιαν. κατεψηφίσατο οὖν ὁ δῆμος τῶν δέκα στρατηγῶν, τῶν μέν, φυγήν, τῶν δέ, θάνατον. καὶ οἱ μέν, πρὸ τῆς κρίσεως ἔφυγον, εἰδότες τὸ ἐσόμενον αὐτοῖς κακόν, ὧν ἦν Κόνων. ὃς καὶ ἀπῆλθε πρὸς Εὐαγόραν τὸν τῆς Κύπρου ἄρχοντα. ὁ δὲ Εὐαγόρας πεποίηκε φίλον τὸν Κόνωνα τῷ Περσῶν βασιλεῖ. ἦν γὰρ ἔχων πρὸς αὐτὸν φιλίαν. τηνικαῦτα δὲ οἱ Λακεδαιμόνιοι σχολὴν ἄγοντες, κακῶς ἐποίουν τὰ τοῦ βασιλέως. ὁ δὲ Κόνων καιροῦ λαβόμενος, ἐπηγγείλατο περιγενέσθαι αὐτῶν, εἰ λάβοι παρ' αὐτοῦ στράτευμα. καὶ δὴ λαβὼν καὶ συμβαλὼν ἐν Κνίδῳ τῆς Καρίας, τοὺς Λακεδαιμονίους ἐνίκησε, καὶ ἐπανῆλθεν εἰς τὰς Ἀθήνας, οὐκ ἀποστραφεὶς καταγνούσας αὐτοῦ. Οὐδ' ἡντινοῦν ἀφορμὴν λαβών) Μηδεμίαν, φησίν, ἀφορμὴν λαβὼν παρὰ τῆς πόλεως, κατεναυμάχησε Λακεδαιμονίους, στρατηγὸς ἀποδειχθεὶς παρὰ βασιλέως

ναυαγήσαντες. γρ.

γρ. αὐτῶν.

Καὶ τοὺς πρότερον τοῖς ἄλλοις ἐπιτάττοντας) Οὐκ εἶπεν εἴθισεν ὑπακούειν ὑμῶν. καί τοι γε ἠκολούθει τῷ λέγειν ἐπιτάττοντας τοῖς ἄλλοις, τὸ ὑφ' ὑμῶν ἐπιτάττεσθαι. ἀλλ' ἐπειδὴ τοῦτο οὐκ εἶχε παρὰ τῆς ἱστορίας, εἴθισεν ἀκούειν ὑμῶν εἶπεν. ἐπειδὴ γὰρ προσεδέξαντο τὸν περὶ τῆς εἰρήνης λόγον. 110

Ἁρμοστάς) Ἁρμοσταὶ οἱ ἐκπεμπόμενοι ἄρχοντες εἰς τὰς ὑπηκόους πόλεις, ὑπὸ Λακεδαιμονίων. Ἀνέστη-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

110 σε τὰ τείχη) Ἃ λακεδαιμόνιοι κατέσκαψαν, ταῖς ἀθηναίων χερσὶν ἀναγκάσαντες, πάλαι θεμιστοκλέους οἰκοδομή-
* ἐξ ἀρχῆς σαντος* μετὰ τὰ μηδικά. ἁρμοστὰς δὲ τοὺς ἐν ταῖς πόλεσιν ἄρχοντας τῶν λακεδαιμονίων λέγει. ἐκάλουν δὲ αὐτοὺς οὕτως,
ἀνέστησε διὰ διὰ τὸ ἁρμόζειν τὰ ἤθη τῶν πολιτῶν τοῖς τῶν λακεδαιμονίων. νήσων δὲ, οὐ τῶν κυκλάδων μόνον, ἀλλὰ καὶ ἄλλων.
τοῦ περσικοῦ κρατήσας σκαπύματος. α.

σε τὰ τείχη. καὶ πρῶτος πάλιν περὶ τῆς ἡγεμονίας ἐποίη-
σε τῇ πόλει τὸν λόγον, πρὸς λακεδαιμονίους εἶναι. καὶ
γάρ τοι μόνῳ τῶν πάντων αὐτῷ τοῦτ᾽ ἐν τῇ στήλῃ γέ-
111 γραπται, ἐπειδὴ κόνων, φησὶν, ἠλευθέρωσε τοὺς ἀθη-
ναίων συμμάχους. ἔστι δὲ τοῦτο τὸ γράμμα, ὦ ἄνδρες
δικασταὶ, ἐκείνῳ μὲν φιλοτιμία πρὸς ὑμᾶς αὐτοὺς, ὑ-
μῖν δὲ πρὸς ἅπαντας ἕλληνας. ὅπου γὰρ ἄν τις τῶν
ἐξ ὑμῶν ἀγαθοῦ τοῖς ἄλλοις αἴτιος γένηται, τούτου τὴν
112 δόξαν τὸ τῆς πόλεως ὄνομα καρποῦται. διόπερ οὐ μό-
νον αὐτῷ τὴν ἀτέλειαν ἔδωκαν οἱ τότε, ἀλλὰ καὶ χαλ-
κῆν εἰκόνα, ὥσπερ ἁρμοδίου καὶ ἀριστογείτονος ἔστησαν
πρώτου. ἡγοῦντο γὰρ οὐ μικρὰν τυραννίδα καὶ τοῦτον τὴν
λακεδαιμονίων ἀρχὴν καταλύσαντα πεπαυκέναι.
ἵν᾽ οὖν μᾶλλον οἷς λέγω προσέχητε, τὰ ψηφίσματα
113 ὑμῖν αὐτὰ ἀναγνώσεται, τὰ τότε ψηφισθέντα τῷ κό-
νωνι. Λέγε.

## Ψηφίσματα.

Οὐ τοίνυν ὑφ᾽ ὑμῶν μόνον ὁ κόνων, ὦ ἄνδρες ἀθη- *ε.
ναῖοι, τοῦτ᾽* ἐτιμήθη πράξας ἃ διεξῆλθον ἐγὼ, ἀλλὰ *ἐπετιμήθη. ε
114 καὶ ὑπ᾽ ἄλλων πολλῶν, οἳ δικαίως ὧν εὐηργετήθησαν, χά-
ριν ᾤοντο δεῖν ἀποδιδόναι. οὔκουν αἰσχρὸν, ὦ ἄνδρες
ἀθηναῖοι, εἰ αἱ μὲν παρὰ τοῖς ἄλλοις δωρεαὶ βέβαιοι
μένουσιν αὐτῷ, τῆς δὲ παρ᾽ ὑμῶν μόνης τοῦτ᾽ ἀφαιρε-
θήσεται. καὶ μὴν οὐδ᾽ ἐκεῖνο καλὸν, ζῶντα μὲν αὐτὸν
οὕτω τιμᾶν, ὥστε τοσούτων, ὅσων ἀκηκόατε, ἀξιοῦν, ἐπει-
115 δὴ* δ᾽ ἐτελεύτησε, μηδεμίαν ποιησαμένους τούτων *τετελεύτηκε. α.
*μηδενὸς μνείαν, ἀφελέσθαι τι τῶν δοθέντων τότε. πολ- *α.
λὰ μὲν γάρ ἐστιν, ὦ ἄνδρες ἀθηναῖοι, τῶν ὑπ᾽ ἐκείνου
πραχθέντων ἄξια ἐπαίνου, δι᾽ ἃ πάντα προσήκει
μὴ λύειν τὰς ἐπὶ τούτοις δοθείσας δωρεάς· κάλλιστον δὲ
πάντων, ἡ τῶν τειχῶν ἀνάστασις. γνοίη δ᾽ ἄν τις, εἰ παρα-
116 θείη, πῶς θεμιστοκλῆς ὁ τῶν καθ᾽ ἑαυτὸν ἁπάντων ἀν-
δρῶν ἐνδοξότατος, ταυτὸ τοῦτ᾽ ἐποίησε. λέγεται τοίνυν
ἐκεῖνος τειχίζειν εἰπὼν τοῖς πολίταις, κἂν ἀφικνῆταί
τις ἐκ λακεδαίμονος, κατέχειν κελεύσας, οἴχεσθαι
πρεσβεύων αὐτὸς ὡς τοὺς λακεδαιμονίους. λόγων δὲ
117 γιγνομένων ἐκεῖ, καί τινων ἀπαγγελλόντων, ὡς ἀθη-
ναῖοι τειχίζουσιν, ἀρνεῖσθαι, καὶ πρέσβεις πέμπειν τοὺς
σκεψομένους κελεύειν. ἐπειδὴ δὲ οὐχ ἧκον οὗτοι, πέμ-
πειν

Περὶ τῆς ἡγεμονίας ἐποίησε) Πάλιν αὖ πρῶτος ἐποίησε τὸν λόγον, τουτέστι τὴν ἀμφισβήτησιν καὶ φιλονεικίαν εἶναι περὶ τῆς ἡγεμονίας, καὶ τῆς ἀρχῆς.

Καὶ γάρ τοι μόνῳ τῶν πάντων) Μόνῳ, μετὰ τὸν ἁρμόδιον καὶ ἀριστογείτονα. Ἐκείνῳ μὲν φιλοτιμία) Φιλοτιμεῖ τὴν κοινωνίαν* ἵνα ἀποστεροῦντες, καὶ ἑαυτοὺς βλάπτωσιν. (* τοῖς πολίταις νέμει. *κοινωνία.)

Ἀγαθοῦ τοῖς ἄλλοις αἴτιος γένηται) Θέλει εἰπεῖν, πολίτης ἐάν τις ἄλλοις εὐεργετήσῃ, καὶ ἡ πόλις κοινωνεῖ τῶν
112 κατορθωμάτων. Πρώτου) Πά-
113 λιν μετ᾽ ἐκείνους. Ἐπετιμήθη) Ἐδοξάσθη. Ἀλλὰ καὶ ὑπ᾽ ἄλλων πολλῶν) Οὐ πάνυ γὰρ μέγιστον τὸ πολίτην τὴν πόλιν τιμᾶν. διὰ τοῦτο προσέθηκε τὸ,
114 ὑπ᾽ ἄλλων. Οἳ δικαίως) Τί οὖν εἰ φόβῳ αὐτὸν ἐτίμησαν, ἢ ἀνάγκῃ. (* εἰ.) διὰ τοῦτο πρόσκειται τὸ δικαίως, ἵνα καθαρὰ ἡ φιλοτιμία. Τῆς δὲ παρ᾽ ὑμῶν μόνης τοῦτ᾽ ἀφαιρήσεται) Τὸ ἀφαιρήσεται δηλωτικόν ἐστι τοῦ μὴ πάσας ἀφαιρεῖσθαι τὰς δεδομένας τιμὰς τῷ κόνωνι, ἀλλὰ τὴν ἀτέλειαν μό-
115 νην. Γνοίη δ᾽ ἄν τις, εἰ παραθείη) Οὐχ ὅλον τὸν θεμιστοκλέα παραβάλλει ὅλῳ τῷ κόνωνι, ἀλλὰ τειχοποιίαν τειχοποιίᾳ. ἐκ ἀπὸ πάντων οὖν τῶν τρόπων συγκρίνειν ἐπιχειρεῖ τῷ θεμιστοκλεῖ τὸν κόνωνα. οὐδὲ γὰρ αἱ πράξεις ἀμφοῖν παραπλήσιαι. ἀλλὰ ἀπὸ τῆς τειχοποιίας μόνης. οὐ γὰρ ἀναγκαῖόν ἐστι ἐν ταῖς συγκρίσεσι παντάπασι παραβάλλειν. καὶ ἰσοκράτης γὰρ ἐν τῷ τῆς ἑλένης ἐγκωμίῳ, συγκρίνων τὴν ἑλένην τῷ ἡρακλεῖ, οὐκ ἀπὸ τῶν πράξεων αὐτῶν ἐγκωμιάζει, ἀλλὰ τὴν ἰσχὺν καὶ τὴν ῥώμην μόνην ἀντέθηκε τῷ κάλλει. καὶ διδάσκουσιν ἡμῖν οἱ παλαιοὶ θεωρήματα μὴ φιλονεικεῖν πρὸς τὰ ἰσχυρά, μηδὲ μάχεσθαι, μηδὲ μὴν ὀκνεῖν ἀφ᾽ ἑνός τινος τῶν περὶ τὸ πρᾶγμα θεωρουμένων τὴν σύγκρισιν ἐργάζεσθαι. οὐ γὰρ τὸ μέγεθος πρὸς μέγεθος τῶν τειχῶν συγκρίνει, ἀλλὰ τὸν τρόπον μόνον τῆς τειχοποιίας. παρέλιπε δὲ τὸν καιρὸν, ἐν ᾧ πλείστη διαφορά. τότε μὲν γὰρ ἡγοῦντο πάντων ἑλλήνων λακεδαιμόνιοι. νυνὶ δὲ, ἥττηντο περὶ ῥόδον* ὑπὸ τοῦ βασιλέως. ὥστε τὸν καιρὸν κλέψας, ἐν ᾧ τούτων τὴν πόλιν ἑκάτερος τειχίζειν ἔδοξεν, αὔξει τὸ κατὰ κόνωνα. (* κνίδον.)
116 Λέγεται τοίνυν ἐκεῖνος τειχίζειν) Συντέμνει τὸ διήγημα θαυμαστῶς, ἅτε δὴ παλαιόν. καὶ ἵνα

ἀπολείψῃ τῇ συντομίᾳ τοῦ θεμιστοκλέους τὴν μνήμην. Καὶ πάντες ἴσως ἀκηκόατε) Ἤγουν ἴστε πῶς αὐέστησεν ἀπάτῃ τὰ τείχη. Μηδεὶς φθόνῳ τὸ μέλλον ἀκούσῃ) Ἐπειδὴ τοῦ θεμιστοκλέους αὐτὸν ἀποφαίνει κρείττονα, εἰκότως προθεραπεύει τὸ μέλλον τῷ λόγῳ. Οὐδ᾽ ἔλαττον φέρειν τῶν ῥητόρων) Οὔκουν, φησί, δίκαιον ἡττηθῆναι τὰς πράξεις αὐτοῦ τῷ λόγῳ τῶν συκοφαντῶν. Εἶεν. ἀλλὰ νὴ δία τὸν παῖδα τοῦ χαβρίου) Ἀντὶ τοῦ, ἀλλὰ δή, λείπεται τῷ λόγῳ. ἵνα ἐξ ἀνάγκης δόξῃ ἐπὶ τὸν χαβρίαν ἔρχεσθαι καὶ οὐκ ἐκ προνοίας, ἀλλ᾽ ἑπόμενος τῷ λόγῳ. ἀφείλετο γὰρ τὴν ὑπόνοιαν τοῦ δοκεῖν πρὸς χάριν ὑπὲρ τοῦ χαβρίου παιδὸς λέγειν. πανταχοῦ δὲ τὸν παῖδα συμπλέκει τῷ τοῦ πατρὸς ὀνόματι, καὶ τοῖς ἀπὸ τοῦ πατρὸς εἰς ἀπόδειξιν κέχρηται. δηλονότι, διὰ τὸ πατρὸς ἀξίωμα τὴν δωρεὰν ὁ παῖς ἔχειν δοκεῖ. δεικνὺς ἐκ τούτων τῆς ἀτοπίας τὸν ἔλεγχον, εἰ ἐπὶ τοσούτοις καὶ τηλικούτοις τοῖς εὐεργετημένοις, ἀφέλοιτο τὴν ἀτέλειαν. Ἄλλως.

Τὸ μὲν σχῆμα τῆς μεταβάσεως πάνυ θαυμαστόν. τὸ γὰρ μὴ ἐκ προβολῆς, μηδὲ πεφροντισμένως ποιήσασθαι τὴν ἀρχήν, ἀφείλετο τὴν ὑπόνοιαν τοῦ δοκεῖν πρὸς χάριν ὑπὲρ τοῦ χαβρίου παιδὸς λέγειν. ἔστι δὲ ἠθικὴ ἡ διάνοια, ὡς αὐτοῦ τοῦ πράγματος ἔχοντος τῆς ἀτοπίας τὸν ἔλεγχον, εἰ ἐπὶ τοσούτοις καὶ τηλικούτοις εὐεργετημένοις ἀφέλοιτο τὴν ἀτέλειαν· οὐ μὴν ἀλλὰ κἀκεῖνο ἄξιον κατιδεῖν, ὅτι πανταχοῦ τὸν παῖδα συμπλέκει τῷ τοῦ πατρὸς ὀνόματι, καὶ τοῖς ἀπὸ τοῦ πατρὸς εἰς ἀπόδειξιν κέχρηται. Ἴστε μὲν οὖν ἴσως καὶ ἄνευ τοῦ παρ᾽ ἐμοῦ λόγου) Προκατέλαβε τὸν ἀκούοντα μάρτυρα τῶν ἑαυτοῦ ποιησάμενος λόγων, ἵνα εἰσβάλλων εἰς τὰ τοῦ χαβρίου ἐγκώμια, μὴ χάριτι δοκῇ τὸν λόγον ποιεῖσθαι. συναγορεύουσι δὲ καὶ αὐτοί, ὅτι σπουδαῖος ἦν ὁ ἀνήρ, ἵνα καὶ εἴτι ἁμάρτημα περὶ τὸν παῖδα τυγχάνοι, μὴ τῆς τούτου προσαγωγῆς τὸ κατηγόρημα γένηται. οὐκ ἀπολογεῖται δ᾽ ὑπὲρ τῆς ποιότητος τοῦ παιδός, ἵνα δοκῇ ὥσπερ κνίζειν εὐθὺς ἐν ἀρχῇ τοὺς ἀκούοντας. προϊόντος δὲ τοῦ λόγου, τὴν ἀπολογίαν πεποίηται, εἰπών, ἐν ὀρφανίᾳ τέθραπται διὰ τὴν τοῦ πατρὸς ἀναίρεσιν, ὡς εἶναι μεταστατικὴν τὴν ἀπολογίαν. εἰ γὰρ ὑπὲρ ἀθηναίων ἀπώλετο, διὰ τὸν δῆμον ὁ παῖς τοιοῦτος γέγονε. Καὶ ὡς γοργώπαν ἀπέκτεινε) Στρατηγὸς ἦν [a] θηβαίων· ὃν κτείνει χαβρίας ἐν αἰγίνῃ ἀπιόντα βοηθῆσαι εὐαγόρᾳ. Ἐν αἰγύπτῳ) Πρὸς τοὺς πέρσας. Πολλή τε αἰσχύνη λέγοντος ἐμοῦ) Ἑκὼν ἡττᾶται, ἵνα νικήσῃ καθ᾽ [b] ἑκάτερον. Ἐνίκησε μὲν τοίνυν) Ταῦτα λέγων, ἑτέρῳ σχήματι προσποιεῖται ἄλλα διηγεῖσθαι. Μιᾶς δεούσας) Ὥστε πλήρεις εἶναι ν. πρὸς ἀναπλήρωσιν ν. Εἷλε δὲ τῶν νήσων τούτων) Ὅτι καὶ ἐνίκησε καὶ ἔσωσεν. Ἐχθρῶς ἐχούσας) Τί γὰρ εἰ καὶ λόγοις ἐπείσθησαν, εἶτα μεταβάλλονται.

118 119 120 121 122 123 124

[a] λακωνικῆς [b] ἑτέρ

τὴν ἑτέροις πρᾶγμα, καὶ πάντες ἴσως ἀκηκόατε, ὃν 118
τρόπον ἐξαπατῆσαι λέγεται λακεδαιμονίους. φημὶ
τοίνυν ἐγώ, καὶ πρὸς διός, ὦ ἄνδρες ἀθηναῖοι, μηδεὶς
φθόνῳ τὸ μέλλον ἀκούσῃ, ἀλλ᾽ ἂν ἀληθὲς ᾖ, σκοπεί-
τω· ὅσῳ τὸ φανερῶς τοῦ λάθρα κρεῖττον, καὶ τὸ νι-
κῶντας τοῦ παρακρουσαμένους πράττειν ὁτιοῦν ἐν-
τιμότερον, τοσούτῳ κάλλιον κόνωνα τὰ τείχη στῆσαι θε- 119
μιστοκλέους. ὁ μὲν γάρ, λαθών· ὁ δέ, νικήσας τοὺς κω-
λύσοντας, ταὐτὸ τοῦτο ἐποίησεν. οὐ τοίνυν ἄξιον τὸν τοιοῦ-
τον ὑφ᾽ ὑμῶν ἀδικηθῆναι, οὐδ᾽ ἔλαττον φέρειν τῶν ῥη-
τόρων τῶν διδαξόντων ἡμᾶς, ὡς ἀφελέσθαι τι χρὴ 120
τῶν ἐκείνῳ δοθέντων. εἶεν. ἀλλὰ νὴ δία τὸν παῖδα τοῦ
χαβρίου περιίδωμεν ἀφαιρεθέντα τὴν ἀτέλειαν, ἣν
ὁ πατὴρ αὐτῷ δικαίως παρ᾽ ὑμῶν λαβὼν κατέλιπεν;
ἀλλ᾽ οὐδένα ἀνθρώπων εὖ φρονοῦντ᾽ ἂν οἶμαι ταῦ-
τα φῆσαι καλῶς ἔχειν. ἴστε μὲν οὖν ἴσως καὶ ἄνευ τοῦ 121
παρ᾽ ἐμοῦ λόγου, ὅτι σπουδαῖος χαβρίας ἦν ἀνήρ. οὐ
μὴν κωλύει γε οὐδὲν κἀμὲ διὰ βραχέων ἐπιμνη-
σθῆναι τῶν πεπραγμένων αὐτῷ. ὃν μὲν οὖν τρόπον
ὑμᾶς ἔχων, πρὸς ἅπαντας πελοποννησίους παρετά-
ξατο ἐν θήβαις, καὶ ὡς [*] γοργόπαν ἀπέκτεινεν ἐν αἰ- 122
γίνῃ, καὶ ὅσα ἐν κύπρῳ τρόπαια ἔστησε, καὶ μετὰ ταῦ-
τα ἐν αἰγύπτῳ, καὶ ὅτι πᾶσαν ἐπελθὼν ὀλίγου δέω
λέγειν χώραν, οὐδαμοῦ τὸ τῆς πόλεως ὄνομα, οὐδ᾽ αὑ-
τὸν κατῄσχυνεν, οὔτε πάνυ ῥᾴδιον κατὰ τὴν ἀξίαν εἰ-
πεῖν, πολλή τε αἰσχύνη λέγοντος ἐμοῦ ταῦτα, ἐλάττω 123
φανῆναι τῆς ἐν ἑκάστῳ νῦν περὶ αὐτοῦ δόξης ὑπαρ-
χούσης. ἃ δ᾽ οὐδαμῶς ἂν εἰπὼν οἶμαι μικρὰ ποιῆ-
σαι, ταῦτ᾽ ὑπομνῆσαι πειράσομαι. ἐνίκησε μὲν τοί-
νυν λακεδαιμονίους ναυμαχίᾳ. καὶ πεντήκοντα μιᾶς
[*] δεούσας, ἔλαβεν αἰχμαλώτους τριήρεις. εἷλε δὲ τῶν 124
νήσων τούτων τὰς πολλάς, καὶ παρέδωκεν ὑμῖν καὶ
φίλας ἐποίησεν, ἐχθρῶς ἐχούσας πρότερον. τρισχί-
λια δὲ αἰχμάλωτα σώματα δεῦρ᾽ ἤγαγε, καὶ πλέον
ἢ δέκα καὶ ἑκατὸν τάλαντα ἀπέφηνεν ἀπὸ τῶν πο-

[*] γοργώπαν. ε.

[*] δεούσης.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

126 Ἀφ' ὑμῶν) Ἀφῃρημένοι. Ἀπὸ πολλῶν) Ἐχθρῶν. Πολλά) Ἀφῃρημένα. Ἵνα δὲ μὴ λέγων παραλείπω τι) Ἔθος ἐστὶ τῷ ῥήτορι τοῖς ἰσχυροτέροις ἐνδιατρίβειν, καὶ μὴ ῥᾳδίως αὐτῶν ἀπαλλάττεσθαι. ἵνα δὲ τὸν κόρον φύγῃ, ἐξαλλάττειν εἴωθε τὰ σχήματα τῆς ἐννοίας. ἀναγινώσκει δὲ ἐξ ὑπομνήματος τὰς Χαβρίου
128 πράξεις. Δοκεῖ τισὶν ὑμῖν, ὦ ἄνδρες ἀθηναῖοι) Τῷ κατ' ἐρώτησιν προῆχθαι, τὸν ἔλεγχον τῆς ἀτοπίας ἐμφαίνει. ἠθικὴ δὲ κἀνταῦθα ἡ ἔννοια. δύο δὲ διὰ τῆς αὐτῆς ἐννοίας παρέστησε. πρῶτον μὲν τὴν εὔνοιαν. δεύτερον δὲ, τὴν περὶ τοῦ παιδὸς ἀπολογίαν. ἐπειδὴ δὲ ἀντέπιπτεν, ὅτι ἑαυτὸν σῶσαι μὴ δυνηθεὶς Χαβρίας, πῶς οἷός τε ἦν σώζειν ἑτέρους. ἰδὼν λυποῦσαν αὐτὸν τὴν ἔννοιαν ταύτην, ὑποτίμνεται λέγων. ἡνίκα μὲν τὴν τοῦ σώζειν ἑαυτὸν αἰτίαν ἀξίαν εἶχεν, αὐτὸς στρατηγὸς ἀσφαλὴς ἦν τοῖς συστρατευομένοις. ἡνίκα δὲ ἔδει ἐπικινδύνως μάχεσθαι, ὡς στρατιώτης παραταξάμενος, ἐθελοντὴς ἔπεσεν ὑπὲρ τῆς πα-
129 τρίδος. Ἐγὼ μὲν οὐκ) Σχῆμα ἐκ
131 τοῦ ἐναντίου πλαστόν. Διὰ ταύτην) Ἤγουν τὴν τελευτὴν αὐτοῦ γενομένην. Ἦλθεν) Ὁ Χαβρίας.
134 Τούτῳ) Ἤγουν τῇ ἀσφαλείᾳ.

125 λεμίων. καὶ τούτων πάντων ὑμῶν τινές, οἱ πρεσβύ-
τατοι, μάρτυρές εἰσί μοι. πρὸς δὲ τούτοις, ἄλλας τριή-
ρεις πλέον ἢ εἴκοσιν εἷλε, κατὰ μίαν καὶ δύο "λαμβά- "λαβὼν ζ.
νων. ἃς ἁπάσας εἰς τοὺς ὑμετέρους λιμένας κατήγα-
γεν. ἑνὶ δὲ κεφαλαίῳ, μόνος τῶν πάντων στρατηγῶν οὐ
126 πόλιν, οὐ φρούριον, οὐ ναῦν, οὐ στρατιώτην ἀπώ-
λεσεν οὐδένα, ἡγούμενος ὑμῶν. οὐδ' ἔστιν οὐδενὶ τῶν
ὑμετέρων ἐχθρῶν τρόπαιον οὐδὲν ἀφ' ὑμῶν τε κἀ-
κείνου. ὑμῖν δ' αὖ `ἀπὸ' πολλῶν πολλά, ἐκείνου στρα- `α.
τηγοῦντος. ἵνα δὲ μὴ λέγων παραλείπω τι τῶν πε-
127 πραγμένων αὐτῷ, ἀναγνώσεται γεγραμμένας ὑ-
μῖν τάς τε ναῦς ὅσας ἔλαβε, καὶ οὗ ἑκάστην, καὶ τῶν
πόλεων τὸν ἀριθμόν, καὶ τῶν χρημάτων τὸ πλῆθος,
καὶ τῶν τροπαίων, οὗ ἕκαστον. λέγε.

## Πράξεις Χαβρίου.

128 Δοκεῖ τισὶν ὑμῶν, ὦ ἄνδρες "ἀθηναῖοι, οὑτοσὶ ὁ "δικασταί. α.
τοσαύτας πόλεις λαβών, καὶ τριήρεις τῶν πολεμίων
ναυμαχίᾳ νικήσας, καὶ τοσούτων καλῶν αἴτιος ὤν,
αἰσχροῦ δ' οὐδενὸς τῇ πόλει, ἄξιος εἶναι "ἀποστερηθῆ- "ἀφαιρεθῆναι. α.
ναι τὴν ἀτέλειαν, ἣν εὕρετο παρ' ὑμῶν, καὶ τῷ υἱεῖ
129 κατέλιπεν; ἐγὼ μὲν οὐκ οἴομαι. καὶ γὰρ ἂν ἄλογον
εἴη μίαν μὲν πόλιν εἰ ἀπώλεσεν, ἢ ναῦς δέκα μόνας,
περὶ προδοσίας ἂν αὐτὸν εἰσήγγελλον οὗτοι· κἂν εἰ ἑά-
λω, τὸν ἅπαντα ἂν ἀπωλώλει χρόνον· ἐπειδὴ δὲ τοὐναντίον, ἑπτακαίδεκα μὲν πό-
λεις `εἷλεν', ἑβδομήκοντα δὲ ναῦς ἔλαβε, τρισχιλίους δ' αἰχμαλώτους, δέκα δὲ `α.
130 καὶ ἑκατὸν τάλαντα ἀπέφηνε, τοσαῦτα δὲ ἔστησε τρόπαια, τηνικαῦτα "δὲ οὐκ ἔσται "δή.
κύρια αὐτῷ τὰ δοθέντα ἐπὶ τούτοις. καὶ μὴν ὦ ἄνδρες ἀθηναῖοι, καὶ ζῶν πάνθ'
ὑπὲρ ὑμῶν φανήσεται πράξας Χαβρίας, καὶ τὴν τελευτὴν αὐτὴν τοῦ βίου πε-
ποιημένος, οὐχ ὑπὲρ ἄλλου τινός. ὥστε δικαίως ἂν οὐ μόνον διὰ τὰ ζῶντι πεπρα-
131 γμένα φαίνοισθε εὐνοϊκῶς διακείμενοι πρὸς τὸν υἱὸν αὐτοῦ, ἀλλὰ καὶ διὰ ταύτην.
ἄξιον τοίνυν, ὦ ἄνδρες ἀθηναῖοι κἀκεῖνο σκοπεῖν, ὅπως μὴ φανούμεθα φαυλό-
τεροι Χίων περὶ τοὺς εὐεργέτας γεγενημένοι. εἰ γὰρ ἐκεῖνοι μέν, ἐφ' οὓς μεθ' ὅπλων
ἦλθεν ἐν ἐχθροῦ τάξει, μηδὲν ὧν ἔδοσαν πρότερον, νῦν ἀφῄρηνται, ἀλλὰ τὰς 'πα- 'πάλαι. β. α.
132 λαιὰς χάριτας, μείζους τῶν κοινῶν ἐγκλημάτων πεποίηνται· ὑμεῖς δ' ὑπὲρ ὧν ἐπ'
ἐκείνους ἐλθὼν ἐτελεύτησεν, ἀντὶ τοῦ διὰ ταῦτα ἔτι μᾶλλον αὐτὸν τιμᾶν, καὶ τῶν ἐπὶ
ταῖς προτέραις εὐεργεσίαις τι δοθέντων ἀφῃρημένοι φανήσεσθε, πῶς οὐκ εἰκότως
αἰσχύνην ἕξετε. καὶ μὴν καὶ κατ' ἐκεῖνο ἀνάξια ἂν εἴη πεπονθὼς ὁ παῖς, εἰ τῆς
133 δωρεᾶς ἀφαιρεθείη, καθ' ὃ πολλάκις ὑμῶν στρατηγήσαντος Χαβρίου, `καὶ' οὐδενὸς πώ- `α.
ποτε υἱὸς ὀρφανὸς δι' ἐκεῖνον ἐγένετο· αὐτὸς δ' ἐν ὀρφανίᾳ τέθραπται διὰ τὴν πρὸς
ὑμᾶς φιλοτιμίαν τοῦ πατρός. οὕτω γὰρ ὡς ἀληθῶς ἔμοιγε φαίνεται, βεβαίως πως
ἐκεῖνος ἐγένετο 'φιλόπολις, ὥστε δοκῶν, καὶ ὢν ἀσφαλέστατος στρατηγὸς ἁπάντων, 'φιλόπατρις.
134 ὑπὲρ μὲν ὑμῶν ὁπότε ἡγοῖτο, ἐχρῆτο τούτῳ· ὑπὲρ αὐτοῦ δὲ ἐπειδὴ ὁ καθ' αὐτὸν

ἐτάχθη

ἐπάρχη κινδυνεύειν, παρεῖδε, καὶ μᾶλλον εἵλετο μὴ ζῆν, ἢ καταισχῦναι τὰς παρ' ὑμῶν ὑπαρχούσας αὐτῷ τιμάς. εἶτα ὑπὲρ ὧν ἐκεῖνος ᾤετο δεῖν ἀποθνήσκειν ἢ νικᾶν, ταῦθ' ὑμεῖς ἀφελώμεθα τὸν υἱὸν αὐτοῦ,
καὶ τί φήσομεν, ὦ ἄνδρες Ἀθηναῖοι, ὅταν τὰ μὲν 135
τρόπαια ἑστήκῃ δῆλα πᾶσιν ἀνθρώποις, ἃ ὑπὲρ ὑμῶν στρατηγῶν ἐκεῖνος ἔστησε, τῶν δ' ἐπὶ τούτοις δωρεῶν ἀφῃρημένος τι φαίνηται. οὐ σκέψεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ λογιεῖσθε, ὅτι νῦν οὐχ ὁ νόμος κρίνεται,
πότερόν ἐστιν ἐπιτήδειος, ἢ οὔ, ἀλλ' ὑμεῖς δοκι- 136
*λοιπὸν. α. μάζεσθε, εἴτ' ἐπιτήδειοι πάσχειν ἐστὲ εὖ τὸν *ἐπίλοιπον χρόνον, εἴτε μή; λάβε δὴ καὶ τὸ τῷ Χαβρίᾳ ψήφισμα ψηφισθέν. ὅρα δὴ καὶ σκόπει. δεῖ γὰρ αὐτὸ ἐνταῦθα εἶναί που. ἐγὼ δ' ἔτι τοῦτ' εἰπεῖν ὑπὲρ Χα-
βρίου βούλομαι. ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, τιμῶν- 137
τές ποτε Ἰφικράτην, οὐ μόνον αὐτὸν ἐτιμήσατε, ἀλλὰ καὶ δι' ἐκεῖνον Στράβακα καὶ Πολύστρατον. καὶ πάλιν Τιμοθέῳ διδόντες τὴν δωρεάν, δι' ἐκεῖνον ἐδώκατε τῷ Κλεάρχῳ, καί τισιν ἄλλοις πολιτείαν. Χαβρίας δ'
αὐτὸς ἐτιμήθη παρ' ὑμῶν μόνος. εἰ δὴ τότε, ὅτε εὑρί- 138
σκετο τὴν δωρεάν, ἠξίωσεν ὑμᾶς, ὥσπερ δι' Ἰφικράτην καὶ Τιμόθεον εὖ τινὰς πεποιήκατε, οὕτω καὶ δι' αὐτὸν εὖ ποιῆσαι τούτων τινὰς τῶν εὑρημένων τὴν ἀτέλειαν, οὓς νῦν οὗτοι μεμφόμενοι, πάντας ἀφαι-
ρεῖσθαι κελεύουσιν, ὁμοίως οὐκ ἂν ἐδώκατε ταύτην 139
αὐτῷ τὴν χάριν; ἔγωγε ἡγοῦμαι. εἶτ' οἷς δι' ἐκεῖνον
*ἤπ. α. ι. ἂν *ἐδώκατε τὴν δωρεάν, διὰ τούτους νῦν αὐτὸν ἐκεῖνον ἀφαιρήσεσθε τὴν ἀτέλειαν; ἀλλὰ ἄλογον. οὐδὲ γὰρ ὑμῖν ἁρμόττει δοκεῖν περὶ μὲν τὰς εὐεργεσίας οὕτω
προχείρως ἔχειν, ὥστε μὴ μόνον αὐτοὺς τοὺς εὐεργέτας τιμᾶν, ἀλλὰ καὶ τοὺς ἐκείνων 140
φίλους. ἐπειδὰν δ' ὁ χρόνος διέλθῃ βραχύς, καὶ ὅσα αὐτοῖς δεδώκατε, ταῦτα ἀφαιρεῖσθαι.

*αὐτοῦ.

Ψηφίσματα *τῶν Χαβρίου τιμῶν.

Οὓς μὲν τοίνυν ἀδικήσετε, εἰ μὴ λύσετε τὸν νόμον, πρὸς πολλοῖς ἄλλοις, οἷς ἀκη-
κόατε, εἰσὶν οὗτοι ὦ ἄνδρες δικασταί. σκοπεῖτε δὲ καὶ λογίσασθε παρ' ὑμῖν αὐτοῖς, εἴ- 141
τινες τούτων τῶν τετελευτηκότων λάβοιεν τρόπῳ τινὶ τοῦ νυνὶ γιγνομένου πράγματος αἴσθησιν,
*πῶς. ι. ὡς ἂν εἰκότως ἀγανακτήσειαν. εἰ γὰρ ὧν ἔργῳ πεποίηκεν ἕκαστος αὐτῶν ὑμᾶς εὖ, τούτων ἐκ λόγου κρίσις γίγνεται, καὶ τὰ καλῶς πραχθέντα ὑπ' ἐκεί-
*ἃ. α. νων, °ἂν ὑφ' ἡμῶν μὴ καλῶς ῥηθῇ τῷ λόγῳ, μάτην τοῖς *πονήσασιν εἴργασται, 142
*ποιήσασιν. ι. *α. πῶς οὐ δεινὰ πάσχουσιν. ἵνα τοίνυν εἰδῆτε ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι ὡς ἀληθῶς ἐπὶ
*οἷς. πᾶσι δικαίοις ποιούμεθα τοὺς λόγους πάντας, ὅσους λέγομεν πρὸς ὑμᾶς, καὶ οὐδέν
*ὑμῶν. ἐσθ' ὅ, τι τοῦ παρακρούσασθαι καὶ φενακίσαι λέγεται παρ' ἡμῶν εἵνεκα, ἀναγνώσεται
τὸν νόμον ὑμῖν, ὃν παρεισφέρομεν γράψαντες ἀντὶ τοῦδε, ὃν οὐκ ἐπιτήδειον εἶναί 143

Οὐ σκέψεσθε ὦ ἄνδρες Ἀθηναῖοι) 135
Τῷ μὲν δοκεῖν ὁ νόμος ἐστὶν ὁ κρινόμενος· τῇ δὲ ἀληθείᾳ, ὁ τρόπος τῆς πόλεως βασανίζεται. σκέψαι γὰρ ὦ βέλτιστε καὶ φρονῶν ἀνθρωπίνως ἀπόβλεψον εἰς τὸ μέλλον. ἂν ἐμπέσῃ τις χρεία, ποῦ τὸν εὐεργέτην ὀψό-
μεθα. Ὅρα δὴ καὶ σκόπει) Ὑπο- 136
κρίνεται μὴ εὑρίσκειν τὸ ψήφισμα τὸν γραμματέα, ἵνα δείξῃ αὐτοσχεδιάζειν ἃ λέγει, καὶ μὴ ἐσκέφθαι.
Οὓς νῦν οὗτοι μεμφόμενοι) Τοῦ- 138
τέστι τοὺς *ἀξίους τῆς δωρεᾶς. Ἔγω- *ἀναξίους.
γε ἡγοῦμαι) Ὡς γὰρ ὁμολογούμενον 139
αὐτό, καὶ ἐψήφισται. Εἶτ' οἷς δι' ἐκεῖνον ἂν τότε) Θέλων δεῖξαι, τοῦτό φησιν, ὅτι εἰ διὰ *τοῦ ἀξίου καὶ τοὺς *τὸν ἄξιον.
μὴ ὄντας ἐτιμήσατε, διὰ τοὺς ἀναξίους νῦν τοὺς ἀξίους ἀφαιρήσεσθε;
Οὓς μὲν τοίνυν ἀδικήσετε) Πλη- 140
ρώσας τὸν περὶ τῶν εὐεργετῶν σύμπαντα λόγον, τῶν ἐπιλόγων ἅπτεται. ἐπιλόγων δὲ οὐ τῆς ὑποθέσεως πά-
σης, ἀλλὰ αὐτοῦ τοῦ μέρους. Εἰ γὰρ 141
ὧν ἔργῳ πεποίηκε) Συμπέρασμά
ἐστι τῶν εἰρημένων. Ἂν ὑφ' *ἡμῶν 142
μὴ καλῶς ῥηθῇ) Ὑπὸ τῶν συνηγό- *ὑμῶν.
ρων φησίν. ἄτοπον οὖν ὧν ὑμῖν δε-
δώκασι *πεῖραν τὴν γνῶσιν λαβόν- *γρ. οἱ τὴν
τες, ἂν μὴ κατὰ τοὺς λόγους δύνωνταί δωρεὰν ἀπο-
τινες ἀποδεῖξαι, εἰ τοῖς κατορθώμα- λαβόντες,
σιν ἧττα γενήσεται *ἡμῖν. Ἵνα τοί- ἂν μή.
νυν εἰδῆτε) Ἐντεῦθεν ἄρχεται πάλιν *ὑμῖν.
τοῦ νομίμου κεφαλαίου, ἀκολούθως ποιῶν. ἔδει γὰρ κατηγορῆσαι τοῦ νόμου τοῦ Λεπτίνου, ὡς ἀδίκου καὶ ἀσυμφόρου,
*εἶτ' οὕτως ἀντεισενεχθῇ ὁ αὐτοῦ, ἐκ *ἵνα.
συγκρίσεως καὶ ἀντιπαραθέσεως.
Ἀναγνώσεται τὸν νόμον ὑμῖν) Ὁ σόλων προσέταξε τὸν λύοντά τινα τῶν κυρίων νόμων, τιθέναι ἕτερον· ὅπου



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φαμέν. γνώσεσθε γὰρ ἐκ τούτου προνοίαν τινὰ ἔχον-
τας ἡμᾶς, καὶ ὅπως ὑμεῖς μηδὲν αἰσχρὸν ποιῆσαι δό-
ξετε, καὶ ὅπως, εἴ τινά τις καταμέμφεται τῶν εὑρη-
μένων τὰς δωρεάς, ἂν δίκαιον ᾖ, κρίνας παρ' ὑμῖν, ἀ-
144 φαιρήσεται, καὶ ὅπως οἷς οὐδεὶς ἂν ἀντείποι μὴ α.
οὐ δεῖν ἔχειν, ἕξουσι τὰ δοθέντα, καὶ τούτων πάντων
οὐδέν ἐστι καινόν, οὐδ' ἡμέτερον εὕρημα· ἀλλ' ὁ πα-
λαιός, ὃν οὗτος παρέβη, νόμος, οὕτω κελεύει νομοθετεῖν.
γράφεσθαι μέν, ἄν τις τινὰ τῶν ὑπαρχόντων νόμων μὴ
145 καλῶς ἔχειν ἡγῆται, παρεισφέρειν δ' αὐτὸν ἄλλον, ὃν ἂν "ἡγεῖται. α.
τιθῇ, λύων ἐκεῖνον· ὑμᾶς δ' ἀκούσαντας, ἑλέσθαι τὸν
κρείττω. οὐ γὰρ ᾤετο δεῖν ὁ Σόλων ὁ τοῦτον τὸν τρόπον α.
προστάξας νομοθετεῖν, τοὺς μὲν θεσμοθέτας τοὺς ἐπὶ
"τοὺς νόμους κληρουμένους, δὶς δοκιμασθέντας ἄρχειν, "γρ. τοῖς νόμοις.
146 ἔν τε τῇ βουλῇ, καὶ παρ' ὑμῖν ἐν τῷ δικαστηρίῳ, τοὺς
δὲ νόμους αὐτούς, καθ' οὓς καὶ τούτοις ἄρχειν, καὶ πᾶσι
τοῖς ἄλλοις πολιτεύεσθαι "προσήκει, ἐπὶ καιροῦ τε- "προσῆκει. α.
θέντας, ὅπως "ἔτυχε, μὴ δοκιμασθέντας, κυρίους εἶναι. "ἔτυχον. α.
καὶ γάρ τοι τότε μέν, ἕως τὸν τρόπον τοῦτον ἐνομο-
147 θέτουν, τοῖς μὲν ὑπάρχουσι νόμοις ἐχρῶντο, καινοὺς δ'
οὐκ ἐτίθεσαν. ἐπειδὴ δὲ τῶν πολιτευομένων τινὲς δυνη-
θέντες, ὡς ἐγὼ πυνθάνομαι, κατεσκεύασαν αὐτοῖς
ἐξεῖναι νομοθετεῖν, ὅταν τις βούληται, καὶ ὃν ἂν τύχῃ,
τρόπον· τοσοῦτοι μὲν οἱ ἐναντίοι σφίσιν αὐτοῖς εἰσὶ νό-
148 μοι, ὥστε χειροτονεῖτε ὑμεῖς τοὺς "διαλέξοντας τοὺς α. "διαλέξαντας. β.
ἐναντίους ἐπὶ πάμπολυν ἤδη χρόνον, καὶ τὸ πρᾶ-
γμα οὐδὲν μᾶλλον δύναται πέρας ἔχειν. ψηφισμά-
των δ' οὐδ' ὁτιοῦν διαφέρουσιν οἱ νόμοι· ἀλλὰ νεώ-
τεροι οἱ νόμοι, καθ' οὓς τὰ ψηφίσματα δεῖ γράφεσθαι,
149 τῶν ψηφισμάτων αὐτῶν ὑμῖν εἰσιν. ἵν' οὖν μὴ λό- α.
γον λέγω μόνον, ἀλλὰ καὶ τὸν νόμον αὐτὸν ὅν φημι δεί-
ξω, λαβέ μοι τὸν νόμον καθ' ὃν ἦσαν οἱ πρότεροι νο-
μοθέται. λέγε. Νόμος.
150 Συνίετε καθ' ὃν τρόπον, ὦ ἄνδρες Ἀθηναῖοι, α.

μὲν οὖν κύριος, ἀντεισφέρειν δεῖ· ὅπου δὲ οὔ, λύειν μόνον. ὁ νόμος δὲ ὃν εἰσέφερεν, εἶχε τὰς δωρεὰς τὰς παλαιὰς κυ-
143 ρίας. καὶ εἰ ἀνάξιοί τινες ἦσαν, ἐν τῷ δικάζεσθαι, στερίσκεσθαι. Τούτῳ) Τοῦ ἡμετέρου νόμου. Γράφεσθαι μέν,
144 ἄν τις) Γραφὴ λέγεται κυρίως, ἡ κατὰ τὸν νόμον κατηγορία. διδάσκει δὲ διὰ ταύτης τῆς διανοίας, ὅτι χρὴ πρότερον δεικνύναι τοὺς παλαιοὺς νόμους οὐκ ἔχοντας κατά τι καλῶς. εἶτα ἀντεισφέρειν ἕτερον. τούτοις ἀκολουθήσας, μετὰ τὴν κατηγορίαν τοῦ νόμου τοῦ Λεπτίνου, τὴν ἀνάγνωσιν τοῦ οἰκείου παρέχεται. ἀλλὰ καὶ τὸν Σόλωνος νόμον ἀναγινώσκει, καθ' ὃν δεῖ νομοθετεῖν· ὅτι ἐν τοῖς δικασταῖς νομοθετεῖν δεῖ· ὅτι πρὸ τῶν ἐπωνύμων ἐκτιθέναι. τὸν δὲ μὴ ταῦτα ποιοῦντα, ὑπεύθυνον εἶναι "γραφῆς. ἃ μὲν δεῖ ποιεῖν τὸν νομοθετοῦντα, εἴρηκε, διὰ τούτου ἐπισημαίνων, ὅτι οὐ δεῖ κυρωθῆναι αὐτοῦ τὸν νόμον, ἕως ἂν τὰ τῶν νόμων γένηται. ἃ δὲ δεῖ πάσχειν τὸν παραβαίνοντα οὐ προσέθηκε, διὰ τὸ μὴ ὑπεύθυνον εἶναι τῇ κατηγορίᾳ Λεπτίνην. μετὰ τοῦτο τίθησι τὸν νόμον τὸν τοῦ Λεπτίνου, ἐπισημαινόμενος ὧν ἐπιλαμβάνεται. εἶτα ἀναγινώσκει κατὰ τὸ συνεχὲς καὶ ἕτερον νόμον ἀρχαῖον. ἐν ᾧ κεῖται, τὰς δωρεάς, ἃς ὁ δῆμος ἔδωκε, κυρίας εἶναι. ᾧπερ ἐναντίος ἐστὶν ὁ τοῦ Λεπτίνου νόμος. εἶτα καὶ ἕτερον τὸν κελεύοντα ὑπεύθυνον εἶναι γραφῇ, τὸν ἐναντίον εἰσφέροντα τοῖς ὑπάρχουσι νόμοις, ἵνα διὰ μὲν τούτου, τὸν οἰκεῖον ἀκολούθως ἔχοντα δείξῃ, καὶ ὅτι οὐκ ἐναντίος ἐστί. κατηγορεῖ δὲ τοῦ Λεπτίνου, ὡς παραβε-
145 βηκότος. Οὐ γὰρ ᾤετο δεῖν ὁ Σόλων) Τὴν γνώμην τοῦ νομοθέτου φησί. θεσμοθέται δὲ ἐκλέγονται ἐκ τοῦ ἐνιαυτοῦ, οἳ τῶν ἐννέα ἀρχόντων εἰσί, δι' ὧν τὰ πολλὰ διοικεῖται πράγματα. νομοθέται δὲ οἱ αἱρούμενοι δικασταί, τὸν εἰσαγόμενον νόμον, ἢ λύοντες, ἢ κυροῦντες. οἱ θεσμοθέται οὖν τὸν ἐνιαυτὸν ἦρχον. δεύτερον δὲ ἐδοκιμάζοντο, διὰ τὸ ἐκεῖθεν εἰς τὸν ἄρειον πάγον ἔρχεσθαι· εἰ μή τις μεταξὺ διεβέβλητο. ἕως δὲ θανάτου
146 ἔμενον οἱ ἀρειοπαγῖται. Τοὺς δὲ νόμους αὐτούς, καθ' οὓς καὶ τούτοις ἄρχειν) Ἄτοπόν φησι τοὺς νομοθέτας πολλάκις βασανίζεσθαι, καὶ δοκιμάζεσθαι· τοὺς δὲ νόμους, καθ' οὓς εἰσὶ καὶ οὗτοι ἄρχοντες, καὶ πάντες, ὡς ἔτυχε, τίθεσθαι. Ἐπὶ καιροῦ τεθέντας) Πρὸς γὰρ τὴν χρείαν εἰσέφερον οἱ πολιτευόμενοι νόμους, ἢ ἐν
147 ὀξύτητι καιροῦ, ὥστε λαθεῖν. ἀπὸ ἥττονος τὸ ἐπιχείρημα. Ὡς ἐγὼ πυνθάνομαι) Τὴν ἀρχὴν λέγει, καθ' ὃν τρόπον δεῖ νομοθετεῖν· εἶτα ὃν τρόπον τῶν πολιτευομένων τινὲς ἠροῦντο νομοθετεῖν. διὰ τοῦτο δὲ εἶπεν, ὡς ἐγὼ πυνθάνομαι, ἵνα φύγῃ τὸ συνειδέναι, τῇ ἀκοῇ δὲ τὴν γνῶσιν παραδίδωσι, καὶ ἵνα μὴ δόξῃ διαβάλλειν αὐτόν. Τοσοῦτοι μὲν οἱ ἐναντίοι) Ὅτι δέ φησι, τοσοῦτοι ἀντικείμενοί εἰσιν, ὑμεῖς μαρτυρεῖτε. ἐξ ὑμῶν γὰρ νομοθέτας ἐκλέγεσθε, καὶ μέχρι νῦν
148 πέρας οὐκ ἔχει τὸ πρᾶγμα, διὰ τὸ πλείστους εἶναι τοὺς ἐναντίους νόμους. Ψηφισμάτων) Σημείωσαι περὶ νόμου καὶ
150 ψηφίσματος. Συνίετε καθ' ὃν τρόπον, ὦ ἄνδρες Ἀθηναῖοι) Ἐξέτασις τοῦ νόμου, ἐπειδὴ καὶ περὶ αὐτοῦ ὁ λόγος ἦν.

"γραφῇ.

Πρῶτον

Πρῶτον μὲν παρ' ὑμῖν ἐν τοῖς ὀμωμοκόσιν) Ὤμνυον γὰρ οἱ δικάζοντες. πρῶτον μὲν οὐ τῇ τάξει, ἀλλὰ τῷ ἀξιώ- 150
ματι, καὶ τῷ κυροῦν. δεῖ γὰρ προαναγνωσθῆναι τῷ δήμῳ, ἔπειτα προτεθῆναι, εἶτα λαβεῖν τὸν γραμματέα,
καὶ μετὰ ταῦτα τοὺς δικάζοντας ἀκοῦσαι. πῶς οὖν εἶπε πρῶτον παρ' ὑμῖν. οὐδεὶς γὰρ πρὸ αὐτῶν ἄλλος ἦν. οὐδὲ

ὁ Σόλων τοὺς νόμους ὡς καλῶς κελεύει τιθέναι;
πρῶτον μὲν παρ' ὑμῖν ἐν τοῖς ὀμωμοκόσι, παρ' οἷσ-
περ καὶ τἆλλα κυροῦται. ἔπειτα λύοντα τοὺς ἐναν-
τίους, ἵν' εἷς ᾖ περὶ τῶν ὄντων ἑκάστου νόμος, καὶ μὴ τοὺς
ἰδιώτας αὐτὸ τοῦτο ταράττῃ, καὶ ποιῇ καὶ τῶν ἁπάντων 151
εἰδότων τοὺς νόμους ἔλαττον ἔχειν· ἀλλὰ πᾶσιν ᾖ ταὐ-
τ' ἀναγνῶναι, καὶ μαθεῖν ἁπλᾶ καὶ σαφῆ τὰ δίκαια.
καὶ πρὸ τούτων γ' ἐπέταξεν ἐκθεῖναι πρόσθεν τῶν
ἐπωνύμων, καὶ τῷ γραμματεῖ παραδοῦναι. τοῦτον
δὲ ἐν ταῖς ἐκκλησίαις ἀναγινώσκειν, ἵνα ἕκαστος ὑμῶν 152
ἀκούσας πολλάκις, τὸν κατὰ σχολὴν σκεψάμενος, ἃ
ἂν ᾖ καὶ δίκαια καὶ συμφέροντα, ταῦτα νομοθετῇ.
τούτων τοίνυν τοσούτων δικαίων ὄντων τὸ πλῆθος, οὐ-
τοσὶ μὲν οὐδ' ὁτιοῦν ἐποίησε Λεπτίνης. οὐδὲ γὰρ ἂν ὑ-
μεῖς * ποτὲ ἐπείσθητε, ὡς ἐγὼ νομίζω, θέσθαι τὸν νό- 153
μον· ὑμεῖς δ', ὦ ἄνδρες Ἀθηναῖοι, πάντα. καὶ παρει-
σφέρομεν πολλῷ κρείττω, καὶ δικαιότερον τούτου νό-
μον. γνώσεσθε δὲ ἀκούσαντες. Λάβε καὶ λέγε πρῶ-
τον μὲν, ἃ τούτου τοῦ νόμου γεγράμμεθα· εἶτα, ἃ φα-
μὲν δεῖν ἀντὶ τούτων τεθεῖναι. Λέγε. Νόμος. 154

Ταῦτα μὲν ἐστιν, ἃ τούτου τοῦ νόμου διώκω μὲν, ὡς
οὐκ ἐπιτήδεια. τὰ δ' ἐφεξῆς λέγε, ἃ τούτων εἶναι
βελτίω φαμέν. προσέχετε, ὦ ἄνδρες δικασταὶ, τούτοις
ἀναγινωσκομένοις τὸν νοῦν. Λέγε. Νόμος.

Ἐπίσχες. τοῦτο μὲν ἐστιν ἐν τοῖς οὖσι νόμοις κυρίοις 155
ὑπάρχον καλὸν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σαφὲς, τὰς δω-
ρεὰς, ° ἃς ὁ δῆμος ἔδωκε, κυρίας εἶναι, δίκαιον, ὦ γῆ καὶ
θεοί. χρῆν τοίνυν Λεπτίνην, μὴ πρότερον τιθέναι τὸν
ἑαυτοῦ νόμον, πρὶν τὸν παλαιὸν τοῦτον ἔλυσε γραψά-
μενος. νῦν δὲ μαρτυρίαν καθ' ἑαυτοῦ καταλείπων, 156
ὅτι παρανομεῖ, τουτονὶ τὸν νόμον ὅμως ἐνομοθέτει· καὶ
ταῦτα ἑτέρου κελεύοντος νόμου καὶ κατ' αὐτὸ τοῦτο
ἔνοχον εἶναι τῇ γραφῇ, ἐὰν ἐναντίος ᾖ τοῖς πρότερον
κειμένοις νόμοις. Λάβε δ' αὐτὸν τὸν νόμον. Νόμος.

Οὐκοῦν ἐναντίον, ὦ ἄνδρες Ἀθηναῖοι, τῷ κυρίας 157

ἐκύρου τοὺς εἰσφερομένους νόμους εἰ
μὴ οἱ νομοθέται, οἵτινες ἐκληροῦν-
το δοκιμάζειν τοὺς νόμους. Ἵνα εἷς
ᾖ περὶ τῶν ὄντων ἑκάστου νόμος) Αὐ-
τὸ γὰρ τοῦτο, τὸ δύο νόμους περὶ ἑνὸς
εἶναι πράγματος, πλανᾷ. πείθει γὰρ τοὺς
ῥήτορας * ἐξαπατᾶν διὰ τούτου τοὺς * πλε
ἰδιώτας· ἑνὸς γὰρ ὄντος τοῦ νόμου, οὐκ
ἠδύναντο ἐξαπατᾶν τοσοῦτον.

Πρόσθεν τῶν ἐπωνύμων) Ἀνδριάν- 151
τες ἦσαν τῶν ἡρώων, ὧν αἱ φυλαὶ ἐ-
πώνυμοι ἦσαν. κατὰ δὲ πρόσταξιν τοῦ
Ἀπόλλωνος ἐγένοντο. παρ' οἷς ὁ βου-
λόμενος νομοθετεῖν προετίθει, ἵνα
πάντες Ἀθηναῖοι ἴδοιεν πότερον ἀ-
ρέσκει, ἢ οὔ. ἐν ἐπισήμῳ δὲ τόπῳ εἱ-
στήκεισαν. Ἄλλως. Ἐπώνυμοι
ἥρωες, ἀφ' ὧν αἱ δέκα φυλαί. οἱ δὲ
ἦσαν δέκα, οἷον Ἐρεχθεύς, Πανδίων, καὶ
οἱ ἄλλοι. Τοῦτον δ' ἐν ταῖς ἐκκλη-
σίαις) Τῷ δήμῳ λέγει. ἐκεῖ γὰρ συ-
νήγετο ὁ ὄχλος. τρεῖς δὲ ἐγίνοντο ἐκ-
κλησίαι. ἀνεγινώσκετο δὲ τῷ δήμῳ
ὁ νόμος, ἵνα πάντες ἀκούσωσι. καὶ ὁ
βουλόμενος ᵗ ἀντέλεγε. Ταῦτα ᵗ ἀντι
νομοθετῇ) Οὐχ ὅτι ἐν τῷ δήμῳ ἐ- 152
νομοθέτουν, ἀλλ' ἀντὶ τοῦ νομοθετεῖσθαι
ἐάσῃ. δύο δὲ παρανόμων τρόποι, εἷς
μὲν περὶ τὸ πρόσωπον, ὅτε παρὰ τὸν
ὡρισμένον χρόνον γράφεται. ἕτερος
δὲ, ὅταν αὐτὸς ὁ νόμος κακῶς ἔχῃ,
καὶ ἐναντίως τοῖς παλαιοῖς. τὸν οὖν
κατὰ πρόσωπον τέως διεξέρχεται.

Οὐδὲ γὰρ ὑμεῖς ποτὲ ἐπείσθητε)
Ἵνα καὶ εὐλόγως δόξωσιν ἠπατῆσθαι,
τοῦ Λεπτίνου λάθρα τεθεικότος αὐτὸν,
καὶ αὐτοῦ ᾖ μόνον τὸ ἔγκλημα. Ἡ- 153
μεῖς δ', ὦ ἄνδρες Ἀθηναῖοι) Τὰ
δίκαια πάντα ἐγράψαμεν ἐν τῷ νό-
μῳ ἡμῶν, φησί. καὶ παρεισφέρομεν
πολλῷ κρείττονα τούτων. Ἄλλως.
Πάντα, δηλονότι ἐποιήσαμεν. Λά-
βε καὶ λέγε) Ἐπὶ τὸν νόμον ἦλθε,
πληρώσας τὸ κατὰ πρόσωπον.

Πρῶτον μὲν ἃ τούτου τοῦ νόμου)
Μέρη, οὐ γὰρ ὅλον, ἀλλὰ κακῶς ἔ-
χοντα· ἀντεισφέρει δὲ λύων, ἔπειτα
τίθησι. Τὰ δ' ἐφεξῆς λέγε) Οὐκ 154
αὐτοῦ τοῦ νόμου Λεπτίνου, ἀλλὰ μετὰ
τὸν ἐκείνου, τὸν ἑαυτοῦ λέγει ὁ Δη-
μοσθένης. Προσέχετε, ὦ ἄνδρες
δικασταί) Θαρρῶν παροξύνει αὐ-
τοὺς ἀκριβῶς ἐπισκοπεῖν. ἢ γὰρ ἂν
καὶ λαθεῖν ἐσπούδασε. Τοῦτο μὲν ἐστὶν ἐν τοῖς οὖσι νόμοις) Τὸ τοὺς εὐεργέτας ἔχειν τὰς δωρεάς. Πρὶν τὸν παλαιὸν τοῦ- 155
τον ἔλυσε) Τὸν ἐναντίον νόμον, τὸν κελεύοντα τὰς δωρεὰς, ἃς ὁ δῆμος ἔδωκε, κυρίας εἶναι. Μαρτυρίαν) Κατηγορίαν, 156
ἑτέρου κελεύοντος νόμου μὴ πρότερον τιθέναι νόμον, πρὶν τὸν ἐναντίον λύσῃ. Καὶ κατ' αὐτὸ τοῦτο) Θέλει εἰπεῖν ἄ-
ξιον τιμωρίας. εἰ γὰρ καὶ ὁ νόμος ἦν καλὸς, τὸν ἐναντίον δ' οὐκ ἔλυσε, κατ' αὐτὸ τοῦτο παρανομεῖ. Οὐκοῦν ἐναντίον) 157

Ἀνεγνώσθη ὁ νόμος ὁ κελεύων ἐνόχους εἶναι τῇ γραφῇ τὸν νομοθετοῦντα νόμον ἐναντίον τοῖς πρότερον κειμένοις.
157 Ἀλλ' οὐκ ἐν ᾧ νῦν ὅδε) Ἀφεψίων. οὕτω γὰρ βέλτιον. σαφὲς δὲ τοῦτο ἐν οἷς ἑξῆς ἐγγυητὴν δίδωσι Φορμίωνα τῆς
γρ. νομοθεσίας. ὀνομασίας, ὅτι ἀκύρους τὰς δωρεὰς λέγει, ἃς ἔδωκεν ὁ δῆμος. Καὶ πρόφασις δικαία) Ἐν ᾧ γὰρ εἰσέφερον
νόμον οἱ περὶ Δημοσθένην, τοὺς ἀναξίους ἔδει τῇ κρίσει δοκιμασθέντας
γρ. κυρίας. ἀφαιρεῖσθαι, οὐ νόμῳ, ὡς οὗτος. οὐκ ἔμελλεν οὖν συμβλάπτεσθαι ἡ πόλις. ἡ γὰρ κρίσις τοὺς ἀναξίους ἐστέρισκε τῆς ἀτελείας.
158 Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ καταμανθάνετε) Ἀναγνοὺς τὸν οἰκεῖον νόμον, ἐπιδείκνυσιν ὡς ἔστιν ἀκόλουθος τῷ πρὸ μικροῦ παραχθέντι νόμῳ. εἶτα λύθησιν ἀνθυποφοράν, πρὸς τὸν παρ' αὐτοῦ εἰσαγόμενον νόμον. λέγει γὰρ ἐξαπάτης ἕνεκα γεγράφθαι τὸν νόμον, ὥς φησι Λεπτίνης, δεινότητι πολλῇ χρώμενος. ἵνα γὰρ τὸν ἀντίδικον καὶ τὸν συνομιλοῦντα λάβῃ πρὸς τὸν ἔπαινον τοῦ νῦν ἀντισφερομένου νόμου, τοῦτον τὸν τρόπον μετεχειρίσατο.
γρ. τὸν οὐ συνομιλοῦντα. ἢ τὸν οὐχ ὁμολογοῦντα.
159 Οὔτε, ἂν λέγῃ, δεῖξαι δυνήσεσθαι) Καὶ ἀναισχυντῇ, φησίν, οὐχ ἕξει ἀποδεῖξαι· ἡττᾶται γὰρ τῆς ἀληθείας.
160 Ἃ δὲ πρὸς τοὺς θεσμοθέτας) Τοὺς εἰσάγοντας τὰς γραφάς, καὶ προδιαγινώσκοντας ὅτε τὴν τῶν παρανόμων γραφὴν εἰσῆγον. λέγει οὖν τοὺς προαγῶνας· εἰώθασι γὰρ ἔξω τοῦ δικαστηρίου πολλάκις λέγειν τινά.
160 Ἔφη γὰρ ἐξαπάτης) Ἀντίθεσις ἐκ τοῦ νόμου, οὐ τῆς ὅλης ὕλης. ἡ μὲν γὰρ ἀντίθεσις, ἐκ τῆς ὑποθέσεως πάντως ἐστίν· ἡ δὲ ὑποφορά, μέση τῆς ἀντιθέσεως καὶ τοῦ ἀντιπίπτοντος. μετέχει γὰρ καὶ τῆς ὑποθέσεως, καὶ τοῦ λόγου, ἐξ οὗ τὸ ἀντιπῖπτον. τὸ γὰρ ἀντιπῖπτον, τῇ ἐργασίᾳ τοῦ λόγου συμβαίνει, οὐκ ἐκ τῆς ὑποθέσεως, λέγω δὴ τῆς ὕλης. μέρος οὖν ἀμφότερα τῆς ἀντιθέσεως. τὸ δὲ ἐξαπάτης, ἀττικὸν ἀντὶ τοῦ ἀπάτης. πρὸς ἔμφασιν δὲ μείζονα ἡ παράθεσις.

Ἐγὼ δ' ὅτι μὲν τῇ ὑμετέρᾳ) Τούτου γὰρ λυθέντος, ὁ εἰσφερόμενος ἐγίνετο κύριος. τοῦτο οὖν φησί, κἂν ἡμεῖς μὴ θέλωμεν, ἔχοντος αὐτὸν ἤδη τοῦ γραμματέως, ὑμεῖς κυρώσετε. νόμος γὰρ ἦν, πάντα τὸν εἰσφερόμενον * * ὅτι κάσιος τυχών, ἢ ὅς γε κατηγορεῖ Εὐδαίμονος τὸν δὲ ἀντισφέροντα τὸν νόμον. Λεπτίνης οὖν ἔλεγε δεδιέναι μὴ λυθέντος τοῦ νόμου, μὴ μεταγράψωσι τὸν ἑαυτῶν, ἴσως μὴ βουλόμενοι ἔχειν αὐτόν. ὁ δέ φησι, κἂν μὴ θέλωμεν, οὐ δυνησόμεθα· εἰσῆκται γὰρ ἤδη διὰ τοῦ γραμματέως. ἄλλως τε καὶ νόμος ἦν τὸν λέγοντά τινα νόμον, καὶ μὴ ἀντισφέροντα, κολάζεσθαι. Παρεισενεχθέντα) Παρ' ἡμῶν δηλαδή.
162 Βούληται) Ὁ παρεισφέρων. Ἐγώ, Φορμίων) Ἐντεῦθεν δῆλον ὡς Ἀφεψίων ἐστὶν ὁ τὸν νόμον εἰσφέρων, ὡς καὶ ἄνω ἐπεσημηνάμην. εἰ γὰρ ἂν ἦν αὐτὸς Φορμίων, οὐκ ἂν ὁ αὐτὸς ἐγγυητὴς ἐγίνετο. Εἴ τινα βούλεται) Ἐγγυώμενον. θέλει δὲ εἰπεῖν αὐτὸς δεῖξαι τὸν νόμον, καὶ θὲς καὶ μὴ ἀμφιβάλλετε, ὡς ἡμεῖς οὐ θήσομεν. ἔστι δὲ δήπου νόμος ἡμῖν ἵνα γὰρ μὴ εἴπῃ
163 ὅτι ἐγγυᾶσθαι αὐτόν, οὐκ εἰσφέρεις δέ, λέγει ὅτι, ἀλλ' εἰσὶ νόμοι, οἱ τοὺς ἀπατῶντας κολάζοντες. Ταῦτα γραφόντων)

εἶναι τὰς δωρεάς, ἃς ὁ δῆμος ἔδωκε, τὸ μηδένα εἶναι ἴσως τ.
τούτων ἀτελῆ, οἷς ὁ δῆμος ἔδωκε, σαφῶς γε οὑτωσί.
ἀλλ' οὐκ ἐν ᾧ νῦν ὅδε ἀντεισφέρει νόμῳ. ἀλλ' ἅ τε
δεδώκατε, κύρια, καὶ πρόφασις δικαία κατὰ τῶν ἢ ἐδώκατε.
158 παρακρουσαμένων, ἢ μετὰ ταῦτα ἀδικούντων, ἢ ὅ-
λως ἀναξίων, δι' ἧς, ὃν ἂν ὑμῖν δοκῇ, κωλύσετε ἔχειν
τὴν δωρεάν. Λέγε τὸν νόμον. Νόμος.

Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ καταμανθάνε-
τε, ὅτι ἐνταῦθ' ἔνι καὶ τοὺς ἀξίους ἔχειν τὰ δοθέντα, καὶ
159 τοὺς μὴ τοιούτους κριθέντας, ἐὰν ἀδίκως τι λάβωσιν,
ἀφαιρεθῆναι, καὶ τὸ λοιπὸν ἐφ' ὑμῖν εἶναι, πάνθ' ὥσπερ
ἐστὶ δίκαιον, δοῦναι καὶ μή. ὡς μὲν τοίνυν οὐχὶ κα-
λῶς οὐδ' ἔχει καὶ δικαίως ὁ νόμος, οὔτ' ἐρεῖν οἶμαι Λε-
πτίνην, οὔτε, ἂν λέγῃ, δεῖξαι δυνήσεσθαι· ἃ δὲ πρὸς
160 τοὺς θεσμοθέτας ἔλεγε, ταῦτ' ἴσως λέγων, παράγειν
ὑμᾶς ζητήσει· ἔφη γὰρ ἐξαπάτης εἵνεκα παραγεγρά-
φθαι τοῦτον τὸν νόμον. ἐὰν δ', ὃν αὐτὸς ἔθηκε, λυθῇ, τοῦ-
τον οὐ τεθήσεσθαι. ἐγὼ δ', ὅτι μὲν τῇ ὑμετέρᾳ ψήφῳ
τούτου τοῦ νόμου λυθέντος τὸν προσενεχθέντα κύριον
161 εἶναι σαφῶς ὁ παλαιὸς κελεύει νόμος, καθ' ὃν οἱ θεσμο-
θέται τοῦτον ὑμῖν προὔγραψαν, ἐάσω, ἵνα μὴ περὶ ἡμῖν.
τούτου τις ἀντιλέγῃ μοι. ἀλλ' ἐπ' ἐκεῖνο εἶμι. ὅταν
ταῦτα λέγῃ δήπου, ὁμολογεῖ μὲν εἶναι βελτίω καὶ δι-
καιότερον τόνδε τὸν νόμον, οὗ τέθεικεν αὐτός. ὑπὲρ δὲ τοῦ
162 πῶς τεθήσεται, ποιεῖται τὸν λόγον. πρῶτον μὲν τοίνυν
εἰσὶν αὐτῷ κατὰ τοῦ προσφέροντος πολλοὶ τρόποι, δι' ὧν,
ἂν μὴ βούληται, θεῖναι τὸν νόμον αὐτὸν ἀναγκάσει. ἔπει-
τ' ἐγγυώμεθα ἡμεῖς, ἐγώ, Φορμίων, ἄλλος εἴ τινα βού-
λεται, θήσειν τὸν νόμον. ἔστι δὲ δήπου νόμος ὑμῖν, ἐάν
163 τις ὑποσχόμενός τι, τὸν δῆμον, ἢ βουλήν, ἢ δικαστή-
ριον ἐξαπατήσῃ, τὰ ἔσχατα πάσχειν. ἐγγυώμεθα, ὑ- ἐξαπατήσαι.
πισχνούμεθα. οἱ θεσμοθέται ταῦτα γραφόντων, ἐπὶ
τούτοις τὸ πρᾶγμα γιγνέσθω. μηδ' ὑμεῖς ποιήσητε
μηδὲν ἀνάξιον ὑμῶν αὐτῶν, μήτ' εἴ τις φαῦλός ἐστι,

Γραφέ-

ἀρίστου γένους, συλλογιζόμενος οὕτως. ὁ εὖ ποιῶν, τὸ κοινὸν ἐν κινδύνοις, σώζει τὴν πόλιν, καὶ τὴν δημοκρατίαν, ὡς οἱ τοὺς τυράννους διαφθείραντες. οὐδὲν οὖν ἀττικὸς ἐξισοῦσθαι αὐτοῖς καὶ κατὰ τὰς τιμάς. ταῦτα δὲ γέγραπται ὑπὸ δημοφάντου ἐν στήλῃ. εἴρηται δὲ ὑπὸ τοῦ προτέρου ῥήτορος φορμίωνος. Οὐ γὰρ ἔνεστιν εὐορκεῖν) Ἀποφαίνεται ἵνα μὴ μερισθῶσι τὴν γνώμην οἱ δικασταί, ὡς ἄρα οὐκ ἔστιν εὐορκεῖν κἂν ἕτερόν τι δράσωσιν. 266

οὐ γὰρ ἔνεστ' εὐορκεῖν, εἰ μὴ τοῦτο ποιήσετε. περὶ μὲν δὴ πάν- 266
τα ταῦτα, ἐκεῖνο ἔτι ἀκούσατέ μου. οὐκ ἔνι τοῦτον ἔ-
χειν καλῶς τὸν νόμον, ὃς περὶ τῶν προεληλυθότων καὶ
περὶ τῶν μ. * μελλόντων ταὐτὰ λέγει· μηδένα εἶναί φησιν ἀτελῆ,
πλὴν τῶν ἀφ' ἁρμοδίου καὶ ἀριστογείτονος. καλῶς.
μηδὲ τὸ λοιπὸν ἐξεῖναι δοῦναι. μηδ' ἂν τοιοῦτοί τινες 267
γένωνται λεπτίνη; εἰ τὰ πρὸ τοῦ κατεμέμφου, τί; μὴ καὶ
τὰ μέλλοντα ᾔδεις; ὅτι νὴ δία πόρρω τοῦ τι τοιοῦτον ἐλπί-
α. ζειν νῦν ἐσμέν. καὶ εἴη μέν γε, ὦ ἄνδρες ἀθηναῖοι. ἀλ-
λὰ χρή γε ἀνθρώπους ὄντας τοιαῦτα καὶ λέγειν καὶ νο-
μοθετεῖν, οἷς μηδεὶς ἂν νεμεσήσαι· καὶ τἀγαθὰ μὲν 268
προσδοκᾶν, καὶ τοῖς θεοῖς εὔχεσθαι διδόναι πάντα δ'
ἀνθρώπινα ἡγεῖσθαι. οὐδὲ γὰρ ἂν λακεδαιμόνιοί πο-
τε ἤλπισαν εἰς τοιαῦτα πράγματα ἀφίξεσθαι, οὐ-
δέ γε ἴσως συρακούσιοι τὸ πάλαι δημοκρατούμενοι, καὶ
φόρους καρχηδονίους πραττόμενοι, καὶ πάντων τῶν πε- 269
ρὶ αὐτοὺς ἄρχοντες, καὶ ναυμαχίᾳ νενικηκότες ἡμᾶς,
ὑφ' ἑνὸς γραμματέως, ὃς ὑπηρέτης ἦν, ὥς φασι, τυ-
ραννηθήσεσθαι. οὐδέ γε ὁ νῦν ὢν διονύσιος, ἤλπισεν ἄν
ποτ' ἴσως πλοίῳ στρογγύλῳ, καὶ στρατιώταις ὀλίγοις
ἐφ' ἑαυτόν. β δίωνα ἐλθόντα * ἐπ' αὐτὸν, ἐκβαλεῖν τὸν τριήρεις πολ- 270
λὰς, καὶ ξένους, καὶ πόλεις κεκτημένον. Ἀλλ' οἶμαι, τὸ

Οὐκ ἔνι τοῦτον ἔχειν καλῶς) Βουλόμενος αὐτοὺς τῷ ἀδήλῳ τοῦ μέλλοντος εἰς ἀγωνίαν καὶ ταραχὴν ἐμβαλεῖν, συνάγει τοὺς δύο χρόνους κατὰ τὸν νόμον, ἀρχὴν αὐτῷ τοῦ πράγματος ἐντεῦθεν ποιούμενος. ἔστι δὲ ἀπὸ τοῦ νομίμου κεφαλαίου τὸ * νόημα. (*ἐννόημα.) συντρέχει δὲ παρελθόντι δῆθεν, ἵνα μὴ δοκῇ ἄγαν φιλονεικεῖν ἔχει πιθανοὺς περὶ τοῦ μέλλοντος, λέγων, μηδ' ἂν τοιοῦτοί τινες γένωνται· δι' ὧν γὰρ συνέδραμε, τῇ ἀρετῇ αὐτῶν τὰ πρεσβεῖα δεδωκώς, διὰ τούτων ἀπαιτεῖ τοῖς τὰ ἴσα ἐπιδεικνυμένοις τὸ δίκαιον. Ὅτι νὴ δία πόρρω τοῦ τι) Ἀλλ' ἐρεῖς, ὡς οὐκ ἔστι πόλεμος, οὐδὲ καιρὸς παρενοχλεῖ χαλεπός, οὐδὲ κίνδυνος ὅθεν οὐ δεῖται τοιούτων εὐεργετῶν ἡ πόλις. βαρὺς ὁ λόγος. οὐ γὰρ εἶπε πόρρω τοῦ τι παθεῖν ἐσμέν, ἀλλὰ τοῦ ἐλπίζειν, ἵνα ἔχῃ λῦσαι τοῖς παραδείγμασι. Καὶ εἴη μέν γε ὦ ἄνδρες ἀθηναῖοι) Ηὔξατο μὲν διὰ τὸ μέγεθος, ὡς φιλόπολις. ἐμφαίνει δὲ ὅτι εὐχῆς, οὐ νόμου δύναμις, τὰ τῶν λογισμῶν ἐστίν. Ἀλλὰ χρή γε ἀνθρώπους ὄντας) Μετὰ φιλοσοφίας τὰ ἐνθυμήματα, καὶ ἀνθρωπίνων λογισμῶν, ὅταν αἰτοῦντες τὰ ἀγαθά, καὶ περὶ τῶν ἐναντίων μὴ ἀπελπίζωμεν, νεμεσᾷ γὰρ ὁ δαίμων, ὅταν [illegible] μεν οὕτως, ὡς οὐδέ ποτε φ[illegible]σόμενοι. 267

Προσδοκᾶν) Διαφόρως τῷ προσδοκᾶν, καὶ τῷ ἐλπίζειν χρῆται.

Πάντα ἀνθρώπινα) Τουτέστιν ἀπελπίζειν, ὅτι τὰ ἀνθρώπινα εὐμετάβολα. Οὐδὲ γὰρ ἂν λακεδαιμόνιοί ποτε) Τοῦτο πρὸς τὸ ἄνω ἔχει τὴν ἀναφοράν, ἐν ᾧ ἔφη, πόρρω τοῦ τι τοιοῦτον ἐλπίζειν ἐσμέν, ἵνα ἀποκρίνηται. οὐδὲ γὰρ ἂν λακεδαιμόνιοί ποτε ἤλπιζον εἰς τοιαῦτα πράγματ' ἀφίξεσθαι, ἀλλ' οὐχ ἥρμοττε διὰ τὴν εὔνοιαν τῆς πατρίδος, εὐθὺς ἀποκρίνασθαι διὰ τὸ δύσφημον. τοιγαροῦν παρεμβάλλων ἠθικῶς τὰ πρῶτα, τότε τὸ λυποῦν ἐπήγαγε λανθάνων. ἀναμιμνήσκει δὲ τῆς ἐν λεύκτροις συμφορᾶς τῆς καθελούσης τὴν σπάρτην, καὶ τῶν κατὰ τοὺς συρακουσίους. πανταχόθεν δὲ αὔξει καὶ τούτους. ἐπειδὴ τὸ ἐπὶ λακεδαιμονίων ὡς ὄντων γνωρίμων, οὐκ ἐδέετο. ἡ δὲ αὔξησις, ἀπὸ πολλῶν· ἀπὸ τοῦ λαμβάνειν φόρους ἀπὸ καρχηδονίων· ἀπὸ τοῦ ἄρχειν τῶν περὶ αὐτούς· ἀπὸ τοῦ νικῆσαι ναυμαχίᾳ τοὺς ἀθηναίους. πρόσκειται δὲ καὶ τὸ δημοκρατούμενον, ἵνα τὸ δεινὸν τῆς μεταβολῆς καὶ τῆς τυραννίδος, τὸ πταῖσμα ποιήσῃ σφοδρότερον. εἶτα ἐξάρας τὴν τῶν συρακουσίων ἰσχὺν, τὸν κεκρατηκότα λίαν ἠλάττωσε γραμματέα. καὶ ὑπηρέτην προσειπών, ὀνόματα παρ' ἀθηναίοις ἀπερριμμένα. τοιγάρτοι καί, ὥς φασι, προσέθηκεν, ἵν' ἐπιλάβοιτό τις, τῶν διηγησαμένων * ὑπάρξαι τὸ αἴτιον. (*ὑπάρξῃ.) εἴρηται δὲ ὑπό τινων, ὡς οἱ παρὰ τοῖς συρακουσίοις γραμματεῖς, σεμνοί τε εἰσὶ καὶ ἔνδοξοι, καὶ οὐχ οἱ παρ' ἀθηναίοις. ὅθεν τὸ ὑπηρέτης συνέζευξεν, ἵνα εἰς ἔννοιαν τοῦ παρ' αὐτοῖς γραμματέως ἀφίκωνται. 268

Οὐδέ γε ὁ νῦν ὢν διονύσιος ἤλπισεν) Οὗτος ὁ διονύσιος, ὁ σικελίας τύραννος, υἱός ἐστι τοῦ προτέρου καὶ δεύτερος. ὁ γὰρ πατὴρ αὐτοῦ, ἑρμοκράτους υἱός. τὴν δίωνος δὲ ἀδελφὴν εἶχεν ὁ πρῶτος διονύσιος γυναῖκα. οὐ μὴν ἐξ αὐτῆς ἦν ὁ δεύτερος διονύσιος γεγονώς, ἀλλ' ἐξ ἑτέρας γυναικὸς λοκρίδος. ἐπεβούλευσεν οὖν τῷ διονυσίῳ, ὡς συμπράττοντι τοῖς ἄλλοις, ἀλλ' οὐ τοῖς ἀπὸ τῆς ἀδελφῆς αὐτοῦ παισί. καὶ δὴ ἔφυγεν ὁ δίων, καὶ ὁ υἱὸς αὐτοῦ κακῶς ἔπασχεν ὑπὸ διονυσίου. ὑπὲρ τούτων ἀγανακτήσας ὁ δίων, ἀθρόως ἐπῆλθε λαθών, πλοίῳ στρογγύλῳ, φορτηγῷ δηλονότι. μακρὰ γὰρ τὰ πολεμικὰ ὀνομάζουσιν. ὅρα δὲ ὅσα πάλιν ἀντέθηκε. τριήρεις πολλάς, καὶ ξένους, καὶ πόλεις κεκτημένον. ὥστε μηδὲ τοὺς ἀθηναίους εἰ καὶ πολλὰ πρὸς δύναμιν κέκτηνται, περὶ τὴν ἀσφάλειαν θαρσεῖν. 269

Ἀλλ' οἶμαι τὸ μέλλον ἄδηλον) Μετὰ τὸν ἀπὸ τῶν παραδειγμάτων φόβον, ἦλθεν ἐπὶ τὸ κοινὸν ἐνθύμημα λοιπόν, ᾧ πάντες ἄνθρωποι δουλεύουσιν. ὅθεν καὶ παραινεῖ φιλοσόφως, μετριάζειν, καὶ μὴ λέγειν, ὡς πόρρω τοῦ ἐλπίζειν ἐσμὲν τὰ κακά. 270



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μέλλον ἄδηλον πᾶσιν ἀνθρώποις. καὶ μικρ… ιροὶ,
μεγάλων πραγμάτων αἴτιοι γίνονται, διὸ δεῖ με-
τριάζειν ἐν ταῖς εὐπραξίαις, καὶ προορωμένους τὸ
μέλλον φαίνεσθαι. πολλὰ δ᾽ ἂν τις ἔχοι λέγειν, ἔτι καὶ
271 διεξιέναι, περὶ τοῦ μηδαμῇ μηδὲ καθ᾽ ἓν τοῦτον ἔχειν
καλῶς τὸν νόμον, μηδὲ συμφέρειν ὑμῖν· ἀλλ᾽ ἵν᾽ ἐν κε-
φαλαίῳ τοῦτο μάθητε, κἀγὼ παύσωμαι λέγων, ῶδὶ
ποιήσατε. σκέψασθε παράλληλα, καὶ λογίσασθε πρὸς
ὑμᾶς αὐτούς, τί τε συμβήσεται κατεψηφισμένοις
272 ὑμῖν τοῦ νόμου, καὶ τί μή· εἶτα φυλάττετε, καὶ μέμνη-
σθε, ἃ ἂν ὑμῖν ἐξ ἑκατέρου φανῇ, ἵνα ἕλησθε τὰ κρείτ-
τω. ἂν μὲν τοίνυν καταψηφίσησθε, ὥσπερ ἡμεῖς κε-
λεύομεν, οἱ μὲν ἄξιοι τὰ δίκαια παρ᾽ ὑμῶν ἕξουσιν.
εἰ δέ τις ἐστ᾽ ἀνάξιος, ὡς ἔστω, πρὸς τῷ τὴν δωρεὰν
273 ἀφαιρεθῆναι, δίκην, ἣν ἂν ὑμῖν δοκῇ, δώσει κατὰ τὸν
παρεισενηνεγμένον νόμον· ἡ δὲ πόλις, πιστή, δικαία,
πρὸς ἅπαντας ἀψευδὴς φανήσεται. ἐὰν δὲ ἀποψη-
φίσησθε, ὃ μὴ ποιήσαιτε, οἱ μὲν χρηστοὶ, διὰ τοὺς
φαύλους ἀδικήσονται· οἱ δὲ ἀνάξιοι συμφορᾶς ἑτέ-
274 ροις αἴτιοι γενήσονται. δίκην δ᾽ οὐδ᾽ ἥντινοῦν αὐτοὶ
δώσουσιν. ἡ δὲ πόλις τἀναντία ὧν εἶπον ἀρτίως, δόξει,
ἄπιστος, φθονερά, φαύλη παρὰ πᾶσιν εἶναι. οὐκοῦν ἄ-
ξιον ὦ ἄνδρες Ἀθηναῖοι τοσαύτην βλασφημίαν,
ἀντὶ καλῶν καὶ προσηκόντων ὑμῖν ἀγαθῶν, ἑλέσθαι.
275 καὶ γὰρ ἕκαστος ὑμῶν ἰδίᾳ μεθέξει τῆς δόξης τῶν κοινῇ
γνωσθέντων. οὐ γὰρ ἀγνοεῖ γε τοῦτο οὐδεὶς οὔτε τῶν πε-
ριεστηκότων, οὔτε τῶν ἄλλων, ὅτι ἐν μὲν τῷ δικαστηρίῳ
λεπτίνης πρὸς ὑμᾶς ἀγωνίζεται, ἐν δὲ τῇ τῶν καθη-
μένων ὑμῶν ἑνὸς ἑκάστου γνώμῃ, φιλανθρωπία πρὸς
276 φθόνον, καὶ δικαιοσύνη πρὸς κακίαν, καὶ πάντα τὰ χρη-
στά, πρὸς τὰ πονηρὰ ἀντιτάττεται. ὧν τοῖς βελτίοσι
πειθόμενοι, καὶ κατὰ ταῦτα ἡμῖν θέμενοι τὴν ψῆφον,
αὐτοί τε, ἃ προσήκει, δόξετ᾽ ἐγνωκέναι, καὶ τῇ πόλει τὰ
κάλλιστα ἔσεσθε ἐψηφισμένοι. κἂν τις ἄρ᾽ ἔλθῃ ποτὲ
277 καιρός, οὐκ ἀπορήσετε τῶν ἐθελησόντων ὑπὲρ ὑμῶν
κινδυνεύειν. ὑπὲρ οὖν τούτων ἁπάντων οἶμαι δεῖν ὑ-
μᾶς* σπουδάζειν, καὶ προσέχειν τὸν νοῦν, ὅπως μὴ βια-
σθῆτε ἁμαρτεῖν. πολλὰ γὰρ ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι,
πολλάκις οὐκ ἐδιδάχθητε, ὡς ἔστι δίκαια, ἀλλ᾽ ἀφῃρέ-
278 θητε ὑπὸ τῆς τῶν λεγόντων κραυγῆς, καὶ βίας, καὶ ἀναι-
σχυντίας· ὃ μὴ πάθοιτε νῦν. οὐ γὰρ ἄξιον. ἀλλ᾽ ἃ δίκαια
ἐγνώκατε, ταῦτα φυλάττετε, καὶ μνημονεύετε ἕως
ἂν ψηφίσησθε,

τὰ δέ.
α. καταψηφισαμένοις. α. β. η.
ἡ. ὑμῶν. α.
ποιήσητε. α.
ἀδικηθήσονται.
ἅπασιν. α.
α.
πονηρότατα. α.
ταῦτα.
ὑμῖν. β.
κράτιστα. α. η.
* ἅπαντας. η.
ἁμαρτάνειν. ζ.
πάθητε. α.
φυλάξατε. α. η.
μνημονεύσατε, α.

271 Σκέψασθε παράλληλα) Ἀντεξέτασιν ποιεῖται καὶ ἀντιπαράθεσιν τῶν ἀποβησομένων ἐξ ἑκατέρου μέρους, ἐάν τε λυθῇ ὁ νόμος, ἐάν τε κύριος γένηται. δεδωκὼς δὲ τὴν σκέψιν καὶ τὴν αἵρεσιν, ὅμως πάλιν ἀφ᾽ ἑαυτοῦ διορίζεται, καὶ πρὸς τὸ χρήσιμον
272 διοικεῖται ἃ βούλεται. Οἱ μὲν ἄξιοι) Οὐκ ἐπήγαγε, τιμηθήσονται, ἀλλὰ τὰ δίκαια ἕξουσιν. Εἰ δέ τις ἐστὶν ἀνάξιος) Ἐπειδὴ τοῦτο ἄνω καὶ κάτω προφέρει λεπτίνης, οὐδ᾽ αὐτὸ ἀφῆκεν ἀδιόρθωτον. τὸ δέ, ὡς ἔστω, τοιοῦτόν ἐστιν. ἐγὼ μὲν οὐκ οἶμαί τινα εἶναι ἀνάξιον. ἔστω δὲ διὰ τὸ φάσκειν τού-
273 τους, ἵνα μὴ ταύτῃ λυπήσωμεν. Δίκην, ἣν ἂν ὑμῖν δοκῇ, δώσει) Ἔχει μετὰ τοῦ δικαίου καὶ θεραπείαν ὁ λόγος, τὸ ὑμῖν, μὴ τὸ λεπτίνῃ δοκοῦν, κυροῦσθαι. τοῦτο δὲ ὁ ἡμέτερος ὑμῖν χαρίζεται νόμος ὁ παρεισφερόμενος. Ἡ δὲ πόλις πιστή) Πιστή, διὰ τὸ μὴ μεταβάλλεσθαι, δικαία, διὰ τὴν ἀντίδοσιν. ἀψευδής, διὰ τὸ μὴ ἠπατηκέναι τοὺς εὖ ποιήσαντας. Ἐὰν δὲ ἀποψηφίσησθε, ὃ μὴ ποιήσαιτε) Ἀπεύχεται γενέσθαι τὸ φαῦλον, ὃ διαβάλλει καὶ βλάπτει τὴν πόλιν. εἶτα τὸ ἄτοπον ἐν ὑπερβολῇ. οὐχ ὅπως γε, ὡς ἄνω εἰρήκαμεν, οἱ ἀνάξιοι δίκας παρέξουσιν, ἀλλὰ καὶ τοῖς ἀγαθοῖς συμφορῶν γενήσονται πρόξενοι. μετὰ ταῦτα, μέγιστα ὀνείδη περιέσται τῇ πόλει, καὶ φθόνου, καὶ ἀπιστίας, καὶ φαυλότητος. Ἑτέροις) Ἤγουν
274 τοῖς ἀξίοις. Οὔκουν ἄξιον ὦ ἄνδρες Ἀθηναῖοι) Εἰς ὄψιν αὐτοῖς ἀμφότερα, λέγει, τίς οὖν εὖ φρονῶν, τὰ δὲ μὲν ἀφίησιν, αἱρεῖται δὲ
276 τὰ χείρω. Ὧν τοῖς βελτίοσι πειθόμενοι) Δόντες, φησί, τοῖς βελτίοσι τὰ νικητήρια. καὶ μεθ᾽ ὑμῶν γενόμενοι, πάντα κομιεῖσθε τὰ συμφέροντα, καὶ
277 νῦν, καὶ ἐς ὕστερον. Ὅπως μὴ βιασθῆτε ἁμαρτεῖν) Φιλονείκους αὐτοὺς πρὸς τὸ μὴ εἴκειν καθίστησιν. οὐ γὰρ ἀνέξονται βιασθῆναι. Πολλὰ γὰρ ὑμεῖς ὦ ἄνδρες Ἀθηναῖοι) Θεραπεύει πρὸς τῷ τέλει τὸ δικαστήριον, μετάγων τὴν αἰτίαν τῶν ἁμαρτημάτων ἐπὶ τοὺς ῥήτορας. καὶ ἵνα μὴ εὐάλωτοι δόξωσιν εἶναι, πολλὰς τὰς ἀνάγκας τῆς ἀπάτης εἰργάσατο, κραυγῆς καὶ βίας καὶ
278 ἀναισχυντίας εἰπών. Ὃ μὴ πάθοιτε νῦν) Κρατήσατε οὖν τούτων νῦν. οὐ γὰρ ἄξιον Ἀθηναίους ὄντας, ἐν τοῖς οὕτω φανεροῖς ἀπατᾶσθαι. Ἀλλ᾽ ἃ δίκαια ἐγνώκατε) Ὑφαρπάζει τὴν ψῆφον, ὡς ἤδη ἔχων αὐτὴν ἀπὸ τῆς διανοίας τῶν δικαστῶν. προσποιεῖται δὲ καὶ ὑπὲρ αὐτῶν φροντίζειν, προσπα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὖ ψηφίσησθε, ἢν εὔορκον θῆσθε τὴν ψῆφον, κατὰ τῶν τὰ πονηρὰ συμβουλευόντων. θαυμάζω δ' ἔγωγε, εἰ 279
τοῖς μὲν τὸ νόμισμα διαφθείρουσι, θάνατος παρ' ὑμῖν ἐστὶν ἡ ζημία, τοῖς δ' ὅλην τὴν πόλιν κίβδηλον καὶ ἄπιστον ποιοῦσι, λόγον δώσετε. οὐ δή που γε, ὦ Ζεῦ καὶ
ῶν. α. θεοί, οὐκ οἶδ' ὅτι δεῖ πλείω λέγειν. οἶμαι γὰρ ὑμᾶς, οὐ- 280
δὲν ἀγνοεῖν τῶν εἰρημένων.

ρεμβαλὼν τὸ εὔορκον; Θαυμάζω δ' ἔγωγε εἰ τοῖς μὲν τὸ νόμισμα) Ἐπιχείρημα ἀπὸ τοῦ ἐλάττονος. εἰ γὰρ ἐπίκειται τοῖς τὸ νόμισμα διαφθείρουσι θάνατος ἡ ζημία, πῶς οὐ μισητέον πλέον τοὺς κίβδηλον τῆς πόλεως τὸ ἦθος ἀποδεικνύντας. νόμισμα δὲ τὸ ἀργύριον, ὃ ἄν τις, φησὶ, παραχαράξῃ, κολάζεται. καὶ τοῦτο μὲν ποιεῖ κοινὴν βλάβην, οὐ μέντοι τὴν πολιτείαν βλάπτει, ὅμως δ' οἱ παραχαράττοντες τιμωροῦνται. νόμους δὲ τὸν παραχαράττοντα οὐ τιμωρούμεθα; οὐκοῦν κολαζέσθω. ἐπεχείρησε γὰρ διαφθεῖραι διὰ τοῦ νόμου, τὴν πολιτείαν.

## ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ, ΤΟΥ ΚΑΤΑ ΜΕΙΔΙΟΥ λόγου. ὑπὲρ τοῦ κονδύλου.

περὶ. α. β.

Ἑορτὴν ἦγον οἱ Ἀθηναῖοι Διονύσῳ, ἣν ἐκάλουν ἀπὸ τοῦ θεοῦ Διονύσια. ἐν δὲ ταύτῃ, τραγικοὶ, καὶ κωμικοὶ καὶ αὐλητῶν χοροὶ διηγωνίζοντο. καθίστασαν δὲ τοὺς χοροὺς αἱ φυλαὶ, δέκα τυγχάνουσαι. χορηγὸς δὲ ἦν ἑκάστης φυλῆς, ὁ τὰ ἀναλώματα παρέχων, τὰ περὶ τὸν χορόν. ὁ τοίνυν Δημοσθένης, τῆς ἑαυτοῦ φυλῆς τῆς πανδιονίδος, ἐθελοντὴς ὑπέστη χορηγός. ἐχθρᾷ δὲ κεχρημένος τῷ Μειδίᾳ, τῶν πλουσίων ἑνὶ, φησὶ μὲν καὶ ἄλλα ἐπὶ τὴν χορηγίαν αὐτοῦ πεπονθέναι κακῶς. τὸ δὲ τελευταῖον, ἐπὶ τῆς ὀρχήστρας κονδύλοις ἔλαβεν ἐνώπιον πάντων τῶν θεατῶν. ἐπὶ τούτῳ κατηγόρησεν ἐν τῷ δήμῳ τοῦ Μειδίου, ὡς ἠσεβηκότος εἰς τὴν ἑορτὴν, καὶ εἰς τὸν Διόνυσον. ἐκαλεῖτο δὲ ἡ τοιαύτη κατηγορία, προβολή. ὁ μὲν οὖν δῆμος κατέγνωκε τοῦ Μειδίου τὴν ἀσέβειαν. ἀγωνίζονται δὲ νῦν ἐν δικαστηρίῳ, περὶ τῆς τοῦ δήμου καταχειροτονίας. ἔδει γὰρ καταγνόντος τοῦ δήμου, δικαστήριον κρῖναι δεύτερον. ἔστιν οὖν ὁ ἀγὼν, περὶ ὑπομνήσεως. οὐ γὰρ περὶ τοῦ μηδὲν ἀδικεῖν ὁ Μειδίας ἀγωνίζεται, ἀλλὰ περὶ τοῦ τιμήματος, πότερον ὕβρεως, ἢ ἀσεβείας ὀφείλει δίκην. ὁ εἰκὸς οὖν ὁ λόγος τῆς στάσεως, τοῦ μὲν Μειδίου λέγοντος, ὕβριν εἶναι τὸ πραχθὲν, ἐπειδὴ ἔτυψεν ἄνδρα ἐλεύθερον· τοῦ δὲ Δημοσθένους, ἀσέβειαν, ἐπειδὴ χορηγὸς ἦν ὁ τυφθεὶς, καὶ ἐν Διονυσίοις, καὶ ἐν τῷ θεάτρῳ· διὰ γὰρ τούτων καὶ ἠσεβηκέναι τὸν Μειδίαν φησίν· ὡς εἶναι διπλοῦν ὅρον κατὰ σύλληψιν, ὅταν μὴ ἐκβάλλοντες τὸ ὑπὸ τῶν ἀντιδίκων εἰσαγόμενον ὄνομα, καὶ ἕτερον αὐτῷ προστιθῶμεν, ὥσπερ ἐνταῦθα ὁ Δημοσθένης τοῦ Μειδίου λέγοντος ὕβριν εἶναι, οὐκ ἐκβάλλει μὲν οὐδὲ τὴν ὕβριν, προστίθησι δὲ αὐτῇ καὶ τὴν ἀσέβειαν. ΑΛΛΩΣ.

γρ. ἐπετέλουν. — πανδιονίδος. — ά. ὑπὸ. — λαβεῖν. — τετύπηκεν. κ. ε. — τετυπημένος. α. ε.

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΚΑΤΑ ΜΕΙΔΙΟΥ λόγου Δημοσθένους περὶ τοῦ κονδύλου.

Διάφοροι παρὰ Ἀθηναίοις ἤγοντο ἑορταί. ἐν αἷς ἦν τὰ Παναθήναια, ἅπερ ἦν διπλᾶ, μικρά τε καὶ μεγάλα· καὶ τὰ μὲν μεγάλα, κατὰ πενταετηρίδα ἐτελεῖτο, τὰ δὲ μικρὰ, κατὰ τριετηρίδα. ἐν μὲν οὖν τοῖς μεγάλοις, γυμνάσιά τινα ἐγίνοντο, καὶ προεβάλλετο ἀφ' ἑκάστης φυλῆς εἷς γυμνασίαρχος, λαμβάνων χρήματα εἰς τὸ γυμνάζειν τοὺς ἐπιτελέσοντας τὴν ἑορτὴν, καὶ δώσοντας τούτων δαπάνας τοῖς τῆς ἑαυτοῦ φυλῆς. ἤγετο δὲ παρ' αὐτῶν, καὶ τὰ Διονύσια καὶ ταῦτα διπλᾶ, μικρά τε καὶ μεγάλα, καὶ τὰ μὲν μικρὰ ἤγετο κατ' ἔτος, τὰ δὲ μεγάλα διὰ τριετηρίδος ἐν τοῖς Ληναίοις, ἐν οἷς προεβάλλετο χορηγὸς ἀφ' ἑκάστης φυλῆς πρὸς τὸ τρέφειν χοροὺς παίδων τε καὶ ἀνδρῶν. ἐλάμβανε δὲ εἰς τοῦτο χρήματα. ἐπιστάσης δὲ τῆς ἑορτῆς, ἠγωνίζοντο πρὸς ἀλλήλους οἱ χορηγοὶ καὶ ᾖδον, ὕμνους εἰς τὸν Διόνυσον ᾄδοντες. καὶ τῷ νικῶντι, τρίπους τὸ ἆθλον ἦν, ἐπειδὴ τὸν αὐτὸν ἥλιον καὶ Ἀπόλλωνα, καὶ Διόνυσον ᾤοντο. παυομένης δὲ τῆς ἑορτῆς, ἐν ᾧ πρώτῳ μηνὶ προεβάλλοντο οἱ χορηγοὶ τῆς μελλούσης ἑορτῆς. ἐν τούτῳ τῷ παρόντι καιρῷ προεβλήθησαν οἱ χορηγοὶ ἑκάστης φυλῆς. ἐστασίαζε δὲ ἡ Πανδιονὶς, ἡ τοῦ Δημοσθένους φυλὴ, χορηγοῦ. καὶ ἠμέλησε τὸ πρῶτον ἔτος, τὸ δεύτερον, τὸ τρίτον. ἔθος δὲ ἦν πρὸ μηνὸς τῆς ἑορτῆς τὸν ἄρχοντα συνάγειν τοὺς χορηγοὺς ἑκάστης φυλῆς εἰς τὸ λαχεῖν τε εἰ τῶν αὐλητῶν. καὶ ἐλθόντων τῶν χορηγῶν ἑκάστης φυλῆς πλὴν τοῦ τῆς Πανδιονίδος, ἰδὼν ὁ Δημοσθένης τὴν ἑαυτοῦ φυλὴν ἀπιναζομένην παρὰ πάντων, ὡς μὴ κεκτημένην χορηγὸν, αὐτεπάγγελτον καὶ αὐτοχειροτόνητον ἑαυτὸν χορηγὸν τῇ φυλῇ καθίστησι· καὶ τοῦθεν ἐπῃνεῖτο παρὰ πάντων. καὶ δὴ λαχόντος αὐτοῦ περὶ τῶν αὐλητῶν συνέπραξεν αὐτῷ ἡ τύχη τῇ προθυμίᾳ. καὶ ἔλαχεν αὐτῷ ὁ κάλλιστος τῶν αὐλητῶν ὁ Τηλεφάνης. θέλων οὖν ὁ Δημοσθένης κοσμῆσαι τὸν αὐτοῦ χορὸν πλέον τῶν ἄλλων, ἐποίησεν αὐτὸν φορέσαι χρυσοῦς στεφάνους. Μειδίας δὲ, τῶν πολιτευομένων τις ὢν, σφόδρα πλούσιος καὶ πολλὰ δυνάμενος, ἐχθρὸς τῷ Δημοσθένει γεγονὼς διὰ τὰς αἰτίας, ἃς ἐρεῖ μετὰ μικρὸν ἐν τῷ λόγῳ, πολλάκις καὶ ἄλλα παρηνώχλει καὶ ἐπηρέαζε, καὶ δὴ καὶ ὡς ὁ Δημοσθένης λέγει, ὅτι ὀμνυόντων τῶν κριτῶν τῷ καλῶς ᾄσαντι δοῦναι τὴν νίκην, νύττων αὐτοὺς ὁ Μειδίας, ἔλεγε πλὴν Δημοσθένους. ὅθεν ὁ Δημοσθένης ἐβόα ἐλέγχων αὐτόν. καὶ τε-

ἐπιτελοῦντο. — γρ. μέλλοντας ἐπιτελέσαι. — διδόναι ταῖς αὐτῆς. — τροφὴν τῶν τοῦ χοροῦ χρημ. — ηὐτελίζετο ἀπὸ πάντων. α — ὑπὸ τῆς φυλῆς προεβάλλετο. α — αὐτοῖς.

κληρουμένων. — αὐτοῦ γρ. — γρ. καὶ ἔλαχεν αἱρεῖσθαι αὐτῷ τὸν κάλλιστον τῶν αὐλητῶν τὸν Τηλεφάνην.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λυτῶν, εἰς τοιαύτην ἦλθε μανίαν ὁ μειδίας, ὥστε ἐν τῷ θεάτρῳ, κόνδυλον αὐτῷ παραγαγεῖν, καὶ τὴν ἱερὰν περιρρῆξαι ἐσθῆτα. καὶ ἰδὼν ὁ δῆμος ἐπισύειτεν. ὃ παρὰ τοῖς παλαιοῖς ἐπὶ κακοῦ ἐλαμβάνετο. ἀπελθὼν δὲ ὁ δημοσθένης ἐσκέψατο τὸν παρόντα λόγον κατηγορῶν αὐτοῦ δημοσίων ἀδικημάτων. ἐν ᾧ καὶ διαβάλλει τὸν μειδίαν, ὡς κλέψαντα ἀπὸ τῶν χρυσῶν στεφάνων ὀνητοὺς παρὰ τοῦ χρυσοχόου. ἄγει δὲ τοίνυν αὐτὸν ἐπὶ τὴν κρίσιν ὁ ῥήτωρ, καταφορᾷ πλείστῃ καὶ τόνῳ σφοδρῷ προσχρησάμενος. ἡ γὰρ τοῦ μειδίου ποιότης, καὶ ἡ τῶν πραγμάτων προπέτεια, τῇ καταδρομῇ συμμαχεῖ. ἡ δὲ στάσις ὅρος εἰκή, ζητούντων ἡμῶν ἴδιον ὄνομα τῷ ἐγκλήματι. ὁ μὲν γὰρ μειδίας, ἰδιωτικόν. ὁ δὲ ῥήτωρ, δημόσιον εἶναι κατασκευάζει. ὅρος γάρ ἐστιν, οὗ τὸ μὲν, πέπρακται, τὸ δὲ, λείπει πρὸς τὸ τέλεον τοῦ ὀνόματος τοῦ ἐπιτεθησομένου τῷ πράγματι. ὡς ἐπὶ τοῦ τὸ κενοτάφιον ὀρύξαντος, καὶ κρινομένου τυμβωρυχίας. ἐνταῦθα γὰρ πέπρακται μὲν τὸ ὀρύξαι. λείπει δὲ τὸ τάφον ὀρύξαι, οὐ κενοτάφιον. λέγει γὰρ ὁ φεύγων, ὤρυξα μὲν, οὐ τάφον δέ. οὐ γὰρ εὗρον νεκρόν. ὁ δὲ διώκων ἀντιφέρει, ὅτι τὸ διορύξαι κενοτάφιον, τυμβωρυχίαν καλῶ. οὐ γὰρ αὐτὸς ᾔδεις, ὅτι κενοτάφιόν ἐστιν, ἀλλ' ὡς τάφον ὀρύττων ἐπὶ κενοτάφιον εὕρηται, ἄξιος μὴ δοῦναι δίκην. οὕτω κἀνταῦθα, πέπρακται μὲν τὸ τύψαι τὸν δημοσθένην. λείπει δὲ, τὸ καλέσαι τὸν αὐτοχειροτόνητον, χορηγόν. ὁ γὰρ δημοσθένης λέγει, ὅτι χορηγὸν ἔτυψας. ὁ δὲ μειδίας, ὅτι χορηγὸν ἁπλῶς οὐκ ἔτυψα· αὐτοχειροτόνητος γὰρ ἦσθα, ἀλλ' ἰδιώτην. τοῦτο δὲ οὐκ ἔστι δημόσιον ἀδίκημα. διπλοῦς δὲ ὁ ὅρος εἴδους τοῦ κατὰ σύλληψιν. κατὰ σύλληψιν δέ ἐστιν, ὅταν ὁ διώκων τὴν αὐτοῦ δικαιολογίαν καὶ τὴν τοῦ φεύγοντος εἰς ἓν συνάγῃ. ἔνθα γὰρ οὐ τὸ μὲν ἐκβάλλει τις, τὸ δὲ, δέχεται, ἀλλ' ἄμφω συγκροτεῖ καὶ συλλαμβάνει, τοῦθ' ὑπαγόμενον τῷ εἴδει. φαίνεται οὖν ὁ ῥήτωρ ἐν πολλοῖς τοῦτο ποιῶν μέρεσι, καὶ φάσκων ἅμα αὐτῷ, καὶ τὴν πόλιν ὑβρίζεσθαι. κεφάλαια δὲ, τὰ τῇ τάξει προσήκοντα ἐστὶ τῷ λόγῳ. τὰ δὲ προοίμια, καταφορικὰ, ὑπερβολὴν ἔχοντα πολλὴν, καὶ τῶν περιστατικῶν αὔξησιν. τὸ γὰρ, οὐ πρὸς ἅπαντας, καὶ οὐ πρὸς ἐμὲ μόνον, καὶ τὸ ἀεὶ, τὴν μελέτην τῆς ἀτοπίας, καὶ οὐ πρὸς ἅπαξ ἐκ τύχης ἡμαρτηκότα δείκνυσι. Κεφάλαια δὲ τοῦ λόγου εἰσὶ, ταῦτα. ὅρος, ἀνθορισμὸς, γνώμη νομοθέτου, συλλογισμὸς, πηλικότης πρός τι, καὶ μία τῶν ἀντιθετικῶν. μεθ' ἣν ἐμπίπτει τὸ μεταληπτικὸν καὶ ἀντιληπτικόν. ἐνταῦθα διὰ τεσσάρων ὅρων ὁ ῥήτωρ ἐμπλέκει τὴν κατηγορίαν, δεικνύων ὅτι δημόσια μειδίας ἠδίκησεν. ἔστι δὲ ὁ πρῶτος ὅρος οὗτος, ὅτι οἱ ἐν ἑορτῇ ἀδικοῦντες, δημόσιον ἀδίκημα ποιοῦσι. δεύτερος ὅρος, καὶ μάλιστα οἱ χορηγοὶ ἀδικοῦντες. τρίτος ὅρος, ὅτι πᾶσα ὕβρις, δημόσιόν ἐστιν ἀδίκημα. παραλογίζεται δὲ ἐνταῦθα, ἐκ τῆς ὁμωνυμίας τῆς ὕβρεως. λέγεται γὰρ ὕβρις, ἡ δι' αἰσχρουργίας, καὶ ἡ διὰ λόγων, καὶ ἡ διὰ πληγῶν. δημόσιον δὲ ἀδίκημα ἡγεῖτο τὴν αἰσχρουργίαν. τῇ οὖν ὁμωνυμίᾳ παρελογίσατο. τέταρτος ὅρος, ὅτι ὁ πάντας ἀεὶ ὑβρίζων, δημόσια ἀδικεῖ. εἰ γὰρ τὸ δημόσιον ἐκ πάντων συνίσταται, ἄρα δημόσιον τὸ ἀδίκημα. τίθησι δὲ σπερματικῶς ἐν τῷ προοιμίῳ τοὺς τέτταρας ὅρους. ἐκ τούτων εἰσὶν ἐν τοῖς ἀγῶσι τρεῖς· τὸν δὲ τέταρτον ὅρον τίθησιν ἐν τῇ παρεκβάσει. καὶ δικαίως. λέγων γὰρ ὅτι πάντας ὑβρίζων, δημόσια ἀδικεῖ, προεξέρχεται λέγων τὸν πρότερον αὐτοῦ βίον. ἔχει δὲ ὁ παρὼν λόγος δύο προοίμια. τὸ πρῶτον ἐκ διαβολῆς εἰλημμένον τοῦ ἐναντίου, καὶ ἐκ συστάσεως τοῦ οἰκείου προσώπου, καὶ ἐκ προσοχῆς. ἔστι δὲ ἡ πρότασις διμερής. καὶ τὸ μὲν πρῶτον μέρος, ἀκατάσκευον. τὸ δὲ δεύτερον, καὶ αὐτὸ διμερές. καὶ κατασκευάζει τούτων ἑκάτερον. εἶτα ἐπιφέρει τὸ συμπέρασμα, ἐν ᾧ ἐστιν ἡ προσοχή. Ορος κατὰ σύλληψιν. λέγεται δὲ οὕτως, ὅταν τοῦ φεύγοντος ἀντονομάζοντος, ὁ διώκων καὶ τούτῳ κἀκείνῳ ὑπεύθυνον αὐτὸν εἶναι λέγῃ τῷ ὀνόματι. ὥστε διπλοῦς ἐστιν, ἐπὶ δύο περιέχει ἐγκλήματα. παράδειγμα, ὁ κατηγορὸς ὁ βιασάμενος τὴν παραπεσοῦσαν κόρην ὑπὸ τοῦ πρεσβύτου, καὶ δημοσίων ἀδικημάτων κρινόμενος, καὶ ἀποκρινόμενος μὴ δημόσια ἠδικηκέναι, ἀλλὰ βιάσασθαι. ὁ δὲ πρεσβύτης, ἀμφοτέροις αὐτὸν φάσκων ὑπεύθυνον εἶναι. Τὸ προοίμιον ἀπὸ τοῦ ἀντιδίκου. ὁ δὲ λόγος δι' ἑνὸς εἴδους προάγεται, ἤτοι δικανικοῦ. [δικανικ]οῦ γὰρ καὶ τὸ τέλος δίκαιον, καὶ ἡ κατασκευὴ διὰ τοῦ δικαίου.

ὅσης συνεισμός. α.
κατήγορος
συνάγει. α. β.
ἀμφότερα.
δημοσθένης
τῷ δημοσθένει.
δημοσθένης
λέγεται ὕβρις καὶ ἡ διὰ λόγων. λέγεται πάλιν ὕβρις καὶ ἡ διὰ πληγῶν.
παρεξέρχεται α. β.
χ. παρακαθεῖσαν

α.
ὅρ. ἡ. α.
αὐτοτελείας.
ἐπιτεθημένου.
οὐ τάφον ὤρυξα.
λέγω.
ἀλλὰ δημοσθένην ἰδιώτην ὄντα. τὸ δὲ τύψαι ἰδιώτην οὐκ ἔστι δημ.
α.
στάσ.
προοίμιον καταφορικόν.
χορηγὸν ἀδικοῦντες.
αἰσχρολογίας γινομένης.
α.
καὶ ἀλήθειας
τὸ πρῶτον προοίμιον ἐκ διαβολῆς τοῦ ἐναντίου.

ΕΙΣ ΤΟΝ

# ΕΙΣ ΤΟΝ ΚΑΤΑ ΜΕΙΔΙΟΥ

## ΔΗΜΟΣΘΕΝΟΥΣ ΛΟΓΟΝ ΕΞΗΓΗΣΙΣ.

ΤΗΝ μὲν ἀσέλγειαν, ὦ ἄνδρες δικασταί, καὶ τὴν ὕβριν, ᾗ πρὸς ἅπαντας ἀεὶ χρῆται μειδίας, 1 οὐδένα οὔθ' ὑμῶν, οὔτε ἄλλων τῶν πολιτῶν ἀγνοεῖν οἴομαι) Τὸ προοίμιον ἐξ ὑπολήψεως τοῦ κατηγόρου, κατ' αὐτὸ τοῦτο ἔγκλημα ἔχοντος. ἔνθα φησὶν ἑρμογένης, ὅτι περὶ αὐτῶν ὑπολήψεις ἢ χρησταὶ συνίστανται, ἢ πονηραί. κατηγοροῦντες οὖν, τὰς φύσει προσούσας φαύλας βεβαιώσομεν. τὰς δὲ χρηστάς, διαλύσομεν. ἐνταῦθα οὖν ὁ ῥήτωρ τὰς φαύλας βεβαιοῖ, τῶν δὲ χρηστῶν οὐ μέμνηται, ὡς ὁμολογούμενον δὲ παρὰ πάντων θείς, ἀφῆκε τὴν κατασκευὴν ἀναγκαίως. οὐ γὰρ ἀμφίβολον. παθητικὸν δὲ τὸ προοίμιον ἀγανακτοῦντος ἐπὶ τῇ τοῦ μειδίου ὕβρει. Ζητήσειε δ' ἄν τις ὅπως δημοσίᾳ κρίνων αὐτόν, ὕβρεως ἐμνημόνευσε. Καὶ ῥητέον, ὅτι βούλεται πᾶσαν ὕβριν δημοσίαν ἐπιδεῖξαι, καὶ μάλιστα τὴν μειδίου. εἰ γὰρ καθ' ἕνα πάντας ὑβρίζει, ἐκ δὲ τῶν καθ' ἕνα πόλις, δηλονότι δημοσίᾳ ἀδικεῖ. καταφορικῇ δὲ κέχρηται τῇ προτάσει διὰ τὴν ποιότητα τοῦ μειδίου. πλούσιος γὰρ καὶ μεγαλόφρων. οἱ δὲ τοιοῦτοι μείζους εἰσὶ τῶν πολλῶν, καὶ ὡς τυραννικοὶ διαβέβληνται. διὸ δὴ καὶ εἶπεν, ὅτι πάντας ὑβρίζει, τὸ τῶν τυράννων ἴδιον αὐτοῦ κατηγορῶν. εἰσφέροντες δέ τινες ἡμῖν καινὸν ὄνομα, λέγουσιν ὅτι τὴν ἀσέλγειαν ἐνταῦθα ἔλαβεν ἐπὶ τῆς αἰσχρουργίας. φαμὲν δὲ καὶ ἡμεῖς ὅτι ἀσελγὴς λέγεται, ὁ μὴ μετέχων μήτε δικαιοσύνης, μήτε ἀρετῆς. σέλγη γάρ ἐστι μία πόλις τῆς παμφυλίας, ἐν ᾗ πάντες δίκαιοι ἦσαν, καὶ ἀρετῆς ἀνάμεστοι. ἀσελγὴς οὖν ὁ μὴ μετέχων τῆς σέλγης. Ἐγὼ δὲ ὅπερ ἂν καὶ ὑμῶν ἕκαστος) Ἐντεῦθεν τὸ πρῶτον μέρος τοῦ δευτέρου μέρους τῆς προτάσεως. ἐπειδὴ δὲ διαβάλλων εἰς ἀγνότητα αὐτὸν ὁ μειδίας, ἔλεγεν ὅτι οὐδὲν πέπονθε δεινόν, ἀλλὰ τῇ τέχνῃ θαρρῶν ἐπαίρει τὰ πράγματα, καὶ τὰ

[καί. / ἀμφίβαλον.]

# ΔΗΜΟΣΘΕΝΟΥΣ, Ο ΚΑΤΑ ΜΕΙΔΙΟΥ

## λόγος, περὶ κονδύλου.

ΤΗΝ μὲν ἀσέλγειαν, ὦ ἄνδρες δικασταί, καὶ τὴν ὕβριν, ᾗ πρὸς ἅπαντας ἀεὶ χρῆται μειδίας, οὐδένα οὔθ' ὑμῶν, οὔτε τῶν ἄλλων πολιτῶν ἀγνοεῖν οἴομαι. ἐγὼ δ' ὅπερ ἂν καὶ ὑμῶν ἕκαστος ὑβρισθεὶς προείλετο 1
2 πρᾶξαι, τοῦτο καὶ αὐτὸς ἐποίησα. καὶ προυβαλόμην ἀδικεῖν τουτονὶ περὶ τὴν ἑορτήν, οὐ μόνον πληγὰς ὑπ' αὐτοῦ λαβὼν τοῖς διονυσίοις, ἀλλὰ καὶ ἄλλα πολλὰ καὶ βίαια παθὼν παρὰ πᾶσαν τὴν χορηγίαν. ἐπειδὴ δὲ καλῶς, καὶ τὰ δίκαια ποιῶν ὁ δῆμος ἅπας, οὕτως ὠργίσθη
3 καὶ παρωξύνθη, καὶ σφόδρα ἐσπούδασεν ἐφ' οἷς ἠδικημένῳ μοι συνῄδει, ὥστε πάντα ποιοῦντος τούτου,

μικρὰ μεγάλα ποιεῖ, διὰ τοῦτο ἐπιείκειαν καὶ μετριότητα ὑποκρίνεται λέγων, ὃ καὶ ὑμῶν ἕκαστος ἂν ἐποίησεν ὑβρισθείς, τοῦτο κἀγὼ νῦν ἐποίησα, ὁ νομιζόμενος ῥήτωρ. Τοῦτο καὶ αὐτὸς ἐποίησα) Ἐκεῖνον μὲν τυραννικόν. ἑαυτὸν δὲ ὡς ἕνα τῶν πολλῶν ἄξιον ἐπιδεικνύμενος. 2 Καὶ προυβαλόμην ἀδικεῖν τουτονὶ περὶ τὴν ἑορτήν) Ἀντὶ τοῦ εἰσήγαγον. ἔδειξε δὲ ἐκ τούτου, τίνος κρίνει τὸν μειδίαν. οὐ γὰρ εἶπεν ἀσεβεῖν, ἀλλ' ἀδικεῖν περὶ τὴν ἑορτήν. τοῦτο δὲ δημόσιον. προβολὴ γάρ ἐστιν ὄνομα δίκης, κατὰ τῶν περὶ τὴν ἑορτὴν ἀδικούντων. Οὐ μόνον πληγὰς) Ἐντεῦθέν ἐστιν ἡ κατασκευὴ τοῦ πρώτου μέρους τῆς προτάσεως. διὰ μὲν γὰρ τοῦ λέγειν τοῖς διονυσίοις, συνάπτει τὸ δημόσιον. καὶ τὸ βίαια δὲ παθὼν παρὰ πᾶσαν τὴν χορηγίαν, οὕτως ἔχει. συνῆπται γὰρ πάλιν ἀμφότερα καὶ τὸ ἴδιον καὶ τὸ δημόσιον. δόξειε δ' ἂν ὡς ἔλαττον προστιθέναι τῶν πληγῶν. ἔχει δὲ οὐχ οὕτως, ἀλλὰ διὰ τῆς τοιαύτης συνθέσεως, ἀντιπίπτον ὑποτέμνεται. καὶ προλύει τὸ συγγνωμονικόν, ὅτι δι' ὀργὴν ἔπληξα. εἰ γὰρ καὶ ἄλλα πολλὰ καὶ βίαια καὶ περὶ τῆς ἑορτῆς πεποίηκε, πρόδηλον, ὅτι οὐ δι' ὀργήν, ἀλλ' ἐκ προνοίας. Ἐπειδὴ δὲ καλῶς καὶ τὰ δίκαια ποιῶν) Ἐντεῦθεν τὸ δεύτερον τοῦ δευτέρου μέρους τῆς προτάσεως. σχεδὸν δὲ ὥσπερ ἀσύστατον καὶ μονομερῆ τὸν λόγον ἀπεργάζεται. εἰ γὰρ φθάνει προκατεγνωσμένος ὑπὸ παντὸς τοῦ δήμου, πρόδηλον ὅτι οὐδεμίαν ἔχει ἀπολογίαν. δεῖ δὲ τὸν κατήγορον, κἂν μὴ οὕτως ἔχῃ τὰ πράγματα, πειρᾶσθαι μονομερῆ τὸν λόγον ποιεῖν, ἵνα οἱ δικασταὶ ὡς ἐφ' ὁμολογουμένοις καταψηφίσωνται. Ο δῆμος ἅπας) Κἀνταῦθα πάλιν ἀντίθεσιν προλέλυκεν. φησὶ γὰρ ὁ μειδίας, ὅτι χορευταὶ καὶ ξένοι καὶ τοιοῦτοί τινες κατεχειροτόνησαν. ὁ δέ, προλαβὼν φησὶν ὅτι ὁ δῆμος ἅπας. καὶ δείκνυσιν οὐ μόνον τὸν δῆμον, ἀλλὰ καὶ τοὺς δικαστὰς αὐτοῦ κατεγνωκότας. εἰ γὰρ μέρος οἱ δικασταὶ τοῦ δήμου, πρόδηλον ὅτι κἀκεῖνοι συγκατέγνωσαν. Καὶ σφόδρα) Ἵνα δόξῃ κατεγνωκέναι ὁ δῆμος, καὶ σφόδρα μετ' ἐπιτάσεως εἶπε, καὶ ὅτι οὐ δεινότητι τῇ ἐμῇ παραχθείς, ἐφ' οἷς ἠδικημένῳ μοι προσέστηκεν. Ὥστε πάντα ποιοῦντος τούτου) Σφόδρα βιαίως, οὐ μόνον δικαστὰς καὶ δῆμον, ἀλλὰ καὶ αὐτὸν ἑαυτοῦ κατεγνωκότα πεποίηκεν. εἰ γὰρ καὶ ἱκέτευεν, πρόδηλον ὅτι κατέγνωκεν ἑαυτοῦ. τὸ γὰρ ἱκετεύειν, τῶν ἑαλωκότων. [α.]

καὶ τινων ἄλλων ὑπ᾽ αὐτοῦ, οὐκ ἐπείσθη, οὐδ᾽ ἀπέ-
βλεψεν εἰς τὰς οὐσίας τὰς τούτων, οὐδὲ τὰς ὑπο-
4 σχέσεις, ἀλλὰ μιᾷ γνώμῃ κατεχειροτόνησεν αὐτοῦ. πολ-
λοί μοι προσιόντες, ὦ ἄνδρες δικασταί, καὶ τῶν ἐν τῷ
δικαστηρίῳ νυνὶ ὄντων ὑμῶν, καὶ τῶν ἄλλων πολιτῶν,
ἠξίουν καὶ παρεκελεύοντο ἐπεξελθεῖν, καὶ παραδοῦ-
ναι τοῦτον εἰς ὑμᾶς, ὡς μὲν ἐμοὶ δοκεῖ, δι᾽ ἀμφότε-
5 ρα, ὦ ἄνδρες Ἀθηναῖοι, νὴ τοὺς θεούς, καὶ δεινὰ πε-
πονθέναι νομίζοντες ἐμέ, καὶ δίκην ἅμα βουλόμενοι
λαβεῖν, ὧν ἐπὶ τῶν ἄλλων ἐτεθέαντο θρασὺν ὄντα καὶ
βδελυρόν, καὶ οὐδὲ καθεκτὸν ἔτι. οὕτω δὲ τούτων ἐ-
χόντων, ὅσα μὲν οὖν παρ᾽ ἐμοῦ προσῆκε φυλαχθῆ-
6 ναι, πάντα δικαίως ὑμῖν τετήρηται, καὶ κατηγορή- ἡμῖν.
σων ἐπειδή τις εἰσάγει πάρειμι ὡς ὁρᾶτε. πολλὰ μὲν,
ὦ ἄνδρες Ἀθηναῖοι, χρήματ᾽ ἐξόν μοι λαβεῖν ὥστε
μὴ κατηγορεῖν, οὐ λαβών, πολλὰς δὲ δεήσεις καὶ χάρι-
τας, καὶ νὴ Δία ἀπειλὰς ὑπομείνας. ἃ δ᾽ ἐν ὑμῖν
7 μετὰ ταῦτά ἐστιν ὑπόλοιπα. ὅσῳ γὰρ πλείοσιν οὗτος α.
ἠνώχληκε καὶ παρήγγειλεν· ἑώρων γὰρ αὐτὸν ἄρτι παρήγγειλεν. α.β. παρήγγελκεν. ε.
περὶ τῶν δικαστηρίων οἷα ἐποίει· τοσούτῳ μᾶλλον ἤπι-

3 Καὶ τινων ἄλλων ὑπ᾽ αὐτοῦ) Προδιαβάλλει τοὺς μάρτυρας τοῦ Μειδίου, ὡς καὶ ἑαυτοὺς συγκατεγνωκότας. προϊὼν γάρ φησιν, Εὐκτήμων ὁ κονιορτός, καὶ τοιαύτη τις ἐστὶ περὶ αὐτὸν μαρτύρων συνεστῶσα ἑταιρεία, πῶς δύνανται τἀληθῆ μαρτυρεῖν, οἱ μετ᾽ αὐτοῦ συνικετεύοντες. Οὐκ ἐπείσθη) Ἐπαινεῖ τὸν δῆμον, ὡς πάντων καταφρονήσαντα ἕνεκα τῶν δικαίων. ὑφορᾶται δὲ τοὺς δικαστὰς μὴ χρήμασι πεισθέντες, καταχαρίσωνται τὸν ἀγῶνα τῷ Μειδίᾳ. μὴ λέγων οὖν, φανερῶς θεραπεύει τὸ λυποῦν. εἰ δὲ ὁ δῆμος οὐ προσήκατο τὰς ὑποσχέσεις, οὐδ᾽ εἰς τὸν δῆμον ἀπέβλεψεν (πλοῦτον.), οὐδὲ ταῖς φανεραῖς ὑποσχέσεσιν ἡττήθη, πόσῳ μᾶλλον ὑμεῖς ὀφείλετε κρύφα γινομέναις. τίνες δὲ ἦσαν αἱ πρὸς τὸν δῆμον ὑποσχέσεις; ἡμεῖς εἰσοίσομεν, τριηραρχήσομεν. ὅτι δὲ ψευδεῖς αἱ ὑποσχέσεις, προϊών φησιν. ἐμὲ οἴεσθε ὑμῖν εἰσοίσειν, ὑμᾶς δὲ νεμεῖσθαι.

4 Ἀλλὰ μιᾷ γνώμῃ) Οὐδεὶς διεσφάλη τοῦ πρέποντος. οὐδεὶς ἠγνόησε τὸ εἰκός. τό τε πρῶτον ὁ πᾶς δῆμος μιᾶς ἐγένετο γνώμης, ἵν᾽ ἕκαστος καταψηφίσηται τοῦ Μειδίου, φοβούμενος, ἢ αἰσχυνόμενος τἀναντία τοῖς ἄλλοις γνῶναι. Πολλοί μοι προσιόντες ὦ ἄνδρες δικασταί) Ἀπίθανον ἔδοξε τὸ νόημα, ὅτι καὶ οἱ δικασταὶ παρωξύνοντο (παρώξυνον.) εἰς τὴν κατηγορίαν, εἰ μὴ προλαβὼν εὐθὺς ἐν ἀρχῇ, πάντας ἦν δείξας ὑβρισμένους. Ὡς μὲν ἐμοὶ δοκεῖ) Ἐντεῦθεν ἡ κατασκευὴ τοῦ δευτέρου μέρους τῆς προτάσεως. τὸ ἀπίθανον δὲ τῆς προτάσεως, ὅρκῳ διέλυσε. καὶ ἵνα μὴ τισὶν ἐπίορκος δόξῃ, τὸ στοχαστικὸν προσέθηκεν.

5 Ὧν ἐπὶ τῶν ἄλλων ἐτεθέαντο) Ἄντικρυς διὰ τούτων αἰνίττεται τὸν τύραννον. εἰ γὰρ ἐν δημοκρατίᾳ ζῶν οὐκ ἔστι καθεκτός, τί ἄλλο ἢ τύραννος ὁ τοιοῦτος. προσθεὶς δὲ τὸ ἰδιωτικὸν (τό.) τῷ καθ᾽ ἑαυτόν, ὅτι δεινὰ πέπονθεν, ἐπήγαγε τὸ δημόσιον, ὅτι καὶ ὑπὸ τῶν ἄλλων ἠβούλεσθε δίκην λαβεῖν. Οὕτω δὲ τούτων ἐχόντων) Οὐ δεύτερον τοῦτο προοίμιον, ὥς τινες ᾠήθησαν, ἀλλὰ συμπέρασμα τῶν κειμένων ἐν τῷ πρώτῳ μέρει τοῦ προοιμίου. εἰσαγωγὴ γάρ ἐστιν Ἀθήνησιν ἀρχὴ τῶν τὰ ἐγκλήματα εἰσαγόντων. τοίνυν ἐντεῦθέν ἐστι τὸ συμπέρασμα τοῦ προοιμίου, ἐν ᾧ ἐστὶ καὶ ἡ προτροπή. ἔχει δὲ κατασκευῆς δύναμιν τὸ τελευταῖον μέρος τοῦ προοιμίου. δύο γάρ εἰσιν ἐν τῷ λόγῳ προκατασκευαί. μία μέν, ὥστε μὴ ἰδιωτικὸν νομισθῆναι τὸν ἀγῶνα, ἣν διὰ τῆς ἀναγνώσεως τῶν νόμων κατεσκεύασεν. ἑτέρα δέ, ὥστε μὴ πεισθέντας τοὺς δικαστάς, προδοῦναι τὸν ἀγῶνα. τούτων γὰρ ὁπότερον ἂν συμβῇ, οἴχεται τὰ τῆς κατηγορίας τῷ ῥήτορι. καὶ διὰ τοῦτο μακρότερον δοκεῖ γεγονέναι τὸ προοίμιον, ὥστε τὴν ἐπιθυμίαν τὴν κατὰ τὰ χρήματα τῶν δικαστῶν ἐξελεῖν. Ὅσα μὲν οὖν) Τουτέστιν ἐπείσθην ὑμῖν καὶ κατηγορῶν πάντα δείξω τετηρημένα. οὐ προὔδωκα τὴν κατηγορίαν δι᾽ ὑμᾶς, οὐδὲ χρήμασιν ἐπείσθην. μὴ τοίνυν μηδ᾽ ὑμεῖς. καὶ τὸ μὲν ἀκόλουθον τοῦτο ἦν· ὁ δὲ ἀπεσιώπησεν ὑπὲρ τοῦ μὴ προδήλως ἐξελέγχειν τοὺς δικαστάς. φιλονεικοτέρους γὰρ ἂν αὐτοὺς κατέστησεν.

6 Ἐπειδή τις εἰσάγει) Μετὰ γὰρ τὸ ἀποκληρωθῆναι τὸ δικαστήριον, ἐδίδοντο τοῖς θεσμοθέταις αἱ γραφαί. κἀκεῖνοι ἠρώτων λοιπὸν βούλει κατηγορεῖν, ἢ μάρτυρας ἔχεις εἰς τὰς ἀποδείξεις ἑτοίμους; καὶ εἰ συνέφησεν, οὕτως ἤδη λοιπὸν εἰσήγετο. τοῦτό ἐστι τὸ ἐπειδή τις εἰσάγει. ἄρχοντες δὲ ἦσαν οἱ ἐν ἑκάστῳ δικαστηρίῳ τὰς κρίσεις εἰσάγοντες. Πολλὰ μὲν ὦ ἄνδρες Ἀθηναῖοι) Πόρρωθεν ἀποτρέπει τοῦ λήμματος τοὺς δικαστάς. εἰ γὰρ ἐγὼ πολλὰ λαμβάνων, οὐκ ἐδεξάμην, πῶς ὑμεῖς ὀλίγα. πρόδηλον γὰρ ὅτι εἰ μὲν διδοὺς καὶ αὐτῷ τῷ πεπονθότι, πολλὰ ἠδύνατο δοῦναι. τοῖς δὲ δικασταῖς πολλοῖς οὖσιν, οὐκ ἠδύνατο πολλὰ ὑποσχέσθαι. καὶ ἐμοὶ μὲν ἐξὸν λαβεῖν, ὑμῖν δὲ ὑπισχνεῖται μόνον. κἀγὼ μὲν ὁ πεπονθώς, δι᾽ ὑμᾶς οὐκ ἔλαβον· ὑμεῖς δὲ οἱ μηδέν τι πεπονθότες, κατ᾽ ἐμοῦ λήψεσθε; Πολλὰς δὲ δεήσεις) Οὐ πρὸς τὰς δεήσεις, ἀλλὰ πρὸς τὰς ἀπειλὰς κυρίως τὸ ὑπομείνας. σῴζεται δὲ κατὰ φύσιν ἡ τάξις. πρῶτον γάρ τις ἱκετεύει. εἶτα μὴ τυχών, χρῆται ταῖς ἀπειλαῖς. Ἃ δ᾽ ἐν ὑμῖν κατὰ ταῦτά ἐστιν ὑπόλοιπα) Τὸ λοιπὸν ἀπεσιώπησε μὴ βουλόμενος φανερῶς ἐγκαλέσαι τοῖς δικασταῖς. καὶ διὰ τοῦτο τὰ ἑξῆς ἀκαταλλήλως ἀπήγγειλεν, ἵνα μηδεὶς ἀπαιτήσῃ τὸ ἀκόλουθον. τὴν γὰρ τάξιν ἐνήλλαξε, καί φησιν.

7 Ὅσῳ γὰρ πλείοσιν ἠνώχληκε) Ἔθος δὲ ἔχει ὁ ῥήτωρ ὀχλήσεις καλεῖν τὰς γινομένας τοῖς δικασταῖς ἀξιώσεις. ἔστιν οὖν ἀπηρτημένος ὁ λόγος. ἠκολούθησε γὰρ οὕτως ἂν ὁ νοῦς. ὅσῳ δὲ πλείοσιν οὗτος ἠνώχλησε, τοσούτῳ μᾶλλον προσδοκῶ λήψεσθαι τὴν ψῆφον. οἱ γὰρ ἀναισχυντοῦντες ἐν ταῖς παρακλήσεσιν, οὐχ ἡδέως αὐτὰς ποιοῦνται τοῖς ὑπομένουσιν.

ἐπέτινε

ἐπιτ... καὶ ἐμήκυνε τὸ προοίμιον ὁ ῥήτωρ, ἐπισυνάγων τὰ νοήματα, διὰ τὸ θυμικὸν περιγράφειν αὐτὰς ἐν
ἰσχύσας, ἵνα τῇ ῥύμῃ τοῦ πάθους ἀκολουθήσας ὁ λόγος, ἀπορήσῃ τίνα τελευτὴν τινός). Οὐ γὰρ ἂν καταγνοίην) 7
Πληρώσας τὴν προκατασκευὴν ἐν προοιμίῳ, διπλοῦν ἐπήγαγε συμπέρασμα, τὸ μὲν, εἰς τὴν πρώτην πρό-

ζω τὸ δίκαιον ἔξεστι. οὐ γὰρ ἂν καταγνοίην ὑμῶν οὐδε-
νός, οὐδ᾽ ὡς περὶ ὧν πρὸς ἐμὲ ἐσπουδάσατε αὐτοὶ
πρότερον, τούτων ἀμελήσετε, οὐδ᾽ ὡς, ἵνα Μειδίας ἀ- 8
δεῶς τὸ λοιπὸν ὑβρίζῃ, ψηφιεῖταί τις ὑμῶν ὀμωμο-
κὼς ἄλλο τι, πλὴν ὅ,τι ἂν ἡγῆται δίκαιον. εἰ μὲν οὖν,
ὦ ἄνδρες Ἀθηναῖοι, παρανόμων, ἢ παραπρεσβείας,
ἤ τινος ἄλλης τοιαύτης αἰτίας ἔμελλον αὐτοῦ κατηγο-
ρεῖν, οὐδὲν ἂν ὑμῶν ἠξίουν δεῖσθαι, νομίζων τῷ μὲν 9
κατηγόρῳ περὶ τῶν τοιούτων προσήκειν ἐξελέγχειν
μόνον, τῷ δὲ φεύγοντι, καὶ παραιτεῖσθαι. ἐπειδὴ δὲ τούς
α. τε κριτὰς διαφθείραντος τούτου τότε, καὶ διὰ τοῦτο
τῆς φυλῆς ἀδίκως ἀφαιρεθείσης τὸν τρίποδα, καὶ
αὐτὸς πληγὰς εἰληφὼς, καὶ ὑβρισμένος οἷα οὐκ οἶδ᾽ 10
εἴ τις ἄλλος πώποτε χορηγὸς ὑβρίσθη, ἣν ὑπὲρ τού-
των ἀγανακτήσας καὶ συνοργισθεὶς κατὰ χειροτονίαν ὁ
δῆμος ἐποιήσατο, ταύτην εἰσέρχομαι, οὐκ ὀκνήσω καὶ
δεῖσθαι. εἰ γὰρ οἷόν τε τοῦτ᾽ εἰπεῖν, ἐγὼ νῦν φεύγω,
εἴπερ ὑβρισθέντα μηδεμιᾶς τυχεῖν δίκης, ἐστί τις συμ 11
ʺδικασταί. α. φορά. δέομαι, οὖν ὑμῶν ἁπάντων, ὦ ἄνδρες ʺἈθη-
ναῖοι καὶ ἱκετεύω, πρῶτον μὲν εὐνοϊκῶς ἀκοῦσαί μου
λέγοντος. ἔπειτ᾽ ἐὰν ἐπιδείξω Μειδίαν τουτονὶ, μὴ
μόνον εἰς ἐμὲ, ἀλλὰ καὶ εἰς ὑμᾶς, καὶ εἰς τοὺς νόμους, καὶ
εἰς τοὺς ἄλλους ἅπαντας ὑβρικότα, βοηθῆσαι καὶ ἐμοὶ 12
καὶ ὑμῖν αὐτοῖς. καὶ γὰρ οὕτω πως ἔχει, ὦ ἄνδρες Ἀθη-
ναῖοι, ὕβρισμαι μὲν ἐγὼ, καὶ προπεπηλάκισται τὸ σῶ-
μα τοὐμὸν τότε, ἀγωνιεῖται δὲ καὶ κριθήσεται τὸ πρᾶ-
γμα νυνὶ, πότερον ἐξεῖναι δεῖ τὰ τοιαῦτα ποιεῖν, καὶ εἰς

τασιν, ὅτι πάντας ὑβρίζει Μειδίας,
καὶ οὐ χρὴ συγχωρῆσαι, ὥστε καὶ τὸ
λοιπὸν ἀδεῶς ὑβρίζειν· τὸ δὲ, εἰς τὴν
προκατασκευὴν, τουτέστιν, ὅτι μὴ
ἐναντία ποιήσητε χρήματα λαβόν-
τες οἷς πρότερον ἠξιοῦτε. καὶ ἐπε-
λεύτησεν αὐτῷ τὸ συμπέρασμα εἰς
τελικὸν κεφάλαιον, τὸ συμφέρον.
διὰ τοῦτο γὰρ φαμὲν συγγένειαν ἔχειν
τὰ προοίμια πρὸς τοὺς ἐπιλόγους
διότι συμπληροῦνται κἀκεῖνοι, τοῖς
τελικοῖς κεφαλαίοις. Τὸ μὲν πρῶ-
τον προοίμιον τοῦ πραγματικοῦ πλεῖ-
στον μετέχον, ἔλαττον εἶχε τὸ παθη-
τικόν. ἐν δὲ τούτῳ, πλέον βούλεται
κινῆσαι τὸ πάθος, ἵνα πανταχόθεν
τὸν δικαστὴν χειρώσηται. εἰς τελικὸν
δὲ κεφάλαιον κατέληξε τὸ συμπέ-
ρασμα τῆς πρώτης προτάσεως.
Εἰ μὲν οὖν, ὦ ἄνδρες) Ἐντεῦ- 8
θεν τὸ προοίμιον. ἔστι δὲ καὶ ἡ πρό-
τασις αὐτοῦ διμερής καὶ πίπτει ἐν-
τεῦθεν ἡμῖν ἀπορία, ὅτι πῶς ἐν-
ταῦθα λέγει, εἰ μὲν παραπρεσβείας
ὁ ἀγὼν, οὐκ ἂν ἐδεόμην. καὶ πῶς ἐν
τῷ κατ᾽ Αἰσχίνου, παραπρεσβείας
ὑπάρχοντος τοῦ ἀγῶνος, δεῖται. καὶ
φαμὲν ὅτι αὐτὸς ἐπιλύεται λέγων,
ὅτι δέομαι ὑμῶν μετ᾽ εὐνοίας ἡμῶν
ἀκοῦσαι. φοβηθεὶς δὲ μὴ σοφίζεσθαι
δόξῃ, κατηγορῶν μὲν, ἱκετεύων δὲ,
ὡς οἱ φεύγοντες, ἐθεράπευσε τὸ λυ-
ποῦν ἐκ τῆς τοῦ προοιμίου προτά-
σεως. εἰ μὲν ἐπ᾽ ἄλλοις ἔκρινον, οὐκ
ἂν ἐδεήθην. καὶ εἶπε δημοσίων ἀδι-
κημάτων ὀνόματα, παραιτούμενος τὰ
παραπρεσβείας ἐξισάζων τὴν ὕ-
βριν τοῖς δημοσίοις ἀδικήμασι. βού-
λεται οὖν καὶ ὡς κατήγορος κατα-
τρέχειν, καὶ δεῖσθαι ὡς φεύγων, καὶ
ἅμα δεῖξαι ὡς καὶ αὐτὸς ὁ ἀγὼν
ὁμολογουμένως ἐστὶ δημόσιος. Νομίζων τῷ μὲν κατηγόρῳ) Ἐντεῦθεν ἡ κατασκευὴ τοῦ πρώτου μέρους. θέ- 9
λων δὲ σώζειν τὸ ἀξίωμα, δεικνύει ὡς οὐδέ ποτ᾽ ἂν ἐδεήθην κατηγορῶν, εἰ μὴ νῦν ἐν τῷ τῶν φευγόντων σχή-
ματι καθειστήκειν. τὸ γὰρ τυπτηθέντα μὴ λαβεῖν δίκην, ἔοικε τῷ ἡττᾶσθαι. ζητήσειε δ᾽ ἄν τις πῶς ἐν τῷ κατ᾽
Αἰσχίνου, καί τοι κατηγορῶν, φησὶ, δεήσομαι πάντων ὑμῶν. ῥητέον οὖν, ὅτι διαφοραὶ δεήσεών ἐστιν ἐκεῖ μὲν γὰρ
καὶ δέησις σεμνὴ, καὶ φρόνημα ἔχουσα. ἐνταῦθα δὲ ταπεινότητα ἔχει ἡ δέησις. φησὶ γάρ. δέομαι δὲ ὑμῶν καὶ ἱκε-
τεύω. καὶ ὥσπερ ἡττημένος τὸν ἀγῶνα, οὕτω πυνθάνεται. Καὶ διὰ τοῦτο τῆς φυλῆς) Ἀντὶ ἑαυτοῦ τὴν φυ-
λὴν ὠνόμασεν, ἐπισείων αὐτῷ ʺπολέμους πολλοὺς, καὶ ὁλόκληρον τὴν φυλήν. καλῶς δὲ καὶ τὸ ἀδίκως. οὐ γὰρ ʺπολεμίους.
ἁπλῶς εἶπεν ἀφῃρέθη ἡ φυλὴ, ἀλλ᾽ ἀδίκως, ὃ πολέμιον ἔχει τὸ δίκαιον. Εἰ γὰρ οἷόν τε) Ἐντεῦθεν ἡ κατα- 10
σκευὴ τοῦ δευτέρου μέρους. συνῆψε, φησὶ, Μειδίας τῇ κακίᾳ τὰ ἄμικτα, κατήγορον ἀποφήνας τὸν φεύγοντα.
Ἐστί τις συμφορά) Τῇ παραθέσει τῶν ἄλλων, ἐστὶ συμφορά. εἰ οἱ κρινόμενοι, φησὶν, ἐν συμφοραῖς ὄντες ἱκε- 11
τεύουσι, κἀγὼ ὁ ὑβρισμένος, εἰ μὴ λάβοιμι δίκας, ἐν συμφορᾷ ἔσομαι. εἰκότως ἄρα δεήσομαι. Δέομαι
οὖν ὑμῶν ἁπάντων) Διῳκήσατο ἱκανῶς τὸ δεῖν ἱκετεύειν. ἐντεῦθεν δὲ τὸ συμπέρασμα τοῦ δευτέρου προοιμίου.
ὅπερ προοίμιον εἴληπται αὐτῷ ἐκ συστάσεως τοῦ οἰκείου προσώπου ἐν διορισμῷ. διορίζει γὰρ ὅτι, ἐν ποίοις ἐγ-
κλήμασι δεῖ δεῖσθαι τὸν κατήγορον, καὶ ἐν ποίοις οὐ δεῖ. Ὕβρισμαι μὲν ἐγὼ) Ἐκ τεττάρων ὅρων, βιάζεται δη- 12
μόσιον δεικνύναι τὸ γεγονός. πρῶτον μὲν ὅτι πᾶσα ὕβρις καὶ ἐν ὁποιῳδήποτε καιρῷ δημόσιόν ἐστι. καὶ τοῦτο δεί-
κνυσιν ἐπὶ μὲν, διὰ τοῦ εἰπεῖν τὰς μὲν γραφὰς ἔδωκε παντὶ τῷ βουλομένῳ· τὸ δὲ τίμημα ἐποίησε δημόσιον ὅλον.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δευτέρου δὲ, ὅτι πάντα τὰ ἐν τῇ ἑορτῇ γιγνόμενα κἂν εἰς ἰδιώτην ᾖ, δημόσιά ἐστι. τρίτου, τὰ εἰς χορηγ... μένα, καὶ πολλῷ πλέον. τετάρτου, ὅτι οὐ δι' ἐμὲ μόνον, ἀλλὰ καὶ διὰ πάντας τοὺς ἄλλους ὅσους ὑβρίζει, ἄξιός ἐστιν, ὡς ὑβριστὴς καὶ τυραννικὸς, δημοσίᾳ κολασθῆναι. πρῶτον οὖν ἀποδείκνυσιν, ὅτι πᾶσα ὕβρις δημόσιόν ἐστι, ὥς

13 τὸν τυχόντα ὑμῶν ἀδεῶς ὑβρίζειν, ἢ μή. εἴ τις οὖν ὑμῶν ἄρα καὶ τὸν ἔμπροσθεν χρόνον τῶν ἰδίων τινὸς ἕνεκα γίγνεσθαι τὸν ἀγῶνα τόνδε ὑπελάμβανεν, ἐνθυμηθεὶς νῦν, ὅτι δημοσίᾳ συμφέρει μηδενὶ μηδὲν ἐξεῖναι* τοῦτο ποιεῖν, ὡς ὑπὲρ κοινοῦ τοῦ πράγμα- (*τοιοῦτο. α.)

14 τος ὄντος, καὶ προσέχων ἀκουσάτω, καὶ τὰ φαινόμενα αὐτῷ δικαιότατ' εἶναι, ταῦτα ψηφισάσθω. ἀναγνώσεται δὲ πρῶτον μὲν ὑμῖν τὸν νόμον, καθ' ὃν εἰσὶν αἱ προβολαί. μετὰ δὲ ταῦτα, καὶ περὶ τῶν ἄλλων πειράσομαι διδάσκειν ὑμᾶς. λέγε τὸν νόμον.

15

## Νόμος.

Τοὺς πρυτάνεις ποιεῖν ἐκκλησίαν ἐν Διονύσου τῇ ὑστεραίᾳ ἐν Πανδίονι. ἐν δὲ ταύτῃ χρηματίζειν πρῶτον μὲν περὶ ἱερῶν· ἔπειτα τὰς προβολὰς παραδιδότωσαν τὰς γεγενημένας ἕνεκα τῆς πομπῆς, ἢ τῶν

16 ἀγώνων τῶν ἐν τοῖς Διονυσίοις, ὅσαι ἂν μὴ ἐκτετισμέναι ὦσιν. Ὁ μὲν νόμος οὗτός ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, καθ' ὃν αἱ προβολαὶ γίγνονται, λέγων, ὥσπερ ἠκούσατε, ποιεῖν τὴν ἐκκλησίαν ἐν Διονύσου μετὰ τὰ Πάνδια. ἐν δὲ ταύτῃ ἐπειδὰν χρηματίσωσιν οἱ

17 πρόεδροι περὶ ὧν διῴκηκεν ὁ ἄρχων, χρηματίζειν κελεύει, καὶ περὶ ὧν ἄν τις ἠδικηκὼς ἢ περὶ τὴν ἑορτὴν, ἢ παρανενομηκώς. καλῶς, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ συμφερόντως ἔχων ὁ νόμος, ὡς τὸ πρᾶγμα αὐτὸ μαρτυρεῖ. ὅπου γὰρ ἐπόντος τοῦ φόβου τούτου φαίνονταί

18 τινες οὐδὲν ἧττον ὑβρισταί, τί χρὴ προσδοκᾶν τοὺς τοιούτους ἂν ποιεῖν, εἰ μηδεὶς ἐπῆν ἀγὼν, μηδὲ κίνδυνος. βούλομαι τοίνυν ὑμῖν, καὶ τὸν ἑξῆς ἀνα-

13 φησίν. Εἴ τις οὖν ὑμῶν) Ἐντεῦθεν ἡ προκατασκευή ἔνθα τίθησι τοὺς δύο νόμους. δεικνύων ὅτι δημόσιόν ἐστι τὸ ἀδίκημα. ἕτεροι δέ φασιν ὅτι τοῦτο δοκεῖ μὲν συνηρτῆσθαι τῷ προοιμίῳ. τὸ δὲ ἀληθὲς, ὥσπερ προοίμιόν ἐστι τῆς κατασκευῆς τῆς μελλούσης. ἐντεῦθεν γὰρ προβιβάζει περὶ τοῦ χρῆναι τὰ ἐν τῇ ἑορτῇ πάντα, δημόσια νομίζειν, καὶ οὐ τῶν ἰδίων τινὸς ἕνεκα γίνεσθαι· τουτέστιν, ὅτι πᾶσα ὕβρις, δημόσιόν ἐστιν.

Ἐνθυμηθεὶς νῦν) Καὶ τοῦτο τοῦ πρώτου ὅρου, καὶ ὥσπερ κοινοῦ τοῦ πράγματος. πάντα γὰρ ταῦτα τοῦ δημοσίαν εἶναι πᾶσαν ὕβριν κατασκευαστικά

14 ἐστιν. Ἀναγνώσεται) Ἐντεῦθεν καθαρῶς εἰς αὐτὴν τὴν κατασκευὴν ἐμβέβληκεν, ἥτις ἐστὶν ὁ δεύτερος ὅρος, ὅτι πάντα τὰ ἐν τῇ ἑορτῇ γινόμενα, δημόσιά ἐστι. καὶ ἀναγινώσκει τοὺς νόμους, δι' ὧν τοῦτο

15 κατασκευάζεται. Τοὺς πρυτάνεις ποιεῖν) Ἐφοβήθη μὴ λέγων ἃ πέπονθεν, ὑπόνοιάν τινα ἐμβάλλῃ τοῖς ἀκούουσιν. ὅθεν ἀνέγνω πρὸ τῆς διηγήσεως τοὺς νόμους, *ὅπερ ἔφαμεν, κατορθῶν. ἐδεδοίκει γὰρ μὴ ἰδιωτικὸς ὁ ἀγὼν γένηται ἐκ τῆς καταστάσεως ἰδιωτικὰ πράγματα ἐχούσης. καὶ διὰ τοῦτο πρὶν εἰπεῖν ἃ πέπονθε, προὔλαβε τὸν δικαστὴν τῇ ἀναγνώσει τῶν νόμων, ἵνα κἂν ὕβρεις λέγῃ, κἂν πληγὰς καὶ τὰ τοιαῦτα, ὡς δημοσίων ἀκούωσιν, ἀποδειχθέντος τοῦ πάντα τὰ ἐν ἑορτῇ γιγνόμενα, δημόσια εἶναι. ἔστι δὲ ὁ πρῶτος νόμος τοιοῦτος ὅτι μετὰ τὴν ἑορτὴν ἐγίγνετο ἐκκλησία ἐν Διονύσου. καὶ *ἐξητάζετο ὁ ἄρχων περὶ ὧν διῴκηκε, καὶ περὶ ὧν ἠδίκησέ τις καὶ παρηνόμησεν. (*γρ. ὥσπερ.) (*γρ. ἐξητάζεν.)

16 Ὁ μὲν νόμος οὗτός ἐστιν) Ἐκ τούτου τοῦ νόμου συλλογίζεσθαι βούλεται περὶ τῶν *μετὰ τὴν ἑορτήν. πόθεν οὖν ὅτι ἡ προβολὴ δημόσιον, ἐκ τῶν ἑξῆς δείκνυσιν. Ἐν Διονύσου μετὰ τὰ Πάνδια) Ἐν Διονύσου μὲν ἐν τῷ θεάτρῳ. συνῆπτο γὰρ ἐν τῷ θεάτρῳ τὸ τέμενος. Πάνδια δέ, οἱ μὲν, Διὸς ἑορτὴν ἐνόμισαν. οἱ δὲ, Πανδίαν τὴν σελήνην νομίζουσιν, ἴσως ἀπὸ τοῦ *πάντοτε ἰέναι. τὸν μὲν γὰρ ἥλιον, ἐν ἡμέρᾳ μόνῃ θεωρεῖν ἔξεστι. τὴν δὲ σελήνην καὶ ἡμέρας καὶ νύκτωρ. ἦγον οὖν καὶ τῆς σελήνης ἑορτὴν, μετὰ τὰ Διονύσια. ἐπειδὴ Διονύσου ἀδελφὴ ἡ σελήνη. εἴπερ τὸν Διόνυσον, καὶ Ἀπόλλωνα καὶ ἥλιον καλοῦσιν. ἔνιοι δὲ καὶ παῖδα σελήνης τὸν Διόνυσον. Ἐν δὲ ταύτῃ ἐπειδὰν χρηματίσωσιν οἱ πρόεδροι) Πρόεδροι ἐκαλοῦντο οἱ πεμπόμενοι ἐν τῇ βουλῇ παρὰ τῆς πρυτανευούσης φυλῆς. οὗτοι δὲ πάλιν ἐπέμποντο παρὰ τῆς βουλῆς εἰς τὸν δῆμον, καὶ προκαθεζόμενοι ἐν τῷ θεάτρῳ διὸ καὶ πρόεδροι ἐκλήθησαν· ἠρώτων τὸν δῆμον εἰ δοκεῖ αὐ- (*γρ. κατὰ.) (*πάντοτε.)

17 τοῖς ἐπισκέψασθαι περὶ τῶν κατὰ τὴν ἑορτήν. οἱ δὲ, ᾖρον τὰς χεῖρας. Περὶ ὧν διῴκηκεν ὁ ἄρχων) Ἐδίδου γὰρ λόγον εἰ τὸ ἄγαλμα ἀλώβητον ἔσωσεν, εἰ τῶν ἄλλων μηδέν τι ἐνέλιπε χρηματίζων. Καὶ περὶ ὧν ἄν τις) Προσθεὶς ἄρχοντας καὶ προέδρους, συνῆψε καὶ τὰς ὕβρεις τὰς ἐν τῇ ἑορτῇ. δῆλον γὰρ ὅτι ἐν τῷ ἑνὶ νόμῳ οὐ τὸ μὲν, δημόσιον· τὸ δὲ, ἰδιωτικόν. ὥστε ἐκ τούτου συλλογίζεται τὸ καὶ τὰς ὕβρεις δημοσίας εἶναι, εἴπερ καὶ περὶ τὸν ἄρχοντα *δημοσίας. Καλῶς ὦ ἄνδρες Ἀθηναῖοι) Συναγωνίζεται τῷ νόμῳ, διὰ τῶν ἐπαίνων συστῆσαι βουλόμενος, καὶ περὶ τῶν τοὺς ὑπερημέρους εἰσπραττόντων, ὥσπερ κἀπὶ τῶν ἰδιωτῶν, εἰ γένοιτό τινες ὑπερήμεροι, (*α.)

18 δίδωσι τὴν ἀσφάλειαν ὁ νόμος. Βούλομαι τοίνυν) Δεύτερον ἀναγινώσκει νόμον, αὐτόπτην ὑποτιμώμενος.

ἐπειδὴ γὰρ ἀπέδειξεν, ὅτι πάντα τὰ περὶ τὴν ἑορτὴν, δημόσιά ἐστιν, αὐτίκα ἐπὶ τούτων, ἀλλ' οὐ τά γε περὶ τοὺς ἰδιώτας γινόμενα. ἀλλ' εἴ τις ἢ χορηγὸν εἵρξειεν, ἢ αὐλητὴν ἀπελάσειεν, ἢ κωμῳδὸν, ἢ τὸν δῆμον τῆς θέας κωλύσειεν, βουλόμενος ἀποδεῖξαι καὶ τὰ περὶ τοὺς ἰδιώτας ἐν τῇ ἑορτῇ, δημόσια ὄντα, τὸν δεύτερον ἀναγινώσκει νόμον. Ἐνθυμεῖσθε, ὦ ἄνδρες δικασταί) Συνέλαβε τὸ νόημα ἐν τῷ προτέρῳ νόμῳ, ἵνα δείξῃ κοινωνίαν τῷ προτέρῳ νόμῳ πρὸς τὸν δεύτερον. τοῦ νόμου δὲ τοῦ δευτέρου ὄντος τοιούτου, ὅτι μηδὲ τοὺς ὑπερημέρους ἀπαιτεῖσθαι ἐν τῇ ἑορτῇ, οὓς ἀπαιτεῖν ἦν χρεὶ μᾶλλον ἐκώλυεν ὁ νόμος, ἀγωνίζεται ἐκ τοῦ ἐλάττονος, λέγων. ὅτι εἰ τοὺς ὑπερημέρους ὁ νόμος κελεύει μὴ ἀπαιτεῖσθαι ἐν τῇ ἑορτῇ χρεὶ, πόσῳ γε μᾶλλον κελεύει μὴ τοὺς ἀναιτίους βιάζεσθαι. ἔστι γὰρ ὅλον ἀπὸ τοῦ ἐλάττονος τὸ ἐπιχείρημα, ἔκ τε προσώπου καὶ πράγματος εἰλημμένον. προσώπου μὲν, χορηγὸς πρὸς ὑπερήμερον, πράγματος δὲ, ὕβρεως καὶ χρημάτων. Οὐ γὰρ ὅπως) Τὸ μὲν μὴ κείμενον ἐν τῷ νόμῳ, συνήγαγεν, ὡς ὁμολογούμενον. τὸ δὲ γεγραμμένον, ὡς παρακολούθημα, ἔλαβε. τὸ μὲν γὰρ περὶ τοῦ σώματος, οὐ γέγραπται. περὶ δὲ τῶν ὑπερημέρων μόνον. ὁ δὲ, ἐκεῖνο μὲν, ὡς ὁμολογούμενον, ἔλαβεν, ὅτι οὐ τοῦτο μόνον ἔδοξεν ἡμῖν δεινὸν, τὸ μὴ ὑβρίζεσθαί τινα εἰς τὸ σῶμα· περὶ δὲ τῶν ὑπερημέρων, ὡς προσθήκην· ἀλλ' ἤδη ταῦτα ἐκωλύσατε, ὅσα καὶ κατὰ δίκην γίνεται. Ἀλλὰ καὶ τὰ δίκῃ) Τῶν νενικηκότων, ἐν τῇ κρίσει δηλονότι, ταῦτα γίνεται τῶν ἡττηθέντων ἐν καιρῷ τῆς ἑορτῆς. συνήγαγε δὲ ἐξ ἀποδείξεως τοῦ προτέρου νόμου, ὅτι καὶ τὰ περὶ τοὺς ἰδιώτας, δημόσιά ἐστι. Γιγνόμενα) Χρήματα δηλονότι. Ὑμεῖς μὲν τοίνυν) Μέλλων ἀναγινώσκειν τὸν νόμον, ὑπέσχετο δεῖξαι τήν τε τῶν ἄλλων εὐλάβειαν, καὶ τὸ μειδίου θράσος. ὅπερ οὖν ὑπέσχετο νῦν, ἀποδείκνυσιν. Βούλομαι δὲ ἕκαστον) Προκατασκευαστικὸν μὲν τὸ νόημα. εἰσβολὴ δὲ εἰς τὴν προβολήν. πληρώσας δὲ τὴν προκατασκευὴν, ἐν ᾗ πάντα τὰ γινόμενα περὶ τὴν ἑορτὴν, κἂν εἰς ἰδιώτην ᾖ, δημόσια ἀπέδειξε, μεταβαίνει λοιπὸν ἐπ' αὐτὴν τὴν κατάστασιν. οὐκ ἔτι γὰρ, ὡς ἰδιωτικῶν ἀκούσονται τῶν πραγμάτων. κέχρηται οὖν προοιμίῳ προκατασκευαστικῷ. τὸ δὲ αὐτὸ, καὶ ἐπαγγελίαν τινὲς καλοῦσι. διὸ σύνοψιν ποιεῖται τῶν λεχθησομένων ἐν τῇ καταστάσει. Ἐπειδὴ γὰρ οὐ καθεστηκότος) Ἐντεῦθεν ἡ ἀρχὴ τοῦ πρώτου μέρους τῆς προβολῆς. φασὶ γάρ τινες τοῦτο μὴ εἶναι διήγησιν, διὰ τὸ προειδέναι τὸν δῆμον τὰ γεγενημένα, καὶ διὰ τὸ ἐν ὅρῳ μὴ χρῆναι διηγεῖσθαι, ἀλλὰ προβάλλεσθαι. ῥητέον οὖν ὅτι οὐ πάντες ᾔδεσαν τὰ γεγενημένα, κὼς γὰρ ἐν τοῖς ἐπιλόγοις φησίν. ὡς οὐ παρῆν ὁ δῆμος, ἀλλὰ χορευταὶ, καὶ ξένοι, καὶ τοιοῦτοί τινες

γνῶναι νόμον τουτονί· καὶ γὰρ ἐκ τούτου φανερὰ πᾶσιν ὑμῖν ἥ τε τῶν ἄλλων ὑμῶν εὐλάβεια γενήσεται, καὶ τὸ τούτου θράσος. Λέγε τὸν νόμον. 19

Νόμος.

Εὐήγορος εἶπεν· ὅταν ἡ πομπὴ ᾖ τῷ Διονύσῳ ἐν Πειραιεῖ, καὶ οἱ κωμῳδοὶ, καὶ οἱ τραγῳδοί. καὶ ἐπὶ Ληναίῳ πομπὴ, καὶ οἱ τραγῳδοὶ, καὶ οἱ κωμῳδοί, καὶ τοῖς ἐν ἄστει Διονυσίοις ἡ πομπὴ, καὶ οἱ παῖδες καὶ ὁ κῶμος, 20
καὶ οἱ κωμῳδοὶ, καὶ οἱ τραγῳδοὶ, καὶ ὁ Θαργηλιὼν τῇ πομπῇ καὶ τῷ ἀγῶνι, μήτε ἐξεῖναι, μήτε ἐνεχυράσαι, μήτε λαμβάνειν ἕτερον ἑτέρου, μηδὲ τῶν ὑπερημέρων ἐν ταύταις ταῖς ἡμέραις. ἐὰν δέ τις τούτων, τι παραβαίνῃ, ὑπόδικος ἔστω τῷ παθόντι, καὶ προ- 21
βολαὶ αὐτοῦ ἔστωσαν ἐν τῇ ἐκκλησίᾳ τῇ ἐν Διονύσου, ὡς ἀδικοῦντος, καθὰ περὶ τῶν ἄλλων τῶν ἀδικούντων γέγραπται. Ἐνθυμεῖσθε, ὦ ἄνδρες δικασταί, ὅτι ἐν τῷ προτέρῳ νόμῳ περὶ τῶν κατὰ τὴν ἑορτὴν ἀδικούντων οὔσης τῆς προβολῆς, ἐν τούτῳ καὶ κατὰ τῶν 22
τοὺς ὑπερημέρους εἰσπραττόντων, ἢ καὶ ἄλλ' ὁτιοῦν τινὸς λαμβανόντων, ἢ βιαζομένων, ἐποιήσατε τὰς προβολάς. οὐ γὰρ ὅπως μὴ τὸ σῶμα ὑβρίζηταί τινος ἐν ταύταις ταῖς ἡμέραις, ἢ τὴν παρασκευὴν, ἣν ἂν ἐκ τῶν ἰδίων πορίσαιτό τις, εἰς τὴν λειτουργίαν 23
ᾤεσθε χρῆναι, ἀλλὰ καὶ τὰ δίκῃ καὶ ψήφῳ τῶν ἑλόντων γιγνόμενα, τῶν ἑαλωκότων καὶ κεκτημένων ἐξ ἀρχῆς, τῇ γοῦν ἑορτῇ ἀπεδώκατε εἶναι. ὑμεῖς μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, πάντες εἰς τοσοῦτον ἀφῖχθε φιλανθρωπίας τε καὶ εὐσεβείας, ὥστε καὶ τῶν 24
πρότερον γεγενημένων ἀδικημάτων τὸ λαμβάνειν δίκην ἐπέχετε ταύτας τὰς ἡμέρας. Μειδίας δ' ἐν αὐταῖς ταύταις ταῖς ἡμέραις, ἄξια τοῦ δοῦναι τὴν ἐσχάτην δίκην ποιῶν δειχθήσεται. βούλομαι δ' ἕκαστον ἀπ' ἀρχῆς ὧν πέπονθα ἐπιδείξας, ἔτι καὶ περὶ τῶν πλη- 25
γῶν εἰπεῖν, ἃς τὸ τελευταῖον προσενέτεινέ μοι. ἓν γὰρ μηδέν ἐστιν, ἐφ' ᾧ τῶν πεπραγμένων οὐ δίκαιος ὢν ἀπολωλέναι φανήσεται. ἐπειδὴ γὰρ οὐ καθεστηκότος χο-

Margin notes: τοῦ α. — πομπή. α. ε. — θαργηλιῶνες. α β. — ὑπὸ α. — ἢ. πορίσαιτο. — ἐκώλυεν. χ.

Right-margin scholia section numbers: 21, 22, 23, 24, 25

ῆσαι. ὥστε ἀναγκαῖον ἦν διηγήσασθαι. καὶ οὐ διηγήσασθαι βούλεται μόνον, ἀλλὰ καὶ αὐξῆσαι τὴν ἑαυτοῦ φιλοτιμίαν ἐν τῇ καταστάσει. ἔτι πρὸς τούτοις, ἐν ὅρῳ ταυτόν ἐστι προβολὴ καὶ κατάστασις. ἤδη δὲ καὶ ὅρου δύναμιν ἡ κατάστασις ἔχει· προβαλλόμεθα γὰρ ἐφ' οἷς πεπόνθαμεν. λέγοντες δὲ ταῦτα, τὴν διήγησιν πληροῦμεν. ὅτε δὲ πρὸς τὸ ἡμῖν χρήσιμον διηγούμεθα, ὅρον περαίνομεν. ἡμῶν γὰρ διὰ τῆς καταστάσεως εἰσαγόντων, ὡς δημόσιον εὐθὺς ὁ ἀντίδικος ὑπολαμβάνων, ὡς ἰδιωτικὸν ὁρίζεται. οὐκοῦν ὅρου δύναμιν ἔχει ἡ κατάστασις. ἀλλ' ἐκεῖ μέν, συνεστραμμένως καὶ δι' ὀλίγων ὁριζόμεθα ἀγωνιστικῶς. ἐν δὲ τῇ καταστάσει, πλατέως καὶ ἧττον ἀγωνιστικῶς. διὰ τί δὲ ὁριστικὴν δύναμιν ἔχουσα, προβολὴ κέκληται; ὅτι ἐπάναγκες ἦν δύο ἀνθορισμοῖς ἐμπίπτειν, εἴπερ ὅρος τις ἡ κατάστασις ἐκαλεῖτο. ἡμῶν γὰρ ὁριζομένων ἐν τῇ καταστάσει πλατέως, ὁ ἀνθοριζόμενος πρὸς ἐκεῖνον, δύο ἐποίει ἀνθορισμούς. ἵνα οὖν μὴ δύο ἀνθορισμοὺς ὀνομάζωμεν, τὸν μὲν πλατὺν ὅρον, προβολὴν ἐκαλέσαμεν ἐν καταστάσει κείμενον. τὸν δὲ στενόν, μετὰ τὴν προβολήν. τὸν μὲν παρὰ τοῦ φεύγοντος, ὅρον. τὸν δὲ παρὰ τοῦ διώκοντος, ἀνθορισμόν. ἔτι πρὸς τούτοις ἐπειδὴ πολλὰ καὶ ψευδῆ καὶ αἰσχρὰ καὶ ἐπηρείας καὶ χλευασμοὺς ἐβούλετο κατειπεῖν τοῦ Μειδίου, ταῦτα δὲ ἐν μὲν τοῖς ἀγῶσι λέγειν οὐκ ἀξίαν διὰ τὸ μικρὰ εἶναι καὶ τοῖς ἐλέγχοις ἀπαιτεῖσθαι· ἐν δὲ τῇ καταστάσει, τὰς μὲν ἀποδείξεις ἧττον ἔμελλε προσάγειν, λέγων δὲ διαβάλλειν καὶ παροξύνειν τοὺς δικαστὰς ἐν τῷ πλήθει τῶν ἐγκλημάτων, διὰ τοῦτο καταστάσει ἐχρήσατο. καὶ ταῖς φανεραῖς καὶ μεγάλαις, τὰ μικρὰ καὶ ἀφανῆ συνέπλεξεν, ἵνα δι' ἐκείνων καὶ ταῦτα αὐξήσῃ τε ὁμοῦ καὶ πιστὰ καταστήσῃ. μικτὴν ἔφαμεν εἶναι τὴν κατάστασιν, ἔκ τε δημοσίων καὶ ἰδιωτικῶν πραγμάτων, ἔτι δὲ καὶ αὐξήσεως. καὶ τὸ μὲν πλεῖστον αὐτῆς, ἐστὶ πραγματικόν. τὸ δέ, παθητικόν. τὸ δέ, καταφορικόν. καὶ τὸ σύμπαν ὅλος ὁ λόγος τοιαύτην ἔχει τὴν μίξιν. πραγματικὸν μέν, ἐν οἷς περί τινων τῶν εἰς ἑαυτὸν γεγενημένων, καὶ τοῦ δημόσιον εἶναι τὸ ἔγκλημα διαλαμβάνει. παθητικὸν δέ, ἐν οἷς αὔξει τὴν ὕβριν. καταφορικὸν δέ, ἐν οἷς εἰς τὸ πρόσωπον ἀποτείνεται τοῦ Μειδίου. ἀπὸ τοῦ δημοσίου δὲ τὴν ἀρχὴν

χορηγοῦ τῇ Πανδιονίδι φυλῇ τρίτον ἔτος τουτί, παρούσης
26 δὲ τῆς ἐκκλησίας, ἐν ᾗ τὸν ἄρχοντα ἐπικληροῦν ὁ
νόμος ταῖς χοροῖς τοὺς αὐλητὰς κελεύει, λόγων καὶ λοι-
δορίας γιγνομένης, καὶ κατηγοροῦντος τοῦ μὲν ἄρ-
χοντος τῶν ἐπιμελητῶν τῆς φυλῆς, τῶν δ' ἐπιμελη-
τῶν τοῦ ἄρχοντος, παρελθὼν ὑπεσχόμην ἐγὼ χορηγή-
27 σειν ἐθελοντής. καὶ κληρουμένων, πρῶτος αἱρεῖσθαι τὸν
αὐλητὴν ἔλαχον. ὑμεῖς μέν, ὦ ἄνδρες Ἀθηναῖοι,
πάντες, ἀμφότερα, ὡς οἷόν τε μάλιστ', ἀπεδέξασθε,
τήν τ' ἐπαγγελίαν τὴν ἐμήν, καὶ τὸ συμβὰν ἀπὸ τῆς
τύχης· καὶ θόρυβον καὶ κρότον τοιοῦτον, ὡς ἂν ἐπαινοῦν-
28 τές τε καὶ συνησθέντες, ἐποιήσατε. Μειδίας δ' οὑτοσὶ
μόνος τῶν *ἁπάντων, ὡς ἔοικεν, ἠχθέσθη, καὶ παρηκο- *πάντων. α.
λούθησε παρ' ὅλην τὴν λειτουργίαν ἐπηρεάζων ἐμοὶ
συνεχῶς, καὶ μικρὰ καὶ μείζω. ὅσα μὲν οὖν *ἢ τοὺς *α.
χορευτάς, ἐναντιούμενος ἡμῖν, *ἀφεθῆναι τῆς χορείας *γρ. μὴ ἀφεθῆναι τῆς στρατείας ἠνώχλησεν, ἀλλ. ἀφεθῆναι τῆς στρατείας ἐκώλυσεν.
29 ἠνώχλησεν, ἢ προβαλλόμενος καὶ κελεύων ἑαυτὸν εἰς

25 ἐποιήσατο, χορηγὸν ὀνομάσας. Τῇ Πανδιονίδι φυλῇ) Δέκατον μέρος ἡ φυλὴ τῆς πόλεως. Τρίτον ἔτος τουτί) Ἢ ὡς τριῶν ἐτῶν ἐξῆς οὐ παρεχούσης τῆς φυλῆς τὸν λειτουργόν, ἵνα γένηται πλείων ἡ αὔξησις, ἢ πρὸ τριῶν τούτων ἐτῶν, ὡς καὶ ἐν Φιλιππικοῖς. Φίλιππος ἐν Θρᾴκῃ τρίτον ἢ τέταρτον ἔτος. οὐ γὰρ δυνατὸν ἐφεξῆς λαβεῖν τὸν χρό-
26 νον. τὴν φιλοτιμίαν δὲ ηὔξησεν, ὅτι διὰ τριῶν ἐτῶν, μόνος αὐτὸς ἐκ τῆς φυλῆς ἐπέδωκε. Παρούσης δὲ τῆς ἐκκλησίας) Πάντα δημόσια τὰ ὀνόματα. ἐκκλησία, ἄρχων, ἐπικλήρωσις αὐλητῶν εἰς τὴν ἑορτήν. οὐκοῦν ἐκ τούτων ὡς περὶ δημοσίων τῶν καθ' ἑαυτὸν ἤδη προσδιαλέγεται. Λόγων καὶ λοιδορίας γιγνομένης) Ἐκ τῶν ἐναντίων ἡ αὔξησις. ἔστι γὰρ μέγιστος τόπος αὐξήσεως, τὸ τὴν προϋπάρχουσαν ἢ *εὐπορίαν, ἢ ταλαιπωρίαν, ἢ πολεμίων ἰσχὺν αὔξειν, ἵνα εὐμένεια μεγίστη φανῇ, τῷ λῦσαι τὰς τοιαύτας ἀπορίας καὶ κρατῆσαι τῆς δυνάμεως τῶν ἐναντίων. *ἀπορίαν.

Καὶ κατηγοροῦντος) Οὐκοῦν στάσις καὶ θόρυβος ἦν. ἐγὼ δὲ τὸν θόρυβον ἔλυσα, διὰ τῆς ὑποσχέσεως. Παρελθὼν ὑπεσχόμην ἐγώ) Πόλεμος ἦν τῶν ἐπιμελητῶν κατὰ τοῦ ἄρχοντος, ὁ ἄρχων τοῖς ἐπιμεληταῖς ἐπῆγε τὴν μέμψιν. ἐπιεικῶς δὲ τὸ ὑπεσχόμην εἴρηκε, διὰ τὸ ἐπαχθέν, πρῶτος αἱρεῖσθαι τὸν αὐλητὴν ἔλαχον. διὰ γὰρ τούτου, τὴν πρὸς αὐτὸν τοῦ δήμου εὐμένειαν ἔδειξεν, ἵνα πιστὸν καταστήσῃ, ὅτι διὰ Μειδίαν ἡττήθη τὸν ἀγῶνα, οὐ διὰ τὴν τύχην.

27 Καὶ τὸ συμβὰν ἀπὸ τῆς τύχης) Ἡ τύχη τῇ γνώμῃ συνέδραμε. δέδωκε τὴν ψῆφον ἀποδεξαμένη τὸν τρόπον.

*ἔπαινον Καὶ θόρυβον καὶ κρότον τοιοῦτον) Τὸν εἰς αὐτὸν *ηὔξησεν, ἵνα μὴ Μειδίας δι' ὀργὴν δόξῃ ταῦτα πεποιηκέναι. ἀλλὰ φθονήσας ἐπὶ τοῖς ἐπαίνοις τοῖς εἰς τὸν ἐχθρὸν γινομένοις. ταχέως δὲ τὸν κρότον ἐπενεγκών, ἔδειξε ποῖον εἴρηκε
28 θόρυβον. τὸ δὲ ὡς ἂν ἐπαινοῦντες, ἐπισφραγιζόμενος λέγει. Μειδίας δὲ οὑτοσὶ μόνος τῶν πάντων) Ἠναντιοῦτο, φησί, καὶ τῇ τύχῃ καὶ τῇ πόλει. ἡ μὲν γὰρ ἐδωρεῖτο τὸν κλῆρον· ὑμεῖς δὲ ἐθαυμάσατε. Μειδίας δὲ ἐδυσφόρει καὶ ἀνδίζετο. Ὡς ἔοικε) Ὡς φαίνεται, φησίν, ἀφ' ὧν πεποίηκεν. Ἐπηρεάζων μοι συνεχῶς) Οὐκοῦν ἐκ προνοίας, καὶ οὐ δι' ὀργὴν πεποίηκε. τὸ δὲ καὶ μικρὰ καὶ μείζω, ἀντὶ τοῦ ἰδιωτικὰ καὶ δημόσια. Ὅσα μὲν οὖν τοὺς χορευτάς) Ἔθος ἦν τοὺς τῷ Διονύσῳ χορεύοντας μὴ στρατεύεσθαι τοῦτον τὸν χρόνον. ὁ τοίνυν Μειδίας ἠνάγκαζεν αὐτοὺς ἐξιέναι. καὶ οὐκ εἴα τῆς στρατείας ἀφίεσθαι. εἰσῆκται δὲ κατὰ παράληψιν, ἐπειδήπερ οὐκ ἔχει πολλὴν τὴν ἰσχύν. τριχῇ δὲ διεῖλε τὰ ἐγκλήματα καὶ πρῶτον μέν, τὰ σαθρότερα προέταξεν. εἶτα τὰ ἰσχυρότερα. καὶ τρίτον τὰ σαθρὰ πάλιν. καὶ τέταρτον τὰ ἰσχυρά. δεῖ γὰρ εἰ μὲν πλείω εἴη τὰ ἰσχυρὰ καὶ τὰ σαθρά, ἄρχεσθαι μὲν ἀπὸ τῶν σαθροτέρων,

πλατυ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πολλάς. Ὑπερβὰς τὰ ἰσχυρότερα. ἔστιν οὖν καὶ νῦν τὰ πρῶτα σαθρά. οὐ γὰρ μέγα ἔγκλημα εἰ τοὺς χορευτὰς ἐκώλυσεν ἀφεθῆναι. καὶ ταῦτα ἵππαρχος ὤν. καὶ εἰ τῶν Διονυσίων ἐπιμελητὴς ἐβούλετο καταστῆναι. Οὐ γὰρ ἀγνοῶ τοῦτο) 28
Γνοὺς ὅτι μικρῶν ἐμνημόνευσε, πρῶτον μὲν τῷ κατὰ παράληψιν σχήματι κέχρηται, ἔπειτα καὶ ἰσχὺν αὐτοῖς διὰ τῆς τέχνης προσέθηκεν, εἰπών, ὅτι ὁ πάσχων ἐγὼ ὁμοίως ἐπὶ τούτοις ἠγανάκτουν, ὥσπερ ἐπὶ τοῖς δεινοτάτοις.

τὰ Διονύσια χειροτονεῖν ἐπιμελητήν, ἢ τἄλλα πάντα
ὅσα τοιαῦτα, ἐάσω. οὐ γὰρ ἀγνοῶ τοῦθ᾽, ὅτι τῷ μὲν ἐπη-
ρεαζομένῳ τότ᾽ ἐμοὶ καὶ ὑβριζομένῳ, τὴν αὐτὴν ὀργὴν
ἕκαστον τούτων, ἥνπερ ἄλλ᾽ ὁτιοῦν τῶν δεινοτάτων παρέ-
στη· ὑμῖν δὲ τοῖς ἄλλοις τοῖς ἔξω τοῦ πράγματος οὖσιν, 29
οὐκ ἂν ἴσως ἄξια ταῦτα καθ᾽ αὑτὰ ἀγῶνος φανείη·
α. α. ἀλλ᾽ ἃ πάντες ἂν ὁμοίως ἀκούσαντες ἀγανακτή-
ἀγανακτήσαιτε.α. σαιτε, ταῦτ᾽ ἐρῶ. ἔστι δὲ ὑπερβολὴ τῶν μετὰ ταῦτα,
ἃ μέλλω λέγειν. καὶ οὐδ᾽ ἂν ἐπεχείρησα ἔγωγε κατη-
γορεῖν αὐτοῦ νῦν, εἰ μὴ καὶ τότε ἐν τῷ δήμῳ παρα- 30
χρῆμα ἐξήλεγξα. τὴν γὰρ ἐσθῆτα τὴν ἱεράν· ἱερὰν
γὰρ ἔγωγε νομίζω πᾶσαν, ὅσην ἄν τις ἕνεκα τῆς ἑορ-
τῆς παρασκευάσηται, τέως ἂν χρησθῇ· καὶ τοὺς στε-
φάνους τοὺς χρυσοῦς, οὓς ἐποιησάμην ἐγώ, κόσμον τῷ
χορῷ, ἐπεβούλευσεν, ὦ ἄνδρες Ἀθηναῖοι, διαφθεῖραί 31
μου, νύκτωρ ἐλθὼν ἐπὶ τὴν οἰκίαν τὴν τοῦ χρυσοχόου. καὶ διέφθει-
πάσας.α. ρεν, οὐ μέντοι πάντας γε· οὐ γὰρ ἐδυνήθη. καίτοι τοιοῦτον
οὐδείς πώποτε οὐδένα φησὶν ἀκηκοέναι τολμήσαν-
τα, οὐδὲ ποιήσαντα ἐν τῇ πόλει. οὐκ ἀπέχρησε δὲ
αὐτῷ τοῦτο, ἀλλὰ καὶ τὸν διδάσκαλον, ὦ ἄνδρες Ἀθη- 32
ναῖοι, διέφθειρέ μου τοῦ χοροῦ. καὶ εἰ μὴ Τηλεφάνης ὁ
αὐλητής, ἀνδρῶν βέλτιστος περὶ ἐμὲ τότε ἐγένετο, καὶ
τὸ πρᾶγμα αἰσθόμενος, τὸν ἄνθρωπον ἀπελάσας,
αὐτὸς συγκροτεῖν καὶ διδάσκειν ᾤετο δεῖν τὸν χορόν· οὐ-
δ᾽ ἂν ἠγωνισάμεθα, ὦ ἄνδρες Ἀθηναῖοι· ἀλλ᾽ ἀδί- 33
δακτος ἂν εἰσῆλθεν ὁ χορός, καὶ πράγματα αἴσχιστα
ἂν ἐπάθομεν. καὶ οὐδ᾽ ἐνταῦθ᾽ ἔστη τῆς ὕβρεως, ἀλλὰ
τοσοῦτον αὐτῷ περιῆν, ὥστε τὸν ἐστεφανωμένον ἄρχον-
τα διέφθειρε· τοὺς χορηγοὺς συνῆγεν ἐπ᾽ ἐμέ, βοῶν,

Καὶ οὐδ᾽ ἂν ἐπεχείρησα) Μετα- 29
βέβηκεν ἐπ᾽ αὐτὸ τὸ ἰσχυρότατον τὸ κατὰ τὴν ἐσθῆτα. καὶ περὶ τῆς εἰσαγωγῆς αὐξήσει κέχρηται, προσεχέστερον τὸν δικαστὴν ποιῶν. ἄπιστα γάρ φησιν ἔδοξε τὰ λεχθησόμενα, εἰ μὴ τότε παραχρῆμα ἐξηλέγχθη. Τὴν 30
γὰρ ἐσθῆτα τὴν ἱεράν) Τὸ ἰδιωτικόν, δημόσιον ἐποίησε τῇ προσθήκῃ τῆς ἱερᾶς. ἐντεῦθεν δέ, ἡ τῆς περιβολῆς αὔξησις. ποιεῖ δὲ αὐτὴν ἱερὰν ἀπὸ τοῦ τόπου, καὶ τοῦ καιροῦ, καὶ τοῦ φο-
ροῦντος. τὸ δὲ τέως ἂν χρησθῇ, ἢ φορεῖται ἢ τρίβεται. ἕως.
Ἱερὰν γὰρ ἔγωγε) Τὸ ἀντίπιπτον ἔλυσεν. ἱερὰν λέγεις, ἣν φορεῖς σύ; μὴ γὰρ ἱερεὺς εἶ. ὁ δὲ ἀπὸ τῆς πανηγύρεως καὶ τοῦ καιροῦ, τὸ ἱερὰν εἶναι κατεσκεύασεν. εἶτα ἐπειδὴ ψηφισματώδης ὁ λόγος, προσέθηκε τοὺς στεφάνους, ὥσπερ συμμαχίᾳ χρώμενος· μᾶλλον γὰρ τὸ κατὰ τοὺς στεφάνους ὥσπερ δημόσιον, ἐπειδὴ καὶ ὁ χορὸς ὁ ᾄδων, αὐτοὺς περιέκειτο. Νύκτωρ ἐλθὼν) Ἀρ- 31
κέσθητι ταῖς ἡμέραις εἰς ἐπιβουλήν, ὦ Μειδία. ἀπόδου τῷ πολέμῳ τὴν νύκτα, καθ᾽ ἣν καὶ οἱ τῇ φύσει πολέμιοι, ἡσυχίαν ἀσπάζονται. πολλὴν ἔχει καὶ τοῖς πολεμίοις ἡ νὺξ τὴν τιμήν. ἀνακωχὴν δίδωσιν αὐτῇ καὶ ὁ δοκῶν δυσμενέστατος. σὺ δέ μοι ποιεῖς ἐν ἑορτῇ νυκτομαχίαν παράλογον.
Οὐ μέντοι πάσας γε) Τοῦτο εἶπεν, ἵνα κακίσῃ μὲν τὴν γνώμην, ἐπαινέσῃ δὲ τὴν τύχην τὴν ἐμποδίσασαν. τάχα δὲ τὸν χρυσοχόον ὁ Διονύσιος ἐξανέστησεν, ἵνα ληφθῇ. λειφθῇ. Οὐκ ἀπέχρησε δὲ αὐτῷ τοῦτο) Πάλιν ἀπὸ τοῦ ἰσχυροτέρου, μετῆλθεν ἐπὶ τὸ σαθρότερον. τό, τε διαφθεῖραι τὸν χοροδιδάσκαλον, καὶ τὸν ἄρχοντα, καὶ τὸ στασιάσαι πρὸς αὐτὸν τοὺς χορηγούς, καὶ τὰς ἄλλας ἐπηρείας. ταῦτα γὰρ καὶ μικρὰ πρὸς κρίσιν, καὶ ἄλλως ἀνέλπιστα. τούτων γὰρ ὁ Μειδίας, ὁμολογήσει οὐδέν. Καὶ εἰ μὴ Τηλεφάνης) Ἵνα μὴ ὑποπτεύσῃ τις ὅτι μισθὸν προσδοκῶν πλεῖο- 32
να δέξασθαι, Τηλεφάνης μάτην τὸν διδάσκαλον διαβέβληκε, τούτου χάριν ἐπαινεῖ τὸν τρόπον, βέλτιστον αὐτὸν ἀποκαλῶν καὶ εὔνουν περὶ αὐτόν. καὶ ἵνα λύσῃ τὸ ἀντίπιπτον, ὅτι διὰ φιλονεικίαν ὁ αὐλητὴς ἐξέβαλε τὸν χοροδιδάσκαλον, ἵνα μόνος δόξῃ εὐδοκιμεῖν, οὕτω γοῦν καὶ τὸν χορὸν αὐτὸς ἐδίδαξεν, ἀπελάσας τὸν ἄνθρωπον. φησὶν οὖν ὁ ῥήτωρ ὅτι καὶ βέλτιστος ἦν Τηλεφάνης, εὔνους καὶ περὶ ἐμέ. οὐκ ἂν οὖν διὰ τὴν ἰδίαν φιλονεικίαν, ἐπιβουλεύειν ἠθέλησεν, εἴπερ ἤδη μὴ διεφθαρμένον τὸν ἄνθρωπον. Οὐδ᾽ ἂν ἠγωνισάμεθα) Καλῶς οὐκ ἐπὶ τοῦ χοροῦ μόνον εἶ-
σοῦ. γρ. ἀπελαύνειν.
πεν ἠγωνίσατο, ἀλλὰ πληθυντικῶς καὶ ἑαυτὸν καὶ πᾶσαν περιέλαβε τὴν φυλήν. Ὥστε τὸν ἐστεφανωμένον) Ὁ γὰρ τὰ 33
πλεῖστα διοικῶν τῆς ἑορτῆς, ὁ ἄρχων ἦν. ὥστε τὰ πολλὰ βλάπτειν ἠδύνατο, εἴπερ διαφθαρεὶς, κατασκευάζειν ἠβουλήθη. Τοὺς χορηγοὺς συνῆγεν ἐπ᾽ ἐμέ) Ἀντὶ τοῦ ἄκοντας αὐτοὺς ἠρέθιζεν· οὐ βουλομένους παρώξυνεν, ἵνα μὴ δοκοῖεν διὰ τὸ μὴ βούλεσθαι νικᾶν, πρὸς φιλονεικεῖν αὐτῷ. τὸ δὲ ἐξ ἀνάγκης συμβαῖνον, τοῦτο εἰς τὸν Μειδίαν ἀνήνεγκεν. οἱ γὰρ ἄλλοι χορηγοὶ φιλονεικοῦντες περὶ τῆς νίκης, στασιάζουσι πρὸς ἀλλήλους. φησὶν οὖν ὅτι Μειδίας αὐτοὺς ἀνέπεισεν, ὥστε μοι πολεμεῖν. εἶτα ἡ κατασκευή. Βοῶν, ἀπειλῶν) Εἰ γὰρ ἐκείνων πρός με διαμαχομένων οὐκ

διὰ τὸ βούλεσθαι νικᾶν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

34 ἀπειλῶν, ὀμνύουσι παρεστηκὼς τοῖς κριταῖς· τὰ δὲ παρασκήνια φράττων, προσηλῶν, ἰδιώτης ὢν, τὰ δημόσια κακὰ, καὶ πράγματα ἀμύθητά μοι παρέχων διετέλεσε. καὶ τούτων, ὅσα γε ἐν τῷ δήμῳ γέγονεν, ἢ πρὸς τοῖς κριταῖς ἐν τῷ θεάτρῳ, ὑμεῖς ἐστέ μοι
35 μάρτυρες πάντες, ὦ ἄνδρες δικασταί. καίτοι τῶν λόγων τούτους χρὴ δικαιοτάτους ἡγεῖσθαι, οὓς ἂν οἱ καθήμενοι τῷ λέγοντι μαρτυρῶσιν ἀληθεῖς εἶναι. προσδιαφθείρας τοίνυν τοὺς κριτὰς τῷ ἀγῶνι τῶν ἀνδρῶν. δύο ταῦτα ὡσπερεὶ κεφάλαια ἐφ' ἅπασι τοῖς ἑαυτοῦ
36 νεανιευομένοις ἐπέθηκεν. ἐμοῦ μὲν ὕβρισεν εἰς τὸ σῶμα, τῇ φυλῇ δὲ κρατούσῃ τὸν ἀγῶνα, αἰτιώτατος τοῦ μὴ νικῆσαι κατέστη. τὰ μὲν οὖν εἰς ἐμέ, καὶ τοὺς φυλέτας ἠσελγημένα, καὶ περὶ τὴν ἑορτὴν ἀδικήματα τούτῳ πεπραγμένα, ἐφ' οἷς αὐτὸν προὐβαλλό-
37 μην, ταῦτ' ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ πολλὰ ἕτερα· ὧν ὅσα ἂν οἷός τε ὦ, δίειμι πρὸς ὑμᾶς αὐτίκα δὴ μάλα. ἔχω δὲ λέγειν καὶ πονηρίας ἑτέρας παμπληθεῖς αὐτοῦ, καὶ ὕβρεις εἰς πολλοὺς ὑμῶν, καὶ τολμήματα τοῦ μιαροῦ τούτου πολλὰ, καὶ δεινά· ἐφ' οἷς
38 τῶν πεπονθότων οἱ μὲν, ὦ ἄνδρες δικασταί, καταδείσαντες τοῦτον, καὶ τὸ τούτου θράσος, καὶ τοὺς περὶ αὐτὸν ἑταίρους, καὶ πλοῦτον, καὶ ὕβριν, καὶ τἆλλα δὴ, ὅσα πρόσεστι τούτῳ, ἡσυχίαν ἦγον· οἱ δ' ἐπιχειρήσαντες δίκην λαμβάνειν, οὐκ ἠδυνήθησαν, εἰσὶ δὲ καὶ οἱ διε-
39 λύσαντο, ἴσως λυσιτελεῖν αὐτοῖς ἡγούμενοι. τὴν μὲν οὖν ὑπὲρ αὐτῶν δίκην, ἔχουσιν οἵ γε πεισθέντες· τῆς δ' ὑπὲρ τῶν νόμων, οὓς παραβὰς ἐκείνους ἠδίκει, καὶ νῦν ἐμὲ, καὶ πάντας τοὺς ἄλλους, ὑμεῖς ἐστε κληρονόμοι. πάντων οὖν ἀθρόων ἓν τίμημα ποιή-
40 σασθε, ὅ τι ἂν δίκαιον ἡγῆσθε, ἐξελέγξω δὲ, πρῶτον μὲν ὅσα αὐτὸς ὑβρίσθην, ἔπειθ' ὅσα ὑμεῖς ἠδίκησθε, μετὰ ταῦτα δὲ καὶ τὸν ἄλλον, ὦ ἄνδρες Ἀθηναῖοι, βίον πάντα αὐτοῦ ἐξετάσω, καὶ δείξω πολλῶν θανάτων, οὐχ ἑνὸς, ὄντα ἄξιον. Λέγε μοι τὴν τοῦ χρυσοχόου
41 πρώτην λαβὼν μαρτυρίαν.

Μαρτυρία.

Παμμένης Παμμένους Ἐρχιεὺς, ἔχων χρυσοχοεῖον ἐν τῇ ἀγορᾷ, ἐν ᾧ καὶ καταγίγνομαι καὶ ἐργάζομαι τὴν χρυσοχοϊκὴν τέχνην, ἐκδόντος δέ μοι Δημοσθένους, ᾧ μαρτυρῶ, στέφανον χρυσοῦν, ὥστε κατασκευάσαι, καὶ ἱμάτιον
42 διάχρυσον ποιῆσαι, ὅπως πομπεύσῃ ἐν αὐτοῖς τὴν τοῦ Διονύσου πομπὴν, καὶ ἐμοῦ συντελέσαντος αὐτὰ, καὶ ἔχοντος παρ' ἐμαυτῷ ἕτοιμα, εἰσπηδήσας πρός με νύ-

κτωρ

Marginal variants: αι. — α. — γρ. τῶν ἀγωνιστῶν ἀνδρῶν. — νεανιευομένοις. α. — τῷ σώματι. — α. — ἠγ. — πομπεύσει.

ἐβόα καὶ ἠπείλει μοι, πρόδηλος ὢν αὐτὸς ἐνάγων τοὺς χορηγούς.

34 Ὀμνύουσι) Τουτέστιν ἐδίδασκεν οὕτως ὀμνύειν, ὥστε σοφίσασθαι τὸν ὅρκον ἵνα μοι καταψηφίσωνται.

Τὰ παρασκήνια φράττων) Τουτέστιν, ἀποφράττων τὰς ἐπὶ τῆς σκηνῆς εἰσόδους, ἵνα ὁ χορὸς ἀναγκάζηται περιιέναι διὰ τῆς ἔξωθεν εἰσόδου, καὶ οὕτω βραδύνοντος ἐκείνου, συμβαίνει καταγελᾶσθαι τὸν Δημοσθένην. τὸ δὲ προσηλῶν, ἢ τοὺς ἥλους ἐντιθεὶς, ἵνα ἀσφαλῶς αἱ θύραι ἐγκλείωνται, καὶ μὴ ἐξῇ κατὰ καιρὸν εἰσελθεῖν, ἀφ' οὗ τὸ γελᾶσθαι καὶ ἀπαθῆναι συμβέβηκεν, ἢ ὅτι τοὺς ἥλους καταχρούων καὶ τύπτων, ἐξακούεσθαι τὸν χορὸν ᾄδοντα οὐ συνεχώρουν.

Ἰδιώτης ὢν, τὰ δημόσια) Καίτοι Διονυσίων ἦν ἐπιμελητής. ἀλλ' ἐπειδὴ αὐτὸν προὔβαλλεν ὡς εἰς τὴν χειροτονίαν, διὰ τοῦτο ἰδιώτην φησὶν αὐτὸν εἶναι. Καὶ τούτων, ὅσα γε) Ἀποπνήγεται τῶν μικρῶν τούτων μάρτυρας παρέχεσθαι. διὰ τοῦτο οὖν ὡς αὐτοῦ τοῦ δήμου θεασαμένου καὶ μαρτυροῦντος, ἐπήγαγεν, ὑμεῖς ἐστέ μοι μάρτυ-

35 ρες. Προσδιαφθείρας) Ἀπὸ τοῦ βάθρου πάλιν ἐπ' αὐτὸ τὸ κύριον καὶ τελευταῖον ἐχώρησε, τουτέστι, τὰς πληγάς. διότι καὶ μείζονά εἰσι τῶν ἑτέρων. καὶ ἄλλως ὁμολογεῖται παρὰ τοῦ φεύγοντος. Τῶν ἀγωνιστῶν ἀνδρῶν) Ἐκ πάσης ἡλικίας ἠγωνίζοντο χοροὶ τῷ Διονύσῳ. διότι καὶ πᾶν σχῆμα αὐτῷ περιτεθείκασι· καὶ γὰρ παῖδα καὶ πρεσβύτην, καὶ ἄνδρα γράφουσιν αὐτόν. ἀλλαχοῦ οὖν εἶπε, χορηγοῦντα παισὶ Διονύσια. διὸ Δημοσθένης δι' ἀνδρῶν ἠγωνίσατο, ὡς προϊών φησιν. ἐγὼ δὲ αὐληταῖς ἀν-

36 δράσιν. Ἐμοῦ μὲν ὕβρισεν εἰς τὸ σῶμα) Οὐκ εἶπε πληγὰς ἔδωκέ μοι καὶ κονδύλους, ἵνα μὴ ταπεινότητα

37 ἑαυτοῦ κατηγορήσῃ. Ταῦτ' ἐστιν) Ἐπειδὴ δὴ μετέρχεται τῶν ἀγώνων εἶναι τὴν κατάστασιν μέλλει δὲ προϊὼν καὶ περὶ τοῦ φόνου λέγειν τοῦ κατ' Ἀρίσταρχον, καὶ περὶ λειποταξίου, καὶ περὶ ὧν εἰς ἄλλους πολλοὺς πεποίηκε, διὰ τοῦτο προλέγει καὶ περὶ τούτων ἐν τῇ

39 καταστάσει. Ὑμεῖς ἐστε κληρονό-

40 μοι) Τρόπον τινὰ διάδοχοι. Λέγε μοι τὴν τοῦ χρυσοχόου) Ἕως μὲν γὰρ

ἐπ' ὧν Μειδίας ὁ κρινόμενος ὑπὸ Δημοσθένους, ἔχων μεθ'
ἑαυτοῦ καὶ ἄλλους, ἐπεχείρησε διαφθείρειν * τὸν στέφα-
νον, καὶ τὸ ἱμάτιον, καὶ τινὰ μὲν αὐτῶν ἐλυμήνατο, οὐ
μέντοι πάντα γε ἐδυνήθη διὰ τὸ ἐπιφανέντα με 43
κωλῦσαι. Πολλὰ μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ
περὶ ὧν τοὺς ἄλλους ἠδίκηκεν ἔχω λέγειν, ὥσπερ εἶπον
ἐν ἀρχῇ τοῦ λόγου, καὶ συνείλοχα ὕβρεις αὐτοῦ, καὶ πο-
νηρίας τοσαύτας, ὅσας ἀκούσεσθε αὐτίκα δὴ μάλα.
ἦν δ' ἡ συλλογὴ ῥᾳδία· αὐτοὶ γὰρ οἱ πεπονθότες προσ- 44
ῄεσάν μοι. Βούλομαι δὲ περὶ τούτων εἰπεῖν, οἷς ἐπι-
χειρήσειν αὐτὸν ἀκήκοα ἐξαπατᾶν ὑμᾶς. τοὺς γὰρ ὑ-
πὲρ τούτων λόγους, ἐμοὶ μὲν ἀναγκαιοτάτους προει-
πεῖν ἡγοῦμαι, ὑμῖν δὲ χρησιμωτάτους ἀκοῦσαι. διὰ
τί; ὅτι τοῦ δικαίαν καὶ εὔορκον θέσθαι τὴν ψῆφον ὁ κω- 45
λύσας ἐξαπατηθῆναι λόγος ὑμᾶς, οὗτος αἴτιος ἔσται.
πολὺ δὴ μάλιστα πάντων τούτῳ τῷ λόγῳ προσέ-
χειν ὑμᾶς δεῖ, καὶ μνημονεῦσαι τοῦτον, καὶ πρὸς ἕκα-
στον ἀπαντᾶν, ὅταν οὗτος λέγῃ. ἔστι δὲ πρῶτον μὲν ἐ-
κεῖνο οὐκ ἄδηλος ἐρῶν, ἐξ ὧν ἰδίᾳ πρός τινας αὐτοὺς 46
διεξιὼν * ἀπηγγέλλετό μοι, ὡς εἴπερ ἀληθῶς ἐπεπόνθειν
ταῦτα, ἃ λέγω, δίκας ἰδίας μοι προσῆκεν αὐτῷ λα-
χεῖν· τῶν μὲν ἱματίων καὶ τῶν χρυσῶν στεφάνων τῆς
διαφθορᾶς, καὶ τῆς περὶ τὸν χορὸν ἁπάσης ἐπη-
ρείας, βλάβης· ὧν δ' εἰς τὸ σῶμα ὑβρίζεσθαί φημι, 47
ὕβρεως· οὐ μὰ Δί' οὐχὶ δημοσίᾳ κρίνειν αὐτὸν, καὶ τίμη-
μα ἐπάγειν, ὅ,τι χρὴ παθεῖν, ἢ ἀποτῖσαι. ἐγὼ δέ, ἓν
μὲν ἐκεῖνο εὖ οἶδα, καὶ ὑμᾶς δὲ εἰδέναι χρή, ὅτι εἰ μὴ
προὐβαλλόμην αὐτὸν, ἀλλ' ἐδικαζόμην, ἐναντίος
ἂν ἧκεν εὐθύς μοι λόγος, ὡς, εἴπερ ἦν τι τούτων ἀλη- 48
θές, * προβάλλεσθαί με ἔδει, καὶ παρ' αὐτὰ τὰ ἀδική-
ματα τὴν τιμωρίαν ποιεῖσθαι· ὅ,τε γὰρ χορὸς ἦν τῆς
πόλεως, ἥ,τε ἐσθὴς, τῆς ἑορτῆς ἕνεκα πᾶσα παρε-
σκευάζετο· ἐγώ τε, ὁ πεπονθὼς ταῦτα, χορηγὸς ἦν.
τίς ἂν οὖν ἑτέραν μᾶλλον εἵλετο τιμωρίαν, ἢ τὴν 49
ἐκ τοῦ νόμου κατὰ τῶν περὶ τὴν ἑορτὴν ἀδικούντων
οὖσαν. ταῦτ' εὖ οἶδ' ὅτι πάντ' ἂν ἔλεγεν οὗτος τότε.
φεύγοντος μὲν γὰρ, οἶμαι, καὶ ἠδικηκότος ἐστὶ, τὸ τὸν
παρόντα τρόπον τοῦ μὴ δοῦναι δίκην διακρουό-
μενον, τὸν οὐκ ὄντα ὡς ἔδει γίνεσθαι λέγειν· δικαστῶν 50
δέ γε σωφρόνων, τούτοις τε μὴ προσέχειν, καὶ ὃν

* ἀπηγγέλλα- σι. α.β.

* προβαλέ-

α.

ἦν καὶ τῶν λεγομένων ἐν τῇ κατα-
στάσει παρέχειν μαρτυρίαν, ἵνα μὴ δο-
κῇ ψιλὰς ἁπλῶς ἀφηγήσεις ποιεῖσθαι.
συνεπέραινε δὲ τὴν κατάστασιν.

Πολλὰ μὲν τοίνυν, ὦ ἄνδρες) Ἐθρα- 43
σύνατο θαρσήσας ἐπὶ τῇ μαρτυρίᾳ
τοῦ χρυσοχόου. συναρπάζει δὲ διὰ ταύ-
της τοὺς δικαστὰς, ὡς καὶ περὶ τῶν ἄλλων
ἀληθῆ κατηγορῶν. Αὐτοὶ γὰρ οἱ 44
πεπονθότες) Ἀντίπτωσις. διὸ ὑποτέ-
μνεται. ὅλην περιῄεις τὴν πόλιν Δη-
μόσθενες, πολυπραγμονῶν διετέ-
λεις. τίς ἄρα παρὰ Μειδίου τι πέπον-
θεν. οὐκ ἔστι ταῦτα. πόθεν. οἴκοι καθή-
μενος εἶχον τὴν γνῶσιν. ὡς πρὸς κοι-
νὸν ἁπάντων πατέρα σύμπαντες, κα-
τάλογον ὧν ἔπαθον ὑπὸ Μειδίου τῶν
ἀδικημάτων, ποιούμενοι. Βούλομαι δὲ
περὶ τούτων) Μέλλων εἰσβάλλειν εἰς
τοὺς ἀγῶνας, προοιμίῳ κέχρηται. βου-
λόμενος προσεχεστέρους ποιῆσαι τοὺς
ἀκούοντας. Ἐξ ὧν ἰδίᾳ) Αὐτὸς 46
τοὺς συνόντας αὐτῷ καὶ φίλους, μι-
σοῦντας αὐτὸν πεποίηκεν, εἴπερ πρὸς
τὸν ἐχθρὸν ἀπήγγελλον, ἅπερ αὐτοῖς
ἐν ἀπορρήτῳ Μειδίας διελέγετο.

Ὡς εἴπερ ἀληθῶς) Ἀρνούμενον ἐν
τοῖς φανεροῖς ποιεῖ τὸν Μειδίαν, δια-
βάλλων αὐτὸν εἰς ἀναίδειαν. πῶς δὲ
ἀρνούμενον εἰσάγει αὐτὸν, ἴσως δὲ καὶ
τὸ ἴδιον τοῦ ὅρου φυλάττων, ἐπειδὴ ἐν
ὅρῳ τὰ μὲν ἀρνούμεθα, τὰ δὲ ὁμολο-
γοῦμεν. ἐν τούτῳ γὰρ τὰ μάλιστα, ὅρος
τῷ στοχασμῷ διαφέρει καὶ κοινωνεῖ,
τῇ μὲν ἀρνήσει κοινωνῶν, τῷ δὲ μὴ
πάντα ἀρνεῖσθαι, διαφέρων. Δί-
κας ἰδίας μοι) Αὕτη ἐστὶν ἡ γνωστικὴ
ἀντίθεσις, πραγματικοῦ δύναμιν
ἔχουσα, ὅτι οὐ χρὴ ἐπὶ τοῖς ἰδίᾳ γι-
νομένοις δημοσίᾳ κρίνεσθαι. καθόλου
γὰρ ποιεῖται τὴν ἀντίθεσιν, μὴ λέγων
τὸ ὄνομα τοῦ παθόντος. ἡ δὲ λύσις, καὶ
αὕτη μεταληπτικὴ ἀπὸ τοῦ τρόπου.

Καὶ τίμημα ἐπάγειν) Ἐπὶ γὰρ τοῖς 47
ἰδιωτικοῖς ἐκ τῶν νόμων ὥριστο τὸ τί-
μημα. ἐπὶ δὲ τοῖς δημοσίοις, ὁ κα-
τήγορος ἐτιμᾶτο. Ἐγὼ δὲ, ἓν μὲν ἐ-
κεῖνο) Μεταληπτικῆς οὔσης τῆς ἀντι-
θέσεως, ὅτι ἰδίᾳ χρὴ, καὶ οὐ δημοσίᾳ
κρίνειν, μεταληπτικῶς ἔλυσε ταύτην
εἰπών. εἰ μὴ τοῦτον κατηγόρησα τὸν τρό-
πον, πάλιν τἀναντία ἔλεγεν, ὅτι δη-
μοσίᾳ κρίνειν ἐχρῆν τὰ ἴδια. ἐὰν γὰρ
τρόπον ἀντὶ τρόπου ὑποβάλλῃ, μετα-
ληπτικὴ γίνεται ἡ λύσις. ὥστε οὐκ
ἀκριβὲς τὸ τοῦ Μητροφάνους, ὅτι πᾶ-
σα μετάληψις, ἀντιλήψει λύεται. ἐ-
φάνη γὰρ καὶ μεταληπτικὸν μεταλη-
πτικῷ λυόμενον. Ὅ,τε γὰρ χορὸς ἦν 48
τῆς πόλεως) Αὐτὸν τὸν ἐχθρὸν πεποίηκεν ὁμολογοῦντα τὸ, δημόσιον εἶναι τὸ ἀδίκημα. καὶ δι' ὧν ἐπελπίσησι τῷ χορῷ

ἂν λάβωσιν ἀσελγαίνοντα, κολάζειν. μὴ δὴ τοῦτο λέγειν αὐτὸν ἐᾶτε, ὅτι καὶ δίκας ἰδίας δίδωσιν ὁ νόμος μοι, καὶ γραφὴν ὕβρεως· δίδωσι γάρ. ἀλλ' ὡς οὐ πε-
51 ποίηκεν ἃ κατηγόρηκα, ἢ πεποιηκὼς οὐ περὶ τὴν ἑορτὴν ἀδικεῖ, τοῦτο δεικνύτω. τοῦτο γὰρ αὐτὸν ἐγὼ προὐβαλόμην, καὶ περὶ τούτου τὴν ψῆφον οἴσετε νῦν ὑμεῖς. εἰ δ' ἐγὼ τὴν ἐπὶ τῶν ἰδίων δικῶν πλεονεξίαν ἀφείς, τῇ πόλει παραχωρῶ τῆς τιμωρίας, καὶ
52 τοῦτον εἱλόμην τὸν ἀγῶνα, ἀφ' οὗ μηδὲν ἐστὶ λῆμμα λαβεῖν ἐμοί, χάριν, οὐ βλάβην δήπου, τοῦτ' ἂν εἰκότως *ἐνέγκαι μοι παρ' ὑμῶν. οἶδα τοίνυν ὅτι καὶ τούτῳ πολλῷ χρήσεται τῷ λόγῳ, μή με Δημοσθένει παραδῶτε, μηδὲ διὰ Δημοσθένην με ἀνέλητε, ὅτι
53 τούτῳ πολεμῶ, διὰ τοῦτό με ἀναιρήσετε; τὰ τοιαῦτα πολλάκις οἶδ' ὅτι φθέγξεται, βουλόμενος φθόνον τινὰ ἐμοὶ διὰ τούτων τῶν λόγων συνάγειν. ἔχει δ' οὐχ οὕτω ταῦτα, οὐδ' ἐγγύς. οὐδένα γὰρ τῶν ἀδικούντων ὑμεῖς οὐδενὶ τῶν κατηγόρων ἐκδίδοτε· οὐδὲ γάρ,
54 *ἐπειδὰν ἀδικηθῇ τις, ὡς ἂν ἕκαστος ὑμᾶς ὁ παθὼν πείσῃ, ποιεῖσθε τὴν τιμωρίαν, ἀλλὰ τοὐναντίον. νόμους ἔθεσθε περὶ τῶν ἀδικημάτων ἐπ' ἀδήλοις μὲν τοῖς ἀδικήμασιν, ἀδήλοις δὲ τοῖς *ἀδικησομένοις. οὗτοι δὲ τί ποιοῦσιν οἱ νόμοι; πᾶσιν ὑπισχνοῦν-
55 ται τοῖς ἐν τῇ πόλει δίκην, ἂν ἀδικηθῇ τις, ἔσεσθαι δι' αὐτῶν λαβεῖν. ὅταν τοίνυν τῶν παραβαινόντων τινὰ τοὺς νόμους κολάζητε, οὐ τοῖς κατηγό-

*ἐνέγκαιμι. ἐνέγκαιμι. ἐνέγκοιμι.
*ἀδικηθεὶς. αι.
*ἀδικησομένοις. α.

50 τοὺς λογισμούς. διὰ τοῦτο καὶ λύει τὴν ἀντίθεσιν, καὶ τὸν ἐχθρὸν καθ' ἑαυτοῦ δείκνυσιν ἀγωνιζόμενον. Μὴ δὴ τοῦτο λέγειν) Ἐν τούτῳ φησὶ μή τις ὑφαίνης τι κατὰ σύλληψιν δηλοῦσθαι, ἐν ᾧ φαίνεται συγχωρῶν ὁ ῥήτωρ, καὶ δίκας ἰδιωτικὰς δίδωσιν ὁ νόμος. οὐ μὴν οὕτως ἔχει· μηδέπω γὰρ τῆς δίκης τεθείσης, τουτέστιν αὐτοῦ τοῦ ὅρου τεθέντος, μηδὲ ἀνθορισαμένου ἰδιωτικῶς τοῦ ῥήτορος, πῶς οἷόν τε κατὰ σύλληψιν εἰσάγεσθαι. ἢ πῶς συναγωγή ἐστι τοῦ ὅρου, καὶ τοῦ ἀνθορισμοῦ. ἔστιν οὖν λύσις μᾶλλον τῆς γενικῆς ἀντιθέσεως. δίδωσιν ὁ νόμος ἰδίᾳ δικάζεσθαι. ὁ δέ, κατὰ συγχώρησιν ὁμολογῶν καὶ αὐτὸς δίδοναι νόμον καὶ δίκας ἰδιωτικάς, ἃ μέντοι κατηγόρηκα ἐγώ, φησί, καὶ ἃ τετόλμηκε Μειδίας, ταῦτα περὶ τὴν ἑορτήν ἐστιν ἀδικήματα. πῶς οὖν ἰδίᾳ κρίνεσθαι βούλεται, δημοσίᾳ πλημμελή-
51 σας. Εἰ δ' ἐγὼ τὴν ἐπὶ τῶν ἰδίων δικῶν πλεονεξίαν) Ὁ μὲν ἰδιωτικὸν λαγχάνων, αὐτὸς ἐλάμβανε παρὰ τοῦ φεύγοντος τὸ ἐκ τῶν νόμων τίμημα. παρεώρακα δὲ μόνος τὴν ἐμαυτοῦ
52 δίκην διδόντα. Χάριν, οὐ βλάβην) Προετίμησα περὶ ἐμαυτοῦ τὴν πόλιν καὶ ταύτῃ παρεχώρησα τὸ ἐκ τοῦ τιμήματος ὄφελος. βούλεται γὰρ αὐτὸν δημευθῆναι. Οἶδα τοίνυν ὅτι καὶ τούτῳ πολλῷ χρήσεται τῷ λόγῳ) Ὁ ῥητορικὸν κεφάλαιον. Ἄλλως. Κυρίως οὗτός ἐστιν ὁ ὅρος ἰδικῶς εἰσηγμένος. διὸ καὶ ὀνομαστὶ προσήγαγε καὶ πολλῷ, φησί, χρήσεται τῷ λόγῳ. ἐπεὶ οὐδὲν γὰρ ἕτερον οὕτως, ὡς ἐπὶ τοῦτο καταφεύξεται Μειδίας, ἰδιωτικὸν ἀποφῆναι τὸν ἀγῶνα. φασὶ δέ τινες τοῦτο εἶναι ἀντιθέσεις, μίαν μέν, μή με Δημοσθένει παραδῶτε· ἑτέραν δέ, μηδὲ διὰ Δημοσθένην με ἀνέλητε· τρίτην δέ, ὅτι τούτῳ πολεμῶ, διὰ τοῦτό με ἀναιρήσετε· καὶ τοῦτό φασι γνώριμον ἐκ τοῦ πρὸς ἕκαστον τούτων γνωρίζεσθαι καὶ τὰς λύσεις παρὰ τοῦ ῥήτορος. οὐ μὴν οὕτως ἔχει· μία γάρ ἐστιν ἀντίθεσις εἰς τρία κῶλα μερισθεῖσα. καὶ τοῦτο δῆλον μάλιστα μὲν καὶ ἐκ τῶν λύσεων· πᾶσαι γὰρ πρὸς ἓν νόημα τὴν ἀναφορὰν ἔχουσιν, ὅτι οὐ Δημοσθένης μόνος ἐστὶν ὁ ὑβρισθείς, ἀλλὰ καὶ ὁ χορηγός. ἔπειτα δὲ καὶ ἀπ' αὐτῶν τῶν κώλων τῶν ἐν τῇ ἀντιθέσει· καὶ γὰρ ἐν τούτοις ἓν ἐστι νόημα διὰ πάντων, ὅτι ἰδιώτης ἐστὶν ὁ ὑβρισθείς. καὶ τὰ μὲν δύο πρόδηλον ἔχει τὴν συγγένειαν. μή με Δημοσθένει παραδῶτε, μηδὲ διὰ Δημοσθένην με ἀνέλητε· τὸ γὰρ μὴ παραδοῦναι τῷ ἐχθρῷ, ταὐτόν ἐστι τὸ μὴ ἀνελεῖν. τὸ δὲ τρίτον ἔχει μὲν καὶ αὐτὸ συγγένειαν πρὸς τὰ πρότερα, ἐν ᾧ φησί, διὰ τοῦτό με ἀναιρήσετε; ταὐτόν ἐστι τῷ μηδὲ διὰ Δημοσθένην με ἀνέλητε. διαφέρει δὲ τῷ εἰπεῖν ὅτι τούτῳ πολεμῶ· δείκνυσι γὰρ ἐκ τούτων ἰδιωτικὴν τὴν ἔχθραν. ὅτι πρὸς ἕνα μοί ἐστιν ὁ πόλεμος ὁ πρὸς Δημοσθένην. αὐτὸς δὲ ὑβρισθείς, οὐκ ὀφείλει κοινὸν τῆς πόλεως λέγειν τὸ ἀδίκημα. καὶ ἔστιν ὁ ὅρος οὗτος, τὸ μέν, ὁμολογούμενον, τὸ δέ, ἀρνούμενον ἔχων. ὅτι μὲν γὰρ ὕβρισεν Δημοσθένην, ὁμολογεῖ. ὅτι δὲ δημόσιον τὸ γεγονός, ἀρνεῖται, ὡς εἶναι τὸ μὲν παρὰ τοῦ φεύγοντος, ὅρον ἐκ τῶν λειπόντων, τὸ δὲ παρὰ τοῦ διώκοντος, ἐκ τῶν πεπραγμένων. ὁ μὲν γάρ φησιν, οὐκ ἄρχοντα ὕβρισα, οὐ περὶ τὴν πόλιν ἐξήμαρτον, ἀλλ' εἰς Δημοσθένην, καὶ σιωπᾷ τὸν χορηγόν, τὴν ἱερομηνίαν, τὸ θέατρον. ὁ δὲ πρὸς τοῖς ὑπὸ Μειδίου ὁμολογουμένοις, καὶ αὐτὰ προστιθείς, δημόσιον ποιεῖ τὸ ἔγκλημα. διὰ τί οὖν μιᾶς οὔσης τῆς ἀντιθέσεως εἰς τρία μέρη πεποίηκεν αὐτήν, ὅτι ἐθάρρει τῷ πλήθει τῶν λύσεων, καὶ ἵνα μὴ δόξῃ περὶ ἓν μέρος πολλῇ χρῆσθαι τῇ περιουσίᾳ, διὰ τοῦτο ἐμέρισεν, ὥστε λανθάνειν τὴν ἰσχὺν τῆς ἀντιθέσεως· ἔνθα γὰρ πολλὰς ἔχει λύσεις, ἐκεῖ καὶ τὴν μίαν
53 ἀντίθεσιν πολλὰς ποιεῖ, ὥστε τὴν εὐπορίαν ἐπιδείξασθαι τῶν λύσεων. Βουλόμενος φθόνον τινὰ) Μειδίας ἰδιωτικὸν ποιῆσαι τὸν ἀγῶνα βουλόμενος, χρῆται τῇ ἀντιθέσει. ὁ δὲ ῥήτωρ φησίν, ἵνα μοι φθόνον κινήσῃ. καὶ πεποίηκεν ὁμολογοῦντα τὸν ἐχθρόν, ὅτι ἀδικεῖ, φοβούμενον δὲ μὴ παραδοθῇ τῷ ἀντιδίκῳ· καὶ γὰρ ἄξιον φθόνου τὸ ἐκ τοῦ δικαστηρίου παραλαβεῖν τὸν ἐχθρόν, ὥστε χρήσασθαι ὅ,τι βούλεται. δείξας δὲ ὅτι οὐχ αὐτῷ παραδώσουσιν, ἀλλὰ τοῖς νόμοις,

μεταβαίνει

μεταβαίνει ἐπὶ τὸ ἕτερον μέρος, τὸ, ὅτι οὐ δημοσθένης ἐστὶν ὁ ὑβρισθεὶς, καὶ φησίν. Ἀλλὰ μὴν) Ἀνθορισμὸς τοῦ 55
διώκοντος, οὐ μόνον ὄντα δημοσθένην ὕβρισεν, ἀλλὰ χορηγόν. Οὐ γὰρ εἰς δημοσθένην ὄντα με ἠσέλγαινεν, ἀλλὰ καὶ 56
εἰς χορηγὸν ὑμέτερον) Τουτέστιν, εἰς ἄρχοντα, μὴ ἔχων δὲ δεῖξαι ὅτι ἄρχων ἐστὶν, ἐκ τῆς τοῦ ὁμοίου παραθέσεως

ροις τοῦτον ἐκδίδοτε, ἀλλὰ τοὺς νόμους ὑμῶν αὐτῶν
βεβαιοῦτε. ἀλλὰ μὴν, πρός γε τὸ τοιοῦτον, ὅτι δημο-
σθένης, φησὶν, ὑβρίζεται, δίκαιος καὶ κοινὸς καὶ παρ' ἁ- 56
πάντων ἔσθ' ὁ λόγος. οὐ γὰρ εἰς δημοσθένην ὄντα με
ἠσέλγαινε μόνον ταύτην τὴν ἡμέραν, ἀλλὰ καὶ εἰς
χορηγὸν ὑμέτερον· τοῦτο δ' ὅσον δύναται, γνοίητ' ἂν
ἐκ τῶνδε. ἴστε δήπου τοῦθ' ὅτι τῶν θεσμοθετῶν τούτων,
οὐδενὶ θεσμοθέτης ἐστ' ὄνομα, ἀλλ' ὅ,τι δήποτε ἑκάστῳ. 57
ἂν μὲν τοίνυν ἰδιώτην ὄντα τινὰ αὐτῶν ὑβρίσῃ τις ἢ
κατηγορίας. ε κακῶς εἴπῃ, γραφὴν ὕβρεως καὶ δίκην *κακηγορίας
φεύξεται. ἐὰν θεσμοθέτην, ἄτιμος ἔσται καθάπαξ.
διὰ τί; ὅτι τοὺς νόμους ἤδη ὁ τοῦτο ποιῶν προσυβρί-
ζει, καὶ τὸν ὑμέτερον κοινὸν στέφανον, καὶ τὸ τῆς πόλεως 58
ὄνομα· ὁ γὰρ θεσμοθέτης, οὐδενός ἐστ' ὄνο-
μα, ἀλλὰ τῆς πόλεως. καὶ πάλιν γε τὸν ἄρχοντα, ταὐ-
τὸ τοῦτο. ἐὰν μὲν ἐστεφανωμένον πατάξῃ τις, ἢ κακῶς
εἴπῃ, ἄτιμος. ἐὰν δὲ ἰδιώτην, ἰδίᾳ ὑπόδικος. καὶ οὐ μό-
νον περὶ τούτων οὕτω ταῦτ' ἔχει, ἀλλὰ καὶ περὶ πάν- 59
των, οἷς ἂν ἡ πόλις τινὰ ἄδειαν, ἢ στεφανηφορίαν, ἢ τι-
νὰ τιμὴν δῷ. οὕτω τοίνυν καὶ ἐμὲ εἰ μὲν ἐν ἄλλαις τι-
σὶν ἡμέραις ἠδίκησέ τι τούτων μειδίας ἰδιώτην ὄντα,
ἰδίᾳ καὶ δίκην προσῆκεν αὐτῷ διδόναι· εἰ δὲ χορηγὸν
ὄντα ὑμέτερον, ἱερομηνίας οὔσης, πάνθ' ὅσα ἠδίκη- 60
σεν, ὑβρίσας φαίνεται, δημοσίας ὀργῆς καὶ τιμωρίας
δίκαιός ἐστι τυχεῖν· ἅμα γὰρ τῷ δημοσθένει καὶ ὁ
χορηγὸς ὑβρίζετο. τοῦτο δ' ἐστὶ τὸ τῆς πόλεως ὄνο-
μα. καίτοι ταύταις ταῖς ἡμέραις, ἃς οὐκ ἐῶσιν οἱ νό-
*τίθησθε. α μοι. χρὴ δὲ ὅταν μὲν *τιθῆσθε τοὺς νόμους, ὁποῖοί τινές 61
εἰσι σκοπεῖν. ἐπειδὰν δὲ θῆσθε, φυλάττειν καὶ χρῆ-
σθαι· καὶ γὰρ εὔορκα ταῦθ' ὑμῖν ἐστὶ, καὶ ἄλλως δίκαια.
ἦν ὁ τῆς βλάβης ὑμῖν νόμος πάλαι, ἦν ὁ τῆς αἰκίας,

συνίστησι διὰ συλλογισμοῦ. ὁ θεσμοθέτης ὅταν ἔχῃ τὸν στέφανον τῆς πόλεως, ἐστὶν *ὄνομα ἀρχόντων. ὁμοίως δὲ *γρ. ὀνόματι.
διεξιὼν τὰ ὁμολογούμενα, τὸ ἀμφισβητούμενον συνίστησι διὰ συλλο-
γισμοῦ. Καὶ οὐ μόνον περὶ τού- 58
των οὕτω ταῦτα ἔχει) Ἐκ γὰρ τῶν κατὰ μέρος, τὸ καθόλου συνίστησιν.

Ἄλλως. Συλλογισμὸς ὅτι οὐ μόνον ὑβριστὴς, ἀλλὰ καὶ ἀσεβὴς ὁ μειδίας· ἔστι γὰρ ὅρος διπλοῦς κατὰ σύλληψιν.
Οἷς ἂν ἡ πόλις) Εἶχε γὰρ τινὰ καὶ ὁ χο- 59
ρηγὸς ἄδειαν, οἷον ἀφιέναι τῆς στρατείας τὸν χορὸν, καὶ εἰσάγειν, ὅτε βούλοιτο. εἶτα καταλιπὼν τὸ λέγειν τὰ ἴδια τοῦ θεσμοθέτου, καὶ τοῦ ἄρχοντος, ὅπερ ἦν αὐτοῖς κοινὸν πρὸς τὸν χορηγὸν, τοῦτο εἶπε, στεφανηφορίαν καὶ τιμήν. ὅπερ δὲ ὅτι οὐ φανερῶς εἶπεν ἀρχήν· εἶχε γὰρ καὶ ὁ χορηγός τινα ἄδειαν, ἐπὶ τῆς χορηγίας καὶ τῆς πανηγύρεως.

Οὕτω τοίνυν) Κατασκευὴ τῆς ἀσεβείας ἀπὸ τοῦ χρόνου. Εἰ μὲν ἐν ἄλλαις τισὶν ἡμέραις) Τοῦτό ἐστι συλλογισμὸς ἰδικῶς εἰσηγμένος· ἐπειδὴ γὰρ ὁ πρότερος καθόλου ὢν, ἀγνωστότερος ἦν τοῖς ἀκούουσι καὶ βιαιότερος, διὰ τοῦτο ἐπήγαγε τὸ ἰδικὸν, συνάπτων αὐτὸν τῷ καθόλου, καὶ πιθανώτερον ποιῶν τὸν συλλογισμόν.

Ἅμα γὰρ τῷ δημοσθένει καὶ ὁ χορηγὸς 60
ὑβρίζετο) Τοῦτό ἐστι τὸ κατὰ σύλληψιν. μετὰ γὰρ τὸν ἀνθορισμὸν, ὃν ἐβεβαίωσε τῷ συλλογισμῷ, ἀναγκαῖον ἦν ἐπαγαγεῖν τὸ κατὰ σύλληψιν, ὥστε λαβεῖν δι' αὐτοῦ καὶ τὸν ὅρον καὶ τὸν ἀνθορισμόν.

Τοῦτο δ' ἐστὶ) Κατασκευὴ τοῦ ἀνθορισμοῦ, ἐκ τῶν ἀπ' ἀρχῆς ἄχρι
τέλους. Χρὴ δὲ ὅταν μὲν τίθησθε 61
τοὺς νόμους) Ἐντεῦθεν εἰσέβαλεν εἰς τὴν τοῦ νομοθέτου διάνοιαν, ἵν' ἐξ ἐκείνης βεβαιώσῃ τὸν συλλογισμόν. διαφέρει δὲ νόμου διάνοια, νομοθέτου διανοίας, ὅτι ἐν μὲν τῇ τοῦ νόμου διανοίᾳ, τὸν νόμον αὐτὸν ὡς ἀσαφῆ, πρὸς τὸ ἡμῖν συμφέρον, ἐξηγούμεθα· τὴν δὲ τοῦ νομοθέτου διάνοιαν, ἔξωθεν ἐξετάζομεν, ὅτι γνοὺς οὕτως ἐνομοθέτησεν, οὐκ ὄντων ἀσαφῶν τῶν νόμων. Καὶ ἄλλως δίκαια) Καὶ χωρὶς τοῦ ὀμόσαι δηλονότι.

Ἦν ὁ τῆς βλάβης ὑμῖν νόμος) Ἑτέρα κατασκευὴ, ὡς ἔστι δημόσια τὰ ἐν ταῖς ἑορταῖς ἀδικήματα ἀπὸ τῆς γνώμης τῶν νομοθετῶν, ἐπεὶ διὰ τί νόμον ἕτερον τὸν τῆς προβολῆς εἰς χάριν τοῦ διονύσου πρεσβεύοντες τὴν πανήγυριν ἔθεντο, εἰ ἐξήρκουν οἱ πρότεροι. σεμνύνει δὲ τῷ ῥήματι τὸν νόμον, ὀνόματι κεκληκὼς ἱερόν. βούλεται οὖν ἐκ τῆς τοῦ νομοθέτου διανοίας, δημόσιον ἀποδεῖξαι τὸ γεγονός. καὶ φησὶν, ὅτι διὰ τοῦτο τὸν περὶ τῶν διονυσίων νόμον ἔθηκεν, ὄντων περὶ τῆς βλάβης νόμων, καὶ τῆς αἰκίας, καὶ τῆς ὕβρεως, πρόδηλον ὅτι μείζονος τιμωρίας ἀξιῶν τοὺς περὶ τὴν ἑορτὴν πλημμελοῦντας. καὶ εἶπε τοὺς νόμους τούτους, καθ' οὓς ἀξιοῖ μειδίαν κρίνεσθαι, τοὺς περὶ βλάβης νόμους καὶ τοὺς ἄλλους· εἰ γὰρ τούτων ὑπαρχόντων, ὕστερον ὁ περὶ τῶν διονυσίων ἐτέθη, πρόδηλον ὅτι οὐ κατὰ τοὺς παλαιοὺς, ἀλλὰ κατὰ τοὺς ὕστερον ὀφείλει κρίνεσθαι.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

61 Εἰ τοίνυν ἀπέχει) Ἐπαναφορὰ τὸ σχῆμα, ὅταν ὁλόκληρος λέξις ἐπ' ἀμφοῖν τῶν κώλοιν κατ' ἀρχὰς γίνεται, καὶ ἔστιν ἐπιμελείας καὶ κάλλους.

62 Εἴ τις οὖν κἀκείνοις) Ὁμοίως τοῖς περὶ τῆς ἀδικίας λέγει καὶ τῆς ὕβρεως. ἔστι δὲ ἀντίθεσις συγγνωμονική. Καὶ τούτῳ τῷ μετ' ἐκείνους τεθέντι) Τῷ περὶ τῶν διονυσίων λέγει, ἢ ἔκ τε τῶν ἰδιωτικῶν νόμων, καὶ τοῦ περὶ τὴν ἑορτὴν, τὸ κατὰ σύλληψιν βεβαιώσῃ.

63 Ἀπήγγελλε τοίνυν τίς μοι) Ἔστι παραδειγματικὴ μέν πως ἡ ἀντίθεσις· εἰσῆκται δὲ καὶ κατὰ συγγνώμην ὑπὸ τοῦ ῥήτορος πρὸς τὸ ἑαυτοῦ συμφέρον, ἵνα δειχθῇ ἐπιεικῶς καταφεύγων, ὡς ὄντως ἠδικηκώς. ἐπεὶ γὰρ μειδίας, οὐχὶ συγγνώμην αἰτεῖ, ἀλλὰ τῷ ὅρῳ συνάπτει, φάσκων ὅτι οὕτως ἰδιωτικόν ἐστι τὸ γεγονός. πρόεδροι γὰρ καὶ θεσμοθέται πληγέντες, οὐκ ἐπεξῆλθον, ἀλλὰ ἰδίᾳ διελύσαντο, ὡς εἴ τις αὐτὴν τὴν ὁλικὴν συνῆψεν, οὕτως ἂν αὐτὴν ὁλόκληρον γίνεσθαι· καὶ γὰρ καὶ πρόεδροι καὶ θεσμοθέται πληγέντες, ἰδίᾳ δίκην ἔλαχον. ὁ δὲ δημοσθένης εἰδὼς τὴν ἰσχὺν τῆς ἀντιθέσεως, ἰδίᾳ μὲν τὴν ὁλικήν, ἰδίᾳ δὲ τὴν παραδειγματικὴν εἰσήγαγεν, ἵνα μεταστήσῃ εἰς συγγνώμην· δεῖ γὰρ ἐκ τῶν λύσεων κανονίζειν τὰς ἀντιθέσεις.

64 Ὃς ἔναγχος ἐπλήγη) Οἱ θεσμοθέται τῶν τε ἄλλων ἐπεμελοῦντο, καὶ δὴ καὶ τῆς εὐκοσμίας. καὶ νύκτωρ περιιόντες, ἐσκόπουν μή τινες ἁρπαγαὶ γίγνωνται. τῶν οὖν ὑβριστῶν τινας νεωτέρους ἁρπάζοντας τὴν αὐλητρίδα, ἠβουλήθη ἀφελέσθαι, καὶ οὕτως ὑπ' αὐτῶν ἐπλήγη.

67 Ἔτι τοίνυν) Ὁρᾷς ὅπως συγγνωμονικὴν ἐποίησε τὴν ἀντίθεσιν λέγων, ὅτι οὐκ ἄξιος ἐστὶ συγγνώμης, καὶ δίδωσιν αὐτοῖς τὰς γνώμας τὰς προφάσεις· μειδίας δὲ τούτων οὐδεμίαν ἔχει τὴν πρόφασιν. τί οὖν; αἰτιᾶται τὰ πραχθέντα αὐτῷ τε καὶ τῷ θεσμοθέτῃ. καὶ μέμφεται διότι μὴ ἐπεξῆλθε τοῖς ὑβρίσασι. ποιεῖται δὲ τὴν λύσιν ἐκ διαφορᾶς. συγκρίνει γὰρ καὶ τὰς πληγὰς καὶ τοὺς πλήξαντας. δίδωσι δὲ τῷ κατὰ τὸν θεσμοθέτην ἀπολογίας πλείονας διὰ τὸ τοῦ προσώπου σεμνόν· τρία γὰρ πάθη κατέχοντα τὴν ψυχήν, καὶ βιασάμενα τὴν διάνοιαν, ἐργάζεται καὶ τὴν παραίτησιν.

ἣν ὁ τῆς ὕβρεως. εἰ τοίνυν ἀπέχει τοῖς τοῖς Διονυ- ἀπολ
62 σίοις τι ποιοῦσι τούτων κατὰ τούτους τοὺς νόμους δίκην διδόναι, οὐδὲν ἂν ὑμῖν προσέδει τοῦδε τοῦ νόμου, ἀλλ' οὐκ ἀπέχει. σημεῖον δέ· ἔθεσθε ἱερὸν νόμον αὐτὸν τῷ θεῷ περὶ τῆς ἱερομηνίας. εἴ τις οὖν κἀκείνοις τοῖς προϋπάρχουσι νόμοις, καὶ τούτῳ τῷ
63 μετ' ἐκείνους τεθέντι, καὶ πᾶσι τοῖς λοιποῖς ἐστ' ἔνοχος, ὁ τοιοῦτος πότερα μὴ δῷ διὰ τοῦτο δίκην, ἢ μείζω δοίη δικαίως; ἐγὼ μὲν οἶμαι μείζω. ἀπήγγελλε τοίνυν τίς μοι περιιόντα αὐτόν, συλλέγειν καὶ πυνθάνεσθαι τίσι πώποτε συμβέβηκεν ὑβρισθῆναι·
64 καὶ λέγειν τούτοις, καὶ διηγεῖσθαι πρὸς ὑμᾶς μέλλειν. οἷον, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν πρόεδρον, ὅν ποτέ φασιν ἐν ὑμῖν ὑπὸ Πολυζήλου πληγῆναι, καὶ τὸν θεσμοθέτην, ὃς ἔναγχος ἐπλήγη τὴν αὐλητρίδα ἀφαιρούμενος· καὶ τοιούτους τινάς, ὡς ἐὰν πολλοὺς
65 ἑτέρους πολλὰ καὶ δεινὰ πεπονθότας ἐπιδείξῃ, ἧττον ὑμᾶς ἐφ' οἷς ἐγὼ πέπονθα ὀργιουμένους. ἐμοὶ δ' αὖ τοὐναντίον, ὦ ἄνδρες Ἀθηναῖοι, δοκεῖτε ποιεῖν ἂν εἰκότως, εἴπερ ὑπὲρ τοῦ κοινῇ βελτίστου δεῖ μέλειν ὑμῖν. τίς γὰρ οὐκ οἶδεν ὑμῶν, τοῦ μὲν πολλὰ τοιαῦτα γίγνεσθαι,
66 τὸ μὴ κολάζεσθαι τοὺς ἐξαμαρτάνοντας αἴτιον ὄν, τοῦ δὲ μηδένα ὑβρίζειν τὸ λοιπόν, τὸ δίκην τὸν ἀεὶ ληφθέντα, ἣν προσήκει, διδόναι, μόνον αἴτιον ἂν γιγνόμενον; εἰ μὲν τοίνυν ἀποτρέψαι συμφέρει τοὺς ἄλλους, τοῦτον καὶ δι' ἐκεῖνα κολαστέον, καὶ μᾶλλον γε ὅσῳ περ ἂν
67 ᾖ πλείω καὶ μείζω. εἰ δὲ προξενῆσαι, καὶ τοῦτον καὶ πάντας ἐατέον. ἔτι τοίνυν οὐδ' ὁμοίαν οὖσαν τούτῳ κἀκείνοις συγγνώμην εὑρήσομεν. πρῶτον μὲν γὰρ ὁ τὸν θεσμοθέτην πατάξας, τρεῖς εἶχε προφάσεις, μέθην, ἔρωτα, ἄγνοιαν, διὰ τὸ σκότους καὶ νυκτὸς τὸ πρᾶγμα γενέσθαι.
68 ἔπειθ' ὁ Πολύζηλος, ὀργῇ καὶ τρόπου προπετείᾳ, φθάσας τὸν λογισμόν, ἁμαρτεῖν ἔφησεν. οὐ γὰρ ἐχθρός γε ὑπῆρχεν ὤν, οὐδ' ἐφ' ὕβρει τοῦτ' ἐποίησεν. ἀλλ' οὐ Μειδίᾳ τούτων οὐδέν ἐστιν εἰπεῖν. καὶ γὰρ ἐχθρὸς ἦν, καὶ μεθ' ἡμέραν εἰδὼς ὕβριζε· καὶ οὐκ ἐπὶ τούτου μόνον, ἀλλ' ἐπὶ πάντων
69 φαίνεται προῃρημένος με ὑβρίζειν. καὶ μὴν οὐδὲ τῶν πεπραγμένων ἐμοὶ καὶ τούτοις, οὐδὲν ὅμοιον ὁρῶ. πρῶτον μὲν γὰρ ὁ θεσμοθέτης, οὐχ ὑπὲρ ὑμῶν, οὐδὲ τῶν νόμων φροντίσας, οὐδ' ἀγανακτήσας φανήσεται· ἀλλ' ἰδίᾳ πεισθείς, ὁπόσῳ δήποτε ἀργυρίῳ κα-
70 θυφεὶς τὸν ἀγῶνα. ἔπειθ' ὁ πληγεὶς ἐκεῖνος ὑπὸ τοῦ Πολυζήλου, ταὐτὸ τοῦτο ἰδίᾳ διαλυσάμενος, ἐρρῶσθαι πολλὰ τοῖς νόμοις εἰπών, καὶ ὑμῖν, οὐδ' εἰσήγαγε τὸν Πολύζηλον.

εἰ μὲν

Marginal notes: α. — πεπ. ἀπὸς — ἀπήγγελλε.α — ἁλόντα. — α. — φθάσας.α. — κόπτει.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Εἰ μὲν τοίνυν ἐκείνων) Αὐτὸν τὸν Μειδίαν πεποίηκε κατηγοροῦντα τοῦ προέδρου καὶ τοῦ θεσμοθέτου, ὅτι τοὺς 70
ὑβρίσασιν ἐπεξῆλθον. Καὶ νῦν ἀποδεδωκὼς ὑμῖν) Κυρίως ἀποδεδωκώς. αὐτοῖς γὰρ ὠφείλετο. ἀποδίδω- 71
σι δὲ τὸ ὀφειλόμενόν τις. Ποία γὰρ πρόφασις) Μεταβέβηκεν ἐφ' ἑτέραν συγγνωμονικὴν ἀντίθεσιν, ὅτι οὐ δι' ὀρ- 72

εἰ μὲν τοίνυν ἐκείνων κατηγορεῖν βούλεταί τις ἐν τῷ
παρόντι, δεῖ λέγειν ταῦτα. εἰ δ' ὑπὲρ ὧν ἐγὼ τούτου
κατηγόρηκα, ἀπολογεῖσθαι, πάντα μᾶλλον, ἢ ταῦτα
λεκτέον. πᾶν γὰρ τοὐναντίον ἐκείνοις, αὐτὸς μὲν οὔτε 71
λαβὼν οὐδὲν, οὔτ' ἐπιχειρήσας λαβεῖν φανήσομαι.
τὴν δ' ὑπὲρ τῶν νόμων, καὶ τὴν ὑπὲρ τοῦ θεοῦ, καὶ
τὴν ὑπὲρ ὑμῶν τιμωρίαν δικαίως φυλάξας, καὶ νῦν
ἀποδεδωκὼς ὑμῖν. μὴ τοίνυν ἐᾶτε ταῦτ' αὐτὸν λέ-
γειν, μηδ', ἂν βιάζηται, πείθεσθ' ὡς δίκαιόν τι λέ- 72
γοντι. ἂν γὰρ ταῦθ' οὕτως ἐγνωσμένα ὑπάρχῃ παρ'
ὑμῖν, οὐκ ἐνέσται αὐτῷ λόγος οὐδὲ εἷς. ποία γὰρ πρό-
φασις, τίς ἀνθρωπίνη καὶ μετρία σκῆψις φανεῖται τῶν
πεπραγμένων αὐτῷ. ὀργὴ νὴ Δία. καὶ γὰρ τοῦτο τυχὸν
λέξει. ἀλλ' ἃ μὲν ἄν τις ἄφνω τὸν λογισμὸν φθάσας 73
α. ἐξαχθῇ τι πρᾶξαι, κἂν ὑβριστικῶς τοῦτο ποιήσῃ,
δι' ὀργὴν γ' ἔνι φῆσαι πεποιηκέναι. ἃ δ' ἂν ἐκ πολ-
λοῦ συνεχῶς ἐπὶ πολλὰς ἡμέρας παρὰ τοὺς νόμους
πράττων τις φωρᾶται, οὐ μόνον δήπου τοῦ μὴ με-
τ' ὀργῆς ἀπέχει, ἀλλὰ καὶ βεβουλευμένος ὁ τοιοῦτος 74
ὑβρίζων ἐστὶν ἤδη φανερός. ἀλλὰ μὴν ὁπηνίκα καὶ
ὕβριν. α. β. ε. γρ. δι' ὕβριν. πεποιηκὼς ἃ κατηγορῶ, καὶ ὕβρει πεποιηκὼς φαί-
νεται, τοὺς νόμους ἤδη δεῖ σκοπεῖν, ὦ ἄνδρες δικασταί.
κατὰ γὰρ τούτους δικάσειν ὀμωμόκατε. καὶ θεωρεῖθ' ὅσῳ
ἑκουσίους. α. μείζονος ὀργῆς καὶ ζημίας ἀξιοῦσι τοὺς ἑκουσία, καὶ 75
ἑκουσίως. ε. δι' ὕβριν πλημμελοῦντας, τῶν ἄλλως πως ἐξα-
μαρτανόντων. πρῶτον μὲν τοίνυν οἱ περὶ τῆς βλά-
βης οὗτοι νόμοι πάντες, ἵν' ἐκ τούτων ἄρξωμαι, ἂν
μὲν ἑκὼν βλάψῃ, διπλοῦν· ἂν δ' ἄκων, ἁπλοῦν
τὸ βλάβος κελεύουσιν ἐκτίνειν. εἰκότως. ὁ μὲν γὰρ πα- 76
θὼν πανταχοῦ βοηθείας δίκαιός ἐστι τυγχάνειν. τῷ
δράσαντι δ' οὐκ ἴσην τὴν ὀργὴν ἂν θ' ἑκὼν, ἂν τ'
ἄκων, ἔταξεν ὁ νόμος. ἔπειθ' οἱ φονικοὶ, τοὺς μὲν ἐκ
προνοίας ἀποκτιννύντας, θανάτῳ, καὶ ἀειφυγίᾳ, καὶ
δημεύσει τῶν ὑπαρχόντων, ζημιοῦσι. τοὺς δ' ἀκου- 77
αἰδέσεως. α. β. σίως, αἰέσεως καὶ φιλανθρωπίας πολλῆς ἠξίωσαν.
οὐ μόνον δ' ἐπὶ τούτων τοῖς ἐκ προαιρέσεως ὑβρι-
σταῖς χαλεποὺς ὄντας ἰδεῖν ἐστὶ τοὺς νόμους, ἀλλὰ καὶ
ἐφ' ἁπάντων. τί γὰρ δήποτε, ἄν τις ὀφλὼν δίκην μὴ
ἐκ ἐπ. ἐκτίσῃ, οὐκ ἐποίησεν ὁ νόμος τὴν ἐξούλης ἰδίαν, 78

γὴν, ἀλλ' ἐκ προνοίας. ἐπάγει λοι-
πὸν τὰς κατασκευὰς, ὅτι τοῖς ἑκου-
σίοις πλημμελήμασιν, οὐδεμίαν χρὴ
συγγνώμην ἀπονέμειν. Ὀργὴ νὴ
Δία) Ὁρισμοὶ διακρίνοντες, τί μὲν
ὀργὴ, τί δὲ ὕβρις. ὡς τὸ μὲν, ἐκ τοῦ
παραχρῆμα· τὸ δὲ, ἐκ μελέτης συμ-
βαίνει. Ἀλλὰ μὴν ὁπηνίκα) Ἐν- 74
τεῦθεν ἡ ἀρχὴ τῆς κατασκευῆς. οὐ-
δὲ γὰρ ἀρνεῖται Μειδίας ἃ πεποίη-
κεν, ὅτι δ' οὐ δι' ὀργὴν, ἀλλ' ἐξ ἐ-
πιβουλῆς. Τοὺς νόμους ἤδη δεῖ
σκοπεῖν) Ὅτι τὰ ἑκούσια μειζόνως
κολάζουσιν. Πρῶτον μὲν τοίνυν) 75
Καθ' οὓς βούλεται Μειδίας ἀγω-
νίζεσθαι, κατ' αὐτοὺς δείκνυσιν αὐτὸν
μεγάλης τιμωρίας ἄξιον, ἵνα κἂν
ἰδιωτικὸς ὁ ἀγὼν ἀποδειχθῇ, μὴ
μικρὸν μηδὲ φαῦλον ὑποστῇ τὸ τί-
μημα. Ἐπειθ' οἱ φονικοί) Καὶ 76
τούτους τοὺς νόμους ἀκολούθως πα-
ρέλαβεν. ἐπειδὴ γὰρ πληγὰς εἴληφεν,
ἐκ δὲ τῶν πληγῶν καὶ τὰ τραύματα
παρακολουθεῖ, ἐκ δὲ τῶν τραυμά-
των φόνοι, διὰ τοῦτο κἀκείνοις τοῖς
νόμοις ὑπεύθυνον αὐτὸν ἀποδεί-
κνυσι, δοκῶν μὲν, ὡς εἰς παράδει-
γμα αὐτοὺς λαμβάνειν· τῇ δὲ ἀλη-
θείᾳ, κἀκείνοις ἔνοχον αὐτὸν ποιῶν.
Αἰδέσεως) Οἷον ἀξιώσεως. εἰ 77
γὰρ δεηθείη τινὸς τῶν συγγενῶν τοῦ
ἀνῃρημένου, εἶτα ἐκεῖνος ἐπιτρέ- ἐπιτρέπῃ
πει, καταλύεται ὁ φόνον ἀκούσιον
δράσας. Οὐ μόνον δ' ἐπὶ τού-
των) Ὅτι τὴν συγγνωμονικὴν ἀντί-
θεσιν λύει, πρόδηλον καὶ ἐκ τούτων.
φησὶ γὰρ ὅτι ὁ ἐκ προαιρέσεως ποιή-
σας, μεγάλης τιμωρίας ἐστὶν ἄξιος.
τὸ γὰρ ἐκ προαιρέσεως πραχθὲν,
μεγάλας τὰς τιμωρίας ἐποίησεν, ἵνα
κἂν δόξῃ τοιοῦτος ὁ ἀγὼν εἶναι, μεί-
ζους παράσχῃ τὰς δίκας τῶν ἄλλων.
πῶς; ἢ δι' ἄγνοιαν, ἢ δι' ὀργὴν, ἢ
δι' ἔρωτα, ὡς εἴρηκεν ἐν τοῖς ἄνω.
Οὐκ ἔτ' ἐποίησεν ὁ νόμος) Ἔλα- 78
βεν εἰς ἀπόδειξιν πάλιν οἰκεῖον πα-
ράδειγμα. ἐπειδὴ ἐξούλης εἶχε δί-
κην πρὸς αὐτὸν, βούλεται δεῖξαι νῦν,
ὅτι καὶ ὑπὲρ ἐκείνης δημοσίαν δίκην
ὀφείλει ὑποσχεῖν. ἐξούλης δὲ ἦν, ὅτι
ἐκινδύνευεν ἐκπεσεῖν κτήματός τι-
νος ἢ χωρίου, ἢ οἰκίας, διὰ τὸ μὴ ἐκ-
τετικέναι τὴν καταδίκην κατὰ χρό-
νον τὸν ὡρισμένον, καὶ ἐγίνετο δημό-
σιον τὸ τίμημα. ἐπειδὴ γὰρ καὶ οἱ
διαιτηταὶ, ὅμοιοί τινες ἦσαν δικα-
σταὶ, τούτων δὲ παρήκουεν ὡς μὴ κατὰ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀλλὰ προστιμᾶν ἐπέταξε τῷ δημοσίῳ. καὶ πάλιν,
τί δήποτε, ἂν μὲν ἑκὼν παρ᾽ ἑκόντος τις λάβῃ τά-
λαντον ἕν, ἢ δύο, ἢ καὶ δέκα, καὶ ταῦτα ἀποστερήσῃ,
οὐδὲν αὐτῷ πρὸς τὴν πόλιν ἐστίν. ἂν δὲ μικροῦ πάνυ
79 τιμήματος ἄξιόν τις λάβῃ, βίᾳ δὲ τοῦτο ἀφέληται, τὸ
ἴσον τῷ δημοσίῳ προστιμᾶν οἱ νόμοι κελεύουσιν, ὅ-
σον περ τῷ ἰδιώτῃ; διὰ τί; ὅτι πάντα ὅσα τις βια-
ζόμενος πράττει, κοινὰ ἀδικήματα, καὶ κατὰ τῶν ἔξω
τοῦ πράγματος ὄντων ἡγεῖτο ὁ νομοθέτης. τὴν μὲν
80 γὰρ ἰσχὺν, ὀλίγων. τοὺς δὲ νόμους, ἁπάντων εἶναι. καὶ
τὸν μὲν πεισθέντα, ἰδίας. τὸν δὲ βιασθέντα, δημοσίας
δεῖσθαι βοηθείας. διόπερ καὶ τῆς ὕβρεως αὐτῆς, τὰς
μὲν γραφὰς ἔδωκεν ἅπαντι τῷ βουλομένῳ. τὸ δὲ
τίμημα, ἐποίησεν ὅλον δημόσιον. τὴν γὰρ πόλιν ἡγεῖ-
81 το ἀδικεῖν, οὐχὶ τὸν παθόντα μόνον, τὸν ὑβρίζειν ἐπι-
χειροῦντα. καὶ δίκην ἱκανὴν τὴν τιμωρίαν εἶναι τῷ
παθόντι, χρήματα δὲ οὐ προσήκειν τὸν τοιοῦτον
ἐφ᾽ ἑαυτῷ λαμβάνειν. καὶ τοσαύτῃ γ᾽ ἐχρήσατο ὑ-
περβολῇ, ὥστε κἂν εἰς δοῦλον ὑβρίζῃ τις, ὁμοίως ἔδω-
82 κεν ὑπὲρ τούτου γραφήν. οὐ γὰρ ὅστις ὁ πάσχων, ᾤετο
δεῖν σκοπεῖν, ἀλλὰ τὸ πρᾶγμα ὁποῖόν τι τὸ γιγνό-
μενον. ἐπειδὴ δὲ εὗρεν οὐκ ἐπιτήδειον, μήτε πρὸς δοῦ-
λον, μήθ᾽ ὅλως ἐξεῖναι* πράττειν ἐπέταξεν. οὐ γάρ *ζῶντα. ε. ἐπιτρέψαι. α.β.
ἐστιν, οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν πάντων οὐδὲν
83 ὕβρεως ἀφορητότερον, οὐδ᾽ ἐφ᾽ ὅτῳ μᾶλλον ὑμῖν
ὀργίζεσθαι προσήκει. Ἀνάγνωθι δ᾽ αὐτόν μοι λα-
βὼν τὸν τῆς ὕβρεως νόμον. οὐδὲν γάρ, οἷον ἀκούειν αὐτοῦ
τοῦ νόμου. Νόμος.
Ἐάν τις *ὑβρίζῃ τινά, ἢ παῖδα, ἢ γυναῖκα, ἢ ἄν- *ὑβρίσῃ εἰς. α.ε.
84 δρα τῶν ἐλευθέρων, ἢ τῶν δούλων, ἢ παράνομόν τι ποιή-
σῃ εἰς τούτων τινά, γραφέσθω πρὸς τοὺς θεσμοθέ-
τας ὁ βουλόμενος Ἀθηναίων οἷς ἔξεστιν. οἱ δὲ θεσμο-
θέται, εἰσαγόντων εἰς τὴν ἡλιαίαν τριάκοντα ἡμε-

προθεσμίας ἀποδιδοὺς τὸ καταγνωσμένον, δημοσίαν ἐδίδου τὴν δίκην. ἐξούλης, ὄνομα δίκης κατὰ τῶν μὴ στερξάντων οἷς ὤφλοσαν οἱ δικάζοντες. ὁ δὲ νοῦς τοιοῦτος. ἐὰν τις ἰδιωτικὴν νικήσῃ δίκην, λαμβάνει τὸν ἡττηθέντα ὑπεύθυνον. εἶτα ἂν μὴ εἴσω τῆς προθεσμίας ἐκτίσῃ ὁ καταδικασθείς, ἀλλὰ γένηται ὑπερήμερος, ἔξεστι γράψασθαι καὶ ἐπιλαβέσθαι αὐτοῦ τῶν χρημάτων, ἕως οὗ πληρώσῃ τὸ ὀφλεθέν. εἰ δὲ κωλύοι τὸν ἁπτόμενον, καὶ ἀπελαύνοι γράφεται αὐτὸν κατὰ τὴν ἐξούλην καὶ γίνεται μετὰ τοῦ ἰδιωτικοῦ, καὶ δημόσιον τὸ πρᾶγμα λοιπόν, ὅτι ἠπείθησε τοῖς δικα-
78 σταῖς, καὶ τοῖς νόμοις. Τί δήποτε ἐὰν μὲν ἑκὼν παρ᾽ ἑκόντος) Ἐπειδὴ ἠδύνατο λέγειν ὁ Μειδίας, ὅτι ὁ χρυσοχόος ἔδωκέ μοι τοὺς στεφάνους, διὰ τοῦτό φησιν, ὅτι εἰ μὲν παρ᾽ ἑκόντος ἔλαβεν, ἀκίνδυνον, εἰ δὲ βίᾳ παρ᾽ ἄκοντος, τοῖς διπλασίοις ὑπεύθυνος
80 καθέστηκας. Καὶ τὸν μὲν πεισθέντα, ἰδίας) Πρὸς τὸν θεσμοθέτην καὶ τὸν πρόεδρον ἀποτείνεται. Τὸν δὲ βιασθέντα) Περὶ αὐτοῦ νῦν αἰνίττεται. Διόπερ καὶ τῆς ὕβρεως αὐτῆς) Ὅπερ ἄνω δι᾽ αἰνιγμάτων ἐπεδείκνυε, τοῦτο νῦν σαφῶς ἔθηκεν, ὅτι πᾶσα ὕβρις, δημόσιόν ἐστιν. εἰ γὰρ πᾶσιν ἔξεστι κατηγορεῖν τοῦ ὑβρίσαντος, πρόδηλον ὅτι κοινὸν ἁπάντων ἔγκλημα. καὶ πεποίηκε τὴν ὕβριν ἴσον τοῖς φόνοις, καὶ πάσαις ἱεροσυλίαις, καὶ ταῖς προδοσίαις, καὶ τοῖς τοιούτοις, ἐφ᾽ ὧν ἔξεστι παντὶ τῷ βουλομένῳ κατηγορεῖν. Τὸ δὲ τίμημα, ἐποίησεν ὅλον δημόσιον) Πῶς ἀνωτέρω προειπών, εἰ δὲ ἐγὼ τὴν ἐπὶ τῶν ἰδίων δικῶν πλεονεξίαν ἀφείς, νῦν φησὶν ὅτι ἐποίησε τὸ τίμημα ὅλον δημόσιον. ἐναντίον γὰρ τῷ λέγειν ὅτι ἀξιῶ ὕβρεώς μοι δικαζομένῳ χρήματα λαμβάνειν, τὸ νῦν φάσκειν ὅτι τὸ τίμημα τῶν ὕβρεων δημόσιόν ἐστι. ῥητέον οὖν ὅτι, εἰ μὲν αὐτὸς ὁ παθὼν κατηγόρει τῆς ὕβρεως, αὐτὸς ἐλάμβανε καὶ τὸ τίμημα τὸ ἐκ τῶν νόμων. εἰ δὲ ἕτερος ἦν ὁ κατηγορήσας, δημόσιον ἐγίνετο τῆς καταδίκης. ἀκολούθως οὖν εἶπεν, ὅτι τὸ τίμημα ἐποίησεν ὅλον δημόσιον. διὰ τὸ προειπεῖν ὅτι τὰς γραφὰς ἔδωκεν ἅπαντι
81 τῷ βουλομένῳ. Χρήματα δ᾽ οὐ προσήκειν) Οὐ περὶ αὐτοῦ λέγει τοῦ παθόντος, ἀλλὰ τῶν ἔξωθεν κατηγορούντων. Καὶ τοσαύτῃ γε ἐχρήσατο ὑπερβολῇ) Καὶ διὰ τούτου τοῦ νόμου δείκνυσιν οὐκ ἄξιον συγγνώμης Μειδίαν, εἴπερ καὶ τοῖς ὑβρίζουσι τοὺς δούλους θάνατός ἐστιν ἡ ζημία. Ὥστε κἂν εἰς δοῦλον ὑβρίζῃ τις) Τῇ ὁμωνυμίᾳ σοφίζεται. ὕβρις μὲν γὰρ καὶ ἡ τῶν πληγῶν. ὕβρις δὲ καὶ ἡ αἰσχρὰ συνουσία, περὶ ἧς ὁ νομοθέτης λέγει. οὕτω γὰρ εἴρηκεν ἔχειν ἐν τῷ κατὰ Τιμάρχου. οὐδὲ κατὰ τῶν οἰκετῶν τὰς αἰσχρὰς γίνεσθαι μίξεις. τὸ γοῦν ὄνομα τῆς ὕβρεως ἐπ᾽ ἀμ-
82 φοτέρων λεγόμενον, ἄδειαν τῷ ῥήτορι τοῦ χρῆσθαι τῷ σοφίσματι δέδωκεν. Οὐ γὰρ ὅστις ὁ πάσχων) Μὴ τοῦτο σκό-
*μεμέλη). πει, φησίν, εἰ Δημοσθένης ἐστὶν ὁ ὑβρισθείς, ἀλλ᾽ εἰ τὸ ὑβρίζειν παρὰ τοῖς νόμοις *μεμελέτηται. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν) Ἐπειδὴ γλίσχρως ἐδόκει ποιεῖν καὶ περὶ τῶν δούλων ἀγωνιζόμενος, καθόλου τὸ τῆς ὕβρεως ηὔξησεν, ὡς ἀφόρη-
83 τον, κἂν εἰς δοῦλον γίγνηται. Οὐδὲν γάρ, οἷον ἀκούειν αὐτοῦ τοῦ νόμου) Οὐδὲν γὰρ ἄλλο τοιοῦτον ἡδέως, ὡς τὸ ἀκούειν τοῦ νόμου.

νόμου. καὶ οὐδὲν τοιοῦτον εἰπεῖν ἡμῖν, ὁ αὐτὸς ὁ νόμος βοᾷ τε καὶ δείκνυσιν. Ἀκούετε ὦ ἄνδρες Ἀθηναῖοι) Οὐκ 86
ἠκούσατε, ἀλλὰ καὶ νῦν βοῶντος ἀκούετε τοῦ νόμου, φησίν, ὑπὲρ ἀνθρώπου τινός. οὐ γάρ ἐστιν ἡ κρίσις τῶν δούλων πρὸς
τοὺς ἐλευθέρους, ἀλλ᾽ ἡ τύχη τὸ διάλλαττον ἐκαινοτόμησεν. ὅσῳ δ᾽ ἂν μᾶλλον ἐπαινέσῃ τὸν περὶ τῶν δούλων νόμον,

ῥων, ἀφ᾽ ἧς ἂν ἡ γραφή, ἐὰν μή τι δημόσιον κωλύῃ. 85
καταγνῷ.
εἰ δὲ μή, ὅταν ᾖ πρῶτον οἷόν τε. ὅτου δ᾽ ἂν καταγνῶτε, ἡ ἡλιαία τιμάτω περὶ αὐτοῦ παραχρῆμα,
δοκῇ. α. ε.
ὅτου ἂν δόξῃ ἄξιος εἶναι παθεῖν, ἢ ἀποτίσαι. ὅσοι δ᾽
ἂν γράφωνται γραφὰς ἰδίας κατὰ τὸν νόμον, ἐάν τις
μὴ ἐπεξέλθῃ, ἢ ἐπεξιὼν μὴ μεταλάβῃ τὸ πέμ- 86
πτον μέρος τῶν ψήφων, ἀποτισάτω χιλίας δραχμὰς
γρ. τῷ δημοσίῳ, ἐὰν ἀργυρίου τιμηθῇ. τῆς δ᾽ ὕβρεως ἐάν.
τῷ δημοσίῳ. ἐὰν δ᾽ ἀργυρίου τιμηθῇ τῆς ὕβρεως,
δεδέσθω. ἐὰν ἐλεύθερον ὑβρίσῃ, μέχρις ἂν ἐκτίσῃ.
Ἀκούετε ὦ ἄνδρες Ἀθηναῖοι τοῦ νόμου τῆς φιλαν-
θρωπίας, ὃς οὐδὲ τοὺς δούλους ὑβρίζεσθαι ἀξιοῖ. τί 87
οὖν πρὸς θεῶν, εἴ τις εἰς τοὺς βαρβάρους ἐνεγ-
κὼν τὸν νόμον τοῦτον, παρ᾽ ὧν τὰ ἀνδράποδα εἰς τοὺς
Ἕλληνας κομίζεται, ἐπαινῶν ὑμᾶς καὶ διεξιὼν περὶ τῆς
πόλεως, εἴποι πρὸς αὐτούς, ὅτι εἰσί τινες Ἕλληνες ἄν-
θρωποι οὕτως ἥμεροι καὶ φιλάνθρωποι τοὺς τρό- 88
πους, ὥστε πολλὰ ὑφ᾽ ὑμῶν ἠδικημένοι, καὶ φύσει τῆς
ἡμᾶς.
πρὸς ὑμᾶς ἔχθρας αὐτοῖς ὑπαρχούσης πατρικῆς,
ὅμως οὐδ᾽ ὅσων ἂν, τιμὴν καταθέντες, δούλους
κτήσωνται, οὐδὲ τούτους ὑβρίζειν ἀξιοῦσιν, ἀλλὰ νό-
μον δημοσίᾳ τὸν ταῦτα κωλύσοντα τέθεινται τουτονί, 89
καὶ πολλοὺς ἤδη παραβάντας τὸν νόμον, τοῦτον ἐζη-
μιώκασι θανάτῳ. εἰ ταῦτ᾽ ἀκούσαιεν καὶ συνεῖεν οἱ
ὑμᾶς.
βάρβαροι, οὐκ ἂν οἴεσθε δημοσίᾳ πάντας ἡμᾶς
μή.
προξένους αὑτῶν ποιήσασθαι; τὸν τοίνυν οὐ παρὰ τοῖς
Ἕλλησι μόνον εὐδοκιμοῦντα νόμον, ἀλλὰ καὶ παρὰ τοῖς 90
βαρβάροις εὖ δόξαντ᾽ ἂν ἔχειν, σκοπεῖσθ᾽ ὁ παρα-
βάς, ἥν τινα δοὺς δίκην ἀξίαν ἔσται δεδωκώς. εἰ μὲν
τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ χορηγὸς ὢν ταῦτ᾽ ἐπε-
πόνθειν ὑπὸ Μειδίου, ὕβριν ἄν τις κατέγνω μόνον τῶν
καταγνώσιοι, καταγινώσκῃ.
πεπραγμένων αὐτῷ. νῦν δέ μοι δοκεῖ, κἂν ἀσέβειαν 91
εἰ καταγινώσκῃ τις, τὰ προσήκοντα ποιεῖν. ἴστε γὰρ

τοσούτῳ χαλεπώτερα δείξει τὰ Μει-
δίου κατ᾽ αὐτοῦ τολμηθέντα. Τί 87
οὖν πρὸς θεῶν) Ἐπὶ τέλος ἀνήμε-
ρον ἀνήνεγκε τὴν κρίσιν τῶν νόμων.
εἰ γὰρ καὶ τῆς βαρβάρων ὠμότητος
κρείττων ὁ νόμος, ὥστε κἀκείνους ἐ-
παινέσαι τὴν φιλανθρωπίαν τοῦ γράμ-
ματος, ποῖόν τινα χρὴ νομίζειν εἶναι
Μειδίαν τὸν καταφρονήσαντα τοῦ νό-
μου; Παρ᾽ ὧν τὰ ἀνδράποδα)
Πάλαι γὰρ οὐκ ἐξῆν Ἕλληνα εἶναι δοῦ-
λον, ἀλλὰ βαρβάροις ἐκέχρηντο.
Ὅτι εἰσὶν Ἕλληνές τινες) Οὕτω
τοῦ πλασθέντος προσώπου δοκοῦσιν
οἱ λόγοι. Καὶ φύσει τῆς πρὸς ἡμᾶς 88
ἔχθρας) Ἔστι μὲν τοῦτο κοινόν. αὐξή-
σεως δὲ ἕνεκα εἴληπται. διτταὶ δέ εἰ-
σιν αἱ ἔχθραι. ἡ μὲν, ἐκ φύσεως. ἡ δὲ,
ἐκ προαιρέσεως. καὶ γὰρ καὶ φιλίαι
εἰσὶ διτταί· ἡ μὲν, φύσει πρὸς τοὺς συγ-
γενεῖς. ἡ δὲ, ἐκ τοῦ παρατυχόντος συμ-
βαίνουσα. Ἀλλὰ νόμον δημοσίᾳ)
Τοῦτον φησίν, ὃν μετὰ χεῖρας ἔχω. οὐ
χαρίζομαι τοῖς λόγοις. ἀναγινώσκω
τὰς συλλαβάς· ἔχω πλησίον τὸν ἔλεγ-
χον. αὐτὸν ἥκω κομίζων τὸν νόμον. οὐκ
ἐφθόνησα ὑμῖν τῆς γνώσεως. Καὶ 89
πολλοὺς ἤδη παραβάντας) Ἵνα μή τις
ὑπολάβῃ, ὅτι φιλάνθρωπος μὲν ὁ νό-
μος, παραβαίνεται δὲ καὶ καταφρονεῖ-
ται, ἔστιν ὡς θανάτῳ τις ἤδη παρα-
βὰς τοῦτον, κεκόλασται. Καὶ συνεῖεν
οἱ βάρβαροι) Ἀνοητότεροι γὰρ, καὶ ἧτ-
τον τῶν Ἑλλήνων νοῆσαι δυνάμενοι.
Οὐκ ἂν οἴεσθε) Ἐπειδὴ γὰρ φυ-
σικὸς πόλεμός ἐστι τοῖς βαρβάροις
πρὸς τοὺς Ἕλληνας, καὶ διὰ τοῦτο οὐ
θαρροῦντες ἐπιμίγνυνται τοῖς Ἕλλησι,
διὰ τοῦτό φησιν ὅτι παρ᾽ ὑμῖν μόνοις
οὐκ ἂν φοβηθεῖεν καταλῦσαι, μαθόν-
τες ὑμῶν τὴν φιλανθρωπίαν. Τὸν
τοίνυν μὴ παρὰ τοῖς Ἕλλησι νόμον)
Συμπεράσματι κέχρηται τοῦ νοήμα-
τος, μᾶλλον δὲ καὶ ὅλης τῆς συγγνωμο-
νικῆς ἀντιθέσεως, δεικνὺς ὅτι οὐδε-
μιᾶς φιλανθρωπίας ἄξιος Μειδίας.
Εἰ μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι 90
χορηγὸς ὢν) Ἐντεῦθεν εἰσέβαλεν εἰς
τὸ πρός τι, βουλόμενος αὐξῆσαι τὸ ἔγκλημα· καὶ γέγονεν ἀκόλουθος ἡ εἰσαγωγὴ τοῦ κεφαλαίου. εἰ γὰρ ὁ τοὺς δούλους
ὑβρίζων οὐκ ἄξιος συγγνώμης, πόσῳ μᾶλλον ὁ τὸν χορηγὸν τυπτήσας. ἔχει μὲν αὔξησιν τὸ πρός τι τοῦ ἐγκλήματος. οὐ
μὴν ἀπήλλακται τῶν ἀγώνων. ἀποδεικτικῶς γὰρ αὐτῷ χωροῦσιν αἱ αὐξήσεις. τεττάρων δὲ ὄντων τῶν τόπων τοῦ πρός τι, τῶν.
ἀπὸ τοῦ μείζονος, καὶ ἐλάττονος, καὶ τοῦ ἐναντίου, καὶ τοῦ ἴσου, τοῖς πᾶσι κέχρηται. καὶ πρῶτόν γε ἔθηκε τὸ ἀπὸ τοῦ μείζονος. Νῦν 91
δέ μοι δοκεῖ) Τοῦτό τινες μὴ νοήσαντες ὅτι αὐξήσεως εἴληπται ἕνεκεν, περὶ ἀσεβείας εἶναι τὴν κρίσιν ἀπεφήναντο. εἶτα
προσέθηκε τὴν ἀπόδειξιν τοῦ ἄξιον αὐτὸν εἶναι καὶ ἀσεβείας κρίνεσθαι. φανερῶς μὲν γὰρ αὐτοῦ ἀσεβείας κατηγορεῖν ὀκνεῖ
διὰ τὴν σαθρότητα τῶν πραγμάτων. πειρᾶται δὲ διὰ τῆς ἔξωθεν βίας, καὶ τοῦτο κατασκευάζειν. τίς οὖν ἡ κατασκευὴ
τῆς ἀσεβείας; κατὰ μαντείας τοὺς χοροὺς συγκροτοῦμεν, καὶ στεφανηφοροῦμεν, καὶ κνισῶμεν τὰς ἀγυιάς. οὐκοῦν ὁ τύπτων
τοὺς ἐστεφανωμένους κατὰ τὰς μαντείας ἀσεβεῖ. ὅθεν καὶ δηλοῖ ὡς οὐκ ἔστιν ἀσεβείας ἡ κρίσις. οὐ γὰρ τὸν Διονύσου εἶναί φησι



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δήπου τοῦτο, ὅτι τοὺς χοροὺς ὑμεῖς ἅπαντας τούτους,
καὶ ὕμνους τῷ θεῷ ποιεῖσθε, οὐ μόνον κατὰ τοὺς νόμους
τοὺς περὶ τῶν διονυσίων, ἀλλὰ καὶ κατὰ τὰς μαντείας,
92 ἐν αἷς ἁπάσαις ἀνῃρημένον εὑρήσετε τῇ πόλει ὁμοίως
ἐκ δελφῶν, καὶ ἐκ δωδώνης, χοροὺς ἱστάναι κατὰ τὰ
πάτρια, καὶ κνισᾶν ἀγυιὰς, καὶ στεφανηφορεῖν.
Ἀνάγνωθι δέ μοι λαβὼν αὐτὰς τὰς μαντείας.

Μαντεῖαι.

93 Αὐδῶ ἐρεχθείδῃσιν ὅσοι πανδίονος ἄστυ Ναίετε,
καὶ πατρίοισι νόμοις ἰθύνεθ' ἑορτὰς, Μεμνῆσθαι βακ-
χοιο, καὶ εὐρυχόρους κατ' ἀγυιὰς, Ἱστάναι ὡραίων βρο-
μίῳ χάριν ἄμμιγα πάντας, Καὶ κνισᾶν βωμοῖσι
κάρη στεφάνοις πυκάσαντας. περὶ ὑγιείας θύειν, καὶ
94 εὔχεσθαι διῒ ὑπάτῳ, καὶ ἡρακλεῖ, ἀπόλλωνι προ-
στατηρίῳ· περὶ τύχας ἀγαθᾶς, ἀπόλλωνι ἀγυιεῖ, λα-
τοῖ, ἀρτέμιδι, καὶ κατ' ἀγυιὰς κρατῆρας ἱστάμεν
καὶ χοροὺς, καὶ στεφανηφορεῖν, καὶ κατὰ τὰ πάτρια, θεοῖς
ὀλυμπίοις πάντεσσι καὶ πάσαις ἰδίας δεξιὰς καὶ ἀ-
95 ριστερὰς ἀνίσχοντες, καὶ μνασιδωρεῖν.

Ἑτέρα.

Ἐκ δωδώνης μαντεῖαι τῷ δήμῳ τῷ ἀθηναίων.
Ὁ τοῦ διὸς σημαίνει, ὅτι τὰς ὥρας παρηνέγκατε τῆς
θυσίας. καὶ τῆς θεωρίας αἱρετοὺς, πέμπειν κελεύει θεω-
96 ροὺς ἐννέα, καὶ τούτους διὰ ταχέων τῷ διῒ τῷ
δωδωναίῳ ἀροτῆρας βοῦς. καὶ πρὸς ἑκάστῳ δύο βοῦ-
ς. τῇ δὲ διώνῃ βοῦν καὶ ἄλλα ἱερεῖα, καὶ τράπεζαν
χαλκῆν. καὶ πρὸς, τὸ ἀνάθημα, ὃ ἀνέθηκεν ὁ δῆμος
ὁ ἀθηναίων.

Ἑτέρα.

97 Ὁ τοῦ διὸς σημαίνει ἐν δωδώνῃ διονύσῳ δημοτελῆ,
ἱερεῖον τελεῖν, καὶ κρατῆρα κεράσαι, καὶ χοροὺς ἱστά-
ναι· ἀπόλλωνι ἀποτροπαίῳ βοῦν θῦσαι, καὶ στεφανηφορεῖν ἐλευθέρους καὶ δούλους,
καὶ ἐλινύειν. θύειν μίαν ἡμέραν διῒ κτησίῳ βοῦν λευκόν. Εἰσὶν, ὦ ἄνδρες ἀθηναῖοι,
98 καὶ αὗται καὶ ἄλλαι πολλαὶ μαντεῖαι ἐν τῇ πόλει καλαὶ κἀγαθαί. τί οὖν ἐκ τού-
των ὑμᾶς ἐνθυμεῖσθαι δεῖ. ὅτι τὰς μὲν ἄλλας θυσίας, τοῖς ἐφ' ἑκάστης μαν-
τείας προφαινομένοις θεοῖς προστάττουσι θύειν, ἱστάναι δὲ χοροὺς, καὶ στεφανη-
φορεῖν κατὰ τὰ πάτρια πρὸς ἁπάσαις ταῖς ἀφικνουμέναις μαντείαις προσαναι-
99 ροῦσιν ὑμῖν. οἱ τοίνυν χοροὶ πάντες οἱ γιγνόμενοι καὶ οἱ χορηγοὶ, δῆλον ὅτι τὰς
μὲν ἡμέρας ἐκείνας, ἃς συνερχόμεθα ἐπὶ τὸν ἀγῶνα κατὰ τὰς μαντείας ταύτας,
περὶ αὐτῶν στεφανούμεθα, ὁμοίως ὅ, τε μέλλων νικᾶν, καὶ ὁ πάντων ὕστατος γενή-
σεσθαι. τὴν δὲ τῶν ἐπινικίων, ὑπὲρ αὐτοῦ τότ' ἤδη στεφανοῦται ὁ νικῶν. τὸν οὖν
100 εἴς τινα τούτων τῶν χορευτῶν, ἢ τῶν χορηγῶν ὑβρίζοντα ἐπ' ἔχθρα, καὶ ταῦτ'
ἐν αὐτῷ τῷ ἀγῶνι καὶ ἐν τῷ τοῦ θεοῦ ἱερῷ, τοῦτον ἄλλο τι, πλὴν ἀσεβεῖν, φήσομεν;

Καὶ μὴν

τὸν ἀσεβηθέντα, ἀλλὰ τὰς μαντείας. κνισᾶν μὲν τὰς ἀγυιὰς, τὸ θύειν τοῖς ἑρμαῖς. ἀγυιὰς γὰρ τοὺς ἑρμᾶς ἐκάλουν κατὰ στέρησιν, διὰ τὸ μὴ χεῖρας ἔχειν, μηδὲ πόδας. γυῖα δὲ τὰ μέλη. ἐξ οὗ καὶ ὅμηρος. Γυῖα δ' ἔθηκεν ἐλαφρὰ, πόδας καὶ χεῖρας ὕπερθεν.
91 Καὶ ὕμνους οὓς τῷ θεῷ ποιεῖτε) Ἀνιστᾶτε ἑαυτοὺς τῷ θεῷ, ἢ εἰς τὸ ὑμνεῖν αὐτοὺς παρασκευάζετε, τοῖς ἐφ' ἑκάστης μαντείας προφαινομένοις. τοῖς γὰρ ἄρτι φοιτήσασι καὶ ἐπιφανεῖσι θεοῖς, εἰ δεῖ θύειν, ἐμαντεύοντο. καὶ μετὰ τὸ δηλοῦν εἰ δεῖ θύειν, ἢ μὴ, προσετίθεσαν πάντως τὸ
92 ἱστάναι χορούς. Ἀνῃρημένον) Ἀναδοθὲν, μεμαντευμένον. Κνισᾶν ἀγυιάς) Κνίσης καὶ θυμιαμάτων πληροῦν τὰς ὁδούς. οἱ δὲ, ἀγυιάς φασι τοὺς ἑρμᾶς. Παρηνέγκατε)
98 Παρήλθετε. Τί οὖν ἐκ τούτων ὑμᾶς ἐνθυμεῖσθαι) Ἐπειδὴ ἀνέγνω μαντείας ἐν αἷς ἐγέγραπτο, ὅτι ἔδει θύειν ἡρακλεῖ ἀλεξικάκῳ, καὶ κνισᾶν τὰς ἀγυιάς· ἐδόκει δὲ ταῦτα ἀπηρτῆσθαι πρὸς τὴν παροῦσαν κρίσιν, διὰ τοῦτο εἶπεν ὅτι μὴ πᾶσι τοῖς γεγραμμένοις ἐν ταῖς μαντείαις προσέχετε, ἀλλ' ἐνθυμεῖσθε τὸ προσγεγραμμένον ἐν πάσαις, τουτέστι, τὸ χοροὺς ἱστάναι, καὶ στεφανηφορεῖν. ταῦτα γάρ ἐστιν οἰκεῖα πρὸς τὴν παροῦσαν ἐξέτασιν. Προφαινομένοις) Ἀπὸ τῆς
99 μαντείας δηλονότι. Ὑπὲρ αὐτῶν) Τῶν θεῶν δηλονότι ἁπάντων. Τὴν δὲ τῶν ἐπινικίων) Ἀντίθετον ἔλυσεν. ὅτι οὐ διὰ τὰς μαντείας, ἀλλὰ διὰ τὴν νίκην τὴν ἰδίαν περιέκειτο τὸν στέφανον. ὁ δὲ, φησὶν ὅτι ὁ μὲν νικήσας, περὶ αὐτοὺς στεφανοῦται. ὁ δὲ πρὸ τοῦ ἀγῶνος ἐστεφανωμένος, κατὰ τὰς μαντείας ἐστεφάνωται.

δι' αὐτόν.

ἐρεχθείδαισιν ὅσσα. α.
Ναίοντε. α.
εὐρυχόροις. α.
α.
α.
ἀνίσχοι
α.
α.
δηλοῦντι.
ὑπὲρ αὐτῶν. β. ε.
χορευόντων.
ε.

καὶ μὴν ἴστε γε τοῦτο, ὅτι βουλόμενοι μηδένα ἀγωνί-
ζεσθαι ξένον, οὐκ ἐδώκατε ἁπλῶς τῶν χορηγῶν οὐ-
(κότ' ἐπι.) δενί, προσκαλέσαντι τοὺς χορευτὰς σκοπεῖν, ἀλλ'
(κ. καθίζεσθαι.) ἐὰν μὲν καλέσῃ, πεντήκοντα δραχμάς, ἐὰν δὲ καθί- 101
ζεσθαι κελεύσῃ, χιλίας ἀποτίνειν ἐτάξατε. τίνος ἕνε-
κα; ὅπως μὴ τὸν ἐστεφανωμένον καὶ λειτουργοῦντα τῷ
θεῷ ταύτην τὴν ἡμέραν καλῇ, μηδ' ἐπηρεάζῃ, μηδ'
ὑβρίζῃ μηδεὶς ἐξεπίτηδες. εἶτα τὸν μὲν χορευτὴν οὐ-
(α.) δ' ὁ προσκαλέσας κατὰ τὸν νόμον ἀζήμιος ἔσται. τὸν 102
δὲ χορηγὸν αὐτὸν οὐδ' ὁ συγκόψας παρὰ πάντας
τοὺς νόμους οὕτω φανερῶς, οὐ δώσει δίκην; ἀλλὰ μήν,
οὐδέν ἐστ' ὄφελος καλῶς καὶ φιλανθρώπως τοὺς νό-
μους ὑπὸ τῶν πολλῶν κεῖσθαι, εἰ τοῖς ἀπειθοῦσι καὶ
βιαζομένοις αὐτούς, ἡ παρ' ὑμῶν ὀργὴ τῶν ἀεὶ κυρίων 103
μὴ γενήσεται. φέρε δὴ πρὸς θεῶν κἀκεῖνο σκέψασθε.
παραιτήσομαι δ' ὑμᾶς μηδὲν ἄχθεσθαί μοι, ἐὰν
ἐπὶ συμφοραῖς τινων γεγονότων, ὀνόματι μνησθῶ. οὐ
γὰρ ὀνειδίσαι μὰ τοὺς θεοὺς οὐδενὶ δυσχερὲς οὐδὲν βου-
λόμενος τοῦτο ποιήσω, ἀλλὰ δεῖξαι τὸ βιάζεσθαι καὶ 104
ὑβρίζειν καὶ τὰ τοιαῦτα ποιεῖν, ὡς ἅπαντες ὑμεῖς οἱ ἄλ-
λοι φεύγετε. Σαννίων ἐστὶ δήπου τις ὁ τοὺς τραγι-
(σκη. ε.) κοὺς χοροὺς * διδάσκων. οὗτος ἀστρατείας ἑάλω καὶ κέ-
χρηται συμφορᾷ. τοῦτον μετὰ τὴν ἀτυχίαν ταύτην,
ἐμισθώσατό τις φιλονεικῶν χορηγὸς τραγῳδῶν, οἶμαι, 105
Θεοζοτίδης. τὸ μὲν οὖν πρῶτον, ἠγανάκτουν οἱ ἀν-
τιχορηγοί, καὶ κωλύσειν ἔφασαν. ὡς δ' ἐπληρώθη τὸ
θέατρον, καὶ τὸν ὄχλον συνειλεγμένον εἶδον ἐπὶ τὸν ἀ-
γῶνα, ὤκνησαν, εἴασαν, οὐδεὶς ἥψατο. ἀλλὰ τοσοῦ-
τον τῆς εὐσεβείας ἐν ἑκάστῳ τις ἂν ὑμῶν ἴδοι συγ- 106
κεχωρηκός, ὥστε πάντα τὸν μετὰ ταῦτα χρόνον δι-
(συγκεχωρηκώς. ε.) δάσκει τοὺς χορούς, καὶ οὐδὲ τῶν ἰδίων ἐχθρῶν οὐδεὶς

Καὶ μὴν ἴστε γε τοῦτο) Ἐπλήρωσε τὸν ἀπὸ τοῦ μείζονος τόπον ἐγγὺς ἀσεβείας ἀποδείξας τὸ ὑπὸ τοῦ Μειδίου πραχ- 100
θέν· καὶ ἐπάγει τὸν ἀπὸ τοῦ ἐλάττονος, ἔκ τε τῶν ξένων καὶ τῶν ἀτίμων αὐτὸν ἐργαζόμενος. ὅπου γὰρ οὔτε ξένον, οὔτε ἄτιμον ἔξεστιν ὑβρίζειν ἐν τῇ ἑορτῇ, πῶς οὐ πολλῷ πλέον φείδεσθαι προσήκει τῶν ἐπιτίμων καὶ αὐτῶν. τέθεικε δὲ τὸ κατὰ τοὺς ξένους παράδειγμα. ὅπερ ἐστὶν αὐτὴ νομικοῦ. δύο γάρ εἰσι νόμοι, περὶ οὓς στρέφεται, εἷς μὴ ἐξεῖναι ξένον ἀγωνίζεσθαι, καὶ ἕτερος νόμος, ἄν τις χορηγὸς ἀγωνιζόμενον τὸν ξένον καλέσῃ πρὸς ἄρχοντα ἐπὶ τῷ δοκιμάσαντα εἰ ξένος ἐστίν, ἐκβαλεῖν, διδόναι δραχμὰς ν. ἐὰν δὲ κελεύσῃ αὐτὸν ἀπελθόντα εἰς τὸ πλῆθος καθέζεσθαι ὡς ξένον, χιλίας διδόναι. Οὐκ ἐδώκατε ἁπλῶς) Ἔξεστι μὲν γὰρ ἀλλ' οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν, οὐδὲ ἐν τῷ θεάτρῳ, ἀλλ' ἔξω κελεύσει καθέζεσθαι. ὅτι οὐ βιαίως ἀποσπάσει μὲν ἀπὸ τοῦ χοροῦ, θεωρεῖν δὲ καὶ μετὰ τῶν ἄλλων καθέζεσθαι ἀναγκάσει.

Ἀλλ' ἐὰν μὲν καλέσῃ) Πρόσκλη- 101
σις ἡ εἰς τὸ δικαστήριον. Ὅπως μὴ τὸν ἐστεφανωμένον) Τὴν χρείαν τοῦ παραδείγματος ἔδειξε. καθόλου γὰρ εἰπὼν τὸ ἐστεφανωμένον, καὶ τὸ καθ'
ἑαυτὸν συνήνεγκεν. Οὐδ' ὁ προσ- 102
καλέσας κατὰ τὸν νόμον) Καὶ μὴν ὁ νόμος προσκαλεῖν ἴσως ἐκώλυσε. λέγει οὖν τὸν ἕτερον νόμον τὸν κελεύοντα ξένον μὴ ἀγωνίζεσθαι. κακούργως δὲ εἶπεν. οὐ γὰρ ἀπείρητο πανταχῇ, ἀλλ' εἰσελθόντα ἅπαξ εἰς τὸ θέατρον, οὐκ ἔτι ἐχρῆν προσκαλέσασθαι. ἔξω δὲ ἐχρῆν. παρὰ τὸν τόπον οὖν καὶ τὸν καιρὸν ὁ σοφισμὸς ἐπάγεται.

Τὸν δὲ χορηγόν) Ἀνταπέδωκε τῷ παραδείγματι ἀκόλουθον αὔξησιν ταῖς προσθήκαις, ὅτι οἱ μὲν νόμοι καὶ δοκιμάζεσθαι μόνον τὸν ξένον οὕτως ἐκώλυσαν. οὗτος δὲ οὐ τὸν ξένον χορευτήν, ἀλλὰ τὸν χορηγὸν συνέκοψε φανερῶς, παρόντων καὶ ξένων καὶ πολιτῶν.

Τῶν ἀεὶ κυρίων) Τῶν λαχόντων 103
δικάζειν. αὐτοὶ γάρ εἰσι τοῦ τιμωρήσασθαι κύριοι. Φέρε δὴ πρὸς θεῶν) Ἕτερον παράδειγμα ἀπὸ τοῦ ἐλάττονος τὸ κατὰ τοὺς ἀτίμους, πολλῷ ἔλαττον ὂν τοῦ κατὰ τοὺς ξένους. Παραιτήσομαι δ' ὑμᾶς) Ἐπειδὴ μέλλει καταλέγειν ἀτίμους γεγονότας πολίτας ἀπαιτούσης τῆς χρείας, προθεραπεύει τὸ ἄτοπον, ἵνα μὴ δοκῇ ἐπεμβαίνειν. Οὐ γὰρ ὀνειδίσαι μὰ τοὺς θεούς) Ἐπειδὴ ἀναγκαῖον ἦν μνημονεῦσαι
τῶν πταισμάτων, διὰ τοῦτο ὅρκῳ προέλαβε τοὺς ἀκούοντας, ἵνα μὴ ὀνειδίζειν αὐτὸν ὑποπτεύσωσι. Σαννίων ἐστὶ 104
δήπου τις ὁ τοὺς τραγικοὺς χοροὺς διδάσκων) Δῆλον ὅτι μετὰ τοῦ ῥυθμοῦ, καὶ προσήκοντος μέλους ᾄδειν διδάσκων. τραγικοὺς δέ, ἐπειδὴ ἴσως καὶ κωμικοί εἰσιν. Οὗτος ἀστρατείας ἑάλω) Ἄτιμος γέγονεν ἐλεγχθεὶς ὡς, δέον στρατεύεσθαι, μὴ στρατευόμενος. Καὶ κέχρηται συμφορᾷ) Ἐπιεικῶς ἐπὶ τὴν τύχην ἄγει τὸ κατηγόρημα, τὸν τρόπον ἐλευθερῶν.

Φιλονεικῶν χορηγός) Οἷον φιλόνεικος, εἰ τὸ νικᾶν καὶ ἡττᾶσθαι μὴ αἰσχυνόμενος. νέμει γὰρ καὶ τῷ μισθωσαμένῳ συγ- 105
(ἤ.) γνώμην. Ἠγανάκτουν οἱ ἀντιχορηγοί) Λέγοντες, οἱ νόμοι παραβαίνονται. λέλυται τῆς πολιτείας ὁ θεσμός. οἱ ἄτιμοι λοιπὸν πολιτεύονται. Ὤκνησαν, εἴασαν, οὐδεὶς ἥψατο) Πολλὰ ὀνόματα κατὰ τοῦ αὐτοῦ, ὥστε δηλῶσαι τὴν ἡμερότητα.

Τίς ἂν ὑμῶν ἴδοι συγκεχωρηκός) Οὕτως ἕκαστος αἰδοῖ τῆς ἑορτῆς πολὺ τὸ συγχωροῦν εἶχε κατὰ τὴν γνώμην. 105

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

106 Τοσοῦτον ἀπέχει τῶν χορηγῶν τινὸς ἅψασθαι) Οὕτως ἡ γραφή. καὶ γὰρ ἤρτηται τοῦ ἄνω. οὐδεὶς ἐχθρῶν ἐκώλυσε ποτὲ γε μὴν χορηγῶν τις; Ἄλλος ἐστὶν Ἀριστείδης) Καὶ τοῦτο ἀπὸ τοῦ ἐλάττονος. ἔνθα γὰρ ἀπορῶμεν πλειόνων παραδειγμάτων, οὐ παραιτητέον ἐκ τῶν αὐτῶν τόπων πολλάκις λαμβάνειν. Ἠτυχηκώς τι καὶ οὗτος τοιοῦτον) Ἀστρατείας ἑαλωκώς. πάλιν δὲ ἐνέμεινε τῷ σκοπῷ ἠτυχηκὼς εἰπών, οὐκ ἠδικηκώς.

κωλύει, τοσοῦτ' ἀπέχει τῶν χορηγῶν τινὸς ἅψασθαι.
ἄλλος ἐστὶν Ἀριστείδης οἰνηΐδος φυλῆς, ἠτυχηκώς τι καὶ
107 οὗτος τοιοῦτον. ὃς νῦν μὲν καὶ γέρων ἐστὶν ἤδη, καὶ ἴσως
ἧττον χορευτής. ἦν δέ ποθ' ἡγεμών, τῆς φυλῆς κορυ-
φαῖος. ἴστε δήπου τοῦθ' ὅτι ὃν ἡγεμόνα ἂν "ἀφέλῃ τις,
οἴχεται ὁ λοιπὸς χορός. ἀλλ' ὅμως πολλῶν χορηγῶν
φιλονεικησάντων, οὐδεὶς πώποτε τοῦτ' εἶδε τὸ πλεο-
108 νέκτημα, οὐδ' ἐτόλμησε τοῦτον ἐξαγαγεῖν, οὐδὲ κω-
λῦσαι. διὰ γὰρ τὸ δεῖν αὐτὸν ἐπιλαβόμενον τῇ χειρὶ,
τοῦτο ποιῆσαι, καὶ μὴ "προσκαλέσασθαι πρὸς τὸν ἄρ-
χοντα ἐξεῖναι, ὥσπερ ἂν εἰ ξένον τις ἐξαγαγεῖν ἠβού-
λετο, ἅπας τις ὤκνει τῆς ἀσελγείας ταύτης αὐτόχειρ
109 ὀφθῆναι γενόμενος. οὐκοῦν δεινόν, ὦ ἄνδρες δικασταί,
καὶ σχέτλιον, τῶν μὲν νικᾶν ἂν "ταυτὸν παρὰ τοῦτ' οἰο-
μένων χορηγῶν, τῶν ἀνηλωκότων πολλάκις πάντα τὰ
ὄντα εἰς τὰς λειτουργίας, μηδένα τολμῆσαι πώποτε,
μηδ' ὧν οἱ νόμοι διδόασιν, ἅψασθαι, ἀλλ' οὕτως εὐ-
110 λαβῶς, οὕτως εὐσεβῶς, οὕτω μετρίως διακεῖσθαι,
ὥστε ἀναλίσκοντας, ἀγωνιῶντας, ὅμως ἀπέχεσθαι, καὶ
προορᾶσθαι τὰς ὑμετέρας βουλήσεις, καὶ τὴν περὶ
τὴν ἑορτὴν σπουδήν· Μειδίαν δὲ ἰδιώτην ὄντα, μηδὲν
ἀνηλωκότα, ὅτι τῳ προσέκρουε, καὶ ἐχθρὸς ὑπῆρχε,
111 τοῦτον ἀναλίσκοντα, χορηγοῦντα, ἐπίτιμον ὄντα, προ-
πηλακίζειν καὶ τύπτειν, καὶ μήτε τῆς ἑορτῆς, μήτε τῶν
νόμων, μήτε τί ὑμεῖς ἐρεῖτε, μήτε τοῦ θεοῦ φροντίζειν.
πολλῶν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι γεγενημένων ἐ-
χθρῶν ἀλλήλοις, οὐ μόνον ἐξ ἰδίων, ἀλλὰ καὶ ἐκ κοινῶν
112 πραγμάτων, οὐδεὶς πώποτε εἰς τοσοῦτ' ἀναιδείας
ἀφίκετο, ὥστε τοιοῦτόν τι τολμῆσαι ποιεῖν. καίτοι φασὶν
Ἰφικράτην ποτὲ ἐκεῖνον, Διοκλεῖ τῷ "Πιθεῖ, τὰ μάλι-
στα ἐλθεῖν εἰς ἔχθραν. καὶ ἔτι πρὸς τούτῳ συμβῆναι

107 Καὶ ἴσως ἧττον χορευτής) Δυσκίνητος γὰρ διὰ τὸ γῆρας ἐγένετο.
Ἦν δέ ποθ' ἡγεμών, τῆς φυλῆς κορυφαῖος) Τὸν χοροδιδάσκαλον λέγει. οἱ γὰρ χορευταὶ, ἐξ ἁπάσης ἐπελέγοντο τῆς φυλῆς. τῶν δὲ χορευτῶν μόνων ἦν χοροδιδάσκαλος. τινὲς δὲ λέγουσιν ὅτι ὁ μὲν ἄλλος χορὸς διάφορος ὢν, ἐξ ἄλλων φυλῶν συνελέγετο. ὁ μέντοι ἡγεμὼν ὁ κορυφαῖος καὶ μείζων, ἀπὸ τῆς οἰκείας ἦν φυλῆς.
Οὐδεὶς πώποτε τοῦτ' εἶδεν) Εἰ γὰρ ἦν ἀπελαθεὶς ὁ διδάσκαλος τοῦ χοροῦ, πρόδηλον ὅτι πλεονέκτημα ἐγίγνετο τοῦ ἀντιχορηγοῦ. διελύετο γὰρ ὁ
108 τοῦ φιλονεικοῦντος χορός. Διὰ γὰρ τὸ δεῖν αὐτὸν) Ἐκέλευε γὰρ ὁ νόμος, τοὺς ξένους προσκαλεῖν πρὸς τὸν ἄρχοντα· τοὺς δὲ ἀτίμους ἐπιλαμβάνεσθαι τῆς χειρὸς καὶ ἐξάγειν ἐκ τῆς θυμέλης. Ὥσπερ ἂν εἰ ξένον τις) Οὐ γὰρ ἐξῆν ἄλλως τὸν ξένον ἐξάγειν, ἀλλὰ προσκαλεσάμενον πρὸς τὸν ἄρχοντα. Αὐτόχειρ ὀφθῆναι) Ὅρα ὅπως τὸ τῶν ἀνδροφόνων ὄνομα, ἔθηκεν ἐπὶ τῶν ὑβριστῶν, ἐγγὺς ποιῶν τὸ πλημμέλημα παρὰ ταῦτα, εἰ ἐκβάλλει τοῦ χοροῦ τὸν διδάσκαλον.
109 Τῶν ἀνηλωκότων πολλάκις) Δοκεῖ μὲν καθόλου λέγειν περὶ τῶν χορηγῶν. μάλιστα δὲ αὐτὸ σημαίνει, ὅτι πάντα τὰ ὄντα εἰς τὴν χορηγίαν ἀνά-
110 λωσε. Καὶ προορᾶσθαι τὰς ὑμετέρας βουλήσεις) Ὅτι καὶ ἦν νόμιμον, οὐ ποιεῖτε δι' εὐσέβειαν. ἐβούλετο γὰρ ὁ δῆμος μηδένα γίνεσθαι θόρυβον κατὰ τὴν ἑορτήν. διὰ τοῦτο γὰρ κἂν παρανόμως τις ἠγωνίζετο, οὐ συνεχώρουν αὐτὸν ἐξάγεσθαι, ἀλλὰ τότε μὲν ἀγωνίζεσθαι, μετὰ ταῦτα δὲ, κρίνεσθαι
111 προσέταττε. Πολλῶν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι) Πληρώσας καὶ τὸν ἀπὸ τοῦ ἐλάττονος τόπον, μετῆλθεν ἐπὶ τὸν τοῦ ἐναντίου. ἔστι δὲ οὗτος τοιοῦτος. Ἰφικράτης καὶ Χαβρίας, ἐχθροὶ γενόμενοί τισιν, ὁ μὲν Διοκλεῖ. ὁ δὲ Φιλοστράτῳ, τοιοῦτον οὐδὲν ἐποίησαν, οὐκ ἐσθῆτας ἠφάνισαν, οὐ στεφάνους διέφθειραν, οὐκ ἄλλο οὐδέν. Μειδίας δὲ τἀναντία τούτων ἐποίησεν. ὥστε τἀναντία ἐκείνοις πράξει. εἰ τοίνυν ἐκεῖνοι θαυμαστοὶ τῆς ἐπιεικείας, μισητέος ἄρα τῆς θρασύτητος οὗτος. Ἰστέον δὲ ὅτι τὸν ἀπὸ τοῦ μείζονος τόπον ἔθηκε πρῶτον, ἐπειδὴ νεωστὶ ἐπέπαυτο, δεικνὺς οὐκ ἄξιον εἶναι συγγνώμης τὸν Μειδίαν καὶ ἀναγκαῖον ἦν τῷ μείζονι χρήσασθαι, πρὸς τὸ μέλλον κινῆσαι τοὺς "δικαστὰς εἰς ὀργήν. δεύτερον δὲ τὸν ἀπὸ τοῦ ἐλάττονος. ἕπονται γὰρ ἀλλήλοις οἱ τόποι. καὶ ὁπότερος ἂν αὐτῶν ῥηθῇ πρότερος, ἀνάγκη τὸν ἄλλον δεύτερον ἕπεσθαι. τρίτον δὲ τὸν ἀπὸ τοῦ ἐναντίου, παραλιπὼν τὸν ἀπὸ τοῦ ἴσου. διότι ὁ μὲν ἀπὸ τοῦ ἐναντίου, σφοδρότητα ἐκίνει τοῖς ἀκούουσιν, ὥσπερ οἱ πρότεροι. ὁ δὲ ἀπὸ τοῦ ἴσου ἠθικήν τινα ἔχων ἐπιτίμησιν, ἀμβλύτερος ἦν. τοῦτο δὲ πόρρω σφοδρότητος. εἰκότως οὖν ἔθηκεν αὐτὸν πλησίον τῆς πηλικότητος, ἵνα τὴν ἀμβλύτητα τοῦ τόπου διὰ τῆς αὐξήσεως τῆς κατὰ πηλικότητα, μᾶλλον ὀρθώσῃ, ἢ καὶ συσκιάσῃ τὸ ἠθικὸν αὐτοῦ, διὰ τῶν πραγματικῶν τόπων, τοῦ πρός τι, καὶ τῆς πηλικότητος.

"ἀφέλῃ) ε.ω.
"προσκαλέσασθαι α.
"ταυτί. α. ταὐτό τι. β.
"πιθεῖ. α. β.
"ἀκούοντας. α.

ἀκούσας. Τισίας τὸν Ἰφικράτους ἀδελφόν) Ἰδοὺ γὰρ καὶ τῆς τύχης παρεχούσης τὴν πρόφασιν ἠδύνατο γὰρ διὰ 112
τὸν ἀδελφὸν ἐπηρεάσαι, ἀλλ' οὐκ ἐτόλμησε. Φρονῶν δ' ἐφ' ἑαυτῷ τηλικοῦτον) Πρῶτος γὰρ Ἰφικράτης τιμὴν εἶ- 113
χεν, ὧν Ἁρμόδιος καὶ Ἀριστογείτων· Κόνωνος μὲν γὰρ πρότερον, χαλκοῦ ἀνδριάντος ἔστι, ἀλλὰ τοῦτο τῷ νόμῳ ἐπεμήθη.

Τισίας ὁ τοῦ Ἰφικράτους ἀδελφός, ἀντιχορηγῆσαι τῷ ἀδελφῷ. ἀλλ' ὅμως πολλοὺς μὲν ἔχων φίλους Ἰφικράτης, 113
πολλὰ δὲ χρήματα κεκτημένος, φρονῶν δ' ἐφ' ἑαυτῷ τηλικοῦτον, ἡλίκον εἰκὸς ἄνδρα καὶ δόξης καὶ τιμῶν τετυχηκότα, ὧν ἐκεῖνος ἠξίωτο παρ' ὑμῶν, οὐκ ἐβάδιζεν ἐπὶ τὰς τῶν χρυσοχόων οἰκίας νύκτωρ, οὐδὲ κατερρήγνυε τὰ παρασκευαζόμενα ἱμάτια εἰς τὴν ἑορτήν· οὐδὲ διέφθειρε διδάσκαλον· οὐδὲ χορὸν μανθάνειν ἐκώλυεν, οὐδὲ τῶν ἄλλων οὐδὲν, ὧν οὗτος διαπέπρακται, ἐποίει· ἀλλὰ τοῖς νόμοις καὶ τῇ τῶν ἄλλων βουλήσει συγχωρῶν, ἠνείχετο καὶ νικῶντα καὶ στεφανούμενον τὸν ἐχθρὸν ὁρῶν, εἰκότως. ἐν ᾗ γὰρ αὐτὸς εὐδαίμων ἤδει 115
ταύτη. α. β. γεγονὼς πολιτείᾳ, ταύτην συγχωρεῖν τὰ τοιαῦτα ἠξίου. πάλιν Φιλόστρατον ἅπαντες ἴσμεν τὸν Κολωνῆθεν, Χαβρίου κατηγοροῦντα, ὅτ' ἐκρίνετο τὴν περὶ Ὠρωποῦ κρίσιν θανάτου, καὶ πάντων τῶν κατηγόρων
γεγενημένον. α. πικρότατον γιγνόμενον, καὶ μετὰ ταῦτα χορηγοῦντα 116
παισὶ Διονύσια, καὶ νικῶντα, καὶ Χαβρίαν οὔτε τύπτοντα, οὔτε ἀφαρπάζοντα τὸν στέφανον, οὔθ' ὅλως προσιόντα ὅποι μὴ προσῆκεν αὐτῷ. πολλοὺς δ' ἂν ἔχων εἰπεῖν ἔτι, καὶ διὰ πολλὰς προφάσεις ἐχθροὺς γεγενημένους ἀλλήλοις, οὐδένα πώποτε οὔτε ἀκήκοα, 117
οὔτε ἑώρακα, ὅστις εἰς τοσοῦτον ἐλήλυθεν ὕβρεως, ὥστε τοιοῦτόν τι ποιεῖν. οὐδέ γε ἐκεῖνο οὐδεὶς ὑμῶν οἶδ' ὅτι μνημονεύει πρότερον, τῶν ἐπὶ τοῖς ἰδίοις, ἢ καὶ τοῖς κοινοῖς ἐχθρῶν ἀλλήλοις γιγνομένων οὐδένα, οὔτε καλουμένων τῶν κριτῶν, παρεστηκότα, οὔθ', ὅταν ὀμνύω- 118
ἢ. ἐξορκοῦντα. σιν, ἐξορκοῦντα, οὔθ' ὅλως ἔστ' οὐδενὶ τῶν τοιούτων ἐχθρὸν ἐξεταζόμενον. ταῦτα γὰρ πάντα καὶ τὰ τοιαῦτα, ὦ ἄνδρες Ἀθηναῖοι, φιλονεικίᾳ μὲν ὑπαχθέντα ὄντα χορηγὸν ποιεῖν, ἔχει τινὰ συγγνώμην. ἔχθρᾳ δὲ, ἐλαύνοντά τινα, ἐκ προαιρέσεως, ἐφ' ἅπασι τὴν 119
ἰδίαν δύναμιν κρείττω καὶ βίαν τῶν νόμων οὖσαν ἐνδεικνύμενον, Ἡράκλεις, βαρὺ, καὶ οὐχὶ δίκαιον ἐστὶν, οὐδὲ συμφέρον ὑμῖν. εἰ γὰρ ἑκάστῳ τῶν χορηγούντων τοῦτο πρόδηλον γένοιτο, ὅτι, ἂν ὁ δεῖνα ἐχθρός ᾖ μοι, Μειδίας, ἤ τις ἄλλος θρασὺς, καὶ οὕτω πλούσιος, 120

Ἰφικράτης δὲ καὶ τὰς ἄλλας δωρεὰς τὰς ἐκείνοις ψηφισθείσας ἔλαβεν. ὥστε καὶ ἵνα τὴν ἐφ' Ἁρμοδίου δικάσασθαι τῷ Ἰφικράτει περὶ τῶν δωρεῶν, ὡς ἀναξίως λαβόντι. καὶ ἔστι λόγος εἰς Ἰφικράτην ἀναφερόμενος, ἔχων τὴν ἐπιγραφὴν περὶ τῆς αὐτοῦ δωρεᾶς· ἐν ᾧ σκωφθεὶς εἰς δυσγένειαν παρὰ τοῦ κατηγόρου, φησὶν ὅτι τὸ μὲν ἐμὸν γένος ἀπ' ἐμοῦ τὴν ἀρχὴν τὸ γνωρίζεσθαι λαμβάνει· τὸ δὲ σὸν, μέχρι σοῦ τὴν δόξαν ἔστησεν· ἦν γὰρ ὁ Ἰφικράτης ἐκ σκυτέων γεγονώς. ηὐδοκίμησε δὲ διὰ ταύτην τὴν πρόφασιν. στρατιώτης ὢν καὶ ναυμαχῶν, ἐπήδησεν ἀπὸ τῆς αὐτοῦ νεὼς εἰς πολεμίαν τριήρη, καὶ τὸν στρατηγὸν τῶν πολεμίων ἀναλαβόμενος, μετὰ [illegible] αὐτὸν εἰς τὴν οἰκείαν τριήρη. καὶ διὰ τοῦτο τῆς ἀριστείας ἐπαινεθεὶς στρατηγὸς ἐχειροτονήθη. καὶ παρὰ πάντας τοὺς στρατηγοὺς τοὺς τότε, μείζω τὴν πόλιν ὠφέλησεν. Οὐκ ἐβάδιζεν ἐπὶ τὰς τῶν χρυσοχόων οἰκίας) Δύο πεποίηκεν ἐν τούτῳ· καὶ γὰρ κατὰ τὴν αἵρεσιν εἰσήγαγεν ὃ περὶ οἰκεῖον τοῖς ἀπὸ τοῦ ἐναντίου ἐπιχειρήματι. καὶ ταῦτα εἶπεν ἐκεῖνον μὴ πεποιηκέναι, ἅπερ αὐτὸς ὑπὸ Μειδίου πέπονθε. τοῦτο γὰρ ἴδιον Δημοσθένους, τὸ πολλάκις τὰ αὐτὰ λέγοντα, φεύγειν τὸ προσκορὲς διὰ τῆς ἐξαλλαγῆς τῶν μεθόδων καὶ τῶν σχημάτων. Ἠνείχετο) Τὴν καρτερίαν δηλοῖ, ὅτι καὶ ἀνιώμενος ὑπέφερε. 114
Πάλιν Φιλόστρατον) Δεύτερον ἀπὸ τοῦ ἐναντίου παράδειγμα· καὶ γὰρ Χαβρίας γνώριμος ἦν, ἐχθρὸς, οὐδὲν ὧν Μειδίας, ἐποίησε. 115
Τὴν περὶ Ὠρωποῦ κρίσιν) Ὁ Χαβρίας ἐπιθῆναι Θηβαίοις βοηθῆσαι Ἀθηναίοις, ὅτι ἐκινδύνευον. εἶτα Θηβαῖοι ἀπέδωκαν τὸν Ὠρωπὸν, χωρίον ἐν τοῖς ὁρίοις κείμενον. ὑπωπτεύθη γοῦν ὁ στρατηγὸς, ὡς συνειδὼς, καὶ προδοσίας ἐκρίθη. τὸ δὲ θανάτου, ἢ τὸ περὶ κοινῶς, ἵνα ᾖ τὴν περὶ θανάτου, ἢ ἐλλειπῶς, ὅτε ἐκρίνετο τὴν περὶ Ὠρωποῦ κρίσιν, ἵν' ᾖ θανάτου πικρότερον γιγνόμενον· ἵνα μή τις ὑπολαβὼν λέγῃ, ὅτι ἡ προσότης ἐχαρίζετο, καταφρονεῖν παρεσκεύασε. Καὶ πάντων τῶν κατηγόρων πικρότατον) Τῶν μὲν γὰρ ἄλλων εἰς χρήματα τιμωμένων, τὴν Χαβρίου μόνος ἐκεῖνος θανάτου ἐτιμήσατο. Ἡράκλεις) Ἐν τοῖς ἄγαν κακοῖς ἐπικαλοῦνται τοὺς θεοὺς ὡς ἀλεξικάκους. 119
Εἰ γὰρ ἑκάστῳ τῶν χορηγούντων) Πληρώσας καὶ τὸν ἀπὸ τοῦ ἐναντίου τόπον, ἐπιλογικῇ ἐκβάσει ἐχρήσατο, πλείους

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐχούσῃ κεφάλαιον, ὅτι οὐδεὶς ἐθελήσει χορηγὸς ἑκὼν καταστῆναι, μέλλων τοιαῦτα πάσχειν ὑπὸ τῶν ἐχθρῶν. συνήθως δὲ
120 αὐτῷ πληρώσαντι κεφάλαιον, ἐπιλογίζεται. Ὅς τις ἑκὼν ἂν μίαν δραχμήν) Ἐπειδὴ κατ' ἀνάγκην καθίσταντο χορηγοί, διὰ τοῦτο εἶπε τοὺς ἐκ προαιρέσεως φιλοτιμεῖσθαι βουλομένους ἀπείρξετε. Καίτοι πᾶσιν ὑμῖν) Ἐντεῦθεν εἰς τὸν ἀπὸ
124 τοῦ ἴσου τόπον μεταβῆναι βούλεται). Ἐμοὶ δ', ὅς, εἴτε τις, ὦ ἄνδρες Ἀθηναῖοι) Τοῦτό ἐστιν ἠθικόν. ἐπαινεῖ γὰρ αὐτοῦ τὴν φιλοτιμίαν. καὶ ἵνα μὴ αὐξήσῃ τὸ ἀνάλωμα, μανίαν αὐτὸ κατηγόρησεν, ἐκ τοῦ καθόλου πιστωσάμενος, ὅτι πάντα τὰ ὑπὲρ δύναμιν, μανία ἐστίν. ἵνα δὲ μὴ δόξῃ ὅτι οὕτως φαῦλον τὸ ἀνάλωμα, προσέθηκεν, εἴτε καὶ φιλοτιμίαν, δηλῶν ὅτι διὰ φιλοτιμίαν μικροῦ τὰ τῶν μαινομένων ἔπραξα. Ὥστε μηδὲ τῶν ἱερῶν ἱματίων) Ταύταις ταῖς προσθήκαις, τὸ ἰδιωτικὸν εἰς τὸ
125 δημόσιον μεθίστησιν. Εἰ τοίνυν τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι) Πληρώσας ἅπαν τὸ πρός τι, μετῆλθεν ἐπὶ τὴν πηλικότητα, ἥτις περιέχει μὲν αὔξησιν καὶ αὐτὴ τοῦ πραχθέντος, διαφόρως δέ, ἢ κατὰ πρός τι. ἐν ἐκείνῳ μὲν γὰρ τὸ δημόσιον ηὔξησεν, ὅτι τὸ κατὰ τὴν χορηγίαν. ἐν ταύτῃ δὲ τὸ ἰδιωτικόν, τὸ κατὰ τὰς πληγάς. καὶ τὸ μὲν πρός τι τῶν ἐν αὐτῷ τῷ θεάτρῳ, καὶ τῇ πανηγύρει πραχθέντων, ἔχει τὴν ἐξέτασιν· ἡ δὲ πηλικότης, καθόλου περὶ ὕβρεως ποιεῖται τὸν λόγον, ὅτι δεινὸν ἡ ὕβρις. ὥστε ἐκεῖ μὲν τὸ ἰδιωτικόν, ἐνταῦθα δὲ τὸ γενικὸν *ἐξετάζεσθαι. (*ἐξετάζεται.) καὶ ἐν μὲν τῷ πρός τι παντὶ προσάγει τὴν αὔξησιν, ἐν δὲ τῇ πηλικότητι τινὰ καὶ ἥττω. αὔξει μὲν γὰρ τὴν Μειδίου θρασύτητα κατὰ τὴν [illegible] ἑαυτοῦ γνώμην, ὡς ἔλαττον τοῦ προσήκοντος ἐπὶ τοῖς γινομένοις παροξυνθεῖσαν. ἴδιον δὲ μάλιστα πηλικότητος μὴ μόνον αὔξειν, ἀλλά τινα καὶ μειοῦν. κἀκεῖ μὲν ὡρισμένως τό τις ἐγύμνασεν· ἐνταῦθα δὲ ἁπλῶς ἀορίστως τὰ ἐμπίπτοντα παραλαμβάνει πρὸς αὔξησιν. ἔτι πρὸς τούτοις ἐν παντὶ τῷ λόγῳ, πρῶτον μὲν τάττει τὰ δημόσια· δεύτερον δὲ τὰ ἰδιωτικά, ἵνα διὰ τῆς ἐκείνων προλήψεως, καὶ ταῦτα ὡς δημόσια φαίνηται, καὶ νῦν οὖν εἰκότως δευτέραν προσέταξε τὴν πηλικότητα τοῦ πρός τι· καὶ γὰρ τὸ ἰδιωτικὸν ἐν αὐτῇ περιείληφεν. ἐξ ἀντιθέσεως δὲ ἐπήγαγε τὴν πηλικότητα. τοῦτο δὲ ἐν ὅρῳ γίγνεται μόνῳ. ἐν γὰρ ταῖς στάσεσιν ἡ πηλικότης, ἐπιλογικὴν ἔχει τὴν χώραν· αὔξησιν γὰρ ἔχει. τῶν δὲ ἐπιλόγων ἡ αὔξησις. ἐν ὅρῳ δὲ κεφαλαίου δύναμιν ἔχει, διὰ τὴν φύσιν τοῦ ὅρου. ἐν γὰρ τοῖς ὅροις, ἐν οἷς μάλιστα ὁμολογεῖται τὸ πεπραγμένον, περὶ αὔξησίν ἐστιν ἡ πᾶσα ζήτησις τῶν κεφαλαίων, τοῦ μὲν κατηγόρου τὸ μεῖζον ἐπάγοντος. τοῦ δὲ φεύγοντος, ἐπὶ τὸ ἔλαττον ἀποκλίναντος. ὥστε οὐδὲν κωλύει καὶ τὴν πηλικότητα αὔξησιν ἔχουσαν, κεφαλαίου ἔχειν τὴν ἐργασίαν, τοῦ μὲν αὔξοντος ἐν αὐτοῖς, τοῦ δὲ μειοῦντος. παρὰ δὲ τῶν δικαστῶν εἴληφε τὴν ἀντίθεσιν, εἰκότως. ἔστι γὰρ περὶ τιμήματος ὁ λόγος. τὸ δὲ τιμᾶσθαι, τοῦ τε κατηγόρου, καὶ τῶν δικαστῶν ἐστί. συνήθως δὲ κἀνταῦθα τὴν δύναμιν τῆς ἀντιθέσεως ἐνήλλαξεν. οὕτω γὰρ ἂν ὁ Μειδίας προήγαγεν· ἀλλ' οὐδὲν πέπονθας, ὦ Δημόσθενες. οὔτε γὰρ σκέλος ἐπηρώθης, οὔτε χεῖρας συνετρίβης, οὔτ' ἄλλο τηλικοῦτον οὐδέν. πῶς οὖν αὔξεις τὸ πρᾶγμα, καὶ θανάτου τιμᾷς. ἴδωμεν οὖν καὶ ταύτην τὴν ἀντίθεσιν. οὐδὲ γὰρ τοῦτ' ἔστιν εἰπεῖν, ὡς ἐγὼ τῷ λόγῳ τὸ πρᾶγμα νῦν αἴρω. τοιαύτη μὲν ἡ ἀντίθεσις τοῦ Μειδίου ἐλαττοῦσα τὸ γινόμενον, ὡς ἄρα ἱκανὸς τὰ μικρὰ ἐγεῖραι τῷ λόγῳ. δεινὸν γὰρ οὐδὲν ἐκ τούτων συμβέβηκεν. ἀλλ' οὖν τὴν πρώτην εἰσαγωγὴν τῆς ἀντιθέσεως παρὰ τῶν δικαστῶν ἔλαβεν, ἵνα δείξῃ τὸν μὲν Μειδίαν οὐκ ἔχοντα λοιπὸν ὅ,τι ἀπολογήσεται. τοὺς δὲ δικαστάς, ἀμφιβάλλοντας περὶ τοῦ τιμήματος. δῆλον οὖν ἐκ τούτων, ὅτι πηλικότης ἐστὶν ἡ ἐξεταζομένη. περὶ γὰρ ποσότητος τοῦ τιμήματός ἐστιν ἡ *ἐξέτασις. (*ζήτησις.)

πρῶτον μὲν ἀφαιρεθήσομαι τὴν νίκην, κἂν ἄμεινον ἀ-
γωνίσωμαι τινος· ἔπειτ' ἐφ' ἅπασιν ἐλαττωθήσομαι,
καὶ προπηλακιζόμενος διατελέσω, τίς οὕτως ἀλόγι-
στος, ἢ τίς οὕτως ἄθλιός ἐστιν, ὅστις ἑκὼν ἂν μίαν δραχ-
121 μὴν ἐθελήσειεν ἀναλῶσαι, οὐδεὶς δήπου, ἀλλ' οἶμαι τὸ
πολλοὺς ποιοῦν καὶ φιλοτιμεῖσθαι, καὶ ἀναλίσκειν ἐθέλειν,
ἐκεῖνό ἐστιν, ὅτι τῶν ἴσων καὶ τῶν δικαίων ἕκαστος ἡγεῖται ἑαυτῷ
μετεῖναι ἐν δημοκρατίᾳ. ἐγὼ τοίνυν, ὦ ἄνδρες Ἀθη-
ναῖοι, τούτων οὐκ ἔτυχον διὰ τοῦτον. ἀλλὰ χωρὶς ὧν ὑ-
122 βρίσθην, καὶ τῆς νίκης προσαπεστερήθην. καίτοι πᾶσιν
ὑμῖν τοῦτο δείξω σαφῶς ἔγωγε, ὅτι μηδὲν ἀσελγὲς
ἐξῆν ποιοῦντι Μειδίᾳ, μηδ' ὑβρίζοντι, μηδὲ τύπτοντι,
καὶ λυπεῖν ἐμέ, καὶ κατὰ τοὺς νόμους αὐτῷ φιλοτιμεῖσθαι
πρὸς ὑμᾶς, καὶ μηδὲ διᾶραι τὸ στόμα περὶ αὐτοῦ νῦν ἔ-
123 χειν ἐμέ. ἐχρῆν γὰρ αὐτόν, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτ' ἐγὼ
τῆς Πανδιονίδος χορηγὸς ὑπέστην ἐν τῷ δήμῳ, τότε τῆς
Ἐρεχθηίδος ἀναστάντα τῆς ἑαυτοῦ φυλῆς, ἀνθυποστῆναι
καὶ καταστήσασθαι ἑαυτὸν ἐξ ἴσου, καὶ τὰ ὄντα ἀναλίσκοντα,
ὥσπερ ἐγώ, οὕτω με ἀφαιρεῖσθαι τὴν νίκην, ὑβρίζειν δὲ τοι-
124 αῦτα, καὶ τύπτειν, *οὐδὲ τότε. νῦν δὲ τοῦτο μὲν οὐκ ἐποίησεν, *μηδ. α. β.
ἐν ᾧ τὸν δῆμον ἐτίμησεν ἄν, οὐδ' ἐνεανιεύσατο τοιοῦτον
οὐδὲν· ἐμοὶ δ', ὅς, εἴτε τις, ὦ ἄνδρες Ἀθηναῖοι, βούλε-
ται νομίσαι μανίαν· μανία γὰρ ἴσως ἐστίν, ὑπὲρ δύ-
ναμίν τι ποιεῖν· εἴτε καὶ φιλοτιμίαν, χορηγὸς ὑπέστην,
125 οὕτω φανερῶς καὶ μιαρῶς ἐπηρεάζων παρηκο-
λούθησεν, ὥστε μηδὲ τῶν ἱερῶν ἱματίων, μηδὲ τοῦ χο-
ροῦ, μηδὲ τοῦ σώματος τὼ χεῖρε τελευτῶν ἀποσχέ-
σθαί μου. εἰ τοίνυν τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι,

Οὐ γὰρ δὴ

Οὐ γὰρ τὸ δίκαιον) Οὐδὲν, φησι, γέγονε δεινὸν, οὐδὲ φόνος, ἢ τρῶσις διὰ τὴν ἐμὴν ἐπιείκειαν, οὐ διὰ τὸν Μειδίαν. 126
εἰ μὲν γὰρ πάντα εἰς αὐτὸν ἥκοντα πεποίηκεν· ἐγὼ δὲ μὴ βουληθεὶς ἀμύνασθαι, οὐ παρέσχον ἀφορμὴν τοῦ μηδὲν ἀνήκεστον γενέσθαι. Οὐδὲ γὰρ αὖ τοῦτ' ἔστιν εἰπεῖν) Αὕτη ἦν ἡ ἐξ ἀρχῆς τοῦ Μειδίου ἀντίθεσις· τῷ λόγῳ τὰ πράγματα φοβερὰ 127
ποιεῖς, οὐδενὸς δεινοῦ γεγονότος. ὁ δὲ, ἐν ἀρχῇ μὲν ἐφοβήθη εἰπεῖν, προλαβὼν δὲ τῇ λύσει καὶ τῇ κατασκευῇ τὸν ἀκροατὴν, ὅτι διὰ τὴν ἐπιείκειαν τὴν ἐμὴν οὐδὲν γέγονε δεινὸν, τότε ἔθηκε φανερῶς ὅτι οὐκ ὠφελεῖται Μειδίας ταῦτα προβαλλόμενος, δεδειγμένου τοῖς δικασταῖς, ὅτι οὐ δι' ἐκεῖνον, ἀλλὰ δι' αὐτὸν οὐδὲν ἀνήκεστον γέγονεν. Ἀλλ' ἴσασιν ἅπαντες) Πρώτας τίθησι τὰς παραδειγματικὰς πίστεις, πιθανωτέρας οὔσας τοῖς ἀκούουσιν. οὐ μὴν ἐπὶ τούτων ἐστὶν εἰπεῖν ἀπὸ τοῦ μείζονος, ἢ ἀπὸ τοῦ ἥττονος, ὥσπερ ἐν τῷ πρός τι. οὐδὲν γὰρ τοιοῦτον ἐν αὐταῖς καταφαίνεται. Ἰσχυρός τις ἦν, μέλας) Ἐκ πολλῶν σημείων ἐπιφέρει τὴν μνήμην. 128
ἔχει δὲ καὶ τῆς ὕβρεως ἔμφασιν ὁ παγκρατιαστὴς, ὁ γεγυμνασμένος ἐν τῷ τύπτεσθαι, φησὶ, καὶ φέρειν πληγὰς ἐπιστάμενος, οὐκ ἤνεγκε τι πληθείς. ἡ γὰρ ὕβρις τὴν ὀργὴν, οὐχ ὁ πόνος ἐκίνησεν. ἀμφιβόλου δὲ ὄντος τοῦ ῥηθέντος, εἴη ἂν ὁ μὲν Εὔθυνος ὁ λυπήσας. ὁ δὲ ἀποκτείνας, ὁ Σώφιλος. Ἐν συνουσίᾳ τινὶ καὶ διατριβῇ) Τετραπλῆ ἐστὶν ἡ τῆς πηλικότητος ἐργασία. καὶ γὰρ καθαιρεῖ καὶ τὰ τῶν ἄλλων, ὅτι μικρὰ παθόντες ὅμως μεγάλως ἠμύναντο. καὶ αὔξει τὰ καθ' ἑαυτὸν, ὅτι μεγάλα παθὼν, οὐδ' ὅλως ἠμυνάμην. καὶ πάλιν αὔξει τὴν Μειδίου θρασύτητα· καθαιρεῖ δὲ τὴν ἑαυτοῦ γνώμην, ὡς ἧττον τοῦ δέοντος παροξυνθείς. ἐξ ὧν ἐπιείκειαν ἑαυτῷ μαρτυρεῖ. καὶ πρὸς τούτοις μὲν τὰ τῶν παθόντων ἐλάττω. Σώφιλος καὶ Εὐαίων, ἰδίᾳ τυπτηθέντες, καὶ φίλων ἐνώπιον, καὶ ἐν δείπνῳ, καὶ ἔνθα μὴ βαδίζειν ἐξῆν αὐτοῖς, ὅμως οὕτως ὠργίσθησαν, ὥστε καὶ ἀποκτεῖναι τοὺς ὑβρίσαντας. ἐγὼ δὲ ἐν θεάτρῳ, πάντων ἐναντίον τῶν Ἑλλήνων, καὶ οὗ πολλὴ ἦν ἀνάγκη βαδίζειν, ἐτυπτόμην. ἀλλ' ὅμως οὐκ ἠμυνάμην. οὐκοῦν ἐν τούτοις νύξουσιν ἃ πέπονθεν αὐτοῖς. Ἴσασιν Εὐαίωνα πολλοί) 129

ἄλλως πως ἔχει τὴν ὀργὴν ἐπὶ Μειδίαν, ἢ ὡς οὐ δέον αὐτὸν 126
τεθνάναι, οὐκ ὀρθῶς ἔχει· οὐ γάρ ἐστι δίκαιον, οὐδὲ προσ-
ήκει, τὴν τοῦ παθόντος εὐλάβειαν τῷ μηδὲν ὑποστειλαμέ-
νῳ πρὸς ὕβριν, Μειδίᾳ εἰς σωτηρίαν ὑπάρχειν. ἀλλὰ τὴν
μὲν, ὡς ἁπάντων τῶν ἀνηκέστων αἴτιον, κολάζειν προσή-
κει· τῷ δ' ἐπὶ τὸ βοηθεῖν ἀποδεδιέναι τὴν χάριν. οὐδὲ γὰρ 127
αὖ τοῦτ' ἔστιν εἰπεῖν, ὡς οὐ γεγένηται πώποτ' οὐδενὸς
ἐκ τῶν τοιούτων δεινοῦ, τῷ λόγῳ δὲ τὸ πρᾶγμα ἐγὼ νῦν
αἴρω, καὶ φοβερὸν ποιῶ. πολλοῦ γε καὶ δεῖ. ἀλλ' ἴσασιν ἅ-
παντες· εἰ δὲ μὴ, πολλοί γε, Εὔθυνον τὸν παλαίσαντά
ποτε, ἐκεῖνον, τὸν νεανίσκον, καὶ Σώφιλον, τὸν παγκρατιαστήν 128
ἰσχυρός τις ἦν, μέλας, εὖ οἶδ' ὅτι γιγνώσκουσί τινες
ὑμῶν, ὃν λέγω τοῦτον, ἐν Σάμῳ ἐν συνουσίᾳ τινὶ καὶ
διατριβῇ οὕτως ἰδίᾳ, ὅτι τύπτοντ' αὐτὸν ὑβρίζειν ᾤε-
το, ἀμυνάμενον οὕτως, ὥστε καὶ ἀποκτεῖναι. ἴσασιν
Εὐαίωνα πολλοὶ τὸν Λεωδάμαντος ἀδελφὸν, ἀποκτεί- 129
ναντα Βοιωτὸν ἐν δείπνῳ, καὶ συνόδῳ κοινῇ, διὰ πλη-
γὴν μίαν. οὐ γὰρ ἡ πληγὴ παρέστησε τὴν ὀργὴν, ἀλλ' ἡ ἀτι-
μία. οὐδὲ τὸ τύπτεσθαι τοῖς ἐλευθέροις ἐστὶ δεινὸν, καίπερ
ὂν δεινὸν, ἀλλὰ τὸ ἐφ' ὕβρει. πολλὰ γὰρ ἂν ποιήσειεν ὁ τύ-
πτων, ὦ ἄνδρες Ἀθηναῖοι, ὧν ὁ παθὼν ἔνια οὐδ' ἂν ἀ- 130
παγγεῖλαι δύναιτο ἑτέρῳ, τῷ σχήματι, τῷ βλέμματι,
τῇ φωνῇ. ὅταν ὡς ὑβρίζων, ὅταν ὡς ἐχθρὸς ὑπάρχων,
ὅταν κονδύλοις, ὅταν ἐπὶ κόρρης. ταῦτα κινεῖ, ταῦτα
ἐξίστησιν ἀνθρώπους αὑτῶν, ἀήθεις ὄντας τοῦ προπη-
λακίζεσθαι. οὐδεὶς ἂν, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦτ' ἀπαγ- 131
γέλλων, δύναιτο τὸ δεινὸν παραστῆσαι τοῖς ἀκούουσιν οὕ-
τως, ὡς ἐπὶ τῆς ἀληθείας, καὶ τοῦ πράγματος τῷ
πάσχοντι, καὶ τοῖς ὁρῶσιν ἐναργὴς ἡ ὕβρις φαίνεται. σκέ-
ψασθε δὴ πρὸς Διὸς καὶ θεῶν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ

Μέμφεται τοῦτο ὡς ἀσαφῶς ἀπηγγελμένον. ἄδηλον γὰρ τίς ὁ τυπτήσας, ἢ τίς ὁ φονευθείς. καὶ πότερον Βοιωτὸς ἦν ὁ ἀποκτείνας, ἢ Εὐαίων. αἴτιον δὲ τῆς ἀσαφείας, τὸ ὁμοιόσχημον τῆς ἀπαγγελίας. πάντα γὰρ τὰ ὀνόματα κατὰ πτῶσιν αἰτιατικὴν προήγαγεν. Οὐδὲ τὸ τύπτεσθαι τοῖς ἐλευθέροις) Ἔδειξεν, ὅτι τὸ καθόλου καὶ γενικοῦ αὔξησιν ποιεῖται. συνεμφαίνει δὲ οὐδὲν ἧττον ἐν τῷ καθόλου τὸ καθ' αὑτόν. καὶ τὸ ἐφ' ὕβρει δὲ καλῶς προσέθηκε. Πολλὰ γὰρ ποιήσειεν ὁ τύπτων) Διατυπώσει κέχρηται. ἴδιον δὲ μάλιστα τῆς πηλικότητος, ἡ διατύπωσις· ἐπειδὴ ὑπ' ὄψιν ἄγουσα τὰ πράγματα, πλείω ποιεῖ τὴν αὔξησιν. ἔχει δὲ συγγένειαν πλείστην πρός τε ἔκφρασιν, καὶ διήγησιν. ἐν ἅπασι γὰρ τούτοις ἔκθεσίς ἐστι πραγμάτων γενομένων. ἀλλὰ τὸ μὲν διήγημα, ἁπλῆν καὶ ἀκατάσκευον ἔχει τὴν ἔκθεσιν. ἡ δὲ διατύπωσις, τὸ πᾶν ἐν αὐξήσει, καὶ ἐναργείᾳ κεῖται. καὶ αὖ τὸ μὲν διήγημα, κατ' ἀκολουθίαν πρόεισι τοῖς συνδέσμοις ἑνούμενον· ἡ δὲ διατύπωσις, κομματική ἐστι καὶ ἀπόλυτος, δι' ἐξαλλαγῆς σχημάτων προϊοῦσα. Ὅταν ὡς ὑβρίζων) Ταῦτα δὲ διὰ τοὺς πατέρας, καὶ 130
διὰ τοὺς διδασκάλους, οἵ τινες οὐ δι' ἔχθραν, ἀλλ' ἐπὶ νουθεσίᾳ τύπτουσιν. Ὅταν κονδύλοις) Ἃ πέπονθεν αὐτὸς, ταῦτα ἐν τῷ καθόλου προάγει, φεύγων τὸ φανερῶς ἑαυτὸν ὑβρίζειν. οὕτω καὶ ἐν τῷ περὶ στεφάνου. εἰ μὴ ἴστε τοῦτον, διὰ τῆς ἐμφάσεως μόνης ἀπελύσατο τὰς βλασφημίας. Ὅταν ἐπὶ κόρρης) Τῆς κεφαλῆς. λέγεται ἐπὶ κόρσης, ὥσπερ μυρρίνη, καὶ μυρσίνη. Ταῦτα ἐξίστησιν ἀνθρώπους) Ἔξω ἑαυτῶν γενέσθαι, καὶ μαίνεσθαι ποιεῖ. καὶ τὸ αἴτιον τίθησιν· ἀήθεις ὄντας. τὸ γὰρ ἀπροσδό-

Εὐαίων



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

131 κτον, καὶ οὐκ εἰθισμένον. Ὅσῳ πλείονα ὀργὴν ἐμοὶ προσῆκε) Τοῦτ᾽ ἔστιν, ἐν ᾧ τὴν ἑαυτοῦ γνώμην ἐλαττοῖ μετὰ τὸ παθεῖν. αὔξει δὲ τὰ καθ᾽ ἑαυτόν. Ὁ μέν γε ὑπὸ γνωρίμου) Τῇ διαφορᾷ προσάγει τὴν αὔξησιν. Καὶ τούτου μεθύον-
132 τος) Ὑπέθετο γὰρ εἶναι συμπόσιον. Οἷ μηδὲ βαδίζειν ἐξῆν αὐτῷ) Τοῦτο δι᾽ ἑαυτὸν καὶ τὴν ἀνάγκην τῆς λειτουργίας ἔφησεν ὅτι ὁ μὲν εἰ ὑπώπτευε τινὰ ἔσεσθαι ἀηδίαν ἑαυτῷ, ἐδύνατο καὶ φυλάττεσθαι, καὶ μὴ ἀπελθεῖν εἰς τὸ δεῖπνον· ἐμοὶ δέ, οὔτε τοῦτο ἐξῆν παραβάλ- α.
133 λοντι μέλλοντι χορηγεῖν. Καὶ ἐμαυτὸν μέν γε, ὦ ἄνδρες Ἀθηναῖοι, σωφρόνως, μᾶλλον δὲ εὐτυχῶς) Εἰ μὲν γὰρ δεινὰ παθὼν ἐσωφρόνησε, καὶ οὐκ ἐξήχθη, θαύματος ἄξιος· εἰ δὲ λέγων τὰ δεινὰ πάσχειν, οὐκ ὠργίσθην φησίν, ἀπίθανον τὸ τοιοῦτον. διὸ προσέθηκε, μᾶλλον δὲ εὐτυχῶς, ἵνα μὴ γνώμης μόνον, ἀλλὰ καὶ εὐτυχίας φανῇ τὸ ἐπισχεῖν τὴν ὀργὴν ἢ αὐξῆσαι βουλόμενος, ἐπὶ πλέον τὴν διόρθωσιν ἔθηκε. τὰ μὲν γὰρ μικρά, καὶ τῷ λογισμῷ διαφεύγομεν. ὅσα δὲ ὑπερβαίνει φύσιν ἀνθρωπίνην,
134 τύχῃ δεξιᾷ κατορθοῦμεν. Καὶ τῶν δικασάντων τότε πολλοί) Συγγνώμην ἐσχηκέναι, δηλαδὴ νέμει τῷ πεφονευκότι συγγνώμην, ἵνα μὴ δοκοίη αὐτὸς διὰ τὸ πεπονθέναι λέγειν. Μιᾷ μόνον ἁλῶναι ψήφῳ) Περιττῇ δηλονότι, οἷον, εἰ τύχοι, τριάκοντα ἐκομίζοντο κατ᾽ αὐτοῦ, καὶ τοσαῦται ὑπὲρ αὐτοῦ. οὐκοῦν αἱ καταγινώσκουσαι ὑπὸ τῶν ἑτέρων ἐξωθοῦντο. εἰ δὲ μία λείπει τῶν τριάκοντα τῶν ἀπογινωσκουσῶν, ἡλίσκετο, ὥστε μικρὰν δέδωκε τιμωρίαν. Οὔτε κλαύσαντα) Ἔμελλε γὰρ δακρύων ὀλίγων τὴν σωτηρίαν ὠνήσασθαι, καὶ ἀπῆλθεν δὲ μὴ ἔ-
135 χων τὴν νίκην μετὰ τὴν δέησιν. Θῶμεν τοίνυν οὑτωσί) Ἐξετάζει τὴν διάνοιαν τῶν κολασάντων. [δικασαίτων.] Ἀλλ᾽ ὅτι οὕτως τὸν τρόπον) Ὥστε ἔδει μὲν ἀμύνασθαι, ὁ δὲ τρόπος τῆς ὑπερβολῆς, μεμπτός. Καὶ ταύτην τὴν ὑπερβολήν) Οἱ ἀφέντες δικασταὶ τὸν ὑβρισθέντα, ἄξιον εἶναι καὶ ταύτης τῆς μεγάλης ἀγανακτήσεως ἐνόμισαν. σῶμα γὰρ ἐλεύθερον προπηλακίσας, καὶ θανάτου τυχεῖν δίκαιος ἦν. ἔοικε δὲ ταῦτα τὰ κατὰ τὴν πηλικότητα εἶναι αὐξήσεως. Τί οὖν ἐμοὶ τῷ τοσαύτῃ κεχρημένῳ) Ἐπανῆλθεν ἐπὶ τὸ ἐξ ἀρχῆς ἐν τῇ ἀντιθέσει κείμενον, ὅτι οὐδὲν γέγονε δεινόν. τί οὖν; ἐμοὶ θανάτου τιμᾶσθε; καὶ συμπεραίνει τὴν πηλικότητα. διὰ τὴν ἐμὴν πρόνοιαν οὐδὲν γέγονε δεινόν. οὐκοῦν παρ᾽ ὑμῶν ὀφείλω κομίσασθαι
136 τὴν ἄμυναν. Καὶ παράδειγμά γε πᾶσι γενέσθαι) Συνήθως πάλιν τῇ ἐπιλογικῇ ἐμβάσει ἐχρήσατο. τοῦτο γὰρ
137 εἴωθε ποιεῖν, ἐπειδὰν κεφάλαιον πληρώσας, ἐφ᾽ ἕτερον μέλλῃ καταβαίνειν. Οἶμαι τοίνυν τινὰς ὑμῶν) Τοὺς μὲν ἀγῶνας, καὶ τὰ κεφάλαια πάντα, τὰ περὶ τὸ κρινόμενον πρᾶγμα πεπλήρωκεν. ἐντεῦθεν δὲ εἰσβάλλει λοιπὸν εἰς τὴν παρέκβασιν. ἔστι δὲ παρέκβασις, λόγος ἐξαγώνιος μέν, συναγωνιζόμενος δὲ πρὸς τὸν ἀγῶνα. βούλεται οὖν διηγήσασθαι τὴν ἔχθραν τὴν ἀρχαίαν ἥτις κατάστασις μὲν ἦν τοῦ ἀγῶνος. ἐπειδὴ δὲ ἰδιωτικὸν ἐποίει τὸν ἀγῶνα, διὰ τοῦτο ἐν ἀρχῇ μὲν παρῃτήσατο θεῖναι. νῦν δὲ εἰσάγει λοιπόν, ὅτε ἀποδέδεικται δημόσιος ὢν ὁ ἀγών. ὥσπερ γὰρ καθ᾽ ἕκαστον κεφάλαιον πρότερον εἰσήγαγε τὸ δημόσιον, οὕτω καὶ τῆς πάσης ἔχθρας, καὶ τῶν εἰς αὐτὸν ἀδικημάτων, πρότερον μὲν ἐπήγαγεν ἅπερ ἔπαθε κατὰ τὴν ἑορτήν· δεύτερα δέ, τὰ κατὰ τοὺς ἄλλους χρόνους, ἵνα τὰ μὲν δημόσια, τάξιν ἔχῃ προηγουμένου· τὰ δὲ ἰδιωτικά, τοῦ ἑπομένου. ζητήσειε δ᾽ ἄν τις, εἰ τὰ τοιαῦτα ἐξαγώνια ὄντα μετὰ τῶν ἀγώνων τάττειν προσήκει, εἰ ἐπιλογικὰ δεῖ καλεῖν αὐτά. ῥητέον οὖν ὅτι μέσην τινὰ φύσιν ἔχει τῶν τε ἀγώνων, καὶ τῶν ἐπιλόγων.

λογίσασθε παρ᾽ ὑμῖν αὐτοῖς, ὅσῳ πλείονα ὀργὴν ἐμοὶ
προσῆκε παρεστῆναι, πάσχοντι τοιαῦτα ὑπὸ Μειδίου, ἢ
τότ᾽ ἐκείνῳ τῷ Εὐαίωνι τῷ τὸν Βοιωτὸν ἀποκτείναντι. ὁ μέν
γε ὑπὸ γνωρίμου καὶ τούτου μεθύοντος, ἐναντίον ἕξ, ἢ ἑπτὰ
ἀνθρώπων ἐπλήγη, καὶ τούτων γνωρίμων· οἳ τὸν μὲν κα-
132 κιεῖν, οἷς ἔπραξε· τὸν δ᾽ ἐπαινέσεσθαι μετὰ ταῦτα ἀνασχό-
μενον, καὶ κατασχόνθ᾽ ἑαυτὸν ἔμελλον· καὶ ταῦτ᾽ εἰς οἰκίαν ἤμελλον. α. β.
ἐλθὼν ἐπὶ δεῖπνον, οἷ μηδὲ βαδίζειν ἐξῆν αὐτῷ. ἐγὼ δ᾽
ὑπ᾽ ἐχθροῦ νήφοντος, ἕωθεν, ὕβρει, καὶ οὐκ οἴνῳ τοῦτο ποιοῦν-
τος, ἐναντίον πολλῶν καὶ ξένων, καὶ πολιτῶν, ὑβριζόμην, καὶ
133 ταῦτ᾽ ἐν ἱερῷ, καὶ οἷ πολλή μοι ἦν ἀνάγκη βαδίζειν χο- οὗ. α. ε.
ρηγοῦντι. καὶ ἐμαυτὸν μέν γε, ὦ ἄνδρες Ἀθηναῖοι, σω-
φρόνως, μᾶλλον δ᾽ εὐτυχῶς οἶμαι καὶ βεβουλεῦσθαι, ἀ- β.
νασχόμενον τότε, καὶ μηδὲν ἀνήκεστον ἐξαχθέντα πρᾶ- οὐδὲν. α.
ξαι. τῷ δ᾽ Εὐαίωνι, καὶ πᾶσιν, εἴ τις αὐτῷ βεβοήθηκεν, ἀτι-
134 μαζομένῳ, πολλὴν συγγνώμην ἔχω. δοκοῦσι δέ μοι καὶ
τῶν δικασάντων τότε πολλοί. ἀκούω γὰρ αὐτὸν ἔγωγε
μιᾷ μόνον ἁλῶναι ψήφῳ, καὶ ταῦτα οὔτε κλαύσαντα, οὔτε
δεηθέντα τῶν δικαστῶν οὐδενός, οὔτε φιλάνθρωπον, οὔτε μι-
κρόν, οὔτε μέγα, οὐδ᾽ ὁτιοῦν πρὸς τοὺς δικαστὰς ποιήσαν-
135 τα. θῶμεν τοίνυν οὑτωσί. τοὺς μὲν καταγνόντας αὐτοῦ, μὴ
ὅτι ἠμύνατο, διὰ τοῦτο καταψηφίσασθαι, ἀλλ᾽ ὅτι οὕτως τὸν καὶ. α.
τρόπον, ὥστε καὶ ἀποκτεῖναι. τοὺς δ᾽ ἀπογνόντας, καὶ ταύ-
την τὴν ὑπερβολὴν τῆς τιμωρίας τῷ γε τὸ σῶμα ὑβρι-
σμένῳ δεδωκέναι. τί οὖν. ἐμοὶ τῷ τοσαύτῃ κεχρημένῳ
136 προνοίᾳ τοῦ μηδὲν ἀνήκεστον γενέσθαι, ὥστε μηδ᾽ ἀμύ-
νασθαι, παρὰ τοῦ τὴν τιμωρίαν, ὧν πέπονθα, ἀποδοθῆναι
προσήκει; ἐγὼ μὲν οἶμαι παρ᾽ ὑμῶν, καὶ τῶν νόμων. καὶ παρά-
δειγμά γε πᾶσι γενέσθαι τοῖς ἄλλοις, ὅτι τοὺς ὑβρίζοντας
ἅπαντας, καὶ τοὺς ἀσελγεῖς. οὐκ αὐτὸν ἀμύνεσθαι μετὰ τῆς
137 ὀργῆς, ἀλλ᾽ ἐφ᾽ ὑμᾶς ἄγειν δεῖ, ὡς βεβαιούντων ὑμῶν καὶ
φυλαττόντων τὰς ἐν τοῖς νόμοις κατὰ τῶν ἀδικούντων
τοῖς παθοῦσι βοηθείας. οἶμαι τοίνυν τινὰς ὑμῶν, ὦ ἄν-

τῶν μὲν

ἣ μὲν γὰρ περὶ αὐτὸ τὸ πρᾶγμα τὸ κρινόμενον οὐχ ἵσταται, πλησιάζει τοῖς ἐπιλόγοις. ἡ δὲ χωρεῖ δι' ἀποδείξεως, καὶ ἑτέρων ἀδικημάτων μνήμην ἔχει κατὰ τοῦ φεύγοντος, ἐπιγράφεται τοῖς ἀγῶσι. τὰ γὰρ τοιαῦτα συναγωνίζεται ἡμῖν πρὸς πίστιν τοῦ γινομένου ἐγκλήματος. οἱ δὲ ἐπίλογοι, αὔξησιν μόνον ἔχουσι τοῦ προκειμένου πράγματος. διὸ καὶ μέσης φύσεως οὖσα ἡ παρέκβασις, μέσην καὶ τάξιν περὶ τοῦ ῥήτορος εἴληφε. κεῖται γὰρ μεταξὺ τῶν ἀγώνων καὶ τῶν ἐπιλόγων. κέχρηται δὲ τῇ παρεκβάσει διὰ δύο προφάσεις, πρῶτον μὲν, ἵνα δείξῃ καὶ τὰ περὶ τὴν ἑορτὴν πάντα κατ' ἐπιβουλὴν γεγενημένα, καὶ οὐ δι' ὀργὴν, ὡς μειδίας φησίν. εἰ γὰρ παλαιὸς ἦν ἐχθρὸς, πρόδηλον ὅτι διὰ τὴν ἔχθραν ἐκεῖνον ἐπεβούλευε. δεύτερον δὲ, ἵνα μᾶλλον εἰς ὀργὴν παροξύνῃ τοὺς ἀκούοντας. εἰ γὰρ καὶ τοῖς νῦν ἀδικήμασι, δικαίως ἂν ὀργισθεῖεν, πόσῳ μᾶλλον εἰ καὶ ἕτερα φαίνοιτο πρότερον. σφόδρα δὲ τεχνικῶς τὴν ἀνάγκην τοῦ διηγήματος, ἀπὸ τῶν δικαστῶν ἔλαβε. πρῶτον μὲν ὑπὲρ αὐτοῦ τοῦ πράγματος, ἵν', εἰ φαίνοιτο ἰδιωτικά τινα διηγούμενος, μὴ αὐτὸς ἑκὼν δόξῃ λέγειν, ἀλλ' ὑπὸ τῶν δικαστῶν ἀναγκασθείς. ἔπειτα διὰ τὸ μῆκος τῆς παρεκβάσεως, ἵν' εἴ τις ὄχλος ἐγγίνοιτο τῶν λεγομένων, ἑαυτοῖς ἐγκαλῶσι τοῖς ἀναγκάσασιν, ἀλλὰ μὴ τῷ ῥήτορι. ἠθικῶς δὲ οὐ διαβεβαιοῦται, ἀλλὰ στοχάζεται αὐτῶν τῆς γνώμης διὰ τοῦ, οἶμαι. καὶ τὸ ποθεῖν ἀκοῦσαι, χαρίεν, ἵνα καὶ ὡς χαριζόμενος αὐτοῖς, δόξῃ ποιεῖσθαι τὴν παρέκβασιν, ἤτοι τὴν διήγησιν, ἣν καὶ πρὸς διήγησιν λέγομεν.

ἄνδρες δικασταὶ, ποθεῖν ἀκοῦσαι τὴν ἔχθραν, ἥτις 138
ἦν ἡμῖν πρὸς ἀλλήλους. νομίζω γὰρ οὐδένα ἂν ἀνθρώπων οὕτως ἀσελγῶς, καὶ βιαίως οὐδενὶ τῶν πολιτῶν χρήσασθαι, μὴ μεγάλου τινὸς ὄντος, ὃ αὐτῷ προωφείλετο. βούλομαι δὴ καὶ περὶ ταύτης ὑμῖν ἐξ ἀρχῆς 139
εἰπεῖν, καὶ διηγήσασθαι, ἵν' εἰδῆτε ὅτι καὶ τούτων ὀφείλων δοῦναι δίκην φανήσεται. ἔσται δὲ περὶ αὐτῶν βραχὺς ὁ λόγος κἂν ἄνωθεν ἄρχεσθαι δοκῶ. ἡνίκα τὰς δίκας ἔλαχον τῶν πατρῴων τοῖς ἐπιτρόποις, μειρακύλλιον ὢν κομιδῇ, καὶ τοῦτον οὐδ' εἰ γέγονεν εἰδὼς, οὐδὲ γιγνώσκων· ὡς 140
μηδὲ νῦν ὤφελον· τότε μοι μελλουσῶν εἰσιέναι τῶν δικῶν εἰς ἡμέραν ὡς περὶ τετάρτην, ἢ πέμπτην, εἰσεπήδησεν ἀδελφὸς ὁ τούτου καὶ οὗτος εἰς τὴν οἰκίαν, ἀντιδιδόντες τριηραρχίαν. τοὔνομα μὲν δὴ παρέσχεν ἐκεῖνος. καὶ 141
ἦν ὁ ἀντιδιδοὺς, Θρασύλοχος· τὰ δ' ἔργα πάντα ἦν, καὶ τὰ πραττόμενα ὑπὸ τούτου. καὶ πρῶτον μὲν κατέσχισαν τὰς θύρας τῶν οἰκημάτων, ὡς αὑτῶν ἤδη γιγνομένας κατὰ τὴν ἀντίδοσιν. εἶτα τῆς ἀδελφῆς ἔτ' ἔνδον οὔσης τότε, καὶ παιδὸς οὔσης κόρης, ἐναντίον 14

Οὕτως ἀσελγῶς καὶ βιαίως) Καὶ τὴν κατασκευὴν τοῖς δικασταῖς προσέθηκεν, ἵν' εὐλόγως φαίνωνται τῆς 138
ἀκροάσεως τῶν ἐξαγωνίων ἐπιθυμοῦντες. Ὃ αὐτῷ προωφείλετο) Οὐ γὰρ ἐμαίνετο τοσοῦτον μειδίας, εἰ μὴ προηδίκητο μείζονα. ἔχει δὲ καὶ ψυχαγωγίαν ὁ χρόνος. ἐν βραχεῖ γὰρ δηλώσειν αὐτοῖς ἐπαγγέλλεται, ἵνα εἰδῆτε, φησὶν, ὅτι καὶ τούτων ὀφείλων δοῦναι δίκην, αὐτὸς ἔδειξε τὴν χρείαν τοῦ διηγήματος. Ἔσται δὲ περὶ αὐτῶν βραχὺς ὁ λόγος) Φιλανθρωπότερος ὤφθη τῶν δικαστῶν, εἴπερ ὑπισχνεῖται δι' ὀλίγων δώσειν ἅπερ ἐκεῖνοι διὰ πολλῶν ἤλπιζον. Ἡνίκα τὰς δίκας ἔλαχον) Πληρώσας τὸ προοίμιον, εἰσέβαλεν εἰς αὐτὰ τὰ διηγήματα καὶ φησίν. ἡνίκα τὰς 139
δίκας ἔλαχον. πολλὴν δὲ ἐν τούτοις αὐτοῦ μὲν ἐπιείκειαν, μειδίου δὲ τὴν ὠμότητα δείκνυσιν, εἴπερ αὐτὸς μὲν διὰ χρηστότητα καὶ τῶν πατρῴων ἐκινδύνευε στερηθῆναι. μειδίας δὲ περὶ τὸν καιρὸν τῆς δίκης ἐπέθετο τῷ δυστυχοῦντι. Μειρακύλλιον ὢν κομιδῇ) Τὸ κομιδῇ προσκείμενον, ἔμφασιν δίδωσιν ὡς οὐδεμιᾶς ἔχθρας λαβὴν παρέχειν ἠδύνατο, οὐδὲ ἀδικίας ὁ τοιαύτην ἄγων τὴν ἡλικίαν. καθεῖλε δὲ τὴν ἡλικίαν αὐτοῦ διὰ τὸ χρήσιμον, ἵνα λύσῃ τὸ ἀντιπίπτον. τί οὖν εἰ παρέσχες τὴν πρόφασιν τῆς ἔχθρας, θρασὺς ὤν. ὁ δὲ, ἀπίθανον ἔδειξε τοῦτο ὑποκοριστικῶς τὴν ἡλικίαν ἐλαττῶσαι, ὅτι μειρακύλλιον ἦν κομιδῇ. τῶν δὲ τοιούτων, οὐκ ἔστι τὸ θρασύνεσθαι πρὸς τοὺς πρεσβυτέρους. Καὶ τοῦτον οὐδ' 140
εἰ γέγονεν) Τὸ ἀσφαλὲς καὶ ἀπείρατον, διὰ τῆς ἡλικίας ἔδειξε, πῶς θρασὺς ὁ τοιοῦτος. Ὡς μηδὲ νῦν ὤφελον) Ἡ γὰρ πεῖρα τὴν βλάβην προὐξένησεν. ὀργῆς δὲ καὶ βαρύτητος ἔμφασις. Τότε μοι μελλουσῶν εἰσιέναι τῶν δικῶν) Καὶ τοῦτο δὲ ἀφελῶς. τὴν γὰρ δίκην ὡς πρόσωπον ἐποίησεν, εἰσιέναι εἰπών. τὴν ἐκ προνοίας δὲ αὐτῷ ἔδειξεν. τό.
ἐπιτήρησιν γὰρ ὅτι ἔμελλε δικάζεσθαι πρὸς τοὺς ἐπιτρόπους, ἵνα με καὶ τῆς ὁδοῦ τῆς εἰς τὸ δικαστήριον ἐκκρούσωσιν. ἐπιτήρησαι
Εἰς ἡμέραν ὡς περὶ τετάρτην) Πρὸ τεττάρων ἢ πέντε ἡμερῶν δηλοῖ δὲ τὴν πονηρίαν μειδίου, εἰ γὰρ τὸν ἄλλον χρόνον ἀφεὶς, τότε αὐτῷ μᾶλλον ἐπέθετο, ἵνα στερηθῇ τῶν πατρῴων. διὰ δὲ τῆς εἰσεπήδησεν λέξεως, τὴν βίαν αὐτῶν, καὶ τὴν θρασύτητα ἔδειξε. ἔμελλον.
Καὶ ἦν ὁ ἀντιδιδοὺς, Θρασύλοχος) Νόμος ἦν παρ' ἀθηναίοις, εἴ τις 141
προβληθεὶς ὑπό τινος εἰς τὴν τριηραρχίαν, εἰ δὲ μὴ βούλοιτο ἐκεῖνος, λαμβάνειν τὴν νομιζομένου οὐσίαν, α.
διδόναι δὲ τὴν ἑαυτοῦ, καὶ οὕτω τριηραρχεῖν. τοῦτο Θρασύλοχος ἠξίου δημοσθένην τότε ποιεῖν, εἰ μὴ βούλοιτο ὑποδέξασθαι τὴν τριηραρχίαν, ἀντιδοῦναι τὴν οὐσίαν τῷ Θρασυλόχῳ, καὶ λαβεῖν αὐτὸν τὴν ἐκείνου. ὀνομαζομένου.
Τὰ δ' ἔργα πάντα ἦν) Ἵνα μή τις εἴποι, πῶς οὖν ὑπὸ τοῦ ἀδελφοῦ παθὼν, μειδίου κατηγορεῖς. Καὶ πρῶτον μὲν κατέσχισαν τὰς θύρας) Ἄλωσιν ὑπογράφει τῷ λόγῳ. εἰκὸς μὲν γὰρ ἦν ἀνοῖξαί τινας θύρας, ἐφ' ᾧ τε γνῶναι τὰ ἔνδον εἰ ἄξια ἐστὶ τῆς ἀντιδόσεως. ὁ δὲ, κατέσχισε, εἶπεν, ὥστε εἰσεπήδησε. Ὡς αὑτῶν ἤδη γινομένας κατὰ τὴν ἀντίδοσιν) Τὸ γὰρ τὰ ἀλλότρια οἰκεῖα νομίζειν, τοῦτο παρανόμων. καὶ τὸ κατασχίζειν τὰς θύρας πρὶν ἂν καταδέξασθαι τὴν ἀντίδοσιν τὸν δημοσθένην, καὶ τοῦτο ἄτοπον. Παιδὸς οὔσης κόρης) Τὸ μὲν παιδὸς, τὸ ἁπαλὸν τῆς ἡλικίας· κόρης δὲ, ὅτι παρθένου, καὶ ἀντιβλέπειν διὰ τὴν αἰδῶ μὴ τολμώσης. 142



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

143 ἐφθέγγοντο αἰσχρά, καὶ τοιαῦτα, οἷα ἂν ἄνθρωποι
τοιοῦτοι *φθέγξαιντο. οὐ γὰρ ἔγωγε προαχθείην ἂν
εἰπεῖν πρὸς ὑμᾶς τῶν τότε ῥηθέντων οὐδέν· καὶ τὴν
μητέρα, καὶ ἐμέ, καὶ πάντας ἡμᾶς, ῥητὰ καὶ ἄρρητα
κακὰ ἐξεῖπον. ὃ δὴ πάντων δεινότατον, καὶ οὐ λόγος, ἀλλ'
144 ἔργον ἤδη, τὰς δίκας, ὡς αὑτῶν οὔσας, ἠφίεσαν τοῖς
ἐπιτρόποις. καὶ ταῦτ' ἐστὶ μὲν παλαιά, ὅμως δέ τινας
ὑμῶν μνημονεύειν οἶμαι. ὅλη γὰρ ἡ πόλις τὴν ἀντίδο-
σιν, καὶ τὴν ἐπιβουλὴν τότε ταύτην, καὶ τὴν ἀσέλγειαν
ᾔσθετο. κἀγὼ τότε παντάπασιν ἔρημος ὤν, καὶ νέος κο-
145 μιδῇ, ἵνα μὴ τῶν παρὰ τοῖς ἐπιτρόποις ἀποστερη-
θείην, οὐχ ὅσα ἐδυνήθην ἀνακομίσασθαι, προσ-
δοκῶν εἰσπράξειν, ἀλλ' ὅσων ἐμαυτῷ συνῄδειν ἀπε-
στερημένῳ, δίδωμι εἴκοσι μνᾶς τούτοις, ὅσου τὴν τριηρ-
αρχίαν ἦσαν μεμισθωκότες. τὰ μὲν δὴ τότε ὑβρί-
146 σματα τούτων εἰς ἐμέ, ταῦτ' ἐστί. δίκην δὲ τούτων λα-
χὼν ὕστερον τῆς κακηγορίας, εἷλον ἐρήμην. οὐ γὰρ ἀπήν-
τα. λαβὼν δὴ ὑπερήμερον, καὶ ἔχων, οὐδενὸς ἡψάμην
πώποτε τῶν τούτου, ἀλλὰ λαχὼν ἐξούλης πάλιν, οὐδέπω
147 καὶ τήμερον εἰσελθεῖν δεδύνημαι· τοσαύτας τέχνας καὶ
σκήψεις οὗτος εὑρίσκων ἐκκρούει. κἀγὼ μὲν οὕτως εὐ-
λαβῶς τῇ δίκῃ καὶ τοῖς νόμοις, ἅπαντα πράττειν ἀξιῶ.
ὁ δ', ὡς ὑμεῖς ἀκούετε, ἀσελγῶς, οὐ μόνον εἰς ἐμὲ καὶ τοὺς
148 ἐμοὺς ᾤετο δεῖν ὑβρίζειν, ἀλλὰ καὶ εἰς τοὺς φυλέτας

*φθέγξοιντο. α.

143 Εφθέγγοντο αἰσχρά) Τῇ συνήθει τέχνῃ καὶ νῦν τὰς ὕβρεις ἀπεσιώπησεν, ἵνα μὴ αὐτὸς ὑβρίζειν δοκῇ τὸ γένος. Οὐ γὰρ ἔγωγε προαχθείην) Εἴωθεν ὁ Δημοσθένης ἐν τοῖς αἰσχροῖς σωφρονεῖν κατὰ τὸν λόγον, ἵνα μήτε αὐτὸς ἑαυτὸν ὑβρί-
144 ζῃ, μηδὲ φαίνηται τοῖς αὐτοῖς μὴ αἰδούμενος. Τὰς δίκας, ὡς αὐτῶν οὔσας, ἠφίεσαν) Τοῦ ἴσως, εἰ γένοιντο κύριοι τῆς οὐσίας, ἐλευθερώσειν τῶν δικῶν τοὺς ἐπιτρόπους, εὔνους αὐτοῖς *κατασκευάζουσι. κἀνταῦθα δὲ τὴν αὐτὴν παρανομίαν ἔδειξεν, εἴγε διελύοντο πρὸς τοὺς ἐπιτρόπους ὡς ἐπὶ ἰδίοις πράγμασι. Ερημος ὤν) Βοηθείας δηλονότι, καὶ φίλων. οὔπω γὰρ ἥρμοττέ μου τῇ ἡλικίᾳ, πρὸς
145 ἄλλοις συνάπτεσθαι. Οὐχ ὅσα ἐδυνήθην ἀνακομίσασθαι) Ανακομίσασθαι, ἀντὶ τοῦ ἀναλαβεῖν, καὶ ἀπολαβεῖν, ἀφ' ὧν εἶχον ἐκεῖνοι παρὰ τῶν τοῦ πατρός. ὁ δὲ νοῦς, τοιοῦτος, κἀγὼ τοιαῦτα πάσχων, καὶ προσδοκῶν ἀπολαβεῖν παρὰ τῶν ἐπιτρόπων ὅσα ὁ πατήρ μου κατέλιπεν, ἀλλ' οὐχ ὅσα ἐδεξάμην ὀλίγα ὄντα μετὰ δίκην, ἔδωκα αὐτοῖς ὡς πολλὰ ληψόμενος. εἰ γὰρ προῄδειν ὡς οὐ πάντα ἀποληψομαι, παρεχώρησα ἂν τῶν ὀλίγων, καὶ τῆς οὐσίας. τὸ βαρὺ δὲ αὐτῶν καὶ τὸ ἐπαχθὲς ἀνέφηνεν. οὐ γὰρ εἶπεν, ὑπέστην τὴν λειτουργίαν, ἀλλὰ δίδωμι τούτοις. ὠνοῦμαι τῶν χρημάτων τὰς ὕβρεις. τὴν ἐπιβουλὴν ἐπριάμην τῇ δόσει. τὴν τέχνην δὲ καὶ τὴν πανουργίαν τῶν περὶ τὸν Μειδίαν ἔδειξε· τριῶν γὰρ συντελῶν ἐπὶ τὴν λειτουργίαν αἱρουμένων, καὶ πρὸς εἴκοσι μνᾶς συντελούντων, ὁ Θρασύλοχος τρίτος αἱρεθείς, ἀπῄτησε παρ' ἐμοῦ τὰς εἴκοσιν. ὥστε συνέβη αὐτῷ μήτε ἀναλῶσαι μηδέν, μήτε ἀντιδοῦναι τὴν οὐσίαν, ἀλλ' ὁλόκληρον γενέσθαι Δημοσθένους τὸ ἀνάλωμα. Οσου τὴν τριηραρχίαν ἦσαν μεμισθωκότες) Τάλαντον εἰσεπράττοντο παρὰ τῶν συμπλῶν οἱ τριήραρχοι. καὶ τοῦτο λαμβάνων ὁ βουλόμενος αὐτὸς ἐτριηράρχει τὸν ἐνιαυτόν, μηδὲν ἐνοχλῶν ἔτι τοῖς συμπλοῦσιν. ἦν δὲ τὸ τῆς τριηραρχίας λειτούργημα, οὐκ ἐνιαύσιον, ἀλλὰ διὰ βίου. καὶ διὰ τοῦτο οἱ πλουσιώτατοι ἀεὶ ἐτριηράρχουν. πολλοὶ δὲ τῶν τριηράρχων οἴκοι μένοντες, ἄλλους ἀνθ' ἑαυτῶν ἐξέπεμπον· καὶ λαμβάνοντές τινες τὴν δαπάνην, ἀνεδέχοντο τὴν λειτουργίαν. ὁρᾶτε οὖν τὴν ἐπήρειαν; ἐτρύφα Μειδίας Δημοσθένους πλουσιώτερος τριηραρχεῖν *νομιζόμενος. ἐπιβὰς τῆς νεώς, ἐβόων. ἰδοὺ παρέχω τὰ χρήματα. οὐδέ, μικρὸν ἐπίσχες, ἔφη. ζητῶ γὰρ ἔτι τὸν μισθωσόμενον. Δίκην δὲ
146 τούτων λαχὼν ὕστερον τῆς κακηγορίας) Εφ' οἷς εἶπε κακῶς τὴν μητέρα, κἀμέ, καὶ τὴν ἀδελφήν. Εἷλον ἐρήμην) Ονομα δίκης. Οὐ γὰρ ἀπήντα) Οὐκοῦν κατὰ τῶν μὴ ἐθελόντων ὑπακούειν, ἀλλὰ φυγοδικούντων λέγεται. ἐκέλευε γὰρ ὁ νόμος, τοὺς ἐμπρόθεσμον δίκην ἔχοντας, εἶτα μὴ ἀπαντῶντας εἰς τὴν κυρίαν, ἐρήμην ἁλίσκεσθαι. ἦν δὲ κατὰ τῶν τοιούτων ἐκ τῶν νόμων ὡρισμένον τὸ τίμημα, χίλιαι δραχμαί. Οὐδενὸς ἡψάμην) Πανταχοῦ κηρύττει τὴν ἐπιείκειαν, ἵνα μὴ δοκῇ αὐτὸς δεδωκέναι τῇ ἔχθρᾳ τὰ σπέρματα. ἰδοὺ γοῦν, τοῦ νόμου διδόντος, εἴ τις ἐκπροθεσμήσειε καὶ καταβάλοι τὰς δίκας, ἐξεῖναι ἅπτεσθαι αὐτοῦ τῶν κτημάτων, οὐδὲν τοιοῦτον ἐποίησα.

Αλλὰ λαχὼν ἐξούλης) Οὐ γὰρ ἀποδιδόντος αὐτοῦ, τὴν ἐξούλης ἐπήγαγον, αἰτιώμενος, ὡς οὐ στέργει τὴν ψῆφον. ἐξούλης δὲ δίκη τις ἦν, ἢ περὶ χωρίου, ἢ οὐσίας, ἧς ἔδει ἐκβληθῆναι τὸν ὀφλόντα τὰς χιλίας. ἔδει δὲ ἄξιον εἶναι τὸ κτῆμα τῶν χιλίων δραχμῶν. ἦν δὲ διπλῆ τις ἡ τιμωρία τῆς ἐξούλης. καὶ γὰρ τὰς χιλίας ἐκόμιζε τὸ ἐξ ἀρχῆς ὁ νενικηκώς, καὶ ἔξωθεν *προετιμᾶτο καὶ δικαστήριον τῷ ἡττωμένῳ, διότι τῶν νόμων καὶ τῶν διαιτητῶν παρήκουσε, καὶ τὸ δικασθὲν ὅτι οὐκ ἐξέτισε. τὸ δὲ ὕστερον ὑπὸ τῶν δικαστῶν *προτιμηθέν, τοῦτο ἐγίνετο δημόσιον.

Κἀγὼ μὲν οὕτως εὐλαβῶς) Καίτοι ἐκέλευον οἱ νόμοι τῶν ἐνεχύρων λαμβάνεσθαι. πῶς οὖν οὐ κατὰ τοὺς νόμους
147 ἐποίησα, μηδενὸς ἁψάμενος; ὅτι οὐκ ἐξῆν τῷ λαχόντι ἐξούλης, ἔτι καθ' ἑαυτὸν ἐπιλαμβάνεσθαι, πρὶν ἢ διαγνῶναι τὸ δικαστήριον. Αλλὰ καὶ εἰς τοὺς φυλέτας) Αναμιμνήσκει αὐτοὺς μεταξὺ τοῦ κοινοῦ ἀδικήματος, ἵνα μὴ εἰς λήθην ἐμπέσωσι, τῶν ἰδίων ἀκούοντες. οἱ γὰρ φυλέται, τοῦ κοινοῦ τυγχάνουσι γνώρισμα.

*κατασκευάζοντας. *ὀνομαζόμενος. *προεστιμᾶτο. *προστιμηθέν.

Κάλει μοι

... κάλει μοι τούτων τοὺς μάρτυρας) Ὅτι ὕβρισε καὶ μέ, καὶ τὴν μητέρα, καὶ τὴν ἀδελφήν. ὅτι θύρας κατέκλα- 148
σεν. ὅτι τὰς εἴκοσι μνᾶς ἔλαβον, αὐτοὶ μηδὲν ἀναλώσαντες. Οἷα ἀκηκόατε) Δηλονότι τὰ ἐν τῷ θεάτρῳ γινό- 149
μενα. Ὃ τοίνυν πεποίηκε) Σαθρόν ἐστιν ὅλον τὸ περὶ τὸν Στράτωνα μέρος τοῦ Δημοσθένους, καὶ μικροῦ μονομερές. 150

δι᾽ ἐμέ. ὡς οὖν ταῦτ᾽ ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας, ἵν᾽ εἰδῆθ᾽ ὅτι πρὶν κατὰ τοὺς νόμους δίκην, ὧν πρότερον ἠδικήθην, λαβεῖν, πάλιν τοιαῦτα, οἷα ἀκηκόατε, ὕβρισμαι. 149

## Μάρτυρες.

Καλλισθένης Σφήττιος. Διόγνητος Θορίκιος. Μνησίθεος [a] Ἀλωπεκῆθεν, οἴδαμεν Δημοσθένην, ᾧ μαρτυροῦμεν, κρίσιν λελογχότα Μειδίᾳ ἐξούλης, τῷ καὶ νῦν ὑπ᾽ αὐτοῦ κρινομένῳ δημοσίᾳ, καὶ ἤδη τῇ κρί- 150
σει ἐκείνῃ διαγεγονότα ἔτη ὀκτώ, καὶ τοῦ χρόνου γεγενημένου παντὸς αἴτιον Μειδίαν, ἀεὶ προφασιζόμενον, καὶ ἀναβαλλόμενον. Ὃ τοίνυν πεποίηκε κακόν, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ τῆς δίκης, ἀκούσατε, καὶ θεωρεῖτε ἐφ᾽ ἑκάστου τὴν ὕβριν καὶ τὴν 151
ὑπερηφανίαν αὐτοῦ. τῆς γὰρ δίκης ταύτης, λέγω, ἧς εἷλον αὐτόν, γίγνεταί μοι διαιτητὴς [b] Στράτων Φαληρεύς, ἄνθρωπος πένης μέν τις, καὶ ἀπράγμων, ἄλλως δ᾽ οὐ πονηρός, ἀλλὰ καὶ πάνυ χρηστός· ὅπερ τὸν ταλαίπωρον οὐκ ὀρθῶς, ἀλλὰ καὶ πάνυ αἰσχρῶς, 152
οὐδὲ δικαίως ἀπολώλεκεν. οὑτοσὶ διαιτητὴς ἡμῖν ὁ Στράτων, ἐπειδή ποτ᾽ ἧκεν ἡ κυρία, πάντα δ᾽ ἤδη διεξεληλύθει τὰ ἐκ τῶν νόμων, ὑπωμοσίαι, καὶ παραγραφαί, καὶ οὐδὲν ἔτ᾽ ἦν ὑπόλοιπον, τὸ μὲν πρῶτον ἐπισχεῖν ἐδεῖτό μου τὴν δίαιταν· ἔπει- 153
τα εἰς τὴν ὑστεραίαν ἀναβαλέσθαι. τὸ τελευταῖον δ᾽, ὡς οὔτ᾽ ἐγὼ συνεχώρουν, οὔθ᾽ οὗτος ἀπήντα,

[a] ἀλωπεκῆθεν. α.
[b] στράτωρ. ε.

κατεγνώσθη γὰρ Στράτων ὡς κακῶς διαιτήσας, καὶ κινδυνεύει καὶ δι᾽ αὐτὰ ἄκυρος γενέσθαι. καὶ ὅλως ἔοικε τοῖς ἀσυστάτοις κατὰ τὸ παρειλημμένον. πειρᾶται οὖν ὁ ῥήτωρ καὶ ὑπὲρ
149 τοῦ Στράτωνος ἀπολογεῖσθαι, καὶ κυρίαν ἀποφαίνειν τὴν δίαιταν. καὶ ἵνα μὴ χρήσηται διαβολαῖς κατὰ τοῦ Στράτωνος ὁ Μειδίας, ἅπερ ἂν ἐκεῖνος κατηγορῶν εἴπῃ, ταῦτα προλαβὼν
οὗτος συνίστησι. Ταύτης, λέγω, ἧς εἷ- 151
λον αὐτόν) Οὐκοῦν ἥττηται ὁ Μειδίας καὶ ἑάλω. πῶς οὖν ἄκυρα βιά-
150 ζεται ποιεῖν τὰ κατεγνωσμένα. Ἄνθρωπος πένης μέν τις) Προσυνίστησι τὸ πρόσωπον ἀναγκαίως, ἵνα μὴ λάβωσι χώραν αἱ τοῦ Μειδίου διαβολαί. πένης δὲ εἶπεν· οὐ γὰρ χρὴ τὰ πρόδηλα ἀρνεῖσθαι. Καὶ ἀπράγμων) Συνῆψε [c] τῷ πράγματι τὴν ἀπραγμο-
151 σύνην, ἵνα τὴν ἐναντίαν δόξαν ἀφέληται. Ἄλλως δ᾽ οὐ πονηρός) Τὴν μὲν τύχην, πονηρός, οἱονεὶ δυστυχής. τὸν δὲ τρόπον οὐ πονηρός. ἐστέρησε δὲ τὰ μέν, κατὰ θέσιν. τὰ δέ, ἐξ ἀναιρέσεως, ὡς φεύγων τὸ προσκορές. Ἀλλὰ καὶ πάνυ χρηστός) Τὸν
152 ἀφελῆ [d] νοῦν καὶ ἁπλοῦν, ἐπαινεῖν ἔοικεν, ἵνα δείξῃ καταφρονηθέντα τὸν Στράτωνα παρὰ τοῦ Μειδίου. Ὅπερ 152
τὸν ταλαίπωρον οὐκ ὀρθῶς) Ἐπειδὰν προφάσει τοῦ Μειδίου, λέγοντος ὅτι διὰ τὴν πονηρίαν κατεγνώσθη, ὁ ῥήτωρ προβάλλεται. σὺ συγχεῖς, φη-
153 σίν, ὦ Μειδία τὰ πράγματα, τὴν ἐπιείκειαν συμφορᾶς ἀπεργασάμενος πρόξενον. τὸ δὲ ἀπολώλεκεν, ἐπὶ τῆς ἀτιμίας φιλεῖ λέγειν ὁ ῥήτωρ, ὅτι περ ἐγγὺς θανάτου καθέστηκεν. Ἐπειδή ποθ᾽ ἧκεν ἡ κυρία)

[c] τῇ πενίᾳ. γρ.
[d] νοῦν. γρ.

Ἵνα μὴ ἄφνω συμβᾶσα, συγγνώμην ποιήσῃ τῷ Μειδίᾳ, ὡς ἄρα εἰκότως ἠγνόησεν. Ὑπωμοσίαι, καὶ παραγραφαί) Ὑπωμοσίαι, ὅρκοι ἀναβολὴν τῆς δίκης πορίζόμενοι, ἐάν τις προφασίζηται ἢ νόσον, ἢ θάνατον οἰκείων, ἢ ὅλως τῆς τύχης ἐπήρειαν. καὶ ἡ παραγραφὴ δέ, ἄλλη ἀναβολῆς πρόφασις, ἢ τόπον, ἢ πρόσωπον παραγραφομένη ἢ χρόνον. Ἄλλως. Εἰς τὸ αὐτό. Ἔδει τὸν μέλλοντα κατηγορεῖν, εἰ πάντα ἕτοιμα ἔχει τὰ πρὸς τὸν ἀγῶνα, ἐρωτᾶσθαι· εἰ δὲ συνέφησεν ἐκεῖνος, ὅρκον ἀπῃτεῖτο λοιπὸν ὑπὲρ τοῦ ἐπεξελθεῖν. εἰ μὲν οὖν [e] ὁμόσας εἰσήγετο. εἰ δὲ ᾔτησέ τινα χρόνον ὑπὲρ τοῦ ἐπισκέψασθαι, ἔμενεν ἡ γραφή. ἐκαλεῖτο δὲ τὸ τοιοῦτον, ὑπωμοσία. διεξεληλύθει οὖν, φησίν, ἡ ὑπωμοσία, τουτέστιν οὐκ ἦν ἐν μετεώρῳ τὰ τῆς κατηγορίας. ὀμωμόκειν γάρ. ἀλλὰ καὶ παραγραφαὶ διεξεληλύθεσαν. πολλάκις γὰρ οἱ ἀντίδικοι παρεγράφοντο. οὐ πρὸς διαιτητήν με κρίνεσθαι δεῖ, ἀλλὰ πρὸς ἄρχοντα, ἢ θεσμοθέτην. οὐ σὲ δεῖ κατηγορεῖν, ἀλλ᾽ ἕτερον. οὐ νῦν, ἀλλ᾽ αὖθις, καὶ τὰ τοιαῦτα. ταῦτα οὖν διεξεληλύθει. τουτέστιν, εἴ τινας εἶχε παραγραφὰς ὁ Μειδίας, πεπληρώκει, καὶ ὡμολογεῖτο σαφῶς, ὅτι χρὴ πρὸς διαιτητὴν δικάσασθαι. ταῦτα δὲ ὁ ῥήτωρ φησί, βουλόμενος δεῖξαι ὅτι Μειδίᾳ οὐδεμία ἦν πρόφασις, τοῦ μὴ ἀπαντῆσαι, δι᾽ ὧν συνίστησιν, ὅτι δικαίως
αὐτοῦ κατεδιῄτησεν ὁ Στράτων. Ἐπισχεῖν ἐδεῖτό μου) Οὐχ ὁ Μειδίας· οὐ γὰρ παρῆν. ἀλλ᾽ ὁ Στράτων, δηλονότι λέγων, 153
ἴσως ἥξει μετὰ μικρόν. μὴ σπεῦδε. μὴ ἀθύμει. ἵνα λύσῃ τὴν ἐναντίαν δόξαν, ἣν ὑπέσπειρεν ὁ Μειδίας περὶ τοῦ Στράτωνος, ὡς ἔστιν ἐχθρὸς αὐτοῦ, δείκνυσι καὶ ὑπὲρ Μειδίου πράττοντα τὸν Στράτωνα. βραδύνοντος γὰρ τούτου, παρεκάλει με ἐπισχεῖν, ἐπαγγελλόμενος, ὅτι ἴσως ἥξει. Ἔπειτα εἰς τὴν ὑστεραίαν [f] ἀναβαλέσθαι) Ἤδη με καὶ τὴν προθεσμίαν ἠξίου παραβαίνειν ὁ Στράτων, φάσκων ὅτι οὐδὲν ἐκ μιᾶς ἡμέρας γενήσεται βλάβος. αὔριον ἀκουσόμεθα. Ὡς οὔτ᾽ ἐγὼ [g] συνεχώρουν) Πολιορκούμενον εἰσάγει πανταχόθεν τὸν Στράτωνα Δημοσθένης, [h] ἀπειθοῦντος Μειδίου. πρόδηλοι οὖν πάντες.

[e] ὤμοσεν.
[f] ἀναβαλέσθαι.
[g] οὐκ ἀπαντῶντος.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῆς δ᾽ ὥρας ἐγίγνετο ὀψέ, κατεδιῄτησεν. ἤδη δὲ ἑσπέρας οὔσης καὶ σκότους, ἔρχεται Μειδίας οὑτοσὶ
154 πρὸς τὸ τῶν ἀρχόντων οἴκημα, καὶ καταλαμβάνει τοὺς ἄρχοντας ἐξιόντας, καὶ τὸν *Στράτωνα ἀπιόντα ἤδη, τὴν ἔρημον δεδωκότα, ὡς ἐγὼ τῶν παραγενομένων τινὸς ἐπυνθανόμην. τὸ μὲν οὖν πρῶτον οἷός τ᾽ ἦν πείθειν αὐτὸν, τὴν δίκην, ἣν καταδε-
155 διῃτήκει, ταύτην ἀποδεδιῃτημένην ἀποφαίνειν, καὶ τοὺς ἄρχοντας μεταγράφειν. καὶ πεντήκοντα δραχμὰς αὐτοῖς ἐδίδου. ὡς δ᾽ ἐδυσχέραινον οὗτοι τὸ πρᾶγμα, καὶ οὐδετέρους ἔπειθεν, ἀπειλήσας καὶ διαλοιδορηθεὶς, ἀπελθὼν, τί ποιεῖ; καὶ θεάσασθε τὴν
156 κακοήθειαν. τὴν μὲν δίαιταν ἀντιλαχὼν, οὐκ ὤμοσεν· ἀλλ᾽ εἴασε καθ᾽ *ἑαυτοῦ κυρίαν γενέσθαι. καὶ ἀνώμοτος ἀπηνέχθη. βουλόμενος δὲ τὸ μέλλον λαθεῖν, φυλάξας τὴν τελευταίαν ἡμέραν τῶν διαιτητῶν, τὴν τοῦ θαργηλιῶνος ἢ τοῦ σκιροφοριῶνος γιγνομένην, εἰς
157 ἣν ὁ μὲν ἦλθε τῶν διαιτητῶν, ὁ δ᾽ οὐκ ἦλθε, πείσας τὸν πρυτανεύοντα δοῦναι *τὴν* ψῆφον παρὰ πάντας

* στράτωνα ε.
* αὐτοῦ α.
* α.

153 ὅτι ἄκων κατεδιῄτησε. Τῆς δ᾽ ὥρας ἐγίγνετο) Τουτέστιν ἡ δικάσιμος ὥρα τῶν διαιτητῶν παρεληλύθει. Κατεδιῄτησε) Μετὰ δυσχερείας ἀναγνωστέον· οὐ γὰρ ἔχων ὅ,τι ποιήσῃ, καὶ ποῖ τράπηται, καὶ ἄκων κατεδιῄτησεν. Ἤδη δὲ ἑσπέρας οὔσης καὶ σκότους) Οὐχ ἁπλῶς ἑσπέρας, ἀλλὰ καὶ νυκτὸς ἀρξαμένης. διὰ τοῦτο γὰρ τὸ σκότος ἐπήνεγκε. κακοήθειαν δὲ κατηγορεῖ τοῦ Μειδίου. τοιαύτην γὰρ ὥραν ἀπήντησεν, ἐν ᾗ ἐδόκει ἀπαντᾶν, καὶ μὴ ἀπαντᾶν. ἀπαντᾶν μὲν, ἵν᾽ ἔχῃ τοῦ διαιτητοῦ κατηγορεῖν, ὅτι ἀπαντήσαντος τὴν ἐρήμην κατεδιῄτησε. μὴ ἀπαντᾶν δὲ, ἵνα μὴ καταλαβὼν ἐμὲ προδήλως
154 ἡττηθῇ. Πρὸς τὸ τῶν ἀρχόντων οἴκημα) Ὅπου συλλέγονται οἱ ἄρχοντες, ἵνα εἴ τις δέοιτο αὐτῶν, εὑρίσκωνται. ἔδει γὰρ τὴν διαιτηθεῖσαν δίκην, ὑπογεγράφθαι παρὰ τῶν ἀρχόντων. ἐκεῖ μὲν οὖν κατέλαβε τὸν διαιτητὴν ἤδη ἀναχωροῦντα. οὐκοῦν εἰ σκότους ὄντος τότε ἀνεχώρει, πρόδηλον ὅτι βραδέως κατεδιῄτησεν. Ὡς ἐγὼ τῶν παραγενομένων τινός) Τὴν σεμνότητα καὶ τὴν σωφροσύνην τὴν ἑαυτοῦ δείκνυσιν, ὅτι σκότους ὄντος οὐ παρῆν, ἀλλ᾽ οἴκοι διετέλεσεν. Οἷός τ᾽ ἦν πείθειν αὐτόν) Ἐπειρᾶτο καὶ ἐπεχείρει πείθειν αὐτοὺς, κοινῇ μεταθεῖναι τὴν ψῆφον τὴν καταδικάσασαν, καὶ ποιῆσαι αὐτὴν ἀποψήφισιν· τοῦτο γάρ ἐστι τὸ μεταγράφειν τὴν ὑπο-
155 γραφὴν τῆς διαιτήσεως. Ὡς δ᾽ ἐδυσχέραινον οὗτοι) Πολλὴν δικαιοσύνην τοῖς ἄρχουσιν ἐμαρτύρησεν, ὅτι ἐχαλέπαινον θέλοντος χρήμασιν αὐτοὺς τοῦ Μειδίου διαφθείρειν. εἶτα οἱ μὲν ὀλίγοι πολλὰ χρήματα λαμβάνοντες, οὐ προσήκαντο, ὑμεῖς δὲ τοσοῦτοι τὸ πλῆθος ὄντες ὀλίγα λήψεσθε; τοῦτο γὰρ βούλεται κατασκευάζειν. Καὶ οὐδετέρους ἔπειθεν) Οὔτε τὸν ἄρχοντα, οὔτε τὸν Στράτωνα. ἔπαινον ποιεῖται τῆς γνώμης αὐτῶν ὅτι οὐδὲ αὐτῆς ἠνείχοντο τῆς ἀκοῆς. ἀξίωμα δὲ περιέθηκεν ἴσον, καὶ τὴν αὐτὴν δικαιοσύνην τῷ τε Στράτωνι, καὶ τοῖς θεσμοθέταις.

Ἀπειλήσας καὶ διαλοιδορηθείς) Ἀντὶ τοῦ οὐδὲν εἶδος λοιδορίας ἀφείς. ὁ δὲ τοῖς ἄρχουσι τῆς πόλεως ἀπειλῶν καὶ λοιδορούμενος, ἐφ᾽ οἷς θάνατος ὥρισται, πῶς ἂν ἐφείσατο τοῦ χορηγοῦ. Ἀπελθὼν τί ποιεῖ) Θαυμάζει τὴν
156 εὕρεσιν. ἐκπλήττεται τὴν ἐπίνοιαν. διὸ καὶ λέγει, θεάσασθε τὴν κακοήθειαν, ἵνα καὶ ὑμεῖς θαυμάσητε. Τὴν μὲν δίαιταν ἀντιλαχὼν οὐκ ὤμοσεν) Ἔθος ἦν, τοὺς καταδικασθέντας, ἐρήμην εἰ νομίζοιεν ἀδικεῖσθαι, ἀντιλαχεῖν πρὸς τοὺς ἄρχοντας, οἷον αἰτιάσασθαι τὴν κρίσιν, καὶ φάσκειν ὡς αὖθις θέλοιεν κρίνεσθαι. οἱ δὲ τοῦτο ποιοῦντες, καὶ ὤμνυσαν, ἦ μὴν ἐπεξιέναι ταῖς ἀληθείαις. ἀντέλαχε μὲν οὖν ὁ Μειδίας, καὶ ᾐτιάσατο. οὐ μὴν ὤμοσεν. ὑπόνοιαν ἐντεῦθεν παρέχων τῷ Στράτωνι, ὡς οὐκ *ἐπεξέρχεται. δέον γὰρ ὀμόσαι, εἴπερ ἐβούλετο εἰσελθεῖν, οὐκ ὤμοσεν, ἵνα νομίζων Στράτων ὅτι ἐν μετεώρῳ ἐστὶ τὰ τῆς δίκης, μὴ παρασκευάσηται πρὸς αὐτήν. διὸ καὶ λέγει κυρίαν εἴασε γενέσθαι τὴν ψῆφον. καὶ ἀνώμοτος ἀπηνέχθη, φησί, δηλονότι παρὰ τοῖς ἄρχουσιν. Ἀλλ᾽ εἴασε καθ᾽ ἑαυτοῦ κυρίαν γενέσθαι) Σοφίζεται ἐνταῦθα. μὴ ὀμόσας γὰρ, φησίν, ἐποίησε καθ᾽ ἑαυτοῦ κυρίαν καὶ τὴν δίαιταν. καίτοι φήσειεν ἂν ὁ Μειδίας, ὅτι μὴ ὀμόσας ἐν μετεώρῳ τὴν δίαιταν εἴασε· καταγνωσθέντος δὲ αὐτοῦ παρὰ τῆς βουλῆς λέλυται καὶ διὰ τῆς διαίτης. ὁ δέ φησιν, ὅτι ἐκεῖνος οὐ θελήσας ὀμόσαι, ἐν τούτῳ συνωμολόγησε καλῶς κεκρίσθαι τὴν δίαιταν. Φυλάξας τὴν τελευταίαν ἡμέραν) Ἔδει τοὺς τὰ κοινὰ διοικοῦντας, εὐθύνας διδόναι τῶν πεπραγμένων. ἔθος δὲ ἦν ἐν ἡμέραις ῥηταῖς, εἰς ἕνα τόπον συλλέγεσθαι τοὺς διαιτητὰς, ἵνα ὁ βουλόμενος κατηγορεῖν αὐτῶν, ὡς καὶ πρὸς χάριν, ἢ δι᾽ ἔχθραν δικασάντων, ἢ διὰ κέρδος, ἕτοιμοι ὑπακούσωσι καὶ ἀποκρίνωνται. ἐξιόντος δὲ τοῦ ἐνιαυτοῦ, πρῶτον ἀπὸ τῶν διαιτητῶν ἤρχοντο· μικρότερα γὰρ ἦν τὰ ὑπ᾽ αὐτῶν διοικούμενα. ἦσαν γὰρ οἱ διαιτηταὶ τέσσαρες καὶ τετταράκοντα, καθ᾽ ἑκάστην φυλήν. οὗτοι δὲ ἐν τῷ σκιροφοριῶνι, τὰς εὐθύνας ἐδίδοσαν. ὃς ἦν ἑνδέκατος μὴν παρ᾽ Ἀθηναίοις. Μειδίας οὖν *κακούργως ἐφύλαξε τὴν τελευταίαν ἡμέραν, τὴν τοῦ σκιροφοριῶνος, ἥν τινες ἕνην καὶ νέαν, τινὲς δὲ νουμηνίαν *νομίζουσι. καὶ τότε ἧκε. καὶ διὰ τοῦτο ἔνιοι τῶν διαιτητῶν, οὐκ ἀπήντων ἐπὶ τὰς εὐθύνας, νομίζοντες ἐκβεβηκέναι τὸν μῆνα. ὅπερ ἔπαθε καὶ ὁ Στράτων. διὰ τοῦτο γὰρ αὐτὸν προλαβὼν, ἀφελῆ καὶ ἀπράγμονα ἔφησεν, ἵνα ἀκόλουθον δόξῃ τὸ μὴ περιεργάζεσθαι τὸν τοιοῦτον, μηδὲ ἀκριβῶς
157 εἰδέναι, πότε μὲν ἕνη καὶ νέα, πότε δὲ νουμηνία. οὐκοῦν δι᾽ ἀφέλειαν καὶ ἀπραγμοσύνην ἐδυστύχησε. Πείσας τὸν πρυτανεύοντα δοῦναι ψῆφον) Ἵνα μὴ δόξῃ κατηγορεῖν πάσης τῆς βουλῆς, εἰς ἕνα τὸν πρύτανιν, ἀνήγαγε τὴν μέμψιν. τί οὖν εἰ κἀκεῖνος δικαίως ἐποίησεν; ὁ δὲ, πείσας, εἰπὼν, δωροδοκίαν ᾐνίξατο. τὸ δὲ κατὰ τὸν πρυ-

* γρ. εἰσέρχεται.
* πανούργως.
* ὀνομάζουσι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νιν, τοιοῦτόν τι ἦν. ψῆφον ἐδίδου τοῖς βουλευταῖς λέγων, ὁ δεῖνα τὸν διαιτητὴν οὐκ ἀπήντησε, καίτοι κατηγορεῖ ἔχων. τί οὖν ὑμῖν δοκεῖ περὶ αὐτοῦ. καὶ οὕτως οἱ βουλευταὶ κατεψηφίζοντο. εἰσὶ δὲ ἄρχοντες τῆς βουλῆς οἱ πρυτάνεις. Κλητῆρα οὐδ᾽ ὁντινοῦν ἐπιγραψάμενος) Ὁ γὰρ διδοὺς τὴν γραφήν, προσέγραφεν ὅτι κατηγορῶ τοῦ- 157

τοὺς νόμους, κλητῆρα οὐδ᾽ ὁντινοῦν ἐπιγραψάμενος,
κατηγορῶν ἔρημον, οὐδενὸς παρόντος, ἐκβάλλει, καὶ
ἀτιμοῖ τὸν διαιτητήν. καὶ νῦν εἷς Ἀθηναίων, ὅτι Μει-
δίας ἔρημον ὦφλε δίκην, ἁπάντων ἀπεστέρηται τῶν 158
ἐν τῇ πόλει, καὶ καθάπαξ ἄτιμος γέγονε. καὶ οὔτε
λαχεῖν δίκην ἀδικηθέντα, οὔτε διαιτητὴν γενέσθαι
τῷ Μειδίᾳ, οὐδ᾽ ὅλως τὴν αὐτὴν ὁδὸν βαδίζειν, ὡς
ἔοικεν, ἔστ᾽ ἀσφαλές. δεῖ δὴ τοῦτο τὸ πρᾶγμα, ὑμᾶς
οὑτωσὶ σκέψασθαι, καὶ λογίσασθαι τί ποτ᾽ ἐστὶν ὁ πα- 159
θὼν Μειδίας οὕτως ὠμήν, τηλικαύτην ἐπεβούλευσε
λαβεῖν τῶν πεπραγμένων παρ᾽ ἀνδρὸς πολίτου δί-
κην. κἂν μὲν ᾖ τι δεινὸν ὡς ἀληθῶς, καὶ ὑπερφυές, συγ-
γνώμην ἔχειν· ἐὰν δὲ μηδέν, θεάσασθε τὴν ἀσέλ-
γειαν καὶ τὴν ὠμότητα, ᾗ καθ᾽ ἁπάντων χρῆται τῶν 160
ἐντυγχανόντων. τί οὖν ἐσθ᾽ ὃ πέπονθε; μεγάλην νὴ
Δί᾽ ὦφλε δίκην, καὶ τοσαύτην, ὥστε ἀποστερεῖσθαι τῶν
ὄντων. ἀλλὰ χιλίων ἡ δίκη μόνον ἦν δραχμῶν. πάνυ
γε. ἀλλὰ δάκνει καὶ τοῦτο, φαίη τις ἄν, ὅταν ἐκτί-
νειν ἀδίκως δέῃ. συνέβη δὲ ὑπερημέρῳ γενομένῳ λα- 151
θεῖν αὐτὸν διὰ τὸ ἀδικηθῆναι. ἀλλ᾽ αὐθημερὸν μὲν
ᾔσθετο, ὃ καὶ μέγιστόν ἐστι τεκμήριον τοῦ μηδὲν ἠδι-
κηκέναι τὸν ἄνθρωπον. δραχμὴν δ᾽ οὐδέπω μίαν
ἐκτέτικεν. ἀλλὰ μή πω τοῦτο. ἀλλὰ τὴν μὴ οὖ-
σαν ἀντιλαχεῖν ἐξῆν αὐτῷ δήπου, καὶ πρὸς ἐμὲ τὸ 162
πρᾶγμα καταστήσασθαι, πρὸς ὃν περ ἐξ ἀρχῆς
ἦν ἡ δίκη. ἀλλ᾽ οὐκ ἐβούλετο. ἀλλ᾽ ἵνα μὴ Μειδίας
ἀτίμητον ἀγωνίσηται δέκα μνῶν δίκην, πρὸς ἣν οὐκ
ἀπήντα, δέον, καὶ εἰ μὲν ἠδίκηκε, δίκην δοῦναι· εἰ δὲ μή,
ἀποφυγεῖν· ἄτιμον Ἀθηναίων εἶναι ἕνα δεῖ, καὶ μήτε 163
συγγνώμης, μήτε τοῦ λόγου, μήτ᾽ ἐπιεικείας τυχεῖν
μηδεμιᾶς, ἃ καὶ τοῖς ὄντως ἀδικοῦσιν ἅπασιν ὑ-
πάρχει. ἀλλ᾽ ἐπειδή γε ἠτίμωσεν ὃν ἐβουλήθη, καὶ
τοῦτ᾽ ἐχαρίσασθε αὐτῷ, καὶ τὴν ἀναιδῆ γνώμην,

δε, καὶ προσκαλοῦμαι τοῦτον διὰ τοῦ δεῖνος εἰς τὸ βουλευτήριον. ἵν᾽ οὖν μὴ ὁ Στράτων κατηγορήσῃ τοῦ κλητῆρος, ὡς μὴ σημήναντος, διὰ τοῦτο οὐ προσέγραψε κλητῆρα, βουλόμενος ἀπαράσκευον, καὶ ἀφύλακτον λα-
158 βεῖν τὸν Στράτωνα. Καὶ νῦν εἷς Ἀθηναίων) Παθητικῶς ἅμα καὶ πικρῶς εἶπε. παθητικῶς μέν, ἵνα οἱ Ἀθηναῖοι τὸν Ἀθηναῖον ἐλεήσωσι. πικρῶς δέ, ὅτι ὁ Ἀθηναῖος ὑπὸ τοῦ βαρβάρου καὶ ὑποβολιμαίου Μειδίου ἠτίμωται. Καὶ καθάπαξ ἄτιμος 158
159 γέγονεν) Ἀσαφὲς τὸ καθάπαξ. ἔστι δὲ τοιοῦτο. τῶν ἀτιμουμένων οἱ μέν, τὸ τρίτον μέρος τοῦ σώματος, ἠτιμοῦντο. οἱ δὲ τὰ δύο. οἱ δὲ ὁλόκληρον. καὶ οὗτοι οὐδενὸς μετεῖχον τῶν κοινῶν. τοῦτο οὖν ἐστι τὸ καθάπαξ, ἀντὶ τοῦ *ὁλόκληρος. Καὶ οὔτε λαχεῖν ἀ- *ὁλοκλήρως.
160 δικηθέντα) Φθόνον αὐτῷ κινεῖ, καὶ ὥσπερ τινὰ τύραννον διὰ τῶν ὀνομάτων δείκνυσιν. Οὐδ᾽ ὅλως τὴν αὐτὴν ὁδόν) Ἂν ἴδῃς κατὰ τὴν ἀγορὰν Μειδίαν, φεῦγε. οὐδὲ γὰρ οὐδὲ τὴν θέαν ἕξεις ἀζήμιον. Δεῖ δὴ τοῦτο τὸ πρᾶγμα) Ἐπεξεργάζεται μει-
151 ζόνως, ἵν᾽ αὐξήσας τοῦ Μειδίου τὴν ἀπόνοιαν, τοῖς δικασταῖς εἰ[illegible]εοι ἀγάγῃ τοῦ Στράτωνος. Μ[illegible]λην νὴ 160
Δί᾽ ὦφλε δίκην) Προσω[illegible]υ πλάσιν ὡς ὑπὲρ Μειδίου διαλεγομένου. Ἀλλὰ χιλίων ἡ δίκη μόνον ἦν δραχμῶν) Ψεύδη. τριακοσίων γὰρ ἦν ἡ κα-
162 ταδίκη πολλή. Συνέβη δὲ ὑπερη- 161
μέρῳ γενομένῳ) Ἀσαφὲς εἶναι δοκεῖ τοῦτο. ἔστι δὲ τοιοῦτον, ἵνα ἀδικήσῃ, ἀπέκρυψε τὴν κυρίαν ὁ Στράτων, καὶ διὰ τοῦτο ὁ Μειδίας ἔλαθεν ὑπερήμερος γενόμενος. τοῦτο δὲ τὸ νόημα, οὐκ ἀληθὲς εἶπε. διὸ καὶ τοῦτο τὸ μέρος ὠβέλισται παρὰ τῶν κριτικῶν,
163 καὶ ὡς ἀδιόρθωτον παραλέλειπται.

Ἀλλ᾽ αὐθημερὸν μὲν ᾔσθετο) Εἰπὼν ὅτι λαθεῖν αὐτῷ συνέβη ὑπερημέρῳ γενομένῳ *ληφθῆ, ἐπιτείνει τὴν λύσιν, ὅτι αὐθημερὸν ᾔσθετο ὅτι ἐνέστηκεν ἡ κυρία. Ἀλλὰ τὴν μὴ οὖσαν ἀντιλαχεῖν) Εἰ μὴ ἐβούλετο, φησιν, ἐκτῖσαι τὰς χιλίας, ὤφειλε πρὸς ἐμὲ τὴν μὴ οὖσαν ἀντιλαχεῖν, τουτέστιν, ὡς ἄδικον μὲν ποιῆσαι τὴν δίαιταν, πρὸς ἐμὲ δὲ τὸν κύριον τοῦ πράγματος, δικάσασθαι. ἐκαλεῖτο δὲ μὴ οὖσα δίκη ἡ ὡς ἄδικος, ἢ ὅτι πρότερον δοκοῦσα εἶναι καὶ κεκυρῶσθαι, ὕστερον εἰς τὸ μὴ εἶναι περιΐσταται. ἔστιν οὖν, μὴ οὖσα, ὄνομα δίκης, ἐν οἷς τις ἐξ ὑπαρχῆς ἐθέλει δικάσασθαι τὴν ἐνεχθεῖσαν κατ᾽ αὐτοῦ πρότερον ψῆφον ἀναιρῶν. Ἀλλ᾽ ἵνα μὴ Μειδίας) Τὴν ὑπερηφανίαν σημαίνει τοῦτο. Ἀτίμητον ἀγωνί- 162
σηται) Ἄλλη ἀπολογία ὑπὲρ τοῦ Στράτωνος, ὅτι οὐκ αὐτὸς ὥρισε τὴν καταδίκην, ἀλλ᾽ ὁ νόμος εἶχεν αὐτήν. ἀτίμητον γὰρ καλοῦσιν, ἣν οὐχ ὁ δικαστὴς τιμᾷ, ἀλλ᾽ ἐγγέγραπται τοῖς νόμοις. Καὶ εἰ μὲν ἠδίκηκεν) Ἵνα μὴ εἴπῃ, ὅτι τῆς ἐπιβουλῆς φανερᾶς οὔσης, ἀπαντᾶν οὐκ ἠβουλήθη. Καὶ τοῦτ᾽ ἐχαρίσασθε αὐτῷ) Φαίνεται γὰρ αὐτὸς τὸ πᾶν κατα- 163

*α.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

164 ἢ ταῦτα προαιρεῖται ποιεῖν, ἐνέπλησεν αὐτοῦ· ἐκεῖ.
ἐποίησε· τὴν καταδίκην ἐκτέτικε, "δι' ἣν τὸν ἄν-
θρωπον ἀπώλεσεν. ἀλλ' οὐδὲ "χαλκὸν οὐδέπω καὶ
τήμερον· ἀλλὰ καὶ δίκην ἐξούλης ὑπομένει "φεύ-
γων. οὐκοῦν ὁ μὲν ἠτίμωται, καὶ παραπόλωλεν, ὁ δ'
165 οὐδ' ὁτιοῦν πέπονθεν, ἀλλ' ἄνω καὶ κάτω τοὺς νό-
μους, τοὺς διαιτητάς, πάνθ' ὅσα ἂν βούληται, στρέφει.
καὶ τὴν μὲν κατὰ τοῦ διαιτητοῦ γνῶσιν, ἣν ἀπρόσκλη-
τον κατεσκεύασεν, αὐτὸς κυρίαν αὑτῷ *πεποίηκεν· ἣν * πεποίηται. a.
δ' αὐτὸς ὦφλεν ἐμοί, προσκληθείς, εἰδώς, οὐκ ἀ-
166 παντῶν, ἄκυρον ποιεῖ. καί τοι, εἰ παρὰ τῶν ἐρήμην κα-
ταδιαιτησάντων αὐτοῦ, τηλικαύτην δίκην οὗτος ἀξιοῖ
λαμβάνειν, ἵνα ὑμῖν προσήκει παρὰ τούτου λα-
βεῖν, τοῦ φανερῶς οὕτω τοὺς ὑμετέρους νόμους ἐφ' ὕ-
βρει παραβαίνοντος; εἰ γὰρ ἀτιμία, καὶ νόμων καὶ δι-
167 κῶν καὶ πάντων στέρησις, ἐκείνου τοῦ ἀδικήματος προ-
σήκουσά ἐστι δίκη, τῆς γε ὕβρεως, μικρὰ θάνατος ἔ-
μοιγε φαίνεται. Ἀλλὰ μὴν ὡς ἀληθῆ λέγω, κά-
λει μοι τούτων τοὺς μάρτυρας, καὶ τὸν τῶν διαιτητῶν
ἀνάγνωθι νόμον.

168 Μάρτυρες.

Νικόστρατος Μυρρινούσιος, Φανίας Ἀφιδναῖος, οἴδα-
μεν, Δημοσθένην, ᾧ μαρτυροῦμεν, καὶ Μειδίαν τὸν κρι-
νόμενον ὑπὸ Δημοσθένους, ὅτ' αὐτῷ Δημοσθένης ἔ-
λαχε τὴν τοῦ κατηγόρου δίκην, ἑλομένους διαιτη-
169 τὴν Στράτωνα, καὶ ἐπεὶ ἧκεν ἡ κυρία τοῦ νόμου, οὐκ
ἀπαντήσαντα Μειδίαν ἐπὶ τὴν δίαιταν, ἀλλὰ κα-
ταλιπόντα. γενομένης δὲ ἐρήμου κατὰ Μειδίου, ἐπιστά-
μεθα Μειδίαν πείθοντα τόν τε Στράτωνα τὸν διαιτη-
τήν, καὶ ἡμᾶς, ὄντας ἐκείνοις τοῖς χρόνοις ἄρχοντας,
170 ὅπως τὴν δίαιταν αὐτῷ ἀποδιαιτήσωμεν, καὶ διδόντα
δραχμὰς πεντήκοντα. καὶ ἐπειδὴ οὐχ ὑπεμείναμεν,
προσαπειλήσαντα ἡμῖν, καὶ οὕτως ἀπαλλαγέντα. καὶ
διὰ ταύτην τὴν αἰτίαν ἐπιστάμεθα Στράτωνα ὑπὸ
Μειδίου καταβραβευθέντα, καὶ παρὰ πάντα τὰ δίκαια
171 ἀτιμωθέντα. λέγε δὴ καὶ τὸν τῶν διαιτητῶν νόμον.

Νόμος.

Ἐὰν δέ τινες περὶ συμβολαίων ἰδίων πρὸς ἀλλήλους ἀμφισβητῶσι, καὶ βούλωνται
διαιτητὴν ἑλέσθαι ὁντινοῦν, ἐξέστω αὐτοῖς `αἱρεῖσθαι', ὃν ἂν βούλωνται διαιτητήν*. a.
ἐπειδὰν βούλωνται κατὰ κοινόν, μενέτωσαν ἐν τοῖς ὑπὸ τούτου διαγνωσθεῖσι, καὶ μη- *ἑλέσθαι a.
172 κέτι καταφερέτωσαν ἀπὸ τούτου ἐφ' ἕτερον δικαστήριον ταὐτὰ ἐγκλήματα· ἀλλ' *ἀναφερέτωσαν. a.
ἔστω τὰ κριθέντα ὑπὸ τοῦ διαιτητοῦ κύρια. Κάλει δὴ καὶ τὸν Στράτωνα αὐτόν,

τὸν τὰ

164 σκευάσαι. Τὴν καταδίκην ἐκτέτικεν) Εἰκότως οὐκ ἐδίδου, λέγων, ὅτι συνεχωρήθη αὐτῷ ὑπὸ τοῦ Στράτωνος. ὁ δὲ ῥήτωρ φησί· βούλεται ἀτιμῶσαι τὸν διαιτητήν, οὐχ ὅτι κακῶς ἔκρινεν, ἀλλ' ὅτι κρινόμενος οὐκ ἀπήντησεν· οὐδὲν οὖν κωλύει κυρίαν εἶναι τὴν δίαιταν, δι' ἣν αὐτὸς ἐπίτιμος ἔμεινεν. Οὐδὲ χαλκοῦν) Ὀβολόν. Ἀλλὰ καὶ δίκην ἐξούλης ὑπομένει) Τοῦ Μειδίου μηδὲ τὴν καταδίκην κυρίαν λέγοντος, ὁ ῥήτωρ ὑφαρπάζων φησίν, ἔτι βούλεται περὶ ἐξούλης δικάσασθαι. Οὐκοῦν ὁ μὲν ἠτίμωται καὶ παραπόλωλεν) Ἐπειδὴ τοῖς ἀπολωλόσιν οὐχ οἷόν τε μετεῖναι τῶν ἐν τῷ βίῳ καλῶν· οἱ δὲ ἄτιμοι δὲ τῆς τῶν κοινῶν ἀπολαύσεως οὐ μετέχουσι, διὰ τοῦτο εἶπε παραπόλωλε, τουτέστι, παρέοικε τοῖς ἀπολωλόσιν, ἢ αἰτίῳ τοῦ εὐθὺς ἀποθανεῖν. "ζῆλον
167 γὰρ μηδεὶς ἔχων τῶν ζώντων. Κάλει μοι τούτων τοὺς μάρτυρας) Τῶν εἰρημένων ἁπάντων ὅτι ἤδη τὴν κυρίαν, καὶ ὅτι τὰς πεντήκοντα δραχμὰς ἐδίδου τοῖς ἄρχουσι. Καὶ τὸν τῶν διαιτητῶν ἀνάγνωθι νόμον) Ὅτι μὲν εἰ ἀρχεῖ τῆς ἑτέρας ὀφείλει διαιτητής, μὴ φανέντος δὲ τοῦ φεύγοντος, καταδικάζειν, ἣν ὁ νόμος βούλεται καταδίκην. τοὺς μὲν οὖν μάρτυρας ἀπαιτεῖ τοῦ καὶ εἰδέναι τὴν κυρίαν τὸν Μειδίαν, καὶ τοῦ παρακαλεῖν τοὺς ἄρχοντας λαβεῖν τὰς πεντήκοντα δραχμάς, καὶ τοὺς ὅρκους αὐτὸν ἀπαιτῆσαι πρὸς τοὺς ἄρχοντας, καὶ τῶν τοιούτων. τὸν δὲ νόμον ἀναγινώσκει τῶν διαιτητῶν, ἵνα δείξῃ τοῖς δικάζουσιν, ὅτι τὸ ἐκ τῶν νόμων τίμημα κατεδίκασεν ὁ Στράτων, καὶ ὅτι κατὰ τοὺς νόμους ἐποίησεν ζημίαν αὐτοῦ καταψηφισάμενος.
172 Κάλει δὴ καὶ τὸν Στράτωνα) Φιλάνθρωπος ὁ Δημοσθένης, ὃς καὶ τοῖς ἀρχοισιν, ἐπειδὰν εὕρῃ καιρόν, πειρᾶται βοηθεῖν. ὡς καὶ ὑπὲρ Τιμάρχου πολλοὺς ἐποιήσατο λόγους, ἐν ᾧ κατ' Αἰσχίνου, καὶ νῦν ὑπὲρ Στράτωνος. ἐπειδὴ καὶ δοκοῦσιν ἀμφότεροι δι' αὐτὸν ταύταις περιπεπτωκέναι ταῖς συμφοραῖς. ὅτι οὖν ἱκανῶς ἀπελογήσατο, βούλεται καὶ οἶκτον αὐτῷ κινῆσαι παρὰ τοῖς δικασταῖς. ἴσως γὰρ οἱ δικασταί, καὶ ὅτι οὐδὲν ἀδικεῖ, πεισθέντες, καὶ πρὸς τὸ πά-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θος ἐλεήσαντες, ἀποδώσουσιν αὐτῷ τὴν ἐπιτιμίαν. ἐν τούτῳ δὲ κίνησιν καὶ ὀργὴν κατὰ τοῦ Μειδίου ποιεῖ. τί οὖν ἐποίησε. βούλεται εἰσάγειν ὡς ἐπὶ σκηνῆς τὸ πρόσωπον τοῦ παθόντος· αἱ γὰρ ὄψεις τῶν δυστυχούντων ἐξεκαλοῦντο μᾶλλον ἢ οἱ τῶν ῥητόρων λόγοι. ὑπέμνησε δὲ διὰ τοῦ ὀνόματος, τὴν συμφοράν. Τὸν τὰ τοιαῦτα πεπονθότα) Οἷα ἠκούσατε. 172

τὸν τὰ τοιαῦτα πεπονθότα. ἑστάναι γὰρ ἐξέσται δήπουθεν αὐτῷ. ἔστι, ὦ ἄνδρες Ἀθηναῖοι, πένης μὲν ἴσως ἐστὶν, οὐ πονηρὸς δέ γε. ἔστι μέντοι πολίτης ὤν, ἐστρατευμένος ἁπάσας τὰς ἐν ἡλικίᾳ στρατείας, καὶ δεινὸν 173
οὐδὲν εἰργασμένος, ἕστηκε νυνὶ σιωπῇ, οὐ μόνον τῶν ἄλλων ἀγαθῶν τῶν κοινῶν ἀπεστερημένος, ἀλλὰ καὶ τοῦ φθέγξασθαι, ἢ ὀδύρασθαι· καὶ οὐδ' εἰ δίκαια, ἢ ἄδικα πέπονθεν, οὐδὲ ταῦτ' ἔξεστιν αὐτῷ πρὸς ὑμᾶς εἰπεῖν· καὶ ταῦτα πέπονθεν ὑπὸ Μειδίου, καὶ τοῦ Μειδίου 174
πλούτου, καὶ τῆς ὑπερηφανίας, παρὰ τὴν πενίαν, καὶ ἐρημίαν, καὶ τὸ τῶν πολλῶν εἷς εἶναι. καὶ εἰ μὲν παραβὰς τοὺς νόμους ἔλαβε τὰς πεντήκοντα δραχμὰς παρ' αὐτοῦ, καὶ τὴν δίκην ἣν κατεδιῄτησεν, ἀποδεδιῃτημένην ἀπέφηνεν, ἐπίτιμος ἂν ἦν, καὶ οὐδὲν ἔχων 175
κακὸν τῶν ἴσων μετεῖχε τοῖς ἄλλοις ἡμῖν. ἐπειδὴ δὲ παρεῖδε πρὸς τὰ δίκαια Μειδίαν, καὶ τοὺς νόμους μᾶλλον ἔδεισε τῶν ἀπειλῶν τῶν τούτου, τηνικαῦτα τηλικαύτῃ, καὶ τοιαύτῃ συμφορᾷ περιπέπτωκεν ὑπὸ τούτου. εἶθ' ὑμεῖς τὸν οὕτως ὠμὸν, τὸν οὕτως ἀγνώμο- 176
να, τὸν τηλικαύτας δίκας λαμβάνοντα, ὧν αὐτὸς ἠδικῆσθαί φησι μόνον· οὐ γὰρ ἠδίκηταί γε· τοῦτον ὑβρίζοντα λαβόντες εἰς ἕνα τῶν πολιτῶν, ἀφήσετε; καὶ μηθ' ἑορ-

προσδιατέθεικε δὲ ταῖς αὐξήσεσι τὸν ἀκροατὴν, ἵνα μᾶλλον γένηται περιπαθὴς, ὡς δεινοῦ πράγματος μέλλων γίνεσθαι θεατής. Ἑστάναι γὰρ ἐξέσται δήπουθεν αὐτῷ) Ἀντίπτιλον ἔλυσε. κελεύει οὖν τὸν στράτωνα εἰς δικαστήριον παρεῖναι, καὶ μὴ ἔχειν "ὧν οἱ νόμοι κεκωλύκασι. φησὶν οὖν" σιγάτω μὲν διὰ τὸν νόμον. τῆς στάσεως δὲ αὐτῷ μετέχειν ἔξεστιν. οὐ γὰρ δὴ καὶ τούτου Μειδίας αὐτὸν ἀφαιρήσεται. ἐκ οὖν ὥσπερ ἄφωνον πρόσωπον ἐπὶ σκηνῆς βούλεται τὸ σχῆμα τὸν ἄνθρωπον μόνον δεικνύντα τοῦ πάθους ἑστάναι. δῆλον γὰρ ὅτι ὠφεληθήσεται τὰ μέγιστα. τίς μὲν γὰρ συγγενὴς θεασάμενος, οὐκ ἐλεήσει τὸν συγγενῆ; τίς δὲ πολίτης, τὸν πολίτην; τίς δὲ πρεσβύτης, τὸν πρεσβύτην; τίς δὲ δημότης, τὸν συνεκκλησιάσαντα; ὠβέλισται δὲ "καὶ ταῦτα. οὐδὲ ἐπιβῆναι γὰρ τοῖς τοιούτοις ἐφεῖται. Πένης μὲν ἴσως ἐστίν) Ὑποκριτοῦ χρείαν ἔχει ἄφωνον πρόσωπον μιμούμενος. τοιαύτην δὲ τύχην αὐτοῦ κατηγόρησεν, ἧς καὶ οἱ δικασταὶ κοινωνοῦσι· δῆλον γὰρ ὅτι οἱ πένητες, τὸν πένητα ἐλεήσουσιν. Οὐ πονηρὸς δέ γε) Συμμίγνυσι τῷ πάθει τὴν ἀπολογίαν. εἰ γὰρ χρηστὸς ὢν δεινὰ πέπονθεν, οἴκτου καὶ συγγνώμης ἄξιος. Πολίτης ὤν) Ἐπειδὴ Μειδίας ὑποβολιμαῖος, καὶ βάρβαρος, τοὺς πολίτας ἐκκαλεῖται τὸν πολίτην ἔχειν. Ἐστρατευμένος ἁπά-
σας) Οὐκοῦν τὰς ἐπιδήμους πένησι λειτουργίαν ἐπλήρωσε. λειτουργία δὲ πένητος, ἡ διὰ τοῦ σώματος εἰσφορά. Ἁπάσας τὰς 173
ἐν ἡλικίᾳ στρατείας) Πρεσβύτης ὢν τοῖς πονηροῖς ταῦτα πέπονθε, καὶ παρὰ τοιαύτην ἡλικίαν, ἐν ᾗ καὶ τοὺς ὄντως ἀδικοῦντας, αἰδεῖσθαι πεφύκαμεν. εἶτα καὶ ἐς τὰς στρατείας ἐπῄνεσε τὸν στράτωνα, διότι μέλλει μεθ' ὀλίγον, καὶ ἐς δειλίαν καὶ εἰς ἀστρατείαν σκώπτειν τὸν Μειδίαν. Καὶ δεινὸν οὐδὲν εἰργασμένος) Ἐν τῇ καθόλου διαιρέσει, καὶ τὸ παρὸν ἔδειξεν ὅτι οὐδὲ περὶ τὴν δίαιταν οὐδὲν δεινὸν ἐποίησεν. Ἕστηκε νυνὶ σιωπῇ) Τοῦτο τοῖς δυστυχοῦσι συμφέρει εἰς ἔλεον. Καὶ οὐδ' εἰ δίκαια, ἢ ἄδικα πέπονθε) Δοκεῖ μὲν ἀμφιβόλως εἰρηκέναι διότι κατέγνωσται. τὸ δὲ ἀληθὲς, αἰνίττεται, ὡς εἴπερ ἐξῆν αὐτῷ ἀπολογήσασθαι, ἔδειξεν ἂν ἑαυτὸν ἀδίκως κατεγνωσμένον. καὶ διὰ τοῦτο, οὐδεμίαν μὲν ἀπολογίαν ἀπολέλοιπεν ὑπὲρ τοῦ στράτωνος. ὡς πολλῷ πλέον "ἐξεῦρεν, ἢ στράτων ἂν ἠδυνήθη, δοθείσης ἀδείας αὐτῷ τοῦ λέγειν. ὅμως δὲ ἐπειδήπερ οἶδεν ὅτι ἀδύνατόν ἐστιν αὐτῷ φθέγξασθαι, θαρρεῖ, καὶ τὰς ὑπερβολὰς τῶν δικαίων αὐτῷ δίδωσι. Καὶ ταῦτα πέπονθεν ὑπὸ 174
Μειδίου) Τίνος. τοῦ ὑποβολιμαίου, τοῦ ἀστρατεύτου. Καὶ τοῦ Μειδίου πλούτου) Φθόνον αὐτῷ συνάγει διὰ τῆς ὑπομνήσεως τοῦ πλούτου. μισοῦσι γὰρ τοὺς τοιούτους οἱ δημόται διὰ τὴν πενίαν. Καὶ τὸ τῶν πολλῶν εἷς εἶναι) Συγκρίνει πρὸς τοὺς δικαστὰς τὸν Μειδίαν, καὶ εἰς φόβον "αὐτὸν καθίστησιν· εἰ γὰρ στράτων διὰ τὴν πενίαν ἠτιμώθη καὶ ὑμεῖς πένητες κινδυνεύετε ὑπὸ Μειδίου ἀτιμοῦσθαι, καὶ εἰς ὑμᾶς ὁρμήσει. καὶ εἰ ταῦτα πέπονθε διὰ τὸ εἶναι τῶν πολλῶν εἷς, ἐλεύσεται καὶ ἐφ' ὑμᾶς τὸ δεινόν. δι' ὧν τυραννίδα αὐτοῖς αἰνίττεται τοῦ Μειδίου. Καὶ εἰ μὲν παραβὰς τοὺς νόμους) Μισθὸν δικαιοσύνης, ἀτιμίαν ἐκομίσατο. καὶ οἱ μὲν ἄλλοι παραβαίνοντες τοὺς νόμους, κολάζονται. στράτων δὲ πεισθεὶς τοῖς νόμοις, ἠτιμώθη, καὶ τηλικαύτῃ συμφορᾷ περιπέπτωκεν ὑπὸ τούτου. Μειδίας οὖν ἐστὶν ὁ ἀτιμώσας. ἐκ οὖν ἐὰν εἰς τὴν ἀρχαίαν τύχην αὐτὸν ἐπαναγάγητε, οὐ τὴν ψῆφον τῆς βουλῆς ἀκυρώσετε, ἀλλ' ἑνὸς ἀνδρὸς Μειδίου τὴν βουλὴν ἀνατρέψετε. Εἶθ' ὑμεῖς τὸν οὕτως ὠ- 176
μόν) Ἱκανὸν ἔλεον συνάξας τῷ στράτωνι, βούλεται καὶ τὸν Μειδίου ἔλεον ἐκβαλεῖν. αἰτιῶνται δέ τινες τὸν ῥήτορα, ὅτι δεύτερον ἐχρήσατο τῇ τοῦ ἐλέου ἐκβολῇ· κέχρηται γὰρ αὐτῇ καὶ πρὸς τοῖς ἐπιλόγοις, ἐν οἷς σύγκρισιν ἔχει τοῦ Μειδίου, πρὸς αὐτὸν Δημοσθένην. τὰ γὰρ ἐκείνου παιδία, τῇ ἑαυτοῦ παιδείᾳ ἀντιτίθησι, καὶ τὰ ἐκείνου δάκρυα, οἷς αὐτὸς πέπονθε. νυνὶ δὲ οὐ πρὸς ἑαυτὸν ποιεῖται τὴν σύγκρισιν, ἀλλὰ πρὸς στράτωνα, καὶ τὰ ἐκείνου παιδία. οὐδὲν οὖν κωλύει καὶ δεύτερον χρῆσθαι τῇ τοῦ ἐλέου ἐκβολῇ, ἐπειδὰν μέλλῃ τις ἐπὶ διαφόρων "αὐτοῦ προσώπων κεχρῆσθαι. Ὧν αὐτὸς ἠδικῆσθαί φησι μόνον) Δοκεῖ μὲν καταδεδικάσθαι χιλίων δραχμῶν, τῷ δὲ μηδὲν ἐκτῖσαι, φαίνεται μηδὲν ἠδικημένος. Καὶ μηθ' ἑορ-

" ἀ.
" καὶ ταῦτα.
" ἐξεῦρεν ὁ στράτων ἂν ἠδ.
" αὐτοῖς. γρ.
" αὐτῇ. γρ.

ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

178 τῆς) Ἐν τῷ καθόλου ἐκφέρων, παραλαμβάνει καὶ τὸ καθ' αὑτόν. Τὸ γὰρ χρημάτων πολλῶν) Πάλιν ἐνταῦθα τὸν τύραννον ὑποβάλλει. τίνα γὰρ μᾶλλον εἰκὸς γενέσθαι τύραννον, ἢ τὸν ἔχοντα χρήματα πολλὰ, θρασὺν δὲ ὄντα καὶ βδελυρόν.

179 Ἐλεῆσαι νὴ Δία) Δοκεῖ νῦν ὥσπερ ἀνδρικῶς ἐπὶ τοῦ στράτωνος ἀντεξετάζειν τὸν ἔλεον. Ὁρῶν τὰ τοῦδε οὐκ ἐλεηθέντα)

180 Πρόδηλον, ὅτι οὐ πρὸς ἑαυτὸν νῦν τὴν τοῦ ἐλέου ποιεῖται ἐκβολὴν, ἀλλὰ πρὸς στράτωνα, καὶ τὰ τούτου παιδία.

Χωρὶς τῶν ἄλλων κακῶν) Ὁ νοῦς οὗτος. ἡ συμφορὰ τοῦ στράτωνος, τουτέστιν ἡ ἀτιμία, χωρὶς τῶν ἄλλων κακῶν, λέγει δὲ τῆς πενίας, ἀπορίαν ἐπιδέχεται. οὐ γάρ ἐστιν ἐξ *ὀφειλήματος ἄτιμος, ἵνα οἱ παῖδες αὐτοῦ δανεισάμενοι, ἢ μισθώσαντες αὑτοὺς, καταθῶσι τὸ χρέος, καὶ ποιήσωσιν ἐπίτιμον. Οὐ γάρ ἐστιν ὄφλημα) Εἰ μὲν ἐξῆν χρήματα καταθέντα ἀπαλλάξαι τῆς ἀτιμίας τὸν ἄνθρωπον, οὐκ ἂν ὤκνησε καταβαλεῖν. μετήνεγκε δὲ τὸν λόγον ἐπὶ τοὺς παῖδας τοῦ στράτωνος, ἵνα μᾶλλον ἐλεεινότερος φανῇ, ὅτι καίτοι πένητος παῖδες ὄντες. οὐκ ἐφείσαντο καταβαλεῖν. οὐκοῦν ἐπειδὴ οὐχ οἷόν τε χρήματα δόντα ἐπαναγαγεῖν εἰς τὴν ἀρχαίαν τύχην τὸν ἄνθρωπον, ὑμέτερον *λοιπὸν ἐλεήσαντας ἀφεῖναι.

*ὀφλήματος. γρ.

*ἔργον

181 Καὶ δι' ἃ ταῦτα ποιεῖ, χρήματα ἀφαιρεθήσεται) Τὸ μὲν ῥητὸν ἀσαφές. ἔστι δὲ τοιοῦτον. ἐὰν μειδίαν ἀπολύσητε, τοιαῦτα πράξαντα, τίς πώποτε ἄλλος ἀφαιρεθήσεται χρημάτων ἀφ' ὑμῶν, δι' ἃ πλημμελεῖ· πάντες γὰρ οἱ πλούσιοι τοῖς χρήμασιν ἐπαιρόμενοι, πλημμελοῦσιν. εἰ γὰρ μειδίου τὸν ὑπερβαλλόμενον πάντας οὐκ ἀφαιρήσεσθε τῶν χρημάτων, τίνος ἄλλου δοκοῦντος, ἀφαιρήσεσθε

182 χρήματα, δι' ἃ καὶ θρασύνεται. Οὐδεὶς γάρ ἐστι δίκαιος) Καθόλου τὴν συγγνώμην συνενεγκὼν, δείκνυσιν ὅτι οὐ διὰ τὴν ἔχθραν τὴν πρὸς μειδίαν κωλύει τὸν ἔλεον, ἀλλὰ δι' αὐτὸ τὸ δίκαιον. Ἐγὼ γὰρ οἶμαι πάντας ἀνθρώπους) Οὗτοί εἰσιν οἱ ἐπίλογοι τοῦ κατὰ τὸν στράτωνα διηγήματος, ἐν οἷς ἐκβάλλει τὸν ἔλεον τοῦ μειδίου. τηλικούτου γὰρ ὄντος τοῦ διηγήματος, εὗρε καιρὸν καὶ τοῦ τῇ τοῦ ἐλέου ἐκβολῇ χρήσασθαι· καθόλου γὰρ ἐν παντὶ παθητικῷ ζητήματι, καὶ μάλιστα ἐὰν ἴσον ᾖ τὸ κρινόμενον, καὶ τὸ πρόσωπον τὸ φεῦγον, χρηστέον τῇ τοῦ ἐλέου ἐκβολῇ. οὐ δεῖ δὲ θαυμάζειν, εἰ τοῖς αὐτοῖς ῥήμασι καὶ ἐν τῇ ἄλλῃ τοῦ ἐλέου ἐκβολῇ ἐχρήσατο. σύνηθες γὰρ τοῦτο ποιεῖν τοῖς παλαιοῖς. καὶ αὐτὸς δὲ πεποίηκεν αὐτὸ καὶ ἐν τοῖς φιλιππικοῖς, καὶ ἐν τῷ κατὰ τιμοκράτους. καὶ ἰσοκράτης ὁμοίως ἔν τε τῷ παναθηναϊκῷ,

183 καὶ ἐν τῷ περὶ ἀντιδόσεως. Οἷον ἐγώ τις οὑτοσί μέτριος) Χαρακτῆρα βίου

τῆς, μήτε ἱερῶν, μήτε νόμου, μήτ' ἄλλου μηδενὸς
177 πρόνοιαν ποιούμενον, οὐ καταψηφίσασθε; οὐ παράδειγμα
ποιήσετε; καὶ τί φήσετε, ὦ ἄνδρες δικασταί. καὶ τίνα,
ὦ πρὸς τῶν θεῶν, ἕξετε εἰπεῖν πρόφασιν δικαίαν, ἢ
καλήν; ὅτι νὴ Δία ἀσελγής ἐστι καὶ βδελυρός. ταῦτα
γάρ ἐστι τἀληθῆ. ἀλλὰ μισεῖν ὀφείλετε, ὦ ἄνδρες *δι- *ἀθηναῖοι δήπου. α.
178 κασταί, τοὺς τοιούτους μᾶλλον, ἢ σώζειν. ἀλλ' ὅτι πλού-
σιός ἐστιν; ἀλλὰ τοῦτό γε τῆς ὕβρεως αὐτοῦ σχεδὸν αἴ-
τιον εὑρήσετε ὄν. ὥστ' ἀφελεῖν τὴν ἀφορμὴν, δι' ἣν ὑ-
βρίζει, προσήκει μᾶλλον, ἢ σῶσαι διὰ ταύτην. τὸ
γὰρ χρημάτων πολλῶν, θρασὺν καὶ βδελυρὸν, καὶ τοιοῦ-
179 τον ἄνθρωπον, ἐᾶν εἶναι κύριον, ἀφορμήν ἐστιν ἐφ' ὑ-
μᾶς αὐτοὺς δεδωκέναι. τί οὖν ὑπόλοιπον. ἐλεῆσαι, νὴ
Δία; παιδία γὰρ παραστήσεται, καὶ κλαιήσει, καὶ τούτοις
αὐτὸν ἐξαιτήσεται· τοῦτο γὰρ λοιπόν· ἀλλ' ἴστε δήπου τοῦ-
θ', ὅτι τοὺς ἀδίκως τι κακὸν πάσχοντας, ὃ μὴ δυνήσον-
180 ται φέρειν, ἐλεεῖν προσήκει, οὐ τοὺς ὧν πεποιήκασι δει-
νῶν, δίκην διδόντας. καὶ τίς ἂν ταῦτ' ἐλεήσειε δικαίως,
ὁρῶν τὰ τοῦδε οὐκ ἐλεηθέντα ὑπὸ τούτου, ἃ τῇ τοῦ
πατρὸς συμφορᾷ, χωρὶς τῶν ἄλλων κακῶν, οὐδ' ἐπι-
κουρίαν οὖσαν ὁρᾷ. οὐ γάρ ἐστιν ὄφλημα, ὅ, τι χρὴ
181 καταθέντα, ἐπίτιμον γενέσθαι τοῦτον, ἀλλ' ἁπλῶς οὕ-
τως ἠτίμωται τῇ ῥύμῃ τῆς ὀργῆς, καὶ τῆς ὕβρεως τοῦ
μειδίου. τίς οὖν ὑβρίζων παύσεται, καὶ δι' ἃ ταῦτα ποιεῖ,
χρήματα ἀφαιρεθήσεται, εἰ τοῦτον μὲν, ὥσπερ δεινὰ
πάσχοντα, ἐλεήσετε· εἰ δέ τις πένης μηδὲν ἠδικηκὼς
182 ταῖς ἐσχάταις συμφοραῖς ἀδίκως ὑπὸ τούτου περι-
πέπτωκε, τούτῳ *δὲ μὴ συνοργισθήσεσθε; μηδαμῶς. *οὐδὲ. γρ.
οὐδεὶς γάρ ἐστι δίκαιος τυγχάνειν ἐλέου, τῶν μηδένα
ἐλεούντων. οὐδὲ συγγνώμης τῶν ἀσυγγνωμόνων. ἐγὼ
γὰρ *οἶμαι πάντας ἀνθρώπους φέρειν *ἀξιοῦν παρ' αὑ- *ἡγοῦμαι. ε. *ἄξιοι εἶναι.
183 τῶν εἰς τὸν βίον αὑτοῖς ἔρανον παρὰ πάνθ' ὅσα πράτ-
τουσιν, οὐ τοῦτον μόνον, ὃν συλλέγουσι, καὶ *οὗ πληρωταὶ *ὧν αἱ β.
γίγνονταί τινες, ἀλλὰ καὶ ἄλλον, οἷον ἐγώ τις οὑτοσί; μέ-
τριος πρὸς ἅπαντάς εἰμι, ἐλεήμων, εὖ ποιῶν πολ-
λούς. ἅπασι προσήκει τῷ τοιούτῳ *ταῦτα εἰσφέ- *ταῦτα
184 ρειν, *ἐάν που καιρὸς ἢ χρεία παραστῇ. ἕτερος οὑτοσί *ἐάν ποι. α.
τις βίαιος, οὐδένα δ' οὔτ' ἐλεῶν, οὐδ' ὅλως ἡγούμενος ἄν-
θρωπον. τούτῳ *τὰς αὐτὰς φορὰς παρ' ἑκάστου δίκαιον *ταῖς ὁμοίας. α.
ὑπάρχειν.

ὑπάρχειν. σὺ δὲ πληρωτὴς τοῦ τοιούτου γεγονὼς ἐράνου,
σεαυτῷ τοῦτον δίκαιος εἶ συλλέξασθαι. ἡγοῦμαι τοί-
νυν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ εἰ μηδὲν ἔτ' ἄλλο εἶχον 185
κατηγορεῖν Μειδίου, μηδὲ δεινότερα ἦν ἃ μέλλω λέ-
γειν, ὧν εἴρηκα, δικαίως ἂν ὑμᾶς ἐκ τῶν εἰρημένων καὶ
καταψηφίσασθαι καὶ τιμᾶν αὐτῷ τῶν ἐσχάτων. οὐ μὴν
ἐνταῦθ' ἕστηκε τὸ πρᾶγμα, οὐδ' ἀπορήσειν μοι δο-
κῶ τῶν μετὰ ταῦτα. τοσαύτην ἀφθονίαν οὗτος πεποίη- 186
κε κατηγοριῶν. ὅτι μὲν δὴ λειποταξίου γραφὴν κα-
τεσκεύασε κατ' ἐμοῦ, καὶ τὸν τοῦτο ποιήσοντα ἐμι-
σθώσατο, τὸν μιαρὸν, καὶ λίαν εὐχερῆ, τὸν κονιορτὸν, εὐ-
κλήμονα, ἐάσω. καὶ γὰρ οὔτ' ἀνεκρίνετο ταύτην ὁ συ-
κοφάντης ἐκεῖνος, οὔθ' οὗτος οὐδενὸς ἕνεκα ἄλλου ἐμι- 187
σθώσατο, πλὴν ἵνα ἐκκέοιτο πρὸ τῶν ἐπωνύμων, καὶ
πάντες ὁρῷεν, εὐκλήμων λουσιεὺς ἐγράψατο δημο-
σθένην παιανιέα λειποταξίου. καί μοι δοκεῖ κἂν προσ-
γράψασθαι τοῦθ' ἡδέως, εἴ πως ἐνῆν, ὅτι μειδίου μι-
σθωσαμένου γέγραπται. ἀλλ' ἐῶ τοῦτο. ἐφ' ἧ γὰρ ἐκεῖ- 188

'ποιήσαντα. α.β.ε.

σώφρονος καὶ ὀρθοτάτου ἑαυτὸν ὑποτίθεται· μειδίαν δὲ τοὐναντίον. Ἡγοῦμαι τοίνυν, ὦ ἄνδρες ἀθηναῖοι) Μέλ- 184
λων ἐφ' ἕτερα μέρη καταβαίνειν τῆς παρεκβάσεως, προοιμίῳ κέχρηται συνήθως, ὅπερ αὔξησιν ἔχει τῶν τε ἤδη λε-
χθέντων, καὶ τῶν ῥηθησομένων. καὶ γὰρ ἐπὶ τοῖς φθάσασιν, ἄξιος μεγίστης ὀργῆς, καὶ τὰ μέλλοντα λέγεσθαι χαλεπώτερα
τῶν λεχθέντων. ἔστι δὲ ταῦτα, τό, τε
λειποτάξιον, καὶ ἡ ἐφ' αἵματι γρα-
φή. πέπρακται δὲ ταῦτα μετὰ τὴν ὕ-
βριν τὴν ἐν τοῖς διονυσίοις. οὐκοῦν
συνῆψε τῇ παρεκβάσει τὰ πεντεκαί-
δεκα ὅλοις ἔτεσιν ἀφεστῶτα. τὰ μὲν γὰρ
κατὰ σκάτωνα, παιδὸς ὄντος τοῦ ῥήτο-
ρος πέπρακται. τὰ δὲ μετὰ τὴν ἑορ-
τήν, δύο καὶ τριάκοντα ὄντος ἐτῶν,
δέδωκε δὲ ἡμῖν ἐν τούτοις καθολι-
κὸν θεώρημα, συνάπτειν τὰ ὁμογενῆ
κἂν τοῖς χρόνοις διεστήκῃ· ὄντων γὰρ
ἐξαγωνίων καὶ τούτων κἀκείνων, καὶ
πάντων τῶν ἐν τῇ παρεκβάσει κειμέ-
νων, πάντα συνάγων, εἰς ἓν χωρίον
ἔταξε. Τοσαύτην ἀφθονίαν οὗτος 185
πεποίηκε) Σφόδρα τεχνικῶς, καὶ βιαί-
ως, τὸ ὑπ' ἐγκλήμασιν ἀπολογού- 'ἐπί.
μενον περιτρέπειν ταῦτα εἰς κατηγο-
ρίαν. ἔστι δὲ τὸ ἔγκλημα τὸ τυποῦν
αὐτόν, ἡ φήμη τοῦ φόνου· δοκεῖ γὰρ ἀρί-
σταρχος παρὰ τοῦ δημοσθένους ἀνα-
πεισθείς, ἀνῃρηκέναι τὸν νικόδημον.
ἦν γὰρ οὗτος τῶν περὶ τὸν εὔβουλον ἐ-
σπουδακότων· εἰκὸς δὲ ἦν τοὺς συνα-
γωνιζομένους τοῖς ἐχθροῖς, προσκό-
πτειν τὸν ῥήτορα. δεδοικὼς οὖν τὴν
φήμην, οὔτε φανερῶς ἀπελογήσατο
μηδενὸς κατηγοροῦντος· εὔηθες γάρ· οὔτε μὴν εἴασεν ἁπλῶς. οὐ γὰρ ἀνδρὸς πολιτικοῦ περιορᾶν ἑαυτὸν ἀδοξοῦντα.
τί οὖν πεποίηκεν. εὗρε τὸν παρόντα καιρόν, ἐν ᾧ σχηματίζεται καὶ τῆς κατηγορίας 'ἀποτρίψασθαι τὴν φήμην. καὶ πα- 'ἀποτρέ-
ρατίθησι τῷ μειδίᾳ τὴν αἰτίαν· εἰκὸς γὰρ τὸν ἐν πολλοῖς ἐπιβουλεύοντα καὶ ἄνωθεν ὄντα δυσμενῆ, καὶ τοιαύτας ἤδη φή- ψασθαι.
μας κατὰ τοῦ ἐχθροῦ κατασκευάζειν. λοιπὸν οὖν ἐν τῷ ἀπολογεῖσθαι κατηγορεῖ· τοῦτο γὰρ ἴδιον τῆς δημοσθένους δεινότητος,
καὶ τὰς ἀπολογίας εἰς κατηγορίας περιτρέπειν, καὶ αὖθις κατηγοροῦντα, μηδὲν ἧττον ἀπολογεῖσθαι· Ὅτι μὲν δὴ λει-
ποταξίου γραφὴν) Προκαλύμματι κέχρηται τοῦ φόνου τοῖς κατ' εὐκλήμονα πράγμασιν, ἵνα μὴ δόξῃ ἐσπουδασμένως
πρὸς ἐκεῖνο χωρεῖν. καὶ εἴληφε πρᾶγμα ὁμολογούμενον, ἵνα καὶ ἐπὶ τῶν ἀμφισβητουμένων ἀξιόπιστος δόξῃ. διὸ καὶ ἐν
παραλήψεως εἴδει τὴν εἰσαγωγὴν πεποίηται. ὅτι μὲν οὖν εὐκλήμων ἐγράψατο δημοσθένη λειποταξίου, τοῦτο εὔδηλον.
ἀλλ' ὅμως ἀξιόπιστον τὸ τοιοῦτο λέγειν περὶ ἐχθροῦ. Καὶ τὸν τοῦτο ποιήσαντα ἐμισθώσατο) Συνήθως κατασκευά-
ζει τὸ μειδίαν τοῦ διαφθείρειν, ἵν', ἐπειδὴ μέλλει λέγειν, ὅτι χρήματα ἐδίδου τοῖς τοῦ τεθνηκότος οἰκείοις, μηδεὶς ἀ-
πιστήσῃ, προειδὼς ὅτι τοιοῦτος ὁ μειδίας. καὶ αὐτὸς τοῦτο εἶπεν, ὅτι καὶ τοῖς ἄρχουσι πεντήκοντα ἐδίδου. Καὶ λίαν
εὐχερῆ, τὸν κονιορτὸν) Αντιπίπτον ἔλυσεν, ὅτι ποτ' ἂν εἵλετο εὐκλήμων ψευδῆ γραφὴν ἐνστήσασθαι, προδήλου πᾶσιν
ὄντος, ὅτι τοῖς ἡττηθεῖσιν ἀτιμία πρόσκειται, εἰ μὴ ἦν λίαν εὐχερής. καὶ ὁ κονιορτὸς διὰ τοῦτο κέκληται, οἱονεὶ ῥᾳ-
δίως πειθόμενος. οὕτω γὰρ ἡ κόνις, εὐκόλως ὑπὸ τοῦ ἀνέμου ῥιπίζεται. Καὶ γὰρ οὔτ' ἀνεκρίνετο) Οὐκ ἐτόλ-
μησε προσελθὼν ὑπὸ τῶν ἀρχόντων ἀνακριθῆναι, δηλονότι κατεγνωκὼς ἑαυτοῦ. διὸ καὶ εἰκότως προσέθηκεν, ὁ
συκοφάντης. ὑφ' ἓν δὲ ἀναγνωστέον, ἀνεκρίνετο. ἔστι γὰρ ἀνάκρισις τὸ τοιοῦτον, ὅτε τις 'ἀποθῆται γραφήν, ἀνακρί- 'ἣν ἐπήγα-
νεται πρὸ τοῦ δικαστηρίου παρὰ τοῖς ἄρχουσιν εἰ ἐπέξεισιν, εἰ μάρτυρας ἔχει, εἰ χρῄζει τοῦ παρεῖναί τινα, ἵνα πάντων γε γρ. ἣν ἀ-
εὐτρεπισθέντων, εἰσέλθῃ εἰς τὸ δικαστήριον. ὁ δὲ μὴ ἀπαντῶν ἐπὶ τὴν ἀνάκρισιν, ἐγίγνετο ἄτιμος. Πλὴν ἵν' ἐκ- πήνεγκε.
κέοιτο) Προτεθείη, καὶ πᾶσι βλέποιτο. Ὅτι μειδίου μισθωσαμένου) Ἵνα μὲν πολλὴν εὐχέρειαν καὶ ἄνοιαν δεί- 187
ξῃ τοῦ εὐκλήμονος, φησὶν ὅτι ἡδέως ἂν καὶ προσέγραψε τῇ γραφῇ, ὅτι μειδίας ἐμισθώσατο. ἵνα δὲ φύγῃ τὸ ἀπί-
θανον τοῦ νοήματος, προσέθηκεν εἰπών, εἴ πως ἐνῆν· πρόδηλον γὰρ ὅτι, οὐδὲ ὁ πάντων εὐηθέστατος τοῦτ' ἂν ἐποίησεν.

Ἐφ' ἧ γὰρ ἐκεῖνος) Ἐφ' ἧ δίκῃ. καίτοι εἰ μήτε ἀνεκρίθη, μήτε εἰσῆλθεν εἰς τὸ δικαστήριον, φαίνεται μὴ ἀψά- 188
μενος τοῦ πράγματος. οὐκοῦν οὐκ ἠτιμοῦτο, μηδὲ τὴν ἀρχὴν εἰσελθών. ὁ δὲ σοφιστικῶς συνήγαγεν, ὁ μὴ ἐλέγξας
ἐν δικαστηρίοις ἀτιμοῦται. οὗτος δὲ μὴ ἐπεξελθών, ἑαυτοῦ κατέγνω. κυριώτερα δὲ ἅ τις αὐτὸς περὶ ἑαυτοῦ βε-
βαιοῖ, τῆς ἔξωθεν καὶ τῆς παρ' ἄλλων καταγνώσεως· αὐτὸς γὰρ ἑαυτὸν ἠτίμωκε. καὶ τοῦτο λέγει, οὐχ ὅτι τῆς παρ-
ρησίας καὶ τῶν κοινῶν ἀπεστέρητο εὐκλήμων, ἀλλ' ὅτι κατὰ τὴν ἐκείνου ψῆφον περὶ αὐτοῦ πάντων ἐστέρηται· κατέγνω γὰρ
ἀτιμίαν ἑαυτοῦ μὴ ἐπεξελθών. καὶ ἔστι τοῦτο παραπλήσιον τῷ προοιμίῳ τῷ κατ' ἀνδροτίωνος. ὅπερ εὐκλήμων,
ὦ ἄνδρες ἀθηναῖοι, παθὼν κακῶς ὑπὸ ἀνδροτίωνος. καὶ ἐκεῖ φαίνεται μᾶλλον παθὼν ὁ ἀνδροτίων, ἢ ποιή-
σας. εἰ γὰρ κατηγορήσας τοῦ ψηφίσματος τοῦ εὐκλήμονος ἡττήθη, πρόδηλον ὅτι κατέβαλε τὰς χιλίας. ἀλλ' ὅμως

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φησὶν ὥσπερ Εὐκλήμων ἔπαθε κακῶς, τὴν προαίρεσιν λέγων τοῦ ἀνθρώπου. ὅτι ὅσον ἐπ' ἐκείνῳ, κακῶς ἐποίησε,
188 εἰ καὶ ἐνίκησε τὴν γραφήν. Οὐδεμιᾶς ἔγωγ' ἔτι προσδέομαι δίκης) Ὥσπερ ἀντίπαλον ἔλυσε. τί γὰρ οὖν κατηγορεῖς τοῦ Εὐκλήμονος, εἴπερ ψευδῶς ἐγράφετο; ὁ δέ φησιν, ὅτι οὐ δέομαι γὰρ ἔτι δίκης, ἀτιμωθέντος ἐκείνου. καὶ ἄτιμον καλεῖ τὸν μὴ ἔντιμον, πρὸς τὴν γνώμην ἀφορῶν τοῦ Εὐκλήμονος.

Ἀλλ' ἱκανὴν ἔχω) Μὴ λαβών, εἰληφέναι φησίν· ἀρκεῖ γὰρ αὐτῷ πρὸς τιμωρίαν, Εὐκλήμονα ἑαυτοῦ κατηγορῶν. Ἀλλ' ὃ καὶ δεινόν, ὦ ἄνδρες) Τοῦτό ἐστιν, ἐφ' οὗ παρεῖχεν ἐκ πολλοῦ τὴν σπουδήν, καὶ διὸ τοῖς προκαλύμμασιν ἐχρήσατο. ἐντεῦθεν λοιπὸν ἐρρωμένως αὐτοῦ πεποίηται τὴν εἰσαγωγήν. δεινὸν καὶ οὐκ ἀδίκημα μόνον, ἀλλὰ καὶ ἀσέβημα. καὶ ἀσέβειαν ὀνειδίζει τῷ Μειδίᾳ, ὡς [*]κατασκευάσαι τὴν φήμην. οὐκοῦν εἰ ἀσεβὴς ὁ περὶ τούτων ψευδόμενος, πολλῷ μᾶλλον ὁ κοινωνήσας. πῶς οὖν ὁ ἀσέβειαν ἑτέροις ἐγκαλῶν, αὐτὸς ἐδέξατο τὸ ἔγκλημα.
189 Τὸ γὰρ ἀθλίῳ καὶ ταλαιπώρῳ) Εἰσβαίνει λοιπὸν εἰς τὰ κατὰ τὸν Ἀρίσταρχον τὸν ἑταῖρον αὐτοῦ καὶ μαθητήν. ἦν δὲ τὸ πρᾶγμα τοιοῦτον. Νικόδημός τις ἀπὸ δήμου Ἀφιδναῖος ἐκκοπεὶς τοὺς ὀφθαλμούς, εὑρέθη νεκρός, Εὐβούλου τοῦ πολιτευομένου ὢν εἰς τὰ μάλιστα φίλος. ἐπεὶ οὖν ἐπολέμει τῷ ῥήτορι καὶ ὁ ἐκείνῳ ἐκ πολιτείας ὑπωπτεύθη, ὡς πείσας νέον ὄντα τὸν Ἀρίσταρχον ἐπιθέσθαι τῷ Νικοδήμῳ καὶ διαφθεῖραι. φοβηθεὶς μὲν διὰ τὴν ὑπόνοιαν ὁ Ἀρίσταρχος ἔφυγε. διεβάλλετο δὲ ὁ ῥήτωρ, ὑπέρ τε ἑαυτοῦ, καὶ τοῦ Ἀριστάρχου. καὶ ἔστι τι πῶς προκατασκευαζομένου στοχασμοῦ. ἐλευθεροῖ γὰρ ὁ ῥήτωρ πρότερον τὸν Ἀρίσταρχον, ὧν αἰτίαν εἶχε συνειδέναι. ὀδύρεται δὲ τῆς τύχης τὸν Ἀρίσταρχον, ὅτι τοιαύτην εἶχε φήμην. τὸ δὲ ἀληθές, τὸ καθ' ἑαυτὸν ἀποκρούεται. ἵνα μὲν γὰρ μὴ αὐτὸς ὑποπτεύηται, τῷ Ἀριστάρχῳ τὸ ἔγκλημα περιτίθησιν. αἱρετώτερον γὰρ ἕτερον δοκεῖν, ἢ αὐτὸν πεποιηκέναι. ἵνα δὲ μηδὲ ἐκεῖνος [*]ὁμολογουμένως δόξῃ τι πεπραχέναι, παραθραύει κἀκείνου τὴν φήμην. καὶ ἔοικε τοῦτο ὡς εἴρηται, τοῖς προκατασκευαζομένοις στοχασμοῖς. ὅσῳ γὰρ ἂν ἀμβλύνηται μᾶλλον τὰ κατ' Ἀρίσταρχον, τοσούτῳ πορρωτέρω αὐτὸς τῆς αἰτίας καταστήσεται. Καὶ χαλεπῆς συμβάσης αἰτίας) Ἡ συνέχεια τῶν λέξεων, τὸ οἶκτον ἐργάζεται. καὶ γὰρ ἄθλιον καὶ ταλαίπωρον ὀνομάζει. καὶ τὸ κακῆς καὶ χαλεπῆς, φαύλην ἀποφαίνει τὴν αὔξησιν τολμαν. χάριεν δὲ καὶ τὸ συμβάσης εἰπεῖν, ἀλλὰ μὴ πραχθείσης. τὸ γὰρ συμβάσης, ὡς δυστυχήματος ἔμφασιν ἔχει. συμβαίνειν γὰρ λέγομεν τὰ παρὰ τῆς τύχης. σοφώτατα δὲ καὶ τὸ [*]αἰτίαν ἐπήνεγκεν, ἵνα ψιλὴν συκοφαντίαν ἀποδείξῃ τὸ κατηγόρημα. ὁρᾷς δὲ ὅσων καὶ οἵων ἀπωθεῖται τὴν ὑπόνοιαν; σκοπεῖν ἄξιον τὴν ὑπερβολὴν τῆς φρονήσεως. οὔτε γὰρ φανερῶς ὡς κατήγορος λέγει, φίλος γὰρ ἦν. οὔτε ὡς ἀπολογούμενος, ὕποπτον γάρ. ἀλλὰ μέσως ἀμφοῖν ἐχώρησεν. ἡ δὲ αἰτία ἄδηλος, εἰ ἀληθής ἐστιν, ἢ ψευδής. δεινὰ δὲ ταῦτα καὶ εἰς αὐτὸν ἁρμόττειν τὸν Δημοσθένην· διπλοῦς γὰρ ὁ ῥήτωρ. Τὸ μὲν πρῶτον, ὦ ἄνδρες) Οὐκοῦν Μειδίας ἐστὶν ὁ τὴν περὶ τὴν φήμην καταχέας ἐν τῇ πόλει· δεῖ δὲ μὴ πιστεύειν τοῖς παρὰ τῶν ἐχθρῶν λεγομένοις. Καὶ οὔτε θεούς, οὔθ' ὁσίαν) Τοῦτο ἀπολογία δόξειεν εἶναι. ὡς οὐκ ἂν ἐφοβήθη τοὺς θεούς, ἢ τὴν ὁσίαν τηλικαῦτά που καταψευδόμενος; ὁ δὲ, ἐκ περιουσίας. ἔστι γάρ ἐστιν ἐφ' ᾧ καὶ μισήσειεν ἄν τις αὐτόν, ὅτι οὐδὲν τούτων ἐφοβήθη. ταῖς γὰρ πιθανοῖς ἀπολογίαις πολλάκις προλύειν εἰώθαμεν. Ἀλλ' οὐδὲ πρὸς οὓς ἔλεγε) Τοῦτο γὰρ ὥσπερ ἕτεροι μέρος τῆς πιθανῆς ἀπολογίας καὶ αὐτοὺς τοὺς ἀκούοντας οὐκ ἂν ᾐσχύνθη; ὁ δέ φησιν ὅτι οὐδὲ τούτους. οὐκοῦν ἐκ τούτων καὶ ἀσεβῆ καὶ ἀναίσχυντον δείκνυσι τὸν Μειδίαν.
191 Ὡς δέον, εἴ τις ὀργισθεὶς ὑπὸ τούτου) Χρώματος ἀπόδοσίς ἐστι τοῦτο. καὶ διὰ ποίαν αἰτίαν εἰς ἔτο τοιοῦτα περί που κατασκευάζει; ὅτι ἐφοβεῖτο μὴ δίκην δῷ τῆς ὕβρεως, διὰ τοῦτο ἤθελέ με προαναρπάσαι.
192 Καὶ ἐφ' αἵματι φεύγειν) Ὡς φονέα κρίνεσθαι. τὸ δὲ μηδαμῇ παρεθῆναι, ἀντὶ τοῦ ζῆν συγχωρηθῆναι, ἀλλὰ πάσαις ὑποστῆναι κατηγορίαις. Καὶ μονονοὺ προσηλῶσθαι) Τοῖς ἥλοις παραδεδόσθαι καὶ ἐσταυρῶσθαι, ἤτοι τῷ σταυρῷ προσηλῶσθαι. ἐντεῦθεν μὲν τῇ λειποταξίῳ, ἔμπροσθεν δὲ, τῇ τοῦ φόνου γραφῇ. Καίτοι ταῦθ' ὅταν [*]ἐξελεγχθῇ) Πάλιν ἐνταῦθα παθητικοῦ μέρους ἐμνημόνευσεν, ἵν' ἐκβάλλῃ τοῦ Μειδίου τὸν ἔλεον. Ὕβριζέ με χορηγοῦντα)

---

νος ἠτίμωκεν αὐτὸν οὐκ ἐπεξελθών, οὐδεμιᾶς ἔγωγ' ἔτι προσδέομαι δίκης, ἀλλ' ἱκανὴν ἔχω. ἀλλ' ὃ καὶ δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σχέτλιον, καὶ κοινὸν ἔμοιγ' ἀσέβημα, οὐκ ἀδίκημα μόνον, τούτῳ πε-
189 πρᾶχθαι δοκεῖ, τοῦτ' ἐρῶ. τῷ γὰρ ἀθλίῳ καὶ ταλαιπώρῳ κακῆς καὶ χαλεπῆς συμβάσης αἰτίας Ἀριστάρχῳ τῷ Μόσχου, τὸ μὲν πρῶτον, ὦ ἄνδρες Ἀθηναῖοι, κατὰ τὴν ἀγορὰν περιιών, ἀσεβεῖς καὶ δεινοὺς λόγους ἐτόλμα περὶ ἐμοῦ λέγειν, ὡς ἐγὼ τὸ πρᾶ-
190 γμ' εἴην δεδρακὼς τοῦτο. ὡς δ' οὐδὲν ἤνυε τούτοις, προσελθὼν τοῖς ἐπ' ἐκεῖνον ἄγουσι τὴν αἰτίαν τοῦ φόνου, τοῖς τοῦ τετελευτηκότος οἰκείοις, χρήματ' ὑπισχνεῖτο δώσειν, εἰ τοῦ πράγματος αἰτιῶντο ἐμέ. καὶ οὔτε θεούς, οὔθ' ὁσίαν, οὔτ' ἄλλο οὐδὲν ἐποιήσατο ἐμποδὼν τῷ τοιούτῳ
191 λόγῳ, οὐδ' ὤκνησεν. ἀλλ' οὐδὲ πρὸς οὓς ἔλεγεν αὐτοὺς ᾐσχύνθη, εἰ τοιοῦτο κακὸν καὶ τηλικοῦτον ἀδίκως ἐπάγει τῳ. ἀλλ' ἕνα ὅρον θέμενος πάντα τρόπον με ἀπολέσαι, οὐδὲν ἐλλείπειν ᾤετο δεῖν, ὡς δέον, εἴ τις ὑβρισθεὶς ὑπὸ τούτου, δίκης ἀξιοῖ τυχεῖν, καὶ μὴ σιωπᾷ, τοῦτον ἐξό-
192 ριστον ἀνῃρῆσθαι, καὶ μηδαμῇ παρεθῆναι, ἀλλὰ καὶ λιποταξίου γραφὴν ἡλωκέναι, καὶ ἐφ' αἵματι φεύγειν, καὶ μονονοὺ προσηλῶσθαι. καίτοι ταῦθ' ὅταν [*]ἐξελέγχηται ποιῶν, πρὸς οἷς ὕβριζέ με χορηγοῦντα,

---

Marginal notes:

[*] κατασκευάσαντι.

[*] ὁμολογημένως.

[*] γρ. τοῦ πράγματος αἰτιῶντο ἐμέ· καὶ κατωτέρω, αἰτίαν ἐπήγαγέ μοι φόνου οὐδὲν ἐμοὶ προσήκουσαν, ἵνα, καὶ τὰ ἑξῆς.

[*] σου

[*] ἐξελέγχηται

[*] ἐξελεγχθῇ

λέγομεν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἴρηται ὅτι τὸ κοινὸν παραβάλλει πανταχοῦ, ἵνα μὴ τὴν μνήμην τῶν ἰδίων ἐλαττώσῃ τὸ ἔγκλημα. Αὐτόχειρά μου 193 γεγενῆσθαι) Τοῖς ἔργοις, δι' ὧν ἐποίει, τὸ αὐτοῦ μέρος πεφόνευμαι. ἅπερ δὲ αὐτῆς ἐγκαλεῖται, ταῦτα τῷ μειδίᾳ οἷς. περιτρέπει, τουτέστι, τὸ φόνοις ποιεῖν, καὶ ἀποκλινῶσαι. καὶ ηὔξησε τὴν κατηγορίαν. αὐτὸς μὲν γὰρ αἰτίαν εἶχεν, ὡς συνειδώς. τὸν δὲ μειδίαν αὐτόχειρά φησι γεγενῆσθαι. εἰ γὰρ ἓν ὧν με ἐπεβούλευσεν, ἐποίησεν, ὡς αὐτόχειρ ἂν ἐνομίζετο. καὶ γὰρ ἐξ ὧν ἤλπιζέ με διαφθεῖραι, ταῦτα κατεσκεύασεν. Εἰ 194 γὰρ ἐάν τις παρὰ πάντας τοὺς νόμους ὑβρισθεὶς) Πάλιν αἰτίαν ἀποδίδωσι, δι' ἣν εἰκὸς ἦν κατασκευάζειν ταῦτα τὸν μειδίαν. ἐπειδὴ γὰρ οὐκ ἀρκεῖ τὰ πράγματα δοκεῖ λέγειν, διὰ τοῦτο συνεχῶς τὰς αἰτίας ἀποδίδωσι. Προσκυνεῖν τοὺς ὑβρίζοντας) Οἱ γὰρ ἐκεῖ δυναστεύοντες, οἷς ἔξεστιν ὑβρίζειν ὅταν βούλωνται, καὶ ὃν ἂν θέλωσιν, ὑπὸ τῶν παθόντων προσκυνοῦνται. 195 Ὥσπερ ἐν τοῖς βαρβάροις) Μνημονεύσας τῶν βαρβάρων, τὸν μειδίαν ὠνείδισε· βούλεται γὰρ μὴ ἀθηναῖον, ἀλλ' ὑποβολιμαῖον εἶναι καὶ βάρβαρον. οὐκοῦν, τίς ἔσται ὁ προσκυνούμενος, ὁ ὑβρίζειν πεφυκώς, καὶ αὐτόδικος, καὶ ἀνυπεύθυνος, οἷος ὁ μειδίας τυραννήσει ἄρα μειδίας, νῦν ἀποφυγών. Ἀλλὰ μὴν ὡς ἀληθῆ λέγω) Βούλεται μάρτυρας παρασχέσθαι, ὅτι χρήματα μειδίας ἐδίδου τοῖς τοῦ τετελευτηκότος οἰκείοις, ὥστε κατηγορεῖν δημοσθένους.

Λάβε δή μοι καὶ τὸν περὶ τῶν δώρων νόμον) Ὁ μὲν νόμος οὗτος ἐστὶ μὴ ἐξεῖναι δῶρα διδόναι, μήτε λαμβάνειν ἐπὶ διαφθορᾷ. κέχρηται δὲ ἑκατέροις τοῖς μέρεσι τὴν ἁρμόττουσαν χρείαν προσυνάγων. καὶ πρότερον μὲν τὸ μὴ διδόναι. καὶ πῶς δὲ ἡ χρεία παρέσχεν μάρτυρας, ὅτι μειδίας ἐδίδου χρήματα τοῖς τοῦ τετελευτηκότος οἰκείοις. εἰκὸς δὲ τούτοις τοὺς μάρτυρας χρήμασι πεισθέντας ὑπὸ τοῦ δημοσθένους, τὰ ψευδῆ μαρτυρεῖν. οὐκοῦν πρὸς ἀμφότερα χρήσιμος ἡ ἀνάγνωσις τοῦ νόμου. διότι θανάτου τῆς ζημίας ὡρισμένης κατὰ τῶν διαφθειρόντων, ὡς αὐτός φησιν, οὐδ' ὅμως ἐδίδου χρήματα. ἀπωθεῖται δὲ τὴν

τίνος συγγνώμης, ἢ τίνος ἐλέου δικαίως τεύξεται παρ' ὑμῶν; ἐγὼ μὲν γὰρ αὐτόν, ὦ ἄνδρες ἀθηναῖοι, νο- 193
μίζω αὐτόχειρά μου γεγενῆσθαι τούτοις τοῖς ἔργοις. καὶ τότε μὲν τοῖς διονυσίοις τὴν παρασκευὴν καὶ τὸ σῶμα, καὶ τὰ ἀναλώματα ὑβρίζειν, νῦν δὲ τούτοις, οἷς ἐποίει, καὶ διεπράττετο, ἐκεῖνά τε, καὶ τὰ λοιπὰ πάντα, τὴν πόλιν, τὸ γένος, τὴν ἐπιτιμίαν, τὰς 194
ἐλπίδας· εἰ γὰρ ἓν ὧν ἐπεβούλευσε, κατώρθωσεν, ἁπάντων ἂν ἀπεστερήμην ἐγώ, καὶ μηδὲ ταφῆναι προσυπῆρχεν οἴκοι μοι. διὰ τί, ἄνδρες δικασταί· εἰ γάρ, ἐάν τις παρὰ πάντας τοὺς νόμους ὑβρισθεὶς ὑπὸ μειδίου, βοηθεῖν αὐτῷ πειρᾶται, ταῦτα καὶ τοιαῦτα ἕ- 195
τερ' αὐτῷ παθεῖν ὑπάρξει, προσκυνεῖν τοὺς ὑβρίζοντας, ὥσπερ ἐν τοῖς βαρβάροις, οὐκ ἀμύνασθαι, κράτιστον ἔσται. Ἀλλὰ μήν, ὡς ἀληθῆ λέγω, καὶ προσεξείργασται ταῦτα τῷ βδελυρῷ τούτῳ, καὶ ἀναιδεῖ, κάλει μοι τούτων τοὺς μάρτυρας. 196

Μάρτυρες.

ἀντίλοφος. α Διονύσιος ἀφιδναῖος, ἀντίφιλος παιανιεύς, διαφθαρέντος νικοδήμου τοῦ οἰκείου ἡμῶν βιαίῳ θανάτῳ ὑπὸ ἀριστάρχου τοῦ μόσχου, ἐπεξῆμεν τοῦ φόνου τὸν ἀ-
ρίσταρχον. αἰσθόμενος δὲ ταῦτα μειδίας, ὁ νῦν κρινό- 197
μενος ὑπὸ δημοσθένους, ᾧ μαρτυροῦμεν, ἔπειθεν ἡμᾶς διδοὺς κέρματα, τὸν μὲν ἀρίσταρχον ἀθῷον ἀφεῖναι, δημοσθένους δὲ τὴν γραφὴν τοῦ φόνου παραγρά-
δώρων. α. β. ε ψασθαι. Λάβε δή μοι καὶ τὸν περὶ τῶν δωρεῶν νό-
μον. Ἐν ὅσῳ δὲ τὸν νόμον, ὦ ἄνδρες ἀθηναῖοι, λαμ- 198
βάνει, βούλομαι μικρὰ πρὸς ὑμᾶς εἰπεῖν, δεηθεὶς ὑ-
α. μῶν ἁπάντων πρὸς θεῶν, ὦ ἄνδρες δικασταί,

ὑπόνοιαν τὴν κατ' αὐτὸν τοῦ δοκεῖν διεφθαρκέναι χρήμασι τοὺς μάρτυρας· ὁ γὰρ εἰδὼς τὴν κειμένην ζημίαν ἐπὶ τοῖς διαφθείρουσι, πῶς ἂν αὐτὸς διέφθειρε. διὰ τοῦτο καὶ μετὰ τὴν μαρτυρίαν εὐθὺς ἀνέγνω τὸν νόμον, ἵνα μὴ συγχωρήσῃ τινὰ ταύτην κατ' αὐτοῦ λαβεῖν τὴν ὑπόνοιαν. Ἄλλως, εἰς τὸ αὐτό. Εἰ μὲν γὰρ περὶ αὐτοῦ τοῦ φόνου νῦν ἡ κρίσις ἦν, τάχα ἂν ὤκνησε ψευδεῖς παρασχέσθαι μάρτυρας. ἐπειδὴ δὲ ὡς ἐν παρέργῳ περὶ τῆς φήμης ἀγωνίζεται, ἀκίνδυνον ἡγεῖται καὶ τὸ ψεύδεσθαι τοὺς μάρτυρας. ἵνα δὲ μὴ ὑποψία γένηται τῆς διαφθορᾶς, ἀνέγνω τὸν νόμον. καὶ ὅπερ αὐτὸς πεποίηκε, κατηγορεῖ τοῦ μειδίου, ἵνα μὴ μόνον ἀπώσηται ὑπόνοιαν, ἀλλὰ καὶ ἐπ' αὐτῷ τούτῳ δίκην παρὰ τοῦ ἐχθροῦ κομίσηται, φανερᾶς γινομένης τιμωρίας ἣν ὥρισεν ὁ νόμος κατὰ τῶν διαφθειρόντων. καὶ τῷ μὲν προτέρῳ μέρει τοῦ νόμου, τουτέστι, τὸ μὴ διδόναι χρήματα πρὸς τούτοις χ. τῶ κέχρηται. τῷ δὲ δευτέρῳ, τοῦ μὴ λαβεῖν, πρὸς τοὺς δικαστάς. φοβεῖται γὰρ μὴ χρήματα λαβόντες καταχαρίσωνται τὸν ἀγῶνα. Ἐν ὅσῳ δὲ τὸν νόμον) Ἀπὸ σχήματος ἤρξατο βουλόμενος γὰρ αὐτοῖς διαλεχθῆναι περὶ τοῦ μὴ λαβεῖν, ἵνα μὴ δόξῃ κατὰ 198 σπουδὴν ἐπὶ τοῦτο ἥκειν, πρόφασιν ἐξεῦρε τὴν ἀσχολίαν τὴν περὶ τοῦ νόμου ζήτησιν. Δεηθεὶς ὑμῶν ἁπάντων) Ἐπειδὴ προσπέπληγεν οὐ δύναται τοῖς δικασταῖς, ἐπὶ δέησιν καταφεύγει ἡγούμενος δὲ μικρὰν εἶναι τὴν δέησιν πρὸς πειθώ, διὰ τοῦτο τὸν ὅρκον προσέθηκεν. εἰ γὰρ ὀμωμόκατε ψηφιεῖσθαι κατὰ τοὺς νόμους, ὁ δὲ νόμος κωλύει χρήματα λαμβάνειν, οὐ καιρὸς ὑπό-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

198 μνήσις περὶ τῆς ἀναγνώσεως τοῦ νόμου. Περὶ πάντων, ὧν ἂν ἀκούσητε) Διὰ τούτων τὴν ῥημάτων, αὐτοὺς κωλύει
χρήματα λαμβάνειν· ἃ γὰρ ἂν αὐτοὶ παθόντες ἠξίωσαν τοὺς δικαστὰς μὴ προδοῦναι τὸν ἀγῶνα, δηλονότι καὶ νῦν ἂν
[1] οἰκτισμὸς οὕτω διατεθῶσιν ὡς αὐτοὶ πεπονθότες, οὐ λήψονται χρήματα. Εγὼ γὰρ ἐνηνοχὼς χαλεπῶς) Αναγκαῖος ὁ [1] οἰκτιρμὸς καὶ
168 ἡ δείνωσις τῶν παθῶν· ἀξιοῖ γὰρ αὐτοὺς
[*] οὕτω. [*] ὥστε διατεθῆναι, ὡς αὐτοὺς πεπονθότας. πῶς δ' ἂν γένοιντο περιπαθεῖς, μὴ πολλῶν ἐλεεινῶν, καὶ ὑπερβαλλόντων αὐτοῖς κακῶν ὑποδειχθέντων;
200 Καὶ χρῷτο τῷ πλουτεῖν) Ἐπειδὴ τοῖς πλουσίοις ἀνεπίφθονον παρασκευάζει τὴν δαπάνην. Καὶ γὰρ αἰτίαν ἐπήγαγέ μοι) Τὸ ἔγκλημα τὸ καθ' ἑαυτοῦ μεγίστης κατηγορίας ἀφορμὴν
202 κατὰ τοῦ μειδίου πεποίηκε. Ὡς τὸ πρᾶγμα αὐτὸ ἐδήλωσεν) Ἔφυγε γὰρ ὁ ἀρίσταρχος οὐχ ὑπομείνας τὴν κρίσιν. οὐκοῦν ἐκεῖνος ἦν ὁ ποιήσας. ποτὲ μὲν γὰρ ἐκεῖνος εἶναί φησι τὸν ποιήσαντα. ἵνα δὲ μὴ δ' ἐκεῖνος δοκῇ ποτὲ, καὶ ἀπ' ἐκείνου τὴν αἰτίαν ὑποθραύει. μετ' ὀλίγον γὰρ πάλιν ἀπολογεῖται ὑπὲρ τοῦ ἀριστάρχου. Καὶ γραφὴν λειποταξίου με ἐγράψατο) Δειλὸς ὁ δημοσθένης ἐδόκει αὐτὸς δὲ τὴν δειλίαν εἰς τὴν προκειμένην ἀρετὴν μεταβάλλει, τὸ αὐτοῦ εὐλαβὴ εἶναι. λειποτακτεῖν δὲ ἔδοξεν ἐν τοῖς περὶ εὔβοιαν.
Τρεῖς αὐτὸς τάξεις λελοιπώς) Ἐρεῖ τὰς τρεῖς αὐτὸς μετ' ὀλίγον. ὅτι ἵππαρχος χειροτονηθεὶς, οὐ συνεξῆλθε τοῖς στρατιώταις· ὅτι τριήραρχος ὤν, ἐξ εὐβοίας, οὐ παρέπεμψεν ἐκ στρατοῦ, μόνος τῶν ἄλλων τριηράρχων. Καὶ τῶν ἐν εὐβοίᾳ πραγμάτων) Ὅπου τὸ στράτευμα τῶν ἀθηναίων. Ἃ πλούταρχος, ὁ τούτου ξένος) Αἰτίαν εἶχεν ὁ δημοσθένης, ὡς αἴτιος τῆς εὐβοέων ἀποστάσεως. αἰτοῦντος γὰρ πλουτάρχου βοήθειαν, ἀντεῖπεν ὁ δημοσθένης. οἱ δὲ ἀθηναῖοι οὐδὲν ἧττον ἀπέστειλαν. ὑποπτεύσαντες οὖν οἱ εὐβοεῖς ἐπὶ καταδουλώσει τῆς νήσου βεβοηθηκέναι, καὶ οὐ διὰ τὴν ἐξ ἀρχῆς φιλίαν, ἀπέστησαν.
203 Διὰ πλουτάρχου γεγονός) Ταύτην, φησὶν, ἔλαβον τὴν ὑπόνοιαν, ὦ δημόσθενες, διὰ τὸ σὲ κωλύειν βοηθεῖν· ὁ δὲ δημοσθένης ὅτι πλούταρχός ἐστιν ὁ ἀποστήσας τὴν νῆσον. καὶ δῆλον ἐκ τοῦ τοὺς ὑμετέρους στρατιώτας αὐτὸν παραδοῦναι τοῖς μισθοφόροις τοῖς ἑαυτοῦ πρὸς τὸ ἐκτίσαι τὸν μισθόν. οὐκοῦν εἰ πλούταρχος ἀπέστησε, φίλος δὲ μειδίας πλουτάρχου, μειδίας ἄρα αἴτιος τῆς ἀποστάσεως. Καὶ τελευτῶν βουλεύειν μου λαχόντος) Σιωπᾷ τὸ ἔγκλημα, ἐφ' ᾧ αὐτοῦ κατηγόρει μειδίας, ἵνα μὴ αὐτὸς ἀναμιμνήσκειν καθ' ἑαυτοῦ
204 δοκῇ. Οὐκ ὢν οὔτε τῶν ἐρημοτάτων) Ἐνταῦθα πάλιν φοβεῖ τοὺς ἀθηναίους· μόνου γὰρ δημοσθένους ἐστὶ, τὸ διὰ τῶν ἐναντίων αὔξειν τὸ σπουδαζόμενον. καὶ πρὸ μικροῦ μὲν ἱκέτευε, νῦν δὲ φοβεῖ. διὰ τοῦτο γὰρ καὶ διονύσιος αὐτὸν πρῶτον ἐκάλεσεν, ὅτι εἰς πολλὰ ἐναντία μορφοῖ τὸν λόγον, νῦν μὲν ἱκετεύων, νῦν δὲ οἰκτιζόμενος, μετ' ὀλίγον προτρέπων, αὖθις φοβῶν, ὃ δὴ καὶ νῦν πεποίηκε· φοβεῖ γὰρ τοὺς ἀθηναίους ἐπὶ τοῖς μέλλουσιν· εἰ γὰρ ἐγώ, καίτοι φίλους ἔχειν δοκῶν, καὶ μὴ ὢν παντάπασιν ἔρημος, οὐ δύναμαι δίκην λαβεῖν, τί ποιήσετε ὑμεῖς, οἱ ἄποροι καὶ ἔρημοι; Οὐ μέτεστι τῶν ἴσων) Τοῖς πολλοῖς

περὶ πάντων, ὧν ἂν ἀκούητε, οὐχ ὑποθέντες ἀκούετε
τῇ γνώμῃ, τί ἄν, εἴ τις ἔπραξε τοιαῦθ' ὑμῶν ἐποίει, καὶ
199 ἵνα ἂν εἶχεν ὀργὴν ὑπὲρ αὑτοῦ πρὸς τὸν ποιοῦντα.
ἐγὼ γὰρ ἐνηνοχὼς χαλεπῶς ἐφ' οἷς περὶ τὴν λειτουργίαν ὑβρίσθην, ἔτι πολλῷ χαλεπώτερον, ὦ ἄνδρες
ἀθηναῖοι, τούτοις τοῖς μετὰ ταῦτα ἐνήνοχα, καὶ μᾶλλον
ἠγανάκτηκα. τί γὰρ ὡς ἀληθῶς πέρας ἂν φήσειέ τις εἶναι
200 κακίας. ἢ καὶ ἵνα ὑπερβολὴν ἀναιδείας καὶ ὠμότητος καὶ ὕβρεως, ἂν ἄνθρωπος εἰ ποιήσας δεινά, νὴ Δία, καὶ
πολλὰ ἀδίκως τινά, ἀντὶ τοῦ ταῦτ' ἀναλαμβάνειν καὶ
μεταγινώσκειν, ἔτι πολλῷ δεινότερα ἄλλα προσεξεργάζοιτο, καὶ χρῷτο τῷ πλουτεῖν μὴ ἐπὶ ταῦτα, ἐν
201 οἷς μηδένα βλάπτων αὐτὸς ἄμεινόν τι τῶν ἰδίων θήσεται, ἀλλ' ἐπὶ τοὐναντία, ἐν οἷς ἀδίκως ἐκβαλὼν τινα
ἢ προπηλακίσας, αὐτὸς εὐδαιμονεῖ τῆς περιουσίας.
ταῦτα τοίνυν, ὦ ἄνδρες ἀθηναῖοι, πάντα τούτῳ πέπρακται κατ' ἐμοῦ· καὶ γὰρ αἰτίαν ἐπήγαγέ μοι φό-
202 νου ψευδῆ, καὶ οὐδὲν ἐμοὶ προσήκουσαν, ὡς τὸ πρᾶγμα αὐτὸ ἐδήλωσε. καὶ γραφὴν λιποταξίου με ἐγράψατο, τρεῖς αὐτὸς τάξεις λελοιπώς. καὶ τῶν ἐν εὐβοίᾳ
πραγμάτων· τουτὶ γὰρ αὖ μικροῦ παρῆλθέ [*] μοι εἰπεῖν· ἃ πλούταρχος, ὁ τούτου ξένος καὶ φίλος, διε- [*] μα. ά. β.
203 πράξατο, ὡς ἐγὼ αἴτιός εἰμι κατεσκεύαζε, πρὸ τοῦ
τὸ πρᾶγμα γενέσθαι πᾶσι φανερὸν διὰ πλουτάρχου γεγονός. καὶ τελευτῶν βουλεύειν μου λαχόντος, δοκιμαζομένου κατηγόρει. καὶ τὸ πρᾶγμα εἰς ὑπερδεινόν μοι περιέστη· ἀντὶ γὰρ οὗ δίκην [*] ὧν ἐπεπόνθειν, λα- [*] ὑπ. α.
204 βεῖν, δοῦναι πραγμάτων, ὧν οὐδὲν ἐμοὶ [1] προσῆκεν [1] προσῆκε, κινδυνεύω
ἐκινδύνευον. καὶ ταῦτα πάσχων ἐγώ, καὶ τοῦτον τὸν τρόπον, ὃν διεξέρχομαι νῦν πρὸς ὑμᾶς, ἐλαυνόμενος,
οὐκ ὢν οὔτε τῶν ἐρημοτάτων, οὔτε τῶν ἀπόρων κομιδῇ, οὐκ ἔχω, ὦ ἄνδρες ἀθηναῖοι, ὅ,τι χρὴ ποιῆ-
205 σαι, εἰ γὰρ εἰπεῖν τι καὶ περὶ τούτων ἤδη δεῖ, οὐ μέτεστι
τῶν ἴσων, οὐδὲ τῶν ὁμοίων, ὦ ἄνδρες ἀθηναῖοι, πρὸς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πρὸς τοὺς πλουσίους. προδήλως δὲ ἐνταῦθα, μετάστασιν τῆς πολιτείας καὶ ὀλιγαρχίας αἰνίττεται. εἰ γὰρ τῶν ἴσων οὐ μέτεστι τοῖς πένησι πρὸς τοὺς πλουσίους, τί ἄλλο, ἢ τὰ τῆς δημοκρατίας οἴχεται; Ἀλλὰ καὶ χρόνοι τούτοις τοῦ τὴν δίκην 205
ὑποσχεῖν) Ὥσπερ ἀντίπαλον λύει, ὅτι καὶ ὑβρίσῃ τις ἡμᾶς, ἐξ αὐτῆς κατηγορήσομεν, καὶ δίκην ληψόμεθα. ὁ δὲ φησίν, ὅτι ἀναβολὰς καὶ ὑπερθέσεις διείσκοισιν, ὡς ἂν συνήθη γένηται τὰ ἀδικήματα. λέγει δὲ τοῦτο, διὰ τὴν ἐξούλην. ἐπειδὴ ἐκ νέας ἡλικίας ἔχων τὴν δίκην, οὐδέπω εἰσελήλυθε.

ἐξ αὐτῆς

τοὺς πλουσίους τοῖς πολλοῖς ἡμῶν, οὐ μέτεστιν, οὔ.
Ἀλλὰ καὶ χρόνοι τούτοις τοῦ δίκην ὑποσχεῖν, οὓς ἂν αὐ-
τοὶ βούλωνται, δίδονται· καὶ τὰ ἀδικήματα ἕωλα τὰ τού-
των ὡς ὑμᾶς, καὶ ψυχρὰ ἀφικνεῖται. τῶν δ' ἄλλων ἡ- 206
μῶν ἕκαστος, ἄν τι συμβῇ, πρόσφατος κρίνεται. καὶ
μάρτυρές εἰσιν ἕτοιμοι τούτοις, καὶ συνήγοροι πάντες
εὐτρεπεῖς καθ' ἡμῶν. ἐμοὶ δὲ οὐδὲ τἀληθῆ μαρτυρεῖν
ἐθέλοντας ὁρᾶτε ἐνίους. Ταῦτα μὲν οὖν εἴποι τις ἄν, οἴ-
μαι, θρηνῶν. Τὸν δὲ νόμον μοι λέγε ἐφεξῆς, ὥσπερ 207
ἠρξάμην. Λέγε. Νόμος.

Ἐάν τις Ἀθηναίων λαμβάνῃ παρά τινος, ἢ αὐτὸς
διδῷ ἑτέρῳ. ἢ διαφθείρῃ τινὰς ἐπαγγελλόμενος, ἐπὶ
βλάβῃ τοῦ δήμου, καὶ διά τινος τῶν πολιτῶν, ᾧτινι τρόπῳ ἢ
μηχανῇ ἡτινιοῦν, ἄτιμος ἔστω καὶ παῖδες καὶ τὰ ἐκεί- 208
νου. Οὕτω τοίνυν οὗτός ἐστιν ἀσεβὴς ἄνθρωπος καὶ
μιαρός, καὶ πᾶν ἂν ὑποστὰς εἰπεῖν καὶ πρᾶξαι εἰ
δ' ἀληθές, ἢ ψεῦδος, ἢ πρὸς ἐχθρόν, ἢ φίλον, ἢ τὰ τοι-
αῦτα, ἀλλ' οὐδοτιοῦν διορίζων, ὥστ' ἐπαιτιασάμενός
με φόνου, καὶ τοιοῦτο πρᾶγμα ἐπαγαγών, εἴασε μέν 209
με εἰσιτήρια ὑπὲρ τῆς βουλῆς ἱεροποιῆσαι, καὶ θῦσαι,
καὶ κατάρξασθαι τῶν ἱερῶν ὑπὲρ ὑμῶν καὶ ὅλης τῆς
πόλεως, εἴασε δ' ἀρχιθεωροῦντα ἀγαγεῖν τῷ Διὶ
τῷ Νεμείῳ, τὴν κοινὴν ὑπὲρ τῆς πόλεως θεωρίαν·
περιεῖδε δὲ ταῖς σεμναῖς θεαῖς ἱεροποιὸν αἱρεθέντα 210

τοιαῦτα διαιρῶν.

Καὶ τὰ ἀδικήματα ἕωλα τὰ τούτων ὡς ὑμᾶς) Τροπικῇ λέξει ἐχρήσατο ἀπὸ τῶν σιτείων, ἃ ψυχρὰ γίνεται διὰ τὸ χρονίζειν. Πρόσφατος κρίνεται) Ἕτερον δὲ ἐπὶ τοῦ κατασκευάζει· δοκεῖ μὲν γὰρ ἁπλῶς περὶ πλουσίων λέγειν, καὶ πενήτων. τὸ δὲ ἀληθές, δείκνυσιν ὅτι εἰ τοῖς πλουσίοις ἔθος προσφάτως φέρειν τοὺς ἀδικήσαντας, δηλονότι καὶ Μειδίας ἔκρινεν ἄν με τοῦ φόνου τότε καὶ παραυτίκα. νῦν δὲ τῷ συνειδέναι μηδέν, ὤκνησε τὴν κατηγορίαν. τὸ δὲ πρόσφατον, ἔστι μὲν ὀπτικόν. κέχρηται δὲ αὐτῷ καὶ ἐν τῷ κατ' Ἀριστογείτονος. Καὶ μάρτυρές εἰσιν ἕτοιμοι) Πάλιν ὑπομιμνήσκει τῶν μαρτύρων, μέλλων ἀναγινώσκειν τὸν νόμον, καὶ αἰτιᾶται κατηγορεῖ τοῦ Μειδίου ταῦτα, ἅπερ αὐτὸς πεποίηκεν, ὅτι μάρτυρας ἔχει παρεσκευασμένους. 205
Πάντες καθ' ἡμῶν εὐτρεπεῖς) Εἰ πάντες καθ' ἡμῶν εἰσί, πρόδηλον ὅτι οἱ νῦν μαρτυροῦντες οὐκ ἂν ἠθέλησαν μαρτυρεῖν, εἰ μὴ διὰ τὴν ἀλήθειαν ἠναγκάζοντο. Ἐμοὶ δὲ οὐδὲ τἀληθῆ μαρτυρεῖν) Φαίνονται δὲ τῶν μαρτύρων οἱ μὲν Δημοσθένει εἰπόντες, οἱ δὲ, ἀρνησάμενοι τὴν μαρτυρίαν. καὶ τοῦτο κατὰ τέχνην τοῦ ῥήτορος. ἵνα μὲν γὰρ μὴ δόξῃ διεφθαρκέναι, τινὰς ἐξ αὐτῶν καὶ ἀρνουμένους πεποίηκεν. ἵνα δὲ μᾶλλον πρόσθωνται τοῖς καταμαρτυρήσασι, μέμφεται τοὺς ἀρνησαμένους τὴν μαρτυρίαν, ὅτι διὰ τὸν φόβον τῶν πλουσίων, οὐκ ἠθέλησαν οὐδὲ τἀληθῆ μαρτυρῆσαι. Ταῦτα μὲν οὖν εἴποι τις ἄν, οἶμαι) Ὑπέμνησε πάλιν τοῦ πάθους, καὶ ᾠκτίσατο, μέλλων ἀναγινώσκειν τὸν νόμον, ἵνα διὰ τούτων δυσωπήσῃ τοὺς ἀκούοντας πεισθῆναι τῷ νόμῳ. Οὕτω τοίνυν οὗτός ἐστιν ἀσεβὴς) Ἀναγνοὺς τὸν νό- 208
μον, οὐκ ἔτι μὲν ἐπισημαίνεται περὶ αὐτοῦ, νομίζων αὐτάρκη τὰ προρρηθέντα. μεταβαίνει δὲ ἐφ' ἕτερον μέρος τὸ περὶ τοῦ φόνου. βούλεται γὰρ καὶ αὐτὸν τὸν ἀντίδικον μάρτυρα παρασχέσθαι τοῦ μηδὲν αὐτὸν πεπραχέναι τοιοῦτον, οἷ ἐγκαλοῦσι. καὶ διὰ τοῦτο βίαιον καλοῦσι τὸν ῥήτορα, οὐχ ὅτι βιαίως ἐνθυμεῖται. ἀλλ' ὅτι τοὺς ἐχθροὺς ἀναγκάζει συναγωνίζεσθαι τοῖς ἑαυτοῦ λόγοις. Εἰ δὲ ἀληθές, ἢ ψεῦδος) Ὁμοῦ πάσας αὐτοῦ κακίας κατηγόρησεν, ὅτι εὐχερής, ὅτι ἄπιστος, ὅτι δύστροπος. Ἐπαιτιασάμενος) Ἐνταῦθα ὡς μαρτύρων ἀπαίτησιν ἐκπεπλήρωκε· μαρτύρεται γὰρ καὶ θεούς, καὶ δῆμον, καὶ τὴν ἐξ Ἀρείου πάγου βουλήν, ὅτι ἐπέτρεψέ μοι θύειν ταῖς Εὐμενίσι. τὸν δὲ ἀντίδικον, ὅτι οὐδαμοῦ ἐκώλυσέ με ταῦτα πράττοντα. Εἴασε μέν με εἰσιτήρια) Ἐκ μεταλήψεως μαρτυροῦντα ποιεῖ τὸν 209
ἐχθρόν. οὐ γὰρ ἐξ ὧν πεποίηκεν, ἀλλ' ἐξ ὧν οὐκ ἐκώλυσε, δείκνυσιν αὐτὸν ἀφιέμενον καὶ παρ' ἐκείνου. καὶ ἔστι παραπλήσιον τοῖς περὶ τοῦ στεφάνου. οἷ, ἔστι οὐδ' ὅπου σὺ παρὼν τηλικαύτην πρᾶξιν· καὶ γὰρ ἐκεῖ συλλογίζεται, τὸν Αἰσχίνην, ἐξ ὧν οὐκ ἐποίησε, ψευδεῖς αἰτίας ἐπάγειν. εἰσιτήρια δὲ ἐγίνετο, μελλούσης εἰσιέναι τῆς βουλῆς εἰς τὸ βουλευτήριον, ὥστε κατὰ γνώμην ἀπαντῆσαι τῶν πραγμάτων τὴν σκέψιν. καὶ ταύτην ἐκάλουν εἰσιτήρια. Εἴασε δὲ ἀρχιθεωροῦντα) Δοκεῖ μὲν ταῦτα παρὰ Μειδίου λέγειν. τὸ δὲ ἀληθές, μάρτυρας ποιεῖται τοὺς θεούς, τὸ μηδὲν πεπραχέναι τοιοῦτον· πῶς γὰρ ἂν προσεδέξατο τὴν θυσίαν ὁ Ζεὺς ὁ Βουλαῖος, ὁ Ζεὺς ὁ Νέμειος, εἰ τοιοῦτος ἦν Δημοσθένης. ἀρχιθεωροῦντα δὲ λέγει, ἄρχοντα θεωρῶν. θεωροὶ δὲ ἦσαν, οἱ τὰς θυσίας ἔξω τοῖς θεοῖς ἀποφέροντες. Περιεῖδε δὲ ταῖς 210
σεμναῖς θεαῖς ἱεροποιὸν αἱρεθέντα) Μείζων ἔτι ἡ πίστις αὕτη τοῦ καθαρὸν εἶναι τὸν ῥήτορα. καὶ διὰ τοῦτο ἔοικε τελευταῖα φυλάξαι τὰ καίρια. τί γάρ, φησιν, ἔθυσα ταῖς σεμναῖς θεαῖς. εἰ δὲ ἔφοροι καὶ τιμωροὶ τῶν φόνων αὗται, πῶς ἂν ἠνέγκαντο τὴν θυσίαν μου δηλαδή; καὶ ἡ ἐξ Ἀρείου πάγου βουλὴ εἵλετό με ἱεροποιόν, ἥτις μάλιστα τὰς φονικὰς δίκας ἀκριβῶς δι-

εἰσιτήρια



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καίζειν πεπίστευται. καὶ οὐκ εἶπεν, ὅτι ἔλαχον ἱεροποιός, ἀλλ' ᾑρέθην, ἵνα μὴ τῆς τύχης, ἀλλὰ γνώμης φανῇ τὸ ἔργον. ἱεροποιοὺς δὲ καλοῦσι, τοὺς ἐποπτεύοντας τοῖς μάντεσιν ὅτε θύουσι, μήπου τι *κακουργοῦσιν ἐν ταῖς θυσίαις. τρίτον δὲ αὐτὸν εἰπὼν, τὸ ἀξίωμα αὐτοῦ δηλοῖ. διὸ καὶ ἔκρυψε τῶν ἄλλων τὰς προσηγορίας. τρεῖς δὲ ἴσως ὑπέστησεν, ἐπεὶ καὶ τρεῖς δοκοῦσιν εἶναι θεαί.

*κακουργῶσιν.

ἐξ Ἀθηναίων ἁπάντων τρίτον αὐτὸν, καὶ καταρ-
ξάμενον τῶν ἱερῶν. ἆρ' ἂν, εἴ γ' εἶχε σημεῖον, ἢ σκιὰν
τούτων, ὧν κατεσκεύαζε κατ' ἐμοῦ, ταῦτ' ἂν εἴα-
σεν; ἐγὼ μὲν οὐκ οἶμαι. οὐκοῦν ἐξελέγχεται τούτοις
211 ἐναργῶς, ὕβρει ζητῶν με ἐκβαλεῖν ἐκ τῆς *πατρίδος. *πόλεως. ε.
ἐπεὶ τοίνυν τοῦτο τὸ πρᾶγμα οὐδὲ καθ' ἕν, πάντα-
χῇ στρέφων, οἷός τ' ἦν ἀναγαγεῖν ἐπ' ἐμὲ, φανερῶς ἤ-
δη °δι' ἐμὲ τὸν Ἀρίσταρχον ἐσυκοφάντει, καὶ τὰ μὲν °δι' ἐμοῦ. α. β. ε.
ἄλλα σιωπῶ. τῆς δὲ βουλῆς περὶ τούτων καθημένης,
212 καὶ σκοπουμένης, προσελθὼν εἶτ', ἀγνοεῖτ', ἔφη, τὸ πρᾶ-
γμα, ὦ βουλή; καὶ τὸν αὐτόχειρα ἔχοντες, λέγων `τὸν `ε.
Ἀρίσταρχον, μέλλετε καὶ ζητεῖτε, καὶ τετύφωσθε; οὐκ
ἀποκτενεῖτε; οὐκ ἐπὶ τὴν οἰκίαν βαδιεῖσθε; οὐχὶ συλ-
λήψεσθε; καὶ ταῦτ' ἔλεγεν ἡ μιαρὰ καὶ ἀναιδὴς αὕ-
213 τη κεφαλὴ, ἐξεληλυθὼς τῇ προτεραίᾳ παρ' Ἀρι-
στάρχου, καὶ κεχρημένος ὥσπερ ἂν ἄλλος τις, αὐτῷ τὰ
πρὸ τούτου. καὶ ὅτ' ηὐτύχει, πλεῖστα παρεσχηκότος πάν-
των ἐκείνου πράγματά μοι, περὶ τῶν πρὸς οὗτον διαλ-
λαγῶν. εἰ μὲν οὖν εἰργάσθαι τι τούτων, ἐφ' οἷς ἀπολώ-
214 λεν, ἡγούμενος τὸν Ἀρίσταρχον, καὶ πεπιστευκὼς τοῖς τῶν
αἰτιασαμένων λόγοις, ταῦτ' ἔλεγε· χρῆν μὲν οὐδ' οὕ-
τω. μετρία γὰρ δίκη παρὰ τῶν φίλων ἐστὶν, ἄν τι δοκῶσι
πεποιηκέναι δεινὸν, μηκέτι τῆς λοιπῆς φιλίας κοινωνεῖν. τὸ
δὲ τιμωρεῖσθαι καὶ ἐπεξιέναι, τοῖς πεπονθόσι, καὶ τοῖς ἐ-
215 χθροῖς *καταλείπεται. ὅμως δ' ἔστω τούτῳ γε συγγνώμη. *ἀπολείπεται. ε.

ἡ δὲ ἐξ Ἀρείου πάγου βουλὴ, τὸν ἱεροποιὸν ᾑρεῖτο· ἐπειδὴ γὰρ ἐν Ἀρείῳ πάγῳ τὰ τῶν ἱερῶν τῶν Εὐμενίδων ἐπιτέτραπτο, καὶ πλησίον ἵδρυτο τῆς βουλῆς. καὶ οἱ μὲν φασὶν ὅτι διὰ τὸν Ὀρέστην ἐκεῖ καθιδρύθη. βέλτιον δὲ λέγειν ὅτι διὰ τὰς φονικάς. ἐπειδὴ γὰρ ἐν Ἀρείῳ πάγῳ, τὰ τῶν φονέων ἐγυμνάζετο, ἵν', εἴ τι καὶ λανθάνειν μέλλοι τὴν βουλὴν, αὗται συναγωνίζωνται πρὸς τὸν ἔλεγχον τῆς ἐγγὺς ἐφεστῶσαι.
211 Ἐπειδὴ τοίνυν τοῦτο τὸ πρᾶγμα) Ἐπανῆλθεν ἐπὶ τὴν ἐξ ἀρχῆς ἀκολουθίαν· τὸ γὰρ κατὰ τὸν νόμον, μέση τις ἦν ἡ παρεμβολὴ ληφθεῖσα διὰ τὸ χρήσιμον. Δι' ἐμοῦ τὸν Ἀρίσταρχον) Διὰ τὴν ἔχθραν τὴν πρὸς ἐμὲ, προφάσει ἡμῆς. καὶ ἵνα μὲν ἀφ' ἑαυτοῦ τὴν αἰτίαν ἀπώσηται, τὸν Ἀρίσταρχον εἶπεν. ἵνα δὲ κἀκεῖνον ἐξέληται, τὸ ἐσυκο-
212 φάντει προσέθηκε. Καὶ τὸν αὐτόχειρα ἔχοντες) Οὐκοῦν τις μὲν αὐτόχειρ φανερῶς ἔδειξεν. ἵνα δὲ μὴ δόξῃ κατὰ φίλου λέγειν, ὡς ἐχθροῦ τοῖς λόγοις προσέθηκε. Μέλλετε, καὶ ζητεῖτε, καὶ τετύφωσθε) Πολλὴν εὐχέρειαν καὶ ὀλιγωρίαν αὐτοῦ κατηγόρησε. πρῶτον μὲν οὖν ὅτι ἐφ' ὡμολογημένοις παρώξυνε τὴν βουλὴν καὶ τὰ τοιαῦτα κατηγόρει τοῦ σεμνοτάτου τῶν συνεδρίων. τοῦτο δὲ πόσης θρασύτητος, ἐξ οὗ συνίστησιν, ὅτι πότ' ἂν ἐφείσατο Δημοσθένους, ὁ τῆς βουλῆς μὴ φεισάμενος;
213 Ἐξεληλυθὼς τῇ προτεραίᾳ) Τὴν δυσχρηστίαν αὐτοῦ καὶ τὴν ἀπιστίαν κατηγορεῖ, ὅτι, ᾧ πρὸ μιᾶς διελέγετο, τούτου κατηγορεῖν οὐκ ὤκνει. Καὶ κεχρημένος, ὥσπερ ἂν ἄλλος τις) Τὴν ἀπόνοιαν δηλοῖ τοῦ Μειδίου, εἰ τοῖς Ἀρεοπαγίταις ἔλεγε, τετύφωσθε. καὶ ἐνταῦθα δὲ βούλεται) τρέψαι τὴν κοινωνίαν τοῦ φόνου ἐπὶ τὸν Μειδίαν· εἰ γὰρ ἐγὼ διὰ τὸ συνεῖναι αὐτῷ, νομίζομαι συνειδέναι τῷ φόνῳ, πολλῷ πλέον ἂν ἔχοις αὐτὸς τὴν αἰτίαν, ὁ πλείστην πρὸς αὐτὸν τὴν ἑταιρείαν ἀσπασάμενος. εἶτα κατασκευὴ τῆς φιλίας· πολλὰ γάρ, φησιν, ἀεί μοι παρεῖχε πράγματα καὶ ὤχλει σφοδρῶς ὁ Ἀρίσταρχος, πρὶν ἐμπεσεῖν εἰς τὴν αἰτίαν τοῦ φόνου, δεόμενός μου διαλύσασθαι πρὸς αὐτὸν καὶ ἀποστῆναι τῆς κατὰ Μειδίου κατηγορίας. βαθέως οὖν μεθίστησι τὴν φήμην ἐπὶ τὸν Μειδίαν· εἰ γὰρ φίλον δεῖ τὸ κοινωνεῖν τοῖς τῶν φίλων ἁμαρτήμασιν, οὐδὲν ἧττον Μειδίας μετέχει τοῦ φόνου· ἐχρῆτο γὰρ αὐτῷ πρὸς φιλίαν, ὥσπερ ἂν ἄλλος τις. καὶ ἀπεσιώπησε τὸ καθ' ἑαυτὸν ὄνομα. Καὶ ὅτ' ηὐτύχει, πλεῖστα παρεσχηκότος) Τὸ ἐξισάζον διαφορᾶς ἔλυσε. τί οὖν, εἰ ἀμφοτέροις φίλος ἦν. οὐδὲν ἧττον καὶ αὐτὸς ὦ Δημόσθενες ὑπεύθυνος εἶ τῷ ἐγκλήματι. ὁ δὲ δείκνυσιν, ὅτι μᾶλλον ἦν φίλος Μειδίου, ὡς ἴστε καὶ αὐτοί, ἢ Δημοσθένους. φιλικῶς γὰρ φαίνεται πρὸς αὐτὸν διακείμενος μᾶλλον, ἢ πρὸς ἐμέ. *καὶ οὐ χαλεπῶς παρέχει τὰ πράγματα, ἀλλὰ καὶ ὑπὲρ πάντας τοὺς ἄλλους. οὐκοῦν οὐδένα τοιοῦτον φίλον εἶχε Μειδίας κατὰ τὴν πόλιν. ἐν ταὐτῷ δὲ συναποδείκνυσιν, ὅτι καὶ κατέγνω ἑαυτοῦ Μειδίας· εἰ γὰρ ἠξίου διαλύεσθαι, πρόδηλον ὅτι ἐδεδοίκει τὴν κρίσιν. Εἰ μὲν οὖν εἰργάσθαι τι τούτων) Ἀμφίβολον τὸ πρᾶγμα καθίστησιν, ὅταν, ὡς ἀπορῶν λέγῃ, πότερον ἐνόμιζεν αὐτὸν δεδρακέναι, ἢ οὐ πεπιστευκὼς τοῖς τῶν αἰτιασαμένων λόγοις. πανταχόθεν οὖν ἠμαύρωσε τὴν φήμην· εἰ γὰρ ἀκοὴν μαρτυρεῖν οὐκ ἔξεστιν, ἔστι δὲ ἀκοῆς κατηγορεῖ· τοῖς γὰρ λόγοις τῶν αἰτιωμένων ἐπίστευσεν, οὐ τῇ ὄψει τῶν θεασαμένων. οὐκοῦν παντάπασιν ἔωλον τὸ ἔγ-
214 κλημα. Μηκέτι τῆς λοιπῆς φιλίας) Ὅμως καὶ ἀπελογήσατο ὑπὲρ αὐτοῦ, καὶ τῷ Μειδίᾳ τὸ ἔγκλημα περιέτρεψεν· αὐτὸς μὲν γὰρ τὸ αἰτιώτατον ἔλυσε διὰ τί γὰρ οὐ κατηγορεῖς τοῦ Ἀριστάρχου, εἴπερ αὐτῷ συνῄδεις τὸν Νικόδημον ἀποκτείναντι; ὁ δὲ φησὶν, ὅτι τὴν ἁρμόττουσαν φίλῳ δίκην ἔλαβεν· ἀπέστη γὰρ αὐτοῦ τῆς λοιπῆς φιλίας. τὸν δὲ Μειδίαν δείκνυσι νῦν μὲν ὡς ἐχθροῦ κατημερεύοντα, νῦν δὲ ὡς φίλῳ συνόντα μετὰ τὴν φήμην. Τοῖς πεπονθόσι καὶ τοῖς ἐχθροῖς) Οὐκοῦν πρὸς τοῖς ἄλλοις, καὶ φιλοπράγμων, ὅτι ἃ μόνοις τοῖς ἠδικημένοις ἔξεστι, ταῦτα μηδὲ πεπονθὼς ἔπραττεν.

*καὶ οὐχ ὅπως παρέσχε μοι τὰ πράγμ.

Εἰ δὲ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Εἰ δὲ ἀγνῶν μὲν καὶ ὁμορόφιος) Ἀριστάρχῳ μετὰ τὴν φήμην, οὐδὲν ἐκείνῳ πέπρακται δεινόν. εἰ δέδρακε δὲ τὸν 215
φόνον, κοινωνεῖ τοῦ μύσους, ἐπειδὴ περ αὐτῷ καὶ τῆς στέγης τῆς αὐτῆς ἐκοινώνησε. Τῇ δ' ὑστεραίᾳ πάλιν) Πᾶσαν 216
αὐτοῦ παρείλετο πρόφασιν. ἵνα γὰρ μὴ εἴπῃ, συνῆν Ἀριστάρχῳ πρὶν ἢ γνῶναι τὴν φήμην, προσέθηκεν ὅτι πῶς, εἰ

*ἀγνῶν. α.

εἰ δ' ἀγνῶν μὲν, καὶ ὁμωρόφιος γιγνόμενος, ὡς οὐ-
δὲν εἰργασμένῳ φανήσεται· λέγειν δὲ καὶ καταιτιώ-
μενος ταῦθ' ἕνεκα τοῦ συκοφαντεῖν ἐμὲ, πῶς οὐ δε-
κάκις, μᾶλλον δὲ μυριάκις, ἐστὶ ἀπολωλέναι δίκαιος. 216
ἀλλὰ μὴν ὡς ἀληθῆ λέγω, καὶ τῇ προτεραίᾳ, ὅτε
ταῦτ' ἔλεγεν, εἰσεληλύθει, καὶ διείλεκτο ἐκείνῳ· τῇ δ'
ὑστεραίᾳ πάλιν. τοῦτο γὰρ τοῦτο οὐκ ἔχον ἐστὶν ὑπερ-
βολὴν ἀκαθαρσίας, ἄνδρες Ἀθηναῖοι. εἰσελθὼν οἴ-
καδε ὡς ἐκεῖνον, καὶ ἐφεξῆς οὑτωσὶ *καθεζόμενος, 217
τὴν δεξιὰν ἐμβαλὼν, παρόντων πολλῶν, μετὰ τοὺς ἐν
τῇ βουλῇ τούτους λόγους, ἐν οἷς αὐτόχειρα, καὶ τὰ δει-
νότατα εἰρήκει τὸν Ἀρίσταρχον, ὤμνυε μὴ κατ' ἐξω-
λείας μηδὲν εἰρηκέναι περὶ αὐτοῦ φλαῦρον, καὶ οὐ-
δὲν ἐφρόντιζεν ἐπιορκῶν, καὶ ταῦτα παρόντων τῶν 218
συνειδότων. ἠξίου δὲ καὶ πρὸς ἐμὲ αὐτῷ δι' ἐκεί-
νου γίγνεσθαι τὰς διαλύσεις, καὶ τούτων τοὺς πα-
ρόντας ὑμῖν καλῶ μάρτυρας.

*καθιζόμενος. α.

*Μαρτυρία. α

## *Μάρτυρες.

Καίτοι πῶς οὐ δεινὸν, ὦ ἄνδρες Ἀθηναῖοι, μᾶλ- 219
λον δὲ ἀσεβὲς, λέγειν ὡς φονεὺς, καὶ πάλιν ὡς οὐκ
εἴρηκε ταῦτ', ἀπομνύναι· καὶ φόνον μὲν ὀνειδίζειν,
τούτῳ δ' ὁμωρόφιον γίγνεσθαι; κἂν μὲν ἀφῶ τοῦ-
τον ἐγὼ, καὶ προδῶ τὴν ὑμετέραν καταχειροτο-
νίαν, οὐδὲν, ὡς ἔοικεν, ἀδικῶ. ἂν δ' ἐπεξίω, λέλοιπα 220
τὴν τάξιν, φόνου κοινωνῶ, δεῖ με ἀνηρπάσθαι. ἐγὼ δ'
αὖ τοὐναντίον οἶμαι. εἰ τοῦτον ἀφῆκα, λελοιπέναι με,
ὦ ἄνδρες Ἀθηναῖοι, τὴν τοῦ δικαίου τάξιν, φόνου δ'
ἂν εἰκότως ἐμαυτῷ λαχεῖν. οὐ γὰρ ἦν μοι δήπου
βιωτὸν τοῦτο ποιήσαντι. ὅτι τοίνυν καὶ ταῦτ' ἀληθῆ 221
λέγω, κάλει μοι καὶ τούτων τοὺς μάρτυρας.

*Μαρτυρία. α

## *Μάρτυρες.

Λυσίμαχος Ἀλωπεκῆθεν, Δημέας Σουνιεὺς, Χά-
ρης *Θορίκιος, Φιλήμων Σφήττιος, Μόσχος Παιανιεὺς,
καθ' οὓς χρόνους ἡ εἰσαγγελία ἐδόθη ἡ εἰς τὴν βου- 222
λὴν ὑπὲρ Ἀριστάρχου τοῦ Μόσχου, ὅτι εἴη Νικόδημον
ἀπεκτονὼς, οἴδαμεν Μειδίαν ὄντα κρινόμενον ὑπὸ

*Θόρικος. β.

καὶ μετὰ τὴν κατηγορίαν, ἣν αὐτὸς κατηγόρησας; Οὑτωσὶ καθε- 217
ζόμενος) Δεικτικῷ τρόπῳ κέχρηται, σημαίνων ὅτι, ὥσπερ ὑμεῖς οἱ δικασταὶ πλησίον ἀλλήλων καθίζεσθε, οὕτω κἀκεῖνος συνεκαθέζετο Ἀριστάρχῳ. δείκνυσιν οὖν ὅτι τὴν ἐσθῆτα τῇ ἐσθῆτι συνῆπτε. Τὴν δεξιὰν ἐμβαλών) Εἰς τὴν ἐκείνου δηλονότι, ὥστε τὴν χεῖρα ἠσπάζετο τὴν ἐργασαμένην τὸν φόνον, τρόπον τινὰ διὰ τοῦ σώματος, τῇ ψυχῇ συναπτόμενος. οὐκοῦν αὐτίκα ἐκοινώνησε τοῦ μιάσματος. Μετὰ τοὺς ἐν τῇ βουλῇ τούτους λόγους) Ὃν χθὲς ὡς ἀνδροφόνον ἠτιάσατο, τούτῳ τῇ ὑστεραίᾳ συνῆν. Καὶ οὐδὲν ἐφρόν- 218
τιζεν ἐπιορκῶν) Πάντα ἀθρόως κατηγόρησεν, ἀναισχυντίαν, ἐπιορκίαν, ἀπιστίαν, ἀσέβειαν. Ἠξίου δὲ καὶ πρὸς ἐμέ) Τὰ πολὺ διεστῶτα τοῖς χρόνοις συνῆψεν, ἵνα καὶ τὰ ἑτέρα πιθανὰ παραστήσῃ. παρεκάλει γάρ, φησί, τὸν Ἀρίσταρχον, ὥστε δι' αὐτοῦ πρὸς ἐμὲ διαλύσασθαι. τοῦτο δὲ, Μειδίας μὲν ἴσως ἐποίησε πρὶν ἢ γενέσθαι τὸ ἔγκλημα τοῦ φόνου. συνάγει δὲ ὁ Δημοσθένης τὸν χρόνον, ὅτι καὶ μετὰ φήμην, ἵνα ποιήσῃ πιθανὸν ὅτι καὶ συνῆν καὶ ὡμίλει, καὶ ὅτι κοινωνεῖ τοῦ μύσους. ἢ οὐδὲν Ἀριστάρχῳ πέπρακται δεινὸν, *καὶ εἰ Μειδίας καθαρός. *α.

Καὶ τούτων τοὺς παρόντας ὑμῖν καλῶ μάρτυρας) Ὅτι μὲν περὶ διαλύσεων Μειδίου Ἀριστάρχῳ μαρτυροῦσιν, ὅμως δὲ ὁ ῥήτωρ, ἐᾷ τὸ ἕτερον καὶ τὸ ἕτερον συναρπάζει. Καίτοι 219
πῶς οὐ δεινὸν, ὦ ἄνδρες Ἀθηναῖοι) Τὸν ἐχθρὸν αὐτὸν δείκνυσι φανερῶς ἀπολύοντα τοῦ φόνου, καὶ πάλιν λέγει μηδὲν εἰρηκέναι τοιοῦτον. οὐκοῦν διὰ τῆς ὕστερον ἀρνήσεως, ἀναιρεῖ ἐπεὶ τὰ φθάσαντα. καὶ οὐδὲ ὁμοίως ἑκάτερον ἐποίησεν. ὅτε γὰρ μὲν κατηγόρει, λόγοις ἐχρῆτο ψιλοῖς. ὅτε δὲ ἠρνεῖτο, καὶ τοὺς θεοὺς ἐπώμνυτο. πιστότεροι δὲ οἱ ὅρκοι, τῶν ἁπλῶς λεγομένων. Τούτῳ δ' ὁμωρόφιον γίγνεσθαι) Ἀφ' ὧν ἐβόα καθαρὸν εἶναι τὸν ἄνθρωπον. οὐ γὰρ ἂν ἑκὼν ἐμολύνετο. Καὶ προδῶ τὴν ὑμετέραν) Μὴ προδόντες ὑμεῖς, τὴν ὑμῶν αὐτῶν προδώσετε.

Ἂν δ' ἐπεξίω) Ἐπανήγαγεν ὅτι τὴν 220
ἐξ ἀρχῆς αἰτίαν τοῦ λόγου, δι' ἃ ταῦτα
κατασκευάζει κατ' ἐμοῦ. ἤδη γάρ με βουλόμενον ἐπεξελθεῖν οἷς ὑβρίσθην. δεῖ γὰρ ἐν ταῖς ἰσχυροτάταις πίστεσι, κα-
ταλύειν τὰ κεφάλαια. Φόνου δ' ἂν εἰκότως ἐμαυτῷ λαχεῖν) Τοῦτο παραπλήσιόν ἐστι τῷ ἐν τῷ προοιμίῳ· εἴπερ ὑ-
βρισθέντα μηδεμιᾶς δίκης τυχεῖν, ἔστι τις συμφορά. Κάλει μοι τούτων τοὺς μάρτυρας) Ὅτι ἐθεάσαντό τινες τὸν 221



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δημοσθένους, ᾧ μέντοι συνῄδειν, ἐλθόντα πρὸς τὴν
βουλὴν, καὶ λέγοντα μηδένα ἕτερον εἶναι τὸν Νικοδή-
223 μου φονέα, ἀλλ' Ἀρίσταρχον. καὶ τοῦτον * αὐτὸν γεγο- *
νέναι αὐτόχειρα, καὶ συμβουλεύοντα τῇ βουλῇ βα-
δίζειν ἐπὶ τὴν οἰκίαν τὴν Ἀριστάρχου, καὶ συλλαμ-
βάνειν αὐτόν. ταῦτα δὲ ἔλεγε πρὸς τὴν βουλὴν τῇ
προτεραίᾳ μετ' Ἀριστάρχου, καὶ μεθ' ἡμῶν, συν-
224 δεδειπνηκώς. οἶδα μὲν δὲ καὶ Μειδίαν, ὡς ἀπῆλθεν
ἀπὸ τῆς βουλῆς, τούτοις τοῖς λόγοις εἰρηκὼς, εἰσε-
ληλυθότα πάλιν ὡς Ἀρίσταρχον, καὶ τὴν δεξιὰν ὡς
ἐμβεβληκότα, καὶ ὀμνύοντα κατ' ἐξωλείας μηδὲν
καθ' αὐτοῦ πρὸς τὴν βουλὴν εἰρηκέναι φαῦλον, καὶ
225 ἀξιοῦντα Ἀρίσταρχον ὅπως ἂν διαλλάξῃ αὐτῷ Δη-
μοσθένην. Τίς οὖν ὑπερβολή. τίς ὁμοία τῇ τούτου
γέγονεν, ἢ γένοιτ' ἂν πονηρία, ὃς ἄνδρα ἀτυχοῦντα,
οὐδὲν αὐτὸν ἠδικηκότα· ἐῶ γὰρ εἰ φίλον· ἅμα συκο-
φαντεῖν ᾤετο δεῖν, καὶ πρὸς ἐμὲ αὐτὸν διαλύειν ἠ-
226 ξίου, καὶ ταῦτ' ἔπραττε, καὶ χρήματ' ἀνήλισκεν,
ἐπὶ τῷ μετ' ἐκείνου κἀμὲ προσεκβαλεῖν ἀδίκως;
τοῦτο μέν τοι τὸ τοιοῦτον ἔθος καὶ τὸ κατασκεύασμα,
ὦ ἄνδρες Ἀθηναῖοι, τὸ τοῖς ὑπὲρ αὐτῶν ἐπεξιοῦσι δι-
καίως ἔτι πλείω περιϊστάναι κακά, οὐκ ἐμοὶ μὲν ἄ-
227 ξιόν ἐστ' ἀγανακτεῖν καὶ βαρέως φέρειν, ὑμῖν δὲ τοῖς
ἄλλοις παριδεῖν· πολλοῦ γε καὶ δεῖ, ἀλλὰ πᾶσιν ὁ-
μοίως ὀργιστέον, ἐκλογιζομένοις καὶ θεωροῦσιν, ὅτι τοῦ
μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, ῥᾳδίως κακῶς παθεῖν, ἐγ-
γύτατα ἡμῶν εἰσιν οἱ πενέστατοι, καὶ ἀσθενέστατοι. τοῦ
228 δ' ὑβρίσαι, καὶ τοὺς ποιήσαντας * μὴ δοῦναι δίκην, * π. ε.
ἀλλὰ τοὺς ἀντιπαρέξοντας πράγματα μισθώσα-
σθαι, οἱ βδελυροὶ καὶ χρήματα ἔχοντές εἰσιν ἐγγυ-
τάτω. οὐδὴ δεῖ προΐεσθαι τὰ τοιαῦτα, οὐδὲ τὸν ἐξείρ-
γοντα δέει καὶ φόβῳ τὸ δίκην, ὧν ἂν ἡμῶν ἀδικηθῇ
229 τις, λαμβάνειν παρ' αὐτοῦ, ἄλλο τι χρὴ νομίζειν ποιεῖν,
ἢ τὰς τῆς ἰσηγορίας, καὶ τὰς τῆς ἐλευθερίας ἡμῶν με-
τουσίας ἀφαιρεῖσθαι. ἐγὼ μὲν γὰρ ἴσως διεωσάμην,
καὶ ἄλλος τις ἂν ψευδῆ λόγον καὶ συκοφαντίαν, καὶ οὐκ
ἀνήρπασμαι. οἱ δὲ πολλοί τι ποιήσετε, ἂν μὴ δημο-
230 σίᾳ πᾶσι φοβερὸν καταστήσητε τὸ εἰς ταῦτα ἀπο-
χρῆσθαι τῷ πλουτεῖν; δόντα λόγον καὶ ὑποσχόντα κρίσιν, περὶ ὧν ἄν τις ἐγκαλῇ,
τότ' ἀμύνεσθαι τοὺς ἀδίκως ἐπ' αὐτὸν ἐλθόντας χρὴ, καὶ τότε ἂν ἀδικοῦντας
ὁρᾷ τις, οὐ προαναρπάζειν, οὐδ' ἐπάγοντ' αἰτίας ψευδεῖς, ἄκριτον ζητεῖν ἀπο-
231 φεύγειν, οὐδ' ἐπὶ τῷ διδόναι δίκην ἀγανακτεῖν, ἀλλὰ μὴ ποιεῖν ἐξ ἀρχῆς ἀσελ-
γὲς μη-

Μειδίαν καὶ περὶ τῆς κατηγορίας
καὶ μετὰ τὴν κατηγορίαν, * εἰσιέναι (* εἰσιόντα.)
225 παρὰ Ἀρίσταρχον. Τίς οὖν ὑπερ-
βολή) Καὶ ἐκ τούτων ἔδειξε περὶ
ὧν οἱ μάρτυρες αὐτῷ μεμαρτυ-
ρήκασιν, ὅτι ὁμοῦ καὶ κατηγόρει τοῦ
Ἀριστάρχου, καὶ πρὸς ἐμὲ ἠξίου δια-
λύειν. τοῦτο δέ ἐστι μετὰ τὴν κατηγο-
226 ρίαν. Τοῦτο μέν τοι τοιοῦτον ἔθος)
Πληρώσας τὴν παρέκβασιν, ἐπι-
λογίζεται λοιπόν. ἔθος γὰρ αὐτῷ μὴ
πρότερον ἐφ' ἕτερον μεταβαίνειν,
πρὶν ἢ τὸ πληρωθὲν ἐπιλογίσασθαι.
227 Ὑμῖν δὲ τοῖς ἄλλοις παριδεῖν)
Κοινὸν ἐργάζεται φόβον, τοὺς δικα-
στὰς ἐπάγων εἰς ἀγανάκτησιν.
Ἀλλὰ πᾶσιν ὁμοίως ὀργιστέον)
Πάλιν εἰς τὸ δημόσιον ἀνάγει τὰ
πραχθέντα, καὶ κέχρηται τῷ συμ-
φέροντι, καὶ παρείληφε τελικὰ κε-
φάλαια. εἰρήκαμεν γὰρ ὅτι τοῖς τελι-
κοῖς κεφαλαίοις, οἱ ἐπίλογοι πλη-
228 ροῦνται. Οἱ βδελυροὶ καὶ χρή-
ματα ἔχοντες) Καλῶς τὸ μιαρὸν τοῦ
τρόπου, προέταξε τοῦ πλούτου. οἶδε
γὰρ ὡς αὐτὸς καθ' ἑαυτὸν ὁ πλοῦ-
229 τος, οὐ διαβάλλεται. Ἐγὼ μὲν γὰρ
ἴσως διεωσάμην) Ὅρα ὅπως καὶ
τὸ φορτικὸν διέφυγε, τὸ ἴσως εἰπών,
καὶ τὸ δεινὸν ἐπηύξησεν. εἰ γὰρ ῥή-
τωρ ὢν αὐτὸς, οὐ πάντως ἀπωθεῖ-
σθαι δύναται συκοφαντίαν, τί ποιή-
σουσιν οἱ μὴ ἔχοντες τὴν τέχνην;
ἀποδείκνυσι δὲ ὅτι πεπλήρωται τὰ
τῆς ἀπολογίας τῆς περὶ τοῦ φόνου.
διεωσάμην γάρ, φησι, ψευδῆ λό-
γον, τουτέστι, τὸν περὶ τοῦ φόνου. διεω-
σάμην δὲ καὶ συκοφαντίαν, του-
τέστι, τὴν τοῦ λειποταξίου. Οἱ δὲ
πολλοί τι ποιήσετε) Δεδήλωκεν ὅτι
ἐπὶ τὸ δημόσιον πάντα ἀνάγει.
230 Δόντα λόγον καὶ ὑποσχόντα) Κα-
λεῖ σέ τις, φησὶν, εἰς κρίσιν; μὴ
διαφθείρε τὸ δικαστήριον. ὕπεχε τὰς
εὐθύνας. οὐ γὰρ ἄλλως φανείης ἂν
ἀναμάρτητος. ἀλλ' ἐρεῖς, μάτην
ἐγκαλοῦμαι. συκοφάντης ἐστὶν ὁ
κατήγορος. ἄφες τοῦτον γνωσθῆναι
τῇ ψήφῳ. συγχεῖ, φησὶ, τὴν τά-
ξιν τῆς πολιτείας ὁ Μειδίας. πρὶν
ἀπολογήσασθαι, κατηγόρηκε. πρὶν
ἢ δίκας ὑποσχεῖν, ἀπαιτεῖν βού-
λεται. καὶ ταῦτα τοὺς μηδὲν ἀδι-
κοῦντας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γὲς μηδέν. ὅσα μὲν τοίνυν εἴς τε τὴν λῃτουργίαν καὶ
τὸ σῶμα ὑβρίσθην, καὶ πάντα ἐπιβουλευόμενος τρό-
πον, καὶ πάσχων κακῶς, ἐκπέφευγα, ἀκηκόατε, ὦ
ἄνδρες ἀθηναῖοι, καὶ παραλείπω δὲ πολλά. οὐ γὰρ
ἴσως ῥᾴδιον πάντ᾽ εἰπεῖν. ἔχει δ᾽ οὕτως. οὐκ ἔστιν 232
ἐφ᾽ ὅτῳ τῶν πεπραγμένων ἐγὼ μόνος ἠδίκημαι,
ἀλλ᾽ ἐπὶ μὲν τοῖς εἰς τὸν χορὸν γεγενημένοις ἀδική-
μασιν, ἡ φυλή, τὸ δέκατον μέρος ὑμῶν, συνηδίκη-
ται· ἐπὶ δ᾽ οἷς ἐμὲ ὕβρισε καὶ ἐπεβούλευσεν, οἱ νό-
μοι, δι᾽ οὓς εἷς ἕκαστος ὑμῶν σῶς ἐστιν· ἐφ᾽ ἅπασι δὲ 233
τούτοις, ὁ θεός, ᾧ χορηγὸς ἐγὼ καθειστήκειν, καὶ τὸ τῆς
ὁσίας ὁτιδήποτ᾽ ἐστὶ τὸ σεμνόν, καὶ τὸ δαιμόνιον, συ-
νηδίκηται. δεῖ δὴ τούς γε βουλομένους ὀρθῶς τὴν κα-
περὶ β. ἐ. τ᾽ ἀξίαν τῶν πεπραγμένων περὶ τούτου δίκην λα-
ὑμῶν. βεῖν, οὐχ ὡς ὑπὲρ ἡμῶν ὄντος μόνου τοῦ λόγου, τὴν ὀρ- 234
γὴν ἔχειν, ἀλλ᾽ ὡς ἐν ταυτῷ, τῶν νόμων, τοῦ θεοῦ,
τῆς πόλεως, ἐμοῦ, πάντων ἠδικημένων, οὕτω ποιεῖσθαι
τὴν τιμωρίαν. καὶ τοὺς βοηθοῦντας καὶ τοὺς συνε-
ξεταζομένους μετὰ τούτου, μὴ συνηγόρους μόνον,
ἀλλὰ καὶ δοκιμαστὰς τῶν τούτῳ πεπραγμένων, 235
ὑπολαμβάνετε εἶναι. εἰ μὲν τοίνυν, ὦ ἄνδρες ἀθη-
ναῖοι, σώφρονα καὶ μέτριον πρὸς τἆλλα παρεσχη-
κὼς αὑτὸν μειδίας, καὶ μηδένα τῶν ἄλλων πολιτῶν
μηδὲν ἠδικηκώς, εἰς ἐμὲ μόνον ἀσελγὴς οὕτω καὶ βί-
αιος ἐγεγόνει, πρῶτον μὲν ἔγωγ᾽ ἀτύχημ᾽ ἂν ἐμαυ- 236
τοῦ τοῦτο ἡγούμην. ἔπειτ᾽ ἐφοβούμην ἄν, μὴ τὸν
ἄλλον ἑαυτοῦ βίον ὡς μέτριον δεικνύων καὶ φιλάν-
θρωπον, τούτῳ τὸ δίκην, ὧν ἐμὲ ὕβρικε, δοῦναι δια-
κρούσηται. νυνὶ δὲ τοσαῦτά ἐστι δὴ τἆλλα, ἃ πολλοὺς
ὑμῶν ἠδίκηκε, καὶ τοιαῦτα, ὥστε τούτου μὲν τοῦ δέους 237
ἀπήλλαγμαι· φοβοῦμαι δὲ πάλιν τοὐναντίον, μή, ἐ-
ἀκούητε. α. πειδὰν πολλὰ καὶ δεινὰ ἑτέρους ἀκούσητε ὑπ᾽ αὐ-

Ὅσα μὲν τοίνυν) Πληρώσας τοὺς ἀγῶνας, καὶ τὴν παρέκβασιν, καὶ τοὺς ἐπιλόγους τῆς παρεκβάσεως, ἐντεῦθεν 231
ἐπὶ τοὺς ἐπιλόγους τοῦ παντὸς λόγου κεχώρηκε. καὶ κέχρηται μὲν προοιμιακῇ ἐννοίᾳ, ἅτε δὴ μέλλων εἰς ὁλόκληρον
κεφάλαιον ἐμβάλλειν. χωρεῖ δὲ εὐθὺς ἐπὶ τὴν ἀνακεφαλαίωσιν, ἐν ᾗ παραλαμβάνει τὸ κατὰ σύλληψιν. ἀρχὴ δὲ
ἐκεῖθεν, οὐκ ἔστιν ἐφ᾽ ὅτῳ. συναγω-
γὴν γὰρ ποιεῖται τῶν τε ἰδίων καὶ τῶν
κοινῶν. ὅπερ ἐστὶ κατὰ σύλληψιν εἶδος.
Ἀλλ᾽ ἐπὶ μὲν τοῖς εἰς τὸν χορόν) 232
Ἐν τούτῳ τὸ δημόσιον, καὶ οὐκέτι
λέγει τὸν χορηγόν, ἀλλὰ τὴν φυλήν.
δεῖ γὰρ ὡς ἐν ἐπιλόγοις μείζους εἶναι
τὰς αὐξήσεις. Ἐπὶ δ᾽ οἷς ἐμὲ ὕ-
βρισεν) Ἐνδείκνυται τὸ ἀδίκημα,
καὶ φησὶν, ὅτι πάντα ἠδίκησε, τὴν
φυλήν, τοὺς νόμους, τὴν τύχην τῆς
πόλεως, τὸ δαιμόνιον τῆς ὁσίας, καὶ
αὐτὴν τὴν ὁσίαν, τὴν ἐφ᾽ ὁλο-
κλήρου πόλεως. τὸ γὰρ ὅσιον τέμνε-
ται, τὸ μέν τι εἰς εὐσεβές, ὅπερ ἐστὶ
περὶ θεούς· τὸ δέ, εἰς τὸ ὅσιον, τὸ δέ,
εἰς ὁλόκληρον πόλιν, τὸ δέ, εἰς ἕκα-
στον τῶν ἀνθρώπων. τὸ δέ, εἰς τοὺς τε-
λευτήσαντας. νῦν δὲ τὸ ὅσιον καὶ τὸ
σεμνόν, οὐ τὸ ἀνθρώπινον, φησίν, ἀλ-
λὰ τὸ θεῖον τὸ ἐφορῶν τὴν πανήγυ-
ριν. Ἐφ᾽ ἅπασι δὲ τούτοις) Ἀ- 233
θροισμὸν ποιεῖται πάντων ἐξ ὧν δη-
μόσιον τὸ ἀδίκημα. Ἀλλ᾽ ὡς ἐν 234
ταυτῷ, τῶν νόμων) Δοκῶν πεπαῦ-
σθαι τούτων, πάλιν ἄρχεται. τοῦτο γὰρ
ἴδιον δημοσθένους, τὸ πολλὰς εὑρί-
σκειν μεθόδους, ὡς τὰς ἰσχυρὰς λέ-
γοντα φεύγειν τὸ προσκορές. Καὶ
τοὺς συνεξεταζομένους) Μέλλων με-
τ᾽ ὀλίγον ἐκβάλλειν αὐτοῦ τοὺς συνη-
γόρους, ἐντεῦθεν ἤδη προδιαβάλ-
λει, συνεθίζων τοὺς δικαστὰς ταῖς
κατ᾽ αὐτῶν βλασφημίαις. συνεξε-
ταζομένους δέ, τοὺς ἅμα αὐτῷ φαι-
νομένους, καὶ συνδιατρίβοντας.
Ἀλλὰ καὶ δοκιμαστάς) Ἐπαινέ- 235
τας καὶ κρίνοντας εἶναι καλὰ τὰ γι-
νόμενα. Εἰ μὲν τοίνυν, ὦ ἄνδρες
ἀθηναῖοι) Ἐντεῦθέν ἐστιν, ἡ τῆς ποιό-
τητος ἐξέτασις, ἥτις ἐστὶ καθόλου,
ποταπὸς ὁ βίος τοῦ μειδίου. προεξ-
ήτασται μὲν γὰρ ἤδη ἐκ τῆς ποιότη-
τος, ἐν οἷς ἐπίορκον, ἄπιστον, ὠμόν,
δύστροπον, καὶ τὰ τοιαῦτα, τὸν μει-
δίαν ἀπέδειξεν. ἀλλ᾽ ἐκείνη μὲν ἡ
ποιότης, ἰδίαν εἶχεν ἐξέτασιν, ποτα-
πὸς γέγονε μειδίας περὶ αὐτὸν δη-
μοσθένην. καὶ γὰρ τὰ περὶ τὸν στρά-
τωνα καὶ πάντα ταῦτα, εἰς δημοσθένην εἶχε τὴν ἀναφοράν. νῦν δὲ τὴν καθολικὴν εἰσάγει ποιότητα, ποταπὸς
περὶ πᾶσαν γεγένηται τὴν πόλιν μειδίας. ἐπειδὴ γὰρ σώζεταί τις ἢ δι᾽ ἔλεον τῶν δικαστῶν, ἢ δι᾽ αὐτὸ τὸ πρᾶ-
γμα, ὃ μέλλει ὑφίστασθαι, μέγα ὄν, καὶ ὑπερβάλλον τὴν συνήθειαν, ἢ δι᾽ ἀξίωμα καὶ σεμνότητα, ὥστε δοκεῖν
αἰδοῦς ἄξιος εἶναι, ἢ δι᾽ ἐπιείκειαν καὶ μετριότητα, ἣν ἐπεδείξατο περὶ τὸν ἄλλον βίον, ἢ δι᾽ ἃ λελῃτούργηκε
φθάνων, ἢ δι᾽ ἃ προσδοκᾶται λειτουργήσειν, ἢ διὰ τοὺς συνηγοροῦντας, ἢ καὶ δι᾽ ἄλλα πλείω. διὰ τοῦτο καθέ-
καστον ἐν τοῖς ἐπιλόγοις ἐπεξέρχεται, πᾶσαν αὐτοῦ σωτηρίας ἀφορμὴν περικόπτων. πρῶτον οὖν ἐξετάζει ποτα-
πὸς εἰς τοὺς ἄλλους. Ἀτύχημ᾽ ἂν ἐμαυτοῦ) Ὅταν γὰρ περὶ τοὺς ἄλλους χρηστός, φαῦλος δὲ περὶ ἡμᾶς μόνους φανῇ, 236
δυστυχία σαφὴς τὸ γινόμενον. Νυνὶ δὲ τοσαῦτ᾽ ἐστὶ τἆλλα) Ἀγανακτεῖν ὑπὲρ τοῦ δήμου προσποιεῖται, ὡς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοὺς πεπονθότας, τοιοῦτός τις ὑμῖν λογισμὸς ἐμπέσῃ· τί οὖν; σὺ δεινότερα, ἢ τῶν ἄλλων εἷς ἕκαστος, πε-
238 πονθὼς ἀγανακτεῖς; πάντα μὲν δὴ τὰ τούτῳ πεπραγμένα, οὔτ' ἂν ἔγωγε δυναίμην πρὸς ὑμᾶς εἰπεῖν, οὔτ' ἂν ὑμεῖς ὑπομείναιτ' `ἂν' ἀκούειν, οὐδ' εἰ τὸ παρ' ἀμφοτέρων ὑμῶν ὕδωρ ὑπάρξειε πρὸς τὸ λοιπὸν πᾶν, τό, τε ἐμόν, καὶ τὸ τούτου
239 προστεθὲν, οὐκ ἂν ἐξαρκέσειεν. ἃ δ' ἐστὶ μέγιστα, καὶ φανερώτατα, ταῦτ' ἐρῶ. μᾶλλον δ' ἐκεῖνο ποιήσω, ἀναγνώσομαι μὲν ὑμῖν, ὡς ἐμαυτῷ γέγραμμαι, πάντα τὰ ὑπομνήματα. λέξω δ' ὅ, τι ἂν πρῶτον ἀκούειν βουλομένοις ὑμῖν ᾖ, τοῦτο πρῶ-
240 τον· εἶθ' ἕτερον, καὶ τἄλλα τὸν αὐτὸν τρόπον, ἕως ἂν ἀκούειν βούλησθε. ἔστι δὲ ταῦτα παντοδαπά, καὶ ὕβρεις πολλαί, καὶ περὶ τοὺς οἰκείους κακουργήματα, καὶ περὶ τοὺς θεοὺς ἀσεβήματα, καὶ τόπος οὐδείς ἐστιν, ἐν ᾧ τοῦτον οὐ θανάτου πεποιηκότα ἄξια
241 πολλὰ εὑρήσετε.

## Ὑπομνήματα τῶν Μειδίου ἀδικημάτων.

Ὅσα μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν ἀεὶ προστυχόντα αὐτῷ πεποίηκε, ταῦτ' ἐστί, καὶ πολλὰ ἕτερα παραλέλοιπα. οὐ γὰρ ἂν δύναιτο οὐδεὶς εἰ- *δικαστὰς a.*
242 σάπαξ εἰπεῖν, ἃ πολὺν χρόνον οὗτος ὑβρίζων συνεχῶς ἅπαντα τὸν βίον εἴργασται. ἄξιον δ' ἰδεῖν ἐφ' ὅσον φρονήματος ἤδη προελήλυθε, τῷ τούτων δίκην μηδενὸς δεδωκέναι. οὐ γὰρ ἡγεῖτο, ὡς ἐμοὶ δοκεῖ, λαμπρὸν, οὐδὲ νεανικὸν, οὐδὲ ἄξιον εἶναι θανάτου,
243 ὅ, τι ἄν τις πρὸς ἕνα εἷς διαπράττηται. ἀλλ' εἰ μὴ καὶ φυλὴν ὅλην καὶ βουλὴν καὶ ἔθνος προπηλακιεῖ, καὶ πολλοὺς ἀθρόους ὑμῶν ἅμα ἐλᾷ, ἀβίωτον ᾤετο ἔσεσθαι τὸν βίον αὐτῷ. καὶ τὰ μὲν ἄλλα σιωπῶ, μυρία ἂν ἔχων εἰπεῖν. περὶ δὲ τῶν συστρα-
244 τευσαμένων ἱππέων εἰς Ἀργοῦραν, ἴστε δήπου πάντες οἷα ἐδημηγόρησε παρ' ὑμῖν, ὅτε ἧκεν ἐκ Χαλκίδος, κατηγορῶν καὶ φάσκων, ὄνειδος ἐξελθεῖν τὴν

237 δεινὰ πεπονθότος. Σὺ δεινότερα, ἢ τῶν ἄλλων) Ἐν οἷς δοκεῖ φοβεῖσθαι μὴ διαφύγῃ, ἐν τούτοις μᾶλλον παροξύνει τοὺς δικαστάς. διὰ τί γὰρ αὐτὸν ἀξιώσετε συγγνώμης. ἢ διότι δεινότερα πεπόνθασιν οἱ ἄλλοι ὑπὸ Μειδίου;
238 ἀλλ' οὐ μᾶλλον ὀργισθήσεσθε, διότι κατὰ πολλῶν γέγονε τοιοῦτος; Τό, τε ἐμόν, καὶ τὸ τούτου προστεθέν) Μέτρον ἐλάμβανον ἐν τοῖς δικαστηρίοις ὕδατος οἱ ῥήτορες. οὗ πεπαυμένου ἐν τῷ ῥεῖν, ἐπαύοντο λέγοντες, ἴσως ἵνα μὴ φλυαρῶσιν, ἀλλὰ τῶν ἀναγκαίων ἔχωνται μόνων. λέγει οὖν, ὅτι τῷ λείποντί μου ὕδατι, πολὺ γὰρ τῷ λέγειν ἀνάλωται, εἰ προστεθείη αὖθις πᾶν τὸ μέτρον τό, τ' ἐμοὶ δοθὲν, καὶ ὃ δέδοται τῷ Μειδίᾳ, οὐκ ἂν ἐξαρκέσειε διηγουμένῳ μοι πάντα αὐτοῦ τὰ πλημ-
239 μελήματα. Ὡς ἐμαυτῷ γέγραμμαι) Σύνηθες τοῦτο ποιεῖν Δημοσθένει, ὅταν πλῆθος ἐνδείξασθαι βούληται. ὡς γὰρ μὴ δυνάμενος ἕκαστα μνημονεύειν, ἐκ γραμματείου τὴν ἀνάμνησιν ποιεῖται. ἔχει γὰρ ἐν ὑπομνήμασι συντόμως αὐτοῦ τὰ ἀδικήματα, ὡς καὶ ἐν ἀρχῇ εἶπεν, ὅτι συνέλεξεν ἀφ' ὧν ὑμῖν ἀναγνώσκων ἐρῶ παντοδαπὰ κακουργή-
240 ματα. Καὶ ὕβρεις πολλαί) Τὴν γὰρ ἐξ Ἀρείου πάγου βουλὴν ὕβρισεν εἰπὼν, μέλλετε καὶ τετύφωσθε. Καὶ περὶ τοὺς οἰκείους κακουργήματα) Κακουργήματα λέγει, τὰ κατὰ Κρατῖνον τὸν συνίππαρχον. τοὺς γὰρ συνάρχοντας, ὥσπερ οἰκείους νενομίκασιν. μικρὸν γὰρ ὕστερον ἐρεῖ ὡς ἵππαρχος ὤν, πολλὰς κατὰ τῶν ἱππέων ἐποιεῖτο διαβολὰς συνὼν αὐτοῖς. Καὶ τόπος οὐδείς ἐστι) Τόπον νῦν λέγει, οὐ κεραμικόν, οὐδὲ ἀγοράν, ἀλλὰ κατὰ τοὺς διαλεκτικούς, τὸ ἐπιχείρημα. οὐδὲν γάρ, φησὶν ἐπιχείρημα, οὐδὲ ἀφορμή τις ἀδικίας ἐστὶν, ἢ κακίας εἶδος, ὃ
241 οὗτος παραλέλοιπε. Τὸν ἀεὶ προστυχόντα αὐτῷ) Ἵνα μὴ ὡς ἀμυνόμενον, τὸν ἠδικηκότα ποιῇ, ἀλλὰ τὸν ἀπαντῶντα ἁπλῶς βλάπτῃ. Καὶ πολλὰ παραλέλοιφ' ἕτερα) Ἵνα μὴ δόξῃ ὡς φιλοπράγμων, ἅπαντα περιεργάζεσθαι ἀκριβῶς, δείκνυσι
242 πολλὰ παραλιπεῖν. Οὐδὲ ἄξιον εἶναι θανάτου) Οἷον ἄξιον γερῶν, καὶ τιμῆς τοσαύτης, ὡς θανάτου τυχεῖν.
243 Ἀλλ' εἰ καὶ μὴ φυλὴν ὅλην, καὶ βουλὴν, καὶ ἔθνος) Διὰ τὸν χορὸν καὶ τὴν βουλὴν τὴν Ἀρεοπαγῖτιν. εἶπε γὰρ τετύφωσθε, ὑβρίζων αὐτήν. ἔθνος δὲ νῦν τὸ τάγμα ἐμφαίνει τῶν ἱππέων. ἴσως δὲ φοβούμενος μὴ ὡς ἱππάρχῳ, βοηθήσουσι συστάντες οἱ ἱππεῖς, συγκρούειν πειρᾶται. ἅπερ δὲ ἐν τῷ γραμματείῳ ἀνέγνω, ταῦτα πάλιν κατὰ σχετλιασμὸν λέγει καὶ ἀναμιμνήσκει. Περὶ δὲ τῶν συστρατευσαμένων ἱππέων) Βούλεται τοὺς συνηγόρους αὐτοῦ παρελέσθαι. καὶ ἐπειδὴ δέδοικε τὸ τάγμα τῶν ἱππέων μὴ ὡς ἱππάρχῳ βοηθήσωσι, δείκνυσι, κἀκείνους ὑβρισμένους ὑπὸ Μειδίου. συστρατιώτην δὲ εἶπεν αὐτὸν, καὶ οὐχ ἵππαρχον. ἐπειδὴ γὰρ καὶ ἵππαρχοι στρατεύονται τοῖς ἱππεῦσιν, ἐκ τῆς κοινωνίας τῆς κατὰ τὴν στρατείαν, αὐτὸν ὠνόμασε.

Καὶ τὴν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Καὶ τὴν λοιδορίαν, ἣν ἐλοιδορήθη Κρατίνῳ) Στρατηγὸς ἦν οὗτος τῶν πεζῶν. τοῦ δὲ Μειδίου κατηγοροῦντος τῶν 244
ἱππέων, ὁ Κρατῖνος, ἅτε καὶ αὐτὸς ἵππαρχος ὤν, ἀντέλεγε, καὶ βοηθεῖν αὐτῷ* ἐπειρᾶτο. καὶ τοῦτον οὖν ὕβριζε. Καίτοι *αὐτοῖς.
πότερ' εἰσὶν ὑβρισταί, ὦ Μειδία) Τοῦτο σύνηθες Δημοσθένει, ὅταν ἐξελέγχῃ τινὰ κατηγορούμενον, ἀντιπεριιστᾶν τῶν 245
κατηγόρων τὰ* ὀνόματα. Οἱ δια- *ἐγκλήματα.
βάντες ἐν τάξει) Ὅταν μὴ ἔχῃ στρα-
τιώτας ἐκ τροπαίων ἐπαινεῖν, τὴν γνώ-
μην αὐτῶν θαυμάζει, καὶ τὴν ἀξίαν,
245 ὥσπερ ἐν τῷ περὶ στεφάνου, μὴ ἔχων
τοὺς ἐν Χαιρωνείᾳ σεμνύνειν ἐπὶ τοῖς
κατορθώμασιν, ἀπὸ τῆς περὶ τῆς μά-
χης αὐτοὺς ἐπῄνεσε, τῷ κόσμῳ, ταῖς
παρασκευαῖς, τῇ προθυμίᾳ. Ἐπ' 246
ἀστράβης δὲ ὀχούμενος) Εἶδος καθέ-
δρας, ἀστράβη, παρὰ τὸ μὴ στρεβλοῦ-
246 σθαι, μηδὲ στρέφεσθαι. ἔστι δὲ ἐπὶ πλεῖ-
στον εἰς ὕψος ἀνῆκον, ὥστε τῶν καθε-
ζομένων ἀνέχειν τὰ νῶτα. χρῶνται δὲ
αὐτῷ μάλιστα αἱ γυναῖκες. ἐπισκώ-
πτει δὲ διὰ τούτου, εἰς μαλακίαν καὶ
ἀσθένειαν, τὸν Μειδίαν. εἶτα ἵνα μὴ
ἀντιπέσῃ, τί οὖν εἰ κακοηθεὶς ἐχρή-
σατο ταύτῃ τῇ καθέδρᾳ; προσέθη-
247 κεν, ἐξ ἀργυρᾶς· τὸ γὰρ ἠργυρῶσθαι τὴν
καθέδραν, δεῖγμα ἦν τοῦ ἐπιτηδεύον-
τος καὶ ἐντρυφῶντος τούτῳ τῷ εἴδει. τὸ δὲ
καὶ ἐξ Εὐβοίας, ὅτι μὴ εἰωθότων τῶν Ἀ-
θήνησι τοιαύτας ἐργάζεσθαι, αὐτὸς ἐξ
Εὐβοίας ὠνήσατο. ἡ δὲ δημώδης, ἐξ
ἀργυρέας, ἔχει. ἀπὸ τόπου τῆς Εὐ-
248 βοίας. ἀλλὰ τὰ ἑξῆς δηλοῖ ὅτι μα-
λακίαν αὐτῷ καὶ τρυφὴν ὀνειδίζει,
χλανίδας λέγων, καὶ ἱμάτια τρυ-
φερὰ καὶ σκευὴν ἐπιτήδεια πρὸς ἀνει-
μένον βίον. Χλανίδας δὲ καὶ κυμ-
βία καὶ κάδους) Χλανίδας μὲν τὰς μι-
λησίας. κυμβία δὲ εἶδος ἐκπωμάτων.
249 κάδος δέ, κεραμεῖον ἀγγεῖον, ᾧ
χρῶνται πρὸς τὰς ῥύσεις τῶν ὑδά-
των, ἢ τὰς νῦν σίτλας. Ἄλλως. κυμ-
βίον εἶδος περικεφαλαίας, ἢ εἶδος
ἐκπώματος, ἐπίμηκες καὶ στενόν, καὶ
τῷ σχήματι παρόμοιον τῷ πλοίῳ, ὃ
καλεῖται κυμβίον. φέρων δὲ τὴν χρῆ-
250 σιν τῆς λέξεως Ἡρωδιανὸς ἐν τῇ κα-
θόλου φησὶ ῥητὰ καὶ κυμβία καὶ φιά-
λας. Οἱ πεντηκοστολόγοι) Τὰ μὲν 247
πολεμικὰ σκεύη, οὐκ ἐτελώνουν· ὅσα δὲ
ἦν εἰρηνικὰ καὶ πρὸς τρυφὴν συν-
τελοῦντα, κατεῖχον. Ταῦτα γὰρ εἰς
τοὺς ὁπλίτας ἡμᾶς; Ἐν καιρῷ, τὸν οἰ-
251 κεῖον εἰσήγαγεν ἔπαινον. οἱ γυναιότε-
ροι γὰρ ἐν τοῖς ὁπλίταις τάττονται. οὐ-
κοῦν οὐκ ἔτι λειποτάκτης ὁ Δημο-
σθένης, ἀλλὰ καὶ ἀνδρεῖος.

στρατιὰν ταύτην τῇ πόλει· καὶ τὴν λοιδορίαν, ἣν ἐλοι-
δορήθη Κρατίνῳ περὶ τούτων, ὡς ἐγὼ πυνθάνομαι,
μέλλοντι βοηθεῖν αὐτῷ, μέμνησθε. τὸ δὴ τοσούτοις ἀν- 245
θρώποις τῶν πολιτῶν ἔχθραν ἐπ' οὐδενὶ τηλικαύτην
ἀράμενον, πόσῃ πονηρίᾳ καὶ θρασύτητι ταῦτα
χρὴ νομίζειν πεπρᾶχθαι; καίτοι πότερ' εἰσίν, ὦ Μειδία,
ὑβρισταὶ τῇ πόλει οἱ διαβάντες ἐν τάξει, καὶ τὴν σκευὴν
ἔχοντες, ἣν προσήκει τοὺς ἐπὶ τοὺς πολεμίους ἐξιόν- 246
τας, καὶ συμβαλοῦντας τοῖς συμμάχοις, ἢ σύ, ὁ μη-
δὲ λαχεῖν εὐχόμενος τῶν ἐξιόντων, ὅτε ἐκληροῦ· τὸν
θώρακα δ' οὐδεπώποτε ἐνδύς, ἐπ' ἀστράβης δὲ ὀ-
*ἀργυρεᾶς. χούμενος ἐξ* ἀργυρᾶς τῆς Εὐβοίας, χλανίδας δέ,
καὶ κυμβία, καὶ κάδους ἔχων, ὧν ἐπελαμβάνοντο οἱ 247
πεντηκοστολόγοι. ταῦτα γὰρ εἰς τοὺς ὁπλίτας ἡμᾶς ἀ-
πηγγέλλετο. οὐ γὰρ εἰς ταὐτὸν ἡμεῖς τούτοις διέβημεν.
εἶτα εἴ σε ἐπὶ τούτοις ἔσκωπτεν Ἀρχετίων, εἴ τις ἄλλος,
*πάντα. ς. πάντας ἤλαυνες. εἰ μὲν γὰρ ἐποίεις ταῦτα*, ὦ Μειδία,
ἅ σέ φασιν οἱ συνιππεῖς, καὶ κατηγορεῖς ὡς λέγοιεν 248
περὶ σοῦ, δικαίως κακῶς ἤκουες. καὶ γὰρ ἐκείνους, καὶ τού-
τους, καὶ ὅλην τὴν πόλιν ἠδίκεις καὶ κατῄσχυνες. εἰ δὲ
μὴ ποιοῦντός σου, κατεσκεύαζόν τινες καταψευδόμε-
νοί σου, οἱ δὲ λοιποὶ τῶν στρατιωτῶν, οὐκ ἐκείνοις ἐπετί-
μων, ἀλλὰ σοὶ ἐπέχαιρον, δῆλον ὅτι ἐκ τῶν ἄλλων, ὧν 249
ἔζης, ἄξιος αὐτοῖς ἐδόκεις εἶναι τοιαῦτα ἀκούειν. σαυ-
τὸν οὖν μετριώτερον ἐχρῆν παρέχειν, οὐκ ἐκείνους
διαβάλλειν. σὺ δ' ἀπειλεῖς πᾶσιν, ἐλαύνεις πάντας·
τοὺς ἄλλους ἀξιοῖς, ὅ, τι σὺ βούλει, σκοπεῖν, οὐκ αὐτὸς
*λυπήσαις. σκοπεῖς, ὅ, τι μὴ* λυπήσῃς τοὺς ἄλλους, ποιῶν. καὶ τὸ δὴ 250
σχετλιώτατον καὶ μέγιστον ἔμοιγε δοκοῦν ὕβρεως εἶναι
σημεῖον, τοσούτων ἀνθρώπων, ὦ μιαρὰ κεφαλή, σὺ
παρελθὼν ἀνθρώπων κατηγόρεις. ὅ τις οὐκ ἂν ἔφριξε
ποιῆσαι τῶν ἄλλων. τοῖς μὲν γὰρ ἄλλοις ἅπασιν
ἀνθρώποις ὁρῶ τοῖς κρινομένοις, ὦ ἄνδρες δικασταί, ἓν 251
μὲν ἢ δύο ὄντα τἀδικήματα, ἃ κατηγοροῦνται λό-

Εἴ σε
ἐπὶ τούτοις ἔσκωπτεν) Εἷς τῶν ἱππέων κωμικώτερος ὤν, ἀπέσκωπτεν εἰς ταύτην αὐτοῦ τὴν τρυφήν. Εἰ μὲν γὰρ ἐποίεις
ταῦτα, ὦ Μειδία) Διῃρημένως λέγεται. οὗ τὸ μὲν πρῶτον μέρος, ἀκολουθίαν ἔχει. τὸ δὲ δεύτερον, σεσόφισται. εἰ ταῦτα
ἐποίεις, δικαίως κακῶς ἤκουες. *ὃ δέ, εἰς ἕτερον περιήγαγεν. εἰ δέ, μὴ ποιοῦντός σου, ἕτεροι ἀκούοντες ἐπέχαιρον, ἄξιος *τὸ δέ.
ἦσθα διὰ τὸν ἄλλον βίον τοῦ ταῦτα ἀκούειν, παρολκῇ γὰρ χρησάμενος, τὴν ἀκολουθίαν ἐσοφίσατο. Καὶ τὸ δὴ σχετλιώ- 250
τατον καὶ μέγιστον) Ὁ λέγων *ἐπαύσατο, τοῦτο εἰς κοινὸν εἰσάγει. τοσούτων, φησίν, ἀνθρώπων ἀθρόως κατηγορεῖς. λέγει δὲ τοὺς *ἔφθασατο.
ἱππέας ὅσπερ μέχρι νῦν ἐξήταζε. τίς οὖν ἡ παραλλαγὴ τούτων; ὅτι ἐκεῖ μὲν ὀνόματι τοὺς ἱππέας εἶπεν. ἐνταῦθα δὲ ἀν-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

251 εἴσω πλῆθος ἀνθρώπων ὠνόμασε. Τίς ὑμῶν ἐμοί τι συνοίδεν) Ὅπερ ἔλεγεν ὁ μειδίας, ταῦτα περιστρέφων αὐτὸς κατὰ τὴν ἀναίρεσιν εἰσήγαγεν, ὅτι οὐδέν ἐστιν αὐτῷ συνήθη ταῦτα, ἐπὶ δι᾽ ἔχθραν καταψευδομαρτυροῦμαι. Τοίνυν γὰρ
252 οὐδὲν ἐμοὶ συνίστε ὑμεῖς. Οὐκ ἀκηκόασι δὲ νῦν) Δεινότητα ἔχει τὸ ἐπιχείρημα, εἴγε μέμφονται τῷ κατηγόρῳ τινὲς, ὡς
253 οὐκ εἶπεν ἃ ἴσασιν αὐτοὶ τοῦ μειδίου ἀδικήματα.

γους δὲ ἀφθόνους τοιούτους ὑπάρχοντας, τίς ὑμῶν ἐμοί τι
σύνοιδε τοιοῦτον. τίς ὑμῶν ἐμὲ ταῦθ᾽ ἑώρακε ποιοῦν-
τα. οὐκ ἔστιν. ἀλλ᾽ οὔτοι δι᾽ ἔχθραν καταψεύδονταί μου.
252 καταψευδομαρτυρεῖσθαι τὰ τοιαῦτα. τούτῳ δ᾽ αὖ
τἀναντία τούτων. πάντας γὰρ ὑμᾶς εἰδέναι νομίζω τὸν
τρόπον τὸν τούτου, καὶ τὴν ἀσέλγειαν, καὶ τὴν ὑπερη-
φανίαν τὴν τοῦ βίου, καὶ πάλαι θαυμάζειν ἐνίους οἴο-
μαι, ὧν αὐτοὶ μὲν ἴσασιν, οὐκ ἀκηκόασι δὲ νῦν ἐμοῦ.
253 πολλοὺς δὲ τῶν πεπονθότων οὐδὲ πάνθ᾽ ὅσα ἠδίκην-
ται, μαρτυρεῖν ἐθέλοντας ὁρῶ, τὴν βίαν καὶ τὴν φιλο-
πραγμοσύνην ὁρῶντας τὴν τούτου, καὶ τὴν ἀφορ-
μὴν, ἣ τοῦτον ἰσχυρὸν καὶ φοβερὸν ποιεῖ τὸν κατάπτυστον
τουτονί. τὸ γὰρ ἐπ᾽ ἐξουσίας καὶ πλούτου πονηρὸν εἶναι καὶ
254 ὑβριστὴν, τεῖχός ἐστι πρὸς τὸ μηδὲν ἂν αὐτὸν ἐξ ἐπι-
δρομῆς παθεῖν. ἐπεὶ περιαιρεθεὶς οὗτος τὰ ὄντα. ἴσως
μὲν οὐκ ἂν ὑβρίζοι. εἰ δ᾽ ἄρα, ἐλάττονος ἄξιος ἔσται τοῦ
μικροτάτου παρ᾽ ὑμῖν. μάτην γὰρ λοιδορήσεται, καὶ
βοήσεται. δίκην δ᾽, ἂν ἀσελγαίνῃ τι, τοῖς ἄλλοις ἡμῖν
255 ἐξ ἴσου δώσει. νῦν δ᾽, οἶμαι, τούτου * προβέβληνται, * προβέβλην-ται. α.
Πολύευκτος, Τιμοκράτης, Εὐκτήμων ὁ κονιορτός. τοιοῦ-
τοί τινές εἰσι μισθοφόροι περὶ αὐτόν. καὶ πρὸς ἔτι τού-
τοις, ἕτεροι μαρτύρων συνεστῶσα ἑταιρεία, φανερῶς
μὲν οὐκ ἐνοχλούντων ἡμῖν, σιγῇ δὲ τὰ ψευδῆ ῥᾳστα
256 ἐπινευόντων. οὓς μὰ τοὺς θεοὺς οὐδὲν ὠφελεῖσθαι νο-
μίζω παρὰ τούτου. ἀλλὰ δεινοί τινές εἰσιν, ὦ ἄνδρες
Ἀθηναῖοι, φθείρεσθαι πρὸς τοὺς πλουσίους καὶ πα-
ρεῖναι καὶ μαρτυρεῖν. πάντα δὲ ταῦτα, οἶμαι, φοβερά
ἐστι τῶν ἄλλων ὑμῶν ἑκάστῳ, καθ᾽ ἑαυτὸν, ὅπως δύνα-
257 ται, ζῶντι. οὗπερ ἕνεκα συλλέγεσθε ὑμεῖς, ἵνα, ὧν καθ᾽
ἕνα ἐστὶν ἕκαστος ὑμῶν ἐλάττων, ἢ φίλοις, ἢ τοῖς οὖσιν, ἢ
τῶν ἄλλων τινὶ τούτων, * συλλεχθέντες ἑκάστου κρείττους * συλλεγέντες. α.β.ε.
τε γίγνεσθε, καὶ παύητε τὴν ὕβριν. τάχα τοίνυν καὶ

Οὐδὲ πάνθ᾽ ὅσα ἠδίκηνται) Ἄλλο βαρύτερον ὅτι φοβοῦνται δημοσιεῦσαι οἱ πεπονθότες, ἃ μειδίας ἐποίησεν. εἰ γὰρ ἐρεῖ ἕκαστος, πείσεταί τι δεινότερον ὁ φθεγγόμενος.

254 Μηδὲν ἂν αὐτὸν ἐξ ἐπιδρομῆς παθεῖν) Ἐκ τοῦ εὐθέως καὶ εὐκόλως ἐπιδραμόντα. πραγματείας γὰρ δεῖ πολλῆς ἵνα διαρρήξῃ τις τῆς δυναστείας τὸ τεῖχος· προβέβληνται γὰρ αὐτοῦ καὶ τειχίζουσιν αὐτόν. Μάτην γὰρ λοιδορήσεται) Δείκνυσιν ὁ δημοσθένης, ὅτι τὰς παρὰ τῶν πλουσίων ὕβρεις, μάλιστα χρὴ χαλεπὰς νομίζειν· ἐὰν γὰρ, φησὶ, περιαιρεθῇ τὰ ὄντα, κἂν ὑβρίζῃ, μάτην βοήσει. τῶν γὰρ οἰκτρῶν καὶ τῶν ἀπερριμμένων, κἂν τὰ αἴσχιστα λέγωσι, καταφρονεῖν εἰώθαμεν.

255 Νῦν δὲ, οἶμαι, τούτου προβέβληνται) Κατ᾽ ὀλίγον αὐτοῦ περικόπτει τοὺς συνηγόρους· τοὺς μὲν ἱππέας τῷ τρόπῳ τῷ προειρημένῳ, τοὺς δ᾽ ἄλλους, διὰ τοῦ κακίζειν. ἐπειδὴ γὰρ ἐγχωρεῖ τὸν μειδίαν καὶ εἰς μαρτυρίαν τινὰς τούτων παραγαγεῖν, προδιαβάλλει τὴν ποιότητα αὐτῶν, μισθοφόρους καλῶν, καὶ ἑταιρείαν τὸ κατ᾽ αὐτοὺς, ἵνα μὴ διὰ τούτων λάβῃ χώραν ἡ μαρτυρία. τίς γὰρ πιστεύσει τούτοις, οἳ κολακεύειν τὸν μειδίαν εἰώθασι; κατὰ μικρὸν δὲ εἰς τυραννίδα ἀναφέρει τὸ πρᾶγμα. ὅπου γὰρ μισθοφόροι καὶ δορυφόροι, τὰ τῆς τυραννίας ἐγγύς. Εὐκτήμων ὁ κονιορτὸς) Ὃν ἐμισθώσατο κατήγορον. Μαρτύρων συνεστῶσα ἑταιρεία) ἁμιλλῶνται πρὸς τοὺς κατηγόρους οἱ μάρτυρες. οἱ μὲν, ποιοῦνται γραφήν. οἱ δὲ, τὴν πίστιν σοφίζονται. διὰ τοῦτο γὰρ καὶ συνεστῶσα εἶπεν, ἵνα μάθῃς τοῦ συγκροτήματος τὴν μανίαν. γράφου θαρσῶν, ὦ τιμόρκατες. βοῶσιν οἱ μάρτυρες. κἂν δυσχεραίνῃς περὶ τὸν ἔλεγχον, ἐγὼ τῇ μαρτυρίᾳ τοὺς δικαστὰς * ἀπ᾽ αὐτῶν. Φανερῶς μὲν οὐκ ἐνοχλούντων) Ἐφοβοῦντο γὰρ ψευδομαρτυρίας ἁλῶναι φανερῶς ἀναισχυντοῦντες. Σιγῇ δὲ τὰ ψευδῆ ῥᾷστ᾽ ἐπινευόντων) Οἱ γὰρ ἔξωθεν σπουδάζοντες, ἐπειδὰν ὁ κατήγορος λέγῃ τὰ ἀδικήματα, λάθρα καὶ πόρρωθεν ἀνανεύουσι τοῖς δικασταῖς ἐνδεικνύμενοι, μηδὲν ἀληθὲς εἶναι τῶν λεγομένων. ῥᾷστον δὲ τὸ τοιοῦτον καὶ ἀκίνδυνον. Οὓς μὰ

* ἀπ᾽ αὐτῶν βοηθήσωσι.

256 τοὺς θεοὺς) Μισθοφόρους εἰπὼν, ἐφοβήθη μὴ πρὸς τὸν μισθὸν ἀπίδωσιν οἱ δικασταὶ, ὡς εἰωθότος τοῦ μειδίου χρήματα διδόναι τοῖς συναγωνιζομένοις. ἵνα μὲν οὖν μὴ πρὸς τὸ κέρδος οἱ δικασταὶ χαυνωθῶσι, μεθ᾽ ὅρκου τὴν ἄρνησιν ἐποιήσατο, μηδὲν ὠφελεῖσθαι παρ᾽ αὐτοῦ τοὺς σπουδάζοντας. καὶ ἂν ὡς προσαίτιον ἀναιρεῖ. ἴσως ἐπανορθοῖ τὸν βίον αὐτοῖς. παραμυθεῖται τὴν ἔνδειαν. διὸ καὶ αὐτοὶ σώζουσιν ὡς εὐεργέτῃ τὴν εὔνοιαν ἐν ταῖς χρείαις διακονούμενοι. ἐκβάλλει τοίνυν ὅρκῳ τὴν δόξαν. Ἀλλὰ δεινοί τινές εἰσι) Ἕτερον αἴτιον εἰσάγει, καὶ πάθος. ὄντως πεφύκασί τινες συνάπτειν ἑαυτοὺς τοῖς πλουσίοις, καὶ κολακεύειν, καὶ ὑπηρετεῖν εἰς ἃ βούλονται. ὃ δὴ καὶ φθείρεσθαι ὀνομάζει. φθορὰ γὰρ τὸ τὰς τῶν ἄλλων ἕπεσθαι γνώμαις. ὅθεν ἐπάγει, ὡς οὐκ ἀνεκτὰ ταῦτα τοῖς ἐλευθέροις, καὶ μετρίοις, τὰ συγκροτήματα. ὑποπτεύεται γὰρ ταχέως.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γὰρ ταχέως. τὸ δὲ συνεχέστερον λέγειν, ἰσχυρότερον ἀποφαίνων τὸ δικαστήριον. εἰ γὰρ καὶ ἰδίᾳ ὑμῶν ἕκαστος ἡττᾶται τῶν πλουσίων, ἀλλ' ὅταν εἰσίητε κρίνοντες κύριοι ὄντες τοῦ δικαστηρίου, κυριώτεροί ἐστε τοῦ διαφθεῖραι καὶ λῦσαι αὐτῶν τὴν δύναμιν. Τί δὴ ταῦτα, καὶ ταῦτα, πεπονθώς) Ἐνήλλαξε διὰ τῆς λέξεως τὴν δύναμιν τῆς ἀντιθέσεως. ὁ μὲν γὰρ Μειδίας, ἐκείνως ἂν προήγαγεν, οὐδεὶς παρ' ἐμοῦ πέπονθε δεινόν. οὐδὲ κατηγορῆσαί τις ἐτόλμησεν. ὁ δέ, τῷ μὲν μηδένα κατηγορηκέναι συνέδραμε, τὴν δὲ αἰτίαν ἐνήλλαξε. θαυμάζειν γάρ φησι διὰ τί πολλοὶ παθόντες οὐ κατηγόρησαν. καὶ πεποίηκεν οὐκ ἀντίθεσιν μᾶλλον εἰσάγοντα, ἢ ὁμολογίαν καθ' ἑαυτοῦ τῶν ἀδικημάτων. τεχνικώτατα δὲ πάλιν τὸν Μειδίαν λεληθότως ὁμολογοῦντα τὴν δυναστείαν ποιεῖ. ὅταν γὰρ ὀνειδίζῃ τῷ Δημοσθένει, ὅτι πολλοὺς καὶ ἄλλους ἠδίκησα, καὶ κατὰ τοῦ δεῖνος καὶ τοῦ δεῖνος ἐχώρησα, καὶ οὐδεὶς ἔλαβε δίκην παρ' ἐμοῦ, οὐδεὶς ἐτόλμησε κατ' ἐμοῦ καθίσαι εἰς δικαστήριον, σὺ μόνος ὑπερβαίνεις τὴν τάξιν μετὰ τῶν νόμων, ὁπλίζῃ τὴν δυναστείαν προβαλλόμενος, πῶς οὐ βεβαιοῖ σαφῶς τῆς τυραννίδος τοῖς οἰκείοις λόγοις τὴν μνήμην. 257

[margin: ª προσήγαγεν, · ª ἐγὼ μόνος ὑπερβαίνω τὴν τάξιν μετὰ τῶν νόμων, ὁπλίζομαι τὴν]

τοιοῦτός τις ἥξει πρὸς ὑμᾶς λόγος, τί δὴ ταῦτα, καὶ ταῦτα, πεπονθὼς ὁ δεῖνα, οὐκ ἐλάμβανε δίκην παρ' ἐμοῦ. ἢ τί 258 δὴ πάλιν. ἄλλον ἴσως τινὰ τῶν ἠδικημένων ὀνομάζων. ἐγὼ δὲ δι' ἃς μὲν προφάσεις ἕκαστος ἀφίσταται τοῦ βοηθεῖν ἑαυτῷ, πάντας ὑμᾶς εἰδέναι νομίζω. καὶ γὰρ ἀσχολία, καὶ ἀπραγμοσύνη, καὶ τὸ μὴ δύνασθαι λέγειν, καὶ ἀπορία, καὶ μυρί' ἐστὶν αἴτια. οὐ προσήκειν μέν 259 τοι τούτῳ μὴ ταῦτα λέγειν ἡγοῦμαι νῦν, ἀλλ' ὡς οὐ πεποίηκέ τι τούτων, ὧν αὐτοῦ κατηγόρηκα, διδάσκειν. ἐὰν δὲ μὴ δύνηται, διὰ ταῦτ' ἀπολωλέναι πολὺ μᾶλλόν ἐστι δίκαιος. εἰ γὰρ τηλικοῦτός τις ἐστίν, ὥστε τοιαῦτα ποιῶν, δύνασθαι καθ' ἕνα ἡμῶν ἕκαστον ἀποστερεῖν τοῦ 260 δίκης παρ' αὐτοῦ τυχεῖν κοινῇ νῦν, ἐπειδήπερ εἴληπται, πᾶσιν ὑπὲρ ἁπάντων ἐστὶ τιμωρητέος, ὡς κοινὸς ἐχθρὸς τῇ πολιτείᾳ. λέγεται τοίνυν ποτὲ ἐν τῇ πόλει κατὰ τὴν παλαιὰν ἐκείνην εὐδαιμονίαν, Ἀλκιβιάδης γενέσθαι. ᾧ σκέψασθε τίνων εὐεργεσιῶν ὑπαρ- 261 χουσῶν, καὶ ποίων τινῶν πρὸς τὸν δῆμον, πῶς ἐχρήσανθ' ὑμῶν οἱ πρόγονοι, ἐπειδὴ βδελυρὸς καὶ ὑβριστὴς ᾤετο δεῖν εἶναι. καὶ οὐκ ἀπεικάσαι δήπου Μειδίαν Ἀλκιβιάδῃ βουλόμενος, τούτου μέμνημαι τοῦ λόγου. οὐχ οὕτως εἰμὶ ἄφρων, οὐδ' ἀπόπληκτος ἐγώ. ἀλλ' ἵν' εἰ- 262 δῆτε ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ γνῶθ' ὅτι οὐδέν ἐστιν, οὔτ' ἔσται, οὐ γένος, οὐ πλοῦτος, οὐ δύναμις, ὃ τοῖς πολλοῖς ὑμῶν, ἂν ὕβρις ᾖ, προσήκει φέρειν. ἐκεῖνος γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, λέγεται πρὸς πατρὸς μὲν, Ἀλκμαιωνιδῶν εἶναι, τούτους δέ φασιν ὑπὸ τῶν τυράννων 263

D

Ἀφίσταται τοῦ βοηθεῖν ἑαυτῷ) Οὐδείς, φησιν, οὐδὲ βοηθεῖν ἑαυτῷ λοιπὸν ἰσχύει, τὸν Μειδίαν φοβούμενος. εἶτα συνάγει πολλὰς προφάσεις, δι' ἃς ἕκαστος τὴν ἡσυχίαν ἀσπάζεται, προσκρούειν αὐτῷ μὴ βουλόμενος. 258

Καὶ γὰρ ἀσχολία, καὶ ἀπραγμοσύνη) Ἀσχολία, διὰ τὴν τέχνην. ἀπραγμοσύνη, διὰ τὸν τρόπον. καὶ τὸ μὴ δύνασθαι λέγειν διὰ τὴν φύσιν. δι' ὧν δὲ αἰτίαν ἀποδίδωσι τοῖς ἠδικημένοις, ὅτι μὴ κατηγόρησαν, διὰ τούτων τὰ ἐναντία τῷ Μειδίᾳ περιάπτει, ὅτι φιλοπράγμων, ὅτι μηδενὶ σχολάζων, ὡς κοινὸς ἐχθρὸς τῇ πολιτείᾳ. τὸν δὲ κατάλογον τῶν ἀδικημάτων αὐτοῦ εἰπών, τέλος τύραννον ἀπέφηνεν.

Ἐπειδήπερ εἴληπται) Ἐπειδὴ ὑπὸ χεῖρα γέγονε, καὶ εἴσω τῶν δικτύων γεγένηται. 260

Λέγεται τοίνυν ποτὲ ἐν τῇ πόλει) Μεταβέβηκεν ἐφ' ἕτερον μέρος ἐπιλόγων, δι' οὗ πειρᾶται δεικνύναι μὴ ὄντα αἰδοῦς ἄξιον τὸν Μειδίαν. ἐλέγετο γὰρ ἓν καὶ τοῦτο εἶναι τῶν δυναμένων ἀεὶ σώζειν τοὺς ἀδικοῦντας. τῆς δὲ αἰδοῦς, οὐχ ἓν εἶδος, ἀλλὰ τὰ πολλὰ πλείους. αἰδῶς γὰρ τυγχάνει τις, διὰ λαμπρότητα γένους, ἢ διὰ στρατηγίας καὶ πράξεις οἰκείας, ἢ διὰ φιλοτιμίας τὰς περὶ τὴν πόλιν. βουλόμενος οὖν διαφόρως ἐξετάσαι μὴ προσόντα ταῦτα τῷ Μειδίᾳ, τὸν Ἀλκιβιάδην συνήγαγεν, οὐχ ἵνα συγκρίνῃ πρὸς αὐτὸν τὸν Μειδίαν, ἀλλ' ἵνα ἐξετάσῃ τὰ Μειδίου ἀδικήματα. πρὸς δὲ τούτοις ἵνα δείξῃ κἀκεῖνο, ὅτι τηλικοῦτος ὢν Ἀλκιβιάδης, οὐκ ἔτυχεν αἰδοῦς ἐφ' ὧν ἀδικήσας, καὶ ὑβρίσας ἐφάνη. πῶς οὖν αἰδεσθήσεσθε Μειδίαν, ᾧ μηδὲν τούτων πρόσεστι.

Καὶ οὐκ ἀπεικάσαι δήπου Μειδίαν) Θεραπεία διὰ τὸ τῶν προσώπων διάφορον. παλαιὰν δὲ εὐδαιμονίαν εἶπεν, ὅτε εἶχον τῆς Ἑλλάδος τὴν ἡγεμονίαν. 261

Πρὸς πατρὸς μὲν Ἀλκμαιωνιδῶν) Πρόφασιν ἑαυτῷ δίδωσι καὶ τὸ ἐπεξετάσαι τὸ Μειδίου γένος.

Τούτους δέ φασιν ὑπὸ τῶν τυράννων) Ἑτέρας προφάσεως οὔσης δι' ἣν ἐστασίασαν, ἄλλην εἶπεν ὁ ῥήτωρ. ὁ μὲν Μεγακλῆς, τῆς μιᾶς στάσεως. ὁ δὲ Ἱπποκράτης ὁ Πεισιστράτου πατήρ, τῆς ἑτέρας. ª ἐπήραντο δὲ οἱ στασιάζοντες, οἵ τε παράλιοι καὶ οἱ παράκτιοι. νικησάντων δὲ τῶν Ἱπποκράτους καὶ Πεισιστράτου, καὶ τυράννου καταστάντος τοῦ Πεισιστράτου, φοβηθεὶς ὁ Μεγακλῆς, συνῆψε τὴν θυγατέρα τῷ Πεισιστράτῳ. χρωμένου δὲ αὐτῇ παρὰ φύσιν ἐκείνου, προέμενος ὁ Μεγακλῆς τὴν θυγατέρα ᵇ ἀφέλκυσε. καὶ ᾤχετο αὐτὸς εἰς Δελφούς. τότε δὲ ἐμπρησθέντος τοῦ νεὼ τοῦ Ἀπόλλωνος ἐκήρυξαν οἱ Δελφοὶ τὸν βουλόμενον μισθώσασθαι πρὸς κατασκευὴν τοῦ νεώ. ὁ Μεγακλῆς οὖν ἐδέξατο. καὶ λαβὼν δέκα τάλαντα, τρία μὲν ἀνήλωσεν εἰς τὴν κατασκευήν. ἐκ δὲ τῶν ἑπτά, δύναμίν τινα συνήθροισε. καὶ πείσας Λακεδαιμονίους βοηθεῖν ἐπὶ τὰς Ἀθήνας, Πεισίστρατον μὲν οὐκ ἔτι ζῶντα κατέλαβεν. Ἱππίαν δὲ τὸν ἐκείνου παῖ- 263

[margin: ª ἐπῆραν. ᵇ ἀπήλασε.]

263 διὰ τὸ τυραννοῦντα ἐξέβαλε. Στασιάσαντας ἐκπεσεῖν) Φιλοῦντες γὰρ τὴν δημοκρατίαν, τοῖς Πεισιστρατίδαις ἀντέστησαν. καὶ οὕτως ἐφυγαδεύθησαν. εἶτα δανεισάμενοι χρήματα αὐτοὶ οἱ Ἀλκμαιωνίδαι, συνήγαγον δύναμιν. καὶ ἐπιθέμενοι τοῖς τυράννοις, καθεῖλον, καὶ ἠλευθέρωσαν τὴν πόλιν. Πρὸς δὲ μητρὸς Ἱππονίκου) Καὶ τοῦτο ἔνδοξον τὸ γένος παρὰ τοῖς Ἀθηναίοις. ἦν γὰρ Καλλίας μὲν, ὁ προπάτωρ, ὁ δᾳδουχήσας ἐν Σαλαμῖνι. Ἱππόνικος δὲ τούτου παῖς. οὗ παῖδες, Καλλίας ὁ τὴν θρυλλουμένην εἰρήνην ποιησάμενος πρὸς τὸν Πέρσην, καὶ ἡ μήτηρ Ἀλκι-
264 βιάδου. Καὶ ταύτης τῆς οἰκίας) Τί παρενοχλῶ, φησί, διηγούμενος; ἴστε πόσοι τούτου τοῦ γένους, ταύτης τῆς ῥίζης ἐβλάστησαν ὄρπηκες. Θέμενος τὰ ὅπλα) Ὑπὲρ τῆς πόλεως ἀντιταξάμενος. κατὰ Σικελίαν γὰρ ὄντων τῶν Ἀθηναίων περὶ Σάμου καθόδου τυχεῖν, ἐκεῖ μετὰ τῶν στρατιωτῶν ἐπολέμησε. Τρίτον δ' ἐν αὐτῇ τῇ πόλει) Ὅτε τὰς προσβολὰς ἐποιοῦντο πρὸς τὸ τεῖχος ἐκ Δεκε-
265 λείας οἱ Λακεδαιμόνιοι. Ἔτι δὲ ἵππων Ὀλυμπίασιν) Λαμπρὸν αὐτὸν καὶ ἐν πολέμοις, καὶ ἐν τοῖς κατὰ τὴν εἰρήνην ἀποφαίνει· σημεῖον γὰρ ἦν καὶ τὸ νικᾶν Ὀλυμπίασι. ἔοικε δὲ δηλῶσαι, ὅτι καλῶς οὗτος τῷ πλούτῳ ἐχρῆτο. Καὶ στρατηγὸς ἄριστος) Εἰρήκαμεν ὅτι κατ' ἀμφοτέρους τοὺς καιρούς, παρεῖχεν αὐτῷ τὰ πρωτεῖα. Ποιήσαντες φυγάδα ἐξέβαλον) Καίτοι οὐκ ἐποίησαν αὐτὸν οἱ Ἀθηναῖοι φυγάδα, ἀλλ' ἐπειδὴ κληθεὶς οὐχ ὑπήκουσε, κατεψηφίσαντο
267 μὴ ἐν τῇ πόλει εἶναι. Εἶρξεν Ἀγάθαρχον) Ζωγράφος οὗτος ὤν, ἐφωράθη συνὼν τῇ παλλακίδι τοῦ Ἀλκιβιάδου. ὃν λαβὼν καθεῖρξε καὶ κατὰ τοῦτο ἥμαρτε μὴ παραδοὺς τοῖς νόμοις. ἀποσιωπᾷ δὲ τὸ ἁμάρτημα, ὡς μικρόν, ἵνα μεῖζόν τι ὑποπτεύσωσιν οἱ δικάζοντες. τὸ ἀμφισβητούμενον οὖν ὡς ὁμολογούμενον ἔθηκεν. εἶχε γὰρ αὐτῷ συναγωνιζομένην τὴν κατάγνωσιν τοῦ δήμου. τινὲς δὲ τὸ εἶρξεν, ὅτι ἐξέωσε τοῦ θεάτρου ὡς ἀσελγῆ. διὸ καὶ εἶπεν, ὅπερ οὐδὲ ὀνειδίζειν ἄξιον. Τοὺς Ἑρμᾶς περιέκοπτεν) Ἐν μιᾷ γὰρ νυκτί, εὑρέθησαν οἱ Ἑρμαῖ περικοπέντες, καὶ ὑπωπτεύθη ὁ Ἀλκι-
268 βιάδης. Τὸ δ' ὅλως, ἀφανίζειν ἱερὰν ἐσθῆτα) Ἱερὰ μὲν ἡ ἀρχαία εἶχε, ἐκφαντικὸς οὖσα πολλῶν, τῶν στεφάνων, ἐσθῆτος, αὐτῆς τῆς ἐν ἱερῷ πανηγύρεως, καὶ ταύτην ὕβρισε. ἐπεὶ τό γε τὴν ἐσθῆτα περιθεῖναι, πολλὴν
269 εἶχε τὴν ἐλάττωσιν. Τίς ὢν) Ἀλκμαιωνίδης ὢν ἀπὸ Ἱππονίκου γνωριζόμενος. Καὶ τίσι ταῦτ' ἐνδεικνύμενος) Ὑπὸ τίνος ἠδικημένος, τίσι χορηγοῖς παροξύνοντες, τοῖς ζωγράφου κεκινημένος εἰς ἀγανάκτησιν. Πρὸς τὸ μὴ καλὸν μηδὲ θεμιτὸν) Καλὸν μὲν ἴσως πρὸς τοὺς ζῶντας, θεμιτὸν δὲ πρὸς τοὺς κατοιχομένους. Τοιούτων ἀνδρῶν οὖσιν
270 ἀπογόνοις) Τῶν κεκολακότων τὸν Ἀλκιβιάδην. Καὶ μηδένα μηδαμόθεν) Μὴ ἀπὸ γένους, μὴ ἀπὸ στρατηγίας, μὴ ἀπὸ λόγων, μὴ ἀπὸ ἐπιεικείας. Ἢ χάριτός τινος) Ἐνταῦθα δείκνυσιν, ὅτι οὐκ ἔστιν ἄξιος αἰδοῦς. τὸ γὰρ χάριτος τοῦτο βούλεται

ὑπὲρ τοῦ δήμου στασιάσαντας ἐκπεσεῖν. καὶ δανεισαμένους χρήματα ἐκ Δελφῶν, ἐλευθερῶσαι τὴν πόλιν, καὶ τοὺς Πεισιστράτου παῖδας ἐκβαλεῖν. πρὸς
264 δὲ μητρὸς, Ἱππονίκου, καὶ ταύτης τῆς οἰκίας, ἧς ὑπάρχουσι πολλαὶ καὶ μεγάλαι πρὸς τὸν δῆμον εὐεργεσίαι. οὐ μόνον δὲ ταῦθ' ὑπῆρχεν αὐτῷ, ἀλλὰ καὶ αὐτὸς ὑπὲρ τοῦ δήμου θέμενος τὰ ὅπλα, δὶς μὲν ἐν Σάμῳ, τρίτον δ' ἐν αὐτῇ τῇ πόλει, τῷ σώματι τὴν
265 εὔνοιαν, οὐ χρήμασιν, οὐδὲ λόγοις ἐνεδείξατο τῇ πατρίδι. ἔτι δ' ἵππων Ὀλυμπίασιν ἀγῶνες ὑπῆρχον αὐτῷ, καὶ νῖκαι, καὶ στέφανοι, καὶ στρατηγὸς ἄριστος, καὶ λέγειν ἐδόκει πάντων, ὥς φασιν, εἶναι δεινότατος. ἀλλ' ὅμως οἱ κατ' ἐκεῖνον τὸν χρόνον ἡμέτεροι πρόγονοι,
266 οὐδενὸς τούτων αὐτῷ συνεχώρησαν ὑβρίζειν αὐτούς· ἀλλὰ ποιήσαντες φυγάδα, ἐξέβαλον, καὶ Λακεδαιμονίων ἰσχυρῶν ὄντων τότε, καὶ Δεκέλειαν αὖθις ἐπιτειχισθῆναι, καὶ τὰς ναῦς ἁλῶναι, καὶ πάντα ὑπέμειναν ὁτιοῦν ἄκοντες παθεῖν, κάλλιον εἶναι νομίζοντες, ἢ αὐτοῖς
267 ἑκόντες ὑβρίζεσθαι συγχωρῆσαι. καίτοι τί τοσοῦτον ἐκεῖνος ὕβρισεν, ἡλίκον οὗτος νῦν ἐξελήλεγκται; Ταυρέαν ἐπάταξε χορηγοῦντα ἐπὶ κόρρης; ἔστω ταῦτα, ἀλλὰ χορηγῶν γε χορηγοῦντα τοῦτ' ἐποίησεν, οὔπω τόνδε τὸν νόμον παραβαίνων. οὐ γὰρ ἔκειτό πω. εἶρ-
268 ξεν Ἀγάθαρχον τὸν γραφέα· καὶ γὰρ ταῦτα λέγουσι. λαβών γέ τι πλημμελοῦντα, ὥς φασιν, ὅπερ οὐδὲ γ' ἐπ.
ὀνειδίζειν ἄξιον. τοὺς Ἑρμᾶς περιέκοπτεν. ἅπαντα μὲν, οἶμαι, τὰ ἀσεβήματα, τῆς αὐτῆς ὀργῆς δίκαιον ἀξιοῦν. τὸ δ' ὅλως, ἀφανίζειν ἱερὰν ἐσθῆτα, ἔασθ' ὅ, τι τοῦ περι-
269 κόπτειν τοὺς Ἑρμᾶς διαφέρει; οὐκοῦν οὗτος ἐξελήλεγκται τοῦτο ποιῶν. αὐτῷ μὲν δὴ τίς ὤν, καὶ τίσι ταῦτ' ἐνδεικνύμενος. μὴ τοίνυν ὑμῖν πρὸς τὸ μὴ καλὸν, μηδὲ θεμιτὸν νομίζετε, ἄνδρες δικασταί, μηδ' ὅσιον εἶναι, τοιούτων ἀνδρῶν οὖσιν ἀπογόνοις, πονηρὸν καὶ
270 βίαιον καὶ ὑβριστὴν λαβοῦσιν ἄνθρωπον, καὶ μηδένα μηδαμόθεν, συγγνώμης, ἢ φιλανθρωπίας, ἢ χάριτός τινος

βούλεται σημαίνειν. Τῶν στρατηγιῶν) Ἀφορμὴν λαβὼν ἐκ τῆς κατὰ Ἀλκιβιάδην, ὅτι στρατηγὸς ἄριστος, ἀντεξετά- 270
ζει τὴν στρατηγίαν τοῦ Μειδίου, οὐ κατὰ σύγκρισιν, ἀλλὰ κατὰ ἀντίθεσιν. διὸ καὶ εἶπεν, ἀλλ' οὐδὲ καθ' αὑτὸν στρατιώτης· πῶς
οὖν ἀϊδοῦς ἄξιος. Μή τι τῶν ἄλλων ἡγεμών) Οὐκ ἀπέδειξε, τὸ τῶν ἄλλων ἡγεμόνα. φθάνει γὰρ προαποδείξας, ὅτι δει-
λὸς καὶ ἀσθενής. Γένους ἕνεκα νὴ 271

ἀξιῶσαι. τίνος γὰρ ἕνεκα, τῶν στρατηγιῶν; ἀλλ' οὐδὲ καθ' αὑτὸν στρατιώτης ἐστὶν οὐδενός ἐστιν ἄξιος, μήτι γε τῶν ἄλλων ἡγεμών. ἀλλὰ τῶν λόγων; ἐν οἷς κοινῇ μὲν οὐδὲν πώποτ' εἶπεν ἀγαθὸν, κακῶς δὲ ἰδίᾳ πάντας ἀνθρώ- 271
πους λέγει. γένους ἕνεκα νὴ Δία; καὶ τίς οὐκ οἶδεν ὑμῶν τὰς ἀπορρήτους, ὥσπερ ἐν τραγῳδίᾳ, τὰς τούτου γονάς; ᾧ δύο τὰ ἐναντιώτατα συμβέβηκεν εἶναι. ἡ μὲν γὰρ ὡς ἀληθῶς μήτηρ, ἡ τεκοῦσα αὐτὸν, πλεῖστον ἁπάντων ἀνθρώπων εἶχε νοῦν. ἡ δὲ δοκοῦσα καὶ ὑποβαλλομέ- 272
νη, πασῶν ἀνοητοτάτη γυναικῶν. σημεῖον δέ. ἡ μὲν γὰρ, ἀπέδοτο εὐθὺς γενόμενον, ἡ δ' ἐξὸν αὐτῇ βελτίω πρίασθαι *τῆς ἴσης τιμῆς, τοῦτον ἠγόρασε. καὶ γάρ τοι διὰ τοῦτο *τῶν προσηκόντων ἀγαθῶν κύριος γεγονὼς, καὶ πατρίδος *τετυχηκὼς, ἣ νόμοις τῶν ἁπασῶν πόλεων 273
μάλιστα οἰκεῖσθαι δοκεῖ, οὐδένα, οἶμαι, τρόπον φέρειν, οὐδὲ χρῆσθαι τούτοις δύναται. ἀλλὰ τὸ τῆς φύσεως ὡς ἀληθῶς βάρβαρον καὶ θεοῖς ἐχθρὸν, ἕλκει καὶ βιάζεται, καὶ φανερὸν ποιεῖ, τοῖς παροῦσιν, ὥσπερ ἀλλοτρίοις, ὅπερ ἐστὶν αὐτὸν χρώμενον. τοσούτων τοίνυν καὶ τοιούτων ὄν- 274
των, ἃ τῷ βδελυρῷ τούτῳ καὶ ἀναιδεῖ, μάλα βεβίωται, τινές μοι προσιόντες, ὦ ἄνδρες δικασταὶ, τῶν χρωμένων αὐτῷ, παραινοῦντες ἀπαλλαγῆναι καὶ καθυφεῖναι τὸν ἀγῶνα τοῦτον, ἐπειδή με μὴ πείθοιεν, ὡς μὲν οὐ πολλὰ καὶ δεινὰ πεποίηκεν οὑτοσὶ, καὶ δίκην 275
ἣν ποιοῖ ἂν μὲν δικαίως δοίη τῶν πεπραγμένων, οὐκ ἐτόλμων λέγειν. ἐπὶ ταῦτα δὲ ἀπήντων, ὡς ἥλωκεν ἤδη καὶ κατεψήφισται· τίνος τιμήσειν αὐτῷ προσδοκᾷς τὸ δικαστήριον. οὐχ ὁρᾷς ὅτι πλουτεῖ, καὶ τριηραρχίας ἐρεῖ καὶ λειτουργίας; σκόπει δὲ μὴ τούτοις αὐτὸν 276
*ἐξαιτήσηται, καὶ ἐλάττω πολὺ τῇ πόλει καταθεὶς, ἢ

*ταύτης τῆς τιμῆς. α.
*τῶν. α.
*πτωχῶς.
*ἐξαιτήσεται.

Δία) Τὸ ἕτερον μέρος αἰδοῦς τὸ κατὰ τὴν εὐγένειαν, ἥν τινα μὴ δυνάμενος φανερῶς διαβάλλειν, ἔξωθεν διασύρει. ἔστι γὰρ ἦν εὐπατρίδης, καὶ τοῦ δοκιμωτάτου γένους, ἀλλὰ δι' ἐπήρειαν αὐτοῦ διαβάλλει τὸ γένος, ὥσπερ τὸ Αἰσχίνου καὶ τὸ Τιμοκράτους, καὶ Ἀνδροτίωνος. ἐπεὶ δὲ σεμνότατον τὸ γένος, καινοτέρῳ τρόπῳ μεθώδευσεν, ὅτι οὐκ ἔστιν ἐξ ἐκείνου τοῦ γένους, ἀλλ' ὑποβολιμαῖος, ἵνα μὴ φανερῶς διασύρων, πολλοῖς τῶν δοκίμων προσκρούσῃ. Καὶ τίς οὐκ οἶδεν ὑμῶν τὰς ἀπορρήτους) Ἀπορρήτους μὲν τὰς λαθραίως γινομένας, ἐν τραγῳδίᾳ δὲ. τὰς γὰρ ἐπισήμους ἐκθέσεις τῶν βρεφῶν, αἱ τραγῳδίαι παρειλήφασιν. ἀσαφὲς δὲ τοῦτο τὸ χωρίον, καὶ πολλοῖς πράγματα παρέχον. αἴτιον δὲ τῆς ἀσαφείας, τὸ διασκέψαι τὴν τάξιν. τὰ γὰρ τελευταῖα πρῶτα τέθεικε. πρὶν γὰρ ἀποδεῖξαι πῶς ἐξετέθη, λέγει, ὥσπερ ἐν τραγῳδίᾳ. ἀνέστρεψε δὲ, ἵνα μὴ αὐτόθεν κατ' ἀκολουθίαν ἡγούμενος, ἀπιθανώτατον δόξῃ τὸ πρᾶγμα. Ἡ μὲν γὰρ ὡς ἀληθῶς μήτηρ) Τοιαύτη ἐστὶ πᾶσα τοῦ νοήματος ἡ πλοκή. φρονιμωτάτη ἦν ἡ τεκοῦσα αὐτὸν μήτηρ. συνειδυῖα γὰρ ὅτι ἐκ βαρβάρων γέγονε, καὶ ὅτι φαῦλαι αἱ φύσεις αἱ τῶν βαρβάρων, ἀπέδοτο αὐτόν. ἡ δὲ ὑποβαλλομένη, μωροτάτη, ἥτις εἵλετο βάρβαρον ὠνήσασθαι, ἐξὸν ἕνα ἤ τινα τῶν πολιτῶν. πόθεν δὲ ὅτι βάρβαρος; ὠμός ἐστι καὶ ὑβριστής. ἔστι δὲ ἐξ Ἀθηναίων μὲν τοιοῦτος οὐδείς. οἱ δὲ βάρβαροι, φύσει ὑβρισταί. διὸ καὶ εἶπεν, ἀλλὰ τὸ τῆς φύσεως ἀληθὲς βάρβαρον. εἰ μὲν οὖν ἐβούλετο σαφῶς εἰπεῖν, ἐκ ταύτης ἂν ἤρξατο τῆς ἀποδείξεως. ἐπειδὴ δὲ εὐθὺς ἐν ἀρχῇ λέγων ὅτι ἐκ τῶν ἔργων δείκνυται βάρβαρος, ὤφθη ἂν σοφιζόμενος, διὰ τοῦτο ἐνήλλαξεν, ἵνα ὡς ὁμολογούμενον εἰσαγάγῃ. διὸ καὶ τῷ κατ' ἐρώτησιν ἐχρήσατο σχήματι. τίς γὰρ οὐκ οἶδεν, ὅπερ ἁπάντων σχημάτων ἀληθῶν χώραν ἔχειν δοκεῖ. διὰ τί δὲ οὐκ εἶπεν, ὥσπερ ἐν κωμῳδίᾳ. πλείους γάρ εἰσιν ἐν ταῖς κωμῳδίαις ὑποβολιμαῖοι, ἤπερ ἐν ταῖς τραγῳδίαις; ὅτι εἰ μὲν περὶ ἰδιώτου τινὸς ἔλεγεν, ἐχρῆν κωμῳδίαν εἰπεῖν· ἰδιωτικὰ γὰρ τὰ ἐκεῖ πρόσωπα. καὶ ἄλλως ἐπειδὴ γνωριμώτατα τὰ ἐν ταῖς τραγῳδίαις τοῖς πολλοῖς. ἡρωϊκὰ γὰρ τὰ ἐκεῖ πρόσωπα, καὶ βεβοημένα, καὶ ὅτι μᾶλλον περὶ τὰς τραγῳδίας, ἢ τὰς κωμῳδίας ἐσπούδαζον Ἀθηναῖοι. Ἡ μὲν γὰρ ἀπέδοτο) Ταῦτα ἀπὸ τῶν συμβεβηκότων ἄν τις εἴποι λελέ- 273
χθαι τῷ ῥήτορι. ἐπεὶ πῶς ἔχει λόγον προεγνῶσθαι ταῦτα ταῖς γυναιξὶ, καὶ μάλιστα τῇ ὠνησαμένῃ. ἡ μὲν γὰρ τεκοῦσα, τυχὸν τὸν σπείραντα φαῦλον ὄντα πως εἰδυῖα, εἰκότως καταφρονήσασα ἔρριψεν. ἡ δὲ ἀναλαβοῦσα, ποίαν ἠδύνατο γνῶσιν ἔχειν τῆς προαιρέσεως τοῦ βρέφους. Τοσούτων τοίνυν καὶ τοιούτων) Πάλιν ἐφ' ἕτερον μέρος τῆς αἰδοῦς ἐχώρησεν, ὅτι 274
εἰ καὶ μὴ διὰ γένος, ἀλλὰ διὰ τὰς γοῦν λειτουργίας καὶ τὰς ἐπιδόσεις, ἄξιον αὐτὸν αἰδεσθῆναι. Ὡς μὲν οὐ πολλὰ) Εὐμεθό- 275
δως καὶ τεχνικῶς εἰσάγει τοὺς φίλους αὐτοῦ ὁμολογοῦντας, ὡς μεγάλα καὶ δεινὰ τῷ Μειδίᾳ τετόλμηται, ἵνα μὴ αὐτὸς ὡς ἐχθρὸς ὑποπτεύηται. Ὡς ἥλωκεν ἤδη καὶ κατεψήφισται) Αὐτοὺς τοὺς συνηγόρους αὐτοῦ κατεγνωκότας πεποίηκε, καὶ περὶ τοῦ τιμήματος διαλεγομένους. Καὶ τριηραρχίας ἐρεῖ, καὶ λειτουργίας) Ἄλλους περὶ τῶν λειτουργιῶν λέγοντας ποιεῖ, ἵνα αὐτὸς

263 διὰ τυραννοῦντα ἐξέβαλε. Στασιάσαντας ἐκπεσεῖν) Φιλοῦντες γὰρ τὴν δημοκρατίαν, τοῖς πεισιστρατίδαις ἀντέστησαν. καὶ οὕτως ἐφυγαδεύθησαν. εἶτα δανεισάμενοι χρήματα αὐτοὶ οἱ ἀλκμαιωνίδαι, συνήγαγον δύναμιν. καὶ ἐπιθέμενοι τοῖς τυράννοις, καθεῖλον, καὶ ἠλευθέρωσαν τὴν πόλιν. Πρὸς δὲ μητρὸς ἱππονίκου) Καὶ τοῦτο ἔνδοξον τὸ γένος παρὰ τοῖς ἀθηναίοις. ἦν γὰρ καλλίας μὲν, ὁ προπάτωρ, ὁ δᾳδουχήσας ἐν σαλαμῖνι. ἱππόνικος δὲ τούτου παῖς. οὗ παῖδες, καλλίας ὁ τὴν θρυλλουμένην εἰρήνην σπεισάμενος πρὸς τὸν πέρσην, καὶ ἡ μήτηρ ἀλκι-
264 βιάδου. Καὶ ταύτης τῆς οἰκίας) Τί παρενοχλῶ, φησί, διηγούμενος; ἴστε πόσοι τούτου τοῦ γένους, ταύτης τῆς ῥίζης ἀνεβλάστησαν ὄρπηκες. Θέμενος τὰ ὅπλα) Ὑπὲρ τῆς πόλεως ἀντιταξάμενος. κατὰ σικελίαν γὰρ ὄντων τῶν ἀθηναίων περὶ σάμου καθόδου τυχεῖν, ἐκεῖ μετὰ τῶν στρατιωτῶν ἐπολέμησε. Τρίτον δ' ἐν αὐτῇ τῇ πόλει) Ὅτε τὰς προσβολὰς ἐποιοῦντο πρὸς τὸ τεῖχος ἐκ δεκε-
265 λείας οἱ λακεδαιμόνιοι. Ἔτι δὲ ἵππων ὀλυμπιάσιν) Λαμπρὸν αὐτὸν καὶ ἐν πολέμοις, καὶ ἐν τοῖς κατὰ τὴν εἰρήνην ἀποφαίνει· σεμνὸν γὰρ ἦν καὶ τὸ νικᾶν ὀλυμπιάσι. ἔοικε δὲ δηλῶσαι, ὅτι καλῶς ἐστὶ τῷ πλούτῳ ἐχρῆτο. Καὶ στρατηγὸς ἄριστος) Εἰρήκαμεν ὅτι κατ' ἀμφοτέρους τοὺς καιροὺς, παρεῖχεν αὐτῷ τὰ πρωτεῖα. Ποιήσαντες φυγάδα ἐξέβαλον) Καίτοι οὐκ ἐποίησαν αὐτὸν οἱ ἀθηναῖοι φυγάδα, ἀλλ' ἐπειδὴ κληθεὶς οὐχ ὑπήκουσε, κατεψηφίσαντο
267 μὴ εἶναι ἐν πόλει εἶναι. Εἶρξεν ἀγάθαρχον) Ζωγράφος οὗτος ὤν, ἐφωράθη συνὼν τῇ παλλακίδι τοῦ ἀλκιβιάδου. ὃν λαβὼν καθεῖρξε καὶ κατὰ τοῦτο ἥμαρτε μὴ παραδοὺς τοῖς νόμοις. ἀποσιωπᾷ δὲ τὸ ἁμάρτημα, ὡς μικρὸν, ἵνα μεῖζόν τι ὑποπτεύσωσιν οἱ δικάζοντες. τὸ ἀμφισβητούμενον οὖν ὡς ὁμολογούμενον ἔθηκεν. ἔχει γὰρ αὐτῷ συναγωνιζομένην τὴν κατάγνωσιν τοῦ δήμου. τινὲς δὲ τὸ εἶρξεν, διὰ τὸ ἐξέρασι τοῦ θεάτρου ὡς ἀσελγῆ. διὸ καὶ εἶπεν, ὅπερ οὐδὲ ὀνειδίζειν ἄξιον. Τοὺς ἑρμᾶς περιέκοπτεν) Ἐν μιᾷ γὰρ νυκτὶ, εὑρέθησαν οἱ ἑρμαῖ περικοπέντες, καὶ ὑπωπτεύετο ὁ ἀλκι-
268 βιάδης. Τὸ δ' ὅλως ἀφανίζειν ἱερὰν ἐσθῆτα) Ἱερὰ μὲν ἡ ἀρχαία ἔχει, ἐκφαντικὸς οὖσα πολλῶν, στεφάνων, ἐσθῆτος, αὐτῆς τῆς ἐν ἱερῷ πανηγύρεως, καὶ ταύτην ὕβρισεν. ἐπὶ τό γε τὴν ἐσθῆτα περιθεῖναι, πολλὴν
269 ἔχει τὴν ἐλάττωσιν. Τίς ὤν) Ἀλκμαιωνίδης ὢν ἀπὸ ἱππονίκου γνωριζόμενος. Καὶ τίσι ταῦτ' ἐνδεικνύμενος) Ὑπὸ τίνος ἐνδεικνύμενος, τοῖς χορηγοῖς παροξύνοντας, τοῖς ζωγράφου κεκινηκότος εἰς ἀγανάκτησιν. Πρὸς τὸ μὴ καλὸν μηδὲ θεμιτὸν) Καλὸν μὲν ἴσως πρὸς τοὺς ζῶντας, θεμιτὸν δὲ πρὸς τοὺς κατοιχομένους. Τοιούτων ἀνδρῶν οὖσιν
270 ἀπογόνοις) Τῶν κεκολακότων τὸν ἀλκιβιάδην. Καὶ μηδένα μηδαμόθεν) Μὴ ἀπὸ γένους, μὴ ἀπὸ στρατηγίας, μὴ ἀπὸ λόγων, μὴ ἀπὸ ἐπιεικείας. Η χάριτός τινος) Ἐνταῦθα δείκνυσιν, ὅτι οὐκ ἔστιν ἄξιος αἰδοῦς. τὸ γὰρ χάριτος τοῦτο βούλεται

ὑπὲρ τοῦ δήμου στασιάσαντας ἐκπεσεῖν. καὶ δανεισαμένους χρήματα ἐκ δελφῶν, ἐλευθερῶσαι τὴν πόλιν, καὶ τοὺς πεισιστράτου παῖδας ἐκβαλεῖν. πρὸς
264 δὲ μητρὸς, ἱππονίκου, καὶ ταύτης τῆς οἰκίας, ἧς ὑπάρχουσι πολλαὶ καὶ μεγάλαι πρὸς τὸν δῆμον εὐεργεσίαι. οὐ μόνον δὲ ταῦθ' ὑπῆρχεν αὐτῷ, ἀλλὰ καὶ αὐτὸς ὑπὲρ τοῦ δήμου θέμενος τὰ ὅπλα, δὶς μὲν ἐν σάμῳ, τρίτον δ' ἐν αὐτῇ τῇ πόλει, τῷ σώματι τὴν
265 εὔνοιαν, οὐ χρήμασιν, οὐδὲ λόγοις ἐνεδείξατο τῇ πατρίδι. ἔτι δ' ἵππων ὀλυμπιάσιν ἀγῶνες ὑπῆρχον αὐτῷ, καὶ νῖκαι, καὶ στέφανοι, καὶ στρατηγὸς ἄριστος, καὶ λέγειν ἐδόκει πάντων, ὥς φασιν, εἶναι δεινότατος. ἀλλ' ὅμως οἱ κατ' ἐκεῖνον τὸν χρόνον ἡμέτεροι πρόγονοι,
266 οὐδενὸς τούτων αὐτῷ συνεχώρησαν ὑβρίζειν αὐτούς· ἀλλὰ ποιήσαντες φυγάδα, ἐξέβαλον, καὶ λακεδαιμονίων ἰσχυρῶν ὄντων τότε, καὶ δεκέλειαν αὐτοῖς ἐπιτειχισθῆναι, καὶ τὰς ναῦς ἁλῶναι, καὶ πάντα ὑπέμειναν ὁτιοῦν ἄκοντες παθεῖν, κάλλιον εἶναι νομίζοντες, ἢ
267 ἑκόντες ὑβρίζεσθαι συγχωρῆσαι. καίτοι τί τοσοῦτον ἐκεῖνος ὕβρισεν, ἡλίκον οὗτος νῦν ἐξελήλεγκται. ταυρέαν ἐπάταξε χορηγοῦντα ἐπὶ κόρρης; ἔστω ταῦτα, ἀλλὰ χορηγῶν γε χορηγοῦντα τοῦτ' ἐποίησεν, οὔπω τόνδε τὸν νόμον παραβαίνων. οὐ γὰρ ἔκειτό πω. εἶρ-
268 ξεν ἀγάθαρχον τὸν γραφέα· καὶ γὰρ ταῦτα λέγουσι. λαβών γέ τι πλημμελοῦντα, ὥς φασιν, ὅπερ οὐδὲ ὀνειδίζειν ἄξιον. τοὺς ἑρμᾶς περιέκοπτεν. ἅπαντα μὲν, οἶμαι, τὰ ἀσεβήματα, τῆς αὐτῆς ὀργῆς δίκαιον ἀξιοῦν. τὸ δ' ὅλως, ἀφανίζειν ἱερὰν ἐσθῆτα, ἔσθ' ὅ, τι τοῦ περι-
269 κόπτειν τοὺς ἑρμᾶς διαφέρει; οὐκοῦν οὗτος ἐξελήλεγκται τοῦτο ποιῶν. ἀντιθῶμεν δὴ τίς ὢν, καὶ τίσι ταῦτ' ἐνδεικνύμενος. μὴ τοίνυν ὑμῖν πρὸς τὸ μὴ καλὸν, μηδὲ θεμιτὸν νομίζετε, ἄνδρες δικασταὶ, μηδ' ὅσιον εἶναι, τοιούτων ἀνδρῶν οὖσιν ἀπογόνοις, πονηρὸν καὶ
270 βίαιον καὶ ὑβριστὴν λαβοῦσί τιν' ἄνθρωπον, καὶ μηδένα μηδαμόθεν, συγγνώμης, ἢ φιλανθρωπίας, ἢ χάριτός τινος

αὐτοῖς. / γ' ἐπὶ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βούλεται σημαίνειν. Τῶν στρατηγιῶν) Ἀφορμὴν λαβὼν ἐκ τῶν κατ' Ἀλκιβιάδην, ὅτι στρατηγὸς ἄριστος, διαπίζει- 270
ζει τὴν στρατηγίαν τοῦ Μειδίου, οὐ κατὰ σύγκρισιν, ἀλλὰ κατὰ παράθεσιν· διὸ καὶ εἶπεν, ἀλλ' οὐδὲ καθ' αὑτὸν στρατιώτης· πῶς οὖν αἰδοῦς ἄξιος. Μήτι τῶν ἄλλων ἡγεμών) Οὐκ ἀπέδειξε, τὸ τῶν ἄλλων ἡγεμών. φθάνει γὰρ προαποδείξας, ὅτι δειλὸς καὶ ἀσθενής.

ἀξιῶσαι. τίνος γὰρ ἕνεκα, τῶν στρατηγιῶν; ἀλλ' οὐδὲ καθ' αὑτὸν στρατιώτης οὗτος οὐδενός ἐστιν ἄξιος, μήτι γε τῶν ἄλλων ἡγεμών. ἀλλὰ τῶν λόγων; ἐν οἷς κοινῇ μὲν οὐδὲν πώποτ' εἶπεν ἀγαθόν, κακῶς δὲ ἰδίᾳ πάντας ἀνθρώ- 271
πους λέγει. γένους ἕνεκα νὴ Δία; καὶ τίς οὐκ οἶδεν ὑμῶν τὰς ἀπορρήτους, ὥσπερ ἐν τραγῳδίᾳ, τὰς τούτου γονάς; ᾧ δύο τὰ ἐναντιώτατα συμβέβηκεν εἶναι. ἡ μὲν γὰρ ὡς ἀληθῶς μήτηρ, ἡ τεκοῦσα αὐτόν, πλεῖστον ἁπάντων ἀνθρώπων εἶχε νοῦν. ἡ δὲ δοκοῦσα καὶ ὑποβαλλομέ- 272
νη, πασῶν τὴν ἀνοητοτάτη γυναικῶν. σημεῖον δέ. ἡ μὲν γὰρ, ἀπέδοτο εὐθὺς γενόμενον, ἡ δ' ἐξὸν αὐτῇ βελτίω "πρίασθαι τῆς ἴσης τιμῆς, τοῦτον ἠγόρασε. καὶ γάρ τοι διὰ τοῦτο "οὐ προσηκόντων ἀγαθῶν κύριος γεγονώς, καὶ πατρίδος "τετυχηκώς, ἣ νόμοις τῶν ἁπασῶν πόλεων 273
μάλιστα οἰκεῖσθαι δοκεῖ, οὐδένα, οἶμαι, τρόπον φέρειν, οὐδὲ χρῆσθαι τούτοις δύναται. ἀλλὰ τὸ τῆς φύσεως ὡς ἀληθῶς βάρβαρον καὶ θεοῖς ἐχθρὸν, ἕλκει καὶ βιάζεται, καὶ φανερὸν ποιεῖ, τοῖς παροῦσιν, ὥσπερ ἀλλοτρίοις, ὅπερ ἐστὶν αὐτὸν χρώμενον. τοσούτων τοίνυν καὶ τοιούτων ὄν- 274
των, ἃ τῷ βδελυρῷ τούτῳ καὶ ἀναιδεῖ, μάλα βεβίωται, οἱ οἵ μοι προσιόντες, ὦ ἄνδρες δικασταί, τῶν χρωμένων αὐτῷ, παραινοῦντες ἀπαλλαγῆναι καὶ καθυφεῖναι τὸν ἀγῶνα τοῦτον, ἐπειδή με μὴ πείθοιεν, ὡς μὲν οὐ πολλὰ καὶ δεινὰ πεποίηκεν οὑτοσί, καὶ δίκην 275
ἣν ποιῶν ἂν δικαίως δοίη τῶν πεπραγμένων, οὐκ ἐτόλμων λέγειν. ἐπὶ ταῦτα δὲ ἀπήντων, ὡς ἥλωκεν ἤδη καὶ κατεψήφισται· τίνος τιμήσειν αὐτῷ προσδοκᾷ τὸ δικαστήριον. οὐχ ὁρᾷς ὅτι πλουτεῖ, καὶ τριηραρχίας ἐρεῖ καὶ λειτουργίας; σκόπει δὲ μὴ τούτοις αὐτὸν 276
"ἐξαιτήσηται, καὶ ἐλάττω πολὺ τῇ πόλει καταθείς, ἢ

"ταύτης τῆς τιμῆς. α.
"τῶν. α.
"πτυχώς.
"ἐξαιτήσεται.

Γένους ἕνεκα νὴ 271
Δία) Τὸ ἕτερον μέρος αἰδοῦς τὸ κατὰ τὴν εὐγένειαν, ἥν τινα μὴ δυνάμενος φανερῶς διαβάλλειν, ἔξωθεν διασύρει. καὶ γὰρ ἦν εὐπατρίδης, καὶ τοῦ δοκιμωτάτου γένους, ἀλλὰ δι' ἐπήρειαν αὐτοῦ διαβάλλει τὸ γένος, ὥσπερ τὸ Αἰσχίνου καὶ τὸ Τιμοκράτους, καὶ Ἀνδροτίωνος. ἐπεὶ δὲ σεμνότατον τὸ γένος, καινοτέρῳ τρόπῳ μεθώδευσεν, ὅτι οὐκ ἔστιν ἐξ ἐκείνου τοῦ γένους, ἀλλ' ὑποβολιμαῖος, ἵνα μὴ φανερῶς διασύρων, πολλοῖς τῶν δοκίμων προσκρούσῃ. Καὶ
τίς οὐκ οἶδεν ὑμῶν τὰς ἀπορρήτους) 272
Ἀπορρήτους μὲν τὰς λαθραίως γινομένας, ἐν τραγῳδίᾳ δέ. τὰς γὰρ ἐπισήμους ἐκθέσεις τῶν βρεφῶν, αἱ τραγῳδίαι παρειλήφασιν. ἀσαφὲς δὲ τοῦτο τὸ χωρίον, καὶ πολλοῖς πράγματα παρέχον. αἴτιον δὲ τῆς ἀσαφείας, τὸ
διασκέψαι τὴν τάξιν. τὰ γὰρ τελευ- 273
ταῖα πρῶτα τέθεικε. πρὶν γὰρ ἀποδεῖξαι πῶς ἐξετέθη, λέγει, ὥσπερ ἐν τραγῳδίᾳ. ἀνέστρεψε δὲ, ἵνα μὴ αὐτόθεν κατ' ἀκολουθίαν ἡγούμενος, ἀπιθανώτατον δόξῃ τὸ πρᾶγμα. Ἡ μὲν γὰρ ὡς ἀληθῶς μήτηρ) Τοιαύτη ἐστὶ
πᾶσα τοῦ νοήματος ἡ πλοκή. φρονιμω- 274
τάτη ἦν ἡ τεκοῦσα αὐτὸν μήτηρ. συνειδυῖα γὰρ ὅτι ἐκ βαρβάρων γέγο[…]
καὶ ὅτι φαῦλαι αἱ φύσεις αἱ τῶν β[…]
βάρων, ἀπέδοτο αὐτόν. ἡ δὲ ὑπ[…]
λομένη, μωροτάτη, ἥτις εἵλε[…]
βαρον ὠνήσασθαι, ἐξὸν ἐλ[…]
καὶ πολίτην. πόθεν δὲ ὅτι […]
ὠμός ἐστι καὶ ὑβριστής. ἐ[…] 275
ναίων μὲν τρόπος οὐδε[…]
ροι, φύσει ὑβρισταί.
τὸ τῆς φύσεως ἀληθ[…]
οὖν ἐβούλετο τα[…]
αἳ ἤρξατο τ[…]
εὐθὺς ἐν […]
δείκνυτα[…] 276
φιζόμ[…]
ὁμο[…]

κατ' ἐρώτησιν ἐχρήσατο σχήματι. τίς γὰρ οὐκ οἶδεν, ὅπερ ἁπάντων σχημάτων δηλωτ[…]
τιν, ὥσπερ ἐν κωμῳδίᾳ. πλείους γάρ εἰσιν ἐν ταῖς κωμῳδίαις ὑποβολιμαῖοι, ἤπερ […]
εἰ ἰδιώτου τινὸς ἔλεγεν, ἔχρην κωμῳδίαν εἰπεῖν· ἰδιωτικὰ γὰρ τὰ ἐκεῖ πρόσω[πα …]
τὰ ἐν ταῖς τραγῳδίαις τοῖς πολλοῖς. ἡρωϊκὰ γὰρ τὰ ἐκεῖ πρόσωπα, καὶ βεβοημ[…]
ἢ τὰς κωμῳδίας ἐσπούδαζον Ἀθηναῖοι. Ἡ μὲν γὰρ ἀπέδοτο) Ταῦτα δ[…]
χθαι τῷ ῥήτορι. ἐπεὶ πῶς εἶχε λόγον προεγνῶσθαι ταῦτα ταῖς γυναιξί[…]
τυχὸν τὸν ἀπείρατα φαῦλον ὄντα πῶς εἰδυῖα, εἰκότως καταφρονήσα[…]
γνῶσιν εἶχε τῆς προαιρέσεως τοῦ βρέφους. Τοσούτων τοίνυν καὶ τοιούτ[ων …]
εἰ καὶ μὴ διὰ γένος, ἀλλὰ διὰ τὰς γοῦν λειτουργίας καὶ τὰς ἐπιδόσ[εις …]
δως καὶ τεχνικῶς εἰσάγει τοὺς φίλους αὐτοῦ ὁμολογοῦντας, ὡς μ[…]
ἐχθρὸς ὑποπτεύηται. Ὡς ἥλωκεν ἤδη καὶ κατεψήφισται) Αὐτοὺ[ς …]
τιμήματος διαλεγομένους. Καὶ τριηραρχίας ἐρεῖ, καὶ λειτου[ργίας …]

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὅσα σοι δίδωσι καταγελάσῃ, ἐγὼ δέ, πρῶτον μὲν
οὐδὲν ἀγνωμονεῖν ὑμῶν καταγιγνώσκω, οὐδ᾽ ὑπολαμβά-
νω τιμήσειν οὐδενὸς ἐλάττονος τούτῳ, ἢ ὅσον καταθεὶς
277 οὑτοσὶ, παύσεται τῆς ὕβρεως. τοῦτο δ᾽ ἐστὶ μάλιστα μὲν
θάνατος. εἰ δὲ μή, πάντα τὰ ὄντα ἀφελέσθαι. ἔπειτα
περὶ τῶν τούτου λῃτουργιῶν, καὶ τριηραρχιῶν, καὶ τῶν
τοιούτων λόγων, ὧδε γιγνώσκω. εἰ μέν ἐστιν, ὦ ἄνδρες
Ἀθηναῖοι, τὸ λῃτουργεῖν τοῦτο, τὸ ἐν ὑμῖν λέγειν ἐν ἁ-
278 πάσαις ταῖς ἐκκλησίαις, καὶ πανταχοῦ, ἡμεῖς οἱ λῃτουρ-
γοῦντες, ἡμεῖς οἱ προεισφέροντες ὑμῖν, ἡμεῖς οἱ πλού-
σιοί ἐσμεν, εἰ τὸ τὰ τοιαῦτα λέγειν, τοῦτ᾽ ἐστὶ τὸ λῃτουρ-
γεῖν, ὁμολογῶ μειδίαν ἁπάντων τῶν ἐν τῇ πόλει λαμ-
πρότατον γεγενῆσθαι. ἀποκναίει γὰρ ἀηδίᾳ δήπου καὶ
279 ἀναισθησίᾳ καθ᾽ ἑκάστην τὴν ἐκκλησίαν ταῦτα λέγων.
εἰ μέντοι τί ποτ᾽ ἐστὶν ἃ λῃτουργεῖ τῇ ἀληθείᾳ, δεῖ σκο-
πεῖν, ἐγὼ πρὸς ὑμᾶς ἐρῶ. καὶ θεάσασθε ὡς δικαίως αὐ-
τὸν ἐξετάσω, πρὸς ἐμαυτὸν κρίνων. οὗτος, ὦ ἄνδρες Ἀθη-
ναῖοι, γεγονὼς ἔτη περὶ πεντήκοντα ἴσως, ἢ μικρὸν ἔλατ-
280 τον, οὐδὲν ἐμοῦ πλείους λῃτουργίας ὑμῖν λελῃτούργη-
κεν. ὃς δύο καὶ τριάκοντα ἔτη γέγονα. κἀγὼ μὲν καὶ
ἐκείνους τοὺς χρόνους ἐτριηράρχουν, εὐθὺς ἐκ παί-
δων ἐξελθών, ὅτε σύνδυο ἦμεν οἱ τριήραρχοι, καὶ
τὰ ἀναλώματα πάντα ἐκ τῶν ἰδίων οἴκων, καὶ τὰς
281 ναῦς ἐπληροῦμεν αὐτοί. οὗτος δὲ ὅτε μὲν κατὰ ταύ-
την τὴν ἡλικίαν ἦν, καθ᾽ ἣν ἐγὼ νῦν, οὐδέπω
λῃτουργεῖν ἤρχετο. τηνικαῦτα δὲ τοῦ πράγματος
ἥπτετο, ὅτε πρῶτον μὲν διακοσίους, καὶ χιλίους πε-
ποιήκατε συντελεῖς ὑμεῖς, παρ᾽ ὧν εἰσπραττόμενοι
282 τάλαντον ταλάντου μισθοῦσι τὰς τριηραρχίας οὗ-
τοι. εἶτα τὰ πληρώματα ἡ πόλις παρέχει, καὶ σκεύη
δίδωσιν, ὥστ᾽ αὐτῶν ἐνίοις τῇ ἀληθείᾳ, τὸ μηδὲ ἀ-
ναλῶσαι, καὶ δοκεῖν λελῃτουργηκέναι, καὶ τῶν ἄλλων
λῃτουργιῶν ἀτελέσι γεγενῆσθαι, περίεστιν. ἀλλὰ
283 μήν, τί ἄλλο. τραγῳδοῖς κεχορήγηκέ ποτε οὗτος. ἐγὼ
δὲ αὐληταῖς ἀνδράσι. καὶ ὅτι τοῦτο τὸ ἀνάλωμα ἐκεί-
νης τῆς δαπάνης πολλῷ πλεῖόν ἐστιν, οὐδεὶς ἀγνοεῖ δή-
που. κἀγὼ μὲν ἐθελοντὴς νῦν, οὗτος δὲ καταστὰς ἐξ
284 ἀντιδόσεως τότε, χάριν οὐδεμίαν αὐτῷ δήπου δι-
καίως ἄν τις ἔχοι. τί ἔτι. εἱστίακα τὴν φυλὴν ἐγώ,
καὶ Παναθηναίοις κεχορήγηκα. οὗτος δὲ οὐδέτερα.
285 ἡγεμὼν συμμορίας ὑμῖν ἐγενόμην ἐγὼ ἔτη δέκα,
ἴσον Φορμίωνι, καὶ Λυσιθείδῃ, καὶ Καλλαίσχρῳ, καὶ τοῖς

διαφόρως ἔχει καὶ τὰς τοῦ μειδίου
σκῶψαι, καὶ τὰς ἑαυτοῦ θαυμάσαι. τὸ
μὲν οὖν ἁπλῶς κατηγοροῦντα λέγειν τὰς
ἑαυτοῦ φιλοτιμίας, ἐπαχθὲς καὶ ἄκυ-
ρον. τὸ δὲ διασύροντα τὸν ἐχθρὸν προ-
κρίνειν τὰ ἑαυτοῦ, σφόδρα εὔκαιρον.
278 ὅτι ἐξ ἀνάγκης αὐτὸ δοκεῖ ποιεῖν. Τὸ
τοιαῦτα λέγειν, τουτέστι τὸ λῃτουργεῖν)
Ὅπερ αὐτὸς φοβεῖται) δοκεῖν ἐπαχθὲς
εἶναι, τοῦτο τῷ μειδίᾳ περιτίθησιν. Ἀη-
δίᾳ δήπου) Ἀηδίᾳ εἶπε, διότι οἱ ἑαυ-
τοὺς ἐπαινοῦντες, ἀηδεῖς εἰσίν. ἀναι-
σθησίᾳ δέ, ὅτι μὴ λῃτουργήσας μη-
280 δέν, ὅμως σεμνύνεται. Ὅτε σύν-
δυο ἦμεν οἱ τριήραρχοι) Πολλαὶ πε-
ρὶ τὰς τριηραρχίας ἐγίγνοντο μετα-
βολαί, διὰ τὸ μέγεθος τοῦ ἀναλώμα-
τος· καὶ ὅτε μέν, σύνδυο ἦσαν. ὅτε δέ,
σύντρεις. ὅτε δέ, καὶ δέκα τριήραρχοι,
ὅτε δὲ χίλιοι. ὁ γοῦν δημοσθένης ὕστε-
ρον δυοῖν τριήροιν ἕνα τριήραρχον
ἐποίησε. καὶ ὅτε μὲν ἡ πόλις τὴν κατα-
σκευήν, καὶ τοὺς ναύτας ἐδίδου καὶ μόνον
διὰ τὴν ναῦν ἐτριηράρχει. ὅτε δὲ
σύμπαντα οἴκοθεν οἱ τριήραρχοι πα-
ρεῖχον. τοῦτο οὖν φησίν, ὃ μέγιστον ἦν τὸ
ἀνάλωμα τοῖς τριηραρχήσασι, σύν-
281 δυο ἦμεν, Ὅτε πρῶτον μὲν διακο-
σίους) Καθεῖλε τὴν φιλοτιμίαν τὴν μει-
δίου τῷ πλήθει τῶν συντελῶν. ἔστι δὲ σό-
φισμα τὸ ῥηθέν. φησὶ γὰρ ὅτι παρὰ τῶν
χιλίων καὶ διακοσίων εἰσπραττόμενοι
τάλαντον, ταλάντου μισθοῦσι τὴν τριη-
ραρχίαν, ὡς μιᾶς τριήρους παρὰ τῶν
τοσούτων γιγνομένης. οὐκ ἔστι δὲ ἀλη-
θές. χίλιοι γὰρ καὶ διακόσιοι ἦσαν οἱ ταῖς
τριηραρχίαις ἀφωρισμένοι. τούτων
δὲ λοιπόν, ἢ πεντεκαίδεκα τὴν τριήρη
ἐπλήρουν, ἢ σύντρεις, ἢ ὅσοι δήποτε.
καταλιπὼν οὖν τὸ λέγειν ὅτι ναῦν ἐκ-
καιδέκατος παρέσχε, πάντας τοὺς ἐπὶ
τριηραρχίας ἀφωρισμένους ὠνόμα-
σεν, ὡς πάντων μίαν παρεχόντων.
282 Πληρώματα) Ναύτας, καὶ ἐπιβά-
τας, καὶ σκεύη κατ᾽ αὐτάς. Ἐξ ἀντι-
283 δόσεως) Οἷον κατ᾽ ἀνάγκην γεγενώς.
σκοπεῖτε δὲ ὅτι περὶ μὲν ἑαυτοῦ, τὴν ἀν-
τίδοσιν ἔκρυψε. τῷ δὲ μειδίᾳ, τὴν μνή-
284 μην ἐφύλαξε. Εἱστίακα τὴν φυ-
λὴν) Ὡς ἄλλης ταύτης οὔσης λειτουρ-
γίας. καὶ δέδωκε θεώρημα αὔξειν τὰς
λῃτουργίας ἐπιόντα τοῖς κατὰ μέρος,
ἵνα λίαν πολλαὶ δόξωσι. Καὶ Πανα-
θηναίοις κεχορήγηκα) Οὐχὶ τῶν Πα-
ναθηναίων γέγονε τὸ ἀνάλωμα, ἀλλ᾽
ἵστασαν τῇ θεῷ χορούς, ὥσπερ τῷ Διο-
νύσῳ. τούτων οὖν ἐγένετο χορηγός. ἀναγ-
καίως δὲ τοῦ χορηγοῦ τὴν φυλὴν ἑ-
στιῶντος, ὁ δημοσθένης διελὼν εἶπεν.
285 Ἴσον Φορμίωνι καὶ Λυσιθείδῃ) Οὗτοι οὐ

κατὰ τοὺς Δημοσθένους καιροὺς ἐγένοντο, ἀλλ' ἐφορμώμενοι ἐπὶ τῶν πελοποννησιακῶν· καὶ Ναύαρχος δὲ ἐπὶ Κριτίου πατήρ. ἀλλὰ φορμίων μὲν
ἀλλ' ἐπειδὴ καὶ οὗτοι γεγόνασι συμμορίας ἡγεμόνες, ὁμολογοῦνται δὲ πλουσιώτατοι γενέσθαι, διὰ τοῦτο ἐκείνοις αὐτὸν
εἴκασεν. εἶτα ἵνα μὴ ὑποκρούσῃ τις, οὐκοῦν πλούσιος εἶ, ὦ Δημόσθενες, ἐπήνεγκεν εὐθέως, εἰσφέρων, οὐκ ἀπὸ ὑπαρχού-

πλουσιωτάτοις, εἰσφέρων οὐκ ἀπὸ* ὑπαρχούσης οὐ-
σίας· ὑπὸ γὰρ τῶν ἐπιτρόπων ἀπεστερήμην· ἀλλ' 286
ἀπὸ τῆς δόξης, ὧν ὁ πατήρ μοι κατέλιπε, καὶ ὧν δί-
καιον ἦν με δοκιμασθέντα κομίσασθαι. ἐγὼ μὲν οὖν
οὕτως ὑμῖν προσενήνεγμαι. Μειδίας δὲ πῶς; οὐδέπω 287
καὶ τήμερον συμμορίας ἡγεμὼν γέγονεν, οὐδὲν τῶν
πατρῴων ἀποστερηθεὶς ὑπ' οὐδενός, ἀλλὰ παρὰ
τοῦ πατρὸς π[illegible]ουσίαν παραλαβών. τίς οὖν ἐστιν 288
ἡ λαμπρότης, ἢ τίνες αἱ λῃτουργίαι καὶ τὰ σεμνὰ
ἀναλώματα τούτου; ἐγὼ μὲν γὰρ οὐχ ὁρῶ, πλὴν εἰ
ταῦτά τις θεωρεῖ· οἰκίαν ᾠκοδόμηκεν ἐν Ἐλευσῖνι το- 289
σαύτην, ὥστε πᾶσιν ἐπισκοτεῖν τοῖς ἐν τῷ τόπῳ.
καὶ εἰς μυστήρια τὴν γυναῖκα ἄγει, κἂν ἄλλοσέ ποι
*ἐπ. π. ε. βούληται, ἐπὶ τοῦ λευκοῦ ζεύγους τοῦ ἐκ Σικυῶνος. 290
καὶ τρεῖς ἀκολούθους, ἢ τέτταρας αὐτὸς ἔχων, διὰ τῆς
ἀγορᾶς σοβεῖ, κυμβία, καὶ ῥυτά, καὶ φιάλας ὀνομά-
*παριόντας. ζων οὕτως, ὥστε τοὺς παρεῖτας ἀκούειν. ἐγὼ δ' ὅσα 291
μὲν τῆς ἰδίας τρυφῆς ἕνεκα, Μειδίας, καὶ περιουσίας
κτᾶται, οὐκ οἶδ' ὅ,τι τοῖς πολλοῖς ὑμῶν ὠφελεῖ. ἃ
δ' ἐπαιρόμενος τούτοις ὑβρίζει, ἐπὶ πολλοὺς, καὶ τοὺς 292
τυχόντας ὑμῶν ἀφικνούμενα ὁρῶ. οὐδὲ δεῖ τὰ τοιαῦ-
τα ἑκάστοτε τιμᾶν, οὐδὲ θαυμάζειν ὑμᾶς, οὐδὲ τὴν
φιλοτιμίαν ἐκ τούτων κρίνειν, εἴ τις οἰκοδομεῖ λαμ- 253
πρῶς, ἢ θεραπαίνας κέκτηται πολλάς, ἢ σκεύη πολ-
λά, ἀλλ' ὃς ἂν ἐν τούτοις λαμπρὸς καὶ φιλότιμος
ᾖ, ὧν ἅπασι μέτεστι τοῖς πολλοῖς ὑμῶν· ὧν οὐδὲν εὑ- 294
ρήσετε τούτῳ προσόν. ἀλλὰ νὴ Δία τριήρη, ἣν ἐπέ-

σης οὐσίας. καὶ ἔστι τοῦτο σόφισμα. φη-
σὶ γὰρ ὅτι ὑπὸ τῶν ἐπιτρόπων ἀπεστε-
ρήμην. ἐνήλλαξε δὲ τὸν καιρόν, ἵνα
τὴν ἑαυτοῦ φιλοτιμίαν αὐξήσῃ. τῶν
γὰρ ἐπιτρόπων λεγόντων, ὅτι εἰς τὴν
συμμορίαν ἐξανηλώθη τὰ χρήμα-
τα λῃτουργούντων ὑμῶν ὑπὲρ τῆς
οἰκίας, Δημοσθένης φησὶν, ὅτι ὅτε ἀπε-
στερήθην τῶν χρημάτων, τότε ἠρξά-
μην λῃτουργεῖν. Καὶ ὧν δίκαιον ἦν 286
με δοκιμασθέντα) Δοκιμασθέντα ἀν-
τὶ τοῦ εἰς ἄνδρας ταχθέντα λαβεῖν τὰ
πατρῷα παρὰ τῶν ἐπιτρόπων. τότε
γὰρ ἀπελάμβανε τὴν οὐσίαν, ὅτε τοὺς
ἐφήβους ἐδοκίμαζον. Τίς οὖν ἐστιν 288
ἡ λαμπρότης) Ἀπὸ κοινῆς ἐξ ἀρ-
χῆς, ὅτι διὰ τὴν περιουσίαν καὶ τὴν
λαμπρότητα δίκαιοι αὐτοῦ αἰδεσθῆ-
ναι, ταῦτα νῦν εἶπεν, ὅτι ἀπέδειξεν
ὅτι* μάλιστα ἔχουσι. τοῦτο δὲ περιττό-
τερον ἔχει ὁ περὶ τῶν λῃτουργιῶν τό-
πος τῶν προειρημένων, ὅτι ἐν ἐκείνοις
μὲν, ἐκβάλλει τὴν αἰδῶ. ἐν τούτοις
δὲ καὶ φθόνον αὐτῷ κατασκευάζει. εἰ
πολλὰ χρήματα κεκτημένος, εἰς μὲν
τὴν πόλιν, οὐδαμῶς· περὶ δὲ τὰς τρυ-
φὰς τὰς ἑαυτοῦ, φιλότιμός ἐστιν. Οἰ- 288
κίαν ᾠκοδόμηκεν Ἐλευσῖνι) Τυραν-
νικὸν τὸ ἔγκλημα, καὶ τὸ τῆς πολιτείας
ἦθος ἐκβαίνοντος. οὐκ ἐᾷ γὰρ γίνεσθαι
τὴν θέαν ἐπισκοποῦσα πᾶσι, καὶ
ἐφελκομένη τῶν ἄλλων τοὺς ὀφθαλ-
μοὺς ἢ τῷ ἀφαιρεῖσθαι τῷ ὕψει τῆς οἰ-
κοδομίας. Κἂν ἄλλοσέ ποι βούληται) 289
Ἢ πρὸς συγγενεῖς, ἢ πρὸς χρεία,
ἵνα μὴ δι' εὐσέβειαν, ἀλλὰ διὰ τρυ-
φὴν μᾶλλον γίγνοιτο ἡ κτῆσις. Ἐπὶ
τοῦ λευκοῦ ζεύγους τοῦ ἐκ Σικυῶνος)
Καὶ τοῦτο τρυφῆς ὁμοῦ καὶ τυραννικῆς
ἐννοίας τεκμήριον. τρυφῆς μὲν, ὅτι καὶ
ζεῦγος καὶ λευκὸν, ὅτι τε καὶ τὸ ἱπποτρο-
φεῖν τότε χαλεπόν. τυραννικὸν δὲ τὸ ἐκ Σικυῶνος. ἐτυραννεῖτο γὰρ ἡ πόλις ἐκείνη. οἱ δὲ πρότεροι γενόμενοι τύραννοι ἐν Σι-
κυῶνι, λευκοῖς ἡμιόνοις ἐχρήσαντο. οὐκοῦν συνήθειαν ἐστι κτᾶται πρὸς τοὺς τυράννους ζεύγη παρ' αὐτῶν ὠνούμενος.
Καὶ τρεῖς ἀκολούθους) Οὐκ ἐξῆν παρὰ τοῖς Ἀθηναίοις ἀργὸν τρέφειν οἰκέτην. διὸ τῶν οἱ μὲν αὐλοποιούς, οἱ δὲ, μα-
χαιροποιοὺς εἶχον τοὺς δούλους. Μειδίας δὲ τοσούτους ἀργοὺς περιάγων, τοὺς τυράννους μιμεῖται, δορυφορούμενος ὑπὸ τῶν
οἰκετῶν. Διὰ τῆς ἀγορᾶς σοβεῖ, Τὸ ἔνθρυπτον αὐτοῦ καὶ βλακῶδες διαβάλλει, περιέρχεται κατὰ τὴν ἀγορὰν θρυπτόμενος καὶ σο- 290
βῶν τοὺς ἀπαντῶντας. τὸ δὲ σοβεῖ συνεχοῦς κινήσεως τεκμήριον. ἔνθεν καὶ σόβους τοὺς Σατύρους, παρὰ τὸ σοβεῖν. κινητι-
κώτατον γάρ ἐστιν ἐν τοῖς ζῴοις, καὶ διὰ τοῦτο καὶ τοὺς Σατύρους αὐτοὺς, σόβας ἔχοντας γράφουσι. Κυμβία καὶ ῥυτὰ καὶ φιά-
λας, Τρυφῆς ὑπερβαλλούσης σημεῖον, τὸ καὶ τὰ εἴδη τῶν ἐκπωμάτων περιεργάζεσθαι. ῥυτὰ δὲ, ἐπιμήκη ποτήρια κερατοει-
δῆ ἄνω μὲν εὐρυνόμενα, εἰς ὀξὺ δὲ λήγοντα. Ὥστε τοὺς παριόντας ἀκούειν) Οὐκοῦν ἐκκαλεῖται διὰ τούτων εἰς συμ- 291
πόσια τοὺς βουλομένους ἐκ συμποσίων, ἑταιρεῖαι καὶ συνωμοσίαι. μετὰ ταῦτα δὲ τυραννίς. Οὐδὲ δεῖ τὰ τοιαῦτα) Ἔστι καὶ 292
τούτων ἐνίοτε καιρὸς, ἀλλὰ τὸ ἀεὶ, φησὶ, ταῦτα τιμᾶν, οὐ καλὸν, οὐδ' ἐπὶ ταῖς ἰδίαις φιλοτιμίαις σεμνύνεσθαι τινα συγ-
χωρεῖν. οἱ γὰρ πένητες εὐδαιμονίας καὶ αἰδοῦς ἀξίους νομίζουσιν οὐ τοὺς λειτουργοῦντας, ἀλλὰ τοὺς τρυφῶντας. Ἢ θερα- 293
παίνας κέκτηται) Εἰς ἀσέλγειαν καὶ ὕβριν ἀποτείνει. σκεύη δὲ εἶπε, περὶ τῶν κάδων, καὶ τῆς ἐσχάρας. Ἀλλὰ νὴ Δία τριή-
ρη. Διεῖλε τὰς λῃτουργίας, τὰς μὲν, εἰς τὸ ἀναγκαῖον, τὰς δὲ, εἰς τὸ ἑκούσιον· αἵτινες καὶ φιλοτιμίαι λέγονται. διὰ σὲ γὰρ
δὲ αὐτὸν εἰς ἐκείνας βούλεται) καὶ περὶ τῆς ἐπιδόσεως εἰπεῖν. λυπεῖ δὲ αὐτὸν ἡ φιλοτιμία καὶ διὰ τοῦτο ἀποτεμὼν αὐτὴν ἀπὸ
τῶν ἄλλων λῃτουργιῶν, ἵνα γυμνωθεῖσα καθ' ἑαυτὴν, ἀσθενεστέρα φανῇ, καὶ μηδὲ προσῶσι τῷ δοκοῦντι λαμπρῷ τοῦ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μειδίου πρὸς τούτοις καὶ τὴν φιλοτιμίαν καθεῖλεν ἐκ πλειόνων τόπων. καὶ δείκνυσιν ὅτι οὐ φιλοτιμία τὸ γενναῖος, ἀλλὰ τέχνη
295 καὶ σόφισμα. Θρυλήσει) Συνεχῶς λέξει. Εἰ δὲ δὴ δειλίας καὶ ἀνανδρίας) Αὐτὴν τὴν ἐπίδοσιν οὐκ ἔχων μέμφεσθαι, ἀπὸ τῶν παρακολουθούντων αὐτὴν καθαιρεῖ, καὶ παράγγελμα ἡμῖν παρέχει, ὅπως δεῖ περὶ τῶν δοκούντων καλῶν ποιεῖσθαι τὰς κατηγορίας. αὐτὰ μὲν γὰρ οὐ προσήκει μέμφεσθαι· ἀναίσχυντον γάρ. ἀπὸ δὲ τῶν περιστατικῶν διαβάλλει. οὕτω γὰρ ἐνταῦθα ὁ ῥήτωρ ἐποίησεν, ἀπὸ τῆς αἰτίας φαυλίσας. διὰ γὰρ τὸ δέος, φησὶν, ὤφθη φιλότιμος. ἀπὸ τῆς γνώμης, μεθ' ἧς. ἀπὸ χρόνου, πότε. ἀπὸ τῆς ἐκβάσεως, τί τὸ συμβάν.

295 δωκε. ταύτην γὰρ εὖ οἶδ' ὅτι θρυλήσει, καὶ φήσει, ἐγὼ ὑμῖν τριήρη ἐπέδωκα. οὑτωσὶ δὴ ποιήσατε. εἰ μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, φιλοτιμίας εἵνε-
296 κα ταύτην ἐπέδωκεν, ἣν προσήκει τῶν τοιούτων ἔχειν χάριν, ταύτην ἔχετε αὐτῷ, καὶ ἀπόδοτε· ὑβρίζειν δὲ, μὴ *δότε. οὐδενὸς γὰρ πράγμα- *δῶτε. κ.
297 τος, οὐδ' ἔργου, τοῦτο συγχωρητέον. εἰ δὲ δὴ καὶ δειλίας καὶ ἀνανδρίας ἕνεκα φαίνεται τοῦτο πεποιηκὼς, μὴ παρακρουσθῆτε. πῶς οὖν εἴσεσθε; ἐγὼ καὶ
298 τοῦτο διδάξω, ἄνωθεν δὲ, βραχὺς γάρ ἐστιν ὁ λόγος, ὃν λέξω, κἂν ἄνωθεν ἄρχεσθαι δοκῶ. ἐγένοντο εἰς Εὔβοιαν ἐπιδόσεις πρῶται παρ' ὑμῖν. τούτων οὐκ ἦν μειδίας,
299 ἀλλ' ἐγώ. καὶ συντριήραρχος ἦν μοι Φιλῖνος ὁ Νικοστράτου. ἕτεραι δεύτεραι μετὰ ταῦτα εἰς Ὄλυνθον. οὐδὲ τούτων ἦν μειδίας. καίτοι τόν γε δὴ φιλότιμον, πανταχοῦ
300 γὰρ προσῆκεν ἐξετάζεσθαι. τρίται *νῦν αὗται γεγόνασιν ἐπιδόσεις. ἐνταῦθα ἐπέδωκε. πῶς; ἐν τῇ βουλῇ γιγνομένων ἐπιδόσεων, παρὼν οὐκ ἐπεδί- *τίνες. α.
301 δου τότε. ἐπειδὴ δὲ πολιορκεῖσθαι τοὺς ἐν Ταμύναις στρατιώτας ἐξηγγέλλετο, καὶ πάντας ἐξιέναι τοὺς ὑπολοίπους ἱππέας, ὧν εἷς οὗτος ἦν,
302 προεβούλευσεν ἡ βουλή· τηνικαῦτα φοβηθεὶς τὴν στρατείαν ταύτην, εἰς τὴν ἐπιοῦσαν ἐκκλησίαν πρὶν καὶ προέδρους *καθίζεσθαι, παρελθὼν ἐπέ- *καθέζεσθαι. *προελθών. β.
304 δωκε. τῷ δῆλον, ὥστε μηδ' ἀντειπεῖν αὐτὸν ἔχειν, ὅτι τὴν στρατείαν φεύγων, οὐ φιλοτιμίᾳ, τοῦτ' ἐποίη-
305 σε; τοῖς μετὰ ταῦτα πραχθεῖσιν ὑπ' αὐτοῦ. τὸ μὲν γὰρ πρῶτον, ὡς οὐκ ἐδόκει, προϊούσης τῆς ἐκκλησίας, καὶ λόγων γιγνομένων, τῆς τῶν ἱππέων βοη-
306 θείας ἤδη δεῖν, ἀλλ' ἀναπεπλώκει τὰ τῆς ἐξόδου, οὐκ

298 Ἄνωθεν δὲ, βραχὺς γάρ ἐστιν ὁ λόγος) Βούλεται πάλιν τὴν ἐπίδοσιν τὴν ἑαυτοῦ τῇ ἐπιδόσει τοῦ μειδίου συγκρῖναι, καὶ διὰ τοῦτο ἀναλαμβάνει τοὺς χρόνους, δοκῶν μὲν ἀκριβείας ἕνεκα τοῦτο ποιεῖν, τῇ δὲ ἀληθείᾳ ἐπὶ τὸν καιρὸν ἀναδραμεῖν βουλόμενος, ἐν ᾧ τὴν ἐπίδοσιν αὐτὸς πεποίηκε τούτων. Ἐγένοντο εἰς Εὔβοιαν ἐπιδόσεις) Ἀπαριθμεῖται πολλῶν ἐτῶν εἰσφορῶν καὶ ἐπιδόσεων καιροὺς, ἐν οἷς οὐ φαίνεται ἐνδείξας ἑαυτοῦ τὴν φιλοτιμίαν μειδίας. εἰ δὲ ἐν ἐκείνοις ἐπέδωκε, νυνὶ δὲ τοῦτο ἐποίησε, σκεπτέσθω τὴν αἰτίαν δι' ἣν ἠναγκάσθη τοῦτο ποιεῖν. πῶς ἐπέδωκε. λέγε μοι, φησὶ, τὸν τρόπον τῆς ἐπιδόσεως. Τούτων οὐκ ἦν μειδίας, ἀλλ' ἐγώ) Τὸν σκοπὸν ἐξ ἀνάγκης ἐπλήρωσεν. εἶπε γὰρ ὅτι οὐκ ἦν μειδίας ὁ ἐπιδούς. ὥσπερ δὲ ἐπιζητοῦντος τοῦ ἀκροατοῦ, τίς οὖν ἦν; προσέθηκεν, ἀλλ' ἐγώ. Καὶ συντριήραρχος ἦν μοι) Ὥσπερ προσέθηκέ τινα τὸν Φιλῖνον ἐπὶ δευτέρου μνησθεὶς, ὡς αὐτοῦ μὲν ἐπιδόντος τὴν ναῦν, ἐκείνου δὲ ἁπλῶς
299 συνεργοῦντος. Καίτοι τόν γε δὴ φιλότιμον) Πῶς αὐτὸς ἐν πάσαις μὴ ἐπιδοὺς, ἕτερον μέμφεται; ὅτι πλείονα πεποίηται σπουδὴν δεῖξαι οὐ τὸν μειδίαν μὴ ὄντα φιλότιμον, ἀλλ'
300 ἐκείνου ἑαυτὸν φιλοτιμότερον. Τρίται νῦν αὗται) Οὐκοῦν εἶπε καὶ τὴν φιλοτιμίαν δι' ἐμὲ πεποίηκε. τῆς γὰρ ἐμῆς δόσεως ἐμιμήσατο. Ἐνταῦθα ἐπέδωκε) Ἀπὸ τοῦ τρόπου πειρᾶται διαβάλλειν. τὸ γὰρ πῶς, περὶ τὸν τρόπον θεωρεῖσθαι πέφυκε. Πῶς; ἐν τῇ βουλῇ γιγνομένων) Οὐ διὰ φιλοτιμίαν ἐπέδωκεν. ἐχρῆν γὰρ ἐν ταῖς προτέραις ἐπιδόσεσιν ἐπιδοῦναι. καὶ ἔστι τοῦτο ἀπὸ τοῦ χρόνου. δυνάμεθα γὰρ καθαιροῦντες λέγειν, οὐδὲν μέγα τὸ γιγνόμενον. ἐχρῆν γὰρ αὐτὸν ἐν λιμῷ χαρίσασθαι μᾶλλον, ὅτε σύμπας ὁ δῆμος διεφθείρετο. Παρὼν οὐκ ἐπεδίδου) Τὸ μὲν παρὼν πρόσκειται, ἵνα μὴ λέγῃ, ὡς ἀπεδήμει. τὸ δὲ ἐν τῇ βουλῇ μὴ δεδωκέναι· οὔπω γὰρ προσέβαλλεν ὁ φόβος, τῆς ἀνάγκης τοῦ ἐξιέναι μὴ καταφανοῦς γενομένης. ὅτε δὲ τοῦ δήμου προβουλευσαμένου ἡ βουλὴ πέμ-
302 πειν προσέταξε τοὺς ἱππέας, ὀξέως φθάσας καὶ τοὺς προέδρους, ἐπέδωκε τὴν ναῦν. Παρελθὼν ἐπέδωκεν)
*φόβου. Ἀπὸ τῆς αἰτίας τοῦτο. ἵνα γὰρ φύγῃ τὸν κίνδυνον, διὰ τοῦτο ἐπέδωκε. τὴν ὑπερβολὴν δὲ ἔδειξε τοῦ *φθόνου. προὔλαβε γὰρ τὴν τῶν προέδρων παρουσίαν, ἵνα μὴ προελθόντες ἐκεῖνοι περὶ ἄλλων προθῶσι τὴν σκέψιν, καὶ οὕτως ἐκ τῆς ἐπιδόσεως ὁ μειδίας μὴ ἀναγκασθῇ στρατεύεσθαι. οἱ γὰρ πρόεδροι ἦσαν, οἱ διὰ τοῦ κήρυκος λέγοντες τῷ
304 δήμῳ, δοκεῖ ὑμῖν περὶ τούτου βουλεύσασθαι; καὶ χωρὶς ἐκείνων, περὶ οὐδενὸς ὁ δῆμος ἐσκέπτετο. Τῷ δῆλον) Τί-
305 νι δῆλον, καὶ πόθεν ἡ γνῶσις, ὅτι φεύγων τὴν στρατείαν ἐπέδωκε, καὶ οὐ διὰ φιλοτιμίαν; Τοῖς μετὰ ταῦτα πραχθεῖσι) Ἐπιδοὺς γὰρ τὴν ναῦν διὰ τὸν φόβον, ὡς εἶδεν ὅτι πως προϊούσης τῆς σκέψεως, ὁ δῆμος ἔγνω μὴ πέμπειν τοὺς ἱππέας,

ἀλλ' ἦν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἦν τὸ ἀ[illegible]βολὴ τῆς ἐξόδου, οὐκ ἀνέβη ἐφ' ἣν ἐπέδωκε ναῦν, ἀλλ' Αἰγύπτιόν τινα Πάμφιλον εὑρών, ἐπίστευσεν αὐτῷ τὴν τριήρη. μετ' μικρὸν δὲ τοῦ στρατηγοῦ Φωκίωνος κρίναντος ἀποστεῖλαι κατὰ διαδοχὰς τοὺς ἱππέας ἐπὶ τὸν πόλεμον, ἣν δὲ αὐτὸς ὁ Μειδίας τότε φυγὼν τὸ μετὰ τῶν ἱππέων ἐξελθεῖν, ἐξέδραμεν ἐπὶ τὴν ναῦν, καὶ προὔδωκε τὴν τάξιν. καὶ ἵππαρχος χειροτονηθεὶς, τῆς ἀρχῆς παρημέλησε.

ἀνέβαινεν ἐπὶ τὴν ναῦν, ἣν ἐπέδωκεν. ἀλλὰ τὸν μέ- 307
τοικον ἐξέπεμψε τὸν αἰγύπτιον πάμφιλον. αὐτὸς δὲ
μένων ἐνθάδε, ἐν τοῖς διονυσίοις διεπράττετο ταῦ-
τα, ἐφ' οἷς νυνὶ κρίνεται. ἐπειδὴ δ' ὁ στρατηγὸς φωκίων
μετεπέμπετο τοὺς ἐξ ἀργούρας ἱππέας ἐπὶ τὴν
διαδοχήν, καὶ κατείληπτο σοφιζόμενος τότε ὁ δει- 308
λὸς καὶ κατάρατος οὗτος, λιπὼν τὴν τάξιν ταύτην,
ἐπὶ τὴν ναῦν ᾤχετο. καὶ ὧν ἱππαρχεῖν ἠξίωσε παρ'
ὑμῖν ἱππέων, τούτοις οὐ συνεξῆλθεν. εἰ δ' ἐν τῇ θα-
λάττῃ κίνδυνός τις ἦν, εἰς τὴν γῆν δηλονότι ᾤχε-
τ' ἄν. οὐ μὴν νικήρατός γε οὕτως ὁ τοῦ νικίου, ὁ ἀ- 309
γαπητός, ὁ ἄπαις, ὁ παντάπασιν ἀσθενὴς τῷ σώ-
ματι· οὐδ' εὐκτήμων ὁ τοῦ αἰσίωνος, οὐχ οὕτως· οὐδ'*
εὐθύδημος, ὁ τοῦ στρατοκλέους· ἀλλ' αὐτῶν ἕκαστος ἑ-
κὼν ἐπιδοὺς τριήρη, οὐκ ἀπέδρα ταύτην τὴν στρα-
τείαν, ἀλλὰ τὴν μὲν ἐπίδοσιν ἐν χάριτος μέρει, καὶ 310
δωρεᾶς παρεῖχον πλεούσας τῇ πόλει. οὗ δ' ὁ νόμος
προσέταττεν, ἐνταῦθα τοῖς σώμασιν αὐτοὶ λειτουρ-
γεῖν ἠξίουν. ἀλλ' οὐχ ὁ ἵππαρχος μειδίας· ἀλλὰ
τὴν ἐκ τῶν νόμων τάξιν λιπών, ἧς δίκην ὀφείλει τῇ
πόλει δοῦναι, τοῦτ' ἐν εὐεργεσίας ἀριθμήσει μέ- 311
ρει. καίτοι, τὴν τοιαύτην τριηραρχίαν, ὦ πρὸς
* θεῶν πότερον τελωνείαν, καὶ πεντηκοστήν, καὶ λει-
ποταξίαν, καὶ στρατείας ἀπόδρασιν, καὶ πάντα τὰ
τοιαῦτα ἁρμόττει καλεῖν, ἢ φιλοτιμίαν; οὐδένα γὰρ
τρόπον ἄλλον ἐν τοῖς ἱππεῦσιν αὑτὸν ἀτελῆ ποιῆσαι 312
στρατείας δυνάμενος, ταύτην εὕρηκε μειδίας και-
νὴν ἱππικῆς τινὰ πεντηκοστήν. καὶ γὰρ αὖ τότε τῶν
ἄλλων ἁπάντων τῶν ἐπιδόντων τριηράρχων, πα-
ραπεμπόντων ὑμᾶς, ὅτε δεῦρ' ἀπεπλεῖτε ἐκ στύ-
ρων, μόνος οὗτος οὐ παρέπεμπεν. ἀλλ' ἀμελήσας 313
ὑμῶν, χάρακας, καὶ βοσκήματα, καὶ θυρώματα ὡς
αὑτόν, καὶ ξύλα εἰς τὰ ἔργα τὰ ἀργύρεια ἐκόμιζε.

Με- 307
τεπέμπετο τοὺς ἐξ ἀργούρας) Εἰ
πλείους ἦσαν οἱ στρατηγοί, παρὰ χρό-
νον ἦρχον. ἐλθόντος οὖν τοῦ καιροῦ
ἐπὶ φωκίωνα ὥστε ἄρχειν, μετε-
πέμψατο τοὺς ἱππέας, ἵνα αὐτῷ πα-
ραμένωσιν. ἐκείνων οὖν ἀναχωρη-
σάντων, ἄλλους ἦν ἀναγκαῖον ἐξελ-
θεῖν, ὧν ἦν ἵππαρχος ὁ μειδίας.
Λιπὼν τὴν τάξιν) Ταύτην τὴν 308
φιλοτιμίαν, εἰς λειποταξίαν κατέ-
στησε. καὶ ὅπερ αὐτὸς ἐνεκαλεῖτο παρὰ
εὐκτήμονος, τοῦτο διαβάλλει τὸν μει-
δίαν. Καὶ ὧν ἱππαρχεῖν ἠξίωσε)
Πολλὰ τὰ ἄτοπα. πρῶτον μὲν, ὅτι
κατέλιπε τοὺς ἱππέας, ἵππαρχος ὤν.
καὶ τότε ὠνόμασεν αὐτὸν ἵππαρχον,
ὅτι ὕβριν μᾶλλον, ἢ τιμὴν προεξέ-
νει. τὸ δὲ ὕστερον, ὅτι καὶ αὐτὸς ἀξιώ-
σας, κατέλιπε τούτους, ὧν αὐτὸς ἡ-
γεῖσθαι παρεκάλεσεν. Εἰ δ' ἐν τῇ
θαλάττῃ κίνδυνός τις) Καὶ ἐκεῖ ἔ-
λιπεν ἂν τὴν τάξιν. καὶ ταύτην δια-
βάλλει αὐτὸν πειρᾶται, τῆς γνώμης
αὐτοῦ στοχαζόμενος. Οὐ μὴν νι- 309
κήρατός γε) Ἵνα μὴ εἰς ἦθος κατα-
φύγῃ, αἰσχρῇ τοῖς παραδείγμασι. καὶ
πολλὴν κατέμιξεν ἔπαινον εἰπών, ὁ
ἀγαπητός, οἷ ὁ ὅμοιος τῷ πατρί. *καὶ μόνος.
Ὁ ἄπαις) Ὁ νέος ἔτι καὶ παῖς.
Ὁ παντάπασιν ἀσθενὴς) Ὡς ὤφε-
λεν ἀπολογίαν ἔχων, ἑτέρῳ διαδόχῳ
διὰ τὴν ἀσθένειαν χρήσασθαι. Ἀλλὰ 310
τὴν ἐκ τῶν νόμων τάξιν) Πόση παρ-
ρησία τῆς τέχνης ἐχρήσατο. οὐ γὰρ μό-
νον οὐκ ἄξιοι ἐπαίνου δείκνυσιν ἐπὶ τῇ
φιλοτιμίᾳ, ἀλλὰ καὶ τιμωρίας ἄξιον.
Πότερον τελωνείαν καὶ πεντηκοστήν) 311
Βούλει οὖν τῷ πραχθέντι παρὰ σοῦ
δῶμεν ὄνομα πρόσφορον; μὴ καλεῖ
αὐτὸ φιλοτιμίαν, ἀλλὰ λειποταξίαν, καὶ
τελωνείαν, ἐπειδὴ οἱ τελῶναι τοῦ πο-
λεμεῖν ἔχοι ἀτέλειαν. διὰ γὰρ τοῦτο
ἐπάγει, καινὴν ἐξεῦρε μειδίας ἱπ-
πικὴν τινὰ πεντηκοστήν ὄντως γὰρ ξέ-
νην τελωνείαν. καὶ δι' ἀτέλειαν τοῦ ξυ-
νιέναι τοῖς ἱππεῦσιν ἐξεῦρηκε. τὴν
ἐπίδοσιν τῆς τριήρους. ἐπειδὴ γὰρ
τὰ τέλη δίδοται χρημάτων ἕνεκα,

οὐχὶ τοῦ φεύγειν τὰς στρατείας, εἰκότως προσέθηκε, καινὴν τινὰ πεντηκοστήν. ὅμως δέ, φησιν, ἐξετάσωμεν αὐτοῦ καὶ τὴν ἐπίδοσιν, τί ἡμᾶς ὠφέλησε. ἔστιν οὗτος ἀπὸ τῆς ἐκβάσεως ὁ λόγος. Τῶν ἄλλων ἁπάντων παραπεμ- 312
πόντων, μόνος οὗτος οὐ παρέπεμπεν. οὐκοῦν ἀνωφελὴς ἡ ἐπίδοσις, εἴπερ μὴ διεβίβαζε τὸν δῆμον. Ἐκ στύ-
ρων) Χωρίον τῆς εὐβοίας. Χάρακας καὶ βοσκήματα) Ἀπίπτιον (?) ἤρετο. τίνος οὖν ἕνεκεν λοιπὸν ἐπέδωκε 313
τὴν ναῦν, ἐν ᾗ μὴ ἔμελλεν ἡμᾶς διακομίζειν. ὁ δέ φησιν, ὅτι βοσκήματα καὶ ξύλα, καὶ θυρώματα διεκόμιζε.
Θυρώματα) Σανίδας ἐπιτηδείας πρὸς θύρας. θυρώματα δὲ εἶπεν ἐνδεικνύμενος τὸ μέγεθος, ὥστε πολλῶν χρήζειν θυρωμάτων. Εἰς τὰ ἔργα τὰ ἀργύρεια) Μεμίσθωτο γὰρ τὰ μέταλλα παρὰ τῆς πόλεως, ἃ ἦν τοῦ ἀργυρείου.

καὶ χρηματισμός, οὐ λειτουργία γέγονεν ἡ τριηραρ-
χία τῷ καταπλύστῳ τούτῳ. Ἀλλὰ μὴν ὡς ἀληθῆ
314 λέγω, συνίστε μὲν τὰ πολλὰ τούτων. ὅμως δὲ καὶ
μάρτυρας ὑμῖν καλῶ.

Μάρτυρες.

Κλέων σουνιεύς, ἀριστοκλῆς παιανιεύς, πάμφιλος,
νικήρατος ἀχερδούσιος, εὐκτήμων σφήττιος, καθ᾽ ὃν
315 καιρὸν ἐκ στύρων ἀπεπλέομεν δεῦρο τῷ στόλῳ παν-
τί, ἐτύχομεν τριηραρχοῦντες καὶ αὐτοί, καὶ μειδίας ὁ
νῦν κρινόμενος ὑπὸ δημοσθένους, ᾧ μαρτυροῦμεν.
παντὸς δὲ τοῦ στόλου πλεόντων ἐν τάξει, καὶ τῶν τριη-
ράρχων ἐχόντων παράγγελμα μὴ χωρίζεσθαι, ἕως
316 ἂν δεῦρο καταπλεύσωμεν, μειδίας ὑπολειφθεὶς τοῦ
στόλου, καὶ γεμίσας τὴν ναῦν ξύλων, καὶ χαράκων, καὶ
βοσκημάτων, καὶ ἄλλων τινῶν, κατέπλευσεν εἰς πει-
ραιᾶ μόνος μεθ᾽ ἡμέρας δύο. καὶ οὐ συγκατέστησε τὸν
στόλον μετὰ τῶν ἄλλων τριηράρχων.

317 Εἰ τοίνυν ὡς ἀληθῶς, ὦ ἄνδρες ἀθηναῖοι, ἀπο-
φήσει, καὶ καταλαζονεύσεται πρὸς ὑμᾶς αὐτίκα δὴ
μάλα, τοιαῦτ᾽ ἦν αὐτῷ καὶ τὰ λελειτουργημένα καὶ
πεπραγμένα, καὶ μὴ τοιαῦτα οἷα ἐγὼ δεικνύω, οὐδ᾽
οὕτω δήπου τόγε δοῦναι δίκην, ὧν ἐμὲ ὕβρικεν, "ἐκ- "ἐκφυγεῖν
318 φεύγειν ταῖς λειτουργίαις δίκαιος ἂν ἦν. ἐγὼ γὰρ οἶδ᾽
ὅτι πολλοὶ πολλὰ κἀγαθὰ ὑμᾶς εἰσὶν εἰργασμένοι,
οὐ κατὰ τὰς μειδίου λειτουργίας, οἱ μέν, ναυμαχίας νε-
νικηκότες, οἱ δέ, πόλεις εἰληφότες, οἱ δέ, πολλὰ καὶ
καλὰ ὑπὲρ τῆς πόλεως στήσαντες τρόπαια· ἀλλ᾽
319 ὅμως οὐδενὶ τούτων πώποτε ἐδώκατε τὴν δωρεὰν
ταύτην, οὐδ᾽ ἂν δοίητε, ἐξεῖναι τοὺς ἰδίους ἐχθροὺς
ὑβρίζειν αὐτῶν ἑκάστῳ "ὁπότ᾽ ἂν βούληται, καὶ ὃν "ὅπου ἂν
ἂν δύνηται τρόπον· οὐδὲ γὰρ ἁρμοδίῳ καὶ ἀριστογεί-
τονι. τούτοις γὰρ δὴ μέγισται δέδονται δωρεαὶ παρ᾽ ὑ-
320 μῶν, καὶ ὑπὲρ μεγίστων. οὐδ᾽ ἂν "ἠνέσχεσθε, εἰ προσ- "ἠνέχεσθε
έγραψέ τις ἐν τῇ στήλῃ, ἐξεῖναι δὲ καὶ ὑβρίζειν αὐ-
τοῖς ὃν ἂν βούλωνται. ὑπὲρ γὰρ αὐτοῦ τούτου τὰς ἄλ-
λας ἔλαβον δωρεάς, ὅτι τοὺς ὑβρίζοντας ἔπαυσαν.
ὅτι τοίνυν καὶ κεκόμισται χάριν, ὦ ἄνδρες ἀθηναῖοι,
321 παρ᾽ ὑμῶν, οὐ μόνον ὧν αὐτὸς λελειτούργηκε λειτουρ-
γιῶν ἀξίαν. μικρὰ γὰρ αὕτη γέ τις ἦν· ἀλλὰ καὶ τῶν
μεγίστων, καὶ τοῦτο βούλομαι δεῖξαι, ἵνα μηδ᾽ ὀφείλειν
οἴησθέ τι τῷ καταπλύστῳ τούτῳ. ὑμεῖς γάρ, ὦ ἄνδρες
ἀθηναῖοι, ἐχειροτονήσατε τοῦτον τῆς παράλου ταμίαν,

ὄντα

313 Καὶ χρηματισμός, οὐ λειτουργία) Μετέθηκεν εἰς περιουσίας ἀφορμὴν ὁ μειδίας τὴν λειτουργίαν. καὶ οἱ μὲν ἄλλοι δαπανῶσιν, αὐτὸς δὲ χρηματισμὸν καὶ πόρον ἐντεῦθεν περιποιεῖται. ἐμπορείας οὖν ἕνεκεν, οὐ φι-
314 λοτιμίας τὴν ναῦν ἐπέδωκεν. Ὅμως δὲ καὶ μάρτυρας ὑμῖν καλῶ) Ὅτι καὶ χάρακας καὶ βοσκήματα, καὶ τὰ τοιαῦτα ἐκόμισεν. οὐδὲν δὲ ἐκώλυε καὶ τοὺς πολίτας διαβιβασθῆναι. κἀκεῖνο δὲ ἐστὶν ὁμολογούμενον, ὅτι ξύλα ἐκόμισεν. ἐκ τούτου συνάγει, ὅτι
317 τῶν ἀνθρώπων ἠμέλησεν. Εἰ τοίνυν ὡς ἀληθῶς, ὦ ἄνδρες ἀθηναῖοι) Τῷ κατὰ ἀντιπαράστασιν κέχρηται νοήματι μετὰ τὴν ἔνστασιν. οὐ μόνον γὰρ εἰς τὰς λύσεις τῶν ἀντιθέσεων χρώμεθα αὐταῖς, ἀλλὰ καὶ ἐπὶ ἑτέρων νοημάτων, ὅταν τι βουληθῶμεν κατὰ περιουσίαν εἰσαγαγεῖν. ὅπερ καὶ ἐνταῦθα πεποίηκεν ὁ ῥήτωρ. δείξας γὰρ διὰ τῆς ἐνστάσεως, ὅτι οὐδὲν ἐλειτούργησε, χρῆται τῇ ἀντιπαραστάσει, ὅτι ἄξιος ἦν συγγνώμης ἐφ᾽ οἷς ἐπλημμέλησε, καὶ ἑξῆς.
318 Οἱ μέν, ναυμαχίας) Ἐκ τοῦ πρός τι ἐπιλογίζεται. καὶ οἷς ἐκεῖ κατ᾽ ὄνομα ἐπεξῆλθεν ἰφικράτει τε καὶ χαβρίᾳ καὶ τοῖς ἄλλοις, τούτοις νῦν ἐν τῷ καθόλου, ἀορίστως περιέλαβε. δεῖ γὰρ τὸν ἐπίλογον, πάντα ἐπιλογίζεσθαι τὰ ἐν τοῖς ἀγῶσι, τά τε ἐν προοιμίοις, καὶ τὰ ἐν καταστά-
319 σεσιν. Ὅπου ἐὰν βούληται) Καὶ ἐν ἑτέροις, καὶ ἐν θεάτροις. ὃν δ᾽ ἂν δύνηται τρόπον, τουτέστι πληγὰς ἐντείνων καὶ διαφθείρων, καὶ στε-
320 φάνους ἀφανίζων. Ὅτι τοίνυν καὶ κεκόμισται χάριν) Ὅπερ ἂν ὁ μειδίας εἰς τὸν τῆς αἰδοῦς παρέχει τόπον, ὅτι τετίμηται παρ᾽ ὑμῶν, ὅτι τῆς παράλου γέγονε ταμίας, ὅτι ἵππαρχος ἐχειροτονήθη. ἄτοπον οὖν τοῦ τοιούτου καταψηφίσασθαι διὰ προφάσεις μικράς, ταῦτα προλαμβάνων δημοσθένης ἀναιρεῖ, φάσκων, ὅτι διὰ ταῦτα αὐτὰ οὐκ ἄξιος αἰδοῦς. εἰ γὰρ διὰ τὰς λειτουργίας ἔτυχεν ἂν συγγνώμης ὢν ἄξιος, κεκόμισται δὲ "συγγνώμην καὶ ἀντὶ τοῦ ἑτέρας τιμάς, φαίνεται μηδὲν ὀφειλό-
321 μενον παρὰ τῆς πόλεως. Ἐχειροτονήσατε τοῦτον τῆς παράλου ταμίαν) Οἱ μὲν φασίν, ὅτι πάραλος ἐκλήθη, ἀπὸ τοῦ παράλου παιδὸς τοῦ περικλέους. οἱ δέ, ἀπὸ παράλου τινὸς ἥρωος, οὗ καὶ ὁ παῖς ἦν, περικλέους ὁμώνυμος, διὰ τὸ πλεῖν τὴν παραλίαν, τουτέστι, τὴν ἀκτήν, καὶ τὸν ἑλλήσποντον. αὕτη γὰρ ἀ-

"τὴν ταμίου τιμὴν ἀντὶ τούτων, καὶ ἑτέρας τιμ.

πεστέλλετο πρὸς τοὺς συμμάχους, εἴ τι βούλοιντο σημαίνειν οἱ ἀθηναῖοι. ἦσαν δὲ τὸ μὲν πρότερον ἱεραὶ δύο τριήρεις, ἥ τε σαλαμινία, ἣν καὶ δηλίαν ἐκάλουν· καὶ ἡ πάραλος. ὕστερον δὲ, καὶ ἄλλαι τρεῖς ἐγένοντο, ἀντιγονὶς, καὶ πτολεμαῒς, καὶ ἀμμωνιὰς, ἐπειδὴ τῷ ἄμμωνι δι' αὐτῆς τὰς θυσίας ἔπεμπον. τούτων δὲ τῶν ἱερῶν τριήρων αὐτὴ ἡ πόλις ἐπεμελεῖτο, καὶ χρήματα ἐδίδου τοῖς ταμίαις, ὥστε αὐτῶν ἐπιμελεῖσθαι, καὶ παρέχειν ταχυναύτας. καὶ τιμὴ ἦν τὸ τούτων τινὸς ἐπιμεληθῆναι.

ὀχεῖσθαι. α. ε. ὄντα τοιοῦτον, οἷός ἐστι, καὶ πάλιν ἵππαρχον, ὀρχεῖσθαι 322
διὰ τῆς ἀγορᾶς ταῖς πομπαῖς, οὐ δυνάμενον, καὶ
βοώνην. α. β. ε. μυστηρίων ἐπιμελητὴν, καὶ ἱεροποιόν ποτε καὶ βοώ-
νην, καὶ τὰ τοιαῦτα δή. εἶτα πρὸς τῶν θεῶν, τὴν
τῆς φύσεως κακίαν, καὶ ἀνανδρίαν, καὶ πονηρίαν, ταῖς
παρ' ὑμῶν ἀρχαῖς καὶ τιμαῖς καὶ χειροτονίαις ἐπα- 323
νορθοῦσθαι, μικρὰν ὑπολαμβάνετε εἶναι δωρεὰν καὶ
χάριν; καὶ μὴν εἴ τις αὐτοῦ ταῦτα ἀφέλοιτο, ἱπ-
πάρχηκα, τῆς παράλου ταμίας γέγονα, τίνος ἐστὶν
ἄλλου ἄξιος οὗτος. ἀλλὰ μὴν, κἀκεῖνό γε ἐπίστα-
σθε, ὅτι τὴν μὲν πάραλον ταμιεύσας, κυζικηνῶν ἥρ- 324
πασε πλεῖον, ἢ πέντε τάλαντα. ὑπὲρ ὧν ἵνα μὴ δῷ
δίκην, πάντα τρόπον περιελαύνων, καὶ ξαίνων τοὺς ἀν-
θρώπους, καὶ τὰ σύμβολα συγχέων, τὴν μὲν πό-
λιν ἐχθρὰν τῇ πόλει πεποίηκε, τὰ χρήματα δ' αὐ-
τὸς ἔχει. ἵππαρχος δὲ χειροτονηθεὶς, λελύμανται τὸ 325
ἱππικὸν ὑμῶν, τοιούτους θεὶς νόμους, οὓς πάλιν αὐτὸς
ἔξαρνος ἦν μὴ τεθηκέναι. καὶ τῆς μὲν παράλου τα-
μιεύων τότε, ὅτε τὴν ἐπὶ θηβαίους ἔξοδον εἰς εὔ-
ἐποιεῖτε. βοιαν ἐποιεῖσθε ὑμεῖς, δώδεκα τῆς πόλεως τάλαν-
τα ἀναλίσκειν ταχθεὶς, ἀξιούντων ὑμῶν πλεῖν, καὶ 326
παραπέμπειν τοὺς στρατιώτας, οὐκ ἐβοήθησεν. ἀλλ'
ἤδη τῶν σπονδῶν γεγονυιῶν, ἃς διοκλῆς ἐσπείσατο θη-
βαίοις, ἧκε. καὶ τότε ἡττᾶτο πλέων τῶν ἰδιωτικῶν τριη-
ρῶν μιᾶς. οὕτως εὖ τὴν ἱερὰν τριήρη παρεσκευά-
κει. ἱππαρχῶν τοίνυν· τί οἴεσθε τἆλλα· ἀλλ' ἵππον 327
οὐκ ἐτόλμησεν ὁ λαμπρὸς καὶ πλούσιος οὗτος πρί-
ασθαι· ἀλλ' ἐπ' ἀλλοτρίου τὰς πομπὰς ἡγεῖτο τοῦ
καὶ ταῦτα ἐκεί- φιλομήλου τοῦ παιανιέως ἵππου. καὶ ταῦτα ἴσα-
νων πάντες σιν οἱ ἱππεῖς. Ἀλλὰ μὴν ὅτι ταῦτα ἀληθῆ λέγω,
ἴσ. α. κάλει μοι καὶ τούτων τοὺς μάρτυρας. 328

Μάρτυρες.

Βούλομαι τοίνυν ὑμῖν, ὦ ἄνδρες ἀθηναῖοι, καὶ

Ὄντα τοιοῦτον) Δεινόν τι, καὶ μοχθηρόν. 322 Καὶ πάλιν ἵππαρχον) Φθάσαι ἤδη τὴν στρατηγίαν ταύτην αὐτὸν διέβαλεν. εἰκότως οὖν ἐπήνεγκε τὸ οὐ δυνάμενον. εἰ γὰρ οὕτως ἐστὶν ἀσθενὴς, ὥστε καὶ ἐπ' ἀστράβης ὀχεῖσθαι, δηλονότι ἀνεπιτήδειός ἐστι πρὸς τὸ στρατηγεῖν.

ὀχεῖσθαι. κ. Ὀρχεῖσθαι διὰ τῆς ἀγορᾶς) Ἔθος γὰρ ἦν ἐν ταῖς πομπαῖς προηγεῖσθαι τοὺς ἄρχοντας. οὐ τῆς ἐπιστήμης οὖν χάριν οὐδὲ τῆς τέχνης τετίμηται. τοσοῦτον γὰρ ἀπέχει ταύτης, ὡς οὐδ' ἐν εἰρήνῃ καλῶς ἐποχεῖσθαι τῷ ἵππῳ κατὰ τὴν ἀγορὰν ποτὲ δεδυνῆσθαι. Ἱεροποιόν) Τὸν ἐπισκοποῦντα τὰ θύματα, μὴ ἀδόκιμα καὶ πηρά. Βοώνην δὲ, τὸν ὠνούμενον βοῦς εἰς τὰς ἑορτάς.

χε. ἐπανορθῶσαι. Τὴν τῆς φύσεως κακίαν καὶ ἀνανδρίαν) Ἵππαρχον μὲν αὐτὸν χειροτονήσαντες, τὴν δειλίαν ἐπηνωρθώσατο. ἱεροποιὸν δὲ καὶ μυστηρίων ἐπιμελητὴν ἑλόμενοι, τὴν πονηρίαν ἠμβλύναν.

Κυζικηνῶν ἥρπασε πλεῖον, ἢ πέντε) 324 Ἐν τῷ συμμαχικῷ πολέμῳ ἐψηφίσαντο ἀθηναῖοι, λῄζεσθαι τοὺς θάλατταν πλέοντας, κἂν ἔμποροι ὦσι τῶν πολεμίων. (αὐ.) περιτυχὼν οὖν ἐμπόροις κυζικηνοῖς, ἀφείλετο αὐτῶν, ὡς πολεμίων, τὰ χρήματα. οἱ δὲ, ἐλθόντες εἰς ἀθήνας, ἀπεδείκνυσαν αὐτοῖς φιλίαν ὑπάρχουσαν πρὸς τὴν πόλιν. ὁ δὲ μειδίας μέχρι τοσούτου ἀντεῖπεν, ἕως ἔπεισε μὴ ἀποδοῦναι αὐτοῖς τὰ χρήματα. οἱ δὲ ἀπελθόντες, ἀπέστησαν τὴν ἑαυτῶν πατρίδα. κατ' ἄμφω οὖν τοὺς ἄνδρας ἠδίκησε, καὶ τὰ χρήματα λαβὼν, καὶ εἰς ἔχθραν ἐμβαλών. Συγχέων) Κυκῶν, καὶ συνταράττων, καὶ ἀναιρῶν, ἵνα μὴ ἀπαιτοῖτο τὰ χρήματα. 325 Τοιούτους θεὶς νόμους) Οἱ μὲν τοὺς λόγους, οὓς εἶπε κατὰ τῶν ἱππέων ἐκάλεσαν νόμους. οἱ δὲ, τῇ ἀληθείᾳ ὑπέλαβον τεθεῖσθαι νόμους, ὡς οὐ δεῖται ἱππέων ἡ πόλις. καταισχύνουσι γὰρ αὐτήν. ἴσως δὲ ἔπεισεν, ἵνα μὴ στρατεύηται). Ἐξαρνος ἦν) Φοβηθεὶς γὰρ τὴν κατηγορίαν, ἔρριψε καὶ ἀφῆκε τοὺς νόμους. Ὅτε τὴν ἐπὶ θηβαίους ἔξοδον) Ἐγένετο γὰρ καὶ διὰ τὴν πλουτάρχου ἑτέρα. Δώδεκα τῆς πόλεως τάλαντα) Ἀντιπίπτον ἔλυσεν. οὐκ ἠδύνατο πλεῖν ἡ τριήρης διὰ τὸ μὴ λαβεῖν χρήματα παρὰ τῆς πόλεως εἰς τὴν ἐπισκευήν. ὁ δὲ εἶπε, καὶ μὴν δώδεκα τάλαντα εἰλήφει, ὅσα οὐδεὶς ἕτερος. Τὴν ἱερὰν τριήρη παρεσκευάκει) Τοῦ διαπρεπεῖν μεν ἐπὶ τὸν πόλεμον. διοκλῆς δὲ στρατηγὸς ἦν ὁ λύσας τὸν 326 πρὸς θηβαίους πόλεμον ταῖς σπονδαῖς. Ἀλλ' ἵππον οὐκ ἐτόλμησεν) Οὐκοῦν εἰς μὲν τὰς ἰδίας τρυφὰς, ὑπάρχει 327 φιλότιμος· εἰς δὲ τὰς κοινὰς χρείας οὕτω μικρολόγος, ὥστε μηδὲ ἵππον ὠνήσασθαι, καίτοι ἵππαρχον ὄντα. Βούλομαι 328 τοίνυν) Τὴν πηλικότητα ἐπιλογίζεται. ἐπειδὴ γὰρ ἐν ἐκείνῃ φησὶν ὁ μειδίας, ὅτι τί γὰρ γέγονεν δεινὸν, καὶ τίς ποτε



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὅσων ἤδη καταχειροτονήσαντος τοῦ δήμου περὶ τὴν
ἑορτὴν ἀδικεῖν, ὑμεῖς κατεγνώκατε, εἰπεῖν, καὶ δεῖ-
329 ξαι, τί πεποιηκότες αὐτῶν ἔνιοι τίνος ὀργῆς τετυ-
χήκασι παρ' ὑμῶν, ἵν' αὐτὰ πρὸς τὰ τούτῳ πε-
πραγμένα αἰτιῆτε. πρῶτον μὲν τοίνυν, ἵνα πρώ-
της τῆς τελευταίας γεγονυίας μνησθῶ καταγνώσεως,
περὶ τὰ μυστήρια ἀδικεῖν, Εὐάνδρου κατεχειροτό-
330 νησεν ὁ δῆμος, τοῦ Θεσπιέως, προβαλλομένου αὐτὸν
Μενίππου, Καρός τινος ἀνθρώπου. ἔστι δὲ ὁ αὐτὸς
νόμος τῷδε τῷ περὶ τῶν Διονυσίων, ὁ περὶ τῶν μυ-
στηρίων. κἀκεῖνος ὕστερος τούτου ἐτέθη. τί οὖν ποιή-
σαντος, ὦ ἄνδρες Ἀθηναῖοι, κατεχειροτονήσατε τοῦ
331 Εὐάνδρου, τοῦτ' ἀκούσατε. ὅτι δίκην ἐμπορικὴν κα-
ταδικασάμενος τοῦ Μενίππου, οὐκ ἔχων πρότερον
λαβεῖν αὐτόν, ὡς ἔφη, τοῖς μυστηρίοις ἐπιδημοῦν-
τος ἐπελάβετο, κατεχειροτονήσατε μὲν διὰ ταῦτα,
καὶ οὐδ' ὁτιοῦν ἄλλο προσῆν. εἰσελθόντα δ' εἰς τὸ δι-
332 καστήριον, ἐβούλεσθε μὲν θανάτῳ ζημιῶσαι. τοῦ δὲ
προβαλλομένου πεισθέντος, τὴν δίκην τε πᾶσαν
ἀφεῖναι ἠναγκάσατε αὐτόν, ἣν ᾑρήκει πρότερον· β
ἦν δὲ δυοῖν αὐτῇ ταλάντοιν· καὶ προσετιμήσατε
τὰς βλάβας, ἃς ἐπὶ τῇ καταχειροτονίᾳ μένων ἐλο-
333 γίζετο αὐτῷ γεγενῆσθαι πρὸς ὑμᾶς ἄνθρωπος. εἷς
μὲν οὗτος ἐξ ἰδίου πράγματος, οὐδεμιᾶς ὕβρεως προ-
σούσης, ὑπὲρ αὐτοῦ τοῦ παραβῆναι τὸν νόμον, τοσαύτην
ἔδωκε δίκην. εἰκότως. τοῦτο γάρ ἐσθ', ὃ φυλάττειν ὑμᾶς
δεῖ, τοὺς νόμους, τὸν ὅρκον. ταῦτ' ἔχεθ' ὑμεῖς οἱ δι-
334 κάζοντες ἀεὶ παρὰ τῶν ἄλλων, ὥσπερεὶ παρακατα-
θήκην, ἣν ἅπασιν, ὅσοι μετὰ τοῦ δικαίου πρὸς ὑμᾶς
ἔρχονται, σῶαν ὑπάρχειν δεῖ. ἕτερος ἀδικεῖν ποτ'
ἔδοξεν ὑμῖν περὶ τὰ Διονύσια. καὶ κατεχειροτονή-
σατ' αὐτοῦ, παρεδρεύοντος ἄρχοντι τῷ υἱεῖ, ὅτι θέαν

ἐπὶ τοιούτοις δημοσίαν δίκην ὑπέμεινε; διὰ τοῦτο ἐκεῖ μὲν τοῖς ἀγωνιστικοῖς ἐχρήσατο. ἐνταῦθα δὲ τοῖς ἐπιλογικοῖς, ὅτι πολλῷ καὶ ἐπ' ἐλάττοσι τούτων δίκην ἔδοσαν. ἔστι δὲ τῶν παραδειγμάτων τῶν ληφθέντων, τὰ μὲν ὅμοια τοῖς πᾶσι, τὰ δέ, κατὰ τὴν παρέκβασιν μόνον. καὶ τῶν ὁμοίων, τὰ μέν, μᾶλλον· τὰ δέ, ἧττον. ἐξήτακε γὰρ τοὺς πρώτους περὶ τὴν ἑορτὴν ἀδικήσαντας καὶ κολασθέντας, ὅπερ οἰκεῖόν ἐστι τῇ παρούσῃ ὑποθέσει περὶ τὰ μυστήρια. ἕτερος δὲ ὁ ἐν τοῖς Διονυσίοις. ὁ μέντοι ῥήτωρ, ὡς ὅμοιον συνελογίσατο τῷ κοινὸν καθ' ἑκάτερον εἶναι τὸ τῆς ἑορτῆς ὄνομα.

328 Καὶ ὅσων ἤδη καταχειροτονήσαντος) Χρησιμώτατον, μέλλοντας αἰτιᾶσθαι τοῦ δικαστηρίου, μνήμην ἀνακινεῖ τῶν ἡμαρτηκότων ἐν ταῖς ἑορταῖς καὶ κολασαμένων, ἵνα ἐρεθισθῶ-
329 σιν εἰς ἀγανάκτησιν. Τοῦ Θεσπιέως) Οἱ μὲν δῆμόν τινα ἐξέβαλον, ὡς τοῦ Εὐάνδρου Ἀθηναίου τυγχάνοντος. οἱ δέ, καὶ αὐτὸν ξένον ἐνόμισαν Θεσπιέα τῆς Βοιωτίας. ἐξῆν γὰρ τοῖς ξένοις ἐμπόροις, ὅπου ἐβούλοντο ποιεῖσθαι τὰς δίκας. Καρός τινος) Ὑπερβολή, ὅτι καὶ ξένος ἦν ὁ προβαλλόμενος, καὶ ὅμως οὐ παρημελήθη.

331 Καταδικασάμενος) Ἄλλο καταδικάσαι, καὶ ἄλλο καταδικασάμενος. τὸ μὲν γάρ, κυρίως ἐπὶ τῶν δικαζόντων δικαστῶν. τὸ δέ, ἐπὶ τῶν νικώντων τὰς δίκας, καὶ αἰτιῶν γινομένων τὸ καταδικασθῆναι τινά σημαίνει τὸ ῥητόν. Τοῖς μυστηρίοις ἐπιδημοῦντος) Ἴσως τὴν ἑορτὴν πρόβλημα καὶ ἀσφάλειαν ἡγησάμενος, ἐτόλμησεν ὀφθῆναι. κἀκεῖνος ὡς ἐν ἄλλῳ μὴ εὑρίσκων καιρῷ, κατέσχεν ὀργι-
332 σθείς. Τοῦ δὲ προβαλλομένου) Ὡρμήσατε μέν, φησί, θανάτῳ περιβαλεῖν. τοῦ δὲ κατηγόρου πεισθέντος καὶ ἀρκεσθέντος τιμωρίᾳ τοιαύτῃ, εἰ μὴ ὑπεύθυνος εἴη τῇ προτέρᾳ καταδίκῃ, ἣν ὑπέμεινεν ἡττηθεὶς τὴν ἐμπορικὴν δίκην τὸ πρότερον, συνδραμόντες ἠναγκάσατε αὐτὸν ἀποστῆναι, καὶ μηκέτι ἀπαιτῆσαι τὸν Μένιππον. Καὶ προσετιμήσατε τὰς βλάβας) Καὶ πρὸς τὸ ἀφεῖναι τὴν καταδίκην, καὶ ἀναγκάσαι ἀποστῆναι ταύτης τὸν Εὔανδρον, αἰτιασαμένου πάλιν τοῦ Μενίππου, ὅτι ἄλλας ὑπέστη βλάβας περὶ τὰ φορτία καὶ τὴν ἐμπορίαν, διὰ τὴν κρίσιν Ἀθήνησι κατεχό-
333 μενος, προσετάξατε αὐτὸν καὶ ταύτας ἐκτῖσαι. Εἷς μὲν οὗτος ἐξ ἰδίου πράγματος) Οὐκοῦν τὸ ῥηθὲν παράδειγμα, ἀπὸ τοῦ ἐλάττονος εἴληπται, εἴπερ τὰ ἰδιωτικὰ τῶν δημοσίων ἐλάττονα. Οὐδεμιᾶς ὕβρεως) Οὐ γὰρ ἐτύπτησεν αὐτόν, οὐδὲ ὕβρισεν, ἀλλὰ κατέσχε μόνον. τοῦτο δὲ ἐξῆν. διὸ καὶ ἐπάγει ἐπαινῶν, ὡς καλῶς ἐ-
334 γένετο. μάλα γὰρ ἀγαθὸν ἡ φυλακὴ τῶν νόμων. Ἕτερος ἀδικεῖν ποτ' ἔδοξεν) Τοῦτο ὅμοιον μὲν κατὰ πάντα τοῖς παροῦσι. καὶ γὰρ καὶ περὶ τὰ Διονύσια καταχειροτονία γέγονεν. ἔστι δὲ ὅμως ἐλαφρότερον τῷ μὴ εἰσαχθῆναι εἰς δικαστήριον τὴν κρίσιν. ἔστιν οὖν ἀπὸ τῆς ἐκβάσεως ἀσθενές. διὸ καὶ μέσον αὐτὸ τῶν δύο τέθεικε τῶν ἰσχυρῶν, τοῦ τε κατὰ Εὔανδρον τὸν ζημιωθέντα τοῖς χρήμασι, καὶ τοῦ κατὰ Κτησικλέα, τὸν θανάτῳ καταδικασθέντα. Παρεδρεύοντος ἄρχοντι τῷ υἱεῖ) Συμποιοῦντος καὶ συμπαρόντος τῷ παιδί, μήπου τι ὡς νέος ἁμάρτῃ κατὰ τὴν ἀρχήν. πάρεδροι γὰρ ἐδίδοντο τοῖς νεωτέροις, οἱ νῦν καλούμενοι σύγκαθεδροι. ἐπειδὴ γὰρ ὁ

ἄρχων

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἄρχων πάσας τὰς ὀρφανικὰς καὶ κληρικὰς ἐδίκαζεν, ὁπότε δὲ διὰ τὴν ἡλικίαν ἄπειρος εἶχε τοῦ διακρίνειν, ἐδίδοτο αὐτῷ πάρεδρος ὁ συνδοκιμάζων. Ἥψατο, ἐξείργων) Ἐπειδή τινα περὶ καθέδρας ἀμφισβητοῦντα, ἑτέρου προ- 335
καταλαβόντος. Εἰ κατελάμβανον, ἄνθρωπε θέαν) Τουτέστιν εἰ καθέδραν ἀλλοτρίαν κατεῖχον.

*καταλαβόν-τος. τινὸς καταλαμβάνοντος ἥψατο, ἐξείργων ἐκ τοῦ θεά- 335
τρου. ἦν δὲ οὗτος, ὁ τοῦ βελτίστου πατὴρ Χαρικλείδου τοῦ
ἄρξαντος, καὶ μέγα γ' ὑμῖν τοῦτο ἐδόκει, καὶ δίκαιον
*προβαλό-μενος. ἔχειν ὃ προβαλλόμενος λέγειν, εἰ κατελάμβανον,
*μ' ἐφῆς. α. ἄνθρωπε θέαν, καὶ εἰ μὴ τοῖς κηρύγμασιν, ὡς σύ με
φής, ἐπειθόμην, τίνος ἐκ τῶν νόμων εἶ κύριος, καὶ ὁ 336
ἄρχων αὐτός; τοῖς ὑπηρέταις ἐξείργειν εἰπεῖν, οὐκ αὐτὸς
τύπτειν. οὐδ' οὕτω πείθομαι; ἐπιβολὴν ἐπιβάλλειν·
πάντα μᾶλλον, πλὴν αὐτὸς ἅψασθαι τῇ χειρί. πολ-
λὰ γὰρ πρὸς τὸ μὴ τὸ σῶμα ἕκαστον ὑβρίζεσθαι, πε-
ποιήκασιν οἱ νόμοι. ταῦτ' ἔλεγε μὲν ἐκεῖνος κατεχει- 337
ροτονήσατε δὲ ὑμεῖς. οὐ μὴν εἰσῆλθεν εἰς τὸ δικαστή-
ριον οὗτος ἀλλ' ἐτελεύτησε πρότερον. ἑτέρου τοίνυν
ὅ,τε δῆμος ἅπας κατεχειροτόνησεν ἀδικεῖν περὶ τὴν
*πομπ. α. ἑορτήν, καὶ ὑμεῖς εἰσελθόντα ἀπεκτείνατε*, κτησικλέα
*α. λέγω. διὰ τί δὴ τοῦτον ἀπεκτείνατε; ὅτι σκῦτος ἔ- 338
χων ἐπόμπευε, καὶ τούτῳ μεθύων ἐπάταξέ τινα ἐ-
χθρὸν ὑπάρχοντ' αὐτῷ. ἐδόκει γὰρ ὕβρει, καὶ οὐκ οἴνῳ
τύπτειν, ἀλλὰ τὴν ἐπὶ τῆς πομπῆς καὶ τοῦ μεθύειν πρό-
φασιν λαβών, ἀδικεῖν, ὡς δούλοις χρώμενος τοῖς ἐ-
λευθέροις. ἁπάντων τοίνυν, ὦ ἄνδρες ἀθηναῖοι, τού- 339
των, ὧν ὁ μὲν, εἷλεν ἀποστάς· ὁ δέ, καὶ θανάτῳ ζημιω-
θεὶς φαίνεται, πολλῷ δεινότερα εὖ οἶδ' ὅτι πάντες
ἂν εἰ) φήσαιτ' ἂν τὰ μειδίᾳ πεπραγμένα· οὔτε γὰρ
πομπεύων, οὔτε δίκην ᾑρηκώς, οὔτε παρεδρεύων, οὔ-
τ' ἄλλην σκῆψιν ἔχων οὐδεμίαν πλὴν ὕβριν, τοιαῦ- 340
τα πεποίηκεν, οἷα οὐδεὶς ἐκείνων. καὶ τούτους μὲν δὴ
*ἴσα. α. ἐῶμεν. ἀλλὰ πύῤῥον, ὦ ἄνδρες ἀθηναῖοι, τὸν ἐτεο-
βουτάδην, ἐνδειχθέντα δικάζειν, ὀφείλοντα τῷ δημο-
σίῳ, θανάτῳ ζημιῶσαί τινες ὑμῶν ᾤοντο χρῆναι. καὶ
τέθνηκεν ἁλοὺς παρ' ὑμῖν. καίτοι τοῦτο τὸ λῆμμα, δι' ἔν- 341
δειαν, οὐ δι' ὕβριν λαμβάνειν ἐπεχείρησεν ἐκεῖνος. καὶ

Καὶ εἰ μὴ τοῖς κηρύγμασιν) Ἐκήρυττε γὰρ ὁ ἄρχων διὰ τοῦ κήρυκος, εὐκοσμίαν ἔχειν ἐν τοῖς θεάτροις. εἰ τοίνυν ἠπείθουν, φησί, τῷ κηρύγματι, καὶ ἠτάκτουν· μιμεῖται γὰρ τοῦ προβαλλομένου τὰς φωνάς.

Τίνος ἐκ τῶν νόμων εἶ κύριος) 336 Τουτέστιν, οὐ τοῖς παρέδροις δεδώκασιν οἱ νόμοι τὸν ἀκοσμοῦντα ἐξείργειν, ἀλλ' οὐδὲ αὐτῷ τῷ ἄρχοντι τοῦτο ἔξεστιν αὐτοχειρίως ποιεῖν, ἀλλ' ἐπιτάττειν τοῖς ὑπηρέταις. ζητήσειεν ἄν τις, πῶς ἠγανάκτει ὁ ἄνθρωπος. διότι ὑπὸ τῶν ὑπηρετῶν ἐξεβλήθη καταμαθόντων ἐκείνων, ὅτι οὐδὲ ἀδικεῖ. Καὶ ὁ ἄρχων αὐτὸς) Ἀλλὰ πατὴρ εἶ, φησί, τοῦ ἄρχοντος. οὐδ' αὐτὸς ἐστὶν ὁ ἄρχων τύπτειν κύριος, ἀλλὰ προστάττειν τοῖς ὑπηρέταις ἐπισχεῖν τὰ γινόμενα. Οὐδ' οὕτω πείθομαι; ἐπιβολὴν ἐπιβάλλειν) Ἀλλ' ὑπομνήσαντι τῷ ὑπηρέτῃ οὐκ ἐπείθου ἐξείργοντι. ἐχρῆν σε ὡς μὴ πειθομένῳ ζημίαν ἐπιθεῖναι καὶ ὁρίσαι.

Ἀλλ' ἐτελεύτησε πρότερον) Προὔλαβε τῇ τελευτῇ τὸ δικαστήριον. 337

Ἑτέρου τοίνυν) Ὡς πρὸς τοὺς δικασθέντας τὸ ἕτερον εἴληφε νῦν. ἐπειδὴ περὶ τοῦ ἑνὸς εἶπεν ὡς προαπέθανεν. εἰ καὶ τὰ μάλιστα, καὶ ἐπὶ τριῶν εὑρίσκεται τὸ ἕτερον. 338 Ἀπεκτείνατε τοῦτον) Τοῦτό ἐστι τὸ ἰσχυρότερον παράδειγμα· διὸ καὶ τέθειται τελευταῖον· καὶ γὰρ περὶ τὰ διονύσια γέγονε, καὶ θανάτῳ κεκόλασται. Ὅτι σκῦτος ἔχων) Οἱ πομπεύοντες τῷ διονύσῳ κατὰ μίμησιν τῆς περὶ αὐτὸν θεραπείας ἐπόμπευον, οἱ μὲν, τὸ τῶν σατύρων σχῆμα σώζοντες, οἱ δὲ, τὸ τῶν βάκχων, οἱ δὲ τὸ τῶν σειληνῶν ἐμιμοῦντο. Ἁπάντων τοίνυν, ὦ ἄνδρες ἀθηναῖοι) 339 Διὰ τὸν *εὔανδρον ὃς ἀπέστη τῆς δίκης, καὶ ταῦτα νικήσας διὰ τὸ τὸν εὔανδρον ἡμαρτηκέναι ἐν τῇ ἑορτῇ. τὸ μέσον δὲ ἐσιώπησε τὸν παρεδρεύοντα τῷ ἄρχοντι, διότι ἀσθενέστερον ἦν τοῦ καθ' αὐτόν. οὐδὲ γὰρ ἔχει εἰπεῖν τιμωρίαν κατ' αὐτοῦ γεγονυῖαν οὐδεμίαν. *μένιππον.

Οὔτε γὰρ πομπεύων) Ἐν ᾧ καὶ συγγνώμη τις ἦν διὰ τὸ ἔθος, ὅτι καὶ σκῦτος ἔχων ἐπόμπευεν. Οὔτε δίκην ᾑρηκὼς) Οὔτε νικήσας δίκην. καὶ οὕτω γὰρ εἶχε συγγνώμην, ἔκδοτον λαβὼν καὶ ὑπεύθυνον ψήφῳ δικαστῶν. Οὔτε παρεδρεύων) Ὥσπερ ὁ πατήρ· καὶ τούτου γὰρ μέμνηται νῦν ἐν τῇ συναγωγῇ διὰ τὴν γνώμην. Ἀλλὰ πύῤῥον, ὦ ἄνδρες ἀθηναῖοι) Ταῦτα τὰ παραδεί- 340
γματα, τοῖς μὲν πράγμασιν οὐκ ἔστιν ὅμοια, οὔτε γὰρ περὶ τὰ διονύσια, οὔτε περὶ τὴν ἑορτὴν ἠδίκησαν οἱ κολασθέντες, ἀλλὰ τῆς κολάσεως εἵνεκα μόνης παρελήφθη, ὅτι τε ἄλλοι τινὲς, ἐπὶ πολλῷ μικροτέροις ἀδικήμασι, μεγάλας ἔδοσαν δίκας. ἐν τοῖς ἀνωτέρω δὲ μνημονεύσας τῶν περὶ τὴν ἑορτὴν ἠδικηκότων καὶ κολασθέντων, νῦν εἰς μέσον ἄγει καὶ τινὰς δόντας μὲν δίκας, ἐπ' ἄλλοις δὲ πλημμελήμασιν. ἔστι δὲ ἀπὸ τοῦ ἐλάττονος τὰ ἐπιχειρήματα. ἐτεοβουτάδην δὲ τὸν ἀληθῶς εὐγενῆ. τὸ γὰρ ὄνομα ἀπὸ βούτου τινὸς ἀρχαίου γέγονεν ἀθηναίου οὕτω καλουμένου, καὶ τὸ ἐτεὸν τὸ ἀληθές.

Ἐνδειχθέντα) *Κατηγορεῖται ὡς ἐν τοῖς δικασταῖς κληρωθεὶς, οὐκ ἐξὸν ὡς ὀφείλων γὰρ χρήματα κοινὰ, ἦν ἄτιμος. *κατηγόρηται.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

341 Ἂν δὲ ποιῇ, μὴ λέγῃ) Ὡς ἰσχυρότερα τὰ ἔργα τῶν λόγων, μείζονος ὀργῆς ἀξιοῖ τυχεῖν. ἁπλῶς μὲν οὖν οὕτω δύναται τὰ ἔργα τῶν λόγων ἰσχυρότερα φαίνεσθαι. καθόλου δέ, οὐδαμῶς· πολλὰ γὰρ ἔργα λόγου ἐλαττοῦται. οἷον εὐθὺς ἐν τῷ παρόντι, περιρρῆξαι τὴν ἐσθῆτα, πολλῷ ἔλαττόν ἐστι τοῦ παράνομα γράφειν. διὸ οὐδὲ γράφειν εἶπεν, ἀλλὰ λέγειν, ἵνα οὕτως ἀσθενεστέρους δείξῃ τοὺς λόγους τῶν ἔργων.

343 Οὐδὲν γὰρ ῥῆμα) Οὐ γὰρ τοσοῦτον ὀνόματα καὶ ῥήματα δύναται, ὅσον ἐν πράγμασιν ἀδικία μειδίου.

344 Ἃ τοίνυν οὐδενὸς τῶν εἰρημένων) Εἰσέβαλεν ἐντεῦθεν εἰς τὴν τοῦ ἐλέου ἐκβολήν. καὶ κέχρηται προδιορθώσει, προσεχέστερον τὸν ἀκροατὴν ποιῆσαι βουλόμενος, ἐπειδὴ καὶ ἰσχυρότατον μέρος τῶν ἐπιλόγων ἡ τοῦ ἐλέου ἐκβολή. ὄντος δὲ διπλοῦ τοῦ ἐλέου, διπλῆν ποιεῖ καὶ τὴν ἐκβολήν· τὸν μὲν γὰρ ἔχουσιν οἴκοθεν οἱ δικασταί, καθ' ὃν πεφύκαμεν ἁπλῶς ἅπαντας τοὺς δυστυχοῦντας οἰκτείρειν, κἂν μηδὲν ἐκεῖνοι πρὸς ἡμᾶς οἰκτίσωνται, καὶ ἐλεεινὰ φθέγξωνται. τὸν δέ, αὐτοὶ κινοῦσιν οἱ δυστυχοῦντες, οἰκτιζόμενοι καὶ δακρύοντες, καὶ τἄλλα ποιοῦντες, ὅσα κινεῖν εἴωθεν ἔλεον, κἂν ὑμεῖς παρ' ἑαυτῶν μὴ βουληθῶμεν ἐλεεῖν αὐτοὺς ἐξ ἀρχῆς, καὶ πρὸς αὐτοὺς ἐπικλασθῆναι. πρότερον μὲν οὖν ἐκβάλλει τὸν τῶν δικαστῶν ἔλεον, ὃν ἐκ φύσεως ἔχουσι πρὸς τὰ ἐλεεινὰ τῶν πραγμάτων.

345 Ἔστιν, ὦ ἄνδρες ἀθηναῖοι) Συνδραμὼν ὅτι φιλάνθρωπος ὁ δῆμος τῶν ἀθηναίων, βούλεται πεῖσαι, μόνῳ τῷ μειδίᾳ μὴ μεταδοῦναι φιλανθρωπίας· καὶ κέχρηται τοῖς λογισμοῖς, ὥσπερ ἐπὶ τῆς ἐκβολῆς τοῦ ἐλέου τοῦ κατὰ τὸν στράτωνα.

346 Ἐγὼ νομίζω) Αὕτη ἐστὶν ἡ τῆς ὅλης ὑποθέσεως ἐκβολὴ τοῦ ἐλέου.

Ἔστι μέτριος καὶ φιλάνθρωπος τις) Καὶ εἶδος ἔθηκεν. οἷον ἐγώ τις οὑτοσὶ μέτριός εἰμι.

348 Οἶδα τοίνυν, ὅτι τὰ παιδία ἔχων) Τοῦτό ἐστι τὸ ἕτερον μέρος τῆς τοῦ ἐλέου ἐκβολῆς. ὅπερ ἐστὶν ἀπὸ τῶν κρινομένων· αὐτοὶ γάρ εἰσιν οἱ μηχανώμενοι τὸν ἔλεον αὐτοῖς, διά τε δακρύων καὶ λόγων ἐλεεινῶν, καὶ τοῦ τὰ παιδία παράγειν. ὁ τοίνυν ῥήτωρ καθ' ἕκαστον τῶν κινούντων ἔλεον, ἕτερόν τι αὐτὸς ἀντιτίθησι τὸ ἐκβάλλον τὸν ἔλεον, καὶ τὴν ταπεινότητα τοῦ σχήματος, τὸν παρελθόντα βίον τοῦ μειδίου. πολλῷ δεινότερον τὴν πρότερον ὑπερηφανίαν τῆς παρούσης ταπεινοφροσύνης ἀντέθηκεν. ὥστε διὰ τὴν θρασύτητα μισῆσαι μᾶλλον, ἢ διὰ τὴν παροῦσαν ταπεινότητα κατοικτεῖραι. τοῖς δὲ παιδίοις τοῦ μειδίου, παιδία μὲν οὐκ εἶχεν ἀντιθεῖναι, ὥσπερ τὰ τοῦ στράτωνος. τοῖς νόμοις δὲ καὶ τὸν ὅρκον ἀντέθηκε. καὶ τὸ ἐξ ἀμφοτέρων κέρδος ἐξήτασε.

πολλοὺς μὲν ἑτέρους ἔχοιμι λέγειν, ὧν οἱ μὲν, τεθνᾶ-
σιν, οἱ δ' ἠτιμωμένοι διὰ πολλῷ τούτων εἰσὶν ἐλάτ-
τω πράγματα. ὑμεῖς δέ, ὦ ἄνδρες ἀθηναῖοι, σμι-
342 κρῶνι δέκα ταλάντων ἐτιμήσατε καὶ σκίτωνι τοσού-
των ἑτέρων, δόξαντι παράνομα γράφειν. καὶ οὔτε παι-
δία, οὔτε φίλους, οὔτε συγγενεῖς, οὐδ' ὁντινοῦν ἠλεήσα-
τε τῶν παρόντων ἐκείνοις. μὴ τοίνυν, ἂν μὲν εἴπῃ τις
παράνομα, οὕτως ὀργιζόμενοι φαίνεσθε· ἂν δ', ἃ ποιεῖ,
343 μὴ λέγῃ, πράως διάκεισθε· οὐδὲν γὰρ ῥῆμα, οὐδ' ὄ-
νομα οὕτως ἐστὶ τοῖς πολλοῖς ὑμῶν χαλεπόν, ὡς ὅσα
ὑβρίζων τις τὸν * ἐντυχόντα ὑμῶν, διαπράττεται. * ἐντυγχάνοντα. ε.
μὴ τοίνυν αὐτοὶ καθ' ὑμῶν αὐτῶν δεῖγμα τοιοῦτον * ἐξε- * ἐξενέγκοιτε. α
νέγκητε, ὦ ἄνδρες ἀθηναῖοι, ὡς ἄρα ὑμεῖς, ἂν μὲν τῶν
344 μετρίων τινὰ καὶ δημοτικῶν λάβητε ὁτιοῦν ἀδι-
κοῦντα, οὔτ' ἐλεήσετε, οὔτ' ἀφήσετε, ἀλλ' * ἀποκτε- * ἀποκλείετε. α.
νεῖτε, ἢ ἀτιμώσετε· ἂν δὲ πλούσιος ὤν τις ὑβρίζῃ, συγ-
γνώμην ἕξετε· μὴ δῆτα· οὐ γὰρ δίκαιον. ἀλλ' ἐπὶ πάν-
των ὁμοίως ὀργιζόμενοι φαίνεσθε. ἃ τοίνυν οὐδενὸς
345 τῶν εἰρημένων ἧττον ἀναγκαῖον εἶναι νομίζω πρὸς ὑ-
μᾶς εἰπεῖν, ταῦτ' εἰπών, ἔτι καὶ βραχέα περὶ τούτων
διαλεχθεὶς, καταβήσομαι. ἔστιν, ὦ ἄνδρες ἀθηναῖοι,
μεγάλη τοῖς ἀδικοῦσιν ἅπασι μερίς, καὶ πλεονεξία,
ἡ τῶν ὑμετέρων ἔθων πραότης. ὅτι δὴ ταύτης οὐδὲ
346 ποσοῦν ὑμῖν μεταδοῦναι προσήκει μειδίᾳ, τοῦτ' ἀκού-
σατέ μου. ἐγὼ νομίζω πάντας ἀνθρώπους ἐράνους
φέρειν παρὰ τὸν βίον αὐτοῖς, οὐχὶ τούσδε μόνους, οὓς συλ-
λέγουσί τινες, καὶ ὧν πληρωταὶ γίγνονται, ἀλλὰ καὶ
ἄλλους. οἷον, ἐστί τις μέτριος καὶ φιλάνθρωπος ἡμῶν,
347 καὶ ἐλεῶν πολλούς· τούτῳ ταὐτὸ δίκαιον ὑπάρχειν πα-
ρὰ πάντων, ἄν ποτ' εἰς χρείαν καὶ ἀγῶνα ἀφίκηται.
ἄλλος οὑτοσί τις ἀναιδής, καὶ πολλοὺς ὑβρίζων, καὶ τοὺς
μέν, καθάρματα, τοὺς δέ, πτωχούς, τοὺς δ' οὐδὲν ὑ-
πολαμβάνων εἶναι; τούτῳ τὰς αὐτὰς δίκαιον ὑπάρχειν
348 φοράς, ἅσπερ αὐτὸς εἰσενήνοχε τοῖς ἄλλοις. ἂν τοίνυν
ὑμῖν ὀρθῶς ἐπίῃ σκοπεῖν, τούτου πληρωτὴν εὑρήσετε
μειδίαν ὄντα τοῦ ἐράνου, οὐκ ἐκείνου. οἶδα τοίνυν, ὅτι
καὶ τὰ παιδία ἔχων ὀδυρεῖται, καὶ πολλοὺς λόγους καὶ

καὶ ὡς

…ποιῶν ἑαυτόν) Τὸ ὡς μόριον, δηλοῖ καὶ τὸ πάνυ κατ' ἐπίτασιν. ἴσως δὲ νῦν, τὸ ἐν σχήματι 348
καὶ ὑποκρίσει δηλοῖ. Ὅτι εἰ μὲν μηδαμῶς δυνηθεὶς ταπεινὸς γενέσθαι) Κατὰ [illegible] τὸ σχῆμα. ὁ δὲ νοῦς, εἰ μὲν τοι- 349
αύτην ἐδυστύχει φύσιν, ὥστε μηδόλως κάμπτεσθαι, μηδὲ δύνασθαι ταπεινοῦσθαι, καὶ ἐπιεικὲς ἐπιδέχεσθαι σχῆμα, τά-
χ' ἂν εἶχέ τις ἀνενεγκὼν ἐπὶ τὴν φύ-
σιν αὐτοῦ τὴν αἰτίαν, ἐνδοῦναι καὶ μὴ
σφόδρα ὀργίζεσθαι. εἰ δὲ πέφυκε καὶ
πρὸς ἕτερον μετασχηματίζεσθαι, εἴη
ἂν λοιπὸν οὐ τῆς τύχης, ἀλλὰ τῆς γνώ-
μης τὸ κατηγόρημα. Πάλιν ἐκεῖ- 350
νος αὐτός, ὃν ὑμεῖς) Τί τῷ σχήματι
προσέχεις. τὴν ὅλην γνώμην ὑπό-
πτευε, ἀφ' ἧς ἡ ταπεινότης, διὰ τὸν φό-
βον συμβέβηκεν. ἂν φύγῃ τὸν κίνδυ-
νον, ἐκεῖνον ὄψει τὸν ἀλαζόνα καὶ τύ-
ραννον. Ἐμοὶ παιδία οὐκ ἔστιν) 351
Ἐκβολὴ καὶ τοῦτο ἐλέου ἀπὸ τῶν παί-
δων κατὰ παράθεσιν. ἐκείνῳ παιδία
δέδωκεν ἡ φύσις. ἐμοὶ δὲ οὐκ ἔστι. κατὰ
τοῦτο οὖν ἔλαττον ἕξω καὶ ἀδικού-
μενος; καὶ τῶν ἐχόντων παῖδας οἱ ἄ-
παιδες χεῖρον διατεθήσονται; Τοὺς 352
νόμους ἔχοντά με) Τί σεμνύνῃ μει-
δία προτείνων τοὺς παῖδας; ἔχω καλ-
λίους δεικνύναι παῖδας, οὓς αἰσχύνε-
ται πλέον τὸ δικαστήριον, δεικνύω
τοὺς νόμους, καὶ καρποῦμαι τὴν εὔνοιαν.
Καὶ ῥήτωρ ἐστὶν οὗτος, ἴσως) Βούλε- 354
ται δι' αὐτῆς τῆς ἐπιλογικῆς ἀντι-
θέσεως, συγκροῦσαι τὸν μειδίαν πρὸς
τοὺς ῥήτορας, ὥστε αὐτῷ μὴ συνει-
πεῖν· εἰ γὰρ δημοσθένην κακῶς λέγει,
δῆλον ὅτι καὶ αὐτούς. πρὸς δὲ τούτοις
καὶ ἄλλο συναινεῖ· ὥσπερ γὰρ ἐπὶ τῶν
τῆς αἰδοῦς τόπων, τὸν μὲν μειδίαν ἐ-
δείκνυε μὴ ἄξιον αἰδοῦς, ἑαυτὸν δὲ
διὰ τὸ μᾶλλον λελειτουργηκέναι. οὕτω
καὶ νῦν βούλεται αἰδεσιμώτατον ἑ-
αυτὸν ἀποφῆναι, διὰ τῆς τοῦ ῥήτορος
προσηγορίας. ἄξιος δὲ αἰδοῦς ὁ ῥή-
τωρ. εἰδὼς δὲ πολλὰς οὔσας διαφορὰς
ῥητόρων, καὶ τὸν μὲν ὄντα ἀληθῆ ῥήτο-
ρα, τὸν πολιτικόν, τὸν δὲ ἐξ ἐμπειρίας,
οἷον βούλεται καὶ τὸν αἰσχίνην εἶναι, τὸν δὲ
πρὸς χάριν δημηγοροῦντα, διὰ τοῦτο
ἐπισημασίᾳ κέχρηται, καὶ φησίν. εἰ μὲν
ἐκεῖνον λέγει ῥήτορα τὸν συμβουλεύον-
τα τὰ κράτιστα, τουτέστι τὸν πολιτικόν,
δέχομαι τὸ ὄνομα. εἰ δὲ ἕτερον λέγει
τὸν πρὸς χάριν δημηγοροῦντα, οὐκ ἂν
ἐκεῖνος ῥήτωρ. οὐκοῦν ἐν τῷ εἰπεῖν τὰ
κράτιστα συμβουλεύων, καὶ τῶν συμ-
βουλιῶν αὐτοῦ ὑπέμνησεν, ὥστε αἰ-
δοῦς ἄξιος φανῆναι μᾶλλον. ἀπο-
συλᾷ δ' ἐκ τούτων τοὺς συνηγόρους
αὐτοῦ, καὶ συγκρούει τοῖς ῥήτορσιν.
Οἵους ἐνίους) Ἵνα μὴ πάντας πο-
λεμίους ἑαυτῷ καταστήσῃ. διὸ καὶ ἐ-
λαττώσας, τὴν ἀπὸ τῶν καθημένων
ἐξεῦρε βοήθειαν εἰπών, καὶ ὑμεῖς δὲ
ὁρᾶτε. Καὶ οὐδενὶ μέμφομαι) Ἀλλὰ 356

ταπεινοὺς ἐρεῖ, δακρύων. καὶ ὡς ἐλεεινότατον ποιῶν ἑ-
αυτόν. ἔστι δ' ὅσῳ περ ἂν αὐτὸν νῦν ταπεινότερον ποιῇ 349
τοσούτῳ μᾶλλον ἄξιον μισεῖν αὐτόν, ὦ ἄνδρες ἀθηναῖοι,
διὰ τί; ὅτι εἰ μὲν μηδαμῶς δυνηθεὶς γενέσθαι τα-
πεινός, οὕτως ἀσελγὴς καὶ βίαιος ἦν ἐπὶ τοῦ παρεληλυθότος βίου, τῇ φύσει καὶ τῇ τύχῃ, δι' ἣν τοιοῦτος ἐγέ-
νετο, ἄξιον ἦν ἄν τι τῆς ὀργῆς ἀνεῖναι. εἰ δ' ἐπιστάμενος 350
μέτριον παρέχειν ἑαυτόν, ὅταν βούληται, τὸ ἐναντίον,
ἢ τοῦτον τὸν τρόπον, εἵλετο ζῆν, οὐ δῆλον δήπου τοῦθ', ὅτι
καὶ νῦν, ἂν διακρούσηται, πάλιν αὐτὸς ἐκεῖνος, ὃν ὑ-
μεῖς ἴστε, γενήσεται. οὐ δὴ δεῖ προσέχειν, οὐδὲ τὸν πα-
ρόντα καιρόν, ὃν οὗτος ἐξεπίτηδες διαπλάττεται, κυ- 351
ριώτερον οὐδὲ πιστότερον τοῦ παντός, ὃν αὐτοὶ συνίστε
χρόνου, ποιήσασθαι. ἐμοὶ παιδία οὐκ ἔστιν, οὐδ' ἂν
ἔχοιμι ταῦτα παραστησάμενος κλαίειν καὶ δακρύειν ἐ-
φ' οἷς ὑβρίσθην. διὰ τοῦτ' ἄρα τοῦ πεποιηκότος ὁ πε-
πονθὼς ἔλαττον ἕξω παρ' ὑμῖν; μὴ δῆτα. ἀλλ' ὅταν 352
οὗτος ἔχων τὰ παιδία, τούτοις ἀξιοῖ δοῦναι τὴν ψῆ-
φον ὑμᾶς, τόθ' ὑμεῖς τοὺς νόμους ἔχοντά με πλησίον
ἡγεῖσθε παρεστάναι, καὶ τὸν ὅρκον, ὃν ὀμωμόκατε, τού-
τοις ἀξιοῦντα καὶ ἀντιβολοῦντα ἕκαστον ὑμῶν ψη-
φίσασθαι. οἷς ὑμεῖς κατὰ πολλὰ δικαιότερον προσθεῖσ- 353
θ' ἄν, ἢ τούτῳ· καὶ γὰρ ὀμωμόκατε, ὦ ἄνδρες ἀθη-
ναῖοι, τοῖς νόμοις πείθεσθαι· καὶ τῶν ἴσων μέτεστιν ὑμῖν
διὰ τοὺς νόμους, καὶ πάνθ' ὅσα ἐστὶν ἀγαθὰ ὑμῖν, διὰ
τοὺς νόμους ἐστίν, οὐ διὰ μειδίαν, οὐδὲ διὰ τοὺς μει-
δίου παῖδας. καὶ ῥήτωρ ἐστὶν οὗτος, ἴσως ἐμὲ φήσει λέ- 354
γειν. ἐγὼ δ' εἰ μὲν ὁ συμβουλεύων ὅ, τι ἂν συμφέρειν
ὑμῖν ἡγῆται, καὶ τοῦτ' ἄχρι τοῦ μηδὲν ὑμῖν ἐνοχλεῖν,
μηδὲ βιάζεσθαι, ῥήτωρ ἐστίν, οὔτε φύγοιμ' ἄν, οὔτε
ἀπαρνοῦμαι τοὔνομα. εἰ μέντοι ῥήτωρ ἐστίν, οἵους ἐνί-
ους τῶν λεγόντων ἐγώ, καὶ ὑμεῖς δὲ ὁρᾶτε, ἀναιδεῖς, 355
καὶ ἐξ ὑμῶν πεπλουτηκότας, οὐκ ἂν εἴην οὗτος ἐγώ.
εἴληφα μὲν γὰρ οὐδ' ὁτιοῦν ἐξ ὑμῶν. τὰ δὲ ὄντα,
εἰς ὑμᾶς πλὴν πάνυ μικρῶν, ἅπαντ' ἀνήλωκα. καί-
τοι, καὶ εἰ τούτων ἦν πονηρότατος, κατὰ τοὺς νόμους ἔδει
παρ' ἐμοῦ δίκην λαμβάνειν, οὐκ ἐφ' οἷς ἐλειτούργουν, 356
ὑβρίζειν. ἔτι τοίνυν οὐδείς ἐστιν, ὅστις ἐμοὶ τῶν λεγόν-
των συναγωνίζεται. καὶ οὐδενὶ μέμφομαι· οὐδὲ γὰρ

αὐτὸς οὐδενὸς ἕνεκα τούτων οὐδὲν ἐν ὑμῖν πώποτ' εἶ-
πον. ἀλλ' ἁπλῶς κατ' ἐμαυτὸν ἔγνων καὶ λέγειν καὶ
357 πράττειν, ὅ,τι ἂν συμφέρειν ὑμῖν ἡγοῦμαι. ἀλλὰ συμφέρειν. ἡγῶμαι.
τοῦτο πάντας αὐτίκα δὴ μάλα συνεξεταζομένους
τοὺς ῥήτορας ὄψεσθε ἐφεξῆς. καίτοι πῶς ἐστι δίκαιον
τοὔνομα μὲν τοῦτ' ὡς ὄνειδος προφέρειν ἐμοί, διὰ
τούτων δ' αὐτὸν τῶν ἀνδρῶν ἀξιοῦν σωθῆναι. τάχα
358 τοίνυν ἴσως καὶ τὰ τοιαῦτ' ἐρεῖ, ὡς ἐσκεμμένα καὶ πα-
ρεσκευασμένα πάντα λέγω νῦν. ἐγὼ δ' ἐσκέφθαι ἀπαρνηθείην. β.
μέν, ὦ ἄνδρες Ἀθηναῖοι, φημί, καὶ οὐκ ἂν ἀρνηθείην
καὶ μεμελετηκέναι γε ὡς ἐνῆν μάλιστα ἐμοί. καὶ γὰρ
ἂν ἄθλιος ἦν, εἰ τοιαῦτα παθὼν καὶ πάσχων, ἠμέλουν
359 ὧν περὶ τούτων ἐρεῖν ἔμελλον πρὸς ὑμᾶς. γεγραφέ- ἤμελλον.
ναι μέντοι μοι τὸν λόγον Μειδίαν· ὁ γὰρ τὰ ἔργα πα-
ρεσχηκὼς περὶ ὧν εἰσιν οἱ λόγοι, δικαιότατ' ἂν ταύ-
την ἔχοι τὴν αἰτίαν, οὐχ ὁ ἐσκεμμένος, οὐδ' ὁ με-
μεριμνήσας τὰ δίκαια λέγειν νῦν. ἐγὼ μὲν οὖν τοῦτο
360 ποιῶ, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ αὐτὸς ὁμολογῶ. Μειδίαν κ. ποιῶ.
μέντοι μηδὲν ἐσκέφθαι πώποτε ἐν ἅπαντι τῷ βίῳ
δίκαιον, εἰκός ἐστιν· εἰ γὰρ καὶ κατὰ μικρὸν ἐπῄει τὰ τοι- κ. ἐπῄει.
αῦτα αὐτῷ σκοπεῖν, οὐκ ἂν τοσοῦτον διημάρτανε τοῦ
πράγματος. οἶμαι τοίνυν αὐτὸν οὐδὲ τοῦ δήμου κα-
361 τηγορεῖν ὀκνήσειν, οὐδὲ τῆς ἐκκλησίας. ἀλλ' ἃ τό-
τε ἐτόλμα λέγειν, ὅτ' ἦν ἡ προβολή, ταῦτα καὶ νῦν
ἐρεῖ, ὡς ὅσοι, δέον ἐξιέναι, κατέμενον, καὶ ὅσοι τὰ φρού-
ρια ἦσαν ἔρημα λελοιπότες, ἐξεκλησίασαν. καὶ ἐκκλησίασαν.
χορευταί, καὶ ξένοι, καὶ τοιοῦτοί τινες ἦσαν, οἱ κατε-
362 χειροτόνησαν αὐτοῦ. εἰς γὰρ τοῦτο θράσους καὶ ἀναι-
δείας τότ' ἀφίκετο, ὦ ἄνδρες δικασταί, ὡς ἴσασιν ὅσοι
παρῆσαν ὑμῶν, ὥστε κακῶς λέγων, καὶ ἀπειλῶν,
καὶ βλέπων οὗπερ εἰς τὸν ἀεὶ θορυβοῦντα τόπον τῆς

δημοκρατίᾳ κατορθοῦσά τι χρήσιμον, ὡς οὐδέποτε ὑμῖν ὀχληρὸς ἐγενόμην ὑπὲρ τῶν κρινομένων δεόμενος καὶ ἀξιῶν σω-
357 θῆναι. καινότερον ὁρῶ τὸν Μειδίου τρόπον. κακίζει τοὺς ῥήτορας, διὰ ῥητόρων σώζεσθαι προθυμούμενος. Καίτοι πῶς
ἐστὶ δίκαιον τοὔνομα μὲν τοῦτο) Ἐνταῦθα φανερῶς συνέκρουσε τοὺς ῥήτορας τῷ Μειδίᾳ. καὶ μᾶλλον αὐτοῦ συνηγόρους πε-
ποίηκε· φαίνεται γὰρ αὐτὸς μὲν ὑπὸ τῶν ὁμοτέχνων ἀγανακτῶν, Μειδίας δὲ ὑβρίζων. Τάχα τοίνυν ἴσως καὶ τοιαῦτα) Μίαν οὖσαν ἐναργῶς τὴν ἀντίθεσιν, δίχα ἔτεμε πρὸς τὸ χρήσιμον· ἦν γὰρ τοιαύτη· ῥήτωρ οὗτός ἐστι, καὶ πάντα ἐσκεμμένα λέγει, καὶ παρεσκευασμένα. ὁ δέ, διεῖλεν αὐτὴν πρῶτον μέν, εἰς τὸ ῥήτωρ εἶναι, ἵνα καὶ τὴν αἰδῶ παρὰ τῶν δικαστῶν ἑαυτῷ κινήσῃ, καὶ τοὺς ἄλλους ῥήτορας πρὸς τὸν Μειδίαν συγκρούσῃ. δεύτερον δὲ τὸ ἄλλο μέρος ἔθηκε, τό, ὅτι ἐσκεμμένα γε πάντα λέγει. καὶ τῇ λύσει πάνυ ἐνδόξως ἐχρήσατο· τοῦ γὰρ Μειδίου λέγοντος, ὅτι σκέπτεται πάντα καὶ παρασκευάζει, καὶ πρὸς τὸ μεῖζον ἐξαίρει τοὺς λόγους, ὁ Δημοσθένης φησίν, ὅτι ἐν αὐτῷ τῷ ἐσκέφθαι, πολλάκις τὰ δίκαια ἔσκεμμαι· ὁ γὰρ περὶ τῶν αὐτῶν συνεχῶς ἀνερευνῶν, τοῦτο καὶ τὴν ἀλήθειαν εὑρίσκει, καὶ μεῖζον οὐδὲν λέγει τῶν ὄντων, εἰδὼς ὅτι ἐξελέγχεται. Μειδίας δὲ μηδὲν σκεπτόμενος, διὰ τοῦτο θρασύτερός ἐστι καὶ μείζω ποιεῖ
359 τὰ πράγματα τοῦ δέοντος. Γεγραφέναι μέντοι μοι τὸν λόγον Μειδίαν) Πρόσφορον αὐτοῦ τῇ φύσει τὸ σκέπτεσθαι. διὸ καὶ ὁμολογεῖ. ὁ δέ, τὰς ἀφορμὰς δεδωκώς, φησίν, οὗτος τὸν λόγον συνέθηκεν. Οὐδ' ὁ μεμεριμνήσας τὰ δίκαια) Ὁ μελετήσας τἀληθῆ κατηγορεῖν. καὶ τί, φησι, μέγα, εἰ Δημοσθένους καθάπτεται; καὶ ὁ δῆμος ἅπας μετὰ Δημοσθένους διαβληθήσεται.
360 Οἶμαι τοίνυν αὐτὸν) Καὶ συγκρούσας αὐτὸν δικασταῖς καὶ ῥήτορσι καὶ τῇ ἐξ Ἀρείου πάγου βουλῇ, καὶ ἱππεῦσι, καὶ ὁπλίταις καὶ στρατηγοῖς, βούλεται καὶ παντὶ τῷ δήμῳ συγκροῦσαι. καί φησιν, ὅτι, ἡγοῦμαι αὐτὸν καὶ τοῦ δήμου κατηγορήσειν. πιθανὸν δὲ τὸ νόημα· εἰ γὰρ πᾶσι τοῖς προειρημένοις ἐλοιδορήθη, καὶ οὐκ ἐφοβήθη τὴν πρὸς τούτους ἔχθραν, οὐ-
361 δὲ τοῦ δήμου φείσεται. Ὡς ὅσοι, δέον ἐξιέναι, κατέμενον) Ὁ μὲν Μειδίας φάσκει μὴ τὸν ὄντως δῆμον αὐτοῦ καταψηφικέναι, ἀλλὰ τῇ μέν, τοὺς ἀστρατεύτους, οἵ, δέον ἐξιέναι εἰς τὸν πόλεμον, κατέμενον ἐν τῇ πόλει· τῇ δέ, τοὺς λείποντας τάξεις· οἱ γὰρ τεταγμένοι φρουρεῖν, φυγόντες τὰ φρούρια, τότε ἐκκλησίαζον· καὶ δὴ καὶ ξένοι τινὲς καὶ χορευταὶ τοῦ Δημοσθένους, οἱ παρ' αὐτοῦ τραφέντες, κατεψηφίσαντό μου. ὁ δὲ τὸν ὅλον δῆμον ὑβρίζειν φησί, χορευτὰς καὶ ξένους ἀποκαλῶν. καὶ τί θαυμαστόν, φησι, λιποταξίου γραφὴν τὸν Μειδίαν κατ' ἐμοῦ κατασκευάζειν ὁ τὸν δῆμον εἰς ἀστρατείαν ὀνειδίζων, καὶ λιποτάκτην καλῶν· οἳ τε γὰρ ὀφείλοντές, φησιν, ἐξελθεῖν, ἔμενον· καὶ οἱ τὰ φρούρια φυλάττοντες, τὴν φυλακὴν ἐκλελοίπεσαν. φρούρια δὲ λέγει, τὰ μεταξὺ τῆς Ἀττικῆς καὶ τῆς Βοιωτίας χωρία· πολέμου γὰρ τότε πρὸς Θηβαίους ὄντος διὰ τὴν
362 Εὔβοιαν, ἀναγκαῖον ἦν τὰς ἐκ τῆς Βοιωτίας εἰσβολὰς παρὰ τῶν Ἀθηναίων φυλάττεσθαι. Ὡς ἴσασιν ὅσοι παρῆσαν ὑμῶν) Πῶς λέγων ὅτι πᾶς ὁ δῆμος κατεχειροτόνησε, πάλιν φησίν, ὅσοι παρῆσαν ὑμῶν. πρῶτον μὲν ὅτι, οὐ πρὸς τὸν δῆμόν ἐστιν ὁ λόγος, ἀλλὰ πρὸς τοὺς δικαστάς, μέρος ὄντας τοῦ δήμου. οὐδὲν οὖν ἐκώλυέ τινας ἐξ αὐτῶν καὶ ἀπολειφθῆναι. ἔπειτα ὅτι ἐνεχώρει τινὰς ἐκ τούτων εἶναι τῶν εἰς Εὔβοιαν στρατευσαμένων. Ὥστε κακῶς λέγων) Οὐκοῦν

σιωπῆς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

συνήθης αὐτῷ τὸν δῆμον ὑβρίζειν. δι' ὧν γὰρ ἠπείλει τῷ θαρρεῖν τῷ μέρει καὶ ἐφόβει, διὰ τούτων ᾤετο τὸν ὅλον δῆμον καταδουλώσασθαι. Ἢ καὶ γελοῖα ἐστί) Διὸ καὶ γελοῖα νομιστέον τὰ νῦν δάκρυα. πῶς γὰρ ὁ πάντα δῆμον ὑβρίζων, ὡς 363
ἀπηνὴς ἂν ἐλεοῖτο; Τί λέγεις ὦ μιαρὰ κεφαλή) Ὅρα πῶς ὑπεραγανακτεῖ τοῦ δήμου καὶ λοιπὸν διαπύρως ἀποτείνεται πρὸς τὸν Μειδίαν, ὦ μιαρὰ κεφαλὴ λέγων· πῶς γὰρ οὐ μιαρά, κατὰ τῆς ἐπακουούσης ποιουμένη τὰς ὕβρεις.

ἐκκλησίας, καταπλήξειν ᾤετο τὸν δῆμον ἅπαντα. ἢ
καὶ γελοῖα ἐστὶ τὰ νῦν οἶμαι δάκρυα εἰκότως ἂν αὐ- 363
τοῦ δοκοίη. τί λέγεις, ὦ μιαρὰ κεφαλή; σὺ τὰ σαυτοῦ
παιδία ἀξιώσεις ἐλεεῖν, ἢ σὲ τουσδί, ἢ σπουδάζειν εἰς
τὰ σά, τοὺς ὑπὸ σοῦ δημοσίᾳ προπεπηλακισμέ-
νους; σὺ μόνος τῶν ὄντων ἀνθρώπων, ἐπὶ μὲν τοῦ βίου
τοσαύτης ὑπερηφανίας καὶ ὑπεροψίας, πάντων ἀν- 364
ἀνθρώπων μεστὸς ὢν ἔσῃ φανερώτατος, ὥστε καὶ πρὸς
οὓς μηδέν ἐστί σοι πρᾶγμα, λυπεῖσθαι, τὴν σὴν θρα-
σύτητα καὶ φωνήν, καὶ τὸ σχῆμα, καὶ τοὺς σοὺς ἀ-
κολούθους, καὶ πλοῦτον, καὶ ὕβριν θεωροῦντας, ἐν δὲ
τῷ κρίνεσθαι παραχρῆμα ἐλεηθήσῃ; μεγάλην μὲν 365
τ' ἂν ἀρχήν, μᾶλλον δὲ τέχνην εἴης ἂν εὑρηκώς, εἰ
δύο τὰ ἐναντιώτατα ἑαυτοῖς ἐν οὕτω βραχεῖ χρόνῳ
περὶ σαυτὸν δύναιο ποιήσασθαι· φθόνον ἐξ ὧν ζῇς,
καὶ ἐφ' οἷς ἐξαπατᾷς ἔλεον. οὐκ ἔστιν οὐδαμόθεν σοι
προσήκων ἔλεος, οὐδὲ καθ' ἕν, ἀλλὰ τοὐναντίον, μῖ- 366
σος, καὶ φθόνος, καὶ ὀργή· τούτων γὰρ ἄξια ποιεῖς. ἀλλ' ἐ-
πὶ ἐκεῖνο ἐπάνειμι, ὅτι τοῦ δήμου κατηγορήσει, καὶ τῆς
ἐκκλησίας. ὅταν οὖν τοῦτο ποιῇ, ἐνθυμεῖσθε πρὸς ὑμῶν
αὐτῶν, ἄνδρες δικασταί, ὅτι οὗτος τῶν μεθ' ἑαυτοῦ στρα-
τευσαμένων ἱππέων, ὅτε εἰς Ὄλυνθον διέβησαν, ἐλ- 367
θὼν πρὸς ὑμᾶς εἰς τὴν ἐκκλησίαν κατηγόρει. νῦν
πάλιν μείνας, πρὸς τοὺς ἐξεληλυθότας τοῦ δήμου κα-
τηγορήσει. πότερον οὖν ὑμεῖς ἄν τε μένητε, ἄν τε
ἐξίητε, ὁμολογήσετε εἶναι τοιοῦτοι, οἵους Μειδίας ὑμᾶς
ἀποφαίνει, ἢ τοὐναντίον, τοῦτον ἀεὶ καὶ πανταχοῦ 368
θεοῖς ἐχθρὸν καὶ βδελυρόν. ἐγὼ μὲν οἶμαι τοῦτον τοι-
οῦτον· ὃν γὰρ οὐχ ἱππεῖς, οὐ συνάρχοντες, οὐ φίλοι
δύνανται φέρειν, τί τοῦτον ἂν εἴποι τις. ἐμοὶ μέν, νὴ τὸν
Δία, καὶ τὸν Ἀπόλλω, καὶ τὴν Ἀθηνᾶν. εἰρήσεται γὰρ
εἴτ' ἄμεινον, εἴτε μή, ὅθ' οὗτος ὡς ἀπήλλαγμαι πε- 369
ριιὼν ἐλογοποίει, ἔνδηλοί τινες ἦσαν ἀχθόμενοι τῶν
πάνυ τούτῳ λαλούντων ἡδέως. καὶ νὴ Δία αὖθις
πολλὴ συγγνώμη. οὐ γάρ ἐστι φορητὸς ἄνθρωπος·

πλήρης. α.

ποιῆσθαι. α.

θρυβεῖν.

ται πρὸς τὸν Μειδίαν, ὦ μιαρὰ κεφαλὴ λέγων· πῶς γὰρ οὐ μιαρά, κατὰ τῆς ἐπακουούσης ποιουμένη τὰς ὕβρεις.

Μεγάλην μὲν τ' ἂν ἀρχήν) Εἰ ἐν 365
τῷ βίῳ πονηρὸς ὢν ὕβρισας ἀδεῶς·
κρινόμενος δὲ τὰ τῶν ἐπιεικῶν ἕξεις,
ἐλέου τυγχάνων, μεγάλην ἕξεις ἀρ-
χήν, ἢ μεγάλην ἤσκησας τέχνην, ἐν
οὕτω βραχεῖ χρόνῳ, ἐν τῷ κρίνεσθαι
δηλονότι. δύο δὲ τὰ ἐναντιώτατα,
φθόνος καὶ ἔλεος. Ὅτε εἰς Ὄλυνθον 367
διέβησαν) Τὸ ὅτ' εἰς Ὄλυνθον διέ-
βησαν, τοιοῦτόν ἐστι. πλείους βοηθείας
τοῖς Ὀλυνθίοις ἀπέστειλαν οἱ Ἀθηναῖοι
κατὰ μέρος. οἱ στρατιῶται οὖν ἐπὶ τῆς τε-
λευταίας πυθόμενοι τὴν Ὄλυνθον ἡλω-
κέναι, πάλιν ὑπέστρεψαν, καὶ πάλιν ἀ-
πῆλθον εἰς τὴν Θρᾴκην. τούτων οὖν
ὁ Μειδίας κατηγόρει. Πρὸς τοὺς
ἐξεληλυθότας) Περὶ πάντων αὐτῶν
πρὸς τῷ τέλει τὸ μῖσος ἐπισωρεύει,
καὶ γὰρ οὐδενὸς φείδεταί φησι. διὰ
τοὺς μὲν εἰς τὸν πόλεμον ἐξιόντας δια-
βάλλει, τὸν δῆμον ἀκροατὴν ποιησά-
μενος. τοῦ δ' αὖ δήμου κατηγορεῖ
πρὸς τοὺς ἐξεληλυθότας διαλεγόμε-
νος. ἐπειδὴ δὲ πάντα τὸν δῆμον ἀθρό-
ως ὑβρισμένον οὐ δύναται δεῖξαι,
μερίζει κατὰ τοὺς καιρούς, καί φησιν, ὅ-
τ' εἰς Ὄλυνθον διέβησαν, κατηγορεῖ τῶν
διαβάντων. Ἐμοὶ μέν, νὴ τὸν Δία) 368
Τοὺς θεοὺς τούτους, ὡς τῶν ἄλλων ἐξο-
χωτάτους ὀμνύουσι· τὸν μὲν Ἀπόλλω,
λέγοντες ἥλιον. τὴν δὲ Ἀθηνᾶν, σελή-
νην· τὸν δὲ Δία, τὸν συνέχοντα τὸ πᾶν.
εἰσὶ δὲ καὶ παρὰ τοῖς Ἀθηναίοις μά-
λιστα οὗτοι τιμώμενοι· ὁ μὲν πατρῷος·
ἡ δὲ ἐπώνυμος. ὁ δὲ πολιοῦχος, καὶ βου-
λαῖος, καὶ φράτριος, καὶ φίλιος, καὶ ἕρ-
κιος. Εἰρήσεται γὰρ εἴτ' ἄμεινον, εἴ-
τε μή) Μέλλων ἀπορρήτους λόγους
ἐξηγεῖσθαι, διστάζειν προσποιεῖται.
λογοποιοῦντος γάρ, φησι, Μειδίου ὅτι
οὐ διαλέλυται πρός με, πολλοὶ τῶν
δοκούντων αὐτῷ λαλεῖν ἡδέως, ἤ-
χθοντο. τὸ μὲν οὖν καταμηνύειν τοὺς
φίλους, ἄτοπον· ὡς γὰρ ἐν ἀπορρήτῳ τὴν
ἔνδειξιν ἐποιοῦντο. τὸ δὲ πάντα σιω-
πᾶν, ἀσύμφορον. τί οὖν πεποίηκεν,
ἵνα δείξῃ καὶ παρὰ τῶν οἰκείων αὐτὸν
μισούμενον. τὸ μὲν τῶν οἰκείων μῖσος
ἐξαγορεύει, τίνες δὲ οὗτοι, σεσιώπηκεν,
ἵνα μὴ προσκρούσῃ τοῖς εἰρηκόσιν· ἐ-
πειδὴ φαύλων ἀνθρώπων ἐστὶ τοῖς κακοῖς τῶν φίλων ἐφήδεσθαι. καὶ ὑπὲρ αὐτῶν ἀπολογίαν ἔνορκον προστέθεικεν, εἰπών
καὶ νὴ Δία αὖθις πολλὴ συγγνώμη. τὴν γὰρ βαρύτητα τοῦ Μειδίου δυσχεραίνουσιν, εἴτε ἐπιστῶμαι εἰς ἔχθραν τοὺς εἰπόντας,
εἴτε μή. Ὡς ἀπήλλαγμαι περιιὼν ἐλογοποίει) Ἀντὶ τοῦ ἐψεύδετο θρυλλῶν, καὶ λογοποιούμενος, ἐσπείσατό μοι Δημοσθέ- 369
νης, ἀπηλλάγην τῆς ἔχθρας. λέλυταί μοι τὸ ἔγκλημα, ὁ κίνδυνος. Τῶν πάνυ τούτῳ λαλούντων) Ἵνα μή τις εἴποι, τί

α.

ἢ ἔντυξιν.

οὖν εἰ ἔχαιρον οἱ ἐχθροί; προσέθηκε τὸ πάνυ τούτῳ καλοῦντων καὶ πάνυ ἡδέως. διὸ καὶ ὅρκου ἐδεήθη, μή τις ἀπιστήσῃ
369 περὶ φίλων τὰ τοιαῦτα λέγοντι. καὶ πρὸς τῷ ὅρκῳ καὶ τὰς ἀπὸ τῶν πραγμάτων ἐπάγει κατασκευάς. Ἀλλὰ καὶ πλουτεῖ
370 μόνος) Οὐχ ὅτι μόνος πλούσιος μειδίας, ἀλλὰ ὅτι μόνον ἑαυτὸν λέγει πλούσιον. ἐπαχθὲς δὲ τὸ τοιοῦτον. Ἂν ἀποφύγῃ, τί ποιήσειν οἴεσθε) Μέγας ὁ προσδοκώμενος φόβος. ἂν μὴ σωφρονήσῃ τῆς δίκης, τὴν ἀκρόπολιν καταλήψεται.

ἀλλὰ καὶ πλουτεῖ μόνος, καὶ λέγειν δύναται μόνος,
370 καὶ πάντες εἰσὶ τούτῳ καθάρματα, καὶ πτωχοί, καὶ οὐδὲ
ἄνθρωποι. τὸν οὖν ἐπὶ ταύτης τῆς ὑπερηφανίας ὄντα νῦν, ἂν ἀποφύγῃ, τί ποιήσειν οἴεσθε. ἐξ ὅτου δὲ τοῦτ' ἂν εἰδείητε, ἐγὼ φράσω· εἰ τοῖς μετὰ τὴν καταχειροτονίαν τεκμηρίοις θεωρήσετε. τίς γάρ ἐστιν ἔτι τούτῳ,
371 τῳ, ὅστις, καταχειροτονηθέντος αὐτοῦ, καὶ ταῦτα ἀσεβεῖν περὶ τὴν ἑορτήν, εἰ καὶ μηδεὶς ἄλλος ἐπῆν κίνδυνος, μηδὲ ἀγών, οὐκ ἂν ἐπ' αὐτῷ τούτῳ κατέδυ, καὶ μέτριον παρέσχεν ἑαυτόν, τόν γε δὴ μέχρι τῆς κρίσεως χρόνον, εἰ καὶ μὴ πάντα. οὐδεὶς ὅστις οὐκ ἄν. ἀλλ' οὐ
372 μειδίας· ἀλλ' ἀπὸ ταύτης τῆς ἡμέρας λέγει, λοιδορεῖται, βοᾷ, χειροτονεῖταί τις; μειδίας ἀναγυράσιος προβέβληται. πλουτάρχου προξενεῖ. τὰ ἀπόρρητα οἶδεν. ἡ πόλις αὐτὸν οὐ χωρεῖ. καὶ ταῦτα πάντα ποιεῖ, δηλονότι οὐδὲν ἄλλο ἐνδεικνύμενος, ἢ ὅτι ἐγὼ οὐδὲν πέ-
373 πονθα ὑπὸ τῆς καταχειροτονίας· οὐδὲ δέδοικα, οὐδὲ φοβοῦμαι τὸν μέλλοντα ἀγῶνα. ὃς οὖν, ὦ ἄνδρες ἀθηναῖοι, τὸ μὲν ὑμᾶς *δεδιέναι δοκεῖν, αἰσχρὸν ἡγεῖται· τὸ δὲ μηδὲν φροντίζειν ὑμῶν, νεανικόν· τοῦτον οὐκ ἀπολωλέναι δεκάκις προσήκει; *οὐδὲ γὰρ ἕξειν ὑμᾶς ὅ,
374 τι χρήσεσθαι αὐτῷ, νομίζει. πλούσιος, θρασύς, *μέγα φρονῶν, μέγα φθεγγόμενος, βίαιος, ἀναιδής. ποῦ ληφθήσεται, νῦν ἂν διακρούσηται; ἀλλ' ἔγωγε, εἰ μηδενὸς ἕνεκα τῶν ἄλλων, τῶν γε δημηγοριῶν,

*ἀποφυγὼν ἄν.
*δεδοικέναι. ει
*ἐγὼ μὲν ἡγοῦμαι ε.
*μεγαλόφρων

Ἐξ ὅτου δὲ τοῦτ' ἂν εἰδείητε) Ὅθεν *ἔσται. δὲ γνώσεσθε τίς ἐστιν ἀποφυγὼν ἐρῶ. στοχάσασθε αὐτοῦ τῆς ἐσομένης γνώμης, ἀπὸ τῶν ἤδη γεγενημένων. Τίς γάρ ἐστιν, ὅστις) Πανταχοῦ βούλεται
371 μικρομερῆ δεικνύναι τὴν κρίσιν. Οὐκ ἂν ἐπ' αὐτῷ τούτῳ κατέδυ) Εἰ πεποίηκεν αὐτὸν ἡ τοῦ παντὸς δήμου κατάγνωσις εὐλαβέστερον, ἐπαινέσετε. εἰ δὲ ἐξ ἐκείνου τοῦ χρόνου γέγονε χαλεπώτερος, τί τὸ ποιοῦν αὐτὸν ἔσται καλλίονα. Τόν γε δὴ μέχρι τῆς κρίσεως χρόνον) Ἕως ἂν ὥρας ὁ κίνδυνος δέξηται, ἔσω τὸν πάντα βίον ἐξετάσαι. ἐπιτηδεῦσαι σωφροσύνην οὐ δύνασαι; καρτέρει μέχρι τῆς κρίσεως ἠρεμῶν. ἀρχὴ διὰ τὴν χεῖρα τὴν τόλμαν. στῆσον λογισμῷ τῆς τιμωρίας τὸ θράσος, κρύψον τέως τὴν ποικιλίαν τῷ φό-
372 βῳ, ἕως ἂν ἴδοις τὴν ἀδείαν. Χειροτονεῖταί τις; μειδίας ἀναγυράσιος προβέβληται) Ἡ αὐτῶν τῶν χειροτονουμένων πάντως αὐτός ἐστιν ὁ προβαλλόμενος, ἢ βουλομένων ὑμῶν ἕνα χειροτονεῖν, ἑαυτὸν ἀντ' ἐκείνου προβάλλει· δείκνυσι γὰρ αὐτὸν μηδαμοῦ μὲν παρὰ τοῦ δήμου ζητούμενον, ἑαυτὸν δὲ εἰς τὰς ἀρχὰς εἰσωθοῦντα.
Πλουτάρχου προξενεῖ) Φίλος ἐστὶ καὶ εὔνους τῷ τυράννῳ· καὶ γάρ τοι καὶ τὰ ἀπόρρητα οἶδεν, ἃ κατὰ τῆς ἀττικῆς ἐκεῖνος βουλεύεται. πρόξενοι δὲ ἐκαλοῦντο, οἱ χειροτονούμενοι ὑπὸ τῆς πόλεως ἐπὶ τῷ τὰς πρεσβευούσας πόλεις ὑποδέχεσθαι. δορύξενοι δέ, οἱ ἐν πολέμοις φιλιωθέντες ἀλλήλοις. ἰδιόξενοι, οἱ ξενούμενοι παρ' ἀλλήλοις. ἐν δὲ τῷ εἰπεῖν, ὅτι προξενεῖ πλουτάρχου, *ἀνώτερω, δύο κατορθοῖ ἅμα· εἰ γὰρ πλουτάρχῳ συνέστη. οὐκοῦν φίλος τοῖς τυράννοις μειδίας. ἀλλὰ καὶ τῆς εὐβοίας ἀπέστησε πλούταρχος. οὐκοῦν μειδίας κοινωνὸς τῆς ἀποστάσεως. Τὰ ἀπόρρητα οἶδε) Φανερώτερον τῆς τυραννίδος τὸ ἔγκλημα. εἰ γὰρ πλούταρχος ἐχθρὸς ὢν τῆς πόλεως ἐπιβουλεύει τῷ δήμῳ, μειδίας δὲ τὰ ἀπόρρητα ἐκείνου γινώσκει. μετὰ πλουτάρχου ἄρα καταλαβεῖν βούλεται τὰ πράγματα. Ἡ πόλις αὐτὸν οὐ χωρεῖ) Συνήθες δημοσθένει τοῦτο λέγειν ἐν ταῖς ὑπερβολαῖς. ὥσπερ καὶ ἐν τοῖς φιλιππικοῖς. οὔτε ἡ ἑλλάς, οὔτε ἡ βάρβαρος τὴν πλεονεξίαν χωρεῖ ταὐθρώπου. Ἢ ὅτι ἐγὼ πέπονθα οὐδέν) Ἠθοποιΐα κέχρηται, δι' ἧς αὐτὸν τὸν μειδίαν δείκνυσι, τὴν τυραννίδα *σημαίνοντα. τὸ γὰρ μὴ φοβεῖσθαι σαστείν δίκας καὶ δικαστήρια, τίνος ἑτέρου πλὴν τυράννου; Ὃς οὖν, ὦ ἄνδρες ἀθηναῖοι) Οὐδὲ μέχρι δόξης μειδίας
373 ἀνέχεται φοβεῖσθαι τὸν δῆμον· καίτοι τοῖς ἔργοις φοβούμενος. Τὸ δὲ μηδὲν φροντίζειν ὑμῶν) Τοῦτο διὰ οἶμαι *αὐτοῦ τυραννικὴν περιέθηκε. Τοῦτον οὐκ ἀπολωλέναι δεκάκις προσήκει) Τὸ μέγεθος τῆς τιμωρίας, τοῖς ἐπιχειρήμασι τοῦ
374 μειδίου ηὔξησε. Πλούσιος, θρασύς, καὶ μεγαλόφρων) Καὶ τὰς δοκούσας ἀρετάς, εἰς κακίαν μετέθηκεν ἡ τάξις τῶν ὀνομάτων. ὁ μὲν γὰρ πλούσιος, τῶν ἐμμέσων ἐστίν. ἤδη ἡ θρασύτης προστεθεῖσα, κακίαν αὐτὸ ἐποίησεν. ὁμοίως τὸ μεγαλοφρονεῖν τῶν ἐπαινετῶν. οὕτω γοῦν τινὰς καὶ μεγαλόφρονας καλοῦμεν. ἀλλὰ τὸ βίαιος, καὶ ἀναιδὴς προστεθὲν, οὐ μεγαλοφροσύνην, ἀλλὰ μᾶλλον ὑπερηφανίαν καὶ ἀλαζονείαν τὸ πρᾶγμα πεποίηκε. Ποῦ ληφθήσεται νῦν) Πικροτάτην ἔμφασιν δέδωκεν, ὅτι οὐδαμοῦ δυνατόν ἐστιν αὐτὸν ληφθῆναι. ἐὰν γὰρ καταλαβὼν φθάσῃ τὴν ἀκρόπολιν, ποῦ αὐτὸν ἔτι δυνήσεσθε λαβεῖν. φανερῶς μὲν οὖν ἐγκαλεῖν τὴν τυραννίδα οὐ δύναται, διὰ τὸ ὑπερβάλλον τοῦ ἐγκλήματος. οἶδε γὰρ ὅτι καταλιπὼν ὁ δῆμος τὸ περὶ τῆς ὕβρεως ζητεῖν, ἐπὶ τοὺς ἐλέγχους τοὺς περὶ τῆς τυραννίδος τρέψεται. μὴ ἔχων δὲ τούτους σαφεῖς παρασχέσθαι, κινδυνεύσει διὰ τῶν ἐμφάσεων καὶ τῶν ὑπονοιῶν. ὁμοῦ γοῦν καὶ τὸ ἄληπτον αὐτῆς τηρεῖ, καὶ τὸν ἐχθρὸν ἐπίφθονον καθίστησιν. Ἀλλ' ἔγωγε εἰ μηδενὸς ἕνεκα) Ταῦτα τὰ προσόντα τῷ μειδίᾳ καθελών,

*γε. σημαίνοντα. γε. διανοοῦντα
*αὐτῷ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θηλῶν, καὶ πανταχόθεν δημοτικὸν δείξας τοῖς Ἀθηναίοις. βούλεται δὲ τοῖς λόγοις αὐτοῦ δεῖξαι χαλεποῖς, καὶ ἐπαχθεῖς.
Καὶ ἐν καιροῖς) Φαύλοις. Ἐὰν μέν τι τῶν δεόντων ἀπαγγελθῇ) Τὸ τυραννικὸν τῆς γνώμης αὐτοῦ πάλιν δια- 375
βάλλει· τὸ γὰρ μὴ συνήδεσθαι τοῖς ἀγαθοῖς τοῦ δήμου, φθονοῦντός ἐστιν ἐπὶ ταῖς εὐπραγίαις. τὸ δὲ ἥδεσθαι κακο-

δημηγορεῖ. ἀ
γ. ἐν καιροῖς

τὸν ἑκάστοτ' ἐδημηγόρει, καὶ ἐν τοῖς καιροῖς, τὴν με-
γίστην ἂν αὐτὸν δικαίως οἶμαι δίκην δοῦναι· ἴστε γὰρ δή- 375
που τοῦθ' ὅτι ἂν μέν τι τῶν δεόντων ἀπαγγελθῇ τῇ
πόλει, καὶ τοιοῦτον οἷον εὐφρᾶναι πάντας, οὐδαμοῦ πώ-
ποτε Μειδίας τῶν συνηδομένων, οὐδὲ τῶν συγχαιρόν-
των ἐξητάσθη τῷ δήμῳ. ἂν δέ τι φλαῦρον, ὃ μη-
δεὶς ἂν βούλοιτο, τῶν ἄλλων πρῶτος ἀνέστηκεν εὐθέως, 376
καὶ δημηγορεῖ, ἐπεμβαίνων τῷ καιρῷ, καὶ τῆς σιωπῆς
ἀπολαύων, ἣν ἐπὶ τῷ περὶ τῶν συμβεβηκότων ἄ-
χθεσθαι ποιεῖσθε ὑμεῖς· τοιοῦτοι γάρ ἐστε, ὦ ἄνδρες Ἀθη-
ναῖοι, οὐδὲ γὰρ ἐξέρχεσθε, οὐδ' οἴεσθε δεῖν χρήματα
εἰσφέρειν. εἶτα θαυμάζετ' εἰ κακῶς ὑμῖν τὰ πρά- 377
γματ' ἔχει; ἐμὲ οἴεσθ' ὑμῖν εἰσοίσειν, ὑμεῖς δὲ νεμεῖσθε;
ἐμὲ οἴεσθε τριηραρχήσειν, ὑμεῖς δ' οὐκ ἐμβήσεσθε;
τοιαῦθ' ὑβρίζων, καὶ τὴν ἀπὸ τῆς ψυχῆς πικρίαν καὶ
κακόνοιαν, ἣν κατὰ τῶν πολλῶν ὑμῶν ἔχων ἀφανῆ, πα-
ρ' ἑαυτῷ περιέρχεται, φανερὰν ἐπὶ τοῦ καιροῦ καθι- 378
στάς. δεῖ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ὑμᾶς οὕτω
νῦν, ὅταν οὗτος ἐξαπατῶν καὶ φενακίζων ὀδύρηται, καὶ
κλάῃ, καὶ δέηται, τοῦθ' ὑποβάλλειν αὐτῷ· τοιοῦτος
γὰρ εἶ, Μειδία· ὑβρισθεὶς γὰρ εἶ, καὶ οὐκ ἐθέλεις ἔχειν
παρὰ σαυτῷ τὼ χεῖρε. εἶτα θαυμάζεις, εἰ κακὸς 379
κακῶς ἀπολεῖ; ἀλλὰ νομίζεις ἡμᾶς μὲν ἀνέξεσθαί
σου, αὐτὸς δὲ τυπτήσειν, καὶ ὑμᾶς μὲν ἀποψηφιεῖσθαί
σου, σὲ δὲ οὐ παύσεσθαι; καὶ βοηθήσουσιν οἱ λέγοντες
χαρίσασθαι.
ὑπὲρ αὐτοῦ, οὐχ οὕτω τούτῳ χαρίζεσθαι, μὰ τοὺς
θεούς, βουλόμενοι, ὡς ἐπηρεάζειν ἐμοὶ διὰ τὴν ἰδίαν 380
ἔχθραν, ἣν οὗτος αὐτῷ πρὸς ἐμέ, ἄν τε ἐγὼ φῶ, ἄν τε
μὴ φῶ, φησὶν εἶναι, καὶ βιάζεται τοῦτο οὐκ ὀρθῶς. ἀλλὰ
κινδυνεύει τὸ λίαν εὐτυχεῖν, ἐνίοτε ἐπαχθεῖς ποιεῖν.

πραγούντων, τοῦτο ἴδιον τυράννου. τὸ
δὲ αὐτὸ, καὶ περὶ Αἰσχίνου κατηγορεῖ.
ἀλλ' ἐκείνου μὲν οὐχ ὡς αὐτοῦ βουλο-
μένου καταλαβεῖν τὴν ἀκρόπολιν, ἀλλὰ
Φιλίππῳ περιποιῆσαι τὰ πράγμα-
τα· ταπεινότερον γὰρ τὸ πρόσωπον τοῦ
τοῦ ἐγκλήματος. Μειδίαν δὲ ὡς αὐτὸν
μέλλοντα τυραννεῖν, διαβάλλει.
Καὶ τῆς σιωπῆς ἀπολαύων) Πά- 376
θος λέγει τῆς ἀνθρωπίνης φύσεως
κοινόν· πάντες γὰρ οἱ τοῖς κακοῖς πιε-
ζόμενοι, συστέλλονται πρὸς ἡσυχίαν,
καὶ σιωπᾶν ἀναγκάζονται. διὸ καὶ ὑ-
μεῖς φέρετε κακιζόμενοι. Τοιοῦτοι
γάρ ἐστε) Τόπος ἐστὶ τῆς ἐπαχθοῦς καὶ
ὑβριστικῆς ἀποκρίσεως. Οὐδ' γρ. ὑποκρί-
οἴεσθε δεῖν χρήματα) Ἀντὶ τοῦ συ- σεως.
νήθη πᾶσι τοῖς πλουσίοις λέγειν πρὸς
τὸν δῆμον, ταῦτα μόνου κατηγορεῖ τοῦ
Μειδίου· εἰ γὰρ ἦσαν πταίσαντες κατὰ
πόλεμον, τότε οἱ πλούσιοι ἐνεκάλουν
τοῖς δημόταις, ὅτι ἡμεῖς μὲν τὰ κα-
θ' ἑαυτοὺς πεποιήκαμεν, ἐτριηραρ-
χήσαμεν, χρήματα εἰσενέγκαμεν, ὑ-
μεῖς δηλονότι οἱ πολεμεῖν μὴ θελή-
σαντες. Φανερὰν ἐπὶ τοῦ καιροῦ κα- 378
θιστάς) Ὥσπερ κρύπτει μὲν ἐν τοῖς κα-
λοῖς καιροῖς τὴν δυσμένειαν. ἰδὼν δὲ
πταίσασαν τὴν πόλιν, εἰς μέσον ἄγει
τήν πως λανθάνουσαν. Τοιοῦτος
γὰρ εἶ, Μειδία. ὑβριστὴς γὰρ εἶ) Ὥσπερ
ἐπὶ τοῦ Μειδίου χρησάμενος ἠθοποιΐᾳ,
ἑαυτὸν δι' αὐτοῦ πεποίηκεν ἐπεμβαί-
νοντα τοῖς Ἀθηναίοις, οὕτω πάλιν καὶ
τῶν δικαστῶν τῇ ὁμοίᾳ πλάσει ἐχρή-
σατο, ἵνα ποιήσῃ ταῦτα τοὺς δικαστὰς
λέγοντας πρὸς τὸν Μειδίαν, ἅπερ αὐ-
τὸς βούλεται. μιμησώμεθα, φησί,
κατὰ Μειδίου Μειδίαν, καὶ τοῖς αὐτοῦ λό-
γοις πρὸς τὸν πατέρα τῶν λόγων χρη-
σώμεθα, τὸν αὐτὸν ἀποδιδόντες αὐ-
τῷ, ὃν ὑπὲρ πρὸς τοὺς ἄλλους προσή-
νεγκε. Καὶ βοηθήσουσιν οἱ λέγον- 379
τες ὑπὲρ αὐτοῦ) Ἔστι μὲν τὸ κεφάλαιον
εἰρημένον κατ' ἀπόστασιν. ἔξεστι δὲ τὰ
τοιαῦτα ἐν ἐπιλόγοις, διὰ τὸ εἶναι κομματικὰ, καὶ ἀσύνδετα. ὅμως δὲ ὁ ῥήτωρ, διὰ τοῦ συνδέσμου συνῆψεν αὐτὰ τοῖς
φθάνουσιν· εἰ γὰρ καὶ τοῖς νοήμασιν ἀπέσχισται, τὰ γοῦν τῆς ἀκολουθίας σώζεται. βούλεται δὲ ἐν τούτῳ περικόψαι τοὺς συ-
νηγόρους τοῦ Μειδίου κἀκεῖ δὲ πρῶτόν γε πρὸς τὸν Εὔβουλον ἀποτείνεται. προέταξε δὲ τοῦτον τῶν ἄλλων κατηγόρων,
διὰ δύο προφάσεις· ὅτι τε πολὺ προέχει τῶν ἄλλων εἷς ὢν, καὶ μᾶλλον ἐδεδοίκει τοῦτον, ἢ σύμπαντας τοὺς ἄλλους, καὶ ὅτι
πράγματα εἶχεν ἴδια διαλεχθῆναι χωρίσαντα τῶν ἄλλων περιουσιῶν τὸν λόγον. Οὐχ οὕτω τούτῳ χαρίσασθαι)
Ἀντίπιπτον ἔλυσε· πῶς ἀρτίως ἔλεγε μηδένα εἶναι φίλον τῷ Μειδίᾳ, καὶ νῦν τοὺς ἐνδοξοτάτους αὐτῷ φάσκει συνηγό-
ρους, λέγων, οὐχ ὅτι τούτῳ χαρίζεσθαι βούλονται. καὶ τὸν ὅρκον προσέθηκεν· ἐπεὶ ἀπίθανον δοκεῖ τὸν συνηγοροῦντα μὴ εἶναι
φίλον τοῦ συνηγορουμένου, ἀλλ' ἐπηρεάζειν ἐμοί. Ἄν τε ἐγὼ φῶ, ἄν τε μὴ φῶ) Καλῶς κατ' ἐνδιασμὸν προσή- 380
γαγεν, ἵνα δείξῃ τὸν Εὔβουλον ὄντα τῆς ἔχθρας αἴτιον. εἰ γὰρ οὐχ ὁμολογεῖ ὁ Δημοσθένης ἔχθραν, πρόδηλον ὅτι Εὔ-
βουλός ἐστιν, ὁ τῆς ἔχθρας καταρχόμενος. Καὶ βιάζεται τοῦτο οὐκ ὀρθῶς) Ἀντίπιπτον ὑπέτεμε. τί εἰ παθὼν παρὰ
σοῦ κακῶς, φυλάττει τὴν ἔχθραν; ὁ δὲ, καὶ βιάζεται, εἶπε, καὶ οὐκ ὀρθῶς. ἀμφότερα δὲ, τοῦ καταρχοντος καὶ ἀδι-
κοῦντος. Ἀλλὰ κινδυνεύει τὸ λίαν εὐτυχεῖν) Ἕτερον ἀντίπιπτον ἔλυσε. διὰ τί οὖν βούλεται ἐχθρός σου εἶναι μηδὲ

ὑπὸ τοῦ πεπονθώς; ὅτι νῦν ἐστιν εὐτυχής. καὶ δέδωκεν ἑτέραν ἔχθρας ἀφορμήν, τὴν εὐτυχίαν· οἱ γὰρ πλουτοῦντες βουλόμενοι τοῖς πένησιν ἐπηρεάζειν, ὑβρίζουσί τε καὶ ἐπαχθεῖς γίνονται. εἶτα καὶ ἄλλο κατώρθωσε τὸ λίαν εἰπεῖν εὐτυ-
380 χεῖ· ἔδειξε γὰρ οὐ δι' ἀρετὴν εὐδοκιμοῦντα τὸν Εὔβουλον, ἀλλὰ διὰ τύχην. Ὅπου γὰρ ἐγὼ μὲν) Τὴν φήμην λέγει τὴν περὶ τοῦ φόνου· Εὔβουλος γὰρ ἦν ὁ κατηγορῶν τοῦ Ἀριστάρχου, καὶ συναιτώμενος τὸν Δημοσθένην. ὁμοίως δὲ φανερῶς οὐκ εἶπεν, ἵνα μὴ πάλιν ὑπομιμνήσκῃ καθ' ἑαυτοῦ τὴν φήμην.

381 Οὐδὲ ἀφιέντα αἰτήσει) Δεικνύουσιν ὅτι χάριν αὐτῷ μᾶλλον ὤφειλεν Εὔβουλος ὁμολογεῖν, ὅτι ἀφῆκεν αὐτόν, καὶ οὐκ ἀπῄτησε δίκην ἐφ' οἷς ἔπαθε παρ' αὐτοῦ κακῶς. Ἀλλὰ καὶ ἐπὶ τοῖς ἀλλοτρίοις ἀγῶσι) Διέβαλεν, ὡς φιλοπράγμονα τὸν Εὔβουλον, καὶ ἐργολάβον· δυοῖν γὰρ θάτερον ἐκ τούτου συμβήσεται· ἢ γὰρ ἵνα μὴ δόξῃ τοιοῦτος εἶναι, ἀποστήσεται τοῦ συνηγορεῖν τῷ Μειδίᾳ, καὶ πληρωθήσεται ὁ σκοπὸς τῷ ῥήτορι, ἢ ἐπιμένων ἀναβαίνειν, ὕποπτος ἔσται, προδιαβεβλημένος ὑπὸ τοῦ ῥήτορος. Μηδὲ τῆς κοινῆς τῶν νόμων ἐπικουρίας) Οὐκοῦν τύραννός ἐστιν Εὔβουλος ὁ τὴν ἰσχὺν τῶν νόμων καταλύων. Καὶ μείζων, ἢ καθ' ὅσον ἡμῶν ἑκάστῳ συμφέρει) Τὸ ὄνομα μόνος ἐσιώπησε τοῦ τυράννου· τὰς γὰρ πράξεις ἀνέθηκε, καὶ εἰς φόβον τὸν μέλλοντα τὸν δῆμον κατέστησεν.

Ἔτι τοίνυν πρῴην, ὦ ἄνδρες Ἀθηναῖοι) Ὅτι διὰ τῶν πραγμάτων ᾐνίξατο τὸν τύραννον, καὶ προδιέβαλε, τότε καὶ φανερῶς ἐπ' αὐτὸ τὸ ὄνομα κεχώ-
382 ρηκε. Καὶ καλούμενος ὀνομαστὶ) Πολλὰ ὁμοῦ κατώρθωσε· καὶ γὰρ ὅτι Μειδίας ἑαυτοῦ κατέγνωκε, καὶ ὅτι οὐδεμίαν πρόφασιν εἶχεν Εὔβουλος τοῦτό γε μὴ βοηθῆσαι· καὶ γὰρ ἐκλήθη ὀνομαστὶ, καὶ οὐχ ἁπλῶς, ἀλλὰ μετὰ δεήσεως. καὶ παρῆν, καὶ ἐκαθέζετο, καὶ ἐθεώρει τὰ γινόμενα, καὶ ὅμως οὐκ ἀνέστη.

ὅπου γὰρ ἐγὼ μὲν οὐδέ, πεπονθὼς κακῶς, ἐχθρὸν εἶναί
381 μοι τοῦτον ὁμολογῶ· οὗτος δ' οὐδ' ἀφιέντα ἀφίησιν, ἀλ- *αἰτήσει. α.
λὰ καὶ ἐπὶ τοῖς ἀλλοτρίοις ἀγῶσιν ἀπαντᾷ, καὶ νῦν
ἀναβήσεται, μηδὲ τῆς κοινῆς τῶν νόμων ἐπικουρίας
ἀξιῶν ἐμοὶ μετεῖναι, πῶς οὐχ οὗτος ἐπαχθής ἐστιν, ἤδη
καὶ μείζων, ἢ καθ' ὅσον ἡμῶν ἑκάστῳ συμφέρει; ἔτι τοί-
382 νυν πρῴην, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἐκάθητο Εὔβου-
λος ἐν τῷ θεάτρῳ, ὅτε ὁ δῆμος κατεχειροτόνησε Μει-
δίου, καὶ καλούμενος ὀνομαστὶ καὶ ἀντιβολοῦντος τού-
του καὶ λιπαροῦντος, ὡς ὑμεῖς ἴστε, οὐκ ἀνέστη. καίτοι,
εἰ μὲν μηδὲν ἠδικηκότος ἡγεῖτο τὴν προβολὴν γε-
383 γενῆσθαι, τότ' ἔδει τόν γε φίλον δήπου συνειπεῖν, καὶ
βοηθῆσαι. εἰ δὲ καταγνοὺς ἀδικεῖν τότε, διὰ ταῦ-
τ' οὐχ ὑπήκουσε, νῦν δ' ὅτι προσκέκρουκεν ἐμοί,
διὰ ταῦτα τοῦτον ἐξαιτήσεται, ὑμῖν οὐχὶ καλῶς ἔχει
*χαρίσασθαι· μὴ γὰρ ἔστω μηδεὶς ἐν δημοκρατίᾳ τη- *αὐτὸς.
384 λικοῦτος, ὥστε συνειπὼν, τὸν μὲν, ὑβρίσθαι, τὸν δὲ, μὴ
δοῦναι δίκην ποιῆσαι. ἀλλ' εἰ κακῶς ἐμὲ βούλει ποιεῖν
Εὔβουλε· ὡς ἔγωγε μὰ τοὺς θεούς, οὐκ οἶδα ἀνθ' ὅτου·
δυνάσαι μὲν καὶ πολιτεύῃ· κατὰ τοὺς νόμους δέ, ἥντι-
να βούλει παρ' ἐμοῦ δίκην, λάμβανε. ὧν δ' ἐγὼ παρὰ
385 τοὺς νόμους ὑβρίσθην, μή με ἀφαιροῦ τὴν τιμω-
ρίαν. εἰ δ' ἀπορεῖς ἐκείνως με κακῶς ποιῆσαι, εἴη ἂν καὶ

383 Νῦν δὲ ὅτι προσκέκρουκεν ἐμοί) Δι' ὧν ὁ ῥήτωρ διαβάλλει τὴν αἰτίαν τῆς συνηγορίας, ἵνα μή τις ὑπολάβῃ ὅτι ἀδικουμένῳ βοηθεῖ, κατασκευάζει *ὑπὸ τοῦ χρόνου τὴν ὑπόνοιαν· δῆλον δὲ αὐτ' ἄλλης πρόφασιν εἴρηκε. τοῦ γὰρ Εὐβούλου δυναμένου λέγειν, ὅτι τότε μὲν οὐκ ἀνέστην. ἐν δήμῳ γὰρ τεθορυβημένῳ, τί πλέον ἂν ἤνυσα συνηγορῶν; νῦν δὲ ἐμαυτὸν εἰς τὸ δικαστήριον ἐφύλαξα· ὁ ῥήτωρ ἄλλην πρόφασιν εἴρηκεν, ὅτι τότε μὲν οὐ συνεῖπε, διὰ τὸ συνειδέναι, ὅτι Μειδίας ἀδικεῖ· νῦν δὲ, διὰ τὸ ἐπηρεάζειν ἐμοί. Μὴ γὰρ ἔστω μηδεὶς ἐν δημοκρατίᾳ) Καὶ ἐν τῷ κατ' Αἰσχίνου *ἀπό.
384 σχεδὸν ταῖς αὐταῖς λέξεσι περὶ Εὐβούλου εἴρηκε. μή μοι σωζέσθω, μηδ' ἀπολλύσθω μηδείς. Τὸν δὲ, μὴ δοῦναι δίκην) Μερισμῷ κέχρηται, βουλόμενος δεῖξαι, δύναμιν μεγάλην Εὐβούλῳ προσοῦσαν. εἰ γὰρ ἱκανός ἐστι τὸν μὲν ὑβρίζειν, τὸν δὲ πείθειν μὴ διδόναι δίκην, μέγας τις ἐστὶ καὶ ἰσχυρός. καίτοι περὶ ἑνὸς τοῦ Μειδίου ἀμφότερα εἴρηται. ἐκεῖνος γάρ ἐστι καὶ ὁ ὑβρίσας, καὶ *ὁ μέλλων διδόναι δίκην ἐκ τῆς συνηγορίας τοῦ Εὐβούλου. ἀλλ' εἰ μὲν ἑνικῶς τὴν προαγαγὼν, οὐ μεγάλα ἂν ἔδειξεν ἰσχύοντα τὸν Εὔβουλον. τί γὰρ παράδοξον ἕνα τῶν πολιτῶν ἐξελεῖν. νῦν δὲ καταμερίσας τὸ ἓν εἰς πλείονα, τὴν δύναμιν ηὔξησε τοῦ Εὐβούλου. Ἀλλ' εἰ κακῶς ἐμὲ βούλει ποιεῖν) Ἔδειξεν ἐκ τούτου, ὅτι καὶ ἡ πρόφασις τῆς ἔχθρας παρ' Εὐβούλου γέγονεν. εἰ γὰρ προῄρηται κακῶς ποιεῖν, αὐτός ἐστι καὶ ὁ κατάρξας. Ὡς ἔγωγε μὰ τοὺς θεούς) Τὴν ὑποψίαν ἀρνεῖται, καὶ γὰρ κακόνοιαν ἀπέδειξε ματαίαν κατ' αὐτοῦ γεγενῆσθαι τὴν φήμην. εἰκότως τοίνυν ἀγνοεῖν ὑπὲρ ποίας προφάσεως αὐτῷ πολεμεῖν ἔγνωκεν Εὔβουλος.

*ὁ μὴ μέλλων.

Δυνάσαι μὲν, καὶ πολιτεύῃ) Τὸ μὲν δυνάσαι, τυραννικόν. δεδιὼς δὲ εἰς καλέσαι τυραννίδα, προσέθηκε, καὶ πολιτεύῃ. ὥστε δυναστείαν εἶναι τὴν σὴν πολιτείαν. Κατὰ τοὺς νόμους δὲ, ἥντινα βούλει) Παραγραφικῷ ἐπιχειρήματι κέχρηται. οὐ δεῖ δὲ θαυμάζειν, εἰ ἐν ἐπιλόγοις παραγραφικῷ ἐπέπλωκεν. οὐ γὰρ αὐτοῦ τοῦ ζητουμένου πράγματός ἐστι τὸ παραγραφικόν. διὰ τῆς ὕβρεως, τῶν πληγῶν, τοῦ δημοσίου ἀδικήματος, ἀλλὰ τῶν ἔξωθεν παραλυπούντων τὴν ὑπόθεσιν· ἐπειδὴ γὰρ βαρὺς Εὔβουλος συνηγορῶν τῷ Μειδίᾳ, χρῆται παραγραφικῷ πρὸς αὐτὸν, ὅτι εἰ νομίζεις ἀδικεῖσθαί τι παρ' ἐμοῦ, γράφου καὶ κατηγόρει. μὴ μέντοι τοὺς ἤδη κατηγορηθέντας ἐξαιροῦ.

Ὧν δ' ἐγὼ παρὰ τοὺς νόμους ὑβρίσθην) Φθόνον αὐτῷ κινεῖ, εἴπερ ἐστὶν ἐπ' ἐκείνῳ καὶ τοὺς ἤδη κρινομένους ἐκσώζειν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῦτο σημεῖον τῆς ἐμῆς ἐπιεικείας, εἰ τοὺς ἄλλους ῥᾳ-
δίως κρίνων, ἐμὲ μηδὲν ἔχεις ἐφ' ὅτῳ τοῦτο ποιήσεις.
πέπυσμαι τοίνυν καὶ Φιλιππίδην, καὶ Μνησαρχί-
δην, καὶ Διότιμον τὸν Εὐωνυμέα, καὶ τοιούτους τινὰς πλου- 386
σίους, καὶ τριηράρχους, ἐξαιτήσεσθαι καὶ λιπαρήσειν
παρ' ὑμῶν αὐτόν, αὑτοῖς ἀξιοῦντας δοθῆναι τὴν χά-
ριν ταύτην. περὶ ὧν οὐδὲν ἂν εἴποιμι πρὸς ὑμᾶς
φλαῦρον ἐγώ. καὶ γὰρ ἂν μαινοίμην. ἀλλ' ἃ θεω-
ρεῖν ὑμᾶς, ὅταν οὗτοι δέωνται, δεῖ καὶ λογίζεσθαι, ταῦτ' 387
ἐρῶ. ἐνθυμεῖσθε, ὦ ἄνδρες δικασταί, εἰ γένοιτο, ὃ μὴ
γένοιτο, οὐδ' ἔσται* νῦν οὗτοι κύριοι τῆς πολιτείας
μετὰ Μειδίου, καὶ τῶν ὁμοίων τούτῳ, καί τις ὑμῶν τῶν
πολλῶν καὶ δημοτικῶν ἀνθρώπων ἁμαρτὼν εἴς τινα
τούτων, μὴ τοιαῦθ' οἷα Μειδίας εἰς ἐμέ, ἀλλ' ὁτιοῦν 388
ἄλλο, εἰς δικαστήριον εἰσίοι πεπληρωμένον ἐκ τούτων,
τίνος συγγνώμης, ἢ τίνος ἐλέου τυχεῖν ἂν οἴεσθε. τα-
χύ γ' ἂν χαρίσαιντο. οὐδὲ γὰρ δεηθέντι τῳ, τῶν πολ-
λῶν προσέχοιεν. ἀλλ' οὐκ ἂν εὐθέως εἴποιεν, τὸν δὲ
βάσκανον, τὸν δ' ὄλεθρον, τοῦτον δ' ὑβρίζειν; ἀναπνεῖν 389
δέ; ὃν εἴ τις ἐᾷ ζῆν, ἀγαπᾶν ἔδει. μὴ τοίνυν, ὦ ἄν-
δρες Ἀθηναῖοι, τούτοις τοῖς οὕτω χρησαμένοις ἂν ὑ-
μῖν, ἄλλως πως ἔχετε ὑμεῖς. μηδὲ τὸν πλοῦτον, μηδὲ
τὴν δόξαν τὴν τούτων θαυμάζετε, ἀλλ' ὑμᾶς αὐ-
τούς. πολλὰ τούτοις ἀγαθά ἐστιν, ἃ τούτους οὐδεὶς κω- 390
λύει κεκτῆσθαι. μὴ τοίνυν μηδ' οὗτοι τὴν ἄδειαν, ἣν ὑμῖν κοινὴν οὖσαν οἱ νόμοι
παρέχουσι, κωλυόντων κεκτῆσθαι. οὐδὲν δεινόν, οὐδ' ἐλεεινόν, εἰ Μειδίας πείσεται, ἂν ἴσα
μὲν κτήσηται τοῖς πολλοῖς ὑμῶν, οὓς νῦν ὑβρίζει, καὶ πτωχοὺς ἀποκαλεῖ· ἃ δὲ
νῦν περιόντ' αὐτὸν ὑβρίζειν ἐπαίρει, περιαιρεθῇ. οὐδ' οὗτοι δήπου ταῦθ' ὑμῶν 391
εἰσὶ δίκαιοι δεῖσθαι, μὴ κατὰ τοὺς νόμους δικάσητε, ὦ ἄνδρες δικασταί. μὴ βοηθήσητε
τῷ πεπονθότι δεινά, μηδ' εὐορκεῖτε. ἡμῖν δότε τὴν χάριν ταύτην. ταῦτα γὰρ ἂν
δέωνται, περὶ τούτου δεήσονται, κἂν μὴ ταῦτα λέγωσι τὰ ῥήματα. ἀλλ' εἴπερ
εἰσὶ φίλοι, καὶ δεινόν, εἰ μὴ πλουτήσει Μειδίας, ἡγοῦνται, εἰσὶ μὲν εἰς τὰ μάλιστα 392
αὐτοὶ πλούσιοι, καὶ καλῶς ποιοῦσι. χρήματα δ' αὐτῷ παρ' ἑαυτῶν δόντων, ἵν' ὑμεῖς
μὲν ἐφ' οἷς εἰσεληλύθατε ὀμωμοκότες, δικαίως ψηφίσησθε, οὗτοι δὲ παρ' αὑτῶν
τὰς χάριτας, μὴ μετὰ τῆς ὑμετέρας αἰσχύνης, ποιῶνται. εἰ δ' οὗτοι χρήματα ἔ-
χοντες μὴ προεῖντ' ἄν, πῶς ὑμῖν καλὸν τὸν ὅρκον προέσθαι. πλούσιοι πολλοὶ 393
συνεστηκότες, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ δοκεῖν τινὲς εἶναι δι' εὐπορίαν προσειληφό-
τες, ὑμῶν παρίασι δεησόμενοι. τούτων μηδενί με, ὦ ἄνδρες Ἀθηναῖοι, προῆσθε,
ἀλλ' ὥσπερ ἕκαστος τούτων ὑπὲρ τῶν ἰδίων συμφερόντων, καὶ ὑπὲρ τούτου σπου-
δάσεται, οὕτως ὑμεῖς ὑπὲρ ὑμῶν αὐτῶν καὶ τῶν νόμων καὶ ἐμοῦ τοῦ ἐφ' ὑμᾶς κα- 394
ταπεφευγότος, σπουδάσατε, καὶ τηρήσατε τὴν γνώμην ταύτην, ἐφ' ἧς νῦν ἐστέ.
καὶ γὰρ εἰ μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τότ', ὅτ' ἦν ἡ προβολή, τὰ πεπραγμένα

σπάζειν. ὅμως δὲ καὶ τοὺς δικαστὰς φι-
λονείκους πεποίηκε πρὸς τὸν Εὔβου-
λον. εἰ γὰρ ἐκεῖνος ταύτην εἶχε τὴν
ὑπόνοιαν, ὥστε δύνασθαι τῆς τιμω-
ρίας ἐξαιρεῖσθαι τοὺς κρινομένους,
πρόδηλον ὅτι φιλονεικήσουσι καὶ κα-
ταγνώσονται τοῦ Μειδίου, ὥστε δεῖξαι
παρ' αὐτοῖς οὖσαν τὴν δύναμιν τοῦ
καὶ ἀφιέναι καὶ κολάζειν, οὐχὶ παρ' Εὐ-
βούλῳ. Πέπυσμαι τοίνυν καὶ Φι- 385
λιππίδην) Πληρώσας τὸ μέρος τὸ
κατὰ τὸν Εὔβουλον, ὅπερ ἦν ὡς κατὰ ὑ-
περοχήν, ἐπὶ τοὺς ἄλλους συνηγόρους
κεχώρηκεν οἵ τινες καὶ ἧττονος ἀξιώ-
ματος μετέχουσι, καὶ οὐχ ὁμοίως ἠθι-
κὸν ἀπαιτοῦσι τὸν λόγον. Ἀξιοῦν- 386
τας δοθῆναι τὴν χάριν) Δεινῶς
παίει. οἷον, μὴ γὰρ οὐκ ἄξιος θανάτου
Μειδίας; μὴ γὰρ οὐκ ἴσμεν, ὡς εἰκότως
ἀναρπάζοιτ' ἄν; ἀλλ' ἡμῖν δότε ταύ-
την τὴν χάριν. ἡμῖν αὐτοῦ τὴν σω-
τηρίαν δωρήσασθε. Χρήματα δ' 392
αὐτῷ) Τί δυσχεραίνετε πρὸς τὴν
ψῆφον, ἣν οἱ νόμοι κομίζουσι, λυπεῖ-
ται Μειδίας τῆς οὐσίας αὐτοῦ στερού-
μενος; πλήσον αὐτὸν καὶ μετὰ τὴν δή-
μευσιν πλούσιον μεταδοὺς αὐτῷ τῶν
χρημάτων τῶν σῶν, ἵνα καὶ νόμιμος ὁ
δικαστὴς φανῇ, καὶ σὺ φίλος εὐνοῦσα-
τος. Τὸ δοκεῖν τινὲς εἶναι δι' εὐπο- 393
ρίαν) Ἀρετὴν μὲν παρ' αὐτοῖς, ἢ τι
τῶν καλῶν οὐχ εὕροι τις· τῷ πλού-
τῳ δὲ καρποῦνται τὴν δόκησιν.

* ὅπη. α.
* οὐ γὰρ ἂν. β. ε.
* προσέχοιεν. α.
* α. β.
* πείσεται Μειδίας. α.
* β.
* κριθήσεται. α.
* εἰσὶ. α.
* εἰσήλθετε α. συνεληλύθατε. π. ε.
* σπουδάσει.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

394 Οὐκ ἂν ὁμοίως ἦν δεινόν) Ανα-
μιμνήσκει τούτων, ἵνα μείνωσιν ἐπὶ
τῆς αὐτῆς γνώμης. ἄτοπον γὰρ ἐξ ἀρ-
χῆς μὲν χαλεπαίνειν· νυνὶ δὲ τοσού-
396 των ἀποδειχθέντων ὀλιγωρεῖν. Βλε-
παίου τοῦ τραπεζίτου) Η γὰρ τέχνη τὴν
ὑπόνοιαν ἐνεποίει. Ως τοῦτ' ἐκεῖνο)
Ο πάλιν ἠλπίζομεν μειδίαν ποιή-
397 σειν. Θοιμάτιον) Χιτωνίσκος μὲν, τὸ
κολόβιον. θοιμάτιον δὲ, τὸ περιβώνιον.
398 Εν ἱερῷ δὲ) Ωστε τὸν τόπον διδάξαι τὸ
399 δίκαιον. Καὶ τοὺς ἐπιδημήσαντας)
Ως ἐν κοινῷ θεάτρῳ τῆς ἑλλάδος
401 φάσκει γεγενῆσθαι τὴν ὕβριν. Οὐδ'
ὥσπερ ἀριστοφῶν) Οὗτος φορολόγος
ὢν, κατέσχε παρ' αὐτῷ τὰς δεκάτας
τῆς θεοῦ, ἀφ' ὧν ἔδει στεφάνους ποιῆ-
σαι, καὶ ἀναθεῖναι τῇ θεᾷ ἀθηναίων.
κατηγορηθεὶς δὲ ὑπὸ εὐβούλου, φθά-
σας τὴν εἴσοδον, ἀνέθετο τοὺς στεφά-
νους, καὶ πέπαυται ἡ προβολή. Εκ τοῦ
μηδὲν ὧν πεποίηκεν) Οὐ μὴν ὁ μει-
δίας ἣν ἐπεδείξατο ὕβριν κατ' ἐ-
μοῦ, καὶ τὰς πληγὰς, ἀνακαλέσασθαι
402 δύναται. Οὐδ' ὕβριζε τῇ διανοίᾳ)
Τῇ μὲν γὰρ χειρὶ, τὸν δημοσθένην· τῇ
δὲ διανοίᾳ, τοὺς πάντας. Οσους περ
ἂν οἴηταί τις) Οπου γὰρ ῥήτωρ ὢν ἐγὼ
ἐπλήγην, τί ποιήσετε ὑμεῖς οἱ ἧττον,
ἢ ἐγὼ, δίκην λαμβάνειν δυνάμενοι;
403 Τὸν πρῶτον μετὰ ταῦτα) Πρῶ-
τον τῶν ἄλλων μετ' ἐμέ. Αλλ' ὡς
ἐκ πλείστου) Εως ἔτι πόρρω τῶν δει-
νῶν ἕκαστος, φυλαττέσθω.

ὁ δῆμος ἀκούσας ἀπεχειροτόνησε μειδίου, οὐκ ἂν ὁ-
μοίως ἦν δεινόν. καὶ γὰρ μὴ γεγενῆσθαι, καὶ μὴ περὶ
395 τὴν ἑορτὴν ἀδικήματα ταῦτ' εἶναι, καὶ πολλὰ ἂν
εἶχέ τις αὐτὸν παραμυθήσασθαι. νῦν δὲ τοῦτο καὶ πάν-
των ἂν μοι δεινότατον συμβαίη, εἰ πρὸ αὐτὰ μὲν τὰ-
δικήματα οὕτως ὀργίλως καὶ πικρῶς καὶ χαλεπῶς
ἅπαντες ἔχοντες ἐφαίνεσθε, ὥστε νεοπτολέμου, καὶ
396 μνησαρχίδου, καὶ φιλιππίδου, καὶ τινῶν τῶν σφόδρα τού- τῶν ἄλλων τῶν σφόδρα. α.ε.
των πλουσίων, δεομένων καὶ ἐμοῦ καὶ ὑμῶν, ἐβοᾶτε
μὴ ἀφεῖναι· καὶ προσελθόντος μοι βλεπαίου τοῦ τρα-
πεζίτου, τηλικοῦτ' ἀνεκράγετε, ὡς τοῦτ' ἐκεῖνο χρή- τοῦτ' ἐκεῖνα.
ματά μου ληψομένου, ὥστε με, ὦ ἄνδρες ἀθηναῖοι,
397 φοβηθέντα τὸν ὑμέτερον θόρυβον, θοιμάτιον προέσθαι, τὸ ἱμάτιον.
καὶ μικροῦ γυμνὸν ἐν τῷ χιτωνίσκῳ γενέσθαι, φεύγοντα α.ε.
ἐκεῖνον, ἕλκοντά με· καὶ μετὰ ταῦτα ἀπαντῶντες, ὅπως
ἐπέξει τῷ μιαρῷ, καὶ μὴ διαλύσῃ· θεάσονταί σε τί ἐπεξῇ. β.
ποιήσεις ἀθηναῖοι, τοιαῦτα λέγοντες· ἐπειδὴ δὲ κεχειρο- ἐπέξιη. ε.
398 τόνηται μὲν ὕβρις τὸ πρᾶγμα εἶναι, ἐν ἱερῷ δ' οἱ ταῦ-
τα κρίνοντες καθεζόμενοι διέγνωσαν, διέμεινα δὲ κἀ- κρίναντες.
γώ, καὶ οὐ προὔδωκα οὔθ' ὑμᾶς, οὔτ' ἐμαυτόν, τηνικαῦ-
τ' ἀποψηφιεῖσθε ὑμεῖς. μηδαμῶς. πάντα γὰρ τὰ αἴ-
σχιστα ἔνεστιν ἐν τῷ πράγματι. εἰμὶ δ' οὐ τούτων ὑ-
399 μῖν ἄξιος. πῶς γάρ, ὦ ἄνδρες ἀθηναῖοι, κρίνων ἄν-
θρωπον, δοκοῦντα, καὶ ὄντα βίαιον, καὶ ὑβριστήν, ἡμαρτη-
κότα ἀσελγῶς ἐν πανηγύρει, μάρτυρας τῆς ὕβρεως τῆς αὐτοῦ πεποιημένον οὐ μόνον ἑαυτοῦ. α.
ὑμᾶς, ἀλλὰ καὶ τοὺς ἐπιδημήσαντας ἅπαντας τῶν ἑλλήνων; ἤκουσεν ὁ δῆμος τὰ πε- ἐπιδημοῦν-
400 πραγμένα τούτῳ. τί οὖν; ὑμῖν καταχειροτονήσας παρέδωκεν. οὐ τοίνυν οἷόν τε ἀ- τας. α.ε.
φανῆ τὴν γνῶσιν ὑμῶν γενέσθαι, οὐδὲ λαθεῖν, οὐδ' ἀνεξέταστον εἶναι, τί ποτε, ὡς ὑμᾶς τοῦ
πράγματος ἐλθόντος, ἔγνωτε. ἀλλ' ἐὰν μὲν κολάσητε, δόξετε σώφρονες εἶναι, καὶ
καλοί, καὶ ἀγαθοί, καὶ μισοπόνηροι. ἂν δ' ἀφῆτε, ἄλλου τινὸς ἡττῆσθαι. οὐ γὰρ ἐκ πολι- κεκρῖσθαι.
401 τικῆς αἰτίας, οὐδ' ὥσπερ ἀριστοφῶν ἀποδοὺς τοὺς στεφάνους ἔλυσε τὴν προβολήν·
ἀλλ' ἐξ ὕβρεως, καὶ ἐκ τοῦ μηδέν, ὧν πεποίηκεν, ἀναδοῦναι δύνασθαι, κρίνεται. πότερον
οὖν τούτου γενομένου κρεῖττον ἦν εὐθύς, ἢ νυνί, κολάσαι. ἐγὼ μὲν οἶμαι νῦν. κοινὴ γὰρ
ἡ κρίσις, καὶ τὰ ἀδικήματα πάντ', ἐφ' οἷς κρίνεται, κοινά. ἔτι δ' οὐκ ἐμὲ ἔτυπτεν, ὦ
402 ἄνδρες ἀθηναῖοι, μόνον οὗτος, οὐδὲ ὕβριζε τῇ διανοίᾳ τότε, ποιῶν οἷα ἐποίει, ἀλλ' ἅ-
παντας, ὅσους περ ἂν οἴηταί τις ἧττον ἐμοῦ δύνασθαι δίκην ὑπὲρ αὑτῶν λαβεῖν. εἰ δὲ
μὴ πάντες ἐπαίεσθε, μηδὲ πάντες ἐπηρεάζεσθε χορηγοῦντες, ἴστε δήπου τοῦθ'
ὅτι, οὐδὲ ἐχορηγεῖτε ἅμα πάντες. οὐδὲ δύναιτ' ἂν `οὐδὲ' ποθ' ὑμᾶς ἅμα πάντας
403 μιᾷ χειρὶ οὐδεὶς προπηλακίσαι. ἀλλ' ὅταν εἷς ὁ παθὼν μὴ λάβῃ δίκην, τόθ' ἕ-
καστον αὐτὸν χρὴ προσδοκᾶν, τὸν πρῶτον μετὰ ταῦθ' ἀδικησόμενον γενήσεσθαι, ἀδικηθησό-
καὶ μὴ παρορᾶν τὰ τοιαῦτα, μηδ' ἐφ' ἑαυτὸν ἐλθεῖν περιμένειν, ἀλλ' ὡς ἐκ πλεί- μενον. α.ε.
στου φυλάττεσθαι. μισεῖ μειδίας ἴσως ἐμέ. ὑμῶν δ' ἕκαστον ἄλλος τις. ἆρ' οὖν χ. δέχ.
συγχω-

συγχωρήσαιτ'. "συγχωρήσετ' ἂν τοῦτον, ὅστις ἐστὶν ἕκαστος ὁ μισῶν, κύ- 404
ριον γενέσθαι τοῦ τοιαῦτα ἀεὶ περὶ ἐμέ, ὑμῶν ἕκαστον
ποιῆσαι; ἐγὼ μὲν οὐκ οἴομαι. μὴ τοίνυν μηδ' ἐμέ, ὦ
προῆσθε α. ἄνδρες Ἀθηναῖοι, "προέσθε τούτῳ. ὁρᾶτε δ' αὐτίκα
δὴ μάλα, ἐπειδὰν ἀναστῇ τὸ δικαστήριον, εἷς ἕκαστος
ὑμῶν, ὁ μέν, θᾶττον ἴσως, ὁ δέ, σχολαίτερον οἴκαδ' ἄ- 405
πεισιν, οὐδὲν γε φροντίζων, οὐδὲ μεταστρεφόμενος, οὐδὲ
φοβούμενος, οὔτ' εἰ φίλος, οὔτ' εἰ μὴ φίλος αὐτῷ
συντεύξεταί τις· οὐδέ γε εἰ μέγας, ἢ μικρός, ἢ ἰσχυ-
ρός, ἢ ἀσθενής, οὐδὲ τῶν τοιούτων οὐδέν. τί δήποτε; ὅτι
τῇ ψυχῇ τοῦτ' οἶδε, καὶ θαρρεῖ, καὶ πεπίστευκε τῇ πολι- 406
ὑβρίσειν. α. τείᾳ, μηδένα αὐτὸν ἕλξειν, μηδ' "ὑβριεῖν, μηδὲ τυ-
πτήσειν. εἶτ', ἐφ' ἧς ἄδειαν αὐτοὶ πορεύεσθε, ταύτην οὐ βεβαιώσαντες ἐμοὶ βα-
α. α. διεῖσθε; καὶ τίνι χρή με λογισμῷ "περιεῖναι" ταῦτα παθόντα "καὶ" ζῆν, εἰ περιό-
ψεσθέ με νῦν ὑμεῖς. θάρρει, νὴ Δία, φήσειέ τις ἄν. οὐ γὰρ ἔτ' οὐδὲν ὑβρισθήσῃ. ἐὰν 407
δέ, τότε ὀργιεῖσθε, νῦν ἀφέντες; μηδαμῶς, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ προδῶτε μή-
τ' ἐμέ, μήθ' ὑμᾶς αὐτούς, μήτε τοὺς νόμους. καὶ γὰρ αὐτὸ τοῦτο εἰ θέλοιτε σκοπεῖν καὶ
πολιτείᾳ. α. ζητεῖν, ὅτῳ ποτ' εἰσὶν ὑμῶν οἱ ἀεὶ δικάζοντες, ἰσχυροί, καὶ κύριοι τῶν ἐν τῇ "πό-
ὁποσουσοῦν. α. λει πάντων, ἄν τε διακοσίους, ἄν τε χιλίους, ἄν θ' "ὁπόσους ἂν ἡ πόλις καθίσῃ· 408
οὔτε τῷ μεθ' ὅπλων εἶναι συντεταγμένοι μόνοι τῶν ἄλλων πολιτῶν, εὕροιτ' ἄν, οὔτε
τῷ τὰ σώματα ἄριστα ἔχειν, καὶ μάλιστα ἰσχύειν τοὺς δικάζοντας, οὔτε τῷ τὴν
γρ. τοὺς νόμους. ἡλικίαν εἶναι νεώτατοι, οὔτε τῶν τοιούτων οὐδενί, ἀλλὰ τῷ "τοῖς νόμοις ἰσχύειν. ἡ δὲ
τῶν νόμων ἰσχὺς, τίς ἐστιν. ἆρ' ἐὰν τις ὑμῶν ἀδικούμενος ἀνακράγῃ, προσδραμοῦν- 409
ται, καὶ παρέσονται βοηθοῦντες; οὔ. γράμματα γὰρ γεγραμμένα ἐστί, καὶ οὐχὶ
δυνάιτ' ἂν τοῦτο ποιῆσαι, τίς οὖν αὐτῶν ἡ δύναμίς ἐστιν; ὑμεῖς ἐὰν βεβαιῶτε αὐ-
τούς, καὶ παρέχητε κυρίους ἀεὶ τῷ δεομένῳ. οὐκοῦν οἱ νόμοι τε ὑμῖν εἰσὶν ἰσχυ-
ροί, καὶ ὑμεῖς τοῖς νόμοις. δεῖ τοίνυν τούτοις βοηθεῖν ὁμοίως, ὥσπερ ἂν αὐτῷ τις 410
ἀδικουμένῳ, καὶ τὰ τῶν νόμων ἀδικήματα, κοινὰ νομίζειν, ἐφ' ὅτου περ ἂν λαμ-
βάνηται, καὶ μήτε λειτουργίας, μήτε ἔλεον, μήτε ἄνδρα μηδένα, μήτε τέχνην
μηδεμίαν εὑρῆσθαι, μήτ' ἄλλο μηδέν, δι' ὅτου παραβάς τις τοὺς νόμους, οὐ δώσει
δίκην. ὑμῶν οἱ θεώμενοι τοῖς Διονυσίοις εἰσιόντα εἰς τὸ θέατρον τοῦτον, ἐσυρίττετε. 411
ὥστε ἃ μισοῦς ἐστὶ", ταῦτ' ἐποιεῖτε, οὐδὲν ἀκηκοότες πω περὶ αὐτοῦ παρ' ἐμοῦ.
εἶτα πρὶν μὲν ἐλεγχθῆναι τὸ πρᾶγμα, ὠργίζεσθε, προὐκαλεῖσθε ἐπὶ τιμωρίαν
τὸν παθόντα, ἐκροτεῖθ' ὅτε προὐβαλόμην αὐτὸν ἐν τῷ δήμῳ· ἐπειδὴ δ' ἐξελή-
λεγκται καὶ προκατέγνωκεν ὁ δῆμος τούτου εἰς ἱερὸν καθεζόμενος, καὶ τἄλλα 412
προσεξήτασται τὰ πεπραγμένα τῷ μιαρῷ τούτῳ, καὶ δικάσοντες εἰλήχατε,
καὶ πάντ' ἐστὶν ἐν ὑμῖν μιᾷ ψήφῳ διαπράξασθαι, νῦν ὀκνήσετε ἐμοὶ βοη-
θῆσαι; τῷ δήμῳ χαρίσασθαι; τοὺς ἄλλους σωφρονίσαι; μετὰ πολλῆς αὐτοὶ τὸ λοι-
πὸν ἀσφαλείας διάγειν, παράδειγμα ποιήσαντες τοῦτον τοῖς ἄλλοις; πάντων 413
οὖν ἕνεκα τῶν εἰρημένων, καὶ μάλιστα τοῦ θεοῦ χάριν, περὶ οὗ τὴν ἑορτὴν ἀσεβῶν
οὗτος ἥλωκε, τὴν ὁσίαν καὶ τὴν δικαίαν θέμενοι ψῆφον, τιμωρήσασθε τοῦτον.

Ἐπειδὰν ἀναστῇ τὸ δικαστήριον) 404
Τὸν τόπον τίθησιν ἀντὶ τῶν ἐν τῷ τόπῳ.
ἔθος ἀρχαῖον. Οὐδὲ μεταστρεφό- 405
μενος) Τοιοῦτοι γὰρ οἱ φοβούμενοι. Ἐὰν 408
τε διακοσίους, ἐάν τε χιλίους) Οὐ γὰρ
διὰ τὸ πλῆθος, ἀλλὰ διὰ τοὺς νόμους
ἰσχύουσιν. Ἀνακράγῃ) Λέγων, ὦ 409
νόμοι. Καὶ μήτε λειτουργίας) Διὰ 410
τὴν τριηραρχίαν. μήτε δὲ ἄνδρα,
διὰ τὸν Εὔβουλον λέγει. τὸ δὲ μήτε
τέχνην, διὰ τοὺς συνηγόρους καὶ τὴν
ἀπάτην. Καὶ μάλιστα τοῦ θεοῦ 413
χάριν) Ἀναγκαίως πρὸς τῷ τέλει τοῦ
λόγου, τοῦ θεοῦ μέμνηται, ἐπειδὴ περὶ
τῶν ἀνθρωπίνων, τὰ τῶν κρειττόνων
ἐστὶ προτιμότερα.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δῆμος, καὶ πολλάκις παρεκρούετο, μὴ νοῶν εἰ ἔχει ἐμφωλεύουσαν κακουργίαν, πρῶτον παρεπέμπετο εἰς τὴν βουλὴν τῶν πεντακοσίων. καὶ αὕτη ηὔθυνε εἰ ἔχει βλάβην τινά, ἢ κακουργίαν. καὶ οὕτως εἰσήγετο εἰς τὸν δῆμον. ἔδει οὖν αὐτὸν πρῶτον εἰσενέγκαι τὸ ψήφισμα εἰς τὴν βουλήν. οὐκ εἰσήνεγκε δέ, ἐπειδὴ νεωστὶ ἄρξασα ἦν ἡ βουλή, καὶ ἐφοβεῖτο μὴ διαφωνηθῇ. ἕκαστος γὰρ τὸν περὶ αὐτοῦ θέλει δεῖξαι κακῶς ° πράξαντα. δεύτερος νόμος, τὴν βουλὴν τὴν ποιήσασαν τὰς τριήρεις, αἰτεῖν τὴν δωρεάν. τρίτος νόμος, τὸν ἡταιρηκότα, μὴ πολιτεύεσθαι. ἀνδροτίων ἄρα ὃς ἡταίρηκεν, οὐκ ὤφειλε πολιτεύεσθαι. τέταρτος νόμος, τὸν ἐποφείλοντα τῷ δημοσίῳ, μὴ πολιτεύεσθαι. σὺ δέ, ὦ ἀνδροτίων ὀφείλεις, οὐκ ἄρα δεῖ σε πολιτεύεσθαι. εἴπωμεν δὲ καὶ τὰς τοῦ φεύγοντος δικαιολογίας. ὁ τοίνυν ἀνδροτίων, πρὸς τὸν πρῶτον νόμον, ἐνθεν ἀγωνίζεται. λέγει γὰρ ὅτι, ἔθος ἐκράτησεν ἀπροβούλευτον ψήφισμα εἰσάγεσθαι ἐν τῷ δήμῳ. πρὸς δὲ τὸν δεύτερον ἀντινομικῶς. παραφέρει γὰρ καὶ αὐτὸς ἕτερον νόμον λέγοντα, τὴν βουλήν, ἐὰν δόξῃ καλῶς βεβουλευκέναι ἐν τῷ δήμῳ, στεφανοῦσθαι. πρὸς δὲ τοὺς ἄλλους δύο, παραγραφικῶς ἀγωνίζεται, λέγων, ὅτι ἄρτι οὐκ ὤφειλε κρίνεσθαι περὶ τούτων. τινὲς δ᾽ ἐπεχείρησαν τοῦτον τὸν λόγον εἶναι στάσιν ἀντὶ ἐκείνης πραγματικὴν τὴν πρὸς ἀντινομίαν, λέγοντες ὅτι. ἰδοὺ καὶ ἐνταῦθα δύο νόμοι μάχονται ἀλλήλοις, ἐκ περιστάσεως· ὧν ὁ εἷς παραβέβασαι, διὰ τὸ κυρωθῆναι τὸν ἕτερον. ἀλλὰ λέγομεν ὅτι ἐν τῇ πραγματικῇ τῇ πρὸς ἀντινομίαν, οὐδέτερος παραβαίνεται. ἀλλὰ σκοποῦμεν ποῖον δεῖ παραβαθῆναι. ἐν δὲ τῷ παρόντι λόγῳ, οὐχ οὕτως. ὁ εἷς γὰρ τῶν νόμων, παραβέβασαι, ὁ λέγων, τὴν βουλήν, τὴν μὴ ποιήσασαν τὰς τριήρεις, μὴ αἰτεῖν δωρεάν. τοῦτο δὲ οὐκ ἴδιον πραγματικῆς τῆς πρὸς ἀντινομίαν, ἀλλὰ μόνης ἀντινομίας. Ἰστέον δὲ ὅτι, ἡνίκα δύο ὦσι κατήγοροι, ὧν ὁ μὲν εἷς νεώτερος, ὁ δὲ ἕτερος, πρεσβύτερος, ἔστι λαμβάνει τὴν προτολογίαν, κατὰ νόμον· ὥσπερ καὶ ἐνταῦθα ὁ εὐκτήμων ἔλαβε τὴν προτολογίαν, ὡς πρεσβύτερος. καὶ εἶπε τὰ προοίμια, καὶ τὴν κατάστασιν, καὶ μέρος τι τῶν ἀγώνων. ὁ δὲ διόδωρος ἰδιώτης ὤν, ἔλαβεν ἀπὸ τοῦ δημοσθένους τὸν παρόντα λόγον. καὶ ἔστι δευτερολογία. ἔχει δὲ ἃ παρέλιπεν ὁ εὐκτήμων.

# ΕΙΣ ΤΟΝ ΚΑΤΑ ἈΝΔΡΟΤΙΩΝΟΣ ΠΑΡΑΝΟΜΩΝ ΔΗΜΟΣΘΕΝΟΥΣ ΛΟΓΟΝ, ΕΞΗΓΗΣΙΣ.

Ὅπερ εὐκτήμων, ὦ ἄνδρες δικασταί, παθὼν ὑπ᾽ ἀνδροτίωνος κακῶς, ἅμα τῇ τε πόλει βοηθεῖν ᾤετο δεῖν, καὶ δίκην ὑπὲρ αὐτοῦ λαβεῖν) Οὗτος ὁ λόγος, μετὰ τοὺς φιλιππικοὺς ° πρῶτός ἐστι τῶν δημοσίων. ὁμολογεῖ δὲ τὴν ἔχθραν ὁ κατηγορῶν, ὡς προαδικηθείς, ° τὴν κατηγορίαν ἀμυνόμενος. ἵνα δὲ μὴ δόξῃ μόνος, ὡς φιλοπράγμων, κατηγορεῖν, δείκνυσιν ὡς καὶ ἄλλον ἠδίκηκε. προείρηκε γὰρ εὐκτήμων. καὶ ἔστι δευτερολογία τοῦ διοδώρου ὁ λόγος. ὅθεν καὶ κατάστασις ἐπιλέλοιπεν. εἰδέναι δὲ χρή, ὅτι ἐν οἷς μὲν ἐγχωρεῖ λανθάνειν, ἀρνησόμεθα τὸ δι᾽ ἔχθραν κατηγορεῖν. ἐν οἷς δὲ ἐπίδηλος ἡ δυσμένεια, τὸ ὁμολογεῖν πιθανώτερον, ἵνα μὴ ἁλῶμεν ἐν τοῖς φανεροῖς οὕτω ψευδόμενοι. λέγει οὖν. Νομοθέτης μοι γέγονεν εὐκτήμων, πείθομαι τῇ γνώμῃ. ζηλῶ τὸν διδάσκαλον. μεστὴ δὲ ἤθους ἡ πρόφασις φαίνεται, διὰ τό, ἐὰν ἄρα οἷός τε ὦ. οὐ γὰρ εἶπε θαρρῶν πάντως δίκην αὐτὸν εἰσπράξασθαι, ἀλλὰ πειράσομαι, ἐὰν ἄρα οἷός τε ὦ. ἔστι δὲ τοῦτο, ἅμα τῇ τε πόλει βοηθεῖν, σχῆμα παρισώσεως. κατὰ παράθεσιν δὲ προήχθη τὸ προοίμιον. ὅθεν ἐγίνετο καὶ μικρότερον. συγκρίνει γὰρ τοῖς γινομένοις κατ᾽ εὐκτήμονος ἅπερ αὐτὸς ἠδίκηται. καὶ φησίν. Οὗτος μὲν γὰρ εἰς χρήματα ἐπεβουλεύθη) Ἐπειδὴ ὁ κλέπτων τὰ κοινὰ εἰς ζημίαν χρημάτων βλάπτεται, καὶ τῆς οὐσίας ἐκπίπτει, διὰ τοῦτο οὕτως εἴρηκε, καὶ τὸ παρ᾽ ° ὑμῶν ἀδίκως ἐκπεσεῖν, ὅτι ἐκβέβληται τῆς ἀρχῆς, καὶ τῆς ἀπαιτήσεως τῶν εἰσφορῶν. διὸ καὶ εἶπεν ἀδίκως. ἡ δὲ λέξις ὑπὸ τὰ κατασκευασθέντα δείκνυσι τὴν συκοφαντίαν. κατασκευάζει γάρ τις τὰ μὴ ὄντα. 3 Ἃ καὶ λέγειν ἂν ὀκνήσειε) Ὅρα τὴν μέθοδον τοῦ, ἃ καὶ λέγειν

I

° δεύτερος. α.β.

° τῇ κατηγορίᾳ.

2

° ὑμῖν.

# ΔΗΜΟΣΘΕΝΟΥΣ, Ὁ ΚΑΤΑ ἈΝΔΡΟΤΙΩΝΟΣ ΛΟΓΟΣ.

Ὅπερ εὐκτήμων, ὦ ἄνδρες δικασταί, 1
παθὼν ὑπ᾽ ἀνδροτίωνος κακῶς,
ἅμα τῇ τε πόλει βοηθεῖν ° οἴεται
δεῖν, καὶ δίκην ὑπὲρ αὐτοῦ λαβεῖν, τοῦτο
κἀγὼ πειράσομαι ποιεῖν, ἐὰν ἄρα
οἷός τε ὦ. συμβέβηκε δὲ πολλὰ καὶ δεινὰ καὶ παρὰ πάν- 2
τας τοὺς νόμους εὐκτήμονος ὑβρισμένου, ἐλάττω τῶν
ἐμοὶ γεγενημένων δι᾽ ἀνδροτίωνος πραγμά-
των. τὸν μὲν ° γε εἰς χρήματα καὶ τὸ παρ᾽ ° ὑμῶν ἀδί-
κως ἐκπεσεῖν, ἐπεβουλεύθη. ἐμὲ δ᾽, οὐδ᾽ ἂν ἐδέξατο τῶν
ὄντων ἀνθρώπων οὐδὲ εἷς, εἰ τὰ κατασκευασθέντα ὑπὸ 3
τούτου παρ᾽ ὑμῖν ἐπιστεύθη. αἰτιασάμενος γάρ με, ἃ καὶ
λέγειν ἂν ὀκνήσειέ τις, εἰ μὴ τύχοι προσόμοιος ὢν τού-
τῳ, τὸν πατέρα ὡς ἀπέκτονα ἐγὼ τὸν ἐμαυτοῦ, καὶ κα-
τασκευάσας ἀσεβείας γραφὴν οὐκ ἐπ᾽ ἐμέ, ἀλλ᾽ ἐπὶ
τὸν θεῖόν μου, γράψας ἀσεβεῖν ἐμοὶ συνιόντα εἰς ταὐτὸ 4

° ᾤετο. ε.

° γὰρ α. ° ὁμῶν. α.

ὡς πεποιηκότι ταῦτα, εἰς ἀγῶνα κατέστησεν. ὃν εἰ συνέ-
βη τότε ἁλῶναι. τίς ἂν ἀθλιώτερα ἐμοῦ πεπονθὼς
ἦν ὑπὸ τούτου; τίς γὰρ ἂν ἢ φίλος, ἢ ξένος εἰς ταὐτό
ποτ' ἐλθεῖν ἠθέλησεν ἐμοί. τίς δ' ἂν εἴασε πόλις που
5 πρὸς ἑαυτὴν γενέσθαι, τὸν τοιοῦτον ἀσέβημα δοκοῦντα εἰργά-
σθαι. οὐκ ἔστιν οὐδεμία. ἐγὼ τοίνυν ταῦτα μὲν οὐ παρὰ
μικρόν, ἀγωνιζόμενος πρὸς ὑμῖν, ἀπελυσάμην, ἀλλ'
ὥστε τὸ πέμπτον μέρος μὴ λαβεῖν τουτονὶ τῶν ψήφων.
τουτονὶ δὲ μεθ' ὑμῶν πειράσομαι καὶ νῦν, καὶ τὸν ἄλλον ἅ- δὲ
6 παντα χρόνον ἀμύνεσθαι. καὶ περὶ μὲν τῶν ἰδίων ἔχων
ἔτι πολλὰ λέγειν, ἐάσω· περὶ δ' ὧν οἴσετε τὴν ψῆφον νυ-
νί, καὶ περὶ ὧν οὗτος δημοσίᾳ πεπολιτευμένος, οὐκ ὀλί-
γα ὑμᾶς ἔβλαψεν, ἅ μοι παραλιπεῖν οὐκ ἐδό-
κει, βέλτιον δ' ὑμᾶς ἀκοῦσαι, ταῦτα διεξελθεῖν ἐν
7 βραχέσι πειράσομαι. ἐγὼ γὰρ εἰ μὲν ἑώρων τινὰ ἁπλῆν βραχέσι
τούτῳ, περὶ ὧν φεύγει πρὸς ὑμᾶς, οὖσαν ἀπολογίαν,
οὐκ ἂν ἐποιούμην περὶ αὐτῆς μνείαν οὐδεμίαν. νῦν δ'
οἶδα σαφῶς ὅτι οὗτος ἁπλοῦν μὲν, οὐδὲ δίκαιον οὐδὲν ἂν
εἰπεῖν ἔχοι· ἐξαπατᾶν δ' ὑμᾶς πειράσεται πλάττων. καὶ
8 παράγων πρὸς ἕκαστα τούτων, κακούργους λόγους.
ἔστι γὰρ ὦ ἄνδρες Ἀθηναῖοι τεχνίτης τοῦ λέγειν, καὶ πάν-
τα τὸν βίον ἐσχόλακεν ἐν τούτῳ. ὑφ' οὗ ἵνα μὴ πα-
ρακρουσθέντας ὑμᾶς, ἐναντία μὲν τοῖς ὀμωμοσμένοις
πεισθῆναι ψηφίσασθαι, ἀφεῖναι δὲ τοῦτον, ὃν ὑμῖν πολλῶν
9 εἵνεκα ἄξιον κολάσαι, προσέχετε τὸν νοῦν οἷς ἐρῶ,
ἵνα ἀκούσαντες ἐμοῦ, πρὸς ἕκαστον τῶν ὑπὸ τούτου
ῥηθησομένων, ἔχητε ὑπολαμβάνειν ἃ δεῖ. ἔστι γὰρ εἷς ἔχοιτε
μὲν ὃν οἴεται τεχνικῶς ἔχειν αὐτῷ, λόγος, περὶ τοῦ
10 ἀπροβουλεύτου. νόμος ἐστί φησιν ἐὰν ἀξίως ἡ βουλὴ

αὐ. δι' ὧν γὰρ ὀκνεῖ καὶ παραιτεῖται λέγειν, διὰ τούτων, ὡς καθαρὸς ὑπάρχει, βοᾷ. τὸν δὲ πατέρα καὶ τὰ ἑξῆς, κατὰ μέρος
προσφέρειν. δεῖ προσφέρειν, ἵνα ἐμφαίνῃ τὴν ἀτοπίαν. τό, τε γὰρ ἐγὼ καὶ τὸν ἐμαυτοῦ, μάλιστα πολὺ σημαίνει τὸ σέβας. ὁ οὐδὲ ἄλλου πατέρα τολμῶν ἀποκτεῖναι, τὸν ἐμαυτοῦ πῶς ἂν ἄρα ἐμίσουν. ἔχει γὰρ πολλὴν ἐπίτασιν τῆς αἰδοῦς. καὶ τὸ κατασκευάσας, ὕποπτον, καὶ ὅμοιον τῷ προτέρῳ. τὸ δὲ περὶ τῆς ἀσεβείας τῆς εἰς τοὺς κατοιχομένους, τοιοῦτον ἦν. οὐκ ἠδύνατο ἄνθρωπον φόνου κατηγορίαν κατὰ τοῦ Διοδώρου ποιήσασθαι μὴ ὢν τοῦ πεφονευμένου συγγενής. αὐτοῖς γὰρ μόνοις ἐπιτρέπουσιν οἱ νόμοι. γράφεται οὖν τὸν ἀδελφὸν τοῦ ἀνῃρημένου θεῖον ὄντα τοῦ Διοδώρου ἀσεβείας, ὅτι συνδιατρίβει αὐτῷ διεφθαρκότι τὸν πατέρα, δέον ἐπεξελθεῖν ὑπὲρ ἀδελφοῦ τεθνηκότος. τὸ δέ, ὃν εἰ συνέβη, ὡς πολλῶν καὶ τοιούτων ἐν τοῖς δικαστηρίοις πιστευομένων, κἂν μὴ ᾖ ἀληθῆ, αὐτὸς δὲ ἐπικρίνει διὰ τοῦ, οὐκ ἔστιν οὐδεμία, ὡς ἀποδεχομένας τὰς πόλεις, εἰ μὴ δέξαιντο.

5 Ἐγὼ τοίνυν ταῦτα) Ἐπειδὴ ἁλόντος τοῦ θείου καὶ αὐτὸς ἔμελλεν ἔνοχος ἔσεσθαι καὶ κινδυνεῦσαι. ἢ ὅτι συνεπόνει τῷ θείῳ γέροντί τε ὄντι, καὶ δεομένῳ συνηγόρου. ἔμφασιν δὲ ἔχει τὸ ἐγώ, ὅτι ὁ ἰδιώτης καὶ ἄπειρος περιεγενόμην τῷ δικαίῳ τοῦ τεχνίτου τούτου. τὸ δὲ καὶ τὸν ἄλλον ἅπαντα χρόνον, οἱονεὶ ἀθάνατος ἔσομαι τῷ προηδικηκότι κατήγορος. δι' ὧν δὲ σφοδρῶς ἀγανακτεῖ, διὰ τούτων τὸ μέγεθος, ὧν ὑπέστη, δηλοῖ. τὸ δὲ μεθ' ὑμῶν, ὅτι μετὰ τῶν ἠδικημένων. ἐπειδὴ δὲ εἶπεν, ἃ παρέλιπεν οὐκ εἰπὼν, ἐρῶ, ἵνα μὴ αὐτὸ πέσῃ, ὅτι συνῳδῶς ἄχρηστα παρέλιπεν, ἐπάγει, ὅτι ὠφέλιμά ἐστιν ἀκοῦσαι ὑμῖν. Ταῦτα τὰ προοίμια. καί τινες ἔννοιαι περὶ τῶν ἀγώνων. διαβάλλουσι τὸν ἄνθρωπον, ὡς ἀπατᾶν θέλοντα, ἵνα μὴ δοκῇ αὐτὸς τοῦτο ποιεῖν, ὃ μέμφεται. οἶδα τὴν τέχνην, οὐκ ἀγνοῶ τὴν ἀπάτην, ᾗ μέλλει χρῆσθαι. διὸ προδιδάσκω, ἵνα φυλάξησθε. εὐθὺς τοίνυν μετὰ τὸ προοίμιον ἄρχεται τῆς διαβολῆς τἀνθρώπου λόγων. κατάστασιν γὰρ ὁ λόγος οὐκ ἔχει, διὰ τὸ γνωρίζεσθαι τὴν ὑπόθεσιν τοῖς ἀκούουσιν. ἄξιον δὲ ἐπισημήνασθαι περὶ τῆς διαβολῆς ταύτης, ὅτι μέλλων αὐτὸς σοφίζεσθαι τὸν ἀκροώμενον, ἐκ τῆς τοῦ προσώπου ποιότητος, τὴν ἐναντίαν ὑπόληψιν ἐργάζεται. ἔχων γὰρ ἔνδοξον πρόσωπον καὶ γνώριμον ἐκ παιδείας τὸν ἀνταγωνιζόμενον, ἐξ αὐτοῦ λαβεῖν τὴν διαβολὴν ἐπεχείρησεν. ἀπάγει γὰρ τὸν ἀκροατὴν τῆς καθ' ἑαυτοῦ ὑπονοίας, τοῦτο ποιεῖ. τίς γὰρ οὐκ ἂν ὑπολάβοι τῶν ἀκροατῶν τὸν ἱκανώτερον εἰπεῖν, μᾶλ-

8 λον ἐξαπατῆσαι προελέσθαι, ἢ τὸν ἄπειρον ἀγώνων καὶ λόγων. Καὶ πάντα τὸν βίον) Ὅρα τό, πάντα τὸν βίον. ἐπὶ τὴν προαίρεσιν μετάγει τὴν διαβολήν, ἀποστήσας τῆς τέχνης. ὅλον γὰρ ἤλασε τὸν βίον εἰς τὸ κατορθῶσαι τῆς ἀπάτης τὴν τέ-

9 χνην. ἔστι γὰρ οὗτος τῶν Ἰσοκράτους ἑταίρων ἐπίσημος. Ἔστι γὰρ εἷς μὲν) Εἰσβάλλει λοιπὸν ἐντεῦθεν εἰς τοὺς ἀγῶνας, καὶ

10 τὸ νόμιμον κεφάλαιον. Νόμος ἐστί, φησιν) Ἐν τῷ, νόμος ἐστίν, ὅρα τὴν οἰκονομίαν τοῦ ῥήτορος. οὐ γὰρ ἡ φύσις τῶν πραγμάτων ταύτης προσδεῖται τῆς τάξεως, ἀλλ' ἡ δεινότης τοῦ ῥήτορος, τὴν οὖσαν τοῦ φεύγοντος ἰσχὺν παρεκίνησεν, ἄχρηστον ἐκ τῆς θέσεως ἀποδείξασα. οἷόν τι λέγω. πρὸς τὸν ὑπὸ τοῦ Διοδώρου προτεινόμενον περὶ τῶν νεῶν νόμον, οὐκ ἐποιήσατο τὰς τριήρεις ἡ βουλή, τὴν δωρεὰν οὐ δύναται λαβεῖν, ἀπαντᾷ ὁ ἄνθρωπος εὐθὺς πρὸς τοῦτο, ὅτι νόμος ἐστὶν ἕτερος κελεύων, ἐὰν ἀξίως ἡ βουλὴ δοκῇ βουλεῦσαι, δωρεὰς διδόναι τὸν δῆμον τὴν χάριν· καὶ οὕτως ἔμελλεν ἰσόρροπος τῶν δύο νόμων ἡ μάχη γίνεσθαι. διὰ τοῦτο προϋφαρπάσας ὁ ῥήτωρ, ἄχρηστον τὴν μνήμην ἀπέφηνεν· ὅτι γὰρ μάτην ἐνταῦθα τέθειται, καὶ διὰ τὴν εἰρημένην χρείαν, ἵνα μὴ ἀπαιτήσῃ δεύτερον ὁ ἀκροατὴς τοῦ νόμου διήγησιν, δηλονότι, οὐδεμίαν ἀπαιτήσας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀπαίτησιν, ἢ μάχην, ἢ ἀντιλογίαν ποιεῖται) Καὶ ἄλλως. Τοῦτό ἐστιν ὑφαρπάσαι τῶν ἀκροατῶν τὴν ὑπόθεσιν. τὸν γὰρ νόμον, ὃν ἂν εἰκότως ἀντέθηκεν Ἀνδροτίων παρὰ Δημοσθένους, μεταθεὶς ἀντεξετάζει πρὸς τὸ ἔθος, οὐ τῆς φύσεως τῶν πραγμάτων τοῦτο δεχομένης, ἀλλὰ τῆς ῥήτορος βίας μετακινούσης τὴν τέχνην. ὅρα γὰρ ἐκ παραθέσεως καὶ τὸ σόφισμα.

δοκῇ βουλεῦσαι δωρεᾶς, διδόναι τὸν δῆμον τὴν δωρεὰν αὐ-
τῇ. Ταῦτ' ἐπήρετο φησὶν ὁ ἐπιστάτης. διεχειροτόνησεν ὁ
δῆμος. ἔδοξεν. οὐδὲν δεῖ φησὶ προβουλεύματος ἐνταῦθα. 11
κατὰ γὰρ νόμον ἐστὶ τὰ γιγνόμενα. ἐγὼ δ' αὐτὸ τοὐναντίον
οἶμαι. νομίζω δὲ καὶ ὑμῖν συνδόξειν, περὶ τούτων τὰ προ-
βουλεύματα ἐκφέρειν μόνων, περὶ ὧν κελεύουσιν οἱ νό-
μοι. ἐπεὶ περὶ ὧν γε μὴ κεῖνται νόμοι, οὐδὲ γράφειν τὴν ἀρ-
χὴν προσήκει, οὐδ' ἔνδον που. Φησὶ τοίνυν ἁπάσας 12
τὸν τρόπον τοῦτον εἰληφέναι τὰς βουλὰς, ὅσαι πώποτ' ἔ-
χουσι παρ' ὑμῶν δωρεὰν, καὶ οὐδεμιᾷ γεγενῆσθαι προ-
βούλευμα πώποτε. ἐγὼ δ', οἶμαι μὲν οὐχὶ λέγειν αὐτὸν
ἀληθῆ, μᾶλλον δὲ οἶδα σαφῶς. οὐ μὴν ἀλλ' εἰ τοῦτο
τοιοῦτ' ἐστὶ τὰ μάλιστα, ὁ νόμος δὲ λέγει τἀναντία, οὐχ ὅτι 13
πολλάκις ἡμάρτηται δήπου πρότερον, διὰ τοῦτ' ἐπε-
ξαμαρτητέον ἐστὶ καὶ νῦν, ἀλλὰ τοὐναντίον, ἀρκτέον ὡς
ὁ νόμος κελεύει τὰ τοιαῦτα ποιεῖν ἀναγκάζειν ἀπὸ σοῦ
πρώτου. σὺ δὴ μὴ λέγε ὡς γέγονε τοῦτο πολλάκις, ἀλλ'
ὡς οὕτω προσήκει γίγνεσθαι. οὐ γὰρ εἴ τι πώποτε μὴ κατὰ 14
τοὺς νόμους ἐπράχθη, σὺ δὲ τοῦτ' ἐμιμήσω, διὰ τοῦτ'
ἂν ἁλοίης. ἀποφύγοις ἂν δικαίως, ἀλλὰ πολλῷ μᾶλλον ἁλίσκοιο.
ὥσπερ γὰρ εἴ τις ἐκείνων προήλω, σὺ ταῦτ' οὐκ ἂν ἔ-
γραψας, οὕτως ἂν σὺ νῦν δίκην δῷς, ἄλλος οὐ γράψει.
περὶ τοίνυν τοῦ νόμου, τοῦ διαρρήδην οὐκ ἐῶντος ἐξεῖ- 15
ναι, μὴ ποιησαμένῃ τῇ βουλῇ τὰς τριήρεις αἰτῆσαι τὴν
δωρεὰν, ἄξιόν ἐστιν ἀκοῦσαι τὴν ἀπολογίαν ἣν ποιή-
σεται, καὶ θεωρῆσαι τὴν ἀναίδειαν τοῦ τρόπου, δι' ὧν

λεγέσθω δὲ ὁ παρὰ Δημοσθένους λόγος. νόμος ἐστὶν, ἐὰν μὴ ποιήσηται τὰς τριήρεις ἡ βουλὴ μὴ λαμβάνειν τὸν στέφανον. οὐκοῦν τοῦτον Ἀνδροτίων λύει, ἀντιθεὶς καὶ αὐτὸς ἕτερον κελεύοντα, ἐὰν ἀξίως ἡ βουλὴ δοκῇ βουλεῦσαι δωρεᾶς, διδόναι τὸν δῆμον τὴν δωρεὰν αὐτῇ. ἀλλ' ἵνα μὴ ἰσόρροπος γένηται τῶν δύο νόμων ἡ μάχη, διὰ τοῦτο ἀναγκαίως τὴν τάξιν αὐτῶν παρεκίνησε, τὴν δεινότητα καὶ τὴν τέχνην ἀντιθεὶς τῇ τοῦ γράμματος ἰσχύϊ. διὰ τοῦτο αἱ προδιαβολαὶ κατ' Ἀνδροτίωνος, ἵνα Ἀνδροτίων ὁ σοφιζόμενος, ἀλλὰ μὴ ὁ Δημοσθένης, φαίνηται. ὅτι δὲ σοφίσματος ἕνεκεν τέθειται καὶ ἄχρι τῆς μνήμης μόνος ὁ νόμος, ἵνα μηδὲ δευτέραν ἐξέτασιν ὁ ἀκροατὴς ἐπιζητῇ τοῦ αὐτοῦ νόμου, δῆλον ἐκ τοῦ μηδεμίαν ἀπαίτησιν, μηδὲ ἀντιλογίαν, μήτε μάχην ἰσχυρὰν αὐτῷ γεγενῆσθαι πρὸς αὐτὸν τὸν νόμον. Ταῦτ' ἐπήρετο) Δεύτερον 11
μέρος τοῦτο τῆς ἀντιθέσεως. πιστεύεται δὲ οὐδὲν ἧττον, ἢ τὸ πρότερον. αὐτὸν γὰρ τὸν Ἀνδροτίωνα ὁμολογοῦντα παρέχει ἐπερωτῆσαι τὸν δῆμον, καὶ διαχειροτονίαν γεγενῆσθαι, ἵνα πάλιν τοῦτο τὸ μέρος τῆς ἀντιθέσεως πρὸς λύσιν ἑτέρας ἀντιθέσεως λάβῃ. μέλλει γὰρ ὕστερον τίθεσθαι, ἐγὼ δὲ εἰ μὲν ἔδωκα αἰτοῦσι παρὰ τὸν νόμον εἴρηκα, ἵνα φαίνηται (ἔδωκα.) Ἀνδροτίων ἐναντία λέγων αὐτὸς ἑαυτῷ. ἐνταῦθα μὲν ὅτι ἐπηρώτησεν ὁ ἐπιστάτης. ἑτέρωθι δὲ πάλιν, ὅτι οὐκ ᾔτησεν. αὐτὸς γὰρ ἐξελέγχεται ὑπὸ τῶν οἰκείων ῥημάτων ἡττηκὼς, εἴπερ ἡ ἐρώτησις τρόπον τινὰ, καὶ αἴτησις. εἶτα ἡ λύσις ἐπάγεται οὐ πρός τι μέρος, ἀλλὰ πρὸς τὴν διάνοιαν ἅπασαν τῆς ἀντιθέσεως. ὡς εἰ κατὰ τὸν νόμον ἔγραφες, ταύτῃ μᾶλλον ἐχρῆν αὐτὸ γενέσθαι τὸ προβούλευμα, ἵνα δοκῇ πρὸς τὸν νόμον ἀπαντᾶν, ἀποκλείει Ἀνδροτίωνα μνήμου δευτέρας. βέλτιστος γὰρ δόξει τοῖς ἀκούουσιν, εἴπερ εἰς ἑτέραν χρείαν παραλαβὼν τὸν νόμον, ἔτι μνησθείη τοῦ αὐτοῦ νόμου. τὸ δὲ κατὰ νόμον προστέθηκεν ὁ ῥήτωρ, ὡς ὑπὸ τοῦ Ἀνδροτίωνος λεγόμενον, ἵνα εὐπορήσῃ τῆς λύσεως. φιλεῖ γὰρ τοῦτο ποιεῖν· ἡ μέντοι λέξις πρὸς ὅλην τείνει τὴν διάνοιαν οὕτως· εἰ κατὰ νόμου ἔγραφες, ταύτῃ μᾶλλον ἐχρῆν γίνεσθαι προβούλευμα. Φησὶ τοίνυν) Σεσόφισται ἡ παροῦσα ἀντίθεσις. ἔχει μέντοι ἀκολουθίαν δοκεῖ πρὸς τὴν ἑτέραν. 12
ἐγκελευόμενος γὰρ τοῦ Δημοσθένους, τί δήποτε ἀπροβούλευτον εἰσήνεγκας τὸ ψήφισμα; ἀκολούθως ἀποκρίνεται Ἀνδροτίων. τοῦτο ἐστὶ τοιοῦτον· εἰς τὸ ἀπίθανον δὲ τρέπων τὸν λόγον, διοριστικώτερον αὐτὸν εἰσάγει λέγοντα, τοῦτον ἁπάσας τὸν τρόπον εἰληφέναι τὰς βουλάς. εἶτα προστίθησι τὸ, καὶ οὐδεμιᾷ γεγενῆσθαι προβούλευμα πώποτε, ἵνα ὁ ἀκροατὴς ἐξ ὧν οἶδε, τῷ λέγοντι μάχηται. τίς γὰρ ἂν Ἀνδροτίωνος ἀνάσχοιτο λέγοντος, μηδεμιᾷ γεγενῆσθαι προβούλευμα ἐν τῷ παρεληλυθότι παντὶ χρόνῳ. οὐ γὰρ ἦν εἰκὸς κειμένου νόμου ἀπροβούλευτον μηδὲν εἰσάγειν ψήφισμα, πάσας τὰς βουλὰς ὅσαι πώποτε προειλήφασιν, ἄνευ προβουλεύματος εἰληφέναι, αὐτὸς εἰδὼς πολλάκις καὶ προβουλεύματα γεγραμμένα. ἀλλ' εἰ μὲν τέθεικε τὴν ἀντίθεσιν λέγουσαν μετὰ τῆς ἀληθείας τὸ καί τινα εἰληφέναι βουλὴν ἤδη τοῦτον τὸν τρόπον, διέλυσεν ἂν αὐτὸς ἑαυτῷ κατεσκευασμένην τὴν ἀντίθεσιν. πῶς γὰρ ἂν ἔλυσεν, ἢ εἰ καὶ ἔλυσεν, οὐκ ἰσχυρῶς ἂν ἔλυσεν, ἐπεὶ τοῦτο ἤδη συμβαίνει ἐπί τινων βουλῶν· διὰ τοῦτο εἰς ἅπαντα τὸν χρόνον ἤγαγε τὸν διορισμὸν, καὶ ἐφ' ἁπάσας βουλὰς, λέγων μηδεμιᾷ γεγενῆσθαι προβούλευμα πώποτε, ἵν' ἐκ τῆς τῶν ἀκροατῶν μαρτυρίας, ἐλεγχθῇ τὸ ἀπίθανον. ὅθεν καὶ τεθάῤῥηκεν ἐν τῇ λύσει διορίσασθαι καὶ εἰπεῖν. ἐγὼ δὲ οἶμαι μὲν οὐχὶ λέγειν αὐτὸν ἀληθῆ. Οὐ μὴν) Ἐπειδὴ τοῦτο γεγενημένον ἐπί τινων βουλῶν, καὶ ἤδη συμβεβηκὸς ἔθηκεν, ἐκ τῆς τῶν πραγμάτων φύσεως καταναγκασθεὶς, συγκρίνει τὸ ἐπί τινων ἔθος ἐνταῦθα τῷ νόμῳ, καὶ δείκνυσι τὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λων εἴρηκε διὰ τοῦτο οὐκ ἀπεικὸς ἡγήσατο παραθεῖναι αὐτῷ καὶ λόγους ὁμολογοῦντας, ἵνα φαίνηται ὁ δεινὸς εἰπεῖν, ἐξ
αὐτῶν τῶν ὁμολογουμένων περιγίνεσθαι φιλονεικῶν διὰ τὴν τέχνην. Εἰ δὲ μὴ πεποίημαι μνείαν) Ἀνδροτίωνος 16
ὁμολογοῦντος μὴ ἐξεῖναι τῇ βουλῇ τὴν δωρεὰν αἰτῆσαι, εἰ μὴ ποιήσαιτο τὰς τριήρεις, τί ἂν λέγοι πρὸς τοῦτο Δημοσθέ-

εἰ δὲ μὴ πεποίημαι μνείαν περὶ τῶν νεῶν ἐν ὅλῳ τῷ
ψηφίσματι, ἀλλ' ἕτερ' ἄττα λέγω, δι' ἃ τὴν βουλὴν
στεφανοῦν, πῶς παρὰ τὸν νόμον εἴρηκα; ἔστι δὲ πρὸς ταῦ- 17
τα οὐ χαλεπὸν τὰ δίκαια ὑμῖν ἀντειπεῖν· ὅτι πρότερον
μὲν οἱ προεδρεύοντες τῆς βουλῆς, καὶ ὁ ταῦτ' ἐπιψη-
φίζων ἐπιστάτης, ἠρώτων καὶ διαχειροτονίαν ἐδίδοσαν,
ὅτῳ δοκεῖ δωρεᾶς ἀξίως ἡ βουλὴ βεβουλευκέναι, καὶ
ὅτῳ μή· καί τοι, τούς γε μὴ αἰτοῦντας, μηδὲ ἀξιοῦν- 18
τας λαβεῖν τὴν ἀρχήν, οὐδ' ἐπερωτᾶν προσῆκε.
πρὸς τοίνυν τούτοις, ἔστιν ἃ Μειδίου κατηγοροῦντος τῆς
βουλῆς, καὶ ἄλλων τινῶν, ἀναπηδῶντες οἱ βουλευταὶ ἐδέ-
οντο μὴ σφᾶς ἀφελέσθαι τὴν δωρεάν. καὶ ταῦτα οὐ παρ'
ἐμοῦ δεῖ πυθέσθαι τοὺς δικάζοντας ὑμᾶς, ἀλλ' αὐτοὶ 19
παρόντες ἴστε τὰ ἐν τῷ δήμῳ γινόμενα. ὥστ', ὅταν
μὲν μὴ φῇ τὴν βουλὴν αἰτεῖν, ταῦθ' ὑπολαμβάνε-
τε. ὅτι δ' οὐδὲ τὸν δῆμον ἐᾷ διδόναι μὴ ποιησαμένοις
τὰς ναῦς ὁ νόμος, καὶ τοῦτ' ἐπιδείξω. διὰ ταῦτα γάρ, ὦ
ἄνδρες Ἀθηναῖοι, τοῦτον ἔχει τὸν τρόπον ὁ νόμος, μὴ 20
ἐξεῖναι τῇ βουλῇ μὴ ποιησαμένῃ τὰς τριήρεις αἰτῆσαι
τὴν δωρεάν, ἵνα μηδὲ πεισθῆναι, μηδ' ἐξαπατηθῆ-
ναι γένοιτ' ἐπὶ τῷ δήμῳ. οὐ γὰρ ᾤετο δεῖν ὁ τιθεὶς τὸν νό-
*ἴσως. ε. μον, *ἐπὶ τῇ τῶν λεγόντων δυνάμει τὸ πρᾶγμα κατα-
στῆσαι· ἀλλ' ὃ δίκαιον ἦν εὑρεῖν ἅμα, καὶ συμφέρον τῷ 21
δήμῳ, νόμῳ τετάχθαι. τὰς τριήρεις οὐ πεποίησαι; μὴ
τοίνυν αἴτει τὴν δωρεάν. ὅπου δ' αἰτεῖν οὐκ ἐᾷ, πῶς
οὐ σφόδρα δοῦναί γε κωλύει. ἄξιον τοίνυν, ὦ ἄνδρες
Ἀθηναῖοι, κἀκεῖνο ἐξετάσαι, τί δήποτε, ἂν τἆλλα
πάντα ἡ βουλὴ καλῶς βουλεύσῃ, καὶ μηδεὶς ἔχῃ μη- 22
δὲν ἐγκαλέσαι, τὰς δὲ τριήρεις μὴ ποιήσηται, τὴν δωρεὰν
οὐκ ἔξεστιν αἰτῆσαι. εὑρήσετε γὰρ τοῦτο τὸ ἰσχυρὸν ὑπὲρ
τοῦ δήμου κείμενον. οἶμαι γὰρ ἂν μηδένα ἀντειπεῖν, ὡς
οὐχ ὅσα πώποτε τῇ πόλει γέγονεν, ἢ νῦν ἐστὶν ἀγαθά, ἢ 23

νης, εἰ μὴ ὅτι ᾔτησε; διόπερ τὸ μὲν ὁμο-
λογούμενον παρὰ Ἀνδροτίωνος, ὡς
ἀναμφισβήτητον παρῆκε. τὸ δὲ ὅτι ᾔ-
τησε, πειρᾶται ἐξ αὐτῶν πάλιν τῶν
Ἀνδροτίωνος ῥημάτων ἀποδεικνύναι.
17 ἦν μὲν οὖν ἡ προτέρα πρότασις, ὁ νό-
μος οὐκ ἐᾷ τὴν βουλὴν αἰτῆσαι τὴν
δωρεάν. ἡ δὲ τρίτη ἐστίν, ἐγὼ δὲ ᾗ μὴ ἔ-
δωκα αἰτούσῃ, παρὰ τὸν νόμον εἴρη-
κα. ταύτην τοίνυν τὴν πρότασιν πρῶ-
τον ἐπιχείρησε λῦσαι. λύει δὲ πρότερον
18 μὲν ἀπὸ τῆς ποιότητος, ὅτι οἱ πρόε-
δροι τῆς βουλῆς ἦσαν. καὶ ὁ ἐπιψηφί-
ζων ἐπιστάτης τῶν τότε βουλευσάντων
ἦν. εἶτα συλλογιστικῶς· εἰ δὲ ἠρώτων,
καὶ διαχειροτονίαν ἐδίδοσαν, δῆλοί εἰσι
πραγματευσάμενοι τὴν δωρεάν. τοῦτο
δὲ ἦν ὃ κατεσκεύασεν ἐν τῇ καταρ-
χῇ τῆς ἀντιθέσεως. ταῦτ' ἐπήρετο, λέγων,
19 ὁ ἐπιστάτης. διεχειροτόνησεν ὁ δῆμος εἰ
πρὸς δὲ τό, καί τοι τούς γε μὴ αἰτοῦν-
τας, ἔστιν εἰπεῖν ὅτι συλλογιστικῶς ἀπο-
φαίνει τὴν °ἐρώτησιν, ἀπὸ τοῦ τέ- ° αἴτησιν.
λους. εἰ γὰρ τὸ αἰτῆσαι διὰ τὸ λαβεῖν
γίνεται, καὶ ἡ ἐρώτησις δὲ τούτου χάριν
προσῆκται, ὅμοιον ἄρα τὸ αἰτῆσαι, τῷ * * πρ.
20 ἐρωτῆσαι. εἰ τοίνυν τὸ αἰτῆσαι νόμος
κωλύει, ὅμοιον ἄρα ὂν καὶ τὸ ἐρωτᾶν,
κεκώλυκε. Πρὸς τοίνυν τούτοις) 18
Ἐπειδὴ καὶ αὐτὰ τὰ συμβεβηκότα ἐ-
δεῖτο ἑτέρας πίστεως, ἐκ τῆς μαρτυρίας
τῶν ἀκροατῶν ἐπιστώσατο εἰπών. καὶ ταῦτα
οὐ παρ' ἐμοῦ δεῖ μανθάνειν τοὺς δικά-
21 ζοντας ὑμᾶς, καὶ τὰ ἑξῆς. λύειν δὲ ἐν-
ταῦθα πειρᾶται, ὅτι δὲ οὐδὲ τὸν δῆμον
ἐᾷ διδόναι ὁ νόμος μὴ ποιησαμένῃ
τὰς ναῦς, καὶ τοῦτο ἐπιδείξω, ἐπειδὴ δὲ
τὸ δοῦναι τὸν δῆμον τὴν δωρεὰν οὐχ
οἷός τε ἐπιδεῖξαι μὴ πρότερον δεί-
ξας ὅτι ᾔτησεν ἡ βουλή, διὰ τοῦτο πρό-
22 τον συστήσας ὅτι ᾔτησεν, ἐπήγαγε λοι-
πὸν τὸ μὴ ἐξεῖναι, ὅτι βιασθεὶς καὶ ἐξα-
πατηθεὶς ὁ δῆμος διὰ τῆς αἰτήσεως,
καὶ δεδωκὼς διὰ τοὺς αἰτήσαντας, οὐκ
ἐξὸν διδόναι καὶ οὐ δι' ἑαυτὸν δεδωκώς.
ἀπόδειξις δὲ τοῦ αἰτῆσαι αὐτούς. εἰ γὰρ
23 ἠξίωσεν ἡ βουλὴ μὴ ἀφαιρεθῆναι,
ἠξίωσε πάντως λαβεῖν. διὸ καὶ τὸν πό-

θον δηλῶν, εἶπεν ἀναπηδῶντες οὕτως ἐταράχθησαν δεδιότες μὴ ἀφαιρεθῶσι τοῦ γέρως. τὸ δέ, ὅτι δὲ οὐδὲ τὸν δῆμον, ἔστιν
ἄλλο μέρος τῆς ἀντιθέσεως, ἔνθα εἶπε. δοῦναι δέ γε οὐδαμῶς κωλύει τὸν δῆμον. ἀναιρεῖ δὲ καὶ τοῦτο ἀναλόγως οὕτως.
εἰ ὁμολογεῖται ὅτι αἰτεῖν κεκώλυται, πολλῷ πλέον ἀπείρηται τὸ δοῦναι, ὃ τοῦ αἰτεῖν ἐστὶν ἰσχυρότερον. Τὰς τριήρεις οὐ πε- 21
ποίησαι) Ἐνταῦθα λοιπὸν ἀναιρεῖ ἐκ περιουσίας, ὅτι καὶ ἐν τοῖς ἄλλοις εἰ καλῶς ἡ βουλὴ βουλεύσῃ, μὴ ποιήσεται δὲ τὰς τριή-
ρεις, οὐ λήψεται δικαίως τὸν στέφανον. Ἄξιον τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι) Τοῦτό ἐστι πρὸς τὸ τέταρτον μέρος τῆς
ἀντιθέσεως. ἀλλ' ἕτερ' ἄττα λέγω, δι' ἃ τὴν βουλὴν στεφανῶ. ἔστι δὲ τοῦτο τὸ μέρος τῆς ἀντιθέσεως ἀντικρὺς πρὸς τὸν προ-
κείμενον Ἀνδροτίωνος νόμον, τὸν κελεύοντα, ἐὰν ἀξίως ἡ βουλὴ δοκῇ βουλεῦσαι, δωρεὰν αἰτεῖν. ἀλλ' ἐπειδὴ μέγιστα
ἰσχύειν ἐδόκει τὸ γράμμα, καὶ ἡ τοῦ νόμου φωνή, διὰ τοῦτο πρὸς τὸν Ἀνδροτίωνος λόγον μάχεται. οὐχ ὅμοιον γὰρ ἦν νόμον
νόμῳ μάχεσθαι, καὶ νόμον Ἀνδροτίωνος φωνῇ καὶ λόγῳ. τοῦ μὲν γὰρ ἡ ἰσχὺς ὁμοία. τοῦ δὲ ὁ λόγος πάμπολυ ἀσθενέστερος. οὐδὲ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λύσις, ἀπὸ τοῦ συμφέροντος. ἔχει δὲ τὴν ἐργασίαν ἑκατέρωθεν ἀπό τε τῶν ἐνδόξων, καὶ τῶν ἐναντίων. ἐνδόξων μὲν, λαμπρότητος καὶ κατορθωμάτων. ἐν οἷς ἡ χρεία τῶν τριήρων δέδεικται οὖσα· ἀδόξων δὲ, συμφορᾶς καὶ ἥττης τοῦ δήμου, διὰ τὴν τῶν τριήρων σπάνιν. θαυμάσαι δὲ ἄξιον τῆς δεινότητος τὴν ὑπερβολὴν, ὅτι πρὸς τὸν νόμον ἅπαντων καὶ ἀγωνιζόμενος, κρύπτει τὸν νόμον, πόῤῥω που κατάξας αὐτὸν τοῦ παρόντος λόγου, ὅπως ὡς ἄοπλόν τινα καὶ ψιλὸν συμμάχων τὸν ἀντίδικον ἕλῃ. ὃ τοίνυν ὡς προηγούμενον κεφάλαιον ὁ ἀντίπαλος ἐποιήσατο, τοῦτο καθ᾽ ὑπερβολὴν, καὶ ὡς μέρος ποιησάμενος λόγου, καθεῖλε τῇ οἰκείᾳ μεταχειρίσει καὶ οὐκ ἀνεῖλε μόνον, ἀλλὰ καὶ διέλυσε, δεῦρο μὲν τοῖς ψιλοῖς τοῖς λόγοις·
23 ἑτέρωθι δὲ μεταστήσας τὸν νόμον. Ἵνα μηδὲν εἴπω φλαῦρον) Τὸ φιλόπολι τοῦ ἀνδρὸς ἔστι θαυμάζειν, ὅτι καὶ λόγῳ μόνῳ δυστυχεῖν τὴν πόλιν οὐ βούλεται.
28 Ἴστε ὀρόβους ὄντας ὠνίους) Ἐκ τούτου δηλοῖ ἐσχάτην ἀπορίαν· ὄροβος γὰρ εἶδος κριθῆς οὐδεμιᾶς τιμῆς ἄξιον, ὃν βόες ἐσθίουσι καὶ ἐρέπτουσι.
32 Ἀκούω δὲ) Ἀντίθεσις δικαιολογικὴ ἀνθρωπίνως, ὡς ἔχειν τὸν λόγον κεφάλαια δύο. τὸ νόμιμον, καὶ δίκαιον. ἔστι δὲ μεταστατικὴ, τὴν αἰτίαν ἀπὸ τῆς βουλῆς ἐπὶ τὸν ταμίαν ἐπάγουσα. τινὲς δ᾽ ᾠήθησαν ἐκ δυοῖν στάσεων συνεστηκέναι τὴν ἀντίθεσιν, μεταστάσεως καὶ συγγνώμης. ἔοικε δὲ μεταστατικὴ τυγχάνειν μᾶλλον· καὶ γὰρ καὶ ἐν τῷ περὶ στεφάνου τὰ περὶ χαιρώνειαν ἀναφέρων ἐπὶ τὴν τύχην, οὐχὶ συγγνωμονικῶς, ἀλλὰ μεταστατικῶς ἔοικε τὰ λυποῦντα λύειν. ὅθεν χαρακτηρίζειν ἂν εἴη λοιπὸν, τί μὲν ἐστι συγγνώμη, τί δὲ μετάστασις. ὅσα μὲν οὖν αὐτοὶ φαινόμεθα ποιοῦντες, εἰδότες δὲ ὅτι ἄτοπα, ὅμως δὲ ποιοῦντες, δι᾽ ἀνάγκην ἰσχυροτέραν ἐπείγουσαν, ἢ καὶ κατ᾽ ἄγνοιαν ἄλλως, ἢ δι᾽ εὐήθειαν, ταῦτα ἂν εἴη συγγνώμης· ὅσα δὲ φαινόμεθα μήτε ποιοῦντες, μήτε προστάττοντες τῷ κωλύεσθαι ὑπό τινος κρείττονος, ἢ καὶ ἄλλου τινὸς ἑτέρου αἰτίου, ἐν ᾧ τὰ τῆς ἐξουσίας ἐστὶ, ταῦτα ἂν εἴη τῆς μεταστάσεως· τὸ δὲ πένθ᾽ ἡμιτάλαντα, ἀντὶ τοῦ πέντε παρὰ ἡμιτάλαντον, ὡς εἶναι τέτταρα καὶ ἥμισυ. καὶ τοῦτο συνίσταται ἐκ τοῦ σταθμοῦ παρ᾽ Ἡροδότῳ. Ἄλλως.

Πρὸς μὲν τὰ προτεινόμενα παρὰ Δημοσθένους, οὐδένα λόγον ἡ ἀντίθεσις ἔχει. ὑπὲρ δὲ τοῦ ἀνδρωπίωνος ἔξωθεν τῶν προειρημένων πίστεων εἰ-

θάτερα, ἵνα μηδὲν εἴπω φλαῦρον, ἐκ τῆς τῶν * τριή- τριήρων.
ρων, τὰ μὲν κτήσεως, τὰ δ᾽ ἀποισίας γέγονεν. οἶδ᾽ πολ-
λὰ μὲν ἂν τις ἔχοι λέγειν καὶ παλαιὰ, καὶ καινά. ἃ δ᾽ οὖν
πᾶσι μάλιστ᾽ ἀκοῦσαι γνώριμα, τοῦτο μὲν εἰ βούλε-
24 σθε, οἱ τὰ προπύλαια, καὶ τὸν παρθενῶνα οἰκοδομή-
σαντες ἐκεῖνοι, καὶ τἄλλα πάντα ἀπὸ τῶν βαρβάρων
ἱερὰ κοσμήσαντες, ἐφ᾽ οἷς φιλοτιμούμεθα πάντες εἰ-
κότως· ἴστε γὰρ δήπου τοῦτο ἀκοῇ, ὅτι τὴν πόλιν ἐκλιπόν-
τες, καὶ κατακλεισθέντες εἰς Σαλαμῖνα, ἐκ τοῦ τριήρεις
25 ἔχειν, πάντα μὲν τὰ σφέτερα αὐτῶν, καὶ τὴν πόλιν, τῇ
ναυμαχίᾳ νικήσαντες, ἔσωσαν· πολλῶν δὲ καὶ μεγάλων
ἀγαθῶν τοῖς ἄλλοις Ἕλλησι κατέστησαν αἴτιοι, ὧν οὐδ᾽ ὁ
χρόνος τὴν * μνήμην ἀφελέσθαι δύναται. εἶεν. ἀλλ᾽ μνείαν. α.
ἐκεῖνα μὲν ἀρχαῖα καὶ παλαιά. ἀλλ᾽ ἃ πάντες ἑωρά-
26 κατε, ἴσθ᾽ ὅτι πρῴην Εὐβοεῦσιν, ἡμερῶν τριῶν ἐβοη-
θήσατε, καὶ Θηβαίους ὑποσπόνδους ἀπεπέμψατε.
ἆρ᾽ οὖν ταῦτ᾽ ἐπράξατ᾽ ἂν οὕτως ὀξέως, εἰ μὴ ναῦς
εἴχετε καινὰς, ἐν αἷς ἐβοηθήσατε; ἀλλ᾽ οὐκ ἂν ἠδύ-
νασθε. ἀλλὰ πολλὰ ἔχοι τις ἂν εἰπεῖν, ἃ τῇ πόλει γέγο-
27 νεν, ἐκ τοῦ ταύτας κατεσκευάσθαι καλῶς, ἀγαθά.
εἶεν. ἐκ δὲ τοῦ κακῶς, πόσα δεινά; τὰ μὲν πολλὰ, ἐά-
σω. ἀλλ᾽ ἐπὶ τοῦ Δεκελεικοῦ πολέμου, τῶν γὰρ ἀρχαίων
ἕν, ὃ πάντες ἐμοῦ μᾶλλον ἐπίστασθε ὑπομνήσω. πολ-
λῶν τε καὶ δεινῶν ἀτυχημάτων συμβαινόντων τῇ πό-
28 λει, οὐ πρότερον τῷ πολέμῳ προσέστησαν, πρὶν ἢ τὸ
ναυτικὸν αὐτῶν ἀπώλετο. καὶ τί δεῖ τὰ παλαιὰ λέ-
γειν; τὸν τελευταῖον γὰρ ἴστε ὃν πρὸς Λακεδαιμο-
νίους πόλεμον, ὅτε μὲν ναῦς οὐκ ἐδοκεῖτε ἀποστεῖ-
λαι δυνήσεσθαι, πῶς διέκειτο ἡ πόλις. ἴστε ὀρό-
29 βους ὄντας ὠνίους. ἐπεὶ δ᾽ ἀπεστείλατε, εἰρήνης ἐ-
τύχετε ὁποίας τινὸς * ἐβούλεσθε. ὥστε δικαίως, ὦ ἄν- ηὔχεσθε.
δρες Ἀθηναῖοι, τηλικαύτην ἐχουσῶν ῥοπὴν ἐφ᾽ ἑ-
κάτερα τῶν τριήρων, ὅρον τοῦτον τεθείκατε τῇ
βουλῇ, πότερ᾽ αὐτὴν δεῖ λαβεῖν τὴν δωρεὰν, ἢ οὔ.
30 εἰ γὰρ πάντα τἄλλα διοικήσαιτε καλῶς, δι᾽ ὧν δὲ τὸ
τ᾽ ἐξ ἀρχῆς ταῦτ᾽ ἐκτησάμεθα, καὶ νῦν σώζομεν,
ταύτας μὴ ποιήσαιτε, τὰς τριήρεις λέγω, οὐδὲν ἐκεί-
νων ὄφελος. τὴν γὰρ τῶν ὅλων σωτηρίαν πρὸς τοῦ ὑπάρ-
χειν δεῖ παρεσκευασμένην τῷ δήμῳ. οὗτος τοίνυν εἰς
31 τοῦτ᾽ ἐλήλυθε τοῦ νομίζειν αὐτῷ καὶ λέγειν καὶ γρά-
φειν ἐξεῖναι πᾶν ὅ, τι ἂν βούληται, ὥστε βεβουλευκυίας
μὲν τἄλλα ὃν τρόπον ὑμεῖς ἀκούετε τῆς βουλῆς, οὐ πε-
ποιημένης



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ποιησαμένης δὲ τὰς τριήρεις, γέγραφε δοῦναι τὴν δωρεάν.
ὡς ταῦτα μὲν ὡς οὐ παρὰ τὸν νόμον ἐστὶν, οὔτ᾽ ἂν αὐτὸς 32
ἔχοι λέγειν, οὔθ᾽ ὑμεῖς πεισθείητε ἄν. ἀκούω δ᾽ αὐτὸν,
τοῦτον ἐρεῖν τινα ἐν ὑμῖν λόγον, ὡς οὐχ ἡ βουλὴ γέγο-
νεν αἰτία τοῦ μὴ πεποιῆσθαι τὰς ναῦς, ἀλλ᾽ ὁ τῶν τριηρο-
ποιῶν ταμίας, ὃς ἀποδρὰς ᾤχετο, ἔχων πέντε ἡμιτά-
λαντα, καὶ τὸ πρᾶγμα ἀτύχημα συμβέβηκεν. ἐγὼ 33
δὲ πρῶτον μὲν αὐτὸ τοῦτο θαυμάζω, εἰ στεφανοῦν ἐπὶ
τοῖς ἠτυχημένοις ἠξίου τὴν βουλήν. τῶν κατορθουμέ-
νων γὰρ ἔγωγε ἡγούμην ἔργων τὰς τοιαύτας ὠφείλεσθαι
τιμάς. ἔπειτα κἀκεῖνο ἔτι βούλομαι φράσαι πρὸς
ὑμᾶς. οὔ φημι δίκαιον εἶναι περὶ ἀμφοῖν λέγειν, ὡς οὐ 34
* δέδοται. ε. παρὰ τὸν νόμον ἡ δωρεὰ δέδοται, καὶ ὡς οὐ διὰ τὴν
βουλὴν οὐκ εἰσὶν αἱ τριήρεις. εἰ μὲν γὰρ διδόναι καὶ μὴ
ποιησαμένῃ προσῆκει, τί τοῦτο δεῖ λέγειν, δι᾽ ὅν τινα
* αἰτιῶν. ε. δήποτε οὐ πεποίηνται. εἰ δ᾽ οὐκ ἔξεστι, τί μᾶλλον,
ἂν διὰ τὸν δεῖνα, ἢ τὸν δεῖνα ἐπιδείξῃ μὴ πεποιημέ- 35
νας, ἐκείνῃ προσῆκε λαβεῖν. χωρὶς δὲ τούτων, ἔμοιγε
δοκοῦσιν αἵρεσιν ὑμῖν οἱ τοιοῦτοι λόγοι διδόναι, πότε-
ρα οἴεσθε προφάσεις καὶ λόγους δεῖν ἀκούειν τῶν ἀδι-
κούντων ὑμᾶς, ἢ ναῦς κεκτῆσθαι. εἰ μὲν γὰρ τούτου
ταῦτ᾽ ἀποδέξεσθε, ἔσται δῆλον ἁπάσαις ταῖς βουλαῖς, 36
* ἱκανὴν. α. ὅτι δεῖ πρόφασιν πιθανὴν ἐξευρεῖν πρὸς ὑμᾶς,
οὐχὶ τριήρεις ποιήσασθαι. ἐκ δὲ τούτου, τὰ μὲν χρή-
ματα ἀναλωθήσεται, ναῦς δ᾽ οὐχ ἕξετε ὑμεῖς. ἐὰν δὲ
ὡς ὁ νόμος λέγει, καὶ δεῖ τοὺς ὀμωμοκότας πικρῶς, καὶ
ἁπλῶς τὰς μὲν προφάσεις ἀνέλητε, φανῆτε δ᾽ ἀφη- 37
ρημένοι τὴν δωρεὰν, ὅτι τὰς ναῦς οὐ πεποίηνται, πάν-
τες, ὦ ἄνδρες ἀθηναῖοι, πεποιημένας ὑμῖν παραδώ-
σουσι τὰς τριήρεις, πάντα τἆλλα παρ᾽ ὑμῖν ἑωρακό-
τες ἀσθενέστερα τοῦ νόμου γιγνόμενα. ὅτι τοίνυν
οὐδ᾽ αἴτιος ἄλλος ἐστὶν οὐδεὶς ἀνθρώπων τοῦ μὴ πε- 38
ποιῆσθαι τὰς ναῦς, καὶ τοῦτο σαφῶς ὑμῖν ἐπιδείξω.
ἀνελοῦσα γὰρ ἡ βουλὴ τὸν νόμον, τοῦτον ἐχειροτόνησεν
αὐτή. ἔτι τοίνυν ἐπιχειρεῖ λέγειν περὶ τοῦ τῆς ἑταιρή-
σεως νόμου, ὡς ὑβρίζομεν ἡμεῖς, καὶ βλασφημίας οὐ-
χὶ προσηκούσας κατ᾽ αὐτοῦ ποιούμεθα. καὶ φησὶ δεῖν 39
ἡμᾶς, εἴπερ ἐπιστεύομεν εἶναι ταῦτα ἀληθῆ, πρὸς τοὺς
θεσμοθέτας ἀπάγειν, ἵν᾽ ἐκεῖ περὶ χιλίων ἐκινδυνεύο-
μεν, εἰ καταψευδόμενοι ταῦτ᾽ ἐφαινόμεθα. νῦν δὲ
φενακίζειν φησὶν, αἰτίας καὶ λοιδορίας κενὰς ποιου-
μένους, καὶ ἐνοχλεῖν οὐ δικασταῖς τοῖς οὖσιν ὑμῖν. 40

σέσηκται. σεσοφισμένη καὶ αὕτη τῶν
προειρημένων οὐχ ἧττον· ὅρα γὰρ ὅτι
καὶ ὁμολογεῖ δι᾽ αὐτῆς ἀνδροτίων
τὸ δεῖν γίνεσθαι τὰς ναῦς, καὶ τὸ συμ-
φορᾷ κεχρῆσθαι τὴν βουλὴν περι-
πεσοῦσαν ἀβουλήτου ἀνδρὸς πονη-
ρίᾳ. Πρᾶγμα ἀτύχημα) Πάλιν 33
τοῦτο ὁ ῥήτωρ τῇ ἀντιθέσει προσέθη-
κεν, ἵνα ἐξ αὐτοῦ τὴν λύσιν ἐργάση-
ται λέγων. ἠγνόησας οὖν ὅτι συμφο-
ρᾶς οὐκ εἰσὶν, ἀλλὰ κατορθωμάτων οἱ
στέφανοι. ἡ δὲ λύσις ἠθική, καὶ ἐν
χλευασμῷ οὐδὲν δὲ ἧττον μεταλη-
πτική. Οὔ φημι δίκαιον εἶναι) Πει- 34
ρᾶται δεικνύναι τὸν ἀντίδικον λέ-
γοντα αὐτῷ τἀναντία. συγκρίνει δὲ
τήν τε ἐκ τοῦ νομίμου πάλαι ῥηθεῖ-
σαν ἀντίθεσιν, καὶ ταύτην. ἐν μὲν γὰρ
ἐκείνῃ προείρηται κατὰ νόμον ἐστεφα-
νῶσθαι τὴν βουλήν. ἐν ταύτῃ δὲ, ὅτι
προείλετο μὲν ποιῆσαι τὰς ναῦς, ἐκω-
λύθη δὲ ἀποδράντος τοῦ τῶν τριηρο-
ποιῶν ταμίου εἰκότως οὖν τὰς ἐναν-
τιώσεις ἐθήρευσεν. ἔστι δὲ οὐδὲν ἧττον
καὶ τοῦτο σόφισμα. τί γὰρ κωλύει τὸν
ἀνδροτίωνα ποτὲ μὲν δεικνύειν ὅτι ἡ
βουλὴ κατὰ τὸν νόμον εἴληφεν ἐφ᾽ ἑτέ-
ροις τὴν δωρεὰν, μὴ πάλιν περὶ
τῶν τριηρῶν οὔσης τῆς μάχης, μετα-
στῆσαι τὴν αἰτίαν ἐπὶ τὸν ταμίαν.
Τοὺς ὀμωμοκότας πικρῶς, καὶ 36
ἁπλῶς) Πικρῶς φησὶν ἐν τῷ κολά-
ζειν· ἁπλῶς δὲ ἐν τῷ χωρὶς κακουρ-
γίας ἀκούειν. Ὅτι τοίνυν) τετάρ- 37
τη κέχρηται λύσει τῇ περιτροπῇ, οὐ-
δὲν ἧττον καὶ αὐτῇ μεταστατικῇ.
Ἀνελοῦσα γὰρ ἡ βουλὴ τὸν νό- 38
μον, τοῦτον) Οὕτω συντακτέον. εἰ μὲν
εἰς τὸ τοῦτον, στίξομεν, ἔσται ὁ νοῦς
τοιοῦτος. ὑπερβᾶσα γὰρ ἡ βουλὴ τοῦ-
τον τὸν νόμον, τὸν οὐκ ἐῶντα, εἰ μὴ
γένοιντο αἱ τριήρεις, τιμᾶσθαι, ἐχει-
ροτόνησεν αὐτήν, ἀντὶ τοῦ ἐστεφάνωσεν
ἑαυτήν· ἐὰν δὲ στίξωμεν ἄχρι τοῦ, τὸν
νόμον, τοιοῦτον ἐστί. καταφρονήσασα
ἡ βουλὴ τοῦ νόμου τοῦ κελεύοντος γνώμῃ
τοῦ δήμου χειροτονεῖσθαι τὸν ταμίαν, αὐ-
τὴ ἑαυτῇ τοῦτον ἐχειροτόνησε καθ᾽ ἑαυ-
τήν φησι, καὶ ἔστιν αὕτη ἐξήγησις προ-
σφυεστέρα μᾶλλον τῆς προτέρας, ὑπαι-
τίαν ποιοῦσα τὴν βουλὴν, τῇ ἐκβάσει
χρῆται πάλιν. καὶ ἀκτέον τὴν ἔκβασιν
εἰς τὸ συμφέρον. Ἔτι τοίνυν ἐπιχει-
ρεῖν λέγειν) Γεῖτος ἐστὶν ὁ νόμος ἀπημὺν
εἶναι λέγων τὸν ἀνδροτίωνα, ὡς ἡταιρη-
κότα· ὃν ἐκεῖνος κατὰ μετάληψιν ἀνα-
τρέπειν πειρᾶται. Ἄλλως.
Ἡ πρότασις παραγραφική. οὐκ
ἐχρῆν σε ἡταιρηκότα γράφειν. ἡ δὲ
πρὸς ταύτην ἀντίθεσις, δυσφημεῖν

ἐγὼ δ' οἶμαι δεῖν ὑμᾶς πρῶτον μὲν ἐκεῖνο λογίζε-
σθαι παρ' ὑμῖν αὐτοῖς, ὅτι πάμπολυ λοιδορία τε καὶ
αἰτία κεχωρισμένον ἐστὶν ἐλέγχου. αἰτία μὲν γάρ ἐστιν,
ὅταν τις ψιλῷ χρησάμενος λόγῳ, μὴ παράσχηται
41 πίστιν ὧν λέγει. ἔλεγχος δέ, ὅταν οἷς ἂν εἴπῃ τις, καὶ τἀ-
ληθὲς ὁμοῦ δείξῃ. ἔστι τοίνυν ἀνάγκη τοὺς ἐλέγχοντας
ἢ τεκμήρια δεικνύναι δι' ὧν ἐμφανιοῦσι τὸ πιστὸν ὑ-
μῖν, ἢ τὰ εἰκότα φράζειν, ἢ μάρτυρας παρέχεσθαι. οὐ γὰρ
οἷόν τ' ἐνίων αὐτόπτας ὑμᾶς ἐστὶ καταστῆσαι. ἀλλ' ὅταν
42 τις ἐπιδεικνύῃ τι τούτων, ἱκανὸν νομίζετε ἔλεγχον ἔ-
χειν ὑμεῖς εἰκότως τῆς ἀληθείας ἑκάστοτε. ἡμεῖς τοί-
νυν οὐκ ἐκ λόγων εἰκότων, οὐδὲ ἐκ τεκμη-
ρίων, ἀλλὰ παρ' οὗ μάλιστα δίκην ἐστὶ λαβεῖν, τούτῳ
ταῦτ' ἐπιδείκνυμεν, ἄνδρα παρεσχηκότα γραμμα-
43 τεῖον, ἐν ᾧ τὰ τούτῳ βεβιωμένα ἔνεστιν. ὃς αὑτὸν
ὑπεύθυνον ποιήσας, μαρτυρεῖ ταῦτα. ὥστε, ὅταν
μὲν λοιδορίαν ταῦτα, καὶ αἰτίαν εἶναι φῇ, ὑπο-
λαμβάνετε, ὡς ταῦτα μέν ἐστιν ἔλεγχος· ἃ δ' οὗ-
τος ποιεῖ, ταῦτα λοιδορία καὶ αἰτία. ὅταν δ' ὅτι
44 πρὸς τοὺς θεσμοθέτας προσῆκεν ἐπαγγέλλειν ἡμῖν,
ἐκεῖνο ὑπολαμβάνετε, ὅτι καὶ τοῦτο ποιήσομεν,
καὶ νῦν προσηκόντως περὶ τοῦ νόμου λέγομεν. εἰ
μὲν γὰρ ἄλλον τινὰ ἀγῶνα ἀγωνιζομένου σου
ταῦτα κατηγοροῦμεν, δικαίως ἂν ἠγανάκτεις. εἰ
45 δ' ὁ μὲν νῦν ἐνεστηκὼς ἀγών ἐστι παρανόμων,
οἱ νόμοι δ' οὐκ ἐῶσι λέγειν οὐδὲ τὰ ἔννομα τοὺς
οὕτω βεβιωκότας, ἡμεῖς δ' ἐπιδείκνυμεν οὐ μό-
νον εἰρηκότα αὐτὸν παράνομα, ἀλλὰ καὶ βεβιωκότα
παρανόμως, πῶς οὐχὶ προσήκει λέγειν περὶ τού-
46 του τοῦ νόμου, δι' οὗ ταῦτα ἐλέγχεται; καὶ μήν,
κἀκεῖνό γε δεῖ μαθεῖν ὑμᾶς, ὅτι τοὺς νόμους ὁ τι-
θεὶς τούτους Σόλων, καὶ τῶν ἄλλων τοὺς πολλούς, οὐ-
δὲν ὅμοιος ὢν τούτῳ νομοθέτης, οὐχ ἑνὶ δέδωκε
τρόπῳ περὶ τῶν ἀδικημάτων ἑκάστων *λαβεῖν δίκην *λαμβάνειν. α
47 τοῖς βουλομένοις παρὰ τῶν ἀδικούντων, ἀλλὰ πολ-
λαχῶς. ᾔδει γάρ, οἶμαι, τοῦθ' ὅτι τοὺς ἐν τῇ πόλει, γενέ- *ὁμοίως. ε.
σθαι πάντας *ὁμοίους, ἢ δεινούς, ἢ θρασεῖς, ἢ μετρίους,
οὐκ ἂν εἴη. εἰ μὲν οὖν ὡς τοῖς μετρίοις δίκην *ἐξαρκέσει *ἐξαρκεῖν. α.

προσηρνῆσθαι, καὶ ὑβρίζειν, ὅταν ταῦτα λέγῃς διόδωρε. εἰ γὰρ ἐξελέγχειν εἶχες, ἔδει πρὸς τοὺς θεσμοθέτας ἀπαντᾶν, καὶ παρ' ἐκείνοις κατηγορεῖν. οὐκοῦν ἡ μὲν πρότασις τοῦ δημοσθένους, παραγραφική. ἡ δὲ ἀντίθεσις ἡ παρὰ ἀνδροτίωνος, μεταληπτική. ἡ δὲ λύσις τῆς ἀντιθέσεως, ἡ παρὰ δημοσθένους πάλιν μεταληπτική. ἡ γὰρ μετάληψις οὐκ ἀντιλήψει μόνον, ἀλλὰ καὶ μεταλήψει λύεται. εἰσάγει δὲ αὐτὴν ὁριστικῶς τεχνολογῶν, περί τε λοιδορίας καὶ ἐλέγχου, καὶ ὁριστικῶς περὶ ἑκατέρου διαλεγόμενος. σόφισμα δὲ τὸ γινόμενον. ἐπειδὴ γὰρ ἀντικρὺς οὐκ εἶχε διελέγχειν, οὐδὲ διαρρήδην δεικνύειν τοιοῦτον ὄντα τὸν ἀνδροτίωνα, βούλεται διὰ τῶν σοφισμάτων δόξαν ἐλέγχων τοῖς ἀκούουσι παρασχεῖν. ὅτι μὲν γάρ ἐστιν ἔλεγχος καὶ λοιδορία, λέγει. ὅτι δὲ οὐκ ἐλέγχει τὸν ἀνδροτίωνα, δῆλον. ἐπάγει δὲ μετὰ ταῦτα καὶ ἐπαγγελίαν μεταληπτικήν, ἀπὸ τόπου καὶ χρόνου, δείξομεν, λέγων, τότε, οὐχὶ νῦν. καὶ ἐπαγγελοῦμεν τὴν κατηγορίαν πρὸς τοὺς θεσμοθέτας. καὶ μεταβιβάζει τὸν ἔλεγχον ἐπὶ πρόσωπον ἀόριστον καὶ ἀπείραστον, ἵνα τῷ δοκεῖν ἐγγὺς τῶν ἐλέγχων γινόμενος, τὴν ἀκροατὴν συναρπάσῃ. εἶτα συλλογιστικῶς λύων, ἐπάγει. εἰ μὲν γὰρ ἄλλον τινὰ ἀγῶνα ἀγωνιζομένου σοῦ ταῦτα κατηγοροῦμεν. ὁ δὲ συλλογισμὸς σεσόφισται. ἔδει γὰρ πρῶτον ἀποδεῖξαι, εἶτα συλλογίσασθαι. νῦν δὲ μὴ ἀποδείξας, ὡς δεδειχώς, συλλογίζεται· εἶτα ἑτέραν ἐπάγει λύσιν μεταληπτικήν. καὶ μὴν κἀκεῖνό γε δεῖ μαθεῖν ὑμᾶς, ὅτι ὁ τοὺς νόμους τιθείς, καὶ τὰ ἑξῆς, ἐνδεικνύμενος διὰ ταύτης, ὅτι πανταχοῦ κατηγορεῖν ἔξεστιν.

41 Ἢ τὰ εἰκότα) Ὅρα ὅπως πατὴρ ὑπάρχει τῆς τέχνης χαρακτῆρας ἡμῖν καταλιμπάνων, πόθεν ἂν γένοιτο ἐπὶ τῶν ἀδήλων ἡ πίστις. τὰ μὲν οὖν τεκμήρια, τὰ ἀπὸ τῶν πραγμάτων ἂν εἴη σημεῖα. εἰκότα δὲ καλεῖ τὴν ἑκάστου ποιότητα καὶ δόξαν προσώπου.

43 Ἃ δ' οὗτος) Εἴη ἂν ἐκεῖνα λέγων, ἅπερ ἀπαιτῶν τὰς εἰσφορὰς ὁ ἀνδροτίων ἐλοιδορεῖτο, δούλους καλῶν καὶ ἐκ πορνῶν. ἐπαγγελία δέ ἐστι δίκη πρὸς δοκιμασίαν τοῦ *δήμου. καὶ ὁ αἰσχίνης, ἐπήγγειλα αὐτῷ τὴν δοκιμασίαν. συντρέχει δὲ ταῖς ἐπαγγελίαις λύων ὁ ῥήτωρ, φάσκων, καὶ τοῦτο ποιήσομεν. οὐ γὰρ ἔνεστιν ἀναστρέψαι. *βίου.

44 Εἰ μὲν γὰρ ἄλλον τινά) Εἰ μὲν γὰρ ἄλλο τι ἦν τὸ ἔγκλημα, οἷον παραπρεσβείας, ἢ ἑτέρου, οὐχ ὁμοίως εἶχε χώραν ἡ μνήμη. νῦν δὲ σύμφωνα ἀμφότερα. ἀκολουθεῖ γὰρ τῷ γεγραφέναι παράνομα καὶ τὸ βεβιωκέναι παρανόμως.

46 Καὶ μὴν κἀκεῖνο) Αὕτη ἡ λύσις μεταληπτική. ἐνδείκνυται δὲ διὰ ταύτης ὅτι πανταχοῦ κατηγορεῖν ἔξεστι. δοκεῖ δέ μοι προφάσεις διὰ ταύτης αὐτῷ θηρεύειν, κατασκευάζων τὸ μὴ πάντως ἀνάγκην ἔχειν παρὰ τοῖς θεσμοθέταις κατηγορεῖν. καὶ ἵνα ἀξιόπιστος γένηται

λαβεῖν, οὕτω τοὺς νόμους θῆκε, μετ' ἀδείας ἔσεσθαι πολ-
λοὺς πονηροὺς ἡγεῖτο. εἰ δ' ὡς τοῖς θρασέσι, καὶ δυ-
νατοῖς λέγειν, τοὺς ἰδιώτας οὐ δυνήσεσθαι τὸν αὐτὸν τού-
τοις τρόπον λαμβάνειν δίκην. δεῖν δ' ᾤετο μηδένα ἀ- 48
ποστερεῖσθαι τοῦ δίκης τυχεῖν, ὡς ἕκαστος δύναται. πῶς
οὖν ἔσται τοῦτο; ἐὰν πολλὰς ὁδοὺς δῷ διὰ τῶν νόμων
ἐπὶ τοὺς ἠδικηκότας, οἷον τῆς κλοπῆς, ἔρρωσαι καὶ σαυ-
τῷ πιστεύεις; ἄπαγε. ἐν χιλίαις *δ' ὁ κίνδυνος, ἀσθε- *γρ. ἐ.
νέστερος εἶ; τοῖς ἄρχουσιν ἐφηγοῦ. τοῦτο ποιήσουσιν 49
ἐκεῖνοι· φοβῇ καὶ τοῦτο; γράφου. καταμέμφῃ σεαυτὸν,
καὶ πένης ὢν οὐκ ἂν ἔχοις χιλίας ἐκτῖσαι; δικάζου
κλοπῆς πρὸς διαιτητὴν, καὶ οὐ κινδυνεύσεις. οὐδέτερον
βούλει τούτων; γράφου. κατοκνεῖς καὶ τοῦτο; ἐφηγοῦ.
τούτων οὐδέν ἐστι τὸ αὐτό. τῆς ἀσεβείας κατὰ *ταῦτά ἐστιν, 50 *ταὐτά.
ἀπάγειν, γράφεσθαι, δικάζεσθαι πρὸς Εὐμολπίδας.
φράζειν πρὸς τὸν βασιλέα. περὶ τῶν ἄλλων ἁπάν-
των τὸν αὐτὸν τρόπον σχεδόν. εἰ δή τις ὡς μὲν οὐχὶ κα-
κοῦργος ἐστὶ, μὴ λέγοι, ἢ ὡς οὐκ ἀσεβὴς, ἢ ὅ, τι δή-
ποτ' εἴη, δι' ὃ κρίνοιτο, διὰ ταῦτα δ' ἐκφεύγειν ἀ- 51
ξιοίη. εἰ μὲν ἀπηγμένος εἴη, διότι πρὸς διαιτητὴν
ἐξῆν αὐτῷ λαχεῖν, καὶ γράφεσθαι χρῆν. εἰ δὲ πρὸς δι-
αιτητὴν φεύγοι, ὅτι χρῆν σε ἀπάγειν, ἵν' ἐκινδύνευες
περὶ χιλίων· γέλως ἂν εἴη δήπουθεν. οὐ γὰρ τόν γε μη-
δὲν πεποιηκότα, δεῖ περὶ τοῦ τρόπου ὅν τινα χρὴ διδόναι 52
δίκην ἀντιλέγειν, ἀλλ' ὡς οὐ πεποίηκεν *ἀποδεικνύναι. *ἐπιδεικνύ-ναι. β. ε.
[τ]ὸν αὐτὸν δὴ τρόπον ἀνδροτίων καὶ σὺ, μὴ διὰ ταῦτα
ρίου σοι προσήκειν μὴ δοῦναι δίκην, εἰ γράφεις ἡται-
ρηκὼς, ὅτι καὶ πρὸς τοὺς θεσμοθέτας ἔσθ' ἡμῖν ἐπαγ-
γελία. ἀλλ' ἢ δεῖξον οὐ πεποιηκότα ταῦτα σεαυτὸν, 53

ἠμύνηται νομοθετῶν περὶ τούτου, ἀλλὰ μὴ φεύγειν ὑποληφθῇ, σόλωνι περιτίθησι τὸν λόγον. ποιεῖ δὲ τοῦτο δι' ἐνδείξει
τῶν ἐλέγχων δηλονότι, ἐπειδὴ γὰρ εἰς τὸ ἔγκλημα ἐπηρέαστο μὲν αὐτὸς τῷ φόνῳ τοῦ πατρός· ἐβούλετο δὲ ἀμύνασθαι
ἐπικροτήροις διαβάλλων τὸν ἀντίδικον, διὰ τοῦτο προήχθη. καὶ κατέχει μὲν τὴν βλασφημίαν. φεύγειν δὲ πειρᾶται
τὸν ἀγῶνα, καὶ τὴν ἄντικρυς μάχην,
μηδαμόθεν ἔχων ἐναργῆ τὴν ἀπό-
δειξιν. ὁρᾷς γοῦν ὅπως μεταπηδᾷς
εἰς ἄνδρα ἕτερον τὴν περὶ τούτου
σύστασιν, καὶ τὸν κίνδυνον εἰς τὸν αὐτὸν
τὸν ἐκεῖνον μεθίστησι λέγων· παρ' οὗ
δίκην ἐστὶ λαβεῖν, ὡς κινδύνου μεγί-
στου παρομαρτοῦντος τῷ μὴ ἐλέγ-
χοντι. ὅθεν εὐλαβούμενος τὸν ἀγῶ-
να, καὶ φεύγων προδήλως, τὴν τῆς πα-
ραιτήσεως λύσιν τελευταίαν τέθεικεν,
ἐνδεικνύμενος δι' αὐτῆς μήτε ἀναγ-
καῖον ἐξελέγχειν, μήτε παρὰ τὸν νό-
μον ὠνεῖσθαι τὴν περὶ τούτων ἀνάγ-
κην. ἐν δὴ τῷ μέρει τούτῳ τῆς λύσεως,
ἔστι τι τῶν ἀσαφῶν κατὰ τὴν ἐξαγγε-
λίαν· μᾶλλον δὲ κατὰ τὴν ἱστορίαν τῆς
πολιτείας. ἃ παρείληπται μὲν ὡς πα-
ράδειγμα· δεῖται δὲ τῆς διορθώ-
σεως. ἐν δὲ τῷ, οὐχ ἑνὶ δέδωκε τρό-
πῳ, σοφίζεται ὁ ῥήτωρ· ἃ περὶ κλο-
πῆς εἴρηται μόνης καὶ ἱεροσυλίας, ὡς
κατὰ πάντων κείμενα λέγων, ἵνα ἀπὸ
τῶν ὁμολογουμένων, καὶ τὸ ἀμφισβη-
τούμενον συναχθῇ. Ἄπαγε) Ἀντὶ 48
τοῦ ἀπαγωγῇ χρῶ. ἀπαγωγὴ δέ ἐστιν,
ἡ τῶν κακούργων πρὸς τοὺς ἕνδεκα
παράδοσις. τὸ δὲ ἔρρωσαι, καὶ σαυτῷ
πιστεύεις, εἴληφε παράδειγμα πρὸς
τὴν προκειμένην ὑπόθεσιν. τοῦτο δὲ
τὸ ἔρρωσαι καὶ τὸ ἑξῆς, οὐ περὶ τῶν
δικαίων ἐνταῦθα λέγει. πόθεν. ἀλλὰ
περὶ τῆς ῥώμης, καὶ τῆς τοῦ σώμα-
τος ἰσχύος. ἄπαγε δὲ, δηλονότι πρὸς
τοὺς ἕνδεκα, καὶ τοὺς ἐπὶ τῷ δεσμω-
τηρίῳ. τὸ δὲ οὐδέτερον βούλει τού-
των; τουτέστιν οὔτε τὸν διαιτητὴν,
οὔτε τὴν πρὸς τοὺς ἕνδεκα ἄρχον-
τας, ἀπαγωγήν; γράφου πρὸς τοὺς
θεσμοθέτας. κατοκνεῖς καὶ τοῦτο; ἐ-
φηγοῦ, τουτέστιν, ὑπόδειξον τοῖς ἄρ-
χουσιν. εἰ δὲ παλιλλογῆσαι φαίνεται,
οὐδὲν θαυμαστὸν καὶ διπλοῦν εἶναι τὸν
λόγον. τὸ μὲν γὰρ πρότερον μέρος, ὡς
παρὰ σόλωνός ἐστιν. τὸ δὲ δεύτερον, τὸ, οὐδέτερον βούλει τούτων, ὡς παρὰ δημοσθένους εἴρηται, ἵνα φαίνηται συνῳδὰ
τῇ τοῦ νομοθέτου φθεγγόμενος γνώμῃ. ἕτερόν τι παράδειγμα τίθησι λέγων τῆς εὐσεβείας κατὰ ταὐτά ἐστιν. Ἀπά- 50
γειν) Δηλονότι πρὸς τοὺς ἕνδεκα. τὸ δὲ γράφεσθαι πρὸς τοὺς θεσμοθέτας, παρ' ὧν εἰς τὰ δικαστήρια εἰσάγονται αἱ
γραφαί. τὸ δὲ δικάζεσθαι, πρὸς Εὐμολπίδας, τρίτον εἶδος τοῦ δικαστηρίου. ἱερὸν δὲ μέρος οἱ Εὐμολπίδαι. ἱερᾶται δὲ
ἐλευσῖνι. καὶ ἐπὶ τούτου πολλάκις ἐδικάζοντο ἀσεβείας οἱ βουλόμενοι. τὸ δὲ γράφου, πρὸς θεσμοθέτας δηλονότι.

Φράζειν πρὸς τὸν βασιλέα) Ἵνα ὁ βασιλεὺς τὴν φάσιν λαβών. φάσις δὲ κατηγορίας ὄνομα, τοῖς θεσμοθέταις
φανερὸν καταστήσῃ, καὶ παρὰ τῶν θεσμοθετῶν γνωρισθῇ τοῖς δικάζουσι τὰ ἐγκλήματα. ὁ δὲ βασιλεὺς, εἷς καὶ αὐτὸς
κατ' ἐνιαυτὸν ἄρχων τῶν ἐννέα καλουμένων· ὃς καὶ αὐτὸς *ἐπεμελεῖτο τῶν ἱερῶν. τὸ δὲ περὶ τῶν ἄλλων ἁπάντων φησὶν, *ἐπιμελεῖται. β.
ἐπειδὴ οὐκ εἶχε καὶ περὶ τῆς ἑταιρήσεως τὰ αὐτὰ διαλεχθῆναι, συνήρπασε τῷ κοινῷ συλλογισμῷ καὶ τὰ σύμπαντα
τὰ λοιπά. Εἰ δή τις ὡς μὲν οὐχὶ κακοῦργος) Ἐπάγει τὸ μεταληπτικὸν, εἶτα τὶ καὶ καινὸν εἶδος πίστεως εἰσάγει
δημοσθένης, ἀξιῶν παρὰ τοῦ ἀντιδίκου τὴν ἀπόδειξιν γίνεσθαι, ὅτι μὴ πεποίηκε ταῦτα. Ἀλλ' ἢ δεῖξον οὐ πεποιηκότα) 53
τό, εἰ μὴ πεποίηκε ταῦτα. οὐχ ὅτι εἰ μὴ ἡταίρηκεν, ἀλλ' εἰ μὴ γέγραφεν ἡταιρηκὼς, ὡς τοῦ τῆς ἑταιρήσεως πράγμα-
τος ἐξαληλειμμένου, λειπομένου δὲ τοῦ κατ' ἀνθρώπινον ἀποδειχθῆναι εἰ μὴ γέγραφεν. ἐρωτᾷ γὰρ ὁ μὴ ἀρνήσασθαι δυ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νάται. οὐ γὰρ εἴωθεν ὁ δημοσθένης ἐρωτᾶν τὰ ἀμφίβολα. ἐπεί τοι γε εἰ τὴν ἐρώτησιν, εἰ μὴ ἡταίρησεν, αἰτήσαι ἂν παρὰ ἀνδροτίωνος, ὅτι οὐχ ἡταίρηκε. καὶ γέλως ἂν τὴν ἐρωτῶντος τὸν ἀντίδικον, εἴγε ἠρώτα, ὃ μὴ ἔμελλεν ἐκεῖνος ὁμολογεῖν. ἀλλὰ δεῖξον, φησιν, εἰ μὴ παρὰ τοὺς νόμους γέγραφας. ὅτι γὰρ ἡταίρηκε, δέδεικται. τούτῳ τῷ σχήματι παραπλήσιόν ἐστι, καὶ τὸ ἐν τῷ δευτέρῳ τῶν ὀλυνθιακῶν εἰρημένον. ἢ παρελθών τις ἐμοί, μᾶλλον δὲ ὑμῖν δειξάτω, ὡς οὐκ ἀληθῆ ταῦτα ἐγὼ λέγω· εἰπὼν γὰρ ὅτι καταλυθήσεται αὐτίκα δὴ μάλα φίλιππος, ἐπήγαγεν, ἢ παρελθών τις ἐμοί, καὶ τὰ λοιπά. οὐ γὰρ εἶπε, δειξάτω, εἰ μὴ καταλυθήσεται φίλιππος. τοῦτο γὰρ ἦν εὐήθες καὶ εἰπεῖν, καὶ ἀκοῦσαι, οὐ δήλων ὄντων τῶν ἐκβησομένων· ἀλλὰ δειξάτω, φησίν, εἰ μὴ πολλοὺς ἐξηπάτησεν. οὐ γὰρ τὸ συμπέρασμα ἠρώτησεν, ὃ κατεσκεύασε βιαίως ἐκ τῶν οἰκείων προτάσεων· ἀλλὰ περὶ τῶν ἀποδεδειγμένων ἐλέγχων, καὶ τῶν φιλίππῳ πεπραγμένων, ἃ φανερὰ καὶ ὁμολογούμενα τοῖς ἀκούουσιν ἐτύγχανεν. ἀσφαλῶς οὖν καὶ ἐνταῦθα τὸ μὲν τῆς κλοπῆς καὶ τῆς ἀσεβείας διαῤῥήδην εἴρηκεν. ἀσαφέστερον δέ, τὰ λοιπά. [ταῦθα.]

54 Ἄξιον τοίνυν ὦ ἄνδρες) Ἄλλην ἀκόλουθον ἐπήγαγε λύσιν ἐκ διανοίας τοῦ νομοθέτου, καὶ αὐτὴν ἀποφυγὴν ἔχουσαν τῆς ἀποδείξεως. συστῆσαι γὰρ βούλεται διὰ τῆς διανοίας τοῦ σόλωνος, ὅτι οὐδὲ ἐκεῖνος κολάζει, οὐδὲ ἐλέγχει. δηλονότι πανταχόθεν πεῖσαι τοὺς ἀκούοντας προθυμούμενος, σιγὴν ἐπιτάττει ἀνδροτίωνι, οὐχὶ δὲ καλεῖν εἰς δικαστήριον, οὐδὲ τὸν κατήγορον ἀναγκάζειν πρὸς αὐτὸν διαγωνίζεσθαι περὶ τοῦ βίου, ἀλλὰ ἀναγκάζειν αὐτὸν σιωπᾶν. τοῦτο γὰρ βεβουλῆσθαι τὸν νομοθέτην διὰ τὴν πολιτείαν. ταῦτα δὲ τεκμήρια ἐστὶν εὐσυνοπτα, τοῦ μηδεμίαν ἀπόδειξιν ἔχειν τῆς ἑταιρήσεως. λοιπὸν δὲ δι' ὧν ἐξετάζει τοῦ νομοθέτου τὴν διάνοιαν ὁ ῥήτωρ, μεθοδεύει ἄτιμον ποιῆσαι τὸν ἀνδροτίωνα, δεικνύς, ὅτι οὐδὲν μέγα ὤφελεν εἰς τιμωρίαν αὐτοῖς ὁ σόλων, οὐδὲ περὶ τούτου ἐσπούδασεν, ἀλλὰ τὸ σῶζον τὴν δημοκρατίαν ἐκύρωσεν. εἶτα κατασκευάζει τὸ ἐπιχείρημα οὕτως. ἐν δημοκρατίᾳ, ἰσονομία καὶ ἰσοτιμία· ὥστε καὶ τὸν πένητα καὶ δυσγενῆ καὶ εὐτελῆ παῤῥησιάζεσθαι κατὰ τῶν πλουσίων, καὶ τῶν τὰ πρῶτα ἐχόντων. ἐν δὲ ὀλιγαρχίᾳ, τοῖς διοικοῦσι τὰ κοινὰ καὶ ἄρχουσιν, οὐδεὶς τῶν ἄλλων ἀντιβλέπειν, ὡς δεσπόταις, δυνήσεται. οὐκοῦν οἱ βεβιωκότες αἰσχρῶς τὸ ὀνειδίζεσθαι φοβούμενοι. τοῦτο γὰρ γένοιτ' ἂν ἐν δημοκρατίᾳ διὰ τὸ ἰσότιμον. σπουδάσειαν κατὰ τὸ εἰκὸς εὑρεθέντες πολλοί, ἢ πάντας ἀπεργάσασθαι πόρνους, οὕτω δημαγωγοῦντες αὐτούς, ἵνα τὸν ὅμοιον μὴ κακίζωσιν, ἢ μεταστῆσαι παντάπασι τὴν πολιτείαν, εἰδότες ὡς ὀλιγαρχίας γινομένης ἕξουσι τοῦ μὴ βλασφημεῖσθαι τὴν ἄδειαν.

56 Ἀλλὰ ταῦτα ἀπεῖπεν ὑπὲρ ὑμῶν) Ταράττει τὸν ἀκροατὴν τῷ κατασκευάζειν τὴν ὑπόνοιαν τῆς καταλύσεως τοῦ δήμου, καὶ συγχεῖ καὶ ταράττει τῷ φόβῳ τοὺς ἀκούοντας, ἵνα, ὥσπερ τῆς δημοκρατίας κινδυνευούσης, ἐξωσθῇ τῆς πολιτείας ὁ ἀνδροτίων. ὁ σόλων φησίν, οὐκ ἐξήλεγξε τοὺς τοιούτους. οὐκοῦν οὐδὲ ὑμᾶς δεῖ ζητεῖν ἔλεγχον. σοφίζεται δὲ ἐν τούτῳ. ὁ γὰρ νομοθέτης ἐκβάλλει τοὺς ἐξελεγχθέντας ἡταιρηκέναι. καὶ διαλέγεται δηλονότι περὶ τῶν ἐληλωκότων. ὅρα δὲ εἰς τό, κἀκείνους ἤτοι καταλῦσαί γ' ἂν πειρᾶσθαι, ὅτι καὶ τούτῳ τῷ ὀνόματι ἀκόλουθον ἂν εἰπεῖν, ἢ προάγειν ὡς πονηροτάτους εἶναι, ἵν' ὡς ὁμοιότατοι σφίσιν

ἢ δίκην ὑπέχειν, εἰ γέγραφάς τι, τοιοῦτος ὤν. οὐ γὰρ ἔ-
ξεστί σοι. εἰ δέ σε μὴ πολλάκις ὅσους οἱ νόμοι διδόασι
τρόπους τιμωρούμεθα, χάριν ἡμῖν ὧν παραλείπομεν
ἐκείνων ἔχε. μὴ διὰ ταῦτα ἀξίου μηδὲ καθ' ἕνα
54 τρόπον δοῦναι δίκην. ἄξιον τοίνυν ὦ ἄνδρες ἀθηναῖοι,
καὶ τὸν θέντα τὸν νόμον ἐξετάσαι σόλωνα, καὶ θεάσασθαι
ὅσην πρόνοιαν ἐποιεῖτο ἐν ἅπασιν, οἷς ἐτίθει, νόμοις, τῆς
πολιτείας, καὶ ὅσῳ περὶ τούτου μᾶλλον ἐσπούδαζεν, ἢ
περὶ τοῦ πράγματος αὐτοῦ οὗ τιθείη τὸν νόμον. πολ- [γ. περὶ οὐ.]
55 λαχόθεν μὲν οὖν ἄν τις εἴδοι τοῦτο. οὐχ ἥκιστα δ' ἐκ [ἴδοι. α. ε.]
τούτου τοῦ νόμου, μήτε λέγειν, μήτε γράφειν ἐξεῖναι τοῖς
ἡταιρηκόσιν. ἑώρα γὰρ ἐκεῖνο, ὅτι τοῖς πολλοῖς ὑμῶν ἐ-
ξὸν λέγειν, οὐ λέγετε. ὥστε τοῦτό γε, οὐδὲν ἡγεῖτο βαρύ.
καί τοι πολλὰ ἂν εἶχεν, εἴγε κολάζειν ἐβούλετο τού-
56 τους, χαλεπώτερα θεῖναι. ἀλλ' οὐ τοῦτ' ἐσπούδασεν,
ἀλλὰ ταῦτα ἀπεῖπεν ὑπὲρ ὑμῶν, καὶ τῆς πολιτείας.
ᾔδει γάρ, ᾔδει, τοῖς αἰσχρῶς βεβιωκόσιν ἁπασῶν οὖσαν
ἐναντιωτάτην πολιτείαν, ἐν ᾗ πᾶσιν ἔξεστι λέγειν τἀ-
κείνων ὀνείδη. ἔστι δὲ αὕτη τίς; δημοκρατία. οὐκοῦν
57 ἐνόμιζεν ἀσφαλές, εἴποτε συμβήσεται γενέσθαι συ-
χνοὺς ἀνθρώπους κατὰ τοὺς αὐτοὺς χρόνους εἰπεῖν μὲν
δεινοὺς καὶ θρασεῖς, τοιούτων δ' ὀνειδῶν καὶ κακῶν με-
στούς. πολλὰ γὰρ ἂν τὸν δῆμον ὑπ' αὐτῶν ὑπαχθέντα
ἐξαμαρτεῖν· κἀκείνους ἤτοι καταλῦσαί γ' ἂν πειρᾶ-
58 σθαι τὸ παράπαν τὸν δῆμον. ἐν γὰρ ταῖς ὀλιγαρχίαις
οὐδ' ἂν ὦσιν ἔτ' ἀνδροτίωνος τινὲς αἴσχιον βεβιωκό-
τες, οὐκ ἔστι λέγειν κακῶς τοὺς ἄρχοντας· ἢ προά-
γειν ἂν ὡς πονηροτάτους * εἶναι, ἵν' ὡς ὁμοιότατοι σφί-
σιν ὦσι. τὴν οὖν ἀρχὴν τοῖς τοιούτοις ἀπεῖπε μὴ με-
59 τέχειν τοῦ συμβουλεύειν, ἵνα μὴ φενακισθεὶς ὁ δῆμος
ἐξαμάρτῃ μηδέν. ὧν ὀλιγωρήσας ὁ καλὸς κἀγα- [ἐξαμάρτοι. ἐφαμάρτῃ. ε.]

σφίσιν ὦσιν, ὁ δὲ, περὶ τῆς ἐπαγωγῆς τὴν προτέραν πρότασιν κατεσκεύασε. δύο γὰρ προτάσεων οὐσῶν, καὶ τῆς μὲν
παραδόξου τυγχανούσης, τῆς ἤτοι καταλῦσαι ἂν προέλοιντο τὸν δῆμον· τῆς δὲ, ὅτι προαγάγοιεν ἅπαντας ὁμοίους
αὐτοῖς εἶναι, τῆς παραδόξου προτάσεως τὴν ἴασιν ἐξεῦρε, τὴν αἰτίαν προσθεὶς, ἐν γὰρ ταῖς ὀλιγαρχίαις, καὶ τὰ ἑξῆς·

τὸς τοῦτο, οὐ μόνον ᾤετο δεῖν λέγειν, καὶ γράφειν, οὐκ
ἐξὸν, ἀλλὰ καὶ παρὰ τοὺς νόμους ταῦτα ποιεῖν. περὶ
μὲν τοίνυν νόμου, καθ' ὃν ὠφληκότος αὐτοῦ τοῦ πα-
τρὸς τῷ δημοσίῳ χρήματα καὶ οὐκ ἐκτετικότος, 60
οὐκ ἔξεστι λέγειν, οὐδὲ γράφειν τούτῳ ταῦτα δίκαια
λέγειν ἂν ἔχοι εἰκότως, ἐὰν φῇ δεῖν ὑμᾶς αὐτὸν ἐν-
δεικνύναι. τότε γὰρ τοῦτο ποιήσομεν, οὐ μὰ Δία, οὐχὶ
νῦν, ἡνίκα δεῖ σε ἑτέρων, ὧν ἀδικεῖς, δοῦναι λόγον·
ἀλλ' ὅταν ᾖ προσῆκον ἐκ τοῦ νόμου. καὶ νῦν δέ σε 61
δείκνυμεν οὐκ ἐῶντα γράφειν σε, οὐδ' ἂν τοῖς ἄλλοις
ἔξεστι τὸν νόμον. ὡς οὖν οὐκ ὦφλεν ὁ πατήρ σου, τοῦτ'
ἐπίδειξον, ἢ ὡς οὐκ ἀποδρὰς ἐξῆλθεν ἐκ τοῦ δε-
σμωτηρίου, ἀλλὰ τὰ χρήματα ἐκτίσας. εἰ δὲ μὴ
ταῦθ' ἕξεις δεικνύειν, οὐκ ἐξὸν γέγραφας. κληρονό- 62
μον γάρ σε καθίστησιν ὁ νόμος τῆς ἀτιμίας τῆς τοῦ πα-
τρός. ὄντι δ' ἀτίμῳ σοι, λέγειν οὐ προσῆκεν, οὐδὲ γρά-
φειν. καὶ περὶ μὲν τῶν νόμων, οὓς παρεγραψάμεθα,
οἶμαι δεῖν ὑμᾶς ἄν τι φενακίζειν ἐγχειρῇ, καὶ παράγειν
τοῦτο, ταῦθ' ὑπολαμβάνειν, ἃ διεξελήλυθα ἐγώ. εἰσὶ 63
δὲ καὶ περὶ τῶν ἄλλων αὐτῷ λόγοι, πρὸς τὸ φενακίζειν
ὑμᾶς εὖ μεμηχανημένοι· περὶ ὧν βέλτιον ὑμᾶς
προακοῦσαι. ἔστι γὰρ εἷς αὐτοῖς τοιοῦτος, μὴ πεντακο-
σίους ὑμᾶς αὐτῶν ἀφελέσθαι τὴν δωρεὰν, μηδὲ ὀνείδει
περιβάλλειν. ἐκείνων ὁ ἀγὼν, οὐκ ἐμός. ἐγὼ δ' εἰ μὲν 64
ἐμέλλετε ἀφαιρήσεσθαι τούτους μόνον, ἄλλο δὲ μηδὲν ὠ-
φελήσειν τὴν πόλιν, οὐδὲν ἂν ὑμᾶς σφόδρα σπουδάζειν
ἠξίουν. εἰ δὲ τῷ τοῦτο ποιῆσαι, πλείους, ἢ μυρίους τοὺς
ἄλλους πολίτας βελτίους εἶναι προτρέψετε, πόσῳ κάλ-
λιον τοσούτους παρασκευάσαι χρηστοὺς, ἢ πεντακοσίοις 65
ἀδίκως χαρίσασθαι. ὡς δ' οὐκ ἔστιν ἁπάσης τῆς περὶ-

ἔχοι τι. α.

αὐτοῖς. α.

ὀνείδει.

καὶ προωδοποίησε τὸ πιθανὸν τῇ δευ-
τέρᾳ. πῶς; ὅτι γνοὺς ὁ ἀκροατὴς ἐκ
τῆς κατασκευῆς δι' ἣν αἰτίαν ἕλοιντο
καταλῦσαι τὸν δῆμον, οὐκ ἔτι ζητήσει
κἀπὶ τῆς δευτέρας τίνος ἂν ἕλοιντο
ἕνεκα προάγειν αὐτοῖς ὁμοίους τοὺς
πολίτας εἶναι, τὴν γνῶσιν ἔχων ἐκ τῶν
προειρημένων ἀκριβῆ τῆς αἰτίας. τοῦτο
δὲ ποιεῖ, ὅτι καθόλου ἔγνωμεν δεῖν τὰς
κατασκευὰς εὐθέως ἐπισυνάπτειν ταῖς
ἀπιθάνοις λίαν καὶ παραδόξοις προ-
τάσεσι. Περὶ μὲν τοίνυν νόμου) 59
Ἐπὶ τὸν τέταρτον λοιπὸν ἀφίκετο νό-
μον, συντείνοντα μὲν καὶ αὐτὸν εἰς ἀ-
τιμίαν· ἐκ δὲ τοῦ πατρῴου χρέους γι-
νόμενον. σκεπτέον δὲ ὅτι πανταχοῦ φη-
σὶν ὡς ὠφληκότος ἐστί. τὸ δὲ νῦν ὀ- πῶς ἐστι.
φείλειν ἔτι οὐ κατασκευάζει, ὡς εἶναι
ὑπόνοιαν, μὴ ἄρα ἐκτέτικε. ἡ δὲ
λύσις κἀνταῦθα μεταληπτικὴ ὡς
ἐπὶ τῆς ἑταιρήσεως. ἔστι τοίνυν ἡ
πρότασις ὁμοίως κἀνταῦθα πα-
ραγραφική. οὐκ ἔξεστι τῷ ἀτίμῳ γρά-
φειν. ἡ δὲ ἀντίθεσις μεταληπτική. οὐκ
ἐνδείκνυταί με φησί. ἔνδειξις δέ ἐστιν
ὄνομα δίκης, κατὰ τῶν ὀφειλόντων μὲν
τῇ πόλει, πολιτεύεσθαι δὲ ἐγχει-
ρούντων. λέγεται δὲ ἔνδειξις καὶ κατὰ
τῶν ἀνδροφόνων, ὅταν κατίωσιν ὅπως
μὴ ἔξεστιν, ὡς φησὶν ἐν τῷ κατὰ Ἀριστο-
κράτους, κατὰ τοὺς φεύγοντας ἐνδει-
κνύντων. γίνεται ἔνδειξις καὶ κατὰ προ- λέγεται ἢ. β.
δοτῶν. τοῦτο δὲ εἴρηται ἐν τῷ ἐνάτῳ τῶν
φιλιππικῶν. ἐνιαυτῷ δὲ πρότερον τῆς
ἁλώσεως, ἐνέδειξε τὸν φιλιστίδην.
ταύτης τῆς ἀντιθέσεως μεταληπτι-
κῆς οὔσης, καὶ ἡ λύσις ἐστὶ μεταληπτικὴ
ἀπὸ χρόνου, καὶ ἀπὸ τρόπου· καὶ ἀπὸ χρό-
νου μὲν, τότε ποιήσομεν, οὐ μὰ Δία, οὐχὶ
νῦν. ἀπὸ τρόπου δὲ, ὅτι ἐνδείξομεν. νῦν
γὰρ οὐκ ἐνδεικνύουσιν, ἀλλὰ παρανό-
μων γράφονται. διάφοροι δὲ οἱ τρόποι.
εἶτα πάλιν ἀπαιτεῖ τὰς ἀποδείξεις
παρὰ Ἀνδροτίωνος. καὶ ἡ ἐρώτησις
ἰσχυρὰ μὲν καὶ πιθανή, σεσόφισται δὲ· οὐ

γάρ φησι, ἀπόδειξον εἰ μὴ ὀφείλει ὁ πατήρ, ἀλλ' εἰ μὴ ὦφλεν, ἢ εἰ μὴ ἀπέδρα ἐκ τοῦ δεσμωτηρίου· περὶ τῶν ὁμολο-
γουμένων καὶ προδήλων τὴν πρόκλησιν ποιούμενος. οὔτε γὰρ ἀποδεῖξαι δύναται Ἀνδροτίων, ὅτι μὴ ὦφλεν ὁ πατήρ,
οὔτε ὅτι οὐκ ἀποδρὰς ἐξῆλθεν ἐκ τοῦ δεσμωτηρίου. εἰ δὲ ἠρώτα καὶ προὐκαλεῖτο λέγειν, εἰ μὴ ὀφείλει, τάχα ἂν Ἀνδροτίων
εὐπόρησεν ἀποδείξεως. τὸ δὲ, ἀλλ' ὅταν ᾖ προσῆκον, τοιοῦτον. ὅτι οἱ νόμοι τὰ μείζω τῶν ἀδικημάτων προεξετάζεσθαι ἠυπόρησεν.
βούλονται· μετὰ ταῦτα δὲ τὰ ἐλάττω. Μὴ πεντακοσίους ὑμᾶς) Ἀντίθεσις ὡς ἐπιλογική, μετέχουσά τινος ἔτι καὶ 63
πίστεως καὶ μάχης. ἔοικε δὲ ἀπὸ τοῦ δικαίου εἰλῆφθαι, ὅτι οὐ δίκαιον τοσούτους τῶν Ἀθηναίων ἀτιμάζεσθαι. Πλείους, 64
ἢ μυρίους τοὺς ἄλλους) Ἐπειδὴ δὲ ὁ ἀντίδικος τῷ πλήθει τῆς βουλῆς ἐπεχείρησε δυσωπῆσαι τοὺς δικαστὰς, ἀντέθηκεν
ὁ ῥήτωρ τοῖς πεντακοσίοις βουλευταῖς τοὺς μυρίους. ἔστι τοίνυν, ὡς ἔφαμεν, ἀντιλογικὴ ἡ ἀντίθεσις ἀπὸ τοῦ δικαίου, καὶ
ἀπὸ τῆς ἀξίας κατὰ τὸ ἐναντίον. δόξετε. καταισχύνειν ὑμῶν αὐτῶν τὸ μέρος, εἰ τὸν στέφανον ἀφαιρήσεσθε· μέρος γὰρ ἡ
βουλὴ τοῦ δήμου. ὅτι δὲ ἐστὶν ἐπιλογική, δῆλον. οὐ γὰρ ἀνατρέπει τὰ παρὰ τῶν ἀντιδίκων προτεινόμενα· ἀλλὰ δυσωπεῖν
ἐπιχειρεῖ τοὺς ἀκούοντας. μέμικται δέ τι καὶ μεταστάσεως κατὰ τὴν ἀντίθεσιν. ἐκείνων ὁ ἀγὼν, οὐκ ἐμός. τὸ μὲν οὖν ἀφε-
λέσθαι τὴν δωρεὰν, ἔνδειξίς ἐστι τοῦ τὴν δωρεὰν ἤδη δεδόσθαι· δι' ἣν αἰτίαν ἐφάσκομεν μὴ δεδυνῆσθαι τὸν Διόδωρον καταρ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ παραγράψασθαι Ἀνδροτίωνα. τὸ
δὲ ἐν ὀνείδει περιβαλεῖν, ἀπὸ τῆς ἀ-
ξίας εἴληπται δυσωπητικῶς εἰσηγμέ-
νον. ἡ δὲ λύσις, μεταληπτικὴ σύμπα-
σα ἀπὸ τοῦ συμφέροντος. ἔστι γὰρ ὅτε,
ἑτέρου μὲν γίνοις ἡ ἀντίθεσις, ἑτέρου δὲ
ἡ λύσις. μεταληπτικὴ δὲ οὖσα, οὐδὲν
65 ἧττόν ἐστι κατ' ἀντιπαράστασιν. Τῷ
γάρ ἐστιν ὄνειδος) Κατασκευάζει δρι-
μέως εἰς ὀλίγους τὴν μέμψιν, ἵνα μὴ
πᾶσαν λυπήσῃ τὴν βουλήν, τὸ βρα-
χὺ μέρος αὐτῆς αἰτιώμενος. τῇ τε
ἐνστάσει καὶ ἀντιπαραστάσει τὴν μά-
68 χην ἐργαζόμενος. Ὃ τοίνυν) Καὶ
τοῦτο τὸ μέρος, εἰς τὴν προειρημένην
ἀντίθεσιν. τὸ γὰρ συνηγορήσουσι τῇ βου
λῇ καὶ βοηθήσουσι Φίλιππος καὶ Ἀντι-
γένης, οὐδὲν ἕτερον δύναται, ἢ ὅτι ταῦ-
τα ἐροῦσιν Ἀνδροτίωνι. ὥστε καὶ ἐκ τού-
των βεβαιοῦσθαι τό, καὶ ἐπιλογικὴν τὴν
προειρημένην ἀντίθεσιν εἶναι. ἐχώρισε
δ' ἀλλήλων τὰ πρόσωπα, ἵν' ἔχῃ δια-
λεχθεὶς πρὸς τὰς διαφόρους ποιότη
τας, εὐμαρέστερον λῦσαι αὐτὸ τὸ διὰ
τῆς ἀξίας ἀντιπίπτειν ἑκάστου τῶν συ-
69 νηγόρων. Ἴσως ἀναβήσεται, καὶ συνε-
ρεῖ τῇ βουλῇ Φίλιππος) Τὸ συνερεῖ
Φίλιππος τῇ βουλῇ καὶ Ἀντιγένης, ἔμ-
φασιν ἔχει, ὅτι οὐκ ἔχουσι μὲν οὐδὲν εἰ-
πεῖν δίκαιον ὑπὲρ τοῦ ψηφίσματος ἀ-
ναβαίνοντες. ἴσως δέ τι τῇ βουλῇ συ-
ναγορεῦσαι πειράσονται. εἰ δὲ εἰρήκει,
τῷ ψηφίσματι μέλλειν συναγορεύσειν
αὐτούς, τῆς αὐτῆς ἂν ἠγωνίσατο λύ-
σεων, αἷς καὶ πρότερον ἐχρήσατο. ἔστι
δὲ αὕτη ἐκβολὴ συνηγόρων. οὐ γὰρ τῷ
κρινομένῳ συναγορεύουσιν, ἀλλ' ἑαυ-
τοῖς. Καὶ ὁ ἀντιγραφεύς) ἀντιγρα-
φεύς ἐστιν ὄνομα ἀξιώματος ἀντι-
γράφοντος ὑπὲρ τῆς βουλῆς πρὸς τὸν
δῆμον, ἐν οἷς ἂν δέῃ. Δι' ἑαυτῶν
εἶχον) Ηὔξησε τὸ μῖσος. ὡς ἀνδραπό-
δοις ἐχρῶντο τοῖς ἄλλοις, ἑαυτοῖς τὸ
71 κράτος φυλάσσοντες. Ὃς μὲν ἂν ὑ-
μῖν) Ὅρα τὸ προσωπεῖον μετὰ θυμοῦ
σωζόμενον ἐν τῷ, ὃς μὲν ἂν ὑμῖν ἀδι-
κεῖν δοκῇ. οὐ γὰρ εὐθὺς τὴν τιμωρίαν
ἐπήγαγεν, ἀλλὰ τὴν κρίσιν ἀφῆκε γε-
72 νέσθαι πρότερον. Ἔτι τοίνυν Ἀρχίαν
οἶμαι τὸν Χολαργέα) Τόπον ἀπένειμεν
οἰκεῖον ἐν τοῖς ἐπιλόγοις Ἀρχίᾳ, διὰ
τὸ διάφορον τῆς ἀξίας. τὸ γὰρ ὡς ἐπιει-
κῆ, δήλωσιν μὲν ἔχει τῆς ἀρετῆς τἀν-
δρός, καὶ τῆς ὑπολήψεως, ἣν παρ' Ἀθη-
ναίοις κέκτηται. βούλεται μέντοι διὰ
τῶν ἐγκωμίων καὶ τῆς μαρτυρίας τοῦ
ἀνδρός, βεβαιῶσαι τὴν κατὰ τῆς βου-
λῆς κατηγορίαν. διὰ δὲ τῶν αὐ-
τῶν ἐπαίνων, τῆς συνηγορίας ἀπο-
τρέψαι τὸν ἄνδρα· διαλεκτικώτερος
δὲ περὶ αὐτὸν ὁ λόγος. ἐπειδὴ καὶ

γμα τῆς βουλῆς, ἀλλὰ τινῶν, οἵπερ εἰσὶν αἴτιοι τῶν κα-
κῶν, καὶ Ἀνδροτίωνος, ἔχω λέγειν. τῷ γάρ ἐστιν ὄνειδος,
εἰ σιωπῶντος αὐτοῦ καὶ μηδὲν γράφοντος, ἴσως δὲ οὐδὲ
τὰ πολλὰ εἰς τὸ βουλευτήριον εἰσιόντος, μὴ "λάβῃ ἡ — "λάβοι. α.
66 βουλὴ τὸν στέφανον. οὐδενὶ δήπουθεν· "ἀλλὰ τοῦ γρά- — "ἀλλὰ τῷ γρά-
φοντος καὶ πολιτευομένου καὶ πείθοντος ἃ βούλοιτο τὴν — φοντι, καὶ πο-
βουλήν. διὰ γὰρ τούτους ἀνάξια τοῦ στεφανωθῆναι βε- — λιτευομένῳ,
βούλευκεν. οὐ μὴν ἀλλ', εἰ καὶ τὰ μάλιστα πάσης ἐστὶν ὁ — πείθοντι.
ἀγὼν τῆς βουλῆς, ὅσῳ συμφέρει μᾶλλον ὑμῖν καταγνῶ-
67 ναι, ἢ μή, θεάσασθε. εἰ μὲν ἀπογνώσεσθε, ἐπὶ τοῖς λέ-
γουσι τὸ βουλευτήριον ἔσται. ἐὰν δὲ καταγνῶτε, ἐπὶ τοῖς
ἰδιώταις. ἑωρακότες γὰρ οἱ πολλοὶ διὰ τὴν τῶν λεγόν-
των πονηρίαν, τὴν δ' ἀφῃρημένην τὴν βουλὴν τὸν
στέφανον, οὐχὶ προήσονται τούτοις τὰς πράξεις, ἀλλὰ
68 τὰ βέλτιστα ἐροῦσιν αὐτοί. εἰ δὲ γενήσεται τοῦτο, καὶ τῶν
ἐθάδων καὶ "συνεστηκότων ῥητόρων ἀπαλλαγήσεσθε· — "παρεστηκό-
ὄψεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, πάνθ' ἃ προσήκει γι- — των. α. β.
γνόμενα. ὥστ' εἰ μηδενὸς ἄλλου ἕνεκα, διά γε ταῦτα
καταψηφιστέον. ὃ τοίνυν ἕτερον δεῖ μὴ λαθεῖν ὑμᾶς,
69 ἀκούσατε. ἴσως ἀναβήσεται, καὶ συνερεῖ τῇ βουλῇ Φί-
λιππος, καὶ Ἀντιγένης, καὶ ὁ ἀντιγραφεύς, καί τινες ἄλ-
λοι, οἵπερ ἐκεῖ δι' ἑαυτῶν εἶχον μετὰ τούτου τὸ βουλευ-
τήριον, καὶ τούτων τῶν κακῶν εἰσὶν αἴτιοι. δεῖ δὴ πάν-
τας ὑμᾶς γιγνώσκειν, ὅτι τούτοις ἐστὶ μὲν ἡ πρόφα-
70 σις τῆς συνηγορίας, τῇ βουλῇ βοηθεῖν. τῇ δ' ἀληθείᾳ,
ὑπὲρ αὐτῶν ἀγωνιοῦνται καὶ τῶν εὐθυνῶν, ἃς αὐτοῖς
προσήκει δοῦναι τῶν πεπραγμένων. ἔχει γὰρ οὕ-
τως. ἐὰν μὲν ἀπογνῶτε τὴν γραφὴν ταύτην, ἀ-
πάντες εἰσὶν ἀπηλλαγμένοι, καὶ δίκην οὐδεὶς οὐδεμίαν
71 μὴ "δῷ. τίς γὰρ ἔτ' ἂν καταψηφίσαιτο ἐκείνων, τὴν
βουλὴν ὑμῶν ἐστεφανωκότων, οἷς οὗτοι προέστασαν.
ἐὰν δὲ καταγνῶτε, πρῶτον μὲν τὰ εὔορκα ἔσεσθε
ἐψηφισμένοι· εἶτ' ἐπὶ τῶν εὐθυνῶν ἕκαστον τούτων λαμ-
βάνοντες, ὃς μὲν ἂν ὑμῖν ἀδικεῖν δοκῇ, κολάσετε· ὃς
72 δ' ἂν μή, τότε ἀφήσετε. μὴ οὖν ὡς ὑπὲρ τῆς βου-
λῆς λεγόντων καὶ τῶν πολλῶν ἀκούετε, ἀλλ' ὡς ὑπὲρ
αὑτῶν παρακρουομένοις, ὀργίζεσθε. ἔτι τοίνυν Ἀρχίαν
οἶμαι τὸν Χολαργέα, καὶ γὰρ τοῦτον ἐβούλευε πέρυσιν, ὡς
ἐπιεικῆ, δεήσεσθαι, καὶ συνερεῖν αὐτοῖς. ἐγὼ δ' οἶμαι
73 δεῖν ὧδέ πως ἀκούειν Ἀρχίου· ἐρωτᾶν αὐτὸν ταῦτα,
ἃ κατηγόρηται τῆς βουλῆς, πότερα αὐτῷ δοκεῖ κα-
λῶς ἔχειν, ἢ κακῶς. κἂν μὲν φῇ καλῶς, μηκέτι τὸν

νοῦν

νομίζω ὡς ἐπιεικεῖ προσέχειν, ἐὰν δὲ κακῶς, τί δὴ ταῦ-
τ' εἴα, φάσκων ἐπιεικὴς εἶναι; πάλιν αὐτὸν ἐρωτᾶτε. καὶ
ἐὰν μὲν ἀντιλέγειν φῇ, μηδένα δ' αὐτῷ πείθεσθαι, ἄτο- 74
πον δή που νῦν λέγειν ὑπὲρ τῆς τὰ βέλτιστα οὐχὶ
πειθομένης αὐτῷ βουλῆς. ἐὰν δὲ σιωπᾶν, πῶς οὐκ ἀ-
δικεῖ, εἰ πρότερον ἐξαμαρτάνειν μέλλοντας ἀποτρέπειν,
τοῦτο μὲν οὐκ ἐποίει, νῦν δὲ λέγειν τολμᾷ, ὡς δεῖ
τοὺς τοσαῦτα κακὰ εἰργασμένους στεφανῶσαι. οἶμαι 75
τοίνυν αὐτὸν οὐδ' ἐκείνων ἀφέξεσθαι τῶν λόγων, ὅτι ταῦ-
τα πάντα αὐτῷ διὰ τὰς εἰσπράξεις γέγονεν, ἃς ὑ-
πὲρ ὑμῶν ὀλίγους εἰσπρᾶξαι φήσει, πολλὰ χρήμα-
τα ἀναιδῶς οὐ τιθέντας. καὶ κατηγορήσει τούτων, πρᾶ-
*διαπραξό-μενος. γμα ῥᾴδιον, οἶμαι, *διαπραξάμενος, τῶν μὴ τι- 76
θέντων τὰς εἰσφοράς. καὶ φήσει πᾶσαν ἄδειαν ἔσεσθαι
τοῦ μὴ τιθέναι τὰς εἰσφοράς, εἰ καταψηφιεῖσθε αὐτοῦ.
ὑμεῖς δ', ὦ ἄνδρες Ἀθηναῖοι, πρῶτον μὲν ἐκεῖνο ἐν-
θυμεῖσθε, ὅτι οὐ περὶ τούτων δικάσειν ὀμωμόκατε, ἀλ-
λ' εἰ κατὰ τοὺς νόμους τὸ ψήφισμα εἶπεν. εἶθ' ὅτι πάν- 77
δεινόν ἐστι, κατηγορεῖν ποιούμενον, ὡς ἀδικοῦσί τινες
τὴν πόλιν, αὐτὸν ἀξιοῦν, ὧν ἀδικεῖ, μειζόνων ὄντων,
μὴ δοῦναι δίκην· πολὺ γὰρ δήπου μεῖζόν ἐστ' ἀδίκημα
*τιθέναι. α. γράφειν παρὰ τοὺς νόμους, ἢ τὴν εἰσφορὰν μὴ *θεῖναι.
ὅτι τοίνυν οὐδ' εἰ φανερῶς ἔμελλεν, ἀντὶ τούτου, 78
μηδεὶς εἰσοίσειν, μηδ' ἐθελήσειν εἰσπράττειν, οὐδ' οὕ-
τως ἀποψηφιστέον, ἐκ τῶνδε γνώσεσθε. ὑμῖν παρὰ
τὰς εἰσφορὰς τὰς ἀπὸ Ναυσινίκου πρὸς ἴσως τάλαντα
τριακόσια, ἢ μικρῷ πλείω, ἐλλείμματα τέτταρα καὶ
δέκα ἐστὶ τάλαντα. ὧν ἑπτὰ οὗτος εἰσέπραξεν. ἐγὼ 79
δὲ τίθημι ἅπαντα. ἐπὶ μὲν δὴ τοὺς ἑκόντας τιθέντας,
οὐ δεῖσθε ἀνδροτίωνος. ἐπὶ δὲ τοὺς ἐλλείποντας. ἔστι τοί-
νυν ὑμῖν νυνὶ σκεπτέον, εἰ τοσούτου τιμᾶσθε τὴν πο-
λιτείαν, καὶ τοὺς κειμένους νόμους, καὶ τὸ εὐορκεῖν· εἰ γὰρ
ἀποψηφιεῖσθε τούτου, φανερῶς οὕτω παρὰ τοὺς νόμους 80
εἰρηκότος, δόξετε πᾶσι τὰ χρήματα ταῦτα ἀντὶ τῶν
νόμων καὶ τῆς εὐορκίας ᾑρῆσθαι. ἃ οὐδ' ἂν εἰ παρ' ἑ-
αυτοῦ δοίη τις ὑμῖν, λαβεῖν ἄξιον, μή τί γε ἐφ' ᾧ ἑτέρους
εἰσπράττειν. ὥστ', ὅταν ταῦτα λέγῃ, μέμνησθε τῶν
ὅρκων, καὶ τὴν γραφὴν ἐνθυμεῖσθε, ὅτι νῦν οὐ περὶ 81
πράξεως εἰσφορῶν ἐστιν, ἀλλ' εἰ δεῖ κυρίους εἶναι τοὺς
*ἀπάγων. νόμους. καὶ περὶ μὲν τούτων, ὃν τρόπον ὑμᾶς *ἀπαγα-
γὼν ἀπὸ τοῦ νόμου, παρακρούεσθαι ζητήσει, καὶ ἃ πρὸς
ταῦτα ὑμᾶς μνημονεύοντας μὴ ἐπιτρέπειν προσή-

πεπαιδεῦσθαι καὶ φιλοσοφεῖν ὑπεί-
ληπται. ἐχώρισε δὲ τοῦτον ἀπὸ τῶν ἄλ-
λων, ἵν' ὡς ὄντα ἐπιεικῆ ταῖς ἀληθεί-
αις μόνον ἐξελέγξῃ λαβών. ἐπειδὴ
δὲ καὶ πεπαιδεῦσθαι καὶ φιλοσοφεῖν
ὑπείληπται, συλλογιστικώτερον αὐτῷ
διαλέγεται. τὸ δὲ οἶμαι, τῷ δεήσεσθαι
καὶ συνερεῖν συναπτέον, ἵν' ᾖ ἀμφί-
βολον τὸ ἐπιεικὴς ὤν, συνερεῖ αὐ-
τοῖς. Οἶμαι τοίνυν) Ἄχρι μὲν τού- 75
των ἀπὸ τῆς διπλῆς ποιότητος τῆς τε
βουλῆς, καὶ τῶν συνηγορούντων προ-
σώπων, ὡς ἐν ἐπιλόγοις, αὐτῷ προ-
κεχώρηται, ἑξῆς δ' ἐπιλογίζεται πά-
λιν ἀπὸ τῆς ἀνδροτίωνος αὐτοῦ ποιό-
τητος. εἰσῆκται δὲ ἐν ἀντιθέσεως εἴ-
δει. ἀλλὰ φθονοῦμαι, φησι, διὰ τὴν
εὔνοιαν, ἣν ἔχω *πρὸς τὴν πόλιν, *περὶ. α. β.
καὶ διὰ τὰς εἰσπράξεις, ἃς ὑπὲρ ὑ-
μῶν πεποίημαι. ταύτην τὴν ἀντίθε-
σιν ἔλαβεν μὲν ἀπὸ τῆς ἀνδροτίω-
νος ποιότητος, διὰ τὸ ὑπάρχειν ἀν-
δροτίωνι δυσμένειαν πρὸς εὐκλή-
μονα ὑπὲρ τῶν εἰσφορῶν. οὐ μὴν σα-
φῶς τὴν αἰτίαν ἐκτέθηκε. λύει δὲ τὴν
ἀντίθεσιν τοῦτο μὲν μεταληπτικῶς, οὐ
περὶ τούτων δικάζειν ὀμωμόκατε,
ἀλλ' εἰ κατὰ τοὺς νόμους τὸ ψήφισμα εἶ-
πε. κατὰ τὸ μαχόμενον δὲ πάλιν.

Εἶθ' ὅτι πάνδεινόν ἐστι, κατηγορεῖν 77
ποιούμενον, ὡς ἀδικοῦσί τινες τὴν
πόλιν, καὶ τὰ ἑξῆς. τὸ δ' αὐτὸ τοῦτο
καὶ ἀπὸ τοῦ ἐναντίου λέγεται, εἶδος
γὰρ τοῦ ἐναντίου καὶ τὸ μαχόμενον. εἶ-
τα ἀπὸ συγκρίσεως λέγων. εἰ τοσούτου
τιμᾶσθε τὴν πολιτείαν, καὶ τοὺς νόμους,
καὶ τὸ εὐορκεῖν· εἰ γὰρ ἀποψηφιεῖσθε,
καὶ τὰ ἑξῆς. Ἄλλως. Ἐντεῦθεν
φανερῶς οἱ ἐπίλογοι. ἀπὸ τοῦ προ-
σώπου δὲ τοῦ ἰδίου· δεῖ γὰρ στοχάζεσθαι
καὶ τὸν κατήγορον τῆς τοῦ φθέγγοντος
ποιότητος. οὐκοῦν ἐτόλμησεν ἀνδρο-
τίων εἰπεῖν, ταῦτά μοι περιγέγονε. καὶ
τὴν κατηγορίαν συνεστήσατο Διό-
δωρος, ὅτι ὕβρισται παρ' ἐμοῦ καὶ
ἠδίκηται, φόνου μὲν ἐγκληθεὶς τοῦ πα-
τρός, ἐξελεγχθεὶς δὲ οὐδαμῶς ἀνῃ-
ρηκέναι τὸν ἑαυτοῦ πατέρα. εὐήθης
γὰρ ὡς ἀληθῶς ἀνδροτίων καθ' ἑ-
αυτοῦ τούτοις κεχρῆσθαι τοῖς λόγοις,
ἄλλως τε καὶ αὐτοῦ Διοδώρου εἰπόντος
ἐν τῷ προοιμίῳ διὰ τοῦτο κατηγορεῖν,
ἵνα ἀμύνηται τὸν σεσυκοφαντηκότα.
διὰ τοῦτο ταύτην παραλιπών, εἰκό-
τως ἔθηκε τὴν ἀμφισβητήσιμον· τὸ
γὰρ περὶ τῶν εἰσφορῶν, λαμπρὸν μὲν
τῷ ἀνδροτίωνι. ὕποπτον δὲ τοῖς ἀκού-
ουσιν. ὅθεν τὴν μὲν αἰτίαν τοῦ ἀγῶνος
ἐκ τοῦ οἰκείου προσώπου σεσίγηκε. τὰ
δὲ ἀπὸ τοῦ εὐκλήμονος ἐμπίπτουσαν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἰλήφει. ἄλλως τε καὶ οἶδεν Ἀνδροτίωνα μέγιστον δοκοῦντα φρονεῖν ἐπὶ ταῖς εἰσπράξεσιν. ἵν' ὁ μὲν μεγαλαυχούμενος ταῖς εἰσπράξεσιν, ὁ δὲ καθαιρῶν φαίνηται.
81 Βούλομαι δὲ) Ἐντεῦθεν ἄρχεται ἡ παρέκβασις. ἣ δοκεῖ μὲν κοινωνεῖν τοῖς ἀρτίως ἐξητασμένοις περὶ τῆς ποιότητος Ἀνδροτίωνος· πολὺ δέ που ἐστὶ κεχωρισμένη. τὰ μὲν γὰρ τῆς ἀντιθέσεως ἀπὸ τῆς ποιότητος εἰς δυσώπησιν καὶ εἰς διαβολὴν τῆς κατηγορίας προτείνεται παρὰ Ἀνδροτίωνος. τὰ δὲ ἐντεῦθεν, τοῦ κατηγόρου ἐστὶν ὡς προηγούμενόν τι κεφάλαιον, ὃ οὐ πρὸς ἀντίθεσιν τίθεται, ἄλλως δὲ ἔχει διαβολὴν τῆς ποιότητος, ὥσπερ τι προηγούμενον κεφάλαιον εἰσαχθέν. καὶ ὁ μὲν Ἀνδροτίων δι' ὧν ἔλεγε, διέβαλε τὴν κατηγορίαν. ὁ δὲ, διὰ τῆς παρεκβάσεως, ἀντιδιαβάλλει τὴν πολιτείαν. Ἄλλως. Ἐπαγγέλλεται δύο πολιτεύματα ἐρεῖν, ἃ συμπεριείληφεν, τῷ μὲν δοκεῖν, ἁπλοῖς ὀνόμασι· τῇ δὲ ἀληθείᾳ πλείω σημαίνουσιν, ἢ κατὰ περιοχήν. περιοχὴ δέ ἐστι πλειόνων ἐνδόξων, ἢ τῶν ἐναντίων ἐν πράξει μιᾷ ἀθροισμός. τὸ μὲν γὰρ ἀναιδῆ, σωματικόν ἐστι, καὶ τῆς ἐν τῷ δήμῳ θρασύτητος, ἣν ἐπεδείκνυτο εἰσπραττόμενος· σημαντικὸν δὲ καὶ τῶν δημηγοριῶν, ἃς κατὰ τῶν ἀνακειμένων στεφάνων ἐδημηγόρει. τὸ δὲ τῆς θρασύτητος, ἐμφανίζει μὲν τὴν κατὰ τοῦ δήμου γεγενημένην ὕβριν. πλήττει δὲ καὶ εἰς τὴν ἐκ τοῦ ἐμφανοῦς ἱεροσυλίαν. ὁ δὲ κλέπτης, δύο κλοπῶν περιεκτικόν ἐστιν ὄνομα, τῆς τε ἀπὸ τῶν εἰσπράξεων καὶ στεφάνων. ὁ δὲ ὑπερήφανος, τὸν ὀλιγαρχικόν· μικρὸν γὰρ πρόσθεν διέβαλε τοὺς ἡταιρηκότας εἰς ὀλιγαρχίαν, ἵνα κἀνταῦθα διὰ τοῦ τρόπου τῆς πολιτείας τὴν ὑπόνοιαν ταύτην πιστούμενος φαίνηται.
83 Καὶ πρῶτον μὲν, ἐφ' ᾧ μέγιστον) Πέφυκε τὰ ἐγκώμια ὧν ἂν ἐθέλῃ διαβάλλειν, εἰς κατηγορίαν περιτρέπειν, καὶ τὰς ἐνδόξους πράξεις, εἰς διαβολὴν καὶ ἐγκλήματα,

82 καὶ πολλὰ λέγειν ἔχων ἔτι, καὶ ταῦθ' ἱκανὰ εἶναι νομίζων, ἐάσω. βούλομαι δὲ καὶ τὰ πολιτεύματα ἐξετάσαι τοῦ καλοῦ κἀγαθοῦ τούτου, δι' ὧν οὐδέν ἐσθ' ὅ,τι τῶν δεινοτάτων ἐλλείπων φανήσεται. καὶ γὰρ ἀναιδῆ, καὶ θρασὺν, καὶ κλέπτην, καὶ ὑπερήφανον, καὶ πάντα
83 μᾶλλον, ἢ ἐν δημοκρατίᾳ πολιτεύεσθαι ἐπιτήδειον ὄντ' αὐτὸν, ἐπιδείξω. καὶ πρῶτον μὲν ἐφ' ᾧ μέγιστον φρονεῖ, τὴν τῶν χρημάτων εἴσπραξιν, ἐξετάσωμεν αὐτοῦ, μὴ τῇ τούτου προσέχοντες ἀλαζονείᾳ τὸν νοῦν, ἀλλὰ τὸ πρᾶγμα, οἷον γέγονε τῇ ἀληθείᾳ, σκοποῦν-
84 τες. οὗτος Εὐκτήμονα φήσας τὰς ὑμετέρας ἔχειν εἰσφορὰς, καὶ τοῦτον ἐξελέγξειν, ἢ παρ' ἑαυτοῦ καταθήσειν, ὑποσχόμενος, καταλύσας ψηφίσματι κληρωτὴν ἀρχὴν* ἐπὶ τῇ προφάσει ταύτῃ, ἐπὶ τὴν εἴσπραξιν παρέδυ. δημηγορίαν δ' ἐπὶ τούτοις ποιούμενος, ὡς ἔστι
85 τριῶν αἵρεσις ὑμῖν, ἢ τὰ πομπεῖα κατακόπτειν, ἢ πάλιν εἰσφέρειν, ἢ τοὺς ὀφείλοντας εἰσπράττειν, αἱρουμένων εἰκότως ὑμῶν, τοὺς ὀφείλοντας εἰσπράττειν, ταῖς ὑποσχέσεσι κατέχων, καὶ διὰ τὸν καιρὸν* ὅσην τότ' ἔχων ἐξουσίαν, τοῖς μὲν κειμένοις νόμοις περὶ τού-
85 των, οὐκ ᾤετο δεῖν χρῆσθαι, οὐδ', εἰ μὴ τούτους ἐνόμιζεν ἱκανοὺς, ἑτέρους θεῖναι· ψηφίσματα δ' εἶπεν ἐν ὑμῖν δεινὰ καὶ παράνομα, δι' ὧν ἠργολάβει, καὶ πολλὰ τῶν ὑμετέρων κέκλοφε, τοὺς ἕνδεκα γράψας ἀκολουθεῖν μεθ' ἑαυτοῦ. εἶτ' ἔχων τούτους, ᾔει ἐπὶ τὰς τῶν
87 πολιτῶν οἰκίας. καὶ τὸν μὲν Εὐκτήμονα, ὃν εἰσπράξειν

* κλήρῳ τὴν.

* θαυμασίαν.

ἵνα μὴ μόνον οὐ σεμνύνωνται, ἀλλὰ καὶ ὡς ὑπὲρ ἐγκλημάτων ἀπολογεῖσθαι καταναγκάζωνται. ποιεῖ δὲ τοῦτο ἐκ τῶν περιστατικῶν, ἀπὸ τῶν περὶ τὸ πρᾶγμα, ἀπὸ τῶν ἐν αὐτῷ τῷ πράγματι, ἀπὸ τοῦ τρόπου, ἀπὸ τῆς αἰτίας, ἀπὸ τῆς γνώμης. μέμνηται δὲ ἐνταῦθα Εὐκτήμονος φυλαττόμενος κατὰ τὴν ἀντίθεσιν τὴν ἐκ τοῦ προφανοῦς μάχην. ὅτε γὰρ ἐκίνει Ἀνδροτίων τὸν λόγον, ὅτι διὰ τὰς εἰσπράξεις, ταῦτα αὐτῷ γέγονεν, ἐδύνατο μὲν ἐπιμνησθῆναι καὶ τοῦ κατὰ τὸν Εὐκτήμονα. οὐ μὴν εἴρηκεν, ἀλλ' ἑκὼν παρῆκεν, ἵνα μὴ δοκῇ βεβαιοῦν τὴν παρὰ Ἀνδροτίωνος κινουμένην ὑπόνοιαν. οὐκοῦν οὐ τέθεικεν ἰδικῶς τὴν ἀντίθεσιν, οὐδὲ εἶπεν ὅτι μνησικακῶν Εὐκτήμων διὰ τὴν εἴσπραξιν, τὴν κατηγορίαν ταύτην ἐνεστήσατο· ἀλλὰ καθόλου περὶ τῶν πολιτῶν, ἵνα συγκρούων αὐτὸν καὶ νῦν τὸν *δῆμον φαίνηται. ἐνταῦθα δὲ αὐτὸς ἐφ' ἑαυτοῦ τὴν εἴσπραξιν ἐξετάζων, καιρὸν ἔχει μνησθῆναι καὶ τοῦ Εὐκτήμονος· τὸ μὲν γὰρ ἐκ μάχης ἔχει τὴν ὑποψίαν. τὸ δὲ καθαρεῦον τῆς ὑποψίας, ὅταν αὐτὸ καθ' αὐτὸ ἐξετάζηται, φέρει πλείω διαβολὴν τοῖς φεύγουσιν. ὑπέσχετο μὲν οὖν τὸν Εὐκτήμονα δείξειν ἔχοντα τὰς ὑμετέρας εἰσφοράς. οὐ μὴν ἀπέδειξε.

α. * τῷ δήμῳ.

84 Καταλύσας ψηφίσματι κληρωτὴν ἀρχὴν) Διὰ τοῦ ψηφίσματος παύσας τὴν ἀρχὴν τὴν κλήρῳ συμβᾶσαν. Δημηγορίαν δ' ἐπὶ τούτοις ποιούμενος) Ἐνταῦθα ἡ ἀναίδεια καὶ τὸ θράσος. εἶτα ἐπάγει τὸ μεταληπτικὸν ὡς πρὸς ἀντιπίπτον. οὐκ ἐχρῆν εἰσπράττειν, φησί τις, καὶ μάλα ἐχρῆν, ἀλλ' ὡς οἱ νόμοι προστάττουσιν. εἶτα ἕτερον ἀντιπίπτον μεταληπτικόν, ἀλλὰ φιλανθρωπότεροι τῆς χρείας, καὶ τῶν καιρῶν ἦσαν οἱ νόμοι· τὸ δὲ διὰ τὸν καιρόν, ἢ διὰ τὸν καιρόν, ὅστις ἦν τότε δυσχερὴς καιρός· πόλεμος γὰρ ἦν, καὶ χρεία χρημάτων. ἢ διὰ τὸ καιρὸν, μέση. καὶ ἐπὶ πλέον
86 ἐξῆς, θαυμασίαν ὅσην τότε ἔχων ἐξουσίαν, ἀντὶ τοῦ πολλὴν, καὶ μεγίστην. Ἠργολάβει) Τοῦτο μετὰ τῆς αἰσχύνης καὶ συγκρουστικόν. ἐργολαβεῖν γὰρ παρὰ Δημοσθένει καὶ τοῖς ἄλλοις ἐστὶ τὸ ἐπὶ φαύλοις καὶ ἀδίκοις μισθὸν λαμβάνειν. Τοὺς ἕνδεκα γράψας ἀκολουθεῖν) Τὸ μὲν ἐπιχείρημα, δοκεῖ πως ἐναντίον εἶναι τῷ κατὰ Τιμοκράτους. ἐνταῦθα μὲν γὰρ

τὴν πρᾳότητα θαυμάζει. ἐκεῖ δὲ τὴν φιλανθρωπίαν ἐκβάλλει. τοῦ συμφέροντος δὲ ἀεὶ πανταχοῦ ἐχόμενος λέγει ἃ λέγει· καὶ γὰρ ἐνταῦθα μὲν αἰτιᾶται τὴν τοῦ Ἀνδροτίωνος πονηρίαν καὶ τὴν προπέτειαν. ἐκεῖ δὲ συγκρίνων νόμῳ νόμον, τὸ χρησιμώτερον μᾶλλον τι θαυμάζει. εἶτα βούλεται διὰ τοῦ παραδείγματος τοῦ κατὰ τοὺς τριάκοντα ἐν τούτοις

ἢ καταθήσειν αὐτοὺς ἔφη τὰς εἰσφοράς, οὐδὲν εἶχεν ἐ-
λέγχειν περὶ τούτων. ὑμᾶς δ' εἰσέπραττεν, ὥστε οὐ
διὰ τὴν Εὐκτήμονος ἔχθραν ἐπὶ ταῦτα ἐλθών, ἀλλὰ
διὰ τὴν ὑμετέραν. καὶ μηδεὶς ὑπολαμβανέτω
με λέγειν, ὡς οὐκ ἐχρῆν εἰσπράττειν τοὺς ὀφείλον- 88
τας. χρῆν γάρ. ἀλλὰ πῶς; ὡς ὁ νόμος κελεύει, τῶν
ἄλλων ἕνεκα. τοῦτο γάρ ἐστι δημοτικόν. οὐ γὰρ τοσοῦτον,
ὦ ἄνδρες Ἀθηναῖοι, τοσούτων χρημάτων τοῦτον τὸν τρό-
πον εἰσπραχθέντων ὠφέλησθε, ὅσον ἐζημίωσθε, τοι-
ούτων ἐθῶν εἰς τὴν πολιτείαν εἰσαγομένων. εἰ γὰρ 89
ἐθέλετε ἐξετάσαι τίνος ἕνεκα μᾶλλον ἄν τις ἕλοιτο
ἐν δημοκρατίᾳ ζῆν, ἢ ἐν ὀλιγαρχίᾳ, τοῦτ' ἂν εὕ-
ροιτε προχειρότατον, ὅτι πάντα πρᾳότερά ἐστιν ἐν
δημοκρατίᾳ. ὅτι μὲν τοίνυν τῆς ὅπου βούλεσθε ὀλι-
γαρχίας οὗτος ἀσελγέστερος γέγονε, παραλείψω. ἀλ- 90
ἁ. λὰ παρ' ὑμῖν, πότε, πώποτε δεινότατα ἐν τῇ πόλει
γέγονεν, ἐπὶ τῶν τριάκοντα, πάντες ἂν εἴποιτε. τότε
τοίνυν, ὡς ἔστιν ἀκούειν, οὐδείς ἐστιν, ὅστις ἀπεστερεῖτο τοῦ
πε.ἁ. σωθῆναι, ὃς ἑαυτὸν οἴκοι κρύψειεν. ἀλλὰ τοῦτο κα-
τηγοροῦμεν τῶν τριάκοντα, ὅτι τοὺς ἐκ τῆς ἀγορᾶς 91
ἀδίκως ἀπῆγον. οὗτος δὲ τοίνυν τοσαύτην ὑπερβολὴν
ἐποιήσατο ἐκείνων τῆς αὐτοῦ βδελυρίας, ὥστε ἐν δη-
μοκρατίᾳ πολιτευόμενος, τὴν ἰδίαν οἰκίαν ἑκάστῳ
δεσμωτήριον κατέστησε, τοὺς ἕνδεκα ἄγων ἐπὶ τὰς οἰ-
κίας. καίτοι, ὦ ἄνδρες Ἀθηναῖοι, τί οἴεσθε, ὁπότ' ἂν ἄν- 92
θρωπος πένης ἢ καὶ πλούσιος πολλὰ ἀνηλωκώς, καὶ
ἵνα ἴσως τρόπον εἰκότως οὐκ εὐπορῶν ἀργυρίου, ἢ
τέγος ὡς τοὺς γείτονας ὑπερβαίνοι, ἢ ὑποδύοιτο ὑ-
πὸ κλίνην, ὑπὲρ τοῦ μὴ τὸ σῶμα ἁλοὺς εἰς τὸ δεσμω-
τήριον ἕλκεσθαι, ἢ ἄλλα ἀσχημονοίη. ἃ δούλων οὐκ 93
αὐτ.ἁ. ἐλευθέρων ἐστὶν ἔργα, καὶ ταῦθ' ὑπὸ τῆς ἑαυτοῦ γυ-
ναικὸς ὁρῷτο ποιῶν, ἣν ὡς ἐλεύθερος ἠγγυήσατο, καὶ

τούτοις τῶν τρόπων τὸν Ἀνδροτίωνα δεῖξαι κεχρημένον. τὸ δὲ ἦγεν ἐπὶ τὰς τῶν πολιτῶν οἰκίας, ὡς ἐπὶ στρατοπέδου εἴρηκε. τὸ βαρὺ τοῦ πράγματος διὰ τῆς λέξεως ἐμφαίνων. διὸ καὶ δεσμωτήριον ἀποκαλεῖ τὰς οἰκίας. τῶν ἄλλων δὲ ἕνεκα, ἤτοι τῶν ἀδυνάτων καὶ πενήτων. ὅθεν ἐπάγει. τοῦτο γάρ ἐστι δημοτικόν. Ἄλλως. Τοὺς ἕνδεκα γράψας) Καὶ τὸν τρόπον περιέχει, καὶ τὸ φορτικὸν τῆς πράξεως, καὶ τὴν ὕβριν, τὴν εἰς τοὺς ἄρχοντας ἀκολουθοῦντας, ἐν ᾧ καὶ τὸ τῆς ὀλιγαρχίας ἐνδέδεικται. εἶτ' ἐπειδή περ οὐκ εἶχε τὴν εἴσπραξιν αἰτιᾶσθαι, τὸν τρόπον διαβάλλει, καὶ τὴν ποσότητα τῶν χρημάτων, λέγων, τῶν ἄλλων ἕνεκα, ἤγουν τῶν πενήτων, καὶ ἀπόρων. καὶ τοσούτων χρημάτων τὸν τρόπον τοῦτον, ἀντὶ τοῦ βραχέων. καὶ τοῦτον τὸν τρόπον εἰσπραχθέντων, ἀντὶ τοῦ μετὰ παρανοίας καὶ ὕβρεως. Εἰς τὴν πολιτείαν 89
εἰσαγομένων) Ὅτι ὀλιγαρχικὴν τινὰ πολιτείαν ἀντὶ δημοκρατίας εἰσήγαγε. Τότε τοίνυν, ὥς ἐστιν ἀκοῦσαι) ἀκούειν.
Ἵνα μή τις αἰτιάσηται, ὡς ψευδόμε- 90
νον, ἐπὶ τὴν ἀκοὴν ἀναφέρων, φεύγει τὴν μέμψιν. Οὐδεὶς ἐστὶν, ὅστις ἀπεστερεῖτο) Ἀπὸ μέρους τινὸς πειρᾶται χαλεπώτερον τῶν λ' ἀποφῆναι τὸν Ἀνδροτίωνα (τριάκοντα,) καὶ ἔστιν ὁ τρόπος τοιοῦτος. ἐκεῖνοι τοὺς φαινομένους ἐπὶ τῆς ἀγορᾶς ἐφόνευον. τοὺς δὲ κρυπτομένους οὐ περιεργάζοντο, ἀλλ' εἴων σώζεσθαι λανθάνοντας. ὁ δέ γε Ἀνδροτίων καὶ τοὺς οἴκοι κατακεκρυμμένους ἀνιχνεύων ἐδέσμευε. κατὰ τοῦτο ἄρα ὑπερεβάλετο τοὺς τυράννους.
Ἢ τέγος ὡς τοὺς γείτονας) Τέγος 92
τὸ τοῦ δώματος ὑπέρτερον μέρος. διασκευὴ δὲ τοῦτο δεινοποιοῦσα τὰ γινόμενα, ὦ γεῖτον, οὐκ ἀδικῆσαι θέλων ἐπιβαίνω τοῦ σοῦ. Ἀνδροτίωνος βιαζομένου τετάραγμαι. φεύγω τὴν θύραν. σῶσον αὐτὸς γοῦν τὸν ὁμόφυλον. τὸ δὲ, ἢ ἄλλα ἀσχημονοίη. νόει πάντα, ἃ ποιοῦσιν οἱ φωραθῆναι φοβούμενοι, γυναικῶν ὑποκρινόμενοι φωνήν τε καὶ σχῆμα, θεράποντες εἶναι δοκοῦντες, τὰ τῶν δούλων μεταχειριζόμενοι, καὶ τὰ ἄλλα ἁπλῶς. εἰπὼν δὲ καὶ ταῦθ', ὑπὸ τῆς αὐτοῦ γυναικὸς ὁρῷτο ποιῶν, θαυμαστὸς φαίνεται ὁ ῥήτωρ. δεινὸς γὰρ καὶ ἐν ἀπόροις εὑρεῖν ἀφορμάς. ἵνα γὰρ μή τις εἴπῃ, ἀλλ' οὐδεὶς ἑώρα ταῦτα ποιοῦντα, καὶ τὸ δεινὸν ἔλαττον ἦν· ὅρα πῶς οἴκοθεν αὐτῷ προσπορίζει τὸν μάρτυρα, πικρότατον ἔλεγχον ἀπὸ τῆς γυναικὸς ἐξευρών. Ἣν ὡς ἐλεύθερος ἠγγυήσατο) Θέασαι τὸν κατήγορον. ἀπὸ 93
τῶν ῥημάτων ἐξηπάτησάς με, φήσειεν ἂν ἡ γυνή. ὡς ἐλεύθερος συνήφθου. νῦν δὲ ἀπεδείχθης ἀνδράποδον. πολίτην ᾤμην ἔχειν, καὶ Ἀθηναῖον τὸν ἄνδρα. ἔλαθον δὲ, ὡς ἔοικεν, οἰκέτην δυστυχὴς ἔχουσα σύνοικον. καὶ τὰ τοιαῦτα ἔξεστιν ἐργάζεσθαι. ἐπειδὴ δὲ οὐκ εἶχεν ἕτερον μάρτυρα παραστήσασθαι τῶν ἀτόπων, ἐξεῦρεν ἀπὸ τῆς γυναικὸς αὐξῆσαι τὴν δείνωσιν· ἀπὸ τῆς τύχης, ὅτι ἐλεύθερος ὤν, δούλων ὑπέμεινε πάθη· ἀπὸ τῆς ποιότητος τοῦ δράσαντος· ὃν οὐδ' ὑπὲρ ἑαυτοῦ δίκην ἐᾷ λαβεῖν τὰ πεπραγμένα, καὶ βεβιωμένα· ἀπὸ τρόπου τῆς εἰσπράξεως μεταληπτι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῆς πόλεως πολίτης, ὁ δὲ τούτων αἴτιος, Ἀνδροτίων εἴη,
ὃν οὐδ' ὑπὲρ ἑαυτοῦ δίκην λαμβάνειν ἐᾶ τὰ πεπραγ-
94 μένα καὶ βεβιωμένα, μή τί γε ὑπὲρ τῆς πόλεως.
καίτοι, εἴ τις ἔροιτο αὐτὸν, τὰς εἰσφορὰς, πότερον τὰ
κτήματα, ἢ τὰ σώματα ὀφείλει; τὰ κτήματα, φήσειεν
ἂν, εἴπερ ἀληθῆ λέγειν βούλοιτο. ἀπὸ γὰρ τούτων εἰς-
φέρομεν. τίνος οὖν ἕνεκα ἀφεὶς σὺ τὰ χωρία δημεύ-
95 ειν, καὶ τὰς οἰκίας, καὶ ταῦτ' ἀπογράφειν, ἔδεις, καὶ ὕβρι-
ζες πολίτας ἀνθρώπους, καὶ τοὺς ταλαιπώρους με-
τοίκους. οἷς ὑβριστικώτερον, ἢ τοῖς οἰκέταις τοῖς αὑτοῦ
κέχρηται. καὶ μὴν, εἰ θέλετε σκέψασθαι τί δοῦλον, κέχρηνται
ἢ ἐλεύθερον εἶναι διαφέρει, τοῦτο μέγιστον ἂν εὕροιτε,
96 ὅτι τοῖς μὲν δούλοις, τὸ σῶμα τῶν ἀδικημάτων ἁπάν-
των ὑπεύθυνόν ἐστι· τοῖς δὲ ἐλευθέροις, κἂν τὰ μέγι-
στα τύχωσιν ἀδικοῦντες, τοῦτό γ' ἔνεστι σῶσαι. εἰς
χρήματα γὰρ τὴν δίκην περὶ τῶν πλείστων παρὰ
τούτων προσήκει λαμβάνειν. ὁ δὲ, τοὐναντίον εἰς τὰ
97 σώματα, ὥσπερ ἀνδραπόδοις, ἐποιήσατο τὰς τιμω-
ρίας. οὕτω δ' αἰσχρῶς καὶ πλεονεκτικῶς ἔχει πρὸς
ὑμᾶς, ὥστε τὸν μὲν ἑαυτοῦ πατέρα ᾤετο δεῖν, δημοσίᾳ
δεθέντα ἐπὶ χρήμασιν ἐν τῷ δεσμωτηρίῳ, μήτε ἀ-
ποδόντα ταῦτα, μήτε κριθέντα ἀποδρᾶναι· τῶν δ' ἄλ-
98 λων πολιτῶν τὸν μὴ δυνάμενον τὰ ἑαυτοῦ θεῖναι οἴ-
κοθεν, εἰς δεσμωτήριον ἕλκεσθαι. εἶτ' ἐπὶ τούτοις ὡς
ὁτιοῦν ἐξὸν ἑαυτῷ ποιεῖν, Σινώπην προσσυνεχύρα- προσσυνεχύρ
ζε, καὶ Φανοστράτην, ἀνθρώπους πόρνας, οὐ μέντοι γε εαζε.
ὀφειλούσας εἰσφοράς. καίτοι εἴ τισιν ἄρα δοκοῦσιν
99 ἐπιτήδειαι ἐκεῖναι παθεῖν, ἀλλὰ τὸ πρᾶγμά γε οὐκ
ἐπιτήδειον γίγνεσθαι, τηλικοῦτόν τινας φρονεῖν διὰ
χειροτονίαν, ὥστε βαδίζειν ἐπ' οἰκίας, καὶ σκεύη φέρειν, μη-
δὲν ὀφειλόντων ἀνθρώπων. πολλὰ γὰρ ἄν τις ἴδοι
πολλοὺς ἐπιτηδείους ὄντας πάσχειν, καὶ πεπονθέναι. ἀλ-
100 λ' οὐ ταῦτα λέγουσιν οἱ νόμοι, οὐδὲ τὰ τῆς πολιτείας
ἔθη, ἃ φυλακτέον ὑμῖν· ἀλλ' ἔνεστιν ἔλεος, συγγνώμη,
πολλὰ ὅσα προσήκει τοῖς ἐλευθέροις, ὧν οὐδενὸς ἁπάν-
των εἰκότως οὐ μετέχει τῇ φύσει, οὐδὲ τῇ παιδείᾳ·
πολλὰς γὰρ ὕβρισται, καὶ προπεπηλάκισται, συνὼν οὐκ ἀγαπώσιν αὐτὸν ἀνθρώ- ἑαυτὴν. α.
101 ποις, ἀλλὰ δοῦναι μισθὸν δυναμένοις· ὧν προσῆκέ σοι τὴν ὀργὴν, οὐκ εἰς τῶν
πολιτῶν τὸν τυχόντα ἀφιέναι, οὐδ' εἰς τὰς ὁμοτέχνους σοι πόρνας, ἀλλ' εἰς τοῦτον τὸν
τρόπον θρέψαντά σε πατέρα. ταῦτα τοίνυν ὡς μὲν οὐ δεινὰ, καὶ παρὰ πάντας
τοὺς νόμους, οὐχ ἕξει λέγειν οὐδέν. οὕτω δ' ἐστὶν ἀναιδὴς, ὥστ' ἐν τῷ δήμῳ προα-
102 γῶνας ἀεὶ κατασκευάζων ἑαυτῷ τῆσδε τῆς γραφῆς, ἐτόλμα λέγειν, ὡς ὑπὲρ ὑμῶν,
καὶ δὴ

κῶς· εἶτα ἀπὸ διαφόρων προσώ-
πων, ὅτι ἔδει τὰ κτήματα ἀπογράφειν,
ἀλλὰ μὴ τὰ σώματα ποιεῖν κακῶς.
93 Ὁ δὲ τούτων αἴτιος, Ἀνδροτίων εἴη) Αὔξησιν τῶν δεινῶν ἀπὸ τῆς τοῦ δεδρακότος ἔχει ποιότητος. ὁ ἡταιρηκὼς, τοὺς σωφρονοῦντας ἠδίκει, καὶ προὐπηλάκιζεν ἀνὴρ, καὶ ἀδικεῖται, στέργειν ὀφείλων τὴν τύχην, ἐπιβοᾶται τοὺς νόμους ἀδυνατῶν, ὑπὸ τῆς ἀτιμίας ἐπεξελθεῖν οὐ δυνάμενος, ἐν ἡσυχίᾳ στένων, ἀγαπῶν εἰ μὴ προσλάβοι τι
94 δεύτερον. Τίνος οὖν ἕνεκα ἀφεὶς) Διδάσκει τρόπον ἕτερον εὐπρεποῦς ἀπαιτήσεως. ἀπογράφειν ἔδει τὰ κτήματα, ὡς δημόσια, τῶν μὴ θελόντων
95 εἰσενεγκεῖν. Ἔδεις, καὶ ὕβριζες πολίτας ἀνθρώπους) Σοφῶς πάνυ ἐπὶ μὲν τῶν πολιτῶν, τὸ ὑβρίζειν εἴρηκεν, ὃ ἐστι τοῖς Ἀθηναίοις ἀφόρητον. ἐπὶ δὲ τῶν μετοίκων, τοὺς ταλαιπώρους ὠνόμασεν. ὃ τῇ ταπεινότητι τῆς τύχης ὑπῆρχεν ἀκόλουθον. αὐτίκα γοῦν εἰ μεταλλάξει, οὐκ ἔσθ' ὁμοίως ἕ-
98 ξει καλῶς. Ἀνθρώπους πόρνας) Ἵνα κἀκ τῶν ὀνομάτων κωμῳδήσῃ τὸν Ἀνδροτίωνα, εἶτα ἀπὸ τῆς μάχης. τὸν μὲν ἑαυτοῦ πατέρα ᾤετο δεῖν δημοσίᾳ δεθέντα ἐπὶ χρήμασι, καὶ τὰ ἑξῆς, τοὺς δὲ ἄλλους, πολίτας ὑβρίζειν, Ἀνδροτίωνος οὐκ εἰσφορὰς ὀφλήσαντος, ἀλλὰ δημόσια νενοσφισμένου. εἶτα αὔξησιν ἐπήγαγεν εἰς τὸ δεσμωτήριον οἴκοθεν ἕλκεσθαι. τὸ μὲν γὰρ ἐξ ἀγορᾶς, ἔχει παραμυθίαν. τὸ δὲ οἴκοθεν, δεινότερον ἔχει τὸ κατηγόρημα, καὶ πιστοῦται τὰς ἐπὶ τῶν γυναικῶν ὕβρεις. Καίτοι εἴ τισιν ἄρα δοκοῦσιν ἐπιτήδειαι) Οὔτε καταβρέχει φανερῶς, οὔτε συνηγορεῖ καθαρῶς. τὸ μὲν γὰρ, ἐπαχθέστερον καὶ ἄγροικον· τὸ δὲ, ἡδομένου τῷ τούτου βίῳ. τὸ δὲ μὴ δεῖν βαδίζειν εἰς τὰς οἰκίας, καὶ τὰ ἑξῆς, ἐπὶ τὸ σχῆμα τῆς πολιτείας ἀνενήνοχε.
101 Εἰς τῶν πολιτῶν τὸν) Ἴσως αἰνίττεται ὡς Ἀνδροτίωνος οὐκ ἀνεχομένου ἄλλας, ἢ ἄλλοις πορνευούσας· ζηλοτυπεῖ γάρ τις
102 τὸ ὁμότεχνον. Προαγῶνας) Προαγῶνές εἰσι λόγοι, οἱ προευτρεπίζοντες ἡμῖν τὴν τῶν δικαστῶν ἀκοήν· ἀγὼν γὰρ ἡ κρίσις. Τῆσδε τῆς γραφῆς ἐτόλμα

καὶ δι' ὑμᾶς ἐχθροὺς ἐφ' ἑαυτὸν εἵλκυκε, καὶ νῦν ἐν
τοῖς ἐσχάτοις ἐστὶ κινδύνοις. ἐγὼ δ' ὑμῖν, ὦ ἄνδρες ἀ-
θηναῖοι, βούλομαι δεῖξαι τοῦτον οὔτε πεπονθότα οὐ-
δ' ὁποιονοῦν κακόν, οὔτε μέλλοντα πάσχειν οὐδέν, δι' ὧν ὑ-
πὲρ ὑμῶν ἔπραξε. ἀλλὰ μέντοι τὴν αὑτοῦ βδελυ- 103
ρίαν, καὶ θεοῖς ἐχθρὰν αἰσχροκέρδειαν, πεπονθότα μὲν
μέχρι τῆσδε τῆς ἡμέρας οὐδέν, πεισόμενον δέ, ἂν τὰ
δίκαια ποιῆτε ὑμεῖς· σκέψασθε γὰρ ὡδί. τί ποθ' ὑμῖν
οὗτος ὑπέσχετο, καὶ τί πράττειν αὐτὸν ἐχειροτονήσατε ὑμεῖς.
χρήματα εἰσπράττειν· ἄλλο δὲ πρὸς τούτῳ τι ποιεῖν, 104
οὐδέν. φέρε δὴ καθ' ἕκαστον ὑπομνήσω τὴν εἴσπρα-
ξιν ὑμᾶς. οὗτος εἰσέπραξε λεπτίνην τὸν ἐκ κοίλης,
τέτταρας καὶ τετταράκοντα δραχμάς· καὶ θεόξενον, τὸν
ἀλωπεκῆθεν, δραχμὰς ἑβδομήκοντα, καὶ μικρόν τι
πρός· καὶ τὸν εὐφήμου καλλιστράτην, καὶ τὸν τελεσοῦ 105
νεανίσκον· οὐκ ἔχω γὰρ τοὔνομα εἰπεῖν. σχεδὸν δὲ πάν-
τας, οὓς εἰσέπραξεν, ἵνα μὴ καθ' ἕκαστον λέγω, οὐκ
οἶδα εἴ τινα ὑπὲρ μνᾶν ὀφείλοντα. πότερ' οὖν οἴεσθε
τούτων ἕκαστον μισεῖν, καὶ πολεμεῖν αὐτῷ διὰ τὴν εἰ-
σφορὰν ταύτην, ἢ τὸν μὲν αὐτόν, ὅτι πάντων ἀκουόν- 106
των ὑμῶν ἐν τῷ δήμῳ, δούλους ἔφη, καὶ ἐκ δούλων εἶ-
ναι, καὶ προσήκειν αὐτοῖς τὸ ἕκτον μέρος εἰσφέρειν μετὰ
τῶν μετοίκων· τὸν δ' ὅτι παῖδας ἐκ πόρνης εἶναι· τὸν δὲ
τὸν πατέρα ἡταιρηκέναι· τοῦ δὲ τὴν μητέρα πεπορ-
νεῦσθαι· τὸν δέ, ἀπογράφειν ὅσα ὑφείλετο ἐξ ἀρχῆς· 107
τὸν δέ, τόδ' εἶναι, τὸν δέ, ὁμοῦ ῥητά, καὶ ἄρρητα κακὰ
ἐξῆς ἅπαντας· ἐγὼ μὲν γὰρ οἶδ' ὅτι πάντες, εἰς οὓς ἐ-
παρῴνησεν οὗτος, τὴν μὲν εἰσφορὰν ἕκαστος, ἀναγκαῖον
ἀνάλωμα ὑπελάμβανεν εἶναι, τοιαῦτα δ' ἀτιμα-
σθείς, καὶ προπηλακισθείς, χαλεπῶς ἐνήνοχε. κά- 108
κεῖνο οἶδα, ὅτι χρήματα εἰσπράττειν τοῦτον ἐχειροτο-
νήσατε ὑμεῖς, οὐχὶ τὰς ἰδίας συμφορὰς ὀνειδίζειν, καὶ προσφέρειν ἑκάστῳ. εἴτε γὰρ ἦσαν
ἀληθεῖς, οὐ σοὶ ῥητέαι· πολλὰ γὰρ ὑμῶν ἕκαστος οὐχ ὡς βούλεται πράττει, εἴτε μὴ
προσηκούσας κατεσκεύαζες, πῶς οὐχ ὁτιοῦν ἂν πάθοις δικαίως; ἔτι τοίνυν ἐκ τοῦ-
δε ἀκριβέστερον γνώσεσθε, ὅτι μισεῖ τοῦτον ἕκαστος οὐ διὰ τὴν εἴσπραξιν, ἀλλ' ὑφ' ὧν 109
ὑβρίσθη, καὶ ἐπαρῳνήθη. σάτυρος γὰρ ὁ τῶν νεωρίων ἐπιμελητής, οὐχ ἑπτὰ τάλαντα
εἰσέπραξεν ὑμῖν, ἀλλὰ τέτταρα καὶ τριάκοντα, τοὺς αὐτοὺς τούτους ἀνθρώπους, ἐξ
ὧν παρέθηκε τὰ σκεύη ταῖς ἐκπλευσάσαις ναυσί. καὶ οὔτ' ἐκεῖνος διὰ ταῦτα οὐδέ-
να ἐχθρὸν ἑαυτῷ φησιν εἶναι, οὔτε τῶν εἰσπραχθέντων οὐδεὶς ἐκείνῳ πολεμεῖ. ὁ μὲν γάρ, 110
τὸ προστεταγμένον, οἶμαι, διεπράττετο. σὺ δὲ τῇ σαυτοῦ προπετείᾳ καὶ θρασύ-
τητι λαβὼν ἐξουσίαν, πολλὰ ἀνηλωκότας εἰς τὴν πόλιν ἀνθρώπους, καὶ οὐ βελτίους,
καὶ ἐκ βελτιόνων, ψευδέσι καὶ χαλεποῖς ὀνείδεσιν ᾤου δεῖν περιβάλλειν. εἶτα ταῦ-

λέγειν) Προδιαβολὴν τοῦτο τοῦ σύμ-
παντος βίου λαμβάνει, ἵνα φαίνηται
ἀνθρώπων ἐκ πολλοῦ προειδώς, ὅτι
πάντως ἐγκληθήσεται διὰ τὴν ὑπερ-
βολὴν τῶν πλημμελημάτων. ὥστε τὸ προ-
λέγειν αὐτὸν ἀεί, συνειδότος ἦν ὅτι
ἠδίκει. Ἐγὼ δ' ὑμῖν, ὦ ἄνδρες) 102
Ἀπόδειξις τοῦ ἀνθρώπου ὡς οὐ διὰ τὰς
εἰσπράξεις, ἀλλὰ διὰ τὴν πονηρίαν,
καὶ ὕβριν μισεῖσθαι, ἐξ ἐπαγωγῆς.
Οὐ σοὶ ῥητέαι) Οἱονεὶ ὅτι αἰσχρῶς 108
πλέον τῶν διαβεβλημένων· ἢ οὕτως.
οὐ σοὶ ῥητέαι, ὅτι γε ἀνθρώπῳ, καὶ ὑ-
ποκειμένῳ ταῖς συμφοραῖς. Ἔτι τοί-
νυν ἐκ τοῦδε ἀκριβέστερον) Ἐκ συγ-
κρίσεως ἀπόδειξις τοῦ διὰ τὸν τρόπον,
ἀλλὰ μὴ διὰ τὰς εἰσπράξεις μισεῖ-
σθαι. Σάτυρος γὰρ ὁ τῶν νεωρίων 109
ἐπιμελητής) Οἱονεὶ ὁ τοὺς τόπους κα-
θαίρων, δι' ὧν ἀνέλκονται αἱ τριή-
ρεις· ἢ τῶν νεῶν αὐτῶν τὴν φροντίδα
πεπιστευμένος. ἐν οἷς θεωρεῖται τὸ τῆς
ἀντιθέσεως. οὐ διὰ τὰς εἰσπράξεις
μεμίσηται. πόθεν ἐμισήθη γὰρ ἂν καὶ
ὁ Σάτυρος; ἀλλὰ διὰ τὸν αὐτοῦ τρόπον,
καὶ τὸ ὕβρισμα. Ἄλλως. Πά-
λιν κατασκευάζει ὅτι οὐ διὰ τὴν πό-
λιν, ἀλλὰ διὰ τὴν ὠμότητα τοὺς πο-
λεμίους ἐκτήσατο. ἀσυγκρίτως γὰρ
ἀποδείκνυσι διὰ τὸν τρόπον, ἀλλ' οὐ διὰ
τὰς εἰσπράξεις μισεῖσθαι. εἶτα ἐπι-
χείρημα μεταληπτικόν. εἰ ὑπὲρ τῆς
πόλεως ἐποιεῖτο τὴν εἴσπραξιν, ἔδει
τῶν κλεπτόντων στρατηγῶν καὶ ῥητό-
ρων κατηγορεῖν. ἀλλὰ μὴν οὐ φαίνε-
ται τοῦτο ποιῶν. οὐχ ὑπὲρ ὑμῶν ἄρα
τὴν εἴσπραξιν ἐποιήσατο. εἶτ' ἐπει-
δὴ ὑπὲρ στοχαστικὸς κατὰ τοὺς ῥήτορας καὶ
τοὺς στρατηγοὺς ἐδόκει ὁ τόπος, ἐπή-
γαγεν εὐθὺς τὴν ἀπόδειξιν εἰπ[illegible] οἱ
παρὰ τούτοις κεκριμένοι. Τοῖς αὐτοῖς
τούτοις) Τοῖς αὐτοῖς τούτοις εἶπεν, ἵνα
μὴ εἴπῃ, ὅτι ἐκεῖνοι εὐγνώμονες ἦσαν
οἱ δ' ἐμοὶ ἀναισχυντότεροι, οὐχ ὡς ἐ-

εἵλκυσε. ι.

καλλικράτην. ι.

ἐκ συγκρίσεως.

ὑπέλαβεν.

ταῦτα. α.

112 κεῖνοι. Ὡς ἐκεῖνό γε εἴδοσι μὲν ἴσως) Τὸ ὡς μόριον, νῦν αἰτιολογικόν ἐστι, γάρ. κεῖται δὲ ἔστιν ἡ φράσις ἀττική. καὶ γὰρ ἐκεῖνο εἴδοσιν ὑμῖν ἴσως, ὅμως ἐρῶ. Ὅτι τοίνυν ὅλως) Ἄλλο ἐπιχείρημα ἀνατρέπον αὐτοῦ τὴν ἔννοιαν, ἐφ' οἷς λέγει, δι' ὑμᾶς πολεμοῦμαι. ἐκκόπτει δὲ τῆς πόλεως τοὺς ἁρπάζοντας μᾶλλον τὰ κοινά, ἢ κλέπτοντας ἀπῄτει δὲ τοὺς ὀλίγα ἔχοντας καὶ φειδομένους.

115 Οἱ παρὰ τούτοις κέκρινται) Ἵνα μὴ αἰτιάσῃ, ὅτι εἰ καὶ ἠδίκησαν, ἔλαθον· ἐπάγει κέκρινται. εἶτα ἕτερον ἀνεπίπλοκον. ὅτι ἐκρίθησαν μέν. ἠφείθησαν δὲ ἵνα μὴ συκοφαντεῖν φαίνηται τὰ τῆς κρίσεως, ἐπήγαγε τὴν λύσιν· ὧν οἱ μὲν τεθνᾶσιν ἐφ' οἷς ἠδίκουν· εἶτα ἐπειδή τινες καὶ συκοφαντούμενοι θνήσκουσιν ἀδίκως, αὐτοὺς ἑαυτῶν ἐποίησε καταγινώσκοντας ὡς πεφευγέναι τὴν κρίσιν.

116 Ἐξηπατήθης) Ἐφάνης. Οὕτως ὢν θρασὺς καὶ λέγειν δεινός) Ἐπέρχεται λυπῶν τῆς διόρθωσις. ἀλλ' ἐκεῖνοι μὲν, ἠδίκουν· ἐγὼ δὲ κατηγορεῖν οὐκ ἠδυνάμην, ἐπιεικὴς ὢν καὶ δειλός, διὰ τοῦτο εἶπεν, οὕτως ὢν θρασὺς, καὶ λέγειν δεινός.

117 Ὑφαιροῦνται) Κλέπτουσι. Δι' ἀπληστίαν τοῦ τρόπου, διχόθεν) Ἡ ἀπὸ τῶν εἰσφορῶν τῶν συμμάχων, ἢ πρὸς τῷ μὴ εἰσφέρειν καὶ ἀφαιροῦνται τὰ κοινά. Οὔτε γὰρ ῥᾷον) Αὕτη ἀναίρεσις αἰτίων λέγεται· τὰς γὰρ ἄλλας ἀναιροῦντες μίαν, ἣν βουλόμεθα καταλείπομεν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. οὔτε δυσκολώτερόν ἐστι πολλοῖς ἀνθρώποις προσκρούειν ὀλίγα ἀδικοῦσι· καὶ μᾶλλον ἐπιθετέον τοῖς ὀλίγοις μὲν, πλείονα δὲ ἐξαμαρτάνουσιν [illegible] αὖ ὡς δημοτικὸν περιείργασαι μὲν τὰ τῶν πενήτων κακὰ, παρεῖδες δὲ τὰ τῶν πλουσίων. τοὐναντίον γὰρ μᾶλλον ἔπρεπεν.

118 Οὐδένα) Αὕτη ἐστὶν ἀληθὴς αἰτία, ἣν κατέλιπεν.

119 Ὁμοῦ μετοίκους, Ἀθηναίους δέων) Ἵνα παντὶ τῷ πλήθει συγκρούων φαίνηται, ὑπέμνησε τῶν εἰς ἅπαντας γεγενημένων ὕβρεων. τοῦτο πεποίηκε καὶ ἐν τῷ κατὰ Μειδίου, συγκρούων ἅπασι τοῖς ἔθνεσι τῆς πόλεως τὸν Μειδίαν, ἱππεῦσιν, ἀρεοπαγίταις, δήμῳ. τοῦτο καὶ τῷ κατ' Αἰσχίνου, συγκρούων Αἰσχίνην τῷ χάριτι πρὸς ὃν αὐτὸς μὲν ὁ δῆμος οὐκ εἶχεν οἰκείως, οἰκειώσασθαι δὲ βουλόμε-

ὑφαιρεῖται.

111 οὗτοι πειθῶσιν ὑπὸ αὐτῶν σε ποιεῖν, καὶ τὰ τῆς σῆς ἀναισχυντίας καὶ πονηρίας ἔργα ἐφ' ἑαυτοὺς ἀναδέξονται; ἀλλὰ μισεῖν δικαιότερον διὰ ταῦτά σε ὀφείλουσιν, ἢ σώζειν. τὸν γὰρ ὑπὲρ πόλεως πράττοντά τι, δεῖ τὸ τῆς πόλεως ἦθος μιμεῖσθαι. καὶ σώζειν ὑμᾶς
112 τοὺς τοιούτους ὦ ἄνδρες Ἀθηναῖοι, προσήκει, καὶ μισεῖν τοὺς, οἷός περ οὗτος. ὡς ἐκεῖνό γε εἴδοσι μὲν ἴσως, ὅμως δὲ ἐρῶ. ὁποίους τινὰς ἂν φαίνησθε ἀγαπῶντες, καὶ σώζοντες, τούτοις ὅμοιοι δόξετε εἶναι. ὅτι τοίνυν οὐδ' ὅλως, οὐδὲ τὴν εἴσπραξιν αὐτὴν ὑπὲρ ὑμῶν πεποίη-
113 ται, καὶ τοῦτο αὐτίκα δὴ μάλα δῆλον ὑμῖν ποιήσω. εἰ γάρ τις ἔροιτο ὑμᾶς, πότεροι αὐτοὶ δοκοῦσιν ἀδικεῖν μᾶλλον τὴν πόλιν, οἱ γεωργοῦντες, καὶ φειδόμενοι, διὰ παιδοτροφίας δὲ, καὶ οἰκεῖα ἀναλώματα, καὶ λῃτουργίας ἑτέρας, ἐλλελοιπότες τὰς εἰσφοράς· ἢ οἱ
114 τὰ τῶν ἐθελησάντων εἰσενεγκεῖν χρήματα, καὶ τὰ παρὰ τῶν συμμάχων κλέπτοντες καὶ ἀπολλύντες· οὐκ ἂν εἰς τοῦτο τόλμης δήπου, καίπερ ὢν ἀναιδής, ἔλθοις, ὥστε φῆσαι τοὺς τὰ ἑαυτῶν μὴ εἰσφέροντας, μᾶλλον ἀδικεῖν, ἢ τοὺς τὰ κοινὰ ὑφαιρουμένους. τίνος οὖν ἕνε-
115 κα, ὦ βδελυρὲ, ἐτῶν ὄντων πλειόνων, ἢ τριάκοντα, ἀφ' οὗ σὺ πολιτεύῃ, καὶ ἐν τούτῳ τῷ χρόνῳ πολλῶν μὲν στρατηγῶν ἠδικηκότων τὴν πόλιν, πολλῶν δὲ ῥητόρων, οἳ παρὰ τουτοισὶ κέκρινται, ὧν οἱ μὲν τεθνᾶσιν, ἐφ' οἷς ἠδίκουν· οἱ δ' ἀποχωρήσαντες φεύγουσιν, οὐ-
116 δενὸς πώποτε ἐξηπάτης κατήγορος, οὐδ' ἀγανακτῶν ὤφθης ὑπὲρ ὧν ἡ πόλις πάσχει, οὕτως ὢν θρασὺς καὶ λέγειν δεινός, ἀλλ' ἐνταῦθα ἐφάνης κηδεμὼν ὤν, οὗ σε πολλοὺς ἔδει κακῶς ποιῆσαι; βούλεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ τούτων αἴτιον ἐγὼ ὑμῖν εἴπω; ὅτι
117 τούτων μὲν μετέχουσιν ὧν ἀδικοῦσιν ὑμᾶς τινές. ἀπὸ δὲ τῶν εἰσπραττομένων ὑφαιροῦνται δι' ἀπληστίαν τοῦ τρόπου, διχόθεν καρποῦται τὴν πόλιν. οὔτε γὰρ ῥᾷον πολλοῖς, καὶ τὰ μικρὰ ἀδικοῦσιν ἀπεχθάνεσθαι, ἢ ὀλίγοις καὶ μεγάλα, οὔτε δημοτικώτερον δήπου τὰ
118 τῶν πολλῶν ἀδικήματα ὁρᾶν, ἢ τὰ τῶν ὀλίγων. ἀλλὰ τοῦτ' αἴτιον, ὃ ἐγὼ λέγω. τῶν μὲν, οὐδένα αὐτὸν ὄντα τῶν ἀδικούντων. ὑμᾶς δ' οὐδενὸς ἀξίους ἡγήσατο. διὰ τοῦτο ἐχρήσατο τῷ τρόπῳ ὑμῖν· εἰ γὰρ ἀνδραπόδων πόλις, ἀλλὰ μὴ τῶν ἄρχειν ἑτέρων ἀξιούντων, ὡμολογεῖτο εἶναι, οὐκ ἂν, ὦ ἄνδρες Ἀ-
119 θηναῖοι, τὰς ὕβρεις ἠνέσχεσθε τὰς τούτου, ἃς ἐν τῇ ἀγορᾷ ὕβριζεν, ὁμοῦ μετοίκους, Ἀθηναίους δέων, ἀπάγων, βοῶν ἐν ταῖς ἐκκλησίαις, ἐπὶ τοῦ βήματος, δούλους καὶ ἐκ δούλων

πεισθήσονται.

ἀναισθησίας. α.β.

τοὐναντίον οὐ. β.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δούλων καλῶν, ἑαυτὸν βελτίους, καὶ ἐκ βελτιόνων. ἐρωτῶ δ' εἰ μάτην τὸ δεσμωτήριον ᾠκοδόμηθη. καταφαίην μὲν ἔγωγε, εἴγε ὁ πατὴρ ὁ σὸς ᾤχετο αὐτόθεν
120 αὐταῖς πέδαις ἐξορχησάμενος. Διονυσίοις τῇ πομπῇ.
ἀλλὰ δὴ ὅσα ὕβρικεν, οὐδ' ἂν ἔχοι τις εἰπεῖν, τοσοῦτο πλῆθός ἐστιν. ὧν ἀθρόον ἄξιον λαβόντας δίκην τήμερον, παράδειγμα ποιῆσαι τοῖς ἄλλοις, ἵν' ὦσι μετριώτεροι. ἀλλὰ νὴ Δία ταῦτα μὲν τοιοῦτός ἐστιν, ἐν
121 οἷς πεπολίτευται, ἄλλα δ' ἐᾶθ' ἃ καλῶς διῴκηκεν;
ἀλλὰ καὶ τἄλλα οὕτω προσελήλυθεν ἅπαντα πρὸς ὑμᾶς, ὥστε ἥκιστα ἐν οἷς ἀκηκόατε, ἄξιός ἐστι μισεῖσθαι. τί γὰρ βούλεσθε εἴπω, τὰ πομπεῖα ὡς ἐπεσκεύασε, καὶ τὴν τῶν στεφάνων καθαίρεσιν, ἢ τὴν τῶν
122 φιαλῶν ποίησιν τὴν καλήν; ἀλλ' ἐπὶ τούτοις γε, εἰ καὶ μηδὲν ἄλλο ἀδικῶν ἔτυχε τὴν πόλιν, τρὶς οὐχ ἅπαξ τεθνάναι δίκαιος ὢν φαίνεται· καὶ γὰρ ἱεροσυλίας, καὶ ἀσεβείας, καὶ κλοπῆς, καὶ πᾶσι τοῖς δεινοτάτοις, ἐστ' ἔνοχος. τὰ μὲν οὖν πολλὰ ὧν λέγων ὑμᾶς ἐφενάκιζε, παραλείψω. φήσας δ' ἀπορρεῖν τὰ φύλλα τῶν 123
στεφάνων, καὶ σαπροὺς εἶναι διὰ τὸν χρόνον, ὥσπερ ἴων, ἢ ῥόδων ὄντας, ἀλλ' οὐ χρυσίου, συγχωνεύειν ἔπεισε. κᾆτ' ἐπὶ μὲν ταῖς εἰσφοραῖς, τὸν δημόσιον παρεῖναι προσέγραψεν, ὡς δὴ δίκαιος ὤν, ὧν ἕκαστος ἀντιγραφεὺς ἔμελλεν ἔσεσθαι τῶν εἰσενεγκόντων· ἐπὶ τοῖς στεφάνοις δέ, οὓς κατέκοπτεν, οὐχὶ προσήγαγε ταὐτὸ δίκαιον τοῦτο· 124
ἀλλ' αὐτὸς, ῥήτωρ, χρυσοχόος, ταμίας, ἀντιγραφεὺς γέγονε. καὶ μὴν εἰ μὲν ἅπαντα ἠξίους ὅσα πράττεις τῇ πόλει, σαυτῷ πιστεύεσθαι, οὐκ ἂν ὁμοίως κλέπτης ὢν ἐφωρῶ. νῦν δ' ἐπὶ ταῖς εἰσφοραῖς ὁ δίκαιον ἐᾶθ' ὁρίσας, μὴ σοὶ πιστεύειν, ἀλλὰ τοῖς ἑαυτοῦ δούλοις, τὴν πόλιν, ὁπότε ἄλλο τι πράττων, καὶ χρήματα κινῶν ἱερά, ὧν ἔνια 125
οὐδ' ἐπὶ τῆς ἡμετέρας γενεᾶς ἀνετέθη, μὴ προσεγράψαμενος τὴν αὐτὴν φυλακήν, ἥπερ περὶ τῶν εἰσφορῶν φαίνη, οὐκ εὔδηλον δι' ὃ τοῦτ' ἐποίησας; ἐγὼ μὲν οἴομαι. καὶ μήν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ κατὰ πάντας τοῦ χρόνου σκέψασθε, ὡς καλὰ καὶ ζηλωτὰ ἐπιγράμματα τῆς πόλεως ἀνελών, ὡς ἀσεβῆ καὶ δεινὰ ἀντεπιγέγραφεν. 126
οἶμαι γὰρ ὑμᾶς ἅπαντας ὁρᾶν ὑπὸ τῶν στεφάνων ταῖς χοινικίσι κάτωθεν γεγραμμένα, οἱ σύμμαχοι τὸν δῆμον ἀνδραγαθίας ἕνεκα καὶ δικαιοσύνης. ἢ οἱ σύμμαχοι ἀριστεῖον τῇ Ἀθηνᾷ. ἢ κατὰ πόλεις οἱ δεῖνες τὸν δῆμον, σωθέντες ὑπὸ τοῦ δήμου.
α. οἷον, Εὐβοεῖς ἐλευθερωθέντες, ἐστεφάνωσαν τὸν δῆμον. ἐπιγέγραπτό που πάλιν, Κό- 127
νων ἀπὸ τῆς ναυμαχίας τῆς πρὸς Λακεδαιμονίους· τοιαῦτα γὰρ ἦν τὰ τῶν στεφάνων ἐπιγράμματα. ταῦτα μὲν τοίνυν, ἃ ζῆλον πολὺν εἶχε καὶ φιλοτιμίαν ὑμῖν, ἠφάνισται, καθαιρεθέντων τῶν στεφάνων. ἐπὶ ταῖς φιάλαις δέ, ἃς ἀντ' ἐκείνων ἐποιήσατο ὑμῖν ὁ πόρνος οὗτος, Ἀνδροτίωνος ἐπιμελουμένου ἐποιήθησαν ἐπιγέγραπται· 128
καὶ οὗ τὸ σῶμα ἡταιρηκότος οὐκ ἐῶσιν οἱ νόμοι εἰς τὰ ἱερὰ εἰσιέναι, τούτου τοὔνομα ἐν τοῖς ἱεροῖς ἐπὶ τῶν φιαλῶν γεγραμμένον ἐστίν· ὅμοιόν γε, οὐ γάρ; τοῦτο τοῖς προτέροις ἐπιγράμμασιν, ἢ φιλοτιμίαν ἴσην ἔχον ὑμῖν. τρία φήνας ἐκ τού-

Margin: ἡμῖν. β. — φιλοτιμίας ἴσης. ε.

νος. τῷ μὲν αἰτιδίκῳ προσέκρουσεν, αὐτοὺς δὲ προσήγαγεν. Εἰ μάτην τὸ δεσμωτήριον) Τί παρενοχλεῖτε τὴν πόλιν; οἴκησις ὑμῖν ἀποδέδοται πρόσφορος. τὸ δεσμωτήριον καταλάβετε τοῦτο. ὃ δι' ὑμᾶς οἱ πατέρες ᾠκοδόμησαν. 119
Καταφαίην ἄν) Ἐρωτῶντί σοι περὶ τοῦ δεσμωτηρίου, σφόδρα ἂν ἀποκριναίμην, ὡς μάτην ᾠκοδόμηται, τό γε τοῦ σοῦ πατρὸς μέρος. οὐ γὰρ ἴσχυσε φυλάττειν αὐτόν, ἀλλὰ γέλως ὤφθη φυγόντος αὐτοῦ τὸ δεσμωτήριον.
Ἐξορχησάμενος, διονυσίων) Κακῶς τῇ πομπῇ καὶ τῇ πανηγύρει χρησάμενος· ἔθος γὰρ ὄντος αἰτεῖσθαι τότε διὰ τὴν ἑορτήν, εἶτα ἐμβάλλεσθαι, διὰ τὸν δρασμὸν ἐνύβρισε τοῖς διονυσίοις. 120
Τὸν δημόσιον) Δημόσιον λέγει τὸν ταῖς βασάνοις ὑποκείμενον. διὸ καὶ δοῦλον καλεῖ. 123
Ταῖς χοινικίσι) Χοινικὶς ἡ ὀπὴ τοῦ τροχοῦ ἐν ᾗ στρέφεται ὁ ἄξων. 126
Ἀριστεῖον) Γέρας ὑπὲρ τῆς ἀριστείας· ὡς γὰρ τῶν πολέμων προστάτιν, ἐτίμων τοῖς δώροις τὴν Ἀθηναίων πόλιν.

130 Δι' ἐκεῖνον) Διὰ τὸν Δημοκράτην συνηγοροῦντα· κρινομένῳ γὰρ συμπαρῶν.
134 Οὐκ ἀμφορεῖσκοι δύο) Ἀμφορεῖσκοι εἰσὶν ἀγγεῖα, ὡς ξέσται τινές. χρυσίδες δέ, χρυσαῖ φιάλαι.

129 του τὰ αἴσχιστα αὐτῷ τῆς ἰδίας πεπραγμένα αὐτοῖς. τοὺς μὲν γὰρ θεοὺς τοὺς στεφάνους σεσυλήκασι, τῆς πόλεως δὲ τὸν ζῆλον ἠφανίκασι, τὸν ἐκ τῶν ἔργων, ὧν ὑπομνήματ' ἦσαν ὄντες οἱ στέφανοι. τοὺς δ' ἀναθέντας δόξαν οὐ μικρὰν ἀφῄρηνται, τὸ δοκεῖν ὧν ἂν εὖ πάθω-
130 σιν, ἐθέλειν μεμνῆσθαι. καὶ τοιαῦτα καὶ τοσαῦτα κακὰ τὸ πλῆθος εἰργασμένοι, εἰς τοῦτο ἅμα ἀναισθησίας καὶ τόλμης προεληλύθασιν, ὥστε μέμνηνται τούτων ὡς καλῶς αὐτοῖς διῳκημένων. ὥσθ' ὁ μὲν οἴεται δι' ἐκεῖνον ὑφ' ὑμῶν σωθήσεσθαι· ὁ δὲ, παρακάθηται, καὶ οὐ καταδύεται τοῖς πεπραγμένοις. οὕτω δ' οὐ μόνον εἰς χρή-
131 ματα ἀναιδής, ἀλλὰ καὶ σκαιός ἐστιν, ὥστε οὐκ οἶδεν ἐκεῖνο, ὅτι στέφανοι μὲν εἰσὶν ἀρετῆς σημεῖον, φιάλαι δὲ καὶ τὰ τοιαῦτα, πλούτου, καὶ στέφανος μὲν ἅπας, κἂν μικρὸς ᾖ, τὴν ἴσην φιλοτιμίαν ἔχει τῷ μεγάλῳ· ἐκπώματα δὲ ἢ θυμιατήρια, ἂν μὲν ὑπερβάλλῃ τῷ πλήθει, πλούτου τινὰ δόξαν προσετρίψατο τοῖς κεκτη-
132 μένοις· ἐὰν δ' ἐπὶ μικροῖς τις σεμνύνηται, τοσοῦτ' ἀπέχει τοῦ τιμῆς τινὸς διὰ ταῦτα τυχεῖν, ὥστε ἀπειρόκαλος προσεδόξεν εἶναι. οὗτος τοίνυν ἀνελὼν τὰ τῆς δόξης κτήματα, τὰ τοῦ πλούτου πεποίηται μικρὰ, καὶ οὐχ ὑμῶν ἄξια. καὶ οὐδ' ἐκεῖνο οἶδεν, ὅτι πρὸς μὲν χρημάτων κτῆσιν, οὐδὲ πώποτε ὁ δῆμος ἐσπούδασε·
133 πρὸς δὲ δόξης, ὡς οὐδὲ πρὸς ἓν τῶν ἄλλων. τεκμήριον δέ· χρήματα μὲν γὰρ πλεῖστα τῶν Ἑλλήνων ποτὲ° σχὼν, τὰ πάντα° ὑπὲρ φιλοτιμίας ἀνήλωσεν. εἰσφέρων δ' ἐκ τῶν ἰδίων, οὐδένα κίνδυνον ὑπὲρ δόξης ἐξέστη. ἀφ' ὧν κτήματα ἀθάνατα αὐτῷ περίεστι, τὰ μὲν, τῶν ἔργων ἡ μνήμη· τὰ δὲ, τῶν ἀναθημάτων τῶν ἐ-
134 π' ἐκείνοις° ἀνατεθέντων τὸ κάλλος. προπύλαια ταῦτα, ὁ παρθενὼν, στοαί, νεώσοικοι, οὐκ ἀμφορεῖσκοι δύο, οὐδὲ χρυσίδες τέτταρες, ἢ τρεῖς, ἄγουσα ἑκάστη μνᾶν. ἃς, ὅταν σοι δοκῇ, σὺ πάλιν γράψεις καταχωνεύειν. οὐ γὰρ αὑτοὺς δεκατεύοντες, οὐδὲ ἃ κατηράσαντο ἂν οἱ ἐχθροὶ ποιοῦντες, διπλᾶς ¹ πλάττοντες τὰς
135 εἰσφορὰς, ταῦτα ἀνέθεσαν· οὐδ', οἵοις περ σύ, χρώμενοι συμβούλοις ἐπολιτεύοντο, ἀλλὰ τοὺς ἐχθροὺς κρατοῦντες, καὶ ἃ πᾶς τις ἂν εὖ φρονῶν εὔξαιτο, τὴν πόλιν εἰς ὁμόνοιαν ἄγοντες, ἀθάνατον κλέος αὐτῶν λελοίπασι. τοὺς δ' ° ἐπιτηδεύοντας οἷα σοὶ βεβίωται, τῆς ἀγορᾶς εἴργοντες. ὑμεῖς δ' εἰς τοῦτο, ὦ ἄνδρες Ἀθη-
136 ναῖοι, προήχθητε εὐηθείας καὶ ῥᾳθυμίας, ὥστ' οὐδὲ ° τοιαῦτα ἔχοντες παραδείγματα, ταῦτα μιμεῖσθε, ἀλλ' Ἀνδροτίων ὑμῖν πομπείων ἐπισκευαστής. Ἀνδροτίων; ὦ γῆ καὶ θεοί. καὶ τοῦτο τὸ ἀσέβημα, ἔλαττόν τινος ἡγεῖσθε. ἐγὼ μὲν γὰρ οἶμαι δεῖν τὸν εἰς ἱερὰ° εἰσιόντα καὶ χερνίβων, καὶ
137 κανῶν° ἁψόμενον, καὶ τῆς πρὸς τοὺς θεοὺς ἐπιμελείας προστάτην ἐσόμενον, οὐχὶ προειρημένων ἡμερῶν ἀριθμὸν ἁγνεύειν° μόνον, ἀλλὰ τὸν βίον ὅλον ἡγνευκέναι τοιούτων ἐπιτηδευμάτων, οἷα τούτῳ βεβίωται.

° ἔχων. f. ° ἅπαντα. l

° σταθέντων. α. ε.

¹ προστάττοντες. ε. χ. προσταττόμενος.

° ἐπιτηδεύοντας. α. β.

° ταῦτα.

° ἱ. α.

° ἀψάμενον. α.

° α. β.

ΛΙΒΑ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΚΑΤΑ ἀριστοκράτους λόγου.

Χαρίδημον τὸν ὠρείτην, ἡγούμενον ξενικοῦ, καὶ στρατηγοῦντα παρὰ κερσοβλέπτῃ τῷ θρᾳκῶν βασιλεῖ, πολίτην σφῶν αὐτῶν ἀθηναῖοι ἐποιήσαντο, τὰ μὲν, νομίσαντες χρήσιμον αὐτοῖς, τὰ δὲ, προσδοκῶντες ἔτι μᾶλλον γενήσεσθαι. περὶ τούτου ψήφισμα ἔγραψεν ἀριστοκράτης ἐν τῇ βουλῇ τοιοῦτο. ἐάν τις ἀποκτείνῃ χαρίδημον, ἀγώγιμος ἔστω ἐξ ἁπάσης τῆς ἀθηναίων συμμαχίδος. ἐὰν δέ τις τὸν ἀγώγιμον ἀφέληται ἢ πόλις, ἢ ἰδιώτης, ἔκσπονδος ἔστω. τούτου κατηγορεῖ τοῦ ψηφίσματος εὐθυκλῆς, τῷ δημοσθένους λόγῳ χρησάμενος. καί φησι πρῶτον μὲν εἶναι τὸ ψήφισμα παράνομον, ὅτι κρίσιν ἀναιρεῖ, καὶ δικαστήρια, καὶ τὴν τιμωρίαν ἀπὸ τῆς αἰτίας γεγραμμένην ἔχει. δεύτερον δὲ, μὴ συμφέρειν τοῖς ἀθηναίοις τοιαύτην χαριδήμῳ δοῦναι δωρεάν. ἀπολοῦμεν γὰρ διὰ ταύτης χερρόνησον. τὸ δὲ ὅπως, ὁ λόγος δείξει. ἐξετάζει δὲ τὴν τοῦ προσώπου ποιότητα, λέγων οὐκ εἶναι δωρεῶν ἄξιον τὸν χαρίδημον, καὶ ταῦτα, τοιούτων.

Ἑτέρα ὑπόθεσις.

Η εὔβοια μία νῆσος κατάντικρυ τῆς ἀττικῆς, διήκουσα διὰ τῆς βοιωτίας καὶ τῆς φωκίδος μέχρι τῶν ἀφετῶν. ἀφεταὶ δὲ τῆς θετταλίας τόπος. ἴσμεν δὲ ὅτι χωρία πολλὰ εἶχεν ἡ εὔβοια. ἔστι δὲ ἐν τῇ εὐβοίᾳ χωρίον ὠρεός. τοῦ ὠρεοῦ δὲ ὁ πολίτης, ὠρείτης. ὠρείτης οὖν τις χαρίδημος ξεναγὸς ἦν τῶν ἀθηναίων. ξεναγὸς δέ ἐστιν ὅτε τις στράτευμα ξένον ὑπὲρ τινὸς ἄλλου τρέφει. διὰ τοῦτο οὖν καὶ οὗτος ἐλέγετο ξεναγὸς, ἐπειδὴ στράτευμα ξένων ἔτρεφεν ὑπὲρ συμμαχίας τῶν ἀθηναίων. ἦν οὖν τῶν μὲν ἀθηναίων ξεναγός. γαμβρὸς δὲ κότυος τοῦ τῶν θρᾳκῶν βασιλέως καὶ στρατηγός. ὁ δὲ κότυς παρέλαβε ποτὲ τὴν χερρόνησον τὴν ἀθηναίων οὖσαν. καὶ τελευτήσας κατέλιπε τῆς βασιλείας διαδόχον κερσοβλέπτην εἰ μὴ τινῶν δύο βηρισάδου καὶ ἀμαδόκου τὴν βασιλείαν μερίσαντο. εἶχε δὲ στρατηγὸν ὁ μὲν κερσοβλέπτης ὡς συγγενῆ τὸν χαρίδημον. ὁ δὲ βηρισάδης, τινὰ ἀθηνόδωρον, ἀθηναῖον φύσει, στρατηγὸν ἔχων. ὁ δὲ ἀμάδοκος δύο στρατηγοὺς εἶχε σίμωνα καὶ βιάνορα. ἰδίᾳ τοίνυν ἕκαστος τῶν βασιλέων ἤθελε χάριν τοῖς ἀθηναίοις ποιήσασθαι διὰ τὸ ἔχειν αὐτοὺς εἰς συμμαχίαν εὐμενεῖς. καὶ συμβουλεύσαντος τοῦ χαριδήμου δοῦναι κοινῇ τοῖς ἀθηναίοις τὴν χερρόνησον, ἐπείσθησαν οἱ βασιλεῖς καὶ δεδώκασι. τοῦτο γνόντες οἱ ἀθηναῖοι, τὸν χαρίδημον ἐστεφάνωσαν, ὡς εὐεργέτην αὐτῶν χρυσῷ στεφάνῳ, καὶ θετὸν πολίτην αὐτὸν ἐποιήσαντο. τοῖς δὲ ὁ χαρίδημος, ὅτι φιλοῦσιν αὐτὸν, ἐδήλωσεν αὐτοῖς διὰ τινὸς ἀριστοδήμου, ὡς ἂν ποιήσωσιν ἀσφάλειαν αὐτῷ περὶ τῆς τοῦ σώματος φυλακῆς. καὶ ὅτι οὐκ ἐπιβουλεύεται, δίδωσιν αὐτοῖς τὴν ἀμφίπολιν, ἀφαιρούμενος αὐτὴν ἀπὸ φιλίππου. ἀριστοκράτης οὖν τις ἀθηναῖος ὑπειλημμένος ἔγραψε τοιοῦτο ψήφισμα. ὁ φονεύων χαρίδημον ἀγώγιμος ἔστω, τουτέστιν ἀκτέος ἐπὶ τὸ κολασθῆναι. ἐὰν δέ τις φησὶν, ἀφέληται τὸν ἀγώγιμον ἢ πόλις, ἢ ἰδιώτης, καὶ ὡς εἰπεῖν ἀντιλάβηται αὐτοῦ, ἔκσπονδος ἔστω τῶν ἀθηναίων. εὐθυκλῆς δέ τις θάσιος τὸν δῆμον ἐπελάβετο τοῦ ψηφίσματος ὡς κακῶς ἔχοντος, ὡς παρανόμου, καὶ ἀσυμφόρου καὶ γεγραμμένου ἀνδρὶ ἀναξίῳ. οὗτος λαβὼν παρὰ τοῦ δημοσθένους τὸν λόγον χρεῖον παρέχων, κατηγορεῖ τοῦ ἀριστοκράτους. ὁρῶν οὖν ὁ ῥήτωρ τὴν ἁπλῆν ὑπόθεσιν, ἰσχύουσαν μὲν τῷ νομίμῳ, κινδυνεύουσαν δὲ διὰ τὸ προτιμᾶσθαι τὸ συμφέρον τῆς ἀξίας ὑφ᾽ ἑκάστου τῶν λαμβανόντων πολλάκις, καὶ μάλιστα ὅταν στρατηγοὶ τυγχάνωσιν ἐπίδοξοι, καὶ τὴν πόλιν εὐεργετῶσιν, οἷος ὁ χαρίδημος, καὶ κερσοβλέπτου στρατηγὸς, ὁ ἀδελφὴν αὐτοῦ ἔχων καὶ διὰ τὸ δόξαι ἐν τῷ κατὰ τὴν χερρόνησον εὖ ποιεῖν ἀθηναίους αἱρεθεὶς στρατηγὸς αὐτῆς τῆς πόλεως, ἑτέραν ἐξεῦρεν ὑπόθεσιν * * * ἐπιπλέκων τῇ ἐρευνᾷ τὸν ἀκροατὴν φάσκων γεγράφθαι τὸ ψήφισμα ἐπὶ χερρονήσου τῆς πόλεως ζημίαν. ὡς οὖν ἀμφοτέρων τοῦ, τε κερσοβλέπτου καὶ τοῦ δήμου τῶν ἀθηναίων, καὶ βουλομένου χαριδήμου ταύτης ἐπιτυχεῖν τῆς δωρεᾶς, δημοσθένης τὴν κατὰ τὴν χερρόνησον ὑπόθεσιν ἐπέθηκεν, εἰς ὑποψίαν ἄγων τοὺς ἀκούοντας, καὶ φάσκων ἐξ ἐπιβουλῆς ἀριστοκράτην γεγραφέναι τὸ ψήφισμα, ἵνα μηδενὸς τῶν βασιλέων ἀναιροῦντος αὐτὸν φόβῳ τῆς πόλεως, περιποιήσῃ κερσοβλέπτης πάλιν χερρόνησον. τοσαῦτα περὶ τῆς ὑποθέσεως.

## ΕΙΣ ΤΟΝ ΚΑΤΑ ΑΡΙΣΤΟΚΡΑΤΟΥΣ ΔΗΜΟΣΘΕΝΟΥΣ ΛΟΓΟΝ ΕΞΗΓΗΣΙΣ.

Μηδεὶς ὑμῶν, ὦ ἄνδρες ἀθηναῖοι, νομίσῃ, μήτε ἰδίας ἔχθρας ἐμὲ μηδεμιᾶς ἕνεχ᾽ ἥκειν ἀριστοκράτους κατηγορήσοντα τουτουί) Διπλοῦς ὁ λόγος, καθάπερ καὶ ὁ κατὰ τιμοκράτους. ἔχει γὰρ τὴν τῶν παρανόμων διπλῆν ὑπόθεσιν τὴν κρινομένην. ἔχει δὲ καὶ ἑτέραν ἐπεισηνεγμένην τὴν κατὰ τὴν χερρόνησον. ἔστι δ᾽ ὡς ἄν εἴποι τις, κατὰ τὴν ὁμοιότητα, ἀντιγώνισμα ὁ παρὼν λόγος τῷ περὶ τοῦ στεφάνου λόγῳ. ἐπεὶ ἐκεῖ μὲν, ὅτι ἄξιός ἐστι δωρεᾶς, ἀγωνίζεται κτησιφῶν. ἐνταῦθα δὲ, εὐθυκλῆς ἀριστοκράτην ἐγράψατο, φάσκων παράνομον εἶναι τὸ ψήφισμα, καὶ ὅτι οὐκ ἄξιός ἐστι τῆς δωρεᾶς ὁ χαρίδημος. δηλοῦται δὲ ἡ στάσις, ὅτι πραγματική ἐστιν, ἔγγραφος, εἰ δεῖ κυρωθῆναι τὸ ψήφισμα, ἢ μή. εἰσὶ δὲ τοῦ λόγου κεφάλαια τρία, τὸ δίκαιον, τὸ νόμιμον, καὶ τὸ συμφέρον. καὶ τὸ μὲν δίκαιον,

## ΔΗΜΟΣΘΕΝΟΥΣ, Ο ΚΑΤΑ ΑΡΙΣΤΟΚΡΑΤΟΥΣ ΛΟΓΟΣ.

Μηδεὶς ὑμῶν, ὦ ἄνδρες ἀθηναῖοι, νομίσῃ, 1
μήτε ἰδίας ἔχθρας ἐμὲ μηδεμιᾶς ἕνεχ᾽
ἥκειν ἀριστοκράτους κατηγορήσοντα τουτουί,

μήτε μικρὸν ὁρῶντά τι καὶ φαῦλον ἁμάρτημα, ἑτοί-
μως οὕτως ἐπὶ τούτῳ προάγειν ἐμαυτὸν εἰς ἀπέ-
2 χθειαν. ἀλλ' εἴπερ ἄρα ὀρθῶς ἐγὼ λογίζομαι καὶ
σκοπῶ, ὑπὲρ τοῦ χερρόνησον ἔχειν ὑμᾶς ἀσφαλῶς, καὶ
μὴ παρακρουσθέντας ἀποστερηθῆναι πάλιν αὐτῆς,
περὶ τούτου μοι ἐστὶν ἅπασα ἡ σπουδή. δεῖ δὴ πάν-
τας ὑμᾶς, εἰ βούλεσθε ὀρθῶς περὶ τούτων μαθεῖν, καὶ
3 κατὰ τοὺς νόμους δικαίως κρῖναι τὴν γραφὴν, μὴ μό-
νον τοῖς γεγραμμένοις ἐν τῷ ψηφίσματι ῥήμασι
προσέχειν τὸν νοῦν, ἀλλὰ καὶ τὰ συμβησόμενα ἐξ
αὐτῶν σκοπεῖν. εἰ μὲν γὰρ ἦν ἀκούσασιν εὐθὺς εἰδέ-
ναι τὰ "κακουργήματα τὴν ἀρχὴν, ἴσως ἂν οὐκ

" κακουργήματα. πανουργημένα.

καὶ νόμιμον, ἀνέπεσε κυρίως ἐκ τῆς ὕλης τῶν πραγμάτων. τὸ δὲ συμφέρον, ἐκ περινοίας τοῦ ῥήτορος. καὶ κατηγορεῖ τοῦ μὲν νομίμου, κατὰ τοῦτον τὸν τρόπον. ὅτι δέκα νόμους παρέβη. ὧν οἱ μὲν ἑπτὰ, φονικοί· οἱ δὲ τρεῖς, πολιτικοί. τοῦ δὲ δικαίου, ὅτι πολλάκις ὁ χαρίδημος ἠδίκησε τὴν πόλιν. καὶ οὐ δίκαιον δοῦναι αὐτῷ τὴν τοιαύτην δωρεάν. εὕρηται δὲ καὶ τὸ συμφέρον ἐκ περινοίας τοῦ ῥήτορος, οὕτως· ὅτι σκοπήσατε οἵῳ τρόπῳ παρελήφθη, καὶ ποίῳ ἐδόθη ἡ χερρόνησος. δῆλον ὅτι ἐλήφθη τοῦ κότυος βασιλεύοντος. ἐδόθη δὲ μερισθείσης τῆς βασιλείας εἰς τρεῖς. νῦν οὖν ὑμῶν παρεχόντων τῷ χαριδήμῳ τὴν τοιαύτην δωρεὰν, ἐὰν βουληθῇ ὁ κερσοβλέπτης τοῖς ἄλλοις πολεμῆσαι βασιλεῦσιν, οὐχ ἕξει τὸν ἐναντιούμενον. ὁ γὰρ ἀθηνόδωρος ἀθηναῖος ὢν, οὐκ ἐθελήσει φονεῦσαι τὸν χαρίδημον διὰ τοὺς ἀθηναίους. πάλιν ὁ σίμων καὶ ὁ βιάνωρ σύμμαχοι ὄντες, ἤτοι πολῖται, οὐδὲ αὐτοὶ ἐθελήσουσι χαρίδημον διαχειρίσασθαι. εἰ δὲ οὗτοι μὴ ἐναντιωθῶσι τοῦ χαριδήμου στρατηγοῦντος τῷ κερσοβλέπτῃ, ἐρημωθέντων τῶν ἄλλων βασιλέων καὶ φονευομένων, γενήσεται μονοκράτωρ ὁ κερσοβλέπτης, καὶ οὐδεὶς αὐτὸν κωλύσει λαβεῖν τὴν χερρόνησον. οὐκ ἔστιν οὖν τοῦτο τὸ κεφάλαιον ἐκ τῆς ὕλης τῶν πραγμάτων κυρίως, ἀλλὰ τοῦ φεύγοντός ἐστι, λέγοντος, ὅτι συμφέρει ὑμῖν τὸ λαβεῖν τὴν ἀμφίπολιν, καὶ πολλὰ τοιαῦτα. ὅτι δὲ ἐκ περιεργίας τοῦ ῥήτορος ἀνέπεσε τὸ κεφάλαιον, δῆλον ἐκ τοῦ κατὰ κτησιφῶντος αἰσχίνου. τοιαύτης γὰρ οὔσης κἀκεῖ ὑποθέσεως, ὁ μὲν αἰσχίνης διὰ πενίαν συνέσεως, καὶ δεινότητος ἔνδειαν, οὐκ εὐπόρησε θεῖναι τὸ συμφέρον, ἀλλὰ τὴν ἁπλῆν ἠγωνίσατο, ὡς ἁπλούστερος. ὁ δὲ δημοσθένης, καὶ ἔξωθεν προσεπινόησεν ἐκ τῆς τέχνης, καὶ τῆς δεινότητος συμμαχίαν λαβεῖν. διὰ τοῦτο καὶ τρίτον κεφάλαιον ἐκίνησεν ἐν τῷ λόγῳ τὸ συμφέρον. προοίμια δὲ τοῦ λόγου ἐστὶ τρία. τὸ μὲν πρῶτον, ἐκ πράγματος, ὅτι μεγάλα τὴν πόλιν ἀδικουμένην ὁρῶν, τὸν ἀγῶνα τοῦτον ἐνεστησάμην. ἐν ᾧ καὶ τὴν ἔχθραν τὴν πρὸς χαρίδημον μὲν κρύπτει, ἔχειν δὲ ἀηδῶς πρὸς τὸν ἀριστοκράτην διορίζεται. ἐξ οὗ βλαβήσεσθαι ἔμελλεν οὐδέν. ἐπειδὴ γὰρ ὁ μὲν προφανὴς ἀγὼν, πρὸς ἀριστοκράτην, ὁ δὲ κρυπτόμενος, πρὸς χαρίδημον, διὰ τοῦτο τὸ μὲν κρυπτὸν ὡς ἀνύποπτον, περὶ δὲ τοῦ ἐμφανοῦς διαλέγεται. τὸ δὲ δεύτερον, ἐκ προσώπου τοῦ λέγοντος εἴληπται. ἐπειδήπερ ἰδιώτης τυγχάνων πρᾶγμα τηλικοῦτον δείξειν ἐπαγγέλλομαι, προσήκει πάντας ὑμᾶς συναγωνίσασθαί μοι. τοῦτο δέ φησιν, διὰ τὸ φοβεῖσθαι ὅτι ἰδιώτης τυγχάνων, πρὸς δημαγωγοὺς καὶ στρατηγοὺς ἀγωνίζεται. πόρρωθεν γὰρ αὐτῷ τὸ ἀνύποπτον κατασκευάζει διὰ τῆς δοκούσης ἁπλότητος. τὸ δὲ τρίτον, ἀπὸ προσώπου τοῦ χαριδήμου, δι' ὅνπερ ὁ λόγος. δέδοται γὰρ ὑμῖν θεώρημα λύειν τὰ ἀντιπίπτοντα πάντα ἀπὸ τῆς ἀξίας, ἐπειδὴ κατὰ ἐνδόξου προσώπου τοὺς λόγους ποιούμεθα. τοῦτο καὶ ἀριστείδης ἐν τῷ περικλεῖ πεποίηκεν. ἔστι δὲ ἐν μέσῳ τοῦ προοιμίου τοῦ τρίτου συστροφή τις ἐνθυμηματική. εἰ μὲν δὴ τοῦτο μέγιστον ἀριστοκράτης, καὶ τὰ ἑξῆς. ἐπειδὴ γὰρ "κατ' ἀρχὰς τοῦ προοιμίου διέβαλε τὴν ὑπόληψιν χαριδήμου, ἐφοβήθη μὴ τὴν ἐξ ἀκολουθίας ἀπόδειξιν τῆς "δυσνοίας ὁ ἀκροατὴς ζητήσῃ, ἣν λύ[illegible]σι, νῦν μὲν σπεύδειν ἐπὶ τὸ κατὰ χερρόνησον προσποιησάμενος· ὕστερον δὲ ἐρεῖν τὴν δύσνοιαν ἐπαγγειλάμενος. ἐπειδὴ δὲ ἔμελλεν ὁ ἀκροατὴς θαυμάζειν τί δήποτε ψηφίσματος κατηγορίαν ποιούμενος παρανόμων, χερρονήσου κατὰ τοὺς ἀγῶνας μέμνηται, ἐν καταστάσει προκαταπίθησι τὸν ἀκροατὴν οἰκείαν ἀπολαμβάνειν τῷ ἀγῶνι τὴν μνήμην τῆς χερρονήσου, ὅλον τὸν ἀγῶνα δι' αὐτῆς διαβάλλων καὶ ὕποπτον καθιστάς. καὶ ἔστιν ὥσπερ προκατασκευὴ τοῦ συμφέροντος. ἡ κατάστασις δὲ λαμβάνεται, ποτὲ μὲν ἐκ γνώμης, ποτὲ δὲ ἐκ διηγήσεως. ἐπειδὴ δὲ ἔμελλεν ἀκούσας ὁ ἀκροατὴς περὶ τῆς χερρονήσου, ἐπιζητεῖν εὐθὺς τὰς ἐντελεστέρας ἀποδείξεις, διὰ τοῦτο φεύγων, εἶτα μὴ προσποιούμενος φεύγειν, δίδωσιν αἵρεσιν πότερόν ποτε τὸ νόμιμον ἀκοῦσαι βούλοιντο πρότερον, ἢ τὸ δίκαιον, ἢ τὸ συμφέρον. ἐπειδὴ γὰρ ἦν αὐτῷ ἰσχυρὸν τὸ νόμιμον καὶ οἰκειότερον μᾶλλον τῇ γραφῇ, διὰ τοῦτο καὶ ἀναγκαῖον ἡγήσατο τούτῳ προτέρῳ χρήσασθαι. ἀμέλει γοῦν ὡς οὐκ ἀντιπίπτοντος τοῦ ἀκροατοῦ, ἢ ἐπιζητήσαντος κατὰ τὴν ἐπαγγελίαν τῆς γραφῆς, εἶτα περὶ τοῦ νομίμου βούλεσθε πρῶτον; τοῦτο ἐροῦμεν. καὶ ἐπειδὴ ἔμελλεν ἀντιπίπτειν ἐκ τοῦ νόμου, ὅτι ξένος χαρίδημος, καὶ διὰ τοῦτο ἐγράφη τιμή τις αὐτῷ ἰδία ἐν τῷ ψηφίσματι. ὁ γὰρ κατὰ τῶν φονικῶν θεσμὸς κατὰ τῶν πολιτῶν ἐδόκει κεῖσθαι. διὰ τοῦτο ἐδεήθη πρὸς τὴν λύσιν τοῦ ἀντικειμένου προκατασκευῆς, συνεθίζων τὸν ἀκροατὴν ὅτι πολίτης καὶ ὑπὲρ πολίτου ὁ λόγος, τῷ μὲν δοκεῖν χαριζόμενος αὐτῷ τὴν ἐκ τῆς μετουσίας τιμὴν, τῇ δὲ ἀληθείᾳ τὸ κεφάλαιον ποιῶν ἰσχυρότερον. ὅσῳ γὰρ ὑπὲρ πολίτου, τοσούτῳ μᾶλλον ἀγανακτήσουσιν οἱ ἀκούοντες, εἰ πολίτῃ μετέχοντι τῆς ἐκ τῶν νόμων
1 ἐπικουρίας ξένην τις ἔγραψε δωρεάν. Μήτε μικρὸν ὁρῶντά τι καὶ φαῦλον ἁμάρτημα) Ὅρα ὅπως ἐν ἀρχῇ τοῦ
λόγου, ὡς ἐπιεικὴς, ἐπὶ μικροῖς ἁμαρτήμασιν, οὐκ ἄν ποτε προαχθεὶς εἰς τὴν κατηγορίαν διϊσχυρίζεται. τοῦτο γάρ
ἐστιν, ἐν ᾧ λέγει, μηδὲ μικρὸν ὁρῶντά τι καὶ φαῦλον ἁμάρτημα. τὸ γὰρ φαῦλον ἐνταῦθα, ἐπὶ τοῦ εὐτελοῦς καὶ μικροῦ κεῖ-
2 ται. διὸ καὶ καλῶς ἐπήγαγεν αὐτῷ τὸ ἁμάρτημα, τῷ ὀνόματι δεικνὺς τὸ εὐκαταφρόνητον. Ἀλλ' εἴπερ ἄρα ὀρ-
θῶς) Ἀλλ' εἴπερ ἄρα ὀρθῶς ἐγὼ λογίζομαι, φησὶν ὁ ἰδιώτης. εἰ μὴ σφάλλομαι λογισμῷ τοῦ πρέποντος. Καὶ μὴ
παρακρουσθέντας) Ἃ γὰρ μὴ πόλεμος ἀφαιρεῖται, φησὶ, ταῦτα ῥήτωρ ὢν ἅπαντα τοῖς πολεμίοις χαρίζεται. διὰ δὲ
τοῦ πάλιν,

" κ[illegible]ατ' ἀρχὰ[illegible] λόγου.
" δυσμενοίας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐξηπατᾶσθε. ἔστι δὲ τοῦθ' ἓν ἐστὶ τῶν ἀδικημάτων, 4
ὃ τοῦτον τὸν τρόπον καὶ λέγειν καὶ γράφειν ἐνίοις, ὃν ἂν ἥκιστα ὑμεῖς ὑπίδοισθέ τι καὶ φυλάξοισθε, προσήκει μὴ πάνυ θαυμάζειν, εἰ καὶ τοῦτο τὸ ψήφισμα ἡμεῖς οὕτω γεγραμμένον ἐπιδείξωμεν, ὥστε δοκεῖν μὲν Χαριδήμῳ φυλακήν τινα τοῦ σώματος διδόναι, 5
τὴν ὡς ἀληθῶς δὲ δικαίαν καὶ βεβαίαν φυλακὴν, Χερρόνησον, τῆς πόλεως ἀποστερεῖν. εἰκότως δ' ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ προσέχοιτέ μοι τὸν νοῦν, καὶ μετ' εὐνοίας ἀκούσαιτε ἃ λέγω. ἐπειδὴ γὰρ οὐχὶ τῶν ἐνοχλούντων ὑμᾶς, οὐδὲ τῶν πολιτευομένων καὶ πι- 6
στευομένων παρ' ὑμῖν ὤν, πρᾶγμα τηλικοῦτόν φημι δείξειν πεπραγμένον, ἐὰν, ὅσον ἐστὶν ἐν ὑμῖν, συναγωνίσησθέ μοι, καὶ προθύμως ἀκούσητε· τοῦτό τε σώσετε, καὶ ποιήσετε μὴ κατοκνεῖν, ἄν τις καὶ ἡμῶν οἴηται δύνασθαί τι ποιῆσαι τὴν πόλιν ἀγαθόν. οἰήσεται δὲ, 7
ἐὰν μὴ χαλεπὸν εἶναι νομίσῃ τὸ παρ' ὑμῖν λόγου τυχεῖν. νῦν δὲ πολλοῖς τῶν φοβουμένων, λέγειν μὲν ἴσως οὐ δεινοῖς, βελτίοσι δὲ ἀνθρώποις τῶν δεινῶν, οὐδὲ σκοπεῖν ἐπέρχεται τῶν κοινῶν οὐδέν. ἔγωγ' οὖν ὀμνύω τοὺς θεοὺς ἅπαντας, ἀπώκνησ' ἄν, εὖ ἴστε, καὶ αὐτὸς 8
τὴν γραφὴν ἐπενεγκεῖν, εἰ μὴ πάνυ τῶν αἰσχρῶν ἐνόμιζον εἶναι, νῦν μὲν ἡσυχίαν ἄγειν καὶ σιωπῆσαι, πρᾶγμ' ἀλυσιτελὲς τῇ πόλει κατασκευάζοντάς τινας ὁρῶν ἀνθρώπους· πρότερον δ', ὅτ' ἔπλευσα τριηραρχῶν εἰς Ἑλλήσποντον, εἰπεῖν καὶ κατηγορῆσαί τινων, 9
οὓς ἀδικεῖν ὑμᾶς ἡγούμην. οὐκ ἀγνοῶ μὲν οὖν, ὅτι τὸν Χαρίδημον εὐεργέτην εἶναί τινες τῆς πόλεως οἴονται. ἐγὼ δ', ἄν περ ἃ βούλομαί τε καὶ οἶδα πεπραγμένα ἐκείνῳ, δυνηθῶ πρὸς ὑμᾶς εἰπεῖν, οἶμαι δείξειν, οὐ μόνον οὐκ εὐεργέτην, ἀλλὰ καὶ κακονούστατον 10
ἀνθρώπων ἁπάντων, καὶ πολὺ τἀναντία, ἢ προσῆκεν, ὑπειλημμένον. εἰ μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο μέγιστον Ἀριστοκράτης ἠδίκει, τὸ τοιούτου, οἷον ἐγώ φημι δείξειν τὸν Χαρίδημον ὄντα, τοσαύτην πεποιῆσθαι πρόνοιαν ἐν τῷ ψηφίσματι, ὥστε ἰδίαν παρὰ τοὺς 11
νόμους, ἐάν τι πάθῃ, τιμωρίαν αὐτῷ δεδωκέναι, ταῦτ' ἂν ἤδη λέγειν πρὸς ὑμᾶς ἐπεχείρησα, ἵν' εἰδῆτε πολλοῦ δεῖν ἄξιον ὄντα τυχεῖν τοῦ ψηφίσματος αὐτὸν τουτουί. νυνὶ δ' ἕτερον τούτου μεῖζον διὰ τοῦ ψηφίσματός ἐστ' ἀδίκημα, ὃ δεῖ πρότερον καὶ μαθεῖν ὑμᾶς καὶ φυλάξασθαι. ἀνάγκη δ' ἐστὶ πρῶτον ἁπάντων εἰπεῖν καὶ δεῖξαι, τί ποτ' ἐστὶ τὸ Χερρόνησον ὑμᾶς ἀσφα-

ἐπιδείξομεν.

τῇ πάλιν, ἀναμιμνήσκει τῆς ἐπὶ κότυος ἐπηρείας, ἡνίκα τὴν Χερρόνησον ἥρπασεν. Εἰκότως δ' ἄν, ὦ ἄν- 5
δρες Ἀθηναῖοι) Ἠθικὸν σφόδρα τοῦτο τὸ προοίμιον ἐκ προσώπου τοῦ λέγοντος. ὅτι καίπερ ὢν ἰδιώτης, καθίησι καὶ μέλλει πρὸς δημαγωγοὺς καὶ στρατηγὸν ἀγωνίζεσθαι. ὁ δὲ νοῦς τοιοῦτος. εὐλογώτερον ἄν, οἶμαι, ταῖς ἀκοαῖς παράσχοιτε, ἐπειδὴ παρὰ δυναστείαν οὔτε ἀπὸ τῆς τῶν κοινῶν διοικήσεως ἔχων, οὔτε ἀπὸ τῆς τῶν λόγων δεινότητος, ἐπαγγέλλομαι τοσοῦτον κακὸν ἀναστεῖλαι. Οὐδὲ σκοπεῖν 7
ἐπέρχεται) Οὐδὲ εἰς νοῦν ἔρχεται. Ἔγωγ' οὖν ὀμνύω τοὺς θεούς) Ἐπιπλήσσαντι τοῦτόν τινα, αἰτιῶντι· πῶς οὖν λέγεις καὶ ἅπαντας εἰς τὸ δημόσιον. καὶ τί ἀπράγμων ὢν ὡς ὁμολογεῖς, διόπερ ἐδεήθη καὶ ὅρκου σφοδροτέρου. Οὐκ ἀγνοῶ μὲν οὖν) 9
Λύσις ἐστὶν ἀναγκαίως ἐνταῦθα τοῦ ἀντιπίπτοντος, ἐκ τῆς τοῦ δήμου ποιότητος καὶ τῆς ἀξίας. διὸ καὶ τὸ, οἴονται, κείμενον, διαβάλλει τὴν κρίσιν. καὶ τὸ εὐεργέτην εἶναι τῆς πόλεως, βαρὺ καὶ οὐ φορητὸν τῆς τηλικαύτης καὶ ὄντως ἐνδόξου πόλεως, ἄνδρα οὕτως εὐτελῆ, καλεῖν εὐεργέτην, τὴν καὶ θεοῖς ἔπος εἰπεῖν εὐεργετήσασαν, καὶ ὑποδεξαμένην, καὶ κρίνασαν. Δυνηθῶ πρὸς ὑμᾶς εἰπεῖν) ἵνα, ἐὰν μὴ πείσῃ, τῆς ἑαυτοῦ τὸ αἴτιον ἀδυναμίας φανῇ, μὴ τῆς τῶν πραγμάτων ἀσθενείας.
Οἴομαι δείξειν) Τὸ οἴομαι πρὸς τὴν ἰδιωτείαν ἀκόλουθον. τὸ δὲ δείξειν, καὶ τὸ ἑξῆς εἰρημένα, τῷ θαρρεῖν τοῖς πράγμασιν ἁρμόζει. Εἰ μὲν οὖν, ὦ 10
ἄνδρες Ἀθηναῖοι) Τοῦτό τινες ἀπὸ τοῦ σχήματος τῆς ἁρμονίας ἀπατηθέντες, τέταρτον ᾠήθησαν προοίμιον. ἔστι δὲ συγκοπή τις ἐνθυμηματική, τὴν αἰτίαν ἔχουσα τοιαύτην. ἐπειδὴ γὰρ τὸν Χαρίδημον ἐν τῇ προτάσει τοῦ προοιμίου διαβέβληκεν, ἐνεχώρει δὲ τοῖς ὑπὲρ ἀρχιδαίμου ῥήτορσιν, εὐθὺς ἀπαιτεῖσθαι τὴν ἀπόδειξιν, πῶς ἐλέγετο δύσνοις, ἀνεβάλλετο τὴν περὶ τούτου ταχέως πίστιν, κατεπείγει τὸ περὶ τῆς Χερρόνησον ὑποκρινόμενος, τῷ μείζονι τὸ ἧττον ὑποκλέπτων. διὸ καὶ εἶπεν, ἀνάγκη δὲ πρῶτον ἁπάντων εἰπεῖν καὶ δεῖξαι, καὶ τὸ ἑξῆς. ὡς ἀνάγκης ἐπιθέσεως φαίνοιτο λέγων, οὐ πρὸς ἀπέχθειαν. ἔστι δὲ τοῦτο τὸ νόημα προκαταρκτικὸν εἰπεῖν καὶ δεῖξαι. οὕτως ἄρα ἡ χρεία κατεπείγει. καὶ ἐν κατα-

γρ. κατεπειγούσης.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

στάσει γὰρ, μερικῶς ἀγωνιστέον καὶ δει-
12 κτέον. Ἔστι τοίνυν ὦ ἄνδρες ἀθη-
ναῖοι) Ἡ κατάστασις ἐντεῦθεν ἀπὸ
13 λογισμοῦ τοῦ συμφέροντος. Τοῦτο τοί-
νυν ὦ ἄνδρες ἀθηναῖοι βουλόμενοί
τινες παῦσαι) Οὐ μόνον τὸν ἀριστο-
κράτην, ἀλλὰ καὶ ἄλλους τινὰς ὑπαι-
νίττεται· διὰ δὲ ἀπέχθειαν παραιτεῖται
τοὺς ἄλλους λέγειν, τοῦ θεραπεύεσθαι τὴν
17 πόλιν παρὰ τῶν βασιλέων. Ἀγώγι-
μον) Οἱ μὲν εἰρήκασιν ἐπὶ κρίσει· ὁ
δὲ ῥήτωρ, ἐκ τῆς ἀσαφείας, εἰς ὃ ἐβού-
λετο, μετήγαγεν, ἐπὶ θανάτου λέ-
γων. Ζητήσειε δ' ἄν τις τίνος χάριν
τῆς καταστάσεως ἀπλουστάτης οὔσης
κατὰ φύσιν, καὶ ἀκατασκεύου, ὁ ῥήτωρ
ταύτην ἐναγώνιον εἰργάσατο. Φα-
μὲν, ὅτι, ἐπειδὴ περὶ μελλόντων ἔλε-
γεν. εἴπομεν γὰρ ὅτι ἐκ τοῦ συμφέρον-
τος ἐγένετο. τὸ δὲ μέλλον ἐν ἀδήλῳ
τὴν φύσιν ἔχει. ἀθρόον δὲ ὑπάρχον,
καὶ ἐν ἀφανεῖ τυγχάνον, δι' ἀποδεί-
ξεως πειρᾶται τοῦτο δεικνύειν, καὶ τὸ
ἀληθὲς εὑρίσκειν.

λως ἔχειν πεποιηκώς. διὰ γὰρ τοῦ μαθεῖν τοῦτο, καὶ τὸ
ἀδίκημα ὅ φημι, ὄψεσθε σαφῶς. ἔστι τοίνυν ὦ ἄν-
δρες ἀθηναῖοι τοῦτο, ὃ τελευτήσαντος κότυος, Βη- βηρισάδην.
13 ρισάδην καὶ ἀμάδοκον καὶ κερσοβλέπτην, τρεῖς ἀν-
τὶ ἑνὸς γενέσθαι θρᾴκης βασιλέας. συμβέβηκε γὰρ
ἐκ τούτου αὐτοῖς μὲν ἀντιπάλους εἶναι τούτους, ὑμᾶς
δὲ ὑπάρχεσθαι καὶ θεραπεύειν. τοῦτο τοίνυν, ὦ ἄνδρες
ἀθηναῖοι, βουλόμενοί τινες παῦσαι, καὶ καταλῦσαι
14 μὲν τοὺς ἑτέρους βασιλέας, παραδοῦναι δ' ἑνὶ τῷ
κερσοβλέπτῃ τὴν ἀρχὴν ἅπασαν, διαπράττον-
ται σφίσι τοῦτο γενέσθαι τὸ προβούλευμα, τῷ μὲν
ἀκοῦσαι, κεχωρισμένον τοῦ τι τοιοῦτο δοκεῖν δια- γρ. κεχωρισμένοι.
πράξασθαι τῷ δ' ἔργῳ, πάντων μάλιστα τοῦτο
15 περαίνοντες, ὡς ἐγὼ διδάξω. ἐπειδὴ γὰρ ἑνὸς τελευ-
τήσαντος τῶν βασιλέων βηρισάδου, παραβὰς τοὺς ὅρ-
κους καὶ τὰς συνθήκας, ἃς μεθ' ὑμῶν ἐποιήσατο κερ-
σοβλέπτης, ἐξέφερε πόλεμον πρός τε τοὺς βηρισά-
δου παῖδας, καὶ πρὸς ἀμάδοκον, εὔδηλον ἦν ὅτι τοῖς μὲν βηρισάδου παισὶν, ἀ-
16 θηνόδωρος βοηθήσει· τῷ δ' ἀμαδόκῳ σίμων καὶ βιάνωρ· ὁ μὲν γὰρ, βηρισάδου
κηδεστὴς, οἱ δὲ, ἀμαδόκου γεγόνασιν. ἐσκόπουν οὖν τίν' ἂν τρόπον ἡσυχίαν μὲν ἔ-
χειν ἀναγκασθεῖεν οὗτοι· ἐρήμων δὲ ὄντων ἐκείνων, ὁ τῷ κερσοβλέπτῃ πράττων
τὴν ἀρχὴν χαρίδημος, ἀσφαλῶς πάντα καταστρέψαιτο. εἰ πρῶτον μὲν, ἄν γρ. πρῶτος μὲν, εἰ.
17 τις αὐτὸν ἀποκτείνῃ, ψήφισμα ὑμέτερον γένοιτο, ἀγώγιμον εἶναι. δεύτερον δὲ, εἰ χει- ἐάν τις.
ροτονηθείη στρατηγὸς ὑφ' ὑμῶν χαρίδημος. οὔτε γὰρ τῷ ὑμετέρῳ στρατηγῷ προ-
χείρως ἐναντία θήσεσθαι τὰ ὅπλα ἔμελλεν ὁ σίμων, οὐδ' ὁ βιάνωρ, πολῖται γε-
γενημένοι, καὶ ἄλλως ἐσπουδακότες πρὸς ὑμᾶς· ὅ τε δὴ γένει πολίτης ἀθηνό- γρ. ἐσπουδακότε περὶ ὑμᾶς.
18 δωρος, οὐδὲ βουλήσεσθαι, οὐδὲ τὴν διὰ τοῦ ψηφίσματος αἰτίαν ὑποδύσεσθαι,
ἣ πρόδηλος ἦν ἐπ' ἐκείνους ἥξουσα, εἴ τι πάθοι χαρίδημος. ἐκ δὲ τούτου τοῦ τρό- γρ. οὔτι δὴ ὁ γένει.
που, τῶν μὲν ἐρήμων ὄντων βοηθῶν, αὐτοῖς δὲ ἀδείας δοθείσης, ῥᾳδίως ἐκβαλεῖν ἐ-
κείνους, καὶ κατασχήσειν τὴν ἀρχήν. καὶ ὅτι ταῦτα οὕτως ᾤοντο, καὶ τοῦτ' ἦν τὸ αὐτοῖς. α. γρ. αὐταῖς.
19 κατασκεύασμα αὐτοῖς, τὰ πραχθέντα αὐτὰ κατηγορεῖ. ἅμα γὰρ τῷ πολέμῳ τε τῷ τε πολέ-
ἐνεχείρουν αὐτοὶ, καὶ πρὸς ὑμᾶς ἧκεν ἀριστόμαχος πρεσβευτὴς παρ' αὐτῶν, ὁ
ἀλωπεκῆθεν οὑτοσί· ὃς ἄλλα τε ἐδημηγόρει παρ' ὑμῖν, ἐπαινῶν καὶ δεξιῶν τόν τε
κερσοβλέπτην, καὶ τὸν χαρίδημον, ὡς φιλανθρώπως ἔχουσι πρὸς ὑμᾶς, καὶ μό-
20 νον ἀνθρώπων ἂν ἔφη χαρίδημον ἀμφίπολιν χαρίσασθαι τῇ πόλει δύνασθαι, κομίσασθαι. α.
καὶ στρατηγὸν χειροτονῆσαι. ἡτοίμαστο δ' αὐτοῖς τοῦτο τὸ προβούλευμα, α.
καὶ προδιῴκητο, ἵνα, εἰ πεισθείητε ἐκ τῶν ὑποσχέσεων καὶ τῶν ἐλπίδων, ἃς ὑπέ-
τεινεν ὁ ἀριστόμαχος, εὐθὺς ἐπικυρώσειεν ὁ δῆμος, καὶ μηδὲν ἐμποδὼν εἴη. καίτοι,
21 πῶς ἂν τεχνικώτερον, ἢ κακουργότερον συμπροεσκευάσειεν ἄνθρωπος, ὅπως οἱ πανουργότερον.
μὲν, ἐκπεσοῦνται τῶν βασιλέων, εἷς δ', ὃν αὐτοὶ βούλονται, πᾶσαν ὑφ' ἑαυτῷ συμπαρεσκευάσαιεν ἄνθρωποι.
ποιήσαιτο τὴν ἀρχήν, ἢ τοὺς μὲν τοῖν δυοῖν βοηθήσοντας ἂν εἰς φόβον συκο-
φαντίας, καὶ εὐλάβειαν καταστήσαντες, ἣν εἰκὸς προσδοκᾶν ἐκείνοις ἐφ' αὐτοὺς ἐλ- αὐτὸν. α.
θεῖν ἂν

θεῖν μὲν διὰ τοῦ ψηφίσματος τουτουὶ εἴ τι πάθοι Χαρί- 22
*πράττοντι. χ. πραγματευομένῳ. δημος, τῷ δ' ἐνὶ" πράττοντι τὴν ἀρχήν, καὶ πάν-
τα τἀναντία τοῖς ὑμῖν συμφέρουσι κατασκευάζειν, το-
σαύτην ἐξουσίαν διδόντες τοῦ ταῦτα ἀδεῶς πράτ-
τειν; οὐ τοίνυν μόνον ἐκ τούτων δῆλοι ἐσθ', ὅτι τού-
των ἕνεκα ἐρρήθη τὸ προβούλευμα, ὧν λέγω, ἀλλὰ 23
ἐκ τοῦ ψηφίσματος αὐτοῦ μαρτυρία τίς ἐστιν οὐ με-
γέθους. ἂν γὰρ ἀποκτείνῃ τις Χαρίδημον, γράψας, καὶ
παραβὰς τὸ, τί πράττοντα, εἰπεῖν, πότερ' ἡμῖν συμ-
φέροντα, ἢ οὔ, γέγραφεν εὐθὺς ἀγώγιμον ἐκ τῶν συμ-
μάχων εἶναι. οὐκοῦν τῶν μὲν ἐχθρῶν ὁμοίως ἡμῖν τε 24
κἀκείνῳ οὐδέποτ' εἰς τοὺς ἡμετέρους ἥξει συμμάχους
*ἀπὸ.α. οὐδείς, οὔτ' ἀποκτείνας ἐκεῖνον, οὔτε μή. ὥστ' οὐ κα-
τὰ τούτων γέγραφε ταύτην τὴν τιμωρίαν. τῶν δ' ἡμε-
τέρων μὲν φίλων, ἐκείνου δ', ὅταν ἐγχειρῇ τι πράττειν
ἐναντίον ὑμῖν, ἐχθρῶν, τούτων αὐτίς εἴη, ὁ τοῦτο τὸ ψή- 25
φισμα φοβηθείς, καὶ φυλαξόμενος μὴ δι' ἀνάγκην
ἡμῖν εἰς ἔχθραν ἐλθεῖν. ἔστι τοίνυν οὗτος, ἀθηνόδωρος,
*κιαίωρ. σιμὼν,* βιανὼρ, οἱ Θρᾴκης βασιλεῖς· ἄλλος, ὅστις ἂν
εὐεργεσίας μέρος καταθέσθαι βούλοιτο, τὸ πράττειν
ὑπεναντία ἐκεῖνον ἐγχειροῦνθ' ὑμῖν ἐπιχειρεῖν. ὧν μὲν 26
*ἐρρέθη. τοίνυν ἕνεκ' *ἐρρήθη τὸ προβούλευμα, ἵνα κυρώσειεν
ὁ δῆμος ἐξαπατηθείς, καὶ δι' ἃ τὴν γραφὴν ἐποιη-
σάμεθα ἡμεῖς ταύτην, βουλόμενοι κωλῦσαι, ταῦτ'
ἐστίν, ὦ ἄνδρες ἀθηναῖοι. δίκαιον δ' ἐστὶν ἴσως. ἐμὲ
*ὑπισχημένον. *ὑπεσχημένον τρία ἐπιδείξειν, ἓν μὲν, ὡς παρὰ τοὺς 27
νόμους τὸ ψήφισμα εἴρηται· δεύτερον δέ, ὡς ἀσύμφο-
ρόν ἐστι τῇ πόλει· τρίτον δέ, ὡς ἀνάξιός ἐστι τυχεῖν τού-
των, ὧν γέγραπται, ἁπάντων τούτων αἵρεσιν ὑμῖν δοῦ-
ναι τοῖς ἀκουσομένοις, τί πρῶτον, ἢ τί δεύτερον, ἢ τί
τελευταῖον, βουλομένοις ὑμῖν ἐστὶν ἀκούειν, ὅ, τι δὴ βού- 28
λεσθε, ὁρᾶτε, ἵνα τοῦτο λέγω πρῶτον ὑμῖν. περὶ τοῦ
παρανόμου βούλεσθε πρῶτον; τοῦτο τοίνυν ἐροῦμεν,
ἃ δὴ δέομαί τε καὶ ἀξιῶ παρὰ πάντων ἐμὲ τυχεῖν,
*δικαίως. *δίκαια, ὡς ἐμαυτὸν πείθω, μηδεὶς ὑμῶν, ὦ ἄνδρες
ἀθηναῖοι, τῷ διεψεῦσθαι τοῦ Χαριδήμου, καὶ νομί- 29
ζειν εὐεργέτην εἶναι, φιλονεικῶν, δυσχερέστερον τοὺς περὶ
τῶν νόμων λόγους ὑμῶν ἀκούσῃ· μηδ' ἀποστερήσῃ
διὰ τοῦτο, μηδ' αὑτὸν τοῦ θέσθαι τὴν ψῆφον εὔορ-
κον, μήτε ἐμὲ τοῦ διδάξαι περὶ πάντων ὑμᾶς, ὡς βούλομαι· ἀλλὰ ποιησάσθω τὴν 30
ἀκρόασιν ὡδί, καὶ σκοπείσθω, ὡς δίκαια, ἃ ἐρῶ. ὅταν μὲν λέγω περὶ τῶν νόμων,
*εἴρηται. ἀφελὼν ὅτῳ τὸ ψήφισμα,* καὶ ποίῳ τινί, σκοπεῖν, περί του, πότερον παρὰ τοὺς νό-

Οὐ τοίνυν ἐκ τούτων μόνον δῆ 22
λον) Ἀπόδειξις τῶν εἰρημένων. τὴν
μὲν οὖν κατάστασιν, δι' ἐνθυμημάτων
ἐβεβαίωσε. ταύτην δὲ τὴν ἀπόδειξιν
ἀπ' αὐτοῦ τοῦ ψηφίσματος. Καὶ πα 23
ραβὰς τὸ, τί πράττοντα) Τὸ ἀσα-
φές, μειζόνως *ἐξετάζεται. ἀναφέ- *ἐξετάζει.
ρεται δὲ εἰς τὸ συμφέρον. τὸ γὰρ ἀσα-
φὲς βλάβην κομίζει· ὅπερ ἴδιον τοῦ
συμφέροντος. Κατὰ τούτων) Τῶν 24
ἐχθρῶν. Ὧν μὲν τοίνυν ἕνεκεν ἐρ- 26
ρέθη τὸ προβούλευμα) Συμπέρα-
σμα τῆς καταστάσεως. Εἰ δέ τις ζη-
τήσει πῶς τὴν τῶν κεφαλαίων τάξιν
ἤμειψε· κατὰ φύσιν γὰρ τὸ δίκαιον τοῦ συμ-
φέροντος προτέτακται, ὅτι τὸ μὲν, περὶ
τῶν παρεληλυθότων· τὸ δὲ περὶ τῶν
μελλόντων· τί δὲ παρέλιπε τὸ τῇ φύ-
σει πρῶτον; λεγόμενον ὅτι τὸ μὲν τῇ φύσει
πρῶτον δίκαιον, ἐν ᾧ ἦν ὁ βίος αὐ-
τοῦ, τετήρηκεν ὕστερον, ἵνα ὁ ἀκροατὴς
ἀκούων τὰς πράξεις αὐτοῦ καὶ ἀγα-
νακτήσας, ἐνέγκῃ τὴν ψῆφον. τὸ δὲ
νόμιμον προτέτακται, ἐπειδήπερ
*αὐτῷ πολὺ ἰσχύει. ἔστι γὰρ αὐτοῦ τεχνι- *αὐτό.
κὸν παράγγελμα, τὰ ἰσχυρὰ προ-
τάττειν, καὶ μὴ τῇ τάξει ἕπεσθαι, ἀλλ' ὡς
ἔχει καλῶς. Ὑπεσχημένον τρία ἐπι- 27
δείξειν) Πῶς μηδὲν ἐπαγγειλάμενος
φησίν, ὑπεσχημένον. φαμὲν ὅτι ἐν τῇ
γραφῇ εἶπεν, ὅτι κατηγοροῦμεν τοῦ ψη-
φίσματος, ὡς παρανόμου, ὡς ἀδί-
κου, ὡς ἀσυμφόρου. τὰ οὖν ἐν τῇ γρα-
φῇ φησί, ταῦτα ἐπῆλθεν. ὡς δὲ ὁ λό-
γος ἔχει, τὰ κεφάλαια οὕτως ἐκτί-
θεται, οὐχ ὡς ἡ τάξις ἀπαιτεῖ, δι' ὃν
προείπομεν λόγον. Τρίτον δὲ ὡς
ἀνάξιός ἐστι) Τὸ δίκαιον. τὸ γὰρ ἀνά-
ξιος, εἰς τοῦτο ἀναφέρεται. Αἵρεσιν
ὑμῖν δοῦναι) Ἐπειδὴ γὰρ ἀπῄει ἐκ τῆς
καταστάσεως διδαχθεὶς ὁ ἀκροατὴς
τὸ συμφέρον, οὐκ ἐβούλετο αὐτοῖς τοῦτο
πρῶτον εἰπεῖν, ὡς εἴπομεν, διὰ τὴν
οἰκονομίαν, δίδωσιν αὐτοῖς αἵρεσιν·
καὶ ἐνδοὺς τὴν σκέψιν, ἁρπάζει τὴν
ἐπίκρισιν, ἵνα δόξῃ ἕπεσθαι αὐτοῖς,
καὶ κατ' ἀνάγκην τοῦτο ποιεῖν, καὶ τῷ πό-
θῳ ἐκείνων ἐξακολουθεῖν. Ἀλλὰ ποιη 30
σάσθω τὴν ἀκρόασιν ὡδί) Κυρίως
ἐφ' ἑκάστου κεφαλαίου τὸ ῥῆμα ἔχει.
ἐπὶ μὲν τῶν νόμων τὸ λέγω, ὡς ἁπλοῦ
τοῦ νόμου τυγχάνοντος· ἐπὶ δὲ τοῦ δικαίου
τῶν ἀδικημάτων, τὸ ἐλέγχω· ἐπὶ δὲ
τοῦ συμφέροντος, τὸ ἐξετάσω. λογι-
σμῷ γὰρ τὸ μέλλον εὑρίσκεται.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

32 Ἔσονται δὲ βραχεῖς περὶ πάντων
οἱ λόγοι) Ἐπειδὴ γὰρ τρία τὰ κεφά-
λαια, ἐπιτεινομένους καὶ μακροὺς ὑ-
πέφαινε τοὺς λόγους, διὰ τοῦτο παρα-
μυθεῖται αὐτοὺς λέγων, βραχεῖς ἔ-
33 σονται οἱ λόγοι. Δικάζειν δὲ τὴν
βουλὴν τὴν ἐν Ἀρείῳ πάγῳ, φόνου, καὶ
τραύματος ἐκ προνοίας) Ἐξέτασις
ἐντεῦθεν τοῦ νομίμου, καὶ παρατιθεμέ-
34 νων τῶν νόμων, καὶ τοῦ ψηφίσματος. Εἰ
σκέψαισθε ἐν τίνι τάξει) Προθερα-
πεία. ἐπειδὴ γὰρ ἔδει τῶν νόμων μνησθῆ-
ναι, οἳ περὶ τῶν πολιτῶν προστάττουσι·
ξένος δὲ ἐστὶ τὸν ἵνα μὴ ἀντιπέσῃ αὐ-
τῷ, ἀλλ' ἐστὶ ξένος, οἱ δὲ νόμοι περὶ πο-
λιτῶν διαλέγονται, προοικονομεῖ
τοῦτο, καὶ ποιεῖ αὐτὸν πολίτην, ἵ-
35 να οὕτως αὐτὸν ἐξετάσῃ. Τὴν γὰρ
τοῦ δήμου δωρεάν) Κολακεύει τὸν δῆ-
μον. ἅμα δὲ καὶ δείκνυσιν, ὡς οὐκ ἐχθρὸς
αὐτῷ, ὥσπερ καὶ ἐν προοιμίοις εἴρη-
κε, μηδεμιᾶς ἰδίας ἔχθρας. εἰ γὰρ τὸν
ἐχθρὸν οὐκ ἂν πολίτην αὐτὸν πεποίη-
κεν· οὐδὲν δὲ κωλύει ἐν οἷς χρεία, καὶ ἐ-
παινεῖν τὸν ἐχθρόν, ἵνα [illegible]
36 ρον, ὃ βουλόμεθα. Ἃ δ' οὐδ' ἡμῖν
τοῖς φύσει πολίταις) Καλῶς τὸ παρὰ
τοὺς νόμους. ἵνα γὰρ μή τις εἴπῃ, ἀλλ' εἰ
πλεῖστα εὐεργέτηκεν, ὀφείλει καὶ πλειό-
νων τιμῶν τυγχάνειν. διὰ τοῦτο παρὰ
τοὺς νόμους. οὐδὲ γὰρ τοῖς φύσει πολίταις
παρὰ τούτους πρέπει τι καλόν.
39 Καὶ τὰ τοιαῦτα πάντα) Παραι-

μοις, ἢ κατὰ τοὺς νόμους εἴρηται, σκοπείσθω, καὶ μηδὲν
ἄλλο. ὅταν δ' ἐλέγχω τὰ πεπραγμένα, καὶ διεξίω
τὸν τρόπον, ὃν πεφενάκισθε ὑπ' αὐτοῦ, τὰς πράξεις
σκοπείσθω, πότερον γεγονυίας, ἢ ψευδεῖς ἐρῶ. ὅταν δὲ
31 ἐξετάζω περὶ τοῦ συμφέρειν, ἢ μή, τῇ πόλει, ταῦτα
ψηφίσασθαι, πάντα τἆλλα ἀφείς, τοὺς λογισμοὺς
ὁράτω, τοὺς περὶ τούτων, πότερα ὀρθῶς ἔχοντας ποιοῦ-
μαι, ἢ οὔ. ἐὰν γὰρ τοῦτον ἔχοντες τὸν τρόπον ἀκροᾶσθέ
μου, αὐτοί τε ἄριστα ἃ προσήκει, συνήσετε, χωρὶς
32 ἕκαστον σκοποῦντες, καὶ οὐχ ἅμα πάντα ἀθρόα
ἐξετάζοντες, κἀγὼ ῥᾷστα, ἃ βούλομαι, δυνήσομαι
διδάξαι. ἔσονται δὲ βραχεῖς περὶ πάντων οἱ λόγοι.
Λαβὲ δὴ τοὺς νόμους αὐτούς, καὶ λέγε, ἵν' ἐξ αὐτῶν
ἐπιδεικνύω τοῦτον ὅτι παράνομον. Ἐκ τῶν φονικῶν
33 νόμων τῶν ἐξ Ἀρείου πάγου. Νόμος.
Δικάζειν δὲ τὴν βουλὴν τὴν ἐν Ἀρείῳ πάγῳ, φό-
νου, καὶ τραύματος ἐκ προνοίας, καὶ πυρκαϊᾶς, καὶ
φαρμάκων, ἐάν τις ἀποκτείνῃ δούς. Ἐπίσχες. ἠκούσα-
τε μὲν τοῦ τε νόμου, καὶ τοῦ ψηφίσματος, ὦ ἄνδρες
34 Ἀθηναῖοι. ὡς δ' ἂν μοι δοκῆτε τοὺς περὶ τοῦ παρα-
νόμου λόγους αὐτοὺς ῥᾷστα μαθεῖν, τοῦθ' ὑμῖν φρά-
σω, εἰ σκέψαισθ' ἐν τίνι τάξει ποτ' ἐστίν, ὑπὲρ οὗ τὸ
ψήφισμα εἴρηται· πότερα ξένος, ἢ μέτοικος, ἢ πολί-
35 της ἐστίν. Εἰ μὲν δὴ μέτοικον φήσομεν, οὐκ ἐροῦμεν ἀληθῆ. εἰ δ' αὖ ξένον, οὐχὶ
δίκαια ποιήσομεν. τὴν γὰρ τοῦ δήμου δωρεάν, ἐν ᾗ πολίτης γέγονε, κυρίαν αὐτῷ
δίκαιόν ἐστιν εἶναι. ὡς ὑπὲρ πολίτου τοίνυν, ὡς ἔοικε, ποιητέον τοὺς λόγους. θεάσασθε
δὴ πρὸς Διός, ὡς ἁπλῶς καὶ δικαίως χρήσομαι τῷ λόγῳ. ὃς εἰς μὲν ταύτην τίθε-
36 μαι τὴν τάξιν αὐτόν, ἐν ᾗ πλείστης ἂν τυγχάνοι τιμῆς. ἃ δ' οὐδ' ἡμῖν τοῖς φύσει
πολίταις ἐστίν, οὐδ' ἐκείνῳ δεῖν οἴομαι γίγνεσθαι παρὰ τοὺς νόμους. τίν' οὖν ἐστι ταῦτα,
ἃ νυνὶ γέγραφεν οὑτοσί. γέγραπται γὰρ ἐν μὲν τῷ νόμῳ, τὴν βουλὴν δικάζειν
φόνου καὶ τραύματος ἐκ προνοίας, καὶ πυρκαϊᾶς, καὶ φαρμάκων, ἐάν τις ἀποκ-
37 τείνῃ δούς. καὶ προσειπὼν ὁ θεὶς τὸν νόμον, ἐὰν ἀποκτείνῃ, κρίσιν πεποίηκεν. ὅμως οὐ
πρότερον, τί χρὴ πάσχειν τὸν δεδρακότα, εἴρηκε. καλῶς, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦθ'
ὑπὲρ εὐσεβείας ὅλης τῆς πόλεως προϊδών. πῶς; οὐκ ἔνεστιν ἅπαντας ἡμᾶς εἰδέναι
τίς ποτ' ἐστὶν ὁ ἀνδροφόνος. τὸ μὲν δὴ τὰ τοιαῦτα ἄνευ κρίσεως πιστεύειν, ἄν τις ἐπαι-
38 τιάσηται, δεινὸν ἡγεῖτο. δεῖν δ' ὑπελάμβανεν, ἐπειδήπερ ἡμεῖς τιμωρήσομεν τῷ
πεπονθότι, πεισθῆναι, καὶ μαθεῖν ὑμᾶς διδασκομένους ὡς δέδρακε. τηνικαῦτα
γὰρ εὐσεβὲς ἤδη κολάζειν εἰδόσιν εἶναι. πρότερον δὲ οὔ. καὶ ἔτι πρὸς τούτῳ διελογί-
39 ζετο, ὅτι πάντα τὰ τοιαῦτα ὀνόματα. οἷον ἐάν τις ἀποκτείνῃ, ἐάν τις ἱεροσυλήσῃ, ἐὰν
τις προδῷ, καὶ τὰ τοιαῦτα πάντα, πρὸ τοῦ μὲν τὴν κρίσιν γενέσθαι, αἰτιῶν ὀνό-
ματά ἐστιν, ἐπειδὴ δὲ κριθείς τις ἐξελεγχθῇ, τηνικαῦτα ἀδικήματα γίγνεται. οὐ δὴ
40 δεῖν ᾤετο τῷ τῆς αἰτίας ὀνόματι τιμωρίαν προσγράφειν, ἀλλὰ κρίσιν. καὶ διὰ
ταῦτα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ταῦτα ἄν τις ἀποκτείνῃ τινά, τὴν βουλὴν δικάζειν
ἔγραψε, καὶ οὐχ ἅπερ ἂν ἁλῷ, παθεῖν εἶπεν. ὁ μὲν
δὴ τὸν νόμον τιθεὶς, οὕτως. ὁ δὲ τὸ ψήφισμα γράφων,
πῶς. Ἐάν τις ἀποκτείνῃ, φησί, Χαρίδημον. τὴν μὲν 41

ποῖα λέγει τὰ εἴδη τῆς κακουργιῶν, ἢ διὰ τὸ δύσφημον, ἢ ἵνα μὴ δοκῇ, διὰ τὸ πράττειν, εἰδέναι. Ὡς αὐ- 46
τόν) Τοῦτ' ἔστι πρὸς αὐτόν, ὥσπερ καὶ κατωτέρω, ὡς θεσμοθέτας, πρὸς

δὴ προσηγορίαν τοῦ πάθους, τὴν αὐτὴν ἐποιήσατο, ἄν τις ἀποκτείνῃ, γράψας,
ἥνπερ ὁ τὸν νόμον τιθείς. μεταταῦτα δέ, οὐκ ἔτι ταὐτά, ἀλλ' ἀνελὼν τὸ δίκην
ὑπέχειν, ἀγώγιμον εὐθὺς ἐποίησε. καὶ παραβὰς τὸ διωρισμένον ἐκ τοῦ νόμου δικα-
στήριον, ἄκριτον τοῖς ἐπαιτιασαμένοις παρέδωκεν, ὅ, τι ἂν βούλωνται, χρῆσθαι, τὸν 42
οὐδ' εἰ πεποίηκέ πω, φανερόν. καὶ λαβοῦσιν ἐκείνοις, ἐξέσται στρεβλοῦν, αἰκίσασθαι,
χρήματα πράξασθαι. καί τοι ταῦτα πάντα ἀπείρηκεν ἄντικρυς, καὶ σαφῶς ὁ κά-
τωθεν νόμος, μηδὲ τοὺς ἑαλωκότας, καὶ δεδογμένους ἀνδροφόνους ἐξεῖναι ποιεῖν.

Λέγε δή αὐτοῖς αὐτὸν τὸν νόμον τὸν μεταταῦτα. 43

Νόμος.

Τοὺς δ' ἀνδροφόνους ἐξεῖναι ἀποκτείνειν ἐν τῇ ἡμεδαπῇ, καὶ ἀπάγειν, ὡς ἐν τῷ
ἀπαγορεύει. ἄξονι ἀγορεύει. λυμαίνεσθαι δὲ μή, μηδὲ ἀποινᾶν, ἢ διπλοῦν ὀφείλειν, ὅσον ἂν
καταβλάψῃ. εἰσφέρειν δὲ τοὺς ἄρχοντας, ὧν ἕκαστοι δικασταί εἰσι τῷ βουλομένῳ. 44
τὴν δ' ἡλιαίαν διαγινώσκειν. Ἠκούσατε μὲν τοῦ νόμου. σκέψασθε δέ, ὦ ἄνδρες
ἀθηναῖοι, καὶ θεωρήσατε ὡς καλῶς καὶ σφόδρα εὐσεβῶς ἔθηκεν ὁ τιθεὶς τὸν νό-
μον. τοὺς ἀνδροφόνους φησί. πρῶτον μὲν δὴ τοῦτον ἀνδροφόνον λέγει, τὸν ἑαλω-
κότα ἤδη τῇ ψήφῳ. οὐ γάρ ἐστ' οὐδεὶς ὑπὸ ταύτῃ τῇ προσηγορίᾳ, πρὶν ἂν 45
ἐξελεγχθεὶς ἁλῷ. ποῦ τοῦτο δηλοῖ; ἔν τε τῷ προτέρῳ νόμῳ, καὶ ἐν τούτῳ. ἐν
μὲν γὰρ ἐκείνῳ γράψας, ἐάν τις ἀποκτείνῃ, τὴν βουλὴν δικάζειν εἶπεν. ἐν δὲ
τούτῳ τὸν ἀνδροφόνον προσειπών, ἃ χρὴ πάσχειν, εἴρηκεν. οὐ μὲν γὰρ ἦν ἡ αἰτία
τὸ πρᾶγμα, τὴν κρίσιν εἴρηκεν· οὗ δ' ὁ ἁλοὺς ἔνοχος τῷ προσρήματι τούτῳ κα- 45
λέγει. τέστηκε, τὴν τιμωρίαν ἔγραψε. περὶ μὲν δὴ τῶν ἑαλωκότων ἂν λέγοι. λέγοι
δὲ τί; ἐξεῖναι ἀποκτείνειν καὶ ἀπάγειν. ἆρ' ὡς αὐτόν, ἢ ὡς ἂν βούληταί τις; πολ-
λοῦ γε καὶ δεῖ. ἀλλὰ πῶς. ὡς ἐν τῷ ἄξονι εἴρηται, φησι. τοῦτο δ' ἐστὶ τί; ὃ
πάντες ἐπίστασθ' ὑμεῖς. οἱ θεσμοθέται τοὺς ἐπὶ φόνῳ φεύγοντας κύριοι θανά- 47
τῳ ζημιῶσαί εἰσι, καὶ τὸν ἐκ τῆς ἐκκλησίας πέρυσι πάντες ἑωρᾶτε ὑπ' ἐκεί-
νων ἀπαχθέντα. ὡς τούτοις οὖν ἀπάγειν λέγει. διαφέρει δέ τι τοῦτο, τοῦ ὡς αὐτὸν
ἄγειν, ὅτι ὁ μὲν ἀπάγων, ὦ ἄνδρες ἀθηναῖοι ὡς τοὺς θεσμοθέτας, τοὺς νόμους 48
κυρίους ποιεῖ τοῦ δεδρακότος. ὁ δὲ ὡς αὐτὸν ἄγων, ἑαυτόν. ἔστι δ' ἐκείνως μέν, ὡς
ὁ νόμος κελεύει δοῦναι δίκην· οὕτω δέ, ὡς ὁ λαβὼν βούλεται. πλεῖστον δὲ δήπου
διαφέρει τὸν νόμον κύριον τῆς τιμωρίας, ἢ τὸν ἐχθρὸν γίνεσθαι. λυμαίνεσθαι
δὲ φησι, μή, μηδὲ ἀποινᾶν. ταῦτα δὲ ἐστὶ τί; τὸ μὲν δὴ μὴ λυμαίνεσθαι, γνώ- 49
ριμον οἶδ' ὅτι πᾶσι. μὴ μαστιγοῦν, μὴ δεῖν, μὴ τὰ τοιαῦτα ποιεῖν λέγει. τὸ δὲ
μηδ' ἀποινᾶν, μὴ χρήματα πράττεσθαι. τὰ γὰρ ἄποινα, χρήματα ὠνόμαζον
α. οἱ παλαιοί. ὁ μὲν δὴ νόμος, οὕτω τὸν ἀνδροφόνον, καὶ τὸν ἑαλωκότα ἤδη διώρισεν,
ὡς κολαστέον, καὶ οὗ, τὴν τοῦ πεπονθότος εἰπὼν πατρίδα, καὶ περὶ τοῦ μηδένα 50
ἄλλον τρόπον, ἢ τοῦτον, μηδ' ἄλλοθι, πλὴν ἐνταῦθα, ἄντικρυς εἴρηκεν. ὁ δὲ τὸ ψήφι-
σμα γράφων, πολλοῦ γε καὶ δεῖ διώρισεν· ὅς γε πάντα τούτοις τἀναντία εἴρηκε.
γράψας γὰρ, ἐάν τις ἀποκτείνῃ Χαρίδημον, ἀγώγιμος ἔστω, φησί, πανταχόθεν. τί

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

51 νομοθέτας. Καὶ μὴν ἔν γε τῷ ποιεῖν ἀγώγιμον) Τὸ ἀγώγιμον πανταχοῦ σοφίζεται.

51 λέγεις. τῶν νόμων οὐδὲ τοὺς ἑαλωκότας διδόντων ἀ-
πάγειν, πλὴν ἐν τῇ ἡμεδαπῇ, σὺ γράφεις ἄνευ
κρίσεως τινὰ ἀγώγιμον ἐκ τῆς συμμαχίδος πάσης;
καὶ οὐδὲ ἐν τῇ ἡμεδαπῇ ἄγειν κελευόντων τῶν νόμων, σὺ δίδως πανταχόθεν ἄγειν;
καὶ μὴν ἔν γε τῷ ποιεῖν ἀγώγιμον, πάνθ᾽ ὅσα ἀπείρηκεν ὁ νόμος, δέδωκας. χρή-
52 ματα πράξασθαι, ζῶντα λυμαίνεσθαι, κακοῦν, ἔχοντα αὐτὸν ἀποκτιννύναι.
πῶς οὖν ἄν τις μᾶλλον ἐλεγχθείη παράνομα εἰρηκώς; ἢ πῶς δεινότερ᾽ ἂν γρά- α.
φων, ἢ τοῦτον τὸν τρόπον; ὃς δυοῖν ὑποκειμένοιν ὀνομάτοιν, κατὰ μὲν τῶν ἐν αἰτίᾳ.
ἐάν τις ἀποκτείνῃ κατὰ ἑαλωκότων, ἐάν τις ἀνδροφόνος ᾖ. ἐν μὲν τῇ προσηγορίᾳ,
53 τὸ τοῦ τὴν αἰτίαν ἔχοντος ὄνομα ἔλαβες· τὴν δὲ τιμωρίαν, ἣν οὐδὲ κατὰ τῶν ἐξε-
ληλεγμένων διδόασιν οἱ νόμοι, ταύτην κατὰ τῶν ἀκρίτων ἔγραψας, καὶ τὸ μέσον τού-
των ἐξῆλες. μέσον γάρ ἐστιν αἰτίας, καὶ ἐλέγχου κρίσις. ἣν οὐδαμοῦ γέγραφεν οὗτος
ἐν τῷ ψηφίσματι. Λέγε τοὺς ἐφεξῆς νόμους.

Νόμος.

54 Ἐὰν δέ τις τὸν ἀνδροφόνον κτείνῃ, ἢ αἴτιος ᾖ φόνου, ἀπεχόμενον ἀγορᾶς, ἐ- ἐφορείας.
φορίας, καὶ ἄθλων, καὶ ἱερῶν ἀμφικτυονικῶν, ὥσπερ τὸν Ἀθηναῖον κτείναντα, ἐν
τοῖς αὐτοῖς ἐνέχεσθαι. διαγινώσκειν δὲ τοὺς ἐφέτας. Τουτονὶ δεῖ μαθεῖν ὑμᾶς,
ὦ ἄνδρες Ἀθηναῖοι, τὸν νόμον, τί ποτ᾽ ἐβούλετο ὁ θείς. ὄψεσθε γὰρ ὡς ἅπαντ᾽ εὐ-
55 λαβῶς διώρισε καὶ νομίμως. ἐάν τις ἀποκτείνῃ τὸν ἀνδροφόνον φησίν, ἢ αἴτιος
ᾖ φόνου, ἀπεχόμενον ἀγορᾶς, καὶ ἐφορίας, καὶ ἄθλων, καὶ ἱερῶν ἀμφικτυονικῶν, ἐφορείας
ὥσπερ τὸν Ἀθηναῖον κτείναντα, ἐν τοῖς αὐτοῖς ἐνέχεσθαι· διαγινώσκειν δὲ τοὺς
ἐφέτας. τί δὴ ταῦτά ἐστιν; ἐκεῖνος ᾤετο, τὸν πεφευγότα ἐπ᾽ αἰτίᾳ φόνου, καὶ ἑα-
56 λωκότα, ἐὰν ἅπαξ ἐκφύγῃ, καὶ σωθῇ, εἴργειν μὲν τῆς τοῦ παθόντος πατρί-
δος δίκαιον εἶναι· κτείνειν δὲ οὐχ ὅσιον ἁπανταχοῦ. τί σκοπῶν; ὅτι καὶ τοὺς ἑτέ-
ρους πεφευγότας, ἐὰν ἡμεῖς τοὺς ἑτέρωσε ἀποκτιννύωμεν, ἀποκτενοῦσιν ἕτεροι.
εἰ δὲ τοῦτ᾽ ἔσται, ἡ μόνη καὶ λοιπὴ τοῖς ἀτυχοῦσιν ἅπασι σωτηρία διαφθαρή-
57 σεται. ἔστι δ᾽ αὕτη τίς; ἐκ τῆς τῶν πεπονθότων μεταστάντα, εἰς τὴν τῶν μηδὲν
ἠδικημένων ἀδεῶς μετοικεῖν. ἵνα δὴ μὴ τοῦτο ᾖ, μηδ᾽ ἀπέραντοι τῶν ἀτυχη-
μάτων αἱ τιμωρίαι γίγνωνται, ἔγραψεν, ἐάν τις τὸν ἀνδροφόνον κτείνῃ, ἀπεχό-
μενόν, φησιν, ἀγορᾶς, ἐφορίας. τί τοῦτο λέγων, τῶν ὁρίων τῆς χώρας. ἐνταῦθα ἐφορείας.
58 γάρ, ὥς γέ μοι δοκεῖ, τἀρχαῖα συνῄεσαν οἱ πρόσχωροι παρά τε ἡμῶν, καὶ τῶν
ἀστυγειτόνων. ὅθεν ὠνόμακεν ἀγορὰν ἐφορίαν. καὶ πάλιν ἱερῶν ἀμφικτυονι- ἐφορείαν.
κῶν. τί δήποτε καὶ τούτων ἀπέκλεισε τὸν ἀνδροφόνον· ὅσων τῷ παθόντι ζῶντι
μετῆν, τούτων εἴργει τὸν δεδρακότα· πρῶτον μὲν τῆς πατρίδος, καὶ τῶν ἐν ταύ-
59 τῃ πάντων, καὶ ὁσίων, καὶ ἱερῶν. τὴν ἐφορίαν, ἀγορὰν, ὅρον προσγράψας, ἧς ἐφορείαν
εἴργεσθαί φησιν. εἶτα τῶν ἱερῶν τῶν ἐν ἀμφικτύοσι. καὶ γὰρ τούτων, εἴ περ α
ἦν Ἕλλην ὁ παθών, μετῆν αὐτῷ, καὶ ἄθλων. διὰ τί; ὅτι κοινοὶ πᾶσίν εἰσιν οἱ
κατὰ τὴν Ἑλλάδα ἀγῶνες. κατὰ δὲ τὴν πάντων μετουσίαν, μετῆν καὶ τού-
60 των τῷ παθόντι. καὶ τούτων οὖν ἀπέχεσθαι. τούτων μὲν δὴ τὸν εἰργασμένον εἴρ-
γει. ἐὰν δ᾽ ἔξω τούτων κτείνῃ τις αὐτόν, ἢ ἄλλοθί που, τὴν αὐτὴν ὑπὲρ αὐτοῦ
δίκην δέδωκεν, ἥν περ ἂν τὸν Ἀθηναῖον κτείνῃ. τὸν γὰρ φυγάδα, οὐ τὸ τῆς πό-
λεως προσεῖπεν ὄνομα, ἧς οὐκ ἔστι μετουσία αὐτῷ, ἀλλὰ τὸ τοῦ πράγμα-
τος, ᾧ κα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

διὰ ταῦτα. α. τος, ᾧ κατέστησεν αὐτὸν ἐκεῖνος ἄρχειν. καὶ διὰ τοῦτο 61
ἄν τις ἀποκτείνῃ, φησί, τὸν ἀνδροφόνον. εἶτ' εἰπὼν, ὧν
εἰργομένων, ἐπὶ τὴν τιμωρίαν νομίμως ἐπιθεῖ-
ναι, τὸ τῆς πόλεως ὄνομα ὠνόμασε, τοῖς αὐτοῖς ἐνεχέσθω, καθάπερ ἂν τὸν ἀθηναῖον
γρ. ἀνόμοιος. ὧν, ἀποκτείνῃ; γράψας, ἀνομοίως, ὦ ἄνδρες ἀθηναῖοι, τῷ τουτὶ τὸ ψήφισμα εἰρη- 62
κότι. καίτοι πῶς οὐχὶ δεινὸν, εἰ, οἷς ὁ νόμος δέδωκεν ἐὰν ὧν, εἶπεν, εἴργωνται, μετ' ἀ-
σφαλείας τὴν φυγὴν φεύγουσι, τούτους ἐκδότους τις εἶναι γράφει, καὶ ἀφαιρεῖται τὸ τῆς
συγγνώμης ὠφέλιμον, ὃ τοῖς ἀτυχοῦσιν ὑπάρχειν εἰκὸς παρὰ τῶν ἔξω τῶν ἐγ-
πάντων. κλημάτων ὄντων, ὅτῳ ποτὲ τῶν ἀπάντων ἀπόκειται ἄδηλον ὂν, μὴ προδήλου 63
τῆς ἐπιούσης τύχης οὔσης ἑκάστῳ; καὶ νυνὶ τὸν ἀποκτείναντα Χαρίδημον, οὕτως ἂν
ἄρα τοῦτο γένηται, ἐὰν ἀνταποκτείνωσί τινες, λαβόντες ἔκδοτον πεφευγότα, καὶ τῶν
νομίμων εἰργόμενον, ἔνοχοι μὲν αὐτοὶ ταῖς φονικαῖς δίκαις ἔσονται· ἔνοχος δὲ σύ. καὶ
ἐξουσίαν. α. γὰρ, ἄν τις αἴτιος ᾖ, γέγραπται. ἔσῃ δ' αἴτιος, τὴν διὰ τοῦ ψηφίσματος αἰτίαν δε- 64
ἐάσομεν. δωκώς. οὐκοῦν εἰ μὲν ἐάσομεν ὑμᾶς, τούτων συμβάντων, οὐ καθαροῖς οὖσιν ὁ-
μοῦ συνδιατρίψομεν. εἰ δ' ἐπέξιμεν, οἷς ἐγνώκαμεν, αὐτοὶ τἀναντία πράττειν
* τὸ. ἀναγκασθησόμεθα. ἆρά γε μικρὸν, ἢ * τυχὸν ἐστιν, ὑπὲρ οὗ δεῖ λῦσαι τὸ ψήφι-
διαλῦσαι. σμα ὑμᾶς; Λέγε δὴ τὸν μετὰ ταῦτα νόμον. 65

## Νόμος.

Ἐάν τις τινὰ τῶν ἀνδροφόνων τῶν ἐξεληλυθότων, ὧν τὰ χρήματα, ἐπίτι-
ὅρων. α. μα, πέρα ὅρου ἐλαύνῃ, ἢ φέρῃ, ἢ ἄγῃ, τὰ ἴσα ὀφείλειν, ὅσα περ ἂν καὶ ἐν τῇ
ἡμεδαπῇ δράσῃ. Ἄλλος ἐστὶν, ὦ ἄνδρες ἀθηναῖοι, νόμος ἀνθρωπίνως καὶ κα-
λῶς κείμενος· ὃν παραβὰς οὗτος ὁμοίως φανήσεται. ἐάν τις τινὰ τῶν ἀνδροφό- 66
νων, φησὶ, τῶν ἐξεληλυθότων, ὧν τὰ χρήματα ἐπίτιμα. τῶν ἐπ' ἀκουσίῳ φό-
νῳ λέγει μεθεστηκότων. πῶς τοῦτο δῆλον; τῷ τε ἐξε-
ληλυθότων εἰπεῖν, ἀλλὰ μὴ πεφευγότων, καὶ τῷ
διορίζειν, ὧν τὰ χρήματα ἐπίτιμα. τῶν γὰρ ἐκ
προνοίας, δεδήμευται τὰ ὄντα. περὶ μὲν δὴ τῶν ἑ-
κουσίων ἂν λέγοι. λέγει δὲ τί. ἐὰν πέρα ὅρου, φησὶν, 67
ἐλαύνῃ, ἢ φέρῃ, ἢ ἄγῃ. τοῦτο δὲ ἐστὶ τί, τὸ πέρα
ὅρου; ἔστι πᾶσιν ὅρος τοῖς ἀνδροφόνοις, τῆς τοῦ πα-
θόντος εἴργεσθαι πατρίδος. ἐκ μὲν δὴ ταύτης,
δίδωσιν ἐλαύνειν καὶ ἄγειν. πέρα δὲ οὐκ ἐᾷ τούτων
οὐδέτερον ποιεῖν. ἐὰν δέ τις παρὰ ταῦτα ποιῇ, τὴν 68

Μὴ προδήλου τῆς ἐπιούσης τύχης οὔσης ἑκάστῳ) εἰς ἔλεον ἤγαγε τὸν λόγον, ἵνα δείξῃ τὴν ἀδικίαν ἐκείνου. 63

Καὶ μὴ νομίσητε εὔηθες τὸ ἐρώτημα) Ἐπειδὴ ἀπαιτεῖ αὐτὸν περὶ τῶν μελλόντων ἀποκρίνεσθαι· ὅσον δὲ εἰς ἀτοπίαν ἄγει τὸν λόγον, πλέον τοῦ Ἀριστοκράτους καθάπτεται. τὸ δὲ ἢ καὶ ἄλλως πως τελευτήσει, ἤτοι ἰδίῳ θανάτῳ. 68

Τίνα γὰρ σὺ λέλοιπας ὅρον τῷ γράμματι) Ἤγουν τῷ ψηφίσματι. διασύρει δὲ τὸ γράμμα προστακτικόν. καίτοι γε, τούτῳ, προσθείς, οἷς, τῷ ἀπίῳ. 70

αὐτὴν ἔδωκεν ὑπὲρ αὐτοῦ δίκην, ἣν περ ἂν εἰ μένοντα ἠδίκει, οἴκοι γράψας
ταὐτὰ. γρ. ταῦτα ὀφείλειν, ἅπερ ἂν οἴκοι δράσῃ. εἰ δή τις ἔροιτο Ἀριστοκράτην τουτονί,
καὶ μὴ νομίσητε εὔηθες τὸ ἐρώτημα, πότερον οὖν οἶδεν εἴ τις ἀποκτενεῖ Χαρίδη-
ἴδια. μον, ἢ καὶ ἄλλως πως τελευτήσει; οὐκ ἂν, οἶμαι, φαίη. θήσομεν τοίνυν ἀποκτε- 69
νεῖν, πάλιν οἶδ', ἑκὼν, ἢ ἄκων, καὶ ξένος, ἢ πολίτης ὁ τοῦτο ποιήσων ἔσται; οὐκ ἔ-
νεστ' εἰπεῖν ὡς οἶδα. οὐκοῦν, ταῦτά γε δήπου προσῆκε γράψαι, ἐάν τις ἀπο-
κτείνῃ, γράφοντα, ἄκων, ἢ ἑκὼν· ἀδίκως, ἢ δικαίως, ξένος, ἢ πολίτης· ἵν' ὅτῳ πο- 70
τε τοὔργον ἐπράχθη, τούτῳ τὰ ἐκ τῶν νόμων ὑπῆρχε δίκαια· μὴ, μὰ δί' αὐτὸ τὸ
τῆς αἰτίας ὄνομα εἰπόντα, ἀγώγιμος ἔστω προσγράψαι. τίνα γὰρ σὺ λέλοιπας

51 νομοθέτας. Καὶ μὴν ἔν γε τῷ ποιεῖν ἀγώγιμον) Τῷ ἀγωγίμῳ πανταχόθεν σοφίζεται.

51 λέγεις. τῶν νόμων οὐδὲ τοὺς ἑαλωκότας διδόντων ἀ-
πάγειν, πλὴν ἐν τῇ ἡμεδαπῇ, σὺ γράφεις ἄνευ
κρίσεως τινὰ ἀγώγιμον ἐκ τῆς συμμαχίδος πάσης;
καὶ οὐδὲ ἐν τῇ ἡμεδαπῇ ἄγειν κελευόντων τῶν νόμων, σὺ δίδως πανταχόθεν ἄγειν;
καὶ μὴν ἔν γε τῷ ποιεῖν ἀγώγιμον, πάνθ᾽ ὅσα ἀπείρηκεν ὁ νόμος, δέδωκας· χρή-
52 ματα πράξασθαι, ζῶντα λυμαίνεσθαι, κακοῦν, ἔχοντα αὐτὸν ἀποκτιννύναι.
πῶς οὖν ἂν τις μᾶλλον ἐλεγχθείη παράνομα εἰρηκώς; ἢ πῶς δεινότερ᾽ ἂν γρά- ἀ.
φων, ἢ τοῦτον τὸν τρόπον; ὃς δυοῖν ὑποκειμένοιν ὀνομάτοιν, κατὰ μὲν τῶν ἐν αἰτίᾳ,
ἐάν τις ἀποκτείνῃ· κατὰ ἑαλωκότων, ἐάν τις ἀνδροφόνος ᾖ· ἐν μὲν τῇ προσηγορίᾳ,
53 τὸ τοῦ τὴν αἰτίαν ἔχοντος ὄνομα ἔλαβες· τὴν δὲ τιμωρίαν, ἣν οὐδὲ κατὰ τῶν ἐξε-
ληλεγμένων διδόασιν οἱ νόμοι, ταύτην κατὰ τῶν ἀκρίτων ἔγραψας, καὶ τὸ μέσον τού-
των ἐξεῖλες. μέσον γάρ ἐστιν αἰτίας, καὶ ἐλέγχου κρίσις. ἣν οὐδαμοῦ γέγραφεν οὗτος
ἐν τῷ ψηφίσματι. Λέγε τοὺς ἐφεξῆς νόμους.

## Νόμος.

54 Ἐὰν δέ τις τὸν ἀνδροφόνον κτείνῃ, ἢ αἴτιος ᾖ φόνου, ἀπεχόμενον ἀγορᾶς, ἐ- ἐφορείας
φορίας, καὶ ἄθλων, καὶ ἱερῶν ἀμφικτυονικῶν, ὥσπερ τὸν Ἀθηναῖον κτείναντα, ἐν
τοῖς αὐτοῖς ἐνέχεσθαι. διαγινώσκειν δὲ τοὺς ἐφέτας. Τουτονὶ δεῖ μαθεῖν ὑμᾶς,
ὦ ἄνδρες Ἀθηναῖοι, τὸν νόμον, τί ποτ᾽ ἐβούλετο ὁ θείς. ὄψεσθε γὰρ ὡς ἅπαντ᾽ εὐ-
55 λαβῶς διώρισε καὶ νομίμως. ἐάν τις ἀποκτείνῃ τὸν ἀνδροφόνον φησίν, ἢ αἴτιος
ᾖ φόνου, ἀπεχόμενον ἀγορᾶς, καὶ ἐφορίας, καὶ ἄθλων, καὶ ἱερῶν ἀμφικτυονικῶν, ἐφορείας
ὥσπερ τὸν Ἀθηναῖον κτείναντα, ἐν τοῖς αὐτοῖς ἐνέχεσθαι· διαγινώσκειν δὲ τοὺς
ἐφέτας. τί δὴ ταῦτά ἐστιν; ἐκεῖνος ᾤετο, τὸν πεφευγότα ἐπ᾽ αἰτίᾳ φόνου, καὶ ἑα-
56 λωκότα, ἐάνπερ ἅπαξ ἐκφύγῃ, καὶ σωθῇ, εἴργειν μὲν τῆς τοῦ παθόντος πατρί-
δος δίκαιον εἶναι· κτείνειν δὲ οὐχ ὅσιον ἁπανταχοῦ. τί σκοπῶν; ὅτι καὶ τοὺς δεῦ-
ρο πεφευγότας, ἐὰν ἡμεῖς τοὺς ἑτέρωσε ἀποκτιννύωμεν, ἀποκτενοῦσιν ἕτεροι.
εἰ δὲ τοῦτ᾽ ἔσται, ἡ μόνη καὶ λοιπὴ τοῖς ἀτυχοῦσιν ἅπασι σωτηρία διαφθαρή-
57 σεται. ἔστι δ᾽ αὕτη τίς; ἐκ τῆς τῶν πεπονθότων μεταστάντα, εἰς τὴν τῶν μηδὲν
ἠδικημένων ἀδεῶς μετοικεῖν. ἵνα δὴ μὴ τοῦτο ᾖ, μηδ᾽ ἀπέραντοι τῶν ἀτυχη-
μάτων αἱ τιμωρίαι γίγνωνται, ἔγραψεν, ἐάν τις τὸν ἀνδροφόνον κτείνῃ, ἀπεχό-
μενον, φησιν, ἀγορᾶς, ἐφορίας. τί τοῦτο λέγων; τῶν ὁρίων τῆς χώρας. ἐνταῦθα ἐφορείας
58 γάρ, ὥς γέ μοι δοκεῖ, τἀρχαῖα συνῄεσαν οἱ πρόσχωροι παρά τε ὑμῶν, καὶ τῶν
ἀστυγειτόνων. ὅθεν ὠνόμακεν ἀγορὰν καὶ ἐφορίαν. καὶ πάλιν ἱερῶν ἀμφικτυονι- ἐφορείαν
κῶν. τί δήποτε καὶ τούτων ἀπέκλεισε τὸν ἀνδροφόνον; ὅσων τῷ παθόντι ζῶντι
μετῆν, τούτων εἴργει τὸν δεδρακότα· πρῶτον μὲν τῆς πατρίδος, καὶ τῶν ἐν ταύ-
59 τῃ πάντων, καὶ ὁσίων, καὶ ἱερῶν τὴν ἐφορίαν, ἀγορὰν, ὅρον προσγράψας, ἧς ἐφορείαν
εἴργεσθαί φησιν. εἶτα τῶν ἱερῶν τῶν ἐν ἀμφικτύοσι. καὶ γὰρ τούτων, εἴπερ ἀ.
ἦν Ἕλλην ὁ παθών, μετῆν αὐτῷ, καὶ ἄθλων. διὰ τί; ὅτι κοινοὶ πᾶσίν εἰσιν οἱ
κατὰ τὴν Ἑλλάδα ἀγῶνες. κατὰ δὲ τὴν πάντων μετουσίαν, μετῆν καὶ τού-
60 των τῷ παθόντι. καὶ τούτων οὖν ἀπεχέσθω. τούτων μὲν δὴ τὸν εἰργασμένον εἴρ-
γει. ἐὰν δ᾽ ἔξω τούτων κτείνῃ τις αὐτὸν, ἢ ἄλλοθί που, τὴν αὐτὴν ὑπὲρ αὐτοῦ
δίκην δέδωκεν, ἥνπερ ἂν τὸν Ἀθηναῖον κτείνῃ. τὸν γὰρ φυγάδα, οὐ τὸ τῆς πό-
λεως προσεῖπεν ὄνομα, ἧς οὐκ ἔστι μετουσία αὐτῷ, ἀλλὰ τὸ τοῦ πράγμα-
τος, ᾧ κα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

διὰ ταῦτα. α. τος, ᾧ κατέστησεν αὐτὸν ἐκεῖνος ἔνοχον. καὶ διὰ τοῦτο 61 μὲν τις ἀποκτείνῃ, φησὶ, τὸν ἀνδροφόνον. εἶτ' εἰπὼν, ὧν εἰργομένων, ἐπὶ τοῦ τὴν τιμωρίαν νομίμως ἐπιθεῖναι, τὸ τῆς πόλεως ὄνομα ὠνόμασε, τοῖς αὐτοῖς ἐνεχέσθω, καθάπερ ἂν τὸν Ἀθηναῖον

γρ. ἀνόμοιος. ὤν. ἀποκτείνῃ γράψας, ἀνομοίως, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦ τουτὶ τὸ ψήφισμα εἰρηκότι. καὶ τοί πως οὐχὶ δεινὸν, εἰ, οἷς ὁ νόμος δέδωκεν, ἐὰν ὧν εἶπεν, εἴργωνται, μετ' ἀσφαλείας τὴν φυγεῖν, τούτους ἐκδότους τις εἶναι γράφει, καὶ ἀφαιρεῖται τὸ τῆς συγγνώμης ὠφέλιμον, ὃ τοῖς ἀτυχοῦσιν ὑπάρχειν εἰκὸς παρὰ τῶν ἔξω τῶν ἐγ- 62

πάντων. κλημάτων ὄντων, ὅτῳ ποτὲ τῶν ἁπάντων ἀπόκειται ἄδηλον ὄν, μὴ προδήλου 63 τῆς ἐπιούσης τύχης οὔσης ἑκάστῳ; καὶ νυνὶ τὸν ἀποκτείναντα Χαρίδημον, οὕτως ἂν ἄρα τοῦτο γένηται, ἐὰν αὐτὸν ἀποκτείνωσί τινες, λαβόντες ἔκδοτον πεφευγότα, καὶ τῶν νομίμων εἰργομένον, ἔνοχοι μὲν αὐτοὶ ταῖς φονικαῖς δίκαις ἔσονται· ἔνοχος δ' εἶ σύ. καὶ

ἐξουσίαν. α. ἐάσομεν. γὰρ, ἄν τις αἴτιος ᾖ, γέγραπται. ἔσῃ δὴ αἴτιος, τὴν διὰ τοῦ ψηφίσματος αἰτίαν δεδωκώς. οὐκοῦν εἰ μὲν ἐάσωμεν ὑμᾶς, τούτων συμβάντων, οὐ καθαρεῖς οὖσιν ὁμοῦ συνδιατρίψομεν. εἰ δ' ἐπέξιμεν, οἷς ἐγνώκαμεν, αὐτοὶ τἀναντία πράττειν 64

πρ. ἀναλῦσαι. ἀναγκασθησόμεθα. ἆρα γε μικρὸν, ἢ* τυχὸν ἐστὶν, ὑπὲρ οὗ δεῖ λῦσαι τὸ ψήφισμα ὑμᾶς; Λέγε δὴ τὸν μετὰ ταῦτα νόμον. 65

Μὴ προδήλου τῆς ἐπιούσης τύχης οὔσης ἑκάστῳ) εἰς ἔλεον ἤγαγε τὸν λόγον, ἵνα δείξῃ τὴν ἀδικίαν ἐκείνου. 63

## Νόμος.

Ἐάν τις τινὰ τῶν ἀνδροφόνων τῶν ἐξεληλυθότων, ὧν τὰ χρήματα, ἐπίτι-

ὅρων. α. μα, πέρα ὅρου ἐλαύνῃ, ἢ φέρῃ, ἢ ἄγῃ, τὰ ἴσα ὀφείλειν, ὅσα περ ἂν καὶ ἐν τῇ ἡμεδαπῇ δράσῃ. Ἄλλος ἐστὶν, ὦ ἄνδρες Ἀθηναῖοι, νόμος ἀνθρωπίνως καὶ καλῶς κείμενος· ὃν παραβὰς ἐστὶν ὁμοίως φανήσεται. ἐάν τις τινὰ τῶν ἀνδροφό- 66 νων, φησὶ, τῶν ἐξεληλυθότων, ὧν τὰ χρήματα ἐπίτιμα. τῶν ἐπ' ἀκουσίῳ φόνῳ λέγει μεθεστηκότων. τῷ τοῦτο δῆλον; τῷ τε ἐξεληλυθότων εἰπεῖν, ἀλλὰ μὴ πεφευγότων, καὶ τῷ διωρίσθαι, ὧν τὰ χρήματα ἐπίτιμα. τῶν γὰρ ἐκ προνοίας, δεδήμευται τὰ ὄντα. περὶ μὲν δὴ τῶν ἑκουσίων ἂν λέγοι. λέγει δέ τι. ἐὰν πέρα ὅρου, φησὶν, 67 ἐλαύνῃ, ἢ φέρῃ, ἢ ἄγῃ. τοῦτο δὲ ἐστὶ τί, τὸ πέρα ὅρου; ἐστὶ πᾶσιν ὅρος τοῖς ἀνδροφόνοις, τῆς τοῦ παθόντος εἴργεσθαι πατρίδος. ἐκ μὲν δὴ ταύτης, δίδωσιν ἐλαύνειν καὶ ἄγειν. πέρα δὲ οὐκ ἐᾷ τούτων οὐδέτερον ποιεῖν. ἐὰν δέ τις παρὰ ταῦτα ποιῇ, τὴν 68 αὐτὴν ἔδωκεν ὑπὲρ αὐτοῦ δίκην, ἥν περ ἂν εἰ μένοντα ἠδίκει, οἴκοι γράψας

ταυτὶ. γρ. ταῦτα ὀφείλειν, ἅπερ ἂν οἴκοι δράσῃ. εἰ δή τις ἔροιτο Ἀριστοκράτην τουτονὶ, καὶ μὴ νομίσητε εὔηθες τὸ ἐρώτημα, πότερον οἶδεν εἴ τις ἀποκτενεῖ Χαρίδη-

ἴσασι. μον, ἢ καὶ ἄλλως πως τελευτήσει; οὐκ ἂν, οἶμαι, φαίη. θῶμεν τοίνυν ἀποκτε- 69 νεῖν, πάλιν οἶσθ', ἑκὼν, ἢ ἄκων, καὶ ξένος, ἢ πολίτης ὁ τοῦτο ποιήσων ἔσται; οὐκ ἔνεστ' εἰπεῖν ὡς οἶσθα. οὐκοῦν ταῦτά γε δήπου προσέθηκε γράψαι, ἐάν τις ἀποκτείνῃ, γράφοντα, ἄκων, ἢ ἑκὼν, ἀδίκως, ἢ δικαίως, ξένος, ἢ πολίτης. ἵν' ὅτῳ πο- 70 τε τοὔργον ἐπεπράχθη, τούτῳ τὰ ἐκ τῶν νόμων ὑπῆρχε δίκαια· μὴ, μὰ Δί' αὐτὸ τὸ τῆς αἰτίας ὄνομα εἰπόντα, ἀγώγιμος ἔστω προσγράψαι. τίνα γὰρ οὐ λέλοιπας

Καὶ μὴ νομίσητε εὔηθες τὸ ἐρώτημα) Ἐπειδὴ ἀπαιτεῖ αὐτὸν περὶ τῶν μελλόντων ἀποκρίνεσθαι· ὅσον δὲ εἰς ἀπορίαν ἄγει τὸν λόγον, πλέον τοῦ Ἀριστοκράτους καθάπτεται. τὸ δ' ἢ καὶ ἄλλως πως τελευτήσῃ, ἤτοι ἰδίῳ θανάτῳ. 68

Τίνα γὰρ οὐ λέλοιπας ὅρον τῷ γράμματι) Ἤγουν τῷ ψηφίσματι. διασύρει δὲ τὸ γράμμα προστιθεὶς τὸ πῶν. καί τοι γε, τοῦτο, προσθεὶς, ὅρ. τῷ ἀπόπω. 70

m

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

72 Ως ἐπὶ πάντων, οὐκ ἐπὶ τῶν φονικῶν μόνον) Ἔθος τῷ δημοσθένει κατασκευάζειν οὐκ ἐξ ὧν λέγει, ἵνα μὴ δόξῃ διὰ τὸ ἴδιον συμφέρον ἐκ δεινότητος ποιεῖν τοῦτο, ἀλλ᾽ ἐξ ἑτέρων, ἵνα ἡ φύσις οὕτως ἔχειν δόξῃ τοῦ πράγματος.

Αρχων χειρῶν ἀδίκων) Τοῦτ᾽ ἔστιν, ἀρχὴν πληγῶν ἐκ τῆς ἀψιμαχίας, ἤτοι προκατάρχοντα, καὶ μὴ τιμωρούμενον, πλήττειν ἀδίκως.

ὅρον τῷ γράμματι τούτῳ, τοῦ νόμου σαφῶς οὑτωσὶ λέγοντος, μὴ πέρα ὅρων ἐλαύνειν, ὃς πανταχόθεν
71 δίδως ἄγειν; ὁ νόμος δὲ, οὐ μόνον οὐκ ἐλαύνειν τῶν
ὅρων πέρα, ἀλλ᾽ οὐδ᾽ ἄγειν ἐᾷ. ἐκ δὲ τοῦ σοῦ ψηφίσματος, ὁ βουλόμενος ἄξει τὸν ἄκοντα ἀπεκτονότα, ἔκδοτον λαβὼν, εἰς τὴν τοῦ παθόντος βίᾳ πατρίδα. ἆρ᾽ οὐ πάντα συγχεῖς τὰ ἀνθρώπινα; καὶ
72 ἀφαιρῇ τὴν πρόφασιν, μεθ᾽ ἧς, ἢ καλὸν ἐστὶ τῶν
ἔργων ἕκαστον, ἢ αἰσχρόν; ὁρᾶτε γὰρ ὡς ἐπὶ πάντων, οὐκ ἐπὶ τῶν φονικῶν μόνον, οὕτω τοῦτ᾽ ἔχει. ἄν τις τύπτῃ τινά, φησιν, ἄρχων χειρῶν ἀδίκων. ὡς εἴ γε ἠμύνατο, οὐκ ἀδικεῖ. ἄν τις κακῶς ἀγορεύῃ τὰ ψευδῆ
73 προσέθηκεν, ὡς εἴ γε τἀληθῆ, προσῆκεν. ἄν τις ἀποκτείνῃ ἐκ προνοίας. ὡς
εἴ γε ἄκων, οὐ ταυτόν. ἄν τις καταβλάψῃ τινὰ ἑκὼν ἀδίκως. πανταχοῦ
τὴν πρόφασιν βεβαιοῦσαν τὸ πρᾶγμα εὑρήσομεν. ἀλλ᾽ οὐ παρά σοι, ἀλλ᾽
ἁπλῶς, ἄν τις ἀποκτείνῃ χαρίδημον, ἀγέσθω· κἂν ἄκων, κἂν δικαίως, κἂν
74 ἀμυνόμενος, κἂν ἐφ᾽ οἷς διδόασιν οἱ νόμοι, κἂν ὁπωσοῦν. Λέγε τὸν μετὰ ταῦτα νόμον.

## Νόμος.

Φόνου δὲ δίκας μὴ εἶναι οὐδαμοῦ κατὰ τῶν τοὺς φεύγοντας ἐνδεικνυόντων, ἐάν
75 τις κατίῃ ὅποι μὴ ἔξεστιν. Ο μὲν νόμος ἐστὶν οὗτος δράκοντος, ὦ ἄνδρες ἀθηναῖοι, καὶ οἱ ἄλλοι, ὅσους ἐκ τῶν φονικῶν νόμων παρεγραψάμην. δεῖ δὲ ἃ λέγει, σκέψασθαι. κατὰ τῶν ἐνδεικνυόντων, φησὶ, τοὺς κατιόντας ἀνδροφόνους, ὅποι μὴ ἔξεστι, δίκας φόνου μὴ εἶναι. ἐνταυθοῖ δύο δηλοῖ δίκαια, ἃ παρ᾽ ἀμφότερα
75 οὗτος εἴρηκε τὸ ψήφισμα· ὅτι τε ἐνδεικνύναι δίδωσι τὸν ἀνδροφόνον, καὶ οὐκ αὐτὸν ἀγώγιμον οἴχεσθαι λαβόντα, καὶ ὅτι, ἐὰν κατίῃ τις ὅποι μὴ ἔξεστι, καὶ αὐτὸ τοῦτο δίδωσιν οὐχ ὅπῃ βούλεταί τις, οὐκ ἔξεστι δὲ ποῖ; ἐξ ἧς ἂν φεύγῃ τις πόλεως που. καὶ σφόδρα σαφῶς τοῦτο δηλοῖ. ἐὰν τις κατίῃ, φησί. τοῦτο δ᾽ οὐκ
77 ἔσται ἐπενεγκεῖν ἄλλῃ πόλει, πλὴν ἣν ἂν φεύγοι τις. ὅθεν γὰρ μηδὲ ἐξέπεσέ τις τὴν ἀρχὴν, οὐκ ἔνι δήπου κατελθεῖν εἰς ταύτην. ὁ μὲν τοίνυν νόμος, ἔνδειξιν δέδωκε καὶ ταύτην, ἂν κατίῃ ὅποι μὴ ἔξεστιν. ὁ δὲ, ἀγώγιμος ἔστω γέγραφε κἀντεῦθεν, ὅποι φεύγειν οὐδεὶς καὶ κωλύει νόμος. Λέγε
78 τὸν νόμον.

## Νόμος.

Εάν τις ἀποκτείνῃ ἐν ἄθλοις ἄκων, ἢ ἐν ὁδῷ καθελὼν, ἢ ἐν πολέμῳ ἀγνοήσας, ἢ ἐπὶ δάμαρτι, ἢ ἐπὶ μητρί, ἢ ἐπ᾽ ἀδελφῇ, ἢ ἐπὶ θυγατρί, ἢ ἐπὶ παλλακῇ, ἣν ἂν ἐπ᾽ ἐλευθέροις παισὶν ἔχῃ, τούτων ἕνεκα μὴ φεύγειν
79 κτείνοντα. Πολλῶν, ὦ ἄνδρες ἀθηναῖοι, νόμων ὄντων παρ᾽ οὓς εἴρηται τὸ ψήφισμα, παρ᾽ οὐδένα μᾶλλον, ἢ παρὰ τουτονὶ τὸν ἀνεγνωσμένον νῦν, εἴρηται. διδόντος γὰρ τοῦ νόμου σαφῶς οὑτωσὶ, καὶ λέγοντος ἐφ᾽ οἷς ἐξεῖναι κτεῖναι, οὗτος ἅπαντα παρεῖδε ταῦτα, καὶ γέγραφεν, οὐδὲν ὑπειπὼν ὅπως ἄν τις ἀποκτεί-
80 νῃ, τὴν τιμωρίαν. καίτοι σκέψασθε, ὡς ὁσίως καὶ καλῶς ἕκαστα διεῖλεν ὁ ταῦτα ἐξ ἀρχῆς διελθών. ἄν τις ἐν ἄθλοις ἀποκτείνῃ τινὰ, τοῦτον ὥρισεν οὐκ ἀδικεῖν. διὰ τί; οὐ τὸ συμβὰν ἐσκέψατο, ἀλλὰ τὴν τοῦ δεδρακότος διάνοιαν.

ἔστι δὲ αὐ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔστι δὲ αὕτη τίς; ζῶντα νικῆσαι καὶ οὐκ ἀποκτεῖ-
ναι. εἰ δὲ ἐκεῖνος ἀσθενέστερος ἦν τὸν ὑπὲρ τῆς νί-
κης ἐνεγκεῖν πόνον, αὐτὸν ἑαυτῷ τοῦ πάθους αἴτιον 81
ἡγήσατο. διὰ τιμωρίαν οὐκ ἔδωκεν ὑπὲρ αὐτοῦ. πά-
λιν, ἂν ἐν πολέμῳ, φησίν, ἀγνοήσας, καὶ τοῦτον εἶναι κα-
θαρόν. καλῶς· εἰ γὰρ ἐγώ τινα τῶν ἐναντίων οἰηθεὶς
εἶναι διέφθειρα, οὐ δίκην ὑπέχειν, ἀλλὰ συγγνώμης τυ-
χεῖν δίκαιός εἰμι. ἢ ἐπὶ δάμαρτι, φησίν, ἢ ἐπὶ μητρί, 82
ἢ ἐπὶ ἀδελφῇ, ἢ ἐπὶ θυγατρί, ἢ ἐπὶ παλλακῇ, ἣ
ἣν ἂν ἐπ᾽ ἐλευθέροις παισὶν ἔχῃ· καὶ τὸν ἐπὶ τού-
*ἴσοι. των ⁿἵνα κτείναντα ἀθῷον ποιεῖ, πάντων γε ὀρθό-
τατα, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτον ἀφιείς. τί δήποτε; ὅτι ὑπὲρ ὧν τοῖς πολε-
μίοις μαχόμεθα, ἵνα μὴ πάσχωσιν ὑβριστικόν, μηδὲ ἀσελγὲς μηδέν, ὑπὲρ τού- 83
των καὶ τοὺς φίλους, ἐὰν παρὰ τὸν νόμον εἰς αὐτὰς ὑβρίζωσι, καὶ διαφθείρω-
σιν, ἔδωκεν ἀποκτεῖναι. ἐπειδὴ γὰρ οὐ γένος ἐστὶ φίλων καὶ πολεμίων, ἀλλὰ τὰ
πραττόμενα ἐξεργάζεται τούτων ἑκάτερον, τοὺς ἐχθρὰ ποιοῦντας ἐν ἐχθροῦ
μέρει κολάζειν ἀπέδωκεν ὁ νόμος. οὐκοῦν δεινόν, εἰ τοσούτων ὄντων, ἐφ᾽ οἷς τοῖς 84
ἄλλοις ἔξεστιν ἀποκτιννύναι, μόνον ἀνθρώπων ἐκεῖνον, μηδ᾽ ἐπὶ τούτοις ἐξέ-
σται ἀποκτεῖναι. φέρε, ἂν δέ τι συμβῇ τοιοῦτον, οἷον ἴσως ἤδη τῳ καὶ ἄλλῳ, ἀ-
παλλαγῇ μὲν ἐκ Θρᾴκης, ἐλθὼν δὲ εἰς πόλιν οἰκῇ που, τῆς μὲν ἐξουσίας μη-
κέτι κύριος ὤν, δι᾽ ἧς πολλὰ ποιεῖ τῶν ἀπειρημένων ὑπὸ τῶν νόμων, τοῖς δ᾽ ἔ- 85
*ταῦτα. θεσι καὶ ταῖς ἐπιθυμίαις ταῦτ᾽ ἐπιχειρῇ πράττειν· ἄλλο τι, ἢ σιγῶντα δεή-
σει Χαρίδημον ἐὰν αὐτὸν ὑβρίζειν; οὐ γὰρ ἀποκτεῖναί γε ἀσφαλές, οὐδὲ τι-
μωρίαν λαβεῖν, ἣν δίδωσιν ὁ νόμος, διὰ τὸ ψήφισμα τουτουί. καὶ μήν, εἴ τις
ἐκεῖνο ὑπολαμβάνει, ποῦ δὲ γένοιτο ἂν ταῦτα; τί κωλύει κἀμὲ λέγειν, τίς δ᾽ 86
ἂν ἀποκτεῖναι Χαρίδημον· ἀλλὰ μὴ τοῦτο σκοπῶμεν· ἀλλ᾽ ἐπειδήπερ ἐστὶ τὸ
φαῦλον ψήφισμα, οὐκ ἐπὶ ἤδη γεγενημένῳ τινὶ πράγματι, ἀλλ᾽ ἐπὶ τοιού-
τῳ, ὃ μηδ᾽ εἰ γενήσεται μηδεὶς οἶδε, τὸ μὲν τοῦ μέλλοντος ἔσεσθαι, κοινὸν ἀμ-
φοῖν ὑπαρχέτω. πρὸς δὲ τοῦτο ὑποθέντες ἀνθρωπίνως τὰς ἐλπίδας, οὑτωσὶ 87
σκοπῶμεν, ὡς τάχ᾽ ἄν, εἰ τύχοι, καὶ τούτων, κἀκείνων συμβάντων. λύσασι μὲν τοί-
νυν τὸ ψήφισμα, ἂν ἄρα συμβῇ τι παθεῖν ἐκείνῳ, εἰσὶν αἱ κατὰ τοὺς νόμους ὑπὲρ
αὐτοῦ τιμωρίαι. ἐῶσι δέ, ἂν ἄρα ἐκεῖνος ζῶν ἀδικῇ τινά, ἀνῄρηνται τοῖς ὑβριζομέ-
νοις ἡ κατὰ τῶν νόμων δίκη. ὥστε πανταχῇ καὶ ἐναντίον ἐστὶ τοῖς νόμοις τὸ ψήφισμα, 88
καὶ λῦσαι συμφέρει. Λέγε τὸν μετὰ ταῦτα νόμον.

Φέρε, ἂν δέ τι συμβῇ τοιοῦτον) 84 Ἀντιπίπτοντος λύσις ἐκ τῆς ποιότητος τοῦ Χαριδήμου. ἐπειδὴ γὰρ ἰδιωτῶν μᾶλλον, ἢ στρατηγῶν τὸ μοιχεύειν, διὰ τοῦτο καὶ ἰδιώτην αὐτὸν ποιεῖ. Ἄλλως. ἐπειδὴ στρατηγοὺς μοιχεύοντας χαλεπὸν τιμωρεῖσθαι, διὰ τοῦτο ἀπηλλαγμένον αὐτὸν ἐξουσίας καὶ στρατηγίας ποιεῖ.

Ἤδη τῳ καὶ ἄλλῳ) Ἵνα μή τις εἴποι, ὅτι οὐκ ἀπαλλαγήσεται τῆς στρατηγίας, ὁ δέ, εἶπεν, ὥσπερ καὶ ἄλλῳ συνέβη στρατηγῷ τυχόντι, ἵνα τῷ κοινῷ βεβαιώσῃ τὸ δίκαιον.

## Νόμος.

Καὶ ἐὰν φέροντα, ἢ ἄγοντα βίᾳ ἀδίκως, εὐθὺς ἀμυνόμενος κτείνῃ, νηποινεὶ
*α. τεθνάναι κελεύει. ἀλλὰ ταῦτα, ἐφ᾽ οἷς ἔξεστι κτεῖναι, ἐὰν ἄγοντα, ἢ φέροντα 89
βίᾳ ἀδίκως εὐθὺς ἀμυνόμενος κτείνῃ, νηποινεὶ τεθνάναι κελεύει. Θεάσασθε
πρὸς Διὸς ὡς εὖ· τῷ μὲν ὑπειπὼν ἐφ᾽ οἷς ἐξεῖναι κτείνειν, προσγράψαι τὸ εὐ-
θύς, ἀφεῖλε τὸν τοῦ βουλεύσασθαί τι κακὸν χρόνον. τῷ δέ, ἀμυνόμενος γράψαι,
δηλοῖ, τῷ πάσχοντι διδοὺς τὴν ἐξουσίαν, οὐκ ἄλλῳ τινί. ὁ μὲν δὴ νόμος, διὰ ταῦτα 90
*α.
*ἀποκλεῖναι. εὐθὺς ἀμυνομένῳ δέδωκεν εὐθὺς ἀποκτιννύναι. ὁ δ᾽ οὐδὲν εἴρηκεν· ἀλλ᾽ ἁπλῶς,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

92 Εἶτ' οὐ δεινόν, ὦ γῆ καὶ θεοί) Σχετλιασμὸς ἐν καιρῷ. καλὸς γὰρ ἐν τῇ ὑπερβολῇ τῶν δεινῶν, ἐπικαλεῖσθαι τοὺς κρείττονας.
96 Οὓς οὐ παραγεγράμμεθα) Παρεσημειωσάμεθα. τὸ γὰρ σχῆμα παραλειπτικόν. ὅταν γὰρ πλειόνων ἀπορῶμεν, τότε τούτῳ τῷ σχήματι χρώμεθα.
98 Προστεταγμένα τοῖς νόμοις) Παρὰ τῶν νόμων ταχθέντα. συμπέρασμα τῶν λοιπῶν τοῦ νόμου καὶ μετ' αὐξήσεως τῶν εἰρημένων τὸ συμπέρασμα. ζητήσει δ' ἄν τις πῶς ἐξετάζων τὸ νόμιμον κεφάλαιον, οὐχ ὑφ' ἓν αὐτὸ ἐργάζεται, ἀλλὰ καὶ μερίζει εἰς δύο, καὶ παρεμβάλλει ἐπεὶ καὶ εἰωθὼς οὐδαμοῦ τοῦτο ποιεῖν, ἀλλὰ διόλου πάντων, ἀφ' ἀρχῆς, κεφαλαίου ἕως ἂν τελειωθῇ, ἐξεργάζεται. φαμὲν οὖν, ὅτι ἐπειδὴ καὶ τὸ ψήφισμα οὐχ ὑφ' ἓν ἔχει πᾶσιν, ἀλλὰ κατὰ μέρος, πρὸς μὲν τὸ ἐξεταζόμενον μέρος, τοὺς νόμους, οὓς παρέβη, τίθησι. πρὸς δὲ τὸ ἑξῆς πάλιν, ὁμοίως προσφέρει τοὺς νόμους. καὶ εἰκότως οὐδὲν ἄλλο παρέδειξεν ἐκτὸς τοῦ κεφαλαίου. ἀλλὰ καὶ τὰ τῶν ἐθῶν εἰς δύο γὰρ τέμνεται τὸ νόμιμον, εἰς τὸ ἄγραφον καὶ νόμιμον ἔγγραφον, ἵνα δοξηθῇ ὅλον εἶναι.
100 Ἡμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, χαρίδημον ἐποιησάμεθα) Προοιμιάσατο περὶ τοῦ ἔθους πρότερον, ἵνα οὕτως περὶ τοῦ προοιμίου ἑξῆς ἀναπίπτῃ, ἀλλὰ ταῦτα τὰ ἔθη πα-

91 αὐτῆς ἀποκτείνῃ, καὶ δικαίως, καὶ ὡς οἱ νόμοι διδόα-
σιν. ἀλλὰ νὴ Δία συκοφαντοῦμεν τὸ πρᾶγμα. τίνα γὰρ
οἶσθ', ἢ ἄγει βίᾳ ἀδίκως χαρίδημος; πάντας ἀνθρώ-
πους. ἴστε γὰρ τοῦθ', ὅτι πάντες οἱ στράτευμα ἔχοντες, ὅ-
ποι ἂν οἴωνται κρείττους ἔσεσθαι, ἄγουσι καὶ φέρουσι χρή-
92 ματ' αἰτοῦντες. εἶτ' οὐ δεινόν, ὦ γῆ καὶ θεοί, καὶ φανερῶς
παράνομον, οὐ μόνον παρὰ τὸν γεγραμμένον νόμον, ἀλλὰ
καὶ παρὰ τὸν κοινὸν ἁπάντων ἀνθρώπων νόμον, τὸν
ἄγοντα, ἢ φέροντα βίᾳ τὰ ἐμὰ ἐν πολεμίου μοίρᾳ, μὴ
ἐξεῖναί μοι ἀμύνασθαι, εἴ γε μηδὲ τοῦτον τὸν τρόπον ἐξέ-
93 σται χαρίδημον ἀποκτεῖναι, ἀλλ' ἐὰν ἀδίκως ἄγῃ καὶ ἀδίκως.
φέρῃ βίᾳ τινὸς λῃζόμενος, ἀγώγιμος ὁ κτείνας ἔ-
σται, τοῦ νόμου διδόντος, ἐὰν ἐπὶ τούτοις, ἀθῷον εἶναι;

Λέγε τὸν μετὰ ταῦτα νόμον. Νόμος.

Ὃς ἂν ἄρχων, ἢ ἰδιώτης, αἴτιος ᾖ τὸν θεσμὸν συγ-
94 χυθῆναι τόνδε, ἢ μεταποιήσῃ αὐτόν, ἄτιμον εἶναι, καὶ
παῖδας ἀτίμους, καὶ τὰ ἐκείνου. Ἠκούσατε μὲν τοῦ νόμου
ἄντικρυς, ὦ ἄνδρες Ἀθηναῖοι, λέγοντος, ὃς ἂν ἄρχων, ἢ
ἰδιώτης, αἴτιος ᾖ τοῦ τὸν θεσμὸν συγχυθῆναι τόνδε, ἢ με- α.
ταποιήσῃ αὐτόν, ἄτιμος ἔστω, καὶ οἱ παῖδες, καὶ τὰ ἐκείνου.
95 ἆρ' οὖν μικράν, ἢ φαύλην πρόνοιαν ἡμῖν ἔχειν ὁ
θεὶς τὸν νόμον δοκεῖ, ὅπως κύριος ἔσται, καὶ μήτε συγχυ-
θήσεται, μήτ' αὖ μεταποιηθήσεται; ἀλλ' Ἀριστοκράτης οὑτοσὶ μικρὸν φροντίσας αὐτοῦ, με-
ταποιεῖ καὶ συγχεῖ. τί γὰρ ἄλλο ἐστὶ τὸ μεταποιεῖν, ἢ ὅταν ἔξω τῶν τεταγμένων δικαστη- δεῖ α.
96 ρίων καὶ ὅρων, ὧν εἴργεσθαι δεῖ, διδῷ τις τὰς τιμωρίας, καὶ τὸ τοῦ λόγου τυχεῖν ἀφαιρῶν,
ἐκδότους ποιῇ; τί δ' ἄλλο τὸ συγχεῖν, ἢ ὅταν ἑξῆς οὑτωσὶ πάντα τἀναντία τῶν ἐν τοῖς νό-
μοις τις γεγραμμένων γράφῃ; οὐ τοίνυν μόνον τούτους τοὺς νόμους, ὦ ἄνδρες Ἀθη-
ναῖοι, παραβέβηκεν, ἀλλὰ καὶ ἄλλους πολλούς, οὓς οὐ παραγεγράμμεθα διὰ τὸ πλῆθος.
97 ἀλλ' ἐν κεφαλαίῳ λέγω, ὁπόσοι νόμοι περὶ τῶν φονικῶν δικαστηρίων εἰσί, καλεῖσθαι λέ-
γοντες, ἢ μαρτυρεῖν, ἢ διόμνυσθαι τοὺς ἀγωνιζομένους, ἢ ἄλλ' ὁτιοῦν προστάττοντες,
πάντας ὑπερβέβηκε τούτους, καὶ πᾶσιν ἐναντίον εἴρηκε τὸ ψήφισμα τουτί. οὐ γὰρ οὐ κλῆ-
σις, οὐ κρίσις, οὐ μαρτυρία συνειδότος, οὐ διωμοσία, ἀλλ' ἀπ' αἰτίας εὐθὺς ἡ τιμωρία γέ-
98 γραπται, καὶ αὕτη, ἣν ἀπαγορεύουσιν οἱ νόμοι. τί ἂν ἄλλο τις εἴποι. καίτοι ταῦτα
πάντα ἐπὶ πέντε δικαστηρίοις γίγνεται προστεταγμένα τοῖς νόμοις. νὴ Δία ἴσως
εἴποι τις ἄν, ἀλλὰ ταῦτα μὲν οὐδενὸς ἐστ' ἄξια, οὐδὲ δικαίως εὕρηται. ἃ
δ' ἔγραψεν οὗτος, δίκαια καὶ καλά; ἀλλὰ τοὐναντίον. τούτου μὲν τοῦ ψηφί-
99 σματος, οὐκ οἶδ' εἴ τι δεινότερον γέγονε πώποτε ἐν ὑμῖν. τούτων δὲ τῶν πάν-
των, ὁπόσα ἐστὶ δικαστήρια ἐν ἀνθρώποις οὐδὲν οὔτε σεμνότερον, οὔτε δι-
καιότερον φανήσεται. βούλομαι δ' εἰπεῖν διὰ βραχέων, ἃ καὶ ζῆλόν τινα, καὶ
τιμὴν φέρει τῇ πόλει ῥηθέντα, καὶ ἥδιους ἔσεσθε, ἀκούσαντες. ἄρξομαι δὲ
100 ἐντεῦθεν, ὅθεν μάλιστα μαθήσεσθε, ἐπὶ τὴν δωρεὰν ἐπανελθών, ἣ τῷ χαρι-
δήμῳ δέδοται. ἡμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, χαρίδημον ἐποιησάμεθα πολίτην.
καὶ διὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ διὰ τῆς δωρεᾶς ταύτης, μετέδωκα μὲν αὐτῷ καὶ
ἱερῶν, καὶ ὁσίων, καὶ νομίμων, καὶ πάντων ὅσων περ
αὐτοῖς μέτεστιν ἡμῖν. πολλὰ μὲν δὴ παρ' ἡμῖν ἐστὶ τοι- 101
αῦτα, οἷα οὐχ ἑτέρωθι· ἓν δ' οὖν ἰδιαίτατον πάντων,
καὶ σεμνότατον, τὸ ἐν ἀρείῳ πάγῳ δικαστήριον, ὑπὲρ
οὗ τοσαῦτά ἐστιν εἰπεῖν καλὰ παραδεδομένα, καὶ μυ-
θώδη, καὶ ὧν αὐτοὶ μάρτυρές ἐσμεν, ὅσα περὶ οὐδενὸς
ἄλλου δικαστηρίου ὧν, ὡσπερεὶ δείγματος ἕνεκεν, ἄξιόν 102
ἐστιν ἓν ἢ δύο ἀκοῦσαι. τοῦτο μὲν τοίνυν τὰ παλαιά,
ὡς ἡμῖν ἀκοῦσαι παραδέδοται, ἐν μόνῳ τούτῳ τῷ
δικαστηρίῳ θεοὶ δίκας φόνου καὶ δοῦναι, καὶ λαβεῖν ἠ-
ξίωσαν, καὶ δικασταὶ γενέσθαι διενεχθεῖσιν ἀλλήλοις,
ὡς λόγος. λαβεῖν μὲν Ποσειδῶν ὑπὲρ ἁλιρροθίου τοῦ υἱοῦ παρὰ ἄρεως. *δικάσασθαι 103
δ' εὐμενίσι καὶ ὀρέστῃ οἱ δώδεκα θεοί. καὶ τὰ μὲν δὴ παλαιά, *τοιαῦτα. τὰ δ' ὕστε-
ρον, τοῦτο μόνον τὸ δικαστήριον, οὐχὶ τύραννος, οὐκ ὀλιγαρχία, οὐ δημοκρατία τὰς
φονικὰς δίκας ἀφελέσθαι τετόλμηκεν. ἀλλὰ πάντες ἀσθενέστερον ἂν τὸ δίκαιον
εὑρεῖν ἡγοῦνται περὶ τούτων αὐτοί, τοῦ παρὰ τούτοις εὑρημένου δικαίου. πρὸς δὲ τού- 104
τοις τοιούτοις οὖσιν, ἐνταυθοῖ μόνον οὐδεὶς πώποτε οὔτε φεύγων ἁλούς, οὔτε διώκων
ἡττηθεὶς ἐξήλεγξεν ὡς ἀδίκως ἐδικάσθη τὰ κριθέντα. ταύτην τοίνυν τὴν φυλα-
κήν, καὶ τὰς ἐν ταύτῃ νομίμους τιμωρίας, παραβὰς ὁ γράφων τὸ ψήφισμα τουτί,
ζῶντι μὲν ἐξουσίαν γέγραφε τῷ Χαριδήμῳ ποιεῖν, ὅ, τι ἂν βούληται· παθόντος δέ 105
τι, τοῖς οἰκείοις συκοφαντίαν δέδωκε. σκέψασθε γὰρ οὑτωσί. ἴστε δήπου τοῦθ' ἅπαν-
τες, ὅτι ἐν ἀρείῳ πάγῳ οὗ δίδωσιν ὁ νόμος καὶ κελεύει φόνου δικάζεσθαι, πρῶ-
τον μὲν *διεξομεῖται κατ' ἐξωλείας αὐτοῦ, καὶ γένους, καὶ οἰκίας ὁ τινὰ αἰτιώμενος
εἰργάσθαι τι τοιοῦτον. εἶτ' οὐδὲ τὸν τυχόντα τιν' ὅρκον τοῦτο ποιήσει· ἀλλ' ὃν οὐδεὶς 106
ὄμνυσιν ὑπὲρ οὐδενὸς ἄλλου, στὰς ἐπὶ τῶν τομίων κάπρου, καὶ κριοῦ, καὶ ταύρου, καὶ
τούτων ἐσφαγμένων ὑφ' ὧν δεῖ, καὶ ἐν αἷς ἡμέραις *προσήκει, ὥστε καὶ ἐκ τοῦ
χρόνου, καὶ ἐκ τῶν μεταχειριζομένων ἅπαν, ὅσον ἔσθ' ὅσιον, πεπρᾶχθαι. καὶ με-
τὰ ταῦτα ὁ τὸν τοιοῦτον ὅρκον ὀμωμοκώς, οὔπω πεπίστευται· ἀλλ' ἐὰν ἐξελεγχθῇ μὴ 107
λέγων ἀληθῆ, τὴν ἐπιορκίαν ἐπενεγκάμενος τοῖς ἑαυτοῦ παισί, καὶ τῷ γένει, πλέον
οὐδ' ὁτιοῦν ἕξει. ἐὰν δὲ δόξῃ τὰ δίκαια ἐγκαλεῖν, καὶ ἕλῃ τὸν δεδρακότα τοῦ φόνου,
οὐδ' οὕτω κύριος γίγνεται τοῦ ἁλόντος· ἀλλ' ἐκείνου μὲν οἱ νόμοι κύριοι κολάσαι,
καὶ οἷς προστέτακται ταῦτα· τῷ δέ, ἐπιδεῖν διδόντα δίκην ἔξεστιν, ἣν ἔταξεν ὁ νό- 108
μος τὸν ἁλόντα· πέρα δ' οὐδὲν τούτων. καὶ τῷ μὲν διώκοντι ὑπάρχει ταῦτα· τῷ
δὲ φεύγοντι, τὰ μὲν τῆς διωμοσίας, *ταυτά· τὸν πρότερον δ' ἔξεστιν εἰπόντα λό-
γον μεταστῆναι. καὶ οὔθ' ὁ διώκων, οὔθ' οἱ δικάζοντες, οὔτ' ἄλλος ἀνθρώπων οὐ-
δεὶς κύριος κωλῦσαι. τί δήποτ', ὦ ἄνδρες Ἀθηναῖοι, τοῦθ' οὕτως ἔχει; ὅτι οἱ ταῦ- 109
τ' ἐξ ἀρχῆς τὰ νόμιμα διαθέντες, οἵτινές ποτ' ἦσαν, εἴθ' ἥρωες, εἴτε θεοί, οὐκ
ἐπέθεντο τοῖς ἀτυχήμασιν, ἀλλ' ἀνθρωπίνως ἐπεκούφισαν, εἰς ὅσον εἶχε καλῶς,
τὰς συμφοράς. ταῦτα μέντοι πάντα, οὕτω καλῶς καὶ νομίμως ἔχοντα, ὁ γρά-
φων τὸ ψήφισμα τουτὶ παραβεβηκὼς φαίνεται. ἓν γὰρ οὐδ' ὁτιοῦν ἔνι τούτων ἐν 110
τῷ ψηφίσματι τούτου. καὶ πρῶτον μὲν παρ' ἓν τοῦτο τὸ δικαστήριον, καὶ παρὰ τοὺς

ρὰ τοὺς πολίτας ἐστίν. ὅθεν ἐπήγαγεν εὐθύς. ἡμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, Χαρίδημον ἐποιησάμεθα πολίτην. ἡ μὲν οὖν πρώτη τοῦ νομίμου παντὸς λύσις, ὅτι ξένος Χαρίδημος. ἡ δὲ δευτέρα, κατὰ τὸ ἔθος ἐν τῷ νομίμῳ, ὅτι πολίτην μὲν αὐτὸν ἐποιησάμεθα *Χαρίδημον· οὐ μὴν οὐδὲ τῶν ἀπορρήτων, οὐδὲ τῶν ἱερῶν καὶ τῶν ὁσίων αὐτῷ μεταδεδώκαμεν. ἴδια γὰρ ταῦτα ἐγχωρίων ἐστίν. Εἴθ' ἥρωες, εἴτε θεοί) 109 Οὐ γὰρ διαβεβαιοῦται, τίς ἦν, ὡς τὸ πιθανὸν τῷ λόγῳ σώζηται, ὥσπερ ἐν τούτῳ τῷ λόγῳ εἴρηται ἀλλαχοῦ, εὕρημα μὲν καὶ δῶρον θεῶν, τούτων τῶν ἐν τοῖς δικαστηρίοις.

*α. (scholia margin)

*δικάσαι. α.
*ταῦτα. α.
*διομεῖται. α.
*γρ. τοιαῦτα.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

114 Τρίτον δ᾽ ἕτερον) Σημειωτέον ἕτερον ἐπὶ τοῦ τρίτου λεχθὲν οὐ καλῶς δὲ εἶπε· ἐπὶ γὰρ δύο μόνα λεκτέον, ἕτερον. ἐπὶ δὲ τριῶν, ἄλλο. οὐκοῦν σπανίως εἴρηκε τοῦτο. καὶ οὐ χρὴ κακόζηλον ὂν μιμεῖσθαι.

γεγραμμένους νόμους, καὶ ἄγραφα νόμιμα, τὸ ψήφισμα εἴρηται. δεύτερον δ᾽ ἕτερον δικαστήριον, τὸ τῶν ἀκουσίων φόνων φανήσεται συγχέον, τὸ ἐπὶ Παλλα-
111 δίῳ, καὶ τοὺς παρὰ τούτων νόμους παραβαῖνον. καὶ γὰρ ἐνταῦθ᾽ ὑπάρχει πρῶτον μὲν, διωμοσία. δεύτερον δὲ, λόγος· τρίτον δὲ, γνῶσις τοῦ δικαστηρίου. ὧν οὐδέν ἐστιν ἐν τῷ τούτου ψηφίσματι. ἂν δ᾽ ἁλῷ, καὶ δόξῃ τοὔργον εἰργάσθαι, οὔθ᾽ ὁ διώκων τοῦ δεδρακότος κύ-
112 ριος, οὔτ᾽ ἄλλος οὐδεὶς, πλὴν ὁ νόμος. τί οὖν ὁ νόμος κελεύει; τὸν ἁλόντα ἐπ᾽ ἀ- α.
κουσίῳ φόνῳ, ἔν τισιν ὡρισμένοις χρόνοις ἀπελθεῖν τακτὴν ὁδὸν, καὶ φεύγειν ἕως γρ. εἰρημένοις
ἂν αἰδέσηταί τινα τῶν ἐν γένει τοῦ πεπονθότος. τηνικαῦτα δ᾽ ἥκειν δέδωκεν, ἔστιν τις.
ὃν τρόπον, οὐχ ὃν ἂν τύχῃ· ἀλλὰ καὶ θῦσαι, καὶ καθαρθῆναι, καὶ ἄλλ᾽ ἄττα δεῖ δίκην. διείρηκεν. α.
113 εἴρηκεν ἃ χρὴ ποιῆσαι, ὀρθῶς, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦτα πάντα λέγων ὁ νόμος.
καὶ γὰρ τὸ τῶν ἀκουσίων ἐλάττω τὴν τιμωρίαν, ἢ τῶν ἑκουσίων τάξαι, δίκαιον καὶ τὸ παρασχόντ᾽ ἀσφάλειαν ἀπελθεῖν, οὗ τὸ προστάττει φεύγειν, ὀρθῶς ἔχον ἐστί. καὶ τὸ τὸν κατιόντα ὁσιοῦν, καὶ καθαίρεσθαι νομίμοις τισὶ, καὶ τὸ τοὺς νόμους κυρίους ἁ- ὁσιοῦσθαι.
114 πάντων εἶναι, καὶ ταῦτα πάντα ἔχει καλῶς. ταῦτα τοίνυν ἅπαντα, δικαίως οὕτω διαιρεθέντα ὑπὸ τῶν ἐξ ἀρχῆς νομοθετησάντων, παρέβη γράφων τὸ ψήφισμα οὑτοσί. ταῦτα μὲν δὴ δύο τηλικαῦτα καὶ τοιαῦτα δικαστήρια καὶ νόμιμα ἐκ παντὸς τοῦ χρόνου παραδεδομένα, οὕτως ἀναιδῶς ὑπερπεπήδηκε. τρίτον δ᾽ ἕτερον πρὸς
115 τούτοις δικαστήριον, ὃ πάντων ἁγιώτατα τούτων ἔχει, καὶ φρικωδέστατα, ἄν τις ὁμολογῇ μὲν κτεῖναι, ἐννόμως δὲ φῇ δεδρακέναι. τοῦτο δ᾽ ἐστὶ, τὸ ἐπὶ Δελφινίῳ. δοκοῦσι γάρ μοι, ὦ ἄνδρες Ἀθηναῖοι, ζητῆσαι τοῦτο πρῶτον ἁπάντων οἱ περὶ τούτων ἐν ἀρχῇ τὰ δίκαια ὁρίσαντες, πότερ᾽ οὐδένα χρὴ φόνον ὅσιον εἶναι νομίζειν, ἤ τινά γ᾽
116 ἔσθ᾽ ὅσιον νομιστέον. λογιζόμενοι δ᾽ ὅτι μητέρα Ὀρέστης ἀποκτείνας, ὁμολογῶν, θεῶν δικαστῶν τυχὼν ἀποφυγγάνει, νομίσαι δίκαιόν τινα εἶναι φόνον. οὐ γὰρ ἂν τά γε μὴ δίκαια θεοὺς ψηφίσασθαι. ὡς δὲ τοῦτ᾽ ἐνόμισαν, γράφουσιν ἤδη, καὶ διορίζουσι σαφῶς ἐφ᾽ οἷς ἐξεῖναι ἀποκτιννύναι· ἀλλ᾽ οὐχ οὗτος, οὐδὲν ἀφῆκεν, ἀλλ᾽ ἁπλῶς, ἐάν τις γρ. ἐξεῖναι ἔξεστι.
117 ἀποκτείνῃ, φησὶ, Χαρίδημον, κἂν δικαίως, κἂν ὡς οἱ νόμοι διδόασιν, ἔκδοτον ποιεῖ. α.
καίτοι πᾶσιν εἰσὶ πράγμασι καὶ λόγοις δύο προσθῆκαι, ἥτε τοῦ δικαίου καὶ ἀδίκου· ἀεὶ ἅμα μὲν τὸ αὐτὸ πρᾶγμα οὐδὲν ἂν δύναιτο ἔχειν, οὐδὲ λόγος οὐδείς. πῶς γὰρ ἂν δίκαια ἅμα ταὐτὰ, καὶ μὴ, γένοιτο. τὴν ἑτέραν δ᾽ ἕκαστον αἰτίαν ἔχον δοκιμάζεται.
118 κἂν μὲν τὴν ἄδικον φανῇ, πονηρὸν κρίνεται. ἐὰν δὲ τὴν δικαίαν, χρηστὸν καὶ καλόν. σὺ τοίνυν οὐδ᾽ ἑτέραν προσέθηκας, τοῦτον ἄν τις ἀποκτείνῃ γράφων, ἀλλ᾽ ἀόριστον αὐ- τοῦτον, ἀλλ
τὴν εἰπὼν τὴν αἰτίαν, καὶ μετὰ ταῦτ᾽ εὐθὺς προσγράψας, ἀγώγιμον εἶναι. τρίτον τις.
τουτὶ δικαστήριον, καὶ τὰ τούτου νόμιμα παραβεβηκὼς φαίνῃ. τέταρτον τοίνυν ἄλλο
119 πρὸς τούτοις, τὸ ἐπὶ Πρυτανείῳ. τοῦτο δὲ ἐστὶ τί; ἐὰν λίθος, ἢ ξύλον, ἢ σίδηρος, α.
ἤ τι τοιοῦτον ἐμπεσὸν πατάξῃ, καὶ τὸν μὲν βαλόντα ἀγνοῇ τις, αὐτὸ δ᾽ εἰδῇ, καὶ ἔχῃ, τὸ τὸν φόνον εἰργασμένον, τούτοις ἐνταῦθα λαγχάνεται. εἰ τοίνυν τῶν ἀψύχων καὶ λαγχάνει. α.
μὴ μετεχόντων τοῦ φρονεῖν οὐδὲν ἔσθ᾽ ὅσιον, τοιαύτην ἔχον αἰτίαν, ἐᾶν ἄκριτον, ἤ-
120 που τόν γε ἀδικοῦντα μὲν οὐδὲν, ἐὰν τύχῃ, θῶμεν δ᾽ ἀδικοῦντα, ἀλλ᾽ ἄνθρωπόν γε ὄντα, καὶ μετειληφότα τῇ τύχῃ τῆς αὐτῆς ἡμῖν φύσεως, ἀνόσιον καὶ δεινὸν ἄνευ λόγου καὶ ψήφου ποιεῖν ἔκδοτον ἐπ᾽ αἰτίᾳ τοιαύτῃ. ἔτι τοίνυν, πέμπτον δικαστήριον ἄλλο θεάσασθε,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θεάσασθε, οἷον ὑπερβέβηκε, τὸ ἐν Φρεατοῖ. ἐνταῦθα
γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, κελεύει δίκας ὑπέχειν ὁ νό-
μος, ἐάν τις ἐπ' ἀκουσίῳ φόνῳ πεφευγώς, μή πω
τῶν ἐκβαλλόντων αὐτὸν ᾐδεσμένων, αἰτίαν ἔχῃ ἑτέ- 121
ρου φόνου ἑκουσίου. καὶ οὐχ ὅτι δεῦρο οὐχ οἷόν τε ἐλ-

128 Ἆρά τις ἡμῖν ἔτι λοιπός ἐστι) Πρός τὸν γραμματέα φησίν· ἵνα γὰρ μὴ δοκῇ κακουργεῖν (πανουργεῖν) ὡς προμελετήσας, τούτου χάριν προσποιεῖται τὴν ἄγνοιαν, ἵνα ἀπὸ ἐπαγγελίας τοῖς νόμοις δοκῇ παραχρῆμα εὑρίσκειν.

α. θεῖν αὐτόν, παρεῖδεν αὐτὸν ὁ ταῦτα ἕκαστα δήπου τάξας· οὐδ' ὅτι καὶ πρότερόν τι
τοιοῦτον ἐποίησε, καὶ δὴ τὴν ὁμοίαν ἐποιήσατο πίστιν αἰτίαν κατ' αὐτοῦ· ἀλλὰ τὸ
εὐσεβὲς εὗρεν ὅπως ἔσται, κἀκεῖνον οὐκ ἀπεστέρησε λόγου καὶ κρίσεως. τί οὖν ἐποίη- 122
σε; ἤγαγε τοὺς δικάζοντας ἐκεῖσε, οἷ προσελθεῖν οἷόν τε τῷ ἐκείνῳ, τῆς χώρας ἀ-
γρ. ἐπὶ θαλάττῃ. ποδείξας τόπον τινὰ ἐν Φρεατοῖ καλούμενον ἐπιθαλάττιον. εἶθ' ὁ μὲν, ἐν πλοίῳ
προσπλεύσας, λέγει τῆς γῆς οὐχ ἁπτόμενος. οἱ δ' ἀκροῶνται καὶ δικάζουσιν ἐν τῇ
γῇ. κἂν μὲν ἁλῷ, τὴν ἐπὶ τοῖς ἑκουσίοις φόνοις δίκην ἔδωκε δικαίως. ἐὰν δ' ἀπο- 123
δίκην. α. φύγῃ, ταύτης μὲν ἀθῷος ἀφίεται. τὴν δ' ἐπὶ τῷ προτέρῳ φόνῳ φυγὴν ὑπέ-
χει. τίνος οὖν ποτε ἕνεκα ταῦθ' οὕτω διεσπούδασται. ἴσον ἡγεῖτο ἀσέβημα ὁ ταῦ-
τα διαιρῶν, τόν τε ἀδικοῦντα ἐᾶν, καὶ τὸν ἀναίτιον ἐκδιδόναι πρὸ δίκης. καί τοι εἰ
ὰ α. περὶ τῶν ἀνδροφόνων τῶν ἤδη κεκριμένων, τοσαύτη σπουδὴ γέγονεν, ὅπως λόγου καὶ 124
κρίσεως, καὶ πάντων, ὅσα ἐστὶ δίκαια, τεύξονται περὶ τῶν ὑστέρων αἰτιῶν, ἦ που
περί γε τοῦ μήθ' ἑαλωκότος, μήτ' ἐγνωσμένου, πότερον δέδρακεν, ἢ οὔ, καὶ πότερ'
ἄκων, ἢ ἑκών, πάνδεινον γράφειν ὡς ἐκδοτέον τοῖς ἐγκαλοῦσιν αὐτοῖς πρὸ δίκης.
γρ. ἐστι τοίνυν ἕκτη. Ἔτι τοίνυν ἐστὶν ἕκτη τιμωρία πρὸς ἁπάσαις ταύταις, ἣν ὁμοίως παραβὰς, γέ- 125
γραφε τὸ ψήφισμα οὑτοσί. εἰ πάντα ταῦτά τις ἠγνόηκεν, ἢ παρεληλύθασιν οἱ χρό-
νοι, ἐν οἷς ἔδει τούτων ἕκαστα ποιεῖν, ἢ δι' ἄλλο τι οὐχὶ βούλεται τούτοις τοῖς τρόποις
ἐπεξιέναι, τὸν ἀνδροφόνον δ' ἐφορᾷ περιιόντα ἐν τοῖς ἱεροῖς, καὶ κατὰ τὴν ἀγοράν, ἀπά-
γειν ἔξεστιν εἰς τὸ δεσμωτήριον, οὐκ οἴκαδε, οὐδ' ὅποι βούλεταί τις, ὥσπερ σὺ δέ- 126
δωκας. κἀνταῦθα ἀπαχθεὶς, οὐδ' ὁτιοῦν, πρὶν ἂν κριθῇ, πείσεται· ἀλλ' ἐὰν μὲν ἁλῷ,
θανάτῳ ζημιωθήσεται. ἐὰν δὲ μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων ὁ ἀπα-
γαγών, χιλίας προσοφλήσει. ἀλλ' οὐχ οὗτος ἔγραψε ταῦτα. ἀλλὰ τὸν μὲν ἀθῷον
αἰτιᾶσθαι· τὸν δ' ἄκριτον, παραχρῆμα ἐκδίδοσθαι. ἐὰν δέ τις ἀνθρώπων, ἢ καὶ 127
ὅλη ἡ πόλις τοσούτοις νομίμοις ἀναιρουμένοις, ὅσοις ἐγὼ διεξελήλυθα, καὶ τοσού-
τοις δικαστηρίοις καταλυομένοις, ὅσοις εἴρηκα, ἃ θεοὶ κατέδειξαν, καὶ μετὰ ταῦτα ἄν-
θρωποι χρῶνται, πάντα τὸν χρόνον βοηθήσῃ, καὶ τὸν ὑβριζόμενον καὶ παρανομού-
μενον ἀφέληται, ἔκσπονδον ἔγραψεν εἶναι· καὶ οὐδὲ τούτῳ λόγον, οὐδὲ κρίσιν πεποίη- 128
κεν, ἀλλὰ καὶ τοῦτον εὐθὺς ἄνευ κρίσεως κολάζει. πῶς ἂν οὖν δεινότερον γένοιτο, ἢ πα-
ρανομώτερον τούτου ψήφισμα. ἆρά τις ἡμῖν ἔτι λοιπός ἐστι νόμος; δεῖξον οὑτοσί.
Λέγε τουτονί.

Νόμος.

Ἐάν τις βιαίῳ θανάτῳ ἀποθάνῃ, ὑπὲρ τούτου τοῖς προσήκουσιν εἶναι τὰς ἀν- 129
δροληψίας, ἕως ἂν ἢ δίκας τοῦ φόνου ὑπόσχωσιν, ἢ τοὺς ἀποκτείναντας ἐκδῶσι.
τὴν δὲ ἀνδροληψίαν εἶναι μέχρι τριῶν. πλέον δὲ μή. Πολλῶν, ὦ ἄνδρες Ἀθη-
ναῖοι, καλῶς ἐχόντων νόμων, οὐκ οἶδ' εἴ τινος ἧττον καλῶς οὗτος ἔχει, καὶ δικαίως ὁ
νόμος. σκέψασθε γὰρ ὡς νομίμως, καὶ σφόδρα ἀνθρωπίνως κεῖται. ἐάν τις βιαίῳ 130
θανάτῳ ἀποθάνῃ, φησί. πρῶτον μὲν δὴ τούτῳ προσγράψας τό, βιαίῳ, σύμβολον
πεποίηκεν, ᾧ γιγνώσκομεν ὅτι ἂν ἀδίκως λέγῃ. ὑπὲρ τούτου, φησί, τοῖς προσήκουσιν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

138 Βούλομαι τοίνυν ὑμῖν καὶ ἕν, ἢ δύο) Πληρωθέντος τοῦ μέρους τοῦ νομίμου, ἐπάγει πάλιν ἕτερον ἔθος προηγούμενον καὶ τοῦτο ὡς νόμιμον. τὸ γὰρ ἔθος τοῦ νομίμου κεφάλαιον μέρος παρὰ τοῖς τεχνίταις νενόμισται. δι' οὗ πιστοῦται τὸ πάντας ἠκολουθηκέναι κατὰ τοῦτο τὸ ἔθος τῷ τῶν νομίμων βουλήματι ἐν ταῖς δόσεσι τῶν δωρεῶν. λαμβάνει τὴν ἀρχὴν τὸ ἔθος ἀπὸ τούτου. Βούλομαι τοίνυν ὑμῖν καὶ ἕν, ἢ δύο ψηφίσματα καὶ ἑξῆς. πληρώσας δὲ καὶ τὸ ἔθος, δι' οὗ τὸ νόμιμον ἐβεβαίωσε, τίθησι λοιπὸν τὰς ἀντιθέσεις ἐκ τοῦ νομίμου, πρῶτον

εἶναι τὰς ἀνδροληψίας, ἕως ἂν ἢ δίκας τοῦ φόνου ὑπο-
σχωσιν, ἢ τοὺς ἀποκτείναντας ἐκδῶσι. *σκοπεῖσθε ὡς * κ. σκοπεῖτε.
131 καλῶς. πρότερον μὲν ὑπέχειν δίκας ἀξιοῖ, με-
τὰ ταῦτα δέ, ἂν τοῦτο μὴ βούλωνται, προστέταξεν ἐκ-
δοῦναι. ἐὰν δὲ μηδέτερον τούτων ἐθέλωσι, τὸ ἀνδρο-
λήψιον φησὶν εἶναι μέχρι τριῶν, πλέον δὲ μή. παρὰ
τοίνυν ὅλον τοῦτον τὸν νόμον εἴρηται τὸ ψήφισμα. πρῶ-
132 τον μὲν γάρ, ἐάν τις ἀποκτείνῃ γράφων, οὐ προσέγρα-
ψεν, ἀδίκως, οὐδὲ βιαίως, οὐδ' ὅλως οὐδέν. εἶτα πρὸ
τοῦ δίκην ἀξιῶσαι λαβεῖν, εὐθὺς ἔγραψεν ἀγώγιμον
εἶναι. πρὸς δὲ τούτοις, ὁ μὲν νόμος, ἂν μήτε δίκας ὑ-
πόσχωσι παρ' οἷς ἂν τὸ πάθος γένηται, μήτε τοὺς δράσαντας ἐκδιδῶσι, κελεύει κατὰ
133 τούτων εἶναι τὸ ἀνδρολήψιον μέχρι τριῶν. ὁ δέ, τούτους μὲν ἀθῴους παρῆκε, καὶ οὐδὲ
λόγον πεποίηται περὶ αὐτῶν οὐδένα· τοὺς δὲ τὸν ἤδη πεφευγότα· *φήσω γὰρ οὕτω· * θήσω.
κατὰ τὸν κοινὸν ἁπάντων ἀνθρώπων νόμον, ὃς κεῖται τὸν φεύγοντα δέχεσθαι, ὑπο-
δεξαμένους, ἐκσπόνδους εἶναι γράφει, ἐὰν μὴ τὸν οἰκέτην ἔκδοτον διδῶσιν. οὐκοῦν
134 καὶ τὸ μὴ προσθεῖναι πῶς ἂν ἀποκτείνῃ, καὶ τὸ μηδεμίαν κρίσιν εἰπεῖν, καὶ τὸ μὴ
δίκας αἰτεῖν, καὶ τὸ πανταχόθεν διδόναι λαβεῖν, καὶ τὸ τοὺς ὑποδεξαμένους, ἀλλὰ
μὴ παρ' οἷς ἂν τὸ πάθος γένηται, κολάζειν, καὶ πᾶσιν οὑτωσὶ φανερῶς, καὶ παρὰ τοῦτον
εἴρηκε τὸν νόμον. Λέγε δὴ τὸν ἐφεξῆς. Νόμος.

135 Μηδὲ νόμον ἐπ' ἀνδρὶ ἐξεῖναι θεῖναι, ἐὰν μὴ τὸν αὐτὸν ἐφ' ἅπασιν ἀθηναίοις.
Ἔστι μὲν οὐκέτι τῶν φονικῶν ὅδε νῦν ἀνεγνωσμένος νόμος, ὦ ἄνδρες δικασταί, οὐδὲν δ'
ὅπου νῦν ἧττον ἔχει καλῶς, εἴπερ καὶ ἄλλος τις. ὥσπερ γὰρ τῆς ἄλλης πολιτείας ἴσον
μέτεστιν ἑκάστῳ, οὕτως ᾤετο δεῖν καὶ τῶν νόμων ἴσον μετέχειν πάντας ὁ θεὶς αὐτόν.
136 καὶ διὰ ταῦτ' ἔγραψεν, οὐδὲ νόμον ἐπ' ἀνδρὶ ἐξεῖναι θεῖναι, ἐὰν μὴ τὸν αὐτὸν
ἐφ' ἅπασιν ἀθηναίοις. ὁπότε τοίνυν τὰ ψηφίσματα δεῖν κατὰ τοὺς νόμους ὁμολο-
γεῖται γράφειν, ὁ γράφων ἰδίᾳ τι Χαριδήμῳ τοιοῦτον, ὃ μὴ πᾶσι καὶ ὑμῖν ἔσται,
σαφῶς καὶ παρὰ τοῦτον ἂν εἰρηκὼς εἴη τὸν νόμον. οὐ γὰρ δήπου, ἃ μηδὲ νομοθετεῖν
137 ἔξεστι, ταῦτα ἐν ψηφίσματι γράψας τις, ἔννομα ἂν εἰρηκὼς εἴη. Λέγε τὸν μετὰ
ταῦτα νόμον, ἢ οὔπω πάντες εἰσίν. Νόμος.

Ψήφισμα δὲ μηδὲν μήτε βουλῆς, μήτε δήμου, μήτε νόμου κυριώτερον εἶναι.
Κατάθου. Πάνυ μικρὸν ὑπείληφά μοι τὸν λόγον, ὦ ἄνδρες δικασταί, καὶ ῥᾴδιον
138 εἶναι, περὶ τοῦ καὶ παρὰ τοῦτον εἰρῆσθαι τὸν νόμον τὸ ψήφισμα. ὃς γάρ, ὑπαρχόντων
τοσούτων νόμων, πάντας ὑπερβὰς τούτους, γέγραφέ τι καὶ κατέκλεισεν ἴδιον πρᾶ-
γμα ψηφίσματι, τοῦτον τί, τις ἄλλο ποιεῖν φήσει, πλὴν ψήφισμα νόμου κυριώ-
τερον ἀξιοῦν εἶναι. Βούλομαι τοίνυν ὑμῖν καὶ ἕν, ἢ δύο ψηφίσματα δεῖξαι τῶν
139 γεγραμμένων τοῖς ὡς ἀληθῶς εὐεργέταις τῆς πόλεως, ἵν' εἰδῆτε, ὅτι ῥᾴδιόν ἐστι
γράφειν τὰ δίκαια, ὅταν αὐτοῦ τις ἕνεκα τούτου γράφῃ, τοῦ τιμῆσαί τινα, καὶ με-
ταδοῦναι* τῶν ὑμῖν ὑπαρχόντων, καὶ μὴ διὰ *ταῦτα δοκεῖν ποιεῖν, βούληται κα- * αὐτοῦ.
κουργεῖν καὶ παρακρούεσθαι. Λέγε τὰ ψηφίσματα ταυτί. ἀλλ' ἵνα μὴ μα- * τὸ.
140 κρὸν ἀκούειν ὑμῖν ᾖ, ἐξ ἑκάστου τῶν ψηφισμάτων αὐτὸ τοῦτο *ἐξείλεκται, περὶ οὗ, * ἐξείλεκται.
τούτου κατηγορῶ. Λέγε.

Ἐκ τῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## Ἐκ τῶν ψηφισμάτων.

Ὁρᾶτε ὅτι πάντες, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν αὐτὸν
τρόπον γεγράφασιν, ἔστω, φησίν, ὑπὲρ αὐτοῦ ἡ αὐτὴ
τιμωρία, καθάπερ ἂν τὸν Ἀθηναῖον ἀποκτείνῃ· κυ- 141
ρίους μὲν ἐῶντες τοὺς περὶ τούτων ὑπάρχοντας ὑμῖν
νόμους, σεμνοὺς δ' ἀποφαίνοντες, εἴγε ἐν δωρεᾶς ἐποιή-
σαντο τάξει τὸ τούτων μεταδοῦναί τινι. ἀλλ' οὐκ Ἀρι-
στοκράτης· ἀλλὰ προπηλακίζει μὲν ˙καθ' ὃν δύναι-
το τρόπον τούτους, ὡς γοῦν οὐδενὸς ὄντων ἀξίων, ἰδίαν 142
τινὰ γραφὴν ἐπεχείρησε· μικρὰν δ' ἀποφαίνει κἀκεί-
νην τὴν δωρεάν, ἐν ᾗ τὴν πολιτείαν δεδώκατε τῷ
Χαριδήμῳ. ὃς γὰρ ὡς ἀγαπώντων τῶν ὑμᾶς, καὶ προ-
σοφειλόντων χάριν αὐτῷ, γέγραφε, καὶ προσέτι φυ-
λάττειν ὑμᾶς ἐκεῖνον, ὅπως ἀδεῶς, ὅ,τι ἂν βούληται, 143
ποιῇ, πῶς οὐ τοῦθ' ὃ λέγω διαπεράττεται; οὐκ ἀγνοῶ
τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι ὡς μὲν οὐ παρὰ τοὺς
νόμους φανερῶς γέγραφε τὸ ψήφισμα Ἀριστοκράτης,
οὐχ ἕξει δεῖξαι. ὃ δὲ δεινότατον πάντων ἐστί, τὸ μηδε-
μίαν κρίσιν ἐν παντὶ ποιῆσαι τῷ ψηφίσματι, ταύ- 144
της τῆς αἰτίας τοῦθ' ὑφαιρεῖσθαι πειράσεται. ἐγὼ δὲ περὶ
αὐτοῦ τούτου πολλὰ μὲν λέγειν οὐκ οἴομαι δεῖν. ἐκ δὲ
τοῦ ψηφίσματος αὐτοῦ δείξω σαφῶς οὐδὲ αὐτὸν τοῦτον
ἡγούμενον εἶναι κρίσιν οὐδεμίαν τῷ τὴν αἰτίαν ἔχον-
τι. γέγραφε γάρ, ἐάν τις ἀποκτείνῃ Χαρίδημον, ἀγώγι- 145
μος ἔστω. ἐὰν δέ τις ἀφέληται, ἢ ˙ πολίτης, ἢ ἰδιώτης,
ἔκσπονδος ἔστω. οὐκ ἐῶν μὴ παράγειν εἰς κρίσιν τὸν ἀ-
φαιρεθέντα, ἀλλ' ὅλως εὐθύς. καίτοι, εἴγε ἐδίδου κρίσιν,
ἢ καὶ μὴ ἀφῄρει τοῦτο, τότ' ἂν προσέγραψε κατὰ τῶν ἀ-
φελομένων τὴν τιμωρίαν, ὁπότε εἰς τὴν κρίσιν μὴ 146
παρέχοιεν οἱ ἀφελόντες. ˙οἶμαι τοίνυν αὐτὸν κἀκεῖνον
ἐρεῖν τὸν λόγον, καὶ σφόδρα ˙ταυτὶ ζητήσειν ἐξαπα-
τᾶν ὑμᾶς, ὡς ἄκυρόν ἐστι τὸ ψήφισμα. προβούλευ-
μα γάρ ἐστιν· ὁ νόμος δ' ἐπέτεια κελεύει τὰ τῆς βου-
λῆς εἶναι ψηφίσματα. ὥστε κἂν αὐτοῦ νῦν ἀποψηφί- 147

˙καθ' ὅσον δύναται.

˙γρ. πόλις,

˙οἴομαι.

˙γρ. ταύτῃ.

μὲν τὴν ἀπὸ τοῦ ῥητοῦ· γέγραφε γὰρ ὁ Ἀριστοκράτης, ἐάν τις ἀποκτείνῃ Χαρίδημον, ἀγώγιμος ἔστω. κατηγόρησε δὲ Δημοσθένης, ἤτοι Εὐθυκλῆς ὡς ἐλλειπῶς ἔγραψε, καὶ ἀσαφῶς, μὴ προσθεὶς ποῦ, καὶ ἐπὶ τίνι ἀγώγιμος. πρὸς τοῦτο ἀντίθεσις ἐκ τῆς διανοίας ἀνθυποφέρεται Ἀριστοκράτης λέγων· ἐπὶ κρίσιν γεγραφέναι ἄγεσθαι τὸν ἀνδροφόνον κατὰ τὸ ἑπόμενον. ὁ Δημοσθένης τοῦτο οὐ δέχεται τὸ κατὰ διάνοιαν ὡς ἑπόμενον, φάσκων μηδὲ γεγράφθαι διαρρήδην ἐπὶ κρίσιν ἄγεσθαι τὸν ἀνδροφόνον ἀγώγιμον· καὶ ἡ ἐξέτασις αὐτῷ τῶν νόμων γέγονεν ὑπὲρ τῶν ἀνδροφόνων μᾶλλον. αἰτιᾶται δὲ ἐλλειπῶς ἔχειν τὸ ψήφισμα κατὰ μέρη δύο· ἓν μέν, ὅτι γράψας ἀγώγιμον· ἔπειτα ὅτι γράψας, ἐὰν δέ τις πόλις ἀφέληται, ἢ ἰδιώτης, ἔκσπονδος ἔστω· οὐ προσέγραψε πάλιν διὰ τί ἔκσπονδος, δέον προσγράψαι· ὅτι εἰ μὴ ἐκδιδῶσιν ἐπὶ κρίσιν, ἑξῆς ἔθηκεν ἀντίθεσιν, ὡς ἄκυρόν ἐστι τὸ ψήφισμα. προβούλευμα γάρ ἐστιν· ὁ νόμος δὲ ἐπέτεια κελεύει τὰ τῆς βουλῆς εἶναι ψηφίσματα. ἰστέον δὲ ὅτι τῶν προσταττομένων καὶ κυρουμένων ὑπὸ τῆς βουλῆς ψηφισμάτων, τὰ μέν, ἄχρι αὐτῆς ἵστατο τῆς βουλῆς. τὰ δὲ καὶ εἰς τὸν δῆμον ἐπέμπετο· ὅσα μὲν οὖν ἴδια τῆς βουλῆς ψηφίσματα ἦν, ταῦτ' ἦν ἐπέτεια· καὶ συνανῃρεῖτο τῇ βουλῇ μετ' ἐνιαυτὸν παυομένῃ. ὅσα δὲ ἀπὸ τῆς βουλῆς ἔδει πρὸς τὸν δῆμον πεμφθῆναι, καὶ τὸ κῦρος παρ' αὐτοῦ λαβεῖν, ταῦτα οὐκ ἦν ἐπέτεια· τὸ τοίνυν γραφὲν Ἀριστοκράτει ψήφισμα, ἐκυρώθη μὲν ὑπὸ τῆς βουλῆς· ἔδει δὲ αὐτὸ κυρωθῆναι καὶ ὑπὸ τοῦ δήμου. τῆς δὲ γραφῆς δοθείσης, μετέωρον ἔμεινε. σοφιζόμενος δὲ ὁ ῥήτωρ, φησὶν αὐτὸ ἄκυρον εἶναι· προβούλευμα γὰρ εἶναι. ὅτι μὲν οὖν προβούλευμά ἐστιν, ἀληθές. ὅτι δὲ οὐκ ἄκυρον, οὐκ ἀληθές. τὸ δὲ ἄκυρον, διχῶς λέγεται. ἤτοι γὰρ τὸ παντελῶς ἀνῃρημένον καὶ διαγεγραμμένον, ἢ τὸ ὀφειλόμενον κυρωθῆναι, οὐδέπω δὲ κυρωθέν. ταύτην τὴν ὁμωνυμίαν λαβὼν εἰς χορηγίαν σοφίσματος, ἐθάρρησεν εἰπεῖν ἄκυρον εἶναι τὸ ψήφισμα. εἶτα τὴν ἰδικὴν πρότασιν προτάξας τῇ καθόλου, κατασκευάζειν πειρᾶται λέγων. ὁ νόμος δὲ ἐπέτεια κελεύει τὰ τῆς βουλῆς εἶναι ψηφίσματα. ἡ μὲν οὖν καθόλου πρότασις ἀληθής. ἐνιαύσια γὰρ ὡς ἀληθῶς τῆς βουλῆς τὰ ψηφίσματα. τὸ δὲ ἄκυρον εἶναι τὸ ψήφισμα, ὁμωνύμως ἐνδεικνύμενος. προβούλευμα γάρ ἐστιν ὁμοίως ὁμώνυμον, ὡς πάντα τὰ εἰσιόντα εἰς τὴν βουλὴν ψηφίσματα. Οὐκ ἀγνοῶ τοίνυν, ὦ 143
ἄνδρες Ἀθηναῖοι) Ἀντίθεσις ἀπὸ τοῦ νομίμου ἐκ τοῦ ῥήτορος τῆς διανοίας· ἐπειδὴ γὰρ αὐτὸς ὡς ἐφ' ὁμολογουμένοις ἔλαβεν αὐτὸν ἀγώγιμον ἐπὶ θάνατον. ὁ δὲ Ἀριστοκράτης ἔφασκεν δῆθεν ἐπὶ ˙κρίσει, λύει τὴν ἀντίθεσιν ἀπαιτήσας αὐτὸν ἐκ τοῦ ἑτέρου μέρους τοῦ ψηφίσματος, ὅτι καὶ τοὺς ἀφελόντα τὰ ἐπέτεια τοῦ χρόνου, καὶ τούτους ἐκσπόνδους φησὶν εἶναι. οὐκ ἐὰν μὴ παράγῃ εἰς κρίσιν, ἀλλὰ καὶ δικαίως ἀφέλῃ. ἐπειδὴ δὲ οὐκ εἶχεν ἀπὸ τῆς γνώμης τοῦ Ἀριστοκράτους λῦσαι, καὶ στοχάσασθαι τῆς ἐκείνου προαιρέσεως, ἀπὸ τοῦ ἑτέρου ῥητοῦ λύει ὃ αὐτὸς γέγραφεν. Ὡς ἄκυρόν ἐστι τὸ ψήφισμα· προβούλευμα γάρ ἐστιν) 146

˙γρ. κρίσιν

˙ἀ.

Ἄλλη ἀντίθεσις ὡς ἀπὸ τοῦ Ἀριστοκράτους. ἔστι δὲ ὑπὸ τοῦ ῥήτορος πεπλασμένη, ὥσπερ ἂν οὐδεὶς ἑκὼν ὁμολογήσειεν ἀδικεῖν. ἵνα τῇ οἰκείᾳ γλώττῃ καταγνωσθῇ, ὥσπερ ἡττημένος ἀπὸ τῶν προειρημένων. ὁμολογεῖν ἄκυρον εἶναι τὸ ψήφισμα, πῶς ἄκυρον τὸ προβούλευμα σοφίζεται. οὐ γὰρ πάντα ἐπαινεῖ αὐτό, ἀλλ' ἃ μὲν ἡ βουλὴ ἐκύρου χωρὶς τοῦ δήμου, ἕως ἦρχεν ἐπεκράτει, καὶ ἦν ὄντως ἐπέτεια. τὰ δὲ ὑπὸ τοῦ δήμου γιγνόμενα, καὶ πλείονα μένει χρόνον. ἐπειδήπερ τὰ προβουλεύματα τῆς βουλῆς, οὐκ εἰσήγετο εἰς τὸν δῆμον, ἀλλ' ἦν κύρια καὶ χωρὶς τοῦ δήμου. ἦν δὲ ἐπέτεια, ἀντὶ τοῦ ἐπ' ἐνιαυτόν. ὡς πρὸς τὴν βουλὴν δὲ ἔλαβεν ὅτι ἦν κύριον. καὶ μή πως εἰσαχθῇ εἰς τὸν δῆμον. τὸ δὲ ὅτι ἐπέτεια, ὡς πρὸς τὰ ψηφίσματα τοῦ δήμου ἐψεύσατο. ἄκυρον μὲν γὰρ τὸ μήπω κυρῶσαι τὸν δῆμον, οὐ μὴν ἄκυρον πάντη, ὡς ἐνιαύσιον. παραμένει γὰρ πολλάκις καὶ πολὺν χρόνον.

γρ. διαδικασθῇ. γρ. ἔμενε. γρ. τῷ μήπω εἰσαχθῆναι εἰς τὸν δῆμον. τῷ.

151 Οὐ τοίνυν οὐδ' ἐκεῖνό με) Ἀντίθεσις πάλιν ἀπὸ τοῦ ἔθους. ἔστι γὰρ διχῶς τὸ νόμιμον, καὶ ἔγγραφον καὶ ἄγραφον. καὶ ἔνθα ἂν εὑρίσκεται τά τε ἔγγραφα, καὶ τὰ ἄγραφα νόμιμα, πάντως πρότερα ἔσται τὰ ἔγγραφα καθόλου. ὡς δὲ πανταχοῦ εἰώθει ποιεῖν ὁ ῥήτωρ, ἐν τῇ θέσει τὴν ἀντίθεσιν διαβάλλει, ἵνα σαθρὰν ἀποδείξῃ αὐτὴν τῷ ἔχοντι. ἁπλῆν δέ, ἀντὶ τοῦ ἄνευ δόλου, καθαράν,

152 δικαίαν. Παραγωγὰς δὲ) Ἀπάτας, παρὰ τὸ παράγειν ἐκ τῆς δικαίας τὴν γνώμην.

153 Οὐκ ἄρα εὐορκοῦσιν) Θεραπεία τοῦ συγκρούειν τοῖς δικασταῖς· ἐπειδὴ γὰρ ἀπέδειξε κεκυρωμένα τινὰ παρανόμως, τοῦτο ἦν ἀπὸ τῶν δικαστῶν, λύει τὸ ἔγκλημα ἀγνοίᾳ τὴν συγγνώμην δωρούμενος.

154 Ἡ δὲ τῆς γνώμης δόξα) Ἡ ὑπόνοια, καὶ τὸ οὕτως, ὡς ἔφησαν, νομίσαι δίκαιον. πρὸς εὐκρίνειαν δὲ τοῦ λόγου, ὁρίζεται ἢ τὸ ἐπαπορῆσαι, ἵνα εὐμαθέστερον τὸν ἀκροατὴν ἐργάσηται.

155 Εἰ γὰρ ἠγνόησέ τι) Τὴν γὰρ ἄγνοιαν μέρος συγγνώμης οἱ παλαιοὶ ἐποιοῦντο.

σησθε, ἥ γε πόλις φλαῦρον οὐδὲν πείσεται κατὰ τὸ ψή-
φισμα τοῦτο. ἐγὼ δὲ πρὸς ταῦτα οἶμαι δεῖν ὑμᾶς ἐ-
κεῖνο ὑπολαμβάνειν, ὅτι τὸ ψήφισμα τοῦθ' ὅστις ἔγρα-
ψεν, οὐχ ἵνα ὄντος ἀκύρου μηδὲν ἀηδὲς ὑμῖν συμβῇ·
148 ἐξῆν γὰρ αὐτῷ τὴν ἀρχὴν μὴ γράφειν, εἴ γε τὸ βέλ-
τιστον τῇ πόλει σκοπεῖν ἐβούλετο· ἀλλ' ἵν' ἐξαπατη-
θέντων ὑμῶν, διαπράξωνταί τινες τἀναντία τοῖς ὑ-
μῖν συμφέρουσιν. οἱ δὲ γραψάμενοι καὶ χρόνους ἐμ-
ποιήσαντες, δι' οὓς ἄκυρόν ἐστι τὸ ψήφισμα, ἡμεῖς
149 ἐσμέν. ἄτοπον δὴ γένοιτ' ἄν, εἰ ὧν ἡμῖν χάριν εἰκὸς ὑ-
πάρχειν, ταῦτα τούτοις εἰς σωτηρίαν ὑπάρξει. ἔτι τοί-
νυν, οὐδὲ ἁπλοῦν τοῦθ' οὕτως ἐστίν, ὥστις οἴεται. εἰ
μὲν γὰρ μηδεὶς ἄλλος ἦν ὅστις ἔμελλεν ὁμοίως τούτῳ
τῶν συμφερόντων ὑμῖν ὀλιγωρήσας γράφειν, ἴσως
150 ἂν ἧττον ἦν δεινόν· νῦν δὲ ὄντων οὐκ ὀλίγων, οὐ κα-
λῶς ἔχει μὴ λῦσαι τὸ ψήφισμα ὑμῖν. τίς γὰρ οὐ γρά-
ψει γε θαρρῶν πάλιν, ἡνίκα ἂν ᾖ τις ἀποπεφευγώς,
τίς δὲ οὐκ ἐπιψηφιεῖ. τίς δὲ οὐ γράψεται. οὐ τοίνυν
τοῦτο σκεπτέον, εἰ τοῦτ' ἔστιν ἄκυρον τοῖς χρόνοις, ἀλλ'
151 ἐκεῖνο ὁρᾶν, ὅτι τῇ περὶ τούτου ψήφῳ νῦν ἐὰν ἀπο-
ψηφίσησθε, τοῖς ἀδικεῖν βουλομένοις αὖθις ὑμᾶς, ἄ-
δειαν δώσετε. οὐ τοίνυν οὐδὲ ἐκεῖνό με λέληθεν, ὦ ἄν-
δρες Ἀθηναῖοι, ὅτι ἁπλῆν μέν, οὐδὲ δικαίαν, οὐ- γρ. οὐχ ἁπλῆν.
δ' ἡντινοῦν ἀπολογίαν Ἀριστοκράτης ἕξει λέγειν, πα-
152 ραγωγὰς δέ τινας τοιαύτας ἐρεῖ, ὡς ἄρα πολλὰ τοιαῦ-
τα ἤδη γέγονε ψηφίσματα πολλοῖς. ἔστι δέ, ὦ ἄνδρες
Ἀθηναῖοι, οὐδὲν τοῦτο σημεῖον, τοῦ τοῦτ' ἔννομα εἰρη-
κέναι· πολλαὶ γὰρ προφάσεις εἰσί, δι' ἃς πολλάκις ὑ-
μεῖς ἐξηπάτησθε· οὐδ' εἴ τι τῶν ἑαλωκότων ψηφισμά-
153 των πρὸ ὑμῶν μὴ ἐγράφη, κύριον ἂν ἦν δήπουθεν. κα-
μὲν παρὰ τοὺς νόμους γ' ἂν εἴρητο· καὶ εἴ τι ἔγρα-
φεν, ἢ καθυφέντων τῶν κατηγόρων, ἢ μὴ δυνηθέντων
οὐδὲν διδάξαι, ἀπέφυγε. καὶ τοῦτ' οὐδὲν κωλύει πα-
ράνομον εἶναι. οὐκ ἄρα εὐορκοῦσιν οἱ δικάσαντες αὐ-
154 τῷ; ναί. πῶς; ἐγὼ διδάξω. γνώμῃ τῇ δικαιοτάτῃ δι-
κάσειν ὀμωμόκασιν. ἡ δὲ τῆς γνώμης δόξα, ἀφ' ὧν ἂν
ἀκούσωσι, παρίσταται. ὅτε τοίνυν κατὰ ταύτην ἔθεντο τὴν ψῆφον, εὐσεβοῦσι. πᾶς γὰρ
ὁ μήτε δι' ἔχθραν, μήτε δι' εὔνοιαν, μήτε δι' ἄλλην ἄδικον πρόφασιν μηδεμίαν
155 παρ' ἃ γιγνώσκει θέμενος τὴν ψῆφον, εὐσεβεῖ. εἰ γὰρ ἠγνόησέ τι διδασκόμενος, τοῦ
μὴ συνιέναι δίκην οὐκ ὀφείλει δοῦναι· ἀλλ' εἴ τις εἰδώς, ἐκεῖνο προὔδωκεν, ἢ ἐξα-
πατᾷ, ἔνοχος οὗτός ἐστι τῇ ἀρᾷ. διόπερ καταρᾶται καθ' ἑκάστην ἐκκλησίαν ὁ κῆ-
ρυξ, οὐκ εἴ τινες ἐξηπατήθησαν, ἀλλ' εἴ τις ἐξαπατᾷ λέγων, ἢ βουλήν, ἢ δῆμον,

ἢ τὴν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἢ τὴν ἡλιαίαν, μὴ δὴ τοῦθ᾽ ἡμῖν ἐᾶτε λέγειν ὡς γέγο- 156
νεν, ἀλλ᾽ ὡς ἔστι δίκαιον γενέσθαι· μηδ᾽ ὡς ἕτεροι δι-
κάσαντες ἐκύρωσαν ἐκεῖνα, ἀλλ᾽ ὑμᾶς αὐτοὺς ἀξιοῦ-
τε διδάσκειν, ὡς δικαιότερ᾽ ὑμῶν περὶ τοῦδε λέγουσιν.
εἰ δὲ τοῦτο μὴ δυνήσονται, οὐχὶ καλῶς ἔχειν ἡγοῦμαι,
τὴν ἑτέρων ἀπάτην κυριωτέραν ποιήσασθαι τῆς ὑ- 157
μετέρας αὐτῶν γνώμης. ἔτι τοίνυν ἔμοιγε δοκεῖ, καὶ
σφόδρα ἀναιδὴς εἶναι ὁ τοιοῦτος λόγος, ὡς γέγονε καὶ
πρότερον τισὶν ἄλλοις τοιαῦτα ψηφίσματα. οὐ γὰρ εἴ τι
πώποτε μὴ κατὰ νόμους ἐπράχθη, σὺ δὲ τοῦτ᾽ ἐμι-
μήσω, διὰ τοῦτ᾽ ἀποφεύγειν σοι προσήκει, ἀλλὰ τοὐ- 158
ναντίον πολὺ μᾶλλον ἁλίσκεσθαι διὰ ταῦτα· ὥσπερ
γὰρ εἴ τις ἐκείνων ἑάλω, σὺ ταῦτ᾽ οὐκ ἂν ἔγραψας, οὕ-
τως ἂν σὺ νῦν ἁλῷς, ἄλλος οὐ γράψει. ὡς μὲν τοίνυν οὐ παρὰ πάντας τοὺς νόμους
φανερῶς γέγραφε τὸ ψήφισμα Ἀριστοκράτης, οὐκ οἶμαι λέγειν αὐτὸν ἕξειν· ἤδη δέ τι-
να εἶδον, ὦ ἄνδρες Ἀθηναῖοι, γραφὴν ἀγωνιζόμενον παρανόμων, τοῖς νόμοις μὲν 159
ἁλισκόμενον, ὡς δὲ συμφέροντ᾽ ἡμῖν γέγραφε, λέγειν ἐπιχειροῦντα, καὶ ταύτῃ βια-
ζόμενον, εὐήθη μὲν τοῖς ἅπασιν, οἶμαι, μᾶλλον δ᾽ ἀναιδῆ λόγον. εἰ γὰρ καὶ κατὰ
τἄλλα πάντα συμφέροι τὰ εἰρημένα, εἴγε ὀμωμοκότας κατὰ τοὺς νόμους δικάζειν ὑ-
μᾶς, ἀξιοῖ κυροῦν, ἃ μηδ᾽ αὐτὸς ἔχει δεῖξαι δικαίως γεγραμμένα, ἀσύμφορα 160
ἂν εἴη, εἴπερ τὸ εὐορκεῖν περὶ πλείστου πᾶσίν ἐστι ποιητέον. οὐ μὴν ἀλλ᾽ ἔχει τινὰ ὅ-
μως ἡ ἀναίδεια αὕτη λόγον. τοῦτο τοίνυν οὐδ᾽ οὕτως ἐνέσται πρὸς ὑμᾶς ὁ λό-
γος. οὕτω γὰρ σφόδρα ἐναντίον ὂν τοῖς νόμοις τὸ ψήφισμα, μᾶλλον ἀσύμφορόν ἐστιν,
ἢ παράνομον. βούλομαι δ᾽ ὑμῖν καὶ τοῦτ᾽ ἐπιδεῖξαι. ἵνα δὲ ὡς διὰ βραχυτά- 161
του λόγου δῆλον ὃ βούλομαι, ποιήσω, παράδειγμά τι γνώριμον πᾶσιν ὑμῖν ἐρῶ.
ἴστε ὅτι συμφέρει τῇ πόλει μήτε Θηβαίους, μήτε Λακεδαιμονίους ἰσχύειν· ἀλλὰ τοῖς
μὲν, Φωκέας ἀντιπάλους, τοῖς δὲ τινὰς ἄλλους εἶναι. ἐκ γὰρ τοῦ ταῦθ᾽ οὕτως ἔχειν, ὑ-
μῖν ὑπάρχει μεγίστοις οὖσιν ἀσφαλῶς οἰκεῖν. ταυτὸ τοίνυν νομίζετε τοῦτο καὶ τοῖς 162
Χερρόνησον οἰκοῦσι τῶν πολιτῶν συμφέρειν, μηδένα εἶναι τῶν Θρᾳκῶν ἰσχυρόν· ἡ γὰρ
ἐκείνων πρὸς ἀλλήλους ταραχὴ, καὶ ὑποψία, φρουρὰ Χερρονήσου μεγίστη τῶν πα-
σῶν ἐστὶ, καὶ βεβαιοτάτη. τὸ τοίνυν ψήφισμα τουτὶ, τῷ μὲν ἡγουμένῳ τῶν Κερσο-
βλέπτου πραγμάτων ἀσφάλειαν διδοῦν, τοῖς δὲ τῶν ἑτέρων βασιλέων στρατη- 163
γοῖς, φόβον καὶ δέος, μή τινα αἰτίαν ἔχωσι, παρεισὰν, τοὺς μὲν, ἀσθενεῖς, τὸν δ᾽ ἕνα
ὄντα, ἰσχυρὸν καθίστησιν. ἵνα δὲ μὴ πάνυ θαυμάζητε, εἰ τὰ παρ᾽ ὑμῖν ψηφίσματα
τηλικαύτην ἔχει δύναμιν, γεγονὸς ὃ καὶ πάντες ἐπίστασθε πρᾶγμα, ὑμᾶς ὑ-
πομνήσω. ὅτε Μιλτοκύθης ἀπέστη Κότυος, συχνὸν ἤδη χρόνον ὄντος τοῦ πολέμου, καὶ 164
ἀπηλλαγμένου μὲν Ἐργοφίλου, μέλλοντος δὲ Αὐτοκλέους ἐκπλεῖν στρατηγοῦ, ἐγρά-
φη τι παρ᾽ ὑμῖν ψήφισμα τοιοῦτον, δι᾽ οὗ Μιλτοκύθης μὲν, ἀπῆλθε φοβηθεὶς, καὶ
νομίσας ὑμᾶς οὐ προσέχειν αὐτῷ· Κότυς δὲ, ἐγκρατὴς τοῦ τε ὄρους τοῦ ἱεροῦ, καὶ
τῶν θησαυρῶν ἐγένετο. καὶ γάρ τοι μετὰ ταῦτα, ὦ ἄνδρες Ἀθηναῖοι, Αὐτοκλῆς μὲν 165
ἐκρίνετο, ὡς ἀπολωλεκὼς Μιλτοκύθην· οἱ δὲ χρόνοι, κατὰ τοῦ τὸ ψήφισμα εἰπόντος
τῆς γραφῆς ἐξεληλύθεσαν. τὰ δὲ πράγματα ἀπωλώλει τῇ πόλει. οὐ τοίνυν ἴσως

156 Μηδὲ ὡς ἕτεροι δικάσαντες ἐκεῖ- 155
να) Ἐξηπατήθησαν γάρ. Οὐ γὰρ 157
εἴ τι πώποτε μὴ κατὰ τοὺς νόμους) Ἔθος
πᾶσι τοῖς παλαιοῖς ἐπὶ τῶν αὐτῶν
νοημάτων, καὶ τοῖς αὐτοῖς κεχρῆσθαι
ῥήμασιν, ἵνα μὴ δοκοῖεν ἀπειρόκα-
λοι εἶναι ἐναλλαγῇ τῆς φύσεως. εἶπεν
157 οὖν καὶ ἐν τῷ κατ᾽ Ἀνδροτίωνος τὸ
αὐτό. Ἤδη δέ τινα εἶδον, ὦ ἄν- 158
δρες Ἀθηναῖοι) Τοῦ συμφέροντος
ἐντεῦθεν ἀναίρεσις, ὅτι οὐδὲ συμφέ-
ρει, ἵνα μὴ διὰ τὸ χρήσιμον κυρῶση-
ται. Ἵνα δὲ μὴ πάνυ θαυμάζητε) 163
Ἀντίπιπτον λύει· εἴποι γὰρ ἄν τις, ἀλ-
λ᾽ οὐ διαμένει τὰ γεγραμμένα ἐν τῷ
158 ψηφίσματι· οὐ γὰρ οὕτως ἰσχύει. ὁ δὲ
κατασκευάζει, ὅτι πολλὰ δύναιτο τὸ
ψήφισμα, ἐκ παραδειγμάτων.

ὅτι καὶ νῦν εἰ μὴ λύσετε τὸ ψήφισμα τοδί, καὶ τοῖς
βασιλεῦσι θαυμαστὴ γενήσεται δι' αὐτὸ ἀθυμία, καὶ
166 τοῖς στρατηγοῖς αὐτῶν. ὅλως γὰρ ἡγήσονται περιεωρᾶ-
σθαι μὲν αὐτοί, πρὸς Κερσοβλέπτην δὲ ἀποκλίνειν ὑ-
μᾶς. εἰ δ' ἐκ τοῦ ταῦτα γνῶναι παραχωρήσονται τῆς
ἀρχῆς ἐπὶ καιροῦ τινός, αὐτοῖς ἐπιθεμένου τοῦ Κερσο-
βλέπτου, πάλιν ὁρᾶτε τί συμβήσεται. φέρε γὰρ πρὸς
167 θεῶν ἂν "ὑμᾶς ἀδικῇ Κερσοβλέπτης, ὃ μᾶλλον εἰκὸς "ἡμᾶς.
αὐτὸν ἐλπίσαντα, ἢ μὴ δυνηθέντα ποιῆσαι, οὐκ ἐπ' ἐ-
κείνους ἴμεν, καὶ δι' ἐκείνων πάλιν ἀσθενῆ ποιεῖν αὐτὸν
ἐπιχειρήσομεν; ἂν οὖν εἴπωσιν "ὑμῖν πρὸς ταῦτα ἐ- "ἡμῖν.
κεῖνοι, ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, οὐ μόνον ἡμῖν ἀδι-
168 κουμένοις οὐκ ἐβοηθήσατε, ἀλλὰ καὶ 'φόβον, ἂν ὑπὲρ 'κ. φόβον ἂν ὑπὲρ ἄλλων τι ᾖ
ὑμῶν αὐτῶν ἀμυνώμεθα, θαυμαστὸν περιεστήσατε, θαυμαστὸν περιεστήσατε, ἂν ὑπὲρ ὑμῶν αὐτῶν ἀμυνώμεθα, ψηφ.
ψήφισμα ποιησάμενοι, τὸν ἐναντία τοῖς ὑμῖν συμφέ-
ρουσι, καὶ πράττοντα ἡμῖν, ἄν τις ἀποκτείνῃ, ἀγώγι-
μον εἶναι. οὐκοῦν ἐστὲ δίκαιοι βοηθοὺς καλεῖν ἡμᾶς, ἐφ' οἷς
169 καὶ περὶ ὑμᾶς αὐτούς, καὶ περὶ ἡμᾶς κακῶς ἐβουλεύ-
σασθε. εἰπέ μοι, ταῦτ' ἐὰν λέγωσιν, οὐ δικαιότερα ἡμῶν ἐροῦσιν; ἔγωγ' οἶμαι. καὶ μὴν
οὐδ' ἐκεῖνό γ' ἔνεστιν εἰπεῖν, ὅτι νὴ Δία εἰκότως ἐφενακίσθητε καὶ παρεκρούσθητε. εἰ γὰρ
μηδὲν εἴχετε τῶν ἄλλων λογίσασθαι, μηδ' ἐφ' ὑμῶν αὐτῶν οἷοί τε ἦτε ταῦτα συνιδεῖν,
170 τὸ ἰδεῖν παράδειγμα Ὀλυνθίους τουτουσί, οἵ τι πεποιηκότα αὐτοὺς Φιλίππου, πῶς
αὐτῷ κέχρηνται; ἐκεῖνος ἐκείνοις Ποτίδαιαν οὐχὶ τηνικαῦτα ἀπέδωκεν, ἡνίκα ἀπο-
στερεῖν οὐκ ἔθ' οἷός τ' ἦν, ὥσπερ ὑμῖν ὁ Κερσοβλέπτης Χερρόνησον. ἀλλὰ πρὸς ὑμᾶς
πολεμῶν, χρήματα πολλὰ ἀναλώσας, ἑλών, καὶ δυνηθεὶς ἂν αὐτὸς ἔχειν, εἴπερ ἐβου-
171 λήθη, παρέδωκε. καὶ οὐδ' ἐπεχείρησεν ἄλλο ποιεῖν οὐδέν. ἀλλ' ὅμως ἐκεῖνοι, ἕως μὲν ἑώρων
τηλικοῦτον αὐτόν, ἡλίκος ὤν, πιστὸς ὑπῆρχε, σύμμαχοί τε ἦσαν, καὶ δι' ἐκεῖνον ἡμῖν ἐπο-
λέμουν. ἐπειδὴ δὲ εἶδον μείζω τῆς πρὸς αὐτοὺς πίστεως γιγνόμενον, τοσοῦτ' ἀπέχουσι
τοῦ ψηφίσασθαι, ἄν τις ἀποκτείνῃ τινὰ τῶν ἐκείνῳ συγκατεσκευακότων τὴν ἀρχὴν
172 ἐκ τῶν ἑαυτῶν συμμάχων, ἀγώγιμον εἶναι. ὥστε ὑμᾶς, οὓς ἴσασιν ἁπάντων ἀνθρώ-
πων ἥδιστ' ἂν καὶ τοὺς ἐκείνου φίλους, καὶ αὐτὸν τὸν Φίλιππον ἀποκτείναντας, φίλους
πεποίηνται· φασὶ δὲ καὶ συμμάχους ποιήσεσθαι. εἶτ' Ὀλύνθιοι μὲν ἴσασι τὸ μέλλον
προορᾶν, ὑμεῖς δ', ὄντες Ἀθηναῖοι, ταὐτὸ τοῦτ' οὐ ποιήσετε; ἀλλ' οὐκ αἰσχρὸν τοὺς τῶν
173 περὶ πραγμάτων ἐπίστασθαι βουλεύσασθαι δοκοῦντας προέχειν, ἧττον Ὀλυνθίων
τὸ συμφέρον εἰδότας ὀφθῆναι; ἀκούω τοίνυν, αὐτὸν καὶ τοιοῦτόν τινα ἐρεῖν λόγον, ὅτι καὶ
πρότερόν ποτε Ἀριστόμαχος παρ' °ὑμῖν ἐδημηγόρει, ὡς οὐκ ἔστιν ὅπως ποτὲ Κερ- °ἡμῖν. αἱ
σοβλέπτης αἱρήσεται, Χερρόνησον ἀποστερεῖν ἐπιχειρῶν, ἐχθρὸς "ὑμῖν εἶναι. οὐδὲ γὰρ εἰ "ἡμῖν. αἱ
174 λάβοι καὶ κατάσχοι, λυσιτελήσειν αὐτῷ. ἐκ μὲν γε ἐκείνης, οὐκ ἔστιν ὑπὲρ τριά-
κοντα τάλαντα ἡ πρόσοδος, μὴ πολεμουμένης. εἰ πολεμήσετε δέ, οὐδέν. ἐκ δὲ τῶν
ἐμπορείων, ἃ τότ' ἂν κλεισθείη, πλέον, ἢ 'διακόσια τάλαντα ἐᾶσθ' ἡ πρόσοδος. "ὥσ- 'τριακόσια. αἱ
τ' εἰ βουλόμενος μικρὰ λαμβάνειν, καὶ πολεμεῖν ἂν ἕλοιτο, ἐξὸν τὰ πλείω, καὶ φί- "ὥστε π-α.ε
175 λος εἶναι, θαυμάζειν φήσουσιν. ἐγὼ δὲ οὐκ ἀπορῶ μὲν εἰπεῖν πολλά, ἅ μοι δοκεῖ

μᾶλλον

167 Ἂν οὖν εἴπωσιν ἡμῖν) Ἐπειδὴ ὁ λόγος θρασύτερος, ἄλλῳ περιάπτει προσώπῳ, ἵνα μὴ αὐτὸς ἀφ' ἑαυτοῦ ταῦτα λέγειν δοκῇ, ἕτερος δὲ εἴη ὁ
173 φθεγγόμενος. Ἀκούω τοίνυν αὐτούς) Ἀντίθεσις, ὅτι οὐ βουλήσεται τὰ ἐπιβλαβῆ, ἀλλὰ τὰ ὠφέλιμα. κατασκευάσει δὲ τὴν ἀντίθεσιν ἀπό τε γνώμης τοῦ Κερσοβλέπτου, καὶ τῆς τῶν προσόδων ποσότητος. οὐκοῦν δυνήσεται μὲν τὴν γνώμην λῦσαι τῇ κατὰ τῶν τυράννων διαβολῇ, καὶ τῷ τὸ ἦθος εἶναι τοῦ Χαριδήμου βάρβαρον. τὴν δὲ ποσότητα, ἀπὸ τῆς ὑπαρχούσης φύσει τοῖς τυράννοις πλεονεξίας.
° ἀλ. °Οἱ καὶ πρότερόν ποτε Ἀριστόμαχος) Ὥσπερ οἱ φιλιππίζοντες, οὕτω καὶ οὗτος τὰ τῶν Θρακῶν ἐφρόνει. τὴν δὲ ἀντίθεσιν ἐκ τοῦ προσώπου τοῦ Ἀριστομάχου σαθροτέραν ἀποδείκνυσι, κατασκευάσας αὐτήν· ὅταν γὰρ ᾖ διάλυτος ἡ ἀντίθεσις, τῷ δοκεῖν κατασκευάζομεν, ἵνα λύσεως ἀφορμὰς ἐντεῦθεν πείσωμεν.
175 Ἐγὼ δ' οὐκ ἀπορῶ μέν) Ἡ λύσις ἐντεῦθεν.

ἄλλον ἄν τις ἰδὼν, ἀπιστεῖν εἰκότως, ἢ τοῦτ' ἄν τις πιστεύων,
ἐκεῖνον ἐᾶν μέγαν γίγνεσθαι· οὐ μὴν ἀλλ' ὃ μάλιστα
πρόχειρον ἔχω, τοῦτο ἐρῶ. ἴστε δήπου Φίλιππον, ὦ
ἄνδρες Ἀθηναῖοι, τουτονὶ τὸν Μακεδόνα, ᾧ πολὺ δήπου
ἄλλον ἐλυσιτέλει, τὰς ἐξ ἁπάσης Μακεδονίας προ- 176
σόδους ἀδεῶς λαμβάνειν, ἢ μετὰ κινδύνων τὰς ἐξ Ἀμ-
φιπόλεως· καὶ χρῆσθαι φίλοις αἱρετώτερον ἦν αὐτῷ
τοῖς πατρικοῖς ὑμῖν, ἢ Θετταλοῖς, οἳ τὸν πατέρα αὐτοῦ
ποτὲ ἐξέβαλον. ἄνευ γὰρ τούτου, κἀκεῖνό ἐστιν ἰδεῖν. ὑ-
μεῖς μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδένα προὐδώκατε 177
πώποτε τῶν φίλων. Θετταλοὶ δὲ, οὐδένα πώποθ' ὅντιν-
α οὔ. ἀλλ' ὅμως τούτων οὕτως ἐχόντων, μικρὰ λαμ-
βάνειν, καὶ τοὺς ἀπίστους, φίλους, καὶ τὸ κινδυνεύειν ἀντὶ
τοῦ μετ' ἀσφαλείας ζῆν, ὁρᾶτε προῃρημένον αὐτόν.
τί δήποτε τὸ αἴτιον; οὐ γὰρ δὴ λόγον γε τὸ πρᾶγμα οὑ- 178
τωσὶ πρόχειρον ἔχει. ὅτι, ὦ ἄνδρες Ἀθηναῖοι, δυοῖν
ἀγαθοῖν ὄντοιν πᾶσιν ἀνθρώποις, τοῦ μὲν ἡγουμένου
καὶ μεγίστου πάντων τοῦ εὐτυχεῖν, τοῦ δὲ, ἐλάττονος μὲν
τούτου, τῶν δὲ ἄλλων μεγίστου, τοῦ καλῶς βουλεύεσθαι,
οὐχ ἅμα ἡ κτῆσις παραγίνεται τοῖς ἀνθρώποις· οὔ- 179
τ' ἔχει τῶν εὖ πραττόντων οὐδεὶς ὅρον, οὐδὲ τελευ-
τὴν τῆς τοῦ πλεονεκτεῖν ἐπιθυμίας. δι' ὅπερ πολλοὶ πολλάκις μειζόνων ἐπιθυμοῦν-
τες, τὰ παρόντα ἀπώλεσαν. καὶ τί δεῖ Φίλιππον λέγειν, ἢ τὸν ἄλλον. ἀλλ' ὁ πατὴρ αὐ-
τὸς ὁ Κερσοβλέπτου Κότυς, ἡνίκα μὲν στασιάζοι πρός τινας, πρέσβεις πέμπων πρὸς
ὑμᾶς, ἅπαντα ποιεῖν ἕτοιμος ἦν. καὶ τότε ᾐσθάνετο, ὡς ἀλυσιτελὲς τὸ τῇ πόλει πο- 180
λεμεῖν. ἐπειδὴ δ' ὑφ' ἑαυτῷ τὴν Θρᾴκην ἔχοι, κατελάμβανε τὰς πόλεις· ἠδίκει
μεθύων, ἐπαρῴνει. μάλιστα μὲν εἰς ἑαυτὸν, ἔπειτα δὲ καὶ εἰς ἡμᾶς, τὴν χώραν ἐποιεῖ-
θ' ὑφ' ἑαυτῷ· τὸ πρᾶγμα ἀμήχανον ἦν. τῶν γὰρ ὑπὲρ τοῦ πλεονεκτεῖν ἐπιχειρούν-
των οἷς οὐ χρὴ, οὐκ εἴωθε τὰ δυσχερέστατα ἕκαστος λογίζεσθαι, ἀλλ' ἃ κατορθώσας 181
διαπράξεται. ἐγὼ δὲ δεῖν ὑμᾶς οἶμαι τοῦτον τὸν τρόπον βεβουλεῦσθαι, ὅπως, ἂν
μὲν ἃ χρὴ περὶ ὑμῶν γινώσκῃ Κερσοβλέπτης, μηδὲν ὑφ' ὑμῶν ἀδικηθήσεται· ἐὰν
δὲ ἀλόγως ἀδικεῖν ἐπιχειρῇ, μὴ μείζων ἔσται τοῦ δύνασθαι δίκην. ἀναγνώσομαι δ' ὑμῖν
τὴν ἐπιστολὴν, ἥν, ὅτε ἀφειστήκει Μιλτοκύθης, Κότυς ἔπεμψε, καὶ ἥν, ὅτε πᾶσαν τὴν 182
ἀρχὴν ἔχων πέμψας Τιμομάχῳ, τὰ χωρία ὑμῶν ἐξεῖλεν.

Ἐπιστολή.

[a] πείθησθε. Τοῦτο, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ παράδειγμα ἑωρακότες, ἂν ἐμοὶ[a] πεισθῆτε, κἀ-
κεῖνο εἰδότες, ὅτι Φίλιππος ὅτε μὲν ἐπολιόρκει Ἀμφίπολιν, ἵν' ὑμῖν παραδῷ, πο- 183
λιορκεῖν ἔφη· ἐπειδὴ δὲ ἔλαβε, καὶ Ποτίδαιαν προσαφείλετο, ἐκείνην τὴν πίστιν
βουλήσεσθε ἔχειν, ἥνπερ φασὶ πρὸς Λακεδαιμονίους ποτὲ εἰπεῖν Ἰφικράτην τὸν
Ἐφιάλτου· καὶ γὰρ ἐκεῖνόν φασιν ἐξαπατώντων τι τῶν Λακεδαιμονίων, καὶ προτει-
νόντων πίστιν, ἣν τινα βούλεται λαμβάνειν, εἰπεῖν ὅτι πίστιν ἂν οἴεται γενέσθαι μό- 184
νην, εἰ δείξαιεν ὅπως, ἂν ἀδικεῖν βούλωνται, μὴ δυνήσονται. ἐπεὶ ὅτι γε βουλήσον-

ὁ ἀκόλουθος δὲ τῇ ἀληθείᾳ. ἐπει-
δὴ δὲ ἐκεῖνοι ἔφασαν μὴ βούλεσθαι
ἂν αὐτὸν, ἐκ λογισμῶν τινῶν πρὸς
τοῦτο, ἀπήντησε τὸ θέλειν· εἰ μὴ τῇ [b] ἀδ.
κατὰ τῶν τυράννων διαβολῇ λύσας τὸ
τὸν χαρίεντα[b] εἶναι τὸ ἦθος βάρβα-
ρον. τὴν δὲ ποσότητα, ἀπὸ τῆς ἐν τῇ
φύσει τῶν δυναστευόντων πλεονεξίας
ἐκ παραδειγμάτων καὶ παραθέσεως
αὐτὴν λύει. Τοῦ μὲν ἡγουμένου) 178
Κατασκευάσας μερικῶς ἐκ τοῦ πα-
ραδείγματος, λοιπὸν ἐκ τῶν καθόλου
συμπεραίνει τὸν λόγον. τὸ οὖν εὐτυ-
χεῖν προηγεῖται, ἐπειδὴ ἐκ θεῶν τις
αὐτὸ κέκληται. Καὶ τί δεῖ Φίλιπ- 179
πον λέγειν) Ἀποδείξας ὅτι εὐτυχία οὐ
μετὰ τοῦ εὖ φρονεῖν παραγίνεται διὰ
τοῦ Φιλίππου, ἵνα μή τις εἴπῃ, ἀλλὰ
Μακεδὼν, καὶ ἅμα τούτων γνώμη αἰ-
τία τυγχάνει, διὰ τοῦτο ἐκ τῶν προσοι-
κῶν ἐκ Κότυος ἀποδεικνύει· μάλιστα
γὰρ εἰς αὐτὸν χαλεπῶς εἶχον οἱ Ἀθη-
ναῖοι. τινὰ γὰρ αἰχμάλωτον ἐν τῷ τό-
πῳ εἰσήγαγεν, ἐπιθεὶς αὐτῷ τῆς πο-
λιάδος[c] παράγμα, καὶ ὑβρίζων αὐ- [c] ὀνομα.
τὸν σαφῶς δὴ τοὺς Ἀθηναίους ὕβρι-
ζε. σωφρόνως δὲ εἶπεν ὁ ῥήτωρ εἰς αὐ-
τὸν ὑβρίζων· ὁ γὰρ εἰς ἑαυτὸν ἁμαρ-
τάνων, ἑαυτὸν ἔβλαπτεν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

185 Ὅτι τοίνυν ὅλως οὐδὲ ὑγιαινόντων) Τοῦ συμφέροντος λογισμός. τὸ γὰρ ἄδοξον, καὶ ἔνδοξον εἰς τοῦτο ἀναφέρεται. διχῶς γὰρ τὸ συμφέρον, τὸ μὲν, ἐκ τῶν πραγμάτων, τὸ δὲ, ἐκ τῆς δόξης. τοῦτο οὖν ἐκ τῆς δόξης, ὅτι χεῖρον τοῦ βλάπτειν τὰ πράγματα, καὶ τὴν ὑπόληψιν λυμαίνεται.
186 Καὶ μὴν καὶ χρυσοῖς στεφάνοις) Ἡ ἀντίθεσις στοχαστική. ἀλλ' οὐκ ἂν ἕλοιτο ἀδικῆσαι τοὺς τιμῶντας, καὶ χρυσοῖς στεφάνοις αὐτὸν στεφανώσαντας. ἀλλ' εἰ καὶ θείημεν τὸν Χαρίδημον καὶ γεγενῆσθαι περὶ ἡμᾶς σπουδαῖον, καὶ ἔτι καὶ ἔσεσθαι, καὶ μηδέ ποτε ἄλλην γνώμην, ἢ ταύτην σχεῖν, οὐδὲν μᾶλλον ἔχει καλῶς ταῦτα αὐτῷ ψηφίσασθαι.
192 Ἀλλ' ἄχρι τούτου, καὶ φιλεῖν, οἶμαι) Εἰρηκὼς τὸ κατὰ μέρος, ἐπάγει τὸ καθόλου καὶ τοῖς παραδείγμασι πείσας, τῷ ἐνθυμήματι, καθόλου ὄντι, βεβαιοῖ τὰ λεχθέντα. ἐπειδὴ δὲ παλαιῶν πραγμάτων ἦν μνησθείς, καὶ διὰ τὸν χρόνον ἔσβεστο ἡ μνήμη, διὰ τοῦ Φιλίππου τοῖς νεωτέροις πράγμασιν αὐτοῖς εἰς πίστιν ἄγει. καιρὸν δὲ τὸ μέτριον· μέτριον γὰρ τὸν καιρὸν πολλάκις λέγομεν.

ται, μὲν εἰδέναι. ἕως μὲν οὖν δύνωνται, πίστιν οὐκ ἔστι.
ταύτην, μὲν ἐμοὶ χρῆσθε συμβούλῳ, φυλάξετε τὴν
185 πίστιν πρὸς τουτονὶ τὸν Θρᾶκα, καὶ μὴ βουλήσεσθε εἰ-
δέναι τίνα μὲν, εἰ πάσης ἄρξει τῆς Θράκης, πρὸς ὑ-
μᾶς σχοίη γνώμην. ὅτι τοίνυν ὅλως οὐδὲ ὑγιαινόντων
ἀνθρώπων ἐστὶ τοιαῦτα γράφειν ψηφίσματα, καὶ δι-
δόναι τισὶ τοιαύτας δωρεάς, καὶ τοῦτ' ἐκ πολλῶν ῥᾴ-
186 διον γνῶναι. ἴστε γὰρ δήπου τοῦτο πάντες, ὦ ἄνδρες Ἀ-
θηναῖοι, ὁμοίως ἐμοί, ὅτι τὸν Κότυν ποτ' ἐκεῖνον ἐποιή-
σασθε πολίτην, δῆλον ὡς κατ' ἐκεῖνον τὸν χρόνον εὔ-
νουν ἡγούμενοι καὶ φίλον. καὶ μὴν καὶ χρυσοῖς στε-
φάνοις ἐστεφανοῦτε· οὐκ ἄν, εἴ γε ἐχθρὸν ἡγεῖσθε. ἀλλ' ὅ-
187 μως ἐπειδὴ πονηρὸς καὶ θεοῖς ἐχθρὸς ἦν, καὶ μεγάλα
ὑμᾶς ἠδίκει, τοὺς ἀποκτείναντας ἐκεῖνον Πύθωνα καὶ Ἡ-
ρακλείδην τοὺς ° Αἰνείους πολίτας ἐποιήσατε, ὡς εὐερ- ° αἰνίους.
γέτας, καὶ χρυσοῖς στεφάνοις ἐστεφανώσατε. εἰ δὴ τό-
τε, ὅτ' ὑμῖν οἰκείως ἔχειν ὁ Κότυς ἐδόκει, ἔγραψέ τις,
188 ἐάν τις ἀποκτείνῃ Κότυν, ἔκδοτον εἶναι, πότερον ἐξεδό-
τε ἂν τὸν Πύθωνα, καὶ τὸν ἀδελφόν, ἢ παρὰ τὸ ψήφι-
σμα τοῦτο πολίτας ἐποιεῖσθε, καὶ ὡς εὐεργέτας ἐτιμᾶ-
τε. τί δαί; Ἀλέξανδρον ἐκεῖνον τὸν Θετταλόν, ἡνίκ' εἶχε μὲν αἰχμάλωτον δήσας Πε-
λοπίδαν, ἐχθρὸς δ', ὡς οὐδείς, Θηβαίοις ἦν, ὑμῖν δ' οἰκείως διέκειτο οὕτως, ὥστε
189 παρ' ὑμῶν στρατηγὸν αἰτεῖν, ἐβοηθεῖτε δὲ αὐτῷ, καὶ πάντα ἦν Ἀλέξανδρος, πρὸς
διός εἴ τις ἔγραψεν, ἐάν τις ἀποκτείνῃ Ἀλέξανδρον, ἀγώγιμον εἶναι, ἆρ' ὧν μετὰ ταῦ-
θ' ὕβρισε, καὶ προὐπηλάκισεν, ἀσφαλὲς ᵃ ἂν ἦν τὸ παρ' αὐτοῦ δίκην πειρᾶσθαι ᵃ α.
λαβεῖν; τί δεῖ τἄλλα λέγειν τις ἄν. ἀλλ' ὁ μάλιστα δοκῶν νῦν ὑμῖν ἐχθρὸς εἶναι Φί-
190 λιππος οὑτοσί, εἰ τόθ' ὅτ' Ἀργαῖον κατάγοντας λαβὼν τῶν ἡμετέρων τινὰς πολι-
τῶν, ἀφῆκε μὲν αὐτούς, ἀπέδωκε δὲ πάντα, ὅσα ἀπώλεσαν, αὐτοῖς πέμψας ὁ γράμ-
ματα ° ἐπηγγείλατο ἕτοιμος εἶναι συμμαχίαν ποιεῖσθαι, καὶ τὴν πατρικὴν φι- ° ἐπηγγέλλετο.
λίαν ᵛ ἀναιρεῖσθαι, εἰ τότε ἠξίωσε τυχεῖν τούτων, καί τις ἔγραψε τῶν ἀφεθέντων ᵛ ἀναιρεῖσθαι.
191 ὑπ' αὐτοῦ, ἐάν τις ἀποκτείνῃ Φίλιππον, ἀγώγιμον εἶναι, καλήν γε ὕβριν ἦμεν ἂν
ὑβρισμένοι. ἆρά γε ὁρᾶτε καὶ καταμανθάνετε, ὦ ἄνδρες Ἀθηναῖοι, ἐφ' ἑκάστου
τούτων, ἡλίκην ἂν ὠφληκότες ᵃ παράνοιαν ἦτε, εἴ τι τοιοῦτο ἐτυγχάνετε ἐψηφισμέ- ᵃ γρ. παράνοια μίαν. γρ. παροινίαν.
νοι; ἔστι γὰρ οὐχ ὑγιαινόντων ἀνθρώπων, οἶμαι, οὔθ' ὅταν τινὰ ὑπολήψωσι φίλον, οὕτω
192 πιστεύειν, ὥστε, ἂν ἀδικεῖν ἐπιχειρῇ, τὸ ἀμύνεσθαι σφῶν αὐτῶν ἀφελέσθαι, οὔθ', ὅ-
ταν ἐχθρόν τινα ἡγῶνται, οὕτως αὖ μισεῖν, ὥστε, ἂν παυσάμενος βούληται φίλος
εἶναι, τὸ ποιεῖν ἐξεῖναι ταῦτα κωλῦσαι· ἀλλ' ἄχρι τούτου, καὶ φιλεῖν, οἶμαι, χρὴ καὶ
μισεῖν, ᵛ μηδέτερον τῶν καιρῶν ὑπερβάλλοντας. οὐ τοίνυν ἔγωγε οὐδὲ ἐκεῖνο ᵛ γρ. μηδ' ἐπέρα τὸν καιρόν.
193 ἰδεῖν δύναμαι, ὡς οὐχὶ πάντες ἂν ἄνθρωποι τούτων ἀξιώσειαν τυχεῖν, ὁπόσοις πάρ-
εστι καὶ ἡντινοῦν εὐεργεσίας πρόφασιν πρὸς ὑμᾶς, εἰ Χαριδήμῳ δώσετε, οἷον, εἰ βού-
λεσθε, Σίμων, Βιάνωρ, Ἀθηνόδωρος, ἄλλοι μυρίοι. εἰ μὲν τοίνυν πᾶσι ψηφιούμεθα
ταῦτα, λήσομεν, ὡς ἔοικε, μισθοφόρων ἔργον ἀνθρώπων ποιοῦντες, τὴν ἑκάστου σω-

τηρίαν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τηρεῖν τούτων δορυφοροῦντες, εἰ δὲ τοῖς μὲν, τοῖς δ' οὔ, 194
τυχόντες δικαίως ἐγκαλέσουσιν οἱ μὴ μετέχοντες. φέρ', ἐὰν δὴ
ἑαυτῷ καὶ μενέστρατος ἡμᾶς ὁ ἐρετριεὺς ἀξιοῖ ταῦτα καὶ αὑτῷ ψηφίσασθαι, ἢ φάυλλος ὁ φωκεὺς, ἢ τις ἄλλος δυνάστης. πολλοῖς δὲ δήπου διὰ καιρούς τινας πολλάκις φίλοι γινόμεθα. πότερον ψηφιούμεθα πᾶσιν, ἢ οὔ; ψηφιούμεθα νὴ δία. καὶ τί δήπου φήσομεν, ὦ ἄνδρες ἀθηναῖοι, καλὸν, εἰ τῶν ἑλλή- 195
νων ἐπ' ἐλευθερίᾳ προεστάναι φάσκοντες, τὰς ἰδίας δυνάμεις ἐπὶ τοῖς πλήθεσι κεκτημένοις δορυφοροῦντες φανούμεθα. ἐγὼ μὲν οὐχ ὁρῶ. εἰ γάρ ἐστί τῳ δοτέον τι τοιοῦτον, ὡς ἔγωγε οὔ φημι, πρῶτον μὲν τῷ μηδὲν ἠδικηκότι πώποτε· δεύτερον δὲ τῷ, μηδ' ἂν ἀδικεῖν βούληται, δυνησομένῳ· ἔπειθ' ὡς ἀληθῶς ὅστις ἅπασιν ἀνθρώ- 196
ποις ἔσται φανερὸς, ὑπὲρ τοῦ μὴ παθεῖν, ταῦτα εὑρισκόμενος, καὶ οὐκ ἐπὶ τῷ ποιεῖν μετ' ἀδείας ἑτέρους κακῶς, τούτῳ δοτέον. ὅτι μὲν τοίνυν ὁ χαρίδημος οὔτε τῶν ἀναμαρτήτων ἐστὶ πρὸς ὑμᾶς, οὔτε τῶν, ἵνα μή τι πάθῃ, ταῦτα εὑρισκομένων, ἐάσω.

Ἀλλ' ὡς οὐδὲ πιστὸς εἰς τὸν ἔπειτα 196 χρόνον) Τὸ μέλλειν στοχαστικῶς πιστοῦται. ἐπεὶ γὰρ τὸ συμφέρον ἐν τῷ μέλλοντι, ἀφανές ἐστι, διὰ τῶν ἐκ τῶν πραχθέντων τὴν πίστιν δίδωσιν.

ἀλλ' ὡς οὐδὲ πιστὸς εἰς τὸν ἔπειτα χρόνον, ἀκούσατέ μου, καὶ σκοπεῖτε ἂν ὀρθῶς ὑ- 197
μῖν ἐξετάζειν δοκῶ. ἐγὼ νομίζω, ὦ ἄνδρες ἀθηναῖοι, ὅσοι μὲν τῶν ἡμετέρων ἠθῶν καὶ νόμων ἐπιθυμηταὶ γινόμενοι, πολῖται γενέσθαι ἐσπούδασαν, ἅμα τ' αὐτοῖς ἂν τυχεῖν τούτων, καὶ παρ' ἡμῖν οἰκεῖν καὶ μετέχειν ὧν ἐπεθύμησαν. ὅσοις δὲ τούτων μὲν μηδενὸς μήτ' ἐπιθυμία, μήτε ζῆλος εἰσέρχεται, τὴν πλεονεξίαν δ' ἀγα- 198
πῶσιν, ἣν διὰ τοῦ δοκεῖν ὑφ' ἡμῶν τιμᾶσθαι, καρποῦνται, τούτοις οἶμαι, μᾶλλον δὲ οἶδα σαφῶς, ὅταν ποτὲ μείζονος πλεονεξίας ἐλπίδα ἑτέρωθεν ἴδωσιν, οὐδ' ὁτιοῦν ὑμῶν φροντίσαντας ἐκείνην θεραπεύειν. οἷον, ἵν' εἰδῆτε καὶ ὑμεῖς πρὸς ἃ βλέπων ἐγὼ ταῦτα λέγω, πύθων οὑτοσί, ὅτε μὲν κότυν αὐθὺς ἀπεκτονὼς οὐκ ἀσφαλὲς 199
* ὅπου ἡγεῖτ' ἀπελθεῖν ὅποι τύχοι, ἦλθεν ὡς ὑμᾶς, καὶ πολιτείαν ᾔτησε, καὶ πάντων ἐποιήσατο [illegible] ὑμᾶς. ἐπειδὴ δὲ οἴεται τὰ φιλίππου πράγματα συμφέρειν ἑαυτῷ μᾶλλον, οὐδ' ὁτιοῦν ὑμῶν φροντίσας, τὰ ἐκείνου φρονεῖ. οὐ γάρ ἐστιν, οὐκ ἔστιν, ὦ ἄνδρες ἀθηναῖοι, παρὰ τούτοις, τοῖς ἐπὶ τῇ τοῦ πλεονεκτεῖν προαιρέσει 200
ζῶσιν, οὐδὲν οὔτε βέβαιον, οὔθ' ὅσιον· ἀλλὰ δεῖ τοῦτον, ὅστις εὖ φρονεῖ, φυλαττόμενον δεῖξαι, μὴ προπιστεύσαντα κατηγορεῖν. εἰ τοίνυν, ὦ ἄνδρες ἀθηναῖοι, τοὐναντίον, ἢ τὸ ἀληθὲς ἔχει, θείημεν τὸν χαρίδημον αὐτὸν, καὶ γεγενῆσθαι περὶ ἡμᾶς σπουδαῖον, καὶ εἶναι καὶ ἔσεσθαι, καὶ μηδέποτε ἄλλην γνώμην, ἢ ταύτην, 201
ἕξειν, οὐδὲν μᾶλλον ἔχει καλῶς ταῦτ' αὐτῷ ψηφίσασθαι. εἰ μὲν γὰρ ἐπ' ἄλλο τι ταύτην τὴν ἄδειαν ἐλάμβανε τὴν ἐκ τοῦ ψηφίσματος, ἢ τὰ κερσοβλέπτου πράγματα, ἧττον ἂν ἦν δεινόν. νῦν δ' ὑπὲρ οὗ καταχρήσεται τῇ διὰ τοῦ ψη-
ἡμῶν. α. φίσματος πλεονεξίᾳ, οὐκ ἀξιόπιστον οὔθ' ὑμῖν, οὔτ' ἐκείνῳ λογιζόμενος αὐτὸν 202
εὑρίσκω. σκέψασθε δὲ ὡς δικαίως ἕκαστα ἐξετάζω, καὶ σφόδρα γε εἰκότως δεδιώς. ἐγὼ σκοπῶ κότυν, ὅτι κηδεστὴς ἦν ἰφικράτει, τὸν αὐτὸν τρόπον, ὅνπερ χαρίδημος κερσοβλέπτῃ. καὶ τὰ πεπραγμένα ὁρῶ, πολλῷ μείζονα, καὶ χάριτος πλείονος ἄξια ὑπὸ κότυος ἰφικράτει, ἢ ὑπὸ κερσοβλέπτου χαριδήμῳ. σκεψώ- 203
μεθα δ' οὑτωσί. ἴστε δήπου τοῦτ', ἄνδρες ἀθηναῖοι, ὅτι χαλκῆς εἰκόνος οὔσης
ὑμῖν. παρ' ἡμῖν ἰφικράτει, καὶ σιτήσεως ἐν πρυτανείῳ, καὶ δωρεῶν, καὶ τιμῶν ἄλλων, δι' ἃς εὐδαίμων ἐκεῖνος ἦν, ὅμως ἐτόλμησεν ὑπὲρ τῶν κότυος πραγμάτων ἐναντία τοῖς ὑμετέροις στρατηγοῖς ναυμαχεῖν, καὶ περὶ πλείονος ἐποιήσατο τὴν 204



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

209 Καὶ γὰρ ἐκεῖνο νομίζω) Λογισμὸς ἐκ τοῦ συμφέροντος. Ἔστι γὰρ φίλων ἀγαθῶν) Ἐνθυμήματι καθολικῷ τὰ λεχθέντα ἐπισφραγίζεται.

211 Ὡς εἰ καὶ βάρβαρος καὶ ἄπιστος) Ἀντίπτωσιν λύει, ὅτι οὐκ ἀδικήσει Χαρίδημον εἰ καὶ βάρβαρος. λύει δὲ αὐτὸ ἐκ τοῦ παραδείγματος.

213 Καὶ μὴν εἰ μήτε φύσει πιστὸς ὁ Κερσοβλέπτης) Συλλογὴ τῶν εἰρημένων. διαφέρει δὲ τῆς ἀνακεφαλαιώσεως ἡ συλλογή, ὅτι ἡ μὲν ἀνακεφαλαίωσις πάντων τῶν ἐπικαίρων ἔχει τὴν ὑπόμνησιν· ἡ δὲ συλλογή, τῶν

214 ἀρτίως λεχθέντων μόνον. Ὅτι τοίνυν αὐτοῦ) Διττὸν τὸ συμφέρον, τό, τε ἐν πράξεσι, καὶ τὸ ἐν δόξῃ.

ἐκείνου σωτηρίαν, ἢ τὰς ὑπαρχούσας ἑαυτῷ παρ' ὑ-
μῶν τιμάς. καὶ εἰ μὴ μετριωτέραν ἔχετε τὴν ὀρ-
γὴν ὑμεῖς τῆς ἐκείνου προπετείας, οὐδὲν ἂν αὐτὸν
ἐκώλυσεν ἀθλιώτατον ἀνθρώπων ἁπάντων εἶναι. ἀλ-
205 λ' ὅμως ὁ Κότυς ὑπ' ἐκείνου τότε σωθεὶς, καὶ λαβὼν
ἔργῳ τῆς ἐκείνου φιλίας πεῖραν, ἐπειδὴ βεβαίως ἡ-
γήσατο σῶς εἶναι, οὐχ ὅπως ἀποδώσει χάριν ἐσπούδα-
σεν αὐτῷ, καὶ πρὸς ὑμᾶς δι' ἐκείνου τι φιλάνθρωπον
ἔπραξεν, ἵνα συγγνώμης ἐπὶ τοῖς πεπραγμένοις
206 τύχῃ, ἀλλὰ πᾶν τοὐναντίον, ἠξίου μὲν αὐτὸν συμ-
πολιορκεῖν τὰ λοιπὰ τῶν ἡμετέρων χωρίων. οὐκ ἐ-
θέλοντος δ' ἐκείνου, λαβὼν τήν τε βαρβαρικὴν δύ-
ναμιν, καὶ τὴν ὑπ' ἐκείνου συνειλεγμένην, καὶ τὸν
207 Χαρίδημον τοῦτον προσμισθωσάμενος, προσέβαλε τοῖς ὑμετέροις χωρίοις, καὶ εἰς
τοῦτο κατέστησε τὸν Ἰφικράτην ἀπορίας, ὥστε ἀπελθόντα εἰς Ἀντίσσαν οἰκεῖν· καὶ
πάλιν εἰς Δρῦν, ἡγούμενον ὡς μὲν ὑμᾶς οὐχὶ καλῶς ἔχειν ἐλθεῖν, οἷς ὑστέρους ἐπε-
ποίητο τοῦ Θρᾳκὸς καὶ τοῦ βαρβάρου, παρ' ἐκείνῳ δ' οὐκ ἀσφαλὲς εἶναι μένειν, ὃν οὕ-
208 τως ὀλιγωροῦντα ἑώρα τῆς ἑαυτοῦ σωτηρίας. ἐὰν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, ὁ Κερ-
σοβλέπτης ἐκ τῆς τῷ Χαριδήμῳ νῦν ἀδείας κατασκευαζομένης αὐξηθεὶς, ὀλιγω-
ρῇ μὲν ἐκείνου, νεωτερίζῃ δέ τι καὶ κινῇ πρὸς "ἡμᾶς, ἐξαρκεῖ τοῦθ' ὑμῖν, ἐὰν Χαρί- "μᾶς.
δημος ἐξαπατηθῇ, τὸν Θρᾷκα ἰσχυρὸν ἐφ' ὑμᾶς `αὐτοὺς κατεσκευακέναι; ἐγὼ μὲν `α.
209 οὐκ ἀξιῶ· καὶ γὰρ ἐκεῖνο νομίζω δίκαιον, εἰ μὲν αἰσθάνεται ταῦτα καὶ προορᾷ Χα-
ρίδημος, εἶθ' ὅπως τοιούτων ψηφισμάτων τεύξεται, διαπράττεται, ὡς ἐπιβου-
λεύοντι μὴ ἐπιτρέπειν αὐτῷ· εἰ δὲ λέληθεν αὐτὸν, ὅσῳ μᾶλλον εὔνουν τις αὐτὸν ὑπεί-
ληφεν εἶναι, τοσούτῳ μᾶλλον προειδέσθαι καὶ ὑπὲρ αὐτοῦ καὶ ὑπὲρ ἐκείνου. ἔστι γὰρ
210 φίλων ἀγαθῶν, οὐ τὰ τοιαῦτα χαρίζεσθαι τοῖς εὔνοις, ἐξ ὧν κἀκείνοις, καὶ σφίσιν αὐ-
τοῖς ἔσται τις βλάβη, ἀλλ' ὃ μὲν ἂν μέλλῃ συνοίσειν ἀμφοῖν, συμπράττειν· ὃ δ' ἂν
αὐτοὺς ἄμεινον ἐκείνου προορᾷ, πρὸς τὸ καλῶς ἔχον τίθεσθαι, καὶ μὴ τὴν ἤδη
χάριν τοῦ μετὰ ταῦτα χρόνου παντὸς περὶ πλείονος ἡγεῖσθαι. οὐ τοίνυν οὐδ' ἐκεῖνο
211 λογιζόμενος δύναμαι κατιδεῖν, ὡς εἰ καὶ βάρβαρος καὶ ἄπιστος ὁ Κερσοβλέπτης,
ὅμως προνοηθείη γ' ἂν, μὴ τὰ τηλικαῦτα ἀδικῆσαι Χαρίδημον. ὅταν γὰρ πάλιν
ἐξετάσω, ἡλίκων Κότυς Ἰφικράτην 'ἀποστερήσειν μέλλων οὐδὲν ἐφρόντισε, παντελῶς 'ἀποστερῶν.
τούτῳ γε οὐδὲν ἡγοῦμαι ἂν μελῆσαι τῶν ἀπελαυνομένων Χαριδήμῳ. ὁ μὲν γὰρ ἐκεῖ-
212 νον τιμὰς, σίτησιν, εἰκόνας, πατρίδα, ἣ ζηλωτὸν αὐτὸν ἐποίησεν, ὀλίγου δέω λέγειν,
πάνθ' ὧν αὐτοῦ ζῆν οὐκ ἄξιον ἦν Ἰφικράτει, νομίζων ἀποστερήσειν, οὐκ 'ἐπεστρά- 'ἀπεστράφη.
φη. οὗτος δ' ὡς ἀληθῶς, τίνος ἂν καὶ λόγου φροντίσειε μή τινος Χαρίδημον ἀποστερήσῃ;
οὐδ' ὁτιοῦν· ἔστι γὰρ παρ' ὑμῖν αὐτοῦ οὐ παῖδες, οὐκ εἰκὼν, οὐ συγγενεῖς, οὐκ ἄλ-
213 λο οὐδέν. καὶ μὴν, εἰ μήτε φύσει πιστὸς ὁ Κερσοβλέπτης, ἔκ τε τῶν γεγενημένων
πρότερον, δικαίως ἄπιστος, μηδέν τε τοιοῦτον ὑπάρχει τοῖς πράγμασιν, δι' ὃ καὶ
παρὰ γνώμην καὶ φύσιν προνοηθείη τι τοῦ Χαριδήμου, τίνος ἕνεκα ἁπλῶς, καὶ κομι-
δῇ τετυφωμένος οὕτως ἃ βούλεται διαπράξασθαι, συλλάβωμεν αὐτῷ, καὶ ταῦτα
214 ἐφ' ἡμῖν ὄντα; ἐγὼ μὲν γὰρ οὐχ ὁρῶ. ὅτι τοίνυν αὐτοῦ τοῖς πράγμασι μὴ συμφέρει τὸ
ψήφισμα,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ψήφισμα, οὐδὲ πρὸς δόξαν συμφέρει τῇ πόλει τοι-
οῦτον οὐδὲν ἐψηφισμένῃ φαίνεσθαι, καὶ τοῦτο δεῖ μα-
θεῖν ὑμᾶς. εἰ μὲν γὰρ, ὦ ἄνδρες ἀθηναῖοι, πόλιν οἰ-
κοῦντι, καὶ νόμοις πολιτευομένῳ τὸ ψήφισμα ἐγέ- 215
γραπτο δεινὸν ὄν, ἧττον ἂν ἦν αἰσχρόν. νῦν δὲ γέγρα-
πται χαριδήμῳ, τῷ πόλιν μὲν οὐδ' ἡντινοῦν οἰκοῦντι,
θρακὶ δὲ ἀνθρώπῳ, βασιλεῖ στρατηγοῦντι, καὶ διὰ
τῆς ἐκείνου βασιλείας πολλοὺς ἀδικοῦντι. ἴστε γὰρ δή-
που τοῦθ', ὅτι πάντες οἱ ξεναγοῦντες οὗτοι, πόλεις 216
καταλαμβάνοντες ἑλληνίδας, ἀρχὴν ζητοῦσι. καὶ
πάντων, ὅσοι περ νόμοις οἰκεῖν βούλονται τὴν αὑτῶν, ὄντες ἐλεύθεροι, κοινοὶ περιέρ-
χονται κατὰ πᾶσαν χώραν, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἐχθροί. ἆρ' οὖν, ὦ ἄνδρες ἀθηναῖοι,
ἡμῖν. α. καλὸν ἢ πρέπον ὑμῖν, τοῦ μὲν ἕνεκα τῆς ἑαυτοῦ πλεονεξίας ἐπιβουλεύσοντος οἷς 217
αὐτῶν. α. ἂν τύχοι τοιαύτην φυλακὴν ἐψηφισμένους φαίνεσθαι, τοὺς δ' ὑπὲρ τῆς ἑαυτῶν
ἐλευθερίας ἀμυνομένους εἴργεσθαι τῆς ὑμετέρας συμμαχίας προειρηκέναι; ἐγὼ
μὲν οὐχ ὑπολαμβάνω τοῦτο οὔτε καλῶς ἔχειν, οὔθ' ὑμῶν ἀξίως. πῶς γὰρ οὐκ
αἰσχρὸν λακεδαιμονίοις μὲν ἐγκαλεῖν, ὅτι τοὺς μὲν τὴν ἀσίαν οἰκοῦντας ἕλληνας 218
ὑπεκδοῦναι. α. ἔγραψαν ἐξεῖναι δρᾶσαι πάνθ', ὅ τι ἂν ἐθέλῃ βασιλεύς, αὐτοὺς δ' ἐκδοῦναι καὶ
τοὺς τὴν εὐρώπην οἰκοῦντας κερσοβλέπτῃ, καὶ πάντας ὅσων περ ἂν οἴηται κρείτ-
των χαρίδημος ἔσεσθαι; οὐ γὰρ ἄλλο τι ποιεῖ τὸ ψήφισμα, ἢ τουτὶ, ὅτι τῷ μὲν
ἐκείνου στρατηγῷ οὐ διήρηται τί πρακτέον, ἢ μή· πᾶσι δ', ἄν τις ἀμύνηται, το- 219
σοῦτος ἐπήρτηται φόβος. καὶ μὴν, ὦ ἄνδρες ἀθηναῖοι, καὶ γεγονός τι πρᾶγμα
φράσαι πρὸς ὑμᾶς βούλομαι, δι' οὗ μᾶλλον ἔθ' ὑμῖν γνωσθήσεται δῆλον, ὡς σφό-
δρα δεῖ λῦσαι τὸ ψήφισμα τουτί. ὑμεῖς ἐποιήσασθαι ἔν τισι καιροῖς καὶ χρόνοις,
ἀριοβαρζάνην πολίτην, καὶ δι' ἐκεῖνον, φιλίσκον, ὥσπερ νῦν διὰ κερσοβλέπτην, 220
χαρίδημον. ὢν δ' ὅμοιος ἐκεῖνος τούτῳ τῇ προαιρέσει τοῦ βίου, διὰ τῆς ἀριοβαρ-
ζάνου δυνάμεως, πόλεις κατελάμβανεν ἑλληνίδας, εἰς ἃς εἰσιὼν, πολλὰ καὶ δεινὰ ἔρ-
γα ἐποίει, παῖδας ἐλευθέρους ἀδικῶν, καὶ γυναῖκας ὑβρίζων, καὶ πάντα ποιῶν, ὅσα
ἂν ἄνθρωπος ποιήσειεν, ἄνευ νόμων, καὶ τῶν ἐν πολιτείᾳ καλῶν τεθραμμένος, 221
εἰς ἐξουσίαν ἐλθών. ἐν δὴ λαμψάκῳ τινὲς ἄνθρωποι γίγνονται δύο. θερσαγόρας
ἡμῶν. α. ὄνομα αὐτῶν θατέρῳ, τῷ δ' ἐξήκεστος. οἱ παραπλήσια τοῖς πρὸ ὑμῶν γνόντες
γρ. ἀποκτιννύουσι. γρ. ἀποκτείνουσι. περὶ τὸν τύραννον, ἀποκτιννύουσι τὸν φιλίσκον δικαίως, τὴν αὑτῶν πατρίδα οἰό-
μενοι δεῖν ἐλευθεροῦν. εἰ δὴ τῶν τότε ὑπὲρ φιλίσκου λεγόντων, ὅτε ἐμισθοδότει 222
μὲν τοῖς ἐν περίνθῳ ξένοις, εἶχε δ' ὅλον τὸν ἑλλήσποντον, μέγιστος δ' ἦν τῶν ὑπάρ-
χων, ἔγραψέ τις, ὥς περ οὗτος νυνὶ, ἐάν τις ἀποκτείνῃ φιλίσκον, ἀγώγιμον αὐτὸν ἐκ
τῶν συμμάχων εἶναι, πρὸς διὸς θεάσασθε εἰς ὅσην ἂν αἰσχύνην ἡ πόλις ἡμῶν
ἐληλύθει. ἧκε μὲν γὰρ ὁ θερσαγόρας, καὶ ὁ ἐξήκεστος εἰς λέσβον, καὶ ᾤκουν ἐκεῖ. εἰ δὲ 223
ἐφήπτετό τις τῶν τοῦ φιλίσκου παίδων ἢ φίλων, ἐξεδίδοτ' ἂν ὑπὸ τοῦ ἡμετέρου
ψηφίσματος. πῶς οὖν οὐκ αἰσχρὸν καὶ δεινὸν ἂν ἦτε πεποιηκότες, ὦ ἄνδρες ἀθη-
ναῖοι, εἰ τοὺς μὲν παρ' ὑμῖν τοιοῦτό τι πράξαντας, χαλκοῦς ἱστάντες, καὶ ταῖς μεγί-
σταις δωρεαῖς τιμῶντες ἐφαίνεσθε· τοὺς δ' ἑτέρωθί που τὴν αὐτὴν τούτοις δια- 224
νοιαν ὑπὲρ τῆς αὑτῶν πατρίδος ἔχοντας, ἐκδότους εἶναι καταψηφίζεσθε; τοῦτο τοί-

Ὅτι πάντες οἱ ξεναγοῦντες) Ξενικὰ τὰ στρατεύματα ἔχοντες. πάντως δὲ τῷ καθολικῷ παραδείγματι κέχρηται, ἵνα μὴ ὡς ἐχθρὸς ὢν αὐτῷ, δόξῃ διαβάλλειν αὐτόν. 216
Ἀρχὴν ζητοῦσιν) Ἵνα καὶ φοβήσῃ τοὺς ἄρχοντας, ὅτι ἕτερον τὴν ἡγεμονίαν ἁρπάσαι φαντάζονται.
Πῶς γὰρ οὐκ αἰσχρόν) Ἐπιχείρημα ἐκ τοῦ ἥττονος. εἰ γάρ, φησι, κατηγορεῖς τῶν ἐλάττω πλημμελούντων, πῶς μείζονα αὐτὸς ἐτάζων οὐκ εἶ μεμπτότερος; 217
ἐθίζων. γρ. ἐργαζόμενος.
Καὶ γεγονός τι πρᾶγμα) Τοῦτο ἐκ τῆς τοῦ ὁμοίου παραθέσεως. 219



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νην ἐπ᾽ ἐκείνου μὲν, οὗ πειθοῦς οὐ συνέβη φενακισθεῖ-
σιν ὑμῖν, αἰσχύνην ὀφλεῖν· ἐπὶ τούτου δὲ, ἐὰν ἐμοὶ πει-
σθῆτε, *φυλάξασθε. μὴ γὰρ ὡρισμένου μηδενὸς, ἀλλ᾽ *φυλάξεσθε.
225 ἁπλῶς, ἄν τις ἀποκτείνῃ Χαρίδημον, γεγραμμένου,
τάχ᾽ ἂν εἰ τύχοι καὶ τοιοῦτό τι συμβαίη. Βούλομαι
τοίνυν ἤδη καὶ τὰ πεπραγμένα ἐξετάσαι τῷ Χα-
ριδήμῳ διὰ βραχέων, καὶ δεῖξαι τὴν ὑπερβολὴν
τῆς ἀναιδείας τῶν ἐπαινούντων αὐτόν. ἓν δ᾽ ὑμῖν ἐκεῖ-
226 νο ὑπισχνοῦμαι· καί μου μηδεὶς ἀχθεσθῇ τῇ ὑπο-
σχέσει. οὐ μόνον γὰρ ὑμῖν ἐπιδείξω τῆς φυλακῆς οὐκ
ἄξιον αὐτὸν, ἣν γέγραφεν οὗτος, ἀλλὰ καὶ δίκην δόν-
τ᾽ ἂν δικαίως τὴν μεγίστην, εἴπερ οἱ κακόνοι, καὶ φενα-
κίζοντες ὑμᾶς, καὶ διὰ πάντος *ἐν αἰτίᾳ πράττον- *ἐναντία.
227 τες, κολάζοιντ᾽ ἂν δικαίως. ἴσως δέ τισι λογιζομένοις
ὑμῶν, ὅτι πρῶτον μὲν πολίτης γέγονεν ἄνθρωπος,
εἶτα πάλιν χρυσοῖς στεφάνοις, ὡς εὐεργέτης, ἐστεφά-
νωται, θαυμάζειν ἐπελήλυθεν· εἶτα τηλικαῦτα οὕτως
ἐξηπάτησθε ῥᾳδίως; εὖ τοίνυν ἴστε, ὦ ἄνδρες ἀθη-
228 ναῖοι, ὅτι ἐξηπάτησθε. καὶ δι᾽ ἅ γε εἰκότως τοῦτο πε-
πόνθατε, ἐγὼ φράσω πρὸς ὑμᾶς. ὅτι, ὦ ἄνδρες ἀθη-
ναῖοι, πολλὰ γιγνώσκοντες ὀρθῶς, ὑμεῖς οὐ διὰ τέλους
χρῆσθε αὐτοῖς. οἷον τί λέγω; εἴ τις ὑμᾶς ἔροιτο, τί πο-
νηρότατον νομίζετε τῶν ἐν τῇ πόλει πάντων ἐθνῶν;
229 οὔτε τοὺς γεωργοὺς, οὔτε τοὺς ἐμπόρους, οὔτε τοὺς ἐκ
τῶν ἀργυρείων, οὔτε τῶν τοιούτων *οὐδὲν ἂν εἴποιτε. *οὐδένα ἂν
ἀλλ᾽ εἰ τοὺς ἐπὶ μισθῷ λέγειν καὶ γράφειν εἰωθότας
εἴποι τις, εὖ οἶδ᾽ ὅτι συμφήσαιτ᾽ ἂν ἅπαντες. μέ-
χρι μὲν δὴ τούτου, καλῶς ἐγνώκατε. ἔπειτα δὲ, οὐκ
230 ἔτ᾽ ὀρθῶς τὸ λοιπόν. οὓς γὰρ αὐτοὶ πονηροτάτους νομί-
ζετε πάντων, τούτοις περὶ τοῦ ὁποῖόν τιν᾽ ἕκαστον χρὴ
νομίζειν, πεπιστεύκατε. οἳ δ᾽ ὃν ἂν αὐτοῖς λυσιτελῇ, καὶ
χρηστὸν καὶ *πονηρὸν εἶναί φασιν, οὐχ ὃν ἂν ᾖ δίκαιον, *πονηρόν.
καὶ ἀληθές. ὅπερ πεποιήκασι τὸν Χαρίδημον τοῦτον οἱ ῥή-
231 τορες πάντα τὸν χρόνον, ὡς καὶ ὑμεῖς ὁμολογήσετε, ἐ-
πειδὰν ἀκούσητέ μου τὰ πεπραγμένα αὐτῷ. ὅσα
μὲν δὴ στρατιώτης ὢν ἐν σφενδονήτου, καὶ ψιλοῦ μέ-
ρει τὸ ἀπ᾽ ἀρχῆς ἐναντία ἐστράτευται τῇ πόλει, οὐ τί-
θημι ἐν ἀδικήματος μέρει, οὐδ᾽ ὅτι λῃστρικὸν ποτὲ
232 πλοῖον ἔχων ἐλῄζετο τοὺς ὑμετέρους συμμάχους,
ἀλλ᾽ ἐῶ ταῦτα. διὰ τί; ὅτι, ὦ ἄνδρες ἀθηναῖοι,
αἱ ἀναγκαῖαι χρεῖαι, τοὺς τοῦ τί πρακτέον, ἢ μή, λογισμοὺς ἀναιροῦσιν ἅπαντας.
ὥστ᾽ οὐ πάνυ ταῦτα ἀκριβολογεῖσθαι δεῖ τὸν δικαίως ἐξετάζοντα. ἀλλ᾽ ὅθεν ἀρξά-
μενος

225 Βούλομαι τοίνυν ἤδη) Ἐξέτασις λοιπὸν τοῦ δικαίου. διὰ τί δὲ ἐν τῷ τέλει ἔταξεν αὐτό; λέγομεν ὅτι ἐπειδὴ εἴληπτο ὡς εὔνους, βουλόμενος λῦσαι ταύτην τὴν ὑπόνοιαν, ἵνα ὁ ἀκροατὴς ἀνιστάμενος, μὴ ἐπιλάθηται ὧν ἀρτίως ἤκουσεν. εἰ γὰρ ἐξ ἀρχῆς ἦν γιγνόμενον, οὐκ ἂν ὁμοίως ὑπὸ τῶν δικαστῶν ἠκούετο, ἐμπεπηγμένον αὐτῶν τῇ γνώμῃ, ὡς τοιοῦτος ἴσος νομίζεται. ἀλλ᾽ ἐνδέδωκεν αὐτοῖς, καὶ πίστιν ἐν τοῖς προτέροις, εὐμαρέστερον τούτου δεῖξαι πεποίηκε τὴν ἐξέτασιν. ἤρξατο μὲν οὖν ἐκ προοιμίου. τίθησι δ᾽ εὐθὺς ἀνθυποφορὰν περὶ τοῦ κεφαλαίου *ὑπειδόμενος αὐτοῦ τὸ ἀπίθανον. ἀλλ᾽ εἰ τοιοῦτος ἦν, οὐκ ἂν πολίτην αὐτὸν ἐποιησάμεθα, οὐδ᾽ ἂν χρυσῷ στεφάνῳ ἐστεφανώσαμεν. ἔθος δὲ τῷ Δημοσθένει μετὰ τὴν εἴσοδον τῶν κεφαλαίων, τιθέναι ἀντιθέσεις, ὡς καὶ ταῦτα πεποίηκεν, ἵνα ἀκολούθως μετὰ τὴν ἐπαγγελίαν τοῦ δεῖξαι αὐτὸν πονηρὸν, ἀντιπέσοι. πῶς οὖν ἔλαθε τοιοῦτος ὤν, ἡνίκα ἐστεφανοῦτο, καὶ ἐπῃνεῖτο, καὶ πολιτείας ἐτύγχανε. ἡ λύσις μεταστατική. διὰ τοὺς παρ᾽ ἡμῖν ῥήτορας. ὑπτιότητος δὲ περιπτύσης ἐν τοῖς διηγήμασι, διὰ τὸ περὶ πάλαι γεγονότων ἀδικημάτων λέγειν, ἵνα μὴ τὸν λόγον ἰσοελκὸν ἐργάσηται, τοῖς χρήμασι, καὶ ταῖς τόλμαις, ταῖς τε ἐξαγγελίαις, καὶ ταῖς ἀποστάσεσι, καὶ ταῖς παραλήψεσι, παραμυθεῖται τὸ ὕπτιον. πανταχοῦ δὲ συμπλέκει τὰ πρόσωπα, τό, τε τοῦ Χαριδήμου καὶ τὸ Κερσοβλέπτου, ἵνα γένηται πίστις τῆς διαβολῆς. τὸ δὲ ἕτερον τοῦ ἑτέρου συστατικὸν τοῦ μὲν Χαριδήμου, Κερσοβλέπτης· τοῦ δὲ Κερσοβλέπτου, Χαρίδημος. καὶ Χαρίδημος μὲν ὅτι ὡς Ἀθηναίων εἷς ὤν, οἰκεῖος ἦν καὶ εὔνους ἐκείνῳ, καὶ τῆς προνοίας τοῦ Κερσοβλέπτου προσαθῇ ἦν· Κερσοβλέπτης δὲ ὅτι πονηρὸς καὶ βάρβαρος, καὶ τὸ σύμπαν πλεονέκτης καὶ τύραννος.

227 Εἶτα τηλικαῦτα οὕτως ἐξηπάτησθε) Ἀκόλουθον ἦν εἰπεῖν, ὅτι δείξω οὐκ ὄντα εὔνουν εἰς ὑμᾶς αὐτόν, ἀλλ᾽ ἐξαπατηθέντες ὑμεῖς, ἐνομίσατε αὐτὸν τοιοῦτον. ἐπειδὴ γὰρ οὖν τραχὺ τὸ λέγειν ἐξηπάτησθε καὶ αὐτὸς λοιπὸν ἐπιβεβαιῶν τὸ λεγόμενον, εἰκότως φησὶν ἐξηπάτησθε. ἐπιτιμήσας δὲ, λύει τὴν αἰτίαν λέγων τῆς ἀπάτης.

231 Προθεραπεία δὲ τοῦ δικαίου. Ὅσα μὲν δὴ στρατιώτης) Ἀρχὴ τοῦ δικαίου.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μηνος ξεναγῶν ἤδη, καὶ τίνων ἄρχων στρατιωτῶν κα-
κῶς ὑμᾶς ἐποίει, ταῦτα ἀκούσατέ μου. ἐστὶ γὰρ ἐν μὲν 233
ἀπάντων πρῶτον μισθωθεὶς ὑπὸ Ἰφικράτους, καὶ
πλέον ἢ τρία ἔτη μισθοφορήσας παρ' ἐκείνῳ. ἐπειδὴ
τὸν μὲν Ἰφικράτην ἀποστράτηγον ἐποιήσατε, Τιμό-
θεον δ' ἐπ' Ἀμφίπολιν, καὶ Χερρόνησον ἐξεπέμψα-
τε στρατηγόν, πρῶτον μὲν τοὺς Ἀμφιπολιτῶν ὁμή- 234
ρους, οὓς παρὰ Ἁρπάλου λαβὼν Ἰφικράτης ἔδωκε φυ-
λάττειν αὐτῷ, ψηφισαμένων ὑμῶν ὡς ὑμᾶς κομίσαι,
παρέδωκε Ἀμφιπολίταις· καὶ τοῦ μὴ λαβεῖν Ἀμφί-
πολιν, τοῦτ' ἐμπόδιον κατέστη. δεύτερον δέ, μισθου-
μένου Τιμοθέου πάλιν αὐτόν, καὶ τὸ στράτευμα, τούτῳ 235
μὲν οὐ μισθοῖ, πρὸς δὲ Κότυν πλέων ᾤχετο, ἔχων
τὰς ὑμετέρας τριακοντόρους· ὃν ἀκριβῶς ᾔδει τῶν
ὄντων ἀπάντων ἀνθρώπων, ἐχθρότατα ὑμῖν δια-
κείμενον. καὶ μετὰ ταῦτά γ' ἐπειδὴ τὸν πρὸς Ἀμφί-
πολιν πόλεμον πρότερον πολεμεῖν εἵλετο Τιμό- 236
θεος τοῦ πρὸς Χερρόνησον, καὶ οὐδὲν εἶχε ποιεῖν ὑμᾶς ἐκεῖ κακόν, μισθοῖ πάλιν αὑ-
τὸν Ὀλυνθίοις τοῖς ὑμετέροις ἐχθροῖς, καὶ τοῖς ἔχουσιν Ἀμφίπολιν κατ' ἐκεῖνον τὸν
χρόνον. καὶ πλέων ἐκεῖσε, ἐκ Καρδίας ἀναχθείς, ἵνα τἀναντία τῇ πόλει πολεμῇ,
ὑπὸ τῶν ἡμετέρων τριήρων ἑάλω. διὰ δὲ τὸν παρόντα δὲ καιρόν, καὶ τὸ δεῖσθαι ξέ- 237
νων ἐπὶ τὸν πόλεμον τὸν ἐπ' Ἀμφίπολιν ἀντὶ τοῦ δίκην δοῦναι, ὅτι οὐκ ἀποδε-
δώκει τοὺς ὁμήρους, καὶ διότι πρὸς Κότυν, ἐχθρὸν ὄντα ὑμῖν, ηὐτομόλησεν ἔχων
τὰς τριακοντόρους, πίστεις δοὺς καὶ λαβών, ἐστράτευσε μεθ' ὑμῶν. ὧν δ' ἐκεῖνον δί-
καιον ἦν χάριν ὑμῖν ἔχειν, οὐκ ἀπολωλότα, τοῦτο παθόντ' ἂν δικαίως, ἀντὶ τούτων, 238
ὡς ὀφείλουσα, ἡ πόλις αὐτῷ στεφάνους καὶ πολιτείαν, καὶ ἃ πάντες ἐπίστασθε, δέ-
δωκε. Καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, τό, τε ψήφισμα ἀνάγνωθί μοι, τὸ περὶ τῶν ὁμή-
ρων, καὶ τὴν Ἰφικράτους ἐπιστολήν, καὶ τὴν Τιμοθέου. καὶ μετὰ ταῦτα τὴν μαρτυ-
ρίαν ταυτηνί. ὄψεσθε γὰρ οὐ λόγους, οὐδὲ αἰτίας, ἀλλὰ ἀλήθειαν οὖσαν ὧν λέγω. 239
Λέγε τὴν ἐπιστολήν. Επιστολή. Ψήφισμα. Μαρτυρία.
Ὅτι μὲν τοίνυν καὶ τὸ πρῶτον οὐ πολεμεῖν ὑμῖν ᾤετο, ἐκεῖσε ἐμίσθωσεν αὑ-
τόν, πολλαχόσε ἄλλοσε μισθῶσαι πρότερον. καὶ μετὰ ταῦτα ὡς οὐδὲν ἐκεῖ κακὸν εἶχε
ποιεῖν ὑμᾶς, ἔπλει δεύτερον πάλιν, οὗ τἀναντία ἔμελλε πράξειν τῇ πόλει, καὶ τοῦ μὴ 240
λαβεῖν Ἀμφίπολιν, πάντων οὗτος αἰτιώτατός ἐστιν, ἀκηκόατε ἐκ τῆς ἐπιστολῆς, καὶ
τοῦ ψηφίσματος, καὶ τῆς μαρτυρίας. καὶ τὰ μὲν πρῶτα, τοιαῦτ' ἐπὶ τῶν ἔργων
τῶν Χαριδήμου. μετὰ δὲ ταῦτα ἀλλὰ θεάσασθε. χρόνου γὰρ διεληλυθότος βραχέος,
καὶ τοῦ πολέμου πρὸς Κότυν ὄντος ἤδη, πέμπει πρὸς ὑμᾶς ἐπιστολήν. μᾶλλον 241
δ' οὐχὶ πρὸς ὑμᾶς, ἀλλὰ πρὸς Κηφισόδοτον. οὕτω σφόδρα ὑπ' αὐτοῦ γε οὐ-
δ' ἂν ἐξαπατηθῆναι τὴν πόλιν ἡγεῖτο, σπουδῶς ἃ πεποίηκεν, ἐν ᾗ Χερρόνησον
ὑπέσχετο τῇ πόλει κομιεῖν, πάντα τούτοις τἀναντία διεγνωκὼς ποιεῖν. δεῖ δ' ὑμᾶς
τὸ πρᾶγμα οἷόν ἐστι τὸ περὶ τὴν ἐπιστολὴν ἀκοῦσαι· καὶ γάρ ἐστι βραχύ· καὶ 242
θεωρῆσαι τὸν τρόπον τἀνθρώπου, ὡς ὑμῖν ἀπ' ἀρχῆς λέγεται. ἐκεῖνος ὡς ἀπομι-

Μισθουμένου) Ἐπὶ μισθῷ λαμβάνοντος, ἢ λαμβάνειν βουλομένου. 234
Οὐ μισθοῖ) Οὐκ ἐπὶ μισθῷ παραδίδωσι τῷ Τιμοθέῳ. 235 Ὃν ἀκριβῶς ᾔδει) Ἵνα γὰρ μὴ αἰτιῷτο, ἀλλὰ πρὸς φίλον ηὐτομόλησεν. ὁ δέ, καὶ ἐχθρὸν προσέθηκε. Πολλαχόσε ἄλλοσε μισθῶσαι) Ἵνα μὴ αἰτιᾶσθαι ὅτι δικαίως πρὸς τοῦτον ἑαυτὸν ἐμίσθωσεν. οὐ γὰρ εἶχεν ἀλλαχοῦ, χρείαν δ' εἶχεν ὁ στρατηγὸς χρημάτων, διὰ τοῦτο εἶπεν, ἣν ἀλλαχοῦ μισθοῦσθαι ἂν ἐβουλήθη. 239 Μᾶλλον δ' οὐχὶ πρὸς ὑμᾶς) Ἵνα δόξῃ ἀποχαλάζειν(?), καὶ μὴ κακουργεῖν, ὑποκρίνεται ἄγνοιαν. 241 Δέον γὰρ εἰπεῖν ἐπέμψε πρὸς τὸν δῆμον, ὁ δὲ εἶπε πρὸς ὑμᾶς, ἵνα αὐτὸ ἐπιδείξῃ. τῇ γὰρ ἀληθείᾳ οὐ πρὸς αὐτούς, ἀλλὰ πρὸς Κηφισόδοτον τὴν ἐπιστολὴν ἐπέμψεν. ἦν δὲ ὁ στρατηγὸς Ἀθηναίων, ἐχθρὸς δὲ Ἰφικράτους καὶ Κότυος. Ὡς ὑμῖν ἀπ' ἀρχῆς λέγεται) Ἐπειδὴ γὰρ πολλάκις διὰ χρείαν ἑαυτὸν(?) οἷς οὐ βούλονται, ἀναπολοῦ- 242

γρ. ἥκει. γρ. πανηγυρίζει. γρ. προείλετο. γρ. πολεμήσοντα. γρ. μετὰ ταῦτα δέ. γρ. ἐν δῆ(?)

ἄθος γίγνεται παρὰ τοῦ Τιμοθέου, τότε ἀπ' Ἀμφιπόλεως ἀναχωρῶν, διαβὰς εἰς τὴν Ἀσίαν διὰ τὴν σύλληψιν τὴν Ἀρταβάζου συμβᾶσαν τότε ὑπὸ Αὐτο-
243 φραδάτου, μισθοῖ τὸ στράτευμα, καὶ ἑαυτὸν τοῖς Ἀρταβάζου κηδεσταῖς. λαβὼν δὲ πίστεις καὶ δούς, ὀλιγωρήσας τῶν ὅρκων, καὶ παραβὰς αὐτούς, ἀφυλάκτων ὄντων ὡς ἂν πρὸς φίλον τῶν ἐν τῇ χώρᾳ, καταλαμβάνει Σκῆψιν, καὶ *Κεβρῆνα, καὶ Ἴλιον αὐτῶν. ἐγκρατὴς δὲ γε- *κεκρῆνα. α.
244 νόμενος τούτων τῶν χωρίων πρᾶγμα ἔπαθε τοιοῦτον, οἷον οὐχ ὅτι στρατηγὸς ἂν ἠγνόησέ τις εἶναι φάσκων, ἀλλ' οὐδ' ὁ τυχὼν ἄνθρωπος. οὐδ' ὁποιονοῦν γὰρ χωρίον ἔχων ἐπὶ θαλάττῃ, οὐδ' ὅθεν ἂν *σιτοπομπίας εὐπορήσῃ τοῖς στρατιώταις, οὐδ' αὖ σῖτον ἔχων ἐν τοῖς χωρίοις, ὑπέμεινεν ἐν τοῖς τείχεσι, καὶ οὐ διαρπάσας ᾤχετο, ἐπειδή
245 γε ἀδικεῖν ἔγνω. ὡς δὲ συλλέξας δύναμιν ἧκεν ὁ Ἀρτάβαζος ἀφειμένος παρὰ τοῦ Αὐτοφραδάτου, ᾧ μὲν ὑπῆρχεν ἐπισιτισμὸς ἐκ τῆς ἄνωθεν Φρυγίας, καὶ Λυδίας, καὶ Παφλαγονίας, οἰκείας οὔσης. τῷ δ' οὐδ' ὁτιοῦν ἄλλο, πλὴν πολιορκία περιειστήκει. αἰσθόμενος δ' οὗ ἦν κακοῦ, καὶ λογισμὸν λαβών, ὅτι ληφθήσεται, κἂν μηδενὶ τῶν
246 ἄλλων, τῷ γε λιμῷ, *οἶδεν, εἴτε δή τινος εἰπόντος, εἴτ' αὐτὸς συνείς, ὅτι σωτηρία μόνη γένοιτ' ἂν αὐτῷ, ἥπερ ἅπαντας ἀνθρώπους σώζει. ἔστι δ' αὕτη τίς; ἡ ὑμετέρα, ὦ ἄνδρες Ἀθηναῖοι, εἴτε χρὴ φιλανθρωπίαν λέγειν, εἴθ' ὅ,τι δήποτε. γνοὺς δὲ τοῦτο, πέμπει τὴν ἐπιστολὴν ὑμῖν, ἧς ἄξιόν ἐστιν ἀκοῦσαι, βουλόμενος διὰ τῆς ὑποσχέσεως *εἶδεν. α.
247 τοῦ κομιεῖσθαι Χερρόνησον ὑμῖν, καὶ διὰ τοῦ, τὸν Κηφισόδοτον δοκεῖν ἐχθρὸν εἶναι τοῦ Κότυος καὶ τοῦ Ἰφικράτους ταῦτα βουλεύεσθαι, πλοίων εὐπορήσας παρ' *ὑμῶν, ἀσφαλῶς ἐκ τῆς Ἀσίας ἀποδρᾶναι. τί δὴ συμβαίνει παρὰ ταῦτα, ὅθεν ἐξηλέγχθη τὸ πρᾶγμα ἐπαυτοφώρῳ; ὁ Μέμνων καὶ ὁ Μέντωρ οἱ κηδεσταὶ τοῦ Ἀρταβάζου, ἄνθρωποι *ὑμῖν. α.
248 νέοι, καὶ κεχρημένοι ἀπροσδοκήτῳ εὐτυχίᾳ τῇ τοῦ Ἀρταβάζου κηδείᾳ, βουλόμενοι τῆς χώρας ἄρχειν εὐθὺς ἐν εἰρήνῃ, καὶ τιμᾶσθαι, καὶ μὴ πολεμεῖν, μηδὲ κινδυνεύειν, *πείθουσιν Ἀρτάβαζον, τὸν μὲν τιμωρεῖσθαι Χαρίδημον, ἀφεῖσθαι, καὶ μὴ πολεμεῖν, ἀποστεῖλαι δ' ὑπόσπονδον, διδάσκοντες ὡς ὑμεῖς κἂν ἐκεῖνος μὴ θέλῃ, διαβιβᾶτε, *γρ. πείθουσι τὸν Ἀρτ.
249 καὶ οὐ δυνήσεται κωλύειν. ὡς δὲ τυγχάνει ταύτης τῆς ἀλόγου, καὶ ἀπροσδοκήτου σωτηρίας ὁ Χαρίδημος, διαβὰς εἰς τὴν Χερρόνησον ἐφ' αὑτοῦ διὰ τὰς σπονδάς, τοσούτου ἐδέησεν ἐπελθεῖν τῷ Κότυϊ, γεγραφὼς ὅτι οὐχ ὑπομενεῖ Κότυν αὐτὸν ἐπιόντα, ἢ τὴν Χερρόνησον ὅπως κομιεῖσθε ὑμεῖς, συμπρᾶξαι, ὥστε πάλιν μισθώσας αὑτὸν τῷ Κό-
250 τυϊ, τὰ ὑπόλοιπα τῶν ὑμετέρων χωρίων, Κριθωτὴν, καὶ Ἐλαιοῦντα ἐπολιόρκει. καὶ ὅτι ταῦτα καὶ ἡνίκα ἔτ' ἦν ἐν τῇ Ἀσίᾳ, καὶ τὴν ἐπιστολὴν ἔπεμπε πρὸς ὑμᾶς τἀναντία ἐγνωκὼς ποιεῖν, ἐφενάκιζεν ὑμᾶς, ἀπὸ τῆς διαβάσεως γνώσεσθε, ἣν ἐποιήσατο. ἐκ γὰρ Ἀβύδου τῆς τὸν ἅπαντα χρόνον ὑμῖν ἐχθρᾶς, καὶ ὅθεν ἦσαν οἱ Σηστὸν καταλαβόντες,
251 εἰς Σηστὸν διέβαινεν, ἣν εἶχε Κότυς. καίτοι μὴ νομίζετε μήτ' ἂν τοὺς Ἀβυδηνοὺς αὐτὸν ὑποδέχεσθαι, μήτ' αὖ τοὺς ἐν *τῷ Σηστῷ, τῆς ἐπιστολῆς ὑμῖν ἐκείνης πεμφθείσης, εἰ μὴ συνῄδεσαν φενακίζοντι αὐτῷ τότε, καὶ συνεξηπάτων αὐτοί, βουλόμενοι τοῦ μὲν διαβῆναι τὸ στράτευμα, ὑμᾶς *παρέχειν τὴν ἀσφάλειαν. διαβαίνοντος δ', ὅπερ συνέ- *τῇ. *παράγειν. α.
252 βη, δόντος Ἀρταβάζου τὴν ἄδειαν αὐτοῖς, ὑπάρξαι τὴν χρείαν. ὅτι τοίνυν ταῦθ' οὕτως ἔχει, λέγε.

ται, καὶ πῶς ἔχει τὸ τοιοῦτον συγγνώμην· λέγει γάρ, ἐξ ἀρχῆς, καὶ μέ-
243 χρι τοῦ νῦν κακόνους. Ὀλιγωρήσας τῶν ὅρκων) Πλήττει τοὺς Ἀθηναίους λέγων. εἰ τῶν θεῶν κατεφρόνησε, πόσῳ μᾶλλον ὑμῶν τῶν φίλων;
246 Εἴτ' αὐτὸς *συνιείς) Ποιήσας ὃ ἐβούλετο, σιωπᾷ ἔχει, ἵνα μὴ φιλονεικῶν, *οἴηται μωρία τοῦτο ποιεῖν. σιωπᾷ δέ, ἵνα μὴ τραχύτερος εἶναι δοκῇ. *συνείς. *φαίνηται.
Εἴθ' ὅ,τι δήποτε) Ἀποσιώπησις. ἠθέλησε δ' εἰπεῖν, εὐήθειαν, ἤ τι τοιοῦτο. ηὐλαβήθη δὲ οὐκ ἐν καιρῷ
248 παρρησιάζειν. Διαβιβᾶτε) Ἀντὶ τοῦ διαβιβάσετε.

*σιτοπομπίας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λέγε τὰς ἐπιστολὰς, ἅς τ' ἔπεμψεν ἐκεῖνος, καὶ τὰς παρὰ τῶν ἀρχόντων τῶν ἐκ Χερρονήσου. γνώσεσθε γὰρ ἐκ τούτων, ὅτι ταῦθ' οὕτως ἔχει. Λέγε.

Ἐπιστολαί.

ὅτε οὖν διέβη. Ἐνθυμεῖσθε ὅτε διέβη ἐξ Ἀβύδου εἰς Σηστόν. ἆρ' οὖν εἴασθ' ἂν ὑποδέξασθαι Ἀβυδηνοὺς αὐτὸν, ἢ τοὺς Σηστίους, εἰ μὴ συνεξηπάτων ὅτε τὴν πρὸς ὑμᾶς 253
ἔπεμπεν ἐπιστολήν; λέγε δ' αὖθις τὴν ἐπιστολὴν αὐτήν. καὶ θεωρεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, τὰς ὑπερβολὰς, ὧν αὐτὸς περὶ αὑτοῦ πρὸς ὑμᾶς ἔγραψεν ἐπαινῶν, καὶ τὰ μὲν ὡς πεποίηκε λέγων, τὰ δ' ὑπισχνούμενος ποιήσειν. Λέγε. 254

Ἐπιστολή.

καλά γε, ὦ ἄνδρες ἀθηναῖοι, οὐ γὰρ τὰ γεγραμμ. Καλά γε. οὐ γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ γεγραμμένα, καὶ χάριτος πολλῆς ἄξια, εἴ γ' ἦν ἀληθῆ. νῦν δ' ὅτε μὲν τοῦ ἀποδοῦναι οὐκ ᾤετο τεύξεσθαι, ταῦτα ἔγραφεν ἐξαπατῶν ὑμᾶς· ἐπειδὴ δὲ ἔτυχε, λέγε οἷα ἐποίησε. 255

Ἐπιστολή. Μαρτυρία ἔργων.

Οὐχ οἷόν τε κομίσασθαι τὰ ἀπολωλότα χωρία ὑπὸ Χαριδήμου, διαβάντος φησὶν ὁ ἄρχων Κριθώτης περὶ τῶν ὑπαρχόντων γεγενῆσθαι μείζους τῶν προτέρων τοὺς κινδύνους. Λέγε δ' ἐξ ἑτέρας ἐπιδείξας ἐπιστολῆς. 256

Ἐπιστολή.

Ὁρᾶτε ὅτι πανταχόθεν τὸ πρᾶγμα μαρτυρεῖται, ὅτι διαβὰς οὐκ ἐπὶ τὸν Κότυν, ἀλλ' ἐφ' ὑμᾶς μετ' ἐκείνου ἐπορεύετο. ἔτι τοίνυν ταύτην μόνην ἀνάγνωθί
γρ. σημεῖον. μοι τὴν ἐπιστολὴν, τὰς δ' ἄλλας ἔα. δῆλον γάρ που ὑμῖν γέγονεν, ὡς πεφενάκικεν ὑμᾶς. Λέγε. 257

Ἐπιστολή.

Ἐπίσχες. ἐνθυμεῖσθε ὅτι γράψας μὲν ὡς ἀποδώσει Χερρόνησον, τὰ λοιπὰ ἀφελέσθαι, μισθώσας αὑτὸν τοῖς ὑμετέροις ἐχθροῖς, ἐπεχείρει. γράψας δ' ὡς Ἀλεξάνδρου πρεσβευσαμένου πρὸς αὐτὸν οὐχ ὑπεδέξατο, τοῖς λῃσταῖς φαίνεται τοῖς παρ' ἐκείνου ταὐτὰ πράττων, εὔνους γε, οὐ γάρ; ἁπλῶς ὑμῖν, καὶ οὐδὲν ἂν ἐπιστείλας ψευδὸς, οὐδ' ἐξαπατήσας. οὐ τοίνυν ἐκ τούτων πω δῆλον ἐσθ', οὕτω σαφῶς 258
γρ. ἦ. δῆλον ὂν, ὡς οὐδὲν πιστὸν ἔσθ' ὧν ἐκεῖνός φησι καὶ προσποιεῖται τῇ πόλει προσέχειν; 259
ἀλλὰ καὶ ἐκ τῶν μετὰ ταῦτα συμβαινόντων ἔσται φανερώτερον. τὸν μὲν γὰρ Κότυν οὐ ποιοῦντα γ' ἐχθρὸν ὑμῖν καὶ πονηρὸν, ἀποκτίννυσιν ὁ Πύθων. ὁ δὲ Κερσοβλέπτης ὁ νυνὶ βασιλεύων, μειρακύλλιον ἦν, καὶ πάντες οἱ τοῦ Κότυος παῖδες. τῶν δὲ πραγμά-
πῶ τῶν κύριος, διὰ τὴν παρουσίαν, καὶ τὸ δύναμιν ἔχειν, ὁ Χαρίδημος ἐγεγόνει. ἧκε δὲ 260
Κηφισόδοτος στρατηγῶν, πρὸς ὃν αὐτὸς ἔπεμψε τὴν ἐπιστολὴν ἐκείνην, καὶ αἱ τριήρεις, αἳ, ὅτε ἦν ἄδηλα τὰ τῆς σωτηρίας αὐτοῦ, καὶ μὴ συγχωροῦντος Ἀρταβάζου, σώζειν ἔμελλον αὐτόν. τί δὴ προσῆκεν ἦν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν ὡς ἀληθῶς ἁπλοῦν
γρ. ἔφησεν ἄν. καὶ φίλον, ποιῆσαι, παρόντος μὲν στρατηγοῦ, οὐχ ὃν ἐκεῖνος ἔφησεν αὑτῷ φθονεῖν οὐδενὸς, ἀλλ' ὃ αὐτὸς ἑαυτοῦ φίλον προείλετο τῶν παρ' ὑμῖν, καὶ πρὸς ὃν τὴν ἐπιστολὴν ἐπεπόμφει, τετελευτηκότος δὲ τοῦ Κότυος, κύριον δ' ὄντα τῶν πραγμάτων; 261
οὐκ ἀποδοῦναι μὲν τὴν χώραν εὐθέως ὑμῖν. κοινῇ δὲ μεθ' ὑμῶν καθιστάναι τὸν βασιλέα τῆς Θρᾴκης; δηλῶσαι δ' ὡς εἶχεν εὐνοϊκῶς ὑμῖν, καιροῦ τοιούτου λαβόμε- 262
γρ. ἔγωγέ φημι. ἆρ. νον; ἔγωγ' ἂν φαίην. ἆρ' οὖν ἐποίησέ τι τούτων; πολλοῦ γε καὶ δεῖ. ἀλλὰ τὸν μὲν
ὑμῖν. ὅλον ἅπαντα χρόνον μῆνας ἑπτὰ διήγαγεν ἡμᾶς πολεμῶν, ἐκ προφανοῦς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐχθρὸς ὤν, καὶ οὐδὲ λόγον φιλάνθρωπον διδούς· καὶ καταρχὰς μὲν ἡμῶν δέκα ναυ-
263 σὶ μόναις εἰς Πέρινθον ὁρμισαμένων, ἀκηκοότων ὅτι πλησίον ἐστὶν ἐκεῖνος, ὅπως συμ-
μίξαιμεν αὐτῷ, καὶ περὶ τούτων εἰς λόγους ἔλθοιμεν, ἀριστοποιουμένους φυλάξας
τοὺς στρατιώτας, ἐπεχείρησε μὲν ἡμῶν τὰ σκάφη λαβεῖν, πολλοὺς δ' ἀπέκτεινε τῶν
αὐτῶν, κατέρραξε δ' εἰς τὴν θάλατταν ἅπαντας, ἱππέας ἔχων, καὶ ψιλούς τινας. μετὰ
264 ταῦτα δὲ πλευσάντων ἡμῶν οὐκ ἐπὶ τῆς Θρᾴκης τόπον οὐδένα, οὐδὲ χωρίον οὐ-
δὲ γὰρ τοῦτ' ἂν εἴποι τις νὴ Δία. ἀμυνόμενος γὰρ ὑπὲρ τοῦ μὴ παθεῖν ἐποίει τι κακὸν
οὐκ ἔστι τοῦτο. οὐ γὰρ ἤλθομεν *οὐδαμῇ τῆς Θρᾴκης· ἀλλ' ἐπ' Ἀλωπεκόννησον· ἣ * οὐδαμοῖ. α.
Χερρονήσου μέν ἐστι, καὶ ἦν ἡμετέρα, ἀκρωτήριον δ' ἀνέχον πρὸς τὴν Ἴμβρον ὑμετέρα. α.
265 ἀπωτάτω τῆς Θρᾴκης, λῃστῶν δ' ἦν μεστὴ καὶ καταποντιστῶν. ἐνταῦθα ἐλθόντων
ἡμῶν, καὶ πολιορκούντων τούτους*, πορευθεὶς διὰ Χερρονήσου πάσης τῆς ὑμετέ- * λαθών. α.
ρας, ἡμῖν μὲν προσέβαλλεν, ἐβοήθει δὲ τοῖς λῃσταῖς, καὶ καταποντισταῖς. καὶ πρότε-
ρον προσκαθήμενος, τὸν ὑμέτερον στρατηγὸν ἔπεισε καὶ ἠνάγκασε, μὴ τὰ βέλτισθ'
266 ὑπὲρ ὑμῶν πράττειν, ἢ αὐτὸς ὑπὸ τούτου ἐπείσθη, ὧν ὡμολογήκει, καὶ ὑπέσχετό τι
πράξειν. καὶ γράφει δὴ τὰς συνθήκας πρὸς Κηφισόδοτον, ἐφ' αἷς ὑμεῖς οὕτως ᾧ πρᾶξαι
ἠγανακτήσατε καὶ χαλεπῶς ἠνέγκατε, ὥστε ἀπεχειροτονήσατε μὲν τὸν στρατη-
γόν, πέντε ταλάντοις δ' ἐζημιώσατε· τρεῖς δὲ μόνοι ψῆφοι διήνεγκαν τὸ μὴ θανά-
267 του τιμῆσαι. καίτοι πηλίκην τινὰ χρὴ νομίζειν, ὦ ἄνδρες Ἀθηναῖοι, ταύτην τὴν ἀλο-
γίαν, ὅταν τις ἴδῃ διὰ τὰς αὐτὰς πράξεις, τὸν μέν, ὡς οὐκ ἀδικοῦντα, κολασθέντα
πικρῶς οὕτω· τὸν δ' ὡς εὐεργέτην ἔτι καὶ νῦν τιμώμενον; ὅτι τοίνυν ταῦτα ἀλη-
θῆ λέγω, τῶν μὲν τῷ στρατηγῷ συμβάντων δήπου μάρτυρες ὑμεῖς ἐστέ μοι· καὶ γὰρ
268 ἐκρίνετε ὑμεῖς, καὶ ἀπεχειροτονεῖτε, καὶ ὠργίζεσθε, καὶ ταῦτα πάντα σύνισθ' ὑμεῖς·
τῶν δ' ἐν Περίνθῳ, καὶ τῶν Ἀλωπεκοννήσῳ κάλει μοι τοὺς τριηράρχους μάρτυρας.

Τριήραρχοι, μάρτυρες.

Μετὰ ταῦτα τοίνυν ἐπειδὴ Κηφισόδοτος μὲν ἀπηλλάγη τοῦ στρατηγεῖν, ἡμῖν
269 δ' οὐκ ἐδόκουν καλῶς ἔχειν, οὐδὲ δικαίως αἱ πρὸς ἐκεῖνον γραφεῖσαι συνθῆκαι, τὸν
μὲν Μιλτοκύθην, τὸν διὰ παντὸς εὔνουν ὑμῖν τοῦ χρόνου προδοθέντα, λαβὼν
ὑπὸ τοῦ Σμικυθίωνος ὁ χρηστὸς οὗτος Χαρίδημος, οὐκ ὄντος νομίμου τοῖς Θρᾳξὶν
ἀλλήλους ἀποκτιννύναι, γνοὺς ὅτι σωθήσεται, πρὸς Κερσοβλέπτην ἂν ἀχθῇ, παρα-
270 δίδωσι Καρδιανοῖς τοῖς ὑμετέροις ἐχθροῖς. κἀκεῖνοι λαβόντες αὐτόν, καὶ τὸν υἱόν, καὶ
ἀναγαγόντες εἰς τὸ πέλαγος ἐν πλοίῳ, τὸν μὲν υἱὸν ἀπέσφαξαν, ἐκεῖνον δ' ἐπιδόν-
τα τὸν υἱὸν ἀποσφαττόμενον κατεπόντισαν. τῶν δὲ Θρᾳκῶν ἁπάντων χαλεπῶς
ἐνεγκόντων ἐπὶ τούτοις, καὶ συστραφέντων τοῦ τε Βηρισάδου, καὶ τοῦ Ἀμαδόκου, ἰδὼν
271 τὸν καιρὸν τοῦτον Ἀθηνόδωρος, συμμαχίαν ποιησάμενος πρὸς τούτους οἷός τ' ἦν
πολεμεῖν. ἐν φόβῳ δὲ καταστάντος τοῦ Κερσοβλέπτου, γράφει ὁ Ἀθηνόδωρος συν-
θήκας, καθ' ἃς ἀναγκάζει τὸν Κερσοβλέπτην ὀμόσαι, πρός τε ὑμᾶς, καὶ πρὸς τοὺς ἐν αἷς. α.
βασιλέας εἶναι μὲν τὴν ἀρχὴν κοινὴν τῆς Θρᾴκης εἰς τρεῖς διῃρημένην, πάντας
272 δ' ὑμῖν ἀποδοῦναι τὴν χώραν. ὡς δ' ἐν ἀρχαιρεσίαις ὑμεῖς Χαβρίαν ἐπὶ τὸν
πόλεμον τοῦτον κατεστήσατε, καὶ τῷ μὲν Ἀθηνοδώρῳ συνέβη διαφεῖναι τὴν δύ- διαφθεῖραι
ναμιν, χρήματα οὐκ ἔχοντι παρ' ὑμῶν, οὐδ' ἀφορμὴν οὐδεμίαν τῷ πολέμῳ, τῷ
Χαβρίᾳ δὲ μίαν ναῦν ἔχοντι μόνην ἐκπλεῖν, τί ποιεῖ πάλιν οὗτος ὁ Χαρίδημος; ἃς μὲν
273 ὤμοσε πρὸς τὸν Ἀθηνόδωρον συνθήκας, ἔξαρνος γίγνεται· καὶ τὸν Κερσοβλέπτην
ἀρνεῖσθαι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀρνεῖσθαι πείθει. γράφει δ' ἑτέρας πρὸς τὸν Χαβρίαν, ἔτι τῶν πρὸς Κηφισόδοτον
δεινοτέρας. οὐκ ἔχων δ' ἐκεῖνος, οἶμαι, δύναμιν, στέργειν ἠναγκάζετο τούτοις. ἀκού-
σαντες δ' ὑμεῖς ταῦτ' ἐν τῷ δήμῳ, λόγων ῥηθέντων πολλῶν, καὶ τῶν συνθηκῶν 274
παραναγνωσθεισῶν, οὔτε τὴν Χαβρίου δόξαν αἰσχυνθέντες, οὔτε τῶν συναγορευόν-
των οὐδένα, ἀπεχειροτονήσατε καὶ ταύτας πάλιν τὰς συνθήκας, καὶ ἐψηφίσασθε,
ψήφισμα Γλαύκωνος εἰπόντος, ἑλέσθαι πρέσβεις δέκα ἄνδρας ἐξ ὑμῶν αὐτῶν·
τούτους δ', ἂν ἐμμένῃ ταῖς πρὸς Ἀθηνόδωρον συνθήκαις ὁ Κερσοβλέπτης, ὁρκίσαι 275
πάλιν αὐτόν· εἰ δὲ μή, παρὰ μὲν τοῖν δυοῖν βασιλέοιν ἀπολαβεῖν τοὺς ὅρκους, περὶ
βουλεύεσθαι. δὲ ἐκείνου ὅπως πολεμήσετε, βουλεύσασθαι. ἐκπεπλευκότων δὲ τῶν πρέσβεων,
α. συμβαίνει τοῖς χρόνοις εἰς τοῦτο ὑπηγμένα τὰ πράγματα, ἤδη τελευτώντων τούτων,
καὶ οὐδὲν ἁπλοῦν οὐδὲ δίκαιον ὑμῶν ἐθελόντων πρᾶξαι, ὥστε βοηθοῦμεν εἰς Εὔ- 276
ἄγων. βοιαν. καὶ Χάρης ἥκει ἔχων τοὺς ξένους, καὶ στρατηγὸς ὑφ' ὑμῶν αὐτοκράτωρ εἰς
Χερρόνησον ἐξέπλει. οὕτω γράφει πάλιν συνθήκας πρὸς τὸν Χάρητα, παραγενο-
μένου Ἀθηνοδώρου, καὶ τῶν βασιλέων, ταύτας, αἵπερ εἰσὶν ἄρισται καὶ δικαιόταται.
καὶ ἔργῳ ἑαυτὸν ἐξήλεγξεν, ὅτι καιροφυλακεῖ τὴν πόλιν ὑμῶν, καὶ οὐδὲν ἁπλοῦν 277
ἔγνωκε ποιεῖν, οὐδ' ἴσον. εἶθ' ὃν ὁρᾶτε ἐκ προσαγωγῆς ὄντα ὑμῖν φίλον, καὶ ὅπως ἂν
ὑμᾶς δύνασθαι νομίσῃ, οὕτω πρὸς ὑμᾶς εὐνοίας ἔχοντα, τοῦτον οἴεσθε δεῖν ἰσχυρόν
ποτ' ἐᾶσαι γενέσθαι, καὶ ταῦτα δι' ὑμῶν; οὐκ ἄρ' ὀρθῶς ἐγνώκατε. Ἵνα τοίνυν εἰ-
δῆτε, ὅτι ταῦτ' ἀληθῆ λέγω, λαβέ μοι τὴν ἐπιστολήν, ἣ μετὰ τὰς τετάρτας συν- 278
θήκας ἦλθεν. εἶτα τὴν παρὰ Βηρισάδου. μάλιστα γὰρ οὕτω γνώσεσθε διδασκόμενοι.

Ἐπιστολή.

Λέγε καὶ τὴν ἐπιστολήν, τὴν παρὰ τοῦ Βηρισάδου.

Ἐπιστολή. 279

Ἡ μὲν τοίνυν συμμαχία τοῖν δυοῖν βασιλέοιν, τοῦτον τὸν τρόπον μετὰ τὴν πα-
ράκρουσιν τὴν διὰ τῶν πρὸς Κηφισόδοτον συνθηκῶν συνεστάθη, ἤδη Μιλτοκύθου
μὲν ἀνῃρημένου, Χαριδήμου δ' ἔργῳ φανεροῦ γεγενημένου, ὅτι τῆς πόλεως ἐχθρός
ἐστιν. ὅς γάρ, ὃν ᾔδει διὰ παντὸς τοῦ χρόνου πάντων τῶν Θρᾳκῶν εὐνούστατον ὄντα ὑμῖν, 280
τοῦτον ὑποχείριον ἠξίωσε λαβὼν, τοῖς ὑμετέροις ἐχθροῖς Καρδιανοῖς ἐγχειρῆσαι, πῶς
οὐ μεγάλης ἔχθρας δεῖγμα πρὸς ὑμᾶς ἐξέφερεν. ἀλλὰ δὴ δεδιὼς τὸν πρὸς τοὺς
Θρᾷκας πόλεμον, καὶ πρὸς Ἀθηνόδωρον, ἐποιήσατο συνθήκας, καὶ μετὰ ταῦτα ὁ
Κερσοβλέπτης, λέγε. Συνθῆκαι. 281

Ὁ ταῦτα τοίνυν γράψας, καὶ συνθέμενος, καὶ τὸν ὅρκον, ὃν ὑμεῖς ἠκούσατε, ὀ-
μόσας, ἐπειδὴ τὴν μὲν Ἀθηνοδώρου δύναμιν διαφειμένην εἶδε, μιᾷ δὲ μόνῃ
τριήρει Χαβρίαν ἥκοντα, οὔτε τὸν Ἰφιάδου παρέδωκεν υἱὸν ὑμῖν, οὔτε ἄλλο οὐδέν, ὧν
ὤμοσεν, ἐποίησεν, ἀλλὰ καὶ περὶ τῶν ἄλλων τῶν γεγραμμένων ἐν ταῖς συνθήκαις, 282
ἔξαρνος γίνεται, καὶ γράφει ταύτας τὰς συνθήκας, λαβέ μοι καὶ λέγε ταυτασί.

Συνθῆκαι.

Ἐνθυμεῖσθε ὅτι καὶ τέλη, καὶ δεκάτας ἠξίου λαμβάνειν, καὶ πάλιν ὡς αὐτοῦ τῆς χώ- 283
ρας οὔσης τοὺς λόγους ἐποιεῖτο, τοὺς δεκατηλόγους ἀξιῶν τοὺς αὑτοῦ τῶν τελῶν κυ-
ρίους εἶναι, καὶ τὸν ὅμηρον ὄντα υἱὸν τοῦ Ἰφιάδου, ὃν ὑπὲρ Σηστοῦ ἔχων ὤμοσε πρὸς τὸν
δὴ.α. Ἀθηνόδωρον παραδώσειν, οὐδ' ὑπισχνεῖται παραδώσειν ἔτι. Λαβέ μοι τὸ ψήφι-
σμα, ὃ πρὸς ταῦθ' ὑμεῖς ἐψηφίσασθε. Λέγε. 284

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ψήφισμα.

Ἐλθόντων τοίνυν μετὰ ταῦτα τῶν πρέσβεων εἰς Θρᾴκην, ὁ μὲν Χερσοβλέπτης
ἡμῖν ἐπιστέλλει ταυτί, καὶ οὐδ' ὁτιοῦν ὁμολογεῖ δίκαιον. οἱ δ' ἕτεροι ταυτί. Λέγε
285 αὖθις. Ἐπιστολή.

Λέγε δὴ τὴν παρὰ τῶν βασιλέων ἐπιστολήν. καὶ σκοπεῖτε εἰ ἄρα ὑμῖν δοκοῦσι μηδὲν ἐγκαλεῖν.

Ἐπιστολή.

286 Ἆρ' ἄγε ὁρᾶτε καὶ συνίετε, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν
πονηρίαν καὶ τὴν ἀπιστίαν, ὡς ἄνω καὶ κάτω τὸ πρῶ-
τον ἠδίκει Κηφισόδοτον; καὶ πάλιν φοβηθεὶς Ἀθηνό-
δωρον ἐπαύσατο, καὶ αὖθις ἠδίκει Χαβρίαν. πάλιν ὡ-
μολόγει Χάρητι. πάντ' ἄνω καὶ κάτω πεποίηκε. καὶ
287 οὐδὲν ἁπλῶς, οὐδὲ δικαίως ἔπραξε. μετὰ ταῦτα
τοίνυν ὅσον μὲν χρόνον ἡ ὑμετέρα δύναμις παρῆν
ἐν Ἑλλησπόντῳ, κολακεύων καὶ φενακίζων ὑμᾶς διαγέ-
γονεν. ἐπεὶ δὲ εἶδε τάχιστα τὸν Ἑλλήσποντον ἔρημον
δυνάμεως, εὐθὺς ἐνεχείρει καταλύειν, καὶ ἀπαλλά-
288 ξαι τοὺς δύο τῆς ἀρχῆς, καὶ πᾶσαν ὑφ' ἑαυτῷ ποιή-
σασθαι τὴν ἀρχήν, ἔργῳ πεῖραν ἔχων, ὅτι τῶν πρὸς
ὑμᾶς οὐδὲν μὴ δυνηθῇ πρότερον λῦσαι, πρὶν ἐ-
κβάλῃ τούτους. ἵνα δ' ὡς ἔρασα τοῦτο παραινέσε, ψή-
289 φισμα τοιοῦτόν τι παρ' ὑμῶν εὕρετο, ἐξ οὗ κυρωθέντος ἄν, εἰ μὴ δι' ἡμᾶς, καὶ ταύτην
τὴν γραφήν, ἠδίκηντο μὲν φανερῶς οἱ δύο τῶν βασιλέων, ἡσυχίαν δ' ἂν ἦγον οἱ
στρατηγοῦντες αὖθις, ὁ Βιάνωρ, ὁ Σίμων, ὁ Ἀθηνόδωρος, φοβούμενοι τὴν διὰ τοῦ ψη-
290 φίσματος συκοφαντίαν, ὁ δὲ, ταύτης τῆς ἐξουσίας ἀπολαύσας, καὶ πᾶσαν ὑφ' ἑαυ-
τῷ λαβὼν τὴν ἀρχήν, ἰσχυρὸς ἂν ἐχθρὸς ὑπῆρχεν ὑμῖν. ἔχει δ' ὁρμητήριον πα-
ρὰ πάντα τὸν χρόνον αὐτῷ τετηρημένον, τὴν Καρδιανῶν πόλιν, ἣν ἐν ἁπάσα-
291 ις ταῖς συνθήκαις ἐξαίρετον αὑτῷ γέγραφε, τὸ τελευταῖον δὲ καὶ φανερῶς αὐτὴν
ἀφείλετο παρ' ὑμῶν. καίτοι τοῖς ἀπηλλαγμένοις μὲν τοῦ περὶ ἡμῶν τι φρονεῖν ἀδι-
κεῖν, μετὰ πάσης δ' ἀληθείας ἁπλῶς εὐνοεῖν ὑμῖν προῃρημένοις, τί προσῆκεν αὑ-
292 τοῖς ὁρμητήριον καταλιπεῖν χρήσιμον τοῦ πρὸς ἡμᾶς πολέμου. ἴστε γὰρ δήπου τοῦτ'
οἱ μὲν ἀφιγμένοι, σαφῶς οἱ δ' ἄλλοι, τούτων ἀκούοντες, ὅτι τῆς Καρδιανῶν πόλεως ἐ-
χούσης ὡς ἔχει, εἰ γενήσεται τὰ πρὸς τοὺς Θρᾷκας εὐτρεπῆ τῷ Κερσοβλέπτῃ, μίαν
ἡμέραν ἔξεστιν αὐτῷ βαδίζειν ἐπὶ Χερρόνησον ἀσφαλῶς. ὥσπερ γὰρ Χαλκὶς τῷ τό-
293 πῳ τῆς Εὐβοίας πρὸ τῆς Βοιωτίας κεῖται, οὕτω Χερρονήσου κεῖται πρὸ τῆς Θρᾴκης
ἡ Καρδιανῶν πόλις. ἣν ὃν ἔχει τρόπον, ὅστις οἶδεν ὑμῶν, οὐδ' ἐκεῖν' ἀγνοεῖ, τίνος εἵνεκα
χωρίου περιπτεῖσται, καὶ διεσπούδασται μὴ λαβεῖν ὑμᾶς. ὃν ὑμεῖς οὐ συμπαρασκευά-
σαι καθ' ὑμῶν αὐτῶν ὀφείλετε, ἀλλὰ κωλῦσαι καθ' ὅσον δυνατόν, καὶ σκοπεῖν, ὅπως
294 μὴ γενήσεται. ἐπεὶ ὅτι γε οὐδ' ἂν ὁντινοῦν καιρὸν παρείη, δεδήλωκε. Φιλίππου γὰρ εἰς
Μαρώνειαν ἐλθόντος, ἔπεμψε πρὸς αὐτὸν Ἀπολλωνίδην, πίστεις δοὺς ἐκείνῳ, καὶ Παμ-
μένει. καὶ εἰ μὴ κρατῶν τῆς χώρας Ἀμάδοκος ἀπεῖπε Φιλίππῳ μὴ ἐπιβαίνειν, οὐδὲν
295 ἂν ἦν ἐν μέσῳ πολεμεῖν ὑμᾶς πρὸς Καρδιανοὺς ἤδη, καὶ πρὸς Κερσοβλέπτην. καὶ
ὅτι ταῦτ'

286 Τὸ πρῶτον ἠδίκει Κηφισόδοτον) Συλλογὴ τῶν εἰρημένων, ἄνω καὶ κάτω. διὰ γὰρ τῶν δύο ἄκρων, καὶ τὸ μέσον συμπεριλαμβάνεται. δηλοῖ δὲ καὶ τὸ πανταχοῦ.
289 Εἰ μὴ δι' ἡμᾶς, καὶ ταύτην) Τοῦτ' ἔστιν, εἰ μὴ ἡμεῖς ταύτην τὴν
293 γραφὴν ἐποιησάμεθα. Τῷ τόπῳ τῆς Εὐβοίας) Ὥσπερ κατ' ἄκρου τῆς Βοιωτίας νῆσος τυγχάνει, καὶ χρησιμεύει πρὸς τὴν χρῆσιν τῆς Βοιωτίας τῷ βουλομένῳ ὑφ' ἑαυτὸν ἔχειν αὐτήν. εἰσὶ γὰρ καταντιπέραν ἀλλήλων, ἡ μὲν, νῆσος. ἡ δέ, ἤπειρος· οὕτω καὶ τῷ βουλομένῳ Χερρόνησον ἔχειν, ἡ Καρδιανῶν πόλις λυσιτελεῖ. διὰ γὰρ αὐτῆς ἀπὸ τῆς Θρᾴκης βαδίζειν ἔστιν ἐπὶ τὴν Χερρόνησον. ἡ δὲ ἔκφρασις, ἐξ ὁμοίου παραθέσεως, καὶ ἀπὸ γνωρίμου τόπου τὸ ἄγνωστον.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὅτι ταῦτ' ἀληθῆ λέγω, λαβέ μοι τὴν Χάρητος ἐπιστολήν.

Ἐπιστολή.

Ταῦτα μέν τοι δεῖ σκοπουμένους, ἀπιστεῖν, καὶ μὴ τετυφῶσθαι, μηδ' ὡς
εὐεργέτῃ προσέχειν τὸν νοῦν. οὐ γὰρ ὧν ἀναγκαζόμενος, φίλος εἶναί φησι, φε- 296
νακίζων ὑμᾶς, χάριν ἐστὶ δίκαιον ὀφείλειν Κερσοβλέπτῃ· οὐδ' ὧν μικρὰ ἀνα-
λίσκων ἰδίᾳ καὶ τοῖς στρατηγοῖς καὶ τοῖς ῥήτορσι Χαρίδημος διαπράττεται
πρὸς ὑμᾶς, ἐπαίνους αὐτοῦ γράφεσθαι. ἀλλ' ὧν ὁσαχοῦ κύριος γέγονε τοῦ
πράττειν ὅ, τι βούλεται, πανταχοῦ κακῶς ἐπιχειρῶν ὑμᾶς ποιεῖν φαίνεται, 297
τούτων πολὺ μᾶλλον ὀργίζεσθαι προσήκει. οἱ μὲν τοίνυν ἄλλοι πάντες,
ὅσοι τι παρ' ὑμῶν εὕρηνται πώποτε, ἐφ' οἷς εὖ πεποιήκασιν ὑμᾶς, τετι-
μηνται. οὗτος δὲ εἷς ἁπάντων τῶν ἄλλων μόνος, ἐφ' οἷς ἐγχειρῶν οὐ δε-
δύνηται κακῶς ποιῆσαι. καίτοι τῷ τοιούτῳ τὸ δίκης ἣν ἔδωκε δικαίως ἄν, 298
ἀφεῖσθαι, μεγάλη δωρεὰ παρ' ὑμῶν ἦν. ἀλλ' οὐ ταῦτα δοκεῖ τοῖς ῥήτορσιν·
ἀλλὰ πολίτης, εὐεργέτης, στέφανοι, δωρεαί, δι' ἃ τούτοις ἰδίᾳ δίδωσιν. οἱ δ'
ἄλλοι πεφενακισμένοι κάθησθε, τὰ πράγματα θαυμάζοντες. τὸ τελευ-
ταῖον δὲ νυνὶ καὶ φύλακας ἂν κατέστησεν ὑμᾶς ἐκείνου διὰ τοῦ προβου- 299
λεύματος τούτου, εἰ μὴ τὴν γραφὴν ἐποιησάμεθ' ἡμεῖς ταυτηνί, καὶ τὸ τοῦ
μισθοφόρου καὶ θεραπεύοντος ἐκεῖνον ἔργον ἡ πόλις ἂν διεπράττετο, ἐφρού-
ρει Χαρίδημον. καλόν γε, οὐ γάρ; ὦ Ζεῦ καὶ θεοί, ὅς γε αὐτός ποτε τοῖς ὑμε-
τέροις ἐχθροῖς, μισθὸν λαμβάνων, ἐδορυφόρει, τοῦτον ὑφ' ὑμετέρου ψηφίσμα- 300
τος φαίνεσθαι φυλαττόμενον. ἴσως τοίνυν ἐκεῖνο ἄν τις μ' ἔροιτο, τί δήποτε ταῦ-
τ' εἰδὼς οὕτως ἀκριβῶς ἐγώ, καὶ παρηκολουθηκὼς ἐνίοις τῶν ἀδικημάτων
εἴασα, καὶ οὐδ' ὅτ' αὐτὸν ἐποιεῖσθε πολίτην, οὐδὲν ἀντεῖπον, οὐδ' ὅτ' ἐπῃνεῖ-
το, οὐδ' ὅλως πρότερον πρὶν τὸ ψήφισμα τουτὶ γενέσθαι, λόγον ἐποιησάμην 301
οὐδένα. ἐγὼ δ', ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς ὑμᾶς ἅπασαν ἐρῶ τὴν ἀλή-
θειαν. καὶ γὰρ ὡς ἀνάξιος ἦν, ᾔδειν· καὶ παρῆν, ὅτε τούτων ἠξιοῦτο, καὶ οὐκ
ἀντεῖπον· ὁμολογῶ. διὰ τί; ὅτι, ὦ ἄνδρες Ἀθηναῖοι, πρότερον μὲν ἀσθενέστε-
ρον ἡγούμην ἔσεσθαι, πολλῶν ψευδομένων ἑτοίμως ὑπὲρ αὐτοῦ πρὸς ὑμᾶς, 302
συνεισκεπτ. α. ἕνα τἀληθῆ λέγοντα ἐμαυτόν. ἔπειθ' ὧν μὲν ἐκεῖνος ἐφαίνετ' ἐξαπατῶν ὑμᾶς,
ἐπῄει. α. μὰ τὸν Δία καὶ τοὺς θεοὺς ἅπαντας, οὐδενὸς εἰσῄει μοι φθονεῖν· κακὸν δὲ οὐδὲν
προὐκαλεῖσθε. ἑώρων ὑπερφυὲς ὑμᾶς πειθομένους, εἴ τινα ἠδικηκότα πολλά, ἀφίετε, καὶ παρα-
καλεῖσθ' ἔτι τὸ λοιπὸν ποιεῖν ὑμᾶς ἀγαθόν. ἐν γὰρ τῷ πολίτην ποιεῖσθαι, καὶ
στεφανοῦν, ταῦτ' ἐνῆν ἀμφότερα. ἐπειδὴ δ' ὁρῶ προσκατασκευαζόμενόν τι 303
τοιοῦτον, δι' οὗ, ἐὰν μόνον εὐτρεπίσηται τοὺς ἐνθάδε ἐξαπατήσοντας ὑμᾶς ὑπὲρ
αὐτοῦ, τῶν γε ἔξω φίλων καὶ βουλομένων ἄν τι ποιεῖν ὑμᾶς ἀγαθόν, κἀκεῖνον κω-
λύειν ἐναντία πράττειν ὑμῖν, οἷ Ἀθηνόδωρον λέγω, Σίμωνα, Βιάνορα, Ἀρ-
βασιλεῖς. α. χέβιον τὸν Βυζάντιον, τοὺς Θρᾷκας τοὺς δύο, τοὺς βασιλέας, τούτων μηδενὶ 304
μήτ' ἐναντιοῦσθαι, μήτε κωλύειν ἐκεῖνον ἐξέσται, τηνικαῦτα ἥκω, καὶ κα-
τηγορῶ. καὶ νομίζω τὸ μέν, οἷς ἔμελλεν ἐκεῖνος λαβὼν μηδὲν ὑπὲρ μέγεθος τὴν
πόλιν βλάψειν, ἀντιλέγειν, ἢ κακῶς ἰδίᾳ πεπονθότος, ἢ συκοφαντοῦντος εἶναι·
τὸ δ' ἐφ' οἷς μέγα πρᾶγμα ἀλυσιτελὲς τῇ πόλει κατεσκεύαζεν, ἐναντιοῦ- 305
σθαι, χρηστοῦ, καὶ φιλοπόλιδος ἀνδρὸς ἔργον εἶναι. διὰ ταῦτ' ἐπ' ἐκείνοις οὐδὲν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

305 Ἔστι τοίνυν αὐτοῖς τοιοῦτος λόγος) Ἀντίθεσις ἀπὸ τοῦ συμφέροντος. μετέβη γὰρ πάλιν ἐφ' ἑτέραν ἀντίθεσιν. πάλιν δὲ κἀνταῦθα, συζυγίαν τῶν προσώπων ποιεῖται. μέγα γὰρ αὐτῷ συμβάλλεται πρὸς σύστασιν τῶν οἰκείων λογισμῶν, ἡ ἀθρόα τῶν προσώπων παράληψις. γίνεται γὰρ τὸ ἕτερον ἐλεγκτικόν. ἐγκατάσκευος δὲ ἡ ἀντίθεσις, ἵνα ἐκ τῆς κατασκευῆς τὴν λύσιν λάβῃ. περὶ γὰρ συμμαχίας, καὶ βοηθείας, ἡ κατασκευή. λόγος δὲ αὐτοῦ ἀντίρρησις.

307 Ἐγὼ δ' ἡγοῦμαι τοῦτον τὸν λόγον) Ἐκ διαφορᾶς ἡ λύσις κατ' ἀντιπαράστασιν. λέγει γὰρ, εἰ ἐκινδύνευσεν ὁ Κερσοβλέπτης καὶ Χαρίδημος, πολεμίων ἐπιόντων· εἶτα ἔγραφέ τις βοήθειαν αὐτῷ· ἐγὼ δὲ ἐκώλυον, ἀναλογιζόμενος, καὶ φέρων εἰς μέσον ὅσα ὑμᾶς ἠδίκησεν· εὔκαιρον ἦν ἀπολογούμενον φάσκειν, ὡς οὐδὲ ἐμνησικάκει. τινὲς δὲ τοιούτου μὲν μηδενὸς ὄντος κινδύνου, βουλόμενοι δὲ μείζω ποιῆσαι, αὐξῆσαι δὲ αὐτὸν σπουδάζοντες, ἄδειαν καὶ ἐξουσίαν τοῦ πράττειν
α. τοῖς ἐκείνου στρατηγοῖς παρ' ὧν πραγματεύονται. τὸ δὲ πληθυντικῶς εἰπεῖν, τοὺς ἐκείνου στρατηγοὺς, καί τοι γε ἑνὸς ὄντος τοῦ Χαριδήμου, χαλεπὴν ἐποίει τὴν ὑπόνοιαν.

310 Ὁ μὲν, εἵνεκα τοῦ κακόν τι ποιεῖν) Ὁρίζεται λοιπὸν τί ἐστι τὸ μνησικακεῖν, καί φησιν, ὅτι ὁ ἐξετάζων τὰ τινὸς ἀδικήματα, ὥστε τι βλάπτειν, καὶ ἀμύνεσθαι αὐτὸν, μνησικακεῖ. ὁ δὲ μνημονεύων οὐκ ἐπὶ τῷ κακοποιεῖν, ἀλλ' ἐπὶ τῷ φυλάξασθαι τὴν ὁμοίαν πεῖραν, σωφρονεῖ. Ἴσως τοίνυν καὶ τοιαύτην τινὰ ἐροῦσιν) Ἀντίθεσις πάλιν ἀπὸ τοῦ συμφέροντος ἐχομένη τῆς προτέρας ἀντιθέσεως. ἐπήνεκται δὲ τοῦτον τὸν τρόπον. ἄνω γὰρ εἰπὼν, ὡς οὐ δεῖ μνησικακεῖν, εἰ καί ποτε ἠδίκησε, νῦν προστίθησιν, ὅτι καὶ ἄλλως εὖ ποιεῖν νυνὶ προῄρηται. ἵνα δὲ μὴ τῷ τῆς εὐποιίας δελεασθῶσιν οἱ ἀκούοντες τοῖς ὀνόμασι, καὶ ταῖς λέξεσιν, ὅρα πῶς διαβέβληκεν αὐτά. πρῶτον μὲν ἴσως εἰπὼν, καὶ διστάζοντα ποιήσας· εἶτα καὶ ὑπόνοιαν, οὐ πιστὸν φήσας εἶναι τὸ πρᾶγμα, καὶ τὸ ὡρμηκότα δὲ, ἄλογον καὶ εὐμετακίνητον γνώμην ἐμφαίνει. οἱ γὰρ μὴ κρίναντες καὶ μελετήσαντες, ἀλλ' ἐκ προπετείας ὁρμήσαντες, ἀθρόως καὶ μεταβάλλονται. οὐ μὴν ἀλλὰ καὶ τοῦ βουλομένου τι ποιεῖν ἀγαθὸν, συνέστειλε τὴν ἐλπίδα. οὐ γὰρ εἶπεν ἀγαθὰ πολλὰ, ἀλλά τι ἀγαθόν.

311 Ἐγὼ δ' ὦ ἄνδρες Ἀθηναῖοι θεάσασθε) Καλῶς αὐτοὺς εἰς κοινωνίαν ἄγει τῶν λογισμῶν, καὶ οὐκ αὐτὸς ἰδίᾳ τὰ δοκοῦντα ἀποφαίνεται. ἀνυστικώτερον μὲν γὰρ τοῦτο, φιλονεικότερον δέ.

312 Ἐπειδὴ δὲ καὶ φενακίζων) Ἐκ τοῦ ἐναντίου λοιπόν. εἰ γὰρ καὶ μεγάλα ἐπιδείξεται ἀγαθὰ, οὐδ' οὕτως

εἰπὼν, νῦν λέγω. ἔστι τοίνυν τις αὐτοῖς τοιοῦτος λόγος,
δι' οὗ προσδοκῶσι παράξειν ὑμᾶς, ὡς ὁ Κερσοβλέ-
306 πτης καὶ Χαρίδημος ἴσως ἐναντία ἔπραττον τῇ πόλει
ποτὲ, ὅτ' ἦσαν ἐχθροί· νῦν δέ γ' εἰσὶ φίλοι, καὶ χρησίμους
παρέχουσιν αὑτούς. οὐδὴ δεῖ μνησικακεῖν. οὐδὲ γὰρ Λα-
κεδαιμονίους ὅτ' ἐσώζομεν, οὐκ ἀνεμιμνησκόμεθα, εἴ τι
κακὸν ἐποίησαν ἡμᾶς ὄντες ἐχθροί· οὐδὲ Θηβαίους,
307 οὐδ' Εὐβοέας τὰ τελευταῖα νυνί. ἐγὼ δ' ἡγοῦμαι
τοῦτον τὸν λόγον εἰ μὲν ἔν τινι καιρῷ βοηθείας γεγραμ-
μένης τῷ Κερσοβλέπτῃ, καὶ τῷ Χαριδήμῳ, *κωλυόν- *γρ. κωλυόντων ἡμῶν, ταῦτ' ἂν ἔλεγον
των ἡμῶν ταύτην, ἔλεγον, ὀρθῶς ἂν λέγεσθαι. εἰ δὲ
τοιούτου μὲν μηδενὸς ὄντος, μηδὲ γεγραμμένου, βου-
308 λόμενοι δὲ μείζω τοῦ δέοντος ποιῆσαι διὰ τῶν παρ' ὑμῶν
ἄδειαν λαβεῖν τοὺς ἐκείνου στρατηγοὺς, δεινὰ ποιεῖν αὖθις
ἡγοῦμαι. οὐ γάρ ἐστι δίκαιον, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς
τῶν σωθῆναι ζητούντων λόγους πρὸς ὑμᾶς λέγειν,
ὑπὲρ τῶν, ὅπως ἀδικεῖν αὖθις ἐξέσται, πραττόντων.
309 χωρὶς δὲ τούτων, εἰ μὲν ἐχθρὸς ὢν Χαρίδημος κακῶς
ἐποίει, φίλος δὲ φήσας εἶναι μετεβέβλητο, τάχ' ἄν τις
ταῦτα ἤκουεν. ἐπειδὴ δ' οὐ τοιοῦτόν ἐστιν, ἀλλ' ἐξ οὗ
φίλος εἶναι προσποιεῖται, ἐκ τούτου πλεῖστα ὑμᾶς ἐξη-
πάτηκεν, εἰ μὴ καὶ δι' ἐκεῖνα δεῖ μισεῖν, διά γε ταῦτά γε
310 ἀπιστεῖν δήπου προσήκει. καὶ μὴν περὶ μὲν τοῦ μὴ
μνησικακεῖν, ἐγώ γε ὡδί πως λέγω. ὁ μὲν, εἵνεκα τοῦ τι
κακὸν ποιεῖν, τὰ τοιαῦτα ἐξετάζων, μνησικακεῖ. *ὁ δ' *ὁ δ' οὐχ ὑπὲρ τοῦ κακόν τι ποιεῖν, ἀλλ' ὑπὲρ τοῦ μὴ παθεῖν καὶ φυλάξασθαι σκ.
ὑπὲρ τοῦ μὴ παθεῖν, ἀλλὰ φυλάξασθαι σκοπῶν, σω-
φρονεῖ. ἴσως τοίνυν καὶ τοιαύτην τινὰ ἐροῦσιν ὑπό-
311 νοιαν, ὡς ὡρμηκότα νῦν τὸν ἄνθρωπον φίλον εἶναι, καὶ βου-
λόμενόν τι ποιεῖν ἀγαθὸν τὴν πόλιν, εἰς ἀθυμίαν τρέψο-
μεν, εἰ καταψηφιούμεθα, καὶ ποιήσομεν ὑπόπτως
πρὸς ὑμᾶς ἔχειν. ἐγὼ δ', ὦ ἄνδρες Ἀθηναῖοι, θεάσα-
σθε ὡς ἔχω. εἰ μετ' ἀληθείας ἁπλῶς ἦν φίλος ἡμῖν,
312 καὶ νὴ Δία πάντα τἀγαθὰ ἔμελλεν ἡμᾶς ποιήσειν, οὐδ'
ἂν οὕτω *τοῦτον ᾤμην δεῖν ἀκούειν τὸν λόγον. οὐδένα γὰρ *γρ. τούτων ᾤμ. δ. ἀκ. τῶν λόγων.
νομίζω τοσαῦτ' ἀγάθ' ἂν ποιῆσαι, δι' ἃ ὑμῖν προ-
σήκειν ἐπιορκῆσαι, καὶ παρ' ἃ φαίνεται δίκαια εἶναι, τὴν
ψῆφον θέσθαι. ἐπειδὴ δὲ καὶ φενακίζων, καὶ οὐδ' ὁτιοῦν
313 ὑγιὲς πράττων ἐξελέγχεται, δυοῖν ἀγαθοῖν θάτερον
ὑμῖν, ἐὰν καταψηφίσησθε, συμβήσεται. ἢ γὰρ ἐξαπα-
τῶν παύσεται

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῶν παύσεται, νομίσας οὐκ ἔτι λανθάνειν, ἤ, εἴπερ
αὐτῷ βουλομένῳ πρὸς ὑμᾶς ἐστὶν οἰκείως ἔχειν ὡς
ἀληθῶς, ἀγαθόν τι ποιεῖν πειράσεται, γνοὺς ὅτι τῷ φε
νακίζειν οὐκ ἔθ', ἃ βούλεται, πράξει. ὥστε καὶ εἰ μηδὲ
δι' ἓν τῶν ἄλλων, διά γε τοῦτο καταψηφίσασθαι συμφέ-
ρει. ἄξιον τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι κἀκεῖνο ἐξετά-
σαι, πῶς ποτὲ οἱ πάλαι τὰς τιμὰς ἔνεμον, καὶ τὰς δω-
ρεὰς τοῖς ὡς ἀληθῶς εὐεργέταις, καὶ ὅσοι πολῖται τύχοιεν
ὄντες, καὶ ὅσοι ξένοι. κἂν μὲν ἴδητ' ἐκείνους ἄμεινον ὑμῶν
χρωμένους, καλὸν τὸ μιμήσασθαι. ἂν δ' ὑμᾶς αὐτούς,
ἐφ' ὑμῖν ἔσται τὸ πράττειν. πρῶτον μὲν τοίνυν ἐκεῖνοι
Θεμιστοκλέα τὸν τὴν ἐν Σαλαμῖνι ναυμαχίαν νικήσαν-
τα, καὶ Μιλτιάδην τὸν ἡγούμενον Μαραθῶνι, καὶ πολ-
λοὺς ἄλλους οὐκ ἴσα τοῖς νῦν ἀγαθὰ στρατηγοῖς εἰρ- 316
γασμένους, οὐ χαλκοῦς ἵστασαν, οὐδ' ὑπερηγάπων. οὐκ
ἄρα τοῖς ἀγαθόν τι ποιοῦσιν ἑαυτοὺς χάριν εἶχον; σφό-
δρα γε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἀπεδίδοσάν γε καὶ αὐ-
τῶν, κἀκείνων ἀξίαν. ὄντες γὰρ πολλοῦ πάντες ἄξιοι,
προὔκρινον ἐκείνους αὐτῶν ἡγεῖσθαι. ἔστι δὲ σώφροσιν ἀνθρώ- 317
ποις, καὶ πρὸς ἀλήθειαν βουλομένοις σκοπεῖν, πολὺ μεί-
ζων τιμὴ τῆς χαλκῆς εἰκόνος, τὸ καλῶν κἀγαθῶν ἀν-
δρῶν κεκρίσθαι πρώτους. καὶ γάρ τοι τῶν ἔργων οὐδενός, ὦ
ἄνδρες Ἀθηναῖοι, τῶν τότε ἀπεστέρησαν ἑαυτούς. οὐδ' ἔστιν
οὐδείς, ὅστις ἂν εἴποι τὴν ἐν Σαλαμῖνι ναυμαχίαν, Θεμι- 318
στοκλέους, ἀλλ' Ἀθηναίων. οὐδὲ τὴν ἐν Μαραθῶνι μά-
χην Μιλτιάδου, ἀλλὰ τῆς πόλεως. νῦν δ', ὦ ἄνδρες Ἀθη
ναῖοι, πολλοὶ τοῦτο λέγουσιν. ὡς Κέρκυραν εἷλε Τιμόθεος,
καὶ τὴν μόραν κατέκοψεν Ἰφικράτης, καὶ τὴν περὶ Νάξον
ναυμαχίαν ἐνίκα Χαβρίας. δοκεῖτε γὰρ αὐτοὶ τῶν ἔρ- 319
γων τούτων παραχωρεῖν τῶν τιμῶν ταῖς ὑπερβολαῖς,
αἷς δεδώκατε ἐπ' αὐτοῖς ἑκάστῳ τούτων. τὰς μὲν δὴ πο
λιτικὰς δωρεάς, οὕτως ἐκεῖνοί τε καλῶς καὶ λυσιτε-
λούντως ἐδίδοσαν αὐτοῖς, καὶ ὑμεῖς οὐκ ὀρθῶς. τὰς δὲ
τῶν ξένων, πῶς. ἐκεῖνοι Μένωνι τῷ Φαρσαλίῳ δώδεκα 320
μὲν τάλαντα ἀργυρίου δόντι πρὸς τὸν ἐπ' Ἠιόνι τῇ πρὸς Ἀμφιπόλει πόλεμον,
τριακοσίοις δ' ἱππεῦσι πενέσταις ἰδίοις βοηθήσαντι, οὐκ ἐψηφίσαντο, ἐάν τις
ἀποκτείνῃ, ἀγώγιμον εἶναι· ἀλλὰ πολιτείαν ἔδοσαν, καὶ ταύτην ἱκανὴν ὑπελάμβανον 321
εἶναι τὴν τιμήν. καὶ πάλιν Περδίκκᾳ τῷ κατὰ τὴν τοῦ βαρβάρου ποτ' ἐπιστρατείαν βασι-
λεύοντι Μακεδονίας, τοὺς ἀναχωροῦντας ἐκ Πλαταιῶν τῶν βαρβάρων διαφθείραν-
τι, καὶ τέλειον ποιήσαντι τὸ ἀτύχημα τῷ βασιλεῖ, οὐκ ἐψηφίσαντο, ἀγώγιμον εἶναι, ἐὰν 322
ὑμᾶς. α. τις ἀποκτείνῃ Περδίκκαν, ᾧ βασιλεὺς ὁ Περσῶν ἐχθρὸς δι' ἡμᾶς ἀποδέδεικτο· ἀλλὰ
πολιτείαν ἔδωκαν μόνον. καὶ γάρ τοι τότε μέν, οὕτω τίμιον ἦν πᾶσιν ἀνθρώποις τὸ

σαύτας παρέχει δωρεάς, καὶ ὅσοι πο-
λῖται τύχοιεν ὄντες, καὶ ὅσοι ξένοι, ἵνα
ἐξ ἀμφοτέρων δείξῃ τὸ μὴ δοῦναι
καλόν. ἐν οἷα γὰρ αὐτὸν μείζονι τάξει,
ἁμαρτάνεις διδούς. Πρῶτον μὲν τοί- 315
νυν ἐκεῖνοι Θεμιστοκλέα) Προέταξε
τὸ τῶν πολιτῶν ἀναγκαίως μέρος, καὶ
σχῆμα ὡς πρεσβύτερον. Οὐκ ἄρα 316
τοῖς ἀγαθόν τι ποιοῦσιν) Ἵνα μή τις
ὑπολάβοι λέγειν αὐτὸν ἀχαρίστους εἶναι
τοὺς προγόνους, θαρσῶν ἅπαντα. εἶτα
κρατύνει τῇ κατασκευῇ τὸ ῥηθέν. καὶ
φοβούμενος τοὺς ἀντισοῦντας ἐφέλ-
κεται εἰς συγκατάθεσιν εἰπών. σω-
φρονοῦσιν ἀνθρώποις, καὶ πρὸς ἀλή-
θειαν βελτίοσιν οὖσι ταῦτα ἀρέσκειν
μᾶλλον, ἢ χαλκῆν εἰκόνα καὶ τὰς λοι-
πὰς δωρεάς. Καὶ τὴν μόραν κα- 318
τέκοψεν Ἰφικράτης) Μόρα, φησὶν Ἀν-
δρόμαχος, τάγμα στρατιωτικὸν πα-
ρὰ Λακεδαιμονίοις, οὕτω λεγόμενον·
καὶ εἴρηται παρὰ τὸ μείρω μόρα,
ἐπὶ μέρους ὄχλων, ὡς παρὰ τὸ
φθείρω φθορά. ἔστι δὲ ἡ μόρα,
τάξις ἐξ ἀνδρῶν πεντακοσίων, ἢ
ἑπτακοσίων, ἢ τριακοσίων. Ἄλλως.
Ἑκάστη δὲ τῶν πολιτικῶν μορῶν
ἔχει πολέμαρχον ἕνα, λοχαγοὺς τέσ-
σαρας, πεντηκοστῆρας ὀκτώ, ἐνωμο-
τάρχους ἑκκαίδεκα. Τὰς δὲ τῶν 319
ξένων, πῶς) Πληρώσας τὸ περὶ τῶν
πολιτῶν μέρος, καὶ δείξας ἐν αὐτῷ
πολλὴν οὖσαν τὴν νῦν πρὸς τὰ πα-
λαιὰ διαφοράν, ἐπάγει τοὺς ξένους.

305 Ἔστι τοίνυν
δὲ καὶ τὸν Ἀριοβαρζάνην ἐκεῖνον) Τὴν πί-
στιν τῶν εἰρημένων, ἐκ παραδειγμά-
των ἔδειξεν. Ἀριοβαρζάνην τὸν πέρ-
σην τιμήσαντες, οὐκ ἔστησαν μέχρι τού-
του τὴν χάριν, ἀλλὰ καὶ Φιλίσκον καὶ Ἀ-
γαυόν. ἀπορῶν δὲ πρᾶξιν ἄτοπον εἰ-
πεῖν αὐτῶν, ἀπὸ τῆς γνώμης διαβέ-
βληκε μισαθηναιοτάτους εἰπών.
327 Πάλιν Τιμοθέου) Ἑτέρα παρα-
δείγματος ἀπόδειξις, ὅτι διὰ Τιμό-
θεον τετίμηνται Φρασικρίδης καὶ Πολυ-
σθένης. ὧν ἡ διαβολὴ καὶ ἀπὸ τύχης, οὐ-
δὲ ἐλευθέρους· καὶ ἀπὸ τρόπου, ὀλε-
330 θρίους. Ἀλλὰ καὶ τοῦτ' ἐξελήλυθεν
ἐκ τῆς πόλεως) Σφόδρα ἐμφαν-
τικῶς εἶπεν, οἱονεὶ ἀπεδήμησε, καὶ κα-
τέλειπε τὴν πόλιν. λέγω δὲ τοὺς ἁμαρ-
τάνοντας κολάζειν. εἶτα πάλιν πα-
πυ. ράθεσις καὶ περὶ τούτου τῶν προγόνων, ὡς
καὶ περὶ τοῦ τιμᾶν ἐποίησεν ἀμφοτέρω.

323 ἠνέσχοντο πολίτας παρ' ὑμῶν, ὥσθ' ὑπὲρ τοῦ τυχεῖν τού- πολίταις.
του, τηλικαῦτα ἡμᾶς ἀγαθὰ ἤθελον ποιεῖν. νῦν δ' ὑμᾶς. α.
οὕτως ἄτιμον, ὥστε τῶν τετυχηκότων πολλοὶ πλείω οὐ α.
κακὰ, τῶν φανερῶς ἐχθρῶν εἰσιν ὑμᾶς εἰργασμένοι. ἡμᾶς.
324 οὐ μόνον δ' αὕτη τῆς πόλεως ἡ δωρεὰ προπεπηλάκι-
σται καὶ φαύλη γέγονεν, ἀλλὰ καὶ πᾶσαι διὰ τοὺς τῶν κατα-
ράτων, καὶ θεοῖς ἐχθρῶν ῥητόρων, τῶν τὰ τοιαῦτα γραφόν-
των ἑτοίμως πονηρίαν. οἳ τοσαύτην ὑπερβολὴν πε-
325 ποίηνται τῆς αὐτῶν αἰσχροκερδείας, ὥστε τὰς τιμὰς, καὶ
τὰς παρ' ὑμῶν δωρεὰς, ὥσπερ οἱ τὰ μικρὰ καὶ κομιδῇ
φαῦλα ἀποκηρύττοντες, οὕτω πωλοῦσιν ἐπευωνίζον-
τες, καὶ πολλοῖς ἀπὸ τῶν αὐτῶν λημμάτων γράφον-
326 τες πάνθ' ὅ, τι ἂν βούλωνται. πρῶτον μὲν τοίνυν ἵνα τῶν
τελευταίων πρῶτον μνησθῶ μὲν, Ἀριοβαρζάνην ἐ-
κεῖνον, οὐ μόνον αὐτὸν, καὶ τοὺς υἱοὺς, τρεῖς ὄντας, πολίτας ἠ-
327 ξιώσαμεν, ὅσων ἐβουλήθησαν, ἀλλὰ καὶ δύο ἀβυδηνοὺς μισαθηναιοτάτους καὶ πονηρο- μισαθηναιοτάτους. α.
τάτους ἀνθρώπους προσέθηκαν αὐτῷ, Φιλίσκον καὶ Ἀγαυόν. πάλιν Τιμοθέου δόξαντός
τι ποιῆσαι τῶν δεόντων ὑμῖν, πρὸς τῷ πάνθ', ἃ μέγιστ' ἦν, αὐτῷ δοῦναι, προσέθη- τῶν
καν αὐτῷ δύο, Φρασικρίδην, καὶ Πολυσθένην, ἀνθρώπους, οὐδὲ ἐλευθέρους γε, ἀλλ' ὀλέ-
328 θρους, καὶ τοιαῦτα πεποιηκότας, οἷα λέγειν ὀκνήσειεν ἄν τις εὖ φρονῶν. τὸ τελευταῖον δὲ
νῦν, ἐπειδὴ Κερσοβλέπτην ἠξίουν, ὧν αὐτοῖς ἐδόκει, καὶ περὶ τούτων ἦν ἡ σπουδὴ,
προστιθέασι δύο αὐτῷ, τὸν μὲν, ὅσα αὐτοὶ ἀκηκόατε εἰργασμένον κακὰ, τὸν δ' ὅλως ὑμεῖς. α.
ὃν οὐδεὶς οἶδεν ἀνθρώπων τίς ἐστιν, Εὐδέρκην ὄνομα. τοιγάρτοι διὰ ταῦτα, ὦ ἄν-
329 δρες Ἀθηναῖοι, μικρὰ, ἃ πρὸ τοῦ μεγάλ' ἦν, φαίνεται, καὶ τὸ πρᾶγμα ἤδη καὶ περαι- πορρωτέρω.
τέρω βαδίζει· καὶ οὐκ ἔτι ταῦτα ἀπόχρη. ἀλλ' εἰ καὶ μὴ φυλάξετε ἕκαστον τούτων, ἐκεί- α.
νων γε οὐδεμία χάρις, ὡς ἔοικε. τὸ μέντοι ταῦθ' οὕτως αἰσχρῶς προεληλυθέναι, εἰ δεῖ
μετὰ παρρησίας εἰπεῖν τἀληθῆ, οὐδένες ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, μᾶλλόν εἰσιν αἴτιοι.
οὐδὲ γὰρ δίκην ἔτι λαμβάνειν ἐθέλετε παρὰ τῶν ἀδικούντων, ἀλλὰ καὶ τοῦτ' ἐξελήλυθεν ἐκ
330 τῆς πόλεως. καίτοι σκέψασθε ὡς ἐκόλαζον οἱ πρόγονοι τοὺς ἀδικοῦντας ἑαυτοὺς, εἰ
παραπλησίως ὑμῖν. ἐκεῖνοι Θεμιστοκλέα λαβόντες μεῖζον αὑτῶν ἀξιοῦντα φρο- α.
νεῖν, ἐξήλασαν ἐκ τῆς πόλεως, καὶ μηδισμὸν κατέγνωσαν. καὶ Κίμωνα, ὅτι τὴν πάτριον με-
τεκίνησε πολιτείαν ἐφ' ἑαυτοῦ, παρὰ τρεῖς μὲν ἀφῆκαν ψήφους, τὸ μὴ θανάτῳ ζημιῶσαι.
331 πεντήκοντα δὲ τάλαντα εἰσέπραξαν. καὶ τοῦτον τὸν τρόπον προσεφέροντο* τηλικαῦτα *περὶ.
αὐτοὺς ἀγαθὰ εἰργασμένοις ἀνθρώποις. δικαίως. οὐ γὰρ αὐτοῖς ἀπεδίδοντο τὴν αὑτῶν ἐλευθε-
ρίαν, καὶ μεγαλοψυχίαν τῶν ἔργων· ἀλλὰ χρηστοὺς μὲν ὄντας, ἐτίμων· ἐπιχειροῦσι δ' ἀδι-
332 κεῖν, οὐκ ἐπέτρεπον. ὑμεῖς δ', ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς τὰ μέγιστα ἀδικοῦντας καὶ φανερῶς φυλετῶν.
ἐξελεγχομένους, ἂν ἓν, ἢ δύο ἀστεῖα εἴπωσι, καὶ παρὰ τῶν φιλετῶν τινὲς ᾑρημένοι σύνδικοι γ. φυλάκων
δεηθῶσιν, ἀφίετε. ἐὰν δὲ καὶ καταψηφίσησθέ του, πέντε καὶ εἴκοσι δραχμῶν ἐτιμήσα-
333 τε. καὶ γάρ τοι τότε, τὰ μὲν τῆς πόλεως, ἦν εὔπορα, καὶ λαμπρὰ δημοσίᾳ. ἰδίᾳ δὲ οὐ-
δεὶς ὑπερεῖχε τῶν πολλῶν. τεκμήριον δὲ, τὴν Θεμιστοκλέους μὲν γὰρ οἰκίαν, καὶ τὴν Μιλτιά-
δου, καὶ τῶν τότε λαμπρῶν, εἴ τις ἄρα οἶδεν ὑμῶν ὁποία ποτ' ἐστὶν, ὁρᾷ τῶν πολλῶν οὐδὲν
334 σεμνοτέραν οὖσαν. τὰ δὲ τῆς πόλεως οἰκοδομήματα, καὶ τὰ κατασκευάσματα, τηλικαῦτα
καὶ τοιαῦτα,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ τοιαῦτα, ὥστε μηδενὶ τῶν ἐπιγιγνομένων ὑπερβο-
λὴν λελεῖφθαι. προπύλαια ταῦτα, νεώσοικοι, στοαί, 335
πειραιεύς, τἆλλα, οἷς κατεσκευασμένην ὁρᾶτε τὴν
πόλιν. νῦν δ᾽ ἰδίᾳ μὲν ἑκάστῳ τῶν τὰ κοινὰ πραττ-
όντων τοσαύτη περιουσία ἐστὶν, ὥστε τινὲς μὲν αὐτῶν
πολλῶν δημοσίων οἰκοδομημάτων σεμνοτέρας τὰς ἰ-
δίας κατεσκευάκασιν οἰκίας. γῆν δ᾽ ἔνιοι πλείω πάντων ὑμῶν τῶν ἐν τῷ δι- 336
καστηρίῳ συνεώνηνται. δημόσια δ᾽ ὑμεῖς ἃ μὲν οἰκοδομεῖτε, καὶ κονιᾶτε, ὡς
μικρὰ καὶ γλίσχρα, αἰσχύνη λέγειν. ἀλλ᾽ ἔχετ᾽ εἰπεῖν, ὅτι κοινῇ κτησάμενοι κα-
ταλείψετε, ὥσπερ ἐκεῖνοι χερρόνησον, ἀμφίπολιν, δόξαν ἔργων καλῶν, ἣν οἱ τοι-
οῦτοι πολῖται πάντα ἀναλίσκοντες τρόπον, οὐχ οἷοί τέ εἰσιν ἀφανίσαι, ὦ ἄνδρες 337
ἀθηναῖοι; εἰκότως. τότε μὲν γὰρ τῷ κυρίῳ τῶν φόρων γενομένῳ τάξαι ἀριστεί-
δῃ, οὐδεμιᾷ δραχμῇ πλείω τὰ ὑπάρχοντα ἐγένοντο· ἀλλὰ καὶ τελευτήσαντα
αὐτὸν, ἔθαψεν ἡ πόλις. ὑμῖν δ᾽ εἴ τι δέοιθε, χρήματα ὑπῆρχε κοινῇ πλεῖστα τῶν
πάντων ἑλλήνων. ὥστε ὁπόσου χρόνου ψηφίσαισθε ἐξιέναι, τοσούτου μισθὸν ἔχοντες 338
ἐξῄετε. νῦν δ᾽ οἱ μὲν τὰ κοινὰ διοικοῦντες, ἐκ πτωχῶν εἰσὶν εὔποροι, καὶ πολ-
λοῦ χρόνου τροφὴν ἄφθονόν εἰσιν ἡτοιμασμένοι. ὑμῖν δὲ, οὐδεμιᾶς ἡμέρας ἐφό-
διά ἐστιν ἐν τῷ κοινῷ· ἀλλ᾽ ἅμα δεῖ τι ποιεῖν, καὶ πόθεν οὐκ ἔχετε. τότε μὲν γὰρ
ἦν δεσπότης ὁ δῆμος τῶν πολιτευομένων, νῦν δ᾽ ὑπηρέτης. αἴτιοι δ᾽ οἱ τὰ τοι- 339
αῦτα γράφοντες, καὶ συνεθίζοντες ὑμᾶς, ὑμῶν μὲν αὐτῶν καταφρονεῖν, ἕνα δ᾽,
ἢ δύο ἀνθρώπους θαυμάζειν. εἶθ᾽ οὗτοι κληρονομοῦσι τῆς ὑμετέρας δόξης, καὶ τῶν
ὑμετέρων ἀγαθῶν. ὑμεῖς δ᾽ οὐδ᾽ ὁτιοῦν ἀπολαύετε, ἀλλὰ μάρτυρες ἐστὲ τῶν
ἑτέρων ἀγαθῶν, οὐδενὸς ἄλλου μετέχοντες, ἢ τοῦ ἐξαπατᾶσθαι. καίτοι πηλίκον 340
ποτ᾽ ἂν στενάξαιεν οἱ ἄνδρες ἐκεῖνοι, οἱ ὑπὲρ δόξης καὶ ἐλευθερίας τελευτήσαντες,
καὶ πολλῶν καὶ καλῶν ἔργων ὑπομνήματα καταλιπόντες, εἰ ἄρα αἴσθοιντο, ὅτι
νῦν ἡ πόλις εἰς ὑπηρέτου σχῆμα, καὶ τάξιν προελήλυθε, καὶ χαρίδημον εἰ χρὴ
φρουρεῖν, βουλεύεται; χαρίδημον; οἴμοι. ἀλλ᾽ οὐ τοῦτό ἐστι τὸ δεινὸν, οὐ τοῦτο, εἰ τῶν 341
προγόνων, οἳ τῶν ἁπάντων διενηνόχασιν ἀρετῇ, χεῖρον βουλευόμεθα, ἀλλ᾽ ὅτι
καὶ πάντων ἀνθρώπων. πῶς γὰρ οὐκ αἰσχρὸν, αἰγινήτας μὲν τουτουσὶ, νῆσον οἰκοῦν-
τας οὕτω μικρὰν, καὶ οὐδὲν ἔχοντας, ἐφ᾽ ᾧ μέγα δὴ φρονεῖν εἰκὸς ἦν αὐτοὺς, λάμ-
πιν, ὃς μέγιστα ναυκλήρια κέκτηται τῶν ἑλλήνων, καὶ κατεσκεύακε τὴν πόλιν αὐ- 342
τοῖς, καὶ τὸ ἐμπόριον, μηδέπω καὶ τήμερον πολίτην πεποιῆσθαι, ἀλλὰ μόλις
αὐτὸν τῆς ἀτελείας ἠξιωκέναι τῆς τοῦ μετοικίου· καὶ μεγαρέας τουτουσὶ τοὺς κατα-
ράτους, οὕτως εὖ τὰ παρ᾽ αὐτοῖς σεμνύνειν, ὥστε ἕρμωνα τὸν κυβερνήτην τὸν μετὰ
λυσάνδρου λαβόντα τριήρεις διακοσίας, ὅτ᾽ ἐν αἰγὸς ποταμοῖς ἠτυχήσαμεν ἡ- 343
μεῖς, πεμψάντων λακεδαιμονίων, καὶ κελευόντων ποιήσασθαι πολίτην, ἀποκρί-
νασθαι αὐτοῖς, ὅτι, ὅταν αὐτοὺς ἴδωσι σπαρτιάτην αὐτὸν πεποιημένους, τότε καὶ
αὐτοὶ μεγαρέα ποιήσονται· καὶ ὠρείτας ἐκείνους μέρος τέταρτον εὐβοίας οἰκοῦντας,
τὸν χαρίδημον τοῦτον αὐτὸν, ᾧ μήτηρ μὲν ὑπάρχει πολῖτις ἐκεῖ, πατὴρ δὲ οὐκ ἐρῶ 344
τίς, ἢ πόθεν· οὐδὲν γὰρ δεῖ πλείω τῶν ἀναγκαίων αὐτὸν ἐξετάζεσθαι. ἀλλ᾽ ὅμως τὸ
ἥμισυ τοῦ γένους αὐτῷ συμβαλλομένου, τοῦ ἡμίσεως μέχρι τῆς τήμερον ἡμέρας
οὐκ ἠξιώκασιν, ἀλλ᾽ εἰς τοὺς νόθους ἐκεῖ συντελεῖ, καθάπερ ποτὲ ἐνθάδε εἰς κυ-

Καίτοι πηλίκον ἄν ποτ᾽ ἂν στενάξαιεν) Ἐντεῦθεν λοιπὸν οἰκεῖος τῆς ὑποθέσεως ἐπίλογος, μετὰ βαρύτητος καὶ σφοδρότητος ἐν τύπῳ σχετλιολογίας. 340

Πῶς γὰρ οὐκ αἰσχρὸν αἰγινήτας μέν) Τὸ ἐπιχείρημα ἀπὸ τῶν προσώπων καὶ τὸ ἄδοξον. 341

ἀπὸ τοῦ ἀδοκίμου, καὶ τῶν ἀδόξων.

χ. ταῦτα δ᾽ ἔχει εἰπ.

τρόπον οἷοί τέ εἰσιν ἀφ.

ἐγένετο. α.

ἐφόδιον. α.

χ. ὑμεῖς δ᾽ οὐχ ὅτι οὐδενὸς ἀπολαύετε.

345 Ὅτι, τί. ποίας ἔλαβε ναῦς) τῆς ποιότητος τοῦ χρησίμου διαβολή. ποίας γὰρ ἔλαβε ναῦς καὶ τὰ ἑξῆς. τρίτον δὲ μέρος εἴργασαι τῆς ἀνακεφαλαιώσεως ἐπιλογικόν. ἐν ᾧ τῶν εἰρημένων ἐν τῷ νομίμῳ συντόμως ἀναμιμνήσκει τοὺς δικαστὰς, ὥστε φέρειν εὐθὺς τὴν ψῆφον οὐκ ἐπιλελησμένους.

345 νόσαρχες οἱ νόθοι· ὑμεῖς δ', ὦ ἄνδρες Ἀθηναῖοι,
πάσης τῆς πόλεως μεταδόντες αὐτῷ, καὶ τετιμη-
κότες ἄλλοις, ἔτι καὶ τοῦτο αὐτῷ προσθήσετε; ὅτι, τί.
ποίας ἔλαβε ναῦς ὑμῖν, δι' ἃς ὑπὸ τῶν ἀπολωλε-
κότων ἐπιβουλεύεται; ἢ ποίαν πόλιν παρέδωκεν αἰ-
345 χμάλωτον λαβών; ἢ τίνας κινδύνους ὑπὲρ ὑμῶν κε-
κινδύνευκεν; ἢ τίνας ἐχθροὺς τοὺς αὐτοὺς ὑμῖν ἥρηται;
οὐδ' ἂν εἷς εἰπεῖν ἔχοι. περὶ μὲν δὴ τῶν νόμων, ὧν παραγεγράμμεθα, ὦ ἄν-
δρες δικασταὶ, βούλομαι μικρὰ πρὸς ὑμᾶς εἰπὼν καταβαίνειν, ἃ νομίζω μεμ-
νημένους ὑμᾶς ἄμεινον φυλάττειν, ἂν παράγειν καὶ φενακίζειν οὗτοι ζητῶσιν ὑ-
347 μᾶς. Ὁ πρῶτος νόμος διαρρήδην εἴρηκεν, ἄν τις ἀποκτείνῃ τινὰ, τὴν βουλὴν δι-
κάζειν. ὁ δ', ἄν τις ἀποκτείνῃ, εὐθὺς γέγραφεν, ἀγώγιμον εἶναι. τοῦτο φυλάττετε καὶ
μέμνησθε, ὅτι πάντων ἐστὶν ἐναντιώτατον τῷ κρίνειν τὸ μὴ δόντα κρίσιν ἔκδοτον
ποιεῖν. Οὐκ ἐᾷ μετὰ ταῦτα ὁ δεύτερος νόμος, οὐδὲ τὸν ἑαλωκότα ἀνδροφόνον, λυ-
348 μαίνεσθαι, οὐδὲ χρήματα πράττεσθαι. ὁ δ' ἐν τῷ ποιεῖν ἀγώγιμον, πάντα
ταῦτα δέδωκεν. ἐπὶ γὰρ τοῖς λαβοῦσιν, ἔσται ποιεῖν ὅ, τι ἂν βούλωνται. Ἀπάγειν ὁ
νόμος ὡς τοὺς θεσμοθέτας κελεύει, καὶ τοῦτ', ἂν ἐν τῇ τοῦ πεπονθότος λάβῃ τις πα-
τρίδι. ὁ δ' ἀγώγιμον αὐτῷ τὴν αἰτίαν "ἐνεγκόντι δίδωσιν ὡς αὐτὸν, κἂν ἐπὶ
349 τῆς ἀλλοτρίας που λάβῃ. Ἔστιν ἐφ' οἷς ἀδικήμασι δέδωκεν ἀποκτείνειν ὁ νόμος.
ὁ δ' οὐδὲν ὑπειπὼν, κἂν ἐπὶ τούτοις κτείνῃ τις, δίδωσιν ἔκδοτον τὸν ἀθῷον ἀφει-
μένον ἐν τοῖς νόμοις. Ἐάν τις πάθῃ τι τοιοῦτον, δίκας ὁ νόμος κελεύει ἀπαιτεῖν
πρῶτον. ὁ δὲ τοὐναντίον, οὐδεμίαν κρίσιν, οὔτε αὐτὸς εἰπὼν, οὔτε περὶ ὧν αὐτὸς ἀ-
350 ξιοῖ αἰτήσας λαβεῖν, ἀγώγιμον εὐθὺς ἔγραψεν. κἂν τις ἀφαιρῆται, παραχρῆμα
ἔκσπονδον ποιεῖ. Τὸ ἀνδρολήψιον, περὶ οἷς ἂν ὁ δράσας ᾖ, ἐὰν μὴ διδῶσι δίκας,
κελεύουσιν οἱ νόμοι μέχρι τριῶν εἶναι. ὁ δὲ, ἂν ἀφέληταί τις τὸν ἄγοντα, μὴ βου-
λόμενος περὶ δίκης ἐκδοῦναι, εὐθὺς ἔκσπονδον ποιεῖ. Οὐκ ἐᾷ ὁ νόμος νόμον,
351 ἐὰν μὴ τὸν αὐτὸν ἐπὶ πᾶσι τιθῇ τις, εἰσφέρειν. ὁ δ' ἐπ' ἀνδρὶ γράφει ψήφισμα ἴ-
διον. Οὐκ ἐᾷ ψήφισμα ὁ νόμος κυριώτερον εἶναι νόμου. ὁ δ' ὑπαρχόντων `τοσούτων
νόμων, ψήφισμα ποιεῖ κύριον, τοὺς νόμους αἱρῶν. ταῦτα φυλάττετε, καὶ μεμνη-
μένοι κάθησθε. καὶ τὰς μὲν παραγωγὰς, ἃς οὗτοι ποιήσονται, χαίρειν ἐᾶτε, καὶ μὴ
352 ἐπιτρέπετε λέγειν αὐτοῖς. κελεύετε δὲ δεῖξαι ποῦ γέγραφε κρίσιν, ἢ ποῦ γέγρα-
φεν, ἄν τις δρᾷ φόνον, "κατὰ τούτου τὰς τιμωρίας εἶναι. εἰ γὰρ, ἢ τὸν δόξαντα που κρι-
θέντα καὶ ἑαλωκότα ὅτι δεῖ κολάζειν, ἔγραψεν, ἢ αὐτὸς ἔγραψε κρίσιν εἰ πεποίη-
κεν, ἢ οὔ, καὶ εἰ δικαίως, ἢ ἀδίκως, οὐκ ἂν ἠδίκει. εἰ δὲ τὸ τῆς αἰτίας ὄνομα αὐ-
353 τὸ γράψας, ἄν τις ἀποκτείνῃ, καὶ ὑπερβὰς τὸ, καὶ ἐὰν δρᾷ φόνον, καὶ τὸ * δόξῃ ἀ-
πεκτονέναι, καὶ τὸ, δίκας ὑπεχέτω τοῦ φόνου· καὶ τὸ, τὰς τιμωρίας εἶναι κατ'
αὐτοῦ τὰς αὐτὰς, ἃς περ ἂν τὸν Ἀθηναῖον ἀποκτείνῃ, καὶ πάνθ'
ὅσα ἐστὶ δίκαια ὑπερβὰς, ἀγώγιμον εἶναι γέγραφε, μὴ φε-
354 νακίζεσθε· ἀλλ' εὖ ἴστε, ὅτι πάντων ἀνθρώπων
παρανομώτατα εἴρηκε.

ΛΙΒΑ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἰς τε τὸ πρόσωπον, καὶ εἰς τὸ πρᾶγμα. τουτέστιν, εἰς αὐτὸν τὸν νόμον, ὅπως ἐναντίος ἐστὶ τοῖς νόμοις. δεύτερον, τὸ δίκαιον. τρίτον, τὸ συμφέρον, ὅτι ἐπιζήμιος. τέταρτον, τὸ δυνατὸν, ὅτι καὶ ἀδυνάτοις ἐπιτάττει πράξεις. ἡ κρινομένη οὖν ὑπόθεσις, ἔστιν αὕτη ἡ ἐν τοῖς κεφαλαίοις. τὴν γὰρ κατὰ τῶν πρέσβεων ὑπόθεσιν, ἐν τῇ καταστάσει καὶ παρεκβάσει τέθεικε, διαβολῆς ἕνεκα δηλονότι. ἐπειδὴ γὰρ ὁ νόμος δοκεῖ φιλανθρωπότατος εἶναι, τῶν δεσμωτῶν ἀφιείς, τούτου ἕνεκα ἀντέθηκε πλεῖστα μὲν καὶ ἄλλα, μάλιστα δὲ τὰ δύο ταῦτα, τήν τε ὑπόθεσιν τὴν κατὰ τοὺς πρέσβεις, ἵνα τῇ ὑπονοίᾳ ταύτῃ τὸν ἀκροατὴν πείσῃ, τὴν ὑποψίαν δοὺς κατὰ τοῦ ἀντιδίκου, ὡς τὸν νόμον δι᾽ αἰσχροκέρδειαν τεθεικότος ὑπὲρ ῥητόρων καὶ πολιτευομένων, ἁρπάσαι τὰ κοινὰ προαιρουμένων. καὶ τὸ ἀσύμφορον. ἐν ᾧ ἀποστερῆσαι τὴν πόλιν ἀπαιτῶν τῶν ὀφλημάτων, δίδωσι. πρὸς δὲ τὸ δυνατὸν, ὅτι εἰ καὶ ἐβουλόμεθα, οὐκ ἦν δυνατόν. ἀναιροῦνται γὰρ τῆς πολιτείας οἱ κανόνες. μὴ ἀγνοῶμεν δὲ, ὅτι τὸ μὲν νόμιμον κεφάλαιον, ἐντελέστατα εἴργασται. τὸ δὲ δίκαιον, καὶ τὸ συμφέρον, καὶ τὸ δυνατὸν, ἀλλήλοις συμπλέκεται. καὶ τὸ μὲν συμφέρον, ἐν τούτοις ἐστὶ τὸ προηγούμενον. κατασκευάζεται δὲ διά τε τοῦ δικαίου, καὶ τοῦ ἀδίκου, καὶ τοῦ ἀδυνάτου. πᾶν γὰρ ἄδικον, καὶ ἀσύμφορον. τῷ δ᾽ αὐτῷ καὶ περὶ τοῦ ἀδυνάτου βιάζεται χρῆσθαι λόγῳ. ὃ γὰρ ἀδύνατόν φησι, τοῦτο δὴ καὶ ἀσύμφορον. καὶ ἐπειδὴ Τιμοκράτης πολὺς ἐστὶ τῇ φιλανθρωπίᾳ τοῦ νόμου χρώμενος, αὕτη δὲ ἐπὶ τὸ δίκαιον ἀναφέροιτο ἄν, διὰ τοῦτο Δημοσθένης πανταχοῦ τῷ ἀσυμφόρῳ κέχρηται, δεικνὺς ἐπιβλαβῆ καὶ ἐπιζήμιον τυγχάνοντα τῇ πόλει τὸν νόμον.

# ΕΙΣ ΤΟΝ ΚΑΤΑ ΤΙΜΟΚΡΑΤΟΥΣ

## ΔΗΜΟΣΘΕΝΟΥΣ ΛΟΓΟΝ ΕΞΗΓΗΣΙΣ.

1 ΤΟῦ μὲν ἀγῶνος, ὦ ἄνδρες δικασταὶ, τοῦ παρόντος, οὐδ᾽ ἂν αὐτὸν οἶμαι Τιμοκράτην εἰπεῖν, ὡς αἴτιός ἐστιν ἄλλος τις αὑτῷ, πλὴν αὐτὸς αὑτῷ) Ἐκ διαβολῆς τοῦ προσώπου τὸ προοίμιον. ἡ πρότασις δὲ τούτου ἐστίν. αὐτὸς ἑαυτῷ γέγονεν αἴτιος τῆς παρούσης κατηγορίας. ἡ δὲ κατασκευὴ τῆς προτάσεως, χρημάτων γὰρ οὐκ ὀλίγων ἀποστερῆσαι βουλόμενος τὴν πόλιν, ἵνα αὐτὸς ἀργύριον λάβῃ, ταῦτα γράφειν ἐτόλμησε. ταύτης δὲ τὸ μέρος τῆς κατασκευῆς, πρὸς τῷ τέλει τοῦ προοιμίου κεῖται, ὥστε τοῦτο μὲν ἔχει παρ᾽ ἐκείνων ἀργύριον. εἶθ᾽ ἡ ἀπόδοσις. ἐμοὶ δὲ ἐν χιλίαις ὑπὲρ ὑμῶν ὁ κίνδυνος. οὐκοῦν ἡ μὲν πρότασις αὕτη, αὐτὸς αὑτῷ τοῦ παρόντος ἀγῶνος Τιμοκράτης αἴτιος. εἶτα ἡ κατασκευή. χρημάτων γὰρ ἀποστερῆσαι τὴν πόλιν βουλόμενος. ἡ δὲ τῆς κατασκευῆς αἰτία, πορρωτέρω κειμένη, τὴν ἀσάφειαν ἐποίησεν, ἵν᾽ ἀργύριον λάβῃ, τοῦτον τὸν νόμον εἰσήνεγκε. διὰ μέσου δὲ ὅσα ποιοῦσι τὴν αὔξησιν. οὔτ᾽ ἐπιτήδειον, οὔτε δίκαιον, ὦ ἄνδρες Ἀθηναῖοι. εἶτα ἐπειδὴ περὶ ἐφοβήθη, τῶν αὐξητικῶν προτάσεων τούτων μὴ νῦν ἀπαιτηθῇ τὴν ἀπόδειξιν πραγματωδεστέραν οὖσαν ἐν τῇ ὑποθέσει, ὑποσχέσει τοῦτο παραμυθησάμενος, καὶ ἑτέραν αὔξησιν πάλιν ἐπενεγκὼν, ὅτι τὴν ὑμετέραν ψῆφον, ἣν ὀμωμοκότες φέρετε, λύει, καὶ ποιεῖ τοῦ μηδενὸς ἀξίαν· καὶ τὸ ἐκ ταύτης πάλιν αὐτιπίπτον λῦσαι, οὐχ ἵνα τὴν πόλιν ὠφελήσῃ. οὐ γὰρ ἦν ὑπερθέσθαι τὰς ἀποδείξεις τοῦδε τοῦ ἀντιπίπτοντος, ἐπάγει πάλιν ἑτέραν λύσιν περὶ τὴν κατ᾽ ἀρχὰς κατασκευὴν, ἀκόλουθον τῇ τοῦ προοιμίου προτάσει. αὐτὸς ἑαυτῷ τοῦ παρόντος ἀγῶνος Τιμοκράτης αἴτιος, ἀποστερῆσαι βουληθεὶς ὑμᾶς καὶ ἑτέρων χρημάτων, ἃ πολὺν χρόνον ἐξεκαρπώσαντο ἤδη τινὲς, τουτέστιν οἱ πρέσβεις. εἶθ᾽ ἡ αἰτία τελευταία. ὥστε τοῦτο μὲν ἔχει ἀργύριον παρ᾽ ἐκείνων, συμφώνως ἔχουσα πρὸς τὴν πρότασιν. ὥστε αὐτὸς ἑαυτῷ τοῦ παρόντος ἀγῶνος, Τιμοκράτης ἂν εἴη αἴτιος. ἀργύριον γὰρ λαβὼν, νόμον εἰσήνεγκε παρὰ πάντας τοὺς νόμους, οὔτ᾽ ἐπιτήδειον οὔτε δίκαιον. τελευταίαν δὲ τὴν αἰτίαν ἔθηκε τῆς αἰσχροκερδείας. καὶ οὐ συνῆψεν αὐτὴν τῇ προτάσει εὐθὺς, ὅτι ἀπίθανος ἂν ἦν αὐτοῦ τῆς αὐξήσεως τῆς παρὰ πάντας τοὺς νόμους. οὐδεὶς γὰρ ἂν ἐπίστευσεν ἁπλῶς εἰληφέναι τὸν νομοθέτην ἀργύριον. ῥηθείσης δὲ τῆς εἰς τὴν πόλιν βλάβης, ῥᾳδίως ἔμελλεν ὁ ἀκροατὴς πιστεύειν μὴ προῖκα ταῦτα γεγράφθαι τῷ νομοθέτῃ. οὕτω φαίνεται διὰ μακροῦ τὸν σύνδεσμον ἀνταποδούς. εἴληπται δὲ τὸ ἐνθύμημα τοῦ προοιμίου ἐκ διαβολῆς τοῦ προσώπου, κατασκευαζομένης διὰ τῆς ἐπιφορᾶς τοῦ νόμου, λεχθησομένης ἐν τοῖς κεφαλαίοις, ὅτι παράνομος, καὶ ἀσύμφορος, καὶ ἄδικος. τὸ δὲ, ὡς αἴτιός ἐστιν αὐτὸς ἑαυτῷ Τιμοκράτης, παροξυντικὸς μὲν, ἀπαριθμητικὰς δὲ τὰς αἰτίας ἔχει. πρῶτον μὲν ὅτι χρημάτων διπλῶν ἀποστερῆσαι βούλεται τὴν πόλιν. τοῦτο μὲν ὧν ὀφείλουσιν οἱ δεσμῶται· τοῦτο δὲ ὧν χρεωστοῦσιν οἱ πρέσβεις· δεύτερον δὲ, ὅτι * παράνομοι, καὶ ἀδικοῦσι. τρίτον δὲ, ἵνα λάβῃ ἀργύριον, ἀλλ᾽ ἐπειδὴ τὴν εὐκρίνειαν ταύτην καὶ ἀπαρίθμησιν τῶν αἰτιῶν εἰ ἐποιεῖτο ἐκτιθέμενος τὰς αἰτίας, ὕπτιος ἂν αὐτῷ ὁ λόγος καὶ ἰσοειδὴς ἐγένετο, ἢ καὶ ἐξαγώνιος, οὐ προοιμιακός. δεῖ γὰρ ἅπαν συνεστράφθαι, καὶ ὥσπερ ἐν ἐνθυμήματι κύκλον τινὰ τὸ προοίμιον εἶναι· ἠνάγκασθη δουλεῦσαι μᾶλλον τῇ τοῦ προοιμίου τέχνῃ, ἢ τῇ τῶν πραγμάτων

*γρ. παράνομοι, καὶ ἀδικεῖ. γρ. παράνομος καὶ ἄδικος.

# ΔΗΜΟΣΘΕΝΟΥΣ, Ο ΚΑΤΑ ΤΙΜΟΚΡΑΤΟΥΣ ΛΟΓΟΣ.

1 ΤΟῦ μὲν ἀγῶνος, ὦ ἄνδρες δικασταὶ, τοῦ παρόντος, οὐδ᾽ ἂν αὐτὸν οἶμαι Τιμοκράτην εἰπεῖν, ὡς αἴτιός ἐστιν ἄλλος τις αὑτῷ, πλὴν αὐτὸς αὑτῷ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πραγμάτων εὐκρινεία. δωροδοκίαν δὲ ἐπικαλῶν, οὐ πρὸς ἀπόδειξιν τῆς παρανομίας αὐτὴν ἔλαβεν, ἀλλὰ τὴν δωροδοκίαν ἐκ τῆς παρανομίας συνέστησεν, ἵνα μὴ τὸ πάρεργον χαλεπώτερον τοῦ ἔργου γένηται· ἤδη γὰρ ὅτι δειχθείσης διὰ τῶν ἀγώνων τῆς παρανομίας, τὰ τῆς δωροδοκίας αὐτόθεν καὶ ἄνευ μακρᾶς ἀποδείξεως πιστευθήσεται. ἐπειδὴ γὰρ

χρημάτων γὰρ οὐκ ὀλίγων ἀποστερῆσαι βουλόμενος
τὴν πόλιν, παρὰ πάντας τοὺς νόμους νόμον εἰσενήνοχεν, 2
α. οὔτ᾽ ἐπιτήδειον, οὔτε δίκαιον, ὦ ἄνδρες δικασταί. ὃς τὰ
μὲν ἄλλα, ὅσα λυμανεῖται, καὶ χείρω ἔχειν τὰ κοινὰ
ποιήσει, κύριος εἰ γενήσεται, τάχα δὴ καθ᾽ ἕκαστον ἀ-
κούοντες ἐμοῦ μαθήσεσθε. ἓν δὲ ὃ μέγιστον ἔχω καὶ
γρ. ἀποκρύψομαι. προχειρότατον πρὸς ὑμᾶς εἰπεῖν, οὐκ ἀποτρέψο- 3
μαι· τὴν γὰρ ὑμετέραν ψῆφον, ἣν ὀμωμοκότες περὶ
πάντων φέρετε, λύει καὶ ποιεῖ τοῦ μηδενὸς ἀξίαν ὁ του-
τουὶ νόμος· οὐχ ἵνα κοινῇ τι τὴν πόλιν ὠφελήσῃ· πῶς
γάρ, ὅς γε ἃ δοκεῖ συνέχειν τὴν πολιτείαν, τὰ δικα-
στήρια, ταῦτα ἄκυρα ποιεῖ, τῶν προστιμημάτων τῶν 4
ἐπὶ τοῖς ἀδικήμασιν ἐκ τῶν νόμων ὡρισμένων; ἀλλ᾽
ἵνα τῶν πολὺν χρόνον ὑμᾶς τινὲς ἐκκεκαρπωμένων,
καὶ πολλὰ τῶν ὑμετέρων διηρπακότων, μηδ᾽ ἃ κλέ-
πτοντες φανερῶς ἐλήφθησαν, καταθῶσι, καὶ τοσούτῳ
ῥᾷόν ἐστιν ἰδίᾳ τινὰς θεραπεύειν, ἢ τῶν ὑμετέρων δι- 5
καίων προΐστασθαι, ὥστε οὗτος μὲν ἔχει παρ᾽ ἐκείνων
ἀργύριον, καὶ οὐ πρότερον τοῦτον εἰσήνεγκεν ὑπὲρ
αὐτῶν τὸν νόμον· ἐμοὶ δ᾽ ἐν χιλίαις ὑπὲρ ὑμῶν ἔ-
σθ᾽ ὁ κίνδυνος· τοσοῦτ᾽ ἀπέχω τοῦ λαβεῖν τι παρ᾽ ὑμῶν.
εἰώθασι μὲν οὖν οἱ πολλοὶ τῶν πράττειν τι προαι- 6
ρουμένων τῶν κοινῶν, λέγειν, ὡς ταῦθ᾽ ὑμῖν σπουδαιό-
τατ᾽ ἐστί, καὶ μάλιστ᾽ ἄξιον προσέχειν τούτοις τὸν νοῦν,
ὑπὲρ ὧν ἂν αὐτοὶ τυγχάνωσι ποιούμενοι τοὺς λόγους.
ἐγὼ δ᾽ εἴπερ τινὶ τοῦτο καὶ ἄλλῳ προσηκόντως εἴρηται,
νομίζω κἀμοὶ νῦν ἁρμόττειν εἰπεῖν. τῶν γὰρ ὄντων ἀ- 7
γαθῶν τῇ πόλει, καὶ τοῦ δημοκρατουμένην καὶ ἐλευ-
θέραν εἶναι, ὡς ἄλλο τι τῶν νόμων αἰτιώτερόν ἐστιν, οὐδ᾽
ἂν ἕνα εἰπεῖν οἶμαι. περὶ τοίνυν αὐτοῦ τούτου νῦν ὑμῖν

κατεκρίθη μὲν ἀνθρώπων ὀφείλειν τὰ χρήματα, ἔδει δὲ αὐτὸν ἢ ἐκτίσαι, ἢ μέλλοντα πρὸς τὴν ἔκτισιν περιπεσεῖν τῷ δεσμωτηρίῳ, διὰ τοῦτο ἐπήγαγεν εἰπών, ὅτι ἄκυρα ποιεῖ τῶν προστιμημάτων τὰ δικαστήρια. τουτέστιν, οὐκ ἐᾷ κυρίαν γενέσθαι τὴν ψῆφον τὴν τοῦ δεσμοῦ. Ἄλλως. Τοῦ μὲν ἀγῶνος) Ἐπειδὴ τὰ προοίμια χαίρουσιν ἀεὶ τοῖς συνδέσμοις, τὸ ἐναντίον δὲ οἱ ἐπίλογοι, διὰ τοῦτο προσέθηκε τὸν μὲν, ἕνεκα μόνης προοιμιακῆς ἐννοίας. περιττοῦ δὲ ὄντος τούτου, ἄλλον τάξαι σύνδεσμον περιττὸν ἂν ἦν. Αἴτιός ἐστιν) Οἱ μὲν γὰρ ἄλλοι πάντες αἰτιῶνται τὸν κατήγορον φεύγοντες, ὡς αἴτιον ὄντα τοῦ ἀγῶνος. τοῦ δὲ ἀγῶνος τοῦ παρόντος, οὐκ ἔστιν αἴτιος ὁ κατήγορος, ἀλλ᾽ ὁ φεύγων. Πλὴν αὐτὸς αὐτῷ) Δέδωκε γὰρ τοιαύτην καθ᾽ ἑαυτοῦ πρόφασιν, πονηρὸν νόμον εἰσφέρων. ἕως δὲ τούτου, ἡ πρότασις τοῦ προοιμίου. εἶτα κατασκευὴ τῆς προτάσεως. χρημάτων γὰρ οὐκ ὀλίγων καὶ ἑξῆς. ἵνα μή τις εἴπῃ· τί οὖν εἰ ὀλίγον καὶ οὐ μέγα τῇ πόλει τὸ βλάβος, φησίν, οὐκ ὀλίγον, ἵνα μὴ εὐκαταφρόνητα δόξῃ εἶναι. Χρημάτων γὰρ) Κατασκευή, ἐξ οὗ νοεῖται καὶ τὸ συμπέρασμα ἐν τῇ ἐπαγωγῇ. Οὔτ᾽ ἐπιτήδειον) 2 Ἀντὶ τοῦ, οὐ συμφέροντα. διὰ δὲ τοῦ οὔτε δίκαιον, αἰνίττεται τὰ τρία κεφάλαια· τό, τε νόμιμον, καὶ τὸ συμφέρον, καὶ τὸ δίκαιον. Τάχα δὴ καθ᾽ ἕκαστον) Σημαίνει τὸ τάχα καὶ τὸ μετὰ μικρόν, καὶ τὸ ταχέως. Καὶ προχειρότατον) Οἷον, ἐν ἑτοίμῳ. συγκρούει 3 γὰρ οὕτως τοὺς δικαστάς, δι᾽ ὧν λέγει, ὑμῶν τὴν ψῆφον λύει· ὃν γὰρ ὑμεῖς δεσμεύετε διὰ νόμου, τοῦτον ἀφίησι. πρότερον δέ, ἵνα μὴ δόξῃ κακούργως πεποιηκέναι, ἀλλ᾽ ὡς γνώριμον ἅπασι λέγοιτο. Οὐχ ἵνα κοινῇ τι τὴν πόλιν ὠφελήσῃ) Ἵνα μὴ ἀντιπέσῃ

γρ. πανούργως.

αὐτῷ, τί οὖν εἰ ὠφελεῖ τὸ κοινόν; ἀναιρεῖ αὐτό, λέγων, ὅτι οὐ τούτου χάριν, ἀλλὰ τοῦδε. Ἀλλ᾽ ἵνα τὸν πολὺν χρόνον) Ἀσαφὲς μέν, σημαίνει δέ, ὅτι περὶ τῆς διπλασίας καὶ τῆς ἐκκαρπώσεως τῶν χρημάτων αἰτιᾶται τοὺς πρέσβεις. τὸ 4
μὲν γὰρ κεφάλαιον ἀπέδοσαν, τὴν δὲ ἐκκάρπωσιν τῶν χρημάτων, ἣν ἔσχον εἰς ὅλον ἔτος, ὀφείλουσιν. ἀλλ᾽ ἀναληπτέον τὸν λόγον. τί δὲ γέρᾳον, αὐτὶ τοῦ ἀσφαλέστερον. Χιλίαις) Φησὶ γὰρ ὅτι ἐὰν ἡττηθῶ, ὡς συκοφάντης παρέξω τὰς χιλίας. 5
ὁ δὲ Τιμοκράτης εἰ καὶ ἐζημιώθη, οὐ πάνυ τι ἐφρόντιζεν. εὔπορον δοῦναι, ἐξ ὧν ἔλαβε πάντων παρὰ τὸν ἀνθρώπων, ὑπὲρ ὧν λέγει. ὁ δὲ Διόδωρος ἂν ἡττηθῇ, οὐκ ἔχει τὴν πόλιν παρέχουσαν ὑπὲρ αὐτοῦ, ὑπὲρ ἧς καὶ αὐτὸς ποιεῖται τὸν λόγον. Εἰώθασι μὲν οὖν οἱ πολλοί) Προοίμιον δεύτερον. τὸ δὲ εἴπερ τοῦτο τινί, τοῦτο εἰς τὸν Ἰσοκράτην αἰνίττεται, ἐπειδὴ κἀκεῖνος οὕτως ἐλογίσατο ἐν τῷ προοιμίῳ τῷ περὶ τῆς εἰρήνης. εἶτα ἐπειδὴ διδάσκαλος ἦν αὐτοῦ, προσέθηκεν ὅτι προσηκόντως εἴρηται ἐκείνῳ. τὸ δέ, τῶν γὰρ ὄντων ἀγαθῶν, κατασκευὴ τοῦ προοιμίου. κατασκευάζει γὰρ 6
πῶς σπουδῆς ἄξιά ἐστι τὰ παρ᾽ αὐτοῦ νῦν λεγόμενα. καὶ δεῖ προσέχειν αὐτῷ τοὺς δικαστάς. τὸ γὰρ αἰτιώτερον, καλῶς ὡς συγκριτικόν. εἰσὶ γὰρ καὶ ἄλλαι δύο αἰτίαι τοῦ τὴν δημοκρατίαν καὶ τὴν ἐλευθερίαν φυλάττεσθαι, οἷον, τὸ καλῶς βουλεύεσθαι, τὸ προκινδυνεύειν τῆς πατρίδος. πλέον δὲ τούτων οἱ νόμοι σῳζόμενοι. τὸ δὲ ὡς ἐν κεφαλαίῳ, ὡς ἐν

γρ. παρὰ τῶν ἀνθρώπων, καὶ τῶν ἄλλων.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

συντόμως. Ἄλλως. Τὸ δεύτερον προοίμιον προσοχὴν ἐργάζεται. αὔξει γὰρ τὴν ὑπόθεσιν, καταλύεσθαι φάσκων ὑπὸ τοῦ Τιμοκράτους τὴν πολιτείαν· εἰ γὰρ οἱ τὰ πάντα σώζοντες νόμοι δι᾽ ἑνὸς τούτου μόνου λυθήσονται, πῶς οὐ προσήκει τοῦτον μὲν ἀφανίζειν, τοὺς δὲ τῆς σωτηρίας αἰτίους φυλάττειν. τινὲς μὲν ἐβουλήθησαν τὸ δεύτερον προοίμιον ἔχειν διὰ τοῦ ἑξῆς προοιμίου συμπέρασμα. οἱ δ᾽ ἔφασαν αὐτὸ ἔχειν χωρὶς τοῦ ἑξῆς ἐν ἑαυτῷ συμπεπλεγμένον τὸ συμπέρασμα.

8 Τὸ μὲν οὖν πρᾶγμα) Ἰσοκρατικὴ ἡ ἔννοια, καὶ ἀπὸ τοῦ Ἀρχιδάμου μετῆκται. καὶ ἀσφαλέστερον εἴρηται τῆς παρ᾽ Ἰσοκράτει κειμένης· ἐκεῖ μὲν γὰρ ὁ λέγων καὶ ἐγγυᾶται διαζονεύεται. ἐνταῦθα δὲ ὁ λέγων κολάζει τὸ πρᾶγμα τῇ προσθήκῃ τῇ, ὥς γε ἐμαυτὸν πείθω. ὁ γὰρ ἐφ᾽ ἑαυτὸν μόνον ἄγων τὴν κρίσιν, καὶ ἐνδοιάζων, ἔτι καὶ μετὰ τοσαύτης ἐπιεικείας, καὶ μετριότητος, ἀπήλλακται τοῦ δοκεῖν φορτικὸς εἶναι τοῖς ἀκούουσιν, ὁ δὲ ἀνέδην (γρ. ἀναίδην) μαρτυρίᾳ τῇ πάντων περὶ ἑαυτοῦ καταχρώμενος αὖ τῆς ἐκ τοῦ λόγου κολάσεως, οὐκ ἐκφεύγει τὸ μὴ δοκεῖν εἶναι τοῖς ἀκούουσι φορτικός. οὐ μὴν ἀλλ᾽ ἔχοι τις ἂν εἰπεῖν καὶ ὑπὲρ Ἰσοκράτους αἰτίας εὐλόγους, ὅτι βασιλέως παῖς ὁ λέγων, καὶ βασιλεὺς μετὰ μικρὸν εἰς πόλεμον παροξύνων, καὶ εἰκότως φρυάττεται. τρισὶ δὲ προοιμίοις ἐν τούτῳ τῷ λόγῳ κέχρηται. τῷ μὲν, ἀπὸ τοῦ φεύγοντος, τῷ δὲ, ἀπὸ τοῦ πράγματος, τῷ δὲ, ἀπὸ τοῦ κατηγόρου.

9 Ὥς γ᾽ ἐμαυτὸν πείθω) Ἠθικὸς ὁμοῦ καὶ ἐπιεικὴς ὁ λόγος. οὐ γὰρ μόνον ἐστὶν ἐφ᾽ ἑαυτὸν ἄγει τὴν κρίσιν, ἀλλὰ καὶ ἐνδοιάζων, ἀπήλλακται τοῦ δοκεῖν εἶναι φορτικός. Ἐγὼ γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, προσέκρουσα ἀνθρώπῳ) Παραδιήγησις. παραδιηγεῖται γὰρ διὰ ποίαν αἰτίαν ἦλθεν ἐπὶ τοῦτον τὸν ἀγῶνα. καὶ ἀρχὴ τῆς προκατασκευῆς διατιθεῖσα τοὺς ἀκούοντας συμπάσχειν αὐτῷ πεπονθότι δεινά· καὶ συγγνώμην, εἰ λέγοι τι κατ᾽ Ἀνδροτίωνος ἀμυνόμενος, νέμουσα. προσέκρουσα δὲ, περιέπεσον, καὶ ἤχθρευσα, καὶ συνέρραξα. ἐπειδὴ δὲ ἀντέπιπτε, τί οὖν εἰ πολεμεῖ τοῖς κακῶς πεπονθώς. ὁ δὲ φησὶ, τοῦ ἡ πόλις μετ᾽ ἐμοῦ προσέκρουσεν. αἴτιον τοῦ εἰς μάχην καὶ μῖσος ἐλθεῖν διὰ τὴν πονηρίαν. κἀγὼ οὐ δι᾽ ἐμαυτὸν, ἀλλ᾽ ἡ φύσις αὐτοῦ κινεῖ τὴν ἔχθραν πρὸς ἅπαντας.

12 Τὸν δὴ εἰς τὰ τοιαῦτα καταστήσαντά με) Πρόσκειται τὸ ἀδίκως, ἵνα μὴ λέγῃ τις, ἀλλ᾽ εὐλόγως ἐπέθετό σοι. διὸ καὶ φησὶν, ὅτι ὅσον μὲν ἧκεν εἰς ἐκεῖνον, ἀπωλόμην· ἐσώθην δὲ δι᾽ ὑμᾶς. διὸ καὶ ἀμύνομαι αὐτὸν δικαίως, ἐν καιρῷ. πληρώσας δὲ τὴν προτέραν κατασκευὴν, ἐπισυνάπτει καὶ τὴν δευτέραν, δι᾽ ἧς τῇ κρινομένῃ ὑποθέσει ἡ ἐπιοῦσα συνάπτεται. κρίνεται μὲν γὰρ ἡ τοῦ νόμου καὶ προηγεῖται. ἐπισάγεται δὲ ἡ τῶν πρέσβεων. διπλῆ οὖν ἡ προκατασκευὴ ἅτε δὴ καὶ δι-

13 πλῆς οὔσης τῆς ὑποθέσεως. εἶτα ἐπάγει τι προκαταστατικὸν, ἐν ᾧ ἐπαγγέλλεται θήσειν τὴν κατάστασιν. Ἠδικηκότα κοινῇ πᾶσαν τὴν πόλιν) Ὅτι ἡ μὲν πόλις ἐλάμβανε τὸ διπλοῦν, ἡ δὲ Ἀθηνᾶ, τὸ δέκατον, οἱ δὲ ἐπώνυμοι, τὸ πεντηκοστόν. ἐπώνυμοι δὲ ἐκαλοῦντο τινες ἀνδριάντες ἡρώων, ἐξ ὧν ἐκαλοῦντο καὶ αἱ δέκα φυλαὶ ἐπ᾽ ὀνόματι τούτων.

ἐστι σκεπτέον, πότερον δεῖ τοὺς μὲν ἄλλους νόμους, οὓς
8 ἐπὶ τοῖς ἀδικοῦσι τὴν πόλιν ὑμεῖς ἀνεγράψατε, ἀ-
κύρους εἶναι, τόνδε δὲ κύριον; ἢ τοὐναντίον; τοῦτον μὲν λῦ-
σαι, κατὰ χώραν δὲ μένειν τοὺς ἄλλους ἐᾶν. τὸ μὲν οὖν
πρᾶγμα, περὶ οὗ δεῖ νῦν ὑμᾶς γνῶναι, ὡς ἐν κε-
φαλαίῳ τις ἂν εἴποι, τοῦτ᾽ ἐστίν. ἵνα δ᾽ ὑμῶν μηδεὶς
9 θαυμάζῃ, τί δή ποτ᾽ ἐγὼ μετρίως, ὥς γ᾽ ἐμαυτὸν
πείθω, τὸν ἄλλον χρόνον βεβιωκὼς, νῦν ἐν ἀγῶσι καὶ
γραφαῖς δημοσίαις ἐξετάζομαι, βούλομαι μικρὰ
πρὸς ὑμᾶς εἰπεῖν. ἔσται δὲ ταῦτα οὐκ ἀπὸ τοῦ πρά-
γματος. ἐγὼ γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, προσέκρουσα
10 ἀνθρώπῳ πονηρῷ, καὶ φιλαπεχθήμονι, καὶ θεοῖς ἐχθρ-
ῷ τελευτῶσα προσέκρουσεν ἡ πόλις ὅλη, Ἀνδροτίω-
να λέγω. καὶ τοσούτῳ δεινότερα Εὐκτήμονος ἠδικήθην
ὑπ᾽ αὐτοῦ, ὥσθ᾽ ὁ μὲν Εὐκτήμων, εἰς χρήματα ἔσθ᾽
ἃ κακῶς ἔπαθεν. ἐγὼ δ᾽ εἰ κατώρθωσεν ἐκεῖνος ἣν
11 ἐπ᾽ ἐμ᾽ ἦλθεν ὁδὸν, οὐχ ὅτι τῶν ὄντων ἀπεστερήμην
ἄν, ἀλλ᾽ οὐδ᾽ ἂν ἔζων· οὐδ᾽ ὃ κοινὸν ἅπασίν ἐστιν, ἀ-
παλλαγῆναι τοῦ βίου, ῥᾴδιον ἦν ἄν μοι. αἰτιασάμε-
νος γάρ με ἃ καὶ λέγειν ἂν ὀκνήσειεν εὖ φρονῶν,
τὸν ἐμαυτοῦ πατέρα ὡς ἀπέκτονα, καὶ ἀσεβείας γρα-
12 φὴν κατασκευάσας, εἰς ἀγῶνα κατέστησεν. ἐν δὲ τού-
τῳ τὸ πέμπτον μέρος τῶν ψήφων οὐ μεταλαβὼν, ὦ-
φλε χιλίας. ἐγὼ δ᾽, ὥσπερ ἦν δίκαιον, μάλιστα μὲν
διὰ τοὺς θεοὺς, ἔπειτα δὲ καὶ διὰ τοὺς δικάζοντας ὑ-
μῶν, ἐσώθην. τὸν δὴ εἰς τοιαῦτα καταστήσαντά με ἀ-
13 δίκως, ἀδιάλλακτον ἐχθρὸν ἡγούμην. ἰδὼν δὲ ἠδικη-
κότα κοινῇ πᾶσαν τὴν πόλιν, καὶ περὶ τὴν εἴσπρα-
ξιν τῶν εἰσφορῶν, καὶ περὶ τὴν ποίησιν τῶν πομπείων,
καὶ χρήματα πολλὰ τῆς θεοῦ, καὶ τῶν ἐπωνύμων, καὶ
τῆς πόλεως ἔχοντα, καὶ οὐκ ἀποδιδόντα, ἦλθον ἐπ᾽
14 αὐτὸν μετ᾽ Εὐκτήμονος, ἡγούμενος ἁρμόττοντα εἰληφέ-
ναι καιρὸν τοῦ βοηθῆσαί θ᾽ ἅμα τῇ πόλει, καὶ τιμωρεῖσθαι

ὑφ' ὧν ἐπεπόνθειν, λαβεῖν. βουλοίμην δ' ἂν ἐμέ τε
τυχεῖν ὧν βούλομαι, τοῦτόν τε παθεῖν, ὧν ἄξιός ἐστι.
τοῦ δὲ πράγματος οὐκ ἔτι ὄντος ἀμφισβητησίμου,
ἀλλὰ πρότερον μὲν τῆς βουλῆς κατεγνωκυίας, εἶτα 15
γρ. ἀνηλωκότος. τοῦ δήμου μίαν ἡμέραν ὅλην ἐπὶ τούτοις αὖθις ἀνα-
λώσαντος, πρὸς δὲ τούτοις, δικαστηρίοιν δυοῖν εἰς ἕνα
καὶ χιλίους ἐψηφισμένων, οὔσης δὲ οὐδεμιᾶς ἔτι ἀ-
ποστροφῆς τοῦ μὴ τὰ χρήματ' ἔχειν ὑμᾶς, τιμοκρά-
της οὑτοσὶ τοσοῦτον ὑπερῆρεν ἅπαντα τὰ πράγμα- 16
τα, ὥστε τίθησι τουτονὶ τὸν νόμον, δι' οὗ τῶν ἱερῶν μὲν
χρημάτων τοὺς θεούς, τῶν ὁσίων δὲ τὴν πόλιν ἀποστερεῖ.
ἄκυρα δὲ τὰ γνωσθέντα ὑπὸ τῆς βουλῆς, καὶ τοῦ δή-
μου, καὶ τοῦ δικαστηρίου, καθίστησιν· ἄδειαν δὲ τὰ κοινὰ
διαρπάζειν τῷ βουλομένῳ πεποίηκεν. ὑπὲρ δὴ τού- 17
των ἁπάντων λύσιν ταύτην εὑρίσκομεν οὖσαν μό-
νην, εἰ γραψάμενοι τὸν νόμον, καὶ εἰσαγαγόντες εἰς ὑ-
δυναίμεθα. μᾶς, λῦσαι δυνηθείημεν. ἐξ ἀρχῆς οὖν ἐν βραχέσι
τὰ πραχθέντα διέξειμι πρὸς ὑμᾶς, ἵνα μᾶλλον μά-
θητε, καὶ παρακολουθήσητε τοῖς περὶ τὸν νόμον αὐτὸν 18
ἀδικήμασι. ψήφισμα εἶπεν ἐν ὑμῖν ἀριστοφῶν, ἑλέ-
σθαι ζητητάς. εἰ δέ τις οἶδέ τινα ἢ τῶν ἱερῶν, ἢ τῶν ὁ-
σίων χρημάτων ἔχοντά τι τῆς πόλεως, μηνύειν πρὸς
τούτους. μετὰ ταῦτα ἐμήνυσεν εὐκτήμων ἔχειν ἀρχέ-
βιον καὶ λυσιθείδην τριηραρχήσαντας, χρήματα 19
ναυκρατιτικά, τίμημα τάλαντα ἐννέα, καὶ τριά-
κοντα μνᾶς. προσῆλθε τῇ βουλῇ. προβούλευμα ἐ-
γράφη. μετὰ ταῦτα γενομένης ἐκκλησίας, προὐχει-
ροτόνησεν ὁ δῆμος. ἀναστὰς εὐκτήμων, ἔλεγεν ἄλλα τε
πολλά, καὶ διεξῆλθε πρὸς ὑμᾶς, ὡς ἔλαβεν ἡ τριή- 20
ρης τὸ πλοῖον, ἡ μελάνωπον ἄγουσα, καὶ γλαυκέτην,
καὶ ἀνδροτίωνα, πρεσβευτὰς ὡς μαύσωλον· ὡς ἔθεσαν
τὴν ἱκετηρίαν ὧν ἦν τὰ χρήματα, ἄνθρωποι· ὡς ἐ-
πεχειροτονήσαθ' ὑμεῖς μὴ φίλια εἶναι. τότε ἀνέμνησεν
ὑμᾶς τοὺς νόμους, οὓς ἀνεγνώκατε, καθ' οὓς τοῦτον 21
τὸν τρόπον πραχθέντων, τῆς πόλεως γίγνεται τὰ

τούτων, εἰς ἰδίας εἶναι θυσίας. τὰ δὲ ὀνόματα τῶν ἡρώων, ταῦτα, ἀθηναίων ὄντων, ἐκτὸς αἴαντος τοῦ σαλαμινίου· πανδίων, ἐρεχθεύς, κέκροψ, αἰγεύς, οἰνεύς, λεών, αἴας, ἀκάμας, ἀντίοχος, ἱπποθόων. Τοῦ δὲ πράγματος οὐ- 14
κέτ' ὄντος ἀμφισβητησίμου) Ἐνταῦθά ἐστιν ἡ προδιήγησις. οἰκονομεῖ γὰρ τὴν μέλλουσαν διήγησιν γίνεσθαι αὐτοῦ τοῦ πράγματος, τουτέστι, τοῦ λαβεῖν τὴν πόλιν τὰ χρήματα. διπλῆ δὲ ἡ ὑπόθεσις. καὶ ἡ μὲν ἐστὶ πρὸς τὰ μέλλοντα λέγεσθαι εἰς διαβολὴν κατ' ἀνδροτίωνος· ἡ δέ, πρὸς αὐτὴν τὴν ἐπισαχθεῖσαν ὑπόθεσιν. ἥ τις δίχα διήρηται. καὶ ἡ μὲν ἐστὶ κοινὴ κατὰ τῶν πρέσβεων, ἡ δὲ ἰδία κατ' ἀνδροτίωνος. διὰ τοῦτο καὶ ἡ προκατασκευὴ δίχα διήρηται. καὶ τὸ μέντοι αὐτῆς ἐστὶ κατ' ἀνδροτίωνος, διὰ τὴν μέλλουσαν βλασφημίαν· τὸ δὲ κατὰ τῶν πρέσβεων. Δικαστηρίοιν δυ- 15
οῖν) Ἐν τοῖς μεγάλοις καὶ ἐσπουδασμένοις πράγμασι, συνήρχοντο ἐκ δύο δικαστηρίων, πληροῦντες ἀριθμὸν χιλίων καὶ ἑνός. διὰ τοῦτο δὲ ὁ εἷς προσετίθετο ἀεὶ τοῖς δικασταῖς, ἵνα μὴ ἴσων γενομένων τῶν ψήφων, ἐξ ἴσης ἀπέλθωσιν οἱ δικαζόμενοι, ἀλλ' ἐκεῖνος δόξῃ νικᾶν, ᾧ ἂν ὁ εἷς προσετέθη. Ἐξ ἀρχῆς οὖν ἐν βρα- 17
χέσι) Ἔννοια προκαταρκτική. προλέγει δὲ καὶ προαναφωνεῖ τὴν περιοχὴν ὅλην, ἥ τις ἐστὶ τῆς καταστάσεως ἀρχή. Ψήφισμα εἶπεν ἐν ὑμῖν) Ἐνταῦθα εἰσβάλλει εἰς αὐτὴν τὴν διήγησιν. Ἄλλως, Ἡ ἀρχὴ τῆς καταστάσεως ἐντεῦθεν. ζητητὰς δὲ τοὺς ἄρχοντας τοὺς ζητοῦντας, καὶ ἀνευρίσκοντας (γρ. ἀνερευνῶντας.) τίς ὀφείλει τῇ πόλει χρήματα, ἢ τοῖς ἱεροῖς. ἀρχέβιος δὲ καὶ λυσιθείδης οὗτοι, τριήραρχοι ἦσαν. τούτους δὲ ἐμήνυσε τὰ χρήματα ἔχειν, ἀποκρυπτόμενος δηλῶσαι τὴν ἔχθραν τὴν πρὸς τοὺς πρέσβεις. ναυκρατικὰ (γρ. ναυκρατητικά.) δέ, ὅτι ἐκ τῆς ναυκράτεως τῆς κατ' αἴγυπτον, ἥτις καὶ νῦν οὕτω καλεῖται. ἔχει δέ τι εὐκατάσκευον ἡ κατάστασις ἐν τοῖς τέλεσιν. ἵνα γὰρ μὴ ἀπίθανος γένηται διηγούμενος ὅτι τιμοκράτης τῶν πρέσβεων ἕνεκα τὸν νόμον ἔθηκεν, ἐπήγαγε καὶ ἀπόδειξιν εὐθὺς εἰπών. μαρτυρεῖ ὅτι ταῦθ' οὕτως ἔχει τοὔργον αὐτό. οὐ δεῖ γὰρ ἁπλῶς τὴν διήγησιν εἶναι καὶ καθαρὰν ἀποδείξεων, ἐὰν μὴ προσδέχηται αὐτὴν ὁ ἀκροατής, ἢ προσδέχηται, μὴ πιστεύῃ δέ. Ζητοῦσι δέ τινες πῶς ἐνταῦθα πραγματικῆς οὔσης τῆς στάσεως, ἔστι διήγησις· ἀεὶ γὰρ ἡ πραγματικὴ περὶ μελλόντων ἔχει τὴν σκέψιν. ἡ δὲ διήγησις γεγονότων ἐστὶν ἀφήγησις. Λέγομεν ὅτι ἐν τῇ συμβουλῇ πραγματικῆς οὔσης τῆς στάσεως, εἰκότως ἐλλείπει ἡ διήγησις· οἶδε γὰρ ὁ ἀκροατὴς περὶ τίνος συνῆλθεν. ἐν δὲ τῷ δικανικῷ λόγῳ, ἀγνοοῦσιν οἱ δικασταὶ τὸ πρᾶγμα. οὐκοῦν οὐδὲν ἄτοπον καὶ ἐνταῦθα δικανικοῦ ὄντος τοῦ λόγου, τάξαι διήγησιν. τὸ δὲ ἔλαβεν, ἀντὶ τοῦ ἐσύλησε. διαφέρει δὲ ἡ τριήρης τοῦ πλοίου, τῷ τὴν μέν, πολέμιον (πολεμικόν.) εἶναι, τὸ δὲ φορτικὸν καὶ ἐμπορικόν. ἐπεχειροτονήσατε δέ, ἀντὶ τοῦ κατεψηφίσασθε.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

21 Ἀναπηδήσας ἀνθρώπων) Διασύρει τὸν τρόπον, ὡς τυραννικώτερον. τὸ γὰρ ἠγανάκτουν, καὶ ἐβόων, τὴν αὐτὴν ποιεῖ ὑπόνοιαν. διαδικασία δέ ἐστιν ὄνομα δίκης περὶ χρημάτων, ἢ περὶ κλήρων.

24 Ἀνάγκη δὲ πρῶτον) Ἐξέτασις τοῦ νόμου τελεία ἐντεῦθεν, κατὰ δύο τρόπους. κατά γε τὸ πρόσωπον, καὶ τὸν χρόνον ἡ τελεία ἐξέτασις γίνεται. ἐξετάζει οὖν καὶ τὸν θέντα, καὶ τὸν τεθέντα νόμον.

26 Βούλομαι δὴ μικρὰ διεξελθεῖν) Ὥσπερ πρὸ τῆς καταστάσεως εἰώθαμεν τοῖς ἀκούουσι προλέγειν ἐννόημα, σημαῖνον καὶ τὴν δύναμιν τῆς καταστάσεως· οὑτωσὶ καὶ περὶ τῶν ἀγώνων, ὥσπερ καὶ τὰ προοίμια περὶ πάσης τῆς ὑποθέσεως.

27 Ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι) Πληρώσας τὴν διήγησιν, εἰσβάλλει ἐντεῦθεν ἐπὶ τὸ νόμιμον κεφάλαιον. καὶ τούτου πρῶτον ἐπὶ τὸ προοίμιον. ἑξῆς δὲ αὐτοῦ τίθησι τὸ ἐναντίον τοῖς νόμοις. Ἀλλὰ προστάττει πρῶτον μὲν) Τὰ περιστατικὰ θέλει ἐνταῦθα εἰπεῖν, τὸ πρόσωπον, τὸν τρόπον, τὸν τόπον, τὸν χρόνον. χρόνον, τὴν περὶ τὴν ἐκκλησίαν. πρόσωπον, τοὺς περὶ ἀνθρώπους. τόπον, πρόσθεν τῶν

χρήματα. ἐδόκει δίκαια λέγειν ὑμῖν ἅπασιν. ἀναπηδήσας ἀνδροτίων, καὶ γλαυκέτης, καὶ μελάνωπος. ταῦτα σκοπεῖτε ἂν ἀληθῆ λέγω. ἐβόων, ἠγανάκτουν, ἐλοιδοροῦντο, ἀπέλυον τοὺς τριηράρχους, ἔχειν ὡμο-
21 λόγουν παρ' ἑαυτοῖς, ζητεῖν ἠξίουν τὰ χρήματα. ταῦτ' ἀκουσάντων ὑμῶν, ἐπειδή ποτ' ἐπαύσαντο οὗτοι θορυβοῦντες, ἔδωκε γνώμην εὐκτήμων ὡς δυνατὸν δικαιοτάτην, ὑμᾶς μὲν εἰσπράττειν τοὺς τριηράρχους, ἐκείνοις δ' εἶναι περὶ αὐτῶν εἰς τοὺς ἔχοντας ἀναφοράν. ἐὰν δὲ ἀμφισβητῆταί τι, ποιεῖν διαδικασίαν
23 τὸν δὲ ἡττηθέντα, τοῦτον ὀφείλειν τῇ πόλει. γράφονται τὸ ψήφισμα. εἰς ὑμᾶς εἰσῆλθεν, ἵνα συντέμω, κατὰ τοὺς νόμους ἔδοξεν εἰρῆσθαι, καὶ ἀπέφυγεν. ἐνταῦθα τί προσῆκε; τὰ μὲν χρήματα ἔχειν τὴν πόλιν, τὸν δ' ἀποστεροῦντα κολάζειν. νόμου δ' οὐδενὸς οὐδ' ὁπωσοῦν προσέδει δήπου. μέχρι μὲν δὴ τούτων, οὐδὲν ἠ-
24 δίκηθ' ὑπὸ τιμοκράτους τουτουί. μετὰ ταῦτα δὲ πάντα γ' ἀνεδέξατο ἐφ' ἑαυτὸν τὰ προειρημένα, καὶ πάντα ἠδικημένοι φανήσεσθε ὑπὸ τούτου. ταῖς γὰρ ἐκείνων τέχναις καὶ πανουργίαις μισθώσας αὐτόν, καὶ παρασχὼν ὑπηρέτην, ἐφ' αὑτὸν ἤγαγε τὰ ἀδικήματα, ὡς ἐγὼ σαφῶς ὑμῖν ἐπιδείξω. ἀνάγκη δὲ πρῶτον ὑπομνῆσαι τοὺς χρόνους ὑμᾶς, καὶ τὸν καιρόν, ἐν ᾧ τί- κακουργίαις
25 θησι τὸν νόμον. καὶ γὰρ ὑβριστικῶς προσκεχλευακὼς ὑμᾶς φανήσεται. ἦν μὲν γὰρ σκιροφοριὼν μήν, ἐν ᾧ τὰς γραφὰς ἥλωντο ἐκεῖνοι τὰς κατὰ τοῦ εὐκτήμονος. μισθωσάμενοι δὲ τοῦτον, καὶ οὐδὲ παρεσκευασμένοι τὰ δίκαια ποιεῖν ὑμῖν, κατὰ τὴν ἀγορὰν λογοποιοὺς καθίεσαν, ὡς ἁπλᾶ μὲν εἰσὶν ἕτοιμοι τὰ χρήματα ἐκτίνειν, διπλᾶ δέ, οὐ δυνήσονται. ἦν δὲ ταῦτα ἐνέδρα μετὰ χλευασίας, καὶ κατασκευασμὸς ὑπὲρ προσκεχλευακὼς. α. γρ. παρεσκευασμένοι
26 τοῦ λαθεῖν τόνδε τὸν νόμον τεθέντα. μάρτυρες δ' ὅτι ταῦθ' οὕτως ἔχει τούτων αὐτοί. τὰ γὰρ χρήματα ἐκείνοις τοῖς χρόνοις δραχμὴν οὐ κατέθηκαν ὑμῖν. νόμῳ δ' ἐνὶ πλείους τοὺς ὑπάρχοντας ἀκύρους ἐποίησαν, καὶ τοῦτον τῶν πώποτε τεθέντων ἐν ὑμῖν αἴσχιστον καὶ δεινότατον. βούλομαι δὴ μικρὰ διεξελθεῖν περὶ τῶν κειμένων νόμων, καθ' οὓς εἰσὶν αἱ τοιαίδε γραφαί, περὶ αὐτοῦ τοῦ νόμου λέγειν, ὃν γέγραμμαι. γνώσεσθε
27 γὰρ εὐμαθέστεροι πρὸς τὰ λοιπά, ταῦτα προακούσαντες. ἔστιν, ὦ ἄνδρες ἀθηναῖοι, ἐν τοῖς οὖσι νόμοις ὑμῖν κυρίοις, διωρισμένα ἀκριβῶς καὶ σαφῶς πάνθ' ὅσα δεῖ ποιεῖν περὶ τῶν μελλόντων τεθήσεσθαι νόμων. καὶ πρῶτον μὲν, ἁπάντων χρόνος ἐστὶν ἐπιγεγραμμένος, ἐν ᾧ προσήκει νομοθετεῖν· εἶτ' οὐδὲ τότε ὡς ἂν ἑκάστῳ δοκῇ, δέδωκε πρᾶξαι τοῦτο· ἀλλὰ προστάττει πρῶτον μὲν ἐκθεῖναι πρόσθεν τῶν ἐπω-
28 νύμων, γράψαντα σκοπεῖν τῷ βουλομένῳ. μετὰ ταῦτα ἐπὶ πᾶσι τὸν αὐτὸν νόμον κελεύει τιθέναι. πρὸς τούτοις, λύειν τοὺς ἐναντίους. ἄλλα, περὶ ὧν ἴσως οὐδὲν κατεπείγει ὑμᾶς νῦν ἀκοῦσαι. ἐὰν δέ τις τούτων ἓν παραβῇ, τῷ βουλομένῳ δίδωσι γράφεσθαι. εἰ μὲν οὖν μὴ πᾶσιν ἦν ἔνοχος τούτοις τιμοκράτης, καὶ παρὰ πάντα ταῦτα εἰσηνέγκε τὸν νόμον, ἓν μὲν αὐτοῦ τις ἐποιεῖτο κατηγόρημα, ὅ,τι δήποτε τοῦτ' ἦν. νῦν

δὲ ἀνάγκη

δ' ἀνάγκη καθ' ἕκαστον χωρὶς περὶ ἑκάστου διελόμενον λέγειν. πρῶτον μὲν ὥσπερ ἠδίκησε πρῶτον, τοῦτ' ἐρῶ, ὡς παρὰ πάντας τοὺς νόμους ἐνομοθέτει. εἶτα τῶν ἄλλων ἑξῆς, ὅ,τι ἂν βουλομένοις ὑμῖν ἀκούειν ᾖ.
Καί μοι λαβὲ τουτουσὶ τοὺς νόμους, καὶ ἀνάγνωθι. φα- 29
νήσεται γὰρ τούτων οὐδὲν πεποιηκώς. προσέχετε, ὦ ἄνδρες δικασταί, τοῖς νῦν ἀναγιγνωσκομένοις τοῖς νόμοις.

## Ἐπιχειροτονία νόμων.

Ἐπὶ δὲ τῆς πρώτης πρυτανείας τῇ ἑνδεκάτῃ, ἐν τῷ δήμῳ ἐπειδὰν εὔξηται ὁ κῆρυξ, ἐπιχειροτονίαν
ποιεῖν τῶν νόμων, πρῶτον μὲν περὶ τῶν βουλευτικῶν, 30
δεύτερον δὲ περὶ τῶν κοινῶν, εἶτα οἳ κεῖνται τοῖς ἐννέα ἄρχουσιν, εἶτα τῶν ἄλλων ἀρχῶν. ἡ δ' ἐπιχειροτονία ἔστω ἡ προτέρα, ὅτῳ δοκοῦσιν ἀρκεῖν οἱ νόμοι οἱ βουλευτικοί· ἡ δ' ὑστέρα, ὅτῳ μὴ δοκοῦσιν. εἶτα τῶν κοινῶν κατὰ ταὐτά. τὴν δ' ἐπιχειροτονίαν εἶναι τῶν νόμων
κατὰ τοὺς νόμους τοὺς κειμένους. ἐὰν δέ τινες τῶν νόμων 31
τῶν κειμένων ἀποχειροτονηθῶσι, τοὺς πρυτάνεις, ἐφ' ὧν ἂν ἡ ἐπιχειροτονία γένηται, ποιεῖν περὶ τῶν ἀποχειροτονηθέντων, τὴν τελευταίαν τῶν τριῶν ἐκκλησιῶν· τοὺς δὲ προέδρους, οἳ ἂν τύχωσι προεδρεύοντες ἐν ταύτῃ τῇ ἐκκλησίᾳ, χρηματίζειν ἐπά-
ναγκες. πρῶτον μετὰ τὰ ἱερὰ περὶ τῶν νομοθετῶν, κα- 32
θ' ὅ,τι καθεδοῦνται· καὶ περὶ τοῦ ἀργυρίου ὁπόθεν τοῖς νομοθέταις ἔσται. τοὺς δὲ νομοθέτας εἶναι ἐκ τῶν ὀμωμοκότων τὸν ἡλιαστικὸν ὅρκον. ἐὰν δ' οἱ πρυτάνεις μὴ ποιῶσι κατὰ τὰ γεγραμμένα τὴν ἐκκλησίαν, ἢ οἱ πρόεδροι μὴ χρηματίσωσι κατὰ τὰ γε-
γραμμένα, ὀφείλειν τῶν μὲν πρυτάνεων ἕκαστον, 33
χιλίας δραχμὰς ἱερὰς τῇ Ἀθηνᾷ. τῶν δὲ προέδρων ἕκαστος ὀφειλέτω τετταράκοντα δραχμὰς ἱερὰς τῇ Ἀθηνᾷ. καὶ ἔνδειξις αὐτῶν ἔστω πρὸς τοὺς θεσμοθέτας, καθάπερ ἐάν τις ἀρχῇ ὀφείλων τῷ δημοσίῳ. οἱ δὲ θεσμοθέται, τοὺς ἐνδειχθέντας εἰσα-
*δικαστήριον. α γόντων εἰς τὸ* δεσμωτήριον κατὰ τὸν νόμον· ἢ μὴ ἀ- 34
νιόντων εἰς Ἄρειον πάγον, ὡς καταλύοντες τὴν ἐπανόρθωσιν τῶν νόμων. πρὸ δὲ τῆς ἐκκλησίας ὁ βουλόμενος Ἀθηναίων νομοθετεῖν, ἐκτιθέτω πρόσθεν τῶν ἐπωνύμων, γράψας τοὺς νόμους, οὓς ἂν
*τεθέντων. α. τιθῇ, ὅπως ἂν πρὸς τὸ πλῆθος τῶν* ἐκτεθέντων
νόμων, ψηφίσηται ὁ δῆμος περὶ τοῦ χρόνου τοῖς νο- 35
μοθέταις. ὁ δὲ τιθεὶς τὸν καινὸν νόμον, ἀναγράψας

ἐπωνύμων: τόπον δή, ὅτι τοιῶσδε δεῖ ταῦτα ποιεῖν. Ὡς παρὰ πάν- 28
τας τοὺς νόμους ἐνομοθέτει) Τοῦ προσώπου αὕτη ἡ ἐξέτασις. ἐπιχειροτονία δέ ἐστιν ἡ διάσκεψις, ὅ,τι δεῖ ποιεῖν περὶ τῶν νόμων. ἐν τῇ πρώτῃ δὲ πρυτανείᾳ, ἐν τῷ πρώτῳ μηνί. Ἰστέον γὰρ ὅτι κατὰ μῆνα τρεῖς ἐκκλησίας ἐποιοῦντο βουλευόμενοι περὶ τῶν ἐν τῇ πόλει πραγμάτων, εἰ μὴ ἄρα ἀνάγκη τις κατέλαβε πολέμου· ὥστε καὶ περὶ ἐκείνου ἄλλην ἐκκλησίαν ποιῆσαι πλέον τῶν ὡρισμένων. καὶ ἐγίνετο ἡ πρώτη ἑνδεκάτῃ τοῦ μηνός. ἡ δὲ δευτέρα, περὶ τὴν εἰκοστήν. ἡ δὲ τρίτη, περὶ τὴν τριακοστήν. πρυτάνεις δὲ τοὺς πεντήκοντα, οὓς εἴπομεν ἀεὶ προβαλλομένους ὑπὲρ τῆς ἰδίας φυλῆς, καὶ πρυτανεύοντας τὸ μέρος αὐτῶν τοῦ ἐνιαυτοῦ.

Περὶ τῶν βουλευτικῶν) Περὶ τῆς 30
βουλῆς τῶν πεντακοσίων, ὅτι δεῖ λαμβάνειν αὐτὴν στέφανον ἐὰν ποιήσηται τὰς τριήρεις. λαβεῖν δὲ παρὰ τῶν δημοσίων πραγμάτων. ἄρχοντες δὲ ἐννέα ἐλέγοντο, οἱ ἓξ θεσμοθέται, οἵτινες εἰσῆγον τὰς τῶν παρανόμων γραφάς· εἶτα εἷς βασιλεύς, περὶ οὗ ἔγνωμεν ἐν τῷ κατ' Ἀνδροτίωνος λόγῳ, τίς ἦν *αὐτοῦ ἔργον; εἶτα ὁ πολέμαρχος, ὅστις ἐπεμελεῖτο τοῦ τρέφεσθαι ἐκ τοῦ δημοσίου τοὺς παῖδας τῶν ἀποθανόντων γενναίως ἐν τῷ πολέμῳ· εἶτα ὁ ἄρχων ὁ ἐνιαύσιος, ὅστις ἐπεμελεῖτο τῶν χηρῶν, καὶ τῶν ὀρφανῶν, καὶ ἄλλων τινῶν. τὸ δὲ ἀποχειροτονηθέντων, ἀντὶ τοῦ ἀποδοκιμασθέντων. *αὐτοῦ.
Τοὺς δὲ προέδρους) Τοὺς 31
προεστῶτας τῶν πεντακοσίων. τὸ δὲ οἱ ἂν *τυγχάνωσιν, εἶπε διὰ τὸ ἄδηλον τοῦ κλήρου. ἐν ταύτῃ τῇ ἐκκλησίᾳ δέ, ὅ ἐστιν ἐν τῇ τρίτῃ, ὥσπερ καὶ κατωτέρω. πρὸ δὲ τῆς ἐκκλησίας, τουτέστι τῆς τρίτης. χρηματίζειν δέ, τουτέστιν ἀποφαίνειν. ἔγνωμεν γὰρ ὅτι οἱ μὲν πρυτάνεις συνῆγον τὴν ἐκκλησίαν· οἱ δὲ πρόεδροι ἐπέβαλλον περὶ τίνος συνῆλθον. ἱερὰ δὲ τὰς θυσίας φησί. *τύχωσιν.
Τῶν ὀμωμοκότων 32
τὸν ἡλιαστικὸν ὅρκον) Ἀντὶ τοῦ τῶν ἤδη ὀμοσάντων τὸν ὅρκον τῶν ἡλιαστῶν. ὡσανεὶ ἔλεγεν, ἵνα ὦσιν ἀπὸ δικαστῶν ἤδη γεγυμνασμένων. Ἰστέον δὲ ὅτι ἡ ἡλιαία λέγεται αὐτός ὁ τόπος τοῦ μεγάλου δικαστηρίου· καὶ τὸ ἄθροισμα αὐτῶν τῶν ἐκεῖσε δικαζόντων. ἡλιαία δὲ ἐκλήθη ὁ τόπος παρὰ τῷ ἐκεῖσε ἁλίζεσθαι καὶ συναθροίζεσθαι τὸ πλῆθος τῶν δικαστῶν· τὸ γὰρ α εἰς η μεταβέβληται ὡς καὶ πολλαχοῦ. ἀντὶ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἰς λεύκωμα, ἐκτιθέτω πρόσθεν τῶν ἐπωνύμων ὁ-
σημέραι, ἕως ἂν ἐκκλησία γένηται. αἱρεῖσθαι δὲ καὶ
τοὺς συναπολογησομένους τῶν δήμων τοῖς νόμοις, οἳ
ἂν ἐν τοῖς νομοθέταις λύωνται, πέντε ἄνδρας ἐξ ἀθη-
36 ναίων ἁπάντων, τῇ ἑνδεκάτῃ τοῦ ἑκατομβαιῶνος μη-
νός. Οὗτοι πάντες οἱ νόμοι κεῖνται πολὺν ἤδη χρό-
νον, ὦ ἄνδρες δικασταί, καὶ πεῖραν αὐτῶν πολλάκις δε-
δώκασιν, ὅτι συμφέροντες ὑμῖν εἰσί· καὶ οὐδεὶς πώπο-
τε μὴ οὐ καλῶς ἔχειν ἀντεῖπεν αὐτοῖς. εἰκότως. οὐδὲν
γὰρ ὠμόν, οὐδὲ βίαιον, οὐδ᾽ ὀλιγαρχικὸν προστάττου-
37 σιν· ἀλλὰ τοὐναντίον, πάντα φιλανθρώπως, καὶ δη-
μοτικῶς φράζουσι πράττειν. καὶ πρῶτον μὲν ἐφ᾽ ὑ-
μῖν ἐποίησαν διαχειροτονίαν, πότερον εἰσοιστέος ἐστὶ νό-
μος καινός, ἢ δοκοῦσιν ἀρκεῖν οἱ κείμενοι. μετὰ ταῦτα δὲ
ἂν χειροτονήσητε εἰσφέρειν, οὐκ εὐθὺς τιθέναι προσέ-
ταξαν. ἀλλὰ τὴν τρίτην ἀπέδειξαν ἐκκλησίαν.
38 καὶ οὐδ᾽ ἐν ταύτῃ τιθέναι δεδώκασιν. ἀλλὰ ° σκέψ- ° σκέψασθαι.
ασθε καθ᾽ ὅ,τι τοὺς νομοθέτας ° καθεδεῖτε. ἐν δὲ τῷ ° καθιῆτε.
μεταξὺ τούτῳ χρόνῳ, προσέταξαν τοῖς βουλομένοις
εἰσφέρειν, ἐκτιθέναι τοὺς νόμους πρόσθεν τῶν ἐπωνύ-
μων, ἵν᾽ ὁ βουλόμενος σκέψηται, κἂν ἀσύμφορον ὑμῖν
τι κατίδῃ, φράσῃ, καὶ κατὰ σχολὴν ἀντείποι. τούτων μέν-
39 τοι τοσούτων ὄντων, οὐδὲν πεποίηκε τιμοκράτης οὑτο-
σί· οὔτε γὰρ ἐξέθηκε τὸν νόμον, οὔτ᾽ ἔδωκεν εἴ τις ἐβού-
λετο ἀναγνοὺς ἀντειπεῖν, οὔτ᾽ ° ἐνέμεινεν οὐδένα τῶν ° ἀνέμεινεν.
τεταγμένων χρόνων ἐν τοῖς νόμοις· ἀλλὰ τῆς ἐκ-
κλησίας, ἐν ᾗ τοὺς νόμους ἐπεχειροτονήσατε, οὔσης ἑν-
δεκάτης τοῦ ἑκατομβαιῶνος μηνός, δωδεκάτῃ τὸν
40 νόμον εἰσήνεγκεν εὐθὺς τῇ ὑστεραίᾳ, καὶ ταῦτα ὄντων
κρονίων· καὶ διὰ ταῦτα ἀφειμένης τῆς βουλῆς δια-
πραξάμενος μετὰ τῶν ὑμῖν ἐπιβουλευόντων, κα-
θίζεσθαι νομοθέτας διὰ τοῦ ψηφίσματος, ἐπὶ τῇ τῶν
παναθηναίων προφάσει. βούλομαι δ᾽ ὑμῖν τὸ ψή-
φισμα αὐτὸ ἀναγνῶναι τὸ νικῆσαν, ἵν᾽ εἰδῆτε ὅτι πάν-
41 τα συνταξάμενοι, καὶ οὐδὲν ἀπὸ ταὐτομάτου τού-
των ἔπραττον οὗτοι. Λάβε τὸ ψήφισμα αὐτοῖς, καὶ
ἀναγίνωσκε σύ.

Ψήφισμα.

Ἐπὶ τῆς πανδιονίδος πρώτης, ἑνδεκάτῃ τῆς πρυ-
τανείας, τιμοκράτης εἶπεν, ὅπως ἂν τὰ ἱερὰ θύνται
42 τις. καὶ ἡ διοίκησις ἱκανὴ γίνηται, καὶ εἴ τινος ἐνδεῖ
πρὸς τὰ παναθήναια, διοικηθῇ, τοὺς πρυτάνεις τοὺς
τῆς παν-

δὲ λέγουσιν ἐκ τοῦ ὕπαιθρον εἶναι τὸν τόπον. καὶ τὸν ἥλιον ἐκεῖ ἔνδον προσβάλλειν. κατὰ τὰ ° προγεγραμμένα δέ, κατὰ τοὺς νόμους ἤδη τοὺς κειμένους. τὸ δὲ χιλίας δραχμὰς ἄξιον ζητῆσαι διὰ τί οὕτως ἀνώμαλοι οἱ νόμοι ἔταξαν τὴν ζημίαν, κατά τε τῶν πρυτανέων καὶ τῶν προέδρων, καὶ λέγομεν ὅτι, βαρύτερόν ἐστιν ὅλως τὸ μὴ συνάξαι τὸν δῆμον εἰς ἐκκλησίαν τοῦ μὴ ὑποβάλλειν. διὸ ἐπὶ τῶν πρυτανέων τῶν μὴ συναγόντων, τὸ
35 πλέον ἔταξαν. Εἰς λεύκωμα) Οἷον, ὥσπερ ἐν πυξίῳ. τὸ δὲ ἕως ἡ ἐκκλησία γένηται, δηλονότι ἡ τρίτη. τὸ δὲ αἱρεῖσθαι, ἀπὸ κοινοῦ τὸ κελεύειν, ὅ ἐστι χειροτονεῖν. τὸ δὲ τοὺς συναπολογησομένους, τοὺς μέλλοντας ἀγωνίζεσθαι ὑπὲρ τῶν νόμων μελλόντων λύεσθαι. εἰκὸς γὰρ ὅτι βελτίους ἦσαν τοῦ εἰσαγομένου· καὶ ° χρεία τῶν λεγόντων ὑπὲρ αὐτῶν, ἐνομίζοντο
36 εἶναι φαῦλοι. Τῇ ἑνδεκάτῃ) Οὐ γὰρ ἦν ὁ πρῶτος μήν, ὅτε καὶ ἡ πρώτη πρυτανεία ἐγένετο τῇ ἑνδεκάτῃ, ὅ ἐστι τῇ πρώτῃ ἐκκλησίᾳ· προηυτρέπιζον γὰρ ἐκ τῆς πρώτης ἐκκλησίας, τοὺς μέλλοντας ἀπολογεῖσθαι ὑπὲρ τῶν δοκιμαζομένων νόμων ἐν αὐτῇ τῇ πρώτῃ ἐκκλησίᾳ, καὶ μαθόντες ἐν ταύτῃ τῇ πρώτῃ πόσοι ἀποδοκιμασθήσονται νόμοι, πρὸς αὐτοὺς ἐχειροτόνουν καὶ τοὺς ἀπολογουμένους. πέντε δὲ ἄνδρας καθ᾽ ἕκαστον νόμον ἐχει-
37 ροτόνουν. Εἰσοιστέος) Εἰσενεκτέος. ἐν δὲ τῷ μεταξὺ λέγει, τῆς πρώτης
40 ἐκκλησίας καὶ τῆς τρίτης. Καὶ ταῦτ᾽ ὄντων τῶν κρονίων) Ἀντὶ τοῦ, ὅτε πάντες ἐν τῇ ἑορτῇ ἀφειμένοι ἦσαν, καὶ οὐδεὶς συνήρχετο εἰς ἐκκλησίαν τῆς βουλῆς. Τὸ νικῆσαν) ° Ἐμφαντικῶς κατ᾽ εἰρωνείαν.

Συνταξάμενοι) Ἀντὶ τοῦ φατριάσαντες καθ᾽ ὑμῶν. καὶ οὐδὲν ἐκ ταὐτομάτου. δηλονότι, οὐχ ὡς ἔτυχεν, ἀλλὰ
41 μετὰ πολλῆς ° κακουργίας. Λάβε τὸ ψήφισμα) Τὸ ψήφισμα λέγει, ὅπερ ἔγραψεν ὁ Ἐπικράτης, φίλος ὢν τοῦ Τιμοκράτους, λέγων, ἐπειδὴ ἐγγύς ἐστι τὰ παναθήναια, συναχθῶμεν ἐπὶ τῷ σκέψασθαι περὶ αὐτῶν. ὡς δὲ συνήχθησαν, τότε εἰσήγαγεν ὁ Τιμοκράτης τὸν νόμον, ἵνα μὴ γνωσθῇ τὸ πρᾶγμα. εἰ γὰρ καὶ τὰ δύο ἐποίησεν ὁ Τιμοκράτης, ὕποπτος ἂν ἐγίνετο. τὸ δὲ λάβε, ἀττικῶς ὀξύνεται. Ἐπὶ τῆς πανδιονίδος) Δεῖ ὑποστίξαι εἰς τὸ πρώτης, ἵνα τὸ ἑνδεκάτῃ καθ᾽ ἑαυτὸν νοήσωμεν. ἵνα μὴ ᾖ ὁ νοῦς οὕτως, ἐπὶ τῆς πανδιονίδος πρώ-

° γεγραμμένα. ° ἔνδεια. ° Ἐμφατικῶς ° πανουργίας.

τῆς πανδημίας καθίσαι νομοθέτας αὔριον. τοὺς δὲ νο-
μοθέτας εἶναι ἕνα καὶ χιλίους, ἐκ τῶν ὀμωμοκότων.
συννομοθετεῖν δὲ καὶ τὴν βουλήν. Ἐνθυμήθητε ἀ-
ναγιγνωσκομένου τοῦ ψηφίσματος, ὡς τεχνικῶς ὁ
γράφων αὐτὸ τὴν διοίκησιν, καὶ τὸ τῆς ἑορτῆς προ- 43
ειρησάμενος κατεπεῖγον, ἀνελὼν τὸν ἐκ τῶν νόμων
χρόνον, αὐτὸς ἔγραψεν αὔριον νομοθετεῖν· οὐ μὰ Δί'
οὐχ ἵνα ὡς κάλλιστα γένοιτό τι τῶν περὶ τὴν ἑορτήν·
οὐδὲ γὰρ ἦν ὑπόλοιπον, οὐδ' ἀδιοίκητον οὐδέν, ἀλλ'
ἵνα μὴ προαισθομένου μηδενὸς ἀνθρώπων, μηδ'
ἀντειπόντος, τεθείη καὶ γένοιτο κύριος αὐτοῖς ὅδε ὁ νῦν 44
ἀγωνιζόμενος νόμος. τεκμήριον δέ. καθιζομένων
γὰρ τῶν νομοθετῶν, περὶ μὲν τῶν γεγραμμένων τού-
των τῆς διοικήσεως καὶ τῶν Παναθηναίων, οὔτε χεί-
ρονα, οὔτε βελτίω νόμον οὐδένα εἰσήνεγκεν οὐδείς.
τὸ τε ψήφ. ὑπ. α. περὶ δὲ ὧν οὔτε τὸ ψήφισμα ἐκέλευεν, οἵ τε νόμοι κω-
λύουσι, Τιμοκράτης οὑτοσὶ κατὰ πολλὴν ἡσυχίαν ἐ- 45
νομοθέτει, κυριώτερον μὲν νομίσας τὸν ἐκ τοῦ ψη-
φίσματος, ἢ τὸν ἐν τοῖς νόμοις εἰρημένον χρόνον· οὐ-
δ' ὁποσονοῦν δὲ φοβηθείς, εἰ ἁπάντων ὑμῶν ἀγόντων
ἱερομηνίαν, καὶ νόμου κειμένου μήτ' ἰδίᾳ, μήτε κοι-
νῇ μηδὲν ἀλλήλους ἀδικεῖν ἐν τούτῳ τῷ χρόνῳ, μη-
δὲ χρηματίζειν, ὅ,τι ἂν μὴ περὶ τῆς ἑορτῆς ᾖ, αὐτὸς 45
οὐχ ἕνα τὸν τυχόντα, ἀλλ' ὅλην ἀδικῶν φανήσε-
ται τὴν πόλιν. καίτοι πῶς οὐ δεινόν, εἰδότα μὲν τοὺς νό-
μους, ὧν ὀλίγῳ πρότερον πάντες ἠκούσατε, κυρίους
ὄντας, εἰδότα δ' οὐκ ἐῶνθ' ἕτερον ψήφισμα οὐδέν,
οὐδ' ἂν ἔννομον, κυριώτερον εἶναι, γράψαι καὶ θεῖναι
νόμον ὑμῖν τὸ ψήφισμα, ὃ καὶ αὐτὸ παρὰ τοὺς νόμους 47
εἰρημένον ἦν; ἢ πῶς οὐ σχέτλιον, τὴν μὲν πόλιν αὐ-
τὴν ἑκάστῳ ἡμῶν δεδωκέναι ἄδειαν τοῦ μή τι παθεῖν
ἄδικον, ἢ δεινόν, ἐν τούτῳ τῷ χρόνῳ ποιησαμένην ἱε-
ρομηνίαν, αὐτὴν δὲ μὴ τετυχηκέναι ταύτης τῆς ἀσφαλείας παρὰ Τιμοκρά-
τους, ἀλλ' ἐν αὐτῇ τῇ ἱερομηνίᾳ τὰ μέγιστ' ἠδικῆσθαι; τί γὰρ ἄν τις μεῖζον ἠδική-
οὗτο. α. σειεν ἰδιώτης ἀνήρ, ἢ καταλύων τοὺς νόμους αὐτῆς, δι' ὧν οἰκεῖται. ὅτι μὲν τοίνυν οὐ- 48
δὲν ὧν προσήκε τε καὶ κελεύουσιν οἱ νόμοι, πεποίηκεν, εἰς τὰ προειρημένα τις σκο-
πῶν ἂν γνοίη. ὅτι δ' οὐ μόνον κατὰ τοῦτ' ἀδικεῖ, εἰ παραβὰς τὸν χρόνον τὸν ἐκ τῶν νό-
μων, καὶ τὸ βουλεύσασθαι καὶ σκέψασθαι περὶ τούτων ὑμᾶς παντελῶς ἀφῃρῶν, οὔ-
σης ἱερομηνίας ἐνομοθέτει, ἀλλὰ καὶ κατ' ἐκεῖνο, ὅτι πᾶσιν ἐναντίον εἰσήνεγκε
τοῖς οὖσι νόμοις, αὐτίκα δὴ μάλ' ἀκριβῶς μαθήσεσθε. Ἀνάγνωθι δέ μοι λαβὼν του- 49
τονὶ πρῶτον τὸν νόμον, ὃς διαρρήδην οὐκ ἐᾷ νόμον οὐδένα ἐναντίον εἰσφέρειν. ἐὰν
δέ τις εἰσφέρῃ, γράφεσθαι κελεύει. ἀναγίγνωσκε.

τῆς πρυτανείας τῇ ἑνδεκάτῃ αὐ-
τῆς, ὅ ἐστιν ἑνδεκάτῃ αὐτοῦ τοῦ μη-
νός. εἰ δὲ, οὐδὲ ἐνταῦθα καλῶς
προσέθηκεν τὴν φυλὴν τὴν Παν-
διονίδα, ἐπειδὴ ἔτυχε τότε αὐτὴν
κληρωθῆναι πρώτην πρυτανεῦ-
σαι ἀνωτέρω ἐπειδὴ τὴν ἐπιχειρο-
τονίαν τῶν νόμων ἀνέγνωκεν, εἰκό- ἀνεγίνωσκε
τως οὐχ ὥρισε ποίας πρυτανευού-
σης πρώτης. ἐπειδὴ ἄδηλον ἦν, ὡς
εἴπομεν, ποία κληροῦται ἀεὶ κατὰ τὸν
πρῶτον μῆνα πρώτη πρυτανεῦ-
σαι. Κατὰ πολλὴν ἡσυχίαν) Εἶ- 45
πεν αὐτό, ἀγειρομένης τῆς βουλῆς ἐν
τῇ πανηγύρει. Ἢ τὸν ἐν τοῖς νόμοις)
Οἱ μὲν γὰρ νόμοι ἐκέλευον ἀναμέ-
νειν τὴν τρίτην ἐκκλησίαν· τὸ δὲ
ψήφισμα τὸ ἐπικρατοῦς, τῇ δωδε-
κάτῃ τοῦ μηνὸς ἐκέλευε ποιεῖν ἐκ-
κλησίαν. Εἰδότα μὲν τοὺς νόμους) 46
Ἵνα μὴ πάλιν καταφύγοι εἰς ἄ-
γνοιαν, ὡσανεὶ ἔλεγε πρὸς τῷ γινώ-
σκειν αὐτὸν τοὺς νόμους. Αὐτὴν 47
δὲ μὴ τετυχηκέναι) Τὴν πόλιν.
Ἀλλ' ἐν αὐτῇ τῇ ἱερομηνίᾳ) Ὅ-
ρα τὴν δριμύτητα τοῦ ῥήτορος πῶς
τὸ κατὰ χρόνον ἁπλοῦν ἔγκλημα δο-
κοῦν εἰς διπλοῦν περιέστησε. δεικνὺς
ὅτι, οὐ μόνον προέλαβε τὸν χρόνον τὸν
ὡρισμένον, ἀλλὰ καὶ ἱερομηνίας
οὔσης ἐνομοθέτησεν· ἵνα ἐξ ἀμφο-
τέρων ἀδικῶν Τιμοκράτης φαίνη-
ται· καὶ ὑπὲρ ὧν οὐκ ἐποίησεν, ὅτι
μὴ φυλάσσων τὸν χρόνον τῆς πρώ- τρίτης.
της ἐκκλησίας, καὶ ὑπὲρ ὧν ἐποίησεν
ἐν κρονίοις τολμήσας. Ἀνάγνωθι 49
δέ μοι λαβὼν τουτονί) Ἐζήτηται Ἐζήτησαν.
διὰ τί τὸν Τιμοκράτους νόμον οὐ πρῶ-
τον ἀνέγνω, εἶτα τοὺς παλαιούς.
Φαμὲν ὅτι φιλάνθρωπος δοκεῖ εἶναι.
διὰ τοῦτο προαναγινώσκει τοὺς ἀρ-
χαίους νόμους, ἵνα ὕστερον ἡ διαβο-
λὴ χώραν ἔχῃ. ἐξετάσας δὲ τὸ κατὰ
τὸ πρόσωπον νόμιμον, καὶ τὸ κατὰ
τὸν νόμον ἐξετάζει.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## Νόμος.

Τῶν δὲ νόμων τῶν κειμένων μὴ ἐξεῖναι λῦσαι μηδένα, ἐὰν μὴ ἐν νομοθέταις. τότε δ' ἐξεῖναι τῷ βουλο-
50 μένῳ τῶν Ἀθηναίων λύειν, ἕτερον τιθέντι ἀνθ' ὅτου ἂν λύῃ. διαχειροτονίαν δὲ ποιεῖν τοὺς προέδρους περὶ τούτων τῶν νόμων, πρότερον μὲν περὶ τοῦ κειμένου εἰ δοκεῖ ἐπιτήδειος εἶναι τῷ δήμῳ τῷ Ἀθηναίων, ἢ οὔ. ἔπειτα περὶ τοῦ τιθεμένου. ὁπότερον δ' ἂν χειρο-
51 τονήσωσιν οἱ νομοθέται, τοῦτον κύριον εἶναι. ἐναντίον δὲ νόμον μὴ ἐξεῖναι τιθέναι τῶν νόμων τῶν κειμένων μηδενί. ἐὰν δέ τις λύσας τινὰ τῶν νόμων τῶν κειμένων, ἕτερον ἀντιθῇ μὴ ἐπιτήδειον τῷ Ἀθηναίων δήμῳ, ἢ ἐναντίον τῶν κειμένων τῳ, τὰς γραφὰς εἶναι κατ' αὐ-
52 τοῦ κατὰ τὸν νόμον, ὃς κεῖται, ἐάν τις μὴ ἐπιτήδειον θῇ νόμον. Ἠκούσατε μὲν τοῦ νόμου. πολλῶν δὲ καλῶν κειμένων νόμων τῇ πόλει, οὐδενὸς ἧττον ἡγοῦμαι καὶ τοῦτον ἀξίως ἐπαίνου γεγράφθαι. σκέψασθε γὰρ ὡς δικαίως, καὶ σφόδρα ὑπὲρ τοῦ δήμου κεῖται. οὐκ ἐᾷ
53 τοῖς ὑπάρχουσι νόμοις ἐναντίον εἰσφέρειν, ἐὰν μὴ λύσῃ τὸν πρότερον κείμενον. τίνος ἕνεκα; πρῶτον μὲν ἵν' ὑμῖν ἐξῇ τὰ δίκαια ψηφίζεσθαι μετ' εὐσεβείας. εἰ γὰρ εἴησαν δύο τινὲς ἐναντίοι νόμοι, καί τινες ἀντιδικοῖ παρ' ὑμῖν ἀγωνίζοιντο, ἢ περὶ δημοσίων, ἢ περὶ ἰ-
54 δίων πραγμάτων, ἀξιοῖ δ' ἑκάτερος νικᾶν, μὴ τὸν αὐτὸν δεικνύων νόμον, οὔτ' ἀμφοτέροις ἔνι δήπου ψηφίσασθαι· πῶς γάρ; οὔτε θατέρῳ ψηφιζομένους εὐορκεῖν· παρὰ γὰρ τὸν ἐναντίον νόμον, ὄντα δὲ ὁμοίως κύ-
55 ριον, ἡ γνῶσις συμβαίνει. τοῦτό τε οὖν ὑπὲρ ὑμῶν φυλαττόμενος ταῦτα προεῖπε, καὶ ἔτι πρὸς τούτοις, βουλόμενος φύλακας ὑμᾶς τῶν νόμων καταστῆσαι. ᾔδει γὰρ ἐκεῖνο, ὅτι τὰς ἀρχάς, ἃς γέγραφεν αὐτῶν φυλακάς, ἔστι πολλαχοῦ διακρούσασθαι. τοὺς συνηγόρους, οὓς χειροτονεῖτε, δύναιτ' ἂν πεῖσαί τις σιωπᾶν. ἐκτιθέναι κελεύει τοῦ προ-
56 θεῖναι πάντας. ὡς τάχ' ἄν, εἰ τύχοι, τοὺς μὲν ἀντειπόντας ἄν, εἰ μὴ προαίσθοιντο, λάθοι. οἱ δ' οὐδὲν προσέχοντες ἀγνοοῖεν ἄν. ἀλλὰ γράψασθαι νὴ Δί' ἔξεστιν, ὃ κἀγὼ νυνὶ πεποίηκα. κἂν ἐνταῦθ' ἀπαλλάξῃ τις τὸν ἐπιστάντα, ἡ πόλις παρακέκρουσται. τίς οὖν μόνη φυλακὴ καὶ δικαία καὶ βέβαιος τῶν νόμων; ὑμεῖς
57 οἱ πολλοί. οὔτε γὰρ τὸ γνῶναι καὶ δοκιμάσαι τὸ βέλτιον ἐξελέσθαι δύναιτ' ἂν ὑμῶν οὐδὲ εἷς, οὔτε ἀπαλλάξας καὶ διαφθείρας πεῖσαι τὸν χείρονα θέσθαι νόμον ἀντὶ τοῦ κρείττονος. διὰ ταῦτα πάντα ἐφ' ἑκάστην ἀπαντᾷ τὴν ὁδὸν τῶν ἀδικημάτων, κωλύων, καὶ οὐκ ἐῶν βαδίζειν τοὺς ἐπιβουλεύοντας ὑμῖν. ταῦτα πάντα Τιμοκράτης, οὕ-
58 τω καλῶς καὶ δικαίως κείμενα, ἠφάνισεν, ὅσον ἦν ἐπὶ τούτῳ, καὶ νόμον εἰσήνεγκεν ἅπασιν ἐναντίον, ὡς ἔπος εἰπεῖν, τοῖς οὖσιν, οὐ παραναγνούς, οὐ λύσας, οὐ δοὺς αἵρεσιν, οὐκ ἄλλο ποιήσας οὐδὲν τῶν προσηκόντων. ὡς μὲν οὖν ἔνοχος τῇ γραφῇ καθέστηκεν,

52 Πολλῶν δὲ καλῶν κειμένων νόμων) Δεῖ μὴ μόνον θεῖναι τὰ ῥήματα τῶν νόμων, ἀλλὰ καὶ ἐγκωμιάζειν πρὸς σύστασιν μείζονα.

53 Μετ' εὐσεβείας) Πρῶτον τὸ περὶ τῆς εὐορκίας τῶν δικαστῶν παρείληφεν, ἵνα οἰκεῖον ἀποφήνῃ τῶν δικαζόντων τὸν νόμον, καὶ οὕτως ὡς περὶ οἰκείου πίστιν συναγωνίζεσθαι· τοῖς γὰρ οἰκείοις ἅπαντες συμπράττειν πεφύκαμεν.

*Οἱ.

54 Οὔτ' ἀμφοτέροις) Εἰ γὰρ ψηφιζόμενοι τὸν νόμον, ἐν τῷ ἑτέρῳ δοκεῖ τις ἐπιορκεῖν, μὴ κἀκεῖνον ψηφιζόμενοι, εἴγε καὶ οἱ δύο νόμοι κύριοι εἰσίν.

55 Ἡ γνῶσις συμβαίνει) Ἀντὶ τοῦ ἡ κρίσις. ὅ ἐστι, συμβαίνει τὴν κρίσιν ὑμῶν παραβαίνειν τὸν ἕνα νόμον, καὶ
56 ταῦτα ὄντα κύριον. Ὃ κἀγὼ νυνί) Ὅρα πῶς ἀξιοπίστως εἰς μέσον τῶν φυλακῶν ἑαυτὸν ἐπέταξεν ὁ ῥήτωρ.

57 Ἐφ' ἑκάστην ἀπαντᾷ) Καλῶς εἶπε τὸ ἀπαντᾷ, ὡς ἐπὶ ἐμποδίσματός τινος, καὶ προβολῆς. διὸ καὶ ἐμμένων τῇ τροπῇ, ἐπήγαγε καὶ τὸ, βαδίζειν.

58 Ὅσον ἦν ἐπὶ τούτῳ) Ἐπειδὴ κατὰ τὸ ἀληθὲς οὐκ ἐξήλειψε, προσέθηκε τὸ, ὅσον ἧκεν εἰς τοῦτον. Οὐ παραναγνούς, οὐ λύσας, οὐ δοὺς αἵρεσιν) Οὐ παραναγνοὺς τοῦτον ἐκείνῳ· οὐ λύσας τὸν ἐναντίον, οὐ δοὺς αἵρεσιν, πότερον τοῦτον, ἢ ἐκεῖνον βούλεσθε. χαρίεν δὲ τὸ κατὰ αἵρεσιν σχῆμα τοῦ λόγου, οὐ παραναγνούς, οὐ λύσας, καὶ ἑξῆς. ἔτι δὲ τὸ εἶδος τοῦτο τοῦ σφοδροτέρου, καὶ ἐπιφορικωτέρου μᾶλλον. ἀθρόα δὲ τὰ ἐγκλήματα εἰσήγαγε, πυκνῇ χρησάμενος τῇ κατὰ ἄρνησιν ἀπαριθμήσει καὶ μακροπέρᾳ.

ψηφιζομένοις
ἀγνοοῖεν.
βεβαία καὶ δίκαιος α.
χείρω αν.
ἐξήλειψεν.
παραναγνούς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κεν; ἐναντίον εἰσενήνοχως τοῖς οὖσι νόμοις, οἶμαι
λύσας ὑμᾶς ᾐσθῆσθαι. ἵνα δὲ εἰδῆτε πρῶτον οἷος νό-
μος οἷον ὄντα εἰσήνεγκεν, ἀναγνώσεται πρῶτον ὑμῖν 59
αὐτὸν τοῦτον νόμον· εἶτα καὶ τοὺς ἄλλους, οἷς ἐστὶν ἐναν-
τίος ἐστίν. Αναγίγνωσκε.

Νόμος.

Ἐπὶ τῆς πανδιονίδος πρώτης, δωδεκάτῃ τῆς
πρυτανείας, Τιμοκράτης εἶπε. καὶ εἴ τινι τῶν ὀφει- 60
λόντων τῷ δημοσίῳ προστετίμηται κατὰ νόμον, ἢ κατὰ
ψήφισμα δεσμοῦ, ἢ τὸ λοιπὸν προστιμηθῇ, εἶναι αὐ-
τῷ, ἢ ἄλλῳ ὑπὲρ ἐκείνου, ἐγγυητὰς καταστῆσαι τοῦ ὀ-
φλήματος, οὓς ἂν ὁ δῆμος χειροτονήσῃ, ἦ μὴν ἐκ-
τίσειν τὸ ἀργύριον, ὃ ὦφλε. τοὺς δὲ προέδρους ἐπι- 61
χειροτονεῖν ἐπάναγκες, ὅταν τις καθιστάναι βούληται.
τὸν δὲ καταστήσαντα τοὺς ἐγγυητὰς, ἐὰν ἀποδῷ τῇ
πόλει τὸ ἀργύριον, ἐφ᾽ οἷς κατέστησε τοὺς ἐγγυητὰς,
ἀφεῖσθαι τοῦ δεσμοῦ. ἐὰν δὲ μὴ καταβάλῃ τὸ ἀρ-
γύριον ἢ αὐτὸς, ἢ οἱ ἐγγυηταὶ ἐπὶ τῆς ἐνάτης πρυ- 62
τανείας, τὸν μὲν ἐξεγγυηθέντα δεδέσθαι, τῶν δὲ ἐγ-
γυητῶν, δημοσίαν εἶναι τὴν οὐσίαν. περὶ δὲ τῶν ὠνου-
μένων τὰ τέλη, καὶ τῶν ἐγγυωμένων καὶ ἐκλεγόν-
των, καὶ τῶν τὰ μισθώματα μισθουμένων, καὶ τῶν
ἐγγυωμένων, τὰς πράξεις εἶναι τῇ πόλει κατὰ τοὺς νό- 63
μους τοὺς κειμένους. ἐὰν δ᾽ ἐπὶ τῆς ἐνάτης πρυ-
τανείας ὄφλῃ τοῦ ὑστέρου ἐνιαυτοῦ, ἐπὶ τῆς ἐνάτης,
ἢ δεκάτης πρυτανείας ἐκτίνειν. Ακηκόατε μὲν τοῦ
νόμου. μνημονεύετε δ᾽ ἐξ αὐτοῦ μοι πρῶτον μὲν,
τὸ, καὶ εἴ τινι τῶν ὀφειλόντων δεσμοῦ προστετίμηται, ἢ 64
τὸ λοιπὸν προστιμηθῇ. ἔπειθ᾽ ὅτι πλὴν περὶ τῶν τε-
λωνῶν, καὶ περὶ τῶν μισθουμένων, καὶ ὅσοι ταῦτα ἐγ-
γυῶνται, χρῆσθαι κελεύει τῷ νόμῳ, ὅλως μὲν γὰρ
ἐστὶν ὅδε γε ἅπασιν ἐναντίος τοῖς οὖσι. μάλιστα δὲ
ταῦτα γνώσεσθε, ἀκούοντες τοὺς νόμους αὐτούς. 65
Λέγε.

Νόμοι.

Διοκλῆς εἶπε, τοὺς νόμους τοὺς πρὸ εὐκλείδου τε-
θέντας ἐν δημοκρατίᾳ, καὶ ὅσοι ἐπ᾽ εὐκλείδου ἐτέ-
θησαν, καὶ εἰσὶν ἀναγεγραμμένοι, κυρίους εἶναι. τοὺς
δὲ μετ᾽ εὐκλείδην τεθέντας, καὶ τὸ λοιπὸν τιθεμένους, 66
κυρίους εἶναι ἀπὸ τῆς ἡμέρας, ἧς ἕκαστος ἐτέθη, πλὴν
εἴ τῳ προσγέγραπται χρόνος ὅν τινα δεῖ ἄρχειν.
ἐπιγράψαι δὲ, τοῖς μὲν νῦν κειμένοις, τὸν γραμμα-
τέα τῆς βουλῆς, τριάκοντα ἡμερῶν. τὸ δὲ λοιπὸν, ὃς

Left margin notes: τὸν δὲ καταστήσαντα. ὠ. ῷ.α. — γρ. ὅλος. — γρ. ἀκούσαντες. — ἀφ᾽ οὗ.

Ἵνα δὲ εἰδῆτε) Ἀπ᾽ αὐτῆς τῆς 58
ἀναγνώσεως τοῦ Τιμοκράτους νόμου
τῆς κατηγορίας ἀρχόμενος, ἐνδεί-
κνυσι τὴν κατασκευὴν, καὶ ταῖς ἀπο-
δείξεσι τῶν νόμων, τῶν κελευόντων ἐξεῖ-
ναι κατηγορεῖν τοῦ ὑπεναντίον εἰσφε-
ρόντων νόμον, ἐπειδὴ τεθάρρηκε τού-
τῳ τῷ μέρει καὶ προσποιεῖται λαμ-
πρῶς ἰσχύειν. ἐμποιεῖ γὰρ διὰ τῆς δια-
τριβῆς ταύτης τοῖς ἀκούουσιν ἔννοι-
αν, ὅτι οὐκ ἂν πλείονα λόγον ἐποιή-
σατο, μὴ ἔχων ἰσχυρὰν τὴν ἀπόδει-
ξιν, τοῦ τὸν Τιμοκράτους νόμον ὑπε-
ναντίον εἶναι τοῖς κειμένοις. Περὶ δὲ 62
τῶν ὠνουμένων) Ὠνουμένων ἐνταῦθα
λέγει, οὐκ ἀγοραζόντων, ἀλλὰ μισθου-
μένων. οὐδεὶς γὰρ τὰ τέλη τὰ δημό-
σια ἠγόραζεν. ἐκλεγόντων δὲ, ἐπι-
τετραμμένων τινῶν ἀπαιτεῖν τὰ τέ-
λη. οὐ γὰρ λέγει αὐτοὺς τοὺς τελώνας.
ἰστέον δὲ ὅτι ἐγγυητὰς παρεῖχον οἱ τε-
λῶναι ἐξ ἀρχῆς, ἵνα ἕως τῆς ἐνάτης
πρυτανείας, εἰ μὴ καταβάλοιεν τὰ
διπλᾶ, ἀνάγκην ἔχοιεν ἢ οὗτοι, ἢ ἐ-
κεῖνοι καταβάλλειν. καὶ πάντες οἱ χρεω-
στοῦντες τοῦτο ἐποίουν ὡς εὐθὺς ὅσοι
ἐχρεώστουν τῇ πόλει, ἀνάγκην εἶχον
δοῦναι ἐγγυητὰς, ὅτι πρὸ τῆς ἐν-
νάτης πρυτανείας καταβάλλουσι. καὶ
ἔμενον ἄτιμοι ἕως οὗ κατέβαλον.
εἰ δὲ παρεγένετο ἡ ἐνάτη πρυτα-
νεία, καὶ μὴ κατέβαλον, τότε καὶ
ἐδεσμοῦντο, καὶ τὰ διπλᾶ κατέ-
βαλλον, καὶ οὐκέτι ἐξῆν αὐτοῖς πα-
ραιτεῖσθαι περὶ τῶν διπλῶν. ἅπερ νῦν
βούλεται λῦσαι ὁ Τιμοκράτης, λέ-
γων μὴ ἐγγυητὰς παρέχειν ἐξ ἀρχῆς,
ἀλλ᾽ ἐν τῇ ἐνάτῃ πρυτανείᾳ, ἵνα ἐν
αὐτῷ τῷ μηνὶ ὅλοι δυνηθῶσι κα-
ταβάλλειν, καὶ μὴ τὰ διπλᾶ, ἀλλὰ ἁ-
πλᾶ. ἐὰν δέ φησι μὴ καταβάλωσι
μηδὲ ἐν τῇ ἐνάτῃ πρυτανείᾳ τότε
δεσμεῖσθαι. Διοκλῆς εἶπεν) Ὄνο- 65
μα νομοθέτου τινός. Πρὸ εὐκλεί-
δου) Εὐκλείδης ἄρχων ἐγένετο παρ᾽
ἀθηναίοις μετ᾽ ὀλίγον χρόνον τῶν
τριάκοντα. ἄξιον δὲ ἐστὶ ζητῆσαι,
διὰ τί εἶπε τοὺς πρὸ εὐκλείδου νό-
μους, καὶ τοὺς μετ᾽ αὐτὸν, ἄρχειν δεῖ
κυρίους εἶναι. λέγομεν, ἐπειδὴ περ,
ὡς εἴπομεν, μετ᾽ ὀλίγον χρόνον τῶν
τριάκοντα οὗτος ἐγένετο, μεταξὺ δὲ
αὐτοῦ, καὶ τῶν τριάκοντα, ἐν ἐκεί-
νῳ τῷ ὀλίγῳ χρόνῳ δημοκρατία ἦν
παρὰ ἀθηναίοις, καὶ μετ᾽ αὐτὸν
πάλιν δῆλον, διὰ τοῦτο εἶπε τοὺς πρὸ
αὐτοῦ καὶ μετ᾽ αὐτόν. Πλὴν εἴ τῳ 66
χρόνος προσγέγραπται) Τοῦτο μέμ-
φονταί τινες, ὅτι τὸν Τιμοκράτους νό-
μον μεμφόμενος, αὐτὸ τοῦτο νῦν ἀ-

Right margin notes: γρ. ἕως οὗ καταβάλωσι. — ὅλῳ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

67 ἂν τυγχάνῃ γραμματεύων, προσγραφέτω παραχρῆμα *τῷ νόμῳ κύριον εἶναι ἀπὸ τῆς ἡμέρας, ἧς [*γρ. τὸν νόμον]
ἐτέθη. Καλῶς ἐχόντων, ὦ ἄνδρες δικασταί, τῶν ὑπαρχόντων νόμων, ὅδε ὁ νῦν ἀναγνωσθεὶς νόμος, ὥσπερεὶ διώρισε καὶ βεβαιοτέρους ἐποίησεν αὐτούς. κελεύει γὰρ
68 ἕκαστον, ἀφ' ἧς ἡμέρας ἐτέθη, κύριον εἶναι, πλὴν εἴ τῳ χρόνος προσγέγραπται. τούτῳ δέ, τὸν γεγραμμένον ἄρχειν. διὰ τί; ὅτι πολλοῖς τῶν νόμων *προσγέγραπται, τὸν δὲ νόμον εἶναι κύριον τόνδε ἀπὸ τοῦ μετὰ τὸν νῦν [*προσγέγραπται. α.]
ἄρχοντα. ὕστερον δὲ γράφων ὁ τιθεὶς ἐπὶ τούτοις τόνδε
69 τὸν νόμον τὸν ἀνεγνωσμένον, οὐκ ἐνόμιζε δίκαιον εἶναι, τοὺς αὐτοὺς τῶν νόμων ἀναγεγραμμένους ὕστερον ἢ ἐτέθησαν, κυρίους εἶναι ἀνενεγκεῖν ἐπὶ τὴν ἡμέραν, ἀφ' ἧς ἐτέθησαν, *καὶ πρότερον ποιῆσαι κυρίους, ἢ ὁ [*γρ. καὶ μὴ πρὶ.]
θεὶς ἕκαστον ἠξίωσε. τούτῳ μὲν τῷ νόμῳ σκέψασθε
70 ὡς ἐναντίος ἐστὶν ὃν οὗτος τέθεικεν. ὁ μέν γε κελεύει, τὸν γεγραμμένον χρόνον, ἢ τὴν ἡμέραν, ἀφ' ἧς ἂν τεθῇ, *κυρίαν εἶναι. ὁ δ' ἔγραψε, καὶ εἴ τινι προστετίμηται, [*κύριον]
περὶ τῶν παρεληλυθότων λέγων. καὶ οὐδὲ τοῦτο ὥρισεν ἄρχοντα προσγράψας, ἀφ' οὗ· ἀλλὰ
71 πεποίηκεν οὐ μόνον ἀπὸ τῆς ἡμέρας, ἐν ᾗ τέθεικε, κύριον τὸν νόμον, ἀλλὰ καὶ πρὸ τοῦ γενέσθαι τινὰ ἡμῶν. ἀόριστον γὰρ ἅπαντα τὸν παρεληλυθότα περιείληφε χρόνον. καί τοι χρῆν σε, ὦ Τιμόκρατες, ἢ τοῦτον μὴ γράφειν, ἢ ἐκεῖνον λύειν. καὶ οὐχ ἵνα
72 ὁ βούλει σύ, γένηται, πάντα τὰ πράγματα συνταράξαι. Λέγε ἄλλον νόμον.

Νόμος.

Μηδὲ περὶ τῶν ἀτίμων ὅπως χρὴ ἐπιτίμους αὐτοὺς εἶναι, μηδὲ περὶ τῶν ὀφειλόντων τοῖς θεοῖς, ἢ τῷ δημοσίῳ τῶν Ἀθηναίων περὶ ἀφέσεως τοῦ ὀφλήματος,
73 ἢ τάξεως, ἐὰν μὴ ψηφισαμένων Ἀθηναίων τὴν ἄδειαν πρῶτον, μὴ ἔλαττον ἑξακισχιλίων, οἷς ἂν δόξῃ, κρύβδην ψηφιζομένοις. τότε δ' ἐξεῖναι χρηματίζειν, καθ' ὅ, τι ἂν τῇ βουλῇ καὶ τῷ δήμῳ δοκῇ. Ἄλλος οὗτος νόμος, οὐκ ἐῶν περὶ τῶν ἀτίμων, οὐδὲ τῶν ὀφειλόντων λέγειν, οὐδὲ χρηματίζειν περὶ ἀφέσεως τῶν ὀφλη-
74 μάτων, ἢ τάξεως, ἐὰν μὴ τῆς ἀδείας δοθείσης, καὶ ταύτης μὴ ἔλαττον, ἢ ἑξακισχιλίων ψηφισαμένων. οὗτος δ' *ἔγραψεν ἄντικρυς, καὶ εἴ τινι τῶν ὀφειλόντων δεσμοῦ [*ἀνέγραψεν]
προστετίμηται, εἶναι τὴν ἄφεσιν, πορισαμένῳ τοὺς ἐγγυησομένους, οὐ προστεθέντος οὐδενὸς περὶ τούτων, οὐδὲ δοθείσης ἀδείας λέγειν. καὶ ὁ μὲν νόμος, οὐδ' ἐπει-
75 δὰν τὴν ἄδειαν εὕρηταί τις, ἔδωκεν ὡς ἂν βούληται πράττειν, ἀλλ' ὡς ἂν τῇ βουλῇ καὶ τῷ δήμῳ δοκῇ. τῷ δ' οὐκ ἀπέχρησε τοῦτ' ἀδικεῖν μόνον, εἰ μὴ δοθείσης ἀδείας λέγει, καὶ νόμον εἰσφέρει περὶ τούτων, ἀλλὰ καὶ προσέτι οὐκ εἰς τὴν βουλήν, οὐκ εἰς τὸν δῆμον εἰπών, περὶ τούτων *οὐδὲν ἐν παραβύστῳ, τῆς [*οὐδ' ἐν παραβύστῳ.]
76 βουλῆς μὲν ἀφειμένης, τῶν δὲ ἄλλων διὰ τὴν ἑορτὴν ἱερομηνίαν ἀγόντων,

λάθρα

---

ποδέχεται τοῦ παλαιοῦ νόμου. λεγομένου, ὅτι δεῖ ἐπὶ τοῦ μέλλοντος εἰπεῖν, ὁ Δημοσθένης. ὁ δὲ Τιμοκράτης καὶ περὶ τοῦ παρελθόντος. καὶ ἐπαινεῖ τὴν αἰτίαν ὁ ῥήτωρ, δι' ἣν τινες χρόνον προσγράφουσι τοῖς ἰδίοις νόμοις, τὴν *αἰτίαν προσθείς. [*ἀνάγκην.] Ἐπὶ
68 τούτοις ὁ τιθεὶς τόνδε) Ὅ ἐστιν ἐπὶ τοῖς πράγμασι τούτοις τοῖς λέγουσι
72 περὶ τοῦ νομοθετεῖν. Μηδὲ περὶ τῶν ἀτίμων) Τὸ ἐναντίον τοῦ ἀτίμου, ἐπίτιμος. *κατὰ κοινοῦ δὲ τό, κελεύει ὁ νόμος. [*ἀπό.] Περὶ ἀφέσεως) Ἄλλο καλεῖ ἄφεσιν, καὶ ἄλλο καλεῖ τάξιν. ἄφεσιν μὲν οἷον ὅταν ὁ χρεωστῶν προφασίζηται πενίαν, ἢ ἄλλο τι, καὶ βούληται παρακαλέσαι τὸν δῆμον μὴ περὶ παντελοῦς ἀπαλλαγῆς τοῦ χρέους, ἀλλὰ περὶ μέρους, ἵνα μέρος μὲν καταβάλῃ, τὸ δ' ἄλλο μέρος συγχωρηθῇ. τοῖς οὖν περὶ τούτου, φησίν, παρακαλοῦσι μὴ ἐξεῖναι τοῖς προέδροις τούτοις χρηματίζειν ἐκκλησίαν, ἤγουν ὑποβάλλειν τῷ δήμῳ. τὰ δύο γὰρ σημαίνει ἡ λέξις, καὶ τὸ πράττειν, καὶ τὸ ὑποβάλλειν.

73 Κρύβδην) Οὐ λέγει δικαστῶν, ἀλλὰ ἐκ τοῦ δήμου τινῶν μιμουμένων δικαστάς. διὸ καὶ ἐπάγει τὸ οἰκεῖον τῶν δικαστῶν, τὸ κρύβδην. τὸ δὲ εὖ προστεθέντος οὐδενός, ἀντὶ τοῦ οὐ συναχθείσης ἐκκλησίας τῆς περὶ τὸν ἀνδροπίωνα.
75 Ἐν παραβύστῳ) Ἀντὶ τοῦ λάθρα. ἐκ μεταφορᾶς τῶν παραπληρωμάτων τῶν ἐμβαλλομένων ἐν ταῖς οἰκοδομίαις ἔνδον, καὶ κρύφα τῶν φαινομένων, βύσαι τὸ στόμα τῶν ῥητό-

λάθρα τὸν νόμον εἰσήνεγκε. καί τοι χρῆν σε, ὦ Τιμό-
κρατες, εἰδότα τὸν νόμον τόνδε, ὃν ἀνέγνων, εἴ τι δίκαιον
ἐβούλου πράττειν, πρῶτον μὲν πρόσοδον γράψα-
σθαι πρὸς τὴν βουλήν· εἶτα τῷ δήμῳ διαλε- 77
χθῆναι· καὶ οὕτως, εἰ πᾶσιν Ἀθηναίοις ἐδόκει, γρά-
φειν καὶ νομοθετεῖν περὶ τούτων, καὶ τότε τοὺς χρόνους
ἀναμείναντα τοὺς ἐκ τῶν νόμων, ἵνα τοῦτον τὸν τρόπον
πράττων, εἰ καί τις ἐπεχείρει δεικνύειν οὐκ ἐπιτήδειον
*γε δοκοίης. ὄντα τῇ πόλει τὸν νόμον, μὴ οὕτως ἐπιβεβουλευκέναι *γ' ἐδό- 78
κεις, ἀλλὰ γνώμῃ διαμαρτὼν ἀποτυχεῖν. νῦν δὲ τὸ
λάθρα, καὶ ταχὺ, καὶ παρὰ τοὺς νόμους ἐμβαλεῖν τὸν
νόμον εἰς τοὺς νόμους, καὶ μὴ θεῖναι, πᾶσαν ἀφήρησαι
*ἁμαρτάνουσι. α. σαυτοῦ τὴν συγγνώμην. τοῖς γὰρ ἄκουσιν *ἁμαρτοῦ-
σι, μέτεστι συγγνώμης, οὐ τοῖς ἐπιβουλεύσασιν, ὃ σὺ 79
νῦν εἴληψαι ποιῶν. ἀλλὰ γὰρ αὐτίκα ἐρῶ περὶ τού-
των. νῦν δ' ἀναγίγνωσκε τὸν ἑξῆς νόμον.

## Νόμος.

Ἐὰν δέ τις ἱκετεύῃ ἐν τῇ βουλῇ, ἢ ἐν τῷ δήμῳ,
περὶ ὧν δικαστήριον, ἢ βουλὴ, ἢ ὁ δῆμος κατέγνω, ἐὰν 80
*ἱκετεύσῃ. α. μὲν αὐτὸς ὀφείλων *ἱκετεύῃ πρὶν ἐκτῖσαι, ἔνδειξιν εἶναι
κατ' αὐτοῦ, καθάπερ ἐάν τις ὀφείλων τῷ δημοσίῳ ἡ-
λιάζηται. ἐὰν δ' ἄλλος ὑπὲρ τοῦ ὠφληκότος ἱκετεύῃ
πρὶν ἐκτῖσαι, δημοσία ἔστω αὐτοῦ ἡ οὐσία πᾶσα. ἐὰν
δέ τις τῶν προέδρων δῷ τινὶ τὴν ἐπιχειροτονίαν, ἢ 81
αὐτῷ τῷ ὠφληκότι, ἢ ἄλλῳ ὑπὲρ ἐκείνου πρὶν ἐκτῖσαι,
ἄτιμος ἔστω. Ἔστι μὲν ἔργον, ὦ ἄνδρες δικασταί, εἰ περὶ
πάντων τῶν νόμων, οἷς οὗτος ἐναντίον εἰσενήνοχεν, ἐροῦ-
μεν. ἄξιον δὲ εἴπερ περί του καὶ ἄλλου, καὶ περὶ τοῦδε, ὃν
νῦν ἀνέγνω, διελθεῖν. ὁ γὰρ τὸν νόμον τοῦτον, ὦ ἄνδρες Ἀθη- 82
ναῖοι, θεὶς, ᾔδει τὴν φιλανθρωπίαν καὶ τὴν πραότητα τὴν
ὑμετέραν. καὶ διὰ ταύτην ἑώρα περὶ πολλῶν ὑμᾶς
ἑκόντας ἤδη ποτὲ μεγάλα ζημιωθέντας. βουλόμενος
δὴ μηδεμίαν πρόφασιν τοῦ τὰ κοινὰ κακῶς ἔχειν
ὑπολιπεῖν, τοὺς μετὰ τῶν νόμων κρίσει καὶ δικαστηρίῳ, 83
μὴ δίκαια ποιεῖν ἐγνωσμένους, οὐκ ᾤετο δεῖν τῆς εὐη-
θείας τῆς ὑμετέρας ἀπολαύειν, τὸ δεῖσθαι, καὶ μετὰ συμ-
φορᾶς ἱκετεύειν, ἔχοντας ἀφορμήν· ἀλλ' ὅλως ἀπεῖ-
πε, μήτ' αὐτῷ, μήτ' ἄλλῳ μηδενὶ, μήτε ἱκετεύειν, μή-
τε λέγειν ὑπὲρ τῶν τοιούτων, ἀλλὰ ποιεῖν τὰ δίκαια σιγῇ. 84

Εἰ τοίνυν τις ἔροιθ' ὑμᾶς, ποτέροις μᾶλλον ἂν εἰκότως ποιήσαισθ' ὁτιοῦν, τοῖς δεομέ-
νοις, ἢ τοῖς ἐπιτάττουσιν, οἶδ' ὅτι φήσαιτ' ἂν τοῖς δεομένοις. τὸ μὲν γὰρ, χρηστῶν· τὸ δὲ,
ἀνάνδρων ἀνθρώπων ἔργον ἐστίν. οὐκοῦν οἱ νόμοι μὲν ἅπαντες προστάττουσιν ἃ χρὴ

ρων. Ἄλλως. Οὕτως ἐκαλεῖτό τι τῶν
παρ' Ἀθηναίοις δικαστηρίων, ἐν ᾧ ἐ-
δίκαζον οἱ ἕνδεκα. Τοὺς χρόνους 77
ἀναμείναντα) Δηλονότι τὴν τρίτην
ἐκκλησίαν. Γνώμῃ διαμαρτών) Ὅ 78
77 ἐστιν ἐκ λήθης τοῦτο ποιεῖν καὶ ἐκ τοῦ ἐκ-
κρουσθῆναι. τὸ δὲ ἐμβαλεῖν τὸν νόμον, ἐμ-
φαντικὴ ἡ λέξις ὡς ἐπὶ λῃστοῦ τινὸς
βουλομένου λάθρα ἐμβαλεῖν καὶ φυγεῖν.
παρενέβαλεν οὖν καὶ ὁ Τιμοκράτης τὸν
αὐτοῦ νόμον, τὸν μὴ ὄντα νόμον τοῖς οὖσι
κυρίοις. Καὶ μὴ θεῖναι) Τὸ γὰρ οὕτω
78 παρανόμως θεῖναι, τοῦτο δεῖ καλεῖν
μὴ θεῖναι. Ἀλλὰ γὰρ αὐτίκα ἐρῶ) 79
Ὑπερτίθεται εἰς ὕστερον εἰπεῖν εἴτε ἄ-
κων, εἴτε ἑκὼν τοῦτο ἐποίησε. τοῦτο γὰρ ὕστε-
ρον τοῦ νομίμου ὀφείλει τάξαι. νῦν γὰρ
περὶ τοῦ ὅλως εἰ ἔννομός ἐστιν αὐτοῦ ὁ
νόμος, προήκει αὐτῷ δεῖξαι. Ἀνα-
79 γίνωσκε τὸν ἑξῆς νόμον) Ἰστέον ὅτι οὗτος
ὁ νόμος οὐκ ἔστιν ἄλλος παρὰ τὸν προ-
ειρημένον, ἀλλὰ μέρος αὐτοῦ. βουλόμε-
νος δὲ ὁ ῥήτωρ δεῖξαι τὸν Τιμοκράτην
πολλοὺς παραβεβηκότα νόμους, με-
ρίζει τὸν ἕνα εἰς δύο, ὥσπερ καὶ ἐν ἄλ-
λοις. Ἔστι μὲν ἔργον, ὦ ἄνδρες δικα- 80
80 σταί) Δυσχερὲς παρὰ τὸ τοὺς ἐν ἔργῳ
ἀεὶ ὄντας μοχθεῖν. σοφιστικὸν δὲ ἐνταῦ-
θα τὸ ἐπιχείρημα· ὁ μὲν γὰρ νόμος ὁ τοῦ
Τιμοκράτους, κελεύει τοὺς ὀφείλοντας,
ἐγγυητὰς καθιστάναι, ἕως ἂν ἐκτίσω-
σιν. οὑτοσὶ δὲ προστάττει μὴ δεῖν, ἵν'
ἐκτίσωσιν οἱ ὀφείλοντες. ὁ δὲ, *ἀπαγο- *ἀπαγορεύει.
ρεύων μὴ ἱκετεύειν περὶ ἀφέσεως τῶν
81 ὀφλημάτων. ἡ δὲ ἐργασία, παρὰ τὴν
διάνοιαν τοῦ νομοθέτου γέγονεν. ὅταν
μὲν γὰρ ἀμφίβολος καὶ ἀσαφὴς ᾖ καθ'
ὁμωνυμίαν, ἢ κατὰ τὸ ἐλλεῖπον, ἢ κατὰ τὸ
ἀπροσδιόριστον, τηνικαῦτα ἐξε-
τάζει τὴν διάνοιαν τοῦ νόμου. ὅταν δὲ ὁ
μὲν νόμος σαφὴς ὢν τυγχάνῃ, παρά-
82 δοξος δὲ ἄλλως, ἢ διὰ φιλανθρωπίαν
οὐκ ἐν δέοντι δοκοῦσα γίνεσθαι, ἢ δι' ὠμό-
τητα ὑπερβάλλουσα, τηνικαῦτα τεχνι-
κῶς ἐξετάζει τὴν διάνοιαν τοῦ γεγρα-
φότος, ὅπερ ἐνταῦθα Δημοσθένης ποι-
ῶν φαίνεται. ἐπειδὴ γὰρ ἐδόκει παντε-
λῶς ἀπάνθρωπον εἶναι τὸ μὴ ἐξεῖναι
83 ἱκετεύειν, λέγει τὴν αἰτίαν δι' ἣν ἀπεῖ-
πεν. Ἤδει τὴν φιλανθρωπίαν) Ἐπειδὴ 82
περ ἔχει ὁ νόμος μή τινα ἱκετεύειν, ἵνα
μὴ ὁ νόμος δοκῇ εἶναι ἀπάνθρωπος,
διὰ πλειόνων κατασκευάζει, ὡς διὰ
τὴν βλάβην ἀνεῖλε τὴν ἄκραν φι-
λανθρωπίαν. Οἱ νόμοι μέν) Καλῶς 84
84 ἐπὶ μὲν τοῦ Τιμοκράτους ἐπίταγμα



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἶπεν, ὅπερ ἦν τυράννου. ἐπὶ δὲ τὸν νό-
μον τι κουφότερον πρόσταγμα, ἵνα
ἐκεῖνος ὡς τύραννος εἶναι δοκῇ. δίχα
τινῶν ἰδιωτῶν, τοῦ μὲν, κατηγοροῦν-
86 τος, τοῦ δὲ, φεύγοντος. Ὅσων δίκη)
εὐθύνη. Δίκην καλεῖ τὴν περὶ ἐγκλημάτων
οἷον περὶ μοιχείας. εὔθυνα δὲ, ἀπο-
λογία ὧν τις δημόσια πιστευθεὶς διῴ-
κησεν, οἷον, πρεσβείαν ἢ ἱερωσύνην.
περὶ δὲ τοῦ λόγου τῆς εὐθύνης, ἤδη εἴ-
πομεν ὅτι προπαροξύνεται. τὸ δὲ ἐών-
των, ἀντὶ τοῦ ἐάτωσαν. ἀττικὴ δὲ ἡ φρά-
88 σις. Ὁ δ᾿ ἔγραψε τοῖς προέδροις)
Οἱ γὰρ πρόεδροι, ἐν τῷ δήμῳ εἰσῆγον.
οἱ δὲ ἄρχοντες οἱ θεσμοθέται, ἐν τῷ
89 δικαστηρίῳ. Τὰς δίκας καὶ τὰς διαί-
τας) Ἰστέον ὅτι ἐνταῦθα καταχρηστι-
κῶς καλεῖ τὰς δίκας τὰς κριθείσας ἐν
τῷ δικαστηρίῳ, εἴτε δημοσίας, εἴτε
ἰδιωτικάς. διαίτας δὲ, τὰς παρὰ τοῖς
90 διαιτηταῖς πέρας λαβούσας. Ἐπί-
σχες) Πρὸς τὸν γραμματέα λέγει τὸ
ἐπίσχες τὴν ἀνάγνωσιν. οὔτε γὰρ χρεία
ἐστὶ τὸν πάντα ἀναγνῶναι νόμον, ἀλλὰ
συμβαλλόμενον αὐτῷ πρὸς τὸν νῦν
ἀγῶνα. εἰσὶ δὲ αὗται θεραπεῖαι
ῥητορικαί. καὶ γὰρ πολλάκις καὶ μη-
δὲν ἔτι ἔχοντος τοῦ νόμου, προσποι-
εῖται κωλύειν τὸν γραμματέα, ἵνα δό-
ξῃ χαρίζεσθαι τοῖς δικασταῖς φεύ-
92 γων τὸ μῆκος τοῦ λόγου. Πότερον
τὰ δικαστήρια) Κατ᾿ ἐρώτησιν λαμ-

85 ποιεῖν οἱ τιθέντες τὰς ἱκετηρίας, δέονται. εἰ τοίνυν ἱκετεύειν οὐκ ἔξεστιν, ἦ που νόμον γ᾿ ἐπίταγμα ἔχοντα εἰσφέρειν; ἐγὼ μὲν οὐκ οἶμαι. καὶ γὰρ αἰσχρὸν περὶ ὧν μηδὲ χαρίζεσθαι δεῖν ὑπειλήφατε, περὶ τούτων ἀκόντων ὑμῶν ἐᾶν, ἅ τινες βούλονται, πραχθῆναι. Λέγε
86 τὸν μετὰ τοῦτον ἐφεξῆς νόμον.

Νόμος.

Ὅσων δίκη πρότερον ἐγένετο, ἢ εὔθυνα, ἢ διαδικασία περί του ἐν δικαστηρίῳ, ἢ ἰδία, ἢ δημοσία, ἢ τὸ δημόσιον ἀπέδοτο, μὴ εἰσάγειν περὶ τούτων εἰς τὸ δικαστήριον, μηδ᾿ ἐπιψηφίζειν τῶν ἀρχόντων μηδέ- [εὔθυνα. εὐθύνη]
87 να, μηδὲ κατηγορεῖν ἐώντων, ἃ οὐκ ἐῶσιν οἱ νόμοι.

Τιμοκράτης τοίνυν ὥσπερ μαρτυρίαν ὧν ἀδικεῖ γράφων, εὐθὺς ἀρχόμενος τοῦ νόμου, τἀναντία ἔθηκε τούτοις. ὁ μέν γε οὐκ ἐᾷ περὶ ὧν ἂν ἅπαξ γνῷ τὸ δικαστήριον, πάλιν χρηματίζειν. ὁ δ᾿ ἔγραψε, καὶ εἴ τινι
88 προστετίμηται κατὰ νόμον, ἢ κατὰ ψήφισμα, τὸν δῆμον τούτῳ χρηματίζειν, ὅπως ἂν μὲν ἔγνω τὸ δικαστήριον, λυθήσεται, καταστήσῃ δ᾿ ἐγγυητὰς ὁ ὄφλων. καὶ ὁ μὲν νόμος, μηδ᾿ ἐπιψηφίζειν φησὶ τῶν ἀρχόντων παρὰ ταῦτα μηδένα. ὁ δ᾿ ἔγραψε τοῖς προέδροις ἐπάναγ- [ὀφείλων]
89 κες, ἐὰν τις καθίζῃ, προσάγειν. καὶ προσέγραψεν, ὁπότ᾿ ἂν τις βούληται. Λέγε δ᾿ ἕτερον νόμον.

Νόμος.

Τὰς δίκας καὶ τὰς διαίτας, ὅσαι ἐγένοντο ἐπὶ τοῖς νόμοις ἐν δημοκρατουμένῃ πόλει, κυρίας εἶναι. Οὔ φησι Τιμοκράτης, οὐκοῦν ὁπόσοις γ᾿ ἂν δεσμοῦ προστι-
90 μηθῇ. Λέγε.

Νόμος.

Ὁπόσα δ᾿ ἐπὶ τῶν τριάκοντα ἐπράχθη, ἢ δίκη ἐδικάσθη, ἢ ἰδία, ἢ δημοσία, ἄκυρα εἶναι. Ἐπίσχες. εἰπέ μοι τί δεινότατον πάντες ἂν ἀκούσαντες φήσαιτε, καὶ τί ἂν μάλιστα ἀπεύξαισθε. οὐχὶ ταῦτα τὰ πράγματα, ἅπερ ἦν ἐπὶ τῶν [φήσητε. ἀπεύξησθε.]
91 τριάκοντα, μὴ γενέσθαι; ἔγωγ᾿ οἶμαι. ὁ τοίνυν νόμος οὑτοσὶ εὐλαβούμενος, ὡς ἐμοὶ δοκεῖ, τὸ τοιοῦτον, ἀπεῖπε τὰ πραχθέντα ἐπ᾿ ἐκείνων, μὴ κύρια εἶναι. οὑτοσὶ τοίνυν τὴν αὐτὴν κατέγνω παρανομίαν τῶν ἐπὶ τῆς δημοκρατίας πεπραγμένων, ἥνπερ τῶν ἐπ᾿ ἐκείνων ὑμεῖς. ὁμοίως γοῦν ἄκυρα ποιεῖ. καίτοι τί φή- [κἂν.]
92 σομεν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτον κύριον τὸν νόμον ἐάσαντες γενέσθαι; πότερον τὰ δικαστήρια, ἃ δημοκρατουμένης τῆς πόλεως ἐκ τῶν ὀμωμοκότων πληροῦται, ταὐτὰ ἀδικήματα τοῖς ἐπὶ τῶν τριάκοντα ἀδικεῖν; καὶ πῶς οὐ δεινόν; ἀλλὰ δικαίως ἐψηφίσθαι; τίνος οὖν ἕνεκα τὸν λύσοντα ταῦτα νόμον θέσθαι φήσομεν; [λύσαντα.]
93 πλὴν εἰ μὴ τοῦτό τις εἴποι μανέντες. ἄλλο γὰρ οὐκ ἔστιν εἰπεῖν. Λέγ᾿ ἕτερον νόμον.

Νόμος.

Μηδὲ νόμον ἐξεῖναι ἐπ᾿ ἀνδρὶ θεῖναι, ἐὰν μὴ τὸν αὐτὸν ἐπὶ πᾶσιν Ἀθηναίοις τιθῇ, ψηφισαμένων μὴ ἔλαττον ἑξακισχιλίων, οἷς ἂν δόξῃ, κρύβδην ψηφιζομέ-
94 νοις. Οὐκ ἐᾷ νόμον, ἀλλ᾿ ἢ τὸν αὐτὸν τίθεναι κατὰ τῶν πολιτῶν πάντων, καλῶς καὶ

δημοτικῶς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δημοτικῶς λέγων. ὥσπερ γὰρ τῆς ἄλλης πολιτείας ἴσον
μέτεστιν ἑκάστῳ, οὕτω καὶ τούτων ἴσον μετέχειν ἕκα-
στον ἀξιοῖ. δι' οὓς μὲν τοίνυν οὗτος εἰσέφερε τὸν νόμον,
ὑμεῖς οὐδὲν ἐμοῦ χεῖρον γιγνώσκετε. αὐτὸν δὲ τοῦτον,
αὐτὸς ὡμολόγησε μὴ ἐπὶ πᾶσι τὸν αὐτὸν τεθηκέναι, 95
πλὴν περὶ τῶν τελωνῶν, καὶ τῶν μισθουμένων, καὶ
τῶν τούτων ἐγγυητῶν, χρῆσθαι προσγέγραφε τῷ νό-
μῳ. οὐκοῦν ὁπότε εἰσί τινες, οὓς ἀφορίζεις, οὐκ ἂν ἔτι
εἴης ἐπὶ πᾶσι τὸν αὐτὸν τεθηκώς. καὶ μὴν, οὐδ' ἐκεῖ-
νό γ' ἂν εἴποις, ὡς, ὅσοις δεσμοῦ προστιμᾶται, τούτων 96
τὰ μάλιστα, ἢ τὰ μέγιστα ἀδικοῦσιν οἱ τελῶναι· ὥστε
μόνοις αὐτοῖς μὴ μεταδοῦναι τοῦ νόμου. πολὺ γὰρ δή-
που μᾶλλον οἱ προδιδόντες τι τῶν κοινῶν, ἢ οἱ τοὺς γο-
νέας κακοῦντες, ἢ οἱ μὴ καθαρὰς τὰς χεῖρας ἔχον-
τες, εἰσιόντες δ' εἰς τὴν ἀγορὰν, ἀδικοῦσιν. οἷς ἅπα- 97
σιν, οἱ μὲν ὑπάρχοντες νόμοι, δεσμὸν προσλέγουσιν. ὁ δὲ
σὸς, λελύσθαι δίδωσιν. ἀλλ' ἐνταῦθα πάλιν κατα-
μέμψει, ὑπὲρ ὧν ἐτίθεις. διὰ γὰρ τὸ μὴ τελωνήσαν-
τας, ὀφείλειν αὐτοὺς, ἀλλὰ κλέψαντας, μᾶλλον δὲ ἁρ-
πάσαντας τὰ χρήματα, διὰ τοῦτ' οὐκ ἐφρόντισας, 98
οἶμαι, τῶν τελωνῶν. πολλοὺς δ' ἂν τις ἔχοι νόμους ἔτι
καὶ καλῶς ἔχοντας δεικνύναι, οἷς πᾶσιν ἐναντίος ἐστὶν,
ὃν οὗτος τέθηκεν. ἀλλ' ἴσως ἐγὼ μὲν εἰ περὶ τούτων
ἐρῶ, ἐξωσθήσομαι, περὶ τοῦ μηδ' ἐπιτήδειον ὅλως
ὑμῖν εἶναι τὸν νόμον εἰπεῖν· ὑμῖν δ' ὁμοίως ἔνοχος φαίνε- 99
ται τῇ γραφῇ καὶ εἰ ἑνὶ τῶν ὄντων νόμων ἐναντίος ἐστί.
πῶς οὖν; δοκεῖ μοι τοὺς μὲν ἄλλους ἐᾶν, περὶ δ' οὗ
πρότερόν ποτε αὐτὸς οὗτος ἔθηκε, νόμον διελθόντα, ἐπ'
ἐκεῖνο ἰέναι τὸ μέρος τῆς κατηγορίας ἤδη, ὡς καὶ με-
γάλα ἂν βλάπτοι γενόμενος κύριος τὴν πόλιν. τὸ μὲν 100
οὖν τοῖς τῶν ἄλλων ἐναντίον εἰσενηνοχέναι νόμον, δεινὸν μὲν,
ἀλλ' ἄλλου δεῖται κατηγόρου. τὸ δὲ τῷ ὑφ' ἑαυτοῦ πρό-
τερον κειμένῳ νόμῳ τἀναντία θεῖναι, τοῦτ' ἤδη ποιεῖ
κατήγορον αὐτὸν αὑτοῦ γεγενῆσθαι. ἵν' οὖν τοῦτ' εἰδῆ-
τε γιγνόμενον, ἀναγνώσεται τὸν νόμον ὑμῖν αὐτὸν, ὃν 101
οὗτος ἔθηκεν. ἐγὼ δὲ σιωπήσομαι. Λέγε.

Νόμος.

Τιμοκράτης εἶπεν, ὁπόσοι Ἀθηναίων κατ' εἰσαγ-
γελίαν ἐκ τῆς βουλῆς, ἢ νῦν εἰσὶν ἐν τῷ δεσμωτηρίῳ,
ἢ τὸ λοιπὸν καταταθῶσι, καὶ μὴ παραδοθῇ ἡ κατάγνω- 102
σις αὐτῶν τοῖς θεσμοθέταις ὑπὸ τοῦ γραμματέως τοῦ
κατὰ πρυτανείαν, κατὰ τὸν εἰσαγγελτικὸν νόμον, δεδόχθαι

βαίνει ὧδε τὸ σχῆμα τοῦ διλήμματος.
Χεῖρον) Τὸ δὲ χεῖρον ἐνταῦθα, οὐ 94
λέγει κακὸν, ἀλλὰ ἔλαττον. Πλὴν 95
περὶ τῶν τελωνῶν) Ὁ μὲν Τιμοκρά-
της πάλιν καὶ ἐν τούτῳ καλῶς γρά-
φων ἔλεγε περὶ τούτων μὴ ἐγγυητὰς
εἶναι, ἀλλὰ εὐθὺς ἀπαιτεῖσθαι, ἐπειδὴ
τέλη ἀπῄτουν, καὶ ἅπερ ἐλάμβανον,
παρεῖχον. οἱ δὲ ἄλλοι, οὐκέτι ὁμοίως. ὁ
δὲ ῥήτωρ πάλιν ὡς κατήγορος, σοφί-
ζεται. Ἄλλως. Σοφίζεται διὰ τοῦ
δεσμοῦ, καὶ λέγει κακῶς τοὺς τελώνας,
ἐχάρισεν ὡς μάλα ἀδικοῦντας. καί-
τοι ἄλλους ἀφίησι τοῦ δεσμοῦ, μείζο-
να πλημμελήσαντας. οὐχ οὕτω δὲ
εἶχε. Τιμοκράτης γὰρ εἴρηκε τοὺς περὶ
ὀφλημάτων δεδεμένους μετ' ἐγγυη-
τῶν λελῦσθαι. ὁ δὲ σοφίζεται τῷ δε-
σμῷ, καὶ τῇ ὁμωνυμίᾳ. πάντας λέγων
λύεσθαι τοὺς δεσμευθέντας ἁπλῶς.
ἐπειδήπερ γὰρ τοὺς τελώνας ἀναγ-
καῖον ἦν καταβάλλειν, ἢ δέδεσθαι
τὸν ἐνιαυτὸν, καθ' ὃν ἐμισθώσαντο τὰ
τέλη, διὰ τοῦτο προσέθηκε, πλὴν περὶ
τῶν τελωνῶν. ἀναγκαῖον γάρ ἐστι τοὺς
τελώνας καταβάλλειν, διότι οὐκ ἴδια
καταβάλλουσιν, ἀλλ' ἃ λαβόντες δη-
μόσια. τοὺς δὲ ἐκ προστιμημάτων τυγ-
χάνειν ἀνέσεως· ἔμελλον γὰρ κατα-
βάλλειν οὐχ ἃ εἰλήφασιν, ἀλλ' ἅπερ ἐκ
τῶν ἰδίων ὦφλον. Ἢ οἱ μὴ καθα-
ρὰς τὰς χεῖρας ἔχοντες) Οἱ ἀνδρο-
φόνοι, οἷς οὐκ ἐξὸν εἰσιέναι εἰς τὰ
ἱερά. κατασκευάζει δὲ τοῦτο καὶ διὰ τοῦ
ἐναντίου. εἰ γὰρ καταστρέχει τῶν μὴ κα-
θαρὰς ἐχόντων τὰς χεῖρας ἀεὶ, ὥσ-
τε μὴ εἶναι εἰκὸς τὸν οὕτως ἔχοντα γνώ-
μης τὸν πατέρα κτεῖναι, ἀλλὰ καὶ πρὸς
τὸν ἀνδροφόνον λέγει ὅτι τὸν πατέρα
ἐκάκωσεν ἰδὼν αὐτὸν ἐν τῷ δεσμω-
τηρίῳ πολλὰς πενταετηρίδας. Οἷς 96
ἅπασιν οἱ μὲν ὑπάρχοντες νόμοι) Σο-
φίζεται καὶ ἐνταῦθα. οὐ γὰρ τοὺς προδι-
δόντας κελεύει λύεσθαι ὁ Τιμοκρά-
τους νόμος, οὐδὲ τοὺς ἀνδροφόνους, οὐ-
δὲ τοὺς κακώσαντας τοὺς γονέας, ἀλλὰ
τοὺς ἐπ' ὀφλήμασι δεδεμένους. τὸ δὲ
σόφισμα διὰ τῆς ὁμωνυμίας. ὁ γὰρ
δεσμὸς κατὰ πάντων ἐστίν. οὐ μὴν ἐπει-
δήπερ λύει πρὸς χρόνον τοῖς ὀφεί-
λουσι, τοὺς δεσμούς, ἤδη καὶ πάντα δε-
σμώτην λύει.

Ἐγὼ δὲ σιωπήσομαι) Ἀντὶ τοῦ 101
οὐκέτι μου ἐν τούτῳ χρεία ἐστὶ τοῦ
κατηγόρου. ἔνθα γὰρ αὐτὸς ἑαυτοῦ Τι-
μοκράτης κατηγορεῖ, καὶ τὴν ἐμὴν
τάξιν ἀναπληροῖ. εἰσαγγελία δέ ἐστιν
ὄνομα δίκης κατὰ τῶν καταλυόντων
μὲν δημοκρατίαν, καθ' ὧν δήπου
πρόσω.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῖς θεσμοθέταις, εἰσάγειν τοὺς ἕνδεκα εἰς τὸ δικαστήριον
ἐντὸς τριάκοντα ἡμερῶν, ἀφ᾽ ἧς ἂν παραλάβωσιν,
103 ἐὰν μή τι τὸ δημόσιον κωλύσῃ. ἐὰν δὲ μή, ὅταν πρῶ-
τον οἷόν τ᾽ ᾖ. κατηγορεῖν δὲ ἀθηναίων τὸν βουλόμενον
οἷς ἔξεστιν. ἐὰν δ᾽ ἁλῷ, τιμάτω ἡ ἡλιαία περὶ αὐτοῦ, ὅ,
τι ἂν δοκῇ ἄξιος εἶναι παθεῖν, ἢ ἀποτῖσαι. ἐὰν δὲ ἀργυ-
ρίου τιμηθῇ, δεδέσθω τέως ἕως ἂν ἐκτίσῃ ὅ, τι ἂν αὐτοῦ
104 καταγνωσθῇ. Ἀκούετε, ὦ ἄνδρες δικασταί; Λέγε
αὖθις αὐτὸ τοῦτο πάλιν.

Νόμος.

Ἐὰν δὲ ἀργυρίου τιμηθῇ, δεδέσθω τέως ἕως ἂν
ἐκτίσῃ. * Γέπαυσο. ἔστιν οὖν ὅπως ἂν ἐναντιώτερα * ὅ, τι ἂν αὐτοῦ καταγνωσθῇ, α.
105 τις δύο θείη, τοῦ δεδέσθαι τε, ἕως ἂν ἐκτίσωσι τοὺς
ἁλόντας, καὶ τοῦ καθιστάναι τοὺς αὐτοὺς τούτους ἐγγυητάς,
ἀλλὰ μὴ δεῖν; ταῦτα τοίνυν κατηγορεῖ τιμοκράτης
τιμοκράτους. οὐ διόδωρος, οὐδ᾽ ἄλλος ἡμῶν οὐδεὶς το-
σούτων ὄντων τὸ πλῆθος. καίτοι, τίνος ἂν ὑμῖν ἀπο-
106 σχέσθαι δοκῇ λήμματος, ἢ τί ποιεῖν ὀκνῆσαι κέρ-
δους ἕνεκα, ὅστις ἐναντία αὐτὸς ἑαυτῷ νομοθετεῖν
ἠξίωσεν, οὐδὲ τοῖς ἄλλοις τῶν νόμων ἑώντων; ἐμοὶ μὲν
γὰρ ἕνεκα ἀναιδείας ὁ τοιοῦτος δοκεῖ πᾶν ἂν ἑτοίμως
ἔργον ποιῆσαι. ὥσπερ τοίνυν, ὦ ἄνδρες ἀθηναῖοι, τῶν
107 περὶ τἆλλα κακούργων τοὺς ὁμολογοῦντας, ἄνευ κρί-
σεως κολάζειν οἱ νόμοι κελεύουσιν, οὕτω δίκαιον καὶ
τοῦτον, ἐπειδὴ τοὺς νόμους κακουργῶν εἴληπται, μὴ δόν-
τας λόγον, μηδ᾽ ἐθελήσαντας ἀκοῦσαι, καταψηφί-
σασθαι. ὡμολόγηκε γὰρ θατέρῳ τῷ προτέρῳ νόμῳ
108 ἐναντίον τόνδε τιθεὶς ἀδικεῖν. ὅτι μὲν τοίνυν καὶ παρὰ
τούτους τοὺς νόμους, καὶ παρὰ τοὺς προειρημένους, καὶ
μικροῦ δέω παρὰ πάντας εἰπεῖν τοὺς ὄντας ἐν τῇ πό-
λει τέθεικε τὸν νόμον, οἶμαι δῆλον ἅπασιν ὑμῖν εἶναι.
θαυμάζω δ᾽ αὐτοῦ τί ποτε καὶ τολμήσει λέγειν περὶ
109 τούτων. οὔτε γὰρ ὡς οὐκ ἐναντίος ἐσθ᾽ ὁ νόμος τοῖς
ἄλλοις, δεικνύειν ἕξει, οὔθ᾽ ὡς δι᾽ ἀπειρίαν ἰδιώτην αὐ-
τὸν ὄντα τοῦτ᾽ ἔλαθε, δύναιτ᾽ ἂν πεῖσαι. πάλαι γὰρ
μισθοῦ καὶ γράφων, καὶ νόμους εἰσφέρων ὦπται. καὶ
μὴν οὐδ᾽ ἐκεῖνό γ᾽ ἔνεστιν αὐτῷ, ἀδίκημα μὲν εἶναι τὸ
110 πρᾶγμα, ὁμολογῆσαι, συγγνώμης δὲ τυχεῖν ἀξιοῦν.
οὐδὲ γὰρ ἄκων, οὐδ᾽ ὑπὲρ ἠτυχηκότων, οὐδ᾽ ὑπὲρ
συγγενῶν καὶ ἀναγκαίων αὐτῷ, τεθεικὼς φαίνεται τὸν
νόμον· ἀλλ᾽ ἑκών, ὑπὲρ μεγάλα ἠδικηκότων ὑμᾶς, οὐ-
δὲν προσηκόντων αὐτῷ· πλὴν εἰ μὴ συγγενεῖς ὑπο-
λαμβάνει.

104 Λέγε αὖθις αὐτὸ τοῦτο πάλιν) Ἐπειδὴ αὐτό ἐστι τὸ ἰσχυρόν, πολλάκις αὐτὸ λέγει. τό, δεδέσθω ἕως ἂν ἐκτίσῃ. δοκοῦσι μὲν οὖν ἐναντίοι πρὸς ἀλλήλοις, ὡς ἀληθῶς, οἱ νόμοι. τάχα δὲ οὐκ εἰσὶν ἐναντίοι τῷ σκοπουμένῳ τὰ πράγματα. κελεύει γὰρ ὁ πρότερος δεδέσθαι, ἕως ἂν ἐκτίσωσι. κελεύει δὲ καὶ ὁ δεύτερος ὁμοίως δεδέσθαι. ὕστερον δὲ οὐκ ἀνίησι. καὶ ἔστι παρηλλαγμένος διόρθωσιν ἐλαχίστην ἔχων τοῦ προτέρου. ὁ μὲν γάρ, διηνεκῶς δεδέσθαι κελεύει· ὁ δέ, δεδέσθαι μὲν καὶ αὐτὸς οὐδὲν ἧττον προστάττει. μέχρι γὰρ τοῦ χρόνου, δι᾽ οὗ μνηστεύειν αὐτοῖς ἄνεσιν βούλεται· καὶ τοῦτον ὑπ᾽ ἐγγυηταῖς αὐτοῖς εἶναι τὸν χρόνον. ὥστε οὐκ ἂν εἴη ἐναντίος. ἐναντίον γὰρ τὸ ἀναιρετικὸν τοῦ ἑτέρου. εἰ δὲ οὐκ ἀναιρεῖ τὸν περὶ τῶν δεσμῶν πάλαι κείμενον νόμον, τῷ καὶ * αὐτὸς προστάττειν δεσμόν, οὐκ ἂν εἴη ἐναντίος. (* αὐτόν.) Καίτοι, τίνος ἂν ὑμῖν

105 ἀποσχέσθαι) Ἐντεῦθεν ἄρχεται τῶν ἐπιλογικῶν τοῦ νόμου. ἐλήφθησαν δὲ ἀπὸ γνώμης. ἐπειδὴ γὰρ μετὰ τὸν ἔλεγχον ἐζήτει μαθεῖν ὁ ἀκροατὴς τὴν αἰτίαν, δι᾽ ἣν προήχθη τοιοῦτον γράψαι νόμον, φοβηθεὶς μὴ ἐπὶ τὸ συμφέρον τρέψηται, συνῆψε τὸ αἰσχρὸν τὸ ἀπὸ τῆς μισθαρνίας, ἵνα τὸν ἀκροατὴν αὐτῷ δύσνουν κατασκευάσας, παρασκευάσῃ μηδὲ τοὺς ὑπὲρ τοῦ συμφέροντος εὐνοϊκῶς δέξασθαι λόγους.

106 Ὅς τις ἐναντία) Ὃ θέλει εἰπεῖν, τοιοῦτόν ἐστιν. εἰ διὰ κέρδος, φησίν, ἠρετίσατο ἐναντίους ἑαυτῷ θεῖναι τῶν νόμων, κελευόντων μηδὲ ἄλλοις ἐναντία γράφειν, τί ἂν προσεδοκᾶτε αὐτὸν ποιεῖν, εἰ μηδὲ ἐκωλύετο ὑπὸ τῶν νόμων τὰ ἐναντία γράφειν, τοῖς ἄλλοις δέ, τοῖς ἤδη νομοθετήσασιν. Ὥσπερ τοίνυν, ὦ ἄνδρες ἀθηναῖοι) Ὅμοιον γάρ ἐστι τοὺς κακουργοῦντας ἐπαυτοφώρῳ λαβεῖν, καὶ τιμοκράτην ἐπαυτοφώρῳ γράφοντα αὐτῷ τἀναντία. προοιμιάζεται δὲ λοιπὸν περὶ τοῦ συμφέροντος ἐνταῦθα. τοὺς ὁμολογοῦντας δέ, οὐ διὰ τῆς φωνῆς, ἀλλ᾽ ἐξ αὐτῶν τῶν πραγμάτων. ἡ δὲ ἀνακεφαλαίωσις ἐν μέσῳ λαμβάνεται.

108 Ὅτι μὲν τοίνυν καὶ παρὰ τούτους) Τοὺς περὶ τοῦ πράγματος δηλονότι. εἶτα ἐξαιρέσεσιν αἷς πάνυ κέχρηται λέγων, ὅτι οὐ τολμήσει λέγειν, ὡς οὐκ ἐναντίος, οὐδὲ ὅτι ἄπειρος, καὶ ἰδιώτης, οὐδέ τι συγγνώμης ἄξιος. πρέποι δ᾽ ἂν ἡ ἐξαίρεσις τῷ καταφορικῷ λόγῳ, καὶ τῷ τόπῳ τῆς γνώμης, καὶ τῆς βουλήσεως. ἄρχεται δὲ τῆς ἐξαιρέσεως ἀπὸ τοῦ, θαυμάζω δὲ αὐτοῦ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀεὶ δὲ αἱ ἐξαιρέσεις, τοῦ νομίμου μόνου κεφαλαίου τυγχάνουσι. κέχρηται δὲ ταύταις, ἵνα ἀπαγάγῃ αὐτοὺς τῆς περὶ τὸ συμφέρον ἐννοίας. διόπερ αὔξων ἀπὸ τῆς πηλικότητος τὸ ἀδίκημα, φησιν, οὐκ ἦν ἄπειρος νόμων, οὐκ ἦν ἰδιώτης ὁ Τιμοκράτης. οὐχ ἱκανοῦ ὄντος αὐτῷ ἀπὸ τοῦ συμφέροντος πρὸς ἀπολογίαν τῷ τολμήσαντι ὑπεναντίον γράψαι τοῖς νόμοις, οὐδ' εἰ μυρία κατείποι συμφέροντα. ἐν δὲ τῷ, οὐδ' ὑπὲρ συνηγορῶν, χαρακτηρισμὸς πάλιν ἐστίν. ἐπιτήδειον δὲ καὶ συμφέροντα, ἐκ παραλλήλου λέγει τὸ αὐτό.

λαμβάνειν φήσει τοὺς μισθουμένους αὐτόν. ὡς τοίνυν 111
οὔτ' ἐπιτήδειον νόμον ὑμῖν, οὔτε συμφέροντ' εἰσενήνοχε, τοῦτ' ἤδη πειράσομαι νυνὶ δεικνύναι. οἶμαι δὴ πάντας ἂν ὁμολογῆσαι δεῖν τὸν ὀρθῶς ἔχοντα νόμον, καὶ συνοίσειν μέλλοντα τῷ πλήθει, πρῶτον μὲν ἁπλῶς καὶ πᾶσιν ὁμοίως γνωρίμως γεγράφθαι, καὶ 112
μὴ τῷ μὲν εἶναι ταυτὶ περὶ αὐτοῦ νομίζειν, τῷ δὲ ταυτί. ἔπειτα εἶναι δυνατὰς τὰς πράξεις, ἃς δεῖ γίγνεσθαι διὰ τοῦ νόμου. εἰ γὰρ ἂν καλῶς μὲν ἔχοι, μὴ δυνατὸν δέ τι φράζοι, εὐχῆς, οὐ νόμου διαπράττοιτ' ἂν ἔργον. πρὸς δὴ τούτοις, οὐδενὶ τῶν ἀδικούντων φαίνε- 113
σθαι μηδεμίαν διδόντα ῥᾳστώνην. εἰ γάρ δημοτικόν τις ὑπείληφε τὸ πρᾴους εἶναι τοὺς νόμους, τίσι τούτοις προσεξεταζέτω. κἂν περ ὀρθῶς βούληται σκοπεῖν, εὑρήσει τοῖς κρίνεσθαι μέλλουσιν, οὐ τοῖς ἐξεληλεγμένοις. τοῖς δέ, οὐδὲ λόγος λείπεται τὸ μὴ οὐ πο- 114
νηροῖς εἶναι. τούτων τοίνυν ὧν διεξελήλυθα ἐγὼ νυνί, οὐδ' ὁτιοῦν ἔχων ὁ νόμος φανήσεται, τἀναντία δ' ἑξῆς πάντα. πολλαχόθεν μὲν οὖν ἄν τις ἔχοι τοῦτο διδάσκειν, μάλιστα δὲ τὸν νόμον αὐτόν, ὃν τέθεικε, διεξιών. ἔστι γὰρ οὐ τὸ μὲν αὐτοῦ καλῶς κείμενον, τὸ δὲ 115

γνωρίζειν. α.

παρεξεταζέτω.

Οἶμαι δὴ πάντας ἂν ὁμολ.) Τὸ ἁπλῶς ἀντὶ τοῦ σαφῶς καὶ μὴ πανούργως. ἐπειδὴ δὲ διαφόρως ἐξηγοῦνται τὸν νόμον αὐτός τε καὶ Τιμοκράτης, καὶ δύναται φέρειν ὁ Τιμοκράτης πρὸς ἕκαστον τῶν προτεινομένων ὑπὸ τοῦ ῥήτορος, ἀπὸ τοῦ λείποντος λύων κατὰ τὸ ἑπόμενον τῆς διανοίας, περὶ τούτου διαλέγεται λέγων, μὴ μίαν εἶναι διάνοιαν τοῦ νόμου, ἀλλὰ πολλὰς καὶ διαφόρους. καὶ τοῦτο εἶναι τῶν ἀσυμφόρων. λέγει δὲ ταῦτα αἰνιττόμενος, ὅτι πολλὰ μὲν ἐλλιπῶς εἴρηται. ἀντιθήσει δὲ πρὸς τὰ κατ' ἔλλειψιν ὁ Τιμοκράτης λέγων, ὅτι ὡς ὁμολογούμενα παρῆκα, προλαμβάνων φησὶ διαφόρους εἶναι τὰς διανοίας, ὥστε ταύτῃ τυγχάνειν ἀσύμφορον. λείπεται δὲ τὸ σκοπεῖν, τίσι μὲν τεθάρρηκε κεφαλαίοις Δημοσθένης, τίσι δὲ Τιμοκράτης. οὐκοῦν δῆλόν ἐστιν, ὅτι Δημοσθένης μὲν τῷ νομίμῳ καὶ τῷ συμφέροντι, Τιμοκράτης δέ, τῇ φιλανθρωπίᾳ. ἀνάγεται δὲ εἰς τὸ δίκαιον ἡ φιλανθρωπία. ὅταν μὲν ὁ Δημοσθένης θαρρῇ τοῖς νόμοις, ἀνάγκην ἕξει ἀποκρίνασθαι Τιμοκράτης, ὅτι ἀκόλουθα τοῖς νόμοις γέγραφα. ἔστι γὰρ λέγων, οὐδὲ δήσω Ἀθηναίων οὐδένα. ὅταν δὲ τὸ συμφέρον προτείνῃ Δημοσθένης, πάλιν δεικνὺς οἷα ἡ πόλις βλαβήσεται, τότε ἐρεῖ ὁ Τιμοκράτης ἐξ ἀνάγκης ἀποκρινόμενος, ὅτι μᾶλλον τότε ἀποτίσουσιν. εὐπορήσουσι γάρ, καὶ καταναγκάσουσιν οἱ ἐγγυηταὶ καὶ συνευπορήσουσι. καὶ ἄνω δὲ καὶ κάτω θρυλλήσει τὸ δίκαιον, ὅτι φιλάνθρωπον ἔθηκα νόμον, εἰ περὶ τῶν ἀδυνάτων ἔθηκα βοηθοῦντα τοῖς πένησιν. ἵνα μέν τοι γινώσκωμεν τοῦ Τιμοκράτους νόμου τὸ πρότερον μέρος, παύσας δὲ τὴν ἀνάγνωσιν, μάχεται πρὸς τὸ ῥητόν. ἔστι δὲ τό, καὶ εἴ τινι τῶν ὀφειλόντων δεσμοῦ προστετίμηται κατὰ νόμον, ἢ κατὰ ψήφισμα τὸ λοιπὸν προστιμηθῇ. ὅτι μὲν οὖν ἔχρην ἀγωνίζεσθαι πρὸς τὸ νόμιμον, ἐκεῖ τὸν νόμον πρὸς τοὺς νόμους ἀντεξήτασεν. ὅτι δ' ἔδει τὸν νόμον ἐξετασθῆναι, εἰ συμφέρων ἐστί, τότε αὐτὸν ἐφ' ἑαυτοῦ μόνον ἀναγινώσκει τὸν νόμον. οὕτως οὐ πᾶσα μάχη πρὸς τὸ ῥητὸν νομικὸν ποιεῖ ζήτημα, ὅπερ διωρίσατο Μητροφάνης καὶ Ἑρμογένης. εἴπερ κἀνταῦθα μάχη μὲν πρὸς τὸ ῥητόν ἐστιν, ὑπὲρ δὲ τοῦ συμφέροντος αἱ ἀποδείξεις. λυτέος τοίνυν, φησί, καὶ οὐκ ἐατέος ὁ τοιοῦτος νόμος, τῷ περὶ τῶν παρεληλυθότων καὶ περὶ τῶν μελλόντων διειλέχθαι τὸν νομοθέτην, σοφιζόμενος. ὁ μὲν γὰρ Τιμοκράτης παραχωρῶν τοῖς δικαστηρίοις κρίνειν περὶ τῶν ἀμφισβητημάτων καὶ καταγινώσκειν δεσμόν, ὕστερον περὶ τοῦ δεσμοῦ διαλέγεται. ὁ δὲ Δημοσθένης, κυριώτερον αὐτὸν ἀξιοῦν λέγει τῶν δικαστηρίων γίγνεσθαι. ἐπειδὴ δὲ συμβαίνει δεθῆναι καὶ τοὺς μηδέπω κεκριμένους, ἀπαχθέντας δὲ πρὸς τοὺς ἕνδεκα, ἢ διὰ προδοσίαν, ἢ δι' ἄλλο τι τῶν μεγίστων ἀδικημάτων, διὰ τοῦτο ἀπὸ τῆς ὁμωνυμίας τοῦ δεσμοῦ τὸ σόφισμα ἔλαβεν. ἀλλὰ λέξει ὁ Τιμοκράτης ἀφεῖσθαι τοῦ δεσμοῦ, δηλονότι, τοὺς μετὰ κρίσιν δεθέντας. ὁ δὲ Δημοσθένης λαμβάνει τὸν πρὸ τῆς κρίσεως. ἵνα οὖν τὴν χώραν τοῦ σοφίσματος φαίνηται περὶ τοῦ νόμου λαμβάνων, τοῦ νόμου τὴν ἀσάφειαν ᾐτιάσατο. καὶ ἔστιν ὁ τόπος τοῦ ἐπιχειρήματος, ἐκ τῆς ἀσαφείας κατὰ τὸ ἀπροσδιόριστον, ὅτι οὐ διῄρηται νενομοθέτηκε περὶ τῶν παρεληλυθότων, καὶ τῶν μελλόντων. τούτῳ δὲ οὐκ ἂν ἠδυνήθη χρήσασθαι τῷ τόπῳ, μὴ πρότερον αἰτιασάμενος τοῦ γράμματος τὴν ἀσάφειαν.

Εἰ γὰρ δημοτικόν τις) Αὕτη ἰσχυρὰ ἀντίθεσις τοῦ Τιμοκράτους. ἐπειδὴ οὖν ἰσχύει ἐν αὐτῇ, ὡς ἐν ἀντιπίπτοντος μέρει αὐτὸ λέγει, ἐπὶ τὸ ἔλαττον ἄγων, ὅτι τοῖς μέλλουσι κρίνεσθαι, ἀλλ' οὐ τοῖς ἤδη κριθεῖσιν ὁ νόμος ὁ παλαιὸς δίδωσι τὴν φιλανθρωπίαν. ἐπειδὴ δὲ καὶ μεταληπτικόν. καὶ γὰρ λέγει οὐ πάντῃ ἀναιρῶν τὴν πρᾳότητα, ἐπεὶ ἔδοξεν αὐτῷ τραχύς τις, ἔδει λέγειν οὕτως, ἀλλ' οὐχὶ ὡς σὺ λέγεις. ἀλλ' ἡ μετάληψις αὕτη, τὸ μὲν πρότερον ἐκβάλλει, τὸ δὲ δεύτερον εἰσάγει. τῶν δὲ δύο νόμων ἐναντίων ὄντων δεῖ ἕνα πάντως εἶναι προφέρομεν, καὶ δεῖ ἐκβάλλειν αὐτόν. 113

115 Ἀπὸ τῆς πρώτης συλλαβῆς) Ὑπερβολικῶς εἴρηται. οὐ γὰρ εἶπε τὰ ῥήματα, ἢ διάνοιαν μόνον, ἀλλὰ καὶ καθ᾽ ἑκάστην συλλαβήν. δεῖ δὲ ὑποστίξαι ἐν τῷ μυρρινούσιος, ἵνα Τιμοκράτης εἶπεν, ἀπόλυτον καθ᾽ ἑαυτὸν
119 λάβωμεν. Περὶ μὲν δὴ τῶν μελλόντων) Κατὰ συγχώρησιν δέδωκε τοῦτο τεχνικῶς, ἵνα διὰ τούτων δείξῃ τὸ περὶ τῶν παρελθόντων νομοθετεῖν ὡς ἄτοπον. τοῦτο καὶ ἐν τῷ κατ᾽ Ἀριστοκράτους πεποίηκε, συγχωρήσας γὰρ τῷ Χαριδήμῳ πολίτην εἶναι, ἐκ τούτου πλέον αὐτὸν ἔβλαψεν.
120 Ὥσπερ ἂν εἴ τις ἐάσας) Τῇ εἰς ἄτοπον ἀπαγωγῇ καθ᾽ ὑπόθεσιν, ὅτι ἀπέραντον ἔσται τὸ κακόν.

ἢ μέρος τι μόνον, ἀλλ᾽ ὅλος ἐξ ἀρχῆς ἀπὸ τῆς πρώτης
συλλαβῆς μέχρι τῆς τελευταίας, ἐφ᾽ ὑμῖν κεῖται.
Λάβε δ᾽ αὐτοῖς τὴν γραφὴν ταύτην, καὶ μέχρι τοῦ
πρώτου μέρους ἀνάγνωθι τὸν νόμον. ῥᾷστα γὰρ οὕτως
116 ἐγώ τε διδάξω, καὶ ὑμεῖς μαθήσεσθε, ἃ λέγω.

Νόμος.

Ἐπὶ τῆς πανδιονίδος πρώτης πρυτανείας δωδε-
κάτῃ τῶν προέδρων, ἐπεψήφιζεν Ἀριστοκλῆς Μυρρι-
νούσιος, Τιμοκράτης εἶπε. καὶ εἴ τινι τῶν ὀφειλόντων τῷ
117 δημοσίῳ προστετίμηται κατὰ νόμον, ἢ κατὰ ψήφισμα
δεσμοῦ, ἢ τὸ λοιπὸν προστιμηθῇ, εἶναι αὐτῷ, ἢ ἄλλῳ
ὑπὲρ ἐκείνου ἐγγυητὰς καταστῆσαι. Ἐπίσχες. αὐτίκα
γὰρ καθ᾽ ἕκαστον ἀναγνώσῃ. Τουτὶ πάντων, ὦ ἄνδρες
118 δικασταί, τῶν γεγραμμένων ἐν τῷ νόμῳ, σχεδὸν ἐστὶ δεινότατον. οἶμαι γὰρ οὐδένα ἀν-
θρώπων ἄλλον τολμῆσαι νόμον εἰσφέρειν, ἐπὶ τῷ χρῆσθαι τοὺς πολίτας αὐ-
τῷ, τὰς κατὰ τοὺς προτέρους κυρίους νόμους κρίσεις γιγνομένας, ἐπιχειρῆσαι λύειν.
τοῦτο τοίνυν οὑτοσὶ Τιμοκράτης ἀναιδῶς, καὶ οὐδ᾽ ἀποκρυψάμενος πεποίηκε,
119 γράψας διαρρήδην, καὶ εἴ τινι τῶν ὀφειλόντων τῷ δημοσίῳ προστετίμηται
κατὰ νόμον, ἢ κατὰ ψήφισμα δεσμοῦ, ἢ τὸ λοιπὸν προστιμηθῇ. περὶ μὲν δὴ τῶν μελ-
λόντων εἴ τι δίκαιον ἔπεισεν ὑμᾶς, οὐκ ἂν ἠδίκει. περὶ δὲ ὧν δικαστήριον ἔγνωκε, καὶ
τέλος ἔσχηκε, πῶς οὐχὶ δεινὰ ποιεῖ, νόμον εἰσφέρων, δι᾽ οὗ ταῦτα λυθήσεται, ὥσπερ
120 ἂν εἴ τις ἐάσας κύριον γενέσθαι τὸν τούτου νόμον, γράψειεν ἔπειτα τοιόνδε. καὶ εἴ τινες
ὠφληκότες χρήματα, καὶ δεσμοῦ προστετιμημένου αὐτοῖς, ἐγγυητὰς κατέστησαν,
κατὰ τὸν τούτου νόμον, μὴ εἶναι τὴν διεγγύησιν αὐτοῖς, μηδὲ τὸ λοιπὸν ἐξεῖναι μηδέ-
να. ἀλλ᾽ οὔτε ταῦτα ποιήσειεν ἂν οὐδεὶς ὑγιαίνων, εἰ μὴ, σύ τ᾽ ἐκεῖνα λύων ἠδίκεις.
121 χρῆν γὰρ αὐτὸν, εἰ ὅπερ ἐνόμιζε δίκαιον, ἐπὶ τοῖς ὕστερον γενησομένοις θεῖ-
ναι τὸν νόμον, καὶ μὴ συνενεγκόντα εἰς ταὐτὸ τὰ μέλλοντα τοῖς παρεληλυθόσι, καὶ
τὰ μὴ δῆλα τοῖς φανεροῖς ἀδικήμασιν, εἶτα ἐπὶ πᾶσι γράψαι τὴν αὐτὴν γνώ-
μην. πῶς γὰρ οὐ δεινὸν, τῶν αὐτῶν ἠξιωκέναι δικαίων τοὺς ἐξεληλεγμένους ἀδικοῦν-
122 τας τὴν πόλιν πρότερον, καὶ τοὺς μηδ᾽ εἰ κρίσεως ἄξιον ἐργάσονταί τι, δήλους;
καὶ μὴν κἀκεῖθεν ἴδοιτ᾽ ἂν, ὡς δεινὸν πεποίηκεν ὃ θεῖναι περὶ τῶν παρεληλυθό-
των τὸν νόμον, εἰ λογίσαισθε πρὸς αὐτοὺς τί ποτ᾽ ἐστὶν, ᾧ νόμος ὀλιγαρχίας διαφέ-
ρει, καὶ τί δή ποτ᾽, οἱ μὲν ὑπὸ νόμων ἐθέλοντες ἄρχεσθαι, σώφρονες καὶ ἐλεύ-
123 θεροι καὶ χρηστοὶ πολῖται νομίζονται· οἱ δ᾽ ὑπὸ τῶν ὀλιγαρχιῶν, ἄνανδροι, καὶ δοῦ-
λοι. εὕροι γὰρ ἂν ὡς ἀληθῶς τοῦτο προχειρότατον, ὅτι τῶν μὲν ἐν ταῖς ὀλιγαρχίαις
ἕκαστος, καὶ τὰ πεπραγμένα λῦσαι, καὶ περὶ τῶν μελλόντων, ἃ ἂν αὐτῷ δοκῇ,
προστάξαι κύριός ἐστιν· οἱ δὲ νόμοι, περὶ τῶν μελλόντων, ἃ χρὴ γίγνεσθαι, φράζου-
124 σι, μετὰ τοῦ πεῖσαι τεθέντες, ὡς συνοίσουσι τοῖς χρωμένοις. Τιμοκράτης τοίνυν ἐν δη-
μοκρατουμένῃ τῇ πόλει νομοθετῶν, τὴν ἐκ τῆς ὀλιγαρχίας ἀδικίαν εἰς τὸν αὐτοῦ
νόμον μετήνεγκε, καὶ περὶ τῶν παρεληλυθότων αὐτὸν κυριώτερον τῶν καταγνόντων
δικαστῶν ἠξίωσε ποιῆσαι. καὶ οὐ τοῦτο μόνον πεποίηκεν ὑβριστικὸν, ἀλλὰ καὶ γέγραφε
125 καὶ τὸ λοιπὸν, ἐάν τινι προστιμηθῇ δεσμοῦ, εἶναι καταστῆσαι τοὺς ἐγγυητὰς ἢ μὴν
ἐκτίσειν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐκτῖσαι, ἀφεῖσθαι. καὶ τοι ἐχρῆν αὐτὸν, εἰ τὸ δεδέσθαι
ἄξιον ἡγεῖτο, μηδενὶ προστιμᾶν, ὃς ἂν ὑμῖν ἐγγυητὰς
καθιστῇ, δεσμοῦ νομοθετῆσαι, μὴ περιλαβόντα κατε-
γνωκότας ὑμᾶς τὸν δεσμὸν, μηδ᾽ ἐχθροὺς διατιθέν-
τα πρὸς ὑμᾶς τὸν ἑαλωκότα· τηνικαῦτα ποιεῖν τὴν 126
ἐξέτασιν. νυνὶ δ᾽, ὥσπερ ἐνδεικνύμενος, ὅτι κἂν ὑμῖν
δόξῃ δεδέσθαι τινὰ, αὐτὸς ἀφήσει, τοῦτον τὸν τρόπον τὸν
νόμον εἰσήνεγκεν. ἆρ᾽ οὖν τῳ δοκεῖ συμφέρειν τῇ πόλει
ποιοῦτος νόμος, ὃς δικαστηρίου γνώσεως αὐτὸς κυριώτε-
ρος ἔσται, καὶ τὰς ὑπὸ τῶν ὀμωμοκότων γνώσεις τοῖς 127
ἀνωμότοις προστάξει λύειν; ἐγὼ μὲν οὐκ οἶμαι. φαίνε-
ται τοίνυν ὁ τούτου νόμος ταῦτ᾽ ἔχων ἀμφότερα. ὥς-
τ᾽ εἴπερ ὑμῶν ἑκάστῳ μέλει τι τῆς πολιτείας, καὶ δεῖν
οἴεται κυρίαν εἶναι τὴν αὐτοῦ γνώμην περὶ ὧν ἂν ὀμω-
μοκὼς ψηφίσηται. λυτέος καὶ οὐκ ἐατέος ὁ τοιοῦτος 128
νόμος κύριος γίγνεσθαι. νυνὶ. οὐ τοίνυν ἀπέχρησεν αὐ-
τῷ τὰ δικαστήρια ἄκυρα ποιῆσαι τῶν προστιμη-
μάτων· ἀλλ᾽ οὐδὲ ἃ δίκαια ὥρισατο αὐτὸς ἐν τῷ
νόμῳ, καὶ προσέταξε τοῖς ὠφληκόσιν, οὐδὲ ταῦτα
ἁπλῶς, οὐδ᾽ ἀδόλως φανήσεται γεγραφὼς, ἀλλ᾽ ὡς 129
ἂν μάλιστά τις ὑμᾶς ἐξαπατῆσαι καὶ παρακρούσα-
σθαι βουλόμενος. σκέψασθε γὰρ ὡς γέγραφε. Τιμο-
κράτης εἶπε, φησὶ, καὶ εἴ τινι τῶν ὀφειλόντων τῷ δη-
μοσίῳ προστετίμηται κατὰ νόμον, ἢ κατὰ ψήφισμα δε-
σμοῦ, ἢ τὸ λοιπὸν προστιμηθῇ, εἶναι αὐτῷ, ἢ ἄλλῳ ὑπὲρ 130
ἐκείνου ἐγγυητὰς καταστῆσαι, οὓς ἂν ὁ δῆμος χειροτονή-
σῃ, ἢ μὴν ἐκτίσειν. ἐνθυμεῖσθε ἀπὸ τοῦ δικαστη-
ρίου, καὶ τῆς καταγνώσεως, οἳ διεπήδησεν ἐπὶ τὸν δῆ-
μον, ἐκκλέπτων τὸν ἠδικηκότα, καὶ τὴν παράδοσιν
αὐτοῦ τὴν τοῖς ἕνδεκα. τίς γὰρ ἀρχὴ παραδώσει τὸν 131
ὀφλόντα; τίς τῶν ἕνδεκα παραλήψεται, κελεύοντος
μὲν τοῦ νόμου τούτου ἐν τῷ δήμῳ καθίστασθαι τοὺς ἐγ-
γυητάς, ἀδυνάτου δ᾽ ὄντος αὐθημερὸν ἐκκλησίαν ἅ-
μα, καὶ δικαστήριον γίγνεσθαι, οὐδαμοῦ δ᾽ ἐπιτάττοντος
φυλάττειν τέως, ἕως ἂν καταστήσῃ τοὺς ἐγγυητάς. καὶ 132
τοι τί ποτ᾽ ἦν, δι᾽ ὃ προσγράψαι σαφῶς ὤκνησε, τοὺς
δ᾽ ἕνδεκα τὸν ὀφλόντα φυλάττειν τέως, ἕως ἂν κατα-
στήσῃ τοὺς ἐγγυητάς. πότερον οὐχὶ δίκαιον; εὖ οἶδ᾽ ὅτι
πάντες ἂν φήσαιτε. ἀλλ᾽ ἐναντίον ἦν τινι τῶν νό-
μων; οὐκ, ἀλλὰ μᾶλλον κατὰ τοὺς νόμους. τί ποτ᾽ οὖν ἦν. 133
οὐδὲν ἂν *εὕροι τις ἄλλο, πλὴν ὅτι οὐχ ὅπως δώσουσι δί-
κην ὧν ἂν ὑμεῖς καταγνῶτε, ἐσκόπει, ἀλλ᾽ ὅπως μὴ.

λωκότα. κ.

οὐδὲ ἃ δὴ καὶ ὥρισεν.

*εὕροιτε ἄλλο. κ. εὕροι τις ἄλλο.

ἀπό.

παραγίγνεσθαι.

Εἰ τὸ δεδέσθαι ἄξιον) Ἐπειδὴ οὐδὲν ἐδόκει ἄτοπον εἶναι, καταστῆσαι ἐγγυητὰς, ἢ μὴν ἐκτίσειν, δεσμοῦ ἀφεῖσθαι, ἐπάγει τὸ συγκριτικὸν, βουλόμενος αὐτὸ συγκρύψαι τῷ δήμῳ. τὸ δὲ μηδενὶ προστιμᾶν, ἐχρῆν αὐτὸν φησὶ γράφειν μηδὲ ὅλως τινὰ δεσμεῖσθαι ἐὰν παράσχῃ ἐγγυητάς. Μὴ περιλαβόντα) Κατὰ κοινοῦ πάλιν τὸ ἐχρῆν. τὴν δὲ περίθεσιν δεῖ περιβιβάσαι πρὸς τὸ κατεγνωκότας, ἵνα ᾖ οὕτως. οὐδὲ ἐχρῆν αὐτὸν λαβόντα ὑμᾶς ἤδη προκατεγνωκότας τινὸς τὸν δεσμὸν, τότε λέγειν ὡς δεῖ καταστῆναι ἐγγυητάς. 125

Καὶ τὰς τῶν ὀμωμοκότων) Οὐκ εἶπε δικαστάς· ἰσχυρότερος γὰρ ὁ δῆμος τῶν δικαζόντων ἐστὶν ἵνα μὴ φαίνηται ἐρωτῶν, εἰ δεῖ τὸν δῆμον ἰσχυρότερον εἶναι τῶν νόμων, οἵπερ εἰσὶν οἱ δικάζοντες, ἀπὸ τῆς πιότητος μᾶλλον ἐχρήσατο. ὀμωμοκότας γὰρ εἶπε τοὺς δικαστάς. ἀνωμότους δὲ τὸν δῆμον, ἵνα καὶ τὸ ἄλογον Τιμοκράτους δειχθῇ. δικασταὶ μὲν γὰρ, καὶ ὀμόσαντες ἐψηφίσαντο τὸν δεσμόν. ὁ δὲ, διὰ τῇ δήμου τῇ ἐγγύῃ λύει τὸν δεσμόν. 127

Ἄλλως. Τοῖς ἀνωμότοις λέγει τοῖς νῦν δικασταῖς. διὰ τί αὐτοὺς καλεῖ ἀνωμότους; καθὸ εἰσιόντες οἱ δικασταὶ περὶ ἐκείνου τοῦ πράγματος ὤμνυσαν, περὶ οὗ ἡ κρίσις ἦν, οὐ μὴν περὶ τῶν ἤδη κριθέντων. τοῦτο οὖν θέλει εἰπεῖν, ὅτι παρακελεύεται ὑμῖν λῦσαι τὰ πρότερον γνόμενα, περὶ ὧν οὔτε εἰσήλθετε, οὔτε γινώσκετε, ἄλλων ὀμοσάντων περὶ ἐκείνων, δικαστῶν.

Ὥστ᾽ εἴπερ ὑμῶν ἑκάστῳ) Ἄλλος τόπος ἀπὸ τῆς ἑκάστου διαθέσεως, ἣν ἕκαστος ὑμῶν ἔχει περὶ ἑαυτοῦ. ἕκαστος γὰρ βούλεται τὴν οἰκείαν γνῶσιν κυρίαν εἶναι. ὁ δὲ τόπος οὗτος, παροξυντικός ἐστι, περὶ αὐτοῦ ὄντος συγκριτικοῦ κατὰ ἀντεξέτασιν, τί πρότερον κυρίαν εἶναι δεῖ τὴν ψῆφον τῶν ὀμωμοκότων, ἢ τῶν ἀνωμότων. 128 Ἀλλ᾽ οὐδὲ ἃ δίκαια ὥρισατο) Δημοσθενικῆς βίας τὸ νόημα τὸ περιτρέπειν τοῦ ἀντιδίκου τὸ ἰσχυρὸν εἰς τοὐναντίον. ὁ γὰρ Τιμοκράτης, ὡς φιλάνθρωπον εἰσάγων τὸν νόμον, εἶπε τὸ ἀφεῖναι τοῦ δεσμοῦ, ἢ καταστῆσαι ἐγγυητάς. ὁ δὲ ῥήτωρ, βιαίως ἀναστρέφει τοῦτο, λέγων, ὅτι τῇ ἀσηψίᾳ οὐδὲ ἐγγυητὰς βούλεται παρασχεῖν, ἀλλ᾽ ἀπατῆσαι ὑμᾶς. Τοῖς ἕνδεκα) Τοὺς ἕνδεκα λέγει, αὐτὴ τοῦ τῶν δεσμοφυλάκων. ἐξέκλεψεν οὖν φησὶ τοῦ δεσμοῦ τὸ μὴ δεδέσθαι παρὰ τοῖς ἕνδεκα, καὶ φυλάττεσθαι ἕως ἂν ἐγγυητὰς παράσχῃ ἐν τῷ δήμῳ, ἵνα ἐν τοσούτῳ δυνηθῇ φυγεῖν. 131



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

134 Ἀντὶ μὲν τοῦ τιμήματος) Τίμημα καλεῖ αὐτὸ τὸ προστιμηθὲν αὐτῷ ἐκ τοῦ χρόνου τῆς ἐνάτης πρυτανείας. ὥστε καταβαλεῖν διπλᾶ. ἀργύριον δέ, αὐτὸ τὸ κεφάλαιον, καὶ τὸ ἀρχαῖον καλεῖ. ἐνταυθοῖ δέ, ὅτι ἐνταῦθα καὶ ἐνταυθοῖ λέ-
135 γεται, οὐ μὴν ἐνταυθί. Τὸ γιγνόμενον) Αὐτὸ τὸ ἀρχαῖον.
138 Φαύλους ἀνθρώπους) Εὐτελεῖς κατὰ τὴν τύχην. Οὓς) Ἀντὶ τοῦ οὕστινας ἐγγυητάς.

Ὅταν ὑμεῖς ἀποχειροτονήσητε) Ἀντὶ τοῦ ἀποδοκιμάσητε, καὶ μὴ δέξησθε αὐτούς, ἢ μὴ ὄντας ἱκανοὺς εἰς τὸ
141 ἐγγυήσασθαι ἀπαλλάξητε. Οὐ γὰρ ὅλως τὸ δεδέσθαι) Πειρᾶται λῦσαι αὐτοῦ τὴν δόξαν, ἣν ἔχειν νομίζεται παρὰ τοῖς πολίταις ὡς νόμον φιλάνθρωπον εἰσάγων. ἔστι δὲ ὥσπερ λύσις ἀντιπίπτοντος ἵνα μή τις εἴπῃ, ἰδοὺ οὖν καὶ αὐτὸς κελεύει εἶναι δεσμόν, ἐπειδὴ ὅτι τῷ ὀνόματι μόνον καταλιμπάνει ὑμῖν τὴν τιμωρίαν τοῦ δεσμοῦ, τῷ λέγειν ὡς δεῖ δεσμεῖσθαι· τῇ δ᾽ ἀληθείᾳ καὶ τῷ ἔργῳ ἀφαιρεῖται, παρέχων καιρὸν φυγῆς τοῖς μὴ βουλομένοις καταβαλεῖν, ὡς εἶπεν ἄνω. Ἀλλὰ τὸν καιρὸν ἐκκλέψας) Ἐκκλέψας τὸν ἠδικηκότα, καὶ τὴν παράδοσιν αὐτῶν τοῖς ἕνδεκα, διὰ τὸ τὸν τούτου νόμον κελεύειν ἐν τῷ δήμῳ καθιστάναι τοὺς ἐγγυητάς, ἀδύνατον δὲ εἶναι αὐθημερὸν ἐκκλησίαν ἅμα, καὶ δικαστήριον γίνεσθαι,
142 ὡς ἄνω εἴρηται. Καὶ παρ᾽ ἀκόντων) Ἀντὶ τοῦ καὶ [a] ἡμῶν μὴ βουλομένων ἔδωκεν ἄφεσιν τοῦ δεσμοῦ.

[a] ὑμῶν.

εἶτα πῶς γέγραπται μετὰ ταῦτα; καθιστάναι τοὺς ἐγγυητάς, ἢ μὴν ἐκτίσειν τὸ ἀργύριον, ὃ ὦφλεν. ἐνταυθοῖ
134 πάλιν τὴν μὲν ἱερῶν χρημάτων τὴν δεκαπλασίαν [a] ἀφῄρηται· τῶν δ᾽ ὁσίων, ὁπόσων ἐν τῷ νόμῳ διπλασιάζεται, τὸ ἥμισυ. πῶς δὴ τοῦτο ποιεῖ; γράψας ἀντὶ μὲν τοῦ τιμήματος τὸ ἀργύριον, ἀντὶ δὲ τοῦ, τὸ γιγνόμενον, ὃ ὦφλε. διαφέρει δὲ τί; εἰ μὲν ἔγραψε καθιστάναι τοὺς
135 ἐγγυητάς, ἢ μὴν ἐκτίσειν τὸ τίμημα τὸ γιγνόμενον, προσπεριειλήφει τοὺς νόμους ἄν, καθ᾽ οὓς τὰ μὲν δεκαπλᾶ, τὰ δὲ καὶ διπλᾶ γίγνεται τῶν ὀφλημάτων. ὥστε ἐκ τούτων ἦν ἀνάγκη τοῖς ὀφλοῦσι τὸ γεγραμμένον τ᾽ ἐκτίνειν, καὶ τὰς ἐκ τῶν νόμων προσούσας ζη-
136 μίας καταβάλλειν. νῦν δ᾽ ἐν τῷ γράψαι τὴν κατάστασιν εἶναι τῶν ἐγγυητῶν, ἢ μὴν ἐκτίσειν τὸ ἀργύριον, ὃ ὦφλεν· ἐκ τῆς λήξεως, καὶ τῶν γραμμάτων, ἐφ᾽ οἷς ἕκαστος εἰσήχθη, ποιεῖ τὴν ἔκτισιν. ἐν οἷς πᾶσιν ἁπλοῦν [b] ὅστις ὤφληκεν ἀργύριον γέγραπται. μετὰ ταῦτα τοί-
137 νυν τηλικοῦτον πρᾶγμα ἀνελών, ἐν τῇ τῶν ῥημάτων μεταθέσει, προσέγραψε, τοὺς δὲ προέδρους ἐπιχειροτονεῖν ἐπάναγκες, ὅταν τις καθιστάναι βούληται, παρὰ πάντα τὸν νόμον οἰόμενος δεῖν σώζειν τὸν ἠδικηκότα, καὶ τὸν ἐν ὑμῖν ἡλωκότα. οὐδεὶς γάρ, ὅταν βούληται, τὴν κατάστα-
138 σιν αὐτῷ τῶν ἐγγυητῶν, ἐπ᾽ ἐκείνῳ πεποίηκε μηδέ ποτ᾽ ἐκτῖσαι, μηδὲ δεθῆναι. τίς γὰρ οὐ ποριεῖται φαύλους ἀνθρώπους, οὓς ὅταν ὑμεῖς ἀποχειροτονήσητε, [c] ἀπαλλάξων; ἐὰν γάρ τις, ὡς οὐ κα-
139 θιστάντα τοὺς ἐγγυητὰς ἀξιοῖ δεδέσθαι, φήσει καὶ καθιστάναι καὶ καταστήσειν καὶ δείξειν τὸν τούτου νόμον, ὃς καθιστάναι μέν, ὅταν βούληται, κελεύει, φυλάττειν δὲ τέως οὐ λέγει, οὐδ᾽ ἂν ἀποχειροτονήσηθ᾽ ὑμεῖς τοὺς ἐγγυητάς, δεδέσθαι προστάττει, ἀλλ᾽ ὡς ἀληθῶς ὥσπερ ἀλεξιφάρμακόν ἐστι τοῖς ἀδικεῖν βουλομένοις. τῷ δὲ καταστήσαντι, φησι, τοὺς ἐγ-
140 γυητάς, ἐὰν ἀποδιδῷ τῇ πόλει τὸ ἀργύριον, ἐφ᾽ ᾧ κατέστησε τοὺς ἐγγυητάς, ἀφεῖναι τοῦ δεσμοῦ. πάλιν ἐνταῦθ᾽ ἐπέμεινεν ἐπὶ τοῦ [d] κακουργήματος, ὃ μικρῷ πρότερον εἶπον, καὶ οὐκ ἐπελάθετο. οὐδ᾽ ἔγραψε τὸ τίμημα τὸ γιγνόμενον, ἀλλὰ τὸ ἀργύριον, ὃ ὦφλεν, ἐὰν ἀποδιδῷ, ἀφεῖσθαι τοῦ δεσμοῦ. ἐὰν δὲ μὴ καταβάλῃ τἀρ-
141 γύριον ἢ αὐτός, ἢ ἐγγυηταὶ ἐπὶ τῆς ἐνάτης πρυτανείας, τὸν μὲν ἐξεγγυηθέντα, δεδέσθαι. τῶν δὲ ἐγγυητῶν δημοσίαν εἶναι τὴν οὐσίαν. ἐν δὴ τῷ τελευταίῳ τούτῳ, παντελῶς αὐτὸς αὑτοῦ κατήγορος ὡς ἀδικεῖ γεγονὼς φανήσεται. οὐ γὰρ ὅλως τὸ δεδέσθαι τινὰ τῶν πολιτῶν αἰσχρόν, ἢ δεινὸν νομίσας, ἀπεῖπε μὴ δεῖν, ἀλλὰ τὸν καιρόν, ἐν ᾧ τὸν ἠδικηκότα ἐνῆν
142 παρόντα λαβεῖν, ἐκκλέψας, τοὔνομα μὲν τῆς τιμωρίας ἔλιπε τοῖς ἀδικουμένοις ὑμῖν λαβεῖν, τὸ δ᾽ ἔργον ἀφείλετο. καὶ παρ᾽ ἀκόντων ἔδωκεν ἄφεσιν τοῖς τὰ ὑμέτερα [e] ἀξιοῦσιν ἔχειν βίᾳ. καὶ μόνον οὐ προσέγραψε δίκην ἐξεῖναι λαχεῖν αὐτῷ κατὰ τῶν δικαστῶν, τῶν προστιμησάντων τοῦ δεσμοῦ. ὃ δὲ πολλῶν ὄντων καὶ δεινῶν, ὧν ἐν τῷ νόμῳ τέθεικε,
143 μάλιστ᾽ ἄξιόν ἐστ᾽ ἀγανακτῆσαι, βούλομαι πρὸς ὑμᾶς εἰπεῖν. διὰ ὅλου γὰρ τοῦ νόμου τῷ καταστήσαντι τοὺς ἐγγυητάς, ἅπαντας λέγει. τῷ δὲ μὴ καθιστάντι μήτε βελτίους, μήτε χεί-

[a] ὑφήρηται.
[b] ὅ,περ
[c] ἀπαλλάξονται;
[d] πανουργήματος.
[e] αἰ.

μήτε κλέπτης, μήθ' ὅλως προσέχοντι τὸν νοῦν ὑμῖν,
οὐδεμίαν οὔτε δίκην, οὔτε τιμωρίαν προσγέγραφεν,
ἀλλ' ἄδειαν πεποίηκε τοσαύτην, ὅσην οἷοί τε γεγόνασι
πλείστην. καὶ γὰρ τὸν χρόνον, ἐν ᾧ δεῖ ἐπὶ τῆς ἐνάτης πρυτα-
νείας, τῷ καταστήσαντι λέγει τοὺς ἐγγυητάς. γνοίη δ' ἄν τις 144
ἐκεῖθεν. προσέγραψε δημοσίαν εἶναι τὴν οὐσίαν τῶν ἐγγυη-
τῶν, ἂν μή τις ἐκτίσῃ. τοῦ δὲ μὴ καταστήσαντος, οὐκ
ἔνι δήπουθεν ἐγγυητὰς ὑπάρχειν. καὶ τοῖς μὲν προέδροις,
οἳ κεκληρωμένοι καθίζουσιν ἐξ ὑμῶν, ἐπιβολάς τε ἐπιτίθη-
σιν, ὅταν καθίσῃ τις, δέχεσθαι. τοῖς δ' ἀδικοῦσι τὴν πό- 145
λιν, οὐδεμίαν προσέγραψεν ἀνάγκην· ἀλλ' ὥσπερ
εὐεργέταις, αἵρεσιν αὐτοῖς ἔδωκεν, εἰ χρὴ δοῦναι δίκην,
ἢ μή. καίτοι πῶς ἂν ἀσυμφορώτερος ὑμῖν τούτου γένοιτο
νόμος, ἢ κάκιον ἔχων, ὃς πρῶτον μὲν περὶ τῶν ἐκ τοῦ
παρεληλυθότος χρόνου κριθέντων ἐναντία τοῖς ἐφ' ὑ- 146
μῶν ἐγνωσμένοις προστάττει· δεύτερον δὲ περὶ τῶν μελ-
λόντων κριθήσεσθαι προστιμᾶν κελεύων τοὺς δικα-
στὰς τοὺς ὀμωμοκότας, ἄκυρα τὰ προστιμήματα
ποιεῖ· πρὸς δὲ τούτοις, ἐπιτίμους τοὺς ὀφείλοντας, οὐ τὰ
προσήκοντα ἐκτίνοντας καθίστησιν· ὅλως δὲ ἐπιδεί- 147
κνυσι μάτην ὀμωμοκότας, τιμῶντας, δικάζοντας, ὀργιζομένους, ἅπαντα ποιοῦντας ὑ-
μᾶς. ἐγὼ μὲν γὰρ εἰ Κριτίας ὁ γενόμενος τῶν τριάκοντα εἰσέφερε τὸν νόμον, οὐκ ἂν
ἡγοῦμαι ἕτερον γράψαντ' εἰσενεγκεῖν, ἢ τοῦτον. ὅτι τοίνυν ὅλην συγχεῖ τὴν πο-
λιτείαν, καὶ καταλύει πάντα τὰ πράγματα ὁ νόμος, καὶ πολλὰς φιλοτιμίας [*παραιρεῖται] πε-
ριαιρεῖται τῆς πόλεως, καὶ τοῦτο ῥᾳδίως ὑμᾶς νομίζω μαθήσεσθαι. ἴστε γὰρ δήπου 148
τοῦθ' ὅτι σώζεται πολλάκις ὑμῖν ἡ πόλις διὰ τὰς στρατείας, καὶ τὰς ναυτικὰς, καὶ
τὰς [*πεζικάς α.] πεζάς. καὶ πολλὰ καὶ καλὰ πολλάκις ἤδη διεπράξασθε, καὶ σώσαντές τινας, καὶ
τιμωρησάμενοι, καὶ διαλλάξαντες. πῶς οὖν; ἀνάγκη τὰ τοιαῦτα διοικεῖν ἐστὶ διὰ
ψηφισμάτων καὶ νόμων, τοὺς μὲν εἰσφέρειν ἐπιτάττοντας, τοὺς δὲ τριηραρχεῖν κελεύον-
τας, τοὺς δὲ πλεῖν, τοὺς δ' ἕκαστα ποιεῖν, ὧν δεῖ. οὐκοῦν ταῦθ' ὅπως γίγνεται, δικαστή-
ρια πληροῦτε καὶ καταγιγνώσκετε δεσμὸν τῶν ἀκοσμούντων. σκέψασθε δὴ τὸν 149
τοῦ καλοῦ κἀγαθοῦ τούτου νόμον, ὡς λυμαίνεται ταῦτα καὶ διαφθείρει. γέγραπται γὰρ
δήπου ἐν τῷ νόμῳ αὐτοῦ, καὶ εἴ τινι τῶν ὀφλόντων προστετίμηται δεσμοῦ, ἢ καὶ τὸ
λοιπὸν προστιμηθῇ, εἶναι καταστήσαντι ἐγγυητάς, ἦ μὴν ἐπὶ τῆς ἐνάτης πρυτανείας
ἐκτίσειν τὸ ἀργύριον, ἀφεῖσθαι τοῦ δεσμοῦ. τίς οὖν πορεύσεται; τίνα ἀποστελεῖ τις 150
[*α.] ἔτι ἢ στρατιάν; πῶς τὰ χρήματα εἰσπράξομεν, ἐὰν εἷς ἕκαστος ὀφλισκανόντων,
ἐγγυητὰς καταστήσῃ κατὰ τὸν τούτου νόμον, ἀλλὰ μὴ τὸ προσῆκον ποιῇ; ἐροῦμεν νὴ Δία
τοῖς Ἕλλησι, Τιμοκράτους νόμος ἐστὶ παρ' ἡμῖν, ἀναμείνατ' οὖν τὴν ἐνάτην πρυτα-
νείαν, εἶτα τότ' ἐξιμεν. τὸ γὰρ λοιπὸν μὲν δὴ ἕως ἂν ὑμῖν αὐτοῖς ἀμύνεσθαι δέῃ, ἆρά
[*ἀναμένειν] γ' οἴεσθε τοὺς ἐχθροὺς τὰς τῶν παρ' ἡμῖν πονηρῶν διαδύσεις καὶ κακουργίας ἀναμένειν; 151
ἢ, εἰ τὴν πόλιν αὐτὴν ἐμποδίζοντας νόμους θήσετε, καὶ τἀναντία τῶν συμφερόντων
λέγοντας, δυνήσεσθέ τι ποιῆσαι τῶν δεόντων; ἀλλ' ἀγαπητὸν, ὦ ἄνδρες Ἀθηναῖοι

Τοῦ δὲ μὴ καταστήσαντος οὐκ ἔνι δήπουθεν) Πῶς γὰρ ὁ μὴ καταστήσας μέλλει ἔχειν ἐγγυητάς; οὐ γὰρ φησὶ, κατὰ τοῦ μὴ καταστήσαντος ἐγγυητὰς οὐδὲν ἔγραψε. τὸ δὲ καθίζουσιν, ἀντὶ τοῦ καθίσαντι. 144
Καίτοι πῶς ἂν ἀσυμφορώτερος) Ἐντεῦθεν ὁ ἐπίλογος ἄρχεται. ἐπιλογίζεται δὲ ἀνακεφαλαιούμενος τῶν ῥηθέντων ἐπιχειρημάτων τὴν δύναμιν ἢ συμπεραίνει τὸ συμφέρον κεφάλαιον. διὸ ὕστερον δὲ ὥσπερ ἀνακεφαλαιοῦται τὰ εἰρημένα. εἰ δέ τις ζητήσοι [*ζητήσει], διὰ τί ἐν μέσῳ τῷ λόγῳ ἀνακεφαλαιώσεις ἔταξεν· ἴδιον γάρ ἐστι τῶν ἐπιλόγων ἡ ἀνακεφαλαίωσις, λέγομεν, ὅτι αὕτη λέγεται ἀνακεφαλαίωσις μερικὴ ἑνὸς ἑκάστου κεφαλαίου, οὐ τελέως αὐτοῦ τοῦ λόγου καὶ τοῦ ἀγῶνος. 145
Ὅτι τοίνυν ὅλην συγχεῖ) Ἐπὶ τοῦ συμφέροντός εἰσιν οἱ λόγοι. 147
Ἀλλὰ μὴ τὸ προσῆκον ποιῇ) Παραχάραγμα καταβάλλων τὰ χρήματα. 150
Ἐροῦμεν νὴ Δία τοῖς Ἕλλησι) Ἡ χάρις μετὰ θυμοῦ μεμιγμένη. τοιοῦτος γάρ ἐστιν ὁ ῥήτωρ. διαλύει δὲ τὰς ἐξ ἀπάτης διαβολὰς καὶ διαφυγάς. τὸ δυνήσεσθέ τι ποιῆσαι τῶν δεόντων. ἐνάτην δὲ πρυτανείαν, τὴν ἐνάτην μόνον λέγει.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

154 Τῶν ἐκ τῶν τελῶν) Κυρίως τέλη, ἐπὶ τῶν μισθῶν λέγεται. καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν προσόδων τῆς χώρας.
155 Τὰ προσκαταβλήματα) οἷον, αὐτὰ τὰ προστιμήματα τοῖς χρεωστοῦσι καὶ μὴ βουλομένοις καταβάλλειν, μέχρι τῆς ἐνάτης πρυτανείας, ὡς ἤδη ἔγνωμεν, κατέβαλλον τὰ διπλᾶ. διὸ καὶ προσκαταβλήματα λέγεται διὰ
156 τὸ προσκαταβάλλειν. Οὐ δικάσει τὰ δικαστήρια) Οὐ μόνον οἱ δικασταὶ ἐλάμβανον μισθόν, ἀλλὰ καὶ ἡ βουλή, καὶ ὁ δῆμος. ἐξ ὧν ἐπιφέρει, ἀλλὰ ἀμισθὶ
157 ταῦτα ποιήσομεν. Αλλὰ νὴ Δί' ἀμισθὶ ταῦτα) Αντιπίπτον, ἀλλὰ εἰ καὶ μὴ χρήματα ἔσται, τὰ δικαστήρια ποιήσομεν καὶ χωρὶς μισθοῦ. ἔστι δὲ οὐ τῇ φύσει ἀντιπίπτον. οὐ γὰρ ἄν τις εἴποι καθ' ἑαυτὸν τῶν δικαστῶν, ἀλλ' ὡς τοῦ Τιμοκράτους τοῦτο ἀπαιτοῦντος καὶ ἔστι συγκριτικόν. τῷ γὰρ νὴ Δία, πανταχοῦ ὁ
158 ῥήτωρ ἐπὶ διασυρμῷ χρῆται. ἀλλὰ νὴ Δία τὰ πατρῷα καὶ παππῷα. Νῦν δὲ κύκλῳ φθέγγων) Αντὶ τοῦ πανταχόθεν. τοὺς τελωνικοὺς δέ, τοὺς περὶ τελῶν καὶ τελωνῶν. Διὰ ταῦτα οὐ προσέγραψε τοῦτο) Επειδὴ δεσμὸν ἠπείλει ὁ τῶν
159 τελωνικῶν νόμος. Ιππέας) Καὶ γὰρ καὶ οἱ ἱππεῖς μισθὸν ἐλάμβανον ἐν εἰρήνῃ ὑπὲρ τοῦ τρέφειν τοὺς ἵππους.
160 Ανὰ καὶ τοῖς ἀδικοῦσιν) Οὐχ ὅτι ὑπὲρ

πάντων καλῶς ἐχόντων ἡμῖν, καὶ μηδενὸς ὄντος τοιούτου νόμου κρατεῖν μὲν τῶν ἐχθρῶν, καὶ ταῖς ὀξύτησι δυναί-
151 μεθα, καὶ τοῖς τοῦ πολέμου καιροῖς ἀκολουθεῖν, καὶ μηδενὸς ὑστερίζειν. ἀλλὰ μὴν, εἰ φαίνεται τοιοῦτον τεθεικὼς νόμον, ὃς τὰ τοιαῦτα λυμαίνεται, δι' ὧν ἡ πόλις καὶ σεμνὴ καὶ λαμπρὰ παρὰ πᾶσι καθέστηκε, πῶς οὐχὶ δικαίως ὁτιοῦν ἂν πάθοι; ἔτι τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν διοίκη-
153 σιν ἀναιρεῖ, τήν θ' ἱερὰν καὶ τὴν ὁσίαν. ὡς δέ, ἐγὼ φράσω. *πῶς δ.
ἔστιν ὑμῖν κύριος νόμος καλῶς, εἴπερ τις καὶ ἄλλος, κείμενος, τοὺς ἔχοντας τά, τε ἱερὰ καὶ τὰ ὅσια χρήματα, καταβάλλειν εἰς τὸ βουλευτήριον. εἰ δὲ μή, τὴν βουλὴν αὐτοὺς εἰσπράττειν τοῖς νόμοις χρωμένην τοῖς τελω-
154 νικοῖς. ἀλλὰ τοίνυν τοῦ νόμου τούτου διοικεῖται τὰ κοινά.* *α.
τὰ γὰρ εἰς τὰς ἐκκλησίας καὶ τὰς θυσίας, καὶ τὴν βουλήν, καὶ τοὺς ἱππέας, καὶ τἆλλα χρήματα ἀναλισκόμενα, διὰ τοῦτ' ἔσθ' ὁ νόμος ὁ ποιῶν προσυπορρεῖν. οὐ γὰρ ὄντων ἱκανῶν τῶν ἐκ τῶν τελῶν χρημάτων τῇ διοικήσει, τὰ προ-
155 σκαταβλήματα ὀνομαζόμενα διὰ τὸν τοῦ νόμου τούτου φόβον, καταβάλλεται. πῶς οὖν οὐχ ἅπαντ' ἀνάγκη κα- *κ. ἅπαντα.
ταλυθῆναι τὰ τῆς πόλεως, ὅταν αἱ μὲν τῶν τελῶν καταβολαὶ μὴ ἱκαναὶ ὦσι τῇ διοικήσει, ἀλλ' ἐνδεεῖς πολλῶν, καὶ μηδὲ ταῦτα, ἀλλ' ἃ περὶ λήγοντα τὸν ἐνιαυτὸν ἢ
156 λαβεῖν. τὰ δὲ προσκαταβλήματα τοὺς μὴ τιθέντας, κυρία ᾖ *ἡ βουλή, μηδὲ τὰ δικα- *μηδὲ.
στήρια δῶσι, ἀλλὰ καθιστῶσιν ἐγγυητὰς μέχρι τῆς ἐνάτης πρυτανείας; ταῖς δὲ ὀκτώ, τί ποιήσομεν; εἰπὲ Τιμόκρατες. οὐ συνιόντες, καὶ βουλευσόμεθα ἐάν τι δέῃ; εἶτα ἔτι δη- *βουλευσόμεθα. α.
μοκρατησόμεθα; οὐ δικάσει τὰ δικαστήρια τά, τε ἴδια, καὶ τὰ δημόσια; καὶ τίς ὑπάρξει
157 τοῖς ἀδικουμένοις ἀσφάλεια; οὐκ εἴσεισιν ἡ βουλή, καὶ διοικήσει τὰ ἐκ τῶν νόμων; καὶ τί λοιπὸν ἔσθ' ἡμῖν, ἀλλ' ἢ καταλελύσθαι; ἀλλὰ νὴ Δί' ἀμισθὶ ταῦτα ποιήσομεν; καὶ πῶς οὐ δεινὸν εἰ διὰ τὸν νόμον, ὃν σὺ τέθηκας, μισθὸν λαβών, ἄμισθος ὁ δῆμος καὶ ἡ βουλὴ καὶ τὰ δικαστήρια ἔσται; χρῆν γὰρ τοῦτό γέ σε, ὦ Τιμόκρατες, προσγράψαι τῷ νόμῳ, ὅπερ ἐποίεις κατὰ τῶν τελωνῶν καὶ τῶν ἐγγυητῶν, τὰς πράξεις κατὰ τοὺς ὑπάρχοντας νόμους, καὶ εἰ
158 κατά τινων ἐν ἄλλῳ τινὶ νόμῳ, ἢ ψηφίσματι τὰς αὐτὰς εἰρῆσθαι πράξεις, ὧν ὀφείλουσιν, εἶναι, ἃς περὶ τελωνῶν, καὶ κατὰ τούτων εἶναι τὰς πράξεις κατὰ τοὺς ὑπάρχοντας νόμους. νῦν δὲ κύκλῳ φθέγγων τοὺς νόμους τοὺς τελωνικούς, ὅτι τὸ ψήφισμα τὸ Εὐκτήμονος εἴρηκε πράττειν τοὺς ὠφληκότας κατὰ τούτους τοὺς νόμους, διὰ ταῦτ' οὐ προσέγραψε τοῦ-
159 το. ἐκ δὲ τούτου τοῦ τρόπου, τὴν μὲν ὑπάρχουσαν τιμωρίαν λύσας κατὰ τῶν τὰ τῆς πόλεως ἐχόντων, ἑτέραν δ' οὐ προσγράψας, πάντα τὰ πράγματα ἀναιρεῖ, δῆμον, ἱππέας, βουλήν, ἱερά, ὅσια. ἀνθ' ὧν, ἂν περ ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, σωφρονῆτε, κολασθεὶς καὶ δοὺς ἀξίαν δίκην, τοῖς ἄλλοις παράδειγμα γενήσεται, μὴ τιθέναι τοιούτους νόμους. οὐ τοίνυν
160 τὰ δικαστήρια ἄκυρα μόνον ποιεῖ τῶν προστιμημάτων, ἀλλὰ καὶ τοῖς ἀδικοῦσι τὰ κοινά, δίδωσιν ἄδειαν, τὰς ὑπὲρ τῆς πόλεως στρατείας λυμαίνεται, τὴν διοίκησιν καταλύει, τοῖς κακούργοις, καὶ τοῖς πατραλοίαις, καὶ τοῖς ἀστρατεύτοις, βοηθοῦντα τέθηκε τὸν νόμον. τὰς γὰρ ὑπαρχούσας ἐκ τῶν νῦν κυρίων νόμων τιμωρίας, καταλύει.

λεγόντων

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τούτων τέθεικεν, ἀλλ' ὑπὲρ τοῦ δεσμοῦ καὶ τοῦ καταδικάζεσθαι πολλάκις χρήματα τούτοις, ἠδυνήθη σοφίσασθαι. διὸ καὶ ἐπάγει τοῦτο, ἐπειδὴ σοφισμοῦ πλῆρες ἐδόκει εἶναι τὸ ῥῆμα· τὰς γὰρ ὑπαρχούσας ἐκ τῶν νέων; καὶ τὰ ἑξῆς. Λε- 161
γόντων γὰρ τῶν νόμων) Σφάλλει ὡς τοῦ νομίμου φαινομένου; οὐκ ἔστι δέ, ἀλλὰ λέγει ὅτι σόλων τό, καὶ τὸ λέγει, ὡς τὸ συμφέρον βλέπων. ὁ δέ, οὐ μιμεῖται αὐτόν, ἀλλ' ἀσυμφόρως γέγραφε τὸν νόμον. ἀπολογίαν δὲ ποιεῖται καὶ ὑπὲρ αὐτοῦ τοῦ διοδώρου, ὅτι δι' ὧν βούλεται ἰσχυροὺς εἶναι τοὺς κατὰ τῶν πατραλοιῶν νόμους, δῆλός ἐστι παρεσκευασμένος, τοὺς γονέας τιμᾶν. ὥστε μάτην αὐτὸν συκοφαντεῖσθαι ὑπὸ ἀνδροτίωνος, ὡς τὸν πατέρα ἀνῃρηκότα.

λεγόντων γὰρ τῶν νόμων, οὓς ἔθηκε σόλων, οὐδὲν ὅ- 161
μοιος ὢν τούτῳ νομοθέτης, ἐάν τις ἁλῷ κλοπῆς, καὶ μὴ
τιμηθῇ θανάτου, προστιμᾶν αὐτῷ δεσμόν. καὶ ἐάν
τις ἁλοὺς τῆς κακώσεως τῶν γονέων εἰς τὴν ἀγορὰν
ἐμβάλλῃ, δεδέσθαι, κἂν ἀστρατείας τις ὄφλῃ, καί τι
τῶν αὐτῶν τοῖς ἐπιτίμοις ποιῇ, καὶ τοῦτον δεδέσθαι. Ti- 162
μοκράτης ἅπασι τούτοις ἄδειαν ποιεῖ, τῇ καταστάσει
τῶν ἐγγυητῶν τὸν δεσμὸν ἀφαιρῶν. ὥστ' ἔμοιγε δο-
κεῖ· καὶ γὰρ εἰ φορτικώτερον εἶναι τὸ ῥηθησόμενον δό-
ξει, λέξω καὶ οὐκ ἀποκρύψομαι· κατὰ τοῦτό γ' αὐτὸ ἄ-
ξιον αὐτὸν εἶναι θανάτῳ ζημιῶσαι, ἵνα ἐν ᾅδου τοῖς 163
ἀσεβέσι θῇ τοῦτο τὸν νόμον, ὑμᾶς δὲ τοὺς ζῶντας, τοῖσδε
τοῖς ὁσίοις καὶ δικαίοις, ἐᾷ τὸ λοιπὸν χρῆσθαι. ἀνάγνωθι
δέ, καὶ τούτους τοὺς νόμους. Νόμοι κλοπῆς, κακώσεως
γονέων, ἀστρατείας. Ὅ, τι ἐάν τις ἀπολέσῃ, ἐὰν μὲν
αὐτὸ λάβῃ, τὴν διπλασίαν καταδικάζειν. ἐὰν δὲ μή, 164
τὴν δεκαπλασίαν πρὸς τοῖς ἐπαιτίοις. δεδέσθαι δ'
ἐν τῇ ποδοκάκῃ τὸν πόδα πένθ' ἡμέρας καὶ νύκτας
ἴσας, ἐὰν προστιμήσῃ ἡ ἡλιαία. προστιμᾶσθαι δὲ
τὸν βουλόμενον, ὅταν περὶ τοῦ τιμήματος ᾖ. ἐὰν δέ τις
ἀπαχθῇ τῶν γονέων κακώσεως ἡλωκώς, ἢ ἀστρατείας, 165
ἢ προειρημένων αὐτῷ τῶν νόμων εἴργεσθαι, εἰσιὼν
ὅποι μὴ χρή, δησάντων αὐτὸν οἱ ἕνδεκα, καὶ εἰσαγόν-
των αὐτὸν εἰς τὴν ἡλιαίαν. κατηγορείτω δὲ ὁ βουλό-
μενος οἷς ἔξεστιν. ἐὰν δὲ ἁλῷ, τιμάτω ἡ ἡλιαία, ὅ, τι
χρὴ παθεῖν αὐτόν, ἢ ἀποτίσαι. ἐὰν δὲ ἀργυρίου τι- 166
μηθῇ, δεδέσθω τέως, ἕως ἂν ἐκτίσῃ. Ὅμοιός γε, ὦ
ἄνδρες ἀθηναῖοι, σόλων νομοθέτης, καὶ Τιμοκράτης. ὁ
μέν γε καὶ τοὺς ὄντας βελτίους ποιεῖ, καὶ τοὺς μέλλοντας
ἔσεσθαι. ὁ δέ, καὶ τοῖς γεγενημένοις πονηροῖς ὅπως μὴ
δώσουσι δίκην. ὁδὸν δείκνυσι, καὶ τοῖς οὖσιν ὅπως ἄδεια 167
γενήσεται κακουργεῖν εὑρίσκει, καὶ τοῖς μέλλουσιν ἔσεσθαι,
τοὺς ἐξ ἁπάντων τῶν χρόνων πονηρούς, ὅπως ἔσονται
σῷοι καὶ μηδὲν πείσονται, παρασκευάζων. καί τινα ἂν
ἀξίαν δοίης δίκην, ἢ τί σὺ παθὼν ἂν τὰ προσήκον-
τα εἴης πεπονθώς, ὅς, τὰ μὲν ἄλλα ἐῶ, ἀλλὰ τοὺς τῶν 168
γερόντων βοηθοὺς λυμαίνῃ. οἳ καὶ ζῶντας ἀναγκάζουσι τοὺς
παῖδας τοὺς γονέας τρέφειν, καὶ ἐπειδὰν ἀποθάνωσιν,
ὅπως τῶν νομιζομένων τύχωσι, παρασκευάζουσιν. ἢ

ὑμᾶς.

προειρημένου αὐτῷ ὑπὸ τῶν

Ἵνα ἐν ᾅδου τοῖς 163
ἀσεβέσιν) Οἷον, τοῖς περὶ τὸν ταντάλον, καὶ τὸν τιτυόν, καὶ τὸν ἰξίονα. ἐπειδὴ οὖν, ᾔσθετο ὡς ὅτι τὰ τοιαῦτα τῇ ἑρμηνείᾳ ποιητικῆς μᾶλλόν ἐστιν, ἀλλ' οὐ ῥητορικῆς, ὥσπερ συγγνώμην ᾔτησεν, εἰπών· καὶ γὰρ εἰ φορτικώτερόν ἐστιν, ἀνόητον. ὥς φησιν ἀθανάσιος. Εἰς τὸ αὐτό. Ὀφείλει, φησί, μάλιστα διὰ τοῦτο ἀποθανεῖν, ἵνα ἐκεῖ θεὶς τοῦτον τὸν νόμον, τοὺς κακούργους τιμωρείας λύσῃ. ἡμᾶς δὲ ἐάτω ζῆν ὡς πολιτευόμεθα. Ἐν τῇ ποδοκά- 164
κῃ) ἀσπιστήριόν τί ἐστιν ὄργανον, εἰς ὃ σχεβλοῦταί τις δεσμούμενος τὰς χεῖρας καὶ τοὺς πόδας, ὅπερ καλεῖται καὶ ποδοστράβη. τὸ δὲ περὶ τοῦ τιμήματος, δηλονότι περὶ τῆς τιμωρίας. Ἐὰν δ' ἁλῷ) Εἴποι ἄν τις, 165
πῶς λέγει, ἐὰν ἁλῷ. καί τοι προειπὼν ὅτι εἰσαγόντων αὐτὸν εἰς τὴν ἡλιαίαν. πῶς δὲ ἐδύναντο αὐτὸν εἰσαγαγεῖν μὴ καταχθέντος αὐτοῦ. λέγομεν ὅτι τὸ ἐὰν ἁλῷ ἐνταῦθα λέγει οὐκ ἂν καταχθῇ, ἀλλ' ἐὰν ἁλῷ διὰ τῆς κρίσεως, πείσας ἐφ' ᾧ περὶ συνελήφθη. τὸ δὲ παθεῖν, ἢ ἐκτῖσαι, ἀντὶ τοῦ παθεῖν εἰς τὸ σῶμα, ἐκτῖσαι δὲ χρήματα.

ἀποτῖσαι.

Ὅμοιός γε, ὦ ἄνδρες ἀθηναῖοι, 166
σόλων ὁ νομοθέτης) Κατὰ ἀντεξέτασιν, ἐκ διαφορᾶς τιμοκράτους καὶ σόλωνος. ἵνα ἐκ τῆς δόξης τοῦ προσώπου δείξῃ αὐτὸν πλέον παρανομώτατον. ἀντίθεσιν δὲ οὐδεμίαν ἐνταῦθα πρὸς τὸ συμφέρον ἔθηκεν. οὐ γὰρ ἠπίστατο αὐτῷ περιθραῦσαι τῇ οἰκείᾳ κεφαλῇ τὴν ἰσχύν. ὅταν δὲ ἐκ τῆς ποιότητος τοῦ τιμοκράτους λογίζηται, τότε κινήσει τὴν ἀντίθεσιν λέγων, ὡς ἄτοπον ἔγραψας ὅπως μηδεὶς ἀθηναίων δεθήσεται, καὶ ὅπως αὐτὸς ὁ κακουργήσας, οὐ πείσεταί τι κακόν. Βελτίους ποιεῖ) Οὐκ εἶπε κολάζει. καί τοι ἐν τοῖς προειρημένοις περὶ κολάσεως διεξερχόμενος, ἀλλὰ βελτίους ποιεῖ. σωφρονισμὸν εἰπὼν τὴν κόλασιν. ὥστε τὴν τιμοκράτους δοκοῦσαν φιλανθρωπίαν, βλαβερὰν εἶναι· τὴν δὲ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πῶς οὐ κάκιστος ἀπάντων ἂν θεράπων δικαίως ἂν νο-
169 μίζοιτο, ὅστις, ὦ κατάρατε, περὶ πλείονος φαίνῃ τοὺς
κλέπτας, καὶ τοὺς κακούργους, καὶ τοὺς ἀστρατεύτους τῆς
πατρίδος ποιούμενος, καὶ διὰ τούτους καθ' ὑμῶν νό-
μον τιθείς; βούλομαι τοίνυν ὑμῖν ἃ ὑπεσχόμην ἐν
ἀρχῇ τοῦ λόγου ἀπολογήσασθαι πεποιηκότα ἐμαυ-
170 τόν. ἔφην γὰρ αὐτὸν ἐξελέγξειν κατὰ πάντα ἔνοχον ὄντα
τῇ γραφῇ, πρῶτον μὲν παρὰ τοὺς νόμους νομοθε-
τοῦντα· δεύτερον δ' ὑπεναντία τοῖς οὖσι νόμοις γε-
γραφότα· τρίτον δὲ τοιαῦτα, δι' ὧν βλάπτει τὴν πό-
λιν. οὐκοῦν ἠκούσατε τῶν νόμων ἃ κελεύουσι ποιεῖν τὸν
171 τιθέντα νόμον καινόν. καὶ πάλιν ὑμᾶς ἐδίδαξα, ὅτι τού-
των οὐδ' ὁτιοῦν ἐποίησεν οὗτος. καὶ μὴν, κἀκείνων ἠκού-
σατε τῶν νόμων, οἷς ἐναντίος ὢν ἐφαίνετο οὗτος. καὶ
τούτους ὅτι πρὶν λῦσαι, τόνδε τέθηκεν, ἐπίστασθε. ἀλλὰ
μὴν ὅτι γ' οὐκ ἐπιτήδειος, ἀκηκόατε. ἄρτι γὰρ λέ-
172 γων ἐπαυσάμην. οὐκοῦν κατὰ πάντ' ἀδικεῖ φανερῶς,
καὶ οὐδέν ἐσθ' ὅ,τι φροντίσας ὑμῶν, οὐδ' εὐλαβηθεὶς
φαίνεται. ἀλλ' ἔμοιγε δοκεῖ, κἂν εἰ πρὸς τούτοις ἄλλο τι
μὴ ποιεῖν ἐγέγραπτο ἐν τοῖς οὖσι νόμοις, κἂν τοῦτο
ποιῆσαι. πανταχόθεν μὲν τοίνυν δῆλός ἐσθ' ὅτι ταῦτ'
173 ἔγραψεν ἐπιβουλεύσας, καὶ μετὰ τοῦ βουλεύσασθαι ταῦτ'
ἀδικεῖν, καὶ οὐ γνώμῃ διαμαρτών, μάλιστα δ' ἐκ τοῦ
πάντα τὸν νόμον μέχρι τῆς ὑστάτης συλλαβῆς τοιοῦτον
εἶναι· οὐδὲ γὰρ οὐδ' ἄκων οὐδὲν ἔθηκεν ὀρθῶς ἔχον, οὐδ'
ὡς ὑμῖν ἔμελλε λυσιτελήσειν. πῶς οὖν οὐκ εἰκὸς μι-
174 σεῖν καὶ τιμωρεῖσθαι τοῦτον, ὅστις τοῦ μὲν δήμου ἠδικη-
μένου οὐκ ἐμέλησεν, ὑπὲρ δὲ τῶν ἠδικηκότων, καὶ ὕστερον ἀδι-
κησόντων, τοὺς νόμους τέθηκε; θαυμάζω δ', ὦ ἄνδρες
δικασταί, τῆς ἀναιδείας αὐτοῦ, τὸ ἡνίκα μὲν ἦρχεν αὐτὸς
μετ' Ἀνδροτίωνος, τὸ ἔργον [?] τοῦτον ἐπὶ τῷ πλήθει τῷ
175 ὑμετέρῳ μὴ ποιήσασθαι, τῷ ἀπειρηκότι τὰ ἑαυτοῦ χρή-
ματα εἰσφέροντι, ἐπειδὴ δ' Ἀνδροτίωνα ἔδει ἃ πάλαι
ὑφῄρητο τῆς πόλεως χρήματα καταθεῖναι, τὰ μὲν ἱερά,
τὰ δ' ὅσια, τότε θεῖναι τὸν νόμον ἐπ' ἀποστερήσει τῶν μὲν
ὁσίων τῆς διπλασίας, τῶν ἱερῶν δέ, τῆς δεκαπλασίας.
176 καὶ οὕτω πρὸς τὸ πλῆθος τὸ ὑμέτερον προσενήνεκται
ὁ αὐτίκα δὴ μάλα ὑπὲρ τοῦ δήμου φήσων τὸν νόμον
τοῦτον *θεῖναι. δικαίως δ' ἂν ἐμοὶ δοκεῖ παθεῖν ὁτιοῦν, *γρ. θεῖναι, ὥστε δικαίως ἂν
ὅστις οἴεται δεῖν, εἰ μέν τις ἀγορανόμος, ἢ ἀστυνόμος,

σόλωνος τιμωρείαν, οὐ κόλασιν, ἀλλ'
169 ὠφέλειαν. Βούλομαι τοίνυν) Ἀνακε-
φαλαίωσις τῶν δύω κεφαλαίων, τοῦ τε
συμφέροντος καὶ τοῦ νομίμου. εἰ δέ τις
ζητήσει, τίνος ἕνεκα τὸ δίκαιον παρέ-
λιπεν; ἐροῦμεν οὐ παρῆκεν, ἀλλ' ἐπειδὴ
μὲν πάνυ ἦν ἰσχυρὸν, φανερῶς μὲν αὐ-
τὸ οὐ τίθησι· κατασπείρει δὲ αὐτὸ παν-
170 ταχοῦ. Πρῶτον μὲν παρὰ τοὺς νό-
μους) Τοῦτό ἐστι τὸ τοῦ νομίμου προ-
σώπου, τὸ δὲ δεύτερον, τοῦ νόμου αὐτοῦ.
Τρίτον δέ) Ἰστέον ὅτι οὐ λέγει ἐνταῦ-
θα περὶ τοῦ τρίτου κεφαλαίου, ὅ ἐστι τοῦ
δικαίου, ἀλλὰ περὶ τοῦ συμφέροντος.
τρίτον δὲ αὐτὸς ἐκάλεσεν ἐνταῦθα τὸ
συμφέρον, οὐ κατὰ τὴν τάξιν τῶν κεφα-
λαίων, ἀλλὰ κατὰ τὴν διαίρεσιν. τὸ γὰρ
νόμιμον κεφάλαιον, εἰς δύο διεῖλεν,
εἴτε τὸ παρὰ νόμον, καὶ τὸ ἐναντίον
τοῖς νόμοις. οὐκοῦν ὡς πρὸς τὰ δύο
μέρη τοῦτο εἶπε τρίτον. ἐπειδὴ πρὸς
αὐτὴν τὴν αὐτὴν τοῦ νομίμου κεφα-
λαίου, πάλιν δεύτερον λέγει τὸ συμφέ-
173 ρον. Οὐδὲ γὰρ οὐδ' ἄκων) Εἰ μὲν ἐκ
*α. προνοίας τέθεικεν, εἰ κατὰ ἄγνοιαν τι
καλὸν ἀπὸ τύχης γράψαι. ἐπειδὴ δὲ
ἐκ μελέτης οὐδὲν ἔχει καλῶς. τὸ γὰρ
οὐδὲ ἄκων ἀναίρεσις μὲν συγγνώμης,
λύσις δὲ λάθρα τοῦ δικαίου, οὗ ἔχει
προσφέρειν Τιμοκράτης οὐ φανερῶς δὲ
αὐτὸ τίθησιν, ἐπειδὴ ἴσχυε ταύτῃ.
Ἄλλως. Ὁ ἄκων καλόν τι ποιή-
σας, οὐκ ἐπαινεῖται. οὐδὲ γὰρ σπουδαῖος
διὰ τοῦτο λέγεται. χρεία γὰρ προαιρέ-
σεως ἐπειδὴ ἐστὶν ἡ ἀρετή. οὐδεὶς δὲ ἄκων
πράττων, ἐκ προαιρέσεως πράττει.
ὅμως εἰ Τιμοκράτης ὁ τὸν νόμον ἐκ
προαιρέσεως ἀνεπιτήδειον, καὶ πα-
ράνομον τεθεικὼς, εἴτε ἐν αὐτῷ ἄκων
ὀρθῶς ἔγραψεν, εἰ μὴ ἐπαίνου, ἀλλά γε
174 συγγνώμης ἄξιος κρινέσθω. Θαυ-
μάζω δ', ὦ ἄνδρες δικασταί) Ἐντεῦ-
θεν τὸ δίκαιον κεφάλαιον, ὅπερ κατα-
γίνεται καθαρῶς εἰς τὴν καταδρο-
μὴν τῶν περὶ τὸν Ἀνδροτίωνα. ἣν ἔφη-
σεν ὁ μὲν ἀνδρὸς δευτέραν εἶναι ὑπό-
176 θεσιν. Εἰ μέν τις ἀγορανόμος) Ἀπὸ
συγκρίσεως ἄρχεται κατὰ ἀντεξέτασιν.
τίνες μᾶλλον ἀδικοῦσι τὴν πόλιν,
*νόμοις. ἀστυνόμοι καὶ δικασταὶ κατὰ *δήμους γι-
νόμενοι, διὰ πενίαν, καὶ ἀπαιδευσίαν,
καὶ ἀπειρίαν, δόξαντες ἐν ταῖς Ἀθή-
ναις κεκλοφέναι, ἢ πρέσβεις αἱρεθέν-
τες ὑπὸ τοῦ δήμου πλούσιοι ὑφῃρη-
μένοι ἱερὰ καὶ ὅσια χρήματα καὶ πο-
λὺν χρόνον ἐγκεκαρπωμένοι; ἄξιον
*ποιῶ ἐνταῦ- δὲ ζητῆσαι τοῦ τόπου τὸ δοκεῖν ὑπο-
θα δοκεῖ σο- μένειν [?]. φησὶ γὰρ, τοὺς μὲν πρέσβεις βοη-
φίζεσθαι. φη- θεῖσθαι τῷ νομίμῳ· τοὺς δὲ ἀστυνόμους καὶ δικαστὰς κατὰ δήμους γινομένους, μὴ βοηθεῖσθαι. καίτοι γε εἰ ὁ νόμος τοὺς
σί. δεσμοὺς ἀφίησιν, ὁμοίως τοῖς πᾶσιν ἀφίησι. πῶς οὖν οἷόν τε τοῖς μὲν βοηθεῖν, τοῖς δὲ οὐ βοηθεῖν αὐτόν. εἰ μή τις λέγοι.

ὅτι οὐκ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὅτι οὐκ ἀφαιρεῖται τὴν δεκαπλασίαν τῶν ἀστυνόμων. ἀλλὰ καὶ τοῦτο σαθρόν. ποδ τοίνυν τὸ σόφισμα. ὅτι οὐ περὶ τοῦ δεσμοῦ διαλέγεται, ἀλλὰ περὶ τοῦ πότεροι δικαιότεροί εἰσιν ἐκτιννύαι, οἱ πρέσβεις ἃ ὑφῄρηνται, ἢ οἱ ἀστυνόμοι καὶ οἱ ἀγορανόμοι τὴν δεκαπλασίαν, διότι ἔκλεψαν. οὐ περὶ τοῦ νόμου γὰρ διαλέγεται, ἀλλ' αὐτὸ καθ' ἑαυτὸ ἐξετάζει μόνον τὸ δίκαιον, τίνες δικαιότεροι καταβάλλειν εἰσίν, οἱ διὰ πενίαν κλέψαντες, ἢ οἱ πρέσβεις αἱρεθέντες, καὶ πλούσιοι ὄντες, εἶτα ὑφαιρούμενοι. ὃ δὲ ἄγαμαι τῆς μεθόδου, τοῦτο προσθήσω· φοβούμενος γὰρ τὴν ἀπὸ τοῦ δικαίου ἐφορμήσασαν ἀπανθρωπίαν· πικρὸν γὰρ τὸ διορίζεσθαι τοὺς ἀδικοῦντας δίκην διδόναι, οὐκ ἀπὸ τοῦ οἰκείου προσώπου τὸ κεφάλαιον λέγει. ἀλλὰ αὐτῷ καὶ κάτω Σόλωνα θρυλεῖ. τοῦτον γὰρ ἀφ' ἑαυτοῦ τοῦτο νομοθετοῦντα, πᾶς ἄν τις ὠμὸν ὑπέλαβεν εἶναι. διόπερ ἀπὸ τῆς ποιότητος τοῦ Σόλωνος ἐργάζεται· ἀξιοπιστότερος γάρ ἐστιν ὁ Σόλων καὶ ἐπισημότερος. ἔστι δὲ ἀγορανόμος, ὁ ἐπόπτης τῶν ὠνίων τῆς ἀγορᾶς· ἀστυνόμος δὲ ὁ ἐπὶ τοῦ εἶναι καθαρείαν τὴν πόλιν ἀσχολούμενος ὁ παρ' ἡμῖν πατήρ. Η δικαστὴς κατὰ δήμους γενόμενος) Ἐγίγνοντο γὰρ κατὰ δήμους οἱ ἐν τοῖς περιανιοῦσι καὶ ἐν ὀλίγοις δήμοις δικασταί. ὠφείλετε οὖν περὶ τούτου, εἴπερ οὐ δεῖν εἶναι φιλανθρώπους, καὶ ἐπὶ τούτων θεῖναι τὸν νόμον. ταῦτα δὲ πάντα λέγει, αναιρῶν τὸ ἰσχυρὸν τοῦ ἐναντίου, καὶ τὸ δίκαιον, ἵνα δείξῃ αὐτόν, οὐ διὰ φιλανθρωπίαν νομοθετήσαντα, ἀλλὰ διὰ τούτους. Ἄλλως. Οὐχ ἁπλῶς τοῦτο λέγει, ἀλλὰ βούλεται σημαίνειν τὴν ἐναντίαν περιουσίαν, ἵνα δείξῃ αὐτοὺς διὰ τοῦτο χρεωστοῦντας τὰ διπλᾶ. 176 Καίτοι γ' ὁ Σόλων) Ἄλλη ἀναίρεσις τῆς φιλανθρωπίας. ἰδοὺ γὰρ ὁ Σόλων φιλανθρωπότερος αὐτοῦ ὤν, κολάζει τοὺς ἀδικοῦντας, οὗτος δὲ ἀφίησιν, ὡς ἐπιδείξομεν. ἔστι δὲ ὁ τόπος οὗτος, τῆς ἀπὸ τοῦ ἐλάττονος συγκρίσεως, τοῦ περὶ τούτου ὄντος ἀπὸ τοῦ μείζονος. οἰκεῖος δὲ τῶν τόπων ἑκάτερος. ἐπειδὴ γὰρ περὶ ἀνδρῶν πρέσβεων κεκλοφότων ποιεῖται τὸν λόγον, ἀναγκαίως καὶ τοῖς παραδείγμασιν οἰκείοις κέχρηται. ὁ ἑξῆς γὰρ ἐνταῦθα ὅτι περὶ τῶν ἐλαττόνων κλεμμάτων μεγίστας τιμωρίας ὁ Σόλων ὥρισεν. 178



ἢ δικαστὴς κατὰ νόμους γενόμενος, κλοπῆς ἐν ταῖς εὐθύναις ἑάλωκεν, ἄνθρωπος πένης, καὶ ἰδιώτης, καὶ πολ- 177
λῶν ἄπειρος, καὶ κληρωτὴν ἀρχὴν ἄρξας, τούτῳ μὲν τὴν δεκαπλασίαν εἶναι, καὶ νόμον οὐδένα τοῖς τοιούτοις ἐπικουροῦντα εὑρήσειν· εἰ δέ τινες πρέσβεις αἱρεθέντες ὑπὸ τοῦ δήμου πλούσιοι ὄντες ὑφείλοντο χρήματα πολλά, τὰ μὲν ἱερά, τὰ δὲ ὅσια, καὶ εἶχον χρό- 178
νον πολύν, τούτοις ὅπως μηδὲν πείσονται, μήτ' οὖν οἱ νόμοι, μήτ' οὖν τὰ ψηφίσματα προστάττει, μάλ' ἀκριβῶς εὗρε. καίτοι γ' ὁ Σόλων, ὦ ἄνδρες δικασταί, ὃν οὐδ' ἂν αὐτὸς Τιμοκράτης φήσαι ὅμοιος νομοθέτης εἶναι, οὐχ ὅπως ἀσφαλῶς κακουργήσουσι φανεῖται παρεσκευά- 179
ζεν τοῖς τοιούτοις, ἀλλ' ὅπως, ἢ μὴ ἀδικήσουσιν, ἢ δώσουσι δίκην ἀξίαν, καὶ νόμον εἰσήνεγκε. Λέγε τοῦτον τὸν νόμον.

Νόμος.

Εἰ μέν τις μεθ' ἡμέραν ὑπὲρ πεντήκοντα δραχμὰς κλέπτοι, ἀπαγωγὴν πρὸς τοὺς ἕνδεκα εἶναι. 180
εἰ δέ τις νύκτωρ ὁτιοῦν κλέπτοι, τοῦτον ἐξεῖναι καὶ ἀποκτεῖναι, καὶ τρῶσαι διώκοντα, καὶ ἀπαγαγεῖν τοῖς ἕνδεκα, εἰ βούλοιτο. τῷ δ' ἁλόντι ὧν αἱ ἀπαγωγαί εἰσιν, οὐκ ἐγγυητὰς καταστήσαντι, ἔκτισιν εἶναι τῶν κλεμμάτων, ἀλλὰ θάνατον τὴν ζημίαν. καὶ εἴ τις γ' ἐκ 181
Λυκείου, ἢ ἐξ Ἀκαδημίας, ἢ ἐκ Κυνοσάργους, ἱμάτιον, ἢ ληκύθιον, ἢ ἄλλο τι φαυλότατον, ἢ τῶν σκευῶν τι, τῶν ἐκ τῶν γυμνασίων ὑφέλοιτο, ἢ ἐκ τῶν λιμένων, ὑπὲρ δέκα δραχμάς, καὶ τούτοις θάνατον ἐνομοθέτησεν εἶναι τὴν ζημίαν. εἰ δέ τις ἰδίαν δίκην κλοπῆς 182
ἁλῷη, ὑπάρχειν μὲν αὐτῷ διπλάσιον ἀποτῖσαι τὸ τιμηθέν, προστιμῆσαι δ' ἐξεῖναι τῷ δικαστηρίῳ πρὸς τῷ ἀργυρίῳ δεσμὸν τῷ κλέπτῃ, πένθ' ἡμέρας, καὶ νύκτας ἴσας, ὅπως ὁρῷεν ἅπαντες αὐτὸν δεδεμένον.

Marginalia: πανουργήσουσι. — προσθήσω.

Εἰ μέν τις μεθ' 180 ἡμέρ.) Μεθ' ἡμέραν λέγει, ἀντὶ τοῦ ἐν ἡμέρᾳ. ἐν νυκτὶ δὲ μείζονα τὴν τιμωρίαν ἔταξεν, ἐπειδὴ καὶ μεῖζόν ἐστι τὸ ἔγκλημα τῆς νυκτός· ἐν γὰρ ἡμέρᾳ, δύναταί τις καὶ βοηθοὺς καλέσαι ἑαυτῷ· ἐν δὲ νυκτὶ οὐκέτι. Ὧν αἱ ἀπαγωγαί εἰσι) Ἀντὶ τοῦ καθ' ὧν αἱ ἀπαγωγαί εἰσιν, ἵνα δηλώσῃ τοὺς ὑπὲρ τῶν πεντήκοντα δραχμῶν· οἱ γὰρ κλέπτοντες πλείονα τῶν πεντήκοντα δραχμῶν, πλείονα ἔπασχον. Ἐκ Λυκείου) Τρία ταῦτα γυμνάσια παρὰ τοῖς Ἀθηναίοις. ἦν δὲ καὶ ἱερά, ἐπὶ μὲν τοῦ Λυκείου, Λυκοκτόνου Ἀπόλλωνος· ἐπὶ δὲ τοῦ Κυνοσάργους, τοῦ Ἡρακλέους· ἐπὶ δὲ τῆς Ἀκαδημίας, αὐτοῦ τοῦ Ἀκαδήμου τοῦ ἥρωος ἐξ οὗ καὶ ὁ τόπος ἐκλήθη. ἐκλήθησαν δὲ οὕτως, διὰ τοιαύτην αἰτίαν. ἡ μὲν Ἀκαδήμια, ἀπὸ ἥρωός τινος Ἀκαδήμου κτίσαντος τὸν τόπον ἔνθα διατριβὴν εἶχεν ὁ Πλάτων. ὁ δὲ τόνος τῆς εὐθείας, τῆς Ἀκαδημίας, προπαροξύνεται, ἐπειδὴ καὶ ἡ εὐθεῖα τοῦ Ἀκαδήμου, ἐξ οὗ ἐκλήθη, προπαροξύνεται. τὸ δὲ Κυνόσαργες, ἐκ τοῦ ποτὲ θύοντας τῷ Ἡρακλεῖ, κύνα λευκὸν ἁρπάξαι τὰ μηρία τοῦ ἱερείου, καὶ ἀποθέσθαι αὐτὰ εἰς τὸν τόπον τοῦτον, ἔνθα ἐστὶ τὸ γυμνάσιον. ἡ δὲ εὐθεῖα τοῦ Κυνόσαργες, καὶ αὐτὴ προπαροξύνεται. ἡ σύνθεσις γὰρ πάλιν ἀνέπεμψε τὸν τόνον. τὸ δὲ Λύκειον, Λυκοκτόνου ἀ- 181

183 Καὶ τούτων ὀλίγῳ πρότερον ἠκούσατε τῶν νόμων·
ᾤετο δὲ δεῖν τόνγε τὰ αἰσχρὰ ἐργαζόμενον, μὴ ἃ ὀ-
φείλει μόνον "ἀποδιδόντα ἀπηλλάχθαι. πολλοὶ γὰρ "ἀποδόντα.
ἂν αὐτῷ ἐδόκουν οὕτω γ' οἱ κλέπται ἔσεσθαι, εἰ μέλ-
λοιεν λαθόντες μὲν ἕξειν, μὴ λαθόντες δὲ αὐτὰ "μόνα "μόνον.
184 καταθήσειν ἃ ὠφείλοντο. ἀλλὰ ταῦτα μὲν, διπλάσια
καταθεῖναι, δεθέντα δὲ, πρὸς τούτῳ τῷ τιμήματι,
ἐν αἰσχύνῃ ἤδη ζῆν τὸν λοιπὸν βίον. ἀλλ' οὐ Τιμοκράτης·
ἀλλ' ὅπως ἁπλᾶ μὲν ἃ δεῖ διπλάσια, καταθήσουσι
παρεσκεύασε μηδ' ὁτιοῦν ἐπιτίμιον ἔσται πρὸς τού-
185 τοις. καὶ οὐκ ἀπέχρησεν ὑπὲρ τῶν μελλόντων αὐτῷ
ταῦτ' ἀδικεῖν, ἀλλὰ καὶ εἴ τις ἄρ' ἠδικηκὼς κεκολα-
σμένος ἦν, καὶ τοῦτον ἀφῆκε. καίτοι ἔγωγ' ᾤμην δεῖν
τὸν νομοθετοῦντα, περὶ τῶν μελλόντων ἔσεσθαι, οἷα δεῖ
γίγνεσθαι, καὶ ὡς ἕκαστα ἔχειν, καὶ τὰς τιμωρίας "ὁποίας "οἵας
186 τινας ἐφ' ἑκάστοις δεῖ τοῖς ἀδικήμασιν εἶναι, περὶ τού-
των νομοθετεῖν. τοῦτο γάρ ἐστι τὸ ἐφ' ἅπασι τοῖς πο-
λίταις κοινοὺς τοὺς νόμους τιθέναι. τὸ δὲ περὶ τῶν γεγε-
νότων πραγμάτων νόμους γράφειν, οὐ νομοθετεῖν ἐστιν,
ἀλλὰ τοὺς ἀδικοῦντας σώζειν. σκοπεῖτε δ' ὡς ἀληθῆ
187 λέγω ἐκ τωνδί. εἰ μὲν γὰρ οὐκ ἐτιμῶν ἐκείνῳ τὴν τῶν
παρανόμων γραφὴν, οὐκ ἂν ἔθηκε τοῦτον τὸν νόμον ὁ
Τιμοκράτης· οὐδ' ἂν ἐδεῖτο ἡ πόλις τοῦ νόμου, ἀλλ' ἐξήρ-
κει ἂν αὐτοῖς ἀπεστερηκόσι τὴν πόλιν τὰ χρήματα, τῶν
ἄλλων μὴ φροντίζειν. νῦν δ' ἐπειδὴ ἀπέφυγε, τὸ μὲν
188 ὑμέτερον δόγμα, καὶ τὴν τοῦ δικαστηρίου ψῆφον, καὶ τοὺς
ἄλλους νόμους, ἀκύρους οἴεται δεῖν εἶναι. αὐτὸν δὲ, καὶ τὸν αὐτοῦ
νόμον, κύριον. καίτοι, ὦ Τιμόκρατες, οἱ μὲν ὄντες "ἡμῖν "ὑμῶν
κύριοι νόμοι, τουτουσὶ πείθουσι κυρίους ἀπολύτων· καὶ δι-
δόασιν αὐτοῖς ἀκούσασιν, ὁποῖον ἄν τι νομίζωσι τὸ ἀ-
189 δίκημα, τοιαύτῃ περὶ τοῦ ἠδικηκότος κεχρῆσθαι τῇ ὀργῇ· μέγα, μεγάλῃ· μικρόν;
μικρᾷ· ὅταν γὰρ ᾖ ὅ,τι χρὴ παθεῖν, ἢ ἀποτίσαι, τὸ τιμᾶν ἐπὶ τούτοις γίγνεται. σὺ
τοίνυν τὸ παθεῖν ἀφαιρεῖς, τὸν δεσμὸν ἀφιείς· καὶ ταῦτα, τισὶ τοῖς κλέπταις τοῖς ἱε-
ροσύλοις, τοῖς πατραλοίαις, τοῖς ἀνδροφόνοις, τοῖς ἀστρατεύτοις, τοῖς "λείπουσι τὰς τά- "λιποῦσι
190 ξεις. τούτους γὰρ πάντας σώζεις τῷ νόμῳ. καίτοι ὅστις ἐν δημοκρατίᾳ νομοθετῶν,
μήθ' ὑπὲρ τῶν ἱερῶν, μήθ' ὑπὲρ τοῦ δήμου νομοθετεῖ, ἀλλ' ὑπὲρ ὧν εἶπον ἀρτίως,
πῶς οὐ δίκαιός ἐστι τῆς ἐσχάτης τιμωρίας τυχεῖν; οὐ γὰρ δὴ ἐρεῖ γε, ὡς τοῖς τοιού-
τοις οὐ καὶ προσήκει, καὶ οἱ νόμοι κελεύουσι ταῖς μεγίσταις τιμωρίαις ἐνόχους
191 εἶναι, οὐδ' ὡς οὗτοι, ὑπὲρ ὧν εἴρηκε τὸν νόμον, οὐ καὶ κλέπται καὶ ἱερόσυλοί εἰσι,
τὰ μὲν ἱερὰ, τὰς δεκάτας τῆς θεοῦ, καὶ τὰς πεντηκοστὰς τῶν ἄλλων θεῶν σεσυ-
ληκότες, καὶ ἀντὶ τοῦ ἀποδοῦναι, αὐτοὶ ἔχοντες· τὰ δ' ὅσια, ἃ ἐγίγνετο ὑμέ-
τερα, κεκλοφότες. διαφέρει δὲ τοσοῦτον αὐτῶν ἡ ἱεροσυλία τῶν ἄλλων, ὅτι
τὴν ἀρ-

πόλλωνος, ἢ ὅτι νόμιος ὁ θεὸς νομίζεται ἐκ τοῦ θητεῦσαι Ἀδμήτῳ, καὶ ἀνάγκη ἦν αὔξειν ὡς νόμιον τοὺς λύκους τοὺς ἐχθροὺς ὄντας τοῖς ποίμναις, ἢ ὅτι λύκων ποτὲ ἐπελθόντων τῇ πόλει τῇ τῶν Ἀθηναίων, καὶ πολλοὺς τῶν Ἀθηναίων ἀναιρούντων, ἔχρησεν ὁ θεὸς θύειν μάλιστα ἐν τῷ τόπῳ, καὶ λοιπὸν ἐκ τῶν ὀσμῶν ἀπώλλυντο οἱ λύκοι· καὶ ἐκ τούτου χάριν ὁμολογοῦντες οἱ Ἀθηναῖοι τῷ Ἀπόλλωνι, ἱερὸν ἐκεῖσε αὐτῷ κατεστήσαντο, καλέσαντες αὐτὸ, λυκοκτόνου Ἀπόλλωνος.

184 Ἀλλὰ ταῦτα μὲν διπλάσια) Ἀπὸ
185 κοινοῦ ᾤετο δεῖν. Καὶ οὐκ ἀπέχρησεν ὑπὲρ τῶν μελλόντων) Τρίτος τόπος ἐστὶ κατὰ τὸ ἐναντίον. ὁρᾷς γὰρ ὅτι περὶ τρόπου διαλέγεται πῶς ἐχρῆν
188 αὐτὸν νενομοθετηκέναι. Καίτοι, ὦ Τιμόκρατες) Ὁ τόπος ἀπὸ τοῦ ἴσου· ἐνταῦθα γὰρ περὶ ἰσότητος, καὶ τῆς κατ' ἀξίαν ἑκάστου τιμωρίας, ποιεῖται
190 τὸν λόγον. Οὐ γὰρ δὴ ἐρεῖ γε) Ἀντιπίπτοντος λύσις· ἔλεγον γὰρ πολλάκις, ὅτι οὐχ οὕτω δεῖ κολάζειν σφοδρῶς, ἀλλ' ἠπιώτερον. λύει δὲ αὐτό. οὐ πάντως δὲ αὐτὸ τοῦτο ἔτασσεν, ἀλλ' ὡς αὐτὸς βούλεται, οὕτως εἰσάγει. σημειῶσαι δὲ ἐν τῷ, τοῖς λείπουσι τὰς τάξεις, φασὶν οἱ παλαιοὶ, ὅτι λιποτάκτης συνθέτως οὐ λέγεται. ἢ γὰρ ἂν ἔλεγεν οὕτως.

191 Διαφέρει δὲ) Τὸ διαφέρει, ὑπερβάλλει, δεινότερον γὰρ ἀποφαίνει. τινὲς καὶ ἐπὶ τῆς διαφορᾶς, τὸ διαλλάττειν. καίτοι γε οὔτε ἔκλεψαν, οὔτε ἱεροσύλησαν, ἀλλὰ ὀρεκτικῶς τοῦτο ποιεῖται. αὐτὸς γὰρ τοῦτο φάσκει ἱεροσυλίαν τὸ μὴ δοῦναι τὰ χρήματα τῆς θεοῦ. τὸ μὲν γὰρ ἀπὸ τῆς ἀρχῆς, τὸ δὲ, ἀπὸ τοῦ τέλους γίνεται. ὁ μὲν οὖν ἐκ τοῦ ἱεροῦ, ἀπὸ τοῦ τέλους ποιεῖ. ὁ δὲ μὴ ἀφεὶς ὅλως, ἀπὸ τῆς ἀρχῆς.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὴν ἀρχὴν οὐδὲ ἀνενήνοχαν εἰς τὴν ἀκρόπολιν, δέον 192
αὐτούς. οἶμαι δὲ νὴ τὸν Δία τὸν Ὀλύμπιον, ὦ ἄνδρες δι-
κασταί, οὐκ ἀπὸ ταὐτομάτου τὴν ὕβριν, καὶ τὴν ὑ-
περηφανίαν ἐπελθεῖν Ἀνδροτίωνι, ἀλλ' ὑπὸ τῆς θεοῦ
ἐπιπεμφθεῖσαν, ἵν', ὥσπερ οἱ τὰ ἀκρωτήρια τῆς νί-
κης περικόψαντες, ἀπώλοντο αὐτοὶ ὑφ' αὐτῶν. οὕτω 193
καὶ οὗτοι αὐτοὶ αὑτοῖς διαδικαζόμενοι, ἀπόλοιντο, καὶ
τὰ χρήματα καταθεῖεν διπλάσια κατὰ τοὺς νόμους, ἢ
δεθεῖεν. βούλομαι δ' ὑμῖν, ὃ μεταξὺ λέγων περὶ τού-
παράλογον. των, ἐνεθυμήθην, εἰπεῖν. περὶ οὗ τέθεικε νόμου, πα-
ράδοξόν τι καὶ θαυμαστὸν ἡλίκον. ἔστι γάρ, ὦ ἄνδρες 194
δικασταί, τοῖς μὲν τὰ τέλη ὠνουμένοις, ἔγραψε τὰς
τιμωρίας εἶναι, εἰ μὴ καταβάλοιεν τὰ χρήματα κατὰ
τοὺς νόμους τοὺς προτέρους, ἐν οἷς καὶ ὁ δεσμός, καὶ ἡ
διπλασία γέγραπται ἀνθρώποις, οἳ διὰ τὸ ζημιοῦ-
σθαι ἐπὶ τῇ ὠνῇ, ἄκοντες ἔμελλον τὴν πόλιν ἀδική- 194
ν. σειν· τοῖς δ' ὑφαιρουμένοις τὰ τῆς πόλεως, καὶ ἱερο-
συλοῦσι τὰ τῆς θεοῦ, τὸν δεσμὸν ἀφεῖλε. καίτοι εἰ μὲν
ἐλάττω τούτους ἀδικεῖν ἐκείνων νομίσαι φήσεις, ἀνάγ-
κη μαίνεσθαί σε ὁμολογεῖν. εἰ δὲ μείζω νομίζων, ὥσ-
περ ἐστίν, ἐκεῖνα τὰ ἀδικήματα, τοὺς μὲν ἀφίης, τοὺς δὲ 195
μή, οὐκ ἤδη δῆλος εἶ πεπρακὼς τὸ πρᾶγμα τού-
τοις; ἄξιον τοίνυν καὶ τοῦτ' εἰπεῖν, ὅσον ὑμεῖς διαφέ-
ρετε, ὦ ἄνδρες δικασταί, μεγαλοφροσύνῃ τῶν ῥητό-
κατὰ. ρων. ὑμεῖς μέν γε τὰ ἐπὶ τῷ πλήθει νενομοθετημέ-
να δεινά, ἐάν τις ἢ διχόθεν μισθοφορῇ, ἢ ὀφείλων τῷ 196
δημοσίῳ ἐκκλησιάζῃ, ἢ δικάζῃ, ἢ ἄλλο τι ποιῇ, ὧν οἱ
λύετε. α. νόμοι ἀπαγορεύουσιν, οὐ κωλύετε· καὶ ταῦτα εἰδότες,
ὅτι διὰ πενίαν ποιήσει ὁ τούτων τι ποιῶν. οὐδὲ νόμους
τοιούτους τίθεσθε, ὅπως ἐξουσία ἔσται αὐτοῖς ἐξαμαρ-
τεῖν, ἀλλὰ τοὐναντίον, ὅπως μή. οὗτοι δ', ὅπως οἱ τὰ 197
αἴσχιστα, καὶ τὰ δεινότατα ποιοῦντες, δίκην μὴ δώσου-
σιν, εἶτα προπηλακίζουσιν ὑμᾶς ἰδίᾳ τοῖς λόγοις, ὡς
αὐτοὶ καλοὶ κἀγαθοί, πονηρῶν καὶ ἀγρείστων οἰκετῶν
τρόπους ἔχοντες. καὶ γὰρ ἐκείνων, ὦ ἄνδρες δικασταί, ὅ-
σοι ἂν ἐλεύθεροι γένωνται, οὐ τῆς ἐλευθερίας χάριν 198
ἔχουσι τοῖς δεσπόταις, ἀλλὰ μισοῦσι μάλιστα ἀν-
θρώπων ἁπάντων, ὅτι συνίσασιν αὐτοῖς δουλεύ-
σασιν. οὕτω δὲ καὶ οὗτοι οἱ ῥήτορες, οὐκ ἀγαπῶσιν, ἐκ
πενήτων πλούσιοι ἀπὸ τῆς πόλεως γιγνόμενοι, ἀλλὰ

Οὐκ ἀπὸ ταὐτομάτου) Εἴποι ἄν 192
τις, οὐκοῦν ἄξιοι ἐγκλήματος οἱ περὶ
τὸν Ἀνδροτίωνα, εἴγε οὐχ οὗτοι αἴ-
τιοι, ἀλλ' ἡ θεός. λέγομεν, ὅτι τούτου
ἡγεμὼν πρῶτος ἡμῖν Ὅμηρος γεγέ-
νηται, εἶτα Πλάτων, διδάσκοντες ἡ-
μᾶς, ὅτι, ἐπειδὰν ὁρῶσιν οἱ θεοὶ τινὰ
πονηρόν, ἐμβάλλουσιν αὐτῷ τοιαύτην
τινὰ ἐπιθυμίαν πρὸς τὸ δι' αὐτῆς
δοῦναι τὴν τιμωρίαν, ὑφ' ὧν ποιῶν
ἐλάνθανεν ὥσπερ τὸν Πάνδαρον ἐπί-
ορκον ὄντα, ἀνέπεισεν ἡ Ἀθηνᾶ πα-
ρασπονδῆσαι. ὅθεν καὶ κατὰ τῆς γλώτ-
της τέτρωται. ἀκρωτήρια δὲ λέγει,
οἱονεὶ τὰ πτερά. οὕτω γὰρ γράφεται ἡ
νίκη. τινὲς δὲ ἐξηγοῦνται νίκης Ἀθη-
νᾶς εἶναι ἄγαλμα ἐν τῇ ἀκροπόλει·
ταύτης δὲ τὰς πτέρυγας χρυσᾶς οὔ-
σας, ἐπεχείρησαν τινὲς κακοῦργοι ἀ-
φελέσθαι. καὶ ἀπώλοντο αὐτοὶ ὑφ' ἑ-
αυτῶν οἱ κακοῦργοι· στασιάζοντες γὰρ
καθ' αὑτοὺς τίς πλέον λάβοι ἐκ τῆς
κλοπῆς, ἐμβαλούσης αὐτοῖς τοῦτο τῆς
Ἀθηνᾶς, ἤλεγξαν ἑαυτούς. ἄλλοι δὲ
φασιν, ὅτι ἕκαστος τῶν κακούργων ἐ-
φιλονείκει τὸ πλέον λαβεῖν. οἱ μὲν
αὐτῶν, ἔλεγον αὐτοῖς προσήκειν τὸ
πλέον λαβεῖν, ὅτι αὐτοὶ τοὺς ἑτέρους
ἐβάσταξαν πρὸς τὸ εἰσελθεῖν ἐν τῷ
ἱερῷ. οἱ δὲ ἔλεγον, ἀλλ' ἡμεῖς εἰσελ-
θόντες, πλείονι κινδύνῳ ἐξηταζόμε-
θα. ἡμᾶς γὰρ δέος ἦν ἔνδον ὄντας
ἁλῶναι, εἴπερ ὑμᾶς τοὺς ἔξω. Βού- 193
λομαι δ' ὑμῖν) Ὡς ἐν προοιμίῳ ἐ-
πεσημήνατο αὐτὸν ἐμβαλεῖν εἰς τοῦ-
το. αἱ αὐξήσεις δὲ ὁμοίως ἐκ τοῦ αὐ-
τοῦ. προσποιεῖται δὲ ἀποσχεδιάζειν,
ἵνα μὴ δόξῃ ἐσκεμμένως αὐτὰ λέ-
γειν. παραλιπόντι δέ, ἡ βελτίων γρα-
φή. ὃ παραλέλειπταί μοι, ὅπως ἂν
δόξῃ διὰ τὸ μέγεθος λέγειν, καὶ μὴ
παραλιμπάνειν τηλικοῦτο πρᾶγμα.
Καίτοι εἰ μὲν ἐλάττω) Ἀντιπίπτον 194
ὡς ἐν ὑποθέσει, ἀλλ' ἧττον ἀδικοῦ-
σιν. οὐκοῦν καὶ μαίνεσθαι ὁμολογή-
σει. Ἄξιον τοίνυν) Ἔστι καὶ οὗτος ὁ 195
τόπος ὁμοίως κατ' Ἀνδροτίωνος, ἀ-
ναμιμνήσκων, ὧν ἐτόλμα, τὰς εἰσ-
πράξεις ποιούμενος. Ἐάν τις ἢ 196
διχόθεν) Ἐκ δύο τεχνῶν, ἢ ἐκ δύο
δικαστηρίων· συνέβαινε γὰρ δύο γίνε-
σθαι ἐν τῇ αὐτῇ ἡμέρᾳ. ἵνα οὖν μὴ
ᾖ ὥσπερ ἐργασία, κωλύει τοῦτο. δύο
τέχνας μετιέναι πάλιν κωλύει, διὰ τὸ
μηδεμίαν κατορθοῦν ἐν τῷ τὴν γνώ-
μην μερίζεσθαι. ἐκκλησιάζῃ τε, ἀν-
τὶ τοῦ εἰσέρχηταί τις ἐκ τῶν πενήτων,
ἄτιμος γενόμενος, ἐν τῇ ἐκκλησίᾳ
λαβεῖν βουλόμενος χρήματα, ὡς ἐκ-
κλησιάζων. Οὗτοι δ', ὅπως) Ἀντὶ τοῦ, οἱ ῥήτορες οἱ περὶ τὸν Τιμοκράτην. ὅρα δὲ πῶς ἐνταῦθα δηλοῖ, ὅτι ἰδιώτης 197

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

199 καὶ περιπλακίζουσι τὸ πλῆθος, ὅτι συνοίδεν αὐτῶν
ἕκαστος τὰ ἐν τῇ πενίᾳ, καὶ δεινότητι ἐπιτηδεύματα. τῇ νεότητι.
ἀλλὰ νὴ Δία, αἴσχιον ἴσως ἦν, Ἀνδροτίωνα δεδιέναι, δεδιέναι.
ἢ Γλαυκέτην, ἢ Μελάνωπον; οὐ μὰ τὸν Δία, ὦ ἄνδρες
δικασταί· ἀλλὰ πολὺ αἴσχιον τὴν πόλιν ἀδικουμένην
200 καὶ ὑβριζομένην μὴ λαβεῖν δίκην καὶ ὑπὲρ τοῦ θεοῦ,
καὶ ὑπὲρ αὑτῆς. ἐπεὶ Ἀνδροτίωνί γε, πότερα οὐ πα-
τρῷον τὸ δεδιέναι; ἀλλ' αὐτοὶ ἴστε πολλὰς πενταετη-
ρίδας ἐν τῷ δεσμωτηρίῳ διατρίψαντα τὸν πα-
τέρα αὐτοῦ, καὶ ἀποδράντα, οὐκ ἀφεθέντα. ἀλλὰ ἀλλ' οὐκ.
201 διὰ τὰ ἐπιτηδεύματα τὰ ἐν τῇ ἡλικίᾳ; ἀλλὰ καὶ
διὰ ταῦτα δεδιέναι αὐτῷ οὐχ ἧττον προσήκει, ἢ δι'
ἅπερ ὑφείλετο· ἢ ὅτι εἰσῄει εἰς τὴν ἀγοράν, οὐκ ἐξὸν
αὐτῷ, καὶ ἐκ ταύτης τοὺς σωφρόνως βεβιωκότας αὐ-
τὸς ἦγεν εἰς τὸ δεσμωτήριον. ἀλλὰ καὶ Μελάνωπος δει-
202 νὸν νὴ τὸν Δί' ἐστίν, εἰ δεήσεσθαι νῦν ἔμελλεν; ἀλλὰ πε-
ρὶ μὲν τοῦ πατρὸς αὐτοῦ οὐδὲν ἂν φλαῦρον εἴποιμι,
οὐδ' εἰ πάνυ πολλὰ ἔχω περὶ κλοπῆς λέγειν. ἀλλ' ἔ-
στω ἐκεῖνός γ' ἐμοὶ τοιοῦτος, οἷον ἂν Τιμοκράτης αὐτὸν
ἐγκωμιάσειεν. ἀλλ' εἰ χρηστοῦ πατρὸς ὤν, πονηρὸς καὶ
203 κλέπτης ἦν· καὶ προδοσίας γε ἁλούς, τρία τάλαντα
ἀπέτισε· καὶ συνέδρου γενομένου, κλοπὴν αὐτοῦ τὸ δι-
καστήριον κατέγνω, καὶ δεκαπλάσιον ἀπέτισε, καὶ πα-
ραπρεσβεύσας εἰς Αἴγυπτον, καὶ τοὺς ἀδελφοὺς τοὺς
ἑαυτοῦ ἠδίκει, οὐ τοσούτῳ μᾶλλον αὐτὸν ἔδει δεδιέναι,
204 εἰ χρηστοῦ πατρὸς ὤν, τοιοῦτος ἦν; οἶμαι γὰρ ἔγωγε, εἴ-
περ τῷ ὄντι χρηστὸς ἦν Λάχης, καὶ φιλόπολις, ὑπὲρ αὐ-
τοῦ ἂν ἐκείνου δεηθῆναι αὐτόν, τοιοῦτόν γε ὄντα, καὶ οὕ-
τως αἰσχροῖς ὀνείδεσι περιβάλλοντα ἐκεῖνον. καὶ τοῦτον
μὲν δὴ ἐῶμεν. Γλαυκέτην δὲ σκεψώμεθα, οὐχ οὗ- ἐάσωμεν. ἄλ.
205 τός ἐστιν, ὁ πρῶτον μὲν εἰς Δεκέλειαν αὐτομολήσας,
κἀκεῖθεν ὁρμώμενος, καταθέων καὶ φέρων, καὶ ἄγων
ὑμᾶς; ἀλλὰ πάντες ἴστε ταῦθ' ἃ λέγω· καὶ ἀπὸ μὲν
τῶν ὑμετέρων παίδων, καὶ γυναικῶν, καὶ τῶν ἄλλων
χρημάτων, ὅσα λάβοι, δεκάτας ἐκεῖ τῷ ἁρμοστῇ κα-
206 ταπιθεὶς τούτων ἀκριβῶς· τὴν δέ γ' ἐνθάδε θεόν, πρε-
σβευτὴς ἀξιωθεὶς εἶναι ὑφ' ὑμῶν, ἀποστερῶν τὰς ἀπὸ
τῶν ὑμετέρων πολεμίων δεκάτας, ἔπειτα ταμιεύσας
ἐν ἀκροπόλει τὰ ἀριστεῖα τῆς πόλεως, ἃ ἔλαβεν ἀπὸ
τῶν βαρβάρων, ὑφῃρημένος ἐξ ἀκροπόλεως· τόν, τε
207 δίφρον τὸν ἀργυρόποδα, καὶ τὸν ἀκινάκην τὸν Μαρ-
δονίου, ὃς ἦγε τριακοσίους δαρεικούς. ἀλλὰ ταῦτά
γ' οὕτω

ἐστὶν ὁ Διόδωρος, διότι τῶν ῥητόρων ἐνταῦθα κατατρέχει. οὐ γὰρ ἂν ὁ Δη-
199 μοσθένης ταῦτα ἔλεγε. Ἀλλὰ νὴ Δία. Τὸ, ἀλλὰ νὴ Δία, κατ' ἐρώτησιν, ἔτι δὲ ἀνθυποφορὰ ἐκ τοῦ ἀπρεποῦς.
200 Πολλὰς πενταετηρίδας) Οὐχ ἁπλῶς τοῦτο εἶπεν, ἀλλ' ἐπειδὴ κατὰ πέντε ἔτη ἤγετο τὰ Παναθήναια, τότε δὲ ἐξῆν ἀφεῖσθαι τοῦ δεσμοῦ τοὺς δεσμώτας διὰ τὴν πανήγυριν, ὡς ἐγνώκαμεν ἐν τῷ κατ' Ἀνδροτίωνος. δέον εἰπεῖν πενταετηρίδα, εἶπε πληθυντικῶς, ἐπὶ τὸ ἐπαχθέστερον φέρων τὸν
201 λόγον. Τὰ ἐν τῇ ἡλικίᾳ) Ἤγουν τὰ ἐν τῇ νεότητι· ἵνα πάλιν σκώψῃ
202 αὐτὸν εἰς κιναιδίαν. Οὐδ' εἰ πάνυ πολλὰ ἔχω περὶ κλοπῆς λέγειν) Τῷ κατὰ παράλειψιν σχήματι κέχρηται· ὅπου γὰρ εἰπεῖν οὐδὲν ἔχομεν, δεῖ
205 μόνον αἰνίττεσθαι. Εἰς Δεκέλειαν αὐτομολήσας) Ἔοικεν οὗτος αἰχμάλωτος εἰλῆφθαι ὑπὸ τῶν ἐν Δεκελείᾳ· εἰ γὰρ ἦν αὐτόμολος, οὐκ ἂν ἐζῆσεν ὑπὸ Ἀθηναίοις. τὸ δὲ ἐκ τύχης συμβάν, εἰς προαίρεσιν ἀνάγει. Δεκέλεια δὲ χωρίον τῆς Ἀττικῆς, ὅπερ ἐτείχισαν οἱ Λακεδαιμόνιοι κατὰ τῆς πόλεως. πολλοὶ οὖν ηὐτομόλουν ὅσοι ἦσαν τῆς ἐκείνων γνώμης. γέροντα δὲ αὐτὸν πάνυ λέγουσι· περὶ γὰρ τὸ τέλος τοῦ Πελοποννησιακοῦ πολέμου γέγονε τοῦτο. εἷς οὖν αὐτὸς ἦν τῶν αὐτομολησάντων ἐκεῖ. Ἰστέον δὲ, ὅτι βουλόμενος βιαιότερον ποιῆσαι τὸν λόγον, τοῦτο εἶπεν. ὡμολόγητο γὰρ ὅτι καὶ τὰ τῶν παίδων καὶ τὰ τῶν γυναικῶν, αὐτῶν ἦν πάλιν. ἀλλ' ἵνα τὴν ἁρπαγὴν αὐτοῦ δηλώσῃ, τοῦτο εἶπε. δεῖν δὲ λαβεῖν κατὰ πάντων τούτων κοινὸν οὐχ οὕτως ἐστίν. Ἁρμοστῇ) Τῷ Λακωνικῷ ἄρχοντι τῷ ὄντι ἐκεῖ, ὅτι οἱ ἐν τῇ Δεκελείᾳ ἁρμοσταί, συνεχώρουν τοὺς αὐτῶν στρατιώτας λαμβάνειν ἃ ἂν κλέπτουσι παρὰ τῶν Ἀθηναίων τὰ ἐννέα μέρη, καὶ αὐτοῖς καταβάλλειν μόνον τὸ δέκατον ὅ ἐστι, τῇ πόλει τῶν Λακεδαιμονίων. ἵνα διὰ τούτων καὶ πολλοὺς παροξύνωσι προθύμους δηλονότι, καὶ συλᾶν τὰ τῶν Ἀθηναίων. Ἄλλως.

Ἁρμοστὴς νῦν ὁ τῆς φρουρᾶς τῶν ἐν Δεκελείᾳ ἡγούμενος. τὸ δὲ τούτων ἀκριβῶς, ἀντὶ τοῦ ὑπὲρ ὧν ἐσύλα
206 ἐξ ὑμῶν. Τόν, τε δίφρον) Ἐπὶ τούτου ἐκαθέζετο ὁ Ξέρξης, ἐν τῷ Αἰγαλέῳ ὄρει τῆς Ἀττικῆς θεωρῶν τὴν ἐν Σαλαμῖνι ναυμαχίαν. ἀκινάκης δὲ ὄνομα ξίφους περσικοῦ. τὸ δὲ δαρεικούς, ὄνομα νομίσματος παρὰ τοῖς Πέρσαις.

γ' οὕτω περιφανῆ ἐστιν, ὥστε πάντας ἀνθρώπους εἰδέναι. ἀλλὰ τἄλλα ὁ βίαιος, ὡς οὐδεὶς ἀνθρώπων; εἶτα φείσασθαί τινος αὐτῶν ἄξιόν ἐστιν, ὥστε διὰ τούτους, ἢ τῶν δεκατῶν, τῶν τῆς θεοῦ ἀμελῆσαι, ἢ τῆς δι- 208
πλασίας τῶν ὁσίων χρημάτων, ἢ τὸν τούτοις πειρώμενον σώζειν, τιμωρήσασθαι; καὶ τί κωλύσει ἅπαντας εἶναι πονηρούς, ὦ ἄνδρες δικασταί, εἰ διὰ ταῦτα πλέον ἕξουσιν. ἐγὼ μὲν γὰρ οἶμαι οὐδέν. μὴ τοίνυν αὐτοὶ διδάσκετε, ἀλλὰ τιμωρεῖσθε. καὶ μὴ ἐᾶτε ἀγανακτεῖν, 209
εἰ δεθήσονται ἔχοντες τὰ ὑμέτερα· ἀλλ' ἄγετ' αὐτοὺς ὑπὸ τοὺς νόμους. οὐδὲ γὰρ οἱ τῆς ξενίας ἁλισκόμενοι ἀγανακτοῦσιν ἐν τῷ οἰκήματι τούτῳ ὄντες, ἕως ἂν τὴν ψευδομαρτυριῶν ἀγωνίσωνται, ἀλλὰ μένουσι, καὶ οὐκ οἴονται δεῖν ἐγγυητὰς καταστήσαντες περιιέναι. 210
ἔδοξε γὰρ τῇ πόλει ἀπιστεῖν αὐτοῖς, καὶ οὐκ ᾤετο δεῖν διακρουσθῆναι τῆς τιμωρίας δι' ἐγγυητῶν καταστάσεως. ἀλλ' ἐν τούτῳ μένειν αὐτούς, οὗ καὶ ἄλλοι πολλοὶ τῶν πολιτῶν. καίτοι καὶ ἐπὶ χρήμασιν ἤδη τινὲς ἐδέθησαν, καὶ ἐπὶ κρίσεσιν, ἀλλ' ὅμως *ὑπέμεινα. ἄνδρες μὲν οὖν 211
ἴσως ἐστὶν ὀνομαστὶ περί τινων μεμνῆσθαι ἀναγκαῖον δ' πρὸς ἐξετάσαι αὐτοὺς περὶ τούτοις. τοὺς μὲν οὖν πρὸ Εὐκλείδου ἄρχοντος, *ἐῶ, καὶ τοὺς σφόδρα παλαιούς. καίτοι κατὰ τοὺς χρόνους, καθ' οὓς ἕκαστοι αὐτῶν ἦσαν, πολλοῦ ἄξιοι δοκοῦντες γεγενῆσθαι τὸν ἔμπροσθεν 212
χρόνον, ὅμως ἰσχυρᾶς παρὰ τοῦ δήμου ὀργῆς ἐτύγχανον ἐπὶ τοῖς ὕστερον γενομένοις ἀδικήμασιν. οὐ γὰρ χρόνον τινὰ δικαίους ᾤετο δεῖν αὐτοὺς ἡ πόλις εἶναι, εἶτα κλέπτας. ἀλλά γε περὶ τὰ κοινὰ ἀεὶ δικαίους. ἐδόκει γὰρ τὸν ἔμπροσθεν χρόνον οὐ φύσει, ἀλλ' ἐπιβουλεύων, τοῦ πιστευ- 213
θῆναι ἕνεκεν, δίκαιος ὁ τοιοῦτος γεγονέναι ἄνθρωπος. ἀλλὰ μετ' Εὐκλείδην ἄρχοντα, ὦ ἄνδρες δικασταί, πρῶτον μέν, Θρασύβουλον τὸν Κολυττέα ἅπαντες μέμνησθε δὶς δεθέντα, καὶ κριθέντα ἀμφοτέρας τὰς κρίσεις ἐν τῷ δήμῳ. καίτοι τῶν *ἐκ Πειραιῶς, καὶ ἀπὸ Φυλῆς οὗτος ἦν. ἔπειτα Φιλέψιον τὸν Λαμπτρέα. ἔπειτα *Ἀγύρριον τὸν Κο- 214
λυττέα, ἄνδρα χρηστὸν καὶ δημοτικόν, καὶ περὶ τὸ πλῆθος τὸ ὑμέτερον πολλὰ ἐσπουδακότα. ἀλλ' ὅμως τοὺς νόμους ᾤετο δεῖν καὶ αὐτὸς ἐκεῖνος ὁμοίως, ὥσπερ ἐπὶ τοῖς ἀδυνάτοις, οὕτω καὶ ἐφ' ἑαυτῷ ἰσχύειν. καὶ ἐγένετο ἐν τῷ οἰκήματι τούτῳ πολλὰ ἔτη, ἕως τὰ χρήματα ἀπέτισεν, ἃ ἔδοξε τῆς πόλεως ὄντα ἔχειν. καὶ ἐπ' ἐκείνῳ 215
Καλλίστρατος, δυνάμενος, καὶ ἀδελφιδοῦς ὢν αὐτοῦ, οὐκ *ἐπέθη νόμους, καὶ Μυρωνίδης ὁ Ἀρχίνου υἱός, τοῦ καταλαβόντος Φυλήν, καὶ μετά γε τοὺς θεοὺς αἰτιωτάτου ὄντος τῆς καθόδου τῷ δήμῳ, καὶ ἄλλα πολλὰ καὶ καλὰ πεπολιτευμένου, καὶ ἐστρατηγηκότος πολλάκις, ἀλλ' ὅμως ἅπαντες οὗτοι *ὑπέμειναν τοὺς νόμους· καὶ 216
οἱ ταμίαι, ἐφ' ὧν ὁ Ὀπισθόδομος ἐνεπρήσθη, καὶ οἱ τῶν τῆς θεοῦ, καὶ οἱ τῶν ἄλλων

*ὑπέμενον.

*ἐάσω. α.

*ἀπὸ. α.

*ἀγύρριον. α.

*ἠθέτει. γρ. οὐκ ἐπέθη νόμους παρὰ νόμους.

*ὑπέμενον. γρ. ὑπέμεινον.

Ἐγὼ μὲν γὰρ οἶμαι οὐδέν) Πάλιν ἐνταῦθα εἰπὼν τὸ μέν, οὐκ ἐπήγαγε τὸ δέ, διὰ τὸ ὡμολογημένον εἶναι, ὅπερ ἔμελλεν ἐπιφέρειν· ἔμελλε γὰρ ἐπάγειν, νομίζω δὲ καὶ ὑμῖν τοῦτο συνδοκεῖν· τὸ ἐγὼ μὲν γὰρ οἶμαι οὐδέν, πρὸς τὸ ἄνω ἐστί· πρὸς τὸ τί κωλύσει ἅπαντας εἶναι πονηρούς; 208
Οὐδὲ γὰρ οἱ τῆς ξενίας) Εἴ τις ἥλω παρὰ τοῖς Ἀθηναίοις ὑποκρινόμενος εἶναι πολίτης μὴ ὢν Ἀθηναῖος κατὰ τὸ ἀληθές, καὶ τὰ αὐτὰ ποιῶν τοῖς πολίταις, πρὸ μὲν κρίσεως, ᾤκει τὸ δεσμωτήριον. ἁλοὺς δὲ ἐν τῇ κρίσει ὕστερον, ἐπωλεῖτο. 209
Τῶν ἀπὸ Πειραιῶς) Ὅτι τῶν δημοτικῶν, τῶν φυγόντων τὴν πόλιν ἐπὶ τῶν τριάκοντα, καὶ καταλαβόντων Φυλήν. τὸν δὲ Ἀργύριον καὶ Φιλέψιον ὁ Ἀριστοφάνης, ὡς ἐχθροὺς αὐτοῦ σκώπτει ἐν τῷ Πλούτῳ. Καλλίστρατος δὲ ὅτι ῥήτωρ οὗ ζηλωτὴς ἐγένετο Δημοσθένης. περὶ οὗ ἔφη ἐρωτηθεὶς ὁ Δημοσθένης, τίς ἀμείνων ῥήτωρ, σύ, ἢ Καλλίστρατος; ἐγὼ μὲν γραφόμενος, Καλλίστρατος δὲ ἀκουόμενος. ἦν γὰρ ἐπιδεικτικὸς σφόδρα ὁ Καλλίστρατος. ὅθεν καὶ ἀκούσας αὐτοῦ ἐπιδεικνυμένου ὁ Δημοσθένης, εἰς ἐπιθυμίαν ἦλθε λόγων, ὡς εἰρήκαμεν ἐν τῷ βίῳ αὐτοῦ. 213
Καὶ οἱ ταμίαι) Ἰστέον, ὅτι χρήματα καὶ τῶν ἄλλων ἱερῶν τῶν θεῶν, καὶ τῆς Ἀθηνᾶς, ἔκειτο ἔν τινι οἰκήματι ὄπισθεν τῆς ἀκροπόλεως τῶν Ἀθηναίων τοῦ καλουμένου Ὀπισθοδόμου. καὶ ἦσάν τινες τεταγμένοι ταμίαι ἐπὶ τῇ φυλακῇ τούτων. ποτὲ οὖν πολλῶν χρημάτων ἀνενεχθέντων ἐκεῖσε, ἔδοξε τοῖς ταμίαις ὥστε λάθρα τῆς πόλεως δανεῖσαι ταῦτα τοῖς τραπεζίταις, ἵν' αὐτοὶ κερδαίνωσιν ἐκ τούτων ὡς δὲ τοῦ- 216

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸ ἐποίησαν, ἔτυχεν ὕστερον ἀνατρα-
πῆναι τὰς τραπέζας. ἔδοξεν οὖν αὐ-
τοῖς ἐμπρῆσαι τὸν ὀπισθόδομον, ἵνα
δόξῃ τὰ χρήματα ὑπὸ τοῦ πυρὸς
ἀναλωθῆναι, καὶ μὴ ὑπ᾿ αὐτῶν.
216 Καὶ οἱ περὶ τὸν σῖτον) Ἐξηγοῦν-
ται περὶ ἐμπόρων τινῶν ἀθηναίων,
ὅτι ἥλωσαν σιτηγοῦντες εἰς ἄλλον λι-
μένα παρὰ τὸν τῶν ἀθηναίων νόμον.
νόμος δὲ ἦν παρὰ ἀθηναίοις, τι-
μωρεῖσθαι τὸν ἀθηναῖον ναύκληρον
σιτηγοῦντα ἀλλαχοῦ, ἐπειδὴ λεπτό-
γεος ἦν ἡ ἀττική. Ἀλλ᾿ ἀναμνη- [ἀναμνήσθητε]
218 σθέντες ὅτι εὔδημον) Συνάπτει τὸ κατὰ
τοῦ νομοθέτου τόπον ἐκ παραδείγμα-
τος. καὶ ἔστιν ἐπιφορικώτερος ὁ λό-
γος μετὰ τὸ δίκαιον κεφάλαιον. τὸ δὲ
ἐνθυμήθητε, τί ποτ᾿ ἄν, καθ᾿ ὑπό- [ἐνθυμηθέντες.]
θεσιν ἡ ἔννοια. βούλεται γὰρ ἐκ τῶν ἤδη
γεγονότων, δίκας αὐτὸν εἰσπράξα-
219 σθαι. Ἀντιτιμωμένου) Ἤδη ἔγνωμεν
ὅτι ἐν τῷ λόγῳ τῆς τιμωρίας, προσ-
τίμα ὁ δικαστής, εἶτα ἐξῆν τῷ φεύ-
γοντι ἀντιτιμῆσαι αὐτῷ, ὅτι τοῦ δὲ
εἰμι ἄξιος· λοιπὸν παρὰ τῷ δικαστῇ
ἦν ἡ κρίσις τὸ ἀναγκάσαι, ἢ οὔ.
224 Καὶ τοῦτον μόνον λέγονται) Πάνυ
εὔλογος, καὶ δίκαιος ἦν οὗτος ὁ νό-
μος· ὄντος γὰρ τοῦ ἀγαπητοῦ ὀφθαλ-
μοῦ τῷ ἔχοντι ἀντὶ δυοῖν, ὁ αὐτὸν
ἀποβάλλων, δύο ἀποβάλλειν φαίνεται.

θεῶν, ἐν τῷ οἰκήματι τούτῳ ἦσαν, ἕως ἡ κρίσις αὐ-
τοῖς ἐγένετο. καὶ οἱ περὶ τὸν σῖτον ἀδικεῖν δόξαντες, καὶ
ἄλλοι πολλοί, ὦ ἄνδρες δικασταί, ἀπώλοντο βελτίους ἀν-
217 δροτίωνος ὄντες. εἶτα τούτοις μὲν ἔδει κυρίους τοὺς πά-
λαι κειμένους εἶναι νόμους, καὶ δεδωκέναι δίκην αὐτοὺς
κατὰ τοὺς ὑπάρχοντας νόμους· δι᾿ ἀνδροτίωνα δέ, καὶ
γλαυκέτην, καὶ μελάνωπον, καινὸν δεῖ γενέσθαι νό-
μον, διὰ τοὺς ἑαλωκότας, καὶ ψήφῳ κεκριμένους κατὰ
218 τοὺς πάλαι κειμένους νόμους, καὶ δόξαντας ἔχειν ἱερὰ
χρήματα καὶ ὅσια; εἶτ᾿ οὐ καταγέλαστος δόξει ἡ πό-
λις εἶναι, εἰ τοῖς ἱεροσύλοις, ὅπως σωθήσονται, νόμον
φανεῖται τιθεμένη; ἔγωγ᾿ οἶμαι. μὴ τοίνυν ἐάσητε [ἐγὼ μὲν.α.]
ὑμᾶς αὐτοὺς ὑβρίζεσθαι, μηδὲ τὴν πόλιν· ἀλλ᾿ ἀνα- [ἀναμνήσθητε.]
219 μνησθέντες ὅτι εὔδημον τὸν κυδαθηναιᾶ, νόμον δό- [κυδαθηναιᾶ. γρ. κυδαθηνέα]
ξαντα θεῖναι οὐκ ἐπιτήδειον, οὐ πάλαι, ἀλλ᾿ ἐπ᾿ εὐάν-
δρου ἄρχοντος, ἀπεκτείνατε· καὶ φίλιππον τὸν φι-
λίππου τοῦ ναυκλήρου υἱόν, μικροῦ μὲν ἀπεκτείνα-
τε, χρημάτων δὲ πολλῶν αὐτοῦ ἐκείνου ἀντιτιμωμέ-
220 νου, παρ᾿ ὀλίγας ψήφους ἠτιμώσατε· ταύτην τὴν ὀρ-
γὴν καὶ νῦν ἐπὶ τουτονὶ λάβετε, ἐκεῖνο πρὸς τούτοις
ἅπασιν ἐνθυμηθέντες, τί ποτ᾿ ἂν ἐπάθετε ὑπὸ τού-
του, εἰ οὗτος εἷς ὢν ἐπρέσβευσεν ὑπὲρ ὑμῶν. οἶμαι
γὰρ οὐδὲν τοιοῦτον εἶναι, ὅτου ἂν ἀπέσχετο. ὁρᾶτε δὴ τὴν διάνοιαν αὐτοῦ· ὁ γὰρ νό-
221 μος, ὃν ἐτόλμησε θεῖναι, τὸν τρόπον αὐτοῦ δείκνυσι. βούλομαι δ᾿ ὑμῖν, ὦ ἄνδρες δι-
κασταί, ἐν λοκροῖς ὡς νομοθετοῦσι, διηγήσασθαι· οὐδὲν γὰρ χείρους ἔσεσθε παραδεί-
γματι ἀκηκοότες, ἄλλως τε καὶ ᾧ πόλις εὐνομουμένη χρῆται· ἐκεῖνοι γὰρ οὕτως οἴον-
ται δεῖν τοῖς πάλαι κειμένοις χρῆσθαι νόμοις, καὶ τὰ πάτρια περιστέλλειν, καὶ μὴ πρὸς
222 τὰς βουλήσεις, μηδὲ πρὸς τὰς διαλύσεις τῶν ἀδικημάτων νομοθετεῖσθαι, ὥστε, ἄν τις
βούληται νόμον καινὸν τιθέναι, ἐν βρόχῳ τὸν τράχηλον ἔχων νομοθετεῖ. καὶ ἐὰν μὲν
δόξῃ καλὸς καὶ χρήσιμος εἶναι ὁ νόμος, ζῇ ὁ τιθείς, καὶ ἀπέρχεται. εἰ δὲ μή, τέθνηκεν
ἐπισπασθέντος τοῦ βρόχου· καὶ γάρ τοι καινοὺς μὲν οὐ τολμῶσι τιθέναι νόμους· τοῖς δὲ
223 πάλαι κειμένοις ἀκριβῶς χρῶνται. ἐν πολλοῖς δὲ πάνυ ἔτεσιν, ὦ ἄνδρες δικασταί,
εἷς λέγεται παρ᾿ αὐτοῖς νόμος καινὸς τεθῆναι· ὄντος γὰρ αὐτόθι νόμου, ἐάν τις ὀφθαλ-
μὸν ἐκκόψῃ, ἀντεκκόψαι παρασχεῖν τὸν ἑαυτοῦ, καὶ οὐ χρημάτων τιμήσεως οὐδε-
μιᾶς· ἀπειλῆσαί τις λέγεται ἐχθρὸς ἐχθρῷ ἕνα ἔχοντι ὀφθαλμόν, ὅτι αὐτοῦ ἐκ-
224 κόψει τοῦτον τὸν ἕνα. γενομένης δὲ ταύτης τῆς ἀπειλῆς, χαλεπῶς ἐνεγκὼν ὁ ἑτερό-
φθαλμος, καὶ ἡγούμενος ἀβίωτον εἶναι αὐτῷ τὸν βίον τοῦτο παθόντι, λέγεται τολμῆ-
σαι νόμον εἰσενεγκεῖν, ἐάν τις ἕνα ἔχοντος ὀφθαλμὸν ἐκκόψῃ, ἄμφω ἀντεκκόψαι πα-
ρασχεῖν, ἵνα τῇ ἴσῃ συμφορᾷ ἀμφότεροι χρῶνται. καὶ τοῦτον μόνον λέγονται λοκροὶ
225 θέσθαι τὸν νόμον ἐν πλείοσιν, ἢ διακοσίοις ἔτεσιν. οἱ δὲ παρ᾿ ὑμῖν ῥήτορες, ὦ ἄν-
δρες δικασταί, πρῶτον μὲν ὅσοι μῆνες μικροῦ δέουσι νομοθετεῖν, τὰ ἑαυτοῖς συμ-
φέροντα. ἔπειτα αὐτοὶ μὲν τοὺς κλέπτοντας εἰς τὸ δεσμωτήριον ἄγουσιν ὅταν ἄρχω-
σιν· ἐφ᾿ αὑ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

στιν· ἐφ' αὑτοῖς δ' οὐκ οἴονται δεῖν τὸ αὐτὸ δίκαιον εἶναι
τοῦτο. ἔπειτα τοὺς μὲν τοῦ Σόλωνος νόμους τοὺς πάλαι
δεδοκιμασμένους, οὓς οἱ πρόγονοι ἔθεντο, λύουσιν αὐ-
τοί. τοῖς δ' ἑαυτῶν, οὓς ἐπ' ἀδικίᾳ τῆς πόλεως τιθέα- 225
σι, χρῆσθαι ὑμᾶς οἴονται δεῖν. εἰ οὖν μὴ τιμωρήσε-
σθε τούτους, οὐκ ἂν φθάνοι τὸ πλῆθος τούτοις τοῖς θη-
ρίοις δουλεῦον. εὖ δ' ἴστε, ὦ ἄνδρες δικασταί, ὅτι, ἐὰν μὲν
σφόδρα ὀργίζησθε, ἧττον ἀσελγανοῦσιν· ἐὰν δὲ μή, πολ-
*εὑρήσετε α. λοὺς τοὺς ἀσελγεῖς *εὕρητε, καὶ τοὺς ὑβρίζοντας ὑμᾶς, 227
ἐπὶ τῇ τοῦ φιλοτιμεῖσθαι προφάσει. ἵνα δὲ καὶ πε-
ρὶ ἐκείνου εἴπω τοῦ νόμου, ὦ ἄνδρες δικασταί, ᾧ ἀκούω
μέλλειν παραδείγματι χρῆσθαι τουτονί, καὶ φησὶν ἀ-
κόλουθον αὐτῷ τεθηκέναι, ἐν ᾧ ἔνι, οὐδὲ δήσω Ἀθηναί-
ων οὐδένα, ὃς ἂν ἐγγυητὰς τρεῖς καθιστῇ τὸ αὐτὸ τέλος 228
τελοῦντας, πλὴν ἐάν τις ἐπὶ προδοσίᾳ τῆς πόλεως,
ἢ ἐπὶ καταλύσει τοῦ δήμου συνιὼν ἁλῷ, ἢ τέλος πριά-
μενος, ἢ ἐγγυησάμενος, ἢ ἐκλέγων μὴ καταβάλῃ·
ἀκούσατέ μου καὶ περὶ τούτου· οὐ γὰρ ἐρῶ ὅτι αὐτὸς ἀν-
δραπόδων ἦγεν εἰς τὸ δεσμωτήριον, καὶ ἔδει τούτου κειμέ- 229
νου τοῦ νόμου, ἀλλ' ἐφ' οἷς κεῖται ὁ νόμος ἐστί. διδάξω
ὑμᾶς. ἔστι γάρ, ὦ ἄνδρες δικασταί, οὐκ ἐπὶ τοῖς κε-
κριμένοις καὶ ἠγωνισμένοις κεῖται, ἀλλ' ἐπὶ τοῖς ἀκρί-
τοις, ἵνα μὴ διὰ τὸ δεδέσθαι χεῖρον ἀναγκάζοιντο ἀ-
γωνίζεσθαι, ἢ τὸ παντάπασιν ἀπαράσκευοι εἶεν. οὗτο- 230
ς δὲ ἃ ἐπὶ τοῖς ἀκρίτοις κεῖται, ὡς περὶ πάντων εἰρη-
μένα μέλλει πρὸς ὑμᾶς λέγειν. ὡς δὲ σαφῶς γνώσεσθε
ὅτι ἀληθῆ λέγω, ἐγὼ ὑμῖν ἐρῶ· οὔτε γάρ, ὦ ἄνδρες δι-
κασταί, ἐξῆν ὑμῖν τιμᾶν ὅ,τι χρὴ παθεῖν, ἢ ἀποτίσαι.
ἐν γὰρ τῷ παθεῖν καὶ ὁ δεσμός ἔνι. οὐκ ἂν οὖν ἐξῆν 231
δεσμοῦ τιμῆσαι, οὐδὲ ὅσων ἔνδειξίς ἐστί τινι, ἢ ἀπαγωγὴ
προσγέγραπται ἂν ἐν τοῖς νόμοις, τὸν δὲ ἐνδειχθέντα,
ἢ ἀπαχθέντα δησάντων οἱ ἕνδεκα ἐν τῷ ξύλῳ, εἴπερ
μὴ ἐξῆν ἄλλους, ἢ τοὺς ἐπὶ προδοσίᾳ τῆς πόλεως,
ἢ ἐπὶ καταλύσει τοῦ δήμου συνιόντας, ἢ τοὺς τὰ τέλη 232
ὠνουμένους, καὶ μὴ καταβάλλοντας, δῆσαι. νῦν δέ, ταῦ-
θ' ὑμῖν τεκμήρια ἔστω, ὅτι ἔξεστι δῆσαι· παντελῶς
γὰρ ἤδη ἄκυρα ἂν ἦν τὰ τιμήματα. ἔπειτα δέ, ὦ ἄν-
δρες δικασταί, τοῦτο τὸ γράμμα αὐτὸ μὲν καθ' αὑτὸ οὐκ
ἔστι νόμος, τό, οὐδὲ δήσω Ἀθηναίων οὐδένα· ἐν δὲ τῷ 233
ὅρκῳ τῷ βουλευτικῷ γέγραπται, ἵνα μὴ συνιστάμενοι
οἱ ῥήτορες οἱ ἐν τῇ βουλῇ δεσμὸν κατά τινος τῶν πολι-
τῶν λέγοιεν. ἄκυρον οὖν τοῦ δῆσαι τὴν βουλὴν ποιῶν

Ἵνα δὲ καὶ περὶ ἐκείνου εἴπω τοῦ νό- 227
μου) Ὡς παρέργου τινὸς ὄντος καὶ ἐκ
παρέργου καθαιρεῖ. καὶ τίθησι τῷ τῆς
ἐπαγγελίας σχήματι. τὰ γοῦν ἰσχυρὰ
εἰ ἐτίθετο ἐν τῷ νόμῳ κεφάλαια, πολ-
λὴν αὐτῷ τὴν μάχην ἐποίει. ἐνταῦ-
θα πολλὰς εὗρε τὰς λύσεις ἀπὸ τῶν ἐν
τῷ δικαίῳ παραδειγμάτων. οὐ γὰρ ἐ-
νεχώρει τοιούτου κειμένου νόμου, τοῦ
λέγοντος, οὐ δήσω τῶν Ἀθηναίων οὐ-
δένα, τοσούτους δεθῆναι καὶ στρατη-
γοὺς καὶ ῥήτορας. ἔστι δὲ ἀπὸ τῆς τοῦ ῥητοῦ
διανοίας. Οὐδὲ δήσω Ἀθηναίων
οὐδένα) Τοῦτο προάγει ὁ Τιμοκράτης
ὡς νόμον παλαιὸν συμφωνοῦντα τῷ,
ὃν αὐτὸς ἔγραψεν. ὁ δὲ Δημοσθένης
λύει, λέγων, ὅτι ὁ μὲν Τιμοκράτης λέ-
γει αὐτὸ εἶναι νόμον. οὐκ ἔστι δὲ νόμος, ἀλλ'
ὅρκος τῶν βουλευτῶν· ὁ γὰρ νόμος, φησὶ,
παραγγέλματα ἔχει καθολικά· οἷον
τὸ δὲ μὲν ποιεῖν, τὸ δὲ μὴ ποιεῖν. τὸ δὲ οὐ
δήσω Ἀθηναίων οὐδένα, οὐκ ἔστιν ὥσ-
περ φωνὴ νόμου, ἀλλ' ἀνθρώπου τινὸς
ταῦτα λέγοντος. Ἐζήτησαν δέ τινες
διὰ ποίαν αἰτίαν οὐκ ἔταξε ταύτην τὴν
ἀντίθεσιν ἐν τῷ παρανόμῳ κεφαλαίῳ·
ἐκεῖ γὰρ ὀφείλει τάττεσθαι. λέγομεν ὅ-
τι ἐκεῖ εἰ ἐτέθη, ὑπὸ τοῦ Τιμοκράτους
ἂν ἐτίθετο· ἰσχυρὰ γὰρ ἦν ἀντίθεσις.
ἐνταῦθα γὰρ μετὰ τοὺς ἀγῶνας καὶ μετὰ
τὰς ἀποδείξεις τοῦ δειχθῆναι βλα-
βερὸν τὸν νόμον τοῦ Τιμοκράτους, σαθρο-
τέρα ἐγίνετο ἐν τῷ ἐπιλόγῳ ταττο-
μένη. καὶ οὕτως οὔτε ἐδόκει αὐτὴν φεύ-
γειν, ὡς ἄπορον καὶ δύσλυτον· καὶ πάλιν
διὰ τῶν ἐπιλόγων, εὐτελῆ αὐτὴν ἐ-
πιδείκνυσι.

Τὸ αὐτὸ τέλος τελοῦντας) Τῶν 228
τελῶν ἐγγυητῶν ἐχόντων τὴν ἴσην
οὐσίαν ἐκείνῳ ὥσπερ ἐγγυῶνται, ἵν' ἔ-
σωνται ἱκανοὶ οἱ τρεῖς ἐγγυήσασθαι
αὐτόν. Οὔτε γάρ, ὦ ἄνδρες Ἀθη- 229
ναῖοι) Κατὰ ἔνστασιν καὶ ἀντιπαρά-
στασιν ἐνταῦθα λύει. Ἰστέον δὲ ὅτι
πρώτην ἔταξε τὴν ἀντιπαράστα-
σιν, δευτέραν δὲ τὴν ἔνστασιν, διὰ τὸ
ἀναιδὲς μᾶλλον. αἱ ψῆφοι δὲ ποτὲ μὲν
τετρυπημέναι καὶ ἄτρυποι, ποτὲ δὲ μέλαι-
ναι καὶ λευκαί. αἱ μὲν τετρυπημέναι καὶ
μέλαιναι, ἦσαν αἱ καταψηφιζόμεναι.
φασὶ δέ τινες τῶν ἐξηγησαμένων, ὅτι
ἀπὸ χοιρείων ὀστῶν αὗται ἐγίνοντο. αἱ
δὲ λευκαὶ ἄτρυποι ἦσαν αἱ ἀπολύουσαι.

Ἀπαράσκευοι) Μὴ ἔχοντες ἐν τῷ 230
κατέχεσθαι συνήγορον. Οὔτε γάρ,
ὦ ἄνδρες δικ. ἐξῆν ὑμ. τιμᾶν) Ἡ
ἔνδειξις καὶ δίκη ἐπὶ κατὰ τῶν ἀτίμων. ἡ δὲ
ἀπαγωγή, ἐπὶ τῶν κλεπτῶν. Ἔπειτα 232
δέ, ὦ ἄνδρες δικ. τοῦτο τὸ γράμμα)
Ἐνταῦθά ἐστιν ἡ ἔνστασις. Αὕτη μὲν

καθ' ἑαυτό) Ὥσπερ εἰ ἔλεγεν, ἐξ αὐτῆς τῆς φωνῆς ἔξεστι στοχάσασθαι, ὅτι οὐκ
234 ἔστι νόμος. Ὅρκος ἡλιαστῶν) Ἰστέον ὅτι καὶ τὸν ὅρκον τοῦτον τῶν ἡλιαστῶν ἐν τοῖς ἐπιλόγοις τέθεικεν, ὡς ἐπιλογικὸν μᾶλλον ὄντα, ἀλλ' οὐ τῆς ὑποθέσεως αὐτῆς μέρος ὄντα καὶ τῶν ἀγώνων.

Καὶ τὰ ψηφίσματα) Ψηφίσματα οἴεσθαι λέγει τὰ παλαιὰ τὰ νομοθέντα εἶναι καλά.
235 Χρεῶν ἀποκοπάς) Οὐδὲ νομοθετήσω περὶ τῶν ἰδιωτικῶν χρημάτων, ὥστε μὴ ἀπολαμβάνειν τοὺς ἰδιώτας τὰ χρεῖα ἅπερ ἐδάνεισε. τοῦτο γὰρ τυραννίδος ἐστίν. ἱερομνήμων δὲ ἐλέγετο ὁ πεμπόμενος σύνεδρος εἰς τοὺς ἀμφικτύονας ὑπὲρ τῆς πόλεως. *ἰδιωτικῶν.

236 Ἀναδασμόν) Ἀναμερισμόν. τοῦτο γὰρ εἰώθει γίνεσθαι ἐν ταῖς ἀπαιδεύτοις δημοκρατίαις· οἱ γὰρ πένητες πολλάκις καθ' ἑαυτοὺς γενόμενοι στασιάζουσι πρὸς πλουσίους, λέγοντες ὡς οὐ δίκαιόν ἐστι τούτους μὲν ἔχειν γῆν πολλήν, αὐτοὺς δὲ μή, ἀλλὰ δίκαιον εἶναι καὶ αὐτοῖς ἐξ ἴσου μερίσασθαι τὴν γῆν καὶ τὰς οἰκίας. Οὐδὲ τοὺς μένοντας) Οὐδὲ τοὺς μένοντάς φησιν ἐν τῇ πόλει καὶ μὴ ἡμαρτηκότας, παρανόμως ἐκ τῆς πόλεως ἐκβαλῶ. Οὔτ' ἄλλον οὐδένα) Ἠδύνατο γάρ τις μὴ ἁμαρτάνειν μὲν αὐτός, ἄλλον δὲ ὁρῶν ἀδικοῦντα περιορᾶν. ὅπερ ἐστὶν ἀληθέστερον ἀδικεῖν, ὥς φησιν ὁ Θουκυδίδης.

237 Ὥστε ἀρχὴν ὑπεύθυνον ὄντα) Νόμος ἦν δὶς τὸν αὐτὸν μὴ ἄρχειν ἐν τῷ αὐτῷ ἐνιαυτῷ μὴ δόντα εὐθύνας τῆς προτέρας ἀρχῆς, μηδὲ ἄρχειν τὴν αὐτὴν ἀρχὴν τὸν αὐτόν, διὰ τὴν αὐτὴν αἰτίαν, ἵνα μὴ οἱ βουλόμενοι κατηγορεῖν αὐτοῦ, ἄρχοντι προσδοκῶντες αὐτὸν ἄρχειν τὴν αὐτὴν ἀρχήν, ἀναγκάζοιντο σιωπᾶν πάλιν πολλάκις ὄντες τῆς αὐτῆς ἀρχῆς ὑπηρέται, οἱ δυνάμενοι αὐτοῦ κατηγορεῖν διὰ τὸ συνειδέναι ἃς ἔπραξε. *α. Κυαμεύονται) Κληροῦνται. κύαμον γὰρ ἐκάλουν τὸν κλῆρον αὐτὸν καὶ τὴν ψῆφον τοῦ λαμβάνειν αὐτοὺς ἐπὶ τὸ ἄρχειν. ἦσαν δὲ αὗται ποτὲ μὲν πεπυρωμέναι καὶ ἄτρητοι, ποτὲ δὲ μέλαιναι καὶ λευκαί, καθὼς εἴπομεν.

Καὶ κήρυκος, καὶ πρεσβείας) Ἀντὶ τοῦ οὕτως εὐτελῶν. εὐτελῶν δὲ πρὸς τὰς ἄλλας ἀρχὰς τὰς μεγάλας. Ἰστέον δὲ ὅτι ἄλλος ἦν ὁ κῆρυξ τοῦ δήμου, καὶ ἄλλος ὁ τοῦ πολέμου ὁ προηγούμενος τῶν πρεσβειῶν, πρὸς τὸ αὐτοὺς ποιεῖσθαι εἰρήνην πρὸς τοὺς πολεμίους, βαστάζων καὶ σύμβολον τὸ κηρύκιον. *ὄντως.

238 Οὔτ' ἄλλος ἐμοί) Ἔστι γὰρ πολλάκις μὲν αὐτὸν μὴ λαμβάνειν, ἵνα δόντα τὸν ὅρκον ὑποβάλλειν δὲ ἕνα ἄλλον

τοῦτο ὁ Σόλων πρὸς τὸν ὅρκον τὸν βουλευτικὸν προσέ-
234 γραψεν, ἀλλ' οὐ πρὸς τὸν ὑμέτερον. ἁπάντων γὰρ κυ-
ριώτατον ᾤετο δεῖν εἶναι τὸ δικαστήριον, καὶ ὅ τι γνοίη, τοῦ-
το πάσχειν τὸν ἁλόντα. ἀναγνώσεται δ' ὑμῖν αὐτοῦ τού-
του ἕνεκα τὸν τῶν ἡλιαστῶν ὅρκον. Λέγε σύ. Ὅρκος ἡ-
λιαστῶν. Ψηφιοῦμαι κατὰ τοὺς νόμους, καὶ τὰ ψηφίσμα-
235 τα τοῦ δήμου τῶν Ἀθηναίων, καὶ τῆς βουλῆς τῶν πεν-
τακοσίων, καὶ τύραννον οὐ ψηφιοῦμαι εἶναι, οὐδὲ ὀλιγαρ-
χίαν· οὐδὲ ἐάν τις καταλύῃ τὸν δῆμον τὸν Ἀθηναίων,
ἢ λέγῃ, ἢ ἐπιψηφίζῃ παρὰ ταῦτα, οὐ πείσομαι· οὐδὲ
τῶν χρεῶν τῶν ἰδίων ἀποκοπάς, οὐδὲ γῆς ἀναδασμὸν
236 τῆς Ἀθηναίων, οὐδ' οἰκιῶν, οὐδὲ τοὺς φεύγοντας κα- *οἰκιῶν. α.
τάξω, οὐδὲ ὧν θάνατος κατέγνωσται, οὐδὲ τοὺς μένον- *μέλλοντας.
τας ἐξελῶ παρὰ τοὺς νόμους τοὺς κειμένους, καὶ τὰ
ψηφίσματα τοῦ δήμου τῶν Ἀθηναίων, καὶ τῆς βου-
λῆς. οὔτ' αὐτὸς ἐγώ, οὔτ' ἄλλον οὐδένα ἐάσω· οὐδὲ
237 ἀρχὴν καταστήσω ὥστε ἄρχειν ὑπεύθυνον ὄντα ἑτέ-
ρας ἀρχῆς, καὶ τῶν ἐννέα ἀρχόντων, καὶ τοῦ ἱερομνή-
μονος, καὶ ὅσοι μετὰ τῶν ἐννέα ἀρχόντων κυαμεύον-
ται ταύτῃ τῇ ἡμέρᾳ, καὶ κήρυκος, καὶ πρεσβείας, καὶ
συνέδρων· οὐδὲ δὶς τὴν αὐτὴν ἀρχὴν τὸν αὐτὸν ἄν-
238 δρα, οὐδὲ δύο ἀρχὰς ἄρξαι τὸν αὐτὸν ἐν τῷ αὐτῷ
ἐνιαυτῷ· οὐδὲ δῶρα δέξομαι τῆς ἡλιάσεως ἕνεκα,
οὔτ' αὐτὸς ἐγώ, οὔτ' ἄλλος ἐμοί, οὔτ' ἄλλοι εἰδότος ἐ- *ἄλλῃ.
μοῦ, οὐ τέχνῃ, οὔτε μηχανῇ οὐδεμιᾷ. καὶ γέγονα οὐκ
ἔλαττον, ἢ τριάκοντα ἔτη. καὶ ἀκροάσομαι τοῦ τε κα-
239 τηγόρου, καὶ τοῦ ἀπολογουμένου ὁμοίως ἀμφοῖν, καὶ
διαψηφιοῦμαι περὶ αὐτοῦ οὗ ἂν ἡ δίωξις. ἐπόμνυμι
Δία, Ποσειδῶνα, Δήμητρα. καὶ ἐπαρᾶται ἐξώλειαν ἑ- *ἐπαρῶμαι
αυτῷ, καὶ οἰκίᾳ τῇ ἑαυτοῦ, εἴ τι τούτων παραβαίνοι, *παραβαίνοιμι.
εὐορκοῦντι δέ, καλὰ πολλὰ κἀγαθὰ εἶναι. ἐνταυθοῖ
240 δ' οὐκ ἔνι, ὦ ἄνδρες δικασταί, οὐδὲ δῆσαι Ἀθηναίων
οὐδένα· τὰ γὰρ κρίνοντα τὰς κρίσεις ἁπάσας τὰ δικα-
στήριά ἐστιν, οἷς ἐξουσία ἐστὶ καὶ δεσμόν, καὶ ἄλλο τι, ὅ ἂν
βούλωνται, καταγιγνώσκειν. ὡς μὲν οὖν ἔξεστιν ὑμῖν
δεσμὸν καταγιγνώσκειν, ταῦτ' ἐπιδείκνυμι, ὡς δὲ τὰ
241 δεδικασμένα ἄκυρα ποιεῖν, καὶ δεινόν, καὶ ἀνόσιόν ἐστι, καὶ
δήμου κατάλυσις, πάντας ἂν οἶμαι ὁμολογῆσαι. ἡ γὰρ
πόλις ἡμῶν, ὦ ἄνδρες δικασταί, νόμοις καὶ ψηφίσμα-
σι διοικεῖται. εἰ δέ τις τὰ ψήφῳ κεκριμένα, νόμῳ και-
νῷ λύσει, τί πέρας ἔσται, ἢ πῶς τοῦτον δίκαιόν ἐστι νόμον
242 προσαγορεῦσαι, ἀλλ' οὐκ ἀνομίαν; ἢ πῶς οὐ τῆς
μεγίστης

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μεγίστης ὀργῆς ὁ τοιοῦτος νομοθέτης ἄξιός ἐστιν; ἐγὼ
μὲν γὰρ τῆς ἐσχάτης νομίζω, οὐχ ὅτι μόνον τοῦτον τὸν
* δείκνυσι α. νόμον ἔθηκεν, ἀλλ' ὅτι καὶ τοῖς ἄλλοις εἰς ὁδὸν *ὑποδεικνύει καὶ
περὶ δικαστηρίων καταλύσεως, καὶ περὶ τῶν φευγόν-
των καθόδου, καὶ περὶ τῶν ἄλλων τῶν δεινοτάτων. τί 243
γὰρ κωλύει, ὦ ἄνδρες δικασταί, εἰ οὗτος χαίρων ἀπαλ-
λάξει, ὁ τοιοῦτον νόμον θείς, ἕτερον φανῆναι ἄλλο τι τῶν
* γ. καταλύσαντα. τῆς πόλεως ἰσχυροτάτων *καταλύσοντα νόμῳ καινῷ;
ἐγὼ μὲν γὰρ οἶμαι οὐδέν. ἀκούω δ' ἔγωγε καὶ τὸ
πρότερον οὕτω καταλυθῆναι τὴν δημοκρατίαν 244
παρανόμων πρῶτον γραφῶν καταλυθεισῶν, καὶ τῶν
δικαστηρίων ἀκύρων γενομένων. ἴσως μὲν οὖν ἄν τις
ὑπολάβοι, ὅτι οὐχ ὁμοίων ὄντων τῶν πραγμάτων
νῦν καὶ τότε, λέγω περὶ καταλύσεως τοῦ δήμου· ἀλ-
λ' οὐδὲ σπέρμα δεῖ καταβάλλειν ἐν τῇ πόλει οὐδέ- 245
να, ὦ ἄνδρες δικασταί, τοιούτων πραγμάτων, οὐ-
* πῶς. δ' εἰ μὴ *πω ἂν ἐκφύοι· ἀλλὰ καὶ τὸν ἐγχειροῦντα
λέγειν, ἢ ποιεῖν τι τοιοῦτον, δίκην διδόναι. ὅτι τοίνυν καὶ
τέχνῃ κακῶς ἐνεχείρησε ποιεῖν ὑμᾶς, ἄξιόν ἐστιν ἀ-
κοῦσαι· ὁρῶν γὰρ ἑκάστοτε πάντας, καὶ τοὺς πολιτευο- 246
μένους καὶ τοὺς ἰδιώτας τοὺς νόμους τῶν τῆς πόλεως
ἀγαθῶν αἰτίους ὑπολαμβάνοντας, ἐσκόπει πῶς λή-
σει τούτους καταλύσας. κἂν ἄρα ληφθῇ τοῦτο ποιῶν,
μὴ δόξῃ δεινόν, μηδ' ἀναιδὲς μηδὲν εἰργάσθαι. εὗ-
ρεν οὖν, τοῦτο ποιῶν, ὃ πεποίηκε, νόμῳ τοὺς νόμους 247
* λῦσαι. α. *καταλῦσαι, ἵνα τἀδικήματ' αὐτοῦ, τὸ τῆς σωτηρίας
ὄνομ' ἔχῃ. οἵ τε γὰρ σῴζοντες τὴν πόλιν, εἰσὶ νόμοι, ὅν
τε οὗτος ἔθηκεν, οὐδὲν ἐκείνοις τῶν αὐτῶν ἔχοντα, νόμος. Τὴν μὲν οὖν τοῦ ὀνόματος
φιλανθρωπίαν ὅτι ταύτην ἂν μάλιστα προσίεσθε, κατεῖδε· τὴν δὲ χρείαν ὅτι 248
τἀναντία ἔχουσα φανήσεται, τῇδε· φέρε γὰρ πρὸς Διός, ἔστιν ὅστις ἄν, ἢ πρόε-
δρος ποτ' ἐπεψήφισεν, ἢ πρύτανις, τούτων τι τῶν ἐν τῷ νόμῳ γεγραμμένων; ἐγὼ
* πανουργήμασιν. μὲν οὖν οὐδένα ἂν οἶμαι. πῶς οὖν τοῦθ' ὑπέδυ, νόμον ἔθετο ὄνομα τοῖς αὑτοῦ *κα-
κουργήμασιν· οὐ γὰρ ἁπλῶς, οὐδ' ὅπως ἔτυχε ποιοῦσι κακῶς ὑμᾶς, ἀλλ' ἐσκεμ- 249
μένως. καὶ τοῦτ' αὐτὸ πράττοντες οὐχ οὗτοι μόνον, ἀλλὰ καὶ πολλοὶ τῶν πολι-
τευομένων, οἱ τούτῳ παριόντες, αὐτίκα δὴ μάλα συναπολογήσονται, οὐ μὰ Δί' οὐ
Τιμοκράτει χαρίσασθαι βουλόμενοι. πόθεν; ἀλλ' αὑτοῖς συμφέρειν ἕκαστος ἡγού-
μενος τὸν νόμον. ὥσπερ τοίνυν οὗτοι σφίσιν αὐτοῖς βοηθοῦσιν ἐφ' ὑμᾶς, οὕτω δεῖ 250
καὶ ὑμᾶς ὑμῖν αὐτοῖς βοηθεῖν. καίτοι διερωτῶντός τινος αὐτόν, ὅτου ἕνεκα τοιαῦτ' ἐ-
θέλησε γράφειν, καὶ διεξιόντος ὡς χαλεπὸν ἀγῶνα ὑπολαμβάνει τόνδε, τετυ-
φῶσθαι τὸν ταῦτα λέγοντα ἔφη. συμπαρέσεσθαι γὰρ Ἀνδροτίωνα ἑαυτῷ, καὶ
* ἄγοντας τοιούτους λόγους σχολὴν *ἄγοντα ἐσκέφθαι περὶ πάντων. ὥστ' εὖ εἰδέναι ὅτι οὐ- 251
δὲν αὐτῷ γενήσοιτο φλαῦρον ἀπὸ τῆς γραφῆς τῆσδε. καὶ δῆτα καὶ τεθαύμακα

δρα, ἢ γυναῖκα λαμβάνειν ὑπὲρ αὐ-
τοῦ, ἢ δι' ἄλλης τέχνης ἢ μηχανῆς.
Ἀλλ' οὐδὲ σπέρμα δεῖ) Ἐνέμεινε 245
τῇ τροπῇ τοῦ σπέρματος, ὡσανεὶ ἔλε-
γε, μὴ καταβάλωμεν, φησι, σπέρμα
τοιοῦτον πονηρίας, εἰ καὶ μὴ μέλλει
ἀναβλαστῆσαι πώποτε καὶ αὐξῆσαι.
Ὅτι τοίνυν καὶ τέχνῃ κακῶς ἐνε-
χείρησε) Μετὰ τὴν τοῦ πράγματος
καταφοράν, μεταβέβηκεν ἐπὶ τὴν
τοῦ προσώπου. ὁ δὲ τόπος ἀπὸ τῆς γνώ-
μης τοῦ γράψαντος, ὅτι οὐχ ὡς ἔτυχεν
ἐποίησεν ὑμᾶς κακῶς, ἀλλὰ μετὰ τέ-
χνης, καὶ σκεψάμενος εἰς τοῦτο.
Εὗρεν οὖν τοῦτο) Νομίζεται γὰρ τὸ 247
νομοθετεῖν αὐτὸ καθ' αὑτὸ τοῦ τοὺς
νόμους καταλῦσαι βέλτιον εἶναι. καί-
τοι ἐνίοτε οἱ νομοθετοῦντες, οὐδὲν τῶν
τοὺς νόμους καταλυόντων διαφέρου-
σιν, ὡς δηλοῦσιν αἱ τῶν παρανό-
μων γραφαί. καὶ οἱ ὑπὲρ τῆς πό-
λεως νομοθετοῦντες, καὶ νόμους τῇ
πολιτείᾳ συμφέροντας, καὶ συμφώ-
νους γράφοντες, μόνοι ὡς ἀληθῶς νο-
μοθετοῦσιν· ὅμως τὸ νομοθετεῖν αὐ-
τὸ καθ' ἑαυτὸ τοῦ λῦσαι νόμους ἤδη
κειμένους κρεῖττον. Οὐ μὰ Δί' οὐ 249
Τιμοκράτει χαρίσασθαι) Ἐκβολὴ τῶν
συνηγόρων αὐτοῦ. τὸ δὲ ἐφ' ὑμᾶς,
ἀντὶ τοῦ καθ' ὑμῶν, τοιαῦτα ἠθέ-
λησε γράψαι παράνομα. Σχο- 251
λὴν ἄγοντα ἐσκέφθαι περὶ πάν-
των) Ἀντὶ τοῦ σχολάσαντα καὶ ἀρ-
γήσαντα ἐκ τῶν ἄλλων πραγμά-
των ἵνα σκέψηται ταῦτα. ὅρα πῶς
αὐτῷ φθόνον συνάγει διὰ τούτων. τὸ
δὲ τοῦ μὲν εἰ καλεῖ, τοῦ Τιμοκρά-
τους. τοῦ δ' εἰ πάρεισι, τοῦ Ἀνδρο-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὴν ἀναισχυντίαν [illegible] τούτου, κἀκείνου. τοῦ μὲν εἰ
252 καλῶς, τοῦ δὲ, εἰ [illegible] καὶ συναπολογήσεται. μαρ-
τυρία γὰρ δήπου [illegible] γενήσεται πᾶσιν ὑμῖν, ὅτι
τὸν νόμον τούτου ἕνεκ' [illegible] θῆ, ἀλλ' οὐκ ἐπὶ πᾶσι τοῖς
αὐτοῦ. ὅμως δὲ καὶ [illegible] τῶν ἐκείνῳ πεπολιτευμέ-
νων, ὑμᾶς μικρὰ βέλτιόν ἐστιν ἀκοῦσαι. καὶ τούτων
253 ταῦτα ὧν κεκοινώνηκεν οὗτος. *διὰ τοῦτον οὐδὲν ἧτ- *καὶ
τον ἐκείνου δικαίως ἂν μισοῖτο. λέξω δὲ οὐδὲν πλέον
ὧν ἀκηκόαθ' ὑμεῖς, εἰ μή τινες ἄρα ἐπὶ τοῖς Εὐκτή-
μονι γιγνομένοις μὴ παρῆσαν ἀγῶσι. καὶ πρῶτον
μὲν ἐφ' ᾧ μέγιστον φρονεῖ, τὴν τῶν χρημάτων εἴσ-
254 πραξιν ἐξετάσωμεν αὐτοῦ, ἣν μετὰ τούτου τοῦ χρη-
στοῦ πάντας εἰσέπραξεν ὑμᾶς. αἰτιασάμενος γὰρ
Εὐκτήμονα τὰς ὑμετέρας ἔχειν εἰσφορὰς, καὶ τοῦτ' ἐ-
ξελέγξειν, ἢ παρ' ἑαυτοῦ καταθήσειν ὑποσχόμενος,
καταλύσας ψηφίσματι κληρωτὴν ἀρχὴν, ἐπὶ τῇ
255 προφάσει ταύτῃ, ἐπὶ τὴν εἴσπραξιν παρέδυ. καὶ
τοῦτον περιεβάλλετο εἰπὼν τὴν τοῦ σώματος ἀρ-
ρωστίαν, ἵν', ἔφη, συνδιοικῇ μοι. δημηγορίας δὲ ἐπὶ
τούτοις ποιούμενος, ὡς ἔστι τριῶν αἵρεσις ὑμῖν, ἢ τὰ
πομπεῖα κατακόπτειν, ἢ πάλιν εἰσφέρειν, ἢ τοὺς ὀ-
256 φείλοντας εἰσπράττειν· αἱρουμένων εἰκότως ὑμῶν
τοὺς ὀφείλοντας εἰσπράττειν, ταῖς ὑποσχέσεσι κατέχων, καὶ διὰ τὸν καιρὸν,
ὃς ἦν τότε, ἔχων τὴν ἐξουσίαν, τοῖς μὲν κειμένοις νόμοις οὐκ ᾤετο δεῖν χρῆσθαι,
οὐδ', εἰ μὴ τούτους ἐνόμιζεν ἱκανοὺς, ἑτέρους τιθέναι· ψηφίσματα δ' εἶπεν ἐν ὑ-
257 μῖν δεινὰ καὶ παράνομα, δι' ὧν ἠργολάβει, προσαγωγεῖ τούτῳ χρώμενος τῶν
λημμάτων· καὶ πολλὰ τῶν ὑμετέρων κέκλοφε, μετὰ τούτου γράψας τοὺς ἕνδε-
κα, καὶ τοὺς ἀποδέκτας, καὶ τοὺς ὑπηρέτας ἀκολουθεῖν μεθ' ἑαυτοῦ. εἶτ' ἔχων του-
τουσὶ, ἦγ' ἐπὶ τὰς ὑμετέρας οἰκίας. καὶ σὺ, ὦ Τιμόκρατες συνηκολούθεις μό-
258 νος τῶν συναρχόντων δέκα ὄντων. καὶ μηδεὶς ὑπολαμβανέτω με λέγειν, ὡς
οὐ χρὴ εἰσπράττειν τοὺς ὀφείλοντας. χρὴ γάρ. ἀλλὰ πῶς; ὡς ὁ νόμος ἀγορεύει,
τῶν ἄλλων ἕνεκα· τοῦτο γάρ ἐστι δημοτικόν. οὐ γὰρ τοσοῦτον, ὦ ἄνδρες Ἀθηναῖοι, πέντε τα-
λάντων ὑμῖν ὧν οὗτοι τότ' εἰσέπραξαν, *τεθέντων ὠφέλησθε, ὅσον βέβλαφθε, τοιού- *κατατεθέντων
259 των ἐθῶν εἰς τὴν πολιτείαν εἰσαγομένων. εἰ γὰρ θέλετε ἐξετάσαι τίνος ἕνεκα μᾶλ-
λον ἄν τις ἕλοιτο ἐν δημοκρατίᾳ ζῆν, ἢ ἐν ὀλιγαρχίᾳ, τοῦτ' ἂν εὕροιτε προχειρό-
τατον, ὅτι πάντα πρᾳότερά ἐστιν ἐν δημοκρατίᾳ. ὅτι μὲν τοίνυν τῆς ὅποι βούλεσθε
ὀλιγαρχίας πολλῷ ἀσελγέστερα, καὶ δεινότερα ἐποίουν οὗτοι, παραλείψω. ἀλλὰ
260 παρ' ὑμῖν πότε πώποτε δεινότερα τὰ ἐν τῇ πόλει γέγονεν; οὐδ' οἶδ' ὅτι ἐπὶ τῶν τριά-
κοντα ἅπαντες ἂν εἴποιτε. τότε τοίνυν, ὡς ἔστιν ἀκούειν, οὐδείς ἐστιν, ὅστις ἀπεστε-
ρεῖτο τοῦ σωθῆναι, εἴ τις ἑαυτὸν οἴκοι κρύψειεν. ἀλλ' αὐτὸ τοῦτο κατηγοροῦμεν τῶν
τριάκοντα, ὅτι τοὺς ἐκ τῆς ἀγορᾶς ἀδίκως ἀπῆγον. οὗτοι τοίνυν τοσαύτην ὑπερ-
261 βολὴν ἐποιήσαντο τῆς ἐκείνων τῆς αὑτῶν πονηρίας, ὥστ' ἐν δημοκρατίᾳ πολιτευόμενοι,
τὴν ἰδίαν

252 τίωνος. Συναπολογήσεται) Βούλεται ὥσπερ ἐμβολὴν ἐνταῦθα ποιήσασθαι τῶν συνηγόρων, διὰ τί δὲ οὐκ ἔστιν ἀκριβὴς ἐμβολὴ συνηγόρων, ἤδη εἴπομεν ἐν τῷ κατ' ἀνδροτίωνος. Ὅμως δὲ καὶ περὶ τῶν ἐκείνῳ) Παρέκβασις πάλιν ἐπὶ τὰ πολιτεύματα ἀνδροτίωνος.

253 Καὶ πρῶτον μὲν ἐφ' ᾧ μέγιστον φρονεῖ) Ἐπλήρωσε τὴν ἐπιφορὰν τὸν αὐτὸν τρόπον, ὅνπερ καὶ ἐν τῷ κατ' ἀνδροτίωνος. Ἐζήτηται δὲ διὰ ποίαν αἰτίαν τὰ αὐτὰ μέλλει ἐπιφέρειν, ὥσπερ εἶπεν ἐν τῷ κατ' ἀνδροτίωνος. Καὶ οἱ μὲν λέγουσιν, ὅτι οὐχ οἱ αὐτοὶ ἦσαν δικασταὶ, καὶ οὐδὲν ἦν ἄτοπον διὰ τοὺς μὴ ἀκηκοότας ἐκεῖνα. πάλιν τὰ αὐτὰ λέγειν ἐνταῦθα. ἄλλοι δὲ λέγουσιν, ὅτι ἠθέλησεν ἐνδείξασθαι ὁ Διόδωρος, ὅτι ἰδιώτης ἐστὶ καὶ οὐκ ἠδυνήθη ἄλλως σκέψασθαι τὰ αὐτά. βέλτιον δὲ λέγειν μᾶλλον τὴν αἰτίαν, ἣν εἴπομεν ἐν τοῖς φιλιππικοῖς.

257 Προσαγωγεῖ) Ἀντὶ τοῦ δηλάτωρι, ἐκ τοῦ προσαγαγεῖν *αὐτῷ, καὶ ὑποβάλλειν τινὰς ἀπαιτῆσαι ἀδίκως. τὸ δὲ ἀποδέκτας, ἀντὶ τοῦ ὑποδεχομένους τὰ χρήματα. *ἢ αὐτὸν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὴν ἰδίαν οἰκίαν ἑκάστῳ δεσμωτήριον καθίστασαν, ἄγοντες τοὺς ἕνδεκα ἐπὶ τὰς οἰκίας. καίτοι, ὦ ἄνδρες δικασταί, τί οἴεσθε, ὁπότ' ἄνθρωπος πένης, ἢ καὶ πλούσιος
πολλὰ δὴ. α. πολλ' ἀνηλωκὼς, καὶ τιν' ἴσως τρόπον εἰκότως οὐκ εὐπορῶν ἀργυρίου, μὴ μόνον εἰς τὴν ἀγορὰν φοβοῖτ' ἐμβάλλειν, ἀλλὰ μηδ' οἴκοι μένειν αὐτῷ ἀσφαλὲς ἡγοῖτο· ὁ 262
δὲ τούτων αἴτιος, ἀνδροτίων εἴη, ὃν οὐδ' ὑπὲρ αὐτοῦ δίκην ἔα λαβεῖν τὰ πεπραγμένα καὶ βεβιωμένα, μήτι γ' ὑπὲρ τῆς πόλεως εἰσπράττειν εἰσφοράς; καίτοι, εἴ τις ἔροιτ' αὐτὸν, ἢ σὲ, ὦ Τιμόκρατες, τὸν ἐπαινέτην τούτων καὶ συνεργὸν, τὰς εἰσφορὰς πότερον τὰ κτήματα, ἢ τὰ σώματα ὀφείλει; τὰ κτήματα φήσαιτ' ἂν, 263
εἴπερ ἀληθῆ λέγειν βούλοισθε. ἀπὸ γὰρ τούτων εἰσφέρομεν. τίνος οὖν ἕνεκα, ὦ κάκιστοι πάντων ἀνθρώπων, ἀφέντες τὰ χωρία δημεύειν, καὶ τὰς οἰκίας, καὶ ταῦτα ἀπογράφειν, ἐδεῖτε καὶ ὑβρίζετε πολίτας ἀνθρώπους καὶ τοὺς ταλαιπώρους με-
τοῖς ὑμετέροις αὐτῶν. α. τοίκους, οἷς ὑβριστικώτερον ὑμεῖς, ἢ τοῖς οἰκέταις τοῖς ἑαυτῶν κέχρησθε. καὶ μὴν εἰ 264
θέλετε σκέψασθαι παρ' ὑμῖν αὐτοῖς, ὦ ἄνδρες δικασταί, τί δοῦλον, ἢ ἐλεύθερον εἶναι διαφέρει, τοῦτο μέγιστον ἂν εὕροιτε, ὅτι τοῖς μὲν δούλοις τὸ σῶμα, τῶν ἀδικημάτων ἁπάντων ὑπεύθυνόν ἐστι· τοῖς δ' ἐλευθέροις, ὕστατον τοῦτο προσήκει κολάζειν. οἱ δὲ,
τοὐναντίον εἰς τὰ σώματα, ὥσπερ ἀνδραπόδοις, ἐποιήσαντο τὰς τιμωρίας. οὕτω δ' 265
ἀνίσως, καὶ πλεονεκτικῶς ἔχει πρὸς ὑμᾶς ἀνδροτίων, ὥστε τὸν μὲν αὑτοῦ πατέρα ᾤετο δεῖν, δημοσίᾳ δεθέντα ἐπὶ χρήμασιν ἐν τῷ δεσμωτηρίῳ, μήτε ἀποδόντα ταῦτα, μήτε κριθέντα, ἀποδρᾶναι· τῶν δ' ἄλλων πολιτῶν τὸν μὴ δυνάμενον τὰ
ἑαυτοῦ θεῖναι, οἴκοθεν εἰς τὸ δεσμωτήριον ἀχθέντα, ὑφ' ἑαυτοῦ δεδέσθαι. καὶ Τιμο- 266
κράτης τῶν μὲν πολλῶν ἡμῶν τότε, ὅτε τὴν διπλασίαν εἰσέπραττεν, οὐδ' ἂν παρ' ἑνὸς λαβεῖν ἠθέλησεν ἐγγυητὰς μὴ μέχρι τῆς ἐνάτης πρυτανείας, ἀλλ' οὐδὲ μιᾶς ἡμέρας. ἀλλ' ἢ διπλᾶ τὰ χρήματα ἔδει καταβάλλειν, ἢ παραχρῆμα δεδέσθαι. προεδίδου δὲ αὐτοῖς τοῖς ἕνδεκα τὸν οὐκ ὠφληκότα ἐν τῷ δικαστηρίῳ. νῦν δὲ 267
ὅπως ὧν ἂν ὑμεῖς καταγνῶτε, ἄδετοι περιίασιν, ὑπεύθυνον αὑτὸν ποιήσας, νόμον εἰσενεγκεῖν ἐτόλμησεν. ἀλλ' ὅμως καὶ τάδε, κἀκεῖνα φήσουσιν ὑπὲρ ὑμῶν πεπρᾶχθαι. εἶτα ταῦθ' ὑμεῖς ἐφ' ἑαυτοὺς ἀναδέξεσθε ὑπὲρ ὑμῶν πεπρᾶχθαι, καὶ τὰ τῆς τούτων θρασύτητος καὶ πονηρίας ἔργα πρᾴως οἴσετε; ἀλλὰ μισεῖν ὀφείλετε τοὺς 268
τοιούτους, ὦ ἄνδρες Ἀθηναῖοι, μᾶλλον, ἢ σώζειν. τὸν γὰρ ὑπὲρ τῆς πόλεως πράττοντά τι, καὶ πρᾴων ὑμῶν τυγχάνοντα τὸ τῆς πόλεως ἦθος ἔχοντα δεῖ φαίνεσθαι. τοῦτο δ' ἐστὶ τί; τοὺς ἀσθενεῖς ἐλεεῖν, τοῖς ἰσχυροῖς καὶ δυναμένοις μὴ ἐπιτρέπειν ὑβρίζειν, οὐ
τοὺς μὲν πολλοὺς ὠμῶς μεταχειρίζεσθαι, κολακεύειν δὲ τὸν ἀεί τι δυνάμενον δοκοῦν- 269
τα. ἃ σὺ ποιεῖς, ὦ Τιμόκρατες. δι' ἃ πολλῷ μᾶλλον ἂν εἰκότως μὴ πεισθέντες ἀκοῦσαί σου θάνατον καταψηφίσαιντο οὗτοι, ἢ δι' ἀνδροτίωνα ἀφεῖσαν. ὅτι τοίνυν οὐδὲ τὴν εἴσπραξιν αὐτὴν ὑπὲρ ὑμῶν πεποίηνται, καὶ τοῦτ' αὐτίκα δὴ μάλα ὑμῖν
παρ. α. δῆλον ποιήσω. εἰ δέ τις ἔροιτο αὐτοὺς, πότεροι αὐτοῖς δοκοῦσιν ἀδικεῖν μᾶλλον τὴν 270
πόλιν, οἱ γεωργοῦντες, καὶ φειδόμενοι, διὰ παιδοτροφίας δὲ, καὶ οἰκεῖα ἀναλώματα, καὶ λειτουργίας ἑτέρας, λελοιπότες τὰς εἰσφοράς, ἢ οἱ τὰ τῶν ἐθελησάντων εἰσενεγκεῖν χρήματα, καὶ τὰ παρὰ τῶν συμμάχων κλέπτοντες, καὶ ἀπολλύντες, οὐκ ἂν εἰς τοῦτο δήπου τόλμης, καίπερ ὄντες ἀναιδεῖς, ἔλθοιεν, ὥστε φῆσαι τοὺς τὰ ἑαυτῶν 271
μὴ εἰσφέροντας μᾶλλον ἀδικεῖν, ἢ τοὺς τὰ κοινὰ ὑφαιρουμένους. τίνος οὖν ἕνεκα, ὦ Τιμόκρατες, καὶ ἀνδροτίων, ἐτῶν ὄντων πλειόνων ἢ τριάκοντα, ἀφ' οὗ ὅ γε ἕτερος



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

275 Καὶ μὴ τὸν χρόνον εἰ πολὺς ἐστὶν) Οἶδεν ὁ ῥήτωρ παλαιὰ πράγματα ἐγκαλῶν, τὰ τῶν εἰσφορῶν, καὶ ἃ προείρηκεν. ἐπειδὴ οὖν ἀνέκυπτεν αὐτῷ παραγραφικὸν ἀπὸ χρόνου, διὰ τοῦτο
276 ἀναγκάζεται λῦσαι αὐτό. Οὔκουν δεῖ) Τὸ οὔκουν παροξυνέον, ἐπεὶ πάλιν ἐπὶ ἀρνήσεώς ἐστιν. Ὑμῖν αὐτοῖς χαρίσασθαι) Τῷ θυμῷ καὶ τῇ ὀργῇ προθύμως ὑπείκειν, καὶ ἀκολουθεῖν. Ταῦτα μόνον) Κατὰ ταῦτα μόνον. ἔξεστι δὲ σὺν ἐρωτήσει ἀναγινώ-
378 σκειν, καὶ χωρὶς, εἰρωνικῶς. Φήσας δὲ ἀπορρεῖν τὰ φύλλα τῶν στεφάνων) Παίζει. χρυσῶν γὰρ ὄντων τῶν στεφάνων, ὡς περὶ ἄνθοις τοῦτο ἔλαβε. Σαπροὺς δὲ, παλαιοὺς, σαθροὺς, σεσηπότας.

ὑμῶν πολιτεύεται, καὶ ἐν τούτῳ τῷ χρόνῳ πολλῶν μὲν στρατηγῶν ἠδικηκότων τὴν πόλιν, πολλῶν δὲ ῥη-
272 τόρων, οἳ παρὰ τουτοισὶ κέκρινται, ὧν οἱ μὲν τεθνᾶσιν ἐφ' οἷς ἠδίκουν, οἱ δ' ὑποχωρήσαντες ᾤχοντο καταγνόντες ἑαυτῶν, οὐδενὸς πώποτε τούτων ἐξητάσθη κατήγορος ὑμῶν οὐδέτερος, οὐδ' ἀγανακτῶν ὤφθη ὑφ' ὧν ἡ πόλις ἔπασχεν, ἀλλ' ἐνταῦθα ἐφάνησαν
273 ἡμῶν κηδόμενοι, οὗ "πολλοὺς ἔδει κακῶς ποιῆσαι; βούλεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ τούτων αἴτιον ἐγὼ ὑμῖν εἴπω; ὅτι τούτων μὲν μετέχουσιν, ὧν ἀδικοῦσιν ὑμᾶς τινές· ἀπὸ δὲ τῶν εἰσπραττομένων ὑφῃροῦντο· δι' ἀπληστίαν δὲ τρόπων διχόθεν καρποῦνται τὴν πόλιν. ʹτοὺς πολλούς.
274 οὔτε γὰρ ῥᾷον πολλοῖς καὶ κατὰ μικρὰ ἀδικοῦσιν ἀπεχθάνεσθαι, ἢ ὀλίγοις καὶ μεγάλα, οὔτε δημοτικώτερον δήπου τὰ τῶν πολλῶν ἀδικήματα ὁρᾶν, ἢ τὰ τῶν ὀλίγων. ἀλλὰ τοῦτ' αἴτιον, ὃ ἐγὼ λέγω. δεῖ τοίνυν ὑμᾶς ταῦτα λογισαμένους, καὶ μεμνημένους ὧν ἂν ἕκαστος ἁμάρτῃ, κολάζειν, ὅταν λά-
275 βητέ τινα, καὶ μὴ τὸν χρόνον, εἰ πολὺς ἐστ' ἀπ' ἐκείνου, σκοπεῖν, ἀλλ' εἰ ταῦτ' ἐποίουν. ὡς εἰ νῦν πράως οἴσετ' ἐφ' οἷς τότε ἠγανακτεῖτε, δόξετε ὀργιζόμενοι κατεγνωκέναι τὰ χρήματα τούτων, οὐκ ἀδικούμενοι. τῶν μὲν γὰρ ὀργιζομένων ἐστὶν, ὀξέως τι κακὸν τὸν λελυπηκότα ἐργάσασθαι· τῶν δὲ ἀδικουμένων, ὅταν ποθ' "ὑπ' ʹὑφ' αὑτοῖς.
276 αὐτοῖς λάβωσι τὸν ἠδικηκότα, τότε τιμωρήσασθαι. οὔκουν δεῖ δοκεῖν νῦν μαλακισθέντας, τότε τῶν ὀμωμοσμένων ὅρκων ἀμνημονήσαντας, ὑμῖν αὐτοῖς χαρίσασθαι παρὰ τὸ δίκαιον, ἀλλὰ μισεῖν, καὶ μηδ' ἀνέχεσθαι φωνὴν μήτε τούτων μήτ' ἐκείνων, τῶν τοιαῦτα πεπολιτευμένων. ἀλλὰ νὴ Δία ταῦτα μόνον τοιοῦτοι γεγόνασιν ἐν οἷς πε-
277 πολιτεύονται, ἄλλα δ' ἐστὶν, ἃ καλῶς διῳκήκασιν; ἀλλὰ καὶ τἄλλα οὕτω προσεληλύθασιν πρὸς ὑμᾶς, ὥστε ἥκιστα ἐν οἷς ἀκηκόατε, ἄξιόν ἐστι μισεῖν αὐτούς. τί γὰρ βούλεσθε εἴπω τὰ πομπεῖα ὡς ἐπεσκευάκασι, καὶ τὴν τῶν στεφάνων καθαίρεσιν, ἢ τὴν τῶν φιαλῶν ποίησιν τὴν καλήν; ἀλλ' ἐπὶ τούτοις γε εἰ μηδὲν ἄλλο
278 ἠδίκουν τὴν πόλιν, τρὶς, οὐχ ἅπαξ "δικαίως ἄν μοι τεθνάναι δοκοῦσι. καὶ γὰρ ἱεροσυλίᾳ, καὶ ἀσεβείᾳ, καὶ κλοπῇ, καὶ πᾶσι τοῖς δεινοτάτοις εἰσὶν ἔνοχοι. τὰ μὲν οὖν πολλὰ ὧν λέγων ὑμᾶς ἐφενάκιζεν ἀνθρώπων, παραλείψω. φήσας δὲ ἀπορρεῖν τὰ φύλλα τῶν στεφάνων, καὶ σαπροὺς εἶναι διὰ τὸν χρόνον, ὥσπερ ἴων, ἢ ῥόδων ὄντας, ἀλλ' οὐ ʹδικ.
279 χρυσίου, συγχωνεύειν ἔπεισεν. αἱρεθεὶς δὲ ἐπὶ ταῦτα, "προσείλετο τουτονὶ τὸν ἁπάντων τῶν κακῶν κοινωνόν. κᾆπειτ' ἐπὶ μὲν ταῖς εἰσφοραῖς, τὸ δημόσιον παρεῖναι προσέγραψεν, ὡς δὴ δίκαιος ὤν, ὧν ἕκαστος ἀντιγραφεὺς ἔμελλεν ἔσεσθαι τῶν εἰσενεγκόντων. ἐπὶ τοῖς στεφάνοις δ' οὓς κατέκοπτεν, οὐχὶ προσηγάγετο ταυτὸ δίκαιον ʹπροσήλετο.
280 τοῦτο· ἀλλ' αὐτὸς ῥήτωρ, χρυσοχόος, ταμίας, ἀντιγραφεὺς γέγονε. καὶ μὴν εἰ μὲν ἅπαντ' ἠξίους, ὅσα "πράττεις τῇ πόλει, σαυτῷ πιστεύειν, οὐκ ἂν ὁμοίως κλέπτης ὢν ἐφωρῶ. νῦν δ' ἐπὶ ταῖς εἰσφοραῖς, ὃ δίκαιόν ἐστ', ὁρίσας μὴ σοὶ πιστεύειν, ἀλλὰ τοῖς αὐτῆς δούλοις τὴν πόλιν, ὁπότ' ἄλλο τι πράττων καὶ χρήματα κινῶν ἱερά, ʹπράττεις, τὴν πόλιν σαυτῷ πι. γρ. ὃ δίκαιον ἐστ', ὁρίσας, μὴ σοὶ πι.
281 ὧν ἔνια οὐδ' ἐπὶ τῆς ἡμετέρας γενεᾶς ἀνετέθη, μὴ "προσγραψάμενος τὴν αὐτὴν φυλακὴν, ἥνπερ ἐπὶ τῶν εἰσφορῶν φαίνῃ, οὐκ ἤδη δῆλον, δι' ὃ τοῦτ' ἐποίησας; ἐγὼ μὲν οἶμαι. ʹγρ. προσγραψάμενος.

μὲν οἶμαι. καὶ μὴν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ κατὰ πάν-
τα τὸν χρόνον σκέψασθε ὡς καλὰ καὶ ζηλωτὰ ἐπι-
γράμματα τῆς πόλεως ἀνῃρῶν, ὡς ἀσεβῆ καὶ δεινὰ ἀν-
τεπέγραψεν. οἶμαι γὰρ ὑμᾶς ἅπαντας ὁρᾶν ὑπὸ τῶν
στεφάνων ταῖς χοινικίσι κάτωθεν γεγραμμένα, οἱ σύμ- 282
μαχοι τὸν δῆμον τῶν Ἀθηναίων, ἀνδραγαθίας ἕνεκ'
ἐστεφάνωσαν, καὶ δικαιοσύνης· ἢ οἱ σύμμαχοι ἀριστεῖον τῇ Ἀθηνᾷ ἀνέθεσαν, ἢ κατὰ
πόλεις· οἱ δεῖνες τὸν δῆμον ἐστεφάνωσαν, σωθέντες ὑπὸ τοῦ δήμου· οἷον Εὐβοεῖς σωθέν-
τες, καὶ ἐλευθερωθέντες, ἐστεφάνωσαν τὸν δῆμον. ἐπεγέγραπτό που πάλιν, Κόνων ἀπὸ
τῆς ναυμαχίας τῆς πρὸς Λακεδαιμονίους. Χαβρίας ἀπὸ τῆς ἐν Νάξῳ ναυμαχίας. 283
τοιαῦτα γὰρ ἦν τὰ τῶν στεφάνων ἐπιγράμματα. ταῦτα μὲν τοίνυν, ἃ πρότερον
ζῆλον πολὺν εἶχε, καὶ φιλοτιμίαν ὑμῖν, ἠφάνισται, καθαιρεθέντων τῶν στεφάνων. ἐπὶ
δὲ ταῖς φιάλαις, ἃς ἀντ' ἐκείνων ἐποιήσατο ὑμῖν ὁ πόρνος οὗτος, ἀνδροτίωνος ἐπιμε-
λουμένου ἐποιήθησαν, ἐπιγέγραπται. καὶ οὗ τὸ σῶμα ἡταιρηκότος οὐκ ἐῶσιν οἱ νό- 284
μοι εἰς τὰ ἱερὰ εἰσιέναι, τούτου τοὔνομα ἐν τοῖς ἱεροῖς ἐπὶ τῶν φιαλῶν ἐπιγεγραμ-
μένον ἐστίν. ὅμοιόν γε, οὐ γάρ; τοῦτο τοῖς προτέροις ἐπιγράμμασιν, ἢ φιλοτιμίαν
ἴσην ἔχον ὑμῖν. τρία τοίνυν ἐκ τούτων τὰ δεινότατα ἄν τις ἴδοι πεπραγμένα αὐ-
τοῖς. τὴν μὲν γὰρ θεὸν τοὺς στεφάνους σεσυλήκασι· τῆς πόλεως δὲ τὸν ζῆλον ἠφανί- 285
κασι, τὸν ἐκ τῶν ἔργων, ὧν ὑπομνήματ' ἦσαν ὄντες οἱ στέφανοι· τοὺς δ' ἀναθέντας
δόξαν οὐ μικρὰν ἀφῄρηνται, τὸ δοκεῖν ὧν ἂν εὖ πάθωσιν, ἐθέλειν μεμνῆσθαι. καὶ
γρ. ἀπαιδευσίας τοιαῦτα καὶ τοσαῦτα τὸ πλῆθος ἐργασάμενοι κακὰ, εἰς τοῦτ' ἀναισθησίας, καὶ τόλ-
μης προεληλύθασιν, ὥσθ' ὁ μὲν οἴεται δι' ἐκεῖνον ὑφ' ὑμῶν σωθήσεσθαι· ὁ δὲ, παρα- 286
κάθηται, καὶ οὐ καταδύεται τοῖς πεπραγμένοις. οὕτω δ' οὐ μόνον εἰς χρήματα
ἀναιδὴς, ἀλλὰ καὶ σκαιός ἐστιν, ὥστ' οὐκ οἶδεν ἐκεῖνο, ὅτι στέφανοι μὲν εἰσὶν ἀρετῆς
σημεῖον, φιάλαι δὲ καὶ ἐκπώματα, καὶ τὰ τοιαῦτα, πλούτου. καὶ στέφανος μὲν ἅπας,
κἂν μικρὸς ᾖ, τὴν ἴσην φιλοτιμίαν ἔχει τῷ μεγάλῳ· ἐκπώματα δ' ἢ θυμιατή- 287
ρια, ἢ τὰ τοιαῦτα κτήματα, ἐὰν μὲν ὑπερβάλλῃ τῷ πλήθει, πλούτου τινὰ δόξαν
προσετρίψατο τοῖς κεκτημένοις· ἐὰν δ' ἐπὶ σμικροῖς σεμνύνηταί τις, τοσοῦτ' ἀ-
πέχει τοῦ τιμῆς τινὸς διὰ ταῦτα τυχεῖν, ὥστε ἀπειρόκαλος προσέδοξεν εἶναι. οὗτος
τοίνυν ἀνελὼν μὲν τῆς δόξης κτήματα, τοῦ πλούτου πεποίηται μικρὰ καὶ ἀνάξια 288
ὑμῶν. καὶ οὐδὲ ἐκεῖνο οἶδεν, ὅτι πρὸς μὲν χρημάτων κτῆσιν, οὐδὲ πώποτε ὁ δῆμος
ἐσπούδασε· πρὸς δὲ δόξης, ὡς οὐδὲ πρὸς ἓν τῶν ἄλλων. τεκμήριον δέ. χρήματα μὲν
γὰρ πλεῖστα τῶν Ἑλλήνων ποτὲ σχὼν, πάντα ὑπὲρ φιλοτιμίας ἀνήλωσεν. ὑπὲρ δὲ δόξης
εἰσφέρων ἐκ τῶν ἰδίων, οὐδένα πώποτε κίνδυνον ἐξέστη. ἀφ' ὧν κτήματα ἀθά- 289
νατα αὐτῷ περίεστι. τὰ μὲν, τῶν ἔργων ἡ μνήμη· τὰ δὲ, τῶν ἀναθημάτων τῶν ἐπ' ἐκείνοις
σταθέντων, τὸ κάλλος· προπύλαια ταῦτα, ὁ παρθενὼν, νεώσοικοι, στοαί· οὐκ ἀμφορεί-
σκοι δύο, οὐδὲ χρυσίδες τέτταρες, ἢ τρεῖς, ἄγουσα ἑκάστη μνᾶν· ἃς, ὅταν σοι δοκῇ,
γρ. γράψεις. πάλιν γράφεις καταχωνεύειν. οὐ γὰρ ἑαυτοὺς δεκατεύοντες, οὐδ' ἃ καταράσαιντ' ἂν 290
οἱ ἐχθροὶ ποιοῦντες, διπλᾶς πράττοντες εἰσφορὰς, ταῦτ' ἀνέθεσαν, οὐδ' οἵοισπερ
σὺ, χρώμενοι συμβούλοις ἐπολιτεύοντο· ἀλλὰ τοὺς ἐχθροὺς κρατοῦντες, καὶ ἃ πᾶς
τις ἂν εὖ φρονῶν εὔξαιτο, τὴν πόλιν εἰς ὁμόνοιαν ἀγαγόντες, ἀθάνατον κλέος αὐ-
τοῖς λελοίπασι, τοὺς ἐπιτηδεύοντας οἷά σοι βεβίωται, τῆς ἀγορᾶς εἴργοντες. ὑμεῖς 291

Καὶ οὗ τὸ σῶμα ἡταιρηκότος) 284
Ἐριστικῶς καὶ σοφιστικῶς τοῦτο ποιεῖ.
εἰ γὰρ τὸ σῶμα κωλύεται, πολλῷ μᾶλ-
λον τὸ ὄνομα. Ὁ δὲ, παρακάθη- 286
ται καὶ οὐ καταδύεται τοῖς πεπραγ-
μένοις) Νῦν περὶ ἀνδροτίωνος λέ-
γει, ὅπερ εἶπεν ἐν τῷ κατ' ἀνδροτίω-
νος περὶ τοῦ Τιμοκράτους.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

293 Οἶδα δ' ὅτι ὡς μὲν οὐκ ἀσύμφορός ἐστιν ὑμῖν ὁ νόμος) Μέλλων τιθέναι τὴν ἀντίθεσιν, ἀνεκεφαλαιώσατο τὴν μνήμην τῶν ἰσχυρῶν, τοῦ παρανόμου, τοῦ ἀσυμφόρου, τοῦ ἀδίκου, ἵνα δείξῃ ὅτι ταῦτά ἐστι τὰ κρινόμενα, καὶ περὶ τούτων ἡ ψῆφος, οὐχὶ δὲ τὸ κατὰ τοὺς πρέσβεις. ἐπειδὴ δὲ κινοῦσι τὸν περὶ τῶν πρέσβεων λόγον ἐκπεπτώκασι τὰ χρήματα λέγοντες, ἐνδείκνυται ὅτι ἐκ περιουσίας τούτῳ χρῆται τῷ λόγῳ τῷ κατὰ τοὺς πρέσβεις. διὰ τοῦτο τελευταῖον καὶ τὴν ἀντίθεσιν τέθεικεν, ἵνα καὶ τῷ τόπῳ ἐνδείξηται αὐτῆς τὸ ἐξαγώνιον. καὶ ὅτι ἐξαγώνιος ἡ ἀντίθεσις, αὐτὸς ἐδίδαξεν ὁ ῥήτωρ εἰπών, ἀλλὰ μὴ περὶ τούτων οἰσόντων ὑμῶν τὴν ψῆφον καὶ ἐπερωτῶν, μὴ λέγε τὴν ἔκτισιν. οὐδὲν γὰρ ἐπικοινωνεῖ τῷ νόμῳ τῷδε, ἀλλ' ὡς ἐπιτήδειός ἐστι καὶ καλῶς ἔχων ὁ νόμος, τοῦτο δίδασκε. πανταχόθεν οὖν καταφανὲς ὅτι διαβολῆς ἕνεκα τὴν κατὰ τῶν πρέσβεων ὑπόθεσιν εἴληφεν. εἰ δὲ τῆς γραφῆς ἀληθείσης, ἐν τῷ μεταξὺ φαίνονται καταβεβληκότες, οὐδὲν τοῦτο τῇ ὑποθέσει λυμαίνεται. διαβολῆς γὰρ ἕνεκα εἴληπται, ὥσπερ ἔφην. εἰ δὲ ἃ ἐκτετίκασι, τὸ κεφάλαιον. καὶ δεῖ πρὸς τοῦτο διαγωνίζεσθαι, ὑπεύθυνοι καθεστήκασιν ἐπὶ τῇ διπλασιάσει. περιττὸν δὲ ζητεῖν ἴσως πότερον ὀφείλουσιν, ἢ τελέως ἀπηλλαγμένοι φαίνονται τοῦ ὀφλήματος. οὐδὲ γὰρ διὰ τοῦτο ἡ κρίσις· οὐδὲ διὰ τοῦτο γέγονεν ἡ γραφή. ἐπειδὴ δὲ ἀπέδειξεν ἐν τῷ δικαίῳ κεφαλαίῳ οὐχὶ τοὺς ἀδυνάτους δεηθέντας, ἀλλὰ τοὺς μάλιστα στρατηγούς τε καὶ ῥήτορας καὶ δημαγωγούς, εἰκότως ἐθάρρησε προσθεῖναι τὴν κατασκευὴν τῇ ἀντιθέσει, ἵνα ὁ Τιμοκράτους λόγος ἐλεγχθῇ. εἰ γὰρ ὁ μὲν Τιμοκράτης φησὶν ὑπὲρ τῶν ἀδυνάτων εἶναι τὸν νόμον, φαίνονται δ' οὐχ οἱ ἀδύνατοι δεηθέντες πολλάκις, ἀλλ' οἱ μάλιστα δυνατώτατοι, πῶς οὐκ ἂν αὐτὸς γένοιτο ὁ ἀκροατὴς ἀνταγωνιστὴς τούτῳ τῷ λόγῳ, οἶδε δὲ μετὰ τὰς λύσεις τὰς ἀντιθέσεις τιθέναι.

εἰ δὲ τὰ χρήματα ἐκτετίκασι, τὸ κεφάλαιον, τοῦ πα. καὶ δεῖ πρ.

294 Ἀκούω δ' αὐτόν) Τινὲς βούλονται ἐντεῦθεν εἶναι τοὺς ἐπιλόγους, ἐπειδή, φασίν, ἐν τῷ πρὸς αὐτὸν κώλῳ, ἐπελογίσατο τὰ τρία κεφάλαια. εἰσῆκται δὲ ὡς ἐν διασυρμῷ. ἀκούω δὲ λέγειν αὐτὸν ὡς ἐκτετίσαι, οἱονεὶ παράδοξον λόγον, καὶ ἄτοπον, καὶ οὐδαμοῦ τοῖς ζητουμένοις ἀκόλουθον. διὸ καὶ περιτρέπει αὐτῷ τὸν λόγον. ὁμολογοῦντα γὰρ [illegible], ὅτι διὰ τοὺς πρέσβεις ἔθηκε τὸν νόμον, ἐπαγαγών, ὡς ἔνοχός ἐστι τῇ παρανομίᾳ μὴ ἐπὶ πᾶσι γεγραφὼς τὸν νόμον, ἀλλ' ὀλίγοις χαρισάμενος. ὅθεν ἐπισημαίνεται πρὸς τοὺς δικαστὰς καὶ ἀναμιμνήσκων τοὺς ὅρκους, καθ' οὓς αὐτοὶ δικάζειν ὀμωμόκασι. λύει γάρ, φησι, τοὺς νόμους, καὶ μετὰ τῶν νόμων τὰ δικαστήρια. Ἄλλως εἰς τὸ αὐτό. Τινὲς λέγουσιν ἐκ τούτου νομίζεσθαι τὸν λόγον ἀσύστατον. εἰ γὰρ ἐκτετίσαι τὰ χρήματα, καὶ ὁμολογεῖ καὶ ὁ Δημοσθένης ἐνταῦθα τοῦτο αὐτό. οὐκοῦν περιττῶς κατηγορεῖ. λέγομεν πρῶτον μέν, καὶ αὐτὸς ὁ ῥήτωρ ἐπισημαίνεται τοῦτο, ὅτι νῦν
265 περὶ τούτων ἐστὶν ὁ ἀγὼν νῦν, ἀλλὰ περὶ τοῦ, εἴτε ἐννόμως ἐγράφη ὁ νόμος, ὁ Τιμοκράτους, εἴτε παρανόμως. Οὐδὲ καθ' ἕν) Τὸ οὐδὲ καθ' ἕν, ἀντὶ τοῦ οὐδὲ ὅλως. Εἰ μὲν γὰρ ὑπὲρ τούτων) Τὸ διλήμματον πάλιν σχῆμα.

δὴ εἰς τοῦτο, ὦ ἄνδρες Ἀθηναῖοι, περιήχθητ' εὐηθείας, καὶ ῥαθυμίας, ὥστ' οὐδὲ τοιαῦτ' ἔχοντες παραδείγματα, ταῦτα μιμεῖσθε· ἀλλ' Ἀνδροτίων ὑμῖν πομπείων ἐπισκευαστής. Ἀνδροτίων; ὦ γῆ καὶ θεοί. καὶ
292 τοῦτ' ἀσέβημα καὶ ἔλαττόν τινος ἡγεῖσθε. ἐγὼ μὲν γὰρ ἡγοῦμαι δεῖν τὸν εἰς ἱερὰ εἰσιόντα, καὶ χερνίβων καὶ κανῶν ἁψόμενον, καὶ τῆς πρὸς τοὺς θεοὺς ἐπιμελείας προστάτην ἐσόμενον, οὐχὶ προειρημένον τακτὸν ἡμερῶν ἀριθμὸν ἁγνεύειν, ἀλλὰ τὸν βίον ὅ-
293 λον ἡγνευκέναι τοιούτων ἐπιτηδευμάτων, οἷα τούτῳ βεβίωται. καὶ περὶ μὲν τούτων, κατὰ σχολήν· ἃ δὲ Τιμοκράτει συνερεῖ, πολλὰ λέγειν ἔχων ἔτι πρὸς τούτοις, παύσομαι· οἶδα δ' ὅτι ὡς μὲν οὐκ ἀσύμφορος ὑμῖν ἐστὶν ὁ νόμος, καὶ παρὰ πάντας τοὺς νό-
294 μους εἰσενηνεγμένος, καὶ κατὰ πάντα ἀδίκως ἔχων, οὐχ ἕξει λέγειν· ἀκούω δ' αὐτὸν λέγειν, ὡς ἐκτετίσαι τὰ χρήματα Ἀνδροτίων, καὶ Γλαυκέτης, καὶ Μελανώπῳ· καὶ ὅτι δεινότατ' ἂν πάθοι πάντων ἀνθρώπων, εἰ πεποιηκότων ἐκείνων τὰ δίκαια ὑπὲρ ὧν αὐτὸς
295 αἰτίαν ἔχει θεῖναι τὸν νόμον, μηδὲν ἧττον αὐτὸς ἁλίσκοιτο. ἐγὼ δὲ τὸν λόγον ἡγοῦμαι τοῦτον οὐδὲ καθ' ἓν λέγειν ἐνεῖναι τούτῳ. εἰ μὲν γὰρ ὑπὲρ τούτων, οὓς τὰ προσήκοντα φῂς πεποιηκέναι, θεῖναι τὸν νόμον ὁμολογεῖς, κατ' ἐκεῖνό σε προσήκει ἁλίσκεσθαι φα-
296 νερῶς, ὅτι μὴ τιθέναι νόμον, ἐὰν μὴ τὸν αὐτὸν ἐπὶ πᾶσι τοῖς πολίταις ἄντικρυς οἱ κύριοι νόμοι λέγουσι, καθ' οὓς οὗτοι δικάσειν ὀμωμόκασιν. εἰ δὲ τοῦ πᾶσι συμφέροντος ἕνεκα ταῦτα νομοθετῆσαι φήσεις, μὴ λέγε τὴν ἔκτισιν τὴν τούτων. οὐδὲν γὰρ κοι-
297 νωνεῖ τῷ νόμῳ τῷδε· ἀλλ' ὡς ἐπιτήδειός ἐστι, καὶ καλῶς ἔχων ὁ νόμος, τοῦτο δίδασκε. τοῦτο γὰρ ἐᾷς, ὑπὲρ οὗ σὺ μὲν εἰσενεγκεῖν φῄς, ἐγὼ δὲ γέγραμμαι τἀναντία φάσκων, κρῖναι δὲ προσήκει τουτουσί.

Καὶ τοι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καίτοι καὶ τοῦτο οὐκ ἀπορήσαιμ' ἂν δεῖξαι, πάντα
μᾶλλον, ἢ κατὰ τοὺς νόμους πεποιημένους τὴν ἔκτισιν 298
ἐκείνους τὴν τῶν χρημάτων. ἀλλὰ μὴ περὶ τούτων
ὑμῶν οἰσόντων τὴν ψῆφον, τί δεῖ ταῦτα λέγοντα ἐνο-
χλεῖν με νυνί; οἶμαι τοίνυν αὐτὸν, οὐδ' ἐκείνων ἀφέξε-
σθαι τῶν λόγων, ὡς δεινὰ ἂν πάθοι, εἰ γράψας ὅπως
Ἀθηναίων μηδεὶς δεθήσεται, αὐτὸς πείσεταί τι κακόν· 299
καὶ ὅτι τοὺς νόμους ὡς πρᾳοτάτους καὶ μετριωτάτους
εἶναι, ὑπὲρ τῶν ἀδυνάτων μάλιστά ἐστι. πρὸς δὲ τοὺς
τοιούτους λόγους, βέλτιον προακηκοέναι μικρὰ πάν-
τας ὑμᾶς, ἵν' ἧττον ἐξαπατᾶσθε. ὅταν μὲν γὰρ λέγῃ, ὅ-
πως μηδεὶς δεθήσεται Ἀθηναίων, μὴ λανθανέτω 300
ψευδόμενος ὑμᾶς. οὐ γὰρ τοῦτ' ἔθηκεν, ἀλλ' ὅπως ὑμεῖς
ἄκυροι τῶν προστιμημάτων γενήσεσθε· καὶ τὴν μεθ'
ὅρκου, καὶ λόγου, καὶ κρίσεως ψῆφον ἐνηνεγμένην, ἄκυ-
ρον καθίστησι. μηδὲ ταῦθ' ὑμῖν τὰ ἐκ τοῦ νόμου ῥημά-
των ἐκλέξας λεγέτω, ἃ φιλανθρωπότατ' ἐστὶν ἀκοῦ- 301
σαι· ἀλλ' ὅλον δεικνύτω τὸν νόμον ἑξῆς, καὶ τὰ συμ-
βαίνοντ' ἐξ αὐτοῦ, σκοπεῖν ἐάτω. εὑρήσετε γὰρ ταῦτα
ὄντα, ἃ ἐγὼ λέγω, καὶ οὐχ ἃ φησιν οὗτος, ἀλλὰ μὴν πρός
γε τὸ τοῖς πολλοῖς συμφέρειν, τοὺς νόμους πρᾴους, καὶ με-
τρίους εἶναι, τάδε χρὴ σκοπεῖν. ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, 302
δύο εἴδη, περὶ ὧν εἰσὶν οἱ νόμοι κατὰ πάσας τὰς πόλεις· ὧν
τὸ μέν ἐστι, δι' ὧν χρώμεθα ἀλλήλοις, καὶ συναλλάττο-
μεν, καὶ περὶ τῶν ἰδίων ἃ χρὴ ποιεῖν διωρίσμεθα, καὶ
ζῶμεν ὅλως τὰ πρὸς ἡμᾶς αὐτούς· τὸ δ', ὃν τρόπον
δεῖ τῷ κοινῷ τῆς πόλεως ἕνα ἕκαστον ἡμῶν χρῆσθαι, 303
ἐὰν πολιτεύεσθαι βούληται, καὶ φῇ κήδεσθαι τῆς πό-
λεως. ἐκείνους μὲν τοίνυν τοὺς νόμους περὶ τῶν ἰδίων
ἠπίως κεῖσθαι καὶ φιλανθρώπως, ὑπὲρ τῶν πολλῶν
ἐστί· τούσδε δὲ τοὺς περὶ τῶν πρὸς τὸ δημόσιον προ-
σιόντων, τοὐναντίον, ἰσχυρῶς, καὶ χαλεπῶς ἔχειν, ὑπὲρ 304
ὑμῶν ἐστιν. οὕτω γὰρ ἂν ἥκισθ' οἱ πολιτευόμενοι, τοὺς
πολλοὺς ὑμῶν ἀδικοῖεν. ὅταν δὴ τούτῳ τῷ λόγῳ χρῆται, ἐπὶ ταῦτα ἀπαντᾶτε, ὅτι
*πολιτευομένοις. τοὺς νόμους οὐκ ἐκείνους τοὺς ὑπὲρ ὑμῶν, πρᾴους ποιεῖ, ἀλλὰ τούσδε, οἳ τοῖς *πεπολι-
τευμένοις φόβον παρέχουσι. πολλὰ δ' ἄν τις ἔχοι λέγειν, εἰ καθ' ἕκαστον, ὧν ἐρεῖ, δει- 305
κνύναι βούλοιτο, φενακισμοῦ καὶ παρακρούσεως ἕνεκα ῥηθησόμενα. ἀλλὰ τὰ μὲν
πολλὰ παρήσω· κεφάλαιον δ' ὑμῖν, ὧν μνημονεύετε, ἐρῶ. σκοπεῖτ' ἐν ἅπασι τοῖς
λόγοις, ὁπόσους ἂν λέγῃ, εἴ τι δυνήσεται τοιοῦτον εἰπεῖν, δι' οὗ διδάξει, ὡς ἔστι δίκαιον τὸν
τεθέντα τὸν νόμον, ταυτὰ προστάξαι περὶ τῶν παρεληλυθότων, καὶ προτέρου τέλος 306
εἰληφότων, ποιεῖν, καὶ περὶ τῶν μελλόντων γενήσεσθαι. πάντων γὰρ ὄντων αἰσχρῶν καὶ δει-
νῶν τῶν γεγραμμένων ἐν τῷ νόμῳ, τοῦτο δεινότατον, καὶ μάλιστα παράνομον γέ-

Καίτοι καὶ τοῦτ' οὐκ ἀπορήσαιμι) 197
Ὅρα πῶς τὴν λύσιν ἐκ τῶν πειθῶν πα-
ρείληφεν· ἐκ τοῦ αἰτίου, καὶ τοῦ συνέχον-
τος, καὶ τοῦ κρινομένου. Οἶμαι τοίνυν 198
αὐτὸν, οὐδ' ἐκείνων ἀφέξεσθαι) Τὸ
ἀναίσχυντον αὐτοῦ δείκνυσιν. ἔστι δὲ ἀπὸ
τοῦ συμφέροντος ἡ ἀντίθεσις. οὐκ ἔθη-
κε δὲ αὐτὴν ἐν τῷ κεφαλαίῳ, ἵνα μὴ
δεηθῇ πλείονος μάχης ἰσχυρὰν ποιή-
σας· ὡς δὲ ἐπιλογικῇ ἐχρήσατο, προ-
τάξας τὴν ὄντως ἐξαγώνιον τὴν πα-
ρὰ τῶν πρέσβεων, ἵνα σαθρὰν ἐκ τῆς
συμπλοκῆς ἀπεργάσηται. μαθὼν γὰρ
ὁ ἀκροατής, ὅτι τῶν περὶ τὸν Ἀνδρο-
τίωνα χάριν ἔθηκε τὸν νόμον, οὐκ ἔτι
αὐτὸν ὡς φιλάνθρωπον ἐπαινέσει, ἀλ-
λὰ ψεῦδος ἡγήσεται τὸ, ὃ ἔγραψεν, ὅ-
πως μηδεὶς δεθήσεται Ἀθηναίων. ἐ-
φαίνετο γὰρ διὰ τοὺς πρέσβεις τὸν δεσμὸν
ἀναιρῶν. Καὶ ὅτι τοὺς νόμους ὡς 299
πρᾳοτάτους) Καὶ τοῦτο τὸ μέρος ὁ ῥή-
τωρ ἤδη προδιῳκήσατο, ἀποδείξας,
οὐ πένητας, ἀλλὰ στρατηγοὺς, καὶ δημο-
τικοὺς, καὶ ῥήτορας τοὺς ὑπομένοντας
τὸν δεσμὸν, ὥστε τούτοις τοῦ νόμου τὴν
φιλανθρωπίαν οὐκ ἐργάζεσθαι. φρον-
τίζει γὰρ οὐ τῶν ἀδυνάτων, ἀλλὰ τῶν διὰ
τὰς κατὰ κοινοῦ βλάβας δεσμουμένων.
ἔστι δὲ σοφισμός. οὐδὲν γὰρ ἐκώλυε καὶ
ἰδιώτας διά τινα πλημμελήματα δε-
θέντας, τῆς τοῦ νόμου πρᾳότητος ἀπο-
λαῦσαι. θαῤῥεῖ δὲ τῷ λόγῳ, διὰ τὸ
ἐπὶ τῶν πολιτευομένων τῶν περὶ Θρα-
σύβουλον ἀποφήνασθαι χώραν ἔχειν
τὸν δεσμόν. τὸ δὲ πρᾴοις καὶ μετρίους,
τοὺς *λόγους, οὓς λέγει ὁ Τιμοκράτης. *νόμους.
εἰς δύο δὲ μεμέρισται τὰ τῶν πό-
λεων, εἴς τε ἰδιωτικὰ, καὶ δημόσια.
Κεφάλαιον δ' ὑμῖν, ὧν μνημο- 305
νεύετε, ἐρῶ) Ἐν βραχεῖ τὴν τοῦ νόμου
ποιότητα διαβάλλει. κακίαν εἶναι με-
γίστην τὴν τῶν δύο χρόνων συναγω-
γὴν ἰσχυριζόμενος· ὅπερ ἐστὶ καὶ εὔ-
κολον, καὶ ὁμολογούμενον εἰς μνή-
μην διὰ τὸ σύντομον. εἶτα ἔρχεται
ἐπὶ τὴν τοῦ προσώπου ποιότητα,
τὴν ἐξέτασιν ἐπάγων οὕτως.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

306 Μήτ' ἄλλος μηδεὶς) Τῶν συνηγορούντων αὐτῷ. Καὶ λογίσασθαι πρὸς ὑμᾶς αὐτούς) Ὅπερ ἐλέγομεν περὶ βρα-
307 χέος, ὅτι πρὸς ἐκβολὴν ἐλεεινολογίας ἡ αἰτίας θέσις τέθειται, τοῦτο νῦν δείκνυται. ἐξαιρέσει γὰρ αἰτιῶν χρησάμενος,
καὶ εἰπών, οὔτε γὰρ συγγενής, οὔτ' ἀναγκαῖος ἐστί σοι τούτων οὐδείς, ἐπήγαγεν αὐτοῖς τὴν ἐκβολὴν τοῦ ἐλέους· δι' ὧν
δείκνυσιν αὐτὸν πολλὰ καὶ δεινὰ διαθέντα τὸν δῆμον, ἡνίκα τὴν εἴσπραξιν ἐποιεῖτο μετ' Ἀνδροτίωνος, ἵνα μνησθέντες ὧν ἔπαθον, μὴ μεταδῶσιν ἐλέους τῷ ἀσελγεῖ. τίς γὰρ ἂν ἐλεήσειε τὸν ἀσελγῶς καὶ ὠμῶς ἐν ταῖς εἰσφο-
308 ραῖς τοῖς πολίταις χρησάμενον; Τὰ τούτων) Τὰ χρήματα τῶν πολιτῶν ἅπερ ὀφείλει ἡ πόλις διπλᾶ λαβεῖν ἐκ τῶν περὶ τὸν Ἀνδροτίωνα. Ἄλλως. τούτων, τῶν δικαστῶν, τῶν ἐκ δήμου
309 συνισταμένων, δεικτικῶς. Ποιεῖν γάρ ἐστι τοῦτό γε) Ἀντὶ τοῦ καταβάλλειν μετὰ τοσοῦτον χρόνον. προβάλλονται γὰρ λέγοντες, δεινόν ἐστιν εἰ δεθήσονται. Οὔτ' ἄλλως πρᾶος καὶ φιλάνθρωπος) Ἵνα μὴ δόξῃ δι' ὑπερβολὴν ἡμερότητος καὶ τοὺς ἀδικοῦντας ἐλεεῖν, οἷα συμβαίνει πολλάκις, καὶ τοῦτο ἀναιρεῖ κακοήθως μετὰ τὸ συγκροῦσαι, φάσκων· μὴ γὰρ νικᾷς φιλανθρωπίᾳ τὸν δῆμον; μὴ εἰς ἔλεον πάντων τῶν Ἀθηναίων ὑπάρχεις αὐτὸς ἑτοιμότερος; μόνος σὺ παρὰ τοὺς ἄλλους οἰκτεῖραι
311 τούτους δέδωκας; Ἀλλὰ θύρας ὑφαιρεῖν καὶ στρώματα) Διὰ τῆς διασκευῆς εἰς ὄψιν ἄγει τὴν χαλεπότητα. τὸ δὲ ὑποσπᾶν, οὐ μόνον ἐστὶν ἀποσπᾶν, ἀλλὰ λαθραίως καὶ ˚κακούργως λαμβάνειν, ὥστε μηδὲ τοῖς ˚ἀπολωλόσι λογίζεσθαι. Καὶ διάκονον) τὴν πόρνην, ἀπὸ τοῦ διακονεῖν ταῖς ἡδοναῖς. αἰνίττεται εἰς τὰς περὶ Σινώπην καὶ Φανοστράτην, ὧν ἐμνήσθη ἐν τῷ κατ' Ἀνδροτίωνος. τὸ δὲ πράττονται, ἀντὶ τοῦ εἰσπράττονται. Ἄλλως. Καὶ διάκονον) Εὗρεν ὄνομα μόνον πρὸς ἄμφω συντελοῦν, εἴς τε τὴν ὑπηρεσίαν τῶν χρειῶν, καὶ εἰς τὴν τῆς μίξεως, πάνυ εὐπρεπῶς. καὶ ἴσως Σινώπην καὶ Φανοστράτην αἰνίττεται, ὡς εἶπεν ἐν τῷ ἄλλῳ λόγῳ φανερῶς, ἵνα ὡς μετεχούσας αὐτὰς καλέσῃ τοῦ Ἀνδροτίωνος τοῦ πόρνου. Ἐπάσχεθ' ὑμεῖς) τοὺς δικαστὰς προσφωνεῖ.
313 Τὸν λόγον ἐγγράψαι) Τὸν λόγον λέγει, τὰς αὐτὰς εὐθύνας, περὶ ὧν ἔμελλεν ἀπαιτεῖσθαι, τί εἰσέπραξε, καὶ ἐκ τίνος. Προῖκα γὰρ οὐδὲν ὠφελούμενος) Ὥσπερ κατασκευή ἐστι τοῦ προειρημένου, ὅτι μετ' Ἀνδροτίωνος ἔγραψε. προσοίκα γάρ φησι, μηδὲν ὠφελούμενος, εἵλετο ˚πωλεῖν ὑμῖν, καὶ μάχεσθαι πᾶσι τοῖς νόμοις, καὶ τῷ ἑαυ-
314 τοῦ τῷ προτέρῳ. Ὃ τοίνυν ἔμοιγε δοκεῖ) Τέλος ἐπιθεὶς τῇ τοῦ ἐλέου ἐκβολῇ, καταφορὰν τινα ποιεῖται

˚πανούργως ˚ἀπολωλεκόν εἶναι λογίζεσθαι. ˚πωλεῖν.

γεγράφθαι. εἰ δὲ τοῦτο μηδ' ἐστί, μήτ' ἄλλος μηδεὶς τοῦτο
307 δυνήσεται δεῖξαι, εἰδέναι χρὴ καὶ συνιέναι σαφῶς φενακιζομένους ὑμᾶς, καὶ λογίσασθαι πρὸς ὑμᾶς αὐτούς, ἐκ τίνος ποτὲ ἐπῆλθε τούτῳ τοιαῦτα νομοθετεῖν. οὐ προσοίκα, ὦ Τιμόκρατες. πόθεν; οὐδ' ὀλίγου δεῖ, ἐπειδὴ τὸν ἔθηκας τὸν νόμον· οὐδεμίαν γὰρ ἂν εἰπεῖν ἔχοις πρόφασιν
308 ἄλλην, δι' ἣν τοιοῦτον ἐπ' ἐρήμης εἰσενεγκεῖν νόμον, ἢ τὴν σεαυτοῦ τοῖς ἐχθροῖς αἰσχροκέρδειαν· οὔτε γὰρ οἰκεῖος, οὔτε συγγενής, οὔτε ἀναγκαῖος ἐστί σοι τούτων οὐδείς. οὐδ' ἐκεῖνο ἂν ἔχοις εἰπεῖν, ὡς ἐλεήσας δεινὰ πάσχοντας ἀνθρώπους, εἵλου διὰ ταῦτα βοηθεῖν αὐτοῖς· οὔτε γὰρ τὸ τὰ τού-
309 των πολλοστῷ χρόνῳ μόλις ἄκοντας ἐν τρισὶν ἐξελεγχθέντας δικαστηρίοις καταθεῖναι, οὐδὲ ἡγήσω, τὸ δεινὰ πάσχειν εἶναι· ποιεῖν γάρ ἐστι τοῦτό γε δεινά, καὶ προσήκει μᾶλλον ἄν τινα μισεῖν, ἢ προστρέψεσθαι δεῖσθαι, οὔτ' ἄλλως πρᾶος καὶ φιλάνθρωπος σύ τις τῶν ἄλλων διάφορος, ˚διαφόρως
310 ὤν, μᾶλλον ἐλεεῖς αὐτούς· οὐ γάρ ἐστι τῆς αὐτῆς ψυχῆς, Ἀνδροτίωνα μέν, καὶ Γλαυκέτην, καὶ Μελάνωπον ἐλεεῖν, ἃ κλέψαντες εἶχον εἰ καταθήσουσι, τουτωνὶ δὲ τοσούτων ὄντων, καὶ τῶν ἄλλων πολιτῶν, ὧν ἐπὶ τὰς οἰκίας ἐβάδιζες σύ, τοὺς ἕνδεκα, καὶ τοὺς ἀποδέκτας ἔχων, καὶ τοὺς
311 ὑπηρέτας, μηδένα πώποτε ἐλεῆσαι, ἀλλὰ θύρας ˚ὑφαιρεῖν, καὶ στρώματα ὑποσπᾶν, καὶ διάκονον, ˚εἴ τις ἐχρῆτο, ταύτην ἐνεχυράζειν· ἃ σὺ πάντ' ἐποίεις ἐνιαυτὸν ὅλον μετ' Ἀνδροτίωνος· πολλῷ γὰρ δήπου σχετλιώτερα ἐπάσχεθ' ὑμεῖς, καὶ πολὺ μᾶλλον ἂν εἰκότως ἠ-
312 λέεις τούτους, εἰ δι' ὑμᾶς, ὦ κατάρατε, τοὺς λέγοντας οὐδ' ὁτιοῦν εἰσφέροντες παύονται. καὶ οὐκ ἀπέχρη τοῦτο, ἀλλὰ καὶ διπλᾶ πράττονται, καὶ ταῦθ' ὑπό τε σοῦ, καὶ Ἀνδροτίωνος· οἳ μίαν εἰσφορὰν οὐδεπώποτε εἰσενηνόχατε. τηλικοῦτο τοίνυν ἐφρόνησεν οὗτος, ὡς ἄρ' οὐδὲ δί-
313 κην τούτων οὐδεμίαν δώσων, ὥστε μόνος δέκα τῶν συναρχόντων ὄντων, κοινὴ τὸν λόγον ἐγγράψαι μετ' Ἀνδροτίωνος ἐτόλμησε· προσοίκα γάρ, οὐδὲν ὠφελούμενος, ὑμῖν Τιμοκράτης ἀπεχθάνεται, καὶ νόμους εἰσφέρει πᾶσιν ἐναντίους· ὃ τελευταῖον δὲ καὶ ἑαυτοῦ νόμῳ προτέρῳ, οὐ
314 μὰ τὴν Ἀθηνᾶν οὐδ' ὑμᾶς οἶμαι λανθάνειν. ὃ τοίνυν ἔμοιγε δοκεῖ μάλιστ' ὀργῆς ἄξιον εἶναι, φράσω καὶ οὐκ ἀποκρύψομαι, ὅτι ταῦτ', ὦ ἄνδρες Ἀθηναῖοι, πράτ-

τω

τῶν ἐπ' ἀργυρείῳ, καὶ περιῃρημένος ὡς ἀληθῶς μισθαρνεῖν, οὐκ εἰς ἃ καὶ συγγνώμην αὐτῆς ἀκοῦσαι ἔχει, ταῦτ' ἀναλίσκει. Ταῦτα δ' ἐστὶ τί; ὁ πατήρ, ὦ ἄνδρες δι- 315
κασταί, ὁ τούτου, τῷ δημοσίῳ ὀφείλει· καὶ οὐκ ὀνειδίζων ἐκείνῳ λέγω, ἀλλ' ἀναγκαζόμενος. καὶ οὗτος ὁ χρηστὸς περιορᾷ, καίτοι ὅστις μέλλων κληρονομήσειν τῆς ἀτιμίας, ἂν ἐκεῖνός τι πάθοι, μὴ οἴεται δεῖν ἐκτῖσαι, ἀλλὰ κερδαίνειν, ὃν ἐκεῖνος ζῇ χρόνον, ἀξιοῖ τοῦτο τὸ κέρδος, 316
τίνος ἂν ὑμῖν ἀποχρῆν δοκῇ; καὶ τὸν μὲν πατέρα οὔτ' ἐλεεῖς, οὔτε δεινά σοι πάσχειν δοκεῖ, εἰ σοῦ λαμβάνοντος, καὶ χρηματιζομένου, ἀπὸ τῶν εἰσφορῶν, ὧν *εἰσέπραττες, ἀπὸ τῶν ψηφισμάτων, ὧν γράφεις, ἀφ' ὧν εἰσφέρεις νόμων, διὰ μικρὸν ἀργύριον μὴ μετέχει 317
τῆς πόλεως; ἑτέρους δ' ἐλεῆσαι τινὰς φής; ἀλλὰ νὴ Δία τὴν ἀδελφὴν καλῶς διῴκηκεν. ἀλλ' εἰ καὶ μηδὲν ἄλλο ἠδίκει, κατὰ τοῦτο ἄξιός ἐστιν ἀπολωλέναι. πέπρακε γὰρ αὐτήν, καὶ οὐκ ἐκδέδωκε. τῶν γὰρ ὑμετέρων ἐχθρῶν ἑνὶ Κερκυραίῳ τινὶ τῶν νῦν ἐχόντων τὴν πόλιν, 318
καταλύοντι παρ' αὐτῷ, ὅτε δεῦρο πρεσβεύοι, καὶ βουληθέντι λαβεῖν αὐτήν· ἐξ οὗ δὲ τρόπου, παραλείψω λαβὼν ἀργύριον ἔδωκε. καὶ νῦν ἐστιν ἐν Κερκύρᾳ. ὃς οὖν τὴν μὲν ἀδελφὴν ἐπ' ἐξαγωγῇ φησὶ μὲν ἐκδοῦναι, πέπρακε δὲ τῷ ἔργῳ, τὸν δ' ἑαυτοῦ πατέρα οὕτω γη- 319
ροτροφεῖ, κολακεύει δέ, καὶ μισθοῦ γράφει, καὶ πολιτεύεται, τοῦτον ὑμεῖς λαβόντες οὐκ ἀποκτενεῖτε; δόξετε ἄρα, ὦ ἄνδρες Ἀθηναῖοι, κρίσεις βούλεσθαι, καὶ πράγματ' ἔχειν, ἀλλ' οὐκ ἀπηλλάχθαι τῶν πονηρῶν. καὶ μήν, ὅτι μὲν προσήκει πάντας κολάζειν τοὺς ἀδικοῦντας, εὖ 320
οἶδ' ὅτι πάντες ἄν, εἴ τις ἔροιτο, *φήσετε· ὅσῳ δὲ μάλιστα τοῦτον, ὃς τὸν νόμον εἰσενήνοχεν ἐπὶ βλάβῃ τοῦ πλήθους, ἐγὼ διδάξαι πειράσομαι. τῶν μὲν γὰρ κλεπτῶν, καὶ λωποδυτῶν, καὶ τὰ τοιαῦτα κακουργούντων ἕκαστος, πρῶτον μὲν ὡς ἀληθῶς τὸν ἐντυγχάνοντα ἀδικεῖ. καὶ οὐκ 321
ἂν οἷός τ' ἂν ἦ πάντας ἐκδῦσαι, οὐδὲ τὰ πάντων ὑφελέσθαι. εἶτα καταισχύνει τὴν ἑαυτοῦ δόξαν, καὶ τὸν βίον μόνον. εἰ δέ τις εἰσφέρει νόμον, ἐξ οὗ τοῖς βουλομένοις ὑμᾶς ἀδικεῖν, ἡ πᾶσα ἐξουσία, καὶ ἄδεια γενήσεται, οὗτος ὅλην ἀδικεῖ τὴν πόλιν, καὶ καταισχύνει πάντας. νόμος 322

*εἰσεπράττου. *φήσαιτε.

τῆς τοῦ προσώπου ποιότητος. δι' ἧς οὐδὲν ἧττον ἐκβάλλει τὸν ἔλεον ἢ τοίνυν διὰ τούτων ἐργάζεται; μῖσος αὐτῷ κινεῖ, καὶ ὑποψίας ἀτόπου τοὺς ἀκούοντας πίμπλησιν, εἰς αἰσχροκερδείας κατάγνωσιν ἄγων κατὰ Τιμοκράτους, ἵνα καὶ διὰ τούτων ἀνέλῃ τὸν ἔλεον.

Ταῦτα δέ ἐστι τί) Οἷον εἰς ἃ ἀνα- 315
λώσει. Κληρονομήσειν τῆς ἀτιμίας) Νόμος γὰρ ἦν, εἴ τις ὀφείλων πρὸ τῆς ἐκτίσεως τελευτήσει, τοὺς παῖδας ἀποδιδόναι τὸ ὄφλημα· εἰ δὲ μή, καὶ αὐτοὺς ἀτίμους εἶναι, ἕως ἂν ἀποδῶσι. Καὶ τὸν μὲν πατέρα οὔτ' 316
ἐλεεῖς) Ἱκανῶς ἀπὸ τοῦ πάθους διαβέβληκε τὸν τρόπον. εἰ γὰρ οὐκ οἰκτείρει πατέρα, πῶς ἄν τις ὑπολάβοι διὰ φιλανθρωπίαν τὴν περὶ τοὺς ἄλλους γεγραφέναι τὸν νόμον; εἶτ' ἵνα μή τι *ὑπολάβοι, ὡς δι' ἀπειρίαν τοῦτο ποιεῖ, ταχέως ἐπάγει τοὺς ποικίλους τῶν κερδῶν τρόπους· ἀπὸ τῶν εἰσφορῶν, ἀπὸ τῶν ψηφισμάτων, ἀπὸ τῶν νόμων, ὧν γράφεις, φησί. καὶ πάλιν, ἵνα μή τις *ὑπολάβῃ, ὡς πολὺ τὸ ἀργύριόν ἐστι τοῦ ὀφλήματος, καὶ οὐ δύναται ἐκτῖσαι, προστίθησι, διὰ μικρὸν ἀργύριον μὴ *μετέχειν τῆς πόλεως, οἶκτον ὑπὲρ τοῦ πάθους κεκινηκώς. Ἑτέρους δ' ἐλεῆσαί τινας 317
φής) Οἷς οὐ συνῆψεν ἡ φύσις, ἀλλ' ἁπλῶς ἀλλοτρίους καὶ οὐ προσήκοντας. καὶ ἵνα μὴ νομίσῃ τις, ὡς ἄρα χαλεποῦ τοῦ πάθους τυχών, τοιοῦτος ὤφθη περὶ αὐτόν, τὴν ἀδελφὴν προστίθησιν, ὑφ' ἧς διὰ τὴν ἀσθένειαν τῆς φύσεως παθεῖν οὐδ' ὁποῖον ἔμελλε κακόν. πέπρακε γὰρ αὐτήν, οὐκ ἐκδέδωκεν. εἰκὸς δὲ τὴν ἀδελφήν, ἢ πεπεισμένην, ἢ πόθῳ κατειλημμένην, ἑκοῦσαν ἀκολουθῆσαι τῷ ξένῳ. καὶ γὰρ ὑποφαίνει τινὰ τοιαύτην ὁ ῥήτωρ ὑπόνοιαν ἐν οἷς λέγει, βουληθέντι λαβεῖν αὐτήν. Ἀλλὰ νὴ Δία τὴν ἀδελφὴν) Οὐχ ἁπλῶς ταῦτα πάντα διαβάλλει αὐτὸν ἐκ τοῦ ἔξωθεν βίου. μᾶλλον δὲ ὡς ἐπὶ τὸ πλεῖστον, καὶ ἐν ὅλοις τοῖς λόγοις ἀεί, τοῦτο ποιεῖ ὁ ῥήτωρ. ἀλλ' ἐπειδὴ ἔγνω ὅτι τινὲς τῶν κρινομένων εἰ καὶ ἁλίσκονται ἐν τῇ κρίσει, ἀλλ' οὖν γε πολλάκις προβαλλόμενοι τὸν ἔξωθεν αὐτῶν βίον δύνανται σωθῆναι, εἰκότως ἐξεῦρεν ὁ ῥήτωρ, τὸ καὶ τὸν ἄλλον αὐτοῦ βίον ἐν τοῖς ἐπιλόγοις διαβάλλειν, ἵνα μὴ εἰς τοῦτον καταφύγωσιν. Οὐκ ἐκδέδωκεν) Ἀντὶ τοῦ πρὸς γάμον οὐκ ἐκδέδωκεν, ὡς ἐλευθέραν, ἀλλ' ὡς δούλην πέπρακεν. εἶτα ἐπιφέρει, πῶς αὐτὴν ἐπώλησε, καὶ τίνι. Καὶ νῦν ἐστιν ἐν Κερκύρᾳ) Ὥσπερ σχετλιά- 318
ζοντος διότι ἐπὶ ξένης ἐκδέδοται ἀστὴ οὖσα, τοῦ νόμου τοῦτο ἀπειρηκότος, τὸ δὲ ἐπ' ἐξαγωγῇ, τὸ περαθῆναι ἔξω τῆς πόλεως. Ὃς οὖν τὴν μὲν ἀδελφὴν) Συναγωγὴ πάντων τῶν παραληφθέντων πρὸς τὴν τοῦ ἤθους διαβολήν.
Καὶ μὴν ὅτι μὲν προσήκει) Σύγκρισις ἀπὸ τοῦ ἐλάττονος. ἔλαττον γὰρ ὁ κλέπτης καὶ λωποδύτης, τοῦ πονηρὸν εἰσφέρον- 319

*ὑποβάλοι. *ὑποβάλοι. *μετέχει.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γὰρ αἰσχρὸς ὅταν κύριος ᾖ, τῆς πόλεως ὄνειδός ἐστι τῆς θε-
μένης· καὶ βλάπτει πάντας, ὅσοι ἂν αὐτῷ χρῶνται.
τὸν οὖν καὶ βλάπτειν ὑμᾶς, καὶ δόξης ἀναπιμπλάναι
φαύλης ἐπιχειροῦντα, τοῦτον οὐ τιμωρήσεσθε λαβόν-
323 τες; καὶ τί φήσετε; γνοίη δ᾽ ἄν τις οὕτω μάλιστα, ἡλίκα
πράγματα συσκευάσας, γέγραφεν αὐτόν, καὶ ταῦθ᾽
ὡς ὑπεναντία τῇ καθεστώσῃ πολιτείᾳ, εἰ λογίσαιτο, ὅτι
πάντες οἱ καταλύοντες τὸν δῆμον, ὅταν πράγμασιν
ἐγχειρῶσι νεωτέροις, τοῦτο ποιοῦσι. πρῶτον ἁπάντων,
324 ἔλυσαν τοὺς νόμους περὶ ἑτέρου νόμου, δι᾽ ἁμαρτίαν τι-
νά, ταύτην ὑπέχοντες τὴν δίκην. πῶς οὖν οὐκ ἄξιος
οὗτος, εἰ δυνατόν ἐστι, τρίς, οὐχ ἅπαξ, ἀπολωλέναι· ὃς
εἷς ὤν, καὶ οὐ δήπου μέλλων καταλύσειν ὑμᾶς, ἀλλὰ
τοὐναντίον αὐτὸς ἐν ὑμῖν, ἂν τὰ δίκαια καὶ προσήκον-
325 τα ποιῆτε, ἀπολεῖσθαι, ὅμως ἐμιμήσατο τοῦτο τἀδίκη-
μα, καὶ διὰ τοῦ νόμου λύειν ἠξίωσεν, οὓς ἔδησε τὰ δι-
καστήρια, γράψας ἀναιδῶς, εἴ τινι προστετίμηται δε-
σμοῦ, κἂν τὸ λοιπόν τινι προστιμηθῇ, τοῦτον ἀφεῖσθαι; καὶ
μὴν εἰ αὐτίκα δὴ μάλα κραυγὴν ἀκούσετε πρὸς
326 τῷ δικαστηρίῳ, εἶτ᾽ εἴποι τις, ὡς ἀνέῳκται τὸ δεσμω-
τήριον, οἱ δὲ δεσμῶται φεύγουσιν, οὐδεὶς οὔτε νέος, οὔτε
γέρων, οὔτ᾽ ὀλίγωρος οὕτως ἐστίν, ὅστις οὐχὶ βοηθήσειεν
ἄν, καθ᾽ ὅσον δύναται. εἰ δὲ δή τις εἴποι προσελθών, ὡς ὁ
τούτους ἀφεὶς ἐστὶν οὑτοσί, οὐδὲ λόγου τυχών, εὐθὺς ἂν
327 ἀπαχθεὶς, θανάτῳ ζημιωθείη. [illegible] τοίνυν, ὦ ἄνδρες Ἀ-
θηναῖοι, ἔχετε τοῦτον, ὃς οὐχὶ λάθρα πεποίηκε τοῦτο,
ἀλλὰ φενακίσας καὶ παρακρουσάμενος ὑμᾶς, νόμον τέ-
θηκε φανερῶς, ὃς οὐκ ἀνοίγνυσι μόνον τὸ δεσμωτήριον,
ἀλλὰ καθαιρεῖ. προσανείληφε δὲ καὶ τὰ δικαστήρια.
328 τίς γὰρ ἢ τούτων, ἢ ἐκείνων χρεία, ὅταν οἷς τετίμηνται δεσμοῦ, λύωνται; κἂν τὸ λοιπὸν
τιμήσητέ τῳ, μηδὲν ὑμῖν ᾖ πλέον; δεῖ τοίνυν ὑμᾶς κἀκεῖνο σκοπεῖν, ὅτι πολλοὶ τῶν
Ἑλλήνων πολλάκις εἰσὶν ἐψηφισμένοι τοῖς νόμοις χρῆσθαι τοῖς ὑμετέροις, ἐφ᾽ ᾧ φι-
λοτιμεῖσθε ὑμεῖς εἰκότως. ὃ γὰρ εἰπεῖν τινά φασιν ἐν ὑμῖν, ἀληθὲς εἶναί μοι δοκεῖ, ὅτι
329 τοὺς νόμους ἅπαντες ὑπειλήφασιν ἐν ὑμῖν ὅσοι σωφρονοῦσι, τρόπους τῆς πόλεως εἶναι.
χρὴ τοίνυν σπουδάζειν, ὅπως ὡς βέλτιστοι δόξωσιν εἶναι, καὶ τοὺς λυμαινομένους, καὶ
διαστρέφοντας αὐτοὺς κολάζειν, ὡς εἰ καταρραθυμήσετε, τῆς φιλοτιμίας τε ταύτης
ἀποστερηθήσεσθε, καὶ κατὰ τῆς πόλεως δόξαν οὐ χρηστὴν ποιήσετε. καὶ μὴν εἰ Σόλωνα
330 καὶ Δράκοντα δικαίως ἐπαινεῖτε, οὐκ ἂν ἔχοντες εἰπεῖν οὐδετέρου κοινὸν εὐεργέτημα
οὐδέν, πλὴν ὅτι συμφέροντας ἔθηκαν καὶ καλῶς ἔχοντας νόμους, δίκαιον δήπου καὶ
τοῖς ὑπεναντίους τιθεῖσιν ἐκείνοις, ὀργίλως ἔχοντας, καὶ κολάζοντας φαίνεσθαι. οἶδα δὲ Τι-
μοκράτην, ὅτι τὸν νόμον εἰσενήνοχε τοῦτον, οὐχ ἥκιστα ὑπὲρ αὑτοῦ. πολλὰ γὰρ ἡγεῖ-
331 το πολιτεύεσθαι παρ᾽ ὑμῖν ἄξια δεσμοῦ. βούλομαι τοίνυν ὑμῖν κἀκεῖνο διηγήσασθαι,
ὃ φασὶν

τος νόμον ἀδικεῖ. ἕνα μὲν γὰρ ἢ δύο συλᾷ· εἶτα τὴν ἑαυτοῦ δόξαν καταισχύνει μόνην ὁ κλέπτης. ὁ δὲ γράφων, φησί, τὸν φαῦλον νόμον, καὶ πᾶσι λυμαίνεται, καὶ τὴν αἰσχύνην εἰς ὅλην *καταχεῖ τὴν πόλιν, ὅτι καὶ δόγμα πάντων εἶναι δοκεῖ κυρωθεὶς ὁ νόμος. [*ὀχετεύει.]

323 Γνοίη δ᾽ ἄν τις οὕτω μᾶλλον) Ἄλλος τόπος ἀπὸ τοῦ μείζονος, κατασκευάζει γὰρ ὅτι τυράννων ἐζήλωσε γνώμην. ὥσπερ γὰρ ἐκεῖνοι λύουσι τοὺς δεσμώτας, ἵνα ἔχωσι πρὸς τὴν ἐπιθυμίαν συμπράττοντας, τὸν αὐτὸν καὶ οὗτος τρόπον δι᾽ ὧν ἔλυσε τὸν δεσμόν, καὶ τὰ τῶν τυράννων μεμίμηται. Οἱ καταλύοντες τὸν δῆμον) Οἱ βουλόμενοι, φησί, καταλῦσαι τὴν δημοκρατίαν, τοὺς δεσμώτας λύουσιν, ἵνα ἔχωσιν αὐτοὺς πρὸς συμμαχίαν τοῦ καταλύειν τοὺς νόμους, καὶ τὴν πολιτείαν ἐξ οὗ *παρ ἐδόθησαν. [*παρεδόθησαν.]

325 Καὶ μὴν εἰ αὐτίκα δὴ μάλα) Αὕτη λοιπὸν ἀπὸ τοῦ ἴσου ἡ σύγκρισις. διεσκεύασται δὲ διὰ πλειόνων διὰ τὸ πιθανόν.

328 Δεῖ τοίνυν ὑμᾶς κἀκεῖνο σκοπεῖν, ὅτι πολλοὶ τῶν Ἑλλήνων) Λογισμὸς ἀπὸ τοῦ ἐνδόξου· σεμνὸν γὰρ τὸ ζηλοῦν ὑμῶν τὰ νόμιμα τοὺς πολλοὺς τῶν Ἑλλήνων. ὅταν τοίνυν φαύλους τινὲς εἰσφέρωσι νόμους, ἀναιροῦσι τὴν *φιλίαν τῆς πόλεως, τὴν μίμησιν ἐκκόπτοντες. [*δόξαν.]

329 Καὶ μὴν εἰ Σόλωνα καὶ Δράκοντα) Ἐπιχείρημα ἀπὸ τοῦ ἐναντίου· εἰ γὰρ τοὺς τεθεικότας ἀρίστους νόμους σέβειν καλόν, μισεῖν ἀνάγκη τοὺς εἰσενεγκόντας ἐκ τῶν ἐναντίων τοὺς βλάπτοντας. Εἰς τὸ αὐτό. Ἰστέον ὅτι ὁ μὲν Σόλων ἐγένετο ἐπὶ τῶν χρόνων τῶν τυράννων ἐν ταῖς Ἀθήναις, περὶ τῶν περσικῶν χρόνων. ὁ δὲ Δράκων, πρὸ αὐτοῦ ἑπτὰ καὶ τεσσαράκοντα ἔτεσιν, ὥς φησιν ὁ Διόδωρος. Βούλομαι τοί-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λόγων δεῖ σκοπεῖν, ἀλλ' ἐξ ὧν αὐτὸς οὗτος διεπράξατο, οὐδ' ὑφ' ἑνὸς, ἀναγκασθεὶς 5
ἀνθρώπων. αὐτὸς γὰρ ἀνεῖλε τοὺς ὅρους, ἔργῳ φανερὸν ποιήσας, ὅτι ψεύδεται. καὶ ταῦθ'
ὡς ἀληθῆ λέγω, ὅτι τὸ μὲν χωρίον καὶ νῦν οὗτός φησιν ἀποτετιμῆσθαι ταλάντου·
τὴν δ' οἰκίαν ὡς προεωνείσατο δισχιλίων· καὶ πάλιν τοὺς ὅρους ἀνεῖλε γιγνομένης
τῆς δίκης, τοὺς εἰδότας ὑμῖν μάρτυρας παρέξομαι. Καί μοι λάβε τὴν μαρτυρίαν. 6

Μαρτυρία.

Δῆλον τοίνυν ὅτι δισχιλίων μὲν ἐωνημένος τὴν οἰκίαν, ταλάντου δὲ τὸ χωρίον,
ὡς ὀγδοήκοντα μνᾶς δεδωκὼς, ἔμελλεν ἀμφισβητήσειν. μεῖζον οὖν ἄν τι γένοιτο τε-
κμήριον ὑμῖν, τοῦ μηδὲν ἀληθὲς νῦν λέγειν τοῦτον, ἢ εἰ φανείη μὴ ταὐτὰ λέγων τοῖς 7
ἐξ ἀρχῆς περὶ τῶν αὐτῶν; ἐμοὶ μὲν γὰρ οὐδὲν ἂν δοκῇ τούτου μεῖζον εὑρεθῆναι. σκέ-
ψασθε τοίνυν τὴν ἀναίδειαν, ὃς ἐν ὑμῖν ἐτόλμησεν εἰπεῖν, ὡς οὐκ ἀποστερεῖ με· ὅσῳ
πλείονος ἄξιόν ἐστι ταλάντου· καὶ ταῦτα αὐτὸς τιμήσας οὐκ ἄξιον εἶναι πλείονος. τί
γὰρ βουλόμενος δισχιλίων προεωνείσω τὴν οἰκίαν, ὅτε τὰς ὀγδοήκοντα μνᾶς ἐνεκά- 8
λεις, εἴγε τὸ χωρίον ἄξιον ἦν πλείονος, ἀλλ' οὐκ ἐπὶ τούτῳ καὶ τὰς δισχιλίας ἐτί-
θεις; ἢ ὅταν μέν σοι δοκῇ πάντα τὰ Ἀφόβου διασώζειν, τότε τὸ χωρίον ἔσται τα-
λάντου μόνον ἄξιον, καὶ τὴν οἰκίαν ἐν δισχιλίαις προσοίσεις, ἥ τε προῖξ ὀγδοήκοντα
μναῖ γενήσονται, καὶ ἀξιώσεις ἔχειν ἀμφότερα· ὅταν δέ σοι μὴ συμφέρῃ, τἀναν- 9
τία πάλιν, ἡ μὲν οἰκία ταλάντου, διότι νῦν ἐγὼ ταύτην ἔχω· τὸ δὲ χωρίον τὸ πλεῖον,
οὐκ ἐλάττονος ἢ δυοῖν ἄξιον, ἵν' ἐγὼ βλάπτωμαι τούτων, οὐκ ἀποστερεῖσθαι δοκῶ. ὁρᾶτε
ὡς ὑποκρίνῃ μὲν δεδωκέναι τὴν προῖκα, φαίνῃ δὲ κατ' οὐδ' ὁντινοῦν τρόπον δε-
δωκώς; τὰ γὰρ ἀληθῆ καὶ μὴ *κακουργούμενα τῶν πραγμάτων, ἁπλῶς οἱ μὲν ἐξ 10
ἀρχῆς πραχθῇ, τοιαῦτ' ἐστί. σὺ δὲ τοὐναντίον ἐξελέγχῃ πράξας εἰς τὴν καθ' ἡ-
μῶν ὑπηρεσίαν. ἄξιον τοίνυν καὶ τὸν ὅρκον, ὃ ποιεῖν τὴν ἂν ὤμοσεν, εἴ τις ἔδωκεν, ἐκ
τούτων ἰδεῖν. ὃς γὰρ ὀγδοήκοντα μνᾶς ἔφη τὴν προῖκα εἶναι, εἰ τότ' αὐτῷ τις ἔδωκεν
ὀμόσαντι ταῦτ' ἀληθῆ λέγειν, κομίσασθαι, τί ἐποίησεν ἄν; ἢ δῆλον ὅτι ὡμολόγησέ 11
τι. ὁ γὰρ λέγων οὐ φήσας τότ' ἂν ὀμόσαι, νῦν γε τοιαῦτ' ἀξιοῖ; οὐκοῦν ὅτι τ' ἐπιώρ-
κησεν ἄν, ἑαυτὸν ἐξελέγχει. νῦν γὰρ οὐκ ὀγδοήκοντα μνᾶς, ἀλλὰ τάλαντον δεδωκέναι
φησί. τί μᾶλλον οὖν εἰκότως τις αὐτὸν ἐκεῖνα ἐπιορκεῖν, ἢ ταῦθ' ἡγοῖτο; ἢ τίνα τις δι-
καίως ἂν ἔχοι περὶ τούτου διάνοιαν, τοῦ ῥᾳδίως οὕτως ἑαυτὸν ἐξελέγχοντος ὄντ' 12
ἐπίορκον; ἀλλὰ τί δεῖ ἴσως οὐχὶ πάντ' αὐτῷ τοιαῦτα πέπρακται· οὐδὲ πάντα-
χόθεν δῆλός ἐστι τεχνάζων· ἀλλὰ καὶ τιμώμενος [1]φανερὸν γέγονεν παρ' Ἀφόβου
ταλάντου, καὶ τοῦτο αὐτὸς ἡμῖν ἀποδώσειν ἐγγυώμενος. καὶ τοι σκέψασθε ὅτι τοῦτ' ἐστὶ
τεκμήριον, οὐ μόνον τοῦ τὴν γυναῖκα συνοικεῖν Ἀφόβῳ, καὶ τοῦτον οἰκείως ἔχειν, ἀλλὰ 13
καὶ τοῦ μὴ δεδωκέναι τὴν προῖκα. τίς γὰρ ἀνθρώπων ἠλίθιός ἐστιν οὕτως, ὃς ἀρ-
γύριον δοὺς προδότην, ἔπειτα ἓν λαβὼν χωρίον ἀμφισβητούμενον εἰς ἀποτίμησιν,
ὑπὲρ ὧν οἷς πρότερον ἐζημίωτο, τὸν ἀδικήσαντα, ὡς δίκαιόν τι ποιήσαντα καὶ τοῦ τῆς
δίκης ὀφλήματος προσεγγυήσασθαι; οὐδένα οἶμαι. καὶ γὰρ οὐδὲ λόγον τὸ πρᾶγμ' 14
ἔχον ἐστί, τὸν αὐτὸν αὑτῷ μὴ δυνάμενον κομίσασθαι τάλαντον, τοῦτον ἄλλῳ τινὶ φά-
σκειν ἀποτίσειν, καὶ ταῦτ' ἐγγυᾶσθαι. ἀλλὰ καὶ ὑπ' αὐτῶν τούτων ἐστὶ δῆλον, ὅτι
τὴν μὲν προῖκα οὐ δέδωκεν, ἀντὶ δὲ πολλῶν χρημάτων τῶν ἐμῶν οἰκεῖος ὢν Ἀ-
φόβῳ, ταῦτ' ἐπετίμα, κληρονόμοι τῶν ἐμῶν τὴν ἀδελφὴν μετ' ἐκείνου καταστῆ- 15
ναι βουλόμενος. εἶτα νῦν προδακρύσας, ζητεῖ καὶ φενακίζει λέγων, ὡς πρότερον

* κακουργούμενα. γρ. κακουργημένα.

[1] φανερός.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοὺς ὅρους ἔστησεν, ἢ ἐκεῖνον τὴν δίκην ὀφλεῖν; οὐ πρότερόν γε ἢ παρὰ σοὶ νῦν, εἴ γε
ἀληθῆ λέγεις. δῆλον γὰρ ὅτι καταγνοὺς ἀδικίαν αὑτοῦ, ταῦτ᾽ ἐποίεις. εἶτα καὶ γε-
16 λοῖον τοῦτο λέγειν, ὥσπερ οὐκ εἰδότων ὑμῶν, ὅτι πάντες οἱ τὰ τοιαῦτ᾽ ἀδικοῦντες
σκοποῦσι, τί λέξουσιν. οὐδεὶς δὲ πώποτ᾽ ὦφλε σιωπῶν, οὐδ᾽ ἀδικεῖν ὁμολογῶν·
ἀλλ᾽ ἐπειδάν, οἶμαι, μηδὲν ἀληθὲς λέγων ἐξελεγχθῇ, τότε γιγνώσκεται ὁποῖός
ἐστιν. ὅπερ καὶ αὐτὸς ἔμοιγε δοκεῖ πάσχειν. ἐπεὶ φέρε πῶς ἐστι δίκαιον, ἐὰν μὲν
17 πλείονος, πλέον, ἐὰν δὲ ἐλάττονος, ἔλαττον; ἢ πῶς ἐστι δίκαιον, τῆς ἀδελφῆς τῆς
σῆς μηδέπω καὶ τήμερον ἄλλῳ συνοικούσης, μηδ᾽ ἀπηλλαγμένης ἀφόβου,
μηδὲ τὴν προῖκα δεδωκότος τούτου, μηδ᾽ ὑπὲρ τούτων εἰς βάσανον, μηδ᾽ εἰς
ἄλλο δίκαιον μηδὲν καταφυγεῖν ἐθέλοντος, ὅτι σὺ στῆσαι φῂς ° ὅρους, σὸν εἶναι τὸ χω- ° ὀγδοήκοντα
18 ρίον; ἐγὼ μὲν οὐδαμῶς οἶμαι. τὴν γὰρ ἀλήθειαν σκεπτέον, οὐχ ἅ τις ἑαυτῷ παρε- μνῶν ὅρους. οἱ
σκεύασεν ἐξεπίτηδες εἰς τὸ λέγειν τι δοκεῖν, ὥσπερ ὑμεῖς. ἔπειτα τὸ δεινότατον, εἰ καὶ δὲ ὀγδοήκοντα μνᾶς
δεδωκότες ἦτε ὡς μάλιστα τὴν προῖκα, ἣν οὐ δεδώκατε, τίς ὁ τούτων αἴτιος; εἶναι τὴν προῖ-
οὐχ ὑμεῖς, ἐπεὶ τὰ μὲν ἔδοτε; οὐχ ὅλοις ἔτεσι πρότερον δέκα τὰ μὲν λαβὼν εἶχεν κα.
19 ἐκεῖνος, ὧν ὦφλε τὴν δίκην, ἢ κηδεστήν σοι γενέσθαι; ἢ σὲ μὲν ἔδει κομίσασθαι πάν-
τα, τὸν δὲ καὶ καταδικασάμενον, καὶ δι᾽ ὀρφανίαν ἠδικημένον, καὶ προικὸς ἀληθι-
νῆς ἀπεστερημένον, ὃν μόνον ἀνθρώπων οὐδὲ τῆς ἐπωβελίας ἄξιον ἦν κινδυνεύειν,
ἠναγκάσθαι τοιαῦτα παθεῖν, κεκομισμένον μηδ᾽ ὁτιοῦν, καὶ ταῦτ᾽ ἐθέλοντα ποιεῖν
20 ὑμῖν αὐτοῖς, εἴ τι τῶν δεόντων ἐβούλεσθε πράττειν;

# ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΖΗΝΟΘΕΜΙΝ ΠΑΡΑΓΡΑΦΙΚΟΥ ΛΟΓΟΥ.

Δανεισάμενος παρὰ Δήμωνος ἑνὸς τῶν Δημοσθένους συγγενῶν, ἔμπορός τις Πρῶτος ὄνομα, ἐωνήσατο τοῦ ἀργυρίου σῖτον ἐν Συρακούσαις· καὶ τοῦτον ἐκόμιζεν εἰς Ἀθήνας ἐπὶ νεώς, ἧς Ἡγέστρατος ἐναυκλήρει. Ἡγέστρατος δὲ καὶ Ζηνόθεμις, πρὸς ὃν ἐστὶν ἡ παραγραφή, Μασσαλιῶται μὲν ἦσαν τὸ γένος, κακούργημα δὲ τοιοῦτον ἐν Συρακούσαις ° ἐκακούργησαν, ὡς ὁ ῥήτωρ φησίν. ἐδανείσαντο χρήματα· ταῦτα δὲ εἰς μὲν τὴν ναῦν οὐκ ἐνέθεντο, λάθρα δὲ εἰς τὴν Μασσαλίαν ἀπέστειλαν, ἀποστερῆσαι τοὺς δανείσαντας βεβουλευμένοι. ἐπειδὴ γὰρ ἐγέγραπτο ἐν τῷ συμβολαίῳ, εἰ πάθοι τι ἡ ναῦς, μὴ ἀπαιτεῖσθαι αὐτοὺς τὰ χρήματα, ἐσκέψαντο καταδῦσαι τὴν ναῦν. νύκτωρ οὖν ἐν τῷ πλῷ κατελθὼν ὁ Ἡγέστρατος, διέκοπτε τοῦ πλοίου τὸ ἔδαφος. φωραθεὶς δὲ καὶ φεύγων τοὺς ἐπιβάτας, εἰς τὴν θάλασσαν εἰσπίπτει, καὶ παραχρῆμα ἀπόλλυται. ὁ τοίνυν Ζηνόθεμις ὁ κοινωνός, ὥς φησιν ὁ ῥήτωρ, τοῦ Ἡγεστράτου, μόλις σωθείσης εἰς Ἀθήνας τῆς νεώς, ἠμφισβήτει τοῦ σίτου, λέγων εἶναι τὸν σῖτον Ἡγεστράτου, ἐκεῖνον δὲ παρ᾽ ἑαυτοῦ δανείσασθαι χρήματα. ἐνισταμένων δὲ αὐτῷ τοῦ τε Πρώτου, καὶ τοῦ Δήμωνος, ἀμφοτέροις ἔλαχε δίκην ἐμπορικήν. καὶ τὸν Πρῶτον ἐξ ἐρήμης ἑλὼν ἑκόντα, ὥς φησι Δημοσθένης, καὶ συγκακουργοῦντα, εἰσάγει καὶ τὸν Δήμωνα δεύτερον εἰς τὸ δικαστήριον. ὁ δὲ παραγράφεται μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην, νόμον ° παρεχόμενος τὸν διδόντα τοῖς ἐμπόροις τὰς δίκας εἶναι περὶ τῶν Ἀθήναζε καὶ τῶν Ἀθήνηθεν συμβολαίων. Ζηνοθέμιδι δέ φησι μηδὲν συμβόλαιον εἶναι πρὸς αὐτόν. καὶ ὁ μὲν ἀγὼν ἐστὶ παραγραφικός, ὁ δὲ λόγος ὡς τῆς εὐθυδικίας τοῦ πράγματος εἰσηγμένης, οὕτως εἴρηται περὶ τοῦ μὴ Ζηνοθέμιδος εἶναι τὸν σῖτον, ἀλλὰ τοῦ Πρώτου, ᾧ Δήμων ἐδάνεισε τὸ ἀργύριον. οὐ γὰρ βούλεται δοκεῖν ῥήματι τοῦ νόμου μόνον ἰσχυρίζεσθαι κατὰ τὸ πρᾶγμα ἀδικῶν, ἀλλὰ δείκνυσιν, ὡς θαρρεῖ μὲν καὶ τῇ εὐθυδικίᾳ· ἐκ περιουσίας δὲ αὐτῶν, καὶ παραγραφὴν ὁ νόμος δίδωσι.

° ἐπανούργησαν.

° παρεχόμενον.

ΔΗΜΟ-

# ΣΘΕΝΟΥΣ ΠΑΡΑΓΡΑΦΗ ΠΡΟΣ ΖΗΝΟΘΕΜΙΝ.

ΑΝΔΡΕΣ δικασταί, βούλομαι παραγεγραμμένος μὴ εἰ- 1
σαγώγιμον εἶναι τὴν δίκην, περὶ τῶν νόμων πρῶτον εἰπεῖν,
καθ' οὓς παραγέγραμμαι. οἱ νόμοι κελεύουσιν, ὦ ἄνδρες δι-
κασταί, τὰς δίκας εἶναι τοῖς ναυκλήροις καὶ τοῖς ἐμπόροις τῶν ἀ-
θήναζε, καὶ τῶν ἀθήνηθεν συμβολαίων, περὶ ὧν ἂν ὦσι συγ-
γραφαί. ἂν δέ τις παρὰ ταῦτα δικάζηται, μὴ εἰσαγώγιμον εἶναι 2
τὴν δίκην. τούτῳ τοίνυν Ζηνοθέμιδι πρὸς μὲν ἐμὲ ὅτι οὐδὲν ἦν συμβόλαιον, οὐδὲ
συγγραφή, καὶ αὐτὸς ὁμολογεῖ ἐν τῷ ἐγκλήματι. δανεῖσαι δέ φησιν Ἡγεστράτῳ ναυ-
κλήρῳ. τούτου δὲ ἀπολομένου ἐν τῷ πελάγει, ἡμᾶς τὸ ναῦλον σφετερίσασθαι,
τουτὶ τὸ ἔγκλημά ἐστιν. ἐκ δὲ τοῦ αὐτοῦ λόγου τήν τε δίκην οὐκ εἰσαγώγιμον οὖσαν 3
μαθήσεσθε καὶ τὴν ὅλην ἐπιβουλὴν καὶ πονηρίαν τουτουῒ τοῦ ἀνθρώπου ὄψεσθε. δέομαι
δ' ὑμῶν ἁπάντων, ὦ ἄνδρες δικασταί, εἴπερ ἄλλῳ τινὶ πώποτε πράγματι τὸν νοῦν
προσέχετε, καὶ τούτῳ προσέχειν. ἀκούσεσθε γὰρ ἀνθρώπου τόλμαν, καὶ πονη-
ρίαν οὐ τὴν τυχοῦσαν, ἄνπερ ἐγὼ τὰ πεπραγμένα αὐτῷ πρὸς ὑμᾶς πολλά- 4
κις εἰπεῖν δυνηθῶ. οἴομαι δέ. Ζηνόθεμις γὰρ οὑτοσί, ὢν ὑπηρέτης Ἡγεστράτου τοῦ ναυ-
κλήρου, οὗ καὶ αὐτὸς ἔγραψεν ἐν τῷ ἐγκλήματι, ὡς ἐν τῷ πελάγει ἀπώλετο· πῶς
δέ, οὐ προσέγραψεν· ἀλλ' ἐγὼ φράσω· ἀδίκημα τοιουτονὶ μετ' ἐκείνου συνεσκευά-
σατο. χρήματα ἐν ταῖς Συρακούσαις ἐδανείζετο οὗτος καὶ ἐκεῖνος. ὡμολόγει δὲ ἐ- 5
κεῖνος μὲν πρὸς τοὺς τούτῳ δανείζοντας, εἴ τις ἔροιτο, ἐνεῖναι σῖτον ἐν τῇ νηῒ τούτῳ
πολύν· οὗτος δέ, πρὸς τοὺς ἐκείνῳ, τὸν γόμον οἰκεῖον ἔχειν αὐτὸν τῆς νεώς. ἦν δὲ ὁ μέν,
*δη. ναύκληρος· ὁ δέ, ἐπιβάτης. ἐπιστεύοντο* εἰκότως ἃ περὶ ἀλλήλων ἔλεγον. λαμ-
βάνοντες δὲ τὰ χρήματα, οἴκαδε ἀπέστελλον εἰς τὴν Μασσαλίαν, καὶ οὐδὲν εἰς τὴν 6
*συγγραφῶν. ναῦν εἰσέφερον. οὐσῶν δὲ τῶν* γραφῶν, ὥσπερ εἰώθασιν ἅπασαι, σωθείσης τῆς νεὼς
ἀποδοῦναι τὰ χρήματα, ἵνα ἀποστερήσαιεν τοὺς δανείσαντας, τὴν ναῦν καταδῦσαι ἐ-
βουλεύσαντο. ὁ μὲν οὖν Ἡγέστρατος ὡς ἀπὸ τῆς γῆς ἀπῆραν δυοῖν ἢ τριῶν ἡμε-
ρῶν πλοῦν, καταβὰς τῆς νυκτὸς εἰς κοίλην ναῦν, διέκοπτε τοῦ πλοίου τὸ ἔδαφος. 7
οὑτοσὶ δέ, ὡς οὐδὲν εἰδώς, ἄνω μετὰ τῶν ἄλλων ἐπιβατῶν διέτριβε. ψόφου δὲ γενο-
μένου, ᾐσθάνοντο οἱ ἐν τῷ πλοίῳ, ὅτι κακόν τι ἐν τῇ κοίλῃ νηῒ γίνεται, καὶ βοηθοῦσι
κάτω. ὡς δ' ἡλίσκετο ὁ Ἡγέστρατος καὶ δίκην δώσειν ὑπέλαβε, φεύγει καὶ ἐκδιω-
κόμενος, ῥίπτει ἑαυτὸν εἰς τὴν θάλατταν. διαμαρτὼν δὲ καὶ λέμβου διὰ τὴν νύκτα 8
εἶναι, ἀπεπνίγη. ἐκεῖνος μὲν οὖν οὕτως, ὥσπερ ἦν ἄξιος, κακὸς κακῶς ἀπώλετο, ἃ
τοὺς ἄλλους ἐπεβούλευσε ποιῆσαι, ταῦτα παθὼν αὐτός. οὑτοσὶ δὲ ὁ κοινωνὸς αὐτοῦ,
καὶ συνεργός, τὸ μὲν πρῶτον εὐθὺς ἐν τῷ πλοίῳ παρὰ τἀδικήματα, ὡς οὐ-
δὲν εἰδώς, ἀλλὰ καὶ ἐκπεπληγμένος καὶ αὐτός, ἔπειθε τὸν πρῳρέα καὶ τοὺς ναύ- 9
τας εἰς τὸν λέμβον ἐμβαίνειν, καὶ ἐκλιπεῖν τὴν ναῦν τὴν ταχίστην, ὡς ἀνελπίστου τῆς
σωτηρίας οὔσης, καὶ καταδυσομένης τῆς νεὼς αὐτίκα μάλα, ἵν', ὅπερ διενοήθησαν, τοῦ-
*ἐπιπλεῖν. το* τελεσθείη, καὶ ἡ ναῦς ἀπόλοιτο, καὶ τὰ συμβόλαια ἀποστερήσαιεν. ἀποτυχὼν δὲ τού-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

10 του, καὶ τοῦ παρ' ἡμῶν συμπλέοντος ἐναντιωθέντος, καὶ τοῖς ναύταις, εἰ διασώσουσι
τὴν ναῦν, μισθοὺς μεγάλους ἐπαγγελλομένου, σωθείσης εἰς κεφαλληνίαν τῆς νεώς,
διὰ τοὺς θεοὺς μάλιστά γε εἶτα διὰ τὴν τῶν ναυτῶν ἀρετήν, πάλιν μετὰ τῶν
μασσαλιωτῶν τῶν τοῦ ἡγεστράτου πολιτῶν μὴ καταπλεῖν ἀθήναζε τὸ πλοῖον
11 ἔπραττε, λέγων ὡς αὐτός τε καὶ τὰ χρήματα ἐκεῖθεν εἴη, καὶ ὁ ναύκληρος εἴη, καὶ
οἱ δεδανεικότες μασσαλιῶται. ἀποτυχὼν δὲ καὶ τούτου, καὶ τῶν ἀρχόντων τῶν ἐν
τῇ κεφαλληνίᾳ γνόντων ἀθήναζε τὴν ναῦν καταπλεῖν, ὅθεν περ ἀνήχθη· ὃν οὐδ'
ἂν εἷς ἐλθεῖν ᾤετο δεῦρο τολμῆσαι, τοιαῦτά γε ἐσκευωρημένον καὶ πεποιηκότα, οὗτος, τοῦτον.
12 ὦ ἄνδρες ἀθηναῖοι, τοσοῦτον ὑπερβέβληκεν ἀναιδείᾳ καὶ τόλμῃ, ὥστ' οὐκ ἐλή-
λυθε μόνον, ἀλλὰ καὶ τοῦ σίτου τοῦ ἡμετέρου ἀμφισβητήσας ἡμῖν, δίκην προσ-
είληχε. τί οὖν ποτ' ἐστὶ τὸ αἴτιον, καὶ τῷ πότ' ἐπηρμένος οὗτος, καὶ ἐλήλυθε,
καὶ τὴν δίκην εἴληχεν, ἐγὼ ὑμῖν ἐρῶ, ἄνδρες δικασταί, ἀχθόμενος μὲν νὴ τὸν Δία
13 καὶ θεούς, ἀναγκαζόμενος δέ. ἔστιν ἐργαστήρια μοχθηρῶν ἀνθρώπων συνεστη-
κότων ἐν τῷ πειραιεῖ, οὓς οὐδ' ὑμεῖς ἀγνοήσετε ἰδόντες. ἐκ τούτων ἕνα, ἡνίκα οὗ-
τος ἔπραττεν ὅπως ἡ ναῦς μὴ καταπλεύσηται δεῦρο, πρεσβευτὴν ἐκ βου-
λῆς τινα λαμβάνομεν γνώριμον ουτωσί. ὅτι δὴ τὸν τοιοῦτον οὐκ εἰδότες, ἀτύ-
14 χημα οὐδὲν ἔλαττον, εἰ οἷόν τ' εἰπεῖν, ἀτυχήσαντες, ἢ τὸ ἐξ ἀρχῆς πονηροῖς ἀν-
θρώποις συμμῖξαι, οὗτος ὁ πεμφθεὶς ὑφ' ἡμῶν, ἀριστοφῶν ὄνομα αὐτῷ, ὃς καὶ
τὰ τοῦ μικκαλίωνος πράγματα ἐσκευώρηται. ταῦτα μὲν οὖν ἠκούομεν ἠργο-
λαβηκέναι αὐτόν, καὶ κατεπηγγέλθαι τουτῳί. καὶ ὅλως ἐστὶν ὁ πάντα πράττων
15 οὕτως. ὁδὶ δέ, ἄσμενος δέδεκται ταῦτα. ὡς γὰρ διήμαρτε τοῦ διαφθαρῆναι τὸ οὗτος.
πλοῖον, οὐκ ἔχων ἀποδοῦναι τὰ χρήματα τοῖς δανείσασι· πῶς γάρ, ἅ γε ἐξ ἀρ-
χῆς μὴ ἐνέθετο; ἀντιποιεῖται τῶν ἡμετέρων. καί φησι τῷ ἡγεστράτῳ ἐπὶ τούτῳ
τῷ σίτῳ δεδανεικέναι, ὃν ὁ παρ' ἡμῶν ἐπιπλέων ἐωρίατο. οἱ δὲ δανεισταὶ ἐξ ἀρ-
16 χῆς ἐξηπατημένοι, ὁρῶντες ἑαυτοῖς ἀντὶ τῶν χρημάτων ἀνθρώπου πονηροῦ
χρῆσιν, ἀλλ' οὐδ' ἐλπίδα ἔχοντες, ὑπὸ τούτου παρακρουσθέντων ἡμῶν, ἐκ
τῶν ἡμετέρων ἀπολήψεσθαι τὰ ἑαυτῶν, ὃν ἴσασι ψευδόμενον ταῦτα καθ' ἡμῶν,
τούτῳ συνδικεῖν ἀναγκάζονται τοῦ συμφέροντος εἵνεκα τοῦ ἑαυτῶν. τὸ μὲν οὖν
17 πρᾶγμα, περὶ οὗ τὴν ψῆφον οἴσετε, ὡς εἰπεῖν ἐν κεφαλαίῳ, τοιοῦτόν ἐστι. βού-
λομαι δὲ τοὺς μάρτυρας ὧν λέγω πρῶτον ὑμῖν παρασχόμενος, μετὰ ταῦτα δὴ καὶ
τἄλλα διδάσκειν. Καί μοι λέγε τὰς μαρτυρίας.

Μαρτυρίαι.

18 Επειδὴ τοίνυν ἀφίκετο δεῦρο τὸ πλοῖον, γνόντων τῶν κεφαλλήνων, ἀντιπράτ-
τοντος τούτου, ὅθεν ἐξέπλευσε τὸ πλοῖον, ἐνταῦθα καὶ καταπλεῖν αὐτὸ· τὴν μὲν
ναῦν οἱ ἐπὶ τῇ νηῒ δεδανεικότες, ἐνθάδε εὐθέως εἶχον. τὸν δὲ σῖτον, ὁ ἠγορακὼς εἶ-
χεν. ἧκε δὴ οὗτος ὁ ἡμῖν τὰ χρήματα ὀφείλων, μετὰ ταῦτα οὗτος ἧκεν ἔχων τὸν παρ'
19 ἡμῶν πρεσβευτὴν πεμφθέντα τὸν ἀριστοφῶντα. καὶ ἠμφισβήτει τοῦ σίτου, φάσκων
ἡγεστράτῳ δεδανεικέναι. τί λέγεις ἄνθρωπε. εὐθέως ὁ ἄνθρωπος ὁ πρῶτος τοῦτο
γὰρ ἦν τοὔνομα τῷ τὸν σῖτον εἰσαγαγόντι, τῷ τὰ χρήματα ἡμῖν ὀφείλοντι,
20 σὺ χρήματα δέδωκας ἡγεστράτῳ, μεθ' οὗ τοὺς ἄλλους ἐξηπάτηκας ὅπως δανεί- δανείσασθαι
σηται; καὶ σοὶ πολλάκις λέγοντα, ὅτι τοῖς προειμένοις ἀπολεῖται τὰ χρήματα, σὺ λέγοντες.
οὖν ταῦτα ἀκούων αὐτὸς ἂν προεῖκω; ἔφη, καὶ ἀναιδὴς ἦν. οὐκ οὖν εἰ καὶ τὰ μά-

λιστα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἤδη λέγεις, τῶν παρόντων τις ὑπέλαβεν, ὁ σὸς κοινωνὸς καὶ πολίτης ὁ Ἡγέ-
στρατος, ὡς ἔοικεν, ἐξηπάτηκέ σε. καὶ παρὰ τούτων αὐτὸς αὑτοῦ θανάτου τιμήσας 21
ἀπόλωλε. καὶ ὅτι γε, ἔφη τις τῶν παρόντων ἀπάντων, ἐστὶ συνεργὸς οὗτος ἐκείνῳ,
* παρέστηκα. σημεῖον ὑμῖν ἐρῶ. περὶ γὰρ τοῦ διακόπτειν ἐπιχειρῆσαι τὴν ναῦν, ἥττηνται * παρέσ-
τημα τῶν συμπλεόντων οὗτος καὶ Ἡγέστρατος, βιβλίον συγγραφήν. καίτοι εἰ μὲν εἴς
τισιν δέδωκας, τί περὶ τοῦ κακουργήματος αὐτὰ βέβαια ἐποιοῦ. εἰ δ' ἀπιστῶν ἐτόλ- 22
μησες, τί οὐχ, ὥσπερ οἱ ἄλλοι, τὰ δίκαια ἐλάμβανες ἐν τῇ γῇ; τί δεῖ τὰ πολλὰ λέ-
γειν τις; ἦν γὰρ οὐδ' ὁτιοῦν πλέον ἡμῖν ταῦτα λέγουσιν. ἀλλ' εἴχετο τοῦ σίτου. ἐξῆ-
γεν αὐτὸν ὁ Πρῶτος, καὶ ὁ κοινωνὸς τοῦ Πρώτου Φέρτατος. οὑτοσὶ δ' οὐκ ἐξήγετο.
οὐδ' ἂν ἔφη διαρρήδην ὑπ' οὐδενὸς ἐξαχθῆναι, εἰ μὴ αὐτὸν ἐγὼ ἐξάξω. μετὰ 23
ταῦτα προὐκαλεῖτο ὁ Πρῶτος αὐτὸν καὶ ἡμεῖς, ἐπὶ τὴν ἀρχὴν τὴν τῶν Συρα-
κοσίων. καὶ ἂν μὲν ἐωνημένος τὸν σῖτον ἐκεῖνος φαίνηται, καὶ τὰ τέλη κείμενα ἐκείνου
καὶ τὰς τιμὰς ὁ διαλύων ἐκεῖνος, τοῦτον πονηρὸν ὄντα, ἀξιοῦμεν ζημιοῦσθαι. εἰ δὲ
μή, καὶ τὰ διάφορα ἀπολαβεῖν, καὶ τάλαντον προσλαβεῖν, καὶ τοῦ σίτου ἀφιστά- 24
μεθα. ταῦτ' ἐκείνου προκαλουμένου καὶ λέγοντος, καὶ ἡμῶν, οὐδὲν ἦν πλέον· ἀλλ'
* καί. ἦν αἵρεσις, ἢ τοῦτον ἐξάγειν, ἢ ἀπολωλεκέναι σωθέντα * παρόντα τὰ ἡμέτερ' αὐ-
βεβαιοῦν. τῶν. ὁ γὰρ αὖ Πρῶτος διεμαρτύρετο ἐξάγειν· βεβαιοῦν ἀναπλεῖν ἐθέλειν εἰς τὴν
Σικελίαν. εἰ δ' αὖ θέλοντος αὐτοῦ προήσομεν ἡμεῖς τοῦτῳ τὸν σῖτον, οὐδὲν αὐτῷ μέ- 25
λει. καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, καὶ οὔτ' ἂν ἐξαχθῆναι ἔφη, εἰ μὴ ὑπ' ἐμοῦ, οὔτε
ἃ προὐκαλεῖτο περὶ τοῦ ἀναπλεῖν ἐδέχετο, οὔ τι τῷ πλείω τὴν συγγραφὴν ἔθε-
το, λέγε τὰς μαρτυρίας.

Μαρτυρίαι. 26

ηλεν. Ἐπειδὴ τοίνυν οὔτ' ἐξάγεσθαι ἤθελεν ὑπὸ τοῦ Πρώτου, οὔτ' εἰς τὴν Σι-
κελίαν ἀναπλεῖν ἐπὶ τὰ δίκαια, προειδώς τε ἅπαντα ἐφαίνετο, ἃ ὁ Ἡγέστρατος
* ἐπανούργει. ἐκακούργει, λοιπὸν ἦν ἡμῖν τοῖς ἐνθάδε πεποιημένοις τὸ συμβόλαιον, προειληφό-
σι δὲ τὸν σῖτον, παρὰ τοῦ δικαίως ἐκεῖ πριαμένου, ἐξάγειν τοῦτον. τί γὰρ ἄν, καὶ ἄλλο 27
* ὑπέλαβεν. ἐποιοῦμεν. οὔπω γὰρ τοῦτό γε οὐδεὶς ἡμῶν τῶν κοινωνῶν ὑπελάμβανεν, ὡς ὑμεῖς
γνώσεσθέ ποτ', εἶναι τοῦτου τὸν σῖτον, ὃν καταλιπεῖν οὗτος ἔπειθε τοὺς ναύτας, ὅπως
ἀπόλοιτο τοῦ πλοίου καταδύντος. ὃ καὶ μέγιστόν ἐστι σημεῖον τοῦ μηδὲν προσήκειν
αὐτῷ. τίς γὰρ ἂν τὸν ἑαυτοῦ σῖτον ἔπειθε προέσθαι, τοὺς σώζειν βουλομένους; ἢ τίς οὐκ 28
* ταῦτα. ἂν ἔπλει δεξάμενος τὴν πρόκλησιν εἰς τὴν Σικελίαν, οὗ ἦν ἐλέγξαι καθαρῶς.
* ψηφιεῖσθε. καὶ μὴν οὐδὲ τοῦτο ἔμελλον ὑμῶν καταγνώσεσθαι, ὡς εἰσαγώγιμον τοῦτῳ ψη-
φιεῖσθαι τὴν δίκην περὶ τούτων τῶν χρημάτων, ἃ κατὰ πολλοὺς τρόπους οὗτος ἐ-
πραττεν ὅπως μὴ εἰσαγώγιμα δεῦρ' ἔσται· πρῶτον μέν, ὅτε αὐτὰ καταλιπεῖν 29
τοὺς ναύτας ἔπειθεν· εἶθ' ὅτ' ἐν Κεφαλληνίᾳ μὴ δεῦρο πλεῖν τὴν ναῦν ἔπραττε.
πῶς γὰρ οὐκ αἰσχρὸν καὶ δεινὸν ἂν γένοιτο, εἰ Κεφαλλῆνες μὲν ὅπως Ἀθηναίοις σω-
θῇ τὰ χρήματα, δεῦρο πλεῖν τὴν ναῦν ἔκριναν, ὑμεῖς δ' ὄντες Ἀθηναῖοι, τὰ τῶν
πολιτῶν τοῖς καταποντίσαι βουληθεῖσι δοῦναι γνοίητε; καὶ ἃ μὴ καταπλεῖν ὅλως 30
* ψηφίσασθαι. οὗτος δεῦρο ἔπραττε, ταῦτ' εἰσαγώγιμα τοῦτῳ ψηφίσασθαι; μὴ δῆτα, ὦ Ζεῦ
* παραγέγραμμαι. καὶ θεοί. Λέγε δή μοι τί παραγέγραμμαι. Παραγραφή. Λέγε δή μοι τὸν νόμον.

Νόμος.

* παραγεγραμμένην. Ὅτι μὲν τοίνυν ἐκ τῶν νόμων παραγεγραμμένην μὴ εἰσαγώγιμον εἶναι τὴν δι- 31



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κην, ἱκανῶς οἶμαι δεδεῖχθαι. τέχνην δ' ἀκούσατε τοῦ σοφοῦ τοῦ ταῦτα πάντα συν- °σωπηκότος
τεταχότος τοῦ Ἀριστοφῶντος. ὡς γὰρ ἐκ τῶν πραγμάτων ἁπλῶς οὐδὲν ἑώρων
δίκαιον αὑτοῖς ὄν, ἐπικηρυκεύονται τῷ Πρώτῳ, καὶ πείθουσι τὸν ἄνθρωπον μὴ °ἐν- °ἀποδοῦναι
32 δοῦναι τὰ °πράγματ' αὑτοῖς· πράττοντες μέν, ὡς ἔοικε, καὶ ἐξ ἀρχῆς τοῦτο, °πράγματα ἑαυτοῖς.
ὡς ἡμῖν νῦν φανερὸν γέγονεν, οὐ δυνάμενοι δὲ πεῖσαι. ὁ γὰρ ἄνθρωπος ὁ Πρῶτος,
ἕως μὲν ᾤετο τὸν σῖτον κέρδος °ἐλθόντα ποιήσειν, ἀντείχετο τούτου· καὶ μᾶλλον ᾑρεῖτο °ἀντείχετο ἐλθόντα ... τούτου.
αὐτός τε κερδᾶναι, καὶ ἡμῖν τὰ δίκαια ἀποδοῦναι, ἢ κατακοινωνησάσης τούτοις τῆς
33 μὲν ὠφελείας τούτοις ποιῆσαι μερίτας, ἡμᾶς δ' ἀδικῆσαι. ὡς δὲ δεῦρ' ἥκοντος αὐ-
τοῦ, καὶ περὶ ταῦτα πραγματευομένου, ἐπανῆκεν ὁ σῖτος, ἄλλην εὐθέως ἔλαβε
γνώμην. καὶ ἅμα· εἰρήσεται γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, °πρὸς ὑμᾶς ἡ ἀλήθεια· καὶ °πᾶσα.
ἡμεῖς οἱ δεδανεικότες προσεκρουόμεν αὐτῷ, καὶ πικρῶς εἴχομεν, τῆς τε ζημίας
30 ἐφ' ἡμᾶς ἰούσης τῆς ἐπὶ τὸν σῖτον, καὶ συκοφαντίαν ἀντὶ χρημάτων αἰτιώμενοι
τοῦτον ἡμῖν κεκομικέναι. ἐκ τούτων οὐδὲ φύσει χρηστὸς ὢν ἄνθρωπος δηλονότι, ἐπὶ
τούτοις ἀποκρίνει. καὶ συγχωρεῖ τὴν δίκην ἔρημον ὀφλεῖν, ἣν οὗτος αὐτῷ λαγχάνει τότε,
ὅτε οὔπω ταῦτα ἐφρόνουν. εἰ μὲν γὰρ ἀφῆκε τὸν Πρῶτον, ἐξήλεγκτ' ἂν εὐθέως
31 ἡμᾶς συκοφαντῶν· ὀφλεῖν δὲ παρ' ὧν ἐκεῖνος οὐ συνεχώρει, ἵν' ἐὰν μὲν αὐτῷ ποιῶσιν
ἃ ὡμολογήκασιν· εἰ δὲ μή, τὴν ἔρημον ἀντιλάχῃ. ἀλλὰ τί ταῦτα; εἰ μὲν γὰρ ἃ γέ-
γραφεν οὗτος εἰς τὸ ἔγκλημα, ἐποίει, οὐκ ὀφλεῖν ἂν δίκην δικαίως, ἀλλ' ἀποθανεῖν ὁ
Πρῶτος ἔμοιγε δοκεῖ. εἰ γὰρ ἐν κακοῖς καὶ χειμῶνι τοσοῦτον οἶνον °ἔπινεν, ὥστε ὅμοιον °ἔπιεν.
32 εἶναι μανίᾳ, τί οὐκ ἄξιος εἴη παθεῖν; ἢ εἰ γράμματ' ἔκλεπτεν, ἢ ὑπανέῳγεν; ἀλλὰ °δεῖ.
ταῦτα μὲν °πρὸς ἑαυτοὺς ὑμεῖς ὅπως ποτὲ ἔχει διακρίνεσθε. τῇ δ' ἐμῇ δίκῃ °αὐτῇ.
μηδὲν ἐκείνης προσάγε. εἴ τί σε ἠδίκησεν ὁ Πρῶτος ἢ λέγων, ἢ ποιῶν, ἔχεις, ὡς ἔοι-
κε, δίκην. οὐδεὶς ἡμῶν ἐκώλυσεν, οὐδὲ νῦν παραιτεῖται. εἰ δὲ σεσυκοφάντηκας, οὐ
33 περιεργαζόμεθα νὴ Δία, ἀλλ' ἐκποδών ἐστιν ἄνθρωπος διά γε ὑμᾶς, ἵνα τὰς τε
μαρτυρίας τὰς ἡμετέρας λίπῃ, καὶ νῦν ὑμεῖς, ὅ, τι ἂν βούλησθε, λέγητε κατ' αὐτοῦ.
εἰ μὴ γὰρ δι' ὑμῶν ἔρημος ἐγίγνετο ἡ δίκη, ἅμα ἂν αὐτὸν προσεκαλοῦ, καὶ κατηγγύας
πρὸς τὸν πολέμαρχον. καὶ εἰ μὲν κατέστησέ σοι τοὺς ἐγγυητάς, μένειν, ἠνάγκαζες ἄν,
34 ἢ σὺ παρ' ὧν λήψῃ δίκην, ἑτοίμους εἶχες. εἰ δὲ μὴ κατέστησεν, εἰς τὸ οἴκημα ἂν ᾔει. νῦν
δὲ κοινωσάμενοι τὸ πρᾶγμα, ὁ μέν, °διὰ τὸ τὴν γεγονυῖαν ἔνδειαν οὐκ ἀπο- °διὰ τὸ ὑπὸ
δώσειν ἡμῖν οἴεται· σὺ δ' ἐκείνου κατηγορῶν τῶν ἡμετέρων κύριος γεγενῆσθαι. τεκ- σοῦ γεγον. γενῆσθαι.
μήριον δέ. ἐγὼ μὲν γὰρ αὐτὸν κλητεύσω. σὺ δ' οὔτε κατηγγύησας, οὔτε νῦν κλη-
35 τεύσεις. ἔτι τοίνυν ἑτέρα τις ἐλπίς ἐστιν αὐτοῖς τοῦ παρακρούσασθαι καὶ φενακίζειν
ὑμᾶς. αἰτιάσονται Δημοσθένην. καὶ ἐκείνῳ ἐμὲ πιστεύοντα φήσουσιν ἐξάγειν τουτονί,
ὑπολαμβάνοντες τὸν ῥήτορα καὶ γνώριμον εἶναι ἐκεῖνον, πιθανὴν ἕξειν τὴν αἰτίαν.
ἐμοὶ δ' ἐστίν, ὦ ἄνδρες Ἀθηναῖοι, Δημοσθένης οἰκεῖος ἡμῖν. καὶ πάντας ὑμῖν ὄμνυμι
36 τοὺς θεούς, ἦ μὴν ἐρεῖν τἀληθῆ. προσελθόντος δ' αὐτῷ μου, καὶ παρεῖναι καὶ βοη-
θεῖν ἀξιοῦντος, εἴ τι ἔχοι· °Δημοσθένης ἔφη, ἐγὼ ποιήσω μέν, ὡς ἂν σὺ κελεύῃς. καὶ γὰρ ἂν °Δημοσθένης·
δεινὸν εἴη. δεῖ μέντοι καὶ τὸ σαυτοῦ καὶ τοὐμὸν λογίσασθαι. ἐμοὶ συμβέβηκεν ἀφ' οὗ
περὶ τῶν κοινῶν λέγειν ἠρξάμην, μηδὲ πρὸς ἓν πρᾶγμα ἴδιον προσεληλυθέ-
37 ναι· ἀλλὰ καὶ τῆς πολιτείας αὐτῆς, τὰ τοιαῦτα ἐξέστηκα.

ΥΠΟΘΕ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΑΠΑΤΟΥΡΙΟΝ παραγραφικοῦ λόγου.

Ὁ παραγραφόμενος τὴν δίκην, ἰδίᾳ μὲν τινὰ συμβόλαια πρὸς Ἀπατούριον ἔχων, ἄφεσιν ἐπ' ἐκείνοις, καὶ ἀπαλλαγὴν ἐποιήσατο. νῦν δὲ ὑπὲρ Παρμένοντος ἐγκαλεῖται καὶ ἀπαιτεῖται χρήματα. ὁ γὰρ Παρμένων, πολίτης μὲν ἦν τοῦ ἐμπόρου τοῦ Ἀπατουρίου Βυζάντιος, φυγὴν δὲ ἐκ τῆς πατρίδος καταδεδίκαστο. φίλῳ δὲ κατ' ἀρχὰς τῷ Ἀπατουρίῳ χρώμενος, ὕστερον προσκρούσας, εἰς δίκας ἦλθε. καὶ ἐδίωκε τὸν Ἀπατούριον πληγῶν τε καὶ βλάβης. κἀκεῖνος αὖθις τῷ Παρμένοντι δίκην ἀντέλαχεν. ὁ μὲν οὖν Ἀπατούριος, ἐν διαιτητῇ τὸ πρᾶγμα ἐπιτραπῆναί φησιν Ἀριστοκλεῖ, κἀκεῖνον καταγνῶναι τοῦ Παρμένοντος. διόπερ ἐπὶ τοῦτον ἥκει τὸν νῦν παραγραφόμενον τὴν δίκην, ἐγγυητὴν τοῦ Παρμένοντος γεγενῆσθαι φάσκων. ὁ δὲ, οὐδὲν τούτων ὁμολογεῖ· ἀλλὰ πρῶτον μέν φησι, τρισὶν αὐτοὺς ἐπιτρέψαι διαιτηταῖς, οὐχ ἑνὶ τῷ Ἀριστοκλεῖ. ἔπειτα ἐγγυητὴν τοῦ Παρμένοντος ἐν ταῖς συνθήκαις Ἄρχιππον γραφῆναι, κἀκείνας δὲ ἀφανισθῆναι τὰς συνθήκας, κακουργίᾳ τοῦ Ἀπατουρίου, πείσαντος τὸν Ἀριστοκλέα τὸν ἔχοντα αὐτὰς, μὴ κομίζειν εἰς μέσον, ἀλλὰ λέγειν ὡς ἀπολώλεκε τὸ γραμματεῖον καθεύδων ὁ παῖς· ἑτέρας δὲ οὐκέτι γραφῆναι συνθήκας, οὐδὲ ἐπιτραπῆναι τὸ πρᾶγμα διαιτητῇ, τῆς μὲν προτέρας ἀναιρεθείσης τῇ τῶν συνθηκῶν ἀπωλείᾳ, δευτέρας δὲ οὐκέτι συμβαθείσης αὐτοῖς· τὸν Ἀριστοκλέα παρὰ πάντα τὰ δίκαια κατὰ τοῦ Παρμένοντος ἀποφήνασθαι, οὐκέτ' ὄντα διαιτητήν, καὶ ταῦτα ἀποδημοῦντός τε τοῦ Παρμένοντος κατὰ συμφορὰν μεγάλην, καὶ ἀπηγορευκότος αὐτῷ μὴ διαιτᾶν. ταῦτά τε οὖν ὁ τὴν δίκην ἔχων προτείνεται τὰ δίκαια, καὶ παραγράφεται τὸν ἀγῶνα, λέγων, ἐπὶ μὲν τοῖς γενομένοις αὐτῷ πρὸς Ἀπατούριον συμβολαίοις, ἄφεσιν ὑπάρξαι· ὕστερον δὲ οὐδὲν ἔτι γεγενῆσθαι συμβόλαιον· περὶ δὲ τῶν τοιούτων τοὺς νόμους μὴ διδόναι δικάζεσθαι.

# ΔΗΜΟΣΘΕΝΟΥΣ ΠΑΡΑΓΡΑΦΗ ΠΡΟΣ ΑΠΑΤΟΥΡΙΟΝ.

Τοῖς μὲν ἐμπόροις, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τοῖς ναυκλήροις κε- 1
λεύει ὁ νόμος εἶναι τὰς δίκας πρὸς τοὺς θεσμοθέτας, ἐάν τι ἀδι-
κῶνται ἐν τῷ ἐμπορίῳ, ἢ ἐνθένδε ποι πλέοντες, ἢ ἑτέρωθεν
δεῦρο, καὶ τοῖς ἀδικοῦσι δεσμὸν ἔταξε τοὐπιτίμιον, ἕως ἂν ἐκ-
τίσωσιν ὅ, τι ἂν αὐτῶν καταγνωσθῇ, ἵνα μηδεὶς ἀδικῇ μηδένα 2
τῶν ἐμπόρων εἰκῇ. τοῖς δὲ περὶ τῶν μὴ γενομένων συμβολαίων
εἰς κρίσιν καθισταμένοις, ἐπὶ τὴν παραγραφὴν καταφυγεῖν ἔδωκεν ὁ νόμος, ἵνα
μὴ συκοφαντῶνται, ἀλλ' αὐτοῖς τοῖς τῇ ἀληθείᾳ ἀδικουμένοις τῶν ἐμπόρων, καὶ τῶν
ναυκλήρων αἱ δίκαι ὦσι. καὶ πολλοὶ ἤδη τῶν φευγόντων ἐν ταῖς ἐμπορικαῖς παρα- 3
γραψάμενοι κατὰ τὸν νόμον τοῦτον, καὶ εἰσελθόντες εἰς ὑμᾶς, ἐξήλεγξαν τοὺς δικαζο-
μένους ἀδίκως ἐγκαλοῦντας, καὶ ἐπὶ τῇ προφάσει τοῦ ἐμπορεύεσθαι συκοφαντοῦν-
τας. ὁ μὲν οὖν μετὰ τούτων μοι ἐπιβεβουλευκώς, καὶ τὸν ἀγῶνα τουτονὶ κατεσκευα-
κώς, προϊόντος τοῦ λόγου, καταφανὴς ὑμῖν ἔσται. ἐγκαλοῦντος δέ μοι Ἀπατουρίου 4
τὰ ψευδῆ, καὶ παρὰ τοὺς νόμους δικαζομένου, καὶ ὅσα μὲν ἐμοὶ καὶ τούτῳ ἐγένετο συμ-
βόλαια, πάντων ἀπαλλαγῆς καὶ ἀφέσεως γενομένης· ἄλλου δὲ συμβολαίου οὐκ ὄντος
ἐμοὶ πρὸς τοῦτον, οὔτε ναυτικοῦ, οὔτ' ἐγγείου, παρεγραψάμην τὴν δίκην μὴ εἰσα-
γώγιμον εἶναι κατὰ τοὺς νόμους τούτους. Νόμοι. 5

Ὡς τοίνυν παρὰ τοὺς νόμους τούτους εἴληχέ μοι τὴν δίκην Ἀπατούριος, καὶ τὰ
ψευδῆ ἐγκέκληκεν, ἐκ πολλῶν ὑμῖν τοῦτ' ἐπιδείξω. ἐγὼ γὰρ, ὦ ἄνδρες δικασταί, πο-
λὺν χρόνον ἤδη ἐπὶ τῆς ἐργασίας ὤν, τῆς κατὰ θάλατταν, μέχρι μέν τινος αὐτὸς ἐ-
κινδύνευον· οὔπω δ' ἔτη ἐστὶν ἑπτὰ, ἀφ' οὗ τὸ μὲν πλεῖν καταλέλυκα· μέτρια δὲ 6
ἔχων, τούτοις πειρῶμαι ναυτικοῖς ἐργάζεσθαι. διὰ δὲ τὸ ἀφῖχθαι πολλαχόσε, καὶ διὰ
τὸ εἶναί μοι τὰς διατριβὰς περὶ τὸ ἐμπόριον, γνωρίμως ἔχω τοῖς πλείστοις τῶν
πλεόντων τὴν θάλατταν· τούτοις δὲ τοῖς ἐκ Βυζαντίου καὶ πάνυ οἰκείως χρῶμαι,
διὰ τὸ ἐνδιατρῖψαι αὐτόθι. ἔχοντος δέ μου οὕτως, ὡς λέγω, κατέπλευσεν δεῦρο 7

ἵνα μηδεὶς συκοφαντῆται.

τρίτον ἔτος οὗτός τε καὶ πολίτης αὐτοῦ Παρμένων, Βυζάντιος μὲν τὸ γένος, φυγὰς δ'
ἐκεῖθεν. προσιόντες δ' ἐμοὶ ἐν τῷ ἐμπορίῳ οὗτος καὶ Παρμένων, ἐμνήσθησαν περὶ
ἀργυρίου. ἐτύγχανε δ' οὑτοσὶ ὀφείλων ἐπὶ τῇ νηὶ τῇ αὑτοῦ τετταράκοντα μνᾶς, καὶ οἱ
8 χρῆσται κατήπειγον αὐτὸν ἀδικοῦντες, καὶ ἐνεβάτευον εἰς τὴν ναῦν, εἰληφότες ἀπαιτοῦντες.
τῇ ὑπερημερίᾳ. ἀπορουμένῳ δ' αὐτῷ, μνᾶς μὲν δέκα ὁ Παρμένων ὡμολόγησε
δώσειν. τριάκοντα δὲ μνᾶς ἐδεῖτό μου οὑτοσὶ συμπορῆσαι, αἰτιώμενος τοὺς χρή-
στας ἐπιθυμοῦντας τῆς νεὼς διαβεβληκέναι αὐτὸν ἐν τῷ ἐμπορίῳ, ἵνα κατά-
9 σχωσι τὴν ναῦν, εἰς ἀπορίαν καταστήσαντες τοῦ ἀποδοῦναι τὰ χρήματα. ἐμοὶ μὲν
οὖν οὐκ ἔτυχε παρὸν ἀργύριον, χρώμενος δ' Ἡρακλείδῃ τῷ τραπεζίτῃ, ἔπεισα
αὐτὸν δανεῖσαι τὰ χρήματα λαβόντα με ἐγγυητήν. ἤδη δὲ τῶν τριάκοντα μνῶν πε-
πορισμένων, ἔτυχε προσκεκρουκὼς οὗτος τούτῳ ὁ Παρμένων. ὡμολογηκὼς δ' εὐπο-
10 ρήσειν αὐτῷ δέκα μνᾶς, καὶ τούτων δεδωκὼς τὰς τρεῖς, διὰ τὸ προειρημένον ἀρ- τούτου.
γύριον ἠναγκάζετο καὶ τὸ λοιπὸν διδόναι. αὐτὸς μὲν οὖν διὰ τοῦτο οὐκ ἐβούλετο
ποιήσασθαι τὸ συμβόλαιον, ἐμὲ δ' ἐκέλευε πρᾶξαι ὅπως αὐτῷ ὡς ἀσφαλέστατα
ἐξῇ. λαβὼν δ' ἐγὼ τὰς ἑπτὰ μνᾶς παρὰ τοῦ Παρμένωνος, καὶ τὰς τρεῖς, ἃς προει- παρμένοντος
11 λήφει οὗτος παρ' ἐκείνου, ἀνθομολογησάμενος πρὸς τοῦτον, ὠνὴν ποιοῦμαι τῆς νεώς,
καὶ τῶν παίδων, ἕως ἀποδοίη τὰς δέκα μνᾶς, ἃς δι' ἐμοῦ ἔλαβε, καὶ τὰς τριάκον-
τα, ὧν κατέστησεν ἐμὲ ἐγγυητὴν τῷ τραπεζίτῃ. καὶ ὡς ἀληθῆ λέγω, ἀκούσατε τῶν
μαρτυριῶν.

Μαρτυρίαι.

12 Τὸν μὲν τρόπον τοῦτον ἀπήλλαξε τοὺς χρήστας Ἀπατούριος οὑτοσί. οὐ πολλῷ δὲ
χρόνῳ μετὰ ταῦτα τῆς τραπέζης ἀνασκευασθείσης, καὶ τοῦ Ἡρακλείδου κατ' ἀρχὰς
κεκρυμμένου, ἐπιβουλεύει οὑτοσὶ τούς τε παῖδας ἐκπέμψαι Ἀθήνηθεν, καὶ τὴν
ναῦν ἐξορμίσαι ἐκ τοῦ λιμένος. ὅθεν ἐμοὶ πρὸς τοῦτον ἡ πρώτη διαφορὰ ἐγέ-
13 νετο. αἰσθόμενος γὰρ ὁ Παρμένων, ἐξαγομένων τῶν παίδων ἐπιλαμβάνεται, καὶ τὴν
ναῦν κατεκώλυσεν αὐτὸν ἐξορμίζειν. καὶ μεταπεμψάμενος ἐμέ, λέγει τὸ πρᾶγμα.
ὡς δ' ἤκουσα, τοῦτον μὲν πονηρότατον ἡγησάμην εἶναι τῷ ἐπιχειρήματι. ἐσκοπού-
μην δὲ, ὅπως αὐτός τε ἀπολυθήσομαι τῆς ἐγγύης τῆς ἐπὶ τὴν τράπεζαν, καὶ ὁ
14 ξένος μὴ ἀπολεῖ ἃ δι' ἐμοῦ τούτῳ ἐδάνεισε. καταστήσας δὲ φύλακας τῆς νεώς, διη-
γησάμην τοῖς ἐγγυηταῖς τῆς τραπέζης τὴν πρᾶξιν. καὶ παρέδωκα τὸ ἐνέχυρον,
εἰπὼν αὐτοῖς, ὅτι δέκα μναῖ ἐνείησαν τῷ ξένῳ ἐν τῇ νηί. ταῦτα δὲ πράξας, κα- κ. ἐπὶ
τηγγύησα τοὺς παῖδας, ἵν', εἴ τις ἔνδεια γίγνοιτο, τὰ ἐλλείποντα ἐκ τῶν παίδων εἴη. καὶ
15 ἐγὼ μὲν ἐπειδὴ ἔλαβον τοῦτον ἀδικοῦντα, διωρθωσάμην ὑπὲρ ἐμαυτοῦ καὶ τοῦ ξένου.
ὁ δ' ὥσπερ ἀδικούμενος, ἀλλ' οὐκ ἀδικῶν, ἐμέμφετό μοι. καὶ ἠρώτα ἢ οὐχ ἱκα- εἰ.
νόν μοι εἴη αὐτῷ ἀπολυθῆναι τῆς ἐγγύης τῆς πρὸς τὴν τράπεζαν, ἀλλὰ καὶ ὑπὲρ
τοῦ ἀργυρίου τοῦ Παρμένοντος τὴν ναῦν κατεγγυῷ καὶ τοὺς παῖδας, καὶ ὑπὲρ ἀν-
16 θρώπου φυγάδος ἀπεχθανοίμην αὐτῷ; ἐγὼ δὲ τὸν πιστεύσαντα ἐμαυτῷ τοσούτῳ
ἔφην ἧττον ἂν προϊδεῖν, ὅσῳ φυγὰς ὢν καὶ ἀτυχῶν ἠδικεῖτο ὑπὸ τούτου. πάντα
δὲ ποιήσας καὶ εἰς ἅπασαν ἀπέχθειαν τούτῳ ἐλθών, μόλις εἰσέπραξα τὸ ἀργύ-
ριον, πραθείσης τῆς νεὼς τετταράκοντα μνῶν ὅσουπερ ἡ θέσις ἦν. ἀποδοθεισῶν δὲ
17 τῶν τριάκοντα μνῶν ἐπὶ τὴν τράπεζαν, καὶ τῶν δέκα μνῶν τῷ Παρμένοντι ἐναν-
τίον πολλῶν μαρτύρων, τάς τε συγγραφὰς ἀνελόμεθα, καθ' ἃς ἐδανείσθη τὰ χρή-
ματα, καὶ τῶν συναλλαγμάτων ἀφεῖμεν, καὶ ἀπηλλάξαμεν ἀλλήλους, ὥστε μήτε
τούτῳ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τούτῳ πρὸς ἐμέ, μήτ' ἐμοὶ πρὸς τοῦτον πρᾶγμα εἶναι μηδέν. καὶ ὡς ἀληθῆ λέ-
γω, ἀκούσατε τὴν μαρτυρίαν. Μαρτυρία. 18

Μετὰ ταῦτα τοίνυν ἐμοὶ μὲν οὔτε μεῖζον, οὔτ' ἔλαττον πρὸς αὐτὸν συμβό-
λαιον γέγονεν. ὁ δὲ Παρμένων ἐδικάζετο τούτῳ τῶν τε πληγῶν, ὧν ἔλαβεν ὑπὸ
τούτου, ὅτι τῶν παίδων ἐξαγομένων ἐπελάβετο, καὶ ὅτι τοῦ εἰς Σικελίαν πλοῦ διὰ
τοῦτον κατεκωλύθη. ἐνεστηκυίας δὲ τῆς δίκης, δίδωσιν ὁ Παρμένων ὅρκον τούτῳ περὶ 19
τινῶν ἐγκλημάτων. καὶ οὗτος ἐδέξατο, ἐπιδιαθέμενος ἀργύριον, ἐὰν μὴ ὀμόσῃ τὸν
ὅρκον. καὶ ὅτι ἀληθῆ λέγω, λαβέ μοι τὴν μαρτυρίαν.

Μαρτυρία.

Δεξάμενος τοίνυν τὸν ὅρκον, εἰδὼς ὅτι πολλοὶ αὐτῷ συνείσονται ἐπιορκήσαντι, 20
ἐπὶ μὲν τὸ ὀμόσαι οὐκ ἀπήντα· ὡς δὲ δίκη λύσων τὸν ὅρκον, προσκαλεῖται τὸν Παρ-
μένοντα. ἐνεστηκυιῶν δὲ αὐτοῖς τῶν δικῶν, πεισθέντες ὑπὸ τῶν παρόντων, εἰς ἐπι-
τροπὴν ἔρχονται. καὶ γράψαντες συνθήκας, ἕνα μὲν διαιτητὴν κοινὸν Φωκρίτῳ πο-
λίτην αὐτῶν, ἕνα δὲ ἑκάτερος παρεκαθίσατο· οὗτος μὲν Ἀριστοκλέα Οἴηθεν· ὁ δὲ Παρ- 21
μένων, ἐμέ. καὶ συνέθεντο ἐν ταῖς συνθήκαις, εἰ μὲν τρεῖς ὄντες ὁμογνώμονες γε-
νοίμεθα, ταῦτα κύρια εἶναι αὐτοῖς· εἰ δὲ μή, οἷς οἱ δύο γνοίησαν, τούτοις ἐπάναγκες
εἶναι ἐμμένειν. συνθέμενοι δὲ ταῦτα, ἐγγυητὰς τούτων ἀλλήλοις κατέστησαν. οὗτος μὲν
ἐκεῖνον τὸν Ἀριστοκλέα· ὁ δὲ Παρμένων τούτῳ Ἄρχιππον Μυρρινούσιον. καὶ τὸ μὲν 22
πρῶτον ἐτίθεντο τὰς συνθήκας παρὰ τῷ Φωκρίτῳ. εἶτα κελεύσαντος τοῦ Φωκρί-
του παρ' ἄλλῳ τινὶ θέσθαι, τίθενται παρὰ τῷ Ἀριστοκλεῖ. καὶ ὡς ἀληθῆ λέγω, ἀκούσατε
τὴν μαρτυρίαν. Μαρτυρία.

Ὅτι μὲν ἐτέθησαν αἱ συνθῆκαι παρὰ Ἀριστοκλεῖ, καὶ ἡ ἐπιτροπὴ ἐγένετο Φω- 23
κρίτῳ, καὶ Ἀριστοκλεῖ, καὶ ἐμοί, οἱ εἰδότες ταῦτα μεμαρτυρήκασιν ὑμῖν. δέομαι δὲ
ὑμῶν, ὦ ἄνδρες δικασταί, τὰ μετὰ ταῦτα πραχθέντα, ἀκοῦσαί μου. ἐντεῦθεν γὰρ
ἔσται φανερὸν ὑμῖν, ὅτι συκοφαντοῦμαι ὑπὸ τουτουὶ Ἀπατουρίου. ἐπειδὴ γὰρ ᾔσθετο
ὁμογνώμονας ὄντας ἐμὲ καὶ τὸν Φώκριτον, καὶ ἔγνω καταδιαιτήσοντας ἡμᾶς ἑαυ- 24
*γρ. λύειν. τοῦ, *λῦσαι βουλόμενος τὴν ἐπιτροπήν, διαφθεῖραι τὰς συνθήκας ἐπεχείρησε μετὰ
τοῦ ἔχοντος αὐτάς. καὶ ἦλθεν ἐπὶ τὸ ἀμφισβητεῖν, ὡς αὐτῷ διαιτητὴς εἴη ὁ Ἀρι-
*ἔφησεν. στοκλῆς· τὸν δὲ Φώκριτον καὶ ἐμέ, οὐδενὸς κυρίους *ἔφη εἶναι, ἀλλ' ἢ τοῦ συνδιαλῦ-
σαι. ἀγανακτήσας δὲ τῷ λόγῳ ὁ Παρμένων, ἠξίου τὸν Ἀριστοκλέα ἐκφέρειν τὰς 25
*πανουργοῖτο. συνθήκας, οὐ πόρρω φάσκων εἶναι τὸν ἔλεγχον, εἴ τι *κακουργοῖτο περὶ τὰ γράμμα-
τα. γεγραφέναι γὰρ αὐτὰ οἰκέτην ἑαυτοῦ. ὁμολογήσας δὲ ἐξοίσειν τὰς συνθήκας ὁ
Ἀριστοκλῆς, ἐμφανεῖς μὲν οὔπω καὶ τήμερον ἐνήνοχεν· εἰς δὲ τὴν ἡμέραν τὴν συγ-
κειμένην ἀπαντήσας εἰς τὸ Ἡφαιστεῖον, προὐφασίζετο ὡς ὁ παῖς περιμένων αὐ- 26
τόν, ἀπολωλεκὼς εἴη τὸ γραμματεῖον καθεύδων. ὁ δὲ ταῦτα συγκατασκευάζων
*ἦν. *ἐστὶν Εὐρυξίας ὁ ἰατρός, ὁ ἐκ Πειραιῶς, οἰκείως ἔχων τῷ Ἀριστοκλεῖ. ὅσπερ καὶ ἐμοὶ
τοῦ ἀγῶνος αἴτιός ἐστι διαφόρως ἔχων. καὶ ὡς ἐσκήψατο ἀπολωλεκέναι ὁ Ἀρι-
στοκλῆς, ἀκούσατε τὴν μαρτυρίαν. Μαρτυρία. 27

Ἐντεῦθεν τοίνυν τὸ μὲν τῆς ἐπιτροπῆς διέλυτο, ἠφανισμένων τῶν συνθηκῶν,
καὶ τῶν διαιτητῶν ἀντιλεγομένων. ἐπιχειροῦντες δὲ γράφειν ἑτέρας συνθήκας,
περὶ τούτων διηνέχθησαν, οὗτος μὲν ἀξιῶν τὸν Ἀριστοκλέα· ὁ δὲ Παρμένων, τοὺς
τρεῖς, οἷσπερ καὶ ἐξ ἀρχῆς ἡ ἐπιτροπὴ ἐγένετο. οὐ γραφεισῶν δὲ ἑτέρων συνθηκῶν, 28



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῶν δ' ἐξ ἀρχῆς ἀφανισθεισῶν, εἰς τοῦτ' ἦλθεν ἀναιδείας ὁ ἠφανικὼς τὰς συν-
θήκας, ὥστε εἰς ὧν ἀποφαίνεσθαι ἔφη τὴν δίαιταν. προσκαλέσας δ' ὁ Παρμένων
μάρτυρας, ἀπεῖπε τῷ Ἀριστοκλεῖ μὴ ἀποφαίνεσθαι παρὰ τὰς συνθήκας καθ'
29 αὑτοῦ ἄνευ τοῦ συνδιαιτητοῦ. καὶ ὧν ἐναντίον ἀπεῖπεν, ἀκούσατε τῆς μαρτυρίας.

## Μαρτυρία.

Μετὰ ταῦτα τοίνυν τῷ Παρμένοντι συνέβη συμφορὰ δεινή, ὦ ἄνδρες δικα-
σταί. οἰκοῦντος γὰρ αὐτοῦ ἐν Ὀφρυνίῳ διὰ τὸ οἴκοθεν φυγεῖν, ὅτε ὁ σεισμὸς ἐγένετο
30 ὁ περὶ Χερρόνησον, καὶ συμπεσούσης αὐτῷ τῆς οἰκίας, ἀπώλοντο ἡ γυνὴ καὶ οἱ παῖ-
δες. καὶ ὁ μὲν πυθόμενος τὴν συμφορὰν, ᾤχετο ἐνθένδε ἀποπλέων· ὁ δ' Ἀριστοκλῆς
διαμαρτυραμένου τοῦ ἀνθρώπου ἐναντίον μαρτύρων μὴ ἀποφαίνεσθαι καθ' αὑτοῦ
ἄνευ τοῦ συνδιαιτητοῦ, ἀποδημήσαντος τοῦ ἀνθρώπου διὰ τὴν συμφορὰν, ἐρή-
31 μην κατ' αὐτοῦ ἀπεφήνατο τὴν δίαιταν. καὶ ἐγὼ μὲν, καὶ ὁ Φώκριτος ἐν ταῖς αὐ-
ταῖς συνθήκαις γεγραμμένοι, ὅτι ἠμφισβήτησεν οὗτος μὴ εἶναι ἡμᾶς διαιτητὰς αὐ-
τῷ, ἐφύγομεν τὸ διαιτῆσαι· ὁ δὲ, οὐ μόνον ἀμφισβητηθεὶς, ἀλλὰ καὶ "ἀποστερηθεὶς"
αὐτῷ, οὐδὲν ἧττον τὴν "ἀπόφασιν ἐποιήσατο. ὃ οὔτε ὑμῶν, οὔτε τῶν ἄλλων Ἀθηναίων
32 ὑπομεῖναι ἂν τις ποιῆσαι οὐδείς. ἃ μὲν οὖν περὶ τὴν ἀφάνισιν τῶν συνθηκῶν, καὶ
περὶ τὴν γνῶσιν τῆς διαίτης Ἀπατουρίῳ καὶ τῷ διαιτητῇ πέπρακται, ἐὰν ποτε
σωθῇ ὁ ἠδικημένος, δίκην παρ' αὐτῶν λήψεται· οὗτος δ' εἰς τοῦτο ἥκει Ἀπατούριος
ἀναιδείας, ὥστε καὶ ἐμοὶ δικάζεσθαι, ἐπιφέρων αἰτίαν, ὡς ἀνεδεξάμην ἐκτίσειν, εἴ
33 τι καταγνωσθείη τοῦ Παρμένοντος, καί φησιν ἐγγεγράφθαι εἰς τὰς συνθήκας ἐμὲ ἐγ-
γυητήν. ὥσπερ προσήκει ταύτην αἰτίαν ἀπολύσασθαι, πρῶτον μὲν ὑμῖν μάρ-
τυρας παρέξομαι, ὡς οὐκ ἠγγυησάμην ἐγὼ τὸν Παρμένοντα, ἀλλ' Ἄρχιππος
Μυρρινούσιος· ἔπειτα πειράσομαι καὶ ἐκ τεκμηρίων τὴν ἀπολογίαν ποιήσασθαι,
34 ὦ ἄνδρες δικασταί. πρῶτον μὲν οὖν τὸν χρόνον ἐμαυτῷ ἡγοῦμαι μάρτυρα εἶναι τοῦ
μὴ ἀληθὲς τὸ ἔγκλημα εἶναι. ἡ μὲν γὰρ ἐπίσχεσις ἐπὶ τούτῳ πρὸς τὸν Παρμένοντα, τρί-
τον ἔτος γέγονε, καὶ ἡ γνῶσις τοῦ Ἀριστοκλέους· αἱ δὲ λήξεις τῶν δικῶν τοῖς ἐμπόροις
ἔμμηνοί εἰσιν ἀπὸ τοῦ Βοηδρομιῶνος μέχρι τοῦ Μουνυχιῶνος, ἵνα παραχρῆμα
35 τῶν δικαίων τυχόντες ἀνάγωνται. εἰ δὲ τῇ ἀληθείᾳ ἐγγυητὴς ἦν τοῦ Παρμένοντος, διὰ
τί πρῶτον μὲν οὐκ εὐθὺς, τῆς γνώσεως γενομένης, "εἰσεπράττετο τὴν ἐγγύην; οὐ "εἰσέπραττεν
γὰρ δὴ τοῦτό γε αὐτῷ ἔνι εἰπεῖν, ὡς διὰ τὴν πρὸς ἐμὲ φιλίαν ὤκνει μοι ἀπεχθέσθαι.
οὗτος γὰρ εἰσεπέπρακτο ὑπ' ἐμοῦ πρὸς ἔχθραν τὰς χιλίας δραχμὰς τὰς τοῦ Παρ-
36 μένοντος· καὶ ὅτ' ἐξώρμιζε τὴν ναῦν ἐπιβουλεύων ἀποδρᾶναι, καὶ ἀποστερῆσαι τὸ
ἐπὶ τὴν τράπεζαν χρέος, ἐκωλύθη ὑπ' ἐμοῦ. ὥστε εἰ ἦν ἐγγεγυημένος ἐγὼ τὸν Παρ-
μένοντα, οὐκ ἂν περιέμενεν ἔτι ὕστερον, ἀλλ' εὐθὺς τότε εἰσέπραττεν ἄν με τὴν
ἐγγύην. ἀλλὰ νὴ Δία εὐπόρως διέκειτο· ὥστ' ἐνεδέχετο αὐτῷ καὶ ὕστερον ἐπ' ἐμὲ
37 ἐλθεῖν, τότε δ' ἀσχόλως εἶχε περὶ ἀναγωγὴν "ὤν. ἀλλὰ δι' ἀπειρίαν ἐξέστηκει τῶν "ὤν
ἑαυτοῦ, καὶ τὴν ναῦν ἐπεπράκει. εἶτ' ἆρα ἐμποδών τι αὐτῷ ἐγένετο τοῦ μὴ εὐθὺς
τότε δικάσασθαι, διὰ τί πέρυσιν ἐπιδημῶν, μὴ ὅτι δικάσασθαι, ἀλλ' οὐδ' ἐγκαλέ-
σαι μοι ἐτόλμησε; καίτοι προσῆκεν, εἰ ὁ μὲν Παρμένων ὠφλήκει αὐτῷ τὴν δί-
38 κην, ἐγὼ δ' ἐγγυητὴς ἦν, προσελθεῖν αὐτόν μοι ἔχοντα μάρτυρας, καὶ ἀπαιτῆσαι
τὴν ἐγγύην, εἰ μὴ προσῆκεν ἐν τῷ ἐξελθόντι ἐνιαυτῷ· καὶ εἰ μὲν αὐτῷ ἀπε-
δίδουν, κομίσασθαι· εἰ δὲ μὴ, δικάζεσθαι. τῶν γὰρ τοιούτων ἐγκλημάτων, ὥσπερ

τὰς ἀπαι-

ἢ ἐπαιτήσεις ποιοῦνται ἀπόντες, ἢ δικάζονται. οὐκ ἔστι τοίνυν ὅστις μαρτυ-
ρήσει παραγενέσθαι, ὅπου οὗτος ἢ ἀξίωσιν, ἢ προσαξίωσιν ἐδικάσατό μοι, ἢ λόγον ὁντι-
νοῦν ἐποιήσατο πρὸς ἐμὲ περὶ ὧν νυνί μοι δικάζεται. ὅτι δ' ἐπεδήμει ἀφ' ἑστιν ὅτε 39
αἱ δίκαι ἦσαν, λάβε μοι τὴν μαρτυρίαν.

Μαρτυρία.

Λάβε δή μοι καὶ τὸν νόμον, ὃς κελεύει τὰς ἐγγύας ἐπετείους εἶναι. καὶ οὐκ ἰσχυ- 40
ρίζομαι τῷ νόμῳ, ὡς οὐ δεῖ με δίκην δοῦναι, εἰ ἐνεγγυησάμην, ἀλλὰ μαρτύρο-
μαι τὸν νόμον εἶναι τοῦ μὴ ἐγγυήσασθαι καὶ αὐτὸν τοῦτον· ἐνεδίκασε γὰρ ἄν μοι τῆς ἐγ-
γύης ἐν τῷ χρόνῳ, τῷ ἐν τῷ νόμῳ γεγραμμένῳ. Νόμος.

Γενέσθω τοίνυν καὶ τοῦτο ὑμῖν τεκμήριον τοῦ ψεύδεσθαι Ἀπατούριον. εἰ γὰρ 41
ἐνεγγυησάμην ἐγὼ τούτῳ τὸν Παρμένοντα, οὐκ ἔστιν ὅπως τούτῳ μὲν ὑπὲρ ἐκεί-
νου ἀπηχθανόμην, πρόνοιαν ποιούμενος, ὅπως μὴ ἀπόλοιτο ἃ δι' ἐμοῦ τούτῳ συ-
νέβαινεν· αὐτὸς δ' ἐμαυτὸν περιεῖδον ἂν ὑπὲρ ἐκείνου πρὸς τοῦτον ἐν ἐγγύῃ καταλει-
πόμενον. ἵνα γὰρ ἐλπίδα ἔχων, τοῦτον ἀποστερήσεσθαί μου, ὃν αὐτὸς ἠνάγκαζον ἐ- 42
κείνῳ τὰ δίκαια ποιῆσαι, καὶ τὴν ἐγγύην αὐτὸν εἰσπρᾶξαι τὴν εἰς τὴν τράπε-
ζαν πρὸς ἀπέχθειαν; ἢ προσεδόκων ὑπὸ τούτου αὐτὸς πείσεσθαι; ἄξιον δὲ καὶ
τοῦτ' ἐνθυμηθῆναι, ὦ ἄνδρες δικασταί, ὅτι οὐκ ἄν ποτε ἔξαρνος ἐγενόμην, εἰ ἐνεγ-
γεγυήμην· πολὺ γὰρ ὁ λόγος ἦν μοι ἰσχυρότερος ὁμολογοῦντι τὴν ἐγγύην ἐπὶ τὰς 43
συνθήκας ἰέναι, καθ' ἃς καὶ ἡ ἐπιτροπὴ ἐγένετο· ὅτι μὲν γὰρ τρισὶν ἐπετράπη διαι-
τηταῖς, μεμαρτύρηται ὑμῖν. ὁπότε δὲ μὴ ἔγνωσται ὑπὸ τῶν τριῶν, τί βουλόμενος
ἠρνούμην ἂν τὴν ἐγγύην· μὴ γὰρ γενομένης τῆς γνώσεως κατὰ τὰς συνθήκας, οὐ-
δ' ἂν ἔτι τῆς ἐγγύης ὑπόδικος ἦν. ὥστε οὐκ ἄν ποτε, ὦ ἄνδρες δικασταί, παραλι- 44
πὼν τὴν εὔπορόν μοι ἀπολογίαν εἰ ἐνεγγυησάμην, ἐπὶ τὸ ἀρνεῖσθαι ἀπῆλθον. ἀλ-
λὰ μὴν καὶ τοῦτο μεμαρτύρηται ὑμῖν. ὅτι ἐπειδὴ ἠφανίσθησαν αἱ συνθῆκαι ὑπὸ
τούτων, ἐζήτουν ἑτέρας γράφεσθαι οὗτος καὶ ὁ Παρμένων, ὡς ἀκύρων ὄντων αὐτοῖς
τῶν προτέρων ὡμολογημένων. καίτοι ὁπότε περὶ τῆς μελλούσης γνώσεως γενήσεσθαι, 45
ἑτέρας ἐνεχείρουν συνθήκας γράφεσθαι, ἐπειδὴ αἱ ὑπάρχουσαι ἀπώλοντο, πῶς
ἐνῆν μὴ γραφεισῶν συνθηκῶν ἑτέρων, ἢ δίαιταν γενέσθαι, ἢ ἐγγύην· περὶ αὐτοῦ γὰρ
τούτου διενεχθέντες, οὐκ ἔγραψαν ἕτερα γράμματα, ὁ μὲν, ἀξιῶν ἕνα διαιτητὴν
αὐτῷ εἶναι· ὁ δὲ, τρεῖς. ὁπότε δὲ αἱ μὲν ἐξ ἀρχῆς συνθῆκαι ἠφανίσθησαν, καθ' ἃς 46
ἐμέ φησιν γενέσθαι ἐγγυητὴν, ἕτεραι δὲ μὴ ἐγράφησαν, πῶς ὀρθῶς ἄν μοι δικά-
ζοιτο, καθ' ἃς οὐ μὴ ἔχει παρασχέσθαι συνθήκας. ἀλλὰ μὴν καὶ ὡς ἀπηγόρευσεν ὁ
Παρμένων τῷ Ἀριστοκλεῖ καθ' αὑτοῦ μὴ γιγνώσκειν ἄνευ τῶν συνδιαιτητῶν, με-
μαρτύρηται ὑμῖν. ὅταν δὴ ὁ αὐτὸς ἠφανικὼς φαίνηται τὰ γράμματα, καθ' ἃ δεῖ 47
τὴν δίαιταν γενέσθαι, καὶ ἄνευ τῶν διαιτητῶν παρὰ τὴν ἀπόρρησιν φῇ δεδιῃ-
τηκέναι, πῶς ἂν τούτῳ τῷ ἀνθρώπῳ πιστεύσαντες, δικαίως ἐμὲ ἀπολέσετε· σκέ-
ψασθε γὰρ τοῦτο, ὦ ἄνδρες δικασταί, εἰ μὴ ἐμὲ νυνὶ, ἀλλὰ τὸν Παρμένοντα ἐδίωκεν
Ἀπατούριος οὑτοσί, εἰσπράττων τὰς εἴκοσι μνᾶς, ἰσχυριζόμενος τῇ Ἀριστοκλέους γνώ- 48
σει· ὁ δὲ Παρμένων παρὼν ἀπελογεῖτο ὑμῖν, καὶ μάρτυρας παρείχετο, τοῦτο μὲν, ὅτι
οὐ μόνῳ τῷ Ἀριστοκλεῖ, ἀλλὰ τρίτῳ ἐπέτρεψεν· εἶθ' ὅτι ἀπεῖπεν αὐτῷ ἄνευ τῶν
συνδιαιτητῶν καθ' αὑτοῦ μὴ ἀποφαίνεσθαι, καὶ ὅτι ἀπολομένης αὐτῷ τῆς γυ-
ναικὸς, καὶ τῶν παίδων ὑπὸ τοῦ σεισμοῦ, καὶ ἐπὶ τηλικαύτην συμφορὰν ἀπάραντος 49

ἀλλὰ μαρτυρεῖ μοι φημὶ τὸν νόμον.

ἐνεγυασάμην.

ἠχθόμην.

εἰσπεπραχέναι.

τοίνυν.

ἦλθον.

ἀπολέσαιτε.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οἴκαδε, ὁ τὰς συνθήκας ἠφανικὼς ἐρήμην αὐτοῦ ἐν τῇ ἀποδημίᾳ κατέγνω διαιτητὴν ἐστὶν ὅστις ἂν ὑμῶν ταῦτα τοῦ παρμένοντος ἀπολογουμένου, τὴν οὕτω παρανόμως γνωσθεῖσαν δίαιταν κυρίαν ἔγνω εἶναι; μὴ γὰρ ὅτι γε ἀμφισβητουμένων
50 ἁπάντων, ἀλλ' εἰ ἦσαν μὲν αἱ συνθῆκαι, ὡμολογεῖτο δὲ ° εἰσιέναι ὁ διαιτητὴς ἀριστοκλῆς, μὴ ἀπεῖπε δὲ ὁ παρμένων αὐτῷ καθ' αὑτοῦ μὴ διαιτᾶν, ἀλλὰ συνέβη πρὶν ἢ τὴν ἀπόφασιν γενέσθαι τῆς διαίτης ἡ συμφορὰ τῷ ἀνθρώπῳ, τίς οὕτως ὠμός ἐστιν ἀντίδικος, ἢ διαιτητής, ὃς οὐκ ἀνεβάλετο εἰς τὸ ἐπιδημῆσαι τὸν ἄνθρω- ° εἰσιέναι.
51 πον. εἰ δὲ ὁ παρμένων εἰς λόγον καταστάς, πανταχοῦ δικαιότερ' ἂν φαίνοιτο λέγων τούτῳ, πῶς ἂν ὀρθῶς ἐμοῦ καταγιγνώσκοιτε, ᾧ τὸ παράπαν πρὸς τὸν ἄνθρωπον τουτονὶ μηδὲν συμβόλαιόν ἐστιν. ὅτι μὲν οὖν ἐγὼ μὲν ὀρθῶς τὴν παραγραφὴν πεποίημαι, ἀπατούριος δὲ τὰ ψευδῆ μου ἐγκέκληκε, καὶ παρὰ τοὺς νόμους τὴν
52 λῆξιν πεποίηται, ἐκ πολλῶν οἶμαι ἐπιδεδεῖχθαι τοῦτο ὑμῖν, ὦ ἄνδρες δικασταί. τὸ δὲ κεφάλαιον πρὸς ἐμὲ οὐδ' ἐπιχειρήσει λέγειν ἀπατούριος, ὡς συνθῆκαί τινες αὐτῷ εἰσιν. ὅταν δὲ λέγῃ ψευδόμενος, ὡς ἐν ταῖς πρὸς τὸν παρμένοντα συνθήκαις ἐνεγράφην ἐγγυητής, ἀπαιτεῖτε αὐτὸν τὰς συνθήκας. καὶ ἐκ τούτου αὐτῷ ἀπιστεῖ-
53 τε, ὅτι πάντες ἄνθρωποι, ὅταν πρὸς ἀλλήλους ποιῶνται συγγραφάς, τούτου ἕνεκα σημηνάμενοι τίθενται παρ' οἷς ἂν πιστεύωσιν, ἵν', ἐάν τι ἀντιλέγωσιν ἑαυτοῖς, ἐπανέλθωσιν ἐπὶ τὰ γράμματα, ἐντεῦθεν τὸν ἔλεγχον ποιήσασθαι περὶ τοῦ ἀμφισβητουμένου. ὅταν δ' ἀφανίσας τις ° τἀληθές, λόγῳ ἐξαπατᾶν πειρᾶται, πῶς ἂν δι- ° ἂν. ° τὰ ἀφιείσ.
54 καίως πιστεύηται. ἀλλὰ νὴ Δία, * ὃ ῥᾷστον τοῖς ἀδικεῖν καὶ συκοφαντεῖν προῃρημένοις, μαρτυρήσει τις αὐτῷ κατ' ἐμοῦ. ἐὰν οὖν ἐπισκήψωμαι αὐτῷ, πόθεν τὴν ἀπόδειξιν ποιήσεται τοῦ ἀληθῆ μαρτυρεῖν. ἐκ τῶν συνθηκῶν; τοῦτο τοίνυν μὴ ἀναβαλλέσθω, ἀλλ' ἤδη φερέτω ὁ ἔχων τὰς συνθήκας. εἰ δ' ἀπολωλέναι φησὶ ταύτας, πόθεν * διὰ.
55 λάβω ἐγὼ τὸν ἔλεγχον καταψευδομαρτυρηθείς; εἰ γὰρ παρ' ἐμοὶ ἐτέθη τὸ γραμματεῖον, εἶχεν ἂν αἰτιάσασθαι ἀπατούριον, ὡς ἐγὼ διὰ τὴν ἐγγύην ἠφάνικα τὰς συνθήκας. εἰ δὲ παρὰ τῷ ἀριστοκλεῖ, διὰ τί, εἴπερ ἄνευ τῆς τούτου γνώμης ἀπολώλασιν αἱ συνθῆκαι; καὶ τῷ μὲν λαβόντι αὐτὰς καὶ οὐ παρέχοντι οὐ δικάζεται· ἐμοὶ
56 δ' ἐγκαλεῖ, μάρτυρα παρεχόμενος κατ' ἐμοῦ τὸν ἠφανικότα τὰς συνθήκας, ᾧ προσῆκεν αὐτὸν ὀργίζεσθαι, εἴπερ μὴ κοινῶς μετὰ τούτου ἐκακοτέχνει. εἴρηταί μοι τὰ δίκαια, ὅσα ἠδυνάμην. ὑμεῖς οὖν κατὰ τοὺς νόμους γιγνώσκετε τὰ δίκαια.

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΤΗΝ ΦΟΡΜΙΩΝΟΣ παραγραφὴν λόγου.

Φορμίων ἔμπορος, δανείζεται παρὰ χρυσίππου μνᾶς εἴκοσι, πλέων εἰς βόσπορον. ἀφικόμενος δὲ ἐκεῖσε, κατέλαβεν ἀπρασίαν τῶν φορτίων, ὧν ἐκόμιζε. διόπερ τοῦ ναυκλήρου λάμπιδος ἀποπλεῖν βουλομένου ἀθήναζε, καὶ κελεύοντος αὐτὸν ἐνθέσθαι τῇ νηῒ τὰ ἀγοράσματα τῶν χρημάτων παρὰ χρυσίππου· τοῦτο γὰρ ἔφραζεν ἡ συγγραφή. οὔτε φόρτον τινὰ ἐνέθετο, οὔτε ἀργύριον. ἀλλ' ἔφη πρὸς τὸν λάμπιν ἀδυνάτως ἔχειν ἐν τῷ παρόντι ποιῆσαι ταῦτα, μικρὸν δ' ὕστερον ὑφ' ἑτέρας ἐκπλεύσεσθαι νεὼς ἅμα τοῖς χρήμασιν. ἡ μὲν οὖν τοῦ λάμπιδος ναῦς, ἀναχθεῖσα διαφθείρεται· καὶ μετ' ὀλίγον ὁ λάμπις ἐν τῷ λέμβῳ σῴζεται. καὶ ἀφικόμενος ἀθήναζε, μηνύει χρυσίππῳ ° τῷ ἀτύχημα τοῦ φορμίωνος, ὡς ἀπελείφθη τε ἐν τῷ βοσπόρῳ, καὶ εἰς τὴν ναῦν οὐδὲν ἐνέθετο. ὁ δὲ φορμίων καταπλεύσας ὕστερον, καὶ τὸ ἀργύριον ἀπαιτούμενος, τὸ μὲν πρῶτον, ὡς ἔφη χρύσιππος, καὶ ὀφείλειν ὡμολόγει, καὶ ἀποδώσειν ὑπισχνεῖτο· ἔπειτα, ὡς ἀποδεδωκὼς λάμπιδι, ° μηδενὸς ὀφείλειν ἔλεγε. τὴν γὰρ συγγραφὴν κελεύειν παθούσης τι κατὰ θάλατταν τῆς νεώς, ἀπηλλάχθαι τοῦ ὀφλήματος τὸν φορμίωνα. ἔλαχεν οὖν δίκην αὐτῷ ὁ χρύσιππος. ὁ δὲ, συνεγράψατο. καὶ λάμπις ἐμαρτύρησε παρὰ τῷ διαιτητῇ, ὡς ἀπειληφὼς εἴη παρὰ φορμίωνος ἐν βοσπόρῳ τὰ χρήματα, καὶ ἀπολωλεκὼς μετὰ τῶν ἄλλων ἐν τῇ ναυαγίᾳ. πρότερον δὲ τοὐναντία τούτων εἰρήκει πρὸς χρύσιππον, ὡς οὐδὲν ὁ φορμίων εἰς τὴν ° τὸ. ° μηδέν.

ναῦν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ναῦν ὑπέθηκεν. ἐλεγχόμενος δὲ ἐπὶ τούτοις ὁ Λάμπις, ἐξεστηκέναι τότε ἔφησεν, ὅτι ἐκεῖνα πρὸς τὸν Χρύσιππον ἔλεγε. τούτων ἀκούσας ὁ διαιτητής, καὶ μηδὲν ἀποφηνάμενος, εἰς τὸ δικαστήριον τὸ πρᾶγμα πέπομφε. καὶ ὁ ἀγὼν ὀνόματι μέν ἐστι παραγραφικός· τῷ δὲ ἀληθεῖ, παρὰ τὴν εὐθεῖαν γίνεται. οὗ γὰρ καὶ ὁ ῥήτωρ κατ' ἀρχὰς ἐπισημαίνεται, ὡς οὐκ ἔστιν ὅλον παραγραφὴ τὸ λέγειν πεποιηκέναι πάντα κατὰ τὰ συγκείμενα, ἀποδεδωκέναι τὰ χρήματα Λάμπιδι, κελευούσης τοῦτο τῆς συγγραφῆς, καὶ ° ἀφικούσης ἐπὶ τοιούτῳ πάθει τὸ ὄφλημα. ταῦτα γάρ ἐστι τὴν εὐθυδικίαν ἀγωνιζομένου, καὶ τοῖς ἐπιφερομένοις ἐγκλήμασιν ἀπαντῶντος, οὐκ ἀναιροῦντος τὸν περὶ αὐτῶν ἀγῶνα, καὶ τὴν εἰσαγωγὴν τῆς δίκης. παραγραφὴν δέ, φησίν, ὁ νόμος δίδωσι περὶ τῶν μὴ γινομένων ὅλως Ἀθήνησι, μηδὲ εἰς Ἀθήνας συμβολαίων. τετήρηται δὲ ἐν τῷ λόγῳ τοῦτο, ὅπερ καὶ περὶ τὸν κατὰ Νεαίρας, ὅτι μὴ ὑφ' ἑνὸς εἴρηται προσώπου· ἀλλ' ἑκατέρου διαστολὴ φανερά· ἐνταῦθα δὲ συγκέχυται. δοκεῖ δὲ ἔμοιγε ἐντεῦθεν ὁ δεύτερος λέγειν. ἀκούσας τοίνυν ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, Θεόδοτος πολλάκις, καὶ νομίσας τὸν Λάμπιν ψευδῆ μαρτυρεῖν. δῆλον δὲ ὅτι κοινωνοί τινές εἰσιν οἱ πρὸς τὸν Φορμίωνα ἀγωνιζόμενοι.

°ἀφιείσης.

# ΔΗΜΟΣΘΕΝΟΥΣ Ο ΠΡΟΣ ΦΟΡΜΙΩΝΑ, ΥΠΕΡ ΔΑΝΕΙΟΥ ΛΟΓΟΣ.

Δίκαια ὑμῶν δεησόμεθα, ὦ ἄνδρες δικασταί, ἀκοῦσαι ἡμῶν με- 1
°λεγόντων. τ' εὐνοίας ἐν τῷ μέρει ° λέγοντας, γνόντας ὅτι ἰδιῶται παντε-
λῶς ἐσμέν, καὶ πολὺν χρόνον εἰς τὸ ὑμέτερον ἐμπόριον εἰσα-
φικνούμενοι, καὶ συμβόλαια πολλοῖς συμβάλλοντες, οὐδεμίαν
πώποτε δίκην πρὸς ὑμᾶς εἰσήλθομεν, οὔτ' ἐγκαλοῦντες, οὔ- 2
τ' ἐγκαλούμενοι ὑφ' ἑτέρων. οὐδ' ἂν νῦν ἀκριβῶς ἴστε, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ ὑπε-
*ἐπὶ. λαμβάνομεν ἀπολωλέναι τὰ χρήματα *ὑπὸ τῆς νεὼς τῆς διαφθαρείσης, ἃ
ἐδανείσαμεν Φορμίωνι, οὐκ ἄν ποτε ἐλάχομεν τὴν δίκην αὐτῷ. οὐχ οὕτω ἡμεῖς
ἀναίσχυντοί ἐσμεν, οὐδ' ἄπειροι τοῦ ζημιοῦσθαι. πολλῶν δ' ἡμᾶς κακιζόντων, καὶ 3
μάλιστα τῶν ἐμπόρων τῶν ἐπιδημησάντων ἅμα Φορμίωνι, οἵπερ τοῦτον ᾔδεσαν οὐ
πὼ ἀπολέσαντα τὰ χρήματα ἐν τῇ νηΐ, δεινὸν ἡγούμεθα εἶναι τὸ μὴ βοηθῆσαι ἡμῖν
ἀδικουμένοις ὑπὸ τούτου. περὶ μὲν οὖν τῆς παραγραφῆς, βραχύς ἐστιν ὁ λόγος·
καὶ γὰρ οὗτοι οὐ τὸ παράπαν συμβόλαιον ἐξαρνοῦνται μὴ γενέσθαι ἐν τῷ ἐμπο- 4
ρίῳ τῷ ὑμετέρῳ· ἀλλ' οὐκέτι εἶναί φασι πρὸς ἑαυτοὺς οὐδὲν συμβόλαιον. πεποιη-
κέναι γὰρ οὐδὲν ἔξω τῶν ἐν τῇ συγγραφῇ γεγραμμένων. οἱ μὲν οὖν νόμοι, καθ' οὓς
ὑμεῖς δικασταὶ κάθησθε, οὐχ οὕτω λέγουσιν· ἀλλ' ὑπὲρ μὲν τῶν μὴ γενομένων ὅ-
λως συμβολαίων Ἀθήνησι μηδ' εἰς τὸ Ἀθηναίων ἐμπόριον παραγράψασθαι δε- 5
δώκασιν. ἐὰν δέ τις γενέσθαι μὲν ὁμολογῇ, ἀμφισβητῇ δὲ ὡς πάντα πεποίηκε τὰ
συγκείμενα, ἀπολογεῖσθαι κελεύουσιν εὐθυδικίαν εἰσιόντα, οὐ κατηγορεῖν τοῦ διώκον-
τος. οὐ μὴν ἀλλ' ἔγωγε ἐλπίζω καὶ ἐξ αὐτοῦ τοῦ πράγματος δείξειν εἰσαγώγιμον
τὴν δίκην οὖσαν. σκέψασθε δ', ὦ ἄνδρες Ἀθηναῖοι, τί ὁμολογεῖται παρ' αὐτῶν 6
°ἐξετάσειν. τούτων, καὶ τί ἀντιλέγεται· οὕτω γὰρ ἂν ἄριστα ° ἐξετάσαιτε. οὐκοῦν δανείσασθαι μὲν
τὰ χρήματα ὁμολογοῦσι, καὶ συνθήκας ποιήσασθαι τοῦ δανείσματος. φησὶ δ' ἀπο-
*μόνοι. δεδωκέναι τὸ χρυσίον Λάμπιδι τῷ Δίωνος οἰκέτῃ ἐν Βοσπόρῳ. ἡμεῖς τοίνυν οὐ* τοῦ-
το δείξομεν ὡς οὐκ ἀποδέδωκεν· ἀλλ' ὡς οὐδ' ἐξῆν αὐτῷ ἀποδοῦναι. ἀναγκαῖα 7
δ' ἐστὶ βραχέα τῶν ἐξ ἀρχῆς διηγήσασθαι ὑμῖν· ἐγὼ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ἐδά-
νεισα Φορμίωνι τουτῳὶ εἴκοσι μνᾶς, ἀμφοτερόπλουν εἰς τὸν Πόντον, ἐπὶ ἑτέρᾳ ὑπο-
θήκῃ. καὶ συγγραφὴν ἐθέμην παρὰ Κίττῳ τῷ τραπεζίτῃ. κελευούσης δὲ τῆς συγ-
γραφῆς ἐνθέσθαι εἰς τὴν ναῦν τετρακισχιλίων φορτία ἄξια, πρᾶγμα ποιεῖ πάν- 8

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

9 τῶν δανειστῶν. εὐθὺς γὰρ ἐν τῷ Πειραιεῖ ἐπιδανείζεται λάθρα ἡμῶν, παρὰ μὲν Θεοδώρου τοῦ Φοίνικος, τετρακισχιλίας πεντακοσίας δραχμάς, παρὰ δὲ τοῦ ναυκλήρου Λάμπιδος, χιλίας δραχμάς. δέον δ' αὐτὸν καταγοράσαι φορτία Ἀθήνηθεν μνῶν ἑκατὸν δεκαπέντε, εἰ ἔμελλε τοῖς δανεισταῖς πείσειν τὰ ἐν ταῖς συγγραφαῖς γε- *πᾶσι ποιήσειν
10 γραμμένα, οὐ κατηγόρασεν, ἀλλ' ἢ πεντακισχιλίων καὶ πεντακοσίων δραχμῶν σὺν τῷ ἐπισιτισμῷ. ὀφείλει δὲ ἑβδομήκοντα μνᾶς καὶ πέντε. ἀρχὴ μὲν οὖν αὕτη ἐγένετο τοῦ ἀδικήματος, ὦ ἄνδρες Ἀθηναῖοι. οὔτε γὰρ τὴν ὑποθήκην παρέσχετο, οὔτε τὰ χρήματα ἐνέθετο εἰς τὴν ναῦν, κελευούσης τῆς συγγραφῆς ἐπάναγκες ἐν-
11 τίθεσθαι. Καί μοι λαβὲ τὴν συγγραφήν. Συγγραφή.

Λαβὲ δὴ καὶ τὴν τῶν πεντηκοστολόγων ἀπογραφήν, καὶ τὰς μαρτυρίας.

Απογραφή. Μαρτυρία.

Ελθὼν τοίνυν εἰς τὸν Βόσπορον, ἔχων ἐπιστολὰς παρ' ἐμοῦ, ἃς δέδωκ' αὐτῷ ἀπε-
12 νεγκεῖν τῷ παιδὶ τῷ ἐμῷ παραχειμάζοντι ἐκεῖ, καὶ κοινωνῷ τινι, γράψας ἐν τῇ ἐπιστολῇ, τό, τε ἀργύριον, ὃ ἐδεδανείκειν καὶ τὴν ὑποθήκην, καὶ προστάξας ἐπειδὰν τάχιστα ἐξαιρεθῇ τὰ χρήματα, ἐξετάζειν καὶ ἐπακολουθεῖν· τὰς μὲν ἐπιστολὰς οὐκ ἀποδίδωσιν οὗτος, ἃς ἔλαβε παρ' ἐμοῦ, ἵνα μηδὲν εἰδεῖεν ὧν ἔπραττεν
13 οὗτος· καταλαβὼν δ' ἐν τῷ Βοσπόρῳ μοχθηρὰ τὰ πράγματα διὰ τὸν συμβάντα πόλεμον τῷ Παιρισάδῃ πρὸς τὸν Σκύθην, καὶ τῶν φορτίων, ὧν ἦγε, πολλὴν ἀπρασίαν· ἐν πάσῃ ἀπορίᾳ ἦν· καὶ γὰρ οἱ δανεισταὶ εἴχοντο αὐτοῦ οἱ τὰ ἑτερόπλοια δανείσαντες. ὥστε τοῦ ναυκλήρου κελεύοντος αὐτὸν κατὰ τὴν συγγραφὴν ἐντίθεσθαι
14 τὰ ἀγοράσματα τῶν ἐμῶν χρημάτων, εἶπεν οὗτος ὁ νῦν φάσκων ἀποδεδωκέναι τὸ χρυσίον, ὅτι οὐκ ἂν δύναιτο ἐνθέσθαι εἰς τὴν ναῦν τὰ χρήματα. ἄπρατον γὰρ εἶναι τὸν αἰθέρα πιν. καὶ ἐκεῖνον μὲν ἐκέλευεν ἀνάγεσθαι· αὐτὸς δ', ἐπειδὰν διαθῆται τὰ φορτία, ἐφ' ἑτέρας νεὼς ἔφη ἐκπλεύσεσθαι. Καί μοι λέγε ταύτην τὴν *ἄπρατον. °φόρτον.
15 μαρτυρίαν. Μαρτυρία.

Μετὰ ταῦτα τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, οὗτος μὲν ἐν τῷ Βοσπόρῳ καταλέλειπτο. ὁ δὲ Λάμπις ἀναχθείς, ἐναυάγησεν οὐ μακρὰν ἀπὸ τοῦ ἐμπορίου· γεγεμισμένης γὰρ ἤδη τῆς νεώς, ὡς ἀκούομεν, μᾶλλον τοῦ δέοντος, προσανέλαβεν ἐπὶ τὸ *καταλείπεται
16 κατάστρωμα χιλίας βύρσας. ὅθεν καὶ ἡ διαφθορὰ τῇ νηῒ συνέβη. καὶ αὐτὸς μὲν ἀπεσώθη ἐν τῷ λέμβῳ μετὰ τῶν ἄλλων παίδων, τῶν Δίωνος· ἀπώλεσε δὲ πλέον, ἢ τριακόσια σώματα χωρὶς τῶν ἄλλων. πολλοῦ δὲ πένθους ἐν τῷ Βοσπόρῳ ὄντος, ὡς ἐπύθοντο τὴν διαφθορὰν τῆς νεώς, εὐδαιμόνιζον τὸν Φορμίωνα ἅπαντες του- *τριάκοντα.
17 τονί, ὅτι οὐ συνανήχθη, οὔτε ἔθετο εἰς τὴν ναῦν οὐδέν. συνέβαινε δὲ παρά τε τῶν ἄλλων καὶ παρὰ τούτου ὁ αὐτὸς λόγος. Καί μοι ἀνάγνωθι ταύτας τὰς μαρτυρίας.

Μαρτυρίαι.

Αὐτὸς μὲν τοίνυν ὁ Λάμπις, ᾧ φασὶν ἀποδεδωκέναι τὸ χρυσίον· τούτῳ γὰρ προ-
18 σέχετε τὸν νοῦν. προσελθόντος αὐτῷ ἐμοῦ, ἐπεὶ τάχιστα κατέπλευσεν ἐκ τῆς ναυαγίας Ἀθήναζε, καὶ ἐρωτῶντος ὑπὲρ τούτου, ἔλεγεν ὅτι οὔτε τὰ χρήματα ἐνθεῖτο εἰς τὴν ναῦν οὗτος κατὰ τὴν συγγραφήν, οὔτε τὸ χρυσίον εἰληφὼς εἴη παρὰ τούτου ἐν Βοσπόρῳ τότε. Καί μοι ἀνάγνωθι τὴν μαρτυρίαν τῶν παραγενομένων. *παρ' αὐτῶν

19 Μαρτυρία.

Ἐπειδὴ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐπεδήμησεν ὁ Φορμίων οὑτοσὶ σεσωσμένος

ἐφ' ἑτέρας

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νεὼς, προσιὼν αὐτῷ ἀπαιτῶν τὸ δάνειον. καὶ τὸ μὲν κατὰ μὲν ἀρχὰς, οὐ-
δεπώποτε, ὦ ἄνδρες Ἀθηναῖοι, εἶπε τὸν λόγον τοῦτον, ὃν νῦν λέγει· ἀλλ' ἀεὶ ὡμο-
λόγει ἀποδώσειν. ἐπειδὴ δ' ἀνεκοινώσατο τοῖς νῦν παροῦσιν αὐτῷ, καὶ συνδικοῦ- 20
σιν, ἕτερος ἤδη ἦν καὶ οὐχ ὁ αὐτός. ὡς δ' ᾐσθόμην αὐτὸν διακρουόμενόν με, προσ-
ερχόμην τῷ Λάμπιδι, λέγων, ὅτι οὐδὲν ποιεῖ τῶν δικαίων Φορμίων, οὐδ' ἀποδί-
δωσι τὸ δάνειον, καὶ ἅμα ἠρόμην αὐτὸν εἰ εἰδείη ὅπου ἐστὶν, ἵνα προσκαλεσαίμην.
ὁ δ' ἀκολουθεῖν μ' ἐκέλευεν ἑαυτῷ, καὶ καταλαμβάνομεν πρὸς τοῖς μυ- 21
λίοις αὐτόν. κἀγὼ κλητῆρας ἔχων προσεκαλεσάμην αὐτόν. καὶ ὁ Λάμπις, ὦ
ἄνδρες Ἀθηναῖοι, παρὼν προσκαλουμένῳ μοι οὐδαμοῦ ἐτόλμησεν εἰπεῖν, ὡς ἀπεί-
παρὰ τούτου τὸ χρυσίον· οὐδ', ὃ εἰκὸς ἦν, εἶπε, Χρύσιππε μαίνῃ. τί τοῦτον προσ-
καλεῖς· ἐμοὶ γὰρ ἀποδέδωκε τὸ χρυσίον. ἀλλὰ μὴν ὅτι ὁ Λάμπις οὐκ ἐφθέγξατο, 22
οὐδ' αὐτὸς οὑτοσὶ οὐδὲν ἠξίωσεν εἰπεῖν, παρεστηκότος τοῦ Λάμπιδος, ᾧ νῦν φη-
σιν ἀποδεδωκέναι τὸ χρυσίον· καίτοι εἰκός γε ἦν αὐτὸν εἰπεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, τί
προσκαλεῖς, ὦ ἄνθρωπε· ἀποδέδωκα γὰρ τούτῳ τῷ παρεστηκότι τὸ χρυσίον· καὶ ἅ-
μα ὁμολογοῦντα παρέχειν τὸν Λάμπιν· νυνὶ δ' οὐδ' ἕτερος αὐτῶν οὐδ' ὁτιοῦν εἶπεν 23
ἐν τῷ τοιούτῳ καιρῷ· καὶ ὅτι ἀληθῆ λέγω, λάβε μοι τὴν μαρτυρίαν τῶν κλητήρων.

Μαρτυρία.

Λάβε δή μοι καὶ τὸ ἔγκλημα, ὃ ἔλαχον αὐτῷ τρίτον· ὅ ἐστιν οὐδενὸς ἔλαττον
τεκμήριον, ὅτι οὐδεπώποτ' ἔφησε Φορμίων ἀποδεδωκέναι τὸ χρυσίον Λάμπιδι. 24

Ἔγκλημα.

Τοῦτο τὸ ἔγκλημα ἔλαχον ἐγὼ, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδαμόθεν ἄλλοθεν σκοπῶν,
ἀλλ' ἢ ἐκ τῆς ἀγγελίας τῆς Λάμπιδος· ὃς οὐκ ἔφασκεν οὔτε τὰ χρήματα ἐντε-
θεῖσθαι τοῦτον, οὔτε τὸ χρυσίον ἀπειληφέναι· μὴ γὰρ οἴεσθέ με οὕτως ἀπόπληκτον 25
εἶναι, καὶ παντελῶς μαινόμενον, ὥστε τοιοῦτο, ὦ ἄνδρες Ἀθηναῖοι, γράφειν ἔγκλη-
μα, ὁμολογοῦντος τοῦ Λάμπιδος ἀπειληφέναι τὸ χρυσίον, ὑφ' οὗ ἔμελλον ἐξελεγ-
χθήσεσθαι. ἔτι δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, κἀκεῖνο σκέψασθε· αὐτοὶ γὰρ οὗτοι παραγρα-
φὴν διδόντες τρίτον, οὐκ ἐτόλμησαν ἐν τῇ παραγραφῇ γράψαι, ὡς ἀποδεδώ- 26
κασι Λάμπιδι τὸ χρυσίον. Καί μοι λέγε ταύτην τὴν παραγραφήν.

Παραγραφή.

Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι οὐδαμοῦ γέγραπται ἐν τῇ παραγραφῇ, ὡς ἀ-
ποδέδωκε τὸ χρυσίον Φορμίων Λάμπιδι· καὶ ταῦτ' ἐμοῦ διαρρήδην γράψαντος εἰς 27
τὸ ἔγκλημα ὃ ἠκούσατε ἀρτίως, ὅτι οὔτε τὰ χρήματα ἔνθοιτο εἰς τὴν ναῦν, οὔτε ἀπο-
δέδωκε τὸ χρυσίον. ἵνα δὴ ἄλλον χρὴ περιμένειν ὑμᾶς μάρτυρα, ὅταν τηλικαύ-
την μαρτυρίαν παρ' αὐτῶν τούτων ἔχητε; μελλούσης δὲ τῆς δίκης εἰσιέναι εἰς τὸ δικα-
*ὑμῶν. στήριον, ἐδέοντο ὑμῶν ἐπιτρέψαι τινί. καὶ ἡμεῖς ἐπετρέψαμεν Θεοδότῳ ἰσοτελεῖ κατὰ 28
συνθήκας. καὶ ὁ Λάμπις μετὰ ταῦτα νομίσας αὐτῷ ἀσφαλὲς ἤδη εἶναι πρὸς διαι-
τητῇ μαρτυρεῖν ὅ,τι βούλοιτο, μεταστὰς μὲν ὡς τὸ ἐμὸν χρυσίον μετὰ Φορμίωνος τούτου, τὰ
ἥκει. ἐναντία εἰς πρότερον, εἴρηκεν· οὐ γὰρ ὅμοιόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰς τὰ ὑμέ-
τερα πρόσωπα ἐμβλέποντα τὰ ψευδῆ μαρτυρεῖν, καὶ πρὸς διαιτητῇ. παρ' ὑμῖν μὲν 29
*καὶ. γὰρ *ὀργὴ μεγάλη καὶ τιμωρία ὑπόκειται τοῖς τὰ ψευδῆ μαρτυροῦσι· πρὸς δὲ τῷ
διαιτητῇ, ἀκινδύνως καὶ ἀναισχύντως μαρτυροῦσιν ὅ, τι ἂν βούλωνται. ἀγανακτοῦν-
τος δέ μου καὶ σχετλιάζοντος, ὦ ἄνδρες Ἀθηναῖοι, ἐπὶ τῇ τόλμῃ τοῦ Λάμπιδος, καὶ 30



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

31 παρεχομένου πρὸς τὸν διαιτητὴν τὴν αὐτὴν μαρτυρίαν, ἥνπερ καὶ νῦν πρὸς
ὑμᾶς παρέχομαι, τὴν ἐξ ἀρχῆς προσελθόντων αὐτῷ μεθ' ἡμῶν, ὅτε οὔτε τὸ
χρυσίον ἔφη ἀπειληφέναι παρὰ τούτου, οὔτε χρήματα αὐτὸν ἐνθέσθαι εἰς τὴν
ναῦν, οὕτως ὁ λάμπις κατακράτος ἐξελεγχόμενος ψευδῆ μαρτυρῶν, καὶ πονηρὸς
32 ὤν, ὁμολογεῖ μὲν εἰρηκέναι ταῦτα πρὸς τοῦτον, οὐ μέντοι γε ἐντὸς ὢν εἰπεῖν αὐτό.
Καί μοι ἀνάγνωθι ταύτην τὴν μαρτυρίαν.

Μαρτυρία.

33 Ἀκούσας τοίνυν ἡμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, ὁ θεόδοτος πολλάκις, καὶ νομίσας τὸν
λάμπιν ψευδῆ μαρτυρεῖν, οὐκ ἀπέγνω τῆς δίκης· ἀλλ' ἐφῆκεν ὑμᾶς εἰς τὸ δικαστή-
ριον· καταγνῶναι μὲν γὰρ οὐκ ἠβουλήθη, διὰ τὸ οἰκείως ἔχειν φορμίωνι τούτῳ, ὡς ἡ-
μεῖς ὕστερον ἐπυθόμεθα· ἀπογνῶναι δὲ τῆς δίκης ὤκνει, ἵν' αὐτὸς μὴ ἐπιορκήσειεν. ἐξ
34 αὐτοῦ δὴ τοῦ πράγματος λογίσασθε, ὦ ἄνδρες δικασταί, περὶ ὑμῶν αὐτοῖς, ὁπόθεν ἔ-
μελλεν ἀποδώσειν οὗτος τὸ χρυσίον. ἐνθένδε μὲν γὰρ ἐξέπλει, οὐκ ἐνθέμενος εἰς τὴν
ναῦν τὰ χρήματα, καὶ ὑποθήκην οὐκ ἔχων· ἀλλ' ἐπὶ τοῖς ἐμοῖς χρήμασιν ἐπι-
δανεισάμενος. ἐν βοσπόρῳ δὲ ἀπρασίαν τῶν φορτίων κατέλαβε. καὶ τοὺς τὰ ἑ-
35 τερόπλοια δανείσαντας μόλις ἀπήλλαξε. καὶ οὗτος μὲν ἐδάνεισεν αὐτῷ δισχιλίας
δραχμὰς ἀμφοτερόπλουν, ὥστ' ἀπολαβεῖν Ἀθήνησι δισχιλίας ἑξακοσίας δρα-
χμάς. Φορμίων δέ φησιν ἀποδοῦναι λάμπιδι ἐν βοσπόρῳ ἑκατὸν καὶ εἴκοσι στα-
τῆρας κυζικηνούς· τούτῳ γὰρ προσέχετε τὸν νοῦν· δανεισάμενος ἐγγείων τόκων. ἦσαν
36 δὲ ἐφεκτοὶ οἱ ἔγγειοι τόκοι. ὁ δὲ κυζικηνὸς ἐδύνατο ἐκεῖ εἴκοσι καὶ ὀκτὼ δραχμὰς
ἀττικάς. δεῖ δὴ μαθεῖν ὑμᾶς ὅσα φησὶ χρήματα ἀποδεδωκέναι· τῶν μὲν γὰρ ἑκα-
τὸν εἴκοσι στατήρων, γίγνονται τρισχίλιαι τριακόσιαι ἑξήκοντα. ὁ δὲ τόκος ὁ ἔγγειος
ἐφεκτὸς τῶν τριάκοντα μνῶν καὶ τριῶν καὶ ἑξήκοντα, πεντακόσιαι δραχμαὶ καὶ
37 ἑξήκοντα. τὸ δὲ σύμπαν κεφάλαιον γίγνεται τόσον καὶ τόσον. ἔστιν οὖν, ὦ ἄνδρες δικασταί,
οὗτος ὁ ἄνθρωπος, ἢ γενήσεται" ποτε, ὃς ἀντὶ δισχιλίων ἑξακοσίων δραχμῶν τριά- "πώποτε.
κοντα μνᾶς καὶ τριακοσίας* ἀποτίνειν προείλετ' ἄν, "καὶ τόκον πεντακοσίας δρα- *καὶ ἑξήκοντα
χμὰς καὶ ἑξήκοντα δανεισάμενος, ἃς φησιν ἀποδεδωκέναι Φορμίων λάμπιδι, τρι- καὶ τόκον, οὐ
38 σχιλίας ἐννακοσίας εἴκοσιν; ἐξὸν δ' αὐτῷ ἀμφοτερόπλουν Ἀθήνησιν ἀποδοῦ- πεντακοσίας
ναι τὸ ἀργύριον, ἐν βοσπόρῳ ἀποδέδωκε, τρισὶ καὶ δέκα μνᾶς πλέον; καὶ τοῖς μὲν δραχμάς.
τὰ ἑτερόπλοια δανείσασι, μόλις τὰ ἀρχαῖα ἀποδέδωκας, οἳ συνέπλευσάν σοι "ἀπέδωκε τἀρ-
καὶ προσεδρεύον· τούτῳ δὲ τῷ μὴ παρόντι, οὐ μόνον τἀρχαῖα καὶ τοὺς τόκους ἀπε- χαῖον.
39 δίδους, ἀλλὰ καὶ τὰ ἐπιτίμια τὰ ἐκ τῆς συγγραφῆς ἀπέτινες, οὐδεμιᾶς σοι ἀ-
νάγκης οὔσης; κἀκείνους μὲν οὐκ ἐδεδίεις, οἷς αἱ συγγραφαὶ ἐν βοσπόρῳ τὴν πρᾶ-
ξιν ἐδίδοσαν τοῦ δανείου· τούτου δὲ φῂς φροντίζειν, ὃν ἐξ ἀρχῆς, ὥς φασιν, εὐθὺς ἠ-
δίκεις οὐκ ἐνθέμενος τὰ χρήματα εἰς τὴν ναῦν κατὰ τὴν συγγραφὴν Ἀθήνηθεν;
40 καὶ νῦν μὲν εἰς τὸ ἐμπόριον ἥκων, οὗ τὸ συμβόλαιον ἐγένετο, οὐκ ὀκνεῖς ἀποστερεῖν τὸν
δανείσαντα· ἐν βοσπόρῳ δὲ πλείω τῶν δικαίων φῂς ποιεῖν, οὗ δίκην οὐκ ἔμελλες δώ-
σειν; καὶ οἱ μὲν ἄλλοι πάντες οἱ τὰ ἑτερόπλοια δανειζόμενοι, ὅταν ἀποστέλλωνται
ἐκ τῶν ἐμπορείων, πολλοὺς παρίστανται, ἐπιμαρτυρόμενοι ὅτι τὰ χρήματα" ἐπι- "ἤδη κινδ.
41 κινδυνεύεται τῷ δανείσαντι· σὺ δ' ἐπισκήπτει μάρτυρι αὐτῷ τῷ "συνδικοῦντι, "συναδικοῦν-
καὶ οὐδὲ τὸν παῖδα τὸν ἡμέτερον παρέλαβες ἐν βοσπόρῳ ὄντα, οὔτε τὸν κοινωνόν, τι, καὶ οὐδέ.
οὔτε τὰς ἐπιστολὰς ἀπέδωκας αὐτοῖς, ἃς ἡμεῖς ἀπεδώκαμεν, ἐν αἷς ἐγέγραπτο πα-
ρακολουθεῖν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θειν σοι, οἷς μὲν προσέταττες; καίτοι, ὦ ἄνδρες Ἀθηναῖοι, τί οὐκ ἂν προσέξξεν ὁ
τοιοῦτος, ὅστις γράμματα λαβὼν μὴ ἀποδέδωκεν ὀρθῶς καὶ δικαίως; ἢ πῶς οὐ φα-
πανούργημα νερὸν ἐστιν ὑμῖν τὸ τούτου "κακούργημα ἐξ αὐτῶν ὧν ἔπραττε; καίτοι, ὦ γῆ καὶ θεοί, 42
προσῆκέ γε τοσοῦτον χρυσίον ἀποδιδόντα, καὶ πλέον τοῦ δανείσματος, περιβοήτους
ποιεῖν ἐν τῷ ἐμπορίῳ, καὶ παρακαλεῖν πάντας ἀνθρώπους, πρῶτον δὲ τὸν παῖ-
δα τὸν τούτου, καὶ τὸν κοινωνόν· ἴστε γὰρ δήπου πάντες, ὅτι δανείζονται μὲν μετ' ὀλί-
γων μαρτύρων· ὅταν δ' ἀποδιδῶσι, πολλοὺς παρίστανται μάρτυρας, ἵνα ἐπιεικεῖς δο- 43
κῶσιν εἶναι περὶ τὰ συμβόλαια. σὺ δ' ἀποδιδοὺς τό, τε δάνειον, καὶ τόκους ἀμφο-
τέρους, ἑτερόπλοιῳ τῷ ἀργυρίῳ κεχρημένῳ, καὶ προστιθεὶς ἑτέρας τριακοσίας δέ-
κα μνᾶς, πῶς οὐχὶ πολλοὺς τοὺς παραληψομένους μάρτυρας; καὶ εἰ τοῦτο ἔπραξας, οὐ-
δ' ἂν εἷς σοῦ μᾶλλον τῶν πλεόντων ἐθαυμάζετο. σὺ δ' ἀντὶ τοῦ πολλοὺς μάρ- 44
τυρας τούτων ποιεῖσθαι, πάντας ἀνθρώπους λανθάνειν ἐπειρῶ, ὥσπερ ἀδικῶν τι. καὶ
εἰ μὲν ἐμοὶ τῷ δανείσαντι ἀπεδίδους, οὐδὲν ἔδει μαρτύρων· τὴν γὰρ συγγραφὴν
ἀνελόμενος, ἀπήλλαξα ἂν τοῦ συμβολαίου, νῦν δ' οὐδ' ἐμοί, ἀλλ' ἑτέρῳ ὑπὲρ
ἐμοῦ ἀπεδίδους, καὶ οὐκ Ἀθήνησιν, ἀλλ' ἐν Βοσπόρῳ, καὶ τῆς συγγραφῆς σοι κει- 45
μένης Ἀθήνησι καὶ πρὸς ἐμὲ καὶ ᾧ τὸ χρυσίον ἀπεδίδους, ὄντος θνητοῦ, καὶ πέλα-
γος τοσούτου μέλλοντος πλεῖν, μάρτυρα οὐδένα ἐποιήσω, οὔτε δοῦλον, οὔτ' ἐλεύθερον.
ἡ γὰρ συγγραφή με, φησί, τῷ ναυκλήρῳ ἐκέλευεν ἀποδοῦναι τὸ χρυσίον. μάρτυρας
* εἰ δέ "γε, οὐκ ἐκώλυε παρακαλεῖν, οὐδὲ τὰς ἐπιστολὰς ἀποδοῦναι. καὶ οἶδε μὲν πρὸς 46
σὲ δύο συγγραφὰς ἐποιήσαντο ὑπὲρ τοῦ συμβολαίου, ὡς ἂν σοὶ μάλιστ' ἀπιστοῦν-
τες· σὺ δὲ μόνος μάρτυρ φῂς δοῦναι τῷ ναυκλήρῳ τὸ χρυσίον, εἰδὼς κατὰ τὴν κειμέ-
νην Ἀθήνησι συγγραφὴν πρὸς τοῦτον, λέγει δέ, ὡς ἡ συγγραφὴ σωθείσης τῆς νεὼς
αὐτὸν ἀποδοῦναι κελεύει τὰ χρήματα, καὶ ἐπενθέσθαι τὰ χρήσματα εἰς τὴν ναῦν 47
κελεύει σε. εἰ δὲ μή, πεντακισχιλίας δραχμὰς ἀποτίνειν. σὺ δὲ ταύτης μὲν τῆς συγ-
* ἐξαρχῆς γραφῆς οὐ λαμβάνῃ, παραβεβηκὼς δ' εὐθύς", καὶ τὰ χρήματα ἐξαρχῆς οὐκ
ἐνθέμενος, ἀμφισβητεῖς πρὸς ἓν ῥῆμα τῶν ἐν τῇ συγγραφῇ, καὶ τοῦτο ἀνῃρηκὼς
αὐτός. ὁπότε γὰρ ἐν τῷ Βοσπόρῳ φῂς μὴ τὰ χρήματα ἐνθέσθαι εἰς τὴν ναῦν, 48
ἀλλὰ τὸ χρυσίον τῷ ναυκλήρῳ ἀποδοῦναι, τί ἔτι περὶ τῆς νεὼς διαλέγῃ; οὐ γὰρ με-
τέσχηκας τοῦ κινδύνου, διὰ τὸ μηδὲν ἐνθέσθαι. καὶ τὸ μὲν πρῶτον, ὦ ἄνδρες Ἀθη-
* ἀθέμενος. ναῖοι, ὥρμησεν ἐπὶ ταύτην τὴν σκῆψιν, ὡς ἐντεθειμένος τὰ χρήματα εἰς τὴν ναῦν.
ἐπειδὴ δὲ τοῦτο ἐκ πολλῶν ἔμελλεν ἐξελεγχθήσεσθαι ψευδόμενος, ἔκ τε τῆς ἀπο- 49
γραφῆς τῆς ἐν Βοσπόρῳ παρὰ τοῖς ἐλλιμενισταῖς, καὶ ὑπὸ τῶν ἐμπορίῳ ἐπιδημού-
των κατὰ τὸν αὐτὸν χρόνον, τηνικαῦτα μεταβαλλόμενος συνίσταται μετὰ τοῦ Λάμπι-
δος, καὶ φησὶν ἐκείνῳ τὸ χρυσίον ἀποδεδωκέναι, ἐφόδιον μὲν λαβὼν τό, τὴν συγ-
* ἀπόρους. γραφὴν κελεύειν, οὐκ ἂν ἡγούμενος δ' ἡμᾶς "ἀπόρους ἐλέγξαι, ὅσα μόνοι πρὸς 50
αὑτοὺς αὐτοὶ προεῖξαν. καὶ ὁ Λάμπις, ὅσα μὲν εἶπε πρὸς ἐμὲ πρὶν ὑπὸ τούτου
διαφθαρῆναι, οὐκ ἐν τοῖς ὧν αὐτοῦ φησιν εἶναι· ἐπειδὴ δὲ τὸ χρυσίον τοὐμὸν ἐμεί-
σατο, τότε ἐν τοῖς εἶναί φησιν αὐτοῦ, καὶ πάντ' ἀκριβῶς μνημονεύειν. εἰ μὲν οὖν, ὦ
ἄνδρες δικασταί, ἐμοῦ μόνου κατεφρόνει Λάμπις, οὐδὲν μὲν ἦν θαυμαστόν. νῦν δέ, 51
ὑμᾶς. πολλῷ δεινότερα τούτου πεπραχὼς αὐτῷ πρὸς πάντας". κήρυγμα γὰρ ποιησα-
μένου Παιρισάδου ἐν Βοσπόρῳ, ἐάν τις βούληται Ἀθήναζε εἰς τὸ Ἀττικὸν ἐμπόριον
σιτηγεῖν, ἀτελῆ τὸν σῖτον ἐξάγειν, ἐπιδημῶν ἐν τῷ Βοσπόρῳ Λάμπις, ἔλαβε τὴν

52 ἐξαγωγὴν τοῦ σίτου, καὶ τὴν ἀτέλειαν ἐπὶ τῷ τῆς πόλεως ὀνόματι. γεμίσας δ' ἐν τὴν
μεγάλην σίτου, ἐκόμισεν εἰς Ἄκανθον κἀκεῖ διέθετο προσκοινωνήσας τούτῳ ἀπὸ
τῶν ἡμετέρων χρημάτων. καὶ ταῦτ' ἔπραξεν, ὦ ἄνδρες δικασταί, οἰκῶν μὲν Ἀθήνη-
σιν, οὔσης δ' αὐτῷ γυναικὸς ἐνθάδε καὶ παίδων, τῶν δὲ νόμων τὰ ἔσχατα ἐπιτίμια
53 προστεθηκότων, εἴ τις οἰκῶν Ἀθήνησιν ἄλλοσέ ποι σιτηγήσειεν, ἢ εἰς τὸ Ἀττικὸν ἐμπό-
ριον. ἔτι δ' ἐν τῷ τοιούτῳ καιρῷ, ἐν ᾧ ὑμῶν οἱ μὲν ἐν τῷ ἄστει οἰκοῦντες, διεμε-
τροῦντο ἄλφιτα ἐν τῷ ᾠδείῳ· οἱ δ' ἐν τῷ Πειραιεῖ, ἐν τῷ νεωρίῳ διελάμβανον
κατ' ὀβολὸν τοὺς ἄρτους, καὶ ἐπὶ τῆς μακρᾶς στοᾶς, τὰ ἄλφιτα καθ' ἡμιέκτεον με-
54 τρούμενοι, καὶ καταπατούμενοι. καὶ ὅτι ἀληθῆ λέγω, λάβε μοι τήν τε μαρτυρίαν
καὶ τὸν νόμον.

Μαρτυρία. Νόμος.

Φορμίων τοίνυν τούτῳ χρώμενος κοινωνῷ καὶ μάρτυρι, οἴεται δεῖν ἀποστερῆσαι
55 τὰ χρήματα ἡμᾶς, οἵ γε σιτηγοῦντες διατετελέκαμεν εἰς τὸ ἡμέτερον ἐμπό- *ὑμέτερον
ριον, καὶ τριῶν ἤδη καιρῶν κατειληφότων τὴν πόλιν, ἐν οἷς ὑμεῖς τοὺς χρησίμους
τῷ δήμῳ ἐξητάζετε, οὐδενὸς τούτων ἀπολελείμμεθα· ἀλλ' ὅτε μὲν Ἀλέξανδρος
εἰς Θήβας παρῄει, ἐπεδώκαμεν ὑμῖν τάλαντον ἀργυρίου. ὅτε δὲ ὁ σῖτος ἐπετιμήθη
56 πρότερον, καὶ ἐγίνετο ἑκκαίδεκα δραχμῶν, εἰσαγαγόντες πλείους ἢ μυρίους με-
δίμνους πυρῶν, διεμετρήσαμεν ἡμῖν τῆς καθεστηκυίας τιμῆς πέντε δραχμῶν τὸν *ὑμῖν
μέδιμνον. καὶ ταῦτα πάντες ἴστε ἐν τῷ πομπείῳ διαμετρούμενοι. πέρυσι δὲ εἰς
τὴν σιτωνίαν τὴν ὑπὲρ τοῦ δήμου, τάλαντον ὑμῖν ἐπεδώκαμεν, ἐγώ τε καὶ ὁ ἀ-
57 δελφός. Καί μοι ἀνάγνωθι τούτων τὰς μαρτυρίας. Μαρτυρίαι.

Ἀλλὰ μὴν εἴ γε δεῖ καὶ τούτοις τεκμαίρεσθαι, οὐκ εἰκὸς ἦν ἐπιδιδόναι μὲν ἡ-
μᾶς τοσαῦτα χρήματα ἵνα παρ' ἡμῶν δόξαν ἔχωμεν, συκοφαντεῖν δὲ Φορμίωνα, *ὑμῶν
ἵνα τὴν ὑπάρχουσαν ἐπιείκειαν ἀποβάλωμεν. δικαίως ἂν οὖν βοηθήσαιτε ἡμῖν, ὦ
58 ἄνδρες δικασταί. ἐπέδειξα γὰρ ὑμῖν, οὔτ' ἐξ ἀρχῆς τὰ φορτία ἐνθέμενον τοῦτον εἰς
τὴν ναῦν ἁπάντων ὧν ἐδανείσατο Ἀθήνηθεν, τῶν τε ἐν τῷ Βοσπόρῳ πραθέν-
των τοὺς τὰ ἑτερόπλοια δανείσαντας, μόλις διαλύσαντα. ἔτι δὲ οὔτ' εὐποροῦντα,
οὐδ' οὕτως ὄντ' ἀβέλτερον, ὥστε ἀντὶ δισχιλίων καὶ ἑξακοσίων δραχμῶν, τριάκον-
59 τα μνᾶς καὶ ἐννέα ἀποδοῦναι. πρός τε τούτοις, ὅτι ἀποδοῦναί φησι τὸ χρυσίον
Λάμπιδι, οὔτε παραλαβόντα τὸν παῖδα τὸν ἐμόν, οὔτε τὸν κοινωνὸν ἐπιδημοῦντα
ἐν Βοσπόρῳ. ἐμοὶ δὲ Λάμπις αὐτὸς μαρτυρῶν φαίνεται, ὡς οὐκ ἀπείληφε τὸ χρυ-
σίον πρὶν ὑπὸ τούτου διαφθαρῆναι. καίτοι εἰ καθ' ἓν ἕκαστον οὕτως ἐδείκνυε Φορ-
60 μίων, οὐκ οἶδ' ὅπως ἂν ἄλλως ἄμεινον ἀπελογήσατο. ὑπὲρ δὲ τοῦ τὴν δίκην εἰ-
σαγώγιμον εἶναι, ὁ νόμος αὐτὸς διαμαρτύρεται, κελεύων τὰς δίκας εἶναι τὰς ἐμπο-
ρικὰς τῶν συμβολαίων* Ἀθήνησι, καὶ εἰς τὸ τῶν Ἀθηναίων ἐμπόριον, καὶ οὐ μόνον* Ἀ- *τῶν. *τῶν.
θήνησιν, ἀλλὰ καὶ ὅσα ἂν γένηται ἕνεκα τοῦ πλοῦ, τοῦ Ἀθήναζε. Λάβε δή μοι τοὺς
61 νόμους. "Νόμος. "Νόμοι.

Ὡς μὲν τοίνυν γέγονε τὸ συμβόλαιον πρὸς Φορμίωνα Ἀθήνησιν οὐδ' αὐτοὶ ἔξαρ-
νοί εἰσι, παραγράφονται δὲ τὴν δίκην οὐκ εἰσαγώγιμον οὖσαν. ἀλλ' εἰς ποῖον δικα- *κ. δὲ ὡς οὐκ εἰσαγώγιμον τὴν δίκην οὖσαν.
στήριον εἰσέλθωμεν, ὦ ἄνδρες δικασταί, εἰ μὴ πρὸς ὑμᾶς, οὗπερ τὸ συμβόλαιον ἐ-
62 ποιησάμεθα; δεινὸν γὰρ ἂν εἴη, εἰ μὲν ἕνεκα τοῦ πλοῦ τοῦ Ἀθήναζε ἠδικούμην, εἶ-
ναί μοι παρ' ὑμῖν τὸ δίκαιον λαβεῖν παρὰ Φορμίωνος· ἐπειδὴ δὲ τὸ συμβόλαιον

ἐν τῷ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐν τῷ ὑμετέρῳ ἐμπορείῳ γέγονε, μὴ φάσκειν τούτοις παρ' ὑμῖν ὑφέξειν τὴν δίκην. καὶ
ὅτε μὲν Θεοδότῳ τὴν δίαιταν ἐπετρέψαμεν, ὡμολόγησαν εἶναι καθ' ἑαυτὴν ἐμοὶ
τὴν δίκην εἰσαγώγιμον· νῦν δὲ τοὐναντίον λέγουσιν, ὧν πρότερον αὐτοὶ συγκεχω- 63
ρήκασιν, ὡς δέον παρὰ μὲν τῷ Θεοδότῳ τῷ ἰσοτελεῖ, ἀποφεύγειν αὐτοὺς δίκην ἀπὸ
παραγραφῆς· ἐπεὶ δ' εἰς τὸ Ἀθηναίων δικαστήριον εἰσερχόμεθα, μηκέτ' εἰσαγώ-
γιμον εἶναι τὴν δίκην. ἐνθυμοῦμαι δ' ἔγωγε τί ἄν ποτε εἰς τὴν παραγραφὴν
ἔγραψεν, εἰ ὁ Θεόδοτος ἀπέγνω τῆς δίκης, ὅπου νῦν, γνόντος τοῦ Θεοδότου ἀπιέναι 64
ἡμᾶς εἰς τὸ δικαστήριον, οὔ φησι τὴν δίκην εἶναι εἰσαγώγιμον παρ' ὑμῖν, πρὸς οὓς
ἐκεῖνος ἔγνω ἀπιέναι. πάθοιμι μέντ' ἂν * δεινότατα, εἰ οἱ μὲν νόμοι τῶν Ἀθήνησι
συμβολαίων κελεύουσι τὰς δίκας εἶναι πρὸς τοὺς θεσμοθέτας· ὑμεῖς δ' ἀπογνοίη-
τε τὰς δίκας, ὀμωμοκότες κατὰ τοὺς νόμους ψηφιεῖσθαι. τοῦ μὲν οὖν δανεῖσαι ἡμᾶς 65
τὰ χρήματα, αἵ τε συνθῆκαι, καὶ αὐτὸς οὗτός ἐστι μάρτυς· τοῦ δ' ἀποδεδωκέναι, οὐ-
δείς ἐστι μάρτυς ἔξω τοῦ Λάμπιδος τοῦ συναδικοῦντος. καὶ * οὗτος μὲν εἰς ἐκεῖνον
μόνον ἀναφέρει τὴν ἀπόδοσιν· ἐγὼ δέ, εἴς τε τὸν Λάμπιν αὐτόν, καὶ τοὺς ἀκούσαν-
τας αὐτοῦ, ὅτι οὐκ ἔφη ἀπειληφέναι τὸ χρυσίον. τούτῳ μὲν οὖν, τοὺς ἐμοὺς μάρ- 66
τυρας ἔξεστι κρίνειν, εἰ μή φησιν * ἀληθῆ μαρτυρεῖν αὐτούς. ἐγὼ δ' οὐκ ἔχω τί χρή-
σωμαι τοῖς τούτου μάρτυσιν· οἵ φασιν εἰδέναι τὸν Λάμπιν μαρτυροῦντα ἀπειλη-
φέναι τὸ χρυσίον. εἰ μὲν γὰρ ἡ μαρτυρία ἡ τοῦ Λάμπιδος κατεβέβλητο ἐνταῦθα,
ἴσως ἂν ἐφάσκομεν * αὐτοὶ δίκαιον εἶναι ἐπισκήπτεσθαι μὲ ἐκείνῳ. νῦν δ' οὔτε τὴν 67
μαρτυρίαν ταύτην ἔχω, οὗτοί τε οἴεται δεῖν ἀθῷος εἶναι, οὐδὲν βέβαιον ἐνέχυ-
ρον καταλιπὼν ὧν πείθει ὑμᾶς ψηφίσασθαι. πῶς δ' οὐκ ἂν εἴη ἄτοπον, εἰ αὐτοῦ
Φορμίωνος ὁμολογοῦντος δανείσασθαι, φάσκοντος δὲ ἀποδεδωκέναι, τὸ μὲν ὁμο-
λογούμενον ὑπ' αὐτοῦ τούτου ἄκυρον ποιήσετε, τὸ δ' ἀμφισβητούμενον κύριον 68
ψηφιεῖσθε; καὶ ὁ μὲν Λάμπις, ᾧ οὗτος σκήπτεται, μαρτυρεῖ ἔξαρνος γενόμενος τὸ
ἐξ ἀρχῆς, ὡς οὐκ ἀπείληφε τὸ χρυσίον· ὑμεῖς δὲ γνόντες ὡς ἀπείληφ' ἐκεῖνος, οὐκ
* ἐστὲ μάρτυρες τοῦ πράγματος; καὶ ὅσα μὲν εἶπε μετὰ τῆς ἀληθείας, μὴ χρῆσθε
ἐν τεκμηρίῳ, ἀλλ' ἐψεύσατο ὕστερον ἐπεὶ διεφθάρη, πιστότερα ταῦτα ὑπολά- 69
βοιτε εἶναι. καὶ μήν, ὦ ἄνδρες Ἀθηναῖοι, πολὺ δικαιότερόν ἐστι, τοῖς ἐξ ἀρχῆς ῥη-
θεῖσι τεκμαίρεσθαι μᾶλλον, ἢ τοῖς ὕστερον τεκταινομένοις. τὰ μὲν γάρ, οὐκ ἐκ * παι-
δεύσεως, ἀλλ' ἐκ τῆς ἀληθείας ἔλεγε. τὰ δ' ὕστερον, ψευδόμενος, καὶ πρὸς τὸ συμ-
φέρον αὑτῷ. ἀναμνήσθητε δέ, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι οὐδ' αὐτὸς ὁ Λάμπις ἔξαρ- 70
νος ἐγένετο, ὡς οὐκ εἴη εἰρηκώς, ὅτι οὐκ ἀπείληφε τὸ χρυσίον· ἀλλ' εἰπεῖν μὲν
ὡμολόγει· οὐ μέντοι γε ἐντὸς ὢν αὑτοῦ εἰπεῖν. οὐκοῦν ἄτοπον, εἰ τῆς ἐκείνου μαρτυ-
ρίας, τὸ μὲν πρὸς τοῦ ἀποστεροῦντος πιστῶς ἀκούσεσθε, τὸ δ' ὑπὲρ τῶν ἀποστε-
ρουμένων, ἄπιστον ἔσται παρ' ὑμῖν. μηδαμῶς, ὦ ἄνδρες δικασταί. ὑμεῖς γάρ ἐστε οἱ 71
αὐτοί, οἱ τὸν ἐπιδεδανεισμένον ἐκ τοῦ ἐμπορίου πολλὰ χρήματα, καὶ τοῖς δανεισταῖς
οὐ παρέχοντα τὰς ὑποθήκας, θανάτῳ ζημιώσαντες, εἰσαγγελθέντα ἐν τῷ δή-
μῳ, καὶ ταῦτα πολίτην ὑμέτερον ὄντα, καὶ πατρὸς ἐστρατηγηκότος. ἡγεῖσθε γὰρ τοὺς
τοιούτους, οὐ μόνον τοὺς ἐντυγχάνοντας ἀδικεῖν, ἀλλὰ καὶ κοινῇ βλάπτειν τὸ ἐμπό- 72
ριον ὑμῶν, εἰκότως. αἱ γὰρ ἐμπορεῖαι τοῖς ἐργαζομένοις οὐκ ἀπὸ τῶν δανειζομέ-
νων, ἀλλ' ἀπὸ τῶν δανειζόντων εἰσί. καὶ οὔτε ναῦν, οὔτε ναύκληρον, οὔτ' ἐπιβά-
την ἔστ' ἀναχθῆναι, τὸ τῶν δανειζόντων μέρος ἂν ἀφαιρεθῇ. ἐν μὲν οὖν τοῖς

* δε.
* αὐτός.
* ἐλέγχειν.
* ἔπι.
* εἶπε.
* παρασκευῆς. γρ. ἐξ ἐπιτηδεύσεως.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νόμοις, πολλαὶ καὶ καλαὶ βοήθειαί εἰσιν αὐτοῖς. * ὑμᾶς δεῖ ˋτοῖςˊ ἐπιεικέσι φαίνεσθαι, καὶ μὴ συγχωροῦντας τοῖς πονηροῖς, ἵν᾽ ὑμῖν ὡς πλείστη ὠφελεία ἀπὸ τοῦ ἐμπορείου ᾖ. ἔσται δὲ, ἐὰν φυλάττητε τοὺς τὰ ἑαυτῶν προϊεμένους, καὶ μὴ ἐπιτρέπητε ἀδικεῖσθαι ὑπὸ τῶν τοιούτων θηρίων. ἐγὼ μὲν οὖν ὅσαπερ οἷός τ᾽ ἦν, εἴρηκα. καλῶ δὲ καὶ ἄλλον τινὰ τῶν φίλων, ἐὰν κελεύητε.

### ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΤΗΝ ΛΑΚΡΙΤΟΥ παραγραφὴν λόγου.

Ἀνδροκλῆς δανείσας χρήματα Ἀρτέμωνι Φασηλίτῃ τὸ γένος, ἐμπόρῳ, τελευτήσαντος ἐκείνου πρὶν ἀποδοῦναι τὸ ἀργύριον, εἰσπράττει τὸν ἀδελφὸν αὐτοῦ Λάκριτον τὸν σοφιστὴν, δύο προβαλλόμενος δίκαια· ὅτι τε παρόντος Λακρίτου καὶ ἀναδεξαμένου τὸ ἀργύριον ἐδάνεισε τῷ Ἀρτέμωνι, καὶ ὅτι κληρονόμος ἐστὶ * τῆς Ἀρτέμωνος Λάκριτος. ὁ δὲ, τῆς μὲν κληρονομίας ἀφίστασθαί φησι, παραγράφεται δὲ τὴν δίκην λέγων μηδὲν ἑαυτῷ πρὸς Ἀνδροκλέα συμβόλαιον εἶναι, μηδὲ συγγραφὴν μηδεμίαν. παντὸς δὲ καὶ τὸ ἀναδέχεσθαι ἔξαρνος γίνεται. οὐδὲ γὰρ ἂν τοῦτο ὁμολογῶν ἠγωνίζετο πρὸς τὴν ἔκπραξιν. οὐκ ὀρθῶς δέ τινες ἐνόμισαν τὸν λόγον μὴ γνήσιον εἶναι, ἀμυδροῖς ἀπατηθέντες τεκμηρίοις. τὸ μὲν γὰρ τῆς φράσεως ἀνειμένον, οὐκ ἀπρεπὲς ἰδιωτικοῖς ἀγῶσι. τὸν δὲ διὰ τὸν ἀνάπαιστα κατὰ τὴν τοῦ προσώπου ὑποκειμένου συνήθειαν, δῆλός ἐστιν ὠνομακώς. πρὸς δὲ τὴν παραγραφὴν ἀσθενέστερον ἀπήντηκε διὰ τὸ πρᾶγμα τὸ πονηρόν. * τῷ. γρ. τῶν

# ΔΗΜΟΣΘΕΝΟΥΣ Ο ΠΡΟΣ ΤΗΝ ΛΑΚΡΙΤΟΥ ΠΑΡΑΓΡΑΦΗΝ ΛΟΓΟΣ.

1 ΟΥΔΕΝ καινὸν διαπράττονται οἱ Φασηλῖται, ὦ ἄνδρες
δικασταὶ, ἀλλ᾽ ἅπερ εἰώθασιν. οὗτοι γὰρ δεινότατοι μέν εἰσι δα-
νείσασθαι χρήματα ἐν τῷ ἐμπορείῳ, ἐπειδὰν δὲ λάβωσι, καὶ
συγγραφὴν συγγράψωνται ναυτικὴν, εὐθὺς ἐπελάθοντο καὶ τῶν
2 συγγραφῶν, καὶ τῶν νόμων, καὶ ὅτι δεῖ ἀποδοῦναι αὐτοὺς ἃ ἔλα-
βον. καὶ οἴονται, ἐὰν ἀποδῶσιν, ὥσπερ τῶν ἰδίων τι τῶν ἑαυτῶν
ἀποδεδωκέναι· ἀλλ᾽ ἀντὶ τοῦ ἀποδοῦναι, σοφίσματα εὑρίσκουσι, καὶ παραγραφὰς,
καὶ προφάσεις, καὶ εἰσὶ πονηρότατοι ἀνθρώπων καὶ ἀδικώτατοι. τεκμήριον δὲ τού-
3 του. πολλῶν γὰρ ἀφικνουμένων εἰς τὸ ὑμέτερον ἐμπόριον καὶ Ἑλλήνων καὶ βαρβά-
ρων, πλείους δίκαι εἰσὶν ἑκάστοτε αὐτῶν τῶν Φασηλιτῶν, ἢ τῶν ἄλλων ἁπάντων.
οὗτοι μὲν οὖν τοιοῦτοί εἰσιν. ἐγὼ δὲ, ὦ ἄνδρες δικασταὶ, χρήματα δανείσας Ἀρτέ-
μωνι τῷ τούτου ἀδελφῷ κατὰ τοὺς ἐμπορικοὺς νόμους, εἰς τὸν Πόντον, καὶ πάλιν ᾽Α-
4 θήναζε· τελευτήσαντος δ᾽ ἐκείνου πρὶν ἀποδοῦναί μοι τὰ χρήματα, Λακρίτῳ
τούτῳ εἴληχα τὴν δίκην ταύτην κατὰ τοὺς αὐτοὺς νόμους τούτους, καθάπερ τὸ συμ-
βόλαιον ἐποιησάμην, ἀδελφῷ ὄντι τούτῳ ἐκείνου, καὶ ἔχοντι πάντα τὰ Ἀρτέμω-
νος, καὶ ὅσα ἐνθάδε κατέλιπε, καὶ ὅσα ἦν αὐτῷ ἐν τῇ Φασήλιδι, καὶ κληρονόμῳ
5 ὄντι τῶν ἐκείνου ἁπάντων, καὶ οὐκ ἂν ἔχοντος τούτου δεῖξαι νόμον, ὅστις αὐτῷ δίδωσιν
ἐξουσίαν ἔχειν μὲν τὰ τοῦ ἀδελφοῦ, καὶ διῳκηκέναι ὅπως ἐδόκει αὐτῷ, μὴ ἀπο-
δοῦναι δὲ τὰ ἀλλότρια χρήματα, ἀλλὰ λέγει νῦν, ὅτι οὐκ ἔστι κληρονόμος, ἀλλ᾽
ἀφίσταται τῶν ἐκείνου. ἡ μὲν τουτουὶ Λακρίτου πονηρία τοιαύτη ἐστίν. ἐγὼ δὲ ὑμῶν
6 δέομαι, ὦ ἄνδρες δικασταὶ, εὐνοϊκῶς ἀκοῦσαί μου περὶ τοῦ πράγματος τουτουί·
κἂν ἐξελέγξω αὐτὸν ἀδικοῦντα ἡμᾶς τε τοὺς δανείσαντας, καὶ ὑμᾶς οὐδὲν ἧττον,

βοηθεῖτε

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἡμῖν τὰ δίκαια. ἐγὼ γὰρ, ὦ ἄνδρες δικασταὶ, οὐδ᾽ ὁπωστιοῦν ἐγνώριζον τούτους τοὺς ἀνθρώπους. Θρασυμήδης δὲ ὁ Διοφάντου υἱὸς ἐκείνου τοῦ Σφηττίου, καὶ 7
Μελάνωπος ὁ ἀδελφὸς αὐτοῦ, ἐπιτήδειοί μοι εἰσὶ, καὶ χρώμεθα ἀλλήλοις ὡς οἷόν τε μάλιστα. οὗτοι προσῆλθόν μοι μετὰ Λακρίτου τουτουὶ, ὁπόθεν δήποθεν ἐγνωρισμένοι τούτῳ· οὐ γὰρ οἶδα· καὶ ἐδέοντό μου δανεῖσαι χρήματα εἰς τὸν Πόντον Ἀρτέμωνι τῷ τούτου ἀδελφῷ, καὶ Ἀπολλοδώρῳ, ὅπως ἐνεργοὶ ὦσιν. οὐδὲν εἰδὼς, ὦ ἄνδρες δικασταὶ, 8
οὐδὲ ὁ Θρασυμήδης τὴν τούτων πονηρίαν, ἀλλ᾽ οἰόμενος εἶναι ἐπιεικεῖς ἀνθρώπους, καὶ οἷοίπερ προσεποιοῦντο καὶ ἔφασαν εἶναι, καὶ ἡγούμενος αὐτοὺς ποιήσειν πάντα, ὅσα περ ὑπισχνεῖτο καὶ ἀνεδέχετο Λάκριτος οὑτοσί. πλεῖστον δ᾽ ἦν ἄρα ἐψευσμένος, καὶ οὐδὲν ᾔδει οἵοις θηρίοις ἐπλησίαζε τοῖς ἀνθρώποις τούτοις. κἀγὼ πεισθεὶς ὑπὸ 9
τοῦ Θρασυμήδους, καὶ τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ Λακρίτου τουτουὶ ἀναδεχομένου μοι πάντ᾽ ἔσεσθαι τὰ δίκαια παρὰ τῶν ἀδελφῶν τῶν αὐτοῦ, ἐδάνεισα μετὰ ξένου τινὸς ἡμετέρου Καρυστίου, τριάκοντα μνᾶς ἀργυρίου. βούλομαι οὖν, ὦ ἄνδρες δικασταὶ, τῆς συγγραφῆς ἀκοῦσαι ὑμᾶς πρῶτον, καθ᾽ ἣν ἐδανείσαμεν τὰ χρήματα, καὶ 10
τῶν μαρτύρων τῶν παραγενομένων τῷ δανείσματι. ἔπειτα καὶ περὶ τῶν ἄλλων ἐπιδείξομεν, οἷα ἐτοιχωρύχησαν οὗτοι περὶ τὸ δάνειον. λέγε τὴν συγγραφὴν· ἔπειτα τὰς μαρτυρίας.

Συγγραφή.

Ἐδάνεισαν Ἀνδροκλῆς Σφήττιος, καὶ Ναυσικράτης Καρύστιος, Ἀρτέμωνι καὶ Ἀπολ- 11
λοδώρῳ Φασηλίταις, ἀργυρίου τρισχιλίας δραχμὰς Ἀθήνηθεν εἰς Μένδην, ἢ Σκιώνην, καὶ ἐντεῦθεν εἰς Βόσπορον. ἐὰν δὲ βούλωνται τῆς ἐπ᾽ ἀριστερὰ μέχρι Βορυσθένους, καὶ πάλιν Ἀθήναζε, ἐπὶ διακοσίαις εἰκοσιπέντε τὰς χιλίας. ἐὰν δὲ μετ᾽ ἀρκτοῦρον ἐκπλεύσωσιν ἐκ τοῦ Πόντου ἐφ᾽ ἱερὸν, ἐπὶ τριακοσίαις τὰς χι- 12
λίας, ἐπὶ οἴνου κεραμίοις Μενδαίοις τρισχιλίοις. ὃς πλευσεῖται ἐκ Μένδης, ἢ Σκιώνης ἐν τῇ εἰκοσόρῳ, ἣν Ὑβλήσιος ναυκληρεῖ. ὑποτιθέασι δὲ ταῦτα, οὐκ ὀφείλοντες ἐπὶ τούτοις ἄλλῳ οὐδενὶ οὐδὲν ἀργύριον, οὐδ᾽ ἐπιδανείσονται. καὶ ἀπάξουσι τὰ χρήματα τὰ ἐκ τοῦ οἴνου ἀντιφορτισθέντα, πάλιν Ἀθήναζε ἐν τῷ αὐτῷ πλοίῳ ἅ- 13
παντα. σωθέντων δὲ τῶν χρημάτων Ἀθήναζε, ἀποδώσουσιν οἱ δανεισάμενοι τοῖς δανείσασι, τὸ γιγνόμενον ἀργύριον κατὰ τὴν συγγραφὴν, ἡμερῶν εἴκοσιν, ἀφ᾽ ἧς ἂν ἔλθωσιν Ἀθήναζε, ἐντελὲς, πλὴν ἐκβολῆς ἣν ἂν οἱ σύμπλοι ψηφισάμενοι κοινῇ ἐκβάλωνται. καὶ ἄν τι πολεμίοις ἀποτίσωσι, τῶν δ᾽ ἄλλων ἁπάντων ἐντελές. καὶ παρέ- 14
ξουσι τοῖς δανείσασι τὴν ὑποθήκην ἀνέπαφον κρατεῖν, ἕως ἂν ἀποδῶσι τὸ γιγνόμενον ἀργύριον κατὰ τὴν συγγραφήν. ἐὰν δὲ μὴ ἀποδῶσιν ἐν τῷ συγκειμένῳ χρόνῳ, τὰ
ὑποθεῖναι. ὑποκείμενα, τοῖς δανείσασιν ἐξέστω ὑποθεῖναι, καὶ ἀποδόσθαι τῆς ὑπαρχούσης τιμῆς. καὶ ἐάν τι ἐλλείπῃ τοῦ ἀργυρίου, οὗ δεῖ γενέσθαι τοῖς δανείσασι κατὰ τὴν συγ- 15
γραφὴν, παρὰ Ἀρτέμωνος καὶ Ἀπολλοδώρου ἔστω ἡ πρᾶξις τοῖς δανείσασι, καὶ ἐκ
ἐγγείων. τῶν τούτων ἁπάντων, καὶ ἀγγείων, καὶ ναυτικῶν πανταχοῦ ὅπου ἂν ὦσι, καθάπερ δίκην ὠφληκότων καὶ ὑπερημέρων ὄντων, καὶ ἑνὶ ἑκατέρῳ τῶν δανεισάντων, καὶ
κυνὶ. ἀμφοτέροις. ἐὰν δὲ μὴ εἰσβάλωσι, μείναντες ἐπὶ νηὶ ἡμέρας δέκα ἐν Ἑλλησπόν- 16
σύλα ὦσι. τῳ, ἐξελόμενοι ὅπου ἂν μὴ συλλάβωσιν Ἀθηναίοις, καὶ ἐντεῦθεν καταπλεύσαντες Ἀθήναζε, τοὺς τόκους ἀποδιδόντων τοὺς πέρυσι γραφέντας εἰς τὴν συγγραφήν. ἐὰν δέ τι ἡ ναῦς πάθῃ ἀνήκεστον, ἐν ᾗ ἂν πλέῃ τὰ χρήματα, σωτηρία ἔστω τῶν ὑποκειμένων. τὰ δὲ περιγιγνόμενα, κοινὰ ἔστω τοῖς δανείσασι. κυριώτερον δὲ περὶ 17



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τούτων, ἄλλο μηδὲν εἶναι τῆς συγγραφῆς. Μάρτυρες.

Φορμίων πειραιεύς, κηφισόδοτος βοιώτιος· ἡλιόδωρος πιθεύς. Λέγε δ. καὶ
τὰς μαρτυρίας. Μαρτυρίαι.

18 Ἀρχενομίδης ἀρχεδάμαντος ἀναγυράσιος, μαρτυρεῖ συνθήκας παρ' ἑαυτῷ
καταθέσθαι ἀνδροκλέα σφήττιον· ναυκράτην καρύστιον· ἀρτέμωνα, ἀπολλόδωρον
φασηλίτας, καὶ εἶναι παρ' ἑαυτῷ ἔτι κειμένην τὴν συγγραφήν. Λέγε δὴ καὶ τὴν
τῶν παραγενομένων μαρτυρίαν. Μαρτυρία.

19 Θεόδοτος ἰσοτελής, χαρῖνος ἐπιχάρους, λευκονοεὺς φορμίων ὁ κηφισοφῶντος
πειραιεύς, κηφισόδωρος βοιώτιος, μαρτυροῦσι παραγενέσθαι, ὅτ' ἐδάνειζεν ἀνδροκλῆς ἀ-
πολλοδώρῳ καὶ ἀρτέμωνι, ἀργυρίου τρισχιλίας δραχμάς, καὶ εἰδέναι τὴν συγγρα-
φὴν καταθεμένους παρὰ ἀρχενομίδῃ ἀναγυρασίῳ. κατὰ τὴν συγγραφὴν ταύ-
20 την, ὦ ἄνδρες δικασταί, ἐδάνεισα τὰ χρήματα ἀρτέμωνι τῷ τούτου ἀδελφῷ, κε-
λεύοντος τούτου, καὶ ἀναδεχομένου, πάντα ἔσεσθαί μοι τὰ δίκαια κατὰ τὴν συγγρα-
φήν, καθ' ἣν ἐδάνειζα τούτου αὐτοῦ γράφοντος καὶ συσσημηναμένου ἐπειδὴ ἐγράφη. οἱ
μὲν γὰρ ἀδελφοὶ οἱ τούτου, ἔτι νεώτεροι ἦσαν, μειράκια κομιδῇ. οὑτοσὶ δὲ λάκριτος
21 φασηλίτης, μέγα πρᾶγμα, ἰσοκράτους μαθητής, οὗτος ἦν ὁ πάντα διοικῶν. καὶ
ἑαυτῷ με τὸν νοῦν προσέχειν ἐκέλευε. αὐτὸς γὰρ ἔφη ποιήσειν μοι τὰ δίκαια ἅ-
παντα, καὶ ἐπιδημήσειν ἀθήναζε, τὸν δ' ἀδελφὸν τὸν αὐτοῦ ἀρτέμωνα πλευσεῖ-
1 σθαι ἐπὶ τοῖς χρήμασι. καὶ τότε μέν, ὦ ἄνδρες δικασταί, ὅτ' ἐβούλετο τὰ χρήματα
22 λαβεῖν παρ' ἡμῶν, καὶ ἀδελφὸς ἔφη εἶναι καὶ κοινωνὸς τοῦ ἀρτέμωνος, καὶ λόγους
θαυμασίους πιθανοὺς ἔλεγεν· ἐπειδὴ δὲ τάχιστα ἐγκρατὴς ἐγένετο τοῦ ἀργυρίου, τοῦτο
μὲν διενείμαντο, καὶ ἐχρῶντο ὅ, τι ἐδόκει τούτοις· κατὰ δὲ τὴν συγγραφὴν τὴν ναυ-
τικήν, καθ' ἣν ἔλαβον τὰ χρήματα, οὔτε μέγα, οὔτε μικρὸν ἐποίησαν, ὡς αὐτὸ
23 τὸ ἔργον ἐδήλωσεν. οὑτοσὶ δὲ λάκριτος ἁπάντων τῶν τούτων ὁ ἐξηγητής. καθ' ἕκα-
στον δὲ τῶν γεγραμμένων ἐν τῇ συγγραφῇ, ἐπιδείξω τούτους οὐδὲν ὁποιοῦν πεποιη-
κότας ὑγιές. πρῶτον μὲν γὰρ γέγραπται, ὅτι ἐπ' οἴνου κεραμίοις τρισχιλίοις ἐδα-
νείζετο παρ' ἡμῶν τὰς τριάκοντα μνᾶς, ὡς ὑπαρχούσης αὐτοῖς ὑποθήκης ἑτέ-
24 ρων τριάκοντα μνῶν· ὥστε εἰς τάλαντον ἀργυρίου τὴν τιμὴν εἶναι τοῦ οἴνου κα-
θισταμένην, σὺν τοῖς ἀναλώμασιν, ὅσα ἔδει ἀναλίσκεσθαι εἰς τὴν κατασκευὴν τὴν
περὶ τὸν οἶνον. τὰ δὲ τρισχίλια ταῦτα κεράμια, ἄγεσθαι εἰς τὸν πόντον εἰκοσόρῳ, ἣν
ὑβλήσιος ἐναυκλήρει. γέγραπται μὲν ταῦτα ἐν τῇ συγγραφῇ, ὦ ἄνδρες δικασταί,
25 ἧς ὑμεῖς ἀκηκόατε. οὗτοι δ' ἀντὶ τῶν τρισχιλίων κεραμίων, οὐδὲ πεντακόσια κε-
ράμια εἰς τὸ πλοῖον ἐνέθεντο· ἀλλ' ἀντὶ τοῦ ἠγοράσθαι αὐτοῖς τὸν οἶνον ὅσον προ-
σῆκε, τοῖς χρήμασιν ἐχρῶντο "ὅσοι ἐδόκει τούτοις. τὰ δὲ κεράμια τὰ τρισχίλια, "ὥσπερ.
οὐδ' "ἐμνήσθησαν, οὐδὲ διενοήθησαν ἐνθέσθαι εἰς τὸ πλοῖον κατὰ τὴν συγγραφήν. "ἐμέλησεν
26 ὅτι δ' ἀληθῆ λέγω ταῦτα, λαβὲ τὴν μαρτυρίαν τῶν συμπλεόντων ἐν τῷ αὐτῷ
πλοίῳ τούτοις. Μαρτυρία.

Ἐρασικλῆς μαρτυρεῖ κυβερνᾶν τὴν ναῦν, ἣν ὑβλήσιος ἐναυκλήρει, καὶ εἰδέναι
ἀπολλόδωρον ἄγοντα οἴνου μενδαίου κεράμια τετρακόσια πεντήκοντα, καὶ οὐ
27 πλείω· ἄλλο δὲ μηδὲν ἀγώγιμον ἄγεσθαι ἐν τῷ πλοίῳ ἀπολλοδώρῳ εἰς τὸν πόντον.
ἱππίας ἀθηνίππου ἁλικαρνασσεύς, μαρτυρεῖ συμπλεῖν ἐν τῇ ὑβλησίου νηί, διο-
πεύων τὴν ναῦν, καὶ εἰδέναι ἀπολλόδωρον τὸν φασηλίτην ἄγοντα ἐν τῷ πλοίῳ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

c μένδης εἰς τὸν πόντον, οἴνου μενδαίου κεράμια τετρακόσια πεντήκοντα, ἄλλο δὲ μηδὲν φορτίον. πρὸς τοῖς δὲ, ἐξεμαρτύρησεν ἀρχιάδης μνησωνίδου ἀχαρνεύς· σώ- 28
στρατος φιλίππου ἱστιαιόθεν· φιλτιάδης κτησίου ἐξ ὑπαιτέων· διονύσιος δημοκρατί- *οἴω.
δου χολλίδης. Περὶ μὲν οὖν τοῦ πλήθους τοῦ οἴνου, ὅσον ἔδει αὐτοὺς θέσθαι εἰς τὸ πλοῖον,
ταῦτα διεπράξαντο· εὐθὺς ἐντεῦθεν ἀπὸ τῆς πρώτης γεγραμμένης παραβαίνειν
ἀρξάμενοι μὴ ποιεῖν τὰ γεγραμμένα. Μετὰ δὲ ταῦτα, ἐστὶν ἐν τῇ συγγραφῇ, ὅτι 29
ὑποτιθέασι ταῦτα ἐλεύθερα, καὶ οὐδενὶ οὐδὲν ὀφείλοντες, καὶ ὅτι οὐδὲ ἐπιδανεί-
σονται ἐπὶ τούτοις παρ' οὐδενός. ταῦτα διαρρήδην γέγραπται, ὦ ἄνδρες δικασταί.
οὗτοι δὲ τί ἐποίησαν; ἀμελήσαντες τῶν ἐν τῇ συγγραφῇ γεγραμμένων, δανείζονται
παρά τινος νεανίσκου, ἐξαπατήσαντες, ὡς οὐδενὶ οὐδὲν ὀφείλοντες· καὶ ἡμᾶς τε 30
παρεκρούσαντο, καὶ ἔλαθον δανεισάμενοι ἐπὶ τοῖς ἡμετέροις· ἐκεῖνόν τε τὸν νεανί-
σκον τὸν δανείσαντα ἐξηπάτησαν, οὐκ ἐπ' ἐλευθέροις τοῖς χρήμασι δανειζόμενοι.
τοιαῦτα τούτων ἐστὶ τὰ κακουργήματα. ταῦτα δὲ πάντ' ἐστὶ τὰ σοφίσματα, λακρί-
του τουτουί. ὅτι δὲ ἀληθῆ λέγω, καὶ ἐπεδανείσαντο τὰ χρήματα παρὰ τὴν συγ- 31
γραφὴν, μαρτυρίαν ἀναγνώσεται ὑμῖν τοῦ ἐπιδανείσαντος. Λέγε τὴν μαρτυρίαν.

*εὐθὺς, καὶ ἤρξατο ἐπιτυ- : ἀπὸ τῆς πρ. γεγρ. παραβ. μὴ π.

Μαρτυρία.

Αρατος ἁλικαρνασσεὺς, μαρτυρεῖ δανεῖσαι ἀπολλοδώρῳ ἕνδεκα μνᾶς ἀργυ-
ρίου, ἐπὶ τῇ ἐμπορίᾳ, ἣν ἦγον ἐν τῇ ὑβλησίου νηῒ εἰς τὸν πόντον, καὶ τοῖς ἐκεῖθεν ἀν- 32
ταγορασθεῖσι· καὶ μὴ εἰδέναι αὐτὸν δεδανεισμένον παρὰ ἀνδροκλέους ἀργυρίου. κακουργίαι.
οὐ γὰρ ἂν δανεῖσαι αὐτὸς ἀπολλοδώρῳ ἀργύριον. αἱ μὲν πανουργίαι, τοιαῦταί τῶν
ἀνθρώπων τούτων εἰσί. γέγραπται δὲ μετὰ ταῦτα ἐν τῇ συγγραφῇ, ὦ ἄνδρες δικα-
σταί· ἐπειδὰν ἀποδῶνται ἐν τῷ πόντῳ, ἃ ἦγον, ἀγοράσαντας πάλιν χρήματα, καὶ * ἀν- 33 *ἀντιφορτίζειν
τιφορτίζεσθαι, καὶ ἀπάγειν ἀθήναζε τὰ ἀντιφορτισθέντα. καὶ ἐπειδὰν ἀφίκωνται
ἀθήναζε, ἀποδοῦναι εἴκοσιν ἡμερῶν ἡμῖν τὸ ἀργύριον δόκιμον. ἕως δ' ἂν ἀπο-
δῶσι, κρατεῖν τῶν χρημάτων ἁπάντων ἡμᾶς, καὶ ἀνέπαφα * παρέχειν τούτους, *ταῦτα.
ἕως ἂν ἀπολάβωμεν. γέγραπται μὲν ταῦτα οὑτωσὶ ἀκριβῶς ἐν τῇ συγγραφῇ· 34
οὗτοι δὲ, ὦ ἄνδρες δικασταί, ἐνταῦθα καὶ ἀπεδείξαντο μάλιστα τὴν ὕβριν καὶ τὴν
ἀναίδειαν τὴν ἑαυτῶν· καὶ ὅτι οὐδὲ μικρὸν προσεῖχον τοῖς γράμμασι τοῖς γεγραμ-
μένοις ἐν τῇ συγγραφῇ, ἀλλ' ἡγοῦντο εἶναι τὴν συγγραφὴν ἄλλως ὕθλον, καὶ φλυα-
ρίαν. οὔτε γὰρ ἠγόρασαν * οὐδὲν ἐν τῷ πόντῳ, οὔτε ἀντεφορτίσαντο, ὥστε ἄγειν ἀ- 35 *ἀντηγόρασαν.
θήναζε. ἡμεῖς τε οἱ δανείσαντες τὰ χρήματα, ἡκόντων αὐτῶν τούτων ἐκ τοῦ πόν-
του, οὐκ εἴχομεν ὅτου ἐπιλαβοίμεθα, οὐδὲ ὅτου κρατοῖμεν, ἕως ὅτου κομισαίμεθα
τὰ ἡμέτερα αὐτῶν. οὐδ' ὁτιοῦν γὰρ εἰσήγαγον εἰς τὸν λιμένα τὸν ἡμέτερον οὗτοι.
ἀλλὰ πεπόνθαμεν καινότατον, ὦ ἄνδρες δικασταί. ἐν γὰρ τῇ πόλει τῇ ἡμετέρᾳ, αὐτῶν 36
οὐδὲν ἀδικοῦντες, οὐδὲ δίκην ὠφληκότες οὐδεμίαν * αὐτοῖς, σεσυλήμεθα τὰ ἡμέ- *τούτοις.
τερα αὐτῶν ὑπὸ τούτων, φασηλιτῶν ὄντων, ὥσπερ δεδομένων σύλων φασηλί-
ταις κατ' ἀθηναίων. ἐπειδὰν γὰρ μὴ ἐθέλωσιν ἀποδοῦναι, ἃ ἔλαβον, τί ἄλλό τις ἔχοι
ὄνομα θέσθαι τοῖς τοιούτοις, ἢ ὅτι ἀφαιροῦνται βίᾳ τὰ ἀλλότρια; ἐγὼ μὲν γὰρ οὐ- 37
δὲ ἀκήκοα πώποτε πρᾶγμα μιαρώτερον, ἢ ὃ οὗτοι * πεπραγμένοι εἰσὶ περὶ *διαπεπραγμένοι.
ἡμᾶς· καὶ ταῦτα ὁμολογοῦντες λαβεῖν παρ' ἡμῶν τὰ χρήματα. ὅσα μὲν γὰρ ἀμ-
φισβητήσιμά ἐστι τῶν συμβολαίων, κρίσεως δεῖται, ὦ ἄνδρες δικασταί· τὰ δὲ παρ' ἀμ-
φοτέρων ὁμολογηθέντα τῶν συντιθεμένων καὶ τῶν περὶ ὧν συγγραφαὶ κεῖνται, 38

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ναυτικοῖς, τέλος ἔχειν ἅπαντες νομίζουσι, καὶ χρῆσθαι προσήκει τισί;
μένοις. ὅτι δ' ἐστὶ τὴν συγγραφὴν οὐδ' ὁτιοῦν πεποιήκασιν, ἀλλ' εὐθὺς ἀπ' ἀρχῆς
ἀρξάμενοι ἐκακοτέχνουν, καὶ ἐπεβούλευον μηδὲν ὑγιὲς ποιεῖν, ὑπό τε τῶν μαρ-
39 τύρων καὶ αὐτὰ ὑφ' αὐτῶν ἐξελέγχονται οὑτωσὶ καταφανῶς. ὃ δὲ πάντων* δει- *αὐτοί. *τούτων
νότατον διεπράξατο Λάκριτος οὑτοσί, δεῖ ὑμᾶς ἀκοῦσαι. οὗτος γὰρ ἦν ὁ πάντα
ταῦτα διοικῶν. ἐπειδὴ γὰρ ἀφίκοντο δεῦρο, εἰς μὲν τὸ ὑμέτερον ἐμπόριον οὐ κατα-
πλέουσιν, εἰσφορῶν δὲ λιμένα ὁρμίζονται, ὅς ἐστιν ἔξω τῶν σημείων τοῦ ὑμετέρου εἰς φωρῶν.
40 ἐμπορίου. καὶ ἔστιν ὅμοιον εἰσφορῶν λιμένα ὁρμίσασθαι, ὥσπερ ἂν εἴ τις εἰς Αἰγι- εἰς φωρῶν.
ναν, εἰ εἰς Μέγαρα ὁρμίσαιτο. ἔξεστι γὰρ ἀποπλεῖν ἐκ τοῦ λιμένος τούτου ὅποι ἄν τις
βούληται, καὶ ὁπηνίκ' ἂν δοκῇ αὐτῷ. καὶ τὸ μὲν πλοῖον, ὥρμει ἐνταῦθα πλείους ἢ πέν-
τε καὶ εἴκοσιν ἡμέρας. οὗτοι δὲ περιεπάτουν ἐν τῷ δείγματι τῷ ἡμετέρῳ, καὶ
41 ἡμεῖς προσιόντες διελεγόμεθα, καὶ ἐκελεύομεν τούτους ἐπιμελεῖσθαι ὅπως ἂν ὡς
τάχιστα ἀπολάβοιμεν τὰ χρήματα. οὗτοι δὲ ὡμολόγουν τε καὶ ἔλεγον, ὅτι αὐτὰ
ταῦτα περαίνοιεν. καὶ ἡμεῖς τούτοις προσῆμεν· καὶ ἄλλα ἐπεσκοποῦμεν, εἴ τι ἐξαι-
ρεῖται ποθὲν ἐκ πλοίου, ἢ πεντηκοστεύονται. ἐπειδὴ δὲ ἡμέραι τε ἦσαν συχναὶ ἐπι-
42 δημοῦσι τούτοις, ἡμεῖς τε οὐδ' ὁτιοῦν εὑρίσκομεν, οὔτε ἐξῃρημένον, οὔτε πεντηκο-
στευόμενον ἐπὶ τῷ ὀνόματι τούτων· ἐνταῦθ' ἤδη μᾶλλον προσεκείμεθα ἀπαιτοῦν-
τες. καὶ ἐπειδὴ ἠνωχλοῦμεν αὐτοῖς, ἀποκρίνεται Λάκριτος οὑτοσὶ ὁ ἀδελφὸς Ἀρ-
τέμωνος, ὅτι οὐκ ἂν οἷοί τε ἦσαν ἀποδοῦναι, ἀλλ' ἀπολωλὸς ἅπαντα τὰ χρή-
43 ματα. καὶ ἔφη Λάκριτος δίκαιόν τι ἔχειν λέγειν περὶ τούτων. καὶ ἡμεῖς, ὦ ἄνδρες δι-
κασταί, ἠγανακτοῦμεν ἐπὶ τοῖς λεγομένοις. πλέον δὲ οὐδὲν ἦν ἀγανακτοῦσιν ἡμῖν.
τούτοις γὰρ οὐδ' ὁτιοῦν ἔμελεν. οὐδὲν δὲ ἧττον ἠρωτῶμεν αὐτούς, ὅντινα τρόπον ἀπο-
λωλότα εἴη τὰ χρήματα. Λάκριτος δὲ οὑτοσί, ναυαγῆσαι ἔφη τὸ πλοῖον παραπλέον
44 ἐκ Παντικαπαίου, εἰς Θευδοσίαν. ναυαγήσαντος δὲ τοῦ πλοίου, ἀπολωλέναι τὰ χρή-
ματα τοῖς ἀδελφοῖς τοῖς ἑαυτοῦ, ἃ ἔτυχεν ἐν πλοίῳ ἐνόντα. ἐνεῖναι δὲ τάριχός τε καὶ
οἶνον Κῷον, καὶ ἄλλ' ἄττα. καὶ ταῦτα πάντα ἔφασαν ἀντιφορτισθέντα μέλλειν αὐτὰ
ἄγειν Ἀθήναζε, εἰ μὴ ἀπώλετο ἐν τῷ πλοίῳ. καὶ ἃ μὲν ἔλεγε, ταῦτ' ἦν. ἄξιον δ'
45 ἀκοῦσαι τὴν βδελυρίαν τῶν ἀνθρώπων τουτωνί, καὶ τὴν ψευδολογίαν. πρός τε
γὰρ τὸ πλοῖον τὸ ναυαγῆσαν, οὐδὲν ἦν αὐτοῖς συμβόλαιον, ἀλλ' ἦν ἕτερος ὁ δεδα-
νεικὼς Ἀθήνηθεν ἐπὶ τῷ ναύλῳ τῷ εἰς τὸν Πόντον, καὶ ἐπὶ τῷ πλοίῳ, Ἀντίπατρος
ὄνομα ἦν τῷ δεδανεικότι, Κιτιεὺς τὸ γένος. τότε οἰνάριον τὸ Κῷον, ὀγδοήκοντα στάμνοι
46 ἐξεστηκότος οἴνου· καὶ τὸ τάριχος ἀνθρώπῳ τινὶ γεωργίαν παρεκομίζετο ἐν τῷ πλοίῳ,
ἐκ Παντικαπαίου εἰς Θευδοσίαν τοῖς ἐργάταις τοῖς περὶ τὴν γεωργίαν χρῆσθαι. τί
οὖν ταύτας τὰς προφάσεις λέγουσι. οὐδὲν γὰρ προσήκει. καί μοι λάβε τὴν μαρ-
τυρίαν, πρῶτον μὲν τὴν Ἀπολλωνίδου, ὅτι Ἀντίπατρος ἦν ὁ δανείσας ἐπὶ τῷ
47 πλοίῳ. τούτοις δ' οὐδ' ὁτιοῦν προσῆκε τῆς ναυαγίας· ἔπειτα τὴν Ἐρασικλέους τὴν ναυαγίας.
τοῦ Ἱππίου, ὅτι ὀγδοήκοντα κεράμια μόνα παρῆγετο τῷ πλοίῳ.

Μαρτυρία.

Ἀπολλωνίδης Ἁλικαρνασσεύς, μαρτυρεῖ εἰδέναι δανείσαντα Ἀντίπατρον Κιτιέα
48 τὸ γένος, χρήματα Ὑβλησίῳ εἰς τὸν Πόντον ἐπὶ τῇ νηΐ, ἣν Ὑβλήσιος ἐναυκλήρει, καὶ τῷ
ναύλῳ, τῷ εἰς τὸν Πόντον. κοινωνεῖν δὲ καὶ αὐτὸν τῆς νεὼς Ὑβλησίῳ, καὶ συμπλεῖν ἑαυτοῦ
οἰκέτας ἐν τῇ νηΐ. καὶ ὅτε διεφθάρη ἡ ναῦς, παρεῖναι τοὺς οἰκέτας τοὺς ἑαυτοῦ, καὶ ἀπαγγέλλειν
ἑαυτῷ.

ἡ ναῦς, κενὴ διεφθάρη παραπλέουσα εἰς Θευδοσίαν ἐκ Παντικαπαίου.
Ἐρασικλῆς μαρτυρεῖ συμπλεῖν Ὑβλησίῳ κυβερνῶντι τὴν ναῦν εἰς τὸν Πόντον. καὶ ὅτε πα 49
ρέπλει ἡ ναῦς εἰς Θευδοσίαν ἐκ Παντικαπαίου, εἰδέναι κενὴν τὴν ναῦν παρα-
πλέουσαν, καὶ Ἀπολλοδώρου αὐτοῦ τοῦ φεύγοντος νυνὶ τὴν δίκην, μὴ εἶναι οἶνον ἐν
τῷ πλοίῳ· ἀλλὰ παραλέγεσθαι τὸ ἐκ τῆς Θευδοσίας τινὶ οἰκείῳ τῶν Κῷα κεράμια
περὶ ὀγδοήκοντα. Ἱππίας Ἀθηνίππου Ἁλικαρνασσεὺς μαρτυρεῖ συμπλεῖν Ὑβλη- 50
σίῳ διοπεύων τὴν ναῦν. καὶ ὅτε παρέπλει ἡ ναῦς εἰς Θευδοσίαν ἐκ Παντικαπαίου,
ἐνθέσθαι Ἀπολλόδωρον εἰς τὴν ναῦν ἐρίων ἄγγος ἓν ἢ δύο. καὶ ταρίχους κεράμια
ἕνδεκα, ἢ δώδεκα· καὶ δέρματα αἴγεια, δύο δεσμὰς, ἢ τρεῖς· ἄλλο δὲ οὐδέν. πρὸς τοῖς
δ' ἐξεμαρτύρησεν Εὐφίλητος Δαμοτίμου Ἀφιδναῖος· Ἱππεὺς Τιμοξένου Θυμαιτάδης·
Σώστρατος Φιλίππου Ἱσταιόθεν· Ἀρχενομίδης Στράτωνος Θριάσιος· Φιλτιάδης Κτη- 51
σικλέους Ξυπεταιών. Ἡ μὲν ἀναίδεια τοιαύτη τῶν ἀνθρώπων τουτωνί ἐστιν. ὑμεῖς
δ', ὦ ἄνδρες δικασταί, ἐνθυμεῖσθε πρὸς ὑμᾶς αὐτοὺς εἴ τινας πώποτ' ἴστε, ἢ ἀκηκόα-
τε ἐκ τοῦ Πόντου οἶνον Ἀθήναζε κατ' ἐμπορίαν εἰσάγοντας, ἄλλως τε καὶ Κῷον. πᾶν
γὰρ δήπου τοὐναντίον εἰς τὸν Πόντον οἶνος εἰσάγεται ἐκ τῶν τόπων τῶν περὶ ἡμᾶς, ἐκ 52
Πεπαρήθου καὶ Κῶ, καὶ Θάσιος, καὶ Μενδαῖος, καὶ ἐξ ἄλλων τινῶν πόλεων παντοδα-
πός. ἐκ δὲ τοῦ Πόντου, ἕτερά ἐστιν, ἃ εἰσάγεται δεῦρο. κατεχόμενοι δ' ὑφ' ἡμῶν καὶ
ἐλεγχόμενοι, εἴ τι περιγένοιτο τῶν χρημάτων ἐν τῷ Πόντῳ, ἀπεκρίνατο Λάκριτος
οὑτοσί, ὅτι ἑκατὸν στατῆρες Κυζικηνοὶ περιγένοιντο· καὶ τοῦτο τὸ χρυσίον δεδανεικὼς 53
εἴη ἀδελφὸς αὐτοῦ ἐν τῷ Πόντῳ ναυκλήρῳ τινὶ Φασηλίτῃ πολίτῃ, καὶ ἐπιτηδείῳ
ἑαυτοῦ· καὶ οὐ δύναιτο κομίσασθαι· ἀλλὰ σχεδόν τι ἀπολωλὸς εἴη καὶ τοῦτο. ταῦτ'
ἐστὶν, ἃ ἔλεγε Λάκριτος οὑτοσί. ἡ δὲ συγγραφὴ, οὐ ταῦτα λέγει, ὦ ἄνδρες δικασταί,
ἀλλ' ἀντιφορτισαμένους ἀπάγειν κελεύει Ἀθήναζε, οὐ δανείζειν τούτους ὅτῳ ἂν βού- 54
λωνται ἐν τῷ Πόντῳ τὰ ἡμέτερα ἄνευ ἡμῶν· ἀλλ' Ἀθήναζε παρέχειν ἀνέπαφα
ἡμῖν, ἕως ἂν ἡμεῖς ἀπολάβωμεν τὰ χρήματα, ὅσ' ἐδανείσαμεν. Καί μοι ἀνα-
γίγνωσκε τὴν συγγραφὴν πάλιν.

Συγγραφή. 55

Ἐδάνεισαν Ἀνδροκλῆς Σφήττιος, καὶ Ναυσικράτης Καρύστιος, Ἀρτέμωνι καὶ Ἀπολ
λοδώρῳ Φασηλίταις, ἀργυρίου δραχμὰς τρισχιλίας, Ἀθήνηθεν εἰς Μένδην, ἢ
Σκιώνην, καὶ ἐντεῦθεν εἰς Βόσπορον. ἐὰν δὲ βούλωνται τὴν ἐπ' ἀριστερὰ μέχρι
Βορυσθένους, καὶ πάλιν Ἀθήναζε ἐπὶ τόκῳ, διακοσίαις εἰκοσιπέντε τὰς χιλίας. ἐὰν 56
δὲ μετ' Ἀρκτοῦρον ἐκπλεύσωσιν ἐκ τοῦ Πόντου ἐφ' Ἱερόν, ἐπὶ τριακοσίαις τὰς
χιλίας, ἐπὶ οἴνου κεραμίοις Μενδαίοις τρισχιλίοις· ὃς πλευσεῖται ἐκ Μένδης ἢ Σκιώ-
νης ἐν τῇ εἰκοσόρῳ, ἣν Ὑβλήσιος ναυκληρεῖ. ὑποτιθέασι δὲ ταῦτ' οὐκ ὀφείλον-
τες ἐπὶ τούτοις ἄλλῳ οὐδενὶ οὐδὲν ἀργύριον. οὐδ' ἐπιδανείσονται, καὶ ἀπάξουσι 57
τὰ χρήματα τὰ ἐκ τοῦ Πόντου ἀντιφορτισθέντα Ἀθήναζε πάλιν ἐν τῷ αὐτῷ
πλοίῳ ἅπαντα. σωθέντων δὲ τῶν χρημάτων Ἀθήναζε, ἀποδώσουσιν οἱ δανεισά-
μενοι τοῖς δανείσασι τὸ γινόμενον ἀργύριον κατὰ τὴν συγγραφὴν, ἡμερῶν εἴκο-
σιν, ἀφ' ἧς ἂν ἔλθωσιν Ἀθήναζε, ἐντελές, πλὴν ἐκβολῆς, ἣν ἂν οἱ σύμπλοι κοι- 58
βούλωνται· νῇ ψηφισάμενοι ἐκβάλωνται, καὶ ἄν τι πολεμίοις ἐκτίσωσι· τῶν δ' ἄλλων ἁπάν-
των ἐντελές. καὶ παρέξουσι τοῖς δανείσασι τὴν ὑποθήκην ἀνέπαφον κρατεῖν,
ἕως ἂν ἀποδῶσι τὸ γιγνόμενον ἀργύριον κατὰ τὴν συγγραφήν. ἐὰν δὲ μὴ ἀπο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

59 δῶσιν ἐν τῷ συγκειμένῳ χρόνῳ τὰ ὑποκείμενα τοῖς δανείσασιν, ἐξέστω ὑπο-
θεῖναι καὶ ἀποδόσθαι τῆς ὑπαρχούσης τιμῆς. καὶ ἐάν τι ἐλλείπῃ τοῦ ἀργυρίου, ὃ δεῖ
γενέσθαι τοῖς δανείσασι κατὰ τὴν συγγραφήν, παρὰ Ἀρτέμωνος καὶ Ἀπολλοδώ-
ρου ἔστω ἡ πρᾶξις τοῖς δανείσασι. καὶ ἐκ τῶν τούτων ἁπάντων, καὶ ἐγγείων, καὶ
60 ναυτικῶν, πανταχοῦ, ὅπου ἂν ὦσι καθάπερ δίκην ὠφληκότων, καὶ ὑπερημέρων ὄν-
των, καὶ ἑνὶ ἑκατέρῳ τῶν δανεισαμένων, καὶ ἀμφοτέροις. ἐὰν δὲ μὴ ἐσβάλωσι μεί-
ναντες ἐπὶ κυνὶ ἡμέρας δέκα ἐν ἑλλησπόντῳ ἐξελόμενοι ὅπου ἂν μὴ σῦλα ἐπὶ κυ.
ὦσιν ἀθηναίοις, καὶ ἐντεῦθεν καταπλεύσαντες ἀθήναζε, τοὺς τόκους ἀποδόντων
61 τοὺς πέρυσι γραφέντας εἰς τὴν συγγραφήν. ἐὰν δέ τι ἡ ναῦς πάθῃ ἀνήκεστον, ἐν ᾗ
ἂν πλέῃ, τὰ χρήματα σωτήρια ἔστω τῶν ὑποκειμένων· τὰ δὲ περιγενόμενα, κοι-
νὰ ἔστω τοῖς δανείσασι. κυριώτερον δὲ περὶ τούτων ἄλλο μηδὲν εἶναι τῆς συγγραφῆς.

Μάρτυρες.

62 Φορμίων, πειραιεύς. Κηφισόδοτος, βοιώτιος. Ἡλιόδωρος, πιτθεύς.

Πότερον, ὦ ἄνδρες δικασταί, δανείζειν τούτοις ἡ συγγραφὴ τὰ ἡμέτερα, καὶ
ταῦτ' ἀνθρώπῳ, ὃν ἡμεῖς οὔτε γινώσκομεν, οὔθ' ἑωράκαμεν πώποτε, ἢ ἀντι-
φορτισαμένους κομίσαι ἀθήναζε, καὶ φανερὰ ποιῆσαι ἡμῖν, καὶ ἀνέπαφα παρέ-
63 χειν; ἡ μὲν γὰρ συγγραφὴ, οὐδὲν κυριώτερον ἐᾷ εἶναι τῶν ἐγγεγραμμένων, οὐδὲ
προφέρειν οὔτε νόμον, οὔτε ψήφισμα, οὔτ' ἄλλ' οὐδ' ὁτιοῦν πρὸς τὴν συγγραφήν. τούτοις προσφέρειν.
δ' εὐθὺς ἐξ ἀρχῆς οὐδὲν ἐμέλησε τῆς συγγραφῆς ταύτης, ἀλλὰ τοῖς χρήμασιν
ἐχρῶντο τοῖς ἡμετέροις, ὥσπερ ἰδίοις οὖσιν αὐτῶν. οὕτως εἰσὶν οὗτοι κακοῦργοι σο- πανοῦργοι.
64 φισταί, καὶ ἄδικοι ἄνθρωποι. ἐγὼ δὲ μὰ τὸν δία τὸν ἄνακτα, καὶ τοὺς θεοὺς ἅπαν-
τας, οὐδενὶ πώποτ' ἐφθόνησα, οὐδ' ἐπετίμησα, ὦ ἄνδρες δικασταί, οὐδέν, εἴ τις βού-
λεται σοφιστὴς εἶναι, καὶ ἰσοκράτει ἀργύριον ἀναλίσκειν· μαινοίμην γὰρ ἄν, εἴ τί μοι
τούτων ἐπιμελὲς εἴη. οὐ μέντοι μὰ δία, οἶμαί γε δεῖν ἀνθρώπους * καταφρονοῦ- τῶν ἀλλοτ.
65 ντας, καὶ οἰομένους δεινοὺς εἶναι, ἐφίεσθαι τῶν ἀλλοτρίων, οὐδ' ἀφαιρεῖσθαι τῷ λό-
γῳ πιστεύοντας. πονηροῦ γὰρ ταῦτ' ἐστὶ σοφιστοῦ, καὶ οἰμωξομένου. λάκριτος δ' οὑ-
τοσί, ὦ ἄνδρες δικασταί, οὐ τῷ δικαίῳ πιστεύων εἰσελήλυθε ταύτην τὴν δίκην, ἀλλ'
ἀκριβῶς εἰδὼς τὰ πεπραγμένα ἑαυτοῖς περὶ τὸ δάνεισμα τοῦτο, καὶ οἰόμενος δει-
66 νὸς εἶναι, καὶ ῥᾳδίως λόγους πορίσασθαι περὶ ἀδίκων πραγμάτων, οἴεται παράξειν
ὑμᾶς ὅπου ἂν βούληται. ταῦτα γὰρ ἐπαγγέλλεται καὶ δεινὸς εἶναι, καὶ ἀργύριον αἰτεῖ,
καὶ μαθητὰς συλλέγει, περὶ αὐτῶν τούτων ἐπαγγελλόμενος παιδεύειν. καὶ πρῶτον
μὲν τοὺς ἀδελφοὺς τοὺς ἑαυτοῦ ἐπαίδευσε τὴν παιδείαν ταύτην, ἣν ὑμεῖς αἰσθά-
67 νεσθε πονηρὰν καὶ ἄδικον, ὦ ἄνδρες δικασταί, δανείζεσθαι ἐν τῷ ἐμπορίῳ ναυτι-
κὰ χρήματα, καὶ ταῦτ' ἀποστερεῖν, καὶ μὴ ἀποδιδόναι. πῶς ἂν γένοιντο πονηρότεροι
ἄνθρωποι, ἢ τοῦ παιδεύοντος τὰ τοιαῦτα, ἢ αὐτῶν τούτων τῶν παιδευομένων; ἐπεὶ
οὖν δεινός ἐστι, καὶ πιστεύει τῷ λέγειν, καὶ ταῖς χιλίαις δραχμαῖς, ἃς δέδωκε τῷ δι-
68 δασκάλῳ, κελεύσατε αὐτὸν διδάξαι ὑμᾶς, ἢ ὡς τὰ χρήματα οὐκ ἔλαβον παρ'
ἡμῶν, ἢ ὡς λαβόντες ἀποδεδώκασιν, ἢ ὅτι τὰς ναυτικὰς συγγραφὰς οὐ δεῖ κυρίας
εἶναι, ἢ ὡς δεῖ ἄλλο τι χρήσασθαι τοῖς χρήμασιν, ἢ ἐφ' οἷς ἔλαβον κατὰ τὴν συγγρα-
φήν. τούτων ὅ, τι βούλεται, πεισάτω ὑμᾶς. καὶ ἔγωγε, καὶ αὐτὸς συγχωρῶ σοφώτατον
69 εἶναι τοῦτον, ἐὰν ὑμᾶς πείσῃ τοὺς περὶ τῶν συμβολαίων τῶν ἐμπορικῶν δικάζοντας. ἀλλ'
εὖ οἶδ' ὅτι οὐδὲν ἂν τούτων οἷός τ' εἴη οὐδ' οὔτε διδάξαι, οὔτε πεῖσαι. χωρὶς δὲ τού-
των, φέρε

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τω φέρε πρὸς τῶν θεῶν, ὦ ἄνδρες δικασταί, εἰ τοὐναντίον συμβεβήκει, καὶ μὴ ὁ
* τούτῳ. τούτου ἀδελφὸς ὁ τετελευτηκὼς ἐμοὶ ὤφειλε τὰ χρήματα· ἀλλ' ἐγὼ τῷ * τούτου
τάλαντον, ἢ ὀγδοήκοντα μνᾶς ἢ πλέον, ἢ ἔλαττον· ἆρ' οἴεσθε Λάκριτον τουτονί, ὦ ἄν- 70
δρες δικασταί, τοὺς αὐτοὺς λόγους λέγειν, οἷσπερ νυνὶ κατακέχρηται, ἢ φάσκειν ἂν αὐ-
τὸν, οὐκ εἶναι κληρονόμον, καὶ ἀφίστασθαι τῶν τοῦ ἀδελφοῦ, καὶ οὐκ ἂν πάνυ πι-
κρῶς εἰσπράττειν με, ὥσπερ καὶ παρὰ τῶν ἄλλων εἰσπέπρακται, εἴ τίς τι ἐκείνῳ
τῷ τετελευτηκότι ὤφειλεν, ἢ ἐν Φασήλιδι, ἢ ἄλλοθί που; καὶ εἴ γέ τις ἡμῶν φεύγων 71
δίκην ὑπὸ τούτου, παραγραφὴν ἐτόλμησε παραγράφεσθαι, μὴ εἰσαγώγιμον εἶναι
τὴν δίκην, εὖ οἶδ' ὅτι ἠγανάκτει ἂν οὗτος, καὶ ἐσχετλίαζε πρὸς ὑμᾶς, δεινὰ φά-
σκων πάσχειν, καὶ παρανομεῖσθαι, εἰ μή τις αὐτῷ τὴν δίκην ψηφίζεται εἰσαγώγιμον
εἶναι ἐμπορικὴν οὖσαν. ἔπειτα, ὦ Λάκριτε, σοὶ μὲν τοῦτο δίκαιον δοκεῖ εἶναι. ἐμοὶ δὲ 72
διὰ τί οὐκ ἔσται; οὐχ ἅπασιν ἡμῖν οἱ αὐτοὶ νόμοι γεγραμμένοι εἰσί, καὶ τὸ αὐτὸ δί-
καιον περὶ τῶν ἐμπορικῶν δικῶν; ἀλλ' οὕτω βδελυρός τίς ἐστι, καὶ ὑπερβάλλων
ἅπαντας ἀνθρώπους τῷ πονηρὸς εἶναι, ὥστ' ἐπιχειρεῖ πείθειν ὑμᾶς ψηφίσασθαι
μὴ εἰσαγώγιμον εἶναι τὴν ἐμπορικὴν δίκην ταυτηνί, δικαζόντων ὑμῶν νυνὶ τὰς 73
ἐμπορικὰς δίκας; ἀλλὰ τί κελεύεις, ὦ Λάκριτε; μὴ ἱκανὸν εἶναι ἡμᾶς ἀποστερεῖσθαι, ἃ
ἐδανείσαμεν χρήματα ὑμῖν, ἀλλὰ καὶ εἰς τὸ δεσμωτήριον παραδοθῆναι ὑφ'
ὑμῶν προσοφλόντας τὰ ἐπιτίμια, ἐὰν μὴ ἐκτίνωμεν; καὶ πῶς οὐκ ἂν δεινὸν εἴη,
καὶ σχέτλιον, καὶ αἰσχρὸν ὑμῖν, ὦ ἄνδρες δικασταί, εἰ οἱ δανείσαντες ἐν τῷ ἐμ- 74
πορίῳ τῷ ἡμετέρῳ χρήματα ναυτικά, καὶ ἀποστερούμενοι ὑπὸ τῶν δανει-
σαμένων, οἱ ἀποστεροῦντες ἀπάγοιντο εἰς τὸ δεσμωτήριον; ταῦτ' ἐστὶν, ὦ Λάκριτε,
* περὶ. ἃ τουτουσὶ πείθεις; ἀλλὰ ποῦ χρὴ δίκην λαβεῖν, ὦ ἄνδρες δικασταί, * παρὰ τῶν ἐμ-
πορικῶν συμβολαίων; παρὰ ποίᾳ ἀρχῇ; ἢ ἐν τίνι χρόνῳ; παρὰ τοῖς ἕνδεκα; ἀλ- 75
* πανούργους. λὰ τοιχωρύχους, καὶ κλέπτας, καὶ τοὺς ἄλλους * κακούργους τοὺς ἐπὶ θανάτῳ οὗτοι
εἰσάγουσιν. ἀλλὰ παρὰ τῷ ἄρχοντι; οὐκοῦν ἐπικλήρων, καὶ ὀρφανῶν, καὶ τῶν το-
κέων προστέτακται τῷ ἄρχοντι ἐπιμελεῖσθαι. ἀλλὰ νὴ Δία παρὰ τῷ βασιλεῖ;
ἀλλ' οὐκ ἐσμὲν γυμνασίαρχοι, οὐδὲ ἀσεβείας οὐδένα γραφόμεθα. ἀλλ' ὁ πο- 76
† εἰσάξει; ἀποστασίου γε καὶ ἀπροστασίου. λέμαρχος † εἰσάξει, ἀποστασίου γε καὶ ἀπροστασίου; οὐκοῦν ὑπόλοιπόν ἐστιν οἱ στρατη-
γοί. ἀλλὰ τοὺς τριηράρχους καθιστᾶσιν οὗτοι εἰσάγοντες εἰς τὸ δικαστήριον. ἐμπορι-
* εἰσάγωσι. κὴν δὲ δίκην οὐδεμίαν ἂν * εἰσάγοιεν. ἐγὼ δ' εἰμὶ ἔμπορος, καὶ ὁ ἀδελφὸς
καὶ κληρονόμος ἑνὸς τῶν ἐμπόρων, καὶ τοῦ λαβόντος παρ' ἡμῶν τὰ ἐμπορικὰ χρή- 77
ματα. ποῖ οὖν δεῖ ταύτην εἰσελθεῖν τὴν δίκην; δίδαξον, ὦ Λάκριτε, μόνον δίκαιόν
τι λέγων, καὶ κατὰ τοὺς νόμους. ἀλλ' οὐκ ἔστιν οὕτω δεινὸς ἄνθρωπος οὐδείς, ὅστις
ἂν περὶ τούτων τῶν πραγμάτων ἔχοι τι δίκαιον εἰπεῖν. οὐ τοίνυν ταῦτα μόνον, ὦ
ἄνδρες δικασταί, δεινὰ ἐγὼ πάσχω ὑπὸ Λακρίτου τουτουί, ἀλλὰ καὶ χωρὶς τοῦ ἀπο- 78
στερεῖσθαι τὰ χρήματα, καὶ εἰς τοὺς ἐσχάτους κινδύνους ἀφικόμην ἂν τὸ τούτου μέ-
ρος, εἰ μή μοι ἡ συγγραφὴ ἐβοήθει ἡ πρὸς τούτους, καὶ ἐμαρτύρει, ὅτι εἰς τὸν Πόντον
ἔδωκα τὰ χρήματα, καὶ πάλιν Ἀθήναζε. ἴστε γὰρ δήπου, ὦ ἄνδρες δικασταί,
τὸν νόμον ὡς χαλεπός ἐστιν, ἐάν τις Ἀθηναίων ἄλλοσέ ποι σιτηγήσῃ, ἢ Ἀθήναζε, 79
ἢ χρήματα δανείσῃ εἰς ἄλλο τι ἐμπόριον, ἢ τὸ Ἀθηναίων, οἷαι ζημίαι περὶ τού-
των εἰσίν, ὡς μεγάλαι καὶ δειναί. μᾶλλον δ' αὐτὸν ἀνάγνωθι αὐτοῖς τὸν νόμον, ἵν'
ἀκριβέστερον μάθωσι.

Νόμος.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἀργύριον δὲ μὴ ἐξεῖναι * ἀθηναίων καὶ τῶν μετοίκων τῶν ἀθήνησι με-
τοίκων μηδενὶ ὧν οὗτοι κύριοί εἰσιν εἰς ναῦν, ἥτις ἂν μὴ μέλλῃ ἄξειν σῖτον ἀ-
θήναζε καὶ τἆλλα τὰ γεγραμμένα περὶ ἑκάστου αὐτῶν. ἐὰν δέ τις ἐκδῷ, παρὰ ταῦτ'
81 εἶναι τὴν φάσιν καὶ τὴν ἀπογραφὴν τοῦ ἀργυρίου πρὸς τοὺς ἐπιμελητὰς, καθὰ
περὶ τῆς νεὼς, καὶ τοῦ σίτου εἴρηται κατὰ ταῦτα. καὶ δίκη αὐτῷ μὴ ἔστω περὶ τοῦ ἀρ-
γυρίου, ὃ ἂν ἐκδῷ ἄλλοσέ πη, ἢ ἀθήναζε· μηδὲ ἀρχὴ εἰσαγέτω περὶ τούτου μη-
δεμία. ὁ μὲν νόμος, ὦ ἄνδρες δικασταὶ, οὕτω χαλεπός ἐστιν. οὗτοι δὲ οἱ μιαρώτα-
82 τοι ἀνθρώπων, γεγραμμένον διαρρήδην ἐν τῇ συγγραφῇ, ἀθήναζε πάλιν ἥκειν
τὰ χρήματα, εἰς χίον ἐπέτρεψαν καταχθῆναι, ἃ ἐδανείσαμεν ἀθήνηθεν παρ' ἡμῶν.
δανειζομένου γὰρ ἐν τῷ πόντῳ τοῦ ναυκλήρου τοῦ Φασηλίτου ἕτερα χρήματα πα-
ρά τινος χίου ἀνθρώπου, οὐ φάσκοντος δὲ τοῦ χίου δώσειν, ἐὰν μὴ ὑποθήκην λάβῃ
83 πάντα, ὅσα ἦν περὶ τὸν ναύκληρον, καὶ ἐπιτρέπωσι ταῦτα οἱ πρότερον δεδανει-
κότες, ἐπέτρεψαν ταῦτα ὑποθήκην γενέσθαι τῷ χίῳ τὰ ἡμέτερα, καὶ κύριον γε-
νέσθαι ἐκεῖνον ἁπάντων, καὶ οὕτωσι ἀπέπλεον ἐκ τοῦ πόντου μετὰ τοῦ Φασηλίτου
ναυκλήρου, καὶ μετὰ τοῦ χίου τοῦ δεδανεικότος. καὶ ὁρμίζονται ἐν Φωρῶν λιμένι· εἰς δὲ
84 ἡμέτερον ἐμπόριον οὐχ ὡρμίσαντο. καὶ νυνὶ, ὦ ἄνδρες δικασταὶ, τὰ ἀθήνηθεν δανει-
σθέντα χρήματα εἰς τὸν πόντον, καὶ πάλιν ἐκ τοῦ πόντου ἀθήναζε, εἰς χίον κατηγ-
μένα ἐστὶν ὑπὸ τούτων. ὅπερ οὖν ἐν ἀρχῇ ὑπεθέμην τοῦ λόγου, ὅτι καὶ ὑμεῖς ἀδι-
κεῖσθε οὐδὲν ἧττον τῶν δόντων ἡμῶν τὰ χρήματα· σκοπεῖτε δὲ, ὦ ἄνδρες δικασταὶ,
85 πῶς. οὐκ ἀδικεῖσθε. ἐπειδὰν τις τῶν νόμων τῶν ὑμετέρων κρείττων ἐγχειρῇ εἶναι, καὶ
τὰς συγγραφὰς τὰς ναυτικὰς ἀκύρους ποιῇ, καὶ καταλύῃ, καὶ τὰ χρήματα τὰ παρ'
ἡμῶν εἰς χίον ᾖ διαπεσαλκὼς, πῶς οὐκ ἀδικεῖ ὁ τοιοῦτος ἄνθρωπος καὶ ὑμᾶς;
ἐμοὶ μὲν οὖν ἐστὶν, ὦ ἄνδρες δικασταὶ, πρὸς τούτους ὁ λόγος. τούτοις γὰρ ἔδωκα τὰ
86 χρήματα. τούτοις δ' ἔστω πρὸς τὸν ναύκληρον ἐκεῖνον τὸν Φασηλίτην τὸν πολίτην
τὸν αὐτῶν, ᾧ φασὶ δανεῖσαι τὰ χρήματα ἄνευ ἡμῶν παρὰ τὴν συγγραφήν. οὐδὲ
γὰρ ἡμεῖς ἴσμεν τίνα ἐστὶ τὰ πεπραγμένα τούτοις πρὸς τὸν πολίτην τὸν ἑαυτῶν,
ἀλλ' αὐτοὶ οὗτοι ἴσασι. ταῦτα ἡγούμεθα δίκαια εἶναι, καὶ ὑμῶν δεόμεθα, ὦ ἄνδρες δι-
87 κασταὶ, βοηθεῖν ἡμῖν τοῖς ἀδικουμένοις, καὶ κολάζειν τοὺς τε κακοτεχνοῦντας καὶ σο-
φιζομένους, ὥσπερ οὗτοι σοφίζονται. καὶ ἐὰν ταῦτα ποιῆτε, ὑμῖν τε αὐτοῖς τὰ συμ-
φέροντα ἔσεσθε ἐψηφισμένοι, καὶ περιαιρήσεσθε τῶν πονηρῶν ἀνθρώπων τὰς πα-
νουργίας ἁπάσας, ἃς ἔνιοι * πανουργοῦσι περὶ τὰ συμβόλαια τὰ ναυτικά.

* κακουργοῦσι.

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΑΡΑΓΡΑΦΙΚΟΥ
### ὑπὲρ φορμίωνος λόγου.

ΠΑΣΙΩΝ ὁ τραπεζίτης, τελευτῶν ἐπὶ δύο παισὶν ἐξ ἀρχίππης, ἀπολλοδώρῳ καὶ πασικλεῖ, φορμίωνα οἰκέτην ἑαυτοῦ γενόμενον, τετυχηκότα δὲ ἔτι πρότερον ἐλευθερίας, ἐπίτροπον τοῦ νεωτέρου τῶν παίδων πασικλέους κατέλιπε. καὶ τὴν μητέρα αὐτῶν παλλακὴν ἑαυτοῦ γενομένην, ἔδωκεν ἐπὶ προικὶ γυναῖκα. ἀπολλόδωρος οὖν νέμεται πρὸς τὸν ἀδελφὸν τὴν πατρῴαν οὐσίαν, πλὴν τῆς τραπέζης καὶ τοῦ ἀσπιδοπηγείου. ταῦτα γὰρ φορμίων ἐμεμίσθωτο παρὰ πασίωνος εἰς ὡρισμένον χρόνον τινά· καὶ τέως μὲν ἐλάμβανε τὸ ἥμισυ τῆς μισθώσεως ἑκάτερος. ὕστερον δὲ καὶ αὐτὰ νέμονται. καὶ γίγνεται τὸ μὲν ἀσπιδοπηγεῖον, ἀπολλοδώρου· πασικλέους δὲ, ἡ τράπεζα. ἀποθανούσης γὰρ καὶ τῆς μητρὸς ὕστερον, νεμάμενοι καὶ τὴν ἐκείνης οὐσίαν, ἐνεκάλει τῷ φορμίωνι, ὡς πολλὰ ἔχοντι ἑαυτοῦ χρήματα. καθίσαντες οὖν ἑαυτοῖς διαιτητὰς, ὥς φησι φορμίων, ἀπολλοδώρῳ προσήκοντες, νικίας, καὶ δεινίας, καὶ ἀνδρομένης, ἔπεισαν ἀπολλόδωρον διαλύσασθαι πρὸς φορμίωνα τὰ ἐγκλήματα, λαβόντα ταῦτα: χ [illegible] μὲν οὖν ἀπολλόδωρος μετὰ ταῦτα πάλιν εἴληφε δίκην φορμίωνι ἀφορμῆς.

ἀφορμῆς

ἀφορμὴν δὲ οἱ Ἀττικοὶ καλοῦσιν, ὅπερ ἡμεῖς ἐνθήκην. ὁ δὲ Φορμίων παραγράφεται, νόμον παρεχόμενος τὸν κελεύοντα περὶ ὧν ἂν ἅπαξ ἀφῇ τις καὶ διαλύσηται, μηκέτι ἐξεῖναι δικάζεσθαι. ἅπτεται μέντοι καὶ τῆς εὐθείας ὁ ῥήτωρ, δεικνὺς ὡς οὐκ εἶχεν ἡ τράπεζα χρήματα, ἢ διὰ τοῦ Πασίωνος. τοῦτο δὲ πεποίηκεν, ἵνα ἡ παραγραφὴ μᾶλλον ἰσχύῃ, τῆς εὐθείας δεικνυμένης τῷ Ἀπολλοδώρῳ σαθρᾶς.

# ΔΗΜΟΣΘΕΝΟΥΣ ΠΑΡΑΓΡΑΦΗ ΥΠΕΡ ΦΟΡΜΙΩΝΟΣ.

ΤΗΝ μὲν ἀπειρίαν τοῦ λέγειν, καὶ ὡς ἀδυνάτως ἔχει Φορμίων, 1
αὐτοὶ πάντες ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι. ἀνάγκη δ' ἐστὶ τοῖς
ἐπιτηδείοις ὑμῖν, ἃ σύνισμεν πολλάκις τούτου διεξιόντος ἀκη-
κοότες, λέγειν καὶ διδάσκειν ὑμᾶς, ἵν' εἰδότες καὶ μεμαθηκότες,
ὀρθῶς τὰ δίκαια περὶ ἡμῶν, ἃ ἂν ᾖ δίκαια καὶ εὔορκα, ταῦτα ψη- 2
φίσησθε. τὴν μὲν οὖν παραγραφὴν ἐποιησάμεθα τῆς δίκης,
οὐχ ἵνα ἐκκρούοντες χρόνους ἐμποιῶμεν, ἀλλ' ἵνα τῶν πραγμάτων, ἐὰν ἐπι-
δείξῃ μηδ' ὁτιοῦν ἀδικοῦνθ' ἑαυτὸν οὑτοσί, ἀπαλλαγή τις αὐτῷ* γένοιτο παρ' ὑμῖν
κυρία. ὅσα γὰρ παρὰ τοῖς ἄλλοις ἐστὶν ἀνθρώποις ἰσχυρὰ καὶ βέβαια ἄνευ τοῦ παρ' 3
ὑμῖν ἀγωνίσασθαι, ταῦτα πάντα πεποιηκὼς Φορμίων οὑτοσί, καὶ πολλὰ μὲν εὖ πε-
ποιηκὼς Ἀπολλόδωρον τουτονί, πάντα δ', ὅσων κύριος τῶν τούτου κατελείφθη, δια-
λύσας, καὶ παραδοὺς δικαίως, καὶ πάντων ἀφεθεὶς μετὰ ταῦτα τῶν ἐγκλημάτων,
ὅμως, ὡς ὁρᾶτε, ἐπειδὴ φέρειν οὐκέτι τοῦτον οἷός τ' ἐστί, δίκην ταλάντων εἴκοσι λα- 4
χὼν αὐτῷ ταύτην συκοφαντεῖ. ἐξ ἀρχῆς οὖν ἅπαντα τὰ πραχθέντα τούτῳ
πρὸς Πασίωνα καὶ Ἀπολλόδωρον, ὡς ἂν δύνωμαι διὰ βραχυτάτων εἰπεῖν πει-
ράσομαι· ἐξ ὧν εὖ οἶδ' ὅτι ἥ τε τούτου συκοφαντία φανερὰ γενήσεται, καὶ ὡς οὐκ
εἰσαγώγιμος ἡ δίκη, γνώσεσθε ἅμα ταῦτ' ἀκούσαντες. πρῶτον μὲν οὖν ὑμῖν 5
ἀναγνώσεται τὰς συνθήκας, καθ' ἃς ἐμίσθωσε Πασίων τὴν τράπεζαν τούτῳ, καὶ τὸ
*ἀσπιδοπήγιον. καί μοι λαβὲ τὰς συνθήκας, καὶ τὴν πρόκλησιν, καὶ τὰς μαρτυ-
ρίας ταυτασί. Συνθῆκαι. Πρόκλησις. Μαρτυρίαι.

* γένηται.

* ἀσπιδοπηγεῖον.

Αἱ μὲν οὖν συνθῆκαι, καθ' ἃς ἐμίσθωσεν ὁ Πασίων τὴν τράπεζαν τούτῳ, καὶ 6
τὸ ἀσπιδοπήγιον ἤδη καθ' ἑαυτὸν ὄντι, αὗταί εἰσιν, ὦ ἄνδρες Ἀθηναῖοι. δεῖ δ' ὑμᾶς
ἀκοῦσαι, καὶ μαθεῖν, ἐκ τίνος τρόπου προσώφειλε τὰ ἕνδεκα τάλαντα ὁ Πασίων
ἐπὶ τὴν τράπεζαν. οὐ γὰρ δι' ἀπορίαν ταῦτ' ὤφειλεν, ἀλλὰ διὰ φιλεργίαν. ἡ μὲν
γὰρ ἔγγειος ἦν οὐσία Πασίωνι μάλιστα ταλάντων εἴκοσιν. ἀργύριον δὲ πρὸς ταύτῃ 7
δεδανεισμένον ἴδιον, πλέον ἢ πεντήκοντα τάλαντα. ἐν οὖν τοῖς πεντήκοντα ταλάν-
τοις τούτοις ἀπὸ τῶν παρακαταθηκῶν τῶν τῆς τραπέζης, ἕνδεκα τάλαντα ἐνερ-
γὰ ἦν. μισθούμενος οὖν ὅδε τὴν ἐργασίαν ταύτην τὴν τῆς τραπέζης, καὶ τὰς
παρακαταθήκας λαμβάνων, ὁρῶν ὅτι μήπω τῆς πολιτείας αὐτῷ παρ' ὑμῖν οὔ- 8
σης, οὐχ οἷός τε ἔσοιτο εἰσπράττειν ὅσα Πασίων ἐπὶ γῇ καὶ συνοικίαις δεδανεικὼς
ἦν, εἵλετο μᾶλλον αὐτὸν τὸν Πασίωνα χρήστην ἔχειν τούτων τῶν χρημάτων, ἢ τοὺς
ἄλλους χρήστας, οἷς προειμένος ἦν. καὶ οὕτω διὰ ταῦτα ἐγράφη εἰς τὴν μίσθω-
σιν προσοφείλων ὁ Πασίων ἕνδεκα τάλαντα, ὥσπερ καὶ μεμαρτύρηται ὑμῖν. ὃν μὲν 9
τρόπον ἡ μίσθωσις ἐγένετο, μεμαρτύρηται ὑμῖν ὑπ' αὐτοῦ τοῦ ἐπικαθημένου
ἐπὶ τῇ τραπέζῃ. ἐπιγενομένης δ' ἀρρωστίας τῷ Πασίωνι μετὰ ταῦτα, σκέψασθε ἃ 10



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

διέθετο. Λάβε τῆς διαθήκης τὸ ἀντίγραφον, καὶ τὴν πρόκλησιν ταυ-
τὰς μαρτυρίας ταυτασί, παρ' οἷς αἱ διαθῆκαι κεῖνται.

Ἀντίγραφον διαθήκης. Πρόκλησις. Μαρτυρίαι.

11 Ἐπειδὴ τοίνυν ὁ πασίων ἐτετελευτήκει ταῦτα διαθέμενος, Φορμίων οὑτοσί,
τὴν μὲν γυναῖκα λαμβάνει κατὰ τὴν διαθήκην, τὸν δὲ παῖδα ἐπετρόπευεν. ἁρ-
πάζοντος δὲ τούτου, καὶ πολλὰ ἀπὸ κοινῶν τῶν χρημάτων ἀναλίσκειν οἰομένου δεῖν,
λογιζόμενοι πρὸς ἑαυτοὺς οἱ ἐπίτροποι, ὅτι εἰ δεήσει κατὰ τὰς διαθήκας, ὅσα ἂν οὗτος
12 ἐκ κοινοῦ τῶν χρημάτων ἀναλώσῃ, τοῦτο ἐξελόντας * ἀντιμοιρεῖ τὰ λοιπὰ νέμειν, * τὰς ἀντιμοιρίας.
οὐδ' ὁτιοῦν ἔσται πλεῖον, νείμασθαι τὰ ὄντα ὑπὲρ τοῦ παιδὸς ἐγνωσαν. καὶ νέμονται
τὴν ἄλλην οὐσίαν, πλὴν ὧν * ἐμισθώσαντο οὗτοι. τούτων δὲ τῆς προσόδου τὴν ἡμί- * ἐμεμίσθωτο.
σειαν τούτῳ ἀπεδίδοσαν. ἄχρι μὲν δὴ τούτου τοῦ χρόνου πῶς ἔνεστ' ἐγκαλεῖν αὐτῷ
13 μισθώσεως; οὐ γὰρ νῦν, ἀλλὰ τότ' εὐθὺς ἔδει χαλεπαίνοντα φαίνεσθαι. καὶ μὴν οὐδὲ
τὰς ἐπιγιγνομένας μισθώσεις ὡς οὐκ ἀπείληφεν ἔστ' εἰπεῖν αὐτῷ. οὐ γὰρ ἂν ποτε,
ἐπειδὴ τούτου τῶν ἐπιτρόπων δοκιμασθέντος πασικλέους ἀπηλλάττετο τῆς μισθώσεως
οὗτος, ἀφήκατ' ἂν αὐτὸν ἁπάντων τῶν ἐγκλημάτων, ἀλλὰ τότ' ἂν παραχρῆμα ἀπῃ-
14 τεῖτε, εἴ τι προσώφειλεν ὑμῖν. ὡς τοίνυν ταῦτ' ἀληθῆ λέγω, καὶ διείματο οὗτος
πρὸς τὸν ἀδελφὸν παῖδα ὄντα, καὶ ἀφεῖσαν τῆς μισθώσεως, καὶ τῶν ἄλλων ἁπάν-
των ἐγκλημάτων, λάβε ταυτηνὶ τὴν μαρτυρίαν.

Μαρτυρία.

15 Εὐθὺς τοίνυν, ὦ ἄνδρες ἀθηναῖοι, ὡς ἀφεῖσαν τουτονὶ τῆς μισθώσεως, νέμονται
τὴν τράπεζαν, καὶ τὸ ἀσπιδοπήγιον. καὶ λαβὼν αἵρεσιν ἀπολλόδωρος, αἱρεῖται τὸ ἀσπι-
δοπήγιον ἀντὶ τῆς τραπέζης. καίτοι εἰ ἦν ἰδία τις ἀφορμὴ τούτῳ πρὸς τραπέζῃ, τί
δήποτ' ἂν εἵλετο τοῦτο μᾶλλον, ἢ ἐκείνην; οὔτε γὰρ ἡ πρόσοδος ἦν πλείων, ἀλλὰ
16 ἐλάττων. τὸ μὲν γάρ, τάλαντον· ἡ δέ, ἑκατὸν μνᾶς ἔφερεν. οὔτε τὸ κτῆμα ἴδιον, εἰ
προσῆν χρήματα τῇ τραπέζῃ ἴδια. ἀλλ' οὐ προσῆν. διόπερ σωφρόνως εἵλετο τὸ
ἀσπιδοπήγιον οὑτοσί. τὸ μὲν γὰρ κτῆμα, ἀκίνδυνόν ἐστιν. ἡ δὲ ἐργασία, προσόδους
ἔχουσα ἐπικινδύνους, ἀπὸ χρημάτων ἀλλοτρίων. πολλὰ δ' ἂν τις ἔχοι λέγειν, καὶ
17 * ἀποδεικνύναι σημεῖα, τοῦτον συκοφαντεῖν ἐγκαλοῦντα Φορμίωνι. ἀλλ', οἶμαι, μέ- * ἐπιδεικνύναι.
γιστον μὲν ἁπάντων τεκμήριόν ἐστι, τοῦ μηδεμίαν λαβεῖν ἀφορμὴν εἰς ταῦτα τοῦ-
τον, τὸ ἐν τῇ μισθώσει γεγράφθαι, προσοφείλοντα τὸν πασίωνα ἐπὶ τὴν τράπε-
ζαν, οὐ δεδωκότα ἀφορμὴν τούτῳ. δεύτερον δέ, τὸ τοῦτον ἐν τῇ νομῇ μηδὲν ἐγκα-
λοῦντα φαίνεσθαι. τρίτον δ' ὅτι μισθῶν ἑτέροις ταὐτὰ ταῦτα τοῦ ἴσου ἀργυρίου
18 * φανήσεται προσμεμισθωκώς, οὐκ ἰδίαν ἀφορμήν. καίτοι εἰ ἣν ὁ πατὴρ παρέ- * ὕστερον.
δωκεν, ὑπὸ τοῦδε * ἀπεστερεῖτο, αὐτὸν νῦν προσῆκεν ἄλλοθεν πεισάμενον τὰ διδακέναι. * ἀπεστερεῖτο.
ὡς τοίνυν ταῦτ' ἀληθῆ λέγω, καὶ ἐμίσθωσεν ὕστερον ξένωνι, καὶ εὐφραίῳ, καὶ εὐφρόνι,
καὶ καλλιστράτῳ, καὶ οὐδὲ τούτοις παρέδωκεν ἰδίαν ἀφορμήν, ἀλλὰ τὰς παρακατα-
θήκας, καὶ τὴν ἀπὸ τούτων ἐργασίαν αὐτὴν ἐμισθώσατο, λάβε μοι τὴν τούτων μαρ-
19 τυρίαν, καὶ ὡς τὸ ἀσπιδοπήγιον εἵλετο.

Μαρτυρία.

Μεμαρτύρηται μὲν τοίνυν ὑμῖν, ὦ ἄνδρες ἀθηναῖοι, ὅτι καὶ τούτοις ἐμίσθω-
σαν, καὶ οὐ παρέδωκαν ἰδίαν ἀφορμὴν οὐδεμίαν, καὶ ἐλευθέρους τ' * ἀφεῖσαν, ὡς * ἀφεῖκαν.
μεγάλα εὖ * πεπονθότας· καὶ οὐκ ἐδικάζοντο οὔτ' ἐκείνοις τότε, οὔτε τούτῳ. ὃν μὲν * πεπονθότες.

τοίνυν

ΠΑΝΕΠΙ... ΒΙΒΛΙΟΘΗΚΗ

χρόνον ἡ μήτηρ ἔζη, ἣ πάντ᾽ ἀκριβῶς εἰδυῖα ταῦτα, οὐδὲν ἔγκλημα πώ- 20
ποτ᾽ ἐποιήσατο πρὸς τουτονὶ Φορμίωνα Ἀπολλόδωρος. ὡς δ᾽ ἐτελεύτησεν ἐκείνη,
τρισχιλίας ἐγκαλέσας ἀργυρίου δραχμάς, πρὸς αἷς ἔδωκεν ἐκείνη δισχιλίαις τοῖς
τούτου παιδίοις, καὶ χιτωνίσκον τινά, καὶ θεράπαιναν, ἐσυκοφάντει. καὶ οὐδ᾽ ἐν-
ταῦθα τούτων οὐδέν, ὧν νῦν ἐγκαλεῖ, λέγων φανήσεται. ἐπιτρέψας δὲ τῷ τε τῆς 21
ἑαυτοῦ γυναικὸς πατρί, καὶ τῷ συγκηδεστῇ τῷ ἑαυτοῦ, καὶ Λυσίνῳ, καὶ Ἀνδρομένει,
δραχμάς, πεισάντων τούτων Φορμίωνα τουτονὶ δοῦναι δωρεὰν τὰς τρισχιλίας * καὶ τὸ προσ-
τόν, καὶ φίλον μᾶλλον ἔχειν τοῦτον, ἢ διὰ ταῦτα ἐχθρὸν εἶναι, λαβὼν τὸ σύμπαν
πεντακισχιλίας, καὶ πάντων ἀφεὶς τῶν ἐγκλημάτων, τὸ δεύτερον εἰς τὸ ἱερὸν τῆς Ἀ- 22
θηνᾶς ἐλθών, πάλιν, ὡς ὁρᾶτε, δικάζεται, πάσας αἰτίας συμπλάσας, καὶ ἐγκλή-
ματα ἐκ παντὸς τοῦ χρόνου τοῦ πρὸ τούτου. τοῦτο γάρ ἐστι μέγιστον ἁπάντων, ἃ
οὐδὲ πώποτ᾽ ᾐτιάσατο. ὡς τοίνυν ταῦτ᾽ ἀληθῆ λέγω, λάβε μοι τὴν γνῶσιν τὴν
γενομένην ἐν ἀκροπόλει, καὶ τὴν μαρτυρίαν τῶν παραγενομένων, ὅτ᾽ ἀφίει τῶν 23
ἐγκλημάτων ἁπάντων Ἀπολλόδωρος, λαμβάνων τοῦτο τὸ ἀργύριον.

Γνῶσις. Μαρτυρία.

Ἀκούετε τῆς γνώσεως, ὦ ἄνδρες δικασταί, ἣν ἔγνω Δεινίας, οὗ τὴν θυγατέρα οὗτος
ἔχει, καὶ Νικίας ὁ τὴν ἀδελφὴν τῆς τούτου γυναικὸς ἔχων. ταῦτα τοίνυν λαβών, καὶ 24
ἀφεὶς ἁπάντων τῶν ἐγκλημάτων, ὥσπερ ἢ πάντων τεθνεώτων τούτων, ἢ τῆς ἀληθείας
οὐ γενησομένης φανερᾶς, δίκην τοσούτων ταλάντων λαχών, τολμᾷ δικάζεσθαι. τὰ
μὲν οὖν πεπραγμένα καὶ γεγενημένα Φορμίωνι πρὸς Ἀπολλόδωρον, ἐξ ἀρ-
χῆς ἅπαντα ἀκηκόατε, ὦ ἄνδρες Ἀθηναῖοι. οἶμαι δὲ Ἀπολλόδωρον τουτονὶ οὐδὲν 25
ἐκείνη. ἔχοντα δίκαιον εἰπεῖν περὶ ὧν ἐγκαλεῖ, ἅπερ παρὰ τῷ διαιτητῇ λέγειν ἐτόλμα,
ταῦτ᾽ ἐρεῖν· ὡς τὰ γράμματα ἡ μήτηρ ἠφάνικε πεισθεῖσα ὑπὸ τούτου· καὶ τού-
των ἀπολωλότων, οὐκ ἔχει τίνα χρὴ τρόπον ταῦτ᾽ ἐξελέγχειν ἀκριβῶς. περὶ δὴ
τούτων, καὶ ταύτης τῆς αἰτίας, σκέψασθε ἡλίκ᾽ ἄν τις ἔχοι τεκμήρια εἰπεῖν ὅτι 26
ψεύδεται. πρῶτον μὲν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τίς ἂν ἐνείματο, τὰ πατρῷα μὴ
λαβὼν γράμματα, ἐξ ὧν ἤμελλεν εἴσεσθαι τὴν καταλειφθεῖσαν οὐσίαν; οὐδὲ εἷς
δήπου. καίτοι δυοῖν δέοντα εἴκοσιν ἔτη ἐστὶν ἐξ ὅτου ἐνείμω, καὶ οὐκ ἂν ἔχοις ἐπι-
ὧν λέγεις. δεῖξαι ὡς ἐνεκάλεσας πώποτε ὑπὲρ τῶν γραμμάτων *. δεύτερον δέ, τίς οὐκ ἄν, 27
ἡνίκα ὁ Πασικλῆς ἀνὴρ γεγονώς, ἐκομίζετο τὸν λόγον τῆς ἐπιτροπῆς, εἰ δι᾽ αὐτοῦ, τὰ
γράμματα ᾤκνει τὴν μητέρα αἰτιᾶσθαι διεφθαρκέναι, τούτῳ ταῦτ᾽ ἐδήλωσεν,
ὅπως διὰ τούτου ταῦτα ἠλέγχθη; τρίτον δ᾽ ἐκ ποίων γραμμάτων τὰς δίκας ἐλάγ-
χανες; ἔστι γὰρ πολλοῖς τῶν πολιτῶν δίκας λαγχάνων, πολλὰ χρήματα εἰσπέπρα- 28
κται, γράφων εἰς τὰ ἐγκλήματα, ἔβλαψέ με ὁ δεῖνα οὐκ ἀποδιδοὺς ἐμοὶ τὸ ἀρ-
γύριον, ὃ κατέλιπεν ὁ πατήρ, ὀφείλοντα αὐτὸν ἐν τοῖς γράμμασι. καίτοι εἰ ἠφάνιστο
τὰ γράμματα, ἐκ ποίων γραμμάτων τὰς δίκας ἐλάγχανες; ἀλλὰ μὴν ὅτι ταῦ-
τ᾽ ἀληθῆ λέγω, τὴν μὲν νομὴν ἀκηκόατε, ἣν ἐνείματο καὶ μεμαρτύρηται ὑμῖν· 29
τῶν δὲ λήξεων τούτων, ἀναγνώσεται ὑμῖν τὰς μαρτυρίας. λάβε τὰς μαρτυρίας μοι.

Μαρτυρίαι.

Οὐκοῦν ἐν ταύταις ταῖς λήξεσιν ὡμολόγηκεν ἀπειληφέναι τὰ τοῦ πατρὸς
αὐτοί. γράμματα. οὐ γὰρ δεῖ συκοφαντεῖν γε, οὐδ᾽ ὧν οὐκ ὤφειλον οὗτοι, δικάζεσθαι φή-
σειεν ἄν. νομίζω τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, μεγάλων καὶ πολλῶν ὄντων, ἐξ ὧν ἐστι

ἰδεῖν οὐκ ἀδικοῦντα Φορμίωνα τουτονὶ, μέγιστον ἁπάντων ἐστὶν, ὅτι Πασικλῆς ἀδελφὸς ὢν Ἀπολλοδώρου τουτουῒ, οὔτε δίκην εἴληχεν, οὔτ᾽ ἄλλο οὐδὲν, ὧν οὗτος, ἐγκαλεῖ.
31 καίτοι οὐδήπου τὸν μὲν παῖδα ὑπὸ τοῦ πατρὸς καταλειφθέντα, καὶ οὐ τῶν ὄντων κύριος ὢν, ἐπίτροπος καταλελειμμένος οὐκ ἂν ἠδίκει· σὲ δὲ, ὃς ἀνὴρ κατελείφθης, τέτταρα καὶ εἴκοσιν ἔτη γεγονὼς, καὶ ὑπὲρ αὑτοῦ ῥᾳδίως ἂν τὰ δίκαια ἐλάμβανες εὐθὺς, εἴ τι ἠδικοῦ. οὐκ ἔστι ταῦτα. ὡς τοίνυν ταῦτ᾽ ἀληθῆ λέγω, καὶ ὁ Πα-
32 σικλῆς οὐδὲν ἐγκαλεῖ, λαβέ μοι τὴν τούτου μαρτυρίαν.

Μαρτυρία.

Ἃ τοίνυν περὶ τοῦ μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην, δεῖ σκοπεῖν ὑμᾶς, ταῦτ᾽ ἀναμνήσθητε ἐκ τῶν εἰρημένων. ἡμεῖς γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, γεγενημένου μὲν
33 διαλογισμοῦ καὶ ἀφέσεως τῆς τραπέζης, καὶ τοῦ ἀσπιδοπηγίου τῆς μισθώσεως, γεγενημένης δὲ διαίτης, καὶ πάλιν ἀφέσεως πάντων, οὐκ ἐώντων τῶν νόμων δίκας, ὧν ἂν ἀφῇ τις ἅπαξ, λαγχάνειν, συκοφαντοῦντος τούτου, καὶ παρὰ τοὺς νόμους δικαζομένου, παρεγραψάμεθα ἐκ τῶν νόμων μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην. ἵν᾽ οὖν
34 εἰδῆτε ὑπὲρ οὗ τὴν ψῆφον οἴσετε, τόν τε νόμον ὑμῖν τουτονὶ ἀναγνώσεται, καὶ τὰς μαρτυρίας ἐφεξῆς τῶν παρόντων, ὅτ᾽ ἠφίει τῆς μισθώσεως, καὶ τῶν ἄλλων ἁπάντων ἐγκλημάτων Ἀπολλόδωρος Φορμίωνα. Λαβὲ δή μοι τὰς μαρτυρίας ταυτασὶ, καὶ τὸν νόμον.

Μαρτυρίαι. Νόμος.

35 Ἀκούετε τοῦ νόμου λέγοντος, ὦ ἄνδρες Ἀθηναῖοι, τά τε ἄλλα, καὶ ὧν ἂν γένηται δίκη, τούτων μὴ εἶναι δίκας, καὶ ὅσα τις ἀφῆκεν, ἢ ἀπήλλαξεν. εἰκότως. εἰ γὰρ ἐστὶ δίκαιον ὧν ἂν ἅπαξ γένηται δίκη, μηκέτ᾽ ἐξεῖναι δικάζεσθαι, πολὺ τῶν ἀφεθέντων δικαιότερον μὴ εἶναι δίκας. ὁ μὲν γὰρ ἐν ὑμῖν ἡττηθεὶς, τάχ᾽ ἂν εἴποι* ὡς ἐξηπα- *πῶς.
36 τήθητε ὑμεῖς. ὁ δὲ αὐτοῦ φανερῶς καταγνοὺς καὶ ἀφεὶς καὶ ἀπαλλάξας, τίν᾽ ἂν ἑαυτὸν αἰτίαν αἰτιασάμενος τῶν αὐτῶν πάλιν εἰκότως δικάζοιτο; οὐδεμίαν δήπου. διόπερ τοῦτο πρῶτον ἔγραψεν ὁ τὸν νόμον θεὶς, *ὧν μὴ εἶναι δίκας, καὶ ὅσα τις ἀφῆ- *τούτων.
κεν, ἢ ἀπήλλαξεν. ἃ τῷδε γέγονεν ἀμφότερα. καὶ γὰρ ἀφῆκε καὶ ἀπήλλαξεν. ὡς
37 δ᾽ ἀληθῆ λέγω, μεμαρτύρηται ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι. λαβὲ δέ μοι καὶ τὸν τῆς προθεσμίας νόμον.

Νόμος.

Ὁ μὲν τοίνυν νόμος, ὦ ἄνδρες Ἀθηναῖοι, σαφῶς οὑτοσὶ τὸν χρόνον ὥρισεν. Ἀπολλόδωρος δ᾽ οὑτοσὶ, παρεληλυθότων ἐτῶν πλέον ἢ εἴκοσι, τὴν ἑαυτοῦ συκοφαντίαν
38 ἀξιοῖ περὶ πλείονος ὑμᾶς ποιήσασθαι τῶν νόμων, καθ᾽ οὓς ὀμωμοκότες δικάζετε. καίτοι πᾶσι μὲν τοῖς νόμοις προσέχειν εἰκός ἐσθ᾽ ὑμᾶς, οὐχ ἥκιστα δὲ τούτῳ, ὦ ἄνδρες Ἀθηναῖοι. δοκεῖ γάρ μοι καὶ ὁ Σόλων οὐδενὸς ἄλλου ἕνεκα θεῖναι αὐτὸν, ἢ τοῦ μὴ συκοφαντεῖσθαι ὑμᾶς. τοῖς μὲν γὰρ ἀδικουμένοις, ἱκανὰ τὰ πέντε ἔτη ἡγήσατο
39 εἶναι εἰσπράξασθαι. κατὰ δὲ τῶν ψευδομένων, τὸν χρόνον ἐνόμισε σαφέστατον ἔλεγχον ἔσεσθαι. καὶ ἅμα ἐπειδὴ ἀδύνατον ἔγνω ὂν, τούς τε συμβάλλοντας καὶ τοὺς μάρτυρας ἀεὶ ζῆν, τὸν νόμον ἀντὶ τούτων ἔθηκεν, ὅπως μάρτυς εἴη τοῦ δικαίου τοῖς εἰρημένοις. θαυμάζω τοίνυν ἔγωγε, ὦ ἄνδρες δικασταὶ, τί ποτ᾽ ἐστὶν, *ἃ πρὸς ταῦτ᾽ *δ.
40 ἐπιχειρήσει λέγειν Ἀπολλόδωρος οὑτοσί. οὐ γὰρ ἐκεῖνό γε ὑπείληφεν, ὡς ὑμεῖς οὐδὲν ὁρῶντες εἰς χρήματα τοῦτον ἠδικημένον, ὀργιεῖσθ᾽ ὅτι τὴν μητέρα ἔγημεν αὐτοῦ Φορμίων. οὐ γὰρ ἀγνοεῖ οὗτος, οὐδ᾽ αὐτὸν λέληθεν οὐδ᾽ ὑμῶν πολλοὺς, ὅτι Σωκράτης ὁ τραπεζίτης ἐκεῖνος παρὰ τῶν κυρίων ἀπαλλαγεὶς, ὥσπερ ὁ τούτου πατὴρ, ἔδωκε

ἔδωκε Σατύρῳ τὴν ἑαυτοῦ γυναῖκα, ἑαυτοῦ ποτὲ γενομένῳ. ἕτερος Σωκλῆς τρα- 41
πεζιτεύσας, ἔδωκε τὴν ἑαυτοῦ γυναῖκα Τιμοδήμῳ τῷ νῦν ἔτ' ὄντι, καὶ ζῶντι γε-
νομένῳ ποτὲ ἑαυτοῦ. καὶ οὐ μόνον ἐνθάδε τοῦτο ποιοῦσιν οἱ περὶ τὰς ἐργασίας ταύ-
τας ὄντες, ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλ' ἐν Αἰγίνῃ ἔδωκε Στρυμόδωρος Ἑρμαίῳ τῷ ἑαυ-
τοῦ οἰκέτῃ τὴν γυναῖκα. καὶ τελευτησάσης ἐκείνης, ἔδωκε πάλιν τὴν θυγατέρα 42
τὴν ἑαυτοῦ. καὶ πολλοὺς ἂν ἔχοι τις εἰπεῖν τοιούτους εἰκότως. ὑμῖν μὲν γὰρ, ὦ ἄνδρες
Ἀθηναῖοι, τοῖς γένει πολίταις, οὐδὲ ἓν πλῆθος χρημάτων, ἀντὶ τοῦ γένους καλόν ἐστιν
ἑλέσθαι. τοῖς δὲ τοῦτο μὲν δωρεὰν, ἢ παρ' ὑμῶν, ἢ παρ' ἄλλων τινῶν λαβοῦσι τῇ τύχῃ
δ' ἐξ ἀρχῆς, ἀπὸ τοῦ χρηματίζεσθαι, καὶ ἑτέρων πλείω κτήσασθαι, καὶ αὐτῶν τού- 43
των ἀξιωθεῖσι, ταῦτ' ἐστὶ φυλακτέα. διόπερ πασίων ὁ πατὴρ ὁ σὸς οὐ πρῶτος, οὐ-
δὲ μόνος, οὐδ' αὑτὸν ὑβρίζων, οὐδ' ὑμᾶς τοὺς υἱεῖς· ἀλλὰ μόνην ὁρῶν σωτηρίαν τοῖς
ἑαυτοῦ πράγμασιν· εἰ τοῦτον ἀνάγκῃ ποιήσειεν οἰκεῖον ὑμῖν, ἔδωκε τὴν ἑαυτοῦ γυ-
ναῖκα, μητέρα δ' ὑμετέραν τούτῳ. πρὸς μὲν οὖν τὰ συμφέροντα ἐὰν ἐξετάζῃς, 44
[πρὸς γένους δόξαν ἀναίνῃ.] καλῶς αὐτὸν βεβουλευμένον εὑρήσεις. εἰ δ' *πρὸς δόξαν, ἢ γένος ἀναίνῃ Φορμίωνα
κηδεστὴν, ὅρα μὴ γελοῖον ᾖ σὲ ταῦτα λέγειν. εἰ γάρ τις ἔροιτό σε ποῖόν τιν' ἡγῇ τὸν
πατέρα τὸν σαυτοῦ εἶναι· χρηστὸν εὖ οἶδ' ὅτι φήσειας ἄν. πότερον οὖν οἴει μᾶλλον
[*τῷ πασίωνι.] ἐοικέναι τὸν τρόπον, καὶ πάντα *τὸν βίον πασίωνι σαυτὸν, ἢ τοῦτον; ἐγὼ μὲν γὰρ εὖ 45
[*τις.] οἶδ' ὅτι τοῦτον. εἶθ' ὃς *ἐστιν ὁμοιότερος τῷ σῷ πατρὶ, τουτονὶ τὴν μητέρα τὴν
σὴν εἰ ἔγημεν ἀναίνῃ; ἀλλὰ μὴν ὅτι γε δόντος, καὶ ἐπισκήψαντος τοῦ σοῦ πατρὸς
ταῦτ' ἐπράχθη, οὐ μόνον ἐκ τῆς διαθήκης ἐστὶν ἰδεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλὰ
καὶ σὺ μάρτυς αὐτὸς γέγονας. ὅτε γὰρ τὰ μητρῷα πρὸς μέρος αὐτὸς ἠξίους νέμεσθαι, 46
ὄντων παίδων ἐκ τῆς γυναικὸς Φορμίωνι τουτῳ, τότε ὡμολόγεις κυρίως δόντος τοῦ
πατρὸς τοῦ σοῦ κατὰ τοὺς νόμους αὐτὴν γεγαμῆσθαι. εἰ γὰρ αὐτὴν εἶχε λαβὼν ἀδίκως
ὅδε, μηδενὸς δόντος, οὐκ ἦσαν οἱ παῖδες κληρονόμοι. τοῖς δὲ μὴ κληρονόμοις, οὐκ
[*τῷ.] ἦν μετουσία τῶν ὄντων. ἀλλὰ μὴν ὅτι ταῦτ' ἀληθῆ λέγω, μεμαρτύρηται, *τὸ τέ- 47
ταρτον μέρος λαβεῖν, καὶ ἀφεῖναι τῶν ἐγκλημάτων ἁπάντων. κατ' οὐδὲν τοίνυν, ὦ ἄν-
δρες Ἀθηναῖοι, δίκαιον οὐδὲν εἰπεῖν ἔχων, ἀναιδεστάτους λόγους ἐτόλμα λέγειν
πρὸς τῷ διαιτητῇ περὶ ὧν προσακηκοέναι βέλτιόν ἐσθ' ὑμᾶς· ἕνα μὲν, τὸ παρά-
παν μὴ γενέσθαι διαθήκην, ἀλλ' ἔτ' εἶναι τοῦτο πλάσμα, καὶ σκευώρημα ὅλον· 48
ἕτερον δ', ἕνεκα τούτου πάντα ταῦτα συγχωρεῖν τὸν πρὸ τοῦ χρόνον, καὶ οὐχὶ δικά-
ζεσθαι, ὅτι μίσθωσιν αὐτῷ ἤθελε φέρειν Φορμίων πολλὴν, καὶ ὑπισχνεῖτο οἴσειν· ἐπειδὴ
δ' οὐ ποιεῖ ταῦτα, τηνικαῦτα, φησὶ, δικάζομαι. ὅτι δὲ ταῦτα ἀμφότερα ἐὰν λέγῃ,
ψεύσεται, καὶ τοῖς ὑφ' ἑαυτοῦ πεπραγμένοις ἐναντία ἐρεῖ, σκοπεῖτε ἐκ τῶνδε. ὅταν 49
[*τά.] τοίνυν τὴν διαθήκην ἀρνῆται, ἐκ τίνος τρόπου *πρεσβεῖα λαβὼν, τὴν συνοικίαν
κατὰ τὴν διαθήκην ἔχει, τοῦτο ἐρωτᾶτε αὐτόν. οὐ γὰρ ἐκεῖνό γε ἐρεῖ, ὡς, ὅσα μὲν πλεο-
νεκτεῖν τινὰ δ' ἔγραψεν ὁ πατὴρ, κύρια ἐστὶ τῆς διαθήκης· τὰ δ' ἄλλα, ἄκυρα.
ὅταν δ' ὑπὸ τῶν τούτου ὑποσχέσεων ὑπάγεσθαι φῇ, μέμνησθε ὅτι μάρτυρας 50
ὑμῖν παρεσχήμεθα· οἳ χρόνον πολὺν τοῦδε ἀπηλλαγμένου, μισθωταὶ τούτοις ἐγίγνοντο
[*ἐμίσθωσεν ἐκείνοις.] τῆς τραπέζης, καὶ τοῦ ἀσπιδοπηγίου. καίτοι τότε, ὁπηνίκα *ἐμίσθωσε τούτοις, ἔδει *εἰ-
[*ἐγκαλεῖν.] πεῖν περὶ χρήματα ἐγκαλεῖν, εἰ ἀληθῆ ἦν· ὑπὲρ ὧν τότ' ἀφεὶς, νῦν τούτῳ δικάζεται.
ὡς τοίνυν ταῦτ' ἀληθῆ λέγω, καὶ πρεσβεῖά τε τὴν συνοικίαν ἔλαβε κατὰ τὴν δια- 51
θήκην, καὶ τῷδε οὐχ ὅπως ἐγκαλεῖν ᾤετο δεῖν, ἀλλ' ἐπῄνει, λαβὲ τὴν μαρτυρίαν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Μαρτυρία.

Ἵνα τοίνυν εἰδῆτε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅσα χρήματα ἔχων ἐκ τῶν μισθώ-
52 σεων, καὶ ἐκ τῶν χρεῶν, ὡς ἀπορῶν καὶ πάντα ἀπολωλεκὼς, ὀδύρεται, βραχέα
ἡμῶν ἀκούσατε. οὗτος γὰρ ἐκ μὲν τῶν χρεῶν ὁμοῦ τάλαντα εἴκοσιν εἰσπέπρα-
κται ἐκ τῶν γραμματείων, ὧν ὁ πατὴρ κατέλιπε. καὶ τούτων ἔχει πλείω, ἢ τὰ ἡμί-
σεα. πολλῶν γὰρ τὰ μέρη τὸν ἀδελφὸν ἀποστερεῖ. ἐκ δὲ τῶν μισθώσεων, ὀκτὼ μὲν
53 ἐτῶν, ἃ Φορμίων εἶχε τὴν τράπεζαν, ὀγδοήκοντα μνᾶς τοῦ ἐνιαυτοῦ ἑκάστου, τὸ ἥμι-
συ τῆς ὅλης μισθώσεως. καὶ ταῦτά ἐστι δέκα τάλαντα καὶ τετταράκοντα μναῖ.
δέκα δ' ἐτῶν μετὰ ταῦτα ὧν ἐμισθώσατο ὕστερον ° ξένωνι καὶ εὐφραίῳ καὶ εὐφρο- ξένωνι.
νι καὶ καλλιστράτῳ τάλαντον τοῦ ἐνιαυτοῦ ἑκάστου. χωρὶς δὲ τούτων, " ἐκ τῶν οἴκων " ἐτῶν ἴσως
54 τῆς ἐξ ἀρχῆς νεμηθείσης οὐσίας, ἧς αὐτὸς ἐπεμελεῖτο, τὰς προσόδους, πλέον ἢ μνᾶς εἴκοσι.
τριάκοντα. ἐὰν δὲ πάντα συνθῆτε, ὅσα ἐνείματο, ὅσα εἰσεπράξατο, ὅσα εἴληφε
μίσθωσιν, πλέον ἢ τετταράκοντα τάλαντα εἰληφὼς φανήσεται, χωρὶς ὧν οὗτος δια-
πεποίηκε, καὶ τῶν μητρῴων, καὶ ὧν ἀπὸ τῆς τραπέζης ἔχων, οὐκ ἀποδίδωσι πέντε
55 ἡμιταλάντων καὶ ἑξακοσίων δραχμῶν. ἀλλὰ νὴ Δία ταῦθ' ἡ πόλις εἴληφε· καὶ
δεινὰ πέπονθας πολλὰ καταλελειτουργηκώς. ἀλλ' ἃ μὲν ἐκ κοινοῦ ἐλειτούργεις τῶν
χρημάτων, σὺ καὶ ὁ ἀδελφὸς, ἀνηλώσατε· ἃ δ' ὕστερον, οὐκ ἔστιν ἄξια μὴ ὅτι δυοῖν
ταλάντοιν προσόδου, ἀλλ' οὐδὲ εἴκοσι μνῶν. μηδὲν οὖν τὴν πόλιν αἰτιῶ, μηδ'
56 ἃ σὺ τῶν ὄντων αἰσχρῶς καὶ κακῶς ἀνήλωκας, ὡς ἡ πόλις εἴληφε, λέγε ἵνα δὲ
εἰδῆτε, ὦ ἄνδρες Ἀθηναῖοι, τό, τε πλῆθος τῶν χρημάτων ὧν εἴληφε, καὶ τὰς λει-
τουργίας, ἃς λελειτούργηκεν, ἀναγνώσεται ὑμῖν καθ' ἓν ἕκαστον. λαβὲ μοι τὸ βιβλίον
τουτὶ, καὶ τὴν πρόκλησιν ταυτηνὶ, καὶ τὰς μαρτυρίας ταυτασί.

57 Πρόκλησις. Μαρτυρία.

Τοσαῦτα μὲν τοίνυν χρήματα εἰληφὼς, καὶ χρέα πολλῶν ταλάντων ἔτ' ἔχων,
ὧν τὰ μὲν παρ' ἑκόντων, τὰ δ' ἐκ τῶν δικῶν εἰσπράττει, ἃ τῆς μισθώσεως ἔξω τῆς
τραπέζης, καὶ τῆς ἄλλης οὐσίας, ἣν κατέλιπε πασίων, ἀφείλετο ἐκεῖνος, καὶ νῦν πα-
58 ρειλήφασιν οὗτοι· καὶ τοσαῦτ' ἀνηλωκὼς, ὅσα ὑμεῖς ἠκούσατε, οὐδὲ πολλοστὸν μέρος
τῶν προσόδων, μὴ ὅτι τῶν ἀρχαίων, εἰς τὰς λειτουργίας, ὅμως ἀλαζονεύσεται,
καὶ τριηραρχίας ἐρεῖ, καὶ χορηγίας. ἐγὼ δὲ ὡς μὲν οὐκ ἀληθῆ ταῦτ' ἐρεῖ, ἐπέ-
δειξα. οἶμαι μὲν τοίνυν, κἂν εἰ πάντα ταῦτα ἀληθῆ λέγοι, κάλλιον εἶναι, καὶ δικαιό-
59 τερον τόνδε ἀπὸ τῶν αὐτοῦ λειτουργεῖν ὑμῖν, ἢ τούτῳ δόντας τὰ τούτου, μικρὰ τῶν
πάντων μεταδόντας αὐτοῖς, τόνδε μὲν ἐν ταῖς ἐσχάταις ἐνδείαις ὁρᾶν, τοῦτον δὲ
ὑβρίζοντα, καὶ εἰς ἅπερ εἴωθεν, ἀναλίσκοντα. ἀλλὰ μὴν περί γε τῆς εὐπορίας, ὡς
ἐκ τῶν τοῦ πατρὸς τοῦ σοῦ κέκτηται, καὶ ὧν ἐρωτήσειν ἔφησθα πόθεν τὰ ὄντα κέκτη-
60 ται Φορμίων, μόνῳ τῶν ὄντων ἀνθρώπων ὅτου οὐκ ἔνεστιν εἰπεῖν ° τὸν λόγον. οὐδὲ ° σ
γὰρ πασίων ὁ σὸς πατὴρ ἐκτήσατο εὑρὼν, οὐδὲ τοῦ πατρὸς αὐτῷ παραδόντος. ἀλ-
λὰ παρὰ τοῖς αὐτοῦ κυρίοις ἀντισθένει, καὶ ἀρχεστράτῳ τραπεζιτεύουσι πεῖραν
δοὺς, ὅτι χρηστός ἐστι καὶ δίκαιος, ἐπιστεύθη. ἔστι δ' ἐν ἐμπορίῳ καὶ χρήμασιν ἐρ-
61 γαζομένοις ἀνθρώποις, φιλεργὸν δόξαι καὶ χρηστὸν εἶναι τὸν αὐτὸν, θαυμαστὸν ἡλίκον.
οὔτ' οὖν ἐκείνῳ ταῦθ' οἱ κύριοι παρέδωκαν, ἀλλ' αὐτὸς ἔφυ χρηστός, οὔτε τῷδε ὁ σὸς
πατήρ. σὲ γὰρ ἂν πρότερον τοῦδε χρηστὸν ἐποίησεν, εἰ ἦν ἐπ' ἐκείνῳ. εἰ δὲ τοῦτο ἀγνοεῖς,
ὅτι πίστις ἀφορμὴ " πασῶν ἐστι μεγίστη πρὸς χρηματισμὸν, πάντα ἂν ἀγνοήσειας. " τῶν.
χωρὶς

ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τούτων, πολλὰ καὶ τῷ σῷ πατρὶ καὶ σοὶ καὶ ὅλοις τοῖς ὑμετέροις πρα- 62
γμασι Φορμίων γέγονε χρήσιμος. ἀλλ' οἶμαι τῆς ἀπληστίας, καὶ τοῦ σοῦ τρόπου, τίς
ἐφικέσθαι. ἂν δύναιτο ἐφικέσθαι. καὶ δῆτα θαυμάζω πῶς οὐ λογίζῃ πρὸς σεαυτὸν, ὅτι ἐστὶν
ἀρχεστράτῳ τῷ ποτὲ τὸν πατέρα τὸν σὸν κτησαμένῳ, υἱὸς ἐνθάδε ἀντίμαχος,
πράττων οὐ κατ' ἀξίαν. ὃς οὐ δικάζεταί σοι, οὐδὲ φησὶ δεινὰ πάσχειν, εἰ σὺ μὲν χλα- 63
νίδα φορεῖς, καὶ τὴν μὲν λέλυσαι, τὴν δ' ἔδωκας ἑταίρα. καὶ ταῦτα γυναῖκα ἔχων
ποιεῖς, καὶ τρεῖς παῖδας ἀκολούθους περιάγεις, καὶ ζῇς ἀσελγῶς οὕτως, ὥστε καὶ τοὺς
ἀπαντῶντας αἰσθάνεσθαι. αὐτὸς δ' ἐκεῖνος πολλῶν ἐνδεής ἐστιν,* οὐδὲ τὸν Φορ-
μίωνα ἐκεῖνος ὁρᾷ. καίτοι εἰ κατὰ τοῦτ' οἴει σοι προσήκειν τούτου, ὅτι τοῦ πατρὸς πο- 64
τε ἐγένετο τοῦ σοῦ, ἐκείνῳ προσήκει μᾶλλον ἢ σοί. ὁ γὰρ αὖ σὸς πατὴρ, ἐκείνων ἐγένε-
το. ὥστε καὶ σὺ καὶ οὗτος, ἐκείνου γίνεσθε ἐκ τοῦδε τοῦ λόγου. σὺ δ' εἰς τοῦθ' ἥκεις ἀ-
γνωμοσύνης, ὥστε ἃ προσήκει σοι τοὺς λέγοντας ἐχθροὺς νομίζειν, ταῦτ' αὐτὸς ποιεῖς
ἀνάγκην εἶναι καὶ λέγειν. καὶ ὑβρίζεις μὲν σαυτὸν, καὶ τοὺς γονέας τεθνεῶτας, προ- 65
πηλακίζεις δὲ τὴν πόλιν. καὶ ἃ τῆς τούτων φιλανθρωπίας ἀπολαύσας εὕρετο ὁ
σὸς πατὴρ, καὶ μετὰ ταῦτα Φορμίων οὑτοσί, ταῦτα ἀντὶ τοῦ κοσμεῖν καὶ περιστέλλειν,
*φαίνοιτο. ἵνα καὶ τοῖς δοῦσιν ὡς εὐσχημονέστατα *ἐφαίνετο, καὶ τοῖς λαβοῦσιν ὑμῖν, ἄγεις εἰς μέ-
*μονονουχὶ ὀ- σον, ἐλέγχεις, δεικνύεις *μονονοὺ, ἢ ὀνειδίζεις, οἷον ὄντα σε ἐποιήσαντο ἀθηναῖον. εἶτα εἰς 66
τοῦθ' ἥκεις μανίας· τί γὰρ ἂν ἄλλο τις εἴποι· ὥστε οὐκ αἰσθάνῃ, ὅτι νῦν ἡμεῖς μὲν ἀ-
ξιοῦντες, ἐπειδήπερ ἀπηλλάγη Φορμίων, μηδὲν ὑπὸ λόγον εἶναι, εἴποτε τοῦ σοῦ πα-
τρὸς ἐγένετο, ὑπὸ σοῦ λεγόμενον· σὺ δὲ μηδέποτε ἐξίσου σοι γενέσθαι τοῦτον ἀξιῶν,
κατὰ σαυτοῦ λέγεις· ἃ γὰρ ἂν σὺ δίκαια σαυτῷ κατὰ τούτου τάξῃς, τὰ αὐτὰ ταῦτα ἥ- 67
ξει κατὰ σοῦ, παρὰ τῶν τὸν πατέρα ἐξ ἀρχῆς κτησαμένων. ἀλλὰ μὴν ὅτι κἀκεῖνος τῶν
τινῶν, εἶτ' ἀπηλλάγη τὸν αὐτὸν τρόπον, ὅνπερ οὗτος ἀφ' ὑμῶν, λαβέ μοι ταυτασὶ τὰς
μαρτυρίας, ὡς ἐγένετο πασίων ἀρχεστράτου. Μαρτυρίαι.

Εἶτα τὸν σώζοντα μὲν ἐξ ἀρχῆς τὰ πράγματα, καὶ πολλὰ παρασχόντα χρή- 68
σιμον αὐτὸν τῷ πατρὶ τῷ τούτου, ἑαυτῷ δ' αὐτὸν τούτων ἀγαθὰ εἰργασμένον, ὅσα ὑ-
μεῖς ἀκηκόατε, τοῦτον οἴεται δεῖν ἑλὼν τηλικαύτην δίκην ἀδίκως ἐκβάλλειν· οὐ γὰρ
ἄλλο γ' ἔχοις οὐδὲν ἂν ποιῆσαι· εἰς μὲν γὰρ τὰ ὄντα εἰ βλέπεις ἀκριβῶς ταῦτα, εὑ-
ρήσεις ὧν ἐστιν, ἂν, ὃ μὴ γένοιτο, ἐξαπατηθῶσιν οὗτοι. ὁρᾷς τὸν ἀρχίλοχον τὸν χαρι- 69
δήμου. ποτὲ εἶχεν ἀγρόν. εἶτα γε νῦν πολλοί. πολλοῖς γὰρ ἐκεῖνος ὀφείλων αὐτὸν ἐκ-
*τῷ σωσινόμῳ, καὶ τῷ τιμοδήμῳ, καὶ τοῖς ἄλλοις τραπεζίταις. τήσατο. καὶ τὸν σωσίνομον, καὶ τὸν τιμόδημον, καὶ τοὺς ἄλλους τραπεζίτας. οἳ ἐπει-
δὴ διαλύειν ἐδέησεν οἷς *ὤφειλον, ἐξέστησαν ἁπάντων τῶν ὄντων. σὺ δ' οὐδὲν οἴει δεῖν
σκοπεῖν, οὐδ' ὧν ὁ πατήρ σου πολλῷ βελτίων ὢν, καὶ ἄμεινον* φρονῶν, πρὸς ἅπαν- 70
*ὠφείλει. *ὧν τα ἐβουλεύσατο. ὃς, ὦ γῆ καὶ θεοὶ, τοσούτῳ τοῦτον ἡγεῖτό σου πλείονος ἄξιον εἶναι καὶ
σοὶ καὶ αὐτῷ καὶ τοῖς ὑμετέροις πράγμασιν, ὥστε ἀνδρὸς ὄντος σοῦ τοῦτον οὐ σὲ τῶν
*καταλείπει ἡμίσεων *κατέλιπεν ἐπίτροπον, καὶ τὴν γυναῖκα ἔδωκε, καὶ ζῶντα αὐτὸν ἐτίμα,
δικαίως, ὦ ἄνδρες ἀθηναῖοι· οἱ μὲν γὰρ ἄλλοι τραπεζῖται, μίσθωσιν οὐ φέροντες, ἀλ- 71
λ' αὐτοὶ αὐτοῖς ἐργαζόμενοι, πάντες ἀπώλοντο. οὗτος δὲ μίσθωσιν φέρων δύο τά-
λαντα καὶ τετταράκοντα μνᾶς, ὑμῖν ἔσωσε τὴν τράπεζαν. ὧν ἐκεῖνος μὲν χάριν
εἶχε· σὺ δὲ οὐδένα ποιεῖς λόγον· ἀλλ' ἐναντία τῇ διαθήκῃ, καὶ ταῖς ἀπ' ἐκείνης ἀ-
ραῖς γραφείσαις ὑπὸ τοῦ πατρὸς, ἐλαύνεις, διώκεις, συκοφαντεῖς. ὦ βέλτιστε, εἰ οἷόν 72
τέ σε τοῦτ' εἰπεῖν, οὐ παύσῃ, καὶ γνώσῃ τοῦθ', ὅτι πολλῶν χρημάτων τὸ χρηστὸν εἶναι λυσι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τελέςερον*. σὺ γοῦν, εἴπερ ἀληθῆ λέγεις, χρήματα μὲν τοσαῦτ᾽ εἰληφότι, πάντα ἀπόλωλεν, ὡς φής. εἰσὶ δ᾽ ἦσθα ἐπιεικής, οὐδέποτ᾽ αὐτὰ ἐδήλωσας. ἀλλ᾽ ἔγωγε μὰ τὸν Δία καὶ θεοὺς, πανταχῇ σκοπῶν, οὐδὲν ὁρῶ. διότι ἂν σοι πεισθέντες οὗτοι τουδὶ καταψηφίσαιντο. τί γὰρ; ὅτι πλησίον ὄντων τῶν ἀδικημάτων ἐνεκάλεις; ἀλλ᾽ ἔτεσι καὶ χρόνοις ὕστερον αἰτιᾷ. ἀλλ᾽ ὅτι τοῦτον ἀπράγμων ἦσθα τὸν χρόνον; ἀλλὰ τίς οὐκ οἶδεν ὅσα πράγματα πράττων οὐ πέπαυσαι, οὐ μόνον ἰδίας δίκας διώκων *ἔτι *ἐκ αὖ *οἶδεν

74 οὐκ ἐλάττους ταυτησί, ἀλλὰ καὶ δημοσίᾳ συκοφαντῶν καὶ κρίνων τινάς; οὐχὶ τιμομάχου κατηγόρεις; οὐ καλλίππου τοῦ νῦν ὄντος ἐν σικελίᾳ; οὐ πάλιν μένωνος; οὐκ αὐτοκλέους; οὐ τιμοθέου; οὐκ ἄλλων πολλῶν; καίτοι πῶς ἔχει λόγον σὲ ἀπολλόδωρον ὄντα, πρότερον τῶν κοινῶν, ὧν μέρος ἠδικοῦ, δίκην ἀξιοῦν λαμβάνειν, ἢ

75 τῶν ἰδίων, ὧν νῦν ἐγκαλεῖς, ἄλλως τε, καὶ τηλικούτων ὄντων, ὡς σὺ φής; τί ποτ᾽ οὖν ἐκείνων κατηγορῶν, τόνδε εἴας; οὐκ ἠδικοῦ, ἀλλ᾽, οἶμαι, συκοφαντεῖς νῦν. ἡγοῦμαι τοίνυν, ὦ ἄνδρες ἀθηναῖοι, πάντων μάλιστ᾽ εἰς τὸ πρᾶγμα εἶναι, τούτων μάρτυρας παρασχέσθαι. τὸν γὰρ συκοφαντοῦντα ἀεί τι, νομίζειν χρὴ ποιεῖν νυνί. καὶ νὴ Δία ἔ-

76 γωγε, ὦ ἄνδρες ἀθηναῖοι, νομίζω πολὺ ὅσα τοῦ τρόπου τοῦ φορμίωνός ἐστι σημεῖα, καὶ τῆς τούτου δικαιοσύνης καὶ φιλανθρωπίας, καὶ ταῦτ᾽ εἰς τὸ πρᾶγμα εἶναι πρὸς ὑμᾶς εἰπεῖν. ὁ μὲν γὰρ περὶ πάντα ἄδικος, τάχ᾽ ἂν, εἰ τύχοι, καὶ τοῦτον ἠδίκει. ὁ δὲ μηδένα μηδὲν ἠδικηκὼς, πολλοὺς δὲ εὖ πεποιηκὼς ἑκών, ἐκ τίνος ἂν εἰ-

77 κότως τρόπου τοῦτον μόνον ἠδίκει τῶν πάντων; τούτων τοίνυν τῶν μαρτυριῶν ἀκούσαντες, γνώσεσθε τὸν ἑκατέρου τρόπον. Μαρτυρίαι.

Ἴθι δὴ καὶ τὰς περὶ ἀπολλόδωρον τῆς πονηρίας. Μαρτυρίαι. *ἴθι

Ἄρ᾽ οὖν ὅμοιος οὑτοσί σκοπεῖτε. Λέγε. Μαρτυρίαι.

78 Ἀνάγνωθι δὴ, καὶ ὅσα δημοσίᾳ χρήσιμος τῇ πόλει γέγονεν οὑτοσί.

Μαρτυρίαι.

Τοσαῦτα τοίνυν, ὦ ἄνδρες ἀθηναῖοι, φορμίων χρήσιμος τῇ πόλει γεγονὼς, καὶ πολλοῖς ὑμῶν, καὶ οὐδένα οὔτε ἰδίᾳ, οὔτε δημοσίᾳ κακὸν οὐδὲν εἰργασμένος, οὐδ᾽ ἀ-

79 δικῶν ἀπολλόδωρον τουτονί, δεῖται καὶ ἱκετεύει καὶ ἀξιοῖ σωθῆναι, καὶ ἡμεῖς συνδεόμεθα οἱ ἐπιτήδειοι ταῦθ᾽ ὑμῶν. ἐκεῖνο δ᾽ ὑμᾶς ἀκοῦσαι δεῖ. τοσαῦτα γὰρ, ὦ ἄνδρες ἀθηναῖοι, χρήμαθ᾽* ἡμῶν ἀνεγνώσθη προσπεπορικὼς, ὅσα οὔθ᾽ οὗτος, οὔτ᾽ ἄλλος *ὑμῖν

80 οὐδεὶς κέκτηται. πίστις μέντοι φορμίωνι παρὰ τοῖς εἰδόσι καὶ τοσούτων καὶ πολλῷ πλειόνων χρημάτων ἐστί· δι᾽ ἧς καὶ αὐτὸς αὑτῷ, καὶ ὑμῖν χρήσιμός ἐστιν. ἃ μὴ προῆσθε, μηδ᾽ ἐπιτρέψητε ἀνατρέψαι τῷ μιαρῷ τούτῳ ἀνθρώπῳ, μηδὲ ποιήσητε αἰσχρὸν παράδειγμα, ὡς τὰ τῶν ἐργαζομένων, καὶ μετρίως ἐθελόντων ζῆν, τοῖς βδε-

81 λυροῖς καὶ συκοφάνταις ὑπάρχει παρ᾽ ὑμῶν λαβεῖν. πολὺ γὰρ χρησιμώτερα ὑμῖν παρὰ τῷ δέοντα ὑπάρχει. ὁρᾶτε γὰρ αὐτοί, καὶ ἀκούετε τῶν μαρτύρων, οἷος ἑαυτὸν τοῖς δεηθεῖσι παρέχει. καὶ τούτων οὐδὲν ἕνεκα τοῦ λυσιτελοῦντος εἰς χρήματα πεποίηκεν, ἀλλὰ φιλανθρωπίᾳ καὶ τρόπου ἐπιεικείᾳ. οὔκουν ἄξιον, ὦ ἄνδρες ἀθηναῖοι,

82 τὸν τοιοῦτον ἄνδρα προέσθαι τούτῳ, οὐδὲ τηνικαῦτα ἐλεεῖν, ὅτ᾽ οὐδὲν ἔσται πλέον τούτῳ, ἀλλὰ νῦν ὅτε κύριοι καθέστατε σῶσαι. οὐ γὰρ ἔγωγε ὁρῶ καιρὸν ἐν τίνι ἂν μᾶλλον βοηθήσειέ τις αὐτῷ. τὰ μὲν οὖν πολλὰ ὧν ἀπολλόδωρος ἐρεῖ, νομίζετ᾽ εἶναι λόγον καὶ συκοφαντίας, κελεύετε δ᾽ αὐτὸν ὑμῖν ἐπιδεῖξαι, ἢ ὡς οὐ διέθετο ταῦθ᾽ ὁ

83 πατήρ, ἢ ὡς ἔστι τις ἄλλη μίσθωσις πλὴν ἣν ἡμεῖς δείκνυμεν, ἢ ὡς οὐκ ἀφῆκεν αὐτὸν* *τις

διαλογισά-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὠνησάμενος τῶν ἐγκλημάτων ἁπάντων, ἃ ἔγνω ὁ κηδεστὴς ὁ τούτου, καὶ οὗτος συνεχώρησεν, ἢ ὡς διδόασιν οἱ νόμοι δικάζεσθαι τῶν οὕτω πραχθέντων, ἢ τῶν τοιούτων τι δεικνύωσι. ἐὰν δ' ἀπορῶν, αἰτίας, καὶ βλασφημίας λέγῃ, καὶ * κακουργῇ, μὴ προσέχετε τὸν νοῦν, μηδ' ὑμᾶς ἡ τούτου κραυγὴ καὶ ἀναίδεια ἐξαπατή- 84
σῃ· ἀλλὰ φυλάττετε καὶ μέμνησθε ὅσα ἡμῶν ἀκηκόατε. κἂν ταῦτα ποιῆτε, αὐτοί τε εὐορκήσετε, καὶ τοῦτον δικαίως σώσετε, ἄξιον ὄντα, νὴ τὸν Δία, καὶ τοὺς θεοὺς ἅπαντας. Ἀνάγνωθι λαβὼν αὐτοῖς τὸν νόμον, καὶ τὰς μαρτυρίας ταςδί.

Νόμος. Μαρτυρίαι.

Οὐκ οἶδ' ὅ,τι δεῖ πλείω λέγειν· οἶμαι γὰρ ὑμᾶς οὐδὲν ἀγνοεῖν τῶν εἰρημένων. Ἐξέρα τὸ ὕδωρ.

[* κακολογῇ. γ. πανουργῇ.]

Ἐξέρα τὸ ὕδωρ) Τουτέστιν, ἔκβαλλε.

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΠΑΝΤΑΙΝΕΤΟΝ παραγραφικοῦ λόγου.

Πανταίνετος παρὰ Τηλεμάχου τινὸς ἐργαστήριον ἐν Μαρωνείᾳ μεταλλικόν· τόπος δέ ἐστι τῆς Ἀττικῆς· καὶ μετὰ τοῦ ἐργαστηρίου τριάκοντα τὸν ἀριθμὸν οἰκέτας ὠνούμενος, δανείζεται παρὰ μὲν Μνησικλέους, τάλαντον· παρὰ δὲ Φιλέου, καὶ Πλείστορος, πέντε καὶ τετταράκοντα μνᾶς. καὶ ἦν ὠνητὴς ἐγγεγραμμένος ὁ Μνησικλῆς, καὶ τὰς ὠνὰς εἶχεν αὐτός. ὕστερον δὲ ἀπαιτούμενος τὸ ἀργύριον ὁ Πανταίνετος, δευτέρους λαμβάνει δανειστάς, τόν τε παραγραφόμενον νῦν Νικόβουλον, καὶ Εὔεργόν τινα. καὶ τούτοις ὑποθήκην δίδωσι τὸ ἐργαστήριον καὶ τὰ ἀνδράποδα. γραμματεῖον δὲ, οὐχ ὑποθήκης, ἀλλὰ πράσεως γράφεται. καὶ γίνεται πρατήρ, καὶ βεβαιωτὴς τοῖς δευτέροις δανεισταῖς ὁ πρότερος δεδανεικὼς ὁ Μνησικλῆς, ὁ τὰς ὠνὰς ἔχων. καὶ μισθοῦσι τῷ Πανταινέτῳ τά τε ἀνδράποδα, καὶ τὸ ἐργαστήριον, Εὔεργος καὶ ὁ Νικόβουλος, ὡς δεσπόται δήπουθεν γεγονότες αὐτῶν. τοσούτου δὲ μισθοῦντες, ὅσον τὸ δάνειον τόκον ἐποίει. ἐδεδανείκεσαν μὲν γὰρ ἑκατὸν πέντε μνᾶς· ἔδει δὲ κατὰ μνᾶν, τόκον τὴν δραχμήν. ἑκατὸν οὖν, καὶ πέντε δραχμὰς λαμβάνειν συνέθεντο· καὶ ἦν τοῦτο τῷ μὲν ἔργῳ, τόκος, τῷ δὲ ὀνόματι, μίσθωσις. τούτων πραχθέντων, ὁ μὲν Νικόβουλος ἀπεδήμησε· παρὰ δὲ τὴν ἀποδημίαν τὴν ἐκείνου, Ἀθήνησι τάδε γίνεται. ὁ Εὔεργος ὁ κοινωνὸς τοῦ δανείσματος, αἰτιώμενος τὸν Πανταίνετον, ὡς οὐδὲν τῶν συγκειμένων ἐθέλοντα ποιεῖν, ἐλθὼν ἐπὶ τὸ ἐργαστήριον κατεῖχεν αὐτό. καὶ δὴ ἀργύριον φυλάξας ἐκ τῶν μετάλλων Πανταινέτῳ κομιζόμενον, ὅπερ ἔμελλεν εἰς τὸ δημόσιον καταβάλλειν, ἀφείλετο τὸν κομίζοντα οἰκέτην βίᾳ· παρὸ καὶ διπλῆν εἰς τὸ δημόσιον κατέβαλεν, ὡς ἔφη, τὴν καταβολὴν ὁ Πανταίνετος, τῆς προσηκούσης προθεσμίας δι' Εὔεργον ἐκπεσών. ἐπὶ τούτοις καὶ δίκην ἔλαχε τῷ Εὐέργῳ βλάβης, καὶ εἷλεν αὐτόν. ὡς δὲ ἐπανῆκε, καὶ ὁ Νικόβουλος ἐκ τῆς ἀποδημίας, καὶ δανεισταὶ πολλοί τινες ἀνεφαίνοντο τοῦ Πανταινέτου, πρότεροι ἀγνοούμενοι, λόγων πολλῶν λεγομένων, πράσεις συνέβησαν, ὥστε Νικόβουλον μὲν καὶ Εὔεργον ἀπολαμβάνοντας ἑκατὸν καὶ πέντε μνᾶς, ἀποστῆναι τοῦ ἐργαστηρίου, καὶ τῶν ἀνδραπόδων. ταῦτα δὲ τοὺς ἑτέρους δανείσαντας ὠνεῖσθαι. πάλιν δὲ οὐκ ἐθελόντων τῶν δανειστῶν ὠνεῖσθαι τὰ κτήματα, εἰ μὴ πρατῆρες αὐτοὶ καὶ βεβαιωταὶ γίγνοιντο Νικόβουλος καὶ Εὔεργος, πείθεται ὁ Νικόβουλος καὶ ὑπ' αὐτοῦ Πανταινέτου, καθά φησιν, ἀξιούμενος, οὐ πρότερον δὲ ἀνεδέξατο, πρὶν * τὸν Πανταίνετον ἄφεσιν αὐτῷ παντὸς ἐγκλήματος δοῦναι. ὁ δὲ Πανταίνετος, ἔδωκε μὲν τὴν ἄφεσιν, καὶ ἐπράθη τὰ κτήματα. οὐδὲν δὲ ἧττον καὶ τούτῳ τὴν αὐτήν, ἥνπερ Εὐέργῳ, δίκην εἴληχε, μεταλλικὴν ἐπιγράφοντες τὴν δίκην, ὡς δὴ τῶν τε τὰ μέταλλα ἐργαζομένων εἷς ὤν, καὶ περὶ μέταλλον ἠδικημένος. ἐγκαλεῖ δὲ τῷ Νικοβούλῳ καὶ περὶ τῆς τῶν χρημάτων ἀφαιρέσεως τῶν ὑπὸ τοῦ οἰκέτου κομιζομένων, καὶ περὶ τῆς τοῦ ἐργαστηρίου, καὶ τῶν ἀνδραπόδων πράσεως παρὰ τὰς συνθήκας γεγενημένης· καὶ μέντοι καὶ περὶ ἑτέρων τινῶν. ὁ δὲ Νικόβουλος, παραγράφεται τὸν ἀγῶνα, καθ' ἕνα μὲν ἐκεῖνον νόμον τὸν κελεύοντα, περὶ ὧν ἂν ἄφεσις καὶ ἀπαλλαγὴ γένηται, περὶ τούτων μηκέτι ἐξεῖναι δικάζεσθαι· καθ' ἕτερον δὲ ἐκεῖνον, ὃς διαρρήδην καὶ σαφῶς δείξει περὶ τίνων δεῖ τὰς μεταλλικὰς δίκας εἰσάγειν. ὧν οὐδὲν πεποιθότα Πανταίνετον, ἀτόπως φησὶ μεταλλικὴν δίκην δικάζεσθαι. καὶ μὴν καὶ τρίτον παρέχεται νόμον, ὃς διαιρεῖ περὶ ποίων ἐγκλημάτων ποῖα χρὴ κρίνειν δικαστήρια, καὶ ποίας ἀρχὰς εἰσάγειν τὰς δίκας. Πανταίνετον δέ φησι παρὰ τοῦτον ποιεῖν τὸν νόμον, ποικίλα ἐγκλήματα εἰς ταυτὸν μίξαντα, καὶ περὶ πάντων τῷ μεταλλικῷ δικαστηρίῳ τὴν κατηγορίαν ποιούμενον. τῷ μὲν οὖν περὶ τῆς ἀφέσεως νόμῳ κατ' ἀρχὰς κέχρηται. τοῖς δὲ δύο τοῖς ἑτέροις, ἐπὶ τοῖς τέλοις. καὶ ἀρχόμενος ἀπὸ τῆς παραγραφῆς, καὶ λήγων εἰς ταύτην. ἐν δὲ μέσῳ τὴν εὐθυδικίαν πεποίηκεν, ἧς μέγιστον καὶ ἰσχυρότατόν ἐστιν, ὅτι μηδὲ ἐπιδημῶν ἐτύγχανε τότε Νικόβουλος, ὅτε Πανταίνετος ἐκεῖνα, ἐφ' οἷς τότε Εὐέργῳ, καὶ νῦν Νικοβούλῳ, τὴν δίκην εἴληχε.

[* τὸν παντ.]

# ΔΗΜΟΣΘΕΝΟΥΣ ΠΑΡΑΓΡΑΦΗ ΠΡΟΣ ΠΑΝΤΑΙΝΕΤΟΝ.

1 Δεδωκότων, ὦ ἄνδρες δικασταί, τῶν νόμων παραγράψασθαι
περὶ ὧν ἄν τις ἀφεὶς καὶ ἀπαλλάξας δικάζηται, γεγενημένων
ἀμφοτέρων μοι τούτων πρὸς Πανταίνετον τουτονί, παρεγρα-
ψάμην, ὡς ἠκούσατε ἀρτίως, μὴ εἰσαγώγιμον εἶναι τὴν δί-
κην, οὐκ οἰόμενος δεῖν ἀφεῖσθαι τῆς δίκης ταύτης, οὐδ' ἐπειδὰν
2 ἐξελέγξω πρὸς ἅπασι τοῖς ἄλλοις, καὶ ἀφεικότα τοῦτον ἐμαυτὸν
καὶ ἀπηλλαγμένον, ἐγγενέσθαι τούτῳ μὴ φάσκειν ἀληθῆ με λέγειν, καὶ ποιεῖσθαι τε-
κμήριον, ὡς εἴπερ ἐπεπράχθη τι τοιοῦτον, παρεγραψάμην ἂν αὐτόν· ἀλλ' ἐπὶ ταύ-
3 της τῆς σκήψεως εἰσελθὼν, ἀμφότερα ὑμῖν ἐπιδεῖξαι, καὶ ὡς οὐδὲν ἠδίκηκα τοῦ-
τον, καὶ ὡς παρὰ τὸν νόμον μοι δικάζεται. εἰ μὲν οὖν ἐπεπόνθει τι τούτων Πανταί-
νετος ὧν νῦν ἐγκαλεῖ, κατ' ἐκείνους ἂν τοὺς χρόνους ἐφαίνετό μοι δικαζόμενος εὐθύς,
ἐν οἷς τὸ συμβόλαιον ἡμῖν πρὸς ἀλλήλους ἐγίγνετο, ὄντων μὲν ἐμμήνων τῶν δικῶν
4 τούτων, ἐπιδημούντων δ' ἡμῶν ἀμφοτέρων, ἁπάντων δ' ἀνθρώπων εἰωθότων
περὶ αὐτὰ τὰ ἀδικήματα μᾶλλον, ἢ χρόνων ἐγγεγενημένων ἀγανακτεῖν. ἐπειδὴ δὲ
οὐδὲν ἠδικημένος, ὡς καὶ ὑμεῖς εὖ οἶδ' ὅτι φήσετε, ἐπειδὰν τὰ πεπραγμένα ἀ-
κούσητε, τῷ κατορθῶσαι τὴν πρὸς Εὔεργον δίκην ἐπηρμένος, συκοφαντεῖ, ὑπό-
5 λοιπόν ἐστι παρ' ὑμῖν, ὦ ἄνδρες δικασταί, ἐπιδείξαντα ὡς οὐδ' ὁτιοῦν ἀδικῶ, καὶ μάρ-
τυρας, ὧν ἂν λέγω, παρεχόμενον, πειρᾶσθαι σώζειν ἐμαυτόν. δεήσομαι δὲ καὶ δίκαια
καὶ μέτρια ὑμῶν ἁπάντων, ἀκοῦσαί τέ μου περὶ ὧν παρεγραψάμην, εὐνοϊκῶς,
καὶ προσέχειν ὅλῳ τῷ πράγματι τὸν νοῦν. πολλῶν γὰρ δικῶν ἐν τῇ πόλει γε-
6 γενημένων, οὐδένα πω δίκην οὔτ' ἀναιδεστέραν, οὔτε συκοφαντικωτέραν οἴομαι φα-
νήσεσθαι δεδικασμένον, ἧς νῦν οὑτοσὶ λαχὼν, εἰσελθεῖν τετόλμηκεν. ἐξ ἀρχῆς δὲ, ὡς
οἷός τε ὦ, διὰ βραχυτάτων ἅπαντα τὰ πραχθέντα διηγήσομαι πρὸς ὑμᾶς.
ἐδανεισάμην πέντε καὶ ἑκατὸν μνᾶς ἐγὼ καὶ Εὔεργος, ὦ ἄνδρες δικασταί, Πανται-
7 νέτῳ τούτῳ ἐπ' ἐργαστηρίῳ τε ἐν τοῖς ἔργοις ἐν Μαρωνείᾳ, καὶ τριάκοντα ἀνδρα-
πόδοις. ἦν δὲ τοῦ δανείσματος, τετταράκοντα μὲν καὶ πέντε μναῖ ἐμαί, τάλαντον
δ' Εὐέργου. συνέβαινε δὲ τοῦτον ὀφείλειν Μνησικλεῖ καὶ Κολυττεῖ, τάλαντον· Φιλέᾳ δὲ
Ἐλευσινίῳ καὶ Πλειστόρι, πέντε καὶ τετταράκοντα μνᾶς, *πρατὴρ μὲν τοῦ ἐργαστη- *καὶ
8 ρίου καὶ τῶν ἀνδραπόδων ὁ Μνησικλῆς ἡμῖν γίγνεται· καὶ γὰρ ἐώνητο ἐκεῖνος αὐτὰ τού-
τῳ παρὰ Τηλεμάχου τοῦ πρότερον κεκτημένου. μισθοῦται δὲ οὗτος παρ' ἡμῶν
τοῦ γιγνομένου τόκου τῷ ἀργυρίῳ, πέντε καὶ ἑκατὸν δραχμῶν τοῦ μηνὸς ἑκάστου.
καὶ τιθέμεθα συνθήκας, ἐν αἷς ἥ τε μίσθωσις ἦν γεγραμμένη, καὶ λύσις παρ' ἡμῶν
9 ἔν τινι ῥητῷ χρόνῳ. πραχθέντων δὲ τούτων ἐλαφηβολιῶνος μηνὸς ἐπὶ Θεοφίλου
ἄρχοντος, ἐγὼ μὲν ἐκπλέων, εἰς τὸν πόντον εὐθὺς ᾠχόμην· οὗτος δ' ἐνθάδε ἦν καὶ
Εὔεργος. τὰ μὲν δὴ πραχθέντα τούτοις πρὸς ἑαυτοὺς ἕως ἀπεδήμουν ἐγώ, οὐκ
ἂν ἔχοιμι εἰπεῖν· οὔτε γὰρ ταὐτὰ λέγουσιν, οὔτ' ἀεὶ ταὐτὰ οὗτός γε· ἀλλὰ "τότε μὲν "ποτέ.
10 φησιν ἐκπεσεῖν ὑπ' ἐκείνου βίᾳ παρὰ τὰς συνθήκας ἐκ τῆς μισθώσεως, "τότε "ποτέ.
δὲ αὐτὸν αἴτιον αὐτῷ πρὸς τὸ δημόσιον γενέσθαι τῆς ἐγγραφῆς, "τότε δὲ ἄλλο ὅ, τι "ποτέ.
ἂν βούληται. ἐκεῖνος δ' ἁπλῶς, οὔτε τοὺς τόκους ἀπολαμβάνων, οὔτε τῶν ἄλλων τῶν

ἐν ταῖς

συνθήκας ποιούμενος οὐδὲν τούτου, ἢ τὸν παρ' ἑκόντος τούτου λαβὼν ἔχειν τὰ αὑτοῦ· μετὰ δὲ ταῦτα ἀπελθόντα τοῦτον, ἥκειν τοὺς ἀμφισβητήσοντας ἄγοντα· αὐτὸς 11
δ' οὐκ ἐπεξελθεῖν ἐκείνοις· τοῦτον δ' οὐχὶ κωλύειν ἔχειν, ὅσα παρ' ἐμισθώσατο, εἰ ποιοίη τὰ συγκείμενα. τούτων μὲν δὴ τοιούτους ἀκούω λόγους. ἐκεῖνο δὲ οἶδα, ὅτι εἰ μὲν οὗτος ἀληθῆ λέγει, καὶ δεινὰ πέπονθεν, ὥσπερ φησὶν ὑπὸ τοῦ Εὐέργου, ἔχει δίκην, ἧς ἐτι-
*αὐτόν. μήσατο· αὐτὸς εἷλε γὰρ εἰσελθὼν αὐτὸν ὡς ὑμᾶς, καὶ οὐ δήπου τὴν αὐτὴν παρά τε τοῦ 12
πεποιηκότος δίκαιός ἐστι δίκην λαβεῖν, καὶ παρ' ἐμοῦ τοῦ μηδ' ἐπιδημοῦντος. εἰ δ' ὁ Εὔεργος ἀληθῆ λέγει, συκοφαντεῖται μέν, ὡς ἔοικεν ἐκεῖνος· ἐγὼ δ' οὐδ' οὕτω τὴν αὐτὴν φεύγοιμ' ἂν δίκην εἰκότως. ὡς οὖν ταῦτα ἀμφότερα ἀληθῆ λέγω, τούτων τοὺς μάρτυρας ὑμῖν παρέξομαι.

Μάρτυρες. 13

Ὅτι μὲν τοίνυν καὶ πρατὴρ ἦν ἡμῖν τῶν κτημάτων, ὅσπερ ἐξ ἀρχῆς αὐτὸς ἐώνητο, καὶ κατὰ τὰς συνθήκας οὗτος ἐμισθώσατο ἡμέτερον ὂν τὸ ἐργαστήριον, καὶ τὰ ἀνδράποδα, καὶ οὔτε παρῆν ἐγὼ τοῖς μετὰ ταῦτα πρὸς Εὔεργον τούτῳ πραχθεῖσιν, οὔτ' ἀπεδήμουν ὅλως, ἔλαχέ τε δίκην ἐκείνῳ, καὶ οὐδὲν ἡμῖν πώποτε ἐνεκά- 14
λει, ἀκούετε τῶν μαρτύρων, ὦ ἄνδρες δικασταί. ἐπειδὴ τοίνυν ἀφικόμην σχεδόν τι πάντα ἀπολωλεκὼς ὅσα ἔχων ἐξέπλευσα, ἀκούσας καὶ καταλαβὼν τοῦτον μὲν
*θαυμαστόν. ἀφεστηκότα, τὸν δ' Εὔεργον ἔχοντα καὶ κρατοῦντα ὧν ἐωνήμεθα, *θαυμαστῶς ὡς ἐλυπήθην ὁρῶν τὸ πρᾶγμά μοι περιεστηκὸς εἰς ἄτοπον· ἢ γὰρ κοινωνεῖν ἔδει τῆς ἐρ- 15
γασίας, καὶ τῆς ἐπιμελείας τῷ Εὐέργῳ, ἢ χρῆσιν ἀντὶ τούτου τὸν Εὔεργον ἔχειν, καὶ πρὸς ἐκεῖνον πάλιν μίσθωσιν γράφειν, καὶ συμβόλαιον ποιεῖσθαι· τούτων δ' οὐδέτερον προῃρούμην. ἀηδῶς δ' ἔχων οἷς λέγω τούτοις, ἰδὼν τὸν Μνησικλέα τὸν πρατῆρα τούτων ἡμῖν γεγενημένον, προσελθὼν ἐμεμφόμην αὐτῷ λέγων, οἷον 16
ἄνθρωπον προξενήσειέ μοι, καὶ τοὺς ἀμφισβητοῦντας, καὶ τί ταῦτ' ἐστίν, ἠρώτων. ἀκούσας δ' ἐκεῖνος, τῶν μὲν ἀμφισβητούντων κατεγέλα. συνελθεῖν δὲ ἔφη τούτοις βούλεσθαι πρὸς ἡμᾶς, καὶ συνάξειν ἡμᾶς, καὶ παραινέσειν τούτῳ πάντα ποιεῖν τὰ δίκαια ἐμοί, καὶ οἴεσθαι πείσειν. ὡς δὲ συνήλθομεν, τὰ μὲν πολλὰ τί δεῖ λέγειν; ἧ- 17
κον δ' οἱ δεδανεικέναι φάσκοντες τούτῳ ἐπὶ τῷ ἐργαστηρίῳ, καὶ τοῖς ἀνδραπόδοις, ἃ ἡμεῖς ἐπριάμεθα παρὰ Μνησικλέους. καὶ οὐδὲν ἦν ἁπλοῦν, οὐδ' ὑγιὲς τούτων. πάντα δ' ἐξελεγχόμενοι ψευδῆ λέγοντες, καὶ τοῦ Μνησικλέους βεβαιοῦντος ἡμῖν, προκαλοῦνται πρόκλησιν ἡμᾶς, ὡς οὐ δεξαμένους, ἢ κομίσα- 18
σθαι πάντα τὰ χρήματα παρ' αὐτῶν, καὶ ἀπελθεῖν, ἢ διαλῦσαι σφᾶς ὑπὲρ ὧν ἐνεκάλουν, αἰτιώμενοι πολλῷ πλείονος ἄξια ἔχειν ὧν ἐδεδώκειμεν χρημάτων. ἀκούσας δ' ἐγώ, τὸ χρῆμα οὐδὲ βουλευσάμενος, κομίσασθαι συνεχώρησα, καὶ τὸν Εὔεργον ἔπεισα. ἐπειδὴ δὲ ἔδει ἡμᾶς τὰ χρήματα λαμβάνειν, καὶ τὸ πρᾶγμα 19
εἰς τοῦτο προῆκε, οὐκ ἔφασαν μετὰ ταῦτα δώσειν οἱ τότε ἐκεῖνα ἐπαγγελλόμενοι, εἰ μὴ πρατῆρες γιγνοίμεθ' ἡμεῖς τῶν κτημάτων αὐτοῖς, νοοῦ ἔχοντες, ὦ ἄνδρες Ἀθηναῖοι. κατ' αὐτό γε τοῦτο. ἑώρων γὰρ ἡμᾶς οἷα ἐσυκοφαντούμεθα ὑπὸ τούτου. ὡς οὖν καὶ ταῦτα ἀληθῆ λέγω, λάβε μοι καὶ ταύτας τὰς μαρτυρίας. 20

Μαρτυρίαι.

Ἐπειδὴ τοίνυν τὸ πρᾶγμα εἰς τοῦτ' εἰσήκει, καὶ τὰ μὲν χρήματα οὐ προΐεντο, οὓς ἐπήγαγεν οὗτος, ἡμεῖς δ' εἰκότως ἐφαινόμεθα ὧν ἐωνήμεθα κρατεῖν, ἱκέτευεν, ἐδεῖτο, ἀντεβόλει πρατῆρας ἡμᾶς γενέσθαι. ἀξιοῦντος δὲ τούτου, καὶ πολλὰ δεη-

θέντος ἐμοῦ, καὶ τί οὐχὶ ποιήσαντος; καὶ τοῦτο ὑπέμεινα. ὁρῶν δ' αὐτόν, ὦ ἄνδρες Ἀθηναῖοι, κακοήθη, καὶ τὸ μὲν ἐξ ἀρχῆς τοῦ Μνησικλέους κατηγοροῦντα πρὸς ἡμᾶς, πάλιν δὲ ὡς φίλος ἐστὶ τὰ μάλιστα Εὐέργῳ τούτῳ προσκεχωρηκότα· καὶ τὸ μὲν πρῶτον
22 ὡς ἐγὼ κατέπλευσα, ἄσμενον φάσκοντα ἑωρακέναι με· ἐπειδὴ δὲ ἔδει τὰ δίκαια ποιεῖν, ἐμοὶ δυσκολαίνοντα, καὶ ἅπασι μέχρι τοῦ προσλαβεῖν καὶ τυχεῖν ὧν δέοιτο, φίλον ὄντα, μετὰ ταῦτα δ' ἐχθρὸν καὶ διάφορον γιγνόμενον, ἠξίουν ἀπαλλαττόμε-
23 νος καὶ πρατὴρ τῶν τούτου γιγνόμενος, πάντων ἀφεθεὶς τῶν ἐγκλημάτων καὶ ἀπαλλαγείς, οὕτω διαλύεσθαι. τούτων δὴ συγχωρηθέντων, οὗτος μὲν ἀφῆκεν ἁπάντων ἐμέ· ἐγὼ δὲ πρατήρ, ὥσπερ ἐδεῖθ' οὗτος, τῶν κτημάτων ἐγιγνόμην, καθάπερ αὐτὸς ἐπριάμην παρὰ Μνησικλέους. κομισάμενος δὲ τὰ ἐμαυτοῦ, καὶ τοῦτον οὐδ'
24 ὁτιοῦν ἀδικῶν, μὰ τοὺς θεούς, οὐδ' ἂν εἴ τι γένοιτο, ᾠήθην ἂν δίκην μοι λαχεῖν ποτε τουτονί. τὰ μὲν δὴ γεγενημένα, καὶ περὶ ὧν οἴσετε τὴν ψῆφον, καὶ δι' ἃ τὴν δίκην συκοφαντούμενος παρεγραψάμην μὴ εἰσαγώγιμον εἶναι, ταῦτ' ἐστίν, ὦ ἄνδρες δικασταί. παρεξόμενος δὲ μάρτυρας, οἳ παρῆσαν ἡνίκα ἀφιέμην ὑπὸ τού-
25 του, καὶ ἀπηλλαττόμην, ὡς οὐδ' εἰσαγώγιμος ἐκ τῶν νόμων ἐστὶν ἡ δίκη, μετὰ ταῦτ' ἐπιδείξω. καί μοι λέγε ταυτηνὶ τὴν μαρτυρίαν.

Μαρτυρία.

Λέγε δή μοι τὴν τῶν ἑωνημένων μαρτυρίαν, ἵν' εἰδῆθ' ὅτι τούτου κελεύοντος αὐτὰ ἀπεδόμην, οἷς οὗτος ἐκέλευσε.

Μαρτυρία.

26 Οὐ τοίνυν μόνον ἡμῖν εἰσὶν οὗτοι μάρτυρες, ὡς ἀφείμεθα, καὶ νῦν συκοφαντούμεθα, ἀλλὰ καὶ Πανταίνετος αὐτός· ὅτε γὰρ λαγχάνων Εὐέργῳ τὴν δίκην εἴασεν ἐμέ, τότ' ἐμαρτύρει οὗτος πρὸς ἐμὲ αὐτῷ μηδὲν ἔγκλημα ὑπόλοιπον εἶναι· οὐ γὰρ ἂν δή που τῶν αὐτῶν ἀδικημάτων ὄντων, ἀμφοῖν ὁμοίως ἐγκαλῶν, τὸν μὲν εἴα-
27 σε, τῷ δ' ἐδικάζετο. ἀλλὰ μὴν ὅτι γ' οὐκ ἐῶσιν οἱ νόμοι περὶ τῶν οὕτω πραχθέντων πάλιν λαγχάνειν, οἶμαι μὲν ὑμᾶς, καὶ μηδὲν εἰπόντος ἐμοῦ, γιγνώσκειν· ὅμως δὲ λέγε αὐτοῖς καὶ τὸν νόμον τουτονί.

Νόμος.

28 Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦ νόμου λέγοντος ἄντικρυς, ὧν ἂν ἀφῇ καὶ ἀπαλλάξῃ τις, μηκέτι τὰς δίκας εἶναι. καὶ μὴν ὅτι γ' ἀμφότερ' ἐστὶ πεπραγμένα ταῦτα τούτῳ πρὸς ὑμᾶς, ἠκούσατε τῶν μαρτύρων. ἁπάντων μὲν τοίνυν τῶν ἐν τοῖς νόμοις ἀπειρημένων οὐ προσήκει δικάζεσθαι, οὐχ ἥκιστα δὲ τούτων· ἃ μὲν γὰρ τὸ
29 δημόσιον °πέπραχεν, ἔχοι τις ἂν εἰπεῖν, ὡς ἀδίκως, ἢ οὐ προσηκόντως πέπραχε. °πέπρακε
καὶ περὶ ὧν ἔγνω τὸ δικαστήριον, ἔστιν εἰπεῖν ὡς ἐξαπατηθὲν τοῦτ' ἐποίησε, καὶ περὶ τῶν ἄλλων τῶν ἐν τῷ νόμῳ κειμένων, καθ' ἕκαστον γένοιτ' ἄν τις εἰκότως λόγος. ἃ δ' αὐτὸς ἐπείσθη, καὶ ἀφῆκεν, οὐκ ἔνι δή που θεν εἰπεῖν, οὐδ' αὑτὸν αἰτιάσασθαι
30 ὡς οὐ δικαίως ταῦτ' ἐποίησεν. οἱ μὲν οὖν παρά τι τῶν ἄλλων τούτων δικαζόμενοι, τοῖς ὑφ' ἑτέρων δικαίοις ὡρισμένοις οὐκ ἐμμένουσιν· ὁ δ' ὧν ἂν ἀφῇ πάλιν λαγχάνων, τοῖς ὑφ' ἑαυτοῦ. διὸ πάντων μάλιστ' ἄξιον τούτοις χαλεπαίνειν. οὐκοῦν ὡς μὲν ἀφῆκέ με πάντων ὅτε ἐγιγνόμην τῶν ἀνδραπόδων πρατήρ, ἐπέδειξα. ὅτι δ' οὐκ ἐῶ-
31 σιν οἱ νόμοι τούτων εἶναι δίκας, ἀκηκόατε ἀρτίως ἀναγιγνωσκομένου τοῦ νόμου. ἵνα δ', ὦ ἄνδρες Ἀθηναῖοι, μή τις οἴηται τοῖς περὶ τῶν πραγμάτων αὐτῶν δικαίοις °ἀνισχυριζόμενόν με ἐπὶ °τούτῳ ἀποχωρεῖν, καὶ καθ' ἕκαστον ὧν ἐγκαλεῖ, βούλομαι δεῖξαι αὐτὸν ψευδόμενον. λέγε αὐτὸ τὸ ἔγκλημα, ὅ μοι δικάζεται. °ἰσχυριζόμενον με °τοῦτο

Ἔγκλημα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἔγκλημα. 32

Ἔβλαψε Νικόβουλος ἐπιβουλεύσας ἐμοὶ, καὶ τῇ οὐσίᾳ τῇ ἐμῇ, ἀφελέσθαι κελεύ-
σας Ἀντιγένην τὸν ἑαυτοῦ οἰκέτην τὸ ἀργύριον τοῦ ἐμοῦ οἰκέτου, ὃ ἔφερε καταβο-
λὴν τῇ πόλει τοῦ μετάλλου, ὃ ἐγὼ ἐπριάμην ἐνενήκοντα μνῶν, καὶ αἴτιος ἐμοὶ γενό-
μενος ἐγγεγράφθαι τὸ διπλοῦν τῷ δημοσίῳ. 33

Ἐπίσχες.

Ταυτὶ πάντα, ἃ νυνὶ ἐγκέκληκεν ἐμοὶ, πρότερον τὸν Εὔεργον αἰτιασάμενος, τὴν
δίκην εἷλε. μεμαρτύρηται μὲν δὴ καὶ ἐν ἀρχῇ μοι τοῦ λόγου πρὸς ὑμᾶς, ὡς ἀ-
πεδήμουν ὅτε τούτοις αἱ πρὸς ἀλλήλους ἐγίγνοντο διαφοραί. οὐ μὴν ἀλλὰ καὶ 34
ἐκ τοῦ ἐγκλήματος τούτου δῆλόν ἐστιν. οὐδαμοῦ γὰρ ὡς ἔγωγέ τι πεποίηκα τούτων
ἔγραψεν· ἀλλ' ὑπογράψας ἐπιβουλεῦσαί με αὐτῷ καὶ τῇ οὐσίᾳ, προστάξαι φησὶ
τῷ παιδὶ ταῦτα ποιεῖν ψευδόμενος· πῶς γὰρ ἐγὼ προσέταξα, ὅς, ὅτε ἐξέπλεον,
τῶν γενησομένων ἐνταῦθ' οὐδ' ὁτιοῦν δήπουθεν ᾔδειν; εἶτα καὶ πόση μωρία λέγον- 35
τα ὡς ἐπεβούλευον ἀτιμῶσαι, καὶ τὰ ἔσχατα πρᾶξαι, οἰκέτῃ μετὰ ταῦτα προστά-
ξαι γεγραφέναι, ἃ οὐδὲ πολίτης πολίτην δύναιτ' ἂν ποιῆσαι; τί οὖν ἐστι τοῦτο.
οὐκ ἔχων, οἶμαι, κατ' οὐδὲν διὰ τὴν ἀποδημίαν εἰς ἐμὲ τούτων ἀνενεγκεῖν τι, συ-
κοφαντεῖν δὲ βουλόμενος, ὡς προσέταξα ἐνέγραψεν. οὐδὲ γὰρ λόγος ἦν, εἰ μὴ τοῦ- 36
τ' ἐποίησε. λέγε τὸ ἀκόλουθον. Ἔγκλημα.

Καὶ ἐπειδὴ ὦφλον ἐγὼ τῷ δημοσίῳ, καταστήσας Ἀντιγένην τὸν ἑαυτοῦ οἰκέτην
εἰς τὸ ἐργαστήριον τὸ ἐμὸν τὸ ἐπὶ Θρασύλλου, κύριον τῶν ἐμῶν ἀπαγορεύοντος ἐμοῦ.

Ἐπίσχες. 37

Πάλιν ταυτὶ πάντα ὑπ' αὐτοῦ τοῦ πράγματος ἐξελεγχθήσεται ψευδόμενος·
γέγραφε γὰρ καταστῆσαι μὲν ἐμὲ, ἀπαγορεύειν δὲ αὐτόν. ταῦτα δ' οὐχ οἷόν τε τὸν μὴ
παρόντα. οὔτε γὰρ ἐγὼ καθίστην ὅγε ὢν ἐν τῷ πόντῳ, οὔτ' ἀπηγόρευσεν οὐδεὶς τῷ
μὴ παρόντι. πῶς γάρ; πῶς οὖν εἰς ἀνάγκην ἦλθε ταῦθ' οὕτω γράψαι; Εὔεργος τοῦ- 38
τ', οἶμαι, πλημμελῶν ὧν δέδωκε δίκην, συνήθως ἔχων ἐμοὶ, καὶ γνώριμος ὤν, κα-
τέστησε τινὰ οἰκέτην οἴκοθεν λαβὼν παρ' ἐμοῦ φυλάττειν, ὡς αὐτόν. εἰ μὲν οὖν ἔγρα-
ψε τἀληθὲς, γέλως ἂν ἦν· τί γὰρ, εἰ κατέστησεν Εὔεργος, ἔγωγ' ἀδικῶ; φεύγων δὲ τοῦτο,
τοιαῦτ' ἠνάγκασται γράφειν, ἵν' ᾖ πρὸς ἐμὲ αὐτῷ τὸ ἔγκλημα. λέγε τὰ ἐφεξῆς. 39

Ἔγκλημα.

Πείσας τοὺς οἰκέτας τοὺς ἐμοὺς καθέζεσθαι εἰς τὸν κεγχρεῶνα ἐπὶ βλάβῃ τῇ ἐμῇ.

Ἐπίσχες.

Τουτὶ παντελῶς ἤδη καὶ ἀναιδές ἐστιν· οὐ γὰρ μόνον ἐκ τοῦ προκαλεῖσθαι τού- 40
τους παραδοῦναι, τοῦτον δὲ μὴ ἐθέλειν, ἀλλὰ καὶ ἐκ πάντων δῆλόν ἐστι ψεῦδος ὄν.
τίνος γὰρ ἕνεκ' ἔπειθον; ἵνα νὴ Δί' αὐτοὺς κτήσωμαι; ἀλλ' αἱρέσεώς μοι δοθείσης ἢ ἔχειν,
ἢ κτήσασθαι, ἢ κομίσασθαι τὰ ἐμαυτοῦ, εἱλόμην κομίσασθαι, καὶ ταῦτα μεμαρ-
τύρηται. λέγε δ' ὁμοίως τὴν πρόκλησιν. Πρόκλησις. 41

Ταύτην τοίνυν οὐχὶ δεξάμενος τὴν πρόκλησιν, ἀλλὰ φυγὼν, σκέψασθε οἷ'
εὐθέως μετὰ ταῦτ' ἐγκαλεῖ. λέγε τὸ ἐχόμενον. Ἔγκλημα.

Καὶ κατεργασάμενος τὴν ἀργυρῖτιν, ἣν οἱ ἐμοὶ οἰκέται εἰργάσαντο, καὶ ἔχων
τὸ ἀργύριον τὸ ἐκ ταύτης τῆς ἀργυρίτιδος. Ἐπίσχες. 42

Πάλιν ταῦτα πῶς ἐνεστ' ἐμοὶ πεπρᾶχθαι τῷ μὴ παρόντι, καὶ περὶ ὧν Εὐέρ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γου κατεδικάσω; λέγε δ' αὐτὸ τὸ ἔγκλημα ἐφεξῆς. Ἔγκλημα.

Καὶ ἀποδόμενος τὸ ἐργαστήριον τὸ ἐμόν, καὶ τοὺς οἰκέτας παρὰ τὰς συνθήκας, ἃς ἔθετο πρὸς ἐμέ. Ἐπίσχες.

43 Τουτὶ πολὺ πάντων ὑπερβέβληκε τἄλλα· πρῶτον μὲν γὰρ παρὰ τὰς συνθήκας φησίν, ἃς ἔθετο πρὸς ἐμέ. αὗται δ' εἰσὶ τίνες. ἐμισθωσάμην τὸν τόκον τῶν γινομένων τούτῳ τὰ ἡμέτερα ἡμεῖς, καὶ ἄλλο οὐδέν. πρατὴρ μὲν γὰρ ὁ Μνησικλῆς ἡμῖν ἐγεγόνει, τούτου παρόντος καὶ κελεύοντος. μετὰ ταῦτα τὸν αὐτὸν τρόπον ἡμεῖς ἑτέροις ἀπεδόμεθα, ἐφ' οἷσπερ αὐτοὶ ἐπριάμεθα, οὐ μόνον κελεύοντος ἔτι τούτου, ἀλλὰ

44 καὶ ἱκετεύοντος· οὐδεὶς γὰρ ἤθελε δέχεσθαι τοῦτον πρατῆρα. τί οὖν αἱ τῆς μισθώσεως ἐνταῦθα συνθῆκαι; τί τοῦτο, ὦ φαυλότατ' ἀνθρώπων ἐνέγραψας; ἀλλὰ μὴν ὅτι τοῦ κελεύοντος, καὶ ἐφ' οἷσπερ ἐωνήμεθα, αὐτοὶ πάλιν ἀπεδόμεθα, λέγε τὴν

45 μαρτυρίαν. Μαρτυρία.

Μαρτυρεῖς τοίνυν καὶ σύ· ἃ γὰρ ἡμεῖς πέντε καὶ ἑκατὸν μνῶν ἐωνήμεθα, ταῦθ' ὕστερον τεττάρων ταλάντων καὶ δισχιλίων καὶ ἑξακοσίων ἀπέδου σύ. καίτοι τίς ἂν καθάπαξ πρατῆρας ἔχων σοὶ δραχμὴν ἔδωκε μίαν. ἀλλὰ μὴν ὅτι ταῦτ' ἀλη-

46 θῆ λέγω, κάλει μοι καὶ τούτων τοὺς μάρτυρας.

Μάρτυρες.

Ἐγὼ μὲν τοίνυν, ἣν ἐπείσθην, τὴν αὐτοῦ τιμήν, δεηθεὶς δέ μου τότε γενέσθαι πρατῆρα καθ' ὃ συνέβαλον ἀργύριον, αὐτὸς δυοῖν ταλάντοιν προσδικάζεται. καὶ

47 τὰ λοιπὰ τῶν ἐγκλημάτων ἔτ' ἐστὶ δεινότερα. λέγε δή μοι τὸ λοιπὸν τοῦ ἐγκλήματος.

Ἔγκλημα.

Ἐνταυθοῖ πόλλ' ἄττα καὶ δεινά μοι ἅμα ἐγκαλεῖ· καὶ γὰρ αἰκίαν, καὶ ὕβριν, καὶ βιαίων, καὶ πρὸς ἐπικλήρους ἀδικήματα. τούτων δ' εἰσὶν ἑκάστου χωρὶς αἱ δίκαι, καὶ

48 οὔτε πρὸς τὴν αὐτὴν ἀρχήν, οὔθ' ὑπὲρ τιμημάτων τῶν αὐτῶν· ἀλλ' ἡ μὲν αἰκία, καὶ τὰ τῶν βιαίων, πρὸς τοὺς τετταράκοντα· αἱ δὲ τῆς ὕβρεως, πρὸς τοὺς θεσμοθέτας· ὅσα δ' εἰς ἐπικλήρους, πρὸς τὸν ἄρχοντα. οἱ δὲ νόμοι καὶ τούτων διδόασι τὰς παραγραφὰς ἀντιλαγχάνειν, περὶ ὧν οὐκ εἰσὶν εἰσαγωγεῖς. λέγε δ' αὐτοῖς τοῦ-

49 τον τὸν νόμον. Νόμος.

Τουτονὶ τοίνυν ἐμοῦ παραγεγραμμένου πρὸς τῇ ἄλλῃ παραγραφῇ, καὶ οὐκ ὄντων εἰσαγωγέων τῶν θεσμοθετῶν ὑπὲρ ὧν λαγχάνει Πανταίνετος, ἐξελήλιπται, καὶ οὐ πρόσεστι τῇ παραγραφῇ. τὸ δ' ὅπως, ὑμεῖς σκοπεῖτε· ἐμοὶ μὲν γὰρ ἕως ἂν ἐξαλήλιπται

50 ἔχω τὸν νόμον τοῦτον δεικνύναι, οὐδ' ὁποιονοῦν διαφέρει· οὐ γὰρ τὸ γινώσκειν συνιέναι τὰ δίκαια ὑμῶν ἐξαλεῖψαι δυνήσεται. λάβε δή μοι καὶ τὸν μεταλλικὸν νόμον· καὶ γὰρ ἐκ τούτου δείξειν οἴομαι οὐκ οὖσαν εἰσαγώγιμον τὴν δίκην, χάριτός τε ὧν μᾶλλον ἄξιος, ἢ τοῦ συκοφαντεῖσθαι. λέγε. Νόμος.

51 Οὗτος σαφῶς ὁ νόμος διείρηκεν ὧν εἶναι δίκας προσήκει μεταλλικάς. οὐκοῦν ὁ μὲν νόμος, ἐάν τις ἐξείλλῃ τινὰ τῆς ἐργασίας, ὑπόδικον ποιεῖ. ἐγὼ δ' οὐχ ὅπως αὐτὸς ἐξείλλω τοῦτον· ἀλλ' ὧν ἄλλος ἀπεστέρει, τούτων ἐγκρατῆ κατέστησα καὶ παρέδωκα. καὶ πρατὴρ ὑπὲρ τούτου δεηθέντος ἐγενόμην. ναί φησιν. ἀλλὰ καὶ ἄλλος τις

52 ἀδικῇ τι περὶ τὰ μέταλλα, καὶ τούτων εἰσὶ δίκαι. ὀρθῶς γ', ὦ Πανταίνετε. ἀλλὰ ταῦτα τί ἐστιν; ἂν ὑφάψῃ τις, ἂν ὅπλα ἐπιφέρῃ, ἂν ἐπικατατέμνῃ τῶν μέτρων ἐντός, ταῦτ' ἐστὶ τἄλλα, ὧν οὐδὲν δήπου πέπρακται πρὸς ὑμᾶς ἐμοί· πλὴν εἰ τοὺς κομιζο-

μένους

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μένοις ἃ προσῆκέ σοι, μεθ' ὅπλων ἥκειν νομίζεις. εἰ δὲ ταῦθ' ἡγῇ, πρὸς ἅπαντας τοὺς προειρημένους τὰ ἑαυτῶν, εἰσί σοι δίκαι μεταλλικαί. ἀλλ' οὐ δίκαιον. φέρε γὰρ 53
ὅστις μέταλλον *περὶ τῆς πόλεως πρίηται, τοὺς κοινοὺς παρελθὼν νόμους, καθ' οὓς καὶ διδόναι καὶ λαμβάνειν πᾶσι προσήκει δίκας, ἐν ταῖς μεταλλικαῖς δικάσεται. τί δὲ ἐὰν δανείσηταί τις παρά του; τί δ' ἂν κακῶς ἀκούσῃ; ἂν πληγὰς λάβῃ; ἂν κλοπὴν ἐγκαλῇ; ἂν προεισφορὰν μὴ *νομίζηται; ἂν ὅλως ἄλλο τι; ἐγὼ μὲν οὐκ 54
οἶμαι· ἀλλὰ τὰς μεταλλικὰς δίκας εἶναι τοῖς κοινωνοῦσι μετάλλου καὶ τοῖς ἑτέροις *συντετρήσασιν εἰς τὰ τῶν πλησίον. καὶ ὅλως τοῖς ἐργαζομένοις τὰ μέταλλα, καὶ τῶν ἐν τῷ νόμῳ τι ποιοῦσι. τῷ δὲ δανείσαντι Πανταινέτῳ, καὶ ταῦτ' ἀπειληφότι γλίσχρως, καὶ μόλις, περὶ τούτου οὐκ εἶναι δίκην μεταλλικὴν προσοφλητέον, οὐ- 55
δή ἔγωγε· ὡς μὲν οὖν οὔτ' ἠδίκηκα τοῦτον οὐδέν, οὔτ' εἰσαγώγιμος ἐκ τῶν νόμων ἐστὶν ἡ δίκη ταῦτ' ἄν τις σκοπῶν ῥᾳδίως γνοίη. οὐδὲν τοίνυν δίκαιον ἔχων οὐδὲ καθ' ἓν λέγειν ὑπὲρ ὧν ἐγκαλεῖ, ἀλλὰ καὶ ψευδῆ γεγραφὼς εἰς τὸ ἔγκλημα, καὶ περὶ ὧν ἀφῆκε δικαζόμενος, τοῦ ἐξηγοῦντος, ὦ ἄνδρες Ἀθηναῖοι, μόνος, ἐπειδὴ 56
ἔμελλον εἰσιέναι τὴν δίκην, ἤδη τῶν δικαστηρίων *ἐπικεκυρωμένων, προσελθὼν καὶ περιστήσας τοὺς μεθ' ἑαυτοῦ τὸ ἐργαστήριον συνεστηκότων, πρᾶγμα ποιεῖ πάνδεινον. ἀναγιγνώσκει μοι πρόκλησιν μακράν, ἀξιῶν ὃν φησιν οἰκέτην ταῦτα συνειδέναι, βασανίζεσθαι· κἂν μὲν ᾖ ταῦτ' ἀληθῆ, τὴν δίκην ἀτίμητον ὀφλεῖν αὐτῷ· 57
ἐὰν δὲ ψευδῆ, τὸν βασανιστὴν Μνησικλέα ἐπιγνώμονα τῆς τιμῆς εἶναι τοῦ παιδός. λαβὼν δὴ ἐγγυητὰς τούτων παρ' ἐμοῦ, καὶ σημηνάμενος τὴν πρόκλησιν ἐμοί, οὐχ ὡς δίκαιον ὄν. ποῦ γὰρ ἐστὶ δίκαιον ἐν οἰκέτου σώματι καὶ ψυχῇ, ἢ δύο ὠφληκέναι τάλαντα, ἢ μηδὲν τὸν συκοφαντοῦντα ζημιοῦσθαι; ἀλλ' ἐγὼ πολλῷ τῷ δι- 58
καίῳ περιεῖναι βουλόμενος, συνεχώρησα. καὶ μετὰ ταῦτα προσκαλεῖταί με τὴν δίκην πάλιν, ἐπειδὴ θᾶττον ἀνείλετο τὰς παρακαταβολάς. οὕτως εὐθὺς ἦν δῆλος, οὐδ' οἷς αὐτὸς ὡρίσατο δικαίοις ἐμμένων. ἐπειδὴ δ' ἥκομεν πρὸς τὸν βασανιστήν, ἀντὶ τοῦ τὴν πρόκλησιν ἀνοίξας δεῖξαι τὰ γεγραμμένα, καὶ κατὰ ταῦτα πράτ- 59
τειν ὅ, τι δόξαι. διὰ γὰρ τὸν θόρυβον τὸν τότε, καὶ τὸ μέλλειν καλεῖσθαι τὴν δίκην, τοιοῦτον ἦν· προσκαλοῦμαί σε· ταυτὶ δέχομαι. φέρε τὸν δακτύλιον. λαβέ. τίς δή ἐγγυητής; οὑτοσί. οὐδὲν οὔτ' ἀντίγραφον, οὔτ' ἄλλο οὐδὲν ἐποιησάμην τοιοῦτον. ἀντὶ δὴ τοῦ ταῦθ' οὕτως, ὥσπερ λέγω, πράττειν, ἑτέραν ἧκεν ἔχων πρόκλησιν, ἀξιῶν 60
αὐτὸς βασανίζειν τὸν ἄνθρωπον. καὶ ἐπιλαβόμενος εἷλκε, καὶ ἐνέλιπεν οὐδὲν ἀσελγείας. κἀγὼ ἔγωγ' ἐνεθυμήθην, ὦ ἄνδρες δικασταί, ἡλίκον ἐστὶ πλεονέκτημα καταπεπλῆχθαι τὸν βίον. ἐγὼ γὰρ ἐμαυτὸν ταῦτα πάσχειν ἐδόκουν, καταφρονούμενος τῷ ἁπλῶς, καὶ ὡς πέφυκα, ζῆν· καὶ δίκην διδόναι παμμεγέθη ταῦθ' αἱρε- 61
χόμενος· ὅτι δὴ οὖν ἠναγκαζόμην παρ' ἃ ἡγούμην δίκαια εἶναι, ἀντιπροσκαλεῖσθαι, καὶ τὸν οἰκέτην παρεδίδουν· καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, λέγε τὴν πρόκλησιν.

Πρόκλησις.

Φυγὼν μὲν τοίνυν ταῦτα, φυγὼν δὲ ἃ τὸ πρῶτον αὐτὸς προὐκαλέσατο, ἔγω- 62
γε ὅ, τι ποτ' ἐρεῖ πρὸς ὑμᾶς, θαυμάζω. ἵνα δ' εἰδῆτε ὑφ' οὗ φησι καὶ τὰ δεινὰ πεπονθέναι, θεάσασθε. οὗτός ἐστιν ὁ Πανταίνετον ἐκβαλών. οὗτός ἐστιν ὁ κρείττων τῶν φίλων τῶν Πανταινέτου, καὶ τῶν νόμων. οὐ γὰρ ἔγωγ' ἐπεδήμουν, οὐδ' αὐτὸς ἐγκαλεῖ. βούλομαι δ' ὑμῖν καὶ δι' ὧν τοὺς προτέρους δικαστὰς ἐξαπατήσας εἷλε

*παρά.
*κομίζηται.
*συνεφρήσασιν.
*ἐπικεκληρωμένων.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εὔεργον, εἰπεῖν, ἵν' εἰδῆτε ὅτι καὶ νῦν οὐδὲν οὔτ' ἀναιδείας, οὔτε τοῦ ψεύδεσθαι
ἐλλείψει. πρὸς δὲ τούτοις καὶ περὶ ὧν ἐμοὶ δικάζεται νῦν, τὰς αὐτὰς ὑπο-
λογίας εὑρήσετε· ὅπερ ἔλεγχος ἀκριβέστατός ἐστιν ὑπὲρ τοῦ τότ' ἐκεῖνον σεσυκο-
64 φαντῆσθαι. ἔστι γὰρ ἠτιάσατό γ' ἐκεῖνον πρὸς ἅπασι τοῖς ἄλλοις, εἰσελθόντ' εἰς
ἀγρὸν ὡς αὐτὸν ἐπὶ τὰς ἐπικλήρους εἰσελθεῖν, καὶ τὴν μητέρα τὴν αὐτοῦ· καὶ
τοὺς νόμους ἧκεν ἔχων τοὺς τῶν ἐπικλήρων πρὸς τὸ δικαστήριον. καὶ πρὸς μὲν τὸν
ἄρχοντα, ὃν τῶν τοιούτων οἱ νόμοι κελεύουσιν ἐπιμελεῖσθαι, καὶ παρ' ᾧ τῷ μὲν ἠδι-
65 κηκότι, κίνδυνος περὶ τοῦ τί χρὴ παθεῖν, ἢ ἀποτῖσαι· τῷ δ' ἐπεξιόντι, μετ' οὐ-
δεμιᾶς ζημίας ἡ βοήθεια· οὐδέ πω καὶ τήμερον ἐξήτασαι· οὐδ' εἰσήγγελλεν, οὔτ'
ἐμέ, οὔτε τὸν εὔεργον ὡς ἀδικοῦντας. ἐν δὲ τῷ δικαστηρίῳ ταῦτα κατηγορῶν, καὶ
δυοῖν ταλάντοιν εἷλε δίκην. τῷ γάρ, οἶμαι, κατὰ μὲν τοὺς νόμους προσελθόντα τὴν αἰτίαν,
66 ἐφ' ᾗ κρίνεται, ῥᾴδιον τἀληθῆ καὶ τὰ δίκαια ἐπιδείξαντ' ἀποφεύγειν. ἐν δὲ με-
ταλλικῇ δίκῃ, περὶ ὧν οὐδὲν ἤλπιζεν αὐτοῦ κατηγορηθήσεσθαι, χαλεπὸν παρα-
χρῆμα ἔχειν ἀπολύσασθαι τὴν διαβολήν. ἡ δ' ὀργὴ παρὰ τῶν ἐξηπατημέ-
νων ὑπὸ τούτου δικαστῶν, ἐφ' ᾧ τὴν ψῆφον εἶχον πράγματι, τούτου κατεψηφί-
67 σατο. καίτοι τὸν ἐκείνους ἐξηπατηκότα τοὺς δικαστάς, ἆρ' ὀκνήσειν ὑμᾶς ἐξαπα-
τᾶν οἴεσθε; ἢ πεπιστευκότα εἰσιέναι τοῖς πράγμασιν, ἀλλ' οὐ τοῖς λόγοις, καὶ τοῖς
συνεστῶσι μεθ' ἑαυτοῦ μάρτυσι, τῷ τ' ἀκαθάρτῳ καὶ μιαρῷ προκλεῖ τῷ μεγά-
λῳ τούτῳ, καὶ στρατοκλεῖ τῷ πιθανωτάτῳ πάντων ἀνθρώπων, καὶ πονηροτάτῳ,
68 καὶ τῷ μηδὲν ὑποστελλόμενον, μηδ' αἰσχυνόμενον κλαιήσειν, καὶ ὀδυρεῖσθαι; καίτοι
τοσούτου δεῖ σ' ἐλέου τινὸς ἄξιον εἶναι, ὥστε μισηθείης ἂν δικαιότατ' ἀνθρώπων ἁ-
πάντων ἐξ ὧν πεπραγμάτευσαι· ὅς γε ὀφείλων μνᾶς ἑκατὸν καὶ πέντε, καὶ οὐχ
οἷός τε ὢν διαλῦσαι, τοὺς ταῦτα συνευπορήσαντας καὶ γενομένους αἰτίους σοι τοῦ 'συνδιαπει-σαντας.
69 τὰ δίκαια ποιῆσαι τοῖς συμβαλοῦσιν ἐξ ἀρχῆς, χωρὶς ὧν περὶ αὐτὰ συμβόλαια
ἠδίκεις, καὶ προσατιμῶσαι ζητεῖς. καὶ τοὺς μὲν ἄλλους τοὺς δανειζομένους ἴδοι τις
ἂν ἐξισταμένους τῶν ὄντων. σὺ δ' ὁ συμβεβληκώς, τοῦτο πέπονθε· καὶ δανείσας τά-
λαντον, δύο ὤφληκε συκοφαντηθείς. ἐγὼ δὲ τετταράκοντα δανείσας μνᾶς, δυοῖν
70 ταλάντοιν ταυτηνὶ φεύγω δίκην. καὶ ἐφ' οἷς δανείσασθαι μὲν οὐδεπώποτ' ἐδυ-
νήθης ἑκατὸν μνῶν πλέον· πέπρακας δὲ καθάπαξ τριῶν ταλάντων καὶ δισχι-
λίων εἰς ταῦτα, τέτταρα, ὡς ἔοικεν, ἠδίκησαι τάλαντα ὑπό του· καὶ ταῦτα ὑπὸ
τοῦ οἰκέτου· νὴ τὸν δία τοῦ ἐμοῦ. τίς δ' ἂν οἰκέτῃ παρεχωρήσειε πολίτης τῶν ἑαυ-
71 τοῦ; ἢ τίς ἂν φήσειεν ὧν δίκην λαχὼν "εἴρηκεν αὐτὸς εὔεργον, τούτων καὶ τὸν ἐμὸν παῖ- "γρ. εἴρηκεν
δα ὑπεύθυνον εἶναι προσήκειν; χωρὶς δὲ τούτων, αὐτὸς αὐτὸν ἐστὶν ἀφῆκε τῶν τοιού-
των αἰτιῶν ἁπασῶν. οὐ γὰρ νῦν ἔδει λέγειν, οὐδ' εἰς τὴν πρόκλησιν γράφειν, ἐν ᾗ
βασανίζειν ἐζήτει· ἀλλὰ λαχόντα ἐκείνῳ τὴν δίκην, τὸν κύριον διώκειν ἐμέ. νῦν δ'
72 εἴληχε μὲν ἐμοί, κατηγορεῖ ἐκείνου. ταῦτα δ' οὐκ ἐῶσιν οἱ νόμοι. τίς γὰρ πώποτε
τῷ δεσπότῃ λαχών, τοῦ δούλου τὰ πράγματα, ὡς κυρίου, κατηγορήσειεν; ἐπει-
δὰν τοίνυν τις αὐτὸν ἔρηται, καὶ τί δίκαιον ἕξεις λέγειν πρὸς νικόβουλον; μισοῦσι, φη-
σιν, ἀθηναῖοι τοὺς δανείζοντας. νικόβουλος δ' ἐπίφθονός ἐστι, καὶ ταχέως βαδίζει, καὶ
73 μέγα φθέγγεται, καὶ βακτηρίαν φορεῖ. ταῦτα δ' ἐστὶν ἅπαντα, φησι, πρὸς ἐμοῦ.
καὶ ταῦτ' οὐκ αἰσχύνεται λέγων, οὐδὲ τοὺς ἀκούοντας οἴεται μανθάνειν, ὅτι συκο-
φαντοῦντός ἐστιν ὁ λογισμὸς οὗτος, οὐκ ἀδικουμένου. ἐγὼ δ' ἀδικεῖν μὲν οὐδένα τῶν
δανειζόντων

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

...ντων οἴομαι. μισεῖσθαι μέντοι εἶναι εἰκότως ἂν ὑφ᾽ ὑμῶν, οἱ τέχνην τὸ
πρᾶγμα πεποιημένοι, μήτε συγγνώμης, μήτ᾽ ἄλλου μηδενός εἰσιν, ἀλλ᾽ ἢ τοῦ 74
πλείονος. διὰ γὰρ τὸ δεδανεῖσθαι πολλάκις, μὴ μόνον αὐτὸς τούτῳ δανεῖσαι, οὐδ᾽
ἐγὼ τούτοις ἀγνοῶ, οὐδὲ φιλῶ. οὐ μέντοι γε ἀποστερῶ μὰ Δία, οὐδὲ συκοφαν-
λέων. τῶ. ὅστις δὲ εἴργασται μὲν, ὥσπερ ἐγὼ πλέων, καὶ κινδυνεύων, εὐπορήσας δὲ
μικρὰν ἐδάνεισε ταῦτα, καὶ χαρίσασθαι βουλόμενος, καὶ μὴ λαθεῖν διαρρυὲν 75
αὐτὸν τὸ ἀργύριον, τί τις ἂν τοῦτον εἰς ἐκείνους τιθείη; εἰ μὴ τοῦτο λέγεις, ὡς ὃς ἂν
τινι δανείσῃ, τοῦτον δημοσίᾳ μισεῖσθαι προσήκει. λέγε δή μοι τὰς μαρτυρίας, τίς
ἐγὼ πρὸς τοὺς συμβάλλοντας ἀνθρώπους, καὶ πρὸς τοὺς δεομένους εἰμί.

Μαρτυρίαι. 76

Τοιοῦτος, ὦ Πανταίνετε, ἐγὼ ὁ ταχὺ βαδίζων· καὶ τοιοῦτος σὺ ὁ ἀτρέμας. ἀλ-
λὰ μὴν περί γε τοῦ ἐμοῦ βαδίσματος, ἢ τῆς διαλέκτου, πάντ᾽ ἐρῶ τἀληθῆ
πρὸς ὑμᾶς, ὦ ἄνδρες δικασταί, μετὰ παρρησίας. ἐγὼ γὰρ οὐχὶ λέληθα ἐμαυτὸν, οὐδ᾽
ἀγνοῶ, οὐ τῶν εὖ πεφυκότων κατὰ ταῦτα ὢν ἀνθρώπων, οὐδὲ τῶν λυσιτελούν- 77
των ἐμαυτῷ. εἰ γὰρ ἐν οἷς οὐδὲν ὠφελοῦμαι ποιῶν λυπῶ τινας, πῶς οὐκ ἀτυχῶ
κατὰ τοῦτο τὸ μέρος; ἀλλὰ τί χρὴ παθεῖν, ἄν τῳ δεῖ δανείσω; διὰ ταῦτα δί-
κην προσοφλεῖν; μηδαμῶς. κακίαν γάρ μοι καὶ πονηρίαν οὔθ᾽ οὗτος προσοῦσαν
οὐδεμίαν δείξει, οὔθ᾽ ὑμῶν τοσούτων ὄντων οὐδεὶς συνοίδε. τἆλλα δὲ ταῦθ᾽ ἕκα- 78
στος ἡμῶν, ὅπως ἔτυχε, πέφυκεν, οἶμαι. καὶ φύσει μάχεσθαι μὲν ἔχοντα, οὐκ εὔ-
πορόν ἐστιν. οὐ γὰρ ἂν ἀλλήλων διεφέρομεν οὐδέν. γνῶναι δ᾽ ἰδόντα ἕτερον, καὶ ἐπι-
πλῆξαι, ῥᾴδιον. ἀλλὰ τί τούτων ἐμοὶ πρὸς σὲ Πανταίνετε; οὐδέν. πολλὰ καὶ δεινὰ
πέπονθας. οὐκοῦν εἴληφας δίκην, οὐ παρ᾽ ἐμοῦ γε. οὐδὲ γὰρ ἠδικήθης οὐδὲν ὑπ᾽ 79
ἐμοῦ. οὐ γὰρ ἄν ποτε ἀφῆκας. οὐδ᾽ ὅτ᾽ εὐεργῶν προσηρούμην λαγχάνειν, εἴας ἂν ἐμέ,
οὐδὲ πρατῆρα ἠξίωσας ὑποστῆναι τόν γε δεινά σε καὶ μεγάλα εἰργασμένον. εἶπε
καὶ πῶς ἂν ὁ μὴ παρὼν, μηδ᾽ ἐπιδημῶν ἐγώ τί σε ἠδίκησα; εἰ τοίνυν ὡς οἷόν
τε μέγιστ᾽ ἠδικῆσθαι δοίη τις αὐτῷ, καὶ ἐρεῖν ἅπαντα τἀληθῆ περὶ τούτων νυνὶ, 80
ἐκεῖνό γ᾽ οἶμαι πάντας ἂν ὑμᾶς ὁμολογῆσαι, ὅτι πολλὰ συμβέβηκεν ἠδικῆσθαί
τισιν ἤδη, μείζω τῶν εἰς χρήματα γινομένων ἀδικημάτων. καὶ γὰρ ἀκούσιοι φόνοι,
καὶ ὕβρεις εἰς ἃ μὴ δεῖ, καὶ πολλὰ τοιαῦτα ἄλλα γίγνεται. ἀλλ᾽ ὅμως ἁπάντων τού-
των ὅρος καὶ λύσις τοῖς παθοῦσι τέτακται, τὸ πεισθέντας ἀφεῖναι. καὶ τοῦθ᾽ οὕτω τὸ 81
δίκαιον ἐν πᾶσιν ἰσχύει. ὥστε ἂν ἑλών τις ἀκουσίου φόνου, καὶ σαφῶς ἐπιδείξας μὴ
καθαρὸν, μετὰ ταῦτ᾽ αἰδέσηται καὶ ἀφῇ, οὐκέτ᾽ ἐκβαλεῖν κύριος τὸν αὐτόν ἐστιν.
οὐδὲ γὰρ ἂν ὁ παθὼν αὐτὸς ἀφῇ τοῦ φόνου πρὶν τελευτῆσαι τὸν δράσαντα, οὐδενὶ
τῶν λοιπῶν συγγενῶν ἔξεστ᾽ ἐπεξιέναι. ἀλλ᾽ οὓς ἐκπίπτειν καὶ φεύγειν, ἂν ἁλίσκων- 82
ται, καὶ τεθνάναι προστάττουσιν οἱ νόμοι, τούτους, ἂν ἀφεθῶσιν ἅπαξ, ἁπάντων
ἐκλύει τῶν δεινῶν τοῦτο τὸ ῥῆμα. εἶθ᾽ ὑπὲρ μὲν ψυχῆς καὶ τῶν μεγίστων, οὕτως
ἰσχύει καὶ μένει τὸ ἀφεῖναι· ὑπὲρ δὲ χρημάτων, καὶ ἐλαττόνων ἐγκλημάτων, ἄκυρον
ἔσται; μηδαμῶς. οὐ γὰρ εἰ μὴ τῶν δικαίων ἐγὼ παρ᾽ ὑμῖν τεύξομαι, τοῦτ᾽ ἔστι δει- 83
νότατον. ἀλλ᾽ εἰ πρᾶγμα δίκαιον ὡρισμένον ἐκ παντὸς τοῦ χρόνου, νυνὶ κατα-
λυθήσεται ἐφ᾽ ἡμῶν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΑΡΑΓΡΑΦΙΚΟΥ ΠΡΟΣ ναυσίμαχον, καὶ ξενοπείθην λόγου.

Ναυσίμαχος καὶ ξενοπείθης ἐπετροπεύθησαν ὑπὸ ἀριστοίχμου. ἐξελθόντες δὲ εἰς ἄνδρας, ἔλαχον δίκην ἐπιτρόπου αὐτῷ. εἶτα διελύσαντο λαβόντες τριάκοντα τάλαντα, καὶ ἀφῆκαν αὐτὸν τῶν ἐγκλημάτων. καὶ ὁ μὲν ἐτελεύτησε καταλιπὼν παῖδας τέτταρας. τούτοις δὲ μετὰ χρόνον συχνὸν ὁ ναυσίμαχος καὶ ξενοπείθης δικάζονται βλάβης, χρήματα ἀπαιτοῦντες ἐκ τῆς ἐπιτροπῆς. οἱ δὲ παραγράφονται, παρατιθέμενοι τὸν νόμον, τὸν οὐκ ἐῶντα περὶ ὧν ἄν τις ἄφεσιν δῷ καὶ ἀπαλλαγὴν, πάλιν δικάζεσθαι.

# ΔΗΜΟΣΘΕΝΟΥΣ ΠΑΡΑΓΡΑΦΗ ΠΡΟΣ ΝΑΥΣΙΜΑΧΟΝ, ΚΑΙ ΞΕΝΟΠΕΙΘΗΝ.

1 Δεδωκότων, ὦ ἄνδρες ἀθηναῖοι, τῶν νόμων παραγράφεσθαι,
περὶ ὧν ἄν τις ἀφεὶς καὶ ἀπαλλάξας, πάλιν δικάζηται, γεγενημένων ἀμφοτέρων τούτων τῷ πατρὶ πρὸς ναυσίμαχον καὶ ξενοπείθην *τοὺς εἰληχότας ἡμῖν, παρεγραψάμεθα ὥσπερ ἠκού-
2 σατε ἀρτίως, μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην. δέομαι δὲ καὶ
δίκαια καὶ μέτρια ὑμῶν ἁπάντων, πρῶτον μὲν, εὐνοϊκῶς ἀκοῦσαί μου λέγοντος· ἔπειτ', ἐὰν ἀδικεῖσθαι δοκῶ, καὶ μὴ προσήκοντος ἐγκλήματος φεύγειν δίκην, βοηθῆσαί μοι τὰ δίκαια. ὁ μὲν γὰρ ὑμεῖς ἐπὶ τῇ δίκῃ τίμημα ἀκηκόατε,
3 *τριάκοντά εἰσι μναῖ· ὧν δὲ φεύγομεν χρημάτων, τέτταρα τάλαντα. ὄντες δὲ δύο,
τέτταρας εἰλήχασι δίκας ἡμῖν τῶν αὐτῶν χρημάτων, ἁπάσας τρισχιλίων ἑκάστην βλάβης. καὶ νυνὶ πρὸς τριάκοντα μνῶν ἐπίγραμμα ὑπὲρ τοσούτων χρημάτων εἰς ἀγῶνα καθέσταμεν. τὴν μὲν οὖν συκοφαντίαν τὴν τούτων καὶ μεθ' ὅσης ἐπιβουλῆς
4 ἐληλύθασιν ἐφ' ἡμᾶς, ἐξ αὐτῶν τῶν πεπραγμένων εἴσεσθε. ἀναγνώσεται δὲ πρῶτον
ὑμῖν τὰς μαρτυρίας, ὡς ἀφεῖσαν τὸν πατέρα ἡμῶν, ὧν ἐνεκάλεσαν εἰς τὴν ἐπιτροπήν. κατὰ γὰρ τοῦτο καὶ παρεγραψάμεθα μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην. καί μοι λέγε ταυτασὶ τὰς μαρτυρίας. Μαρτυρίαι.
5 Ὅτι μὲν τοίνυν, ὦ ἄνδρες δικασταί, *δίκας ἔλαχον τῆς ἐπιτροπῆς, καὶ ἀφεῖσαν
ταύτας, καὶ τὰ συγχωρηθέντα χρήματα ἔχουσιν, ἀκούετε τῶν μαρτυριῶν. ὅτι δ' οὐκ ἐῶσιν οἱ νόμοι περὶ τῶν οὕτω πραχθέντων αὖθις δικάζεσθαι, νομίζω μὲν ὑμᾶς ἅπαντας εἰδέναι, κἂν μηδὲν εἴπω περὶ αὐτῶν ἐγώ. βούλομαι δ' ὅμως καὶ
6 τὸν νόμον ὑμῖν αὐτὸν ἀναγνῶναι. Λέγε τὸν νόμον.
Ἀκούετε, ὦ ἄνδρες δικασταί, τοῦ νόμου σαφῶς λέγοντος ἕκαστα *ὧν μὴ εἶναι δίκας· ὧν ἔνεστιν ὁμοίως τοῖς ἄλλοις *κύριον, περὶ ὧν ἄν τις ἀφῇ καὶ ἀπαλλάξῃ μὴ δικάζεσθαι; οὕτω τοίνυν καὶ μετὰ πολλῶν μαρτύρων τῆς ἀφέσεως γεγονυίας, καὶ φα-
7 νερῶς ἀπολύοντος ἡμᾶς τοῦ νόμου, εἰς τοῦτο ἐληλύθασιν ἀναισχυντίας οὗτοι, καὶ τόλ-
μης, ὥστε τεττάρων μὲν καὶ δέκα ἐτῶν γεγενημένων, ἀφ' οὗ τὸν πατέρα ἡμῶν ἀφεῖσαν· εἴκοσι δὲ καὶ δυοῖν, ἀφ' οὗ τυγχάνουσι γεγραμμένοι· τετελευτηκότος δὲ καὶ τοῦ πατρὸς τοῦ ἡμετέρου, καθ' ὃν αὐτοῖς ἐγένοντο αἱ ἀπαλλαγαί, καὶ τῶν ἐπι-
8 τρόπων, οἱ μετὰ τὸν ἐκείνου θάνατον τῶν ἡμετέρων ἐγένοντο κύριοι, καὶ τῆς ἑαυτῶν μητρὸς, ἥ τις ἅπαντα ταῦτα ᾔδει, καὶ διαιτητῶν καὶ μαρτύρων, καὶ πάντων τῶν πλείστων· ὡς εἰπεῖν τὴν ἀπειρίαν τὴν ἡμετέραν, καὶ τὴν ἐξ ἀνάγκης ἄγνοιαν τῶν πεπραγμέ-

*τοὺς δίκην εἰληχ.

*τριάκοντα· ὄντες δέ.

*καί.

*καὶ ὧν ἄν τις ἀφείκῃ τινά. μὴ εἶναι δίκας, ὁμοίως.

*κυρίων.

πεπραγμένων, ἕρμαιον νομίσαντες αὑτοῖς, τὰς δίκας ἡμῖν ἔλαχον ταύτας, καὶ λόγον οὔ-
τε δίκαιον, οὔτ' ἐπιεικῆ τολμῶσι λέγειν. φασὶ γὰρ οὐκ ἀποδοῦναι τὰ πατρῷα ὧν 9
ἐκομίζοντο χρημάτων, οὐδ' ἀποστῆναι τῶν ὄντων· ἀλλ' ὅσα αὐτοῖς κατελείφθη
χρέα καὶ σκεύη καὶ ὅλως χρήματα, ταῦθ' αὑτῶν γίνεσθαι. ἐγὼ δ' οἶδ' ἀκούων, ὅτι
τὴν οὐσίαν Ξενοπείθης καὶ Ναυσικράτης ἅπασαν χρέα κατέλιπον· καὶ φανερὰν
ἐκέκτηντο μικράν τινα. εἰσπραχθέντων δὲ τῶν χρεῶν, καί τινων σκευῶν πραχ- 10
θέντων, ἔτι δ' ἀνδραπόδων, τὰ χωρία καὶ τὰς συνοικίας ἐπρίαντο οἱ ἐπίτροποι, ἃ
ἀπέλαβον οὗτοι. εἰ μὲν οὖν μηδὲν ἠμφισβητήθη περὶ τούτων πρότερον, μηδ'
ὡς οὐ καλῶς διῳκημένων εἰς δίκην ἦλθεν, ἄλλος ἂν ἦν λόγος. ἐπεὶ δ' ὅλην τὴν
ἐπιτροπὴν ἐγκαλέσαντες οὗτοι, καὶ δίκας λαχόντες, χρήματ' ἐπράξαντο, ταῦτα
πάντα ἀφεῖται τότε. οὔτε γὰρ οὗτοι τοῦ ὀνόματος δήπου τοῦ τῆς ἐπιτροπῆς τὰς δίκας 11
ἐδίωκον, ἀλλὰ τῶν χρημάτων, οὔτ' ἐκεῖνοι τοὔνομα τοῦτο ἐωνοῦντο, ὧν ἀπέτισαν
χρημάτων, ἀλλὰ τὰ ἐγκλήματα. ὅτι μὲν οὖν ὧν περὶ τὴν ἀπαλλαγὴν εἰσέπρα-
ξε χρεῶν ὁ πατὴρ, ἢ ὅλως ἔλαβε χρημάτων ἐκ τῆς ἐπιτροπῆς, οὐδενός εἰσι δίκαι
τούτοις καθ' ὑμῶν ἀπηλλαγμένοις, ἐξ αὐτῶν τῶν νόμων καὶ τῆς ἀφέσεως, ἱκανῶς 12
πάντες ἡγοῦμαι ὑμᾶς μεμαθηκέναι. ὅτι δ' ὕστερον οὐκ ἔνι τὴν κομιδὴν γεγενῆ-
σθαι τούτων τῶν χρημάτων· τοῦτο γὰρ πλάττουσιν οὗτοι καὶ περιάγουσι· τοῦτο βού-
λομαι δεῖξαι. ὃν μὲν γὰρ πατέρα, οὐδ' ἂν αἰτιάσαιντο λαβεῖν. τέτταρσι γὰρ ἢ τρισὶ
μησὶν ὕστερον ἢ διελύσατο πρὸς τούτους, ἐτελεύτησεν. ὡς δ' οὐδὲ Δημάρετον τὸν κα- 13
ταλειφθέντα ἡμῶν ἐπίτροπον λαβεῖν οἷόν τε. καὶ γὰρ τοῦτον ἔγραψαν εἰς τὸ ἔγκλημα
καὶ τοῦτο ἐπιδείξω. μέγιστοι μὲν οὖν εἰσιν αὐτοὶ ἡμῖν οὗτοι μάρτυρες. οὐδαμοῦ γὰρ
φανήσονται δίκην εἰληχότες ζῶντι τῷ Δημαρέτῳ. οὐ μὴν ἀλλὰ καὶ τὸ πρᾶγμα
ἄν τις σκοπῶν αὐτὸ καὶ θεωρῶν, ἴδοι οὐ μόνον οὐχὶ λαβόντα, ἀλλ' οὐδ' ἐνὸν αὐτῷ 14
λαβεῖν. ἦν μὲν γὰρ τὸ χρέος ἐν Βοσπόρῳ. ἀφίκετο δ' οὐδὲ πώποτε εἰς τὸν τόπον
τοῦτον ὁ Δημάρετος. πῶς οὖν εἰσέπραξεν; ἔπεμψε νὴ Δία, εἴποι τις ἄν, τὸν κομιούμε-
νον. σκοπεῖτε δὴ τοῦτο οὑτωσί. ὤφλεν Ἑρμῶναξ στατῆρας ἑκατὸν παρὰ Ναυσικρά-
τους λαβὼν τρίς. τούτων ἐπίτροπος καὶ κηδεμὼν Ἀρισταίχμος ἐγένετο ἑκκαίδεκα 15
ἔτη. οὐκοῦν ἅτε τούτων ἀνδρῶν γεγονότων, δι' ἑαυτοῦ διέλυσε χρήματα ὁ Ἑρμῶ-
ναξ, οὐκ ἀπέδωκεν ὅτ' ἦσαν παῖδες. οὐ γάρ τίς γε ταῦτα κατετίθη. ἔστιν οὖν οὕτω
τις ἀνθρώπων ἄτοπος, ὥσθ' ἃ τοὺς κυρίους διεκρούσατο μὴ καταθεῖναι τοσοῦτον
χρόνον, ταῦτα τῷ μὴ κυρίῳ γράψαντι γράμματα ἑκὼν ἀποδοῦναι; ἐγὼ μὲν 16
οὐκ οἶμαι. ἀλλὰ μὴν ὡς ἀληθῆ λέγω, καὶ ὁ μὲν πατὴρ ἐτελεύτησεν εὐθέως μετὰ
τὰς διαλύσεις, τῷ Δημαρέτῳ δ' οὐδὲ πώποθ' οὗτοι τῶν χρημάτων τούτων δίκην
ἔλαχον, οὐδ' ὅλως ἐξέπλευσεν ἐκεῖνος, οὐδ' ἀπεδήμησεν ἐκεῖσε, λάβε τὰς μαρτυ-
ρίας·

Μαρτυρίαι. 17

Ὅτι μὲν τοίνυν οὔθ' ὁ πατὴρ μετὰ τὴν ἄφεσιν τὰ χρήματα εἰσέπραξεν,
οὔτ' ἂν ἔδωκεν ἑκὼν οὐδεὶς, εἴ τινα ἔπεμψεν ὁ Δημάρετος, οὔτ' ἂν ἔπλευσεν
αὐτὸς, οὐδ' ἂν ἀφίκετο ἐκεῖσε, δῆλον ἐκ τῶν χρόνων, καὶ τῶν μαρτύρων ὑμῖν γέ-
γονε. βούλομαι τοίνυν καὶ ὅλως ψευδομένους αὐτοὺς ὅλον τὸ πρᾶγμα ἐπιδεῖ- 18
ξαι. οὗτοι γὰρ γεγράφασιν εἰς ὃ νῦν ἔγκλημα διώκουσιν, ὀφείλειν ἡμᾶς τὸ ἀργύ-
ριον, κομισαμένου τοῦ πατρὸς καὶ παραδόντος αὐτοῖς τοῦτο τὸ χρέος, ἐν τῷ λόγῳ τῆς
ἐπιτροπῆς ὀφειλόμενον. καί μοι λέγε αὐτὸ τὸ ἔγκλημα λαβών.

ἀπηλλαγμένων.

μαρτυριῶν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἔγκλημα.

Ἀκούετε γεγραμμένον ἐν τῷ ἐγκλήματι παραδόντος ἐμοὶ τοῦ Ἀρισταίχμου
τὸ χρέος ἐν τῷ λόγῳ τῆς ἐπιτροπῆς· ὅτε τοίνυν ἐλάγχανον τῷ πατρὶ τῆς ἐπι-
19 τροπῆς, τἀναντία ἐγράψαντο τούτων. ὡς γὰρ οὐκ ἀποδόντι λόγον καὶ τοῦτ' ἐγκα-
λοῦντες φαίνονται. λέγε δὴ αὐτὸ τὸ ἔγκλημα, ὃ τότ' ἔλαχον τῷ πατρί.

Ἔγκλημα.

Ἐν ποίῳ δὴ λόγῳ νῦν ἐγκαλεῖτε, ὡς παρέδωκεν, ὦ Ξενόπειθες καὶ Ναυσίμαχε;
20 ποτὲ μὲν γὰρ ὡς οὐκ ἀποδιδόντι, δίκας ἐλαγχάνετε, καὶ χρήματ' ἐπράττεσθε· ποτὲ
δ' ὡς παραδόντος διώκετε. εἰ δ' ἐπ' ἀμφότερα ἔσται συκοφαντεῖν ὑμῖν, καὶ ποτὲ
μὲν τοῦ μὴ παραδοῦναι χρήματα πράξεσθε, ποτὲ δ' ὡς παραδόντος διώξετε, οὐ-
δὲν κωλύσει καὶ τρίτον τι σκοπεῖν μετὰ ταῦτα ὅπου πάλιν δικάσεσθε· οἱ νόμοι δ' οὐ
21 ταῦτα λέγουσιν, ἀλλ' ἅπαξ περὶ τῶν αὐτῶν πρὸς τὸν αὐτὸν εἶναι τὰς δίκας. ἵνα τοίνυν
εἰδῆτε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι οὐ μόνον οὐκ ἀδικοῦνται νῦν, ἀλλὰ καὶ παρὰ πάντας
ἡμῖν δικάζονται τοὺς νόμους, βούλομαι καὶ τοῦτον ὑμῖν τὸν νόμον εἰπεῖν, ὅστις διαρρή-
δην λέγει, ἐὰν πέντε ἔτη παρέλθῃ, καὶ μὴ δικάσωνται, μηκέτ' εἶναι τοῖς ὀρφανοῖς δί-
22 κην, περὶ τῶν ἐκ τῆς ἐπιτροπῆς ἐγκλημάτων. καὶ τοῦτον ὑμῖν ἀναγνώσεται τὸν νόμον.

Νόμος.

Ἀκούετε, ὦ ἄνδρες δικασταί, τοῦ νόμου λέγοντος ἄντικρυς, ἐὰν μὴ πέντε ἐτῶν δι-
κάσωνται, μηκέτ' εἶναι δίκην; οὐκοῦν ἐλάχομεν, φαῖεν ἄν. καὶ διελύσασθέ γε. ὥστ'
23 οὐκ εἰσὶν αὖθις ὑμῖν δίκαι. ἢ δεινόν γ' ἂν εἴη· εἰ τῶν μὲν ἐξ ἀρχῆς ἀδικημάτων οὐ δί-
δωσιν ἔξω πέντε ἐτῶν τὰς δίκας τοῖς ὀρφανοῖς ὁ νόμος, κατὰ τῶν οὐκ ἀφειμένων
ἐπιτρόπων· πρὸς δὲ τοὺς ἐξ ἐκείνων ὑμᾶς, περὶ ὧν αὐτοὶ ἀφείκατε, εἰκοστῷ νῦν
ἔτει δίκην τελέσαισθ' ὑμεῖς. ἀκούω τοίνυν αὐτοὺς τὰ μὲν περὶ τῶν πραγμάτων
24 αὐτῶν καὶ τῶν νόμων δίκαια φεύξεσθαι· παρεσκευάσθαι δὲ λέγειν ὡς πολλὰ χρή-
ματα αὐτοῖς κατελείφθη, καὶ ταῦτ' ἀπεστερήθησαν, καὶ τεκμηρίῳ χρήσασθαι
τούτῳ, τῷ μεγέθει τῶν δικῶν, ἃς ἐξ ἀρχῆς ἔλαχον, καὶ τὴν ὀρφανίαν ὀδύρεσθαι, καὶ
τὸν τῆς ἐπιτροπῆς λόγον διεξιέναι· καὶ ταῦτ' εἶναι, οἷς πεπιστεύκασι, καὶ δι' ὧν ὑμᾶς
25 ἐξαπατήσειν οἴονται· ἐγὼ δὲ τῶν μὲν δικῶν τὸ μέγεθος τῶν τότε ληχθεισῶν, μεῖζον
ἡγοῦμαι τεκμήριον ἡμῖν, ὡς ἐσυκοφαντεῖτο ὁ πατήρ, εἶναι, ἢ τούτοις ὡς πολλὰ ἀπε-
στεροῦντο. ὀγδοήκοντα μὲν γὰρ τάλαντ' ἔχων ἐξελέγχειν, οὐδεὶς ἂν τρία λαβὼν
ἀπηλλάγη. τοσούτων δὲ χρημάτων φεύγων ἐπιτροπῆς, οὐδείς ἐστιν, ὅστις οὐκ ἂν
26 ἔδωκε τρία τάλαντα, τὸν κίνδυνον ὠνούμενος, καὶ τὰ φύσει τότε τούτοις πλεονεκτή-
ματα ὑπάρχοντα. καὶ γὰρ ὀρφανοί, καὶ νέοι, καὶ ὁποῖοί τινές εἰσιν, ἀγνῶτες ἦσαν. ταῦτα
δὲ πάντες φασὶ μεγάλων δικαίων παρ' ὑμῖν ἰσχύειν πλέον. ὅτι τοίνυν οὐδ' ἀνά-
χοιαθ' ἂν αὐτῶν εἰκότως οὐδὲ περὶ τῆς ἐπιτροπῆς, καὶ τοῦτ' οἴομαι δείξειν. εἰ γὰρ ὡς ὡς οἴοιντ' ἂν μέ-
27 οἴονται μέγιστ' ἠδικῆσθαι δοίη τις αὐτοῖς, καὶ ἐρεῖν ἅπαντα τἀληθῆ περὶ τούτων νυ- γιστ'
νί, ἐκεῖνό γ' οἶμαι πάντας ἂν ὑμᾶς ὁμολογῆσαι, ὅτι πολλὰ συμβέβηκεν ἠδικῆσθαί
τισιν ἤδη μείζω τῶν εἰς χρήματα γιγνομένων ἀδικημάτων. καὶ γὰρ ἀκούσιοι φόνοι
καὶ ὕβρεις εἰς ἃ μὴ δεῖ, καὶ πολλὰ τοιαῦτ' ἀδικήματα γίνεται. ἀλλ' ὅμως ἁπάντων
28 τούτων ὅρος καὶ λύσις τοῖς παθοῦσι τέτακται, τὸ πεισθέντας ἀφεῖναι. καὶ τοῦθ' οὕτω
τὸ δίκαιον ἐν πᾶσιν ἰσχύει, ὥστ' ἂν ἑλών τις ἀκουσίου φόνου, καὶ σαφῶς ἐπιδείξας μὴ
καθαρόν, μετὰ ταῦτα αἰδέσηται καὶ ἀφῇ, οὐκέτ' ἐκβαλεῖν κύριος τὸν αὐτὸν ἐστιν. εἰ δ'

ὑπὲρ μὲν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ὑπὲρ μὲν ψυχῆς καὶ τῶν μεγίστων οὕτως ἰσχύει καὶ μόνον τὸ ἀφεῖναι, ὑπὲρ δὲ χρημάτων καὶ ἐλαττόνων ἐγκλημάτων ἄκυρον ἔσται; μηδαμῶς. οὐ γὰρ εἰ μὴ τῶν δικαίων
ἐγὼ παρ᾽ ὑμῖν τεύξομαι, τοῦτ᾽ ἐστὶ δεινότατον· ἀλλ᾽ εἰ πρᾶγμα δίκαιον ὡρισμένον ἐκ παντὸς τοῦ χρόνου, νυνὶ καταλυθήσεται, οὐκ ἐμίσθωσαν ἡμῶν τὸν οἶκον, ἴσως ἐροῦσιν. οὐ γὰρ ἐβούλεθ᾽ ὁ θεῖος ἡμῶν Ξενοπείθης. ἀλλὰ Φήναντος Νικίδου, τοὺς δικα- 29
ἡμῶν. στὰς ἔπεισεν ἐᾶσαι διοικεῖν αὐτόν. καὶ ταῦτ᾽ ἴσασι πάντες. πολλὰ διήρπασαν ὑμῶν ἐκεῖνοι. οὐκοῦν ἣν ἐπείθητέ γε, τούτων δίκην παρ᾽ αὐτῶν ἔχετε. καὶ οὐδήποθεν πά- 30
λιν δεῖ λαβεῖν ὑμᾶς παρ᾽ ἐμοῦ. ἵνα δὲ μηδ᾽ οἴησθε εἶναί τι ταῦτα, ἔστι μὲν οὐκ ἴσον· πῶς γάρ; πρὸς τοὺς πράξαντας διαλυσαμένους, τῶν οὐκ εἰδότων κατηγορεῖν. ὅμως μέντοι, ὦ Ξενοπείθη καὶ Ναυσίμαχε, εἰ μεγάλα ὑμῖν καὶ θαυμαστὰ τὰ δίκαια εἶναι ταῦτα ὑπολαμβάνετε, ἀποδόντες τὰ τρία τάλαντα πράττετε. ὧν δὲ τοῦ μὴ κα- 31
τηγορῆσαι τοσαῦτα χρήματα ἐπράξασθε, πρὶν ἂν ταῦτα ἀποδῶτε, σιωπὴν ἐστὲ δίκαιοι, καὶ μὴ κατηγορεῖν, καὶ ἔχειν. ἔσχατον γὰρ δὴ πραγμάτων τοῦτό γε. τάχα τοί-
ἀνηλώκασι. νυν καὶ τριηραρχίας ἐροῦσι. καὶ τὰ ὄντα ὡς ἀναλώκασιν εἰς ὑμᾶς. ἐγὼ δ᾽ ὅτι μὲν ψεύσονται, καὶ τὰ πολλὰ ἀπολωλεκότες τῶν ὄντων αὐτοῖς, μικρὰ τῆς πόλεως μετει- 32
ληφυίας, οὐ δικαίαν οὐδὲ γιγνομένην χάριν, ἀξιώσουσι κομίζεσθαι παρ᾽ ὑμῶν, ἐά-
ἡμῖν σω. ἀξιῶ δὲ καὶ αὐτοὺς, ὦ ἄνδρες δικασταὶ, εἶναι τοῖς λειτουργοῦσιν ὑμῖν ἅπασι χάριν τινὰ ὑπάρχουσαν παρ᾽ ὑμῶν· τισὶ δὲ μεγίστην, τοῖς, ὃ μὲν χρήσιμον τῇ πόλει τοῦ πράγματός ἐστι, ποιοῦσιν, ὃ δ᾽ αἰσχρὸν ἂν ἅπαντες εἶναι φήσαιεν, καὶ ὄνειδος, μὴ κατα- 33
σκευάζουσιν. οἱ μὲν τοίνυν μετὰ τοῦ λειτουργεῖν τὰ σφέτερα αὐτῶν διεφθαρκότες, τὴν βλασφημίαν ἀντὶ τῆς χρείας τῇ πόλει καταλείπουσιν. οὐδεὶς γὰρ αὐτὸς αὑτοῦ κατηγόρησε πώποτε. ἀλλ᾽ ὡς ἡ πόλις τὰ ὄντα ἀφαιρεῖται, λέγει. οἱ δὲ, ὅσα μὲν προστάττετε ὑμεῖς ποιοῦντες προθύμως, τῇ περὶ τὰ ἄλλα δὲ σωφροσύνῃ τὰ 34
ὄντα σώζοντες, οὐ μόνον κατὰ τοῦτ᾽ ἐκείνων πλεονεκτοῖεν ἂν εἰκότως, ὅτι γεγόνασι χρήσιμοι καὶ ἔσονται, ἀλλ᾽ ὅτι καὶ χωρὶς ὀνείδους ταῦτα παρ᾽ αὐτῶν ὑμῖν γίγνεται. ἡμεῖς μὲν τοίνυν τοιοῦτοι εἰς ὑμᾶς φανούμεθα ὄντες. τούτους δ᾽ ἐάσω, μή με φῶσι κα-
πειρῶντο. κῶς αὐτοὺς λέγειν. οὐ τοίνυν θαυμάσαιμ᾽ ἂν, εἰ καὶ δακρύειν καὶ ἐλεεινοὺς αὑτοὺς πει- 35
ρῶνται ποιεῖν. ἐγὼ δ᾽ ἀξιῶ πρὸς ταῦτα ὑπολαμβάνειν ἅπαντας ὑμᾶς, ὅτι τῶν αἰσχρῶν ἐστὶ, μᾶλλον δ᾽ οὐδὲ δικαίων, τὰ μὲν ὄντα κατεσθίοντας καὶ προπινοῦντας
διογνήτου καὶ τοιούτων ἑτέρων αἰσχρῶν, καὶ κακῶν ἀνθρώπων, κακῶς. μετ᾽ Ἀριστοκράτους καὶ Διογνήτου, καὶ τοιούτων ἀνθρώπων, καὶ κακῶς ἀναλωκέναι·
τὰ δ᾽ ἀλλότρια λαβόντας, δακρ. τὰ δ᾽ ἀλλότρια, ὥστε λαβεῖν, δακρύειν νυνὶ καὶ κλάειν. ἐπ᾽ ἐκείνοις ἔκλαιετ᾽ ἂν οἷς 36
ἀφήκατε. ἐποιεῖτε δικαίως. νῦν δὲ, οὐ δεῖ δακρύειν· ἀλλ᾽ ὡς οὐκ ἀφήκατε, δεικνύναι· ἢ ὡς εἰσὶν
δίκαι, τὸ ὡς κ.λ. ὧν ἀφήκατε, αὖθις ὑμῖν δικαίως τὸ λαγχάνειν ἔτι δίκαιόν ἐστι, τοῦ νόμου πέντε ἔτη τὴν προθεσμίαν δεδωκότος. ταῦτα γάρ ἐστιν ὑπὲρ ὧν οὗτοι δικάζουσιν. ἐὰν δὲ μὴ δύνωνται ταῦτα δεικνύναι, ὡς οὐ δυνήσονται, ἡμεῖς ὑμῶν ἁπάντων, ὦ ἄνδρες δι- 37
κασταὶ, δεησόμεθα, μὴ ἡμᾶς προέσθαι τούτοις, μηδὲ τετάρτην οὐσίαν ἔτι δοῦναι, πρὸς ἑτέρας κακῶς διῳκηκόσιν, ἣν παρ᾽ ἑκόντων ἔλαβον τὴν ἐπιτρόπων, ἣν ὑπὲρ τὴν δίκην εἰσεπράξαντο, ἣν πρῴην ἀφείλοντο, αἰσίου δίκην ἑλόντες· ἀλλ᾽ ἡμᾶς τὰ ἡμέτερα, ὥσπερ ἐστὶ δίκαιον, ἐᾶν ἔχειν· ἃ καὶ ὑμῖν ἐστὶν ἐν ὠφελείᾳ μείζονι παρ᾽ ἡ- 38
μῖν ὄντα, ἢ παρὰ τούτοις· καὶ δικαιότερον δήπου τὰ ἡμέτερα ἡμᾶς ἐστὶν ἔχειν, ἢ τούτους. οὐκ οἶδ᾽ ὅτι δεῖ πλείω λέγειν. οἶμαι γὰρ ὑμᾶς οὐδὲν ἀγνοεῖν τῶν εἰρημένων. ἐξέρα τὸ ὕδωρ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

### ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΒΟΙΩΤΟΝ ΠΕΡΙ τοῦ ὀνόματος λόγου.

Μαντίας εἷς τῶν πολιτευσαμένων Ἀθήνησι, γήμας γυναῖκα κατὰ τοὺς νόμους, ἐκ ταύτης παῖδα ἐκτήσατο τὸν νυνὶ δικαζόμενον. προσεῖχε δέ τινι Πλαγγόνι κατ' ἐρωτικὴν ἐπιθυμίαν. αὐτῇ καὶ γυναικὶ ταύτης δύο υἱεῖς ἀνδρωθέντες, ἐδικάζοντο τῷ Μαντίᾳ ἑαυτῶν εἶναι πατέρα φάσκοντες. ὁ δὲ ἀντέλεγεν. ἔπειτα ἀναλαμβάνει τοὺς παῖδας ἀναγκασθείς, ἀπὸ ἰδίας προκλήσεως, ἣν ἀπατηθεὶς ἐποιήσατο. προυκαλέσατο μὲν γὰρ τὴν Πλαγγόνα ὀμόσαι περὶ τῶν παίδων εἰ οὕτως εἰσὶν ἐξ αὐτοῦ, ὑποσχόμενος εἰ ὀμόσειεν, ἐμμένειν τῷ ὅρκῳ. προυκαλέσατο δὲ ἀπατηθείς, ὡς οὐ δεξομένης τὸν ὅρκον τῆς γυναικός. ὑπὲρ τούτου γὰρ καὶ μισθὸν αὐτῇ συχνὸν ἐπηγγείλατο ὥς φησιν ὁ τὸν λόγον λέγων, καὶ ὡμωμόκει ἡ Πλαγγὼν αὐτῷ λάθρα προσποιουμένη τὸν ὅρκον μὴ δέξασθαι. προκαλεσαμένου τοίνυν παραβᾶσα τὰς συνθήκας δέχεται τὸν ὅρκον καὶ οὕτω μὲν ἀναγκάζεται τοὺς παῖδας ἀναλαβεῖν μετ' οὐ πολὺ δὲ τετελεύτηκεν. ὁ τοίνυν ἐκ τῆς νόμῳ γαμηθείσης γυναικὸς παῖς, δικάζεται τῷ ἑτέρῳ τῶν εἰσποιηθέντων περὶ τοῦ ὀνόματος, λέγων αὐτὸν Βοιωτὸν καλεῖσθαι προσήκειν, ὅπερ ἐξ ἀρχῆς ὠνομάζετο, καὶ μὴ Μαντίθεον. τοῦτο γὰρ αὐτῷ παρὰ τοῦ πατρὸς ἐξ ἀρχῆς τεθεῖσθαι τοὔνομα. αὐτόθεν μὲν οὖν δόξειεν ἄν τις φιλοπράγμων καὶ φιλόνεικος ὑπὲρ προσηγορίας διαφερόμενος. ὁ μέντοι λόγος, ἱκανὰς ἀποδείξεις παρέχεται τοῦ καὶ δημοσίᾳ καὶ ἰδίᾳ βλαβερὰν εἶναι τὴν ὁμωνυμίαν.

# ΔΗΜΟΣΘΕΝΟΥΣ Ο ΠΡΟΣ ΒΟΙΩΤΟΝ, ΠΕΡΙ ΤΟΥ ΟΝΟΜΑΤΟΣ ΛΟΓΟΣ.

1 Οὐδεμιᾷ φιλοπραγμοσύνῃ, μὰ τοὺς θεούς, ὦ ἄνδρες δικα-
σταί, τὴν δίκην ἔλαχον ταυτηνὶ Βοιωτῷ, οὐδ' ἠγνόουν ὅτι
πολλοῖς ἄτοπον δόξει τὸ δίκην με λαγχάνειν, εἴ τις ἐμοὶ ταὐτὸ
ὄνομα οἴεται δεῖν ἔχειν. ἀλλ' ἀναγκαῖον ἦν ἐκ τῶν συμβησομέ-
2 νων, εἰ μὴ τοῦτο διορθώσομαι, ἐν ὑμῖν κριθῆναι. εἰ μὲν οὖν ἑτέ-
ρου τινὸς ἔφη πατρὸς εἶναι, καὶ μὴ τοῦ ἐμοῦ, περίεργος ἂν εἰ-
κότως ἐδόκουν εἶναι, φροντίζων ὅτι βούλεται καλεῖν αὑτὸν. νῦν δὲ λαχὼν δί- * εἶναι
κην τῷ πατρὶ τῷ ἐμῷ, καὶ μεθ' αὑτοῦ κατασκευάσας ἐργαστήριον συκοφαντῶν,
3 Μνησικλέα τε, ὃν ἴσως γινώσκετε πάντες, καὶ Μενεκλέα τὸν τὴν Νῖνον ἑλόντα ἐκεῖνον
καὶ τοιούτους τινάς, ἐδικάζετο, υἱὸς εἶναι φάσκων ἐκ τῆς Παμφίλου θυγατρός, καὶ δει-
νὰ πάσχειν, καὶ τῆς πατρίδος ἀποστερεῖσθαι. ὁ πατὴρ δέ, πᾶσα γὰρ εἰρήσεται ἡ ἀλή-
θεια, ὦ ἄνδρες δικασταί, ἅμα μὲν φοβούμενος εἰς τὸ δικαστήριον εἰσιέναι, μή τις οἷα ἴσ. εἰκός.
4 ὑπὸ πολιτευομένου ἑτέρωθί που λελυπημένος, ἐνταυθοῖ ἀπαντήσειεν αὐτῷ, ἅμα
δ' ἐξαπατηθεὶς ὑπὸ τῆς τουτουὶ μητρός, ὀμοσάσης αὐτῆς ἦ μήν, ἐὰν ὅρκον αὐτῇ
διδῷ περὶ τούτων, μὴ ὀμεῖσθαι, τούτων δὲ πραχθέντων μηδὲν ἔτι ἔσεσθαι αὐτοῖς,
καὶ μεσεγγυησαμένης ἀργύριον ἐπὶ τούτοις δίδωσι τὸν ὅρκον. ἡ δὲ δεξαμένη, οὐ μό-
5 νον τοῦτον, ἀλλὰ καὶ τὸν ἀδελφὸν τὸν ἕτερον πρὸς τούτῳ κατωμόσατο ἐκ τοῦ πα-
τρὸς εἶναι τοῦ ἐμοῦ. ὡς δὲ τοῦτ' ἐποίησεν, εἰσάγειν εἰς τοὺς φράτορας ἦν ἀνάγκη τού-
τους, καὶ λόγος οὐδεὶς ὑπελείπετο. εἰσήγαγεν, ἐποιήσατο, ἵνα τἀν μέσῳ συντέμω,
ἐνέγραψε τοῖς ἀπατουρίοις, τουτονὶ μὲν Βοιωτὸν εἰς τοὺς φράτορας, τὸν δ' ἕτερον,
6 Πάμφιλον. Μαντίθεος δ' ἐνεγεγράμμην ἐγώ. συμβάσης δὲ τῷ πατρὶ τῆς τε-
λευτῆς πρὶν τὰς εἰς τοὺς δημότας ἐγγραφὰς γενέσθαι, ἐλθὼν εἰς τοὺς δημότας οὑτο-
σί, ἀντὶ Βοιωτοῦ, Μαντίθεον ἐνέγραψεν αὑτόν. τοῦτο δ' ὅσα βλάπτει ποιῶν πρῶτον
μὲν ἐμέ, εἶτα καὶ ὑμᾶς, ἐγὼ διδάξω, ἐπειδὰν ὧν λέγω παράσχωμαι μάρτυρας.

Μάρτυρες.

Ὃν μὲν τοίνυν τρόπον ἡμᾶς ἐνέγραψεν ὁ πατήρ, ἀκηκόατε τῶν μαρτύρων. ὅτι

δ' οὐκ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δικαίως καὶ ἀναγκαίως. δ' οὐκ οἷόν μὲν τοῦτο δεῖν ἐμμένειν τοῖς δικαίοις, καὶ ἀναγκαίως ἔλαχον τὴν δί-
κην, τοῦτ' ἤδη δείξω. ἐγὼ γὰρ οὐχ οὕτω δήπου σκαιός εἰμι ἄνθρωπος, οὐδ' ἀλόγι-
στος, ὥστε τῶν μὲν πατρῴων, ἃ πάντα ἐμὰ ἐγίγνετο, ἐπειδήπερ ἐποιήσατο τούτους 8
ὁ πατήρ, συγκεχωρηκέναι τὸ τρίτον νείμασθαι μέρος, καὶ στέργειν ἐπὶ τούτῳ, περὶ δ'
ὀνόματος ζυγομαχεῖν, εἰ μὴ τὸ μὲν ἡμᾶς μεταθέσθαι μεγάλην ἀτιμίαν ἔφερε
καὶ ἀνανδρίαν· τὸ δὲ ταὐτὸν ἔχειν τοῦτον ἡμῖν ὄνομα, ἀλλὰ πολλὰ ἀδύνατον ἦν. πρῶ-
τον μὲν γάρ, εἰ δεῖ τὰ κοινὰ τῶν ἰδίων εἰπεῖν πρότερον, τίν' ἡμῖν ἡ πόλις ἐπιτάξει τρό- 9
πον, ἄν τι δέῃ ποιεῖν; ἢ οἴσουσι, νὴ Δία, οἱ φυλέται τὸν αὐτὸν τρόπον, ὅνπερ καὶ τοὺς ἄλ-
λους; οὐκοῦν Μαντίθεον Μαντίου Θορίκιον οἴσουσί με, ἂν χορηγόν, ἢ γυμνασίαρχον, ἢ
ἑστιάτορα, ἢ ἄλλο τι τῶν ἄλλων φέρωσι. τῷ δῆλον οὖν ἔσται, πότερον σὲ φέρουσιν, ἢ
καὶ δὴ καλῇ. ἐμέ; σὺ μὲν γὰρ φήσεις ἐμέ, ἐγὼ δὲ σέ. καὶ δὴ καλεῖ μετὰ τοῦτο ὁ ἄρχων, ἢ πρὸς ὃν 10
ὑμεῖς δέ. τινα ἂν ᾖ ἡ δίκη, οὐχ ὑπακούομεν, οὐ λειτουργοῦμεν. πότερος οὖν ταῖς ἐκ τῶν νό-
μων ἔσται ζημίαις ἔνοχος. τίνα δ' οἱ στρατηγοὶ τρόπον ἐγγράψουσιν, ἐὰν εἰς συμμο-
ρίαν ἐγγράφωσιν, ἢ ἐὰν τριήραρχον καθιστῶσιν, ἢ ἂν στρατεία τις ᾖ; τῷ δῆλον ἔσται,
λειτουργίαν. πότερος ἔσθ' ὁ κατειλεγμένος. τί δὲ ἂν ἄλλη τις ἀρχὴ καθιστῇ λειτουργεῖν, οἷον ἄρ- 11
χων, βασιλεύς, ἀθλοθέται. τί σημεῖον ἔσται, πότερον καθιστᾶσι. προσπαραγράψουσι
νὴ Δία τὸν ἐκ Πλαγγόνος, ἐὰν σὲ ἐγγράφωσιν· ἐὰν δ' ἐμέ, τῆς ἐμῆς μητρὸς τοὔνομα.
καὶ τίς ἤκουσε πώποτε, ἢ κατὰ ποῖον νόμον προσπαραγράφοιτ' ἂν τοῦτο τὸ παράγραμ-
μα, ἢ ἄλλο τι, πλὴν ὁ πατὴρ καὶ ὁ δῆμος; ὧν ὄντων ἀμφοῖν τῶν αὐτῶν, πολλὴ ταραχὴ 12
συμβαίνοι. συμβαίνει. φέρε, εἰ δὲ δὴ κριτὴς καλοῖτο Μαντίθεος Μαντίου Θορίκιος, τί ἂν ποιοῖμεν;
ἢ βαδίζοιμεν ἂν ἄμφω; πῶς γὰρ ἔσται δῆλον, πότερον σὲ κέκληκεν, ἢ ἐμέ, πρὸς Διός;
ἐὰν δ' ἀρχὴν ἥντινοῦν ἡ πόλις κληροῖ, οἷον βουλῆς, θεσμοθέτου, τῶν ἄλλων, τῷ 13
δῆλος ὁ λαχὼν ἡμῶν ἔσται; πλὴν εἰ μὴ σημεῖον, ὥσπερ ἄλλῳ τινὶ τῷ χαλκείῳ προσ-
ὁ μὲν αὐτό έσται. καὶ οὐδὲ τοῦθ' ὁποτέρου ἐστὶν οἱ πολλοὶ γνώσονται. οὐκοῦν σὺ μὲν σεαυτόν·
ἐγὼ δ' ἐμαυτὸν φήσω τὸν εἰληχότα εἶναι. λοιπὸν εἰς τὸ δικαστήριον ἡμᾶς εἰσιέναι. οὐ-
κοῦν ἐφ' ἑκάστῳ τούτων, δικαστήριον ἡμῖν ἡ πόλις καθιεῖ. καὶ τοῦ μὲν κοινοῦ, καὶ ἴσου 14
τοῦ τὸν λαχόντ' ἄρχειν, ἀποστερησόμεθα. ἀλλήλοις δὲ πλυνοῦμεν. καὶ ὁ τῷ λόγῳ
κρατήσας ἄρξει. καὶ πότερ' ἂν βελτίους εἴημεν τῶν ὑπαρχουσῶν δυσκολιῶν ἀπαλ-
λαττόμενοι, ἢ κοινὰς ἔχθρας καὶ βλασφημίας ποιούμενοι; ἃς πᾶσα ἀνάγκη συμ-
βαίνειν ὅταν ἀρχῆς, ἢ τινος ἄλλου πρὸς ἡμᾶς αὐτοὺς ἀμφισβητῶμεν, τί δὲ ἂν ἄρα 15
δεῖ γὰρ ἅπαντ' ἡμᾶς ἐξετάσαι· ἁτέρος ἡμῶν πείσας τὸν ἕτερον ἐὰν λάχῃ, παρα-
κληρώσαι; δοῦναι αὐτῷ τὴν ἀρχήν, οὕτω κληρῶται; τὸ δυοῖν πινακίοιν τὸν ἕνα κληροῦσθαι,
τί ἄλλο ἐστίν; εἶτ' ἐφ' ᾧ θάνατον ζημίαν ὁ νόμος λέγει, τοῦθ' ἡμῖν ἀδεῶς ἐξέσται
πράττειν, πάνυ γε. οὐ γὰρ ἂν αὐτὸ ποιήσαιμεν, οἶδα κἀγώ, τό γε οὖν κατ' ἐμέ, ἀλλ' 16
οὐδ' αἰτίαν τοιαύτης ζημίας ἐνίοις ἔχειν καλόν, ἐξὸν μή. εἶεν· ἀλλὰ ταῦτα μὲν
ἡ πόλις βλάπτεται. ἐγὼ δ' ἰδίᾳ, τί. θεάσασθε ἡλίκα. καὶ σκοπεῖτε, ἄν τι δοκῶ
λέγειν. πολὺ γὰρ χαλεπώτερα ταῦτα ὧν ἀκηκόατ' ἐστίν. ὁρᾶτε μὲν γὰρ ἅ-
παντες αὐτὸν χρώμενον, ἕως μὲν ἔζη, Μενεκλεῖ, καὶ τοῖς περὶ ἐκεῖνον ἀνθρώποις, 17
νῦν δ' ἑτέροις οὐδὲν ἐκείνου βελτίοσι, καὶ τὰ τοιαῦτ' ἐζηλωκότα, καὶ δεινὸν δοκεῖν
εἶναι βουλόμενον. καὶ νὴ Δία ἴσως ἐστίν. ἐὰν οὖν προϊόντος τοῦ χρόνου τῶν αὐτῶν τι
ποιεῖν τούτοις ἐπιχειρῇ, ἔστι δὲ ταῦτα, γραφαί, φάσεις, ἐνδείξεις, ἀπαγωγαί· εἶτ'
ἐπὶ τούτων τινί· πολλὰ γάρ ἐστι τἀνθρώπινα, καὶ τοὺς πάνυ δεινοὺς ἑκάστοτε, ὅτι



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πλεονάζωσιν, ἐπίστασθ' ὑμεῖς κοσμίους ποιεῖν, ἐὰν ὄφλῃ τῷ δημοσίῳ, τί μᾶλλον
ἔσθ' ἐγγεγραμμένος ἔσται ἐμοῦ; ὅτι νὴ Δία εἴσονται πάντες πότερός ποτε ὦφλεν.
19 καλῶς. ἐὰν δὲ, ὃ τυχὸν γένοιτ' ἂν, χρόνος διέλθῃ, καὶ μὴ ἐκπαθῇ τὸ ὄφλημα, τί
μᾶλλον οἱ τούτου παῖδες ἔσονται τῶν ἐμῶν ἐγγεγραμμένοι, ὅταν τοὔνομα καὶ ὁ πα-
τὴρ καὶ ἡ φυλὴ καὶ πάντα ᾖ ταὐτά; τί δ' εἴ τις δίκην ἐξούλης αὐτῷ λαχὼν, μη-
δὲν ἐμοὶ φαίη πρὸς αὐτὸν εἶναι, κυρίαν δὲ ποιησάμενος ἐγγεγράφθαι, τί μᾶλλον ἐγγεγράφθαι
20 ἂν εἴη τοῦτον, ἢ ἐμὲ ἐγγεγραφώς; τί δὲ εἴ τινας εἰσφορὰς μὴ θεῖν; τί δ' εἴ τις ἄλλη
περὶ τοὔνομα γίγνοιτο, ἢ λῆξις, ἢ δίκη, ἢ δόξα ὅλως ἀηδής; τίς εἴσεται τῶν πολλῶν
πότερός ποτε οὗτός ἐστι, δυοῖν Μαντιθέοιν ταὐτοῦ πατρὸς ὄντοιν; φέρε δ' εἰ δίκη
ἀστρατείας φεύγοι, χορεύοι δὲ ὅταν στρατεύεσθαι δέῃ; καὶ γὰρ νῦν ὅτε εἰς Ταμύνας
21 παρῆλθον οἱ ἄλλοι, ἐνθάδε τοὺς χόας ἄγων ἀπελείφθη. καὶ τοῖς Διονυσίοις καταμεί-
νας, ἐχόρευεν, ὡς ἅπαντες ἑωρᾶτε οἱ ἐπιδημοῦντες. ἀπελθόντων δ' ἐξ Εὐβοίας
τῶν στρατιωτῶν, λιποταξίου προσεκλήθη. κἀγὼ ταξιαρχῶν τῆς φυλῆς, ἠναγκαζό-
μην κατὰ τοῦ ὀνόματος τοῦ ἐμαυτοῦ πατρόθεν δέχεσθαι τὴν λῆξιν. καὶ εἰ μισθὸς
22 ἐπορίσθη τοῖς δικαστηρίοις, εἰσῆγον ἄν με δῆλον ὅτι. ταῦτα δ' εἰ μὴ σεσημασ-
μένων ἤδη συνέβη τῶν ἐχίνων, καὶ μάρτυρας ὑμῖν παρεχόμην. εἶεν. εἰ δὲ καὶ
ξενίας προσκληθείη, πολλοῖς δὲ προσκρούει, καὶ ὃν ἠναγκάσθη τρόπον ὁ πατὴρ προσκρ
ποιήσασθαι αὐτὸν, οὐ λέληθεν. ὑμεῖς δ' ὅτε μὲν τοῦτον οὐκ ἐποιεῖτο ὁ πατὴρ, τὴν
23 μητέρα ἀληθῆ λέγειν ἡγεῖσθε αὐτοῦ. ἐπειδὰν δ' οὕτω γεγονὼς ᾖ, ὀχληρὸς ᾖ,
πάλιν ὑμῖν ποτε δόξει ἐκεῖνος ἀληθῆ λέγειν. τί δ' εἰ ψευδομαρτυριῶν ἁλῶσε-
σθαι προσδοκῶν, ἐφ' οἷς ἐρανίζει τούτοις τοῖς περὶ αὑτὸν, ἐρήμην ἐάσειε τελε-
σθῆναι τὴν δίκην; ἆρά γε μικρὰν ἡγεῖσθε βλάβην, ὦ ἄνδρες Ἀθηναῖοι, ἐν κοι-
24 νωνίᾳ τὸν ἅπαντα βίον τῆς τούτου δόξης καὶ τῶν ἔργων εἶναι; ὅτι τοίνυν οὐδ' ἃ
διεξελήλυθα ὑμῖν, μάτην φοβοῦμαι, θεωρήσατε. ἔστι γὰρ ἤδη καὶ γραφὰς
τινας, ὦ ἄνδρες Ἀθηναῖοι, πέφευγεν, ἐφ' αἷς οὐδὲν αἴτιος ὢν, ἐγὼ συνδιαβάλλο-
μαι. καὶ τῆς ἀρχῆς ἠμφισβήτει, ἣν ὑμεῖς με ἐπεχειροτονήσατε. καὶ πολλὰ καὶ δυ-
25 σχερῆ διὰ τὸ ὄνομα συμβέβηκεν ἡμῖν, ὧν ἵν' εἰδῆτε, ἑκάστων μάρτυρας ὑμῖν πα-
ρέξομαι.

Μάρτυρες.

Ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ συμβαίνοντα, καὶ τὴν ἀηδίαν τὴν ἐκ τοῦ πρά-
γματος θεωρεῖτε. εἰ τοίνυν μηδὲν ἀηδὲς ἦν ἐκ τούτων, μηδ' ὅλως ἀδύνατον ταυτὶ
26 ἔχειν ὄνομα ἡμῖν συνέβαινεν, οὐδήπου τοῦτον μὲν δίκαιον τὸ μέρος τῶν ἐμῶν χρημάτων
ἔχειν κατὰ τὴν ποίησιν, ἣν ὁ πατὴρ αὐτὸν ἀναγκασθεὶς ἐποιήσατο· ἐμὲ δ' ἀφαιρε-
θῆναι τοὔνομα, ὃ βουλόμενος, καὶ οὐδ' ὑφ' ἑνὸς βιασθεὶς ἔθετο· οὐκ ἔγωγε ἡγοῦμαι.
ἵνα τοίνυν εἰδῆτε, ὅτι οὐ μόνον εἰς τοὺς φράτορας οὕτως, ὡς μεμαρτύρηται, ὁ πατὴρ
27 τὴν ἐγγραφὴν ἐποιήσατο, ἀλλὰ καὶ τὴν δεκάτην ἐμοὶ ποιῶν τοὔνομα τοῦτ' ἔθε-
το, λαβέ μοι καὶ ταύτην τὴν μαρτυρίαν.

Μαρτυρία.

28 Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι ἐγὼ μὲν ἦν ἐπὶ τοῦ ὀνόματος τούτου πάντα
τὸν χρόνον. τουτονὶ δὲ Βοιωτὸν εἰς τοὺς φράτορας ἡνίκα ἠναγκάσθη, ἐνέγραψεν ὁ
πατήρ; ἡδέως τοίνυν ἐροίμην ἂν αὐτὸν, ἐναντίον ὑμῶν, εἰ μὴ ἐτελεύτησεν ὁ πα-
τὴρ, τί ἂν ἐποίεις πρὸς τοὺς δημότας; οὐκ ἂν εἴας σεαυτὸν ἐγγράφειν Βοιωτόν; ἀλλ' οὐ γὰρ
29 ἄτοπον δίκην μὲν λαγχάνειν τούτου, κωλύειν δὲ πάλιν. καὶ μὴν εἴγ' εἴας αὐτὸν,
ἐνέγραψεν

ἐνέγραψεν ἄν σε εἰς τοὺς δημότας, ὥσπερ εἰς τοὺς φράτερας. οὐκοῦν δεινόν, ὦ γῆ καὶ
θεοί, φάσκειν μὲν ἐκείνου αὑτοῦ πατέρα εἶναι, τολμᾶν δ᾽ ἄκυρα ποιεῖν, ἃ ἐκεῖνος ἔ-
πραξε ζῶν. ἐτόλμα τοίνυν πρὸς τῷ διαιτητῇ πρᾶγμα ἀναιδέστατον λέγειν,
ὡς ὁ πατὴρ αὐτοῦ δεκάτην ἐποίησεν, ὥσπερ ἐμοῦ, καὶ τοὔνομα τοῦτο ἔθετο αὐτῷ, καὶ 30
μάρτυράς τινας παρείχετο, οἷς οὐδὲ πώποτε ὁ πατὴρ ὤφθη χρώμενος. ἐγὼ δ᾽ οὐ-
*οἶμαι. δένα ὑμῶν ἀγνοεῖν* οἴομαι, ὅτι οὔτ᾽ ἂν ἐποίησε δεκάτην οὐδεὶς παιδίου μὴ νομίζων
αὑτοῦ δικαίως εἶναι, οὔτε ποιήσας καὶ στέρξας, ὡς ἂν ὑόν τις στέρξαι, πάλιν ἔξαρνος ἐτόλ-
μησε γενέσθαι. οὐδὲ γὰρ εἴ τι τῇ μητρὶ πρὸς ὀργὴν ἦλθε τῇ τούτων, τούτους γ᾽ ἂν
*πολλοί. ἐμίσει, νομίζων ἑαυτοῦ εἶναι.* πολὺ γὰρ μᾶλλον εἰώθασιν ὧν ἂν αὐτοῖς διενεχθῶσιν ἀνὴρ 31
καὶ γυνή, διὰ τοὺς παῖδας διαλλάττεσθαι, ἢ δι᾽ ἃ ἂν ἀδικηθῶσιν ὑφ᾽ αὑτῶν, τοὺς
κοινοὺς παῖδας προσμισεῖν. οὐ τοίνυν ἐκ τούτων ἐστὶν ἰδεῖν μόνον, ὅτι ψεύδεται ταῦτ᾽
ἂν λέγῃ, ἀλλὰ πρὶν ἡμέτερος φάσκειν συγγενὴς εἶναι, εἰς Ἱπποθωντίδα ἐφοίτα φυ-
λήν, εἰς παῖδας χορεύσων. καίτοι τίς ἂν ὑμῶν οἴεται τὴν μητέρα πέμψαι τοῦτον 32
εἰς ταύτην τὴν φυλήν, δεινὰ μέν, ὥς φησιν, ὑπὸ τοῦ πατρὸς πεπονθυῖαν, δεκάτην
δ᾽ εἰδυῖαν πεποιηκότα ἐκεῖνον, καὶ πάλιν ἔξαρνον ὄντα; ἐγὼ μὲν οὐδὲν ἂν οἶμαι. εἰς γὰρ
τὴν Ἀκαμαντίδα ὁμοίως ἐξῆν σοι φοιτᾶν. καὶ ἐφαίνετ᾽ ἂν οὖσα ἀκόλουθος ἡ φυ-
λὴ τῇ θέσει τοῦ ὀνόματος. ὡς τοίνυν ταῦτ᾽ ἀληθῆ λέγω τούτων, μάρτυρας ὑμῖν τοὺς 33
συμφοιτῶντας, καὶ τοὺς εἰδότας παρέξομαι. Μάρτυρες.

Οὕτω τοίνυν φανερῶς παρὰ τὸν τῆς αὐτοῦ μητρὸς ὅρκον, καὶ τὴν τοῦ δόντος ἐκεί-
*τῆς πολιτείας τετυχ. γ. τῆς πόλεως πτ. νῃ τὸν ὅρκον βούλησιν πατρός,* τετυχηκώς, ἀντὶ Ἱπποθωντίδος, ἐν Ἀκαμαντίδι φυλῇ
γεγονώς, οὐκ ἀγαπᾷ Βοιωτὸς τουτοισίν, ἀλλὰ καὶ δίκας ἐμοὶ δύ᾽ ἢ τρεῖς εἴληχεν ἀρ- 34
γυρείου, πρὸς αἷς καὶ πρότερόν με ἐσυκοφάντει. καίτοι πάντας οἶμαι τοῦθ᾽ ὑμᾶς
*πῶς ἦν. εἰδέναι, τίς ἦν* χρηματιστὴς ὁ πατήρ. ἐγὼ δ᾽ ἐάσω ταῦτα. ἀλλ᾽ εἰ δίκαια ὀμώμο-
κεν ἡ μήτηρ ἡ τούτων, ἐπ᾽ αὐτοφώρῳ συκοφαντίαν ἐπιδείκνυμι τοῦτον ταῖς δίκαις
ταύταις. εἰ γὰρ οὕτω δαπανηρὸς ἦν, ὥστε γάμῳ γεγαμηκὼς τὴν ἐμὴν μητέρα, 35
ἑτέραν εἶχε γυναῖκα, ἧς ὑμεῖς ἐστέ, καὶ δύ᾽ οἰκίας ᾤκει, πῶς ἂν ἀργύριον τοιοῦτος ὢν
κατέλιπεν; οὐκ ἀγνοῶ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι Βοιωτὸς οὑτοσὶ δίκαιον μὲν οὐ-
δὲν ἕξει λέγειν· ἥξει δ᾽ ἐπὶ ταῦθ᾽, ἅπερ ἀεὶ λέγει, ὡς ἐπηρεάζων ὁ πατὴρ αὐτῷ, πει-
θόμενος ὑπ᾽ ἐμοῦ. ἀξιοῖ δ᾽ αὐτός, ὡς δὴ πρεσβύτερος ὤν, τοὔνομ᾽ ἔχειν τὸ τοῦ πρὸς 36
πατρὸς πάππου. πρὸς δὴ ταῦτα ἀκοῦσαι βέλτιον ὑμᾶς βραχέα. ἐγὼ γὰρ οἶδα
τοῦτον, ὅτε οὔπω συγγενὴς ἦν ἐμοί, ὁρῶν ὥσπερ ἂν ἄλλον τινά, οὑτωσὶ νεώτερον ὄν-
τα ἐμοῦ, καὶ συχνῷ, ὅσα ἐξ ὄψεως, οὐ μὴν ἰσχυρίζομαι τούτῳ· καὶ γὰρ εὔηθες. ἀλλ᾽
εἴ τις ἔροιτο Βοιωτὸν τουτονὶ ὅτε ἐν Ἱπποθωντίδι φυλῇ ἠξίου χορεύειν, οὔπω τοῦ πα- 37
*τί ταὐτὸν ἐμοὶ δικαίως ἂν θείης ὄνομα; τρὸς εἶναι* φάσκων τοῦ ἐμοῦ ὑός, τί ταὐτὸν ἔχει δικαίως ἂν θείης ὄνομα; εἰ γὰρ
μαντίθεον, οὐκ ἂν διά γε τοῦτό γε φαίης ὅτι πρεσβύτερος εἶ ἐμοῦ. ὃς γὰρ οὐδὲ
τῆς φυλῆς τότε σοι προσήκειν ἡγοῦ τῆς ἐμῆς, πῶς ἂν τοῦ γε πάππου τοῦ ἐμοῦ
*χρόνον. ἠμφισβήτεις; ἔτι δ᾽, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν μὲν τῶν ἐτῶν ἀριθμὸν* οὐδεὶς οἶδεν 38
ὑμῶν. ἐγὼ μὲν γὰρ ἐμοὶ πλείονα, οὗτος δ᾽ ἑαυτῷ φήσει. τὸν δὲ τοῦ δικαίου λό-
γον ἅπαντες ἐπίστασθε. ἔστι δ᾽ οὗτος τίς; ἀφ᾽ οὗ παῖδας ἐποιήσατο πατήρ, τούτους
ἀπὸ τούτου καὶ νομίζεσθαι. πρότερον τοίνυν ἐμὲ εἰς τοὺς δημότας ἐνέγραψε
μαντίθεον πρὶν εἰσαγαγεῖν τοῦτον εἰς τοὺς φράτερας. ὥστ᾽ οὐ τῷ χρόνῳ μόνον, ἀλ- 39
λὰ καὶ τῷ δικαίῳ πρεσβεῖον ἔχοιμ᾽ ἂν ἐγὼ τοὔνομα τοῦτο εἰκότως. εἶεν. εἰ δέ τις ἔροι-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γὰρ τις· εἰπέ μοι Βοιωτὲ, πόθεν νῦν ἐν Ἀκαμαντίδι φυλῇ γέγονας, καὶ τὸν δῆμον Θο- ἀκαμαντίδος φυλῆς.
ρίκιος, καὶ υἱὸς Μαντίου, καὶ τὸ μέρος τῶν ἀπ' ἐκείνου καταλειφθέντων ἔχεις. οὐδὲν
40 ἂν ἄλλο ἔχοις εἰπεῖν, πλὴν ὅτι καὶ ἐμὲ ζῶν ἐποιήσατο Μαντίας. τί τεκμήριον, εἴ τις
σε ἔροιτο, ἢ μαρτύριόν ἐστι σοι τούτου; εἰς τοὺς φράτερας με εἰσήγαγε, φήσειας ἄν. τί
οὖν σε ἐνέγραψεν ὄνομα, εἴ τις ἔροιτο; Βοιωτὸν ἂν εἴποις. τοῦτο γὰρ εἰσήχθης. οὐκοῦν
δεινὸν εἰ τῆς μὲν πόλεως καὶ τῶν ἀπ' ἐκείνου καταλειφθέντων διὰ τοὔνομα τοῦτο
41 μέτεστί σοι, τοῦτο δ' ἀξιοῖς ἀφεὶς ἕτερον μεταθέσθαι σαυτῷ. φέρ', εἴ σε ὁ πατὴρ
ἀξιώσειεν ἀναστὰς, ἢ μένειν ἐφ' οὗ σε αὐτὸς ἐποιήσατο ὀνόματος, ἢ πατέρ' ἄλλον σαυ-
τοῦ φάσκειν εἶναι, ἆρ' οὐκ ἂν μέτρια ἀξιοῦν δοκοίη; ταυτὶ τοίνυν ταῦτα ἐγώ σε
ἀξιῶ ἢ πατρὸς ἄλλου σαυτὸν παραγράφειν, ἢ τοὔνομα ἔχειν, ὃ ἐκεῖνος ἔδωκέ σοι. νὴ
42 Δί', ἀλλ' ὕβρει καὶ ἐπηρείᾳ τινὶ τοῦτο ἐτέθη σοι. ἀλλὰ πολλάκις μὲν ὅτε οὐκ ἐποιεῖτο
ὁ πατὴρ τούτους, ἔλεγον οὗτοι, ὡς οὐδὲν χείρους εἰσὶν οἱ τῆς μητρὸς τῆς τούτου συγγε-
νεῖς, τῶν τοῦ πατρὸς τοῦ ἐμοῦ. ἔστι δ' ὁ Βοιωτὸς, ἀδελφοῦ τῆς τούτου μητρὸς ὄνομα.
ἐπειδὴ δ' εἰσάγειν ὁ πατὴρ τούτους ἠναγκάζετο, ἐμοῦ προεισηγμένου Μαντιθέου, οὕ-
43 τω τοῦτον εἰσάγει Βοιωτὸν· τὸν ἀδελφὸν δ' αὐτοῦ Πάμφιλον. ἐπεὶ σὺ δεῖξον ὅστις Ἀ-
θηναίων ταὐτὸν ὄνομα τοῖς αὐτοῦ παισὶν ἔθετο δυοῖν, κἂν δείξῃς, ἐγὼ συγχωρήσω δι'
ἐπήρειαν σοι τοῦτο τοὔνομα θέσθαι τὸν πατέρα. καίτοι εἴγε τοιοῦτος ἦσθα, ὥστε ποιή-
σασθαι μὲν σαυτὸν ἀναγκάσαι, ἐξ ὅτου δ' ἀρέσαις ἐκείνῳ τρόπου, μὴ σκοπεῖν, οὐκ
24 οἶδα οἷ δεῖ τὸν προσήκοντα εἶναι περὶ τοὺς γονέας. οὐκ ὢν δὲ, οὐκ ἐπηρεάζου δι-
καίως ἄν, ἀλλ' ἀπολώλεις. ἢ δεινόν γ' ἂν εἴη, εἰ κατὰ μὲν τῶν ὑπὸ τοῦ πατρὸς αὐτοῦ
νομιζομένων παίδων, οἱ περὶ τῶν γονέων ἰσχύουσι νόμοι. κατὰ δὲ τῶν αὐτοὺς εἰσβιαζο-
μένων ἄκοντας πείθεσθαι, ἄκυροι γενήσονται. ἀλλ', ὦ χαλεπώτατε Βοιωτὲ, μάλιστα
45 μὲν ὧν πράττεις, πάντων παῦσαι. εἰ δ' ἄρα μὴ βούλει, ἐκεῖνό γε πρὸς Διὸς πεί-
θου. παῦσαι μὲν σαυτῷ παρέχων πράγματα. παῦσαι δ' ἐμὲ συκοφαντῶν. ἀγά-
πα δ' ὅτι σοι πόλις, οὐσία, πατὴρ γέγονεν. οὐδεὶς ἀπελαύνει σε ἀπὸ τούτων. οὐκοῦν
ἔγωγε. ἀλλ' ἐὰν μὲν, ὥσπερ εἶναι φὴς ἀδελφὸς, καὶ τὰ ἔργα ἀδελφοῦ ποιῇς, δόξεις
45 εἶναι συγγενής. ἐὰν δ' ἐπιβουλεύῃς, δικάζῃ, φθονῇς, βλασφημῇς, δόξεις εἰς ἀλλότρια
ἐμπεσὼν, ὡς οὐ προσήκουσιν, οὕτω χρῆσθαι. ἐπεὶ ἔγωγε οὐδ' εἰ τὰ μάλιστα ὁ πα-
τὴρ ὄντα σε αὐτοῦ, μὴ ἐποιεῖτο, οὐκ ἀδικῶ. οὐ γὰρ ἔμοιγε προσῆκεν εἰδέναι τίνες εἰσὶν
υἱεῖς ἐκείνου· ἀλλ' ἐκείνῳ δεῖξαι τίνας μοι νομιστέον ἐστ' ἀδελφούς. ὃν μὲν τοίνυν οὐκ
17 ἐποιεῖτο σε χρόνον, οὐδ' ἐγὼ προσήκειν σοι ἡγούμην. ἐπειδὴ δ' ἐποιήσατο, κἀγὼ νομί-
ζω. τί τούτου σημεῖον; τῶν πατρῴων ἔχεις τὸ μέρος μετὰ τὴν τοῦ πατρὸς τελευτήν.
ἱερῶν, ὁσίων μετέχεις. ἀπάγει σε οὐδεὶς ἀπὸ τούτων. τί βούλει; ἂν δ' οὖν φῇ δεινὰ πάσχειν,
καὶ κλαίῃ καὶ ὀδύρηται καὶ κατηγορῇ ἐμοῦ, ἃ μὲν ἂν λέγῃ, μὴ πιστεύετε. οὐ γὰρ δί- δί.
8 καιον, μὴ περὶ τούτων ὄντος τοῦ λόγου τοῦ νυνί· ἐκεῖνο δ' ὑπολαμβάνετε, ὅτι οὐδὲν
ἐστ' αὐτῷ ἧττον δίκην λαμβάνειν Βοιωτῷ κληθέντι. τί οὖν φιλονεικεῖς; μηδαμῶς. μὴ
ἔχε οὕτω πρὸς ἡμᾶς ἐθελέχθρως. οὐδὲ γὰρ ἔγωγε πρὸς σέ. ἐπεὶ καὶ νῦν, ἵνα μηδὲ
τοῦτο λάθῃ σε, ὑπὲρ σοῦ λέγειν μᾶλλον ἀξιῶ μὴ ταὐτὸν ἔχειν ὄνομα ἡμᾶς, ἢ ἐμαυ-
9 τοῦ. εἰ γὰρ μηδὲν ἄλλο, ἀνάγκη τὸν ἀκούσαντα ἐρέσθαι, πότερον, δύ' ἂν ὦσι Μαντίθεοι,
Μαντίου. οὐκοῦν ὃν ἠναγκάσθη ποιήσασθαι, σὲ ἐὰν λέγῃ, ἐρεῖ. τί οὖν ἐπιθυμεῖς τού-
των; Ἀνάγνωθι δέ μοι λαβὼν δύο ταυτασὶ μαρτυρίας, ὡς ἐμοὶ Μαντίθεον, καὶ τού-
τῳ Βοιωτὸν ὁ πατὴρ ὄνομα ἔθετο.

Μαρ-

Μαρτυρίαι. 50

Λοιπὸν ἡγοῦμαι τοῦθ' ὑμῖν ἐπιδεῖξαι, ὦ ἄνδρες δικασταί, ὡς οὐ μόνον εὐορκή-
σετε, ἂν ἃ ἐγὼ λέγω ψηφίσησθε, ἀλλὰ καὶ ὡς οὗτος αὐτοῦ κατέγνω Βοιωτὸν, ἀλλ' οὐ
Μαντίθεον ὄνομα δικαίως ἂν ἔχειν. λαχόντος γὰρ ἐμοῦ τὴν δίκην ταύτην Βοιωτῷ
Μαντιθέου Θορικίῳ, ἐξ ἀρχῆς τ' ἠντιδίκει, καὶ ὑπώμνυτο, ὡς ἦν Βοιωτός. καὶ τὸ τελευταῖον 51
ἐπεὶ οὐκέτι ἐνῆν αὐτῷ διακρούεσθαι, ἐρήμην ἐάσας καταδιαιτήσασθαι, πρὸς
θεῶν τί ἐποίησεν. ἀντιλαγχάνει μοι τὴν μὴ οὖσαν, ὁ προστείνων ἑαυτὸν Βοιωτὸν προσ-
αγορεύσας. καίτοι ἐξ ἀρχῆς ἔδει αὐτὸν ἐᾶν τελέσασθαι τὴν δίκην κατὰ Βοιωτοῦ, εἴ-
περ μηδὲν προσῆκεν αὐτῷ τοῦ ὀνόματος, ὕστερόν τε μὴ αὐτὸν φαίνεσθαι ἐπὶ τῷ 52
ὀνόματι τούτῳ ἀντιλαγχάνοντα τὴν μὴ οὖσαν. ὃς οὖν αὐτὸς αὑτοῦ κατέγνω δι-
καίως εἶναι Βοιωτὸς, τί ὑμᾶς ἀξιώσει τοὺς ὀμωμοκότας ψηφίζεσθαι. ὡς δὲ ταῦτ' ἀλη-
θῆ λέγω, λάβε μοι τὴν ἀντίληξιν, καὶ τὸ ἔγκλημα τουτί.

αὐτοῖς. — καταδιαιτῆσαι, σκέψασθε πρὸς θ.

Ἀντίληξις. Ἔγκλημα. 53

Εἰ μὲν τοίνυν οὗτος ἔχει δεῖξαι νόμον, ὃς ποιεῖ κυρίους εἶναι τοὺς παῖδας τοῦ ἑαυ-
τῶν ὀνόματος, ἃ λέγει νῦν οὗτος, ὀρθῶς ἂν ψηφίζοισθε. εἰ δ' ὁ μὲν νόμος, ὃν πάντες
ἐπίστασθε ὁμοίως ἐμοὶ, τοὺς γονέας ποιεῖ κυρίους οὐ μόνον θέσθαι τοὔνομα ἐξ ἀρχῆς,
ἀλλὰ καὶ πάλιν ἐξαλεῖψαι, ἐὰν βούλωνται, καὶ ἀποκηρύξαι. ἐπέδειξα δ' ἐγὼ τὸν 54
πατέρα, ὃς κύριος ἦν ἐκ τοῦ νόμου, τούτῳ μὲν Βοιωτὸν, ἐμοὶ δὲ Μαντίθεον θέμενον,
πῶς ὑμῖν ἐστὶν ἄλλο τι πλὴν ἃ ἐγὼ λέγω, ψηφίσασθαι; ἀλλὰ μὴν ὧν γ' ἂν μὴ
νόμοι, ἀλλὰ γνώμῃ τῇ δικαιοτάτῃ δικάσειν ὀμωμόκατε. ὥστ' εἰ μηδεὶς ἦν περὶ
τούτων κείμενος νόμος, καὶ οὕτω δικαίως πρὸς ἐμοῦ τὴν ψῆφον ἔθεσθε. τίς γάρ 55
ἐστιν ὑμῶν, ὅστις ταὐτὸν ὄνομα τοῖς αὑτοῦ παισὶ τέθειται δυοῖν οὖσι; τίς δ' ᾧ μή πω
παῖδές εἰσι θήσεται; οὐδεὶς δήπου. οὐκοῦν ὃ δίκαιοι τῇ γνώμῃ τοῖς ὑμετέροις αὐτῶν
παισὶν ὑπειλήφατε, τοῦτο καὶ περὶ ἡμῶν εὐσεβὲς γνῶναι. ὥστε καὶ κατὰ τὴν δικαιο-
τάτην γνώμην, καὶ κατὰ τοὺς νόμους, καὶ κατὰ τοὺς ὅρκους, καὶ κατὰ τὴν τούτου προσο- 56
μολογίαν, ἐγὼ μὲν μέτρια ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, δέομαι, καὶ δίκαια ἀξιῶ· οὗτος
δ' οὐ μόνον οὐ μέτρια, ἀλλ' οὐδ' εἰωθότα γίγνεσθαι.

ἀλλὰ καὶ πάλιν ἐξαλεῖψαι βούλωνται. — αἱ μὴ ὦσι νόμοι, γνώμῃ τῇ — τὴν παρὰ τούτου ὁμολογίαν.

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΒΟΙΩΤΟΝ,

ὑπὲρ προικὸς μητρῴας λόγου.

ΚΑΙ οὗτος περὶ τῶν αὐτῶν καὶ πρὸς τὸν αὐτὸν ὁ λόγος εἴρηται. καὶ τὰ μὲν ἄλλα πάντα ταὐτά, ἡ Πλαγγών, ὁ ὅρκος, ἡ τῶν παίδων ἀναγκαία ποίησις. ἀποθανόντος δὲ τοῦ Μαντίου, οἱ παῖδες ὄντες τρεῖς, Μαντίθεος ὁ ἐκ τῆς νόμῳ γαμηθείσης, καὶ Βοιωτὸς, καὶ Πάμφιλος ὁ ἐκ τῆς Πλαγγόνος, ἐνέμοντο τὴν οὐσίαν. φάσκοντος δὲ τοῦ Μαντιθέου προῖκα ἑαυτῷ μητρῴαν ὀφείλεσθαι, Βοιωτὸς καὶ Πάμφιλος, καὶ αὐτοὶ προῖκας ἠμφισβήτουν, ὡς καὶ τῆς Πλαγγόνος εἰσενεγκαμένης εἰς τὸν οἶκον τοῦ Μαντίου μνᾶς ἑκατόν. συνέδοξεν οὖν αὐτοῖς νείμασθαι πάντα ἐπίσης, πλὴν τῆς οἰκίας· ἵν' ὁποτέρῳ ἂν ἡ μήτηρ φανῇ προῖκα εἰσενεγκαμένη, τούτοις ἀπὸ τῆς οἰκίας ἀποδοθῇ τὸ ἀργύριον· καὶ πλὴν τῶν ἀνδραπόδων, ὅπως οἱ περὶ τὸν Βοιωτὸν ἐὰν ἐπιζητῶσί τι τῶν ἔνδον, ἔχωσιν ἔλεγχον. μετὰ ταῦτα ἀντενεκάλεσαν ἀλλήλοις ὁ μὲν Μαντίθεος, ὑπὲρ τῆς μητρῴας οὐσίας· ἐκεῖνοι δὲ ὑπὲρ ἄλλων τινῶν. καὶ ὁ διαιτητὴς, Μαντιθέου μὲν ἀπεδιαίτησε· Βοιωτοῦ δὲ κατεδιαίτησεν ἐρήμην. λαγχάνει δὲ Μαντίθεος καὶ εἰς τὸ δικαστήριον, αὐτῷ τὴν αὐτὴν δίκην ἀπαιτῶν τὴν προῖκα.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΔΗΜΟΣΘΕΝΟΥΣ Ο ΠΡΟΣ ΒΟΙΩ-
## ΤΟΝ ΥΠΕΡ ΠΡΟΙΚΟΣ ΜΗΤΡΩΑΣ ΛΟΓΟΣ.

1 ΠΑΝΤΩΝ ἐστὶν ἀνιαρώτατον, ὦ ἄνδρες δικασταί, ὅταν τις
ὀνόματι μὲν ἀδελφὸς προσαγορευθῇ τινῶν, τῷ δ' ἔργῳ ἐ-
χθροὺς ἔχῃ τούτους, καὶ ἀναγκάζηται πολλὰ καὶ δεινὰ παθὼν
ὑπ' αὐτῶν, εἰσιέναι εἰς δικαστήριον, ὅπερ νῦν ἐμοὶ συμβέβηκεν. οὐ
2 γὰρ μόνον ἀτύχημά μοι ἐξ ἀρχῆς ἐγένετο, διότι πλαγγὼν ἡ τού-
των μήτηρ ἐξαπατήσασα τὸν πατέρα μου, καὶ ἐπιορκήσασα φανερῶς, ἠνάγκα-
σεν αὐτὸν ὑπομεῖναι τούτους ποιήσασθαι, καὶ διὰ τοῦτο τὰ δύο μέρη τῶν πατρῴων
ἀπεστερήθην· ἀλλὰ πρὸς τούτοις ἐξελήλαμαι μὲν ἐκ τῆς πατρῴας οἰκίας ὑπὸ
3 τούτων, ἐν ᾗ καὶ ἐγενόμην καὶ ἐτράφην, καὶ εἰς ἣν οὐχ ὁ πατὴρ αὐτούς, ἀλλ' ἐγὼ τε-
λευτήσαντος ἐκείνου προσεδεξάμην· ἀποστεροῦμαι δὲ τὴν προῖκα τῆς ἐμαυτοῦ
μητρὸς, περὶ ἧς νυνὶ δικάζομαι· αὐτὸς μὲν τούτοις δίκας ὑπὲρ ὧν ἐνεκάλουν μοι
πάντων δεδωκὼς, πλὴν εἴ τινα νῦν ἕνεκα τῆς δίκης ταύτης ἀντειλήχασί μοι συ-
4 κοφαντοῦντες, ὡς καὶ ὑμῖν ἔσται καταφανές. ὑπὸ δὲ τούτων ἐν ἕνδεκα ἔτεσιν οὐ
δυνάμενος τυχεῖν τῶν μετρίων, ἀλλὰ νῦν εἰς ὑμᾶς καταπεφευγώς. δέομαι γοῦν
ἁπάντων ὑμῶν, ὦ ἄνδρες δικασταί, μετ' εὐνοίας τέ μου ἀκοῦσαι, οὕτως ὅπως ἂν
δύνωμαι λέγοντος· κἂν ὑμῖν δεινὰ δοκῶ πεπονθέναι, συγγνώμην ἔχειν μοι ζητοῦντι
5 κομίσασθαι τὰ ἐμαυτοῦ, ἄλλως τε, καὶ εἰς θυγατρὸς ἔκδοσιν· συνέβη γάρ μοι δεηθέν-
τος τοῦ πατρὸς ὀκτωκαιδεκάτῃ γήμαι, καὶ διὰ τοῦτό μοι εἶναι θυγατέρα ἤδη ἐπίγα-
μον. ὥστ' ἐμοὶ μὲν δικαίως ἂν ἀδικουμένῳ διὰ πολλὰ βοηθήσαιτε, τούτοις δ' εἰκό-
τως ἂν ὀργίζοισθε· οἵτινες, ὦ γῆ καὶ θεοί, ἐξὸν αὐτοῖς τὰ δίκαια ποιήσασι μὴ εἰσιέναι
6 εἰς τὸ δικαστήριον, οὐκ αἰσχύνονται μὲν ἀναμιμνήσκοντες ὑμᾶς, εἴ τι ἢ ὁ πατὴρ ἀναμιμνήσ-
ἡμῶν μὴ ὀρθῶς διεπράξατο, ἢ οὗτοι εἰς ἐκεῖνον ἥμαρτον, ἀναγκάζουσι δ' ἐμὲ δι- κοντες.
κάζεσθαι αὐτοῖς. ἵνα δ' ἀκριβῶς εἰδῆτε, ὡς ἐγὼ τούτου αἴτιος οὐκ εἰμί, ἀλλ' οὗτοι,
ἐξ ἀρχῆς ὑμῖν ὡς ἂν ἐν βραχυτάτοις δύνωμαι, διηγήσομαι τὰ πραχθέντα. ἡ γὰρ
7 μήτηρ ἡ ἐμή, ὦ ἄνδρες δικασταί, θυγάτηρ μὲν ἦν Πολυαράτου τοῦ Χολαργέως, ἀ-
δελφὴ δὲ Μενεξένου καὶ Βαθύλλου καὶ Περιάνδρου. ἐκδόντος δ' αὐτὴν τοῦ πατρὸς
Κλεομέδοντι τῷ Κλέωνος υἱεῖ, καὶ προῖκα τάλαντον ἐπιδόντος, τὸ μὲν πρῶτον τούτῳ
συνῴκει· γενομένων δ' αὐτῇ τεττάρων μὲν θυγατέρων, υἱοῦ δ' ἑνὸς Κλέωνος, καὶ μετὰ
8 ταῦτα τοῦ ἀνδρὸς αὐτῇ τελευτήσαντος, ἀπολιποῦσα τὸν οἶκον, καὶ κομισαμένη τὴν
προῖκα, πάλιν ἐκδόντων αὐτὴν τῶν ἀδελφῶν Μενεξένου καὶ Βαθύλλου· ὁ γὰρ Περίαν-
δρος ἔτι παῖς ἦν· καὶ τὸ τάλαντον ἐπιδόντων, συνῴκησε τῷ ἐμῷ πατρί. καὶ γίγνομαι
αὐτοῖς ἐγώ τε, καὶ ἄλλος ἀδελφὸς νεώτερος ἐμοῦ, ὃς ἔτι παῖς ὢν, ἐτελεύτησεν. ὡς δ'
9 ἀληθῆ λέγω περὶ τούτων ὑμῖν, πρῶτον τοὺς μάρτυρας παρέξομαι.

Μάρτυρες.

Τὴν μὲν τοίνυν μητέρα τὴν ἐμὴν οὕτως ὁ πατήρ μου γήμας εἶχε γυναῖ-
κα ἐν τῇ οἰκίᾳ τῇ ἑαυτοῦ· ἐμέ τε ἐπαίδευε καὶ ἠγάπα, ὥσπερ καὶ ὑμεῖς ἅπαντες
10 τοὺς ὑμετέρους παῖδας ἀγαπᾶτε. τῇ δὲ τούτων μητρὶ πλαγγόνι ἐπλησίασεν, ὅν τι-
να δή ποτ' οὖν τρόπον· οὐ γὰρ ἐμὸν τοῦτο λέγειν ἐστί. καὶ οὕτως οὐ πάντα γε ἦν ὑπὸ
τῆς ἐπιθυμίας κεκρατημένος, ὥστ' οὐδὲ τῆς ἐμῆς μητρὸς ἀποθανούσης, ἠξίωσεν
αὐτὴν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὔτ' εἰσδέξασθαι, οὐδὲ τούτους, ὡς υἱεῖς εἰσὶν αὐτοῦ, πεισθῆναι·
τὸν μὲν ἄλλον χρόνον οὗτοι διῆγον οὐκ ὄντες τοῦ ἐμοῦ πατρός, ὡς καὶ ὑμῶν οἱ 11
πολλοὶ ἴσασιν. ἐπειδὴ δ' οὗτοσὶ αὐξηθεὶς, καὶ μεθ' ἑαυτοῦ παρασκευασάμενος ἐρ-
γαστήριον συκοφαντῶν, ὧν ἡγεμὼν ἦν Μνησικλῆς καὶ Μενεκλῆς ἐκεῖνος ὁ τὴν Νῖνον
ἑλών, μεθ' ὧν οὗτος ἐδικάζετό μου τῷ πατρί, φάσκων υἱὸς εἶναι ἐκείνου. συνόδων
δὲ γιγνομένων πολλῶν περὶ τούτων, καὶ τοῦ πατρὸς οὐκ ἂν φάσκοντος πεισθῆναι, 12
ὡς οὗτοι γεγόνασιν ἐξ αὐτοῦ, τελευτῶσα ἡ Πλαγγών, ὦ ἄνδρες δικασταί· πάντα γὰρ
εἰρήσεται τἀληθῆ πρὸς ὑμᾶς· μετὰ τοῦ Μενεκλέους ἐνεδρεύσασα τὸν πατέρα μου,
καὶ ἐξαπατήσασα ὅρκῳ, ὃς μέγιστος δοκεῖ καὶ δεινότατος παρὰ πᾶσιν ἀνθρώποις
εἶναι, ὡμολόγησε τριάκοντα μνᾶς λαβοῦσα, τούτους μὲν τοῖς αὑτῆς ἀδελφοῖς εἰς- 13
ποιήσειν υἱεῖς· αὐτὴ δ' ἂν πρὸς τῷ διαιτητῇ προκαλῆται αὐτὴν ὁ πατήρ μου
ὀμόσαι, ἦ μὴν τοὺς παῖδας ἐξ αὐτοῦ γεγονέναι, μὴ δέξασθαι τὴν πρόκλησιν.
τούτων γὰρ γιγνομένων, οὔτε τούτους ἀποστερήσεσθαι τῆς πόλεως, τῷ τε πατρί μου
οὐκέτι δυνήσεσθαι αὐτοὺς πράγματα παρέχειν, τῆς μητρὸς αὐτῶν οὐ προσδεξα- 14
μένης τὸν ὅρκον. συγχωρηθέντων δὲ τούτων, τί ἂν ὑμῖν μακρολογοίην; ὡς γὰρ πρὸς
τὸν διαιτητὴν ἀπήντησε, παραβᾶσα ἅπαντα τὰ ὡμολογημένα ἡ Πλαγγών, δέ-
χεταί τε τὴν πρόκλησιν, καὶ ὄμνυσιν ἐν τῷ Δελφινίῳ ἄλλον ὅρκον ἐναντίον τῷ
προτέρῳ, ὡς καὶ ὑμῶν οἱ πολλοὶ ἴσασι. περιβόητος γὰρ πρᾶξις ἐγένετο. καὶ οὕτως 15
ὁ πατήρ μου διὰ τὴν αὐτοῦ πρόκλησιν ἀναγκασθεὶς ἐμμεῖναι τῇ διαίτῃ, ἐπὶ μὲν
τοῖς γεγενημένοις ἠγανάκτει καὶ βαρέως ἔφερε, καὶ εἰς τὴν οἰκίαν οὐδ' ὣς εἰσδέ-
ξασθαι τούτους ἠξίωσεν. εἰς δὲ τοὺς φράτορας ἠναγκάσθη εἰσαγαγεῖν. καὶ τοῦτον μὲν
ἐγγράφει Βοιωτόν, τὸν δ' ἕτερον, Πάμφιλον· ἐμὲ δ' εὐθὺς ἔπεισε περὶ ὀκτωκαίδεκα 16
ἔτη γεγενημένον τὴν Εὐφήμου θυγατέρα γῆμαι, βουλόμενος παῖδας ἐξ ἐμοῦ γε-
νομένους ἐπιδεῖν. ἐγὼ δ', ὦ ἄνδρες δικασταί, νομίζων δεῖν καὶ πρότερον καὶ ἐπεὶ
οὗτοι λυποῦσιν αὐτὸν δικαζόμενοι καὶ πράγματα παρέχοντες, ἐμὲ τοὐναντίον εὐ-
φραίνειν ἅπαντα ποιοῦνθ' ὅσα ἐκείνῳ χαριεῖσθαι μέλλοιμι, ἐπείσθην αὐτῷ. γήμαν- 17
τος δέ μου τὸν τρόπον τοῦτον, ἐκεῖνος μὲν τὸ θυγάτριόν μου ἐπιδὼν γενόμενον, οὐ
πολλοῖς ἔτεσιν ὕστερον ἀρρωστήσας ἐτελεύτησεν. ἐγὼ δ', ὦ ἄνδρες δικασταί, ζῶν-
τος μὲν τοῦ πατρὸς οὐκ ᾤμην δεῖν ἐναντιοῦσθαι αὐτῷ· τελευτήσαντος δ' ἐκεί-
νου, εἰσεδεξάμην τε τούτους εἰς τὴν οἰκίαν, καὶ τῶν ὄντων ἁπάντων μετέδωκα, οὐχ 18
ὡς ἀδελφοῖς οὖσιν· οὐδὲ γὰρ ὑμῶν τοὺς πολλοὺς λελήθασιν ὃν τρόπον οὗτοι γεγό-
νασιν· νομίζων δ' ἀναγκαῖον εἶναί μοι, ἐπειδὴ ὁ πατὴρ ἐξηπατήθη, πείθεσθαι τοῖς νό-
μοις τοῖς ὑμετέροις. καὶ οὕτως ὑπ' ἐμοῦ εἰς τὴν οἰκίαν εἰσδεχθέντες, ὡς ἐνεμό-
μεθα τὰ πατρῷα, ἀξιοῦντος ἐμοῦ ἀπολαβεῖν τὴν τῆς μητρὸς μου προῖκα, ἀν- 19
τενεκάλουν καὶ οὗτοι, καὶ ἔφασαν ὀφείλεσθαι καὶ τῇ αὑτῶν μητρὶ τὴν ἴσην προῖ-
κα. συμβουλευσάντων δ' ἡμῖν τῶν παρόντων, τὰ μὲν ἄλλα πάντα ἐνειμάμεθα,
τὴν δ' οἰκίαν καὶ τοὺς παῖδας τοὺς διακόνους τοῦ πατρὸς, ἐξαιρέτους ἐποιησάμε-
* ποιώμ. θα, ἵν' ἐκ μὲν τῆς οἰκίας ὁποτέροις ἂν ἡμῶν φαίνηται ὀφειλομένη ἡ προΐξ, οὗ-
τοι αὐτὴν κομίσωνται· ἐκ δὲ τῶν παίδων κοινῶν ὄντων, ἐάν τι τῶν πατρῴων 20
ἐπιζητῶσι, πυνθάνωνται, καὶ βασανίζοντες αὐτούς, καὶ ἄλλῳ ἂν ὅτῳ τρόπῳ βούλων-
ται ζητεῖν. ὅτι δὲ ταῦτ' ἀληθῆ λέγω, ἐκ τουτωνὶ τῶν μαρτυριῶν εἴσεσθε.

Μαρτυρίαι.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

21 Μετὰ ταῦτα τοίνυν οὗτοί τ' ἐμοὶ δίκας ἔλαχον ὑπὲρ ὧν ἐνεκάλουν, κἀγὼ
τούτοις ὑπὲρ τῆς προικός. καὶ τὸ μὲν πρῶτον διαγραψάμενοι Σόλωνα ἐρχιέα
διαιτητὴν, τούτῳ ἐπιτρεψάμενοι δικάσασθαι περὶ ὧν ἐνεκαλοῦμεν ἀλλήλοις. ὡς
δ' οὐκ ἀπήντων οὗτοι, ἀλλ' ἐφυγοδίκουν, καὶ χρόνος διετρίβετο συχνός, τῷ μὲν
22 Σόλωνι συνέβη τελευτῆσαι τὸν βίον. οὗτοι δὲ πάλιν ἐξ ὑπαρχῆς λαγχάνουσί μοι τὰς
δίκας· καὶ ἐγὼ τούτῳ, προσκαλεσάμενος αὐτὸν, καὶ ἐπιγραψάμενος ἐπὶ τὸ ἔγ-
κλημα Βοιωτόν· τοῦτο γὰρ αὐτῷ ὁ πατὴρ ἔθετο τοὔνομα. περὶ μὲν οὖν ὧν οὗτοί με
ἐδικάζοντο, παρόντος τούτου καὶ ἀντιδικοῦντος, καὶ οὐκ ἔχοντος ἐπιδεῖξαι οὐδὲν ὧν
23 ἐνεκάλουν, ἀπεδιῄτησέ μοι ὁ διαιτητής. καὶ οὐδ' αὐτὸς σύνοιδεν αὑτῷ ἀδίκως μου ἐγ-
καλῶν, οὔτ' ἀφῆκεν εἰς τὸ δικαστήριον, οὔτε νῦν περὶ ἐκείνων εἴληχέ μοι δίκην οὐ- ἐφῆκεν
δεμίαν· ἀλλὰ περὶ ἄλλων τινῶν, λύσιν τοῖς ἐγκλήμασι τούτοις τὴν δίκην ταύτην
οἰόμενος, ἣν ἐγὼ τούτων ἐδίωκον τότε περὶ τῆς προικός. ἐπιδημοῦντος δὲ τούτου ἐν-
24 θάδε, καὶ οὐκ ἀπαντήσαντος πρὸς τὸν διαιτητὴν, ἐρήμην κατεδιῄτησεν αὐτοῦ·
ἔστι δ', ὦ ἄνδρες δικασταί, ὅτε ἠντιδίκει τότε πρῶτον, οὔτε ἔφη με καταδιαιτήσα-
σθαι τὴν δίκην αὐτοῦ· οὐ γὰρ εἶναι Βοιωτὸν αὐτῷ ὄνομα, ἀλλὰ Μαντίθεον. καὶ οὕτως
ὀνόματι ἀμφισβητῶν, ἔργῳ τὴν προῖκά με τῆς μητρὸς ἀποστερεῖ. ἀπορῶν δ' ἐγὼ
25 τί ἂν τις χρήσαιτο τῷ πράγματι, οὕτω πάλιν τὴν αὐτὴν δίκην λαχὼν αὐτῷ
Μαντιθέῳ ἑνδεκάτῳ ἔτει νῦν εἰς ὑμᾶς καταπέφευγα. ὡς δὲ ταῦτ' ἀληθῆ λέγω,
ἀναγνώσεται ὑμῖν περὶ τούτων μαρτυρίας. Μαρτυρίαι.

Ὅτι μὲν τοίνυν, ὦ ἄνδρες δικασταί, ἥ τε μήτηρ μου τάλαντον ἐπενεγκαμένη
26 προῖκα, ἐκδοθεῖσα ὑπὸ τῶν ἀδελφῶν τῶν αὑτῆς, ὥσπερ οἱ νόμοι κελεύουσι, συ-
νῴκησε τῷ πατρί· καὶ ὃν τρόπον ἐγὼ τούτους εἰσεδεξάμην εἰς τὴν οἰκίαν τοῦ πα-
τρὸς τελευτήσαντος, καὶ ὅτι ἀπέφυγον αὐτοὺς τὰς δίκας, ἅς μοι ἐνεκάλουν· ταῦ- αὐτὸς
τα μὲν πάντα καὶ μεμαρτύρηται ὑμῖν, καὶ ἐπιδέδεικται. ἤδη δὲ λάβε καὶ τὸν περὶ
27 τῆς προικὸς νόμον τουτονί. Νόμος.

Οὕτω τοίνυν τοῦ νόμου ἔχοντος, οἶμαι τουτονὶ Βοιωτόν, ἢ Μαντίθεον, ἢ ὅ,τι ποτ' ἄλ-
λο χαίρει προσαγορευόμενος, δικαίαν μὲν ἀπολογίαν καὶ ἀληθινὴν οὐδεμίαν ἕξειν
εἰπεῖν· ἐπιχειρήσειν δὲ τῇ τόλμῃ καὶ τῇ θρασύτητι τῇ ἑαυτοῦ πιστεύοντα, περιϊστάναι
28 τὰς αὑτοῦ συμφορὰς εἰς ἐμέ, ἅπερ καὶ ἰδίᾳ ποιεῖν εἴωθε, λέγων ὡς δημευθείσης τῆς
Παμφίλου οὐσίας, ὃς ἦν πατὴρ τῆς Πλαγγόνος, τὰ περιγενόμενα χρήματα, ὁ πα-
τὴρ ὁ ἐμὸς ἔλαβεν ἐκ τοῦ βουλευτηρίου. καὶ οὕτως ἀποφαίνειν πειρώμενος, τὴν μὲν
αὑτοῦ μητέρα ἐπενεγκαμένην προῖκα πλέον ἢ ἑκατὸν μνᾶς, τὴν δ' ἐμὴν ἄ-
29 προικον φάσκων συνοικῆσαι. ταῦτα δὲ διέξεισιν, ὦ ἄνδρες δικασταί, οὔτε μαρτυ-
ρίαν οὐδεμίαν συμβεβλημένος ὑπὲρ τούτων, οὔτ' ἀγνοῶν ὡς οὐδὲν ὑγιὲς λέγει· ἀλ-
λ' ἀκριβῶς εἰδώς, ὅτι ὁμολογῶν μὲν ἀδικεῖν ἐν ὑμῖν οὐδείς πω ἀπέφυγε· ψευδό-
μενος δὲ καὶ παραγωγὰς λέγων, ἤδη τις δίκην οὐ δέδωκεν. ἵν' αὖ μὴ ἐξαπατῆ-
30 τε ὑπ' αὐτοῦ, βέλτιον εἶναί μοι δοκεῖ βραχέα καὶ περὶ τούτου πρὸς ὑμᾶς εἰπεῖν.
ἐὰν μὲν γὰρ λέγῃ, ὡς ἡ μὲν ἐμὴ μήτηρ οὐκ ἐπηνέγκατο προῖκα, ἡ δὲ τούτων ἐπη-
νέγκατο, ἐνθυμεῖσθ' ὅτι περιφανῶς ψεύδεται· πρῶτον μὲν γὰρ Πάμφιλος ὁ πατὴρ
τῆς τούτων μητρὸς, πέντε τάλαντα τῷ δημοσίῳ ὀφείλων ἐτελεύτησε. καὶ τοσούτου
ἐδέησε περιγενέσθαι τι τοῖς ἐκείνου παισί, τῆς οὐσίας ἀπογραφείσης καὶ δημευθεί-
σης, ὥστ' οὐδὲ τὸ ὄφλημα πᾶν ὑπὲρ αὐτοῦ ἐκτετίσθαι· ἀλλ' ἔτι καὶ νῦν ὁ Πάμφι-

λος

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὀφείλων τῷ δημοσίῳ ἐξέγραπται. πῶς οὖν οἴονται τὸν ἐμὸν πατέρα χρή-
ματα λαβεῖν ἐκ τῆς Παμφίλου οὐσίας, ἣ οὐδ' αὐτὸ τὸ ὄφλημα τῇ πόλει ἱκανὴ ἐγέ-
νετο ἐκτῖσαι; ἔπειθ', ὦ ἄνδρες δικασταί, ἐνθυμεῖσθε ὅτι εἰ τὰ μάλιστα περιεγένετο 32
ἅπερ τὰ χρήματα ταῦτα, ὥσπερ οὗτοί φασιν, οὐκ ἂν ὁ ἐμὸς πατὴρ αὐτὰ ἔλαβεν,
ἀλλ' οἱ τοῦ Παμφίλου υἱεῖς Βοιωτὸς, καὶ ἡδύλος, καὶ εὐθύδημος, οἳ οὐκ ἂν δήπου ἐπὶ
σωίστε μὲν τὸ τἀλλότρια λαμβάνειν οὕτως ἐποίουν, ὡς καὶ ὑμεῖς ἅπαντες ἴστε. τὰ δ' αὑ-
τῶν τὸν ἐμὸν πατέρα περιεῖδον κομισάμενον. ὅτι μὲν τοίνυν ἥ γε τούτων μήτηρ οὐκ 33
ἐπηνέγκατο προῖκα, ἀλλ' οὗτοι τοῦτο ψεύδονται, ἱκανῶς ὑμᾶς μεμαθηκέναι νομίζω.
ὅτι δὲ ἡ ἐμὴ μήτηρ ἐπηνέγκατο, ῥᾳδίως ἐγὼ δείξω. πρῶτον μὲν γὰρ πολυαράτου
θυγάτηρ ἦν, ὃς καὶ ὑφ' ὑμῶν ἐτιμᾶτο, καὶ πολλὴν οὐσίαν ἐκέκτητο. ἔπειτα με-
μαρτύρηται ὑμῖν, ὡς καὶ ἡ ἀδελφὴ αὐτῆς τοσαύτην προῖκα ἐπενεγκαμένη, ἐρυ- 34
ξιμάχῳ συνῴκησε τῷ χαβρίου κηδεστῇ. πρὸς δὲ τούτοις, φαίνεται ἡ μήτηρ μου
τὸ πρῶτον ἐκδοθεῖσα κλεομέδοντι, οὗ φασὶ τὸν πατέρα κλέωνα τῶν ὑμετέρων
προγόνων στρατηγοῦντα, λακεδαιμονίων πολλοὺς ἐν πύλῳ ζῶντας λαβόντα, μά-
λιστα πάντων ἐν τῇ πόλει εὐδοκιμῆσαι. ὥστε, οὔτε τὸν ἐκείνου προσῆκεν υἱὸν ἀ- 35
προίκον αὐτὴν γῆμαι· οὔτε μενέξενον, καὶ βάθυλλον εἰκός ἐστιν αὐτούς τε οὐσίαν
πολλὴν κεκτημένους, καὶ κλεομέδοντος τελευτήσαντος κομισαμένους, τὴν προῖκα
ἀποστερῆσαι τὴν ἀδελφὴν τὴν αὑτῶν· ἀλλὰ προσθέντας αὖ πάλιν ἐκδοῦναι τῷ
ἡμετέρῳ πατρί, καθάπερ καὶ αὐτοὶ πρὸς ὑμᾶς καὶ οἱ ἄλλοι οἱ οἰκεῖοι μεμαρτυρή- 36
κασι. χωρὶς δὲ τούτων, ἐνθυμήθητε διὰ τί ἄν ποτε ὁ πατήρ, εἴπερ ἡ μὲν ἐμὴ μή-
τηρ μὴ ἦν ἐγγυητή, μηδ' εἰσήνεγκε προῖκα, ἡ δὲ τούτων εἰσήνεγκατο, τούτους μὲν οὐκ
ἔφη αὑτοῦ υἱεῖς εἶναι, ἐμὲ δὲ καὶ ἐποιεῖτο καὶ ἐπαίδευεν; ὅτι νὴ Δία, ὡς οὗτοι φασίν, ἐμοὶ
χαριζόμενος, καὶ τῇ γε ἐμῇ μητρί, τούτους ἠτίμαζεν. ἀλλ' ἐκείνη μὲν ἔτι παῖδα 37
μικρὸν ἐμὲ καταλιποῦσα, αὐτὴ τὸν βίον ἐτελεύτησεν· ἡ δὲ τούτων μήτηρ πλαγγών,
καὶ πρότερον καὶ μετὰ ταῦτα εὐπρεπὴς τὴν ὄψιν οὖσα, ἐπλησίαζεν αὐτῷ· ὥστε πο-
λὺ μᾶλλον εἰκὸς ἦν αὐτὸν διὰ τὴν ζῶσαν γυναῖκα, ἧς ἐρῶν ἐτύγχανε, τὸν τῆς τε-
θνεώσης υἱὸν ἀτιμάζειν, ἢ δι' ἐμὲ καὶ τὴν τετελευτηκυῖαν, τοὺς ἐκ τῆς ζώσης καὶ 38
πλησιαζούσης αὐτῷ παῖδας μὴ ποιεῖσθαι. καίτοι οὗτός γ' εἰς τοῦτο τόλμης ἥκει, ὥσ-
τε φησὶ τὸν πατέρα μου δεκάτην ὑπὲρ αὐτοῦ ἑστιᾶσαι. καὶ περὶ τούτου μόνον τιμο-
ἐμβέβληνται κράτους καὶ προμάχου ἀποδέδεικται μαρτυρίας· οἳ οὔτε γένει προσήκουσί μοι τῷ
πατρὶ οὐδέν, οὔτε φίλοι ἦσαν ἐκείνῳ. οὕτω δὲ φανερῶς τὰ ψευδῆ μεμαρτυρήκασιν, 39
ὥστε ὧν πάντων ὑμῶν εἰδότων οὗτοσὶ δίκην λαχών, ἄκοντα ἠνάγκασε ποιήσασθαι
αὐτόν, τούτων οὗτοι, ὥσπερ κλητῆρες δύο μόνοι ὄντες, μαρτυροῦσι δεκάτην ὑπὲρ τού-
του ἑστιᾶσαι. τίς ἂν ὑμῶν πιστεύσειεν; καὶ μὴν οὐδ' ἐκεῖνό γε εἰπεῖν αὐτῷ ἐνδέ-
χεται, ὡς μικρὸν μὲν ὄντα ἐποιεῖτο αὐτὸν ὁ πατήρ, μείζω δὲ γενόμενον, τῇ μητρὶ ὀρ- 40
γισθείς τι, τούτων ἠτίμαζε· πολὺ γὰρ δήπου μᾶλλον εἰώθασιν ὧν ἂν ἑαυτοῖς διε-
νεχθῶσι γυνὴ καὶ ἀνήρ, διαλλάττεσθαι διὰ τοὺς παῖδας, ἢ διὰ τὰς πρὸς αὑ-
προσήκειν τοὺς ὀργὰς τοὺς κοινοὺς παῖδας προσεμισεῖν. ὥστ' ἐὰν μὲν ἐπιχειρῇ ταῦτα λέγειν,
μὴ ἐπιτρέπετε αὐτῷ ἀναισχυντεῖν. ἐὰν δὲ λέγῃ περὶ τῶν δικῶν, ἃς ἐπεδιήτησέ μου 41
ὁ διαιτητής, καὶ φάσκῃ ὑπ' ἐμοῦ ἀπαράσκευος ληφθῆναι, πρῶτον μὲν μέμνησ-
θε, ὅτι οὐκ ὀλίγος χρόνος ἐγένετο, ἐν ᾧ ἔδει παρασκευάσασθαι αὐτόν, ἀλλ' ἔτη πολ-
ὁ διώκων τὴν δίκην, ὥστε λά. ἔπειθ' ὅτι οὗτος ἦν ὁ διώκων, ὥστε πολὺ μᾶλλον ἦν ἂν εἰκὸς ἐμὲ ὑπὸ τούτου

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

42 ἀποδιδράσκοντα ληφθῆναι, ἢ τοῦτον ὑπ' ἐμοῦ. ἔτι δὲ πάντες ὑμῖν οἱ πρὸς τῷ ἐπιτρο
διαιτητῇ παρόντες μεμαρτυρήκασιν, ὡς οὗτος παρὼν αὐτός, ὅτ' ἀπεδιῄτησέ μου ὁ
διαιτητής, οὔτ' ἐφῆκεν εἰς τὸ δικαστήριον, ἐνέμεινέ τε τῇ διαίτῃ. καίτοι ἄτοπον δοκεῖ
μοι εἶναι, εἰ οἱ μὲν ἄλλοι, ὅταν οἴωνται ἀδικεῖσθαι, καὶ τὰς πάνυ μικρὰς δίκας εἰς ὑ-
43 μᾶς ἐφιᾶσιν· οὗτος δέ μοι περὶ προικὸς δίκην ταλάντου λαχών, ὅτε, ὡς αὐτός ἐφιᾶσι ταύτῃ, ω
φησιν, ἀδίκως ἀποδιαιτηθεὶς ἐνέμεινε. νὴ Δί', ἀπράγμων γάρ τις ἴσως ἐστὶν ἄν-
θρωπος, καὶ οὐ φιλόδικος. ἐβουλόμην μέντ' ἄν, ὦ ἄνδρες δικασταί, τοιοῦτον αὐτὸν
εἶναι. νυνὶ δ' ὑμεῖς μὲν οὕτως ἐστὲ κοινοὶ καὶ φιλάνθρωποι, ὥστ' οὐδὲ τοὺς τριά- κοινωνοὶ
44 κοντα ὑμᾶς φυγαδεύσαντας ἐκ τῆς πόλεως ἠξιώσατε. οὗτος δ' ἐμοὶ μετὰ μνησικλέους τοῦ
πάντων τούτων ἀρχιτέκτονος ἐπιβουλεύσας, καὶ ἐξ ἀντιλογίας καὶ λοιδορίας
πληγὰς συναψάμενος, ἐπιτεμὼν τὴν κεφαλὴν αὑτοῦ, τραύματος ὡς ἄρειον
πάγον με προσεκαλέσατο, ὡς φυγαδεύσων ἐκ τῆς πόλεως. καὶ εἰ μὴ εὐθύδικος ὁ
45 ἰατρός, πρὸς ὃν οὗτοι τὸ πρῶτον ἦλθον, δεόμενοι ἐπιτεμεῖν τὴν κεφαλήν, αὐτὸς
πρὸς τὴν ἐξ ἀρείου πάγου βουλὴν εἶπε τὴν ἀλήθειαν πᾶσαν, τοιαύτην ἂν δί-
κην οὗτος εἰλήφει παρ' ἐμοῦ οὐδὲν ἀδικοῦντος, ἣν ὑμεῖς οὐδὲ κατὰ τῶν τὰ μέγιστ' ἀ-
δικούντων ὑμᾶς, ἐπιχειρήσαιτ' ἂν ποιήσασθαι. ἵνα δὲ μὴ δοκῶ διαβάλλειν αὐτόν,
46 ἀνάγνωθί μοι τὰς μαρτυρίας. Μαρτυρίαι.

Τοῦτον μὲν τοίνυν οὕτω μέγαν καὶ φοβερὸν ἀγῶνά μοι οὐχ ὡς εὐήθης ὤν,
ἀλλ' ἐπίβουλος καὶ κακοῦργος, κατεσκεύασε, μετὰ δὲ ταῦτα ἀντὶ τοῦ ὀνόματος, οὗ πανοῦργος,
ἔθετο ὁ πατὴρ αὐτῷ βοιωτόν, ὥσπερ καὶ πρὸς ὑμᾶς μεμαρτύρηται, ἐπειδὴ ἐκεῖνος
47 ἐτελεύτησε, μαντίθεον αὐτὸν ἐγγράψας εἰς τοὺς δημότας καὶ τοῦ αὐτοῦ ἐμοὶ πατρὸς
καὶ δήμου προσαγορευόμενος, οὐ μόνον τὴν δίκην ταύτην, περὶ ἧς νῦν δικαζό-
μεθα, ἀνάδικον ἐποίησεν, ἀλλὰ καὶ χειροτονησάντων ὑμῶν ἐμὲ ταξίαρχον, ἧκεν αὐτὸς
εἰς τὸ δικαστήριον δοκιμασθησόμενος· δίκην τε ἐξούλης ὠφληκὼς ταύτην, οὐκ
48 αὐτὸς ὠφληκέναι φησίν, ἀλλ' ἐμέ. ὡς δ' ἐν κεφαλαίῳ εἰπεῖν, κακά μοι παρέχων
ἠνάγκασέ με λαχεῖν αὐτῷ δίκην περὶ τοῦ ὀνόματος, οὐχ ἵνα χρήματα παρ' αὐτοῦ
λάβω, ὦ ἄνδρες δικασταί, ἀλλ' ἵν', ἐὰν ὑμῖν δοκῶ δεινὰ πάσχειν καὶ βλάπτεσθαι με-
γάλα, οὑτοσὶ καλῆται βοιωτός, ὥσπερ ὁ πατὴρ αὐτῷ ἔθετο. Ὅτι τοίνυν ἀληθῆ
49 καὶ ταῦτα λέγω, λάβε μοι καὶ τὰς περὶ τούτων μαρτυρίας.

Μαρτυρίαι.

Πρὸς τούτοις τοίνυν καὶ ὅτι ἐγὼ στρατευόμενος, καὶ μετ' ἀμεινίου ξενολογήσας,
ἄλλοθέν τε χρήματα εὐπορήσας, καὶ ἐκ μιτυλήνης παρὰ τοῦ ὑμετέρου προξένου
50 ἀπολλωνίδου, καὶ παρὰ τῶν φίλων τῆς πόλεως λαβὼν τριακοσίους στατῆρας φω-
καΐς, ἀνήλωσα εἰς τοὺς στρατιώτας, ἵνα πρᾶξίς τις πραχθείη καὶ ὑμῖν καὶ ἐκείνοις
συμφέρουσα· περὶ τούτου μοι δικάζεται, ὡς πατρικὸν κεκομισμένῳ χρέος παρὰ
τῆς πόλεως τῆς μιτυληναίων, κάμμῃ τῷ τυραννοῦντι μιτυλήνης ὑπηρετῶν· ὃς
51 καὶ ὑμῖν κοινῇ, καὶ ἐμοὶ ἰδίᾳ ἐχθρός ἐστιν. ὅτι δ' ὁ πατὴρ ἡμῶν, ἣν ἐψηφίσαντο αὐ-
τῷ δωρεὰν οἱ μιτυληναῖοι, εὐθὺς αὐτὸς ἐκομίσατο· καὶ ὡς οὐδὲν ὠφείλετο αὐτῷ
χρέος ἐν μιτυλήνῃ, τῶν ὑμετέρων φίλων παρέξομαι μαρτυρίας.

Μαρτυρία.

52 Ἔχων τοίνυν, ὦ ἄνδρες δικασταί, ἀλλὰ πολλὰ καὶ δεινὰ λέγειν, ἃ οὗτος καὶ εἰς ἐμέ,
καὶ εἰς ὑμᾶς ἐνίοτε ἡμάρτηκεν, ἀναγκάζομαι διὰ τὸ ὀλίγον εἶναί μοι τὸ ὕδωρ, πα-

ραλιπεῖν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐγκαταλιπεῖν· νομίζω γὰρ καὶ ἐκ τούτων ὑμῖν ἱκανῶς ἐπιδεδεῖχθαι, ὡς οὐ τοῦ αὐτοῦ ἀνθρώπου ἐστὶν ἀγῶνα μὲν μοι περὶ φυγῆς κατασκευάζειν, καὶ δίκας οὐδὲν προσηκούσας δικάζεσθαι· πρὸς δὲ τὸν διαιτητὴν ἀπόντα ἀποδιδράσκειν. ὥστε περὶ μὲν 53
τούτων ἂν ἐπιχειρῇ λέγειν, οὐκ οἴομαι ὑμᾶς ἀποδέξασθαι ἂν αὐτόν. ἂν δὲ λέγῃ, ὡς, ἀξιοῦντος αὐτοῦ ἐπιτρέψαι Κόνωνι τῷ Τιμοθέου περὶ ἁπάντων, ἐγὼ οὐκ ἐβουλόμην ἐπιτρέπειν, ἐνθυμεῖσθε ὡς ἐξαπατᾶν ὑμᾶς ἐπιχειρήσει. ἐγὼ γὰρ περὶ μὲν ὧν αἱ δίκαι οὔπω τέλος εἶχον, ἕτοιμος ἦν ἐπιτρέπειν καὶ Κόνωνι, καὶ ἄλλῳ διαιτητῇ ἴσῳ, οἵῳ οὗτος βούλοιτο· περὶ δὲ ὧν τρεῖς πρὸς τὸν διαιτητὴν ἀπολυτήσαντες 54
τούτου καὶ ἀντιδικοῦντος, ὁ μὲν διαιτητὴς ἀπέγνω μου, οὗτος δὲ τοῖς γνωσθεῖσιν ἐνέμεινεν, ὡς καὶ ὑμῖν μεμαρτύρηται, οὐκ ᾤμην δίκαιον εἶναι ταῦτα πάλιν ἀνάδικα γίνεσθαι. τί γὰρ ἂν ἦν πέρας ὑμῖν τῶν διαλύσεων, εἰ τὰ κατὰ τοὺς νόμους διαιτηθέντα λύσας, ἑτέρῳ διαιτητῇ ἐπέτρεψα περὶ τῶν αὐτῶν ἐγκλημάτων· ἄλλως τε καὶ ἀκριβῶς εἰδὼς, ὅτι εἰ καὶ πρὸς τοὺς ἄλλους μὴ ἐπιεικές ἐστι ταῖς διαίταις ἰσχυρίζεσθαι, πρός γε τοῦτον ἁπάντων δικαιότατον ἦν οὕτω προσφέρεσθαι. φέρε γὰρ εἴ τις αὐτὸν ξενίας γράψαιτο λέγων, ὡς Μαντίθεος ὁ πατὴρ οὐκ ἔφη τὸν υἱὸν αὐτοῦ εἶναι, 55 56
ἔσθ' ὅτῳ ἂν ἄλλῳ ἰσχυρίζοιτο πρὸς ταῦτα, ἢ διότι τῆς μητρὸς αὐτοῦ ὀμοσάσης, καὶ τοῦ διαιτητοῦ καταγνόντος ἠναγκάσθη ὁ πατὴρ ἡμῶν ἐμμεῖναι τῇ διαίτῃ; οὐκοῦν δεινὸν, εἰ οὗτος αὐτὸς κατὰ γνῶσιν διαιτητοῦ ὑμέτερος πολίτης γεγενημένος, καὶ πρὸς ἐμὲ τὴν οὐσίαν νενεμημένος, καὶ τυχὼν τῶν μετρίων ἁπάντων, ἃς ἐγὼ δίκας τούτου 57
ἀπέφυγον παρόντα, καὶ ἀντιδικοῦντα, καὶ τοῖς γνωσθεῖσιν ἐμμείναντα, ταύτας ἀναδίκους ἀξιοῖ γενέσθαι, δίκαιόν τι δοκοίη λέγειν ὑμῖν· ὥσπερ, ὅταν μὲν τούτῳ συμφέρῃ, δέον κυρίας εἶναι τὰς διαίτας· ὅταν δὲ μὴ συμφέρῃ, προσήκει τὴν τούτου γνώμην κυριωτέραν γενέσθαι τῶν κατὰ τοὺς ὑμετέρους νόμους γνωσθέντων. ὃς 58
οὕτως ἐπίβουλός ἐστιν, ὥστε καὶ τὴν δίαιταν ταύτην ἐπιτρέπειν με προὐκαλεῖτο, οὐχ ὅπως ἀπαλλαγῇ πρός με, ἀλλ' ἵνα, ὥσπερ καὶ πρότερον ἕνδεκα ἔτη διήγαγε κακουργῶν, οὕτω καὶ τὰ νῦν ἀποδιαιτηθέντα μου λύσας, ἐξ ἀρχῆς με συκοφαντῇ, καὶ τὴν δίκην ταύτην ἐκκρούῃ. τεκμήριον δὲ τούτου μέγιστον· ὅτε γὰρ τὴν 59
πρόκλησιν ἐδέχετο, ἣν ἐγὼ κατὰ τοὺς νόμους προὐκαλούμην αὐτὸν, πρότερόν τε ξενίππῳ, ὃν οὗτος προὐκαλεῖτο διαιτητὴν, ἐπιτρέψαντός μου περὶ τῆς τοῦ ὀνόματος δίκης, ἀπηγόρευσεν αὐτῷ μὴ διαιτᾶν. ὅτι δὲ καὶ ταῦτ' ἀληθῆ λέγω, ἐκ τῆς μαρτυρίας, καὶ τῆς προκλήσεως εἴσεσθε. 60

Margin notes: γι, δίκαιον ἦ ὑμᾶς ἀποδ. — ἐγὼ οὐ τούτ... — διαλύσασθαι — προὔβαλετο — ἐπιτρέποντος

Μαρτυρία, Πρόκλησις.

Ταύτην τοίνυν τὴν πρόκλησιν οὐ δεξάμενος, ἀλλ' ἐνεδρεύων με, καὶ τὴν δίκην ὅτι πλεῖστον χρόνον ἐκκρούειν βουλόμενος, κατηγορήσει, ὡς ἐγὼ πυνθάνομαι, οὐ μόνον ἐμοῦ, ἀλλὰ καὶ τοῦ πατρὸς, λέγων, ὡς ἐκεῖνος ἐμοὶ χαριζόμενος, πολλὰ τοῦτον 61
ἠδίκησεν. ὑμεῖς δ', ὦ ἄνδρες δικασταί, μάλιστα μὲν ὥσπερ αὐτοὶ οὐκ ἂν ἀξιώσαιτε κακῶς ἀκούειν ὑπὸ τῶν ὑμετέρων παίδων, οὕτω μηδὲ τούτῳ ἐπιτρέπετε περὶ τοῦ πατρὸς βλασφημεῖν· καὶ γὰρ ἂν εἴη δεινὸν, εἰ αὐτοὶ μὲν πρὸς τοὺς ἐπὶ τῆς ὀλιγαρχίας πολλοὺς τῶν πολιτῶν ἀκρίτους ἀποκτείναντας, διαλλαγέντες ἐμμένετε ταῖς 62
ὁμολογίαις, ὥσπερ χρὴ τοὺς καλοὺς κἀγαθοὺς ἄνδρας, τούτῳ δὲ πρὸς τὸν πατέρα ζῶντα διαλυθέντι, καὶ πολλὰ παρὰ τὸ δίκαιον πλεονεκτήσαντι, νῦν μνησικακεῖν ἐπιτρέψετε, καὶ κακῶς ἐκεῖνον λέγειν; μηδαμῶς, ὦ ἄνδρες δικασταί, ἀλλὰ μάλι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

63 στα μὲν κωλύει τ' αὐτὸν ταῦτα ποιεῖν· ἂν δ' ἄρα βιάζηται ὑμᾶς, καὶ λοιδορῆται αὐ-
τῷ, ἐνθυμεῖσθ' ὅτι αὐτὸς αὑτοῦ καταμαρτυρεῖ μὴ ἐξ ἐκείνου γεγενῆσθαι. οἱ μὲν γενέσθαι
γὰρ φύσει παῖδες ὄντες, κἂν πρὸς ζῶντας διενεχθῶσι τοὺς πατέρας, ἀλλ' οὖν τελευ-
τήσαντάς γε αὐτοὺς ἐπαινοῦσιν· οἱ δὲ νομιζόμενοι μὲν υἱεῖς, μὴ ὄντες δὲ γνήσ. ἐξ ἐ-
64 κείνων, ῥᾳδίως μὲν αὐτοῖς διαφέρονται ζῶσιν, οὐδὲν δὲ φροντίζουσι περὶ τεθνεώ-
των αὐτῶν βλασφημοῦντες. χωρὶς δὲ τούτων ἐνθυμεῖσθε, ὡς ἄτοπόν ἐστιν, εἰ οὗτος
τὸν πατέρα, ὡς ἁμαρτόντα εἰς αὐτὸν, λοιδορήσει, διὰ τὰ ἐκείνου ἁμαρτήματα ὑμέ-
τερος πολίτης γεγενημένος· κἀγὼ μὲν διὰ τὴν τούτων μητέρα τὰ δύο μέρη τῆς
65 οὐσίας ἀδίκως ἀφαιρεθεὶς, ὅμως ὑμᾶς αἰσχύνομαι λέγειν περὶ ἐκείνης τι φλαῦρον·
οὗτος δ', ὃν ἠνάγκασεν αὑτὸν πατέρα ποιεῖσθαι, τοῦτον οὐκ αἰσχύνεται ἐναντίον ὑμῶν
ψέγων· ἀλλ' εἰς τοῦτ' ἀμαθίας ἥκει, ὥστε τῶν νόμων ἀπαγορευόντων μηδὲ τοὺς τῶν
ἄλλων πατέρας κακῶς λέγειν τεθνεῶτας, τοῦτον οὗτος οὗ φησιν υἱὸς εἶναι, λοιδορήσει, τούτου λοιδ.
65 ὃν προσῆκε, κἂν εἴ τις ἄλλος ἐβλασφήμει περὶ αὐτοῦ ἀγανακτεῖν. οἶμαι δ' αὐτὸν, ὦ
ἄνδρες δικασταὶ, ἐπειδὰν τῶν ἄλλων ἀπορῇ, κακῶς τέ με ἐπιχειρήσειν λέγειν, καὶ δια-
βάλλειν πειράσεσθαι, διεξιόνθ' ὡς ἐγὼ μὲν καὶ ἐτράφην καὶ ἐπαιδεύθην, καὶ ἔγη-
μα ἐν τῇ τοῦ πατρὸς οἰκίᾳ· αὐτὸς δ' οὐδενὸς τούτων μετέσχεν. ὑμεῖς δ' ἐνθυμεῖ-
67 σθ', ὅτι ἐμὲ μὲν ἡ μήτηρ παῖδα καταλιποῦσα ἐτελεύτησεν. ὥστε μοι ἱκανὴν εἶναι
ἀπὸ τοῦ τόκου τῆς προικὸς, καὶ τρέφεσθαι καὶ παιδεύεσθαι. ἡ δὲ τούτων μήτηρ
Πλαγγὼν, τρέφουσα μεθ' αὑτῆς τούτους, καὶ θεραπαίνας συχνὰς, καὶ αὐτὴ πολυτε-
λῶς ζῶσα, καὶ εἰς ταῦτα τὸν πατέρα τὸν ἐμὸν χορηγὸν αὑτῇ ὑπὸ τῆς ἐπιθυμίας
68 ἔχουσα, καὶ πολλὰ δαπανᾶν ἀναγκάζουσα, οὐκ ἴσα δή που τῆς ἐκείνου οὐσίας ἐμοὶ
ἀνήλωκεν. ὥστε πολὺ μᾶλλον προσήκει ἐμὲ τούτοις ἐγκαλεῖν, ἢ αὐτὸν ἐγκλήματ' ἔ-
χειν ὑπὸ τούτων πρὸς τοῖς ἄλλοις, ὃς εἴκοσι μὲν μνᾶς δανεισάμενος μετὰ τοῦ πα- πρὸς γὰρ τοῖς
τρὸς παρὰ Βλεπαίου τοῦ τραπεζίτου εἰς ὠνήν τινα μετάλλων, ἐπειδὴ ὁ πατὴρ ἐτε- ἄλλοις, εἴκοσι
69 λεύτησε, τὰ μὲν μέταλλα πρὸς τούτοις ἐνειμάμην· τὸ δάνειον δ' αὐτὸς εἰσεπρά- πρὸς τούτοις
χθην· ἑτέρας δὲ χιλίας εἰς τὴν τοῦ πατρὸς ταφὴν παρὰ Λυσιστράτου Θορικίου δα- ἐγένετο. τὸ
νεισάμενος, ἰδίᾳ ἐκτέτικα. ὡς δ' ἀληθῆ καὶ ταῦτα λέγω, ἐκ τούτων τῶν μαρτυριῶν δάνει.
εἴσεσθε.

Μαρτυρίαι.

70 Τοσαῦτα τοίνυν ἐμοῦ ἐλαττωθέντος φανερῶς, οὑτοσὶ νῦν σχετλιάζων, καὶ δεινο- καὶ τὴν
παθῶν, τὴν προῖκά με τῆς μητρὸς ἀποστερήσει. ἀλλ' ὑμεῖς, ὦ ἄνδρες δικασταὶ,
πρὸς Διὸς καὶ θεῶν, μὴ καταπλαγῆτε ὑπὸ τῆς κραυγῆς τῆς τούτου· πολὺς γὰρ
πολὺς, καὶ τολμηρός ἐστιν ἄνθρωπος, καὶ οὕτω κακοῦργος, ὥστε περὶ ὧν ἂν μὴ πανοῦργος
71 ἔχῃ μάρτυρας παρασχέσθαι, ταῦτα φήσει ὑμᾶς εἰδέναι, ὦ ἄνδρες δικασταὶ, ὃ πάντες
ποιοῦσιν οἱ μηδὲν ὑγιὲς λέγοντες. ὑμεῖς οὖν ἐάν τι τοιοῦτον τεχνάζηται, μὴ ἐπιτρέ-
πετε αὐτῷ. ἀλλ' ἐξελέγχετε. καὶ ὅ, τι ἂν μὴ ἕκαστος ὑμῶν εἰδῇ, μηδὲ τὸν πλησίον
νομιζέτω εἰδέναι· ἀλλ' ἀξιούτω τοῦτον ἀποδεικνύναι σαφῶς ὑπὲρ ὧν ἂν λέγῃ,
72 καὶ μὴ ὑμᾶς φάσκοντα εἰδέναι περὶ ὧν αὐτὸς οὐδὲν ἔχει εἰπεῖν δίκαιον, περὶ τούτων
ἀποδιδράσκειν τὴν ἀλήθειαν. ἐπεὶ καὶ ἔγωγε, ὦ ἄνδρες δικασταὶ, πάντων ὑμῶν εἰδό-
των ὃν τρόπον ἀναγκασθεὶς ὁ πατήρ μου ἐποιήσατο τούτους, οὐδὲν ἧττον δικάζομαι
νυνὶ αὐτοῖς, καὶ μάρτυρας ὑποδίκους παρέχομαι. καίτοι οὐκ ἴσος ἡμῖν ἐστιν ὁ κίν-
73 δυνος. ἀλλ' ἐμοὶ μὲν, ἐὰν ὑμεῖς νυνὶ ὑπὸ τούτων ἐξαπατηθῆτε, οὐκ ἐξέσται ἐπ-
δικάσασθαι περὶ τῆς προικός. τούτοις δ' εἰ φασὶν ἀδίκως ἀποδιαιτῆσαί μου τὴν
διαιτητὴν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐκκληθήσεται διαιτητὴν τὰς δίκας, ὅτε ἐξῆν εἰς ὑμᾶς ἐφεῖναι· καὶ νῦν ἐκκληθήσεται πά-
λιν, ἐὰν βούλωνται, παρ᾽ ἐμοῦ λαβεῖν ἐν ὑμῖν τὸ δίκαιον. καὶ ἐγὼ μὲν ἐάν, ὃ μὴ
γένοιτο, ὑμεῖς με ἐγκαταλίπητε, οὐχ ἕξω ὁπόθεν προῖκα ἐπιδῶ τῇ θυγατρί· ἧς 74
τῇ μὲν φύσει, πατήρ εἰμι· τὴν δ᾽ ἡλικίαν αὐτῆς εἰ ἴδοιτε, οὐκ ἂν θυγατέρα μου,
ἀλλ᾽ ἀδελφὴν εἶναι αὐτὴν νομίσαιτε· οὗτοι δὲ ἂν ὑμεῖς μοι βοηθήσητε, οὐδὲν ἐκ
τῶν ἰδίων ἀποτίσουσιν, ἀλλ᾽ ἐκ τῆς οἰκίας τὰ ἐμὰ ἐμοὶ ἀποδώσουσιν, ἣν ἐξῃρού-
μεθα μὲν κοινῇ πάντες εἰς τὴν ἔκτισιν τῆς προικός, οἰκοῦντες δ᾽ αὐτὴν οὗτοι 75
μόνοι διατελοῦσιν· οὔτε γὰρ ἁρμόττει μοι θυγατέρα ἐπίγαμον ἔχοντι οἰκεῖν μετὰ
τοιούτων, οἳ οὐ μόνον αὐτοὶ ἀσελγῶς ζῶσιν, ἀλλὰ καὶ ὁμοίους αὐτοῖς ἑτέρους πολ-
συζῆν τούτοις λοὺς εἰς τὴν οἰκίαν εἰσάγουσιν· οὔτε μὰ τὸν Δί᾽ ἀσφαλές εἶναί μοι νομίζω ζῆν
σὺν τοιούτοις ἐν τῷ αὐτῷ· ὅπου γὰρ οὕτω φανερῶς μοι ἐπιβουλεύσαντες, εἰς
ἄδηλον πάνυ ἀγῶνα κατεσκεύασαν, τίνος ἂν οὗτοι ἢ φαρμακείας, ἢ ἄλλης κα- 76
κουργίας τοιαύτης ὑμῖν ἀποσχέσθαι δοκοῦσιν; οἵ γε πρὸς τοῖς ἄλλοις· ἀρτίως γὰρ
ἥκουσιν καὶ τοῦτο ἀνεμνήσθην εἰς τοσαύτην ὑπερβολὴν τόλμης ἐληλύθασιν, ὥστε καὶ
κρίτωνος μαρτυρίαν ἐνεβάλοντο, ὡς ἐώνηται τὸ τρίτον μέρος παρ᾽ ἐμοῦ τῆς οἰ-
κίας. ἣν ὅτι ψευδής ἐστι, ῥᾳδίως εἴσεσθε· πρῶτον μὲν γὰρ οὐχ οὕτω μετρίως ζῇ 77
κρίτων, ὥστε παρ᾽ ἑτέρου οἰκίαν ὠνεῖσθαι· ἀλλ᾽ οὕτω πολυτελῶς καὶ ἀσώτως, ὥστε
πρὸς τοῖς αὑτοῦ καὶ τὰ τῶν ἄλλων προσαναλίσκειν. ἔπειτ᾽ οὐ μάρτυς τούτων νῦν,
ἀλλ᾽ ἐμοὶ ἀντίδικει· τίς γὰρ ὑμῶν οὐκ οἶδεν, ὅτι μάρτυρες μέν εἰσιν οὗτοι, οἷς μὴ
μέτεστι τοῦ πράγματος, περὶ οὗ ἡ δίκη ἐστίν· ἀντίδικοι δ᾽ οἱ κοινωνοῦντες τῶν 78
πραγμάτων, περὶ ὧν ἂν δικάζηταί τις αὐτοῖς, ὃ κρίτωνι συμβέβηκεν. ἔτι δὲ το-
σούτων ὑμῶν ὄντων, ὦ ἄνδρες δικασταί, καὶ τῶν ἄλλων ἀθηναίων πολλῶν, ἄλλως
μὲν οὐδεὶς αὐτῷ παραγενέσθαι μεμαρτύρηκε· τιμοκράτης δὲ μόνος, ὥσπερ ἀπὸ
μηχανῆς, μαρτυρεῖ μὲν δεκάτην εἰστιᾶσαι τούτῳ τὸν ἐμὸν πατέρα, ἡλικιώτης ὢν 79
τοῦ νυνὶ φεύγοντος τὴν δίκην· φησὶ δὲ ἅπαντα ἁπλῶς εἰδέναι, ἃ δὴ τούτοις συμ-
φέρει· μαρτυρεῖ δὲ νυνὶ μόνος κρίτωνι παρεῖναι, ὅτε παρ᾽ ἐμοῦ τὴν οἰκίαν ἐωνεῖτο. ὃ
τίς ἂν ὑμῶν πιστεύσειεν; ἄλλως τε καὶ ὅτι οὐ περὶ τῆς οἰκίας, πότερα ἐώνηται κρί-
των αὐτὴν ἢ μή, νυνὶ δικαζόμεθα· ἀλλὰ περὶ προικός, ἣν ἐπενεγκαμένης τῆς 80
μητρὸς οἱ νόμοι κελεύουσιν ἐμὲ κομίζεσθαι. ὥστε καθάπερ ὑμῖν ἐγὼ ἐκ μαρτυ-
ριῶν πολλῶν καὶ τεκμηρίων ἐπέδειξα ἐπενεγκαμένην μὲν τὴν μητέρα μου τά-
λαντον προῖκα· οὐ κομισάμενον δὲ τοῦτ᾽ ἐμὲ ἐκ τῆς πατρῴας οὐσίας, ἐξαίρε-
τον δ᾽ ὑμῖν γενομένην τὴν οἰκίαν εἰς ταῦτα· οὕτω κελεύετε καὶ τοῦτον ἐπιδει- 81
κνύναι ὑμῖν, ἢ ὡς οὐκ ἀληθῆ λέγω, ἢ ὡς οὐ προσήκει μοι κομίσασθαι τὴν προῖ-
κα· περὶ τούτων γὰρ ὑμεῖς νυνὶ τὴν ψῆφον οἴσετε. ἐὰν δὲ μὴ ἔχων περὶ ὧν φεύγει
τὴν δίκην, μήτε μάρτυρας ἀξιοχρέως παρασχέσθαι, μήτ᾽ ἄλλο πιστὸν μηδέν, ἑ-
πανουργῶν τέροις περιεμβάλλῃ λόγοις κακουργῶν, καὶ βοᾷ, καὶ σχετλιάζῃ μηδὲν πρὸς τὸ 82
πρᾶγμα, πρὸς Διὸς καὶ θεῶν μὴ ἐπιτρέπετε αὐτῷ· ἀλλὰ βοηθεῖτέ μοι τὰ δί-
καια ἐξ ἁπάντων τῶν εἰρημένων, ἐνθυμούμενοι, ὅτι πολὺ δικαιότερόν ἐστι τὴν
τῆς ἐμῆς μητρὸς προῖκα τῇ ἐμῇ θυγατρὶ εἰς ἔκδοσιν ὑμᾶς ψηφίσασθαι, ἢ
πλαγγόνα, καὶ τούτους πρὸς τοῖς ἄλλοις, καὶ τὴν οἰκίαν τὴν εἰς τὴν προῖκα ἐξαί- 83
ρετον γενομένην, ἀφελέσθαι ἡμᾶς παρὰ πάντα τὰ δίκαια.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΣΠΟΥΔΙΑΝ ΥΠΕΡ προικὸς λόγου.

Πολύευκτος ἀνὴρ ἀθηναῖος, δύο θυγατέρων πατὴρ γίνεται· ὧν τὴν μὲν νεωτέραν λεωκράτει πρότερον δίδωσιν· εἶτα σπουδίᾳ τὴν πρεσβυτέραν, τῷ πρὸς τῷ σπουδίᾳ δικαζομένῳ [illegible] μὲν οὖν πολύευκτος ἐτελεύτησε, ταῖς θυγατράσι καταλιπὼν τὸν κλῆρον ἐξ ἴσου. ὁ δὲ τὴν πρεσβυτέραν γήμας, φησὶ τετταράκοντα μνᾶς ὁμολογηθῆναι τὴν προῖκα, οὐ μὴν ὅλην εὐθὺς δοθῆναι, ἀλλὰ δέκα μνῶν ὑπολειφθεισῶν, ζῶντά τε ὁμολογεῖν τὸν πολύευκτον ὀφείλειν αὐτάς· καὶ ὡς ἤμελλε τελευτᾶν, τὴν οἰκίαν τῆς ἄλλης οὐσίας ἐξελεῖν, καὶ ταύτην εἰς τὸ χρέος δοῦναι. ὁ δὲ λεωκράτης ἀξιοῖ καὶ ταύτην εἶναι κοινήν, ὥσπερ καὶ τὰ ἄλλα πάντα. καὶ τὸ μέγιστον τῶν ἀμφισβητημάτων τῶν ἐν τῷ λόγῳ τοῦτό ἐστι. προσεγκαλεῖ δὲ τῷ σπουδίᾳ καὶ ἕτερα· φησὶ γὰρ αὐτὸν καὶ τοῦ πολυεύκτου, καὶ τῆς πρεσβυτέρας ὀφείλοντα χρήματα, μὴ καταβαλεῖν εἰς τὸ μέσον, δέον τοῦτο ποιεῖν. τοῦ δὲ σπουδίᾳ κἀκεῖνον λέγοντος, ὡς αὐτὸς τετταράκοντα μνᾶς προῖκα εἴληφε, μάλιστα μὲν ἐξεῖναι τῷ πολυεύκτῳ φησὶν εἰ τῇ ἑτέρᾳ τῶν θυγατέρων ἐβούλετο πλείω προῖκα δοῦναι, καὶ μὴ τὴν ἴσην ἀμφοτέραις· ἔπειτα δὲ ἐπιδείκνυσιν, ὡς καὶ τοῦτο σπουδίας ψεύδεται· τὰς μὲν γὰρ τριάκοντα μνᾶς αὐτὸν ἐν ἀργύρῳ φησὶ λαβεῖν· τὰς δὲ δέκα, ἐν ἱματίοις καὶ χρυσίοις, ἃ καὶ πλείονος ἢ δέκα μνῶν εἶναι ἄξια.

# ΔΗΜΟΣΘΕΝΟΥΣ. Ο ΠΡΟΣ ΣΠΟΥΔΙΑΝ ΥΠΕΡ ΠΡΟΙΚΟΣ ΛΟΓΟΣ.

1 Ἀδελφὰς ἔχομεν, ὦ ἄνδρες δικασταί, γυναῖκας, ἐγὼ καὶ σπου- ἐγώ τε καὶ
δίας οὑτοσί, πολυεύκτου θυγατέρας. ἀπαιδὸς δ' ἐκείνου τελευ-
τήσαντος ἀῤῥένων παίδων, ἀναγκάζομαι πρὸς τουτονὶ περὶ
τῶν καταλειφθέντων δικάζεσθαι. καὶ εἰ μέν, ὦ ἄνδρες δικασταί,
2 μὴ πᾶσαν σπουδὴν καὶ προθυμίαν ἐποιησάμην, βουλόμε-
νος διαλύεσθαι, καὶ τοῖς φίλοις ἐπιτρέπειν, ἐμαυτὸν ἂν ᾐτιώμην, εἰ μᾶλλον ᾑρού-
μην δίκας καὶ πράγματ' ἔχειν, ἢ μικρὰ ἐλαττωθεὶς ἀνέχεσθαι. νῦν δ' ὅσῳ πρᾳό-
τερον ἐγὼ καὶ φιλανθρωπότερον τούτῳ διελεγόμην, τοσούτῳ μᾶλλόν μου κα-
3 τεφρόνει. καὶ νῦν κινδυνεύω μὲν οὐχ ὁμοίως τούτῳ πρὸς τουτονὶ τὸν ἀγῶνα ἔχειν κινδυνεύομεν
ἀλλ' οὗτος μὲν ῥᾳδίως φέρει, πολλάκις εἰθισμένος ἐνταυθοῖ εἰς ὑμᾶς εἰσιέναι. ἐγὼ παριέναι
δ' αὐτὸ τοῦτο φοβοῦμαι, μὴ διὰ τὴν ἀπειρίαν οὐ δυνηθῶ δηλῶσαι περὶ τῶν πρα-
γμάτων ὑμῖν. ὅμως δ', ὦ ἄνδρες δικασταί, προσέχετε τὸν νοῦν· πολύευκτος γὰρ
4 ἦν τις θριάσιος, ἴσως οὐδ' ὑμῶν τινὲς ἀγνοοῦσιν. οὗτος ὁ πολύευκτος, ἐπειδὴ οὐκ
ἦσαν αὐτῷ παῖδες ἄῤῥενες, ποιεῖται λεωκράτην τὸν ἀδελφὸν τῆς ἑαυτοῦ γυναι-
κός. οὐσῶν δ' αὐτῷ δύο θυγατέρων ἐκ τῆς τοῦ λεωκράτους ἀδελφῆς, τὴν μὲν πρε-
σβυτέραν ἐμοὶ δίδωσι, καὶ τετταράκοντα μνᾶς προῖκα· τὴν δὲ νεωτέραν, λεω-
5 κράτει. τούτων δ' οὕτως ἐχόντων, διαφορᾶς γενομένης τῷ πολυεύκτῳ πρὸς τὸν
λεωκράτην, περὶ ἧς οὐκ οἶδ' ὅτι δεῖ λέγειν, ἀφελόμενος ὁ πολύευκτος τὴν θυ-
γατέρα, δίδωσι σπουδίᾳ τούτῳ. μετὰ δὲ ταῦτα ἠγανάκτει ὁ λεωκράτης, καὶ δίκας
ἐλάγχανε πολυεύκτῳ, καὶ τούτῳ σπουδίᾳ, καὶ περὶ πάντων ἠναγκάζοντο εἰς λόγον
6 καθίστασθαι. καὶ τὸ τελευταῖον διῃτήθησαν ἐφ' ᾧ τε κομισάμενον τὸν λεωκράτην ἐφ' ᾧ τε κομί-
ἅπερ ἦν εἰς τὴν οὐσίαν εἰσενηνεγμένος, μήτε κακόνουν εἶναι πολυεύκτῳ, τῶν τε σασθαι τὸν
πρὸς ἀλλήλους ἐγκλημάτων ἀπηλλάχθαι ἁπάντων. τίνος οὖν ἕνεχ' ὑμῖν, ὦ ἄνδρες λεωκρ.
δικασταί, ταῦτ' εἶπον; ὅτι τὴν προῖκα οὐ κομισάμενος ἅπασαν, ἀλλ' ὑπολειφθει- μήτε κακόν οὖν εἶναι τ.
7 σῶν χιλίων δραχμῶν καὶ ὁμολογηθεισῶν ἀπολαβεῖν ὅταν πολύευκτος ἀποθάνῃ, μοι χι
ἕως μὲν ὁ λεωκράτης ἦν κληρονόμος τῶν πολυεύκτου, πρὸς ἐκεῖνον ἦν μοι τὸ συμ-
βόλαιον· ἐπειδὴ δ' ὁ λεωκράτης ἐξεκεχωρήκει, ὅ, τε πολύευκτος μοχθηρῶς εἶχε

τὴν καὺτ'

τὴν καὶ ταῦτ', ὦ ἄνδρες δικασταί, τὴν οἰκίαν ταύτην ἀποτιμῶμαι πρὸς τὰς δέκα
μνᾶς, ἐξ ἧς διακωλύει με τὰς μισθώσεις κομίζεσθαι Σπουδίας. πρῶτον μὲν οὖν ὑμῖν 8
μάρτυρας παρέξομαι τοὺς παραγενομένους, ὅτ' ἐνεγύα μοι Πολύευκτος τὴν θυγατέρα ἐπὶ τετταράκοντα μναῖς· ἔπειθ' ὡς ἔλαττον ταῖς χιλίαις ἐκομισάμην· ἔτι δ' ὡς ἅπαντα τὸν χρόνον ὀφείλειν ὡμολόγει μοι Πολύευκτος, καὶ τὸν Λεωκράτην συνέστησε· καὶ ὡς τελευτῶν, διέθετο ὅρους ἐπιστῆσαι χιλίων δραχμῶν ἐμοὶ τῆς προικὸς 9
ἐπὶ τὴν οἰκίαν. καί μοι κάλει τοὺς μάρτυρας. Μάρτυρες.

Ἓν μὲν τοίνυν, ὦ ἄνδρες δικασταί, τοῦτ' ἐστὶν ὧν ἐγκαλῶ Σπουδίᾳ. καὶ περὶ τούτου τί δεῖ ἔτι μεῖζον, ἢ ἰσχυρότερον ἔχων εἰς ὑμᾶς κατέστην, ἢ τὸν νόμον, ὃς οὐκ ἐᾷ διαρρήδην
εἰσόσα τις εἰς ἅ τις ἀπετίμησεν, εἶναι δίκας, οὔτ' αὐτοῖς, οὔτε τοῖς κληρονόμοις; ἀλλ' ὅμως πρὸς 10
τοῦτο τὸ δίκαιον ἥκει Σπουδίας ἀμφισβητήσων. ἕτερον δέ, ὦ ἄνδρες δικασταί, δύο μὲν μνᾶς ἐμαρτύρησεν Ἀριστογένης ἐγκαλεῖν ἀποθνήσκοντα Πολύευκτον, ὀφειλομένας αὐτῷ παρὰ Σπουδίᾳ, καὶ τὸν τόκον αὐτοῦ· τοῦτο δ' ἐστὶν οἰκέτου τιμὴ ὃν ἐωνημένος οὗτος παρὰ Πολυεύκτου, τὴν τιμὴν οὔτ' ἐκείνῳ διέλυσεν, οὔτε νῦν εἰς τὸ κοινὸν ἀναφέρει· 11
ὀκτακοσίας δὲ καὶ χιλίας, περὶ ὧν οὐδ' ἔγωγ' οἶδα τί ποθ' ἕξει δίκαιον λέγειν. τὸ μὲν γὰρ ἀργύριον παρὰ τῆς Πολυεύκτου δεδανεισμένος γυναικός· γράμματα δ' ἐστίν, ἃ κατέλιπεν ἀποθνήσκουσα ἐκείνη· μάρτυρες δ' οἱ τῆς γυναικὸς ἀδελφοί, παρόντες ἅπασι, καὶ καθ' ἕκαστον ἐρωτῶντες, ἵνα μηδὲν δυσχερὲς ἡμῖν εἴη πρὸς 12
ἀλλήλους. οὐκοῦν δεινόν, ὦ ἄνδρες δικασταί, καὶ σχέτλιον, ἐμὲ μὲν ἁπάντων ὧν ἢ παρὰ Πολυεύκτου ζῶντος ἐωνημένος, ἢ παρὰ τῆς γυναικὸς εἶχον αὐτοῦ, καὶ τόκον τιθέναι καὶ τὴν τιμὴν ἀποδεδωκέναι, καὶ νῦν ἅπερ ὤφειλον, πάντ' εἰς τὸ κοινὸν φέρειν· τοῦτον δέ, μήτε τῶν νόμων τῶν ὑμετέρων φροντίζειν, μήθ' ὧν διέθετο Πολύευκτος, μήτε τῶν 13
καταλειφθέντων γραμμάτων, μήτε τῶν συνειδότων, ἀλλὰ πρὸς ἅπαντα ταῦθ' ἥκειν ἀντιδικήσοντα. Λαβὲ δή μοι πρῶτον μὲν τὸν νόμον, ὃς οὐκ ἐᾷ τῶν ἀποτιμηθέντων ἔτι δίκην εἶναι πρὸς τοὺς ἔχοντας· ἔπειτα τὰ γράμματα τὰ καταλειφθέντα, καὶ τὴν μαρτυρίαν τὴν Ἀριστογένους. λέγε. 14

Νόμος. Γράμματα. Μαρτυρία.

Βούλομαι τοίνυν, ὦ ἄνδρες δικασταί, καὶ περὶ τῶν ἄλλων, ὧν ἐγκαλῶ, καθ' ἕκαστον ὑμᾶς διδάξαι. φιάλην μὲν γὰρ λαβόντες παρὰ τῆς Πολυεύκτου γυναικός, καὶ καταθέντες
κεκοσμημένην ἐνέχυρα μετὰ χρυσίων, οὐκ ἀνενηνόχασι κεκομισμένοι ταύτην, ὡς ὑμῖν Δημό- 15
δημόφιλος φυλος ὁ θέμενος μαρτυρήσει· σκηνὴν δ', ἣν ἔχουσιν· οὐδὲ γὰρ ταύτην λαβόντες ἀναφέρουσιν· ἀλλὰ δεῖ πόσα τοιαῦτα; τὸ δὲ τελευταῖον εἰσενεγκούσης τῆς ἐμῆς γυναικὸς εἰς τὰ Νεμέσια τῷ πατρὶ μνᾶν ἀργυρίου, καὶ προσαναλωσάσης, οὐδὲ ταύ-
ἀλλὰ τὰ μὲν της ἀξιοῖ συμβαλέσθαι τὸ μέρος· ἀλλ' ἃ μὲν ἔχει προλαβών, τῶν δὲ τὰ μέρη 16
κομίζεται, τὰ δέ, οὕτω φανερῶς οὐκ ἀποδίδωσιν. ἵνα τοίνυν μηδὲ ταῦθ' ᾖ παραλελειμμένα, λαβέ μοι πάντων αὐτῶν τὰς μαρτυρίας.

Μαρτυρίαι.

Ἴσως τοίνυν, ὦ ἄνδρες δικασταί, πρὸς μὲν ταῦτα οὐδὲν ἀντερεῖ Σπουδίας· οὐδὲ 17
γὰρ ἕξει, καίπερ δεινὸς ὤν· αἰτιάσεται δὲ Πολύευκτον, καὶ τὴν γυναῖκα αὐτοῦ, καὶ φήσει ταῦτα πάνθ' ὑπ' ἐμοῦ πεισθέντας καταχαρίσασθαι, καὶ νὴ Δί' ἕτερα πολλά, καὶ μεγάλα βλάπτεσθαι, καὶ δίκην εἰληχέναι μοι. ταῦτα γὰρ καὶ πρὸς τῷ
διαιτητῇ λέγειν ἐπεχείρει. ἐγὼ δ', ὦ ἄνδρες δικασταί, πρῶτον μὲν οὐχ ἡγοῦμαι δι- 18



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔχων εἰς τὴν ἀπολογίαν τὴν τοιαύτην, οὐδὲ προσήκει λέξηται, μεταστρέψαντα τὰς αἰτίας, ἐγκαλεῖν καὶ διαβάλλειν. ἐκεῖνοι

19 εἰ γὰρ ἀδικεῖται, δῆλον ὅτι δίκην λήψεται· τούτων δὲ, διώσει· πῶς γὰρ ἂν ἐγὼ νῦν ταῖς τούτων διαβολαῖς ἀντιδικοίην, ἀφεὶς περὶ ὧν ὑμεῖς μέλλετε τὴν ψῆφον οἴσειν; ἔπειτα θαυμάζω τί δήποτε, εἴπερ ἀληθῆ καὶ δίκαια εἶχεν ἐγκαλεῖν, βουλομένων ἡμᾶς τῶν φίλων διαλύειν, καὶ πολλῶν λόγων γενομένων, οὐχ οἷός τ' ἦν ἐμμένειν, οἷς ἐκεῖνοι γνοῖεν. ἀφ' ὧν

20 καίτοι τίνες ἂν ἄμεινον καὶ τὴν τούτου, καὶ τὴν ἐμὴν ἐγκλήματα τὰ μηδὲν ὄντα ἐξήλεγξαι, τῶν παραγεγενημένων ἅπασι τούτοις, τῶν εἰδότων οὐδὲν ἧττον ἡμῶν τὰ γενόμενα, τῶν κοινῶν ἀμφοτέροις φίλων ὄντων; ἀλλὰ δῆλον ὅτι τούτῳ ταῦτ' οὐκ ἐλυσιτέλει, φανερῶς ὑπ' αὐτῶν ἐξελεγχομένῳ, τοῦτον τὸν τρόπον λαβεῖν διάλυσιν.

21 μὴ γὰρ οἴεσθε, ὦ ἄνδρες δικασταί, τοὺς εἰδότας ἅπαντα ταῦτα, νῦν μὲν ὑπὸ κινδύνους αὑτοὺς καθιστάντας ἐμοὶ μαρτυρεῖν, τότε δ' ὀμόσαντας ἂν ὅτι γνῶναι περὶ αὐτῶν. οὐ μὴν ἀλλ' εἰ καὶ μηδὲν τούτων ὑπῆρχεν ἡμῖν, οὐδ' ὣς χαλεπὸν ἐστὶ γνῶναι περὶ αὐτῶν, ὁπότεροι τἀληθῆ λέγουσι. περὶ μὲν γὰρ τῆς οἰκίας, εἰ φησὶν

22 ὑπ' ἐμοῦ πεισθέντα Πολύευκτον προστάξαι τοὺς ὅρους στῆσαι τῶν χιλίων, ἀλλ' οὐ δήπου καὶ τοὺς μάρτυρας ἔπεισα, ὦ Σπουδία, ψευδῆ μοι μαρτυρεῖν τοὺς παραγενομένους ὅτ' ἠγγύα μοι, τοὺς εἰδότας ἔλαττόν με κομισάμενον, τοὺς ἀκούοντας ὁμολογοῦντος ὀφείλειν ἐμοὶ, συστήσαντος ἀποδοῦναι, τοὺς τελευταῖον ταῖς διαθήκαις

23 παραγενομένους· τούτοις γὰρ ἅπασιν οὐκέτι καταγελᾶσθαι τοῦθ' ὑπῆρχεν, ἀλλὰ κινδυνεύειν τὴν ψευδομαρτυριῶν, εἰ μηδὲν τῶν γενομένων μαρτυροῖεν. ἀφέμενοι τοίνυν τοῦτ' ἤδη πρὸς ἐκεῖνο δὲ τί ἂν λέγοις; ἀκριβῶς γὰρ ὅπως τουτοισὶ διδάξῃς. εἰ δὲ μὴ, πάντες ὑμεῖς ἀπαιτεῖτ' αὐτόν. ὅτε γὰρ Πολύευκτος διετί- ἀκριβῶς ὑφηγήσῃ ὅπως

4 θετο ταῦτα, παρῆν μὲν ἡ τούτου γυνή· καὶ δῆλον ὅτι τὰς τοῦ πατρὸς διαθήκας ἀπήγγελλεν. ἄλλως τ' εἰ καὶ μηδὲν ἴσον εἶχεν, ἀλλ' ἐν ἅπασιν ἠλαττοῦτο. παρεκλήθη δ' αὐτὸς οὗτος, ὥστε μηδὲ τοῦτ' ἐνῇ λέγειν, ὡς λάθρα καὶ διακρυψάμενοι τούτοις ἐπράττομεν ταῦτα. παρακαλούμενος γὰρ ἔφησεν αὐτὸς μὲν ἀσχολίαν ἄγειν, καὶ ἰδίᾳ κρυφ.

5 τὴν δὲ γυναῖκα ἐξαρκεῖν τὴν αὐτοῦ παροῦσαν. τί ἔτι λοιπόν; ἀπαγγείλαντος δ' Ἀριστογένους αὐτῷ περὶ ἁπάντων τούτων ἀκριβῶς, οὐδ' ἐνταῦθ' οὐδένα φαίνεται λόγον ποιησάμενος, ἀλλ' ἐπιβιοῦντος μετὰ ταῦτα τοῦ Πολυεύκτου πλέον ἢ πένθ' ἡμέρας, οὔτ' ἠγανάκτησεν εἰσελθὼν, οὔτ' ἀντεῖπεν οὐδέν· οὐδ' ἡ γυνὴ παροῦσα ἐξ ἀρχῆς ἅπασι τούτοις. ὥστ' οὐκέτι Πολύευκτος αὐτὰ πεισθεὶς ἐμοὶ κατεχαρίζετο, ὡς ἔοικεν, ἀλλ' ὑμεῖς αὐτοί. ταῦτα τοίνυν, ὦ ἄνδρες δικασταί, μεμνημένοι σαφῶς, ἐὰν ἄρα τι περὶ αὐτῶν ἐγχειρῇ νῦν διαβάλλειν, ἀντίθετε. πρότερον δ' ἵν' εἰδῆτ' ἀκριβῶς ὅτι τοῦτον τὸν τρόπον ἔχει, τῶν μαρτύρων ἀκούσατε. λέγε.

Μάρτυρες.

Οὐκοῦν, ὦ ἄνδρες δικασταί, τῶν μὲν χιλίων δραχμῶν ὡς δικαίως καὶ προσοφειλομένων ἀπετίμησέ μοι τὴν οἰκίαν ὁ Πολύευκτος, αὐτὸς οὗτός μοι μαρτυρεῖ, καὶ ἡ τούτου γυνὴ, πρὸς τοῖς ἄλλοις τούτοις τοῖς μεμαρτυρηκόσι, συγχωροῦντες τότε, οὔτε πρὸς τὸν Πολύευκτον ἀντειπόντες ἐπιβιοῦντα τοσαύτας ἡμέρας, οὔτε πρὸς τὸν Ἀριστογένην, ἐπεὶ τάχιστ' ἤκουσαν. ἀλλὰ μὴν εἴγε δικαίως ἀπετιμήθη μεμνημένοις τοῦ νόμου, καθ' ὃν μὲν τὴν ψῆφον ὑμῖν οὐκ ἔστιν ἀποψηφίσασθαι Σπουδίου. σκέψασθε δὴ καὶ περὶ τῶν εἴκοσι μνῶν, ἃς οὐκ ἐπαναφέρει· καὶ γὰρ ἐνταῦθα πάλιν αὐτὸς οὗτος ὁ Πολύευκτος αὐτὸς ὑπὲρ ἐμοῦ μαρτυρεῖ καὶ

μέγιστος

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὑπολόγῳ μὰ Δία, ὥσπερ νῦν, ἀντιδικεῖν. τουτὶ μὲν γὰρ οὐ- 2
σὸν τεκμήριόν ἐστιν ἀλλ' ἔργῳ περιφανές. τί ποιῶν, ὦ ἄνδρες δικασταί; τούτῳ γὰρ
ἤδη προσέχετε τὸν νοῦν, ἵν', ἐὰν ἄρα τολμᾷ τι καὶ περὶ τῆς μητρὸς τῆς γυναικὸς
βλασφημεῖν, ἢ περὶ τῶν γραμμάτων, εἰδότες ὑμᾶς μὴ δύνηται λέγων ἐξαπα-
τᾶν. ταυτὶ γὰρ τὰ γράμματα κατέλιπε μὲν ἡ Πολυεύκτου γυνή, καθάπερ εἶπον 30
ὀλίγῳ πρότερον. ὁμολογουμένων δὲ τῶν σημείων καὶ παρὰ τῆς τούτου γυναικός,
καὶ παρὰ τῆς ἐμῆς, ἀμφότεροι παρόντες ἀνοίξαντες, ἀντίγραφά τ' ἐλαβόμεθα,
κἀκεῖνα πάλιν κατασημηνάμενοι, παρ' Ἀριστογένει κατεθέμεθα. τοῦτο δὴ τοῦτο, ὦ
ἄνδρες δικασταί, μάθετε πρὸς θεῶν· ἐνῆσαν μὲν γὰρ αἱ δύο μναῖ, ἡ τιμὴ τοῦ οἰ-
καὶ τοῦτο — κέτου, καὶ οὐ τοῦτο μόνον ὁ Πολύευκτος αὐτὰ ἀποθνήσκων ἐγκεκλήκει· ἐνῆσαν δ' αἱ 31
χίλιαι καὶ ὀκτακόσιαι δραχμαί. ταῦτα δ' ἀναγνούς, εἰ μὲν μηδὲν αὐτῷ προσῆ-
κε, μηδ' ἀληθῆ τὰ γεγραμμένα ἦν, τί δή ποτ' οὐδὲν οὐκ εὐθὺς ἠγανάκτει περὶ
αὐτῶν; τί δὲ συνεσημαίνετο πάλιν τὰ μηδὲν ὑγιὲς ἔχοντα, μηδ' ἀληθῆ γεγραμ-
μένα; τουτὶ γὰρ οὐδ' ἂν εἷς δήπου μὴ πᾶσιν ὁμολογῶν τοῖς γεγραμμένοις ποιήσειεν. 32
ἀλλὰ μήν, ὦ ἄνδρες δικασταί, τοῦτό γε δεινὸν δήπου, εἰ περὶ τὰ συγκεχωρημένα
ὑπ' αὐτῶν τούτων, ἐξέσται νῦν ἀντιλέγειν, καὶ μηδὲν σημεῖον ὑμῖν ἔσται, διότι πάν-
τες ἄνθρωποι πρὸς τὰ μήτ' ἀληθῆ, μήτε δίκαια τῶν ἐγκλημάτων, οὐ κατασιωπᾶν,
ἀλλὰ παραχρῆμα ἀμφισβητεῖν εἰώθαμεν· μὴ ποιήσαντες δὲ ταῦτα, ἂν ὕστερον 33
καὶ συκ. — ἀντιδικῶσι, πονηροὶ καὶ συκοφάνται δοκοῦσιν εἶναι. ταῦτα μὲν τοίνυν Σπουδίας οὐδὲν
ἧττον ἐμοῦ γιγνώσκων, ἀλλ' οἶμαι καὶ ἀκριβέστερον, ὅσῳ καὶ πυκνότερον ἐν τούτοις
περιέρχεται, πᾶσιν ἐναντία τοῖς πεπραγμένοις ἑαυτῷ λέγων, οὐκ αἰσχύνεται.
καίτοι πολλάκις ὑμεῖς οὐ μόνον σκευώρημα συνειδότες, τούτῳ κατὰ τῶν ἄλλων τῶν 34
ἐγκαλουμένων ἐχρήσασθε τεκμηρίῳ. τούτῳ δ' ἁπάντων ὑφ' αὑτοῦ συμβέβηκεν ἐ-
ξελέγχεσθαι. Καί μοι λαβὲ τὴν μαρτυρίαν, ὡς ὡμολόγει τότε τὰ σημεῖα τῶν γραμ-
μάτων ὑπὸ τῆς τούτου γυναικός, καὶ νῦν ὑπὸ Σπουδίου κατασημανθέντα κεῖται.

Μαρτυρία. 35

Τούτων τοίνυν σαφῶς οὕτως ἀποδεδειγμένων, ἡγοῦμαι μὲν οὐδὲν ἔτι δεῖν πλείω
λέγειν. ὁπότε γὰρ καὶ νόμους ἔχω παρέχεσθαι, καὶ μάρτυρας ἁπάντων τῶν εἰρημέ-
νων, καὶ τὸν ἀντίδικον αὐτὸν ὁμολογοῦντά μοι, τί δεῖ μακρῶν ἔτι λόγων; ὅμως δ' ἂν
ἄρα περὶ τῆς προικὸς ἀγανακτῇ, καὶ φάσκῃ πλεονεκτεῖσθαι ταῖς χιλίαις δρα- 36
χμαῖς, ψεύσεται· οὐδὲν γὰρ ἔχων ἔλαττον, ἀμφισβητεῖ πρὸς αὐτάς, ἀλλὰ πλέον,
ὡς αὐτίχ' ὑμῖν ἔσται φανερόν. οὐ μὴν ἀλλ' εἰ πάντα ταῦθ' ὡς ἀληθῶς συνέβη, οὐ
δήπου δίκαιον ἐμὲ τὴν ὁμολογηθεῖσαν προῖκα μὴ λαβεῖν, εἴπερ ὄφελός τι τῶν νό-
μων ἐστίν, οὐδέ γε τὸν Πολύευκτον, εἰ τῶν θυγατέρων ἐβούλετο τῇ μὲν ἐλάττω, τῇ δὲ 37
πλείω προῖκ' ἐπιδοῦναι, διακωλυθῆναι νυνί. σοὶ γὰρ αὐτῷ μὴ λαμβάνειν ἐξῆν,
ὦ Σπουδία, μὴ προστιθεμένων, ὥσπερ ἐμοί, τῶν χιλίων. ἀλλ' οὐδὲν ἔλαττον εἶχες,
τούτῳ, λαβὲ — ὡς ἐγὼ διδάξω. πρῶτον δ' ἐφ' οἷς ἐξέδοτο, τούτων λαβὲ τὴν μαρτυρίαν.

Μαρτυρία. 38

ἔχει Σπουδίας, φήσαι τις — Πῶς οὖν οὐδὲν ἔλαττον ἔχει, φήσει τις, εἰ τούτῳ μὲν ἐν ταῖς τετταράκοντα μναῖς
ἐπετιμᾶτο τὰ χρυσία, καὶ τὰ ἱμάτια τῶν χιλίων· ἐμοὶ δ' αἱ δέκα μναῖ, χωρὶς
προσαπεδίδοντο; τοῦτο δὴ καὶ μέλλω λέγειν. ὁ μὲν γὰρ δὴ Σπουδίας, ὦ ἄνδρες
δικασταί, παρὰ τοῦ Λεωκράτους ἔχουσαν τὰ χρυσία καὶ τὰ ἱμάτια τὴν γυναῖκ' ἔλαβεν, 39



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὧν ὁ πολύευκτος προσαπέτισε τῷ λεωκράτει, πλέον ἢ χιλίας· ἐγὼ δ᾽ ἅπερ ἐ-
πέπεμψέ μοι χωρὶς τῆς προικὸς ὅσ᾽ ἔχω μόνον πρὸς τὰ τούτῳ δοθέντα ἐὰν ἐξετάζῃ τις,
40 εὑρήσει παραπλήσια, χωρὶς τῶν εἰς τὰς χιλίας ἀποτιμηθέντων. ὥστ᾽ εἰκότως ἐν
ταῖς τετταράκοντα μναῖς ἀπετιμᾶτο ταῦθ᾽ ἅπερ ἀποτετίκει τῷ λεωκράτει, ἃ
πλείω τῶν ἐμοὶ δοθέντων ἦν. Καί μοι λαβὲ πρῶτον μὲν τὴν ἀπογραφὴν ταυ-
τηνί, καὶ λέγε αὐτοῖς νῦν, ἅπερ ἑκάτερος ὑμῶν ἔχει. μετὰ δὲ ταῦτα, τὴν τῶν διαι-
41 τητῶν μαρτυρίαν, ἵν᾽ εἰδῶσιν, ὅτι καὶ πολλῷ πλείω χρήματ᾽ ἔχει, καὶ περὶ τούτων ὁ
λεωκράτης ἐνεκάλει, καὶ κατὰ ταῦτα ἔγνωσαν οἱ διαιτηταί. λέγε.

προσαπέτι-σε χ. προσε-πέπεμψε τῷ φιλοκράτει. ἀπετιμᾶτο

Απογραφή. Μαρτυρία.

Ἀρ᾽ οὖν οὐ φανερῶς οὗτος μὲν ἔχει τετταράκοντα μνᾶς πάλαι τὴν προῖκα·
42 ἐγὼ δὲ τὰς μὲν τριάκοντα μνᾶς, καθάπερ οὗτος· τὰς δὲ χιλίας, οὐ μόνον ὕστερον
οὐκ ἐκομισάμην, ἀλλὰ καὶ νυνὶ κινδυνεύω περὶ αὐτῶν ὡς ἀδίκως ἔχων; διὰ ταῦ-
τα μέντοι σπουδίας, ὦ ἄνδρες δικασταί, τοῖς φίλοις οὐκ ἐβούλετο ἐπιτρέψαι ἀ-
παλλαγῆναι τῶν πρὸς ἐμὲ ἐγκλημάτων, ὅτι συνέβαινεν αὐτῷ ταῦτα πάντ᾽ ἐξελέγ-
43 χεσθαι· πᾶσι γὰρ τούτοις παραγεγενημένοι καὶ σαφῶς εἰδότες, οὐκ ἐπέτρεπον ἂν
αὐτῷ λέγειν ὅ,τι τύχοι· παρ᾽ ὑμῖν δ᾽ οἴεται ψευδόμενος, ἐμοῦ τ᾽ ἀληθῆ λέγοντος πε-
ριγενήσεσθαι. καίτοι περὶ ὧν ἐγκαλῶ, πάνθ᾽ ὑμῖν ἀπέδειξα σαφῶς, ὡς οἷός τ᾽ ἦν
αὐτός. τοὺς δ᾽ εἰδότας οὑτοσὶ ἔφευγεν, οὐχ ἡγούμενος ῥᾴδιον εἶναι παραλογίσασθαι. μὴ
42 τοίνυν, ὦ ἄνδρες δικασταί, μηδ᾽ ὑμεῖς ἐπιτρέπετε αὐτῷ ψεύδεσθαι, καὶ διαβάλ-
λειν, μεμνημένοι τῶν εἰρημένων· ἴστε γὰρ πάνθ᾽ ὡς ἐλέγετο. πλὴν εἴ τι παρέλιπον ἐ-
γώ, πρὸς ὀλίγον ὕδωρ ἀναγκαζόμενος λέγειν.

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΦΑΙΝΙΠΠΟΝ, ΠΕΡΙ ἀντιδόσεως λόγου.

ΟΜΕΝ λόγος, οὐκ ἀναφέρεται παρά τινων εἰς τὸν δημοσθένην. ὑπόθεσιν δὲ ἔχει τοιαύτην. ἦν σύνταγμα παρὰ τοῖς ἀθηναίοις τριακοσίων ἀνδρῶν κατὰ τὸν πλοῦτον ἐξειλεγμένων, οἷς ἀνέκειντο τῶν λειτουργιῶν αἱ μείζονες. νόμος δὲ ἐδίδου τῷ πεποιηκότι τούτων ὑπεξελθεῖν ἐκ τοῦ συντάγματος, εἴ τινα ἑαυτοῦ πλουσιώτερον σχολάζοντα ἐπεδείκνυε. καὶ εἰ μὲν ὁ προβληθεὶς ὡμολόγει πλουσιώτερος εἶναι, εἰς τοὺς τριακοσίους ἀντικαθίστατο· εἰ δὲ ἠρνεῖτο, τὴν οὐσίαν ἀντεδίδοσαν. νῦν τοίνυν εἷς τῶν τριακοσίων πεπονηκέναι λέγων, καὶ εἶναι πένης, ἐπὶ φαίνιππον ἐλήλυθε. καὶ τῆς οὐσίας εἰς ἀντίδοσιν ἥκουσι. περὶ δὲ τούτων ἐγκαλεῖ τῷ φαινίππῳ, ὡς οὐδὲ τὴν ἀπογραφὴν τῆς οὐσίας δεδωκότι κατὰ τὸν προσήκοντα χρόνον, ἀλλ᾽ ὕστερον πολλῷ, τά τε σημεῖα τῶν οἰκημάτων ἀφῃρηκότι ὥσπερ τοῦ διαφορῆσαι τῶν ἔνδον τινά, καὶ ψευδῶς ὀφείλει πολλὰ προσποιουμένῳ.

# ΔΗΜΟΣΘΕΝΟΥΣ Ο ΠΡΟΣ ΦΑΙΝΙΠΠΟΝ, ΠΕΡΙ ΑΝΤΙΔΟΣΕΩΣ ΛΟΓΟΣ.

Πολλὰ κἀγαθὰ γένοιτο, ὦ ἄνδρες δικασταί, πρῶτον μὲν ὑμῖν ἅπασιν· ἔπειτα δέ, καὶ σόλωνι τῷ νομοθετήσαντι τὸν περὶ τῶν ἀντιδόσεων νόμον. εἰ μὴ γὰρ οὗτος ἡμῖν σαφῶς διώρισε, τί πρῶτον δεῖ ποιεῖν τοὺς ἀντιδεδωκότας, καὶ τί δεύτερον, καὶ τἄλλα δ᾽ ἐφεξῆς, οὐκ οἶδ᾽ ὅποι προῆλθεν ἂν ἡ τουτουὶ φαινίππου τόλμα· ὅπου γὰρ καὶ νῦν ἁπάντων ταῦτα προλέγοντος ὑμῖν τοῦ νόμου, ὅμως οὐδὲν φροντί-

σας τῶν

σας τῶν ἐν αὐτῷ γεγραμμένων δικαίων, ἀντὶ μὲν τοῦ τριῶν ἡμερῶν ἀφ' ἧς ὤμο-
ἀπόφασιν σε τὴν ἀπόφασιν δοῦναί μοι τῆς οὐσίας τῆς αὑτοῦ κατὰ τὸν νόμον, ἢ εἰ μὴ τότε ἐβού-
λετο, τῇ γε ἕκτῃ δοῦναι τοῦ Βοηδρομιῶνος μηνός, ἣν δεηθείς μου ἔθετο, καὶ ἐν ᾗ 3
ἀπόφασιν ὡμολόγησε δώσειν τὴν ἀπόφασιν, οὐδ' ἕτερα τούτων ἐποίησεν, ἀλλὰ καταφρο-
νήσας ἀμφοτέρων καὶ ἡμῶν, καὶ τοῦ νόμου, δευτέρῳ μηνὶ ἔδωκε, δυοῖν ἢ τρισὶν ἡ-
μέραις πρότερον τῆς εἰς τὸ δικαστήριον εἰσόδου· τὸν δ' ἄλλον ἅπαντ' ἐκποδὼν
ἦν χρόνον. ἀντὶ δὲ τοῦ τὰ σημεῖα ἐᾶν τῶν οἰκημάτων, ἃ παρεσημηνάμην, ἐλθὼν 4
εἰς ἀγρὸν ἀνέῳξε, καὶ τὰς κριθὰς ἐξεφόρησε, καὶ τὰ ἄλλα, ὥσπερ ἐξουσίαν δεδωκό-
τος αὐτῷ τοῦ νόμου ποιεῖν ὅ,τι ἂν βούληται, καὶ μὴ ὡς δίκαιόν ἐστιν. ἐγὼ δ', ὦ ἄνδρες
δικασταί, ἥδιστα μὲν ἐμαυτὸν εἶδον εὐτυχοῦντα, ὥσπερ πρότερον τῇ οὐσίᾳ, καὶ μέ-
νοντα ἐν τοῖς τριακοσίοις. ἐπειδὴ δὲ τὰ μὲν τῆς κοινῆς ἀτυχίας μετασχὼν τοῖς ἄλλοις 5
τοῖς ἐργαζομένοις ἐν τοῖς ἔργοις τὰ δίκαια, μεγάλαις περιπεπτωκὼς ζημίαις, ἀπο-
λώλεκα τὴν οὐσίαν· καὶ τὸ τελευταῖον νῦν ἐμὲ δεῖ τῇ πόλει τρία τάλαντα κατα-
θεῖναι, τάλαντον κατὰ τὴν μερίδα. μετέσχον γάρ, ὡς μή ποτε ὤφελον, κἀγὼ τοῦ δη-
μευθέντος μετάλλου· ἀναγκαῖόν ἐστιν εἰς τὴν ἐμὴν τάξιν πειρᾶσθαι καθιστάναι, τὸν 6
οὐ μόνον ἐμοῦ νῦν ὄντα πλουσιώτερον, ἀλλὰ καὶ πρότερον, καὶ οὐδὲ πώποτε
οὐδὲν λελειτουργηκότα ὑμῖν, οὐδ' εἰσενηνοχότα τῇ πόλει. δέομαι οὖν ὑμῶν ἁπάν-
των, ὦ ἄνδρες δικασταί, ἐὰν ἐπιδεικνύω Φαίνιππον τουτονί, καὶ παραβεβηκότα τὰ
ἐν τοῖς νόμοις δίκαια, καὶ πλουσιώτερον ὄντα ἐμοῦ, βοηθῆσαί μοι, καὶ τοῦτον εἰς τοὺς 7
τριακοσίους ἀντ' ἐμοῦ καταστῆσαι· διὰ τοῦτο γὰρ οἱ νόμοι καθ' ἕκαστον ἔτος ποιοῦσι
τὰς ἀντιδόσεις, ὅτι τὸ διευτυχεῖν συνεχῶς τῇ οὐσίᾳ, οὐ πολλοῖς τῶν πολιτῶν δια-
μένειν εἴθισται. ἐξ ἀρχῆς δ' ὑμῖν ἅπαντα τὰ γενόμενα περὶ τὴν ἀντίδοσιν διηγή-
σομαι. τοῦ γὰρ Μεταγειτνιῶνος μηνός, ὦ ἄνδρες δικασταί, τῇ δευτέρᾳ ἱσταμένου, ἐ- 8
ποίουν οἱ στρατηγοὶ τοῖς τριακοσίοις τὰς ἀντιδόσεις. ἐν ταύταις ἐκάλεσα κατὰ τὸν
νόμον Φαίνιππον τουτονί. καλέσας δὲ καὶ παραλαβὼν τῶν οἰκείων τινὰς καὶ φίλων,
ἐπορευόμην Κυθήραδε εἰς τὴν ἐσχατιὰν αὐτοῦ. καὶ πρῶτον μὲν περιαγαγὼν τὴν
ἐσχατιὰν αὐτοῦ, πλέον ἢ σταδίων οὖσαν τετταράκοντα, κύκλῳ ἔδειξα καὶ διεμαρτυ- 9
ράμην ἐναντίον Φαινίππου, ὅτι οὐδεὶς ὅρος ἔπεστιν ἐπὶ τῇ ἐσχατιᾷ. εἰ δέ φησιν, εἰ-
πεῖν ἐκέλευον αὐτὸν ἤδη καὶ δεῖξαι, ὅπως μὴ ὕστερον ἐνταῦθα χρέος γενόμενον,
ἀναφανήσοιτο ἐπὶ τῷ χωρίῳ. ἔπειτα παρεσημηνάμην τὰ οἰκήματα, καὶ τοῦτον
ἐκέλευον εἰς τἀμὰ βαδίζειν. μετὰ δὲ ταῦτα ἠρόμην, ὅπου ὁ σῖτος εἴη ὁ ἀπηλοημέ- 10
ἅλοι νος. ἦσαν γάρ, νὴ τοὺς θεοὺς καὶ τὰς θεάς, ὦ ἄνδρες δικασταί, δύο ἅλως αὐτόθι μι-
κροῦ πλέθρου ἑκατέρα. ὁ δ' ἀπεκρίνατό μοι, ὅτι ὁ μέν, πεπραμένος εἴη τοῦ σίτου·
ὁ δέ, ἔνδον ἀποκείμενος. τέλος δέ, ἵνα μὴ μακρολογῶ, καταστήσας φυλάττειν ἔνδον
τινάς, καὶ νὴ Δία ἀπειπὼν κωλῦσαι τοὺς ὀνηλάτας μὴ ἐξάγειν τὴν ὕλην ἐκ τῆς 11
ἐσχατιᾶς· πρὸς γὰρ τῇ ἄλλῃ οὐσίᾳ τῇ Φαινίππου, ὦ ἄνδρες δικασταί, καὶ αὕτη πρό-
σοδος μεγάλη ἐστὶν αὐτῷ, ἓξ ὄνοι δι' ἐνιαυτοῦ ὑλαγωγοῦσι· καὶ λαμβάνει οὗτος πλέον
δραχμὰς τῆς ἡμέρας· τούτοις ἀπειπών, ὥσπερ λέγω, τῆς ὕλης μὴ ἅπτεσθαι, καὶ ἐ-
παγγείλας ἐπὶ τὰ ἱερὰ Φαινίππῳ κατὰ τὸν νόμον ἀπαντᾶν, ᾠχόμην ἀπιὼν εἰς ἄ-
στυ. πρῶτον μὲν οὖν τῶν εἰρημένων τὰς μαρτυρίας ὑμῖν παρέξομαι. ἔπειτα καὶ πε-
ρὶ τῶν ἄλλων ἀκούσεσθε πάσας τὰς ἀληθείας· τουτονὶ γάρ, ὦ ἄνδρες δικασταί, Φαίνιπ-
πον, εὑρήσετε εὐθὺς ἀπὸ τῆς πρώτης ἡμέρας, ἀρξάμενον τοῦ μηδὲν δίκαιον ποιεῖν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

13 παρεσημηνάμην τὰ οἰκήματα, τοῦ νόμου μοι δεδωκότος
ἀφεῖλε τὸ σημεῖον, ὡμολόγει· τὸ δὲ ἀνοῖξαι τὴν θύραν,
τίνος ἕνεκα τὰ σημεῖα ἀφαιροῦντος, ἢ τοῦ τὰς θύρας ἀνοῖξαι. ἔπειτα ἀπεῖπον·
ὕλην μὴ ἐξάγειν ἐξῆγεν ἐπὶ ἁπάσας τὰς ἡμέρας, πλὴν ἐκείνης, ἐν ᾗ ἐγὼ ἀπεῖ-
14 πον, χρέος οὐδ' ὁτιοῦν ὠφείλετο ἐπὶ τῇ ἐσχατιᾷ. νῦν ἐστὶν ἀποφαίνει πολλά. ἁ-
πλῶς ποιεῖ ὅτι ἂν βούληται, οὐχ ὅ,τι ἂν οἱ νόμοι κελεύωσι. λέγε τὰς μαρτυρίας·
πρῶτον μὲν τὰς περὶ τοῦ μετάλλου, ἔπειτα καὶ τὰς ἄλλας.

Μαρτυρίαι.

15 Ἃ μὲν τοίνυν εὐθὺς τῇ πρώτῃ ἡμέρᾳ μετὰ τὰς ἀντιδόσεις ἤρξατό με Φαίνιπ-
πος ἀδικεῖν, ἀκηκόατε, ὦ ἄνδρες δικασταί, καὶ ἐμοῦ καὶ τῶν μαρτύρων. τὰ δὲ μετὰ
ταῦτα γεγενημένα, οὐκ ἔτ' εἰς ἐμὲ μόνον αὐτῷ ἡμάρτηται, ἀλλὰ καὶ εἰς τοὺς νό-
μους ὑπὲρ ὧν ὑμῖν ἅπασι σπουδαστέον ἐστίν. ὀμόσας γὰρ τῇ ἑνδεκάτῃ τοῦ Βοηδρο-
16 μιῶνος μηνός, ἀποφαίνειν ὀρθῶς καὶ δικαίως τὴν οὐσίαν, τοῦ νόμου διαρρήδην
λέγοντος τριῶν ἡμερῶν, ἀφ' ἧς ἂν ὀμόσῃ, διδόναι τὴν ἀπόφασιν, ἐδεῖτό μου ἀπόφασιν.
προσελθὼν πρὸ τοῦ δικαστηρίου μετὰ Πολυεύκτου τοῦ Κριωέως, καὶ Τερεντίου, πρῶ-
τον μὲν περὶ διαλύσεως συνελθεῖν ἑαυτῷ· πάντα γάρ μοι τὰ δίκαια ποιήσειν· ἔ-
17 πειτα τὴν ἀπόφασιν τῆς οὐσίας ἀναβαλέσθαι μὴ πολλὰς ἡμέρας. οὐ γὰρ ἀγνοεῖν
μου τὰ πράγματα. ἡγησάμενος δ' ἐγὼ καὶ μετρίου καὶ ἀπράγμονος εἶναι πολί-
του μὴ εὐθὺς ἐπὶ κεφαλὴν εἰς τὸ δικαστήριον βαδίζειν, ἐπείσθην· τί γὰρ δεῖ μα-
κρολογεῖν; τὴν μὲν σύνοδον τὴν περὶ τῶν διαλύσεων, τῇ ὀγδόῃ φθίνοντος
18 τοῦ Βοηδρομιῶνος μηνός, ὁμολογήσαι ποιήσασθαι· τὴν δ' ἀπόφασιν τῆς οὐ-
σίας, τῇ ἕκτῃ φθίνοντος. τυχὼν δὲ τούτων παρ' ἐμοῦ Φαίνιππος, οὐδ' εἰς ἑ-
τέραν τῶν ἡμερῶν ἀπήντησεν· ἀλλ' ἀνθ' ἑνὸς δύο νόμους ἥκει πρὸς ὑμᾶς παρα-
βεβηκώς· ἕνα μέν, τὸν κελεύοντα τριῶν ἡμερῶν, ἀφ' ἧς ἂν ὀμόσῃ, τὴν οὐσίαν ἀπο-
19 φαίνειν· ἕτερον δέ, κελεύοντα κυρίους εἶναι τὰς πρὸς ἀλλήλους ὁμολογίας, ἃς ἐναν-
τίον μαρτύρων ποιήσωνται. καίτοι, ὦ ἄνδρες δικασταί, τίς οὐκ οἶδεν ὑμῶν, ὅτι ὁμοίως
ἥ τε ἐν τῷ νόμῳ γεγραμμένη ἡμέρα κυρία ἐστί, καὶ ἡ ὑπὸ τῶν ἀντιδίκων συγ-
χωρηθεῖσα; πολλάκις γὰρ παρά γε τοῖς νόμοις γεγραμμένης τριακοστῆς ἡμέρας,
20 ἑτέραν ἡμῖν αὐτοῖς συγχωρήσαντες, ἐθέμεθα· παρὰ ταῖς ἀρχαῖς ἁπάσαις, καὶ δί-
και, καὶ κρίσεις ἀναβάλλονται τοῖς ἀντιδίκοις οἱ ἄρχοντες συγχωρησάντων ἐκείνων
ἀλλήλοις. ὧν εἴ τις ἄκυρον ἡγήσαιτο δεῖν εἶναι τὰς πρὸς ἀλλήλους ὁμολογίας, μι-
σήσαιτ' ἂν αὐτὸν ὡς ὑπερβάλλοντα συκοφαντίᾳ. Φαίνιππος τοίνυν, ὥσπερ τοῦ νό-
21 μου προστάττοντος μηδὲν ποιεῖν, ὧν ἂν ὁμολογήσῃ τις, ἀπ' ἐκείνης τῆς ἡμέρας, ἀφ'
ἧς ὡμολόγησεν ἐπί τε τὰς διαλύσεις ἀπαντήσεσθαι, καὶ τὴν ἀπόφασίν μοι τὴν
αὐτοῦ δώσειν, καὶ τὴν παρ' ἐμοῦ λήψεσθαι, οὐδὲ πώποτ' ἀπήντησεν. ἀλλ' ἐγὼ μὲν
ἐπειδὴ τοῦτον ἑώρων οὐ προσέχοντά μοι τὸν νοῦν, οὐδὲ τοῖς νόμοις, εἰς τὸ στρατήγιον
22 ἔδωκα τὴν ἀπόφασιν. οὗτος δ', ὅπερ καὶ μικρῷ πρότερον εἶπον πρὸς ὑμᾶς, ἔδωκέ
μοι βιβλίον, οὐδέν, ἀλλ' ἢ βουλόμενος δοκεῖν μὲν δεδωκέναι τὴν ἀπόφασιν, μὴ οὐδὲν ἄλλο,
ἔχειν δέ με τοῖς ἐν αὐτῷ γεγραμμένοις ὅ,τι χρήσομαι. χρὴ δέ, ὦ ἄνδρες δικασταί, ἢ β.
μὴ τοὺς ἰσχυροτέραν νομίζουσι τῶν νόμων τὴν αὐτῶν βδελυρίαν εἶναι, πλέον τού-
23 τοις τοῦ δικαίου νέμειν. εἰ δὲ μή, πολλοὺς ποιήσετε τοὺς καταγελῶντας τῶν ἐν τοῖς
νόμοις γεγραμμένων δικαίων· ἀλλ' ἐκείνοις βοηθεῖν, οἵτινες ἂν τὴν τῶν νόμων φω-
νήν,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σι καὶ τὴν ἡμετέραν ταύτην, τὴν εἰς τὸ δικαστήριον,
ὑπὲρ τῶν ἠδικημένων εἶναι νομίζωσι, μὴ τῶν ἠδικηκότων. Λέγε τὰς ἀρτίως εἰ-
ρημένας τὰς μαρτυρίας, καὶ τοὺς νόμους. 24

Μαρτυρίαι. Νόμοι.

Τοιαῦτα τοίνυν, ὦ ἄνδρες δικασταὶ, πεπονθὼς ἐγὼ ὑπὸ Φαινίππου, ἀπε-
γραψάμην πρὸς τοὺς στρατηγοὺς ταύτην τὴν ἀπογραφήν. Λέγε.

Απογραφή. 25

Πρὸς οὖν ἄλλως πρὸς τῶν θεῶν καὶ δαιμόνων, ὦ ἄνδρες δικασταὶ, ἐπιδεικνύειν
ὑμῖν δεῖ Φαίνιππον ἔνοχον ὄντα τοῖς ἀναγνωσμένοις, ἢ ὅνπερ εἶπον ἐγὼ νῦν ἐπιδει-
κνύω; ἀλλ' ὅμως ἐμὲ ἀντεγράψατο Φαίνιππος μὴ δικαίως ἀποφαίνειν τὴν οὐ-
σίαν. οὕτω τὸ πρὸς ὑμᾶς ψεύδεσθαι τοῖς τοιούτοις ῥᾴδιόν ἐστι. καὶ κατηγορεῖ τοῦ ὅρ- 26
κου, ὃν ὤμοσε περὶ τῆς ἀποφάνσεως, λέγων, ὅτι πλὴν ὧν ἐν τοῖς ἔργοις ὑπεσχόμην
ἀποφαίνειν τὴν ἄλλην οὐσίαν, ὥσπερ τὸ κατὰ τοὺς νόμους ὀμνύειν, τοῦτ' ἄξιον κατη-
γορίας ὄν. ὑμεῖς δ' ἴστε, ὦ ἄνδρες δικασταὶ. ὑμεῖς γὰρ ἔθεσθε τὸν νόμον, ὃς διαρρήδην
οὕτω λέγει, τοὺς ἀντιδιδόντας ἀλλήλοις, ὅταν ὀμόσαντες ἀποφαίνωσι τὴν οὐσίαν, 27
προσομνύειν καὶ τόνδε τὸν ὅρκον· ἀποφαίνω τὴν οὐσίαν τὴν ἐμαυτοῦ, ὀρθῶς καὶ δι-
καίως, πλὴν τῶν ἐν τοῖς ἔργοις τοῖς ἀργυρείοις, ὅσα οἱ νόμοι ἀτελῆ πεποιήκασι.
μᾶλλον δὲ λέγε τὸν νόμον αὐτόν. Νόμος.

Μικρὸν μὲν οὖν ἱκετεύω, ἐπίσχες. ἐγὼ γὰρ καὶ πρότερον προσεκαλε- 28
σάμην Φαίνιππον, καὶ νῦν, ὦ ἄνδρες δικασταὶ, δίδωμι αὐτῷ δωρεὰν, καὶ ἀφί-
σταμαι μετὰ τῆς ἄλλης οὐσίας, καὶ τῶν ἐν τοῖς ἔργοις, ἐάν μοι τὴν ἐσχατιὰν μό-
νην ἐλευθέραν παραδῷ, ὥσπερ ἦν, ὅτ' ἐγὼ τὸ πρῶτον ἦλθον εἰς αὐτὴν μετὰ
μαρτύρων· καὶ ὅσον ἐξῆγεν ἐκ τῶν οἰκημάτων σῖτον καὶ οἶνον, καὶ τἆλλα, ἀφελὼν 29
ἐκ τῶν θυρῶν τὰ σημεῖα ταῦτα, πάλιν εἰς τὸ αὐτὸ καταστήσῃ. καὶ τί λέγεις ἔτι, καὶ
βοᾷς; πολλὰ ἐκ τῶν ἔργων τῶν ἀργυρείων ἐγὼ Φαίνιππε πρότερον αὐτὸς τῷ
ἐμαυτοῦ σώματι πονῶν, καὶ ἐργαζόμενος, συνελεξάμην. ὁμολογῶ. νυνὶ δὲ πλὴν
ὀλίγων, ἅπαντα ἀπολώλεκα. σὺ δ' ἐκ τῆς ἐσχατιᾶς νῦν πωλῶν τὰς κριθὰς ὀκ- 30
τωκαιδεκαδράχμους, καὶ τὸν οἶνον δωδεκάδραχμον, πλουτεῖς εἰκότως, ἐπειδὰν
ποιῇς, σίτου μὲν μεδίμνους πλέον, ἢ χιλίους, οἴνου δὲ μετρητὰς ὑπὲρ ὀκτακοσίους.
ἔπειτ' οὖν τὴν αὐτὴν ἡμᾶς τάξιν ἔχειν δεῖ, μὴ τῆς αὐτῆς τύχης ἡμῖν παρακολουθη-
σάσης νῦν τε καὶ πρότερον; μηδαμῶς. οὐ γὰρ δίκαιον. ἀλλὰ διάδεξαι καὶ σὺ, καὶ 31
μετάλαβε μικρὸν χρόνον τῆς τῶν λειτουργούντων τάξεως, ἐπειδὴ οἱ μὲν ἐν τοῖς ἔρ-
γοις ἠτυχήκασιν, ὑμεῖς δ' οἱ γεωργοῦντες, εὐπορεῖτε μᾶλλον, ἢ προσῆκεν. ἱκανὸν γὰρ
χρόνον δύ' οὐσίας καρπούμενος διατελεῖς· τὴν μὲν, τοῦ φύσει πατρὸς Καλλίππου·
τὴν δὲ, τοῦ ποιησαμένου Φιλοστράτου τοῦ ῥήτορος. καὶ οὐδὲν πώποτε τουτοισὶ πεποίη- 32
κας. καίτοι ὁ μὲν ἐμὸς πατὴρ, πέντε καὶ τετταράκοντα μνῶν ἑκατέρῳ, ἐμοί καὶ τῷ
ἀδελφῷ τὴν οὐσίαν κατέλιπεν· ἀφ' ἧς ζῆν, οὐ ῥᾴδιόν ἐστιν. οἱ δὲ σοὶ πατέρες, τοσού-
των ἦσαν κύριοι χρημάτων, ὥστε ἑκατέρου, τρίποις ἀνάκειται, νικησάντων αὐτῶν
διονύσια χορηγούντων. καὶ οὐ φθονῶ. δεῖ γὰρ τοὺς εὐπόρους, χρησίμους αὐτοὺς παρέ- 33
ἀνηλωκὼς χειν τοῖς πολίταις. σὺ τοίνυν δεῖξον χαλκοῦν ἕνα μόνον εἰς τὴν πόλιν ἀναλω-
κὼς, ὁ τὰς δύο λειτουργούσας οὐσίας παρειληφώς. ἀλλ' οὐ δείξεις. ἀποκρύπτεσθαι
γὰρ καὶ διαδύεσθαι καὶ πάντα ποιεῖν, ἐξ ὧν μὴ λειτουργήσῃς τουτοισὶ, μεμάθη-

34 κας. ἀλλ' ἐγὼ δείξω πολλὰ ἀναλωκὼς, ὃ τὴν μικρὰν οὐσίαν παραλαβὼν παρὰ τοῦ πατρός. πρῶτον δέ μοι τὸν νόμον ἐκεῖνον ἀνάγνωθι, τὸν οὐκ ἐῶντα τῶν ἐν τοῖς ἔργοις οὐδὲν ἀποφαίνειν· καὶ τὴν πρόκλησιν, ἔπειτα τὰς μαρτυρίας, ὡς δύ' οἴκων λειτουργούντων, οὑτοσὶ Φαίνιππος κεκληρονόμηκε. ἀνηλωκὼς

35 Νόμος. Πρόκλησις. Μαρτυρίαι.

Εν μόνον ἂν τις ἔχοι δεῖξαι τουτονὶ Φαίνιππον πεφιλοτιμημένον εἰς ὑμᾶς, ὦ ἄνδρες δικασταί. ἱπποτρόφος ἀγαθός ἐστι, καὶ φιλότιμος, ἅτε νέος, καὶ πλούσιος, καὶ ἰσχυρὸς ὤν. τί τούτου μέγα σημεῖον; ἀποδόμενος τὸν πολεμιστήριον ἵππον, κατα-
36 βέβηκεν ἀπὸ τῶν ἵππων· καὶ ἀντ' ἐκείνου ὄχημα αὐτῷ τηλικοῦτος ὢν ἐώνηται, ἵνα ἱππέων
μὴ πεζῇ πορεύηται· τοσαύτης τρυφῆς μεστὸς οὗτός ἐστι. καὶ τοῦτο ἀπογέγραφέ μοι, τῶν δὲ κριθῶν, καὶ τοῦ οἴνου, καὶ τῶν ἄλλων τῶν ἐκ τῆς ἐσχατιᾶς γιγνομένων, οὐδὲ τὸ δέκατον μέρος. ἄξιόν γε ἀφεῖναι νῦν αὐτόν ἐστιν· ἐπειδὴ χρήσιμός γε καὶ φιλότιμος καὶ
37 τῇ οὐσίᾳ καὶ τῷ σώματι γέγονε; πολλοῦ γε καὶ δεῖ. καλῶν γὰρ κἀγαθῶν ἐστι δικα-
στῶν, τοὺς μὲν τῶν πολιτῶν ἐθελοντὰς, ὅταν εὐπορῶσι, λειτουργοῦντας, καὶ ἐν τοῖς γρ. ἐθελοντάς.
τριακοσίοις ὄντας, ἀναπαύειν, ὅταν τούτου δεόμενοι τυγχάνωσι· τοὺς δὲ νομίζοντας ἀπολαύειν, ὅταν εἰς τὸ κοινόν τι δαπανήσωσιν, ἄγειν εἰς τοὺς προεισφέροντας, καὶ
38 μὴ ἐπιτρέπειν δραπετεύειν. Λέγε πρῶτον μὲν τὴν μαρτυρίαν, ἔπειτα τὴν
ἀπόφασιν αὐτοῦ. ἀπ

Μαρτυρία. Ἀπόφασις.

Εα ταῦτα, καίτοι πολλὰ τῶν ἔνδοθεν ἐκφορήσας, ὦ ἄνδρες δικασταί, Φαίνιπ-
39 πος, ἀνοίξας τὰ παρασεσημασμένα τῶν οἰκημάτων, ὡς ὑμῖν μεμαρτύρηται, καὶ
καταλιπὼν ὅσα ἔδοξεν αὐτῷ, δευτέρῳ μηνὶ τὴν ἀπόφασιν ἔδωκέ μοι τῆς οὐσίας. ἀλλ' ὅμως ἔα ταῦτα. Λέγε ἐντεῦθεν εἰ ἐπὶ τούτοις τάδε ὀφείλω. ὀφείλει.

Ἀπόφασις. Ἐπίσχες.

40 Αὕτη ἐστὶν, ὦ ἄνδρες δικασταὶ, ἡ Ἀριστονόη, ἡ τοῦ Φιλοστράτου θυγάτηρ, μήτηρ δὲ τουτουί. ταύτῃ χρέος φησὶν ὀφείλεσθαι Φαίνιππος, τὴν προῖκα· ἧς οἱ νόμοι κύριον τοῦτον ποιοῦσι, ψευδόμενος καὶ οὐ δικαίᾳ χρώμενος τῇ ἀποφάσει. διὰ τί γὰρ ἐγὼ, Φαίνιππε, μενούσης μοι τῆς μητρὸς ἐν τῷ οἴκῳ, καὶ ζώσης, καὶ προῖκα ἐπενεγ-
41 καμένης, οὐκ ἀπογράφω τὴν προῖκα χρέος αὐτῇ, οὐδὲ παρακρούομαι δικα-
στὰς, ἀλλ' ἐῶ μετέχειν τῶν ἐμαυτοῦ τὴν μητέρα, ἄν τε Φαινίππου, ἄν τε τὴν ἐμαυτοῦ ἔχω οὐσίαν; ὅτι οἱ νόμοι ταῦτα κελεύουσιν, ὦ βέλτιστε, σὺ δὲ πάντα ποιεῖς παρὰ τοὺς νόμους. Λέγε ἕτερον.

42 Ἀπόφασις.

Ἀκούετε, ὦ ἄνδρες δικασταὶ, Παμφίλῳ φησὶ καὶ Φιλόλεῳ Ῥαμνουσίοις κοινῇ τάλαντον ἓν ὀφείλειν, καὶ Αἰαντίδῃ Φλυεῖ τετρακισχιλίας, καὶ Ἀριστομένει Ἀναγυρα- ἀρισομένει
σίῳ, τέτταρας καὶ δέκα μνᾶς. διὰ τί οὖν, Φαίνιππε, ὅτε μὲν ἐγὼ μάρτυρας ἔχων
43 ἠρώτων σε, εἴ τι ὀφείλεις ἐπὶ τῇ ἐσχατιᾷ, καὶ ἐκέλευον δεῖξαι ὅρον εἴπου ἔπεστι, καὶ διε-
μαρτυρόμην, ὅπως μή μοι ὕστερον κατεσκευασμένοι δανεισταὶ φανήσονται, τότε μὲν οὐδὲν ἀπέφηνας τῶν χρεῶν· ἐπειδὴ δὲ δευτέρῳ μηνὶ τὴν ἀπόφασιν ἔδωκάς μοι τοῦ νόμου κελεύοντος τριῶν ἡμερῶν, νῦν ἥκουσι δανεισταὶ, καὶ ὀφλήματα πλέον ἢ τριῶν ταλάντων; ὅτι, ὦ βέλτιστε, οὐδὲν ἄλλο κατασκευάζεις, ἢ ὅσονπερ καινὸν γέγονέ μοι πρὸς τὴν πόλιν ὄφλημα, τοσοῦτον καὶ σοὶ ἰδίᾳ νῦν εἶναι. ὅτι δὴ, ὦ

Φαίνιππε,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Φαίνιππε, ψευδῆ, καὶ ὅτι ... ρηκὼς ἥκεις πρὸς τούτοις, ἤδη φανερῶς ἐλέγξω. Λάβε
μοι, γραμματεῦ, τὴν τοῦ αἰσχυτίδου καὶ θεοτέλους μαρτυρίαν οἷς ἐστὶ ἀπογέγρα-
φεν ὀφείλοντ' αὐτὸν τετρακισχιλίας δραχμὰς ψευδόμενος. καὶ πάλαι ἀποδεδω- 45
κὼς οὐχ ἑκὼν, ἀλλὰ δίκην ὀφλών. Λέγε. Μαρτυρία.

Ἔπειτ', ὦ ἄνδρες δικασταί, τὸν οὕτω καταφανῶς ἐν ἅπασιν ἀδίκως πεποιη-
μένον τὴν ἀπόφασιν, καὶ μήτε τῶν νόμων φροντίσαντα μηδὲν, οἳ διωρίκασιν ἐν
οἷς δεῖ τὴν ἀπόφασιν ποιεῖσθαι χρόνοις, μήτε τῶν ἰδίων ὁμολογιῶν, ἃς ὁμοίως 46
ὑπολαμβάνομεν ἰσχυράς· χωρὶς δὲ τούτων, ἀνεῳχότα τὰ σημεῖα τῶν οἰκημά-
των, καὶ ἐκπεφορηκότα τὸν σῖτον, καὶ τὸν οἶνον ἔνδοθεν· πρὸς δὲ τούτοις, τὴν ὕλην
τὴν τετιμημένην πεπρακότα μετὰ τὴν ἀντίδοσιν πλέον ἢ τριάκοντα μνῶν οὐ-
σαν ἀξίαν. καὶ τὸ πάντων μέγιστον, χρέα ψευδῆ κατεσκευακότα τῆς ἀντιδόσεως ἕνε- 47
κα· τοῦτον δικαίως ψηφιεῖσθε πεποιῆσθαι τὴν ἀπόφασιν; μηδαμῶς, ὦ ἄνδρες δικα-
σταί· πῇ γὰρ τρέπεσθαι δεήσει διαμαρτόντα τῆς ὑμετέρας γνώμης, ὅταν οἱ πλού-
... μένοι, πολὺν καὶ σῖτον καὶ οἶνον ποιοῦν-
διατιθέμενοι, πλεονεκτῶσι πρὸ 48
... καὶ κοινῇ πᾶσι βεβοηθήκατε τοῖς ἐν
... πατέ μοι νῦν. καὶ γὰρ εἰ οἰκέτης ὑμῶν
..., καὶ τὴν εἰς ὑμᾶς εὔνοιαν, ἐπαύσατ'
... τεύοντα τῶν ἄλλων ἤλθετε, τὸν αὐτὸν 49
... χρή, ἃ ὦφλον, καὶ ἀναλαβὼν ἐμαυ-
... κότων ἑτέρων, ἐπ' ἐμὲ ἥξετε· νῦν δ',
... σταί, τὰ δίκαια εἰρηκὼς, δέομαι βοη-
... ὑπὸ τούτων.

... Σ ΜΑΚΑΡΤΑΤΟΝ,
... λόγου.
... ἁγνίας ἐπλεύτησεν ἄπαις. ὁ δὲ εὐβουλίδης, θυγατέρα
... κλήρου τοῦ ἁγνίου, ὡς οὖσα ἐγγυτάτω τῷ γένει. ἠμφι- φιλομ.
... οὐκ ἀγχιστείᾳ γένους, ἀλλὰ διαθήκαις ἰσχυριζόμενοι. ὧν
... λαμβάνει τὸν κλῆρον ἡ φυλομάχη. εἷς ὢν γὰρ ὁ θεόπομ διαθήκαις
... αβών, καὶ πρὸς τούτοις εὐπόλεμον, προσκαλέσατο φιλομάχη
... ην. ἐδίδου γὰρ ὁ νόμος τῷ βουλομένῳ προσκαλεῖσθαι διαδικασίαν
πρὸς ἀπάτην τῆς δίκης, ὡς φησὶ σωσίθεος, ἐνίκησεν ὁ φιλομάχην
... ρτατον· τῇ δὲ φυλομάχῃ γίνεται παῖς, ὃν ὠνόμασεν φιλομάχῃ
πατρί, ἀνεψιῷ δὲ ἁγνίου τοῦ τὸν κλῆρον καταλελοιπό- ἀνδρί,
... ἴδου καὶ ἁγνίου. καὶ οἱ φράτορες ἐδέξαντο, ὡς δικαίως
... τοῦ κλήρου προσκέκληται μακάρτατον τὸν υἱὸν τοῦ θεο-
...

... ΥΣ Ο ΠΡΟΣ
... ΑΓΝΙΟΥ ΚΛΗΡΟΥ ΛΟΓΟΣ.
... ἀγῶνες ἐγένοντο ἡμῖν, ὦ ἄνδρες δικασταί, 1
... ις, περὶ τοῦ κλήρου τοῦ ἁγνίου, καὶ οὐδὲν
παύονται παρανομοῦντες, καὶ βιαζόμενοι, ὥστε ἐκ παντὸς
τρόπου τὰ μὴ προσήκοντα ἑαυτοῖς ἔχειν, ἀναγκὴ ἴσως ἐστὶ τὰ
πραχθέντ' ἐξ ἀρχῆς διηγήσασθαι. ὑμεῖς τε γάρ, ὦ ἄνδρες

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δικασταὶ, ἐὰν παρακολουθήσητε ἅπασι τοῖς λεγομένοις, [illegible] ἐπιδειχθήσονται,
οἷοί εἰσιν ἄνθρωποι, καὶ ὅτι πάλαι ἤδη ἀρξάμενοι οὐδὲν παύονται κακοτεχνοῦ-
ντες, καὶ οἰόμενοι δεῖν διαπράττεσθαι ὅ,τι ἂν ἐπέλθῃ τούτοις. δεόμεθα οὖν ὑμῶν,
3 ὦ ἄνδρες δικασταὶ, εὐνοϊκῶς ἀκροάσασθαι τῶν λεγομένων, καὶ παρακολουθεῖν προ-
σέχοντας τὸν νοῦν. πειράσομαι δὲ κἀγὼ διδάσκειν ὑμᾶς, ὡς ἂν οἷός τε ὦ, περὶ τῶν
πεπραγμένων σαφέστατα. τουτουῒ γὰρ τοῦ παιδὸς ἡ μήτηρ, ὦ ἄνδρες δικασταὶ, γένει
οὖσα ἐγγυτάτω Ἁγνίᾳ τῷ ἐξ Οἴου, ἐπεδικάσατο τοῦ κλήρου τοῦ Ἁγνίου κατὰ τοὺς νόμους
4 τοὺς ὑμετέρους· καὶ τῶν τότε ἀμφισβητησάντων αὐτῇ τοῦ κλήρου τουτουῒ, γένει μὲν
ὡς ἐγγυτέρω τις εἴη Ἁγνίου τῆς γυναικὸς, οὐδ' ἐπεχείρησεν οὐδεὶς διομόσασθαι· ὡμολο-
γεῖτο γὰρ παρὰ πάντων τῆς γυναικὸς εἶναι ἡ κληρονομία κατὰ τὴν ἀγχιστείαν· δια-
θήκας δὲ ψευδεῖς ἧκον κατασκευάσαντες Γλαῦκός τε ὁ ἐξ Οἴου, καὶ Γλαύκων ὁ ἀδελ-
5 φὸς αὐτοῦ, καὶ Θεόπομπος ὁ τουτουῒ πατὴρ Μακαρτάτου, ὃς ἐκείνοις συγκατεσκεύαζεν
ἅπαντα ταῦτα, καὶ ἐμαρτύρει ταῖς πλείστας μαρτυρίας. αἱ δὲ διαθῆκαι, ἃς τότε
παρέφερον, ἐξηλέγχθησαν ψευδεῖς οὖσαι. καὶ οὐ μόνον ἡττήθησαν, ἀλλὰ καὶ πονηρό-
τατοι δόξαντες εἶναι ἀπηλλάττοντο ἀπὸ τοῦ δικαστηρίου. καὶ ἐπιδημῶν τότε Θεόπομ-
6 πος ὁ τουτουῒ πατὴρ Μακαρτάτου, καὶ τοῦ κήρυκος κηρύττοντος, εἴ τις ἀμφισβητεῖν, ἢ
παρακαταβάλλειν βούλεται τοῦ κλήρου τοῦ Ἁγνίου, ἢ κατὰ γένος, ἢ κατὰ διαθήκας,
οὐκ ἐτόλμησε παρακαταβαλεῖν, ἀλλ' αὐτὸς ἑαυτῷ ἐδίκασεν, ὅτι οὐδαμόθεν αὐτῷ
προσῆκεν οὐδὲν τοῦ κλήρου τοῦ Ἁγνίου. ἐχούσης δὲ τῆς μητρὸς τοῦ παιδὸς τουτουῒ
7 τὸν κλῆρον, ἐπειδὴ ἐνίκησεν ἐν τῷ δικαστηρίῳ ἅπαντας τοὺς ἀμφισβητήσαντας
ἑαυτῇ, οὕτως εἰσὶ μιαροὶ οὗτοι, καὶ οὐκ οἴονται δεῖν οὔτε τοῖς νόμοις τοῖς ὑμετέροις
πείθεσθαι, οὔτε τοῖς γνωσθεῖσιν ἐν τῷ δικαστηρίῳ, ἀλλὰ πάντα τρόπον ἐπιχειροῦ-
ντες ἀφελέσθαι πάλιν τὴν γυναῖκα τὸν κλῆρον, ὃν ὑμεῖς αὐτῇ ἐψηφίσασθε, ὥστε
8 συνωμόσαντες καὶ συνθήκας γράψαντες πρὸς ἀλλήλους, καὶ καταθέμενοι πα-
ρὰ Μηδείῳ Ἀγνουσίῳ Θεόπομπος ὁ τουτουῒ πατὴρ Μακαρτάτου, καὶ Γλαύκων, καὶ Γλαῦ-
κος ὁ ἡττηθεὶς τὸ πρότερον, καὶ ἕτερόν τινα τῶν ἐπιτηδείων τέταρτον προσλαβόν-
τες, Εὐπόλεμος ἦν αὐτῷ ὄνομα, οὗτοι ἅπαντες κοινῇ ἐπιβουλεύσαντες, προσεκα-
9 λέσαντο τὴν γυναῖκα πρὸς τὸν ἄρχοντα εἰς διαδικασίαν τοῦ κλήρου τοῦ Ἁγνίου,
φάσκοντες τὸν νόμον κελεύειν παρὰ τοῦ ἐπιδεδικασμένου, καὶ ἔχοντος τὸν κλῆρον,
προσκαλεῖσθαι, ἐάν τις βούληται ἀμφισβητεῖν. καὶ ἐπειδὴ ἦγεν ὁ ἄρχων εἰς τὸ δι-
καστήριον, καὶ ἔδει ἀγωνίζεσθαι, τά τε ἄλλα ἦν αὐτοῖς ἅπαντα παρεσκευασμένα εἰς τὸν
10 ἀγῶνα, καὶ τὸ ὕδωρ, πρὸς ὃ ἔδει ἀγωνίζεσθαι, τετραπλάσιον ἡμῶν ἔλαβον. ἐξ ἀνάγ-
κης γὰρ ἦν, ὦ ἄνδρες δικασταὶ, τῷ ἄρχοντι, ἀμφορέα ἑκάστῳ ἐγχέαι τῶν ἀμφισβη-
τούντων, καὶ τρεῖς χοᾶς τῷ ὑστέρῳ λόγῳ. ὥστε συνέβαινεν ἐμοὶ τῷ ὑπὲρ τῆς γυναικὸς
ἀγωνιζομένῳ, μὴ ὅτι περὶ τοῦ γένους, καὶ τῶν ἄλλων, ὧν μοι προσῆκε, διηγήσασθαι τοῖς
1 δικασταῖς, ὡς ἐγὼ ἐβουλόμην, ἀλλ' οὐδ' ἀπολογήσασθαί μοι ἐξεγένετο, οὐδὲ πολ-
λοστὸν μέρος, ὧν κατεψεύδοντο ἡμῶν. πέμπτον γὰρ μέρος εἶχον τοῦ ὕδατος. καὶ τὸ σό-
φισμα ἦν τοῦτο, αὐτοὺς μὲν ἑαυτοῖς συναγωνίζεσθαι, καὶ ὁμολογεῖν ἅπαντα, περὶ
ἡμῶν δὲ λέγειν τὰ οὐδεπώποτε γενόμενα. καὶ τοῦτον τὸν τρόπον ἐπιβουλευσάντων καὶ συ-
ναγωνιζομένων ἀλλήλοις ἐφ' ἡμᾶς, καὶ δικῶν τεττάρων τεθέντων κατὰ τὸν νόμον, εἰ-
κότως, οἶμαι, οἱ δικασταὶ ἐξηπατήθησαν, καὶ ἐστασίασαν ἀλλήλοις. καὶ παρακρου-
σθέντες ὑπὸ τῆς παρασκευῆς ἐψηφίζοντο, ὅ,τι τύχοι ἕκαστος. καὶ αἱ ψῆφοι ὀλίγαις
πάνυ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πολὺ ἐγένοντο πλείους, ἢ τρισὶν, ἢ τέτταρσιν ἐν τῷ Θεοπόμπου οἴκῳ, ἢ ἐν τῷ τῆς γυ-
ναικός. καὶ τότε μὲν ταῦτα ἦν τὰ πραχθέντα, ὦ ἄνδρες δικασταί. ἐπειδὴ δὲ οὑτοσὶ ὁ
παῖς ἐγένετο, καὶ ἐδόκει καιρὸς εἶναι, οὐκ ὀργισθεὶς ἐγὼ τοῖς γενομένοις, ἀλλ' ἡγούμενος 13
εἰκός τι παθεῖν τοὺς τότε δικάζοντας, εἰσῆγον εἰς τοὺς φράτερας τοὺς τοῦ Ἁγνίου Εὐβου-
*τουτουὶ* λίδῃ τὸν παῖδα" τουτονὶ ἐκ τῆς θυγατρὸς ὄντα τῆς ἐκείνου, ἵνα μὴ ἐξερημωθῇ ὁ οἶκος.
ἐκεῖνος γὰρ, ὦ ἄνδρες δικασταί, ὁ Εὐβουλίδης ὁ τῷ Ἁγνίᾳ γένει ὢν ἐγγυτάτω, μάλιστα μὲν 14
ηὔχετο τοῖς θεοῖς υἱὸν αὐτῷ γενέσθαι, ὥσπερ καὶ ἡ θυγάτηρ ἡ τουτουὶ μήτηρ τοῦ παιδὸς αὐτῷ
ἐγένετο. ἐπειδὴ δὲ τούτου ἀπέτυχε, καὶ οὐκ ἐγένετο ἄρρην παῖς αὐτῷ οὐδὲ εἷς, μετὰ ταῦτ'
ἤδη ἐσπούδαζεν ὅπως ἐκ τῆς θυγατρὸς εἰσποιηθῇ αὐτῷ υἱὸς εἰς τὸν οἶκον τὸν ἑαυτοῦ, καὶ τὸν 15
Ἁγνίου, καὶ εἰς τοὺς φράτερας εἰσαχθῇ τοὺς ἐκείνου· ἡγούμενος, ὦ ἄνδρες δικασταί, ἐκ τῶν
*ἑαυτῷ* ὑπολοίπων τοῦτον εἶναι ἑαυτῷ οἰκειότατον, καὶ οὕτως ἂν μάλιστα τὸν οἶκον τὸν ἑαυτοῦ
διασώζεσθαι, καὶ οὐκ ἂν ἐξερημωθῆναι. καὶ ἐγὼ ταῦτα ὑπηρέτησα αὐτῷ, ὁ τὴν Εὐβουλίδου 16
θυγατέρα ἔχων, ἐπιδικασάμενος ὡς γένει ὢν ἐγγυτάτω. καὶ εἰσήγαγον τὸν παῖδα του-
τονὶ εἰς τοὺς Ἁγνίου καὶ Εὐβουλίδου φράτερας. μεθ' ὧν καὶ Θεόπομπος ὁ τουτουὶ πατὴρ Μα-
καρτάτου, ἕως ἔζη, ἐφρατέριζε. καὶ αὐτός ἐστι, καὶ οἱ φράτερες, ὦ ἄνδρες δικασταί, οἱ 17
τουτουὶ Μακαρτάτου, οἱ ἄριστα εἰδότες περὶ τοῦ γένους, ὁρῶντες αὐτὸν μὲν τουτονὶ οὐκ ἐθέ-
λοντα κινδυνεύειν, οὐδ' ἀπάγοντα τὸ ἱερεῖον ἀπὸ τοῦ βωμοῦ, εἰ μὴ προσηκόντως εἰσή-
γετο ὁ παῖς οὑτοσὶ, αὐτοὺς δὲ ἀξιοῦντα ἐπιορκεῖν, λαβόντες τὴν ψῆφον, καιομένων τῶν ἱε- 18
*φρατρίου* ρείων, ἀπὸ τοῦ βωμοῦ φέροντες τοῦ Διὸς τοῦ Φατρίου, παρόντος τουτουὶ Μακαρτάτου, ἐψη-
φίσαντο τὰ δίκαια, ὦ ἄνδρες δικασταί, ὀρθῶς καὶ προσηκόντως, τὸν παῖδα τουτονὶ εἰ-
σάγεσθαι Εὐβουλίδῃ υἱὸν εἰς τὸν οἶκον τὸν Ἁγνίου. ψηφισαμένων δὲ ταῦτα τῶν φρατέρων του-
τουὶ Μακαρτάτου, υἱὸς ὢν Εὐβουλίδου ὁ παῖς οὑτοσὶ, προσεκαλέσατο Μακάρτατον τοῦ 19
κλήρου τοῦ Ἁγνίου εἰς διαδικασίαν, καὶ ἔλαχε πρὸς τὸν ἄρχοντα κύριον ἐπιγραψά-
μενος τὸν ἀδελφὸν τὸν ἑαυτοῦ. ἐμοὶ γὰρ οὐκέτι οἷόν τ' ἦν, ὦ ἄνδρες δικασταί, κυρίῳ ἐπιγε-
γράφθαι, εἰσπεποιηκότι τὸν παῖδα εἰς τὸν οἶκον τὸν Εὐβουλίδου. καὶ ἡ πρόσκλησις ἐγένετο
*προσεκαλέσαντο.* τῷ παιδὶ τούτῳ κατὰ τὸν νόμον, καθ' ὅνπερ καὶ οὗτοι" προσεκαλέσαντο τὴν του- 20
τουὶ μητέρα, τὴν νενικηκυῖαν πρότερον ἐν τῷ δικαστηρίῳ, καὶ ἔχουσαν τὸν κλῆ-
ρον τοῦ Ἁγνίου. Καί μοι ἀνάγνωθι τὸν νόμον, καθ' ὃν ἡ πρόσκλησίς ἐστι παρὰ τοῦ ἔ-
χοντος τὸν κλῆρον.

Νόμος.

Ἐὰν δὲ ἐπιδεδικασμένου ἀμφισβητῇ τοῦ κλήρου, ἢ τῆς ἐπικλήρου, προσκαλείσθω 21
τὸν ἐπιδεδικασμένον πρὸς τὸν ἄρχοντα, καθάπερ ἐπὶ τῶν ἄλλων δικῶν. παρακαταβο-
λὰς δ' εἶναι τῷ ἀμφισβητοῦντι. ἐὰν δὲ μὴ προσκαλεσάμενος ἐπιδικάσηται, ἀτε-
λὴς ἔσται ἡ ἐπιδικασία τοῦ κλήρου. ἐὰν δὲ μὴ ζῇ ὁ ἐπιδικασάμενος τοῦ κλήρου, προ-
σκαλείσθω κατὰ ταῦτα, ᾧ ἡ προθεσμία μήπω ἐξήκει. τὴν δὲ ἀμφισβήτησιν εἶναι τῷ 22
ἔχοντι, καθότι ἐπεδικάσατο, οὗ ἂν ἔχῃ τὰ χρήματα. Τοῦ μὲν νόμου ἀκηκόατε.
δέομαι δὲ ὑμῶν δικαίαν δέησιν, ὦ ἄνδρες δικασταί. ἐὰν γὰρ ἐπιδείξω Θεοπόμπου τοῦ
πατρὸς τοῦ Μακαρτάτου γένει ὄντας Ἁγνίᾳ ἐγγυτέρω Εὐβουλίδην τὸν παῖδα τουτονὶ, καὶ
*φιλομάχῃ* Φυλομάχην, ἥ ἐστι μήτηρ τῷ παιδὶ, Εὐβουλίδου δὲ θυγάτηρ, καὶ οὐ μόνον γένει ἐγγυτάτω
ὄντας, ἀλλὰ τὸ παράπαν οὐδὲ ὄντα οὐδένα ἄνθρωπον ἐν τῷ οἴκῳ τῷ Ἁγνίου ἄλλον,
ἢ τὴν μητέρα τοῦ παιδὸς τουτουὶ, καὶ αὐτὸν τοῦτον τὸν παῖδα· ταῦτ' ἐὰν ἐπιδεί-
ξω, δέομαι ὑμῶν, ὦ ἄνδρες δικασταί, βοηθῆσαι ἡμῖν. τὸ μὲν οὖν πρῶτον διε-
νοήθην, ὦ ἄνδρες δικασταί, γράψας ἐν πίνακι ἅπαντας τοὺς συγγενεῖς τοὺς Ἁγνίου,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

25 οὕτως ἐπιδεικνύειν ὑμῖν καθ' ἕκαστον. ἐπεὶ δ' ἐδόκει εἶναι ἐξίσου ἡ θεωρία ἅπα-
σι τοῖς δικασταῖς, ἀλλ' οἱ πόῤῥω καθήμενοι ἀπολείπεσθαι, ἀναγκαῖον ἴσως ἐστὶ τῷ λό-
γῳ διδάσκειν ὑμᾶς. τοῦτο γὰρ ἅπασι κοινόν ἐστι. πειρασόμεθα δὲ καὶ ἡμεῖς, ὡς ἂν μά-
λιστα δυνώμεθα, διὰ βραχυτάτων ἐπιδεῖξαι περὶ τῶν γενῶν τῶν Ἁγνίου. Βούσελος
25 γὰρ ἦν ἐξ Οἴου, ὦ ἄνδρες δικασταί, καὶ τούτῳ ἐγένοντο πέντε υἱεῖς, Ἁγνίας, καὶ Εὐβουλί-
δης, καὶ Στράτιος, καὶ Ἅβρων, καὶ Κλεόκριτος. καὶ οὗτοι ἅπαντες οἱ τοῦ Βουσέλου υἱεῖς ἄν-
δρες ἐγένοντο, καὶ διένειμεν αὐτοῖς τὴν οὐσίαν ὁ πατὴρ Βούσελος ἅπασι καλῶς καὶ δι-
καίως, ὥσπερ προσῆκε. νειμάμενοι δὲ τὴν οὐσίαν, γυναῖκα ἕκαστος αὐτῶν ἔγημε
27 κατὰ τοὺς νόμους τοὺς ὑμετέρους. καὶ παῖδες ἐγένοντο αὐτοῖς ἅπασι, καὶ παίδων παῖ- ἡμετέρους
δες. καὶ ἐγένοντο πέντε οἶκοι ἐκ τοῦ Βουσέλου οἴκου ἑνὸς ὄντος. καὶ χωρὶς ἕκαστος ᾤκει
τὸν ἑαυτοῦ ἔχων, καὶ ἐκγόνους ἑαυτοῦ ποιούμενος. περὶ μὲν οὖν τῶν τριῶν ἀδελφῶν
τῶν τοῦ Βουσέλου υἱέων, καὶ τῶν ἐκγόνων τῶν τούτοις γενομένων, τί ἂν ἐγὼ ὑμῖν, ὦ ἄν-
28 δρες δικασταί, πράγματα παρέχοιμι, ἢ ἐμαυτῷ ἐξηγούμενος περὶ ἑκάστου; ὄντες
γὰρ ἐν ταὐτῷ γένει Θεοπόμπῳ, καὶ προσήκοντες ὁμοίως τῷ Ἁγνίᾳ, οὗ ἐστιν ὁ κλῆ-
ρος, οὐδεὶς αὐτῶν, οὔτε πρότερόν ποτε, οὔτε νῦν ἠνώχλησεν ἡμῖν, οὐτ' ἠμφι-
σβήτησεν, οὔτε τοῦ κλήρου τοῦ Ἁγνίου, οὔτε τῆς γυναικὸς τῆς ἐπικλήρου, ἣν ἐγὼ ἔχω,
29 ἐπιδικασάμενος, ἡγούμενοι οὐδ' ὁτιοῦν προσήκειν ἑαυτοῖς οὐδενὸς τῶν Ἁγνίου. πε-
ρίεργον δή μοι δοκεῖ εἶναι λέγειν τι περὶ τούτων, πλὴν ὅσα ἐξ ἀνάγκης ἐστὶν ἐπιμνη-
σθῆναι. περὶ δὲ Θεοπόμπου τοῦ πατρὸς τοῦ Μακαρτάτου, καὶ αὐτοῦ τουτουὶ Μακαρτά-
του, περὶ τούτων μοι ἐστὶν ἐξ ἀνάγκης λέγειν. ἔστι δὲ βραχὺς ὁ λόγος, ὦ ἄνδρες δι-
30 κασταί. ὥσπερ γὰρ ὀλίγον τι πρότερον ἀκηκόατε, ὅτι τῷ Βουσέλῳ πέντε υἱεῖς ἐγέ-
νοντο, τούτων εἷς ἦν Στράτιος ὁ τουτουὶ πρόγονος Μακαρτάτου, καὶ ἕτερος Ἁγνίας ὁ του-
τουὶ πρόγονος τοῦ παιδός. ἐγένετο δὲ υἱὸς τῷ Ἁγνίᾳ Πολέμων, καὶ θυγάτηρ Φυ- φιλομάχη
λομάχη, ἀδελφὴ τοῦ Πολέμωνος ὁμοπατρία καὶ ὁμομητρία. τοῦ δὲ Στρατίου ἐγέ-
31 νοντο τοῦ ἀδελφοῦ τοῦ Ἁγνίου, Φανοστράτη καὶ Χαρίδημος ὁ τούτου πάππος Μακαρ-
τάτου. ἐρωτῶ δὴ ὑμᾶς, ὦ ἄνδρες δικασταί, πότερος οἰκειότερός ἐστι, καὶ προσήκει
μᾶλλον τῷ Ἁγνίᾳ τῷ ἐξ ἀρχῆς ὁ Πολέμων, καὶ θυγάτηρ ἡ Φυλομάχη, ἢ Χαρίδημος ὁ υἱὸς φιλομάχη
Στρατίου, ἀδελφιδοῦς δ' Ἁγνίου; ἐγὼ μὲν γὰρ ἡγοῦμαι τὸν υἱὸν, καὶ τὴν θυγατέρα οἰκειό-
32 τατον εἶναι ἑκάστῳ ἡμῶν μᾶλλον, ἢ τὸν ἀδελφιδοῦν. καὶ οὐ μόνον παρ' ἡμῖν τοῦτο νενόμι-
σται, ἀλλὰ καὶ παρὰ τοῖς ἄλλοις ἅπασι καὶ Ἕλλησι καὶ βαρβάροις. ἐπειδὴ τοίνυν τοῦθ'
ὁμολογεῖται, ῥᾳδίως ἤδη τοῖς ἄλλοις, ὦ ἄνδρες δικασταί, παρακολουθήσετε, καὶ αἰ- ἴσως τε κ. ἐπι-
σθήσετε τούτους, ὅτι εἰσὶ βίαιοι, καὶ ἀσελγεῖς ἄνθρωποι. τοῦ Πολέμωνος γὰρ τοῦ υἱέος σήσεσθε κ. αἰσθήσεσθε. οὗτος
33 τοῦ Ἁγνίου ἐγένετο υἱὸς Ἁγνίας, τοῦ πάππου τοῦ ἑαυτοῦ ὄνομ' ἔχων, τοῦ Ἁγνίου. καὶ οὕτω
μὲν ἄπαις ἐτελεύτησεν ὁ Ἁγνίας ὁ ὕστερος. τῆς Φυλομάχης δὲ τῆς ἀδελφῆς τῆς Πο- φιλομάχης
λέμωνος, καὶ Φιλάγρου, ᾧ ἔδωκεν αὐτὴν ὁ ἀδελφὸς Πολέμων ἀνεψιῷ ὄντι ἑαυ-
τοῦ· ὁ γὰρ Φίλαγρος ἀδελφὸς ἦν Εὐβουλίδου τοῦ ἀδελφοῦ τοῦ Ἁγνίου. τοῦ δὴ υἱός
34 Φιλάγρου τοῦ ἀνεψιοῦ τοῦ Πολέμωνος, ἐγένετο υἱὸς Εὐβουλίδης ὁ πατὴρ τῆς
μητρὸς τουτουὶ τοῦ παιδός, καὶ οὗτοι μὲν υἱεῖς ἐγένοντο Πολέμωνι, καὶ τῇ ἀδελφῇ τῇ
Πολέμωνος Φυλομάχῃ. τοῦ δὲ Χαριδήμου ἐγένετο τοῦ υἱέος τοῦ Στρατίου, Θεόπομπος φιλομάχῃ
ὁ τουτουὶ πατὴρ Μακαρτάτου. πάλιν δὴ ἐρωτῶ, ὦ ἄνδρες δικασταί, πότερος οἰ-
35 κειότερός ἐστι, καὶ προσήκει μᾶλλον Ἁγνίᾳ τῷ ἐξ ἀρχῆς ἐκείνῳ, ὁ Πολέμωνος
υἱὸς Ἁγνίας, καὶ Εὐβουλίδης ὁ Φυλομάχης υἱὸς καὶ Φιλάγρου, ἢ Θεόπομπος ὁ Χαρι- φιλομάχης
δήμου

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

* ὅπ, δήμου υἱός, Στρατίου δ᾽ ἦν; ἐγὼ μὲν γὰρ οἶμαι, ὦ ἄνδρες δικασταί, * εἴπερ καὶ ὁ υἱὸς
οἰκειότατός ἐστι καὶ ἡ θυγάτηρ, πάλιν ὁ υἱιδοῦς καὶ ὁ ἐκ τῆς θυγατρὸς υἱός, οὗτοι οἰ-
κειότεροί εἰσι μᾶλλον, ἢ ὁ τοῦ ἀδελφιδοῦ υἱός, καὶ ὁ ἐξ ἑτέρου ὢν οἴκου. τῷ μὲν οὖν 36
* φιλομάχης Θεοπόμπῳ ἐγένετο υἱὸς Μακάρτατος οὑτοσί. τῷ δ᾽ Εὐβουλίδῃ τῷ τῆς Φυλομάχης υἱεῖ,
πρὸς πατρὸς ... υἱ. ἀνεψιῷ δ᾽ Ἁγνίου ὄντι πρὸς πατρὸς Εὐβουλίδου ἀνεψιοῦ παῖς ὢν Ἁγνίᾳ πρὸς πα-
ἐγένετο τρὸς οὑτοσὶ ὁ παῖς. ἐπειδὴ ἡ Φυλομάχη ἡ μήτηρ ἡ Εὐβουλίδου, καὶ ὁ Πολέμων ὁ πατὴρ
υἱὸς ἐ- ὁ Ἁγνίου, ἀδελφοὶ ἦσαν ὁμοπάτριοι καὶ ὁμομήτριοι. τῷ δέ γε Μακαρτάτῳ τῳδί, 37
μὲν παῖς τῷ υἱεῖ τῷ Θεοπόμπου, οὐδὲν ἐγένετο ἔκγονον, ὅτι ἐστὶν ἐν τῷ οἴκῳ τῷ τούτου καὶ τῷ Στρατίου.
ὤν, τῷ δ᾽ Ἁ- γνίᾳ ἀδελφι- τούτων δὲ οὕτως ἐχόντων, τῷ μὲν παιδὶ τούτῳ ἐστὶν ὄνομα τῶν ἐν τῷ νόμῳ εἰρημένων,
δοῦ πρὸς πα- τρὸς οὑτοσὶ ὁ παῖς. καὶ μέχρι ὧν ὁ νόμος κελεύει τὴν ἀγχιστείαν εἶναι. ἀνεψιοῦ γὰρ Ἁγνίου παῖς ἐστιν. ὁ γὰρ
πατὴρ αὐτοῦ Εὐβουλίδης, ἀνεψιὸς ἦν Ἁγνίᾳ, οὗ ἐστιν ὁ κλῆρος. ὁ δέ γε Θεόπομπος ὁ 38
τουτουὶ πατὴρ Μακαρτάτου, οὐκ ἂν εἶχεν ὄνομα θέσθαι αὑτῷ τῶν ἐν τῷ νόμῳ εἰ-
ρημένων οὐδέν. ἐξ ἑτέρου γὰρ οἴκου ἦν τοῦ Στρατίου. οὐ προσήκει δέ, ὦ ἄνδρες δικα-
σταί, οὐδένα ἄνθρωπον, τὸν κλῆρον ἔχειν τὸν Ἁγνίου ἐξ ἑτέρου οἴκου ὄντα, ἕως ἄν τις
λείπηται τῶν γενομένων ἐν τῷ οἴκῳ τῷ Ἁγνίου, οὐδ᾽ ἐκβάλλειν βίᾳ, ὅπερ οὗτοι δια- 39
πράττονται, γένει τε ἀπωτέρω ὄντες, καὶ οὐκ ἐν τῷ αὐτῷ οἴκῳ. τοῦτο γάρ ἐστιν,
ὦ ἄνδρες δικασταί, ὃ παρεκρούσατο Θεόπομπος ὁ τουτουὶ πατὴρ Μακαρτάτου. τίνες
* φιλομάχη οὖν εἰσὶ λοιποὶ οἱ ἔτι νῦν ὄντες ἐν τῷ οἴκῳ τῷ Ἁγνίου; * Φυλομάχη τε ἡ ἐμὴ γυνή,
Εὐβουλίδου δ᾽ θυγάτηρ οὖσα τοῦ ἀνεψιοῦ τοῦ Ἁγνίου, καὶ οὑτοσὶ ὁ παῖς ὁ εἰσηγμένος υἱὸς 40
εἰς τὸν οἶκον τὸν Εὐβουλίδου καὶ Ἁγνίου. Θεόπομπος δ᾽ ὁ τουτουὶ πατὴρ Μακαρτάτου
οὐκ ὢν τοῦ οἴκου τοῦ Ἁγνίου, ἐψεύσατο πρὸς τοὺς δικαστὰς ὑπερμεγέθες ψεῦδος πε-
* φιλομάχης ρί τε τῆς * Φυλομάχης τῆς τοῦ Πολέμωνος ἀδελφῆς, τηθίδος δ᾽ Ἁγνίου, ὅτι οὐκ εἴη
τῷ Πολέμωνι τῷ τοῦ Ἁγνίου υἱεῖ, ὁμοπατρία καὶ ὁμομητρία ἀδελφή· καὶ πάλιν 41
προσποιούμενος τοῦ αὐτοῦ οἴκου εἶναι Ἁγνίᾳ, οὐδεπώποτε γενόμενος. ταῦτα δ᾽ πάντ᾽
ἀδεῶς ἔλεγεν ὁ Θεόπομπος, μάρτυρα μὲν οὐδένα παρασχόμενος, ὅστις ἔμελλεν
ὑπεύθυνος ἡμῖν ἔσεσθαι· συνωμολογηκότας δὲ αὑτῷ ἔχων τοὺς κοινωνούς, οἳ ἦσαν
ἀλλήλοις συναγωνισταί, καὶ δι᾽ ἃ πάντα ἔπραττον κοινῇ, ὅπως ἀφέλωνται τὴν γυ- 42
ναῖκα τὴν τουτουὶ μητέρα τοῦ παιδὸς τὸν κλῆρον, ὃν αὐτῇ ὑμεῖς ἐψηφίσασθε. βού-
λομαι οὖν, ὦ ἄνδρες δικασταί, περὶ ὧν εἴρηκα, πρὸς ὑμᾶς μαρτυρίας παρασχέ-
* φιλομάχη σθαι· πρῶτον μέν, ὡς ἐνίκησε τοῦ κλήρου τοῦ Ἁγνίου ἡ Εὐβουλίδου θυγάτηρ * Φυλο-
μάχη, γένει οὖσα ἐγγυτάτω· ἔπειτα περὶ τῶν ἄλλων ἁπάντων. Ἀναγίγνωσκε τὴν 43
μαρτυρίαν. Μαρτυρία.

* φιλομάχη Μαρτυροῦσι παρεῖναι πρὸς τῷ διαιτητῇ ἐπὶ Νικοφήμου ἄρχοντος, ὅτε ἐνίκησε * Φυ-
λομάχη ἡ Εὐβουλίδου θυγάτηρ, τὸν κλῆρον τὸν Ἁγνίου τοὺς ἀμφισβητοῦντας αὐτῇ πάντας.

* φιλομάχη Ὅτι μὲν ἐνίκησε * Φυλομάχη ἡ Εὐβουλίδου θυγάτηρ τὸν κλῆρον τὸν Ἁγνίου ἀκηκόατε, ὦ 44
ἄνδρες δικασταί, καὶ αὕτη ἐνίκησεν οὐδεμιᾷ παρασκευῇ ἀδίκῳ, οὐδὲ συνωμοσίᾳ· ἀλλ᾽
ὡς οἷόν τε δικαιότατα ἐπιδειξάντων ἡμῶν ὅτι γένει ἐγγυτάτω ἦν Ἁγνίᾳ, οὗ ἐστιν ὁ κλη-
ρος, ἀνεψιοῦ παῖς οὖσα πρὸς πατρός, καὶ ἐκ τοῦ οἴκου οὖσα τοῦ Ἁγνίου. ἐπειδὰν οὖν λέγῃ Μα-
* ὑπολαμβά-νετε κάρτατος ὅτι ἐνίκησεν ὁ πατὴρ αὐτοῦ Θεόπομπος τοῦ κλήρου τούτου, * ὑποβάλλετε αὐτῷ 45
ὑμεῖς, ὦ ἄνδρες δικασταί, ὅτι καὶ ἡ γυνὴ ἐνίκησε πρότερον ἢ Θεόπομπος ὁ τουτουὶ πα-
τήρ, καὶ ὅτι δικαίως ἐνίκησεν ἡ γυνὴ ἐκ τοῦ οἴκου οὖσα τοῦ Ἁγνίου, Εὐβουλίδου θυγάτηρ οὖσα
τοῦ ἀνεψιοῦ τοῦ Ἁγνίου· ὁ δὲ Θεόπομπος ὅτι οὐκ ἐνίκησεν, ἀλλὰ παρεκρούσατο, οὐκ ὢν ἐκ τοῦ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

46 οἴκου παντάπασιν τοῦ ἁγνίου. ταῦτα αὐτῷ ὑμεῖς, ὦ ἄνδρες δικασταί, ὑποβάλλετε,
καὶ ὅτι τὸν παῖδα τουτονὶ εὐβουλίδην τὸν εὐβουλίδου ὑόν, ἁγνίου δὲ οὐ φησὶν ὁ κλῆρος
ἀνεψιοῦ παῖδα πρὸς πατρός, οὔτε θεόπομπος ὁ μακαρτάτου πατήρ, οὔτ' ἄλλος
οὐδεὶς πώποτε ἀνθρώπων ἐνίκησε. νυνὶ δέ ἐστιν ὁ ἀγὼν καὶ ἡ διαδικασία, περὶ
47 τοῦ κλήρου τοῦ ἁγνίου τῷ εὐβουλίδῃ, ὑεῖ τούτῳ, καὶ μακαρτάτῳ τούτῳ τῷ θεοπόμ-
που ὑεῖ· καὶ ὁπότερος τούτων δικαιότερα λέγειν δόξει, καὶ κατὰ τοὺς νόμους μᾶλλον, δῆ-
λον ὅτι τούτῳ ὑμεῖς οἱ δικασταὶ προσθήσεσθε. ἀναγίγνωσκε τὰς μαρτυρίας τὰς
ὑπολοίπους. πρῶτον μὲν ὅτι ἡ φυλομάχη ἡ τοῦ ἁγνίου τηθίς, ἀδελφὴ ἦν ὁμο-
48 πατρία καὶ ὁμομητρία τῷ πολέμωνι τῷ ἁγνίου πατρί. ἔπειτα τὰς ἄλλας ἁπά-
σας ἀναγνώσεται περὶ τοῦ γένους. Μαρτυρία.

Μαρτυροῦσι δημόται εἶναι φιλάγρῳ τῷ εὐβουλίδου πατρί, καὶ πολέμωνι τῷ
πατρὶ τοῦ ἁγνίου· καὶ εἰδέναι φυλομάχην τὴν μητέρα τὴν εὐβουλίδου, νομιζο-
49 μένην ἀδελφὴν εἶναι πολέμωνος τοῦ πατρὸς τοῦ ἁγνίου, ὁμοπατρίαν καὶ ὁμομη-
τρίαν, καὶ μηδενὸς πώποτ' ἀκοῦσαι ὡς γένοιτο ἀδελφὸς πολέμωνι τῷ ἁγνίου.

Ἄλλη.

Μαρτυροῦσιν οἰνάνθην τὴν μητέρα τοῦ πάππου τοῦ ἑαυτῶν στρατωνίδου,
50 ἀνεψιὰν εἶναι ἐκ πατραδέλφων πολέμωνι τῷ πατρὶ τοῦ ἁγνίου, καὶ ἀκούειν τοῦ
πατρὸς τοῦ ἑαυτῶν, ὅτι πολέμωνι ἀδελφὸς οὐδεὶς γένοιτο πώποτε τῷ πατρὶ τῷ
ἁγνίου. ἀδελφὴ δὲ φυλομάχη ὁμοπατρία καὶ ὁμομητρία ἡ εὐβουλίδου τοῦ πα-
τρὸς τῆς φυλομάχης τῆς σωσιθέου γυναικός. Ἄλλη.

51 Μαρτυρεῖ συγγενὴς εἶναι καὶ φράτηρ, καὶ δημότης ἁγνίᾳ, καὶ εὐβουλίδῃ· καὶ φράτωρ
ἀκούειν τοῦ πατρὸς τοῦ ἑαυτῶν καὶ τῶν ἄλλων συγγενῶν, ὅτι ἀδελφὸς οὐδεὶς ἐγένετο
τῷ πολέμωνι, τῷ πατρὶ ἁγνίου· ἀδελφὴ δὲ ὁμοπατρία καὶ ὁμομητρία φυλο- φιλομάχη,
μάχη ἡ μήτηρ ἡ εὐβουλίδου τοῦ πατρὸς φυλομάχης, τῆς σωσιθέου γυναικός. Ἄλλη. φιλομάχης

52 Μαρτυρεῖ πάππον εἶναι ἑαυτοῦ ἀρχίλοχον· καὶ ποιήσασθαι ἑαυτὸν ὑόν· καὶ εἶναι
αὐτὸν συγγενῆ πολέμωνι τῷ πατρὶ τοῦ ἁγνίου· καὶ ἀκούειν ἀρχιλόχου, καὶ τῶν ἄλ-
λων συγγενῶν, ὅτι ἀδελφὸς οὐδεὶς πώποτ' ἐγένετο πολέμωνι τῷ πατρὶ τοῦ ἁγνίου·
ἀδελφὴ δὲ ὁμοπατρία καὶ ὁμομητρία φυλομάχη, ἡ μήτηρ ἡ εὐβουλίδου τοῦ πα- φιλομάχη
53 τρὸς τῆς φυλομάχης, τῆς σωσιθέου γυναικός. Ἄλλη. φιλομάχης

Μαρτυρεῖ τὸν πατέρα τῆς ἑαυτοῦ γυναικὸς καλλίστρατον, ἀνεψιὸν εἶναι ἐκ πατρα-
δέλφων πολέμωνι τῷ πατρὶ τοῦ ἁγνίου, καὶ χαριδήμῳ τῷ πατρὶ τῷ θεοπόμ-
που· τὴν δὲ μητέρα τὴν ἑαυτοῦ, ἀνεψιοῦ παῖδα εἶναι πολέμωνι· καὶ λέγειν τὴν μη-
54 τέρα τὴν αὑτῆς πρὸς αὐτοὺς πολλάκις, ὅτι φυλομάχη ἡ μήτηρ ἡ εὐβουλίδου, ἀ- φιλομάχη
δελφὴ ἦν τοῦ πολέμωνος τοῦ πατρὸς τοῦ ἁγνίου ὁμοπατρία καὶ ὁμομητρία· καὶ ὅτι ἀ-
δελφὸς οὐδεὶς πώποτε γένοιτο πολέμωνι τῷ πατρὶ τῷ ἁγνίου. Τὸ πρότε-
ρον, ὦ ἄνδρες δικασταί, ὅτε συνώμοσαν ἀλλήλοις οὗτοι, καὶ συστάντες ἠγωνίζοντο, πολ-
λοὶ ὄντες πρὸς τὴν γυναῖκα, ἡμεῖς μέν, ὦ ἄνδρες δικασταί, οὔτε μαρτυρίας ἐγρά-
ψαμεν περὶ τῶν ὁμολογουμένων, οὔτε μάρτυρας προσεκαλεσάμεθα· ἀλλ' ᾠόμεθα
ταῦτά γε ἀδεῶς ὑπάρχειν ἡμῖν· οὗτοι δὲ τά τε ἄλλα πολλὰ καὶ ἀναίσχυντα παρεσκευά-
σαντο εἰς τὸν ἀγῶνα, καὶ ἔμελεν αὐτοῖς οὐδενὸς πλὴν τοῦ ἐξαπατῆσαι ἐν τῷ τότε
παρόντι καιρῷ τοὺς δικαστάς, οἵτινες "κατεχρῶντο, ὡς τῷ πολέμωνι τῷ πατρὶ τοῦ ἠρῶντο
ἁγνίου παντάπασιν οὐδεμία γένοιτο ἀδελφὴ ὁμοπατρία καὶ ὁμομητρία. οὕτως

ἦσαν

ἦσαν ἀναίσχυντοι καὶ [illegible]λυροί, τηλικοῦτον πρᾶγμα παρακρουόμενοι τοὺς δικα-
στὰς, καὶ οὕτω περιφανῶς· καὶ ἐσπούδαζον καὶ ἠγωνίζοντο περὶ τούτου μάλιστα. ἡμεῖς
δέ γε νυνὶ μάρτυρας ὑμῖν τοσουτουσὶ παρεσχήμεθα περὶ τῆς πολέμωνος ἀδελφῆς, 57
τηθίδος δ' ἀγνίου. τούτων δ' ὁ βουλόμενος μαρτυρησάτω, ἢ ὡς οὐκ ἦσαν ἀδελφοὶ ὁμο-
φιλομάχη πάτριοι καὶ ὁμομήτριοι πολέμων καὶ φυλομάχη, ἢ ὅτι οὐκ ἦν ὁ μὲν πολέμων υἱὸς, ἡ δὲ
φιλομάχη φυλομάχη, ἀδελφὴ ἀγνίου τοῦ βουσέλου υἱέος· ἢ ὅτι ὁ μὲν πολέμων, οὐκ ἦν πατὴρ
φιλομάχη
φιλομάχης ἀγνίου, οὗ ἐστιν ὁ κλῆρος· οὐδ' ἡ ἀδελφὴ ἡ πολέμωνος, φυλομάχη τηθίς· ἢ ὡς ὁ 58
φιλομάχη εὐβουλίδης οὐκ ἦν φυλομάχης υἱὸς, οὐδὲ φιλάγρου τοῦ ἀνεψιοῦ ἀγνίου· ἢ ἐκεῖνο,
ὅτι εὐβουλίδου τοῦ ἀνεψιοῦ τοῦ ἀγνίου οὐκ ἔστι θυγάτηρ φιλομάχη ἡ νυνὶ ἔτι οὖσα·
οὐδὲ υἱὸς οὑτοσὶ ὁ παῖς εἰσπεποιημένος κατὰ τοὺς νόμους τοὺς ὑμετέρους, εἰς τὸν εὐβου-
λίδου οἶκον, ἢ ὡς ὁ θεόπομπος ὁ τουτουὶ πατὴρ μακαρτάτου, ἐκ τοῦ οἴκου ἦν τοῦ ἀγ- 59
νίου. τούτων ὅ, τι βούλεταί τις μαρτυρησάτω αὐτῷ. ἀλλ' εὖ οἶδ' ὅτι οὐδεὶς οὕτω τολ-
μηρὸς ἔσται, οὐδ' ἀπονενοημένος ἄνθρωπος. ὡς δὲ καταφανὲς ὑμῖν ἔσται, ὦ ἄν-
δρες δικασταὶ, ὅτι ἃ πρότερον ἀναισχυντοῦντες περιεγένοντο, δίκαιον δ' οὐδὲν ἔ-
λεγον, ἀνάγνωσε τὰς μαρτυρίας ὅσαι εἰσὶν ἔτι ὑπόλοιποι. 60

Αδελφοὶ

Πατὴρ, πολέμων καὶ φιλομάχη, μήτηρ.

Ανεψιοὶ

καὶ υἱὸς, ἀγνίας καὶ εὐβουλίδης, υἱός. 61

Μαρτυρίαι.

Μαρτυροῦσι συγγενεῖς εἶναι πολέμωνι τῷ ἀγνίου πατρί. καὶ ἀκούειν τοῦ πατρὸς τοῦ
ἑαυτῶν ἀνεψιοὺς εἶναι ἐκ πατραδέλφων πολέμωνι, φίλαγρόν τε τὸν εὐβουλίδου πα-
τέρα καὶ φανοστράτην τὴν στρατίου θυγατέρα· καὶ καλλίστρατον τὸν πατέρα τῆς σω- 62
σιθέου γυναικός· καὶ εὐκτήμονα τὸν βασιλεύσαντα, καὶ χαιρίδημον τὸν πατέρα τὸν
θεοπόμπου καὶ στρατοκλέους. καὶ εἶναι τοῖς τούτου υἱέσι, καὶ ἀγνίᾳ, ἐν τῷ αὐτῷ γένει εὐ-
βουλίδην κατὰ τὸν πατέρα τὸν ἑαυτοῦ φίλαγρον· κατὰ δὲ τὴν μητέρα τὴν ἑαυτοῦ φυ-
φιλομάχην λομάχην, νομιζόμενον ἀνεψιὸν εἶναι εὐβουλίδην ἀγνίᾳ πρὸς πατρὸς ἐκ τηθίδος 63
γεγονότα ἀγνίᾳ τῆς πρὸς πατρός. Αλλη.

Μαρτυροῦσι συγγενεῖς εἶναι πολέμωνι τῷ πατρὶ τῷ ἀγνίου, καὶ φιλάγρῳ τῷ
πατρὶ τῷ εὐβουλίδου, καὶ εὐκτήμονι τῷ βασιλεύσαντι· καὶ εἰδέναι εὐκτήμονα ἀ-
δελφὸν ὄντα ὁμοπάτριον φιλάγρῳ τῷ πατρὶ τῷ εὐβουλίδου· καὶ ὁπότε ἡ ἐπιδι-
κασία ἦν τοῦ κλήρου τοῦ ἀγνίου εὐβουλίδῃ πρὸς κλαίουσα, ἔτι ζῶν εὐκτήμονα 64
γρ. πρὸς ἄλλους κλαίουσα. ἐκ πατραδέλφων ἀδελφὸν ὄντα πολέμωνι τῷ πατρὶ ἀγνίου, καὶ μὴ ἀμφι-
σβητῆσαι εὐκτήμονα εὐβουλίδῃ τοῦ κλήρου τοῦ ἀγνίου, μηδ' ἄλλον μηδένα κατὰ γέ-
νος τότε. Αλλη.

Μαρτυροῦσι τὸν πατέρα τὸν ἑαυτῶν στράτωνα συγγενῆ εἶναι πολέμωνι τῷ πα- 65
τρὶ τῷ ἀγνίου· καὶ χαιριδήμου τῷ πατρὶ τῷ θεοπόμπου· καὶ φιλάγρῳ τῷ πατρὶ
τῷ εὐβουλίδου· καὶ ἀκούειν τοῦ ἑαυτῶν πατρὸς, ὅτι φίλαγρος λάβοι γυναῖκα, πρό-
φιλομάχην τερον μὲν φυλομάχην, ἀδελφὴν πολέμωνος τοῦ πατρὸς τοῦ ἀγνίου, ὁμοπατρίαν
φιλομάχης καὶ ὁμομητρίαν· καὶ γενέσθαι φιλάγρῳ ἐκ μὲν τῆς φυλομάχης εὐβουλίδην· ἀ-
φιλομάχης ποθανούσης δὲ φυλομάχης, ἑτέραν λαβεῖν γυναῖκα φίλαγρον τελεσίππην· καὶ
γενέσθαι ὁμοπάτριον μὲν ἀδελφὸν εὐβουλίδῃ μενεσθέα, ὁμομήτριον δὲ μή· καὶ

Εὐβουλίδου ἀμφισβητήσαντος τοῦ κλήρου τοῦ Ἁγνίου κατὰ γένος, Μνησίθεον μὴ ἀμ-
67 φισβητῆσαι τοῦ κλήρου τοῦ Ἁγνίου, μηδὲ Εὐκτήμονα τὸν ἀδελφὸν τὸν Φιλάγρου, μηδὲ ἄλλον μηδένα κατὰ γένος, πρὸς Εὐβουλίδην τότε. Ἄλλη.

Μαρτυρεῖ τὸν πατέρα τὸν ἑαυτοῦ Ἀρχίμαχον, συγγενῆ εἶναι Πολέμωνι τῷ πατρὶ τῷ Ἁγνίου, καὶ Χαριδήμῳ τῷ πατρὶ τῷ Θεοπόμπου, καὶ Φιλάγρῳ τῷ πατρὶ τῷ Εὐ-
68 βουλίδου, καὶ ἀκούειν τοῦ πατρὸς τοῦ ἑαυτοῦ, ὅτι Φίλαγρος λάβοι γυναῖκα πρότερον μὲν Φυλομάχην ἀδελφὴν Πολέμωνος τοῦ πατρὸς τοῦ Ἁγνίου ὁμοπατρίαν καὶ ὁμομητρίαν· καὶ γενέσθαι ἐκ μὲν Φυλομάχης Εὐβουλίδην· ἀποθανούσης δὲ Φυλομάχης, ἑτέραν λαβεῖν γυναῖκα Φίλαγρον Τελεσίππην· καὶ γενέσθαι Φιλάγρῳ ἐκ φιλομ.
69 Τελεσίππης Μνησίθεον ὁμοπάτριον μὲν ἀδελφὸν Εὐβουλίδῃ, ὁμομήτριον δὲ μή· ἀμφισβητήσαντος δὲ τοῦ Ἁγνίου κατὰ γένος, Μνησίθεον μὴ ἀμφισβητῆσαι τοῦ κλήρου, μηδὲ Εὐκτήμονα τὸν ἀδελφὸν Φιλάγρου, μηδὲ ἄλλον μηδένα κατὰ γένος πρὸς Εὐβουλίδην τότε. Ἄλλη.

70 Μαρτυρεῖ τὸν πατέρα τῆς ἑαυτοῦ μητρὸς Καλλίστρατον, ἀδελφὸν εἶναι Εὐκτήμονι τῷ Βασιλεύσαντι, καὶ Φιλάγρῳ τῷ πατρὶ τῷ Εὐβουλίδου· ἀνεψιοὺς δὲ εἶναι τούτους Πολέμωνι τῷ πατρὶ τῷ Ἁγνίου, καὶ Χαριδήμῳ τῷ πατρὶ τῷ Θεοπόμπου· καὶ ἀκούειν τῆς μητρὸς τῆς ἑαυτοῦ, ὅτι ἀδελφὸς οὐ γένοιτο Πολέμωνι τῷ πατρὶ Ἁγνίου· ἀ-
71 δελφὴ δὲ γένοιτο ὁμοπατρία καὶ ὁμομητρία Φυλομάχη· καὶ ταύτην λάβοι τὴν Φυλομάχην Φίλαγρος· καὶ γένοιτο ἐξ αὐτῶν Εὐβουλίδης ὁ πατὴρ ὁ Φυλομάχης τῆς Σωσιθέου γυναικός. Ἀναγνῶναι μὲν τὰς μαρτυρίας ταύτας ἐξ ἀνάγκης ἦν, ὦ ἄνδρες δικασταί, ἵνα μὴ τὸ αὐτὸ πάθοιμεν, ὅπερ τὸ πρότερον, ἀποδιδράσκουσι
72 ληφθέντες ὑπὸ τούτων. πολὺ δὲ σαφέστερον ἐπὶ αὐτοὺς ἑαυτοῦ Μακάρτατος οὑτοσὶ καταμαρτυρήσει, ὅτι οὔτε Θεοπόμπῳ τῷ πατρὶ τῷ ἑαυτοῦ προσήκει οὐδενὸς κληρονομεῖν τῶν Ἁγνίου, ἀλλ' ἀπωτέρω ὄντος τοῦ Θεοπόμπου, καὶ οὐκ ἐκ τοῦ αὐτοῦ οἴκου ὄντος τὸ παράπαν. εἰ γάρ τις ἀνακρίνοι, ὦ ἄνδρες δικασταί, ὅστις ἐστὶν ὁ ἀμφισβη-
73 τῶν τῷ παιδὶ τούτῳ τοῦ κλήρου τοῦ Ἁγνίου; οὐκ οἶδ' ὅτι ἀποκρίναιτ' ἂν ὅτι Μακάρτατος. τίνος ὢν πατρός; Θεοπόμπου. μητρὸς δὲ τίνος; Ἀπολήξιδος θυγατρὸς Προσπαλτίου, ἀδελφῆς δὲ Μακαρτάτου Προσπαλτίου. ὁ δὲ Θεόπομπος τίνος ἦν πατρός; πατήρ, Χαριδήμου. ὁ δὲ Χαρίδημος τίνος; Στρατίου. ὁ δὲ Στράτιος τίνος; Βουσέλου. οὑτοσί,
74 ὦ ἄνδρες δικασταί, ἐστὶν ὁ Στρατίου οἶκος, ἑνὸς τῶν Βουσέλου υἱέων. καὶ ἔκγονοι οὗτοί εἰσι Στρατίου, οὓς ὑμεῖς ἀκηκόατε. καὶ ἐνταῦθα οὐδαμοῦ ἐστιν οὐδὲν ὄνομα τῶν ἐκ τοῦ οἴκου τοῦ Ἁγνίου· ἀλλ' οὐδὲ παραπλήσιον. πάλιν δὴ ἀνακρίνω τὸν παῖδα τουτονί τίς ὢν ἀμφισβητεῖ Μακαρτάτῳ τοῦ κλήρου τοῦ Ἁγνίου; οὐκ ἂν ἔχοι, ὦ ἄνδρες δικα-
75 σταί, ἀλλ' οὐδ' ὁπόσου ἀποκρίνασθαι ὁ παῖς, ἢ ὅτι Εὐβουλίδης. τίνος ὢν πατρός; Εὐβουλίδου τοῦ Ἁγνίου ἀνεψιοῦ. μητρὸς δὲ τίνος; Φυλομάχης, ἣ ἦν Ἁγνίᾳ ἀνεψιοῦ παῖς πρὸς πατρός. ὁ δὲ Εὐβουλίδης δὲ τίνος ἦν πατρός; Φιλάγρου τοῦ ἀνεψιοῦ τοῦ Ἁγνίου. μητρὸς δὲ τίνος; Φυλομάχης τῆς τηθίδος τῆς Ἁγνίου. ὁ δὲ Ἁγνίας τίνος ἦν υἱός; Πολέμωνος. ὁ δὲ
75 Πολέμων τίνος; Ἁγνίου. ὁ δὲ Ἁγνίας τίνος; Βουσέλου. οὑτοσὶ ἕτερος ἐστὶν οἶκος Ἁγνίου ἑνὸς τῶν Βουσέλου υἱέων, καὶ ἐνταῦθα οὐδ' ὁπόσου ἔνεστι τὸ αὐτὸ ὄνομα τῶν ἐν τῷ Στρατίου οἴκῳ ὄντων ἐκγόνων, ἀλλ' οὐδὲ παραπλήσιον. ἀλλ' αὐτοὶ δι' ἑαυτῶν πορεύονται ἐν τῷ οἴκῳ τῷ Ἁγνίου, τὰ ὀνόματα παρ' ἀλλήλων παραλαμβάνοντες. πανταχῇ
77 δή, καὶ πάντα τρόπον ἐξελέγχονται ἐξ ἑτέρου οἴκου, καὶ ἀπωτέρω γεγονότες, καὶ οὐ

προσήκον

πάππου· φιλομάχης ἁγνία παῖς ἐξ ἀνεψιοῦ πρὸς πατρός. πολέμωνος φιλομάχης

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

προσῆκον αὐτοῖς [illegible] μεῖν οὐδενὸς τῶν Ἁγνίου· οἷς γὰρ ὁ νομοθέτης δίδωσι τὴν
ἀγχιστείαν, καὶ τὴν κληρονομίαν, τούτους ἀναγνώσεται ὑμῖν τοὺς νόμους.

Νόμος.

Ὅστις ἂν μὴ διαθέμενος ἀποθάνῃ, ἐὰν μὲν παῖδας καταλίπῃ θηλείας, σὺν 78
ταύτῃσι· ἐὰν δὲ μή, τούσδε κυρίους εἶναι τῶν χρημάτων. ἐὰν μὲν ἀδελφοὶ ὦσιν ὁμοπά-
τορες, καὶ ἐὰν παῖδες ἐξ ἀδελφῶν γνήσιοι, τὴν τοῦ πατρὸς μοῖραν λαγχάνειν. ἐὰν δὲ
μὴ ἀδελφοὶ ὦσιν, ἢ ἀδελφῶν παῖδες ἐξ αὐτῶν, κατὰ ταῦτα λαγχάνειν· κρατεῖν δὲ
τοὺς ἄρρενας, καὶ τοὺς ἐκ τῶν ἀρρένων, ἐὰν ἐκ τῶν αὐτῶν ὦσι, καὶ ἐὰν γένει ἀπωτέ- 79
ρω. ἐὰν δὲ μὴ ὦσι πρὸς πατρὸς μέχρι ἀνεψιαδῶν παίδων, τοὺς πρὸς μητρὸς τοῦ
ἀνδρὸς κατὰ ταῦτα κυρίους εἶναι· ἐὰν δὲ μηδ' ἑτέρωθεν ᾖ ἐντὸς τούτων, τὸν πρὸς
πατρὸς ἐγγυτάτω κύριον εἶναι. νόθῳ δέ, μηδὲ νόθῃ μὴ εἶναι ἀγχιστείαν, μήτε ἱερῶν,
μήθ' ὁσίων ἀπ' Εὐκλείδου ἄρχοντος. Διαρρήδην λέγει ὁ νόμος, ὦ ἄνδρες δι- 80
κασταί, οἷς δεῖ τὴν κληρονομίαν εἶναι· οὐ μὰ Δί' οὐ Θεοπόμπῳ, οὐδὲ Μακαρτάτῳ τῷ
Θεοπόμπου υἱεῖ, τοῖς μηδὲ παράπαν οὖσιν ἐν τῷ οἴκῳ τοῦ Ἁγνίου. ἀλλὰ τίνι δίδωσι;
τοῖς ἐκγόνοις τοῖς Ἁγνίου, τοῖς οὖσιν ἐν τῷ οἴκῳ τῷ Ἁγνίου ἐκείνου. ταῦτα καὶ ὁ νό-
μος λέγει, καὶ τὸ δίκαιον οὕτως ἔχει. οὐ τοίνυν, ὦ ἄνδρες δικασταί, ταῦτα μὲν ἔδωκεν 81
ὁ νομοθέτης τοῖς προσήκουσιν, ἕτερα δ' οὐ προσέταξε πολλὰ πάνυ ἐν τῷ νόμῳ,
ἃ δεῖ ποιεῖν τοὺς προσήκοντας ἐπάναγκες· ἀλλὰ πάνυ πολλά ἐστιν, ἃ προστάττει
ποιεῖν τοῖς προσήκουσι, καὶ πρόφασιν οὐδεμίαν δίδωσιν, ἀλλ' ἐξ ἀνάγκης δεῖ ποι-
εῖν. μᾶλλον δὲ λέγε αὐτὸν τὸν νόμον τὸν πρῶτον. Νόμος. 82

Τῶν ἐπικλήρων, ὅσαι θητικὸν τελοῦσιν, ἐὰν μὴ βούληται ἔχειν ὁ ἐγγυτάτω γέ-
νους, ἐκδιδότω ἐπιδούς, ὁ μὲν πεντακοσιομέδιμνος, πεντακοσίας δραχμάς· ὁ δ' ἱπ-
πεύς, τριακοσίας· ὁ δὲ ζευγίτης, ἑκατὸν πεντήκοντα πρὸς οἷς* αὐτῆς. ἐὰν δὲ μὴ
πλείους ὦσιν ἐν τῷ αὐτῷ γένει, τῇ ἐπικλήρῳ πρὸς μέρος ἐπιδιδόναι ἕκαστον. ἐὰν 83
δ' αἱ γυναῖκες πλείους ὦσι, μὴ ἐπάναγκες εἶναι πλέον, ἢ μίαν ἐκδοῦναι τῷ γένει·
ἀλλὰ τὸν ἐγγύτατα δεῖ ἐκδιδόναι, ἢ αὐτὸν ἔχειν. ἐὰν δὲ μὴ ἔχῃ ὁ ἐγγυτάτω γέ-
νους, ἢ μὴ ἐκδῷ, ὁ ἄρχων ἐπαναγκαζέτω ἢ αὐτὸν ἔχειν, ἢ ἐκδοῦναι. ἐὰν δὲ μὴ
ἐπαναγκάσῃ ὁ ἄρχων, ὀφειλέτω χιλίας δραχμάς, ἱερὰς τῇ Ἥρᾳ. ἀπογραφέτω δὲ 84
τὸν μὴ ποιοῦντα ταῦτα ὁ βουλόμενος πρὸς τὸν ἄρχοντα. Ἃ μὲν λέγει ὁ νόμος,
ὦ ἄνδρες δικασταί, ἀκούετε. ὅτε δὲ τῆς ἐπικλήρου ἔδει ἐπιδικάζεσθαι Φυλομάχης
τῆς τουτουῒ μητρὸς τοῦ παιδός, Ἁγνίου δ' ἀνεψιοῦ παιδὸς οὔσης πρὸς πατρός, ἐγὼ
μὲν ἧκον φοβούμενος τὸν νόμον, καὶ ἐπεδικαζόμην γένει ὢν ἐγγυτάτω. Θεόπομπος 85
δὲ ὁ Μακαρτάτου πατήρ, οὐδὲ προσῆλθε τὸ παράπαν, οὐδ' ἠμφισβήτησε διὰ
τὸ μηδ' ὁτιοῦν αὐτῷ προσήκειν· καὶ ταῦτ' ἐν τῇ ἡλικίᾳ ὢν τῇ αὐτῇ. καίτοι πῶς
οἴεσθε, ὦ ἄνδρες δικασταί, ἄτοπον εἶναι τῆς μὲν ἐπικλήρου, ἣ ἦν Ἁγνίᾳ* ἀνεψιοῦ
παῖς πρὸς πατρός, ταύτης μὲν μηδενὶ πώποτ' ἀμφισβητῆσαι Θεόπομπον· τὸν δὲ 86
κλῆρον τοῦ Ἁγνίου ἀξιοῦν ἔχειν παρὰ τοὺς νόμους ἅπαντας; τούτων γένοιντ' ἂν
ἄνθρωποι ἀναισχυντότεροι καὶ μιαρώτεροι; Ἀναγίνωσκε καὶ τοὺς ἑτέρους νόμους.

Νόμος.

Προσειπεῖν τῷ κτείναντι ἐν ἀγορᾷ ἐντὸς ἀνεψιότητος καὶ ἀνεψιοῦ, συνδιώ-
κειν δὲ καὶ ἀνεψιῶν παῖδας καὶ γαμβροὺς, καὶ ἀνεψιοὺς καὶ πενθεροὺς· καὶ ἀνεψια- 87
δοῦς, καὶ φράτορας. ἐὰν δὲ αἰδέσασθαι δέῃ, ἐὰν μὲν πατὴρ ᾖ, ἢ ἀδελφός, ἢ υἱεῖς, πάν-

*αὐτῆς.

*ἐξ ἀνεψιοῦ τῷ πρὸς πατρὸς τῆς, ταῦτ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὰς, ἢ τὸν κωλύοντα κρατεῖν. ἐὰν δὲ τούτων μηδεὶς ᾖ, κτείνῃ δ' ἄκων, γνῶσι δ' οἱ πεντήκοντα, καὶ εἷς, οἱ ἐφέται ἄκοντα κτεῖναι, ἐσέσθων οἱ φράτορες ἐὰν θέλωσι κ. λῶσιν
88 δέκα. τούτους δὲ οἱ πεντήκοντα καὶ εἷς ἀριστίνδην αἱρείσθων, καὶ οἱ πρότερον κτείναντες ἐν τῷδε τῷ θεσμῷ ἐνεχέσθων. τοὺς δ' ἀπογιγνομένους ἐν τοῖς δήμοις, οὓς ἂν μηδεὶς ἀναιρῆται, ἐπαγγελλέτω ὁ δήμαρχος τοῖς προσήκουσιν ἀναιρεῖν καὶ θάπτειν καὶ καθαίρειν τὸν δῆμον, τῇ ἡμέρᾳ, ᾗ ἂν ἀπογένηται ἕκαστος αὐτῶν. ἐπαγγέλλειν δὲ ἐπαγγελλέτ
89 περὶ μὲν τῶν δούλων τῷ δεσπότῃ. περὶ δὲ τῶν ἐλευθέρων, τοῖς τὰ χρήματ' ἔχουσιν. ἐὰν δὲ μὴ ᾖ χρήματα τῷ ἀποθανόντι, τοῖς προσήκουσι τοῦ ἀποθανόντος ἐπαγγέλλειν. ἐὰν δὲ τοῦ δημάρχου ἐπαγγείλαντος μὴ ἀναιρῶνται οἱ προσήκοντες, ὁ μὲν δήμαρχος ἀπομισθωσάτω ἀνελεῖν καὶ καταθάψαι καὶ καθῆραι τὸν δῆμον αὐθημε-
90 ρὸν, ὅπως ἂν δύνηται ὀλιγίστου· ἐὰν δὲ μὴ ἀπομισθώσῃ, ὀφειλέτω χιλίας δραχμὰς τῷ δημοσίῳ. ὅ τι δ' ἂν ἀναλώσῃ, διπλάσιον πραξάσθω παρὰ τῶν ὀφειλόντων. ἐὰν δὲ μὴ πράξῃ, αὐτὸς ὀφειλέτω τοῖς δημόταις. τοὺς δὲ μὴ ἀποδιδόντας τὰς μισθώσεις τῶν τεμενῶν τῶν τῆς θεοῦ, καὶ τῶν ἄλλων θεῶν, καὶ τῶν ἐπωνύμων,
91 ἀτίμους εἶναι καὶ αὐτοὺς, καὶ κληρονόμους τοὺς τούτων, ἕως ἂν ἀποδῶσι.

Ταῦτα πάντ', ὅσα οἱ νόμοι προστάττουσι ποιεῖν τοῖς προσήκουσι, ἡμῖν προστάττουσι καὶ ἀναγκάζουσι ποιεῖν, ὦ ἄνδρες δικασταί. Μακαρτάτῳ δὲ τούτῳ οὐδὲν διαλέγονται, οὐδὲ Θεοπόμπῳ τῷ πατρὶ τῷ τούτου· οὐδὲ γὰρ ἦσαν ἐκ τοῦ οἴκου
92 τοῦ Ἁγνίου τὸ παράπαν. πῶς οὖν ἂν τούτοις τι προστάττοιεν; ἀλλ' οὐδὲ, ὦ ἄνδρες δικασταί, πρὸς μὲν τοὺς νόμους, καὶ τὰς μαρτυρίας, ἃς ἡμεῖς παρεχόμεθα, δίκαιον μὲν οὐδ' ὁτιοῦν ἔχει λέγειν. ἀγανακτεῖ δὲ, καὶ δεινά φησι πάσχειν, ὅτι τοῦ παιδὸς τετελευτηκότος ἀγωνίζεται. ἐκεῖνο δ' οὐκ ἐνθυμεῖται, ὦ ἄνδρες δικασταί, Μακάρτα-
93 τος, ὅτι ὁ πατὴρ αὐτοῦ, ἄνθρωπος ἦν θνητὸς, καὶ τετελεύτηκε μετ' ἄλλων πολλῶν, καὶ νεωτέρων, καὶ πρεσβυτέρων. ἀλλ' εἰ Θεόπομπος τετελεύτηκεν ὁ τουτουῒ πατὴρ, οἱ νόμοι οὐ τετελευτήκασιν, οὐδὲ τὸ δίκαιον τετελεύτηκεν, οὐδ' οἱ δικασταὶ οἱ τὴν ψῆφον ἔχοντες. ἔστι δὲ ὁ νυνὶ ἀγὼν καὶ ἡ διαδικασία, οὐκ εἴ τις ἕτερος ἑτέρου πρότε-
94 ρος ἢ ὕστερος τετελεύτηκεν, ἀλλ' εἰ μὴ προσήκει ἐξηλαθῆναι ἐκ τοῦ οἴκου τοῦ Ἁγνίου ἀνεψιοὺς ὄντας, καὶ ἀνεψιῶν παῖδας Ἁγνίᾳ πρὸς πατρὸς, ὑπὸ τῶν ἐκ τοῦ Στρατίου οἴκου, καὶ μηδὲν προσηκόντων, ὥστε κληρονομεῖν τῶν Ἁγνίου, ἀλλὰ πολὺ ἀποτέρω ὄντων. περὶ τούτου τοίνυν ἐστὶν ὁ ἀγών. ἔτι δὲ σαφέστερον γνώσεσθε, ὦ ἄν-
95 δρες δικασταί, καὶ ἐκ τοῦδε τοῦ νόμου, ὅτι Σόλων ὁ νομοθέτης σπουδάζει περὶ τοὺς οἰκείους. καὶ οὐ μόνον δίδωσι τὰ καταλειφθέντα, ἀλλὰ καὶ προστάγματα ποιεῖται τὰ δυσχερῆ ἅπαντα τοῖς προσήκουσι. λέγε τὸν νόμον. Νόμος.

Τὸν ἀποθανόντα προτίθεσθαι ἔνδον ὅπως ἂν βούληται. ἐκφέρειν δὲ τὸν ἀπο- βούλωνται
96 θανόντα τῇ ὑστεραίᾳ, ᾗ ἂν προθῶνται, πρὶν ἥλιον ἐξέχειν. βαδίζειν δὲ τοὺς ἄνδρας πρόσθεν ὅταν ἐκφέρωνται. τὰς δὲ γυναῖκας, ὄπισθεν. γυναῖκα δὲ μὴ ἐξεῖναι εἰσιέναι εἰς τὰ τοῦ ἀποθανόντος, μηδ' ἀκολουθεῖν ἀποθανόντι, ὅταν εἰς τὰ σήματα ἄγηται, ἐντὸς ἑξήκοντ' ἐτῶν γεγονυῖαν, πλὴν ὅσαι ἐντὸς ἀνεψιαδῶν εἰσί. μηδ' εἰς
7 τὰ τοῦ ἀποθανόντος εἰσιέναι, ἐπειδὰν ἐξενεχθῇ ὁ νέκυς, γυναῖκα μηδεμίαν, πλὴν ὅσαι ἐντὸς ἀνεψιαδῶν εἰσί. Οὐκ ἐᾷ εἰσιέναι οὗ ἂν ᾖ ὁ τετελευτηκὼς, οὐδεμίαν γυναῖκα ἄλλην, ἢ τὰς προσηκούσας μέχρι ἀνεψιότητος· καὶ πρὸς τὸ μνῆμα ἀκολουθεῖν τὰς αὐτὰς ταύτας. Φυλομάχη τοίνυν ἡ Πολέμωνος ἀδελφὴ, τοῦ παιδὸς τοῦ Ἁγνίου. φιλομάχη

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἁγνίου, οὐκ ἀνεψιαὶ τῷ ἁγνίᾳ, ἀλλ' ἡ μὲν τηθίς· ἀδελφὴ γὰρ τῷ πολέμωνος τοῦ πατρὸς 98
τοῦ ἁγνίου, εὐβουλίδης δὲ ὁ υἱὸς ταύτης τῆς γυναικὸς, ἀνεψιὸς τῷ πατρὸς πατρὸς ἁ-
γνίᾳ, οὗ ἐστιν ὁ κλῆρος. τοῦ δ' εὐβουλίδου τῷ θυγάτηρ, ἡ τουτουὶ τοῦ παιδὸς μήτηρ.
ταύτας κελεύει τὰς προσηκούσας, καὶ παρεῖναι τῇ προθέσει τοῦ τετελευτηκότος,
καὶ ἐπὶ τὸ μνῆμα ἀκολουθεῖν, οὐ τὴν μακαρτάτου μητέρα, οὐδὲ τὴν θεοπόμπου 99
γυναῖκα· οὐδὲ γὰρ προσήκουσιν ἁγνίᾳ αὗται. ἀλλ' ἦσαν ἐξ ἑτέρας φυλῆς ἀκα-
μαντίδος· καὶ ἐξ ἑτέρου δήμου προσπαλτόθεν, ἕως τοπαράπαν οὐδ' ᾔσθοντο ὅτε
τῷ τετελευτηκὼς ὁ ἁγνίας. ὑπεραναίσχυντον δὴ οὗτοι κατασκευάζουσι πρᾶ-
γμα, ὡς ἄρα δεῖ ἡμᾶς, καὶ τὰς γυναῖκας τὰς ἡμετέρας, τοῦ μὲν σώματος τοῦ ἁ-
γνίου, ὅτε ἐτετελευτήκει, κληρονόμους εἶναι, καὶ ποιεῖν ἅπαντα τὰ νομιζόμενα, ὡς 100
προσήκοντας, καὶ γένει ὄντας ἐγγυτάτω· τὸν δὲ κλῆρον οἴεσθαι δεῖν ἔχειν τὸν ἁγνίου
τοῦ τετελευτηκότος, μακάρτατον ἐκ τοῦ στρατίου ὄντα οἴκου, καὶ ἐκ τῆς ἀπολήξιδος
τοῦ προσπαλτίου θυγατρὸς, μακαρτάτου δ' ἀδελφῆς. ἀλλ' οὔτε δίκαιον, οὔθ' ὅσιον
τοῦτ' ἐστιν, ὦ ἄνδρες δικασταί. Ἀνάγνωθι δή μοι τὰ ἐκ τῆς μαντείας τῆς ἐκ δελ- 101
φῶν κομισθείσης παρὰ τοῦ θεοῦ, ἵν' αἴσθησθε, ὅτι ταυτὰ λέγει περὶ τῶν προσηκόν-
των, τοῖς νόμοις τοῖς τοῦ σόλωνος.

Μαντεία.

Ἀγαθῇ τύχῃ ἐπερωτᾷ ὁ δῆμος ὁ ἀθηναίων, περὶ τοῦ σημείου τοῦ ἐν τῷ οὐρανῷ
γενομένου, ὅ, τι ἂν δρῶσιν ἀθηναίοις, ἢ ὅτῳ θεῷ θύουσιν, ἢ εὐχομένοις εἴη ἐπὶ τὸ ἄ- 102
μεινον ἀπὸ τοῦ σημείου· συμφέρει ἀθηναίοις περὶ τοῦ σημείου τοῦ ἐν τῷ οὐρανῷ γενο-
μένου, θύοντας καλλιερεῖν διῒ ὑπάτῳ, ἀθηνᾷ ὑπάτῃ, ἡρακλεῖ, ἀπόλλωνι σωτῆρι· καὶ
ἀποπέμπειν ἀμφικτύοσι περὶ τύχας ἀγαθᾶς. ἀπόλλωνι ἀγυιεῖ, λητοῖ, ἀρτέ-
μιδι, καὶ τὰς ἀγυιὰς κνισῆν, καὶ κρατῆρας ἱστάμεν, καὶ χορεὺς καὶ στεφαναφορεῖν κατ- 103
τὰ πάτρια θεοῖς ὀλυμπίοις καὶ ὀλυμπίαις, πάντεσσι καὶ πάσαις, δεξιὰς καὶ ἀριστε-
ρὰς ἀνίσχοντας μνασιδωρεῖν, κατ τὰ πατρῷα ἥρῳ ἀρχηγέτᾳ, οὗ ἐπώνυμοί ἐστε, θύειν
καὶ δωροτελεῖν, καὶ τὰ πάτρια τοῖς *ἀποφθιμένοις ἐν ἱκνουμένᾳ ἁμέρᾳ τελεῖν τοὺς
ποθήκοντας κατὰ τὰ ἀγημένα. Ἀκούετε, ὦ ἄνδρες δικασταὶ, ὅτι ταυτὰ λέγει ὅ, τε σό- 104
λων ἐν τοῖς νόμοις, καὶ θεὸς ἐν τῇ μαντείᾳ, κελεύων τοῖς κατοιχομένοις ποιεῖν τοὺς
προσήκοντας ἐν ταῖς καθηκούσαις ἡμέραις. ἀλλὰ τούτων οὐδὲν ἔμελε τῷ θεο-
πόμπῳ, οὐδὲ τῷ μακαρτάτῳ τούτῳ· ἀλλὰ τοῦτο μόνον τὰ μὴ προσήκοντα ἑαυ-
τοῖς ἔχειν, καὶ ἐγκαλεῖν ὅτι πολὺν χρόνον ἐχόντων ἑαυτῶν τὸν κλῆρον, νυνὶ ἀγωνί- 105
ζονται. ἐγὼ δ' ὤμην, ὦ ἄνδρες δικασταὶ, προσήκειν τὸν τἀλλότρια ἀδίκως ἔχον-
τα οὐκ ἐγκαλεῖν, εἰ πλείω χρόνον εἶχεν· ἀλλὰ χάριν εἰδέναι μὴ ἡμῖν, ἀλλὰ τῇ τύ-
χῃ, ὅτι πολλαὶ καὶ ἀναγκαῖαι διατριβαὶ ἐγένοντο ἐν τῷ μεταξὺ χρόνῳ, ὥστε νυνὶ
περὶ τούτων ἡμῖν ἀγωνίζεσθαι. οὗτοι μὲν οὖν τοιοῦτοί εἰσιν ἄνθρωποι, ὦ ἄνδρες 106
δικασταὶ, καὶ μέλει αὐτοῖς οὐδὲν, οὔτε τοῦ οἴκου ἐξηρημωμένου τοῦ ἁγνίου, οὔτε τῶν ἄλ-
λων, ὅσα παρανομοῦσιν. οἵτινές γε, ὦ Ζεῦ καὶ θεοὶ, τὰ μὲν ἄλλα τί ἄν τις λέγοι πε-
ρὶ τούτων; πολλὰ γὰρ ἂν εἴη λέγειν· ἐν δὲ μιαρώτατον, καὶ παρανομώτατον δια-
πεπραγμένοι εἰσί. καὶ μάλιστ' ἐνδεικνύμενοι, ὅτι οὐδὲν αὐτοῖς μέλει, πλὴν τοῦ 1
πλεονεκτεῖν· οὐ γὰρ ἔφθη ὁ θεόπομπος τὴν ἐπιδικασίαν ἡμῖν ποιησάμενος τοῦ κλή-
ρου τοῦ ἁγνίου τὸν τρόπον τοῦτον, ὃν ὑμεῖς ἀκηκόατε· καὶ εὐθὺς ἐνεδείξατο, ὅτι τὰ οὐδὲν
προσήκοντα ἑαυτῷ ἔχειν ἐνόμιζεν· ὃ γὰρ τῷ πλείστου ἄξιον ἐν τοῖς χωρίοις τοῦ ἁγνίου,
καὶ ἐθαυμάζετο μάλιστα καὶ ὑπὸ τῶν προσχώρων, καὶ ὑπὸ τῶν ἄλλων ἀνθρώ-

*ἀποφθιμέ-
νοις

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πων, αἱ ἐλάαι, ταύτας ἐξώρυττον, καὶ ἐξεπρέμνιζον, πλέον ἢ χίλια στελέχη, ὅθεν ἔλαιον πολὺ ἐγίνετο. ταύτας οὗτοι ἀπέδοντο ἐκπρεμνίσαντες, καὶ ἀργύριον ὑπέρπολυ ἔλαβον. καὶ ταῦτ' ἐποίουν οὗτοι ἐπιδίκου ὄντος τοῦ κλήρου τοῦ Ἁγνίου κατὰ τὸν
109 νόμον, καθ' ὅνπερ οὗτοι τὴν τουτουὶ μητέρα* προσεκαλέσαντο. ὅτι δὲ ταῦτ' ἀληθῆ λέγω, καὶ ἐξεπρέμνισαν οὗτοι τὰς ἐλάας ἐκ τῶν χωρίων, ὧν Ἁγνίας κατέλιπε, μάρτυρας ὑμῖν τούτων παρεξόμεθα τούς τε περιχώρους, καὶ τῶν ἄλλων, οὓς παρεκαλέσαμεν, ὅτε ἐμαρτυρόμεθα. λέγε τὴν μαρτυρίαν.

*προσεκαλέσαντο.

110 Μαρτυρία.

Μαρτυροῦσιν ἀκολουθῆσαι Ἀραφηνάδε παρακληθέντες ὑπὸ Σωσιθέου εἰς τοὺς Ἁγνίου ἀγρούς, ἐπειδὴ Θεόπομπος ἐπεδικάσατο τοῦ κλήρου τοῦ Ἁγνίου, καὶ ἐπιδεικνύναι αὐτοῖς Σωσίθεον τὰς ἐλάας πρεμνιζομένας ἐκ τοῦ Ἁγνίου ἀγροῦ. Εἰ
111 μὲν τοίνυν, ὦ ἄνδρες δικασταί, τὸν τετελευτηκότα μόνον ὕβριζον ταῦτα διαπραξάμενοι, δεινὰ μὲν ἐποίουν, ἧττον δέ. νῦν δὲ καὶ εἰς ὅλην τὴν πόλιν ταυτὶ ὑβρίκασι, καὶ παρανενομήκασι. γνώσεσθε δὲ ἐπειδὰν τοῦ νόμου ἀκούσητε. Αναγίγνωσκε τὸν νόμον.

Νόμος.

112 Ἐάν τις ἐλάαν Ἀθήνησιν ἐξορύττῃ, ἐὰν μὴ εἰς ἱερὸν Ἀθηναίων δημόσιον, ἢ δημοτικὸν ἢ ἑαυτῷ χρῆσθαι μέχρι δυοῖν ἐλάαιν τοῦ ἐνιαυτοῦ ἑκάστου, ἢ ἐπὶ ἀποθανόντα δέῃ χρήσασθαι, ὀφείλειν ἑκατὸν δραχμὰς τῷ δημοσίῳ τῆς ἐλάας ἑκάστης. τὸ δὲ ἐπιδέκατον τούτου τῆς θεοῦ εἶναι. ὀφειλέτω δὲ καὶ ἰδιώτῃ τῷ ἐπεξιόντι ἑκατὸν
113 δραχμὰς καθ' ἑκάστην ἐλάαν. τὰς δὲ δίκας εἶναι περὶ τούτων πρὸς τοὺς ἄρχοντας, ὧν ἕκαστοι δικασταί εἰσι. πρυτανεῖα δὲ τιθέτω ὁ διώκων τοῦ αὐτοῦ μέρους. ὅπου δ' ἂν καταγνωσθῇ, ἐγγραφόντων οἱ ἄρχοντες πρὸς οὓς ἂν ἡ δίκη τοῖς πράκτορσιν, ὃ τῷ δημοσίῳ γίγνεται, τοῖς ταμίαις τὸ τῆς θεοῦ. ἐὰν δὲ μὴ ἐγγράφωσιν, αὐτοὶ ὀφειλόντων.

Ὁ μὲν νόμος οὕτως ἰσχυρός. ἐκεῖνο δ' ἐνθυμεῖσθε πρὸς ὑμᾶς αὐτούς, ὦ ἄνδρες
114 δικασταί, τί ποτ' οἴεσθε ἡμᾶς πάσχειν ἐν τῷ παρεληλυθότι χρόνῳ ὑπὸ τούτων, καὶ ὑπὸ τῆς ὕβρεως τῆς τούτων, ὅπου ὑμῶν τῆς πόλεως τηλικαυτησὶ καταπεφρονήκασι, καὶ τῶν νόμων τῶν ὑμετέρων, καὶ ἃ διαρρήδην ἀπαγορεύουσιν οἱ νόμοι μὴ ποιεῖν, οὑτωσὶ
115 καταφρονητικῶς ᾐκίσαντο τὰ χωρία, ἃ κατέλιπεν Ἁγνίας. ὁ δὲ νόμος ἀπαγορεύει μηδ' ἐκ τοῦ αὑτοῦ χωρίου τοῦ πατρῴου ταῦτα ποιεῖν. πολύ γε αὐτοῖς μέλει, ἢ τοῖς νόμοις τοῖς ὑμετέροις πείθεσθαι, ἢ ὅπως μὴ ἐξερημωθῇ ὁ οἶκος ὁ Ἁγνίου. ἐγὼ δ', ὦ ἄνδρες δικασταί, βούλομαι περὶ ἐμαυτοῦ εἰπεῖν πρὸς ὑμᾶς διὰ βραχέων, καὶ
116 ἐπιδεῖξαι ὅτι οὐχ ὁμοίως τούτοις ἐπιμέλειαν ἐποιησάμην τοῦ οἴκου τοῦ Ἁγνίου, ὅπως μὴ ἐξερημωθήσεται. καὶ αὐτὸς γάρ εἰμι τοῦ γένους τοῦ Βουσέλου. Ἅβρωνος γὰρ τοῦ Βουσέλου υἱέος ἔλαβε τὴν θυγατέρα Καλλίστρατος, ὁ Εὐβουλίδου μὲν υἱὸς ὤν, Βουσέλου δ' υἱιδοῦς. καὶ ἐκ τῆς Ἅβρωνος θυγατρὸς καὶ Καλλιστράτου τοῦ ἀδελφιδοῦ τοῦ
117 Ἅβρωνος ἐγένετο ἡ μήτηρ ἡ ἡμετέρα. ἐγὼ δ' ἐπεδικασάμην τῆς τούτου μητρός. καὶ ἐγένοντό μοι υἱεῖς μὲν τέτταρες, θυγάτηρ δὲ μία. τὰ ὀνόματα ἐθέμην τούτοις, ὦ ἄνδρες δικασταί, τῷ μὲν πρεσβυτάτῳ, τὸ τοῦ πατρὸς τοῦ ἐμαυτοῦ ὄνομα, Σωσίαν, ὥσπερ καὶ δίκαιόν ἐστι. καὶ ἀπέδωκα τῷ πρεσβυτάτῳ τοῦτο τὸ ὄνομα. τῷ δὲ μετὰ τὸν
118 πρεσβύτατον γενομένῳ, τούτῳ ἐθέμην Εὐβουλίδην, ὅπερ ἦν ὄνομα τῷ πατρὶ τῷ τῆς μητρὸς τοῦ παιδὸς τούτου. τῷ δὲ μετὰ τοῦτον, Μενεσθέα ἐθέμην. καὶ γὰρ ὁ Μενεσθεὺς οἰκεῖος ἦν τῆς ἐμῆς γυναικός. τῷ δὲ νεωτάτῳ ἐθέμην ὄνομα Καλλίστρατον,

ὃ ἦν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁ τὴν ὄνομα τῷ πατρὶ τῆς ἐμῆς μητρός. ἔτι δὲ πρὸς τούτοις καὶ τὴν θυγατέ-
ρ' ἔδωκα οὐδαμόσε ἔξω, ἀλλὰ τῷ ἀδελφιδῷ τῷ ἐμαυτοῦ, ὅπως, ἐὰν ὑγιαίνωσι 119
καὶ οἱ ἐκ τούτων, ἐκ τοῦ αὐτοῦ γένους ὦσιν ἁγνίᾳ. ἐγὼ μὲν οὖν τοῦτον τὸν τρόπον
διῴκησα, ὅπως ἂν μάλιστα διασώζωνται οἱ οἶκοι οἱ ἀπὸ τοῦ βουσέλου. τουτουσὶ δ' ἐ-
ξετάσωμεν πάλιν. καὶ πρῶτον μὲν τὸν νόμον τουτονὶ ἀνάγνωθι.

Νόμος. 120

Ο ἄρχων ἐπιμελείσθω τῶν ὀρφανῶν, καὶ τῶν ἐπικλήρων, καὶ τῶν οἴκων τῶν ἐξε-
ρημουμένων, καὶ τῶν γυναικῶν, ὅσαι μένουσιν ἐν τοῖς οἴκοις τῶν ἀνδρῶν τῶν τεθνη-
κότων φάσκουσαι κυεῖν, τούτων ἐπιμελείσθω. καὶ μὴ ἐάτω ὑβρίζειν, ἢ ποιεῖν τι παρά-
νομον. κύριος ἔστω ἐπιβάλλειν κατὰ τὸ τέλος. ἐὰν δὲ μείζονος ζημίας δοκῇ ἄξιος 121
* προσκαλε-σάμενος εἶναι, * προσκαλεσάμενος πρόπεμπτα, καὶ τίμημα ἐπιγραψάμενος ὅ,τι ἂν δο-
κῇ αὐτῷ, εἰσαγαγέτω εἰς τὴν ἡλιαίαν. ἐὰν δ' ἁλῷ, τιμάτω ἡ ἡλιαία περὶ τοῦ ἁ-
λόντος ὅ,τι χρὴ αὐτὸν παθεῖν, ἢ ἀποτῖσαι. Πῶς ἂν οὖν μᾶλλον ἐξερημώσειαν ἄν-
θρωποι οἶκον, ἢ εἴ τινες τοὺς γένει ὄντας ἐγγυτάτω ἁγνίᾳ, τούτους ἐξελαύνοιεν, ἐξ ἑ- 122
* ἔπειτα τέρου οἴκου ὄντες τοῦ στρατίου; καὶ πάλιν εἰ τὸν μὲν κλῆρον ἀξιοῖ ἔχειν τὸν ἁγνίου,
ὡς γένει προσήκων· τὸ δ' ὄνομά ἐστιν αὐτῷ μὴ ὅτι ἐκ τοῦ ἁγνίου οἴκου. ἀλλ' οὐδ'
ἐκ τοῦ στρατίου ἐστὶ τοῦ ἑαυτοῦ προγόνου, ἀλλ' οὐδ' ἐκ τῶν ἄλλων ἀπογόνων τῶν
βουσέλου τοσούτων γενομένων, οὐδενὸς ἔχει τὸ ὄνομα. ἀλλὰ πόθεν δή ἐστι τὸ ὄνομα 123
ὁ μακάρτατος; ἐκ τῶν πρὸς μητρός· εἰσεποιήθη γὰρ οὗτος εἰς τὸν οἶκον τὸν μακαρ-
τάτου τοῦ προσπαλτίου, ἀδελφοῦ ὄντος τῆς μητρὸς τῆς τούτου. καὶ ἔχει καὶ ἐκείνου
* τὸ τὸν οἶκον. καὶ οὕτως ἐστὶν ὑβριστής, ὥστε γενομένου αὐτῷ υἱέος, τοῦτον μὲν εἰσαγα-
γεῖν εἰς τὸν οἶκον τὸν ἁγνίου, υἱὸν τῷ ἁγνίᾳ ἐπελάθετο· καὶ ταῦτ' ἔχων τὸν κλῆρον τοῦ 124
ἁγνίου, καὶ φάσκων πρὸς ἀνδρῶν αὐτῷ προσήκειν. τὸν δὲ τὸν υἱὸν τὸν γενόμενον
τῷ μακαρτάτῳ εἰσπεποίηκε τῷ πρὸς μητρὸς εἰς τοὺς προσπαλτίους· τὸν δὲ ἁ-
γνίου οἶκον, εἴασεν ἔρημον εἶναι τὸ τούτου μέρος. φησὶ δὲ τὸν πατέρα τὸν ἑαυτοῦ θεό-
πομπον προσήκειν ἁγνίᾳ. ὁ δὲ νόμος κελεύει ὁ τοῦ σόλωνος κρατεῖν τοὺς ἄρρενας 125
καὶ τοὺς ἐκ τῶν ἀρρένων. οὗτος δ' οὑτωσὶ ῥᾳδίως κατεφρόνησε καὶ τῶν νόμων, καὶ
ὥσπ εἰσπ. τοῦ ἁγνίου, καὶ εἰσεποίησε τὸν υἱὸν εἰς τὸν οἶκον τὸν πρὸς μητρός. πῶς ἂν γένοιντο τού-
των ἄνθρωποι παρανομώτεροι, ἢ βιαιότεροι; οὐ τοίνυν ταῦτα μόνον, ὦ ἄνδρες δι-
κασταί, ἀλλὰ καὶ μνήματος ὄντος κοινοῦ ἅπασι τοῖς ἀπὸ τοῦ βουσέλου γενομένοις, 126
καὶ καλεῖται τὸ μνῆμα βουσελιδῶν, πολὺς τόπος περιβεβλημένος, ὥσπερ οἱ ἀρ-
χαῖοι ἐνόμιζον· ἐν τούτῳ τῷ μνήματι, οἱ μὲν ἄλλοι πάντες οἱ ἀπὸ τοῦ βουσέλου
γενόμενοι κεῖνται, καὶ ὁ ἁγνίας, καὶ εὐβουλίδης, καὶ ὁ πολέμων, καὶ οἱ ἄλλοι πάντες το-
σοῦτοι ὄντες συγγενεῖς, οἱ ἀπὸ τοῦ βουσέλου ἅπαντες· οὗτοι κοινωνοῦσι τοῦ μνήματος 127
τούτου. ὁ δὲ τουτουὶ πατὴρ μακαρτάτου, καὶ ὁ τούτου πάππος, οὐ κεκοινωνήκασι τοῦ
* ἄποθεν μνήματος τούτου, ἀλλ' αὑτοῖς ἴδια ἐποιήσαντο μνῆμα ἄποθεν τοῦ βουσελιδῶν μνή-
ματος. δοκοῦσιν ὑμῖν, ὦ ἄνδρες δικασταί, προσήκειν τι τῷ οἴκῳ τῷ ἁγνίου, πλὴν τοῦ
ἔχειν ἁρπάσαντες τὰ μὴ προσήκοντα; εἰ δ' ἐξερημωθήσεται καὶ ἀνώνυμος ἔσται ὁ 128
οἶκος ὁ ἁγνίου, καὶ ὁ εὐβουλίδου τοῦ ἀνεψιοῦ τοῦ ἁγνίου, οὐδὲ κατὰ τοὐλάχιστον πώποτ'
αὐτοῖς ἐμέλησεν. ἐγὼ δ', ὦ ἄνδρες δικασταί, βοηθῶ μὲν ὡς οἷός τ' εἰμὶ, μάλιστα μὲν
τοῖς τετελευτηκόσιν ἐκείνοις. οὐ πάνυ δὲ ἐστὶ ῥᾴδιον ταῖς τούτου παρασκευαῖς ἀντα-
γωνίζεσθαι. παραδίδωμι οὖν ὑμῖν, ὦ ἄνδρες δικασταί, τὸν παῖδα τουτονὶ ἐπιμελη- 129

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θεῖναι, ὅπως ὑμῖν δικαιότατα δοκεῖ εἶναι. οὗτος εἰσπεποίηται εἰς τὸν οἶκον τὸν Εὐβουλίδου. καὶ εἰσῆκται εἰς τοὺς φράτορας οὐκ εἰς τοὺς ἐμούς, ἀλλ' εἰς τοὺς Εὐβουλίδου, καὶ Ἁγνίου καὶ Μακαρτάτου τουτουΐ. καὶ ὅτε εἰσήγετο, οἱ μὲν ἄλλοι φράτορες κρύβδην ἔ-
130 φερον τὴν ψῆφον. οὑτοσὶ δὲ Μακάρτατος φανερῶς τὴν ψῆφον ἐψηφίσατο ὀρθῶς εἰσάγεσθαι Εὐβουλίδῃ υἱὸν τὸν παῖδα τουτονί, οὐκ ἐθελήσας ἅψασθαι τοῦ ἱερείου, οὐδ' ἀπαγαγεῖν ἀπὸ τοῦ βωμοῦ ὑπεύθυνον αὐτὸν ποιήσας. ἀλλὰ καὶ τὴν μερίδα τῶν κρεῶν ᾤχετο λαβὼν παρὰ τοῦ παιδὸς τουτουΐ, ὥσπερ καὶ οἱ ἄλλοι φράτορες. νομί-
131 ζετε δὴ τὸν παῖδα τοῦτον, ὦ ἄνδρες δικασταί, ἱκετηρίαν ὑμῖν προκεῖσθαι περὶ τῶν τετελευτηκότων Ἁγνίου καὶ Εὐβουλίδου, καὶ τῶν ἄλλων τῶν ἀπὸ τοῦ Ἁγνίου, καὶ ἱκετεύειν αὐτοὺς ὑμᾶς τοὺς δικαστάς, ὅπως μὴ ἐξερημωθήσεται αὐτῶν ὁ οἶκος ὑπὸ τῶν μιαρῶν τούτων θείων, οἵ εἰσιν ἐκ τοῦ Στρατίου οἴκου· ἐκ δὲ τοῦ Ἁγνίου οὐδε-
132 πώποτ' ἐγένοντο. μηδ' ἐπιτρέψητε τούτοις ἔχειν τὰ μὴ προσήκοντα, ἀλλ' ἀποδοῦναι ἀναγκάσατε εἰς τὸν Ἁγνίου οἶκον τοῖς προσήκουσι τοῖς Ἁγνίου. ἐγὼ μὲν οὖν ἐκείνοις τε βοηθῶ τοῖς τετελευτηκόσι, καὶ τοῖς νόμοις, τοῖς περὶ τούτων κειμένοις. δέομαι δ' ὑμῶν, ὦ ἄνδρες δικασταί, καὶ ἱκετεύω, καὶ ἀντιβολῶ μὴ περιίδητε μή-
133 τε τὸν παῖδα τουτονὶ ὑβρισθέντα ὑπὸ τούτων, μήτε τοὺς προγόνους τούτου ἔτι μᾶλλον καταφρονουμένους, οἳ νῦν καταπεφρόνηνται, ἐὰν διαπράξωνται οὗτοι, ἃ βούλονται· ἀλλὰ τοῖς τε νόμοις βοηθεῖτε, καὶ τῶν τετελευτηκότων ἐπιμελεῖσθε, ὅπως μὴ ἐξερημωθῇ αὐτῶν ὁ οἶκος. καὶ ταῦτα ποιοῦντες, τά τε δίκαια ψηφιεῖσθε, καὶ τὰ εὔορκα, καὶ τὰ ὑμῖν αὐτοῖς συμφέροντα.

*ἐπιτρέ, ετ. — ' ἀναγκάσητε*

### ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΛΕΩΧΑΡΗΝ περὶ τοῦ κλήρου λόγου.

Ἀρχιάδου τελευτήσαντος ἄπαιδος, Λεωκράτης κατέσχε τὸν κλῆρον, συγγενής τε ὢν αὐτοῦ, καὶ εἰσπεποιῆσθαι λέγων ὑπὸ Ἀρχιάδου. καὶ μέχρι μέν τινος, αὐτὸς κατεῖχεν. ἔπειτα τὸν υἱὸν τὸν ἑαυτοῦ Λεώστρατον εἰσποιήσας ἀντ' αὐτοῦ τῷ Ἀρχιάδῃ, ἐξίσταται τοῦ οἴκου, καὶ εἰς τὸν οἰκεῖον ἀνεχώρησεν, ὡς ἄδειαν δεδωκότος τούτῳ τοῦ νόμου. ἐποίησε δὲ τοῦτο ὁ Λεώστρατος, καὶ ἀντ' αὐτοῦ καταλιπὼν ἐν τῷ οἴκῳ τοῦ Ἀρχιάδου παῖδα Λεωκράτην καλούμενον, ἐπανῆλθεν αὐτὸς εἰς τὴν οἰκίαν τὴν τοῦ φύσει πατρός. ὁ μὲν δὴ Λεωκράτης ὁ τελευταῖος εἰσποιηθεὶς τῷ Ἀρχιάδῃ, τέθνηκεν ἄπαις. προσελήλυθε δὲ τῷ κλήρῳ Ἀριστόδημος, λέγων ἐγγυτάτω τοῦ γένους εἶναι τῷ Ἀρχιάδῃ, οὗπερ ἦν ὁ κλῆρος ἐξ ἀρχῆς, καὶ δι' ἐκεῖνον τῷ Λεωκράτει τῷ τελευταίῳ τῶν εἰσποιηθέντων. Λεωχάρης δὲ ὁ ἀδελφὸς τοῦ τεθνηκότος, ἀμφισβητεῖ τοῦ κλήρου. τὸ δὲ ὅλον ἰσχυριζόμενος ποιήσει, ὡς υἱὸς ποιητὸς ὢν τοῦ Λεωκράτους φάσκων δὲ εἶναι καὶ συγγενὴς Ἀρχιάδου. ὁ δὲ ὑπὲρ Ἀριστοδήμου λέγων, ἐπιδείκνυσι τὴν μὲν τοῦ γένους ἀγχιστείαν Ἀριστοδήμῳ διδοῦσαν τὸν κλῆρον, τὴν δὲ ποίησιν παρανενομημένην οὖσαν. οὐ γὰρ ζῶν, φησίν, ὁ Λεωκράτης ἐποιήσατο παῖδα τὸν Λεωχάρην, καθάπερ οἱ νόμοι κελεύουσιν, ἀλλ' ἐπὶ τὴν ἐκείνου τελευτὴν ἐπ' ἀποστερήσει τῆς οὐσίας παρὰ τοὺς νόμους ἡ εἰσποίησις γίνεται. λέγει δὲ τὸν λόγον ὁ τοῦ Ἀριστοδήμου υἱός.

*τοῦτο — τὸ μὲν ὅλον*

## ΔΗΜΟΣΘΕΝΟΥΣ Ο ΠΡΟΣ ΛΕΩΧΑΡΗΝ ΠΕΡΙ ΤΟΥ ΚΛΗΡΟΥ ΛΟΓΟΣ.

Αἴτιος μὲν ἐστὶ Λεωχάρης οὑτοσί, ὦ ἄνδρες δικασταί, τοῦ καὶ αὐτὸν κρίνεσθαι, καὶ ἐμὲ νεώτερον ὄντα λέγειν ἐν ὑμῖν, ἀξιῶν κληρονομεῖν ὧν οὐ προσῆκεν αὐτῷ, καὶ ὑπὲρ τούτων ψευδῆ διαμαρτυρίαν πρὸς τῷ ἄρχοντι ποιησάμενος· ἡμῖν μὲν γὰρ ἀναγκαῖον ἦν, τοῦ νόμου τὰς ἀγχιστείας ἐγγυτάτω γένους ἀποδιδόντος οὖσιν οἰκείοις, Ἀρχιάδου τοῦ ἐξ ἀρχῆς καταλιπόντος τὸν κλῆρον, μήτε τὸν οἶκον

*τοῖς ἐγγ.*



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οἶκον ἐξερημωθέντα τῆς ἐκείνου περιϊδεῖν, μήτε τῆς οὐσίας ἑτέρους κληρονομή-
σαντας, οἷς οὐδ' ὁτιοῦν προσήκει. οὗτοι δὲ οὔτε γένει τοῦ τετελευτηκότος υἱὸς
ὤν, οὔτ' εἰσποιηθεὶς κατὰ τοὺς νόμους, ὡς ἐγὼ δείξω, διαμεμαρτύρηκεν οὕτω τὰ 3
ψευδῆ προπετῶς, ἀφαιρούμενος ἡμῶν τὴν κληρονομίαν. δέομαι δ' ὑμῶν, ὦ
τῷ πα. ἄνδρες δικασταί, βοηθῆσαι τῷ γε πατρὶ τούτῳ, καὶ ἐμοί, ἐὰν λέγωμεν τὰ δί-
χ. τοῖς καια, καὶ μὴ περιϊδεῖν πένητας ἀνθρώπους, καὶ ἀσθενεῖς, καὶ καταστασιασθέν-
τας ὑπὸ παρατάξεως ἀδίκου· ἡμεῖς μὲν γὰρ ταῖς ἀληθείαις πιστεύοντες, εἰσε- 4
ληλύθαμεν, καὶ ἀγαπῶντες ἄν τις ἡμᾶς ἐᾷ τῶν νόμων τυγχάνειν. οὗτοι δὲ τῇ
παρασκευῇ καὶ τοῖς ἀναλώμασιν ἰσχυριζόμενοι διατετελέκασιν· εἰκότως, οἴ-
μαι· ἐκ γὰρ τῶν ἀλλοτρίων ῥᾳδίως ἀναλίσκουσιν, ὥστε καὶ τοὺς συνεργοῦν-
τας ὑπὲρ αὐτῶν, καὶ τοὺς μαρτυροῦντας τὰ ψευδῆ, πολλοὺς πεποιῆσθαι. ὁ δὲ 5
πατὴρ οὑτοσί· εἰρήσεται γὰρ ἅμα τῆς πενίας, ὡς ὑμεῖς ἅπαντες ἴστε, καὶ τοῦ ἰδιώ-
της εἶναι φανερὰς ἔχων τὰς μαρτυρίας, ἀγωνίζεται· διατελεῖ γὰρ ἐν Πειραιεῖ κη-
ρύττων· τοῦτο δ' ἐστὶν οὐ μόνον ἀπορίας ἀνθρωπίνης τεκμήριον, ἀλλὰ καὶ ἀσχο-
λίας τῆς ἐπὶ τὸ πραγματεύεσθαι· ἀνάγκη γὰρ ἡμερεύειν ἐν τῇ ἀγορᾷ τὸν τοιοῦ- 6
τον. ἃ δεῖ λογιζομένους ἐνθυμεῖσθαι, ὅτι εἰ μὴ τῷ δικαίῳ ἐπιστεύομεν, οὐκ ἄν
ποτε εἰσήλθομεν εἰς ὑμᾶς. περὶ μὲν οὖν τῶν τοιούτων, καὶ προϊόντος τοῦ λόγου
σαφέστερον ἀκούσεσθε. ὑπὲρ αὐτῆς δὲ τῆς διαμαρτυρίας, καὶ τοῦ ἀγῶνος, ἤδη
νομίζω δεῖν διδάσκειν. εἰ μὲν οὖν, ὦ ἄνδρες δικασταί, ἐκ τῆς μαρτυρίας αὐτῆς 7
Λεωχάρης ἔμελλεν ἀπολογούμενος δείξειν, ὡς ἔστι γνήσιος Ἀρχιάδου, οὐδὲν ἂν
ἔδει πολλῶν λόγων· οὐδ' ἄνωθεν ἡμᾶς ἐξετάζειν τὸ γένος τὸ ἡμέτερον· ἐπει-
δὴ δὲ τὰ μὲν διαμεμαρτυρημένα ἕτερον τρόπον ἔχει, ὁ δὲ πολὺς τοῦ λόγου του-
τοισὶ ἔσται, ὡς εἰσεποιήθησαν, καὶ κατὰ τὴν ἀγχιστείαν γνήσιοι ὄντες, δικαίως ἂν 8
τῆς οὐσίας κληρονομοῖεν, ἀναγκαῖον, ὦ ἄνδρες δικασταί, διὰ ταῦτα μικρῷ ἄ-
νωθεν τὰ περὶ τοῦ γένους ὑμῖν διεξελθεῖν· ἐὰν γὰρ τοῦτο σαφῶς μάθητε, οὐ μὴ
παρακρουσθῆτε ὑπ' αὐτῶν τῷ λόγῳ· ἔστι γὰρ ὁ μὲν ἀγὼν οὑτοσί, κλήρου δια-
δικασία. ἀμφισβητεῖται δὲ παρὰ μὲν ἡμῶν, κατὰ γένος ἡ ἀγχιστεία· παρὰ δὲ 9
τούτων, κατὰ ποίησιν. ὁμολογοῦμεν δ' ἐναντίον ὑμῶν, δεῖν τὰς ποιήσεις κυρίας
εἶναι, ὅσαι ἂν κατὰ τοὺς νόμους δικαίως γίνωνται. ὥστε ταύτας τὰς ὑποθέσεις με-
μνημένοι, ἂν δείξωσιν ὑμῖν διδόντας τοὺς νόμους αὐτοῖς ἃ διαμεμαρτυρήκασι,
ψηφίσασθε αὐτοῖς τὸν κλῆρον. καὶ ἐὰν μὲν ἐκ τῶν νόμων μὴ ὑπάρχῃ, δίκαια 10
δὲ καὶ φιλάνθρωπα φαίνωνται λέγοντες, καὶ ὅμως συγχωροῦμεν. ἵνα δὲ εἰδῆ-
τε, ὅτι κατὰ γένος ἐγγύτατα ὄντες, οὐ μόνον τούτῳ ἰσχυριζόμεθα, ἀλλὰ καὶ
τοῖς ἄλλοις ἅπασι, πρῶτον μὲν ὑμᾶς ὑπὲρ αὐτοῦ τοῦ γένους διδάξομεν, ὅθεν
ἐστὶν ὁ κλῆρος· νομίζω γάρ, ἂν τοῦτο τὸ μέρος τοῦ ἀγῶνος σαφῶς παρακολου- 11
θήσητε, καὶ τῶν ἄλλων ὑμᾶς οὐδενὸς ἀπολειφθήσεσθαι. τὸ γὰρ ἐξ ἀρχῆς, ὦ ἄν-
δρες δικασταί, γίνονται Εὐθυμάχῳ τῷ Ὀτρυνεῖ, υἱεῖς τρεῖς, Μειδυλίδης, καὶ Ἀρχίπ-
πος, καὶ Ἀρχιάδης, καὶ θυγάτηρ ᾗ ὄνομα ἦν Ἀρχιδίκη. τελευτήσαντος δὲ τοῦ
πατρὸς αὐτοῖς, τὴν μὲν Ἀρχιδίκην ἐκδιδόασι Λεωστράτῳ Ἐλευσινίῳ. αὐτῶν δὲ
τριῶν ὄντων, ὁ μὲν Ἀρχίππος τριηραρχῶν ἐτελεύτησε τὸν βίον ἐν Μηθύμνῃ· ὁ
κοπρείως δὲ Μειδυλίδης, οὐ πολλῷ χρόνῳ ὕστερον, γαμεῖ Μνησιμάχην Λυσίππου τοῦ Κρι-
ωέως θυγατέρα. καὶ γίνεται αὐτῷ θυγάτηρ, ᾗ ὄνομα Κλειτομάχη· ἣν ἠβουλήθη μὲν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

13 ἐκεῖνος ἀγάμῳ τῷ ἀδελφῷ ὄντι τῷ ἑαυτοῦ ἐκδοῦναι. ἐπειδὴ δὲ ὁ Ἀρχιάδης
οὐκ ἔφη προαιρεῖσθαι γαμεῖν, ἀλλὰ καὶ τὴν οὐσίαν ἀνέμητον διὰ ταῦτα συγ-
χωρήσας εἶναι, ᾤκει καθ' αὑτὸν ἐν τῇ Σαλαμῖνι· οὕτως ἤδη ὁ Μειδυλίδης ἐκδίδω-
σι τὴν αὑτοῦ θυγατέρα Ἀρειστοτέλει Παλληνεῖ, τῷ πάππῳ τῷ ἐμῷ. καὶ γίγνονται ἐξ
14 αὐτοῦ υἱεῖς τρεῖς· Ἀρειστόδημός τε οὑτοσὶ ὁ πατὴρ ὁ ἐμὸς, καὶ Ἀβρώνιχος ὁ θεῖος, καὶ
Μειδυλίδης· ὃς νῦν τετελευτηκὼς τυγχάνει. καὶ ἡ μὲν τοῦ γένους ἀγχιστεία τοῦ ἡ-
μετέρου, ἐν ᾧ ἐστὶν ὁ κλῆρος, σχεδὸν οὕτως ἔχει, ὦ ἄνδρες δικασταί· Ἀρχιάδῃ γὰρ
πρὸς ἀνδρῶν ἡμεῖς ἦμεν γένει ἐγγυτάτω· καὶ κατὰ τοῦτον τὸν νόμον ἀξιοῦντες τῆς
15 ἐκείνου οὐσίας κληρονομεῖν, καὶ τὸ γένος μὴ περιιδεῖν ἐξερημωθὲν, ἐλάχομεν πρὸς
τὸν ἄρχοντα τοῦ κλήρου. οὗτοι δὲ ἔχοντες οὐ δικαίως τὰ χρήματα, διαμεμαρ-
τυρήκασι νυνί· τὸ μὲν ὅλον ἰσχυριζόμενοι ποιήσει, φάσκοντες δὲ καὶ συγγενεῖς εἶναι. ποιήσει.
περὶ μὲν οὖν ταύτης τῆς εἰσποιήσεως ὃν τρόπον ἔχει, σαφῶς ὕστερον ὑμᾶς διδά-
16 ξομεν. περὶ δὲ τοῦ γένους ὡς οὐκ εἰσὶν ἡμῶν ἐγγυτέρω, τοῦτο δεῖ μαθεῖν ὑμᾶς. ἓν
μὲν οὖν ὁμολογεῖται, τὸ κρατεῖν τῶν κληρονόμων τοὺς ἄρρενας, καὶ τοὺς ἐκ τῶν ἀρ-
ρένων· ἁπλῶς γὰρ τοῖς ἐγγυτάτω πρὸς ἀνδρῶν, ὅταν μὴ παῖδες ὦσιν, ὁ νόμος τὰς
κληρονομίας ἀποδίδωσιν· οὗτοι δ' ἐσμὲν ἡμεῖς. ἄπαις μὲν γὰρ ὁ Ἀρχιάδης ὁμο-
17 λογεῖται τετελευτηκέναι, τούτῳ δὲ πρὸς ἀνδρῶν ἡμεῖς ἐσμὲν ἐγγυτάτω. πρὸς
δὲ, καὶ ἐκ γυναικῶν οἱ αὐτοὶ οὗτοι· ὁ γὰρ Μειδυλίδης, ἀδελφὸς ὢν τοῦ Ἀρχιάδου.
τοῦ δὲ Μειδυλίδου θυγάτηρ, ἡ τοῦ ἐμοῦ πατρὸς μήτηρ. ὥστε γίγνεται Ἀρχιάδης,
ὑπὲρ οὗ τοῦ κλήρου τὴν ἐπιδικασίαν ποιούμεθα νυνί, θεῖος τῇ τοῦ ἐμοῦ πατρὸς
18 μητρὶ, ἐκ πατραδέλφων, πρὸς ἀνδρῶν ἔχων τὴν συγγένειαν ταύτην, καὶ οὐ
πρὸς γυναικῶν. Λεώκρατος δὲ οὑτοσὶ, γένει τε ἀπωτέρω ἐστὶ, καὶ πρὸς γυναικῶν
οἰκεῖος Ἀρχιάδῃ. ἡ γὰρ τοῦ Λεωκράτου μήτηρ τουτουῒ τοῦ πατρὸς, ἀδελφὴ ἦν τῷ
Ἀρχιάδῃ ἐκείνῳ, καὶ τῷ Μειδυλίδῃ, ἀφ' ὧν ἡμεῖς ὄντες, ἀξιοῦμεν τῆς κληρο-
19 νομίας τυχεῖν. πρῶτον μὲν οὖν, ὦ ἄνδρες δικασταί, τὸ γένος ἡμῶν ὅτι οὕτως ἔχει,
ὥσπερ καὶ λέγομεν, ἀναγνώσεται ὑμῖν τὰς μαρτυρίας· ἔπειτα μετὰ ταῦτα τὸν νό-
μον αὐτὸν, τοῖς τε γένεσι καὶ τοῖς ἐγγυτάτω πρὸς ἀνδρῶν τὰς κληρονομίας ἀποδι-
δόντα. τὰ γὰρ κεφάλαια τοῦ ἀγῶνος, καὶ ὑπὲρ ὧν ὀμωμοκότες οἴσετε τὴν ψῆφον,
20 σχεδὸν τοιαῦτ' ἐστί. Καί μοι κάλει τούς τε μάρτυρας δεῦρο, καὶ τὸν νόμον ἀνα-
γίγνωσκε.

Μάρτυρες. Νόμος.

Τὰ μὲν τοίνυν περὶ τὸ γένος τό, τε τούτων, καὶ τὸ ἡμέτερον, οὕτως ἔχει, ὦ ἄν- ἔχει.
21 δρες δικασταί. ὥστε τοὺς ἐπιδεδειχότας ἐξ αὐτῶν τῶν μαρτυριῶν, ὡς εἰσὶ γένει ἐγ-
γυτέρω, προσήκει κληρονομεῖν, καὶ μὴ διὰ τὴν τοῦ μαρτυρήσαντος ἀπόνοιαν,
κρείττω τῶν ὑμετέρων νομίμων γενέσθαι. καὶ γὰρ εἰ τῇ ποιήσει ἰσχυρίζονται, ἣν, ὡς τούτων
ἐγένετο, ἡμεῖς δείξομεν· τετελευτηκότος δὲ τοῦ εἰσποιηθέντος δήπου παιδὸς, καὶ τοῦ
22 οἴκου μέχρι τῆς ἡμετέρας λήξεως ἐξηρημωμένου, πῶς οὐ προσήκει τοὺς ἐγγυ-
τάτω γένει ὄντας, τούτοις τὴν κληρονομίαν κομίσασθαι; καὶ ὑμᾶς μὴ τοῖς δυνα-
μένοις ἄριστα παρασκευάσασθαι, ἀλλὰ τοῖς ἀδικουμένοις τῶν πολιτῶν βοηθεῖν;
εἰ μὲν γὰρ ἐφ' ἡμῖν ἦν, ὥστε δεῖξαι τὰ περὶ τοῦ γένους καὶ τῆς διαμαρτυρίας
23 αὐτῆς, καταβῆναι, καὶ μηδενὸς ἔτι πλείονος λόγου προσδεῖσθαι σχεδόν τι τῶν εἰ-
ρημένων, οὐκ ἂν ἠνωχλοῦμεν τὰ πλείω. ἐπειδὴ δὲ οὗτοι τοῖς μὲν νόμοις οὐκ ἰσχυ-
ρίζονται,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἴξονται, τῷ δὲ προεξειληφέναι τι τῶν πραγμάτων ἐκ τοῦ ἄνωθεν χρόνου, καὶ τῷ ἐμβεβατευκέναι εἰς τὴν οὐσίαν, τούτοις τεκμηρίοις χρώμενοι, φήσουσι κληρονομεῖν. ἀναγκαῖον ἴσως ἐστὶ καὶ περὶ τούτων εἰπεῖν, καὶ δεῖξαι τούτους πάντων ἀν- 24
θρώπων βιαιοτάτους ὄντας. τὸ γὰρ ἐξ ἀρχῆς, ὦ ἄνδρες δικασταί, ἐκδιδόασι τὴν ἀδελφὴν τὴν ἑαυτῶν ὁ Μειδυλίδης καὶ ὁ Ἀρχιάδης Λεωστράτῳ Ἐλευσινίῳ. μετὰ δὲ ταῦτα, ἐκ θυγατρὸς τῆς ἐκδοθείσης ἀδελφῆς ταύτης αὐτῶν, γίγνεται Λεωκράτης ὁ πατὴρ Λεωστράτου τουτουί. σκέψασθε ὡς πολλοστὸς εἰς τὴν τοῦ Ἀρχιάδου 25
συγγένειαν προσήκων, ὑπὲρ οὗ τὴν διαμαρτυρίαν πεποίηται. τούτων δ' οὕτως ἐχόντων, ὁ μὲν Ἀρχιάδης, οὐκ ἐγάμει, ὁ δὲ Μειδυλίδης ὁ ἀδελφὸς αὐτοῦ, πάππος δὲ τουτουί, ἔγημε. καὶ οὐδέπω τὴν οὐσίαν ἐνέμοντο· ἀλλ' ἑκάτερος ἔχων τὰ ἱκανά, ὁ μὲν Μειδυλίδης, ἐν τῷ ἄστει διέμενεν· ὁ δὲ Ἀρχιάδης, ἐν Σαλαμῖνι ᾤκει. 26
οὐ πολλῷ δὲ χρόνῳ ὕστερον ἀποδημίας τινὸς εἰς τὴν ὑπερορίαν συμβάσης τῷ Μειδυλίδῃ τῷ πάππῳ τῷ τοῦ πατρός, ἠρρώστησεν ὁ Ἀρχιάδης, καὶ τελευτᾷ τὸν βίον ἀπόντος τοῦ Μειδυλίδου, ἄγαμος ὤν. τί τούτου σημεῖον; λουτροφόρος ἐφέστηκεν ἐπὶ τῷ τοῦ Ἀρχιάδου τάφῳ. ἐν δὲ τούτῳ τῷ καιρῷ, ἔχων τὴν τῆς συγγενείας τῆς 27
πρὸς γυναικὸς πρόφασιν, Λεωκράτης ὁ τουτουῒ πατὴρ Λεωστράτου, εἰσποιεῖ αὐτὸν υἱὸν τῷ Ἀρχιάδῃ. καὶ ἐνεβάτευσεν οὕτως εἰς τὴν οὐσίαν, ὡς ὑπ' ἐκείνου ζῶντος ἔτι εἰσποιηθείς. ἀφικόμενος δὲ ὁ Μειδυλίδης, ἠγανάκτει τε τοῖς γεγενημένοις, καὶ οἷός τ' ἦν ἐπεξιέναι τῷ Λεωκράτει. πειθόντων δὲ τῶν οἰκείων, καὶ δεομένων ἐᾶν 28
ἐν τῷ οἴκῳ εἶναι τὸν Λεωκράτην υἱὸν εἰσποιητὸν τῷ Ἀρχιάδῃ, συνεχώρησεν ὁ Μειδυλίδης, οὐχ ἡττηθεὶς ἐν δικαστηρίῳ· ἀλλὰ τὸ μὲν ὅλον, ὑπὸ τούτων ἀπατηθείς· ἔπειτα μέντοι καὶ τοῖς οἰκείοις πειθόμενος. καὶ ὁ Μειδυλίδης ταῦτα πράξας, τελευτᾷ τὸν βίον. ὁ δὲ Λεωκράτης, εἶχε τὴν τοῦ Ἀρχιάδου οὐσίαν, καὶ ἐκλη- 29
ρονόμει πολλὰ ἔτη, ὡς ἂν ἐκείνου υἱὸς ποιητός. ἡμεῖς δὲ διὰ τὸ τὸν Μειδυλίδην ταῦτα συγχωρῆσαι, ἡσυχίαν εἴχομεν. χρόνῳ δ' ὕστερον οὐ πολλῷ· τοῖς γὰρ μετὰ ταῦτα λόγοις ἤδη σφόδρα τὸν νοῦν προσέχετε, ὦ ἄνδρες δικασταί· ὁ γὰρ Λεωκράτης ὁ εἰσποιητὸς γενόμενος τῷ Ἀρχιάδῃ, ἐγκαταλιπὼν τουτονὶ Λεώστρατον ἐν τῷ οἴ- 30
κῳ υἱὸν γνήσιον, ἐπανῆλθεν αὐτὸς εἰς τοὺς Ἐλευσινίους, ὅθεν ἦν τὸ ἐξ ἀρχῆς. καὶ οὐδ' ἐνταῦθα οὐδέπω ἡμεῖς οὐδὲν τῶν πραγμάτων περὶ τὸν κλῆρον ἐκινοῦμεν, ἀλλ' ἐμμένομεν ἐπὶ τῶν αὐτῶν. πάλιν τοίνυν ὁ Λεώστρατος αὐτὸς οὑτοσὶ εἰσποιητὸς ὢν υἱός, καὶ ἐγκαταλειφθεὶς ἐν τῷ τοῦ Ἀρχιάδου οἴκῳ, ἐπανέρχεται, ὥσπερ ὁ πα- 31
τὴρ αὐτοῦ, ἐπὶ τοὺς Ἐλευσινίους, ἐγκαταλιπὼν υἱὸν γνήσιον, καὶ διὰ τριῶν σωμάτων, κυρίαν τὴν ἐξ ἀρχῆς ποίησιν παρὰ τοὺς νόμους καταστήσας· πῶς γὰρ οὐ παρὰ τοὺς νόμους, ὁπότ' εἰσποιητὸς αὐτὸς ὤν, εἰσποιητοὺς υἱοὺς ἐγκαταλιπὼν ἐπανῄει; καὶ τοῦτο διατετέλεκε ποιῶν μέχρι ταύτης τῆς ἡμέρας· καὶ διὰ τούτου τοῦ τρόπου, 32
ἐμπαιδοτροφούμενοι τὴν κληρονομίαν ἡμῶν ἀποστερήσειν οἴονται, ἐνεργαζόμενοι μὲν καὶ ἐμπεδοτροφούμενοι τῇ τοῦ Ἀρχιάδου οὐσίᾳ· ἐπανιόντες δὲ ἐπὶ τὴν πατρῴαν οὐσίαν ἐκεῖθεν ἀεί, κἀκείνην μὲν ἀκέραιον φυλάττοντες, ταύτην δ' ἀναλίσκοντες. ἀλλ' ὅ-
μέχρι τινός μως τούτων τοιούτων ὄντων, ὅπερ εἶπον, ἡμεῖς ὑπεμένομεν ἅπαντα, μέχρι τινός; ἕως ὁ 33
Λεώστρατος ἐν τῷ οἴκῳ τοῦ Ἀρχιάδου ἐγκαταλειφθεὶς υἱὸς τετελεύτηκεν ἄπαις. τούτου δὲ ἄπαιδος τετελευτηκότος, ἀξιοῦμεν ἡμεῖς οἱ γένει ἐγγυτάτω ὄντες Ἀρχιάδῃ, κληρονομεῖν τῆς οὐσίας· καὶ μὴ τῷ τετελευτηκότι τῷ αὐτῷ εἰσποιη-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

34 τῷ ὄντι, υἱὸν εἰσποιεῖν, ἐπ' ἀποστερήσει τῶν ἡμετέρων. εἰ μὲν γὰρ αὐτὸς ζῶν ἐποιήσατο,
καίπερ ὄντος παρὰ τὸν νόμον τοῦ ἔργου, οὐκ ἀντιλέγομεν. ἐπειδὴ δὲ οὔτε γεγένηται
αὐτῷ υἱὸς οὐδείς, οὔτ' ἐποιήσατο ζῶν, ὁ δὲ νόμος τοῖς ἐγγύτατα γένους, τὰς κληρο-
νομίας ἀποδίδωσι, πῶς οὐ δίκαιοι ἐσμὲν ἡμεῖς τούτων μὴ ἀποστερηθῆναι κατ' ἀμ-
35 φότερα; καὶ γὰρ τῷ Ἀρχιάδῃ, οὗ ἦν ἡ οὐσία τὸ ἐξ ἀρχῆς, ἐγγυτάτω γένους ἐσμέν, καὶ
τῷ εἰσποιητῷ Λεωκράτει. τὸ μὲν γὰρ ὁ πατὴρ ἐπανεληλυθὼς εἰς τοὺς Ἐλευσινίους,
οὐκέτι τὴν κατὰ τῶν νόμων οἰκειότητα ἔλιπεν αὐτῷ. ἡμεῖς δέ, παρ' οἷς ἦν, ἐν τῷ γέ-
νει τὴν ἀναγκαιοτάτην συγγένειαν εἴχομεν, ὄντες ἀνεψιαδοῖ ἐκείνῳ. ὥστ' εἰ μὲν βού-
36 λει, τοῦ Ἀρχιάδου συγγενεῖς ὄντες, ἀξιοῦμεν κληρονομεῖν. εἰ δὲ βούλει, τοῦ Λεω-
κράτους. τετελευτηκότος γὰρ ἄπαιδος αὐτοῦ, οὐδεὶς ἡμῶν γένει ἐγγυτέρω ἐστί. καὶ
διὰ μὲν σέ, ὦ Λεώστρατε, ὁ οἶκος ἐξερήμωται· τῆς γὰρ οὐσίας ἕνεκα τὴν οἰκειό- *ἐξηρήμωται
τητα τῶν ἀνδρῶν τῶν ποιησαμένων διετήρεις. ἕως μέν γε τελευτήσαντος τούτου,
37 οὐδεὶς ἠμφισβήτει τοῦ κλήρου, οὐδένα εἰσποιεῖς τῷ Ἀρχιάδῃ υἱόν, ἐπειδὴ δὲ ἡ-
μεῖς συγγενεῖς ὄντες ἥκομεν εἰς τὸ μέσον, τηνικαῦτα εἰσποιεῖς, ἵνα τὴν οὐσίαν κα-
τάσχῃς. καὶ φῂς μὲν οὐδὲν εἶναι τῷ Ἀρχιάδῃ, πρὸς ὃν εἰσεποιήθης· διαμαρτυ-
ρεῖς δὲ πρὸς ἡμᾶς τὸ ὁμολογούμενον γένος ἐξελαύνων· εἰ γὰρ μηδείς ἐστιν ἐν τῷ
38 οἴκῳ, τί οὐκ ἔλαττοι τοῦ μηδενὸς ἡμῶν κληρονομησόντων; ἀλλὰ γὰρ ἡ ἀναίδεια καὶ
ἡ πλεονεξία τοιαύτη ἐστὶν αὐτοῦ, ὦ ἄνδρες δικασταί, ὥσθ' ἡγεῖται δεῖν ἐν Ἐλευσι-
νίοις τε τὴν πατρῴαν οὐσίαν ἐπανελθὼν ἔχειν ἐφ' ἅτ' εἰσεποιήθη, μὴ ὄντος ἐν τῷ
οἴκῳ υἱοῦ, καὶ τούτων κύριος γενέσθαι, καὶ ταῦτα πάντα ῥᾳδίως διοικεῖται· πρὸς
39 γὰρ ἀνθρώποις ἡμᾶς πένητας καὶ ἀδυνάτους ἔχων ἀναλίσκειν ἐκ τῶν ἀλλο-
τρίων, πολὺ περίεστι. διόπερ οἶμαι καὶ ἡμᾶς δεῖν βοηθεῖν τοῖς μὴ πλεονεκτῆσαί τι
βουλομένοις, ἀλλὰ ἀγαπῶσιν ἐάν τις ἡμᾶς τῶν νόμων ἐᾷ τυγχάνειν. τί γὰρ δεῖ ποιεῖν
ἡμᾶς, ὦ ἄνδρες δικασταί, διὰ τέλους τῆς ποιήσεως ἐμμενούσης, καὶ τοῦ τελευταίου
40 ἐγκαταλειφθέντος, τούτου ἄπαιδος τετελευτηκότος, μὴ κομίσασθαι τὰ ἡμέτερ' αὐ-
τῶν χρόνῳ ποτέ; τοῦτο τοίνυν ἔχοντες τὸ δίκαιον, ἐλάχομεν τοῦ κλήρου πρὸς τὸν
ἄρχοντα. οὕτω δὲ Λεωχάρης προπετῶς διαμαρτυρήσας τὰ ψευδῆ, οἴεται δεῖν
παρὰ πάντας τοὺς νόμους ἀποστερῆσαι ἡμᾶς τῆς κληρονομίας. πρῶτον μὲν οὖν
41 ὅτι τά τε περὶ τὰς ποιήσεις, καὶ τὸ γένος τούτων, ἀληθῆ εἰρήκαμεν, * καὶ εἰ λυτρο- *καὶ ὁ λυτρ.
φόρος ἐφέστηκεν ἐπὶ τῷ τοῦ Ἀρχιάδου μνήματι, ταύτας ὑμῖν τὰς μαρτυρίας βου-
λόμεθ' ἀναγνῶναι. ἔπειτ' ἤδη, καὶ τὰ λοιπὰ σαφῶς διδάξομεν ὑμᾶς, ὥστ' ἐξελέγξαι
τούτους τὰ ψευδῆ διαμεμαρτυρηκότας. Καί μοι λαβὲ τὰς μαρτυρίας, ἃς λέγω.

Μαρτυρίαι.

Ὁ μὲν τοίνυν τοῦ πράγματος λόγος, καὶ τὸ ἁπλοῦν * δίκαιον περὶ τῆς κλη- *καὶ
ρονομίας, οὕτως ἔχει, ὦ ἄνδρες δικασταί. τῶν δὲ πεπραγμένων ἐξ ἀρχῆς, αὐτὰ
τὰ κεφάλαια σχεδὸν διακηκόατε. ἃ δὲ μετὰ τὴν τοῦ κλήρου λῆξιν πεποιήκασι,
καὶ ὃν τρόπον ἡμῖν κεχρημένοι εἰσίν, ἀναγκαῖον νομίζω εἰπεῖν· οἴομαι γὰρ περὶ κλή-
ρου ἀγῶνας, μηδένας ἄλλοις παραγεγενῆσθαι τοιαῦτα, * οἷα ἡμᾶς. ἐπειδὴ γὰρ ἐ- *οἷα ἡμεῖς
τελεύτησεν ὁ Λεωκράτης, καὶ ἡ ταφὴ ἐγένετο αὐτῷ, πορευομένων ἡμῶν εἰς τὰ κτή-
ματα διὰ τὸ ἄπαιδά τε τὸν ἄνδρα, καὶ ἄγαμον τετελευτηκέναι, ἐξῆγεν ὁ Λεώ-
στρατος οὑτοσί, φάσκων αὐτοῦ εἶναι. καὶ τὸ μὲν ποιεῖν τι τῶν νομιζομένων ἐκώλυσεν
ἡμᾶς τῷ τετελευτηκότι, πατὴρ ὢν αὐτὸς ἐκείνου, ὡς ἔχει λόγον, καίπερ ὄντος

παρανόμου

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

παρανόμου τοῦ ἔργου. περὶ γὰρ φύσει ὄντι πατρί, τῆς ταφῆς τὴν ἐπιμέλειαν πα-
ραδίδοσθαι εἰκός ἐστιν· ἔπειτα μέντοι καὶ τοῖς οἰκείοις ἡμῖν, ὧν ἦν συγγενὴς κατὰ τὴν
ποίησιν ὁ τετελευτηκώς. ἐπεὶ δὲ τὰ νομιζόμενα ἐγίγνετο, κατὰ ποῖον νόμον φανήσεται, 45
ἐρήμου ὄντος τοῦ οἴκου, τοὺς ἐγγυτάτω γένους ἡμᾶς ἐξαγαγὼν ἐκ τῆς οὐσίας; ὅτι
νὴ Δία πατὴρ ἦν τοῦ τετελευτηκότος· ἀπεληλυθώς γε εἰς τὸν πατρῷον οἶκον, καὶ
οὐκέτι τῆς οὐσίας, ἐφ' ᾗ ἐγκατέλειπε τὸν υἱὸν κύριος ὤν. εἰ δὲ μή, τί τῶν νόμων
ὄφελος; γενομένης οὖν τῆς ἐξαγωγῆς, ἵνα τὰ πλεῖστα παραλείπω, ἐλάχομεν 46
*γένει πρὸς τὸν ἄρχοντα τοῦ κλήρου, οὔτε *γόνῳ, ὥσπερ εἶπον, οὐδενὸς ὄντος τῷ τε-
τελευτηκότι, οὔτ' εἰσποιητοῦ γεγενημένου κατὰ τοὺς νόμους. μετὰ δὲ ταῦτα Λεώ-
στρατος οὑτοσί, παρακαταβάλλει, ὡς υἱὸς Ἀρχιάδου ἐκείνου, οὐκ ἐπιλογισάμενος
οὔθ' ὅτι ἐπανεληλύθει εἰς τοὺς Ἐλευσινίους, οὔθ' ὅτι οἱ εἰσποιητοὶ αὐτοὶ οὐχ ὑφ' αὑ- 47
τῶν, ἀλλ' ὑπὸ τῶν εἰσποιουμένων καθίστανται· ἀλλὰ γάρ, οἶμαι, ἁπλοῦν τι διε-
λογίσατο δεῖν αὐτὸν καὶ δικαίως καὶ ἀδίκως ἀμφισβητεῖν τῶν ἀλλοτρίων. ἐν πρώ-
τον μὲν ἐλθὼν οἷός τ' ἦν εἰς τὸν Ὀτρυνέων πίνακα τὸν ἐκκλησιαστικὸν ἐγγράφειν
αὑτόν, Ἐλευσίνιος ὤν. καὶ τοῦτο διῴκειτο. ἔπειτα πρὶν ἐγγραφῆναι καὶ ἐν τῷ ληξι- 48
αρχικῷ γραμματείῳ τῷ τῶν Ὀτρυνέων, μετέχειν τῶν κοινῶν, τηλικαύτην πα-
ρανομίαν προαιρούμενος παρανομεῖν ἕνεκα πλεονεξίας. αἰσθόμενοι δ' ἡμεῖς,
μαρτύρων ἐναντίον ἐκωλύσαμεν τὸ γιγνόμενον. καὶ ᾠόμεθα δεῖν κριθῆναι πρῶ-
τον μὲν τὴν κληρονομίαν παρ' ὑμῖν, πρὶν ἐπὶ τὸ ὄνομά τινα τὸ τοῦ Ἀρχιάδου εἰσ- 49
ποιηθῆναι. κωλυθεὶς δέ, καὶ ἐξελεγχόμενος πρὸς τῷ πίνακι, καὶ ἐν τῇ τῶν ἀρ-
χόντων ἀγορᾷ, ὅτι ἠδίκει, πολλῶν ἐναντίον, ᾤετο δεῖν μηδὲν αὑτὸν βιάζεσθαι, καὶ
κρείττων ταῖς παρασκευαῖς τῶν ὑμετέρων νόμων γενέσθαι. τί τούτου τεκμήριον;
συναγαγὼν τινὰς τῶν Ὀτρυνέων ὀλίγους, καὶ τὸν δήμαρχον, πείθει, ἐπειδὴ ἀνοι- 50
χθῇ τὸ γραμματεῖον, ἐγγράψαι αὑτόν. καὶ μετὰ ταῦτα ἧκε Παναθηναίων ὄντων
τῶν μεγάλων τῇ διαδόσει πρὸς τὸ θεωρικόν. καὶ ἐπειδὴ οἱ ἄλλοι δημόται ἐλάμ-
βανον, ἠξίου καὶ αὐτῷ δίδοσθαι, καὶ ἐγγραφῆναι εἰς τὸ γραμματεῖον ἐπὶ τὸ τοῦ
*διαμαρτυρομένων Ἀρχιάδου ὄνομα. *διαμαρτυρουμένων δὲ ἡμῶν, καὶ τῶν ἄλλων δεινὸν φασκόντων 51
εἶναι τὸ γιγνόμενον, ἀπῆλθεν οὔτ' ἐγγραφεὶς, οὔτε τὸ θεωρικὸν λαβών. τὸν δὲ πα-
ρὰ τὸ ψήφισμα τὸ ὑμέτερον ἀξιοῦντα τὸ θεωρικὸν λαμβάνειν, πρὶν ἐγγραφῆναι
εἰς τοὺς Ὀτρυνεῖς, ὄντα ἐξ ἑτέρου δήμου, τοῦτον οὐκ οἴεσθε τοῦ κλήρου παρὰ τοὺς νό-
μους ἀμφισβητεῖν; ἢ τὸν πρὸ τῆς τοῦ δικαστηρίου γνώσεως, οὕτως ἀδίκους πλεο- 52
νεξίας διοικούμενον, τοῦτον πῶς εἰκὸς τῷ πράγματι πιστεύειν; ὁ γὰρ τὸ θεωρικὸν
ἀδίκως ἀξιώσας λαμβάνειν, καὶ περὶ τοῦ κλήρου τῇ αὐτῇ διανοίᾳ δηλονότι κέ-
χρηται νυνί. ἀλλὰ μὴν καὶ τὸν ἄρχοντά γε ἐξηπάτησε παρακαταβάλλων, καὶ ἡμᾶς
ἀντεγράψατο Ὀτρυνεὺς εἶναι ἐν Ἐλευσινίοις δημοτευόμενος. ἐπειδὴ τοίνυν ἐπὶ τούτων 53
πάντων ἀπετύγχανε, ταῖς προσηκούσαις ἀρχαιρεσίαις ταύταις παρασκευασάμε-
νός τινας τῶν δημοτῶν, ἠξίου αὑτὸν ἐγγράφεσθαι ποιητὸς υἱὸς τῷ Ἀρχιάδῃ. ἀν-
τιλεγόντων δ' ἡμῶν, καὶ ἀξιούντων, ἐπειδὰν τοῦ κλήρου ἡ διαδικασία γένηται,
τηνικαῦτα τοὺς δημότας τὴν ψῆφον φέρειν, πρότερον δὲ μή· τοῦτο μὲν ἐπείσθη-
σαν οὐ δι' αὐτούς, ἀλλὰ διὰ τοὺς νόμους· δεινὸν γὰρ ἐδόκει εἶναι τὸν παρακαταβεβληκό-
τα τοῦ κλήρου, εἰσποιεῖν αὐτόν, ἔτι τῶν πραγμάτων ἀκρίτων ὄντων. ὁ δὲ μετὰ ταῦ-
τα διοικεῖται Λεώστρατος οὑτοσί, τοῦτο πάντων δεινότατόν ἐστιν. ἐπειδὴ γὰρ αὐτό-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀπετύγχανε τοῦ ἐγγραφῆναι, εἰσποιεῖ Λεωχάρην τὸν αὑτοῦ υἱὸν Ἀρχιάδῃ παρὰ
55 πάντας τοὺς νόμους, πρὶν τοῦ δήμου τὴν δοκιμασίαν γενέσθαι. οὐκ εἰσηγμένου δὲ
τοὺς φράτορας πω τοῦ Ἀρχιάδου, ἀλλ' ἐπειδὴ ἐνεγράφη, τηνικαῦτα πείσας ἕνα
τῶν φρατόρων, ἐνέγραψεν εἰς τὸ φρατερικὸν γραμματεῖον. καὶ μετὰ ταῦτα τῇ δια-
μαρτυρίᾳ πρὸς τῷ ἄρχοντι τοῦτον ἐπιγράφεται, ὡς υἱὸν ὄντα γνήσιον τοῦ τε-
56 τελευτηκότος ἔτη πολλά, τὸν πρώην καὶ χθὲς ἐγγραφέντα. καὶ συμβαίνει ἀμφο-
τέρους αὐτοὺς τῆς κληρονομίας ἀμφισβητεῖν. ὅ, τε γὰρ Λεώστρατος οὑτοσὶ παρακατε-
βάλετο τοῦ κλήρου, ὡς υἱὸς γνήσιος Ἀρχιάδῃ· ὅ, τε Λεωχάρης οὑτοσὶ διαμεμαρ-
τύρηκεν, ὡς υἱὸς ὢν γνήσιος τοῦ αὐτοῦ πατρός. οὐδ' ἕτερος δὲ αὐτῶν ζῶντι, ἀλλὰ τε-
57 τελευτηκότι εἰσποιεῖ αὐτόν. ἡμεῖς δὲ ᾠόμεθα δεῖν, ὦ ἄνδρες δικασταί, ἐπειδὴ περὶ
τούτου τοῦ ἀγῶνος ὑμεῖς τὴν ψῆφον ἠνέγκατε, τηνικαῦτα ἐκ τῶν κατὰ γένος ἐγγυ-
τάτω ἡμῖν εἰσποιεῖν υἱὸν τῷ τετελευτηκότι, ὅπως ἂν ὁ οἶκος μὴ ἐξερημωθῇ. πρῶ-
τον μὲν οὖν, ὦ ἄνδρες δικασταί, ὡς ἐπανῆλθεν εἰς τοὺς Ἐλευσινίους ἐκ τῶν Ὀτρυνέων
58 Λεώστρατος οὑτοσί, καταλιπὼν υἱὸν τῷ Ἀρχιάδῃ γνήσιον, καὶ ὅτι ὁ πατὴρ αὐτοῦ ἔτι
πρότερον τὸ αὐτὸ τοῦτ' ἐπεποιήκει, καὶ ὡς ὁ καταλειφθεὶς ἄπαις τετελεύτηκε, καὶ
ὡς ὁ νῦν διαμεμαρτυρηκὼς πρότερον εἰς τοὺς δημότας, ἢ εἰς τοὺς φράτορας ἐνε-
γράφη, τούτων ὑμῖν τὰς τῶν φρατόρων, καὶ τὰς τῶν δημοτῶν μαρτυρίας ἀνα-
59 γνώσεται, καὶ τῶν ἄλλων τῶν εἰρημένων, ὧν οὗτοι πεποιήκασιν ἁπάντων ὑμῖν τὰς
μαρτυρίας καθ' ἓν ἕκαστον παρέξομαι. Καί μοι κάλει τοὺς μάρτυρας δευρί.

Μάρτυρες.

Τῶν μὲν τοίνυν πραγμάτων ἁπάντων, ἀκηκόατε, ὦ ἄνδρες δικασταί, καὶ
60 τῶν ἐξ ἀρχῆς γεγενημένων περὶ τὸν κλῆρον τοῦτον, καὶ τῶν ὕστερον συμβάντων, ἐ-
πειδὴ τάχιστα τὴν λῆξιν ἡμεῖς ἐποιησάμεθα. λοιπὸν δ' ἐστί, περί τε τῆς διαμαρ-
τυρίας αὐτῆς εἰπεῖν, καὶ περὶ τῶν νόμων, καθ' οὓς ἠξιοῦμεν κληρονομεῖν· ἔτι δέ, ἐὰν
ἐγχωρῇ τὸ ὕδωρ, καὶ μὴ μέλλωμεν ὑμῖν ἐνοχλεῖν, ἐξελέγξαι τὰ ὑπὸ τούτων ῥηθη-
61 σόμενα, ὅτι οὔτε δίκαια, οὔτε ἀληθῆ ἐστι. καὶ πρῶτον μὲν τὴν διαμαρτυρίαν ἀ-
ναγνώτω, καὶ σφόδρα τὸν νοῦν αὐτῇ προσέχετε. περὶ γὰρ ταύτης ἡ ψῆφος οἰσθή-
σεται νυνί.

Διαμαρτυρία.

62 Οὐκοῦν δήπου διαμεμαρτύρηκεν οὑτοσί, ὡς ἀκηκόατε, μὴ ἐπίδικον εἶναι τὸν κλῆ-
ρον τὸν Ἀρχιάδου, ὄντων αὐτῷ παίδων γνησίων κυρίως κατὰ τὸν θεσμόν. ἐξετάσωμεν νόμοι
τοίνυν εἰ εἰσίν, ἢ τὰ ψευδῆ διαμεμαρτύρηκεν οὑτοσί· ὁ γὰρ Ἀρχιάδης ἐκεῖνος, οὗ ἐστιν ὁ
κλῆρος, ἐποιήσατο υἱὸν τὸν τοῦ διαμεμαρτυρηκότος νυνὶ πάππον. ἐκεῖνος δὲ κατα-
63 λιπὼν υἱὸν γνήσιον τὸν τούτου πατέρα Λεώστρατον, ἐπανῆλθεν εἰς τοὺς Ἐλευσινίους.
μετὰ δὲ ταῦτα αὖθις οὑτοσὶ Λεώστρατος πάλιν καταλιπὼν υἱόν, ᾤχετο ἀπελθὼν εἰς
τὸν πατρῷον οἶκον. ὁ δ' ἐγκαταλειφθεὶς ὑπὸ τούτου τελευταῖος ἁπάντων τῶν καταλημμένος
εἰσποιηθέντων, τετελεύτηκεν ἄπαις. ὥστε γίγνεται ἔρημος ὁ οἶκος. καὶ ἐπανελήλυ-
64 θεν ἡ κληρονομία πάλιν εἰς τοὺς ἐξ ἀρχῆς ἐγγύτατα γένους ὄντας. πῶς ἂν οὖν εἴη-
σαν κατὰ τὴν μαρτυρίαν υἱεῖς ἔτι τινὲς τῷ Ἀρχιάδῃ; ὧν οἱ μὲν εἰσποιηθέντες ὁμο-
λογοῦνται ἐπανεληλυθέναι· ὁ δ' ἐγκαταλειφθεὶς τελευταῖος, ἄπαις τετελεύτηκεν.
οὐκοῦν ἀνάγκη τὸν οἶκον ἐρημωθῆναι. ὁπότε δὲ ἔρημος ὁ οἶκος, οὐκ ἂν εἴησαν υἱεῖς
65 ἔτι ἐκείνῳ γνήσιοι. οὑτοσὶ τοίνυν διαμεμαρτύρηκε τοὺς οὐκ ὄντας εἶναι. καὶ γέγρα-

φεν

ΠΑΝΕΛΛΗΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

φησὶν ἐν τῇ διαμαρτυρίᾳ, ὄντων παίδων, ἕνα φάσκων αὐτὸν εἶναι. ἀλλὰ μὴν γνη-
σίων γε, ὅταν λέγῃ καὶ κυρίως κατὰ τὸν θεσμόν, παρακρούεται παρὰ τοὺς νόμους. τὸ
μὲν γὰρ γνήσιόν ἐστιν, ὅταν ᾖ γόνῳ γεγονώς. καὶ ὁ νόμος ταῦτα μαρτυρεῖ λέγων. ἣν
ἂν ἐγγυήσῃ πατὴρ, ἢ ἀδελφὸς, ἢ πάππος, ἐκ ταύτης εἶναι παῖδας γνησίους. τὸ δὲ 66
κυρίως, κατὰ τῶν ποιήσεων ὁ νομοθέτης ἔλαβεν, ὑπολαμβάνων δεῖν, ὅταν τις ὢν ἄπαις
κύριος τῶν ἑαυτοῦ, ποιήσηται υἱὸν, ταῦτα κύρια εἶναι. οὗτος τοίνυν, γόνῳ μὲν οὐδένα
φησὶν Ἀρχιάδῃ γενέσθαι υἱόν. διαμεμαρτύρηται δὲ γνησίων ὄντων. ἐναντίαν τῷ
πράγματι τὴν διαμαρτυρίαν ποιησάμενος. ποιητὸς δ' ὁμολογῶν εἶναι, φαίνεται 67
οὐκ εἰσποιηθεὶς ὑπὸ τοῦ τετελευτηκότος αὐτοῦ. ὥστε πῶς ἔτι σοὶ κύρια ταῦτ' ἂν
εἴη κατὰ τὸν θεσμόν; ὅτι νὴ Δία ἐγγέγραπται Ἀρχιάδῃ υἱός. ὑπό γε τουτωνὶ παρα-
βιασαμένων, ἤδη τῆς τοῦ κλήρου διαδικασίας ἐνεστηκυίας. οὐ δὴ δίκαιόν ἐστιν ἐν
τεκμηρίου μέρει πείθεσθαι τὸ ἀδίκημα. καὶ γὰρ ἐκεῖνο πῶς οὐ δεινόν ἐστιν, ὦ ἄνδρες δι- 68
κασταί, ἐπὶ μὲν τοῦ λόγου αὐτίκα μάλα φάσκειν ποιητὸν εἶναι, ἐν δὲ τῇ διαμαρτυ-
ρίᾳ, τοῦτο μὴ τολμῆσαι γράψαι. ἀλλὰ τὰ μὲν ἐν ταύτῃ διαμεμαρτυρημένα,
εἶναι ὡς ὑπὲρ υἱοῦ γόνῳ γεγονότος. τὰ δ' αὐτίκα μάλα ῥηθησόμενα, ὡς εἰσποιητοῦ;
εἰ δὲ τὴν ἀπολογίαν ἐναντίαν τῇ διαμαρτυρίᾳ ποιήσονται, πῶς οὐχὶ τὸν λό- 69
γον ἀνάγκη, ἢ τὴν διαμαρτυρίαν ψευδῆ εἶναι; εἰκότως δ' οὐ προσενεγράψατο
τὴν ποίησιν τῇ διαμαρτυρίᾳ. ἔδει γὰρ ἐγγράψαι αὐτοὺς, εἰσποιησαμένους τοὺς δήμους.
οἱ δ' οὐκ εἰσποιήσαντο· ἀλλ' ἑαυτοὺς εἰσποιοῦντες, ἀποστεροῦσιν ἡμᾶς τῆς κληρονο-
μίας. τὸ μετὰ ταῦτα τοίνυν, πῶς οὐκ ἄτοπον καὶ δεινόν ἐστιν ἅμα, [a] παρακαταβε- 70
βληκέναι τοῦ κλήρου πρὸς τῷ ἄρχοντι, ὡς ὄντα αὐτὸν Ἀρχιάδου, Λεώστρατον του-
τονὶ τὸν Ἐλευσίνιον τοῦ Ὀτρυνέως· διαμεμαρτυρηκέναι δ' ἕτερον, ὡς αὐτοὶ ὁρᾶτε,
φάσκοντα καὶ τοῦτον Ἀρχιάδου υἱὸν εἶναι; καὶ ποτέρῳ δεῖ προσέχειν ἡμῶν, ὡς ἀληθῆ
λέγοντι; αὐτὸ γὰρ τοῦτο τεκμήριον οὐκ ἐλάχιστόν ἐστι, τοῦ ψευδῆ τὴν διαμαρτυ- 71
ρίαν γεγενῆσθαι, τὸ περὶ τοῦ αὐτοῦ πράγματος μὴ τὸν αὐτὸν περὶ τοῦ αὐτοῦ ἀμφι-
σβητεῖν. εἰκότως. ὅ, τε γὰρ, οἶμαι, Λεώστρατος οὑτοσὶ [b] παρεκατέβαλλε τοῦ κλήρου
πρὸς ἡμᾶς, οὔπω διαμεματυρηκὼς νῦν ἐγγέγραπται ὡς δημότης εἶναι. ὥστε πάν-
των ἂν δεινότατα πάθοιμεν, εἰ τῇ ὕστερον τῶν πραγμάτων γεγενημένῃ διαμαρ- 72
τυρίᾳ πιστεύσετε ὑμεῖς. ἀλλὰ μὴν καὶ πρεσβύτερά γε αὐτοῦ διαμεμαρτύρηκεν.
ὁ γὰρ μή πω ἐν τῷ οἴκῳ τῷ Ἀρχιάδου ὢν, ὅτε ἡ λῆξις αὕτη τοῦ κλήρου ἐγένετο,
πῶς ἂν εἰδείη τι τούτων; ἔπειτ' εἰ μὲν αὐτὸν διαμεμαρτυρήκει, εἶχεν ἂν λόγον αὐ-
τὸ τὸ πρᾶγμα· ἀδίκως μὲν [c] ἀνέγραψεν, οὐδὲν δ' ἧττον ὑπὸ τοῦ κατὰ τὴν ἡλι- 73
κίαν λέγοντος. νῦν δὲ γνησίους υἱοὺς γέγραφε τῷ Ἀρχιάδῃ ἐκείνῳ εἶναι, τόν τε αὐτοῦ
πατέρα δηλονότι, καὶ αὐτὸν κατὰ τὴν ἐξ ἀρχῆς ποίησιν, οὐκ ἐπιλογισάμενος ὅτι
ἐπανεληλυθότες ἦσαν. οὐκοῦν ἀνάγκη πρεσβυτέρας πράξεις αὐτὸν, καὶ μὴ τὰς
ἐφ' ἑαυτοῦ γεγενημένας διαμεμαρτυρηκέναι. εἶθ' ὑμεῖς τῷ τοῦτο τετολμηκότι πι- 74
στεύετε ὡς ἀληθῆ λέγοντι; νὴ Δία, ἀλλ' ἀκηκοὼς τοῦ αὐτοῦ πατρὸς διαμεμαρτύ-
ρηκεν. ὁ δέ γε νόμος, ἀκοὴν τῶν τετελευτηκότων κωλύει διαμαρτυρεῖν. [d] ζῶντος τοῦ
πατρὸς, τὰ ὑπ' ἐκείνου πραχθέντα. ἐπεὶ κἀκεῖνο διὰ τί ποτε Λεώστρατος οὑτοσὶ
οὐχ αὑτὸν, ἀλλὰ τοῦτον ἐνεγράψατο τῇ διαμαρτυρίᾳ; τὰ γὰρ πρεσβύτερα τῶν 75
πραγμάτων, τὸν πρεσβύτερον ἔδει διαμαρτυρεῖν. ὅτι νὴ Δία, ἂν εἴποι· τοῦτον γὰρ εἰσ-
πεποίηκα υἱὸν τῷ Ἀρχιάδῃ, οὐκοῦν σὲ τὸν εἰσποιοῦντα, καὶ κατασκευάζοντα τὰ

ἰσχυ-
. . . δ, οἴ-
μαι, Λεώστρα-
τος οὑτοσὶ πα-
ρεκατέβαλλε
τοῦ κλήρου πρὸς
ἡμᾶς, ὅτε ὁ
Λεωχάρης οὔ-
πω διαμεμαρ-
τυρηκὼς νῦν
ὅτι ἐγγέγρα-
πται ὡς δημό-
της εἶναι. Ἀλλ.
ὅτε γὰρ, οἶμαι,
Λεωστρ. οὔτ.
παρ' τ. κλ. π.
ἡ. οὔπω δια-
μεμαρτυρη-
κὼς ὡς νῦν
ἐγγέγραπται,
ὡς δημότης
εἶναι.

[a] παρακατέ-
βαλλε

[c] ἀνέγραψεν

[d] δεῖ δὲ ζῶντος
τοῦ πατρὸς τὰ
ὑπ' ἐκείνου
πραχθέντα
διαμαρτυρεῖν.

πράγματα, καὶ λόγον ἔδει διδόναι, γιγνόμενον ὑπεύθυνον ὧν πεποίηκας, πολλή γε
76 ἀνάγκη. ἀλλὰ τοῦτο μὲν ἔφυγες, τῇ διαμαρτυρίᾳ δὲ τοῦτον, οὐδὲν εἰδότα, ἐπε-
γράψω. ὥστε φανερὸν ὑμῖν ἐστιν, ὦ ἄνδρες δικασταί, τὰ διαμαρτυρούμενα μὴ
εἶναι ἀληθῆ καὶ παρ' αὐτοῖς γε τούτοις ὁμολογεῖται. καὶ μὴν κἀκεῖνο δίκαιόν ἐστι,
*μὴ λέγοντος αὐτίκα μάλ' ἀκούειν Λεωστράτου τουτουί, παρ' ὧν γε διαμαρτυ- *λέγοντας
77 ρῆσαι οὐκ ἐτόλμησεν. ὡς δὲ καὶ τῶν ἀγώνων ἀδικώτατοι, καὶ πλείστης ὀργῆς ἄξιοι
τοῖς ἀγωνιζομένοις αἱ διαμαρτυρίαι εἰσί, μάλιστ' ἄν τις ἐκεῖθεν καταμάθοι.
πρῶτον μὲν γὰρ οὐκ ἀναγκαίως ἔχουσιν, ὥσπερ οἱ ἄλλοι, ἀλλ' ἐκ προαιρέσεως καὶ
βουλήσεως τοῦ διαμαρτυροῦντος γίγνονται. εἰ μὲν γὰρ ὑπὲρ τῶν ἀμφισβητουμέ-
78 νων μὴ ἔστιν ἄλλον τρόπον δίκην λαβεῖν, ἢ διαμαρτυρήσαντα, ἴσως ἀναγκαῖον τὸ
διαμαρτυρεῖν. εἰ δὲ καὶ ἄνευ διαμαρτυρίας πρὸς ἅπασι τοῖς συνεδρίοις ἔνεστι
λόγου μὴ ἀποστερηθῆναι, πῶς οὐ προπετείας, καὶ τῆς μεγίστης ἀπονοίας σημεῖον τὸ
διαμαρτυρεῖν ἐστίν; οὐ γὰρ ὁ νομοθέτης ἀναγκαῖον αὐτὸ ἐποίησε τοῖς ἀντιδίκοις· ἀλλ'
79 ἂν βούλωνται διαμαρτυρεῖν, ἔδωκεν, ὥσπερ διάπειραν ποιούμενος τοῦ τρόπου
ἑνὸς ἑκάστου ἡμῶν, πῶς ποτ' ἔχοιμεν πρὸς τὸ προπετῶς τι πράττειν; ἔτι τοίνυν
*ἐπὶ τὸ τῶν διαμαρτυρούντων μέρος, οὔτε δικαστήρια ἦν ἄν, οὔτε ἀγῶνες ἐγί- *κατὰ τὸ
γνοντο. κωλύει γὰρ πάντα ταῦτα τὸ τῶν διαμαρτυριῶν γένος, καὶ ἀποκλείει εἰσα-
80 γωγῆς ἕκαστα τοῦ εἰς τὸ δικαστήριον, κατά γε τὴν τοῦ διαμαρτυροῦντος βούλησιν.
διόπερ οἶμαι δεῖν κοινοὺς ἐχθροὺς τοὺς τοιούτους ἀνθρώπους ὑπολαμβάνειν πᾶσι τοῖς
πράγμασιν εἶναι, καὶ μηδέποτε τυγχάνειν αὐτοὺς ἀγωνιζομένους παρ' ὑμῖν. προελό-
μενος γὰρ ἕκαστος αὐτῶν τὸν ἐκ τοῦ διαμαρτυρῆσαι κίνδυνον, οὐκ ἀναγκασθεὶς εἰσέρ-
81 χεται. ὅτι μὲν οὖν ἡ διαμαρτυρία ψευδής ἐστι, καὶ ἐκ τῶν γεγραμμένων καὶ ἐκ τῶν
εἰρημένων λόγων, σχεδὸν ἀκριβῶς μεμαθήκατε. ὅτι δὲ καὶ οἱ νόμοι, ὦ ἄνδρες δικασταί,
ἡμῖν τὴν κληρονομίαν ἀποδιδόασι, τοῦθ' ὑμᾶς διὰ βραχέων βούλομαι διδάξαι,
οὐχ ὡς οὐ μεμαθηκότας, καὶ ἐν τοῖς ἐν ἀρχῇ εἰρημένοις, ἀλλ' ἵνα μᾶλλον πρὸς
82 τὴν τούτων ψευδολογίαν τὰ δίκαια μνημονεύητε. τὸ μὲν γὰρ σύνολον, ὄντες Ἀρχιά-
δῃ, οὗ ἐστιν ὁ κλῆρος οὑτοσί, πρὸς ἀνδρῶν κατὰ γένος ἐγγυτάτω· καὶ τῆς ποιήσεως, ἣν
ἐκεῖνος ἐποιήσατο, τῶν μὲν ἐπανεληλυθότων εἰς τὸν πατρῷον οἶκον, τοῦ δ' ἐγκαταλει-
φθέντος, ἄπαιδος τετελευτηκότος· *τούτων δ' οὕτως ἐχόντων, ἀξιοῦμεν κληρονο- *τούτων δὲ
83 μεῖν, οὐδεμίαν οὐσίαν Λεωστράτου ἀφελόμενοι. οὗτοι μὲν γὰρ τὰς ἑαυτῶν ἔχουσι, τῆς
δ' ὑπ' Ἀρχιάδου καταλειφθείσης, καὶ οὔσης ἐκ τῶν νόμων ἡμετέρας. ὁ γὰρ νόμος,
ὦ ἄνδρες δικασταί, κελεύει κρατεῖν τοὺς ἄρρενας, καὶ τοὺς ἐκ τῶν ἀρρένων· οὗτοι
δ' ἡμεῖς ἐσμέν. οὐχ ἧττον τοίνυν παῖδες ἐκείνου· οἱ δ' ὄντες, ἡμεῖς ἐσμέν. ἔπειτα
84 οὐ δίκαιον δήπου τὸν ποιητὸν υἱὸν ποιητοὺς ἑτέρους εἰσάγειν, ἀλλ' ἐγκαταλείπειν μὲν
γιγνομένους. ὅταν δὲ τοῦτ' ἐπιλίπῃ, τοῖς γένεσιν ἀποδιδόναι τὰς κληρονομίας. ταῦ-
τα γὰρ οἱ νόμοι κελεύουσιν. ἐπεὶ πῶς οὐκ ἐκκλείεται εἷς ἕκαστος ὑμῶν τῆς κατὰ γέ-
νος ἀγχιστείας, ὅταν τοῖς ποιητοῖς ἡ ἄδεια αὕτη δοθῇ; ὁρᾶτε γὰρ ὅτι ταῖς κολακείαις οἱ
πλεῖστοι ψυχαγωγούμενοι, καὶ ταῖς πρὸς τοὺς οἰκείους διαφοραῖς πολλάκις φιλο-
νεικοῦντες, ποιητοὺς υἱεῖς ποιοῦνται. εἰ δ' ἔσται τῷ εἰσποιηθέντι παρὰ τὸν νόμον εἰσποιεῖν
85 ἃν βούληται, οὐδέποτε τοῖς γένεσιν αἱ κληρονομίαι δοθήσονται. ἃ καὶ προνοηθεὶς
ὁ νομοθέτης, ἀπεῖπε τῷ ποιητῷ αὐτῷ ὄντι ποιητὸν υἱὸν μὴ *ποιεῖσθαι. τίνα τρόπον
διορίσας περὶ τούτων; ὅταν εἴπῃ, υἱὸν γνήσιον ἐγκαταλιπόντα ἐπανιέναι. δηλοῖ δή-
που φανε-

*ποιεῖσθαι, π- ιᾶ τρόπον διορ- π. τούτων· ὅταν γὰρ εἴπῃ, υἱὸν γν. ἐγκ. ἐπα- νιέναι, δηλοῖ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

που φανερῶς, ὅτι οὐ δεῖ ποιεῖσθαι. ἀδύνατον γάρ ἐστιν υἱὸν γνήσιον ἐγκαταλιπεῖν,
ἐὰν μὴ γόνῳ γεγονὼς ᾖ τινί. σὺ τοίνυν, ὦ Λεώστρατε, ἀξιοῖς τῷ τετελευτηκότι εἰσ-
ποιητῷ εἰς τὸ ἡμέτερον γένος ὄντι, ποιητὸν υἱὸν τὸν κλῆρον εἰσαγαγεῖν, ὥσπερ ἐπὶ τὰ
ἑαυτοῦ κτήματα, καὶ οὐκ εἰς τὰ κατὰ νόμον τῷ προσήκοντι δοθησόμενα βαδίζων 87
[ἡμεῖς γὰρ, ὦ] ἡμεῖς, ὦ ἄνδρες δικασταί, εἰ μὲν ὁ τετελευτηκὼς ἐποιήσατό τινα, καίπερ οὐ διδόν-
τος τοῦ νόμου, συνεχωροῦμεν ἂν αὐτῷ· ἢ εἰ διαθήκας καταλελοίπει, καὶ ταύταις
ἂν ἐνεμείναμεν, ἐπεὶ καὶ τὸ ἐξ ἀρχῆς τοιοῦτοι ὄντες διετελοῦμεν, οὐκ ἐναντιούμε-
νοι τούτοις ἔχουσι τὴν οὐσίαν, καὶ ἐπιδιδοῦσιν ἄλλῳ, καθ' ὃν δήποτε τρόπον ἐβούλοντο. 88
ἐπεὶ δὲ νυνί ποτε ὑπὸ τούτων αὐτῶν, καὶ ὑπὸ τῶν νόμων τὸ πρᾶγμα ἐξελήλεγ-
κται· καὶ οἰόμεθα δεῖν κληρονομεῖν τῆς Ἀρχιάδου, καὶ παρ' ἡμῶν εἶναι τὸν υἱὸν τὸν
εἰσποιούμενον τῶν μὴ πεποιημένων πρότερον, μὴ παρὰ τούτων. δικαίως γὰρ ὁ νο-
[ἐν κομιδαῖς] μοθέτης, οἶμαι, ὥσπερ καὶ τὰς ἀτυχίας τῶν οἰκείων, καὶ τὰς ἐκδόσεις τῶν γυναικῶν 89
τοῖς ἐγγύτατα γένους προσέταξε ποιεῖσθαι, οὕτω καὶ τὰς κληρονομίας, καὶ τὴν τῶν
ἀγαθῶν μετουσίαν τοῖς αὐτοῖς ἀπέδωκε. τὸ δὲ πάντων μέγιστον καὶ γνωριμώτατον
ὑμῖν. ὁ γὰρ τοῦ Σόλωνος νόμος, οὐδὲ διαθέσθαι τὸν ποιητὸν ἐᾷ τὰ ἐν τῷ οἴκῳ, ὅταν
ποιηθῇ, εἰκότως, οἶμαι. ᾧ γὰρ κατὰ νόμον εἰσποιηθέντι ἐπὶ τὰ ἑτέρου, οὐχ οὕτως, ὥσπερ 90
τῶν ἰδίων κτημάτων, βουλευτέον ἐστίν· ἀλλὰ τοῖς νόμοις ἀκολούθως περὶ ἑκάστου
[φησὶν ὁ Σόλων, ἐξεῖναι αὐτοῖς δι.] τῶν γεγραμμένων, ὡς ὁ νόμος λέγει. ὅσοι μὴ ἐπεποίηντο, φησίν, ὅτε Σόλων εἰσῄει εἰς
τὴν ἀρχήν, ἐξεῖναι αὐτοῖς διαθέσθαι, ὅπως ἂν ἐθέλωσι. τοῖς δὲ ποιηθεῖσιν, οὐκ
[ἐξεῖναι] ἐξὸν διαθέσθαι· ἀλλὰ ζῶντας ἐγκαταλιπόντας υἱὸν γνήσιον ἐπανιέναι, ἢ τελευτή- 91
[τελευτήσαντας] σαντος ἀποδιδόναι τὴν κληρονομίαν τοῖς ἐξ ἀρχῆς οἰκείοις οὖσι τοῦ ποιησαμένου.

### ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΚΑΤΑ ΣΤΕΦΑΝΟΥ,

ψευδομαρτυριῶν προτέρου λόγου.

ΟΤΕ Ἀπολλόδωρος ἔκρινε Φορμίωνα τῆς τραπέζης ἀφορμὴν ἐγκαλῶν, ὁ δὲ τὴν δίκην παρε-
γράψατο, Στέφανος μετ' ἄλλων τινῶν ἐμαρτύρησε Φορμίωνι, ὡς ἄρα ὁ μὲν Φορμίων προὐκα-
λεῖτο Ἀπολλόδωρον, εἰ μή φησιν ἀντίγραφα εἶναι τῶν δικῶν τῶν τοῦ πατρὸς Φορμίωνος, Πασίωνος,
παρασχεῖν ἀνοῖξαι τὰς διαθήκας αὐτάς, ἃς ἔχει καὶ παρέχεται Ἀμφίας· Ἀπολλόδωρος δὲ ἀνοῖ-
ξαι οὐκ ἠθέλησεν. ἔστι δὲ ἀντίγραφα τάδε τῶν διαθηκῶν τῶν Πασίωνος. ταύτην ἐμαρτύρησαν
τὴν μαρτυρίαν οἱ περὶ Στέφανον· καὶ τοῦ Ἀπολλοδώρου λέγοντος κατὰ τοῦ Φορμίωνος, ὡς ἄρα τὰς
διαθήκας πέπλακε, καὶ τὸ ὅλον πρᾶγμα σκευώρημά ἐστιν. ἡττηθεὶς τοίνυν τὴν δίκην Ἀπολλόδωρος ὑπὲρ τῆς μαρτυ-
ρίας ὡς ψευδοῦς οὔσης, τῷ Στεφάνῳ δικάζεται.

## ΔΗΜΟΣΘΕΝΟΥΣ ΚΑΤΑ ΣΤΕ-ΦΑΝΟΥ, ΨΕΥΔΟΜΑΡΤΥΡΙΩΝ Α.

ΚΑΤΑΨΕΥΔΟΜΑΡΤΥΡΗΘΕΙΣ, ὦ ἄνδρες δικασταί, καὶ παθὼν ὑπὸ 1
Φορμίωνος ὑβριστικὰ καὶ δεινά, δίκην παρὰ τῶν αἰτίων ἥκω λη-
ψόμενος παρ' ὑμῖν. δέομαι δὲ πάντων ὑμῶν καὶ ἱκετεύω καὶ
ἀντιβολῶ, πρῶτον μὲν εὐνοϊκῶς ἀκοῦσαί μου· μέγα γὰρ τοῖς
ἠτυχηκόσιν, ὥσπερ ἐγώ, δυνηθῆναι περὶ ὧν πεπόνθασιν εἰ-
πεῖν, καὶ εὐμενῶς ἐχόντων ὑμῶν ἀκροατῶν τυχεῖν. εἶτ', ἐὰν ἀδικεῖσθαι δοκῶ, βοη-
θῆσαί μοι τὰ δίκαια. ἐπιδείξω δ' ὑμῖν τουτονὶ Στέφανον, καὶ μεμαρτυρηκότα ψευδῆ,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ δι' αἰσχροκέρδειαν τοῦτο πεποιηκότα, καὶ κατήγορον αὐτὸν αὑτοῦ γιγνόμενον τοσαύ-
3 τῃ περιφανείᾳ τοῦ πράγματός ἐστιν. ἐξ ἀρχῆς δ', ὡς ἂν οἷός τε ὦ, διὰ βραχυ-
τάτων εἰπεῖν πειράσομαι τὰ πεπραγμένα μοι πρὸς Φορμίωνα· ἐξ ὧν ἀκού-
σαντες, τήν τ' ἐκείνου πονηρίαν, καὶ τούτους, ὅτι τὰ ψευδῆ μεμαρτυρήκασι, γνώσεσθε.
ἐγὼ γάρ, ὦ ἄνδρες δικασταί, πολλῶν χρημάτων ὑπὸ τοῦ πατρὸς καταλειφθέντων
4 μοι, καὶ ταῦτα Φορμίωνος ἔχοντος, καὶ ἔτι πρὸς τούτοις τὴν μητέρα γήμαντος τὴν
ἐμήν, ἀποδημοῦντος ἐμοῦ, δημοσίᾳ τριηραρχοῦντος ὑμῖν, ὃν δὲ τρόπον, οὐκ ἴσως
καλὸν υἱεῖ περὶ μητρὸς ἀκριβῶς εἰπεῖν· ἐπειδὴ καταπλεύσας ᾐσθόμην, καὶ τὰ πε-
πραγμένα εἶδον, πολλὰ ἀγανακτήσας, καὶ χαλεπῶς ἐνεγκών, δίκην μὲν οὐχ
5 οἷός τ' ἦν ἰδίαν λαχεῖν· οὐ γὰρ ἦσαν ἐν τῷ τότε καιρῷ δίκαι· ἀλλ' ἀνεβάλλεσθε
ὑμεῖς διὰ τὸν πόλεμον· γραφὴν δὲ ὕβρεως γράφομαι πρὸς τοὺς θεσμοθέτας αὐ- αὐτόν
τόν. χρόνου δὲ γιγνομένου, καὶ τῆς μὲν γραφῆς ἐκκρουομένης, δικῶν δ' οὐκ οὐσῶν,
γίγνονται παῖδες ἐκ τούτου τῇ μητρί. καὶ μετὰ ταῦτα· εἰρήσεται γὰρ ἅπασα πρὸς
6 ὑμᾶς ἡ ἀλήθεια, ὦ ἄνδρες δικασταί· πολλοὶ μὲν καὶ φιλάνθρωποι λόγοι παρὰ τῆς
μητρὸς ἐγίγνοντο, καὶ δεήσεις ὑπὲρ Φορμίωνος τουτουί. πολλοὶ δὲ καὶ μέτριοι καὶ τα-
πεινοὶ παρ' αὐτοῦ τούτου. ἵνα δέ, ὦ ἄνδρες Ἀθηναῖοι, συντέμω ταῦτα, ἐπειδὴ ποιεῖν
τε οὐδὲν ᾤετο δεῖν ὧν τότε ὡμολόγησε, καὶ τὰ χρήματα ἀποστερεῖν ἐνεχείρησεν, ἃ τῆς
7 τραπέζης εἶχεν ἀφορμήν, δίκην ἠναγκάσθην αὐτῷ λαχεῖν, ἐπειδὴ τάχιστα ἐξου-
σία ἐγένετο. γνοὺς δ' οὗτος ὅτι πάντα ἐξελεγχθήσεται, καὶ κάκιστος ἀνθρώπων περὶ
ὑμᾶς γεγονὼς ἐπιδειχθήσεται, μηχανᾶται καὶ κατασκευάζει ταῦτα, ἐφ' οἷς Στέφα-
νος οὑτοσὶ τὰ ψευδῆ μου κατεμαρτύρησε. καὶ πρῶτον μὲν παρεγράψατο τὴν διαθή-
8 κην, ἣν ἔφυγε Φορμίων μὴ εἰσαγώγιμον εἶναι. ἔπειτα μάρτυρας, ὡς ἀφῆκα αὐτὸν
τῶν ἐγκλημάτων, παρέσχετο ψευδεῖς, καὶ μισθώσεώς τινος ἐσκευωρημένης, καὶ δια-
θήκης οὐδὲ πώποτε γενομένης. προλαβὼν δέ μου ὥστε πρότερον λέγειν διὰ τὸ
παραγραφὴν εἶναι, καὶ μὴ εὐθυδικίᾳ εἰσιέναι, καὶ ταῦτ' ἀναγνούς, καὶ τἄλλα, ὡς
9 αὑτῷ συμφέρειν ἡγεῖτο, ψευσάμενος, οὕτω διέθηκε τοὺς δικαστάς, ὥστε φωνὴν μηδ'
ἡντινοῦν ἐθέλειν ἀκούειν ἡμῶν. προσοφλὼν δὲ τὴν ἐπωβελίαν, καὶ οὐδὲ λόγου τυ-
χεῖν ἀξιωθείς, ὡς οὐκ οἶδ' εἴ τις πώποτε ἄλλος ἀνθρώπων, ἀπῄειν βαρέως, ὦ ἄν-
δρες Ἀθηναῖοι, καὶ χαλεπῶς φέρων. λόγον δ' ἐμαυτῷ διδούς, εὑρίσκω τοῖς δικά-
10 σασι μὲν τότε πολλὴν συγγνώμην οὖσαν· ἐγὼ γὰρ αὐτός, οὐκ ἂν οἶδ' ὅ, τι ἄλλο εἶχον
ψηφίσασθαι, τῶν πεπραγμένων μὲν μηδὲν εἰδώς, τὰ δὲ μαρτυρούμενα ἀκούων·
τούτους δὲ ἀξίους ὄντας ὀργῆς, οἳ τῷ τὰ ψευδῆ μαρτυρεῖν αἴτιοι τούτων ἐγένοντο.
περὶ μὲν δὴ τῶν ἄλλων τῶν μεμαρτυρηκότων, ὅταν πρὸς ἐκείνους εἰσίω, τότε ἐρῶ.
11 περὶ ὧν δ' οὑτοσὶ Στέφανος μεμαρτύρηκεν, ἤδη πειράσομαι διδάσκειν ὑμᾶς. λαβὲ
δ' αὐτήν μοι τὴν μαρτυρίαν, καὶ ἀνάγνωθί μοι, ἵνα ἐξ αὐτῆς ἐπιδεικνύω. λέγε. σὺ
δ' ἐπίλαβε τὸ ὕδωρ.

Μαρτυρία.

Στέφανος Μενεκλέους Ἀχαρνεύς, Σκύθης Ἁρματέως κυδαθηναιεύς, μαρτυ-
12 ροῦσι παρεῖναι πρὸς τῷ διαιτητῇ Τισίᾳ Ἀχαρνεῖ, ὅτε προὐκαλεῖτο Φορμίων Ἀπολ-
λόδωρον, εἰ μή φησιν ἀντίγραφα εἶναι τῶν διαθηκῶν τῶν Πασίωνος, τὸ γραμ-
ματεῖον, ὃ ἐνεβάλετο Φορμίων εἰς τὸν ἐχῖνον, ἀνοίγειν τὰς διαθήκας τὰς Πασίω- ἐχῖνον
νος, ἃς παρείχετο πρὸς τὸν διαιτητὴν Ἀμφίων ὁ Κηφισοφῶντος κηδεστής. Ἀπολ- ἀμφίας
13 λόδωρον δέ, οὐκ ἐθέλειν ἀνοίγειν· εἶναι δὲ τὰ ἀντίγραφα τῶν διαθηκῶν τῶν Πασίω-
νος.

ος. Ἠκούσατε μὲν τῆς μαρτυρίας, ὦ ἄνδρες δικασταί. νομίζω δ' ὑμᾶς, εἰ καὶ
μηδὲν τῶν ἄλλων αἰσθάνεσθέ πω, τοῦτό γε αὐτὸ θαυμάζειν, ὅτι τὴν μὲν ἀρχὴν τῆς μαρτυ-
ρίας εἶναι πρόκλησιν, τὴν δὲ τελευτὴν, διαθήκην. οὐ μὴν ἀλλ' ἔγωγ' οἶμαι δεῖν, ἐπει-
δὰν ὃ τῶν μεμαρτυρημένων ὥσπερ εἰ κεφάλαιόν ἐστιν, ἐπιδείξω ψεῦδος ὄν, τηνικαῦ- 14
τ' ἤδη καὶ περὶ τῶν τοιούτων ποιεῖσθαι τοὺς λόγους. ἔστι δὴ μεμαρτυρημένον αὐτοῖς,
προκαλεῖσθαι Φορμίωνα, ἀνοίγειν τὰς διαθήκας, ἃς παρέχειν πρὸς τὸν διαιτη-
τὴν Τισίαν, Ἀμφίαν τὸν Κηφισοφῶντος κηδεστήν· ἐμὲ δ' οὐκ ἐθέλειν ἀνοίγειν. εἶναι δὲ
ἃς αὐτοὶ μεμαρτυρήκασι διαθήκας, ἀντίγραφον ἐκείνων. εἶθ' ἡ διαθήκη γέγρα- 15
πται. ἐγὼ τοίνυν περὶ μὲν τοῦ προκαλεῖσθαί με, ἢ μή, ταῦτα Φορμίωνα, οὐδέν πω
λέγω, οὐδὲ ὑπὲρ τοῦ τὰς διαθήκας ἀληθεῖς, ἢ ψευδεῖς εἶναι· ἀλλ' αὐτίχ' ὑμᾶς
περὶ τούτων διδάξω· ἀλλ' ἃ μεμαρτυρήκασι μή με θέλειν τὸ γραμματεῖον ἀνοί-
γειν, ὡδὶ δὴ σκοπεῖτε. τοῦ τίς ἂν εἵνεκεν ἔφευγον ἀνοίγειν τὸ γραμματεῖον; ἵν' ἡ δια- 16
θήκη, νὴ Δία, μὴ φανερὰ γένοιτο τοῖς δικασταῖς; εἰ μὲν τοίνυν μὴ προσεμαρτύρουν
τῇ προκλήσει τὴν διαθήκην οὗτοι, λόγον εἶχέ τιν' ἂν τὸ φεύγειν ἐμὲ ἀνοίγειν τὸ
γραμματεῖον. προσμαρτυρούντων δὲ τούτων, καὶ τῶν δικαστῶν ὁμοίως ἀκουσο-
μένων, τί ἦν μοι κέρδος τὸ μὴ ἐθέλειν; οὐδὲν δήπου. αὐτὸ γὰρ τοὐναντίον, ὦ ἄνδρες Ἀ- 17
θηναῖοι, κἂν εἰ μηδὲν προὐκαλοῦντο οὗτοι, λόγῳ δ' ἐχρῶντο μόνον, καὶ παρεῖχέ
τις αὐτοῖς γραμματεῖον, ὡς διαθήκην, ἐμὸν ἦν τὸ προκαλεῖσθαι, καὶ ἀνοίγειν ταύ-
την. ἵν', εἰ μὲν ἄλλ' ἄττα τῶν ὑπὸ τούτων μεμαρτυρημένων ἦν τἀκεῖ γεγραμ-
μένα, μάρτυρας εὐθὺς τῶν παρεστηκότων πολλοὺς ποιησάμενος, τεκμηρίῳ τούτῳ 18
καὶ περὶ τῶν ἄλλων, ὡς κατασκευάζουσιν, ἐχρώμην· εἰ δὲ ταῦτ' ... ἦν, τὸν παρ-
έχοντ' αὐτὸν ἠξίουν μαρτυρεῖν· καὶ ἐθελήσαντος μέν γε ὑπεύθυνον ἐλάμβανον·
εἰ δ' ἔφευγε, πάλιν αὐτὸ τοῦθ' ἱκανὸν τεκμήριον ἦν μοι τοῦ πεπλάσθαι τὸ πρᾶγμα.
καὶ δὴ καὶ συνέβαινεν ἐκείνως μὲν ἕνα εἶναι, πρὸς ὃν τὰ πράγματα ἐγίγνετό μοι· ὡς 19
δ' οὗτοι μεμαρτυρήκασι, πρὸς πολλούς. ἔστιν οὖν ὅστις ὑμῶν ταῦθ' εἵλετο; ἐγὼ μὲν
οὐδένα ἡγοῦμαι. οὐ τοίνυν οὐδὲ κατ' ἄλλον πιστεύειν ἔτ' ἐστὲ δίκαιοι· καὶ γάρ, ὦ ἄνδρες
Ἀθηναῖοι, ὅσοις μὲν πρόεστιν ὀργὴ τῶν πραττομένων, ἢ λῆμμά τι κέρδους, ἢ
παροξυσμός, ἢ φιλονικία, ταῦτα μὲν ἄλλος ἂν ἄλλως πράξειε πρὸς τὸν αὑτοῦ τρό- 20
πον. ὅσοις δὲ τούτων μὲν μηδέν, λογισμὸς δ' ἐφ' ἡσυχίας τοῦ συμφέροντος, τίς οὕ-
τως ἄφρων, ὅστις ἂν τὰ συνοίσοντα ἀφεὶς, ἐξ ὧν κάκιον ἔμελλεν ἀγωνιεῖσθαι, ταῦτ'
ἔπραξεν; ἃ γὰρ οὔτ' εἰκότα, οὔτ' εὔλογα, οὔτ' ἂν ἔπραξεν οὐδείς, ταῦθ' οὗτοι μεμαρτυρή-
κασι περὶ ἐμοῦ. οὐ τοίνυν μόνον ἐξ ὧν ἐμὲ μὴ ἐθέλειν τὸ γραμματεῖον ἀνοίγειν, με- 21
μαρτυρήκασι, γνοίη τις ἂν αὐτούς, ὅτι ψεύδονται, ἀλλὰ καὶ ἐκ τοῦ πρόκλησιν ὁμοῦ διαθήκη
μαρτυρεῖν. οἶμαι γὰρ ἅπαντας ὑμᾶς εἰδέναι, ὅτι ὅσα μὴ δυνατὸν πρὸς ὑμᾶς ἀγα-
γεῖν ἐστὶ τῶν πεπραγμένων, τούτων προκλήσεις εὑρέθησαν. οἷον, βασανίζειν οὐκ ἔστιν
ἐναντίον ὑμῶν, ἀνάγκη τούτου πρόκλησιν εἶναι. οἷον, εἴ τι πέπρακται, καὶ γέγονεν ἔξω 22
που τῆς χώρας, ἀνάγκη καὶ τούτου πρόκλησιν εἶναι, πλεῖν ἢ βαδίζειν οὗ τὸ πρᾶ-
γμα ἐπράχθη· καὶ τῶν ἄλλων τῶν τοιούτων. ὅπου δ' αὐτὰ τὰ πράγματα ἐφ'
αὑτῶν ἐστιν ὑμῖν ἐμφανῆ ποιῆσαι, τί ἦν ἁπλούστερον ἢ ταῦτ' ἄγειν εἰς μέσον; ἀθή-
νησι μὲν τοίνυν ὁ πατὴρ ἐτελεύτησεν ὁ ἡμέτερος. ἐγίγνετο δ' ἡ δίαιτα ἐν τῇ ποικίλῃ στοᾷ. 23
μεμαρτυρήκασι δ' οὗτοι παρέχειν τὸ γραμματεῖον Ἀμφίαν πρὸς τὸν διαιτητήν.
οὐκοῦν εἴπερ ἀληθὲς ἦν, ἐχρῆν αὐτοὺς τὸ γραμματεῖον εἰς τὸν ἐχῖνον ἐμβαλεῖν, καὶ

(marginalia: ὁρᾶ ; ἐχῖνος)

ὅτι παρέχοντα μαρτυροῦσιν, ἴδ' ἐκ τῆς ἀληθείας καὶ τῶν τοῦ σημεῖα ἰδεῖν, οἱ μὲν δικασταὶ
24 τὸ πρᾶγμα ἐγνώκεσαν· ἐγὼ δὲ, εἴ τις ἠδίκει με, ἐπὶ τούτων εἴα. νῦν δὲ εἷς μὲν οὐ-
δεὶς ὅλον τὸ πρᾶγμα ἀνεδέξατο, οὐδὲ μεμαρτύρηκεν ἁπλῶς, ὡς ἄν τις τἀληθῆ
μαρτυρήσειε. μέρος δ' ἕκαστος, ὡς δὴ σοφὸς, καὶ διὰ τοῦτο οὐ δώσων δίκην, ὁ μὲν
γραμματεῖον ἔχειν, ἐφ' ᾧ γεγράφθαι, διαθήκη πασίωνος· ὁ δὲ πεμφθεὶς ὑπὸ
25 τούτου, παρέχειν τοῦτο· εἰ δ' ἀληθὲς, ἢ ψεῦδος, οὐδὲν εἰδέναι. οἱ δὲ τῇ προκλήσει
χρησάμενοι, τῷ διαπετάσματι* διαθήκας ἐμαρτύρησαν, ὡς ἂν μάλισθ' οἱ δικα- *διαθήκ.
σταὶ ταύτην τὴν διαθήκην ἐπιστεύσαν τοῦ πατρὸς εἶναι, ἐγὼ δὲ ἀπεκλειόμην τοῦ
λόγου τυχεῖν, ὑφ' ὧν ἀδικούμην. οὗτοι δὲ * φωραθέντες τὰ ψευδῆ μεμαρτυρη- *οὐ φωραθέντες
26 κότες. καίτοι τό γ' ἐναντίον ᾤοντο τούτου. ἵνα δ' εἰδῆτε ταῦτα ὅτι ἀληθῆ λέγω, λά-
βε μοι τὴν τοῦ κηφισοφῶντος μαρτυρίαν. Μαρτυρία.

Κηφισοφῶν κεφαλίωνος ἀφιδναῖος, μαρτυρεῖ καταλειφθῆναι αὐτῷ ὑπὸ τοῦ πατρὸς γραμματεῖον, ἐφ' ᾧ ἐπιγεγράφθαι, διαθήκη πασίωνος. Οὐκοῦν ἀκούετε,
27 ἁπλοῦν, ὦ ἄνδρες δικασταί, τὸν ταῦτα μαρτυροῦντα προσμαρτυρῆσαι. εἶναι δὲ
τὸ γραμματεῖον, ὃ αὐτὸς παρέχει, τοῦτο, καὶ τὸ γραμματεῖον ἐμβαλεῖν. ἀλλὰ τοῦτο
μὲν, οἶμαι, τὸ ψεῦδος, ἡγεῖτο ὀργῆς ἄξιον, καὶ δίκην ἂν ὑμᾶς παρ' αὐτοῦ λαβεῖν. γραμ-
ματεῖον δ' αὐτῷ καταλειφθῆναι μαρτυρῆσαι, φαῦλον, καὶ οὐδέν. ἔστι δὲ τοῦτ' αὐ-
28 τὸ τὸ δηλοῦν καὶ κατηγοροῦν, ὅτι πᾶν τὸ πρᾶγμα κατεσκευάκασιν. εἰ μὲν γὰρ
ἐπῆν ἐπὶ τῆς διαθήκης πασίωνος καὶ φορμίωνος, ἢ πρὸς φορμίωνα, ἢ τοιοῦτό τι,
εἰκότως ἂν αὐτὴν ἐτήρει τούτῳ. εἰ δ', ὥσπερ μεμαρτύρηκεν, ἐπῆν, διαθήκη πα-
σίωνος, πῶς οὐκ ἂν ἀνῃρημένην αὐτὴν ἐγὼ; συνειδὼς μὲν ἐμαυτῷ μέλλοντι δικά-
29 ζεσθαι, συνειδὼς δ' ὑπεναντίαν οὖσαν, εἴπερ ἦν τοιαύτη, τοῖς ἐμαυτοῦ συμφέρου-
σι· κληρονόμος δὲ ὢν καὶ ταύτης, εἴπερ ἦν τοῦ ἐμοῦ πατρὸς, καὶ τῶν ἄλλων πατρῴων
ὁμοίως; οὐκοῦν τῷ παρέχεσθαι μὲν φορμίωνα, γεγράφθαι δὲ πασίωνος· εἰᾶσθαι δ'
ὑφ' ἡμῶν, ἐξελέγχεται κατεσκευασμένη μὲν ἡ διαθήκη, ψευδὴς δ' ἡ τοῦ κηφι-
30 σοφῶντος μαρτυρία. ἀλλ' ἐῶ κηφισοφῶντα. οὔτε γὰρ νῦν μοι πρὸς ἐκεῖνόν ἐστιν, οὔτ'
ἐμαρτύρησεν ἐκεῖνος περὶ τῶν ἐν ταῖς διαθήκαις ἐνόντων οὐδέν. καίτοι καὶ τοῦτο
σκοπεῖτε, ὅσον ἐστὶ τεκμήριον, ὦ ἄνδρες ἀθηναῖοι, τοῦ τούτους τὰ ψευδῆ μεμαρ-
τυρηκέναι. εἰ γὰρ ὁ μὲν αὐτὸς ἔχειν τὸ γραμματεῖον μαρτυρῶν, οὐκ ἐτόλμησεν ἀν-
31 τίγραφα εἶναι, ἃ παρείχετο φορμίων τῶν παρ' αὐτῷ, μαρτυρῆσαι. οὗτοι δὲ οὔτε
ἐξ ἀρχῆς, ὡς παρῆσαν, ἔχοιεν ἂν εἰπεῖν· οὔτε ἀνοιχθὲν εἶδον πρὸς τῷ διαιτητῇ τὸ
γραμματεῖον· ἀλλὰ καὶ μεμαρτυρήκασιν αὐτοὶ μὴ ἐθέλειν ἐμὲ ἀνοίγειν ταῦτα, ὡς
ἀντίγραφά ἐστιν ἐκείνων μεμαρτυρηκότες· τίνων ἄλλων, ἢ σφῶν αὐτῶν, κατήγοροι
32 γεγόνασιν, ὅτι ψεύδονται; ἔτι τοίνυν, ὦ ἄνδρες ἀθηναῖοι, ὡς γέγραπται τις ἀνεξε-
τάσας τὴν μαρτυρίαν, γνοίη παντελῶς τοῦτο μεμηχανημένους αὐτοὺς, ὅπως δι-
καίως καὶ ἀδίκως δόξῃ ταῦτα ὁ πατὴρ οὑμὸς διαθέσθαι. Λάβε δὲ αὐτὴν τὴν
μαρτυρίαν, καὶ λέγ' ἐπισχὼν οὗ ἂν σε κελεύω, ἵν' ἐξ αὐτῆς δεικνύω.

Μαρτυρία.

Μαρτυροῦσι παρεῖναι πρὸς τῷ διαιτητῇ τισίᾳ, ὅτε προὐκαλεῖτο φορμίων ἀπολλόδωρον, ἢ μὴν φησὶν ἀντίγραφα εἶναι τῶν διαθηκῶν τῶν πασίωνος.

Ἐπίσχες.

Ἐνθυμεῖσθε ὅτι τῶν διαθηκῶν γέγραπται τῶν πασίωνος. καίτοι ἐχρῆν τοὺς
βουλομένους

[ἐγίγνετο] βουλόμενοι τἀληθῆ μαρτυρεῖν, εἴ τι μάλιστα ἐγίγνετο ἡ πρόκλησις, ὡς οὐκ ἐγί-
[ἀλλ'] γνετ' ἐκεῖνος μαρτυρεῖ. Λέγε τὴν μαρτυρίαν ἀπ' ἀρχῆς πάλιν.

Μαρτυρία.

Μαρτυροῦσι παρεῖναι πρὸς τῷ διαιτητῇ Τισίᾳ μαρτυροῦμεν· παρῆμεν γὰρ δή. 35
Λέγε. Ὅτε προὐκαλεῖτο Φορμίων Ἀπολλόδωρον, καὶ τὰ ἑξῆς, εἴπερ προὐκαλεῖτο, ὀρθῶς ἂν ἐμαρτύρουν. ἣ μὲν, φησίν, ἀντίγραφα εἶναι τῆς διαθήκης τῆς Πασίωνος. ἔχε αὐτοῦ. οὐδ' ἂν εἷς ἔτι δήπου τοῦτ' ἐμαρτύρησεν, εἰ μή τις καὶ παρῆν διατιθεμένῳ τῷ πατρὶ τῷ ἐμῷ. ἀλλ' εὐθὺς ἂν εἶπε, τί δ' ἡμεῖς ἴσμεν, εἴ τινές εἰσι δια- 36
θῆκαι Πασίωνος; καὶ γράφειν ἂν αὐτὸν ἠξίωσεν, ὥσπερ ἐν ἀρχῇ τῆς προκλήσεως. ἣ μὲν φήμ' ἐγὼ ἀντίγραφα εἶναι τῆς διαθήκης, ἣν φησὶ Φορμίων Πασίωνα καταλιπεῖν, οὐ τῆς Πασίωνος. τοῦτο μὲν γὰρ ἦν, εἶναι διαθήκας μαρτυρεῖν, ὅπερ ἦν τούτοις βούλημα· ἐκεῖνο δὲ φάσκειν Φορμίωνα· πλέον δὲ δήπου κεχώρισται τό, τ' εἶναι, καὶ τὸ 37
τοῦτον φάσκειν. ἵνα τοίνυν εἰδῆτε ὑπὲρ ἡλίκων, καὶ ὅσων ἦν τὸ κατασκεύασμα τῆς διαθήκης, μικρὰ ἀκούσατέ μου. ἦν μὲν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο πρῶτον
[διεφθάρει] μὲν ὑπὲρ τοῦ μὴ δοῦναι δίκην, ὧν διεφθάρκει, ἣν ἐμοὶ μὲν οὐ καλὸν λέγειν, ὑμεῖς δ' ἴστε, κἂν ἐγὼ μὴ λέγω· ἔπειθ' ὑπὲρ τοῦ κατασχεῖν ὅσα ἦν τῷ ἡμετέρῳ πατρὶ 38
χρήματα παρὰ τῇ μητρί· πρὸς δὲ τούτοις ὑπὲρ τοῦ καὶ τῶν λοιπῶν τῶν ἡμετέρων ἁπάντων κυρίῳ γενέσθαι. ὅτι δ' οὕτω ταῦτ' ἔχει, τῆς διαθήκης αὐτῆς ἀκούσαν-
[ὡς πατρί] τες γνώσεσθε. φανήσεται γὰρ οὐ πατρός, ὥσπερ υἱέων γράφοντος ἐοικυῖα διαθήκη, ἀλλὰ δούλου λελυμασμένου τὰ τῶν δεσποτῶν, ὅπως μὴ δώσει δίκην σκοποῦντος. 39
Λέγε δ' αὐτοῖς τὴν διαθήκην αὐτήν, ἣν οὗτοι περὶ τῆς κλήσεως μεμαρτυρήκασιν· ὑμεῖς δ' ἐνθυμεῖσθε ἃ λέγω.

Διαθήκη.

Τάδε διέθετο Πασίων Ἀχαρνεύς. Δίδωμι τὴν ἐμαυτοῦ γυναῖκα Ἀρχίππην 40
Φορμίωνι, καὶ προῖκα ἐπιδίδωμι Ἀρχίππῃ, τάλαντον μὲν τὸ ἐκ Πεπαρήθου, τάλαντον δὲ τὸ αὐτόθεν, συνοικίαν ἑκατὸν μνῶν, θεραπαίνας, καὶ τὰ χρυσία, καὶ τἄλλ', ὅσα ἐστὶν αὐτῇ ἔνδον, ἅπαντα ταῦτα Ἀρχίππῃ δίδωμι. Ἠκούσατε, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ πλῆθος τῆς προικός, τάλαντον ἐκ Πεπαρήθου, τάλαντον αὐτόθεν, συνοι- 41
κίαν ἑκατὸν μνῶν, θεραπαίνας, καὶ χρυσία, καὶ τἄλλα, φησίν, ὅσα ἐστὶν αὐτῇ, δίδωμι·
[πράγματ] τούτῳ τῷ γράμματι, καὶ τὸ ζητῆσαί τι τῶν καταλειφθέντων ἀποκλείων ἡμᾶς. Φέρε δὴ
[ὑμᾶς] [δειξάτω] δεῖξαι τὴν μίσθωσιν ὑμῖν, καθ' ἣν ἐμεμίσθωτο τὴν τράπεζαν παρὰ τοῦ πατρὸς
[ἡμῖν] οὗτος. καὶ γὰρ ἐκ ταύτης, καίπερ ἐσκευωρημένης, ὄψεσθε, ὅτι πλάσμα ὅλον ἐστὶν ἡ 42
διαθήκη. δείξω δ' ἣν οὗτος προὐφέρετο μίσθωσιν οὐκ ἄλλην τινά, ἐν ᾗ προσγέγραπται, ἕνδεκα τάλαντα ὁ πατὴρ ὀφείλων εἰς τὰς παρακαταθήκας τούτῳ. ἔστι
[τοιαῦτα, ἃ τὴν μὲν] δ', οἶμαι, ταῦτα· τοιαῦτα τὴν μὲν οὐσίαν χρημάτων, ὡς ἐπὶ τῇ μητρὶ δοθέντων διὰ τῆς διαθήκης αὐτὸν ἐποίησε κύριον, ὥσπερ ἀκηκόατε ἄρτι· τὸ δ' ἐπὶ τῆς τρα- 43
[λαθεῖν] πέζης ὄντων, ἃ πάντες ᾔδεσαν καὶ λαθεῖν οὐκ ἦν, διὰ τοῦ προσοφείλοντα ἀποφῆναι τὸν πατέρα ἡμῶν, ἵν', ὅσα ἐξελέγχοιτο ἔχων, κεκομίσθαι φαίη. ὑμεῖς δ' ἴσως αὐτὸν ὑπειλήφατε, ὅτι σολοικίζει τῇ φωνῇ, βάρβαρον καὶ εὐκαταφρόνητον εἶναι. ἔστι δὲ
[πανουργῆσαι] βάρβαρος οὗτος, τῷ μισεῖν οὓς αὐτῷ προσῆκε τιμᾶν· τῷ δὲ κακουργῆσαι, καὶ διο- 44
ρύξαι πράγματα, οὐδενὸς λείπεται. Λαβὲ δή μοι τὴν μίσθωσιν, καὶ λέγε, ἣν τὸν αὐτὸν τρόπον διὰ προκλήσεως ἐνεβάλοντο.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Μίσθωσις τραπέζης.

45 Κατὰ τάδε ἐμίσθωσε Πασίων τὴν τράπεζαν Φορμίωνι· μίσθωσιν φέρειν Φορμίωνα τῆς τραπέζης τοῖς παισὶ τοῖς Πασίωνος, δύο τάλαντα καὶ τετταράκοντα μνᾶς τοῦ ἐνιαυτοῦ ἑκάστου, χωρὶς τῆς καθ᾽ ἡμέραν διοικήσεως. μὴ ἐξεῖναι δὲ τραπεζιτεύσαι χωρὶς Φορμίωνι, ἐὰν μὴ πείσῃ τοὺς παῖδας τοὺς Πασίωνος. ὀφείλει
46 δὲ Πασίων ἐπὶ τὴν τράπεζαν ἕνδεκα τάλαντα εἰς τὰς παρακαταθήκας. ἃς μὲν τοίνυν παρέχετο συνθήκας, ὡς κατὰ ταύτας μισθωσάμενος τὴν τράπεζαν, αὗταί εἰσιν, ὦ ἄνδρες δικασταί· ἀκούετε δ᾽ ἐν ταύταις ἀναγιγνωσκομέναις, μίσθωσιν μὲν φέρειν τοῦτον, ἄνευ τῆς καθ᾽ ἡμέραν διοικήσεως δύο τάλαντα καὶ τετταράκοντα
47 μνᾶς τοῦ ἐνιαυτοῦ ἑκάστου· μὴ ἐξεῖναι δὲ τραπεζιτεύειν αὐτῷ, ἐὰν μὴ ἡμᾶς πείσῃ. προσγέγραπται δὲ τελευταῖον· ὀφείλει δὲ Πασίων ἕνδεκα τάλαντα εἰς τὰς παρακαταθήκας. ἔστιν οὖν ὅστις ἂν τοῦ ξύλου, καὶ τοῦ χωρίου, καὶ τῶν γραμματείων, τοσαύτην ὑπέμεινε μίσθωσιν; ἔστι δ᾽ ὅστις ἂν δι᾽ ὃν ὠφλήκει τοσαῦτα χρήματα
48 ἡ τράπεζα, τούτῳ τὰ λοιπὰ ἐπέτρεψεν; εἰ γὰρ ἐνεδέησε τοσούτων χρημάτων, τούτου διοικοῦντος ἐνεδέησεν. ἴστε γὰρ πάντες καὶ ὅτ᾽ ἦν ὁ πατὴρ ἐπὶ τοῦ τραπεζιτεύειν, τοῦτον καθήμενον, καὶ διοικοῦντα ἐπὶ τῇ τραπέζῃ. ὥστε ἐν τῷ μύλωνι προσῆκεν αὐτὸν εἶναι μᾶλλον, ἢ τῶν λοιπῶν κύριον γενέσθαι. ἀλλ᾽ ἐῶ ταῦτα, καὶ
49 τἄλλα, ὅσ᾽ ἂν περὶ τῶν ἕνδεκα ταλάντων ἔχοιμι εἰπεῖν, ὡς οὐκ ὤφειλεν ὁ πατήρ, ἀλλ᾽ οὗτος ὑφήρηται. ἀλλ᾽ οὗ ἀνέγνων εἵνεκα, τὴν διαθήκην ψευδῆ δεῖξαι, τοῦθ᾽ ὑμᾶς ἀναμνήσω. γέγραπται γὰρ αὐτόθι, μὴ ἐξεῖναι τραπεζιτεύειν Φορμίωνι, ἐὰν μὴ ἡμᾶς πείσῃ. τοῦτο τοίνυν τὸ γράμμα δηλοῖ ψευδῆ παντελῶς τὴν διαθήκην
50 οὖσαν. τίς γὰρ ἀνθρώπων ἃ μὲν ἔμελλε τραπεζιτεύων οὗτος ἐργάζεσθαι, ταῦθ᾽ ὅπως ἡμῖν τοῖς αὑτοῦ παισίν, ἀλλὰ μὴ τούτῳ γενήσεται, προὐνοήθη; καὶ διὰ τοῦτο μὴ ἐξεῖναι τούτῳ τραπεζιτεύειν ἔγραψεν, ἵνα μὴ ἀφίστηται ἀφ᾽ ἡμῶν· ἃ δ᾽ αὐτὸς εἰργασμένος ἔνδον κατέλιπε, ταῦθ᾽ ὅπως οὗτος λήψεται, παρεσκεύασε;
51 καὶ τῆς μὲν ἐργασίας ἐφθόνησεν, ἧς οὐδὲν ἀηδὲς ἦν μεταδοῦναι, τὴν δὲ γυναῖκα ἔδωκεν, οὗ μεῖζον οὐδ᾽ ἂν κατέλιπεν ὄνειδος, τυχών γε τῆς παρ᾽ ἡμῶν δωρεᾶς. εἶτα ὥσπερ ἂν δοῦλος δεσπότῃ διδούς, ἀλλ᾽ οὐ τοὐναντίον, εἴπερ ἐδίδου, δεσπότης οἰκέτῃ, προσθεὶς προῖκα ὅσην οὐδεὶς τῶν ἐν τῇ πόλει φαίνεται; καίτοι τούτῳ μὲν αὐτὸ τοῦτο ἀ-
52 γαπητὸν ἦν τὸ δεσποίνης ἀξιωθῆναι· τῷ πατρὶ δέ, οὐδὲ λαμβάνοντι τοσαῦτα χρήματα, ὅσα φασὶ διδόντα οὗτοι, εὔλογον ἦν πρᾶξαι ταῦτα. ἀλλ᾽ ὅμως ἃ τοῖς εἴκοσι τοῖς χρόνοις, τοῖς πεπραγμένοις ἐξελέγχεται ψευδῆ, ταῦτα μαρτυρεῖν οὐκ ὤκνησεν οὑτοσὶ Στέφανος. εἶτα λέγει περιιών, ὡς ἐμαρτύρησε μὲν Νικοκλῆς ἐπιτροπεῦσαι κατὰ
53 τὴν διαθήκην· ἐμαρτύρησε δὲ Πασικλῆς ἐπιτροπευθῆναι κατὰ τὴν διαθήκην. ἐγὼ δὲ αὐτὰ ταῦτ᾽ οἶμαι τεκμήρια εἶναι, τοῦ μήτ᾽ ἐκείνους τἀληθῆ, μήτε τούσδε μεμαρτυρηκέναι. ὁ γὰρ ἐπιτροπεῦσαι κατὰ διαθήκας μαρτυρῶν, δῆλον ὅτι καθ᾽ ὁποίας μὲν εἰδείη. τί οὖν μαθόντες ἐμαρτυρεῖτε ὑμεῖς ἐν προσκλήσει διαθήκας, παθόντες
ἀλλ᾽ οὐκ ἐκείνους ἐᾶτε; εἰ γὰρ αὖ μὴ φήσουσιν εἰδέναι τὰ γεγραμμένα ἐν αὐταῖς, πῶς ὑμᾶς οἴοντ᾽ εἰδέναι τοὺς μηδαμῇ μηδαμῶς τοῦ πράγματος ἐγγύς; τί ποτ᾽ οὖν οἱ μὲν ἐκεῖνα, οἱ δὲ ταῦτα ἐμαρτύρησαν; ὅπερ εἴρηκα καὶ πρότερον, διείλοντο τἀδικήματα· καὶ ἐπιτροπεῦσαι μὲν κατὰ διαθήκην, οὐδὲν δεινὸν ἡγεῖτο μαρτυρεῖν ὁ μαρτυρῶν, οὐδ᾽ ἐπιτροπευθῆναι κατὰ διαθήκην, ἀφαιρῶν ἑκατέροις

τῶν μαρ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸν μαρτυρεῖν τὰ ἐν ταῖς διαθήκαις ὑπὸ τούτου γεγραμμένα, οὐδὲ καταλιπεῖν
τὸν πατέρα αὐτῷ ἐπιγεγραμμένον γραμματεῖον διαθήκην, οὐδὲ τὰ τοιαῦτα
*διαφθορά διαθήκας δεῖ μαρτυρεῖν, ἐν αἷς χρημάτων τοσούτων κλοπή, γυναικὸς *διαφθο-
ρά, γάμοι δεσποίνης, πράγματα αἰσχύνην καὶ ὕβριν τοσαύτην ἔχοντα, οὐδεὶς ἤ- 56
θελε πλὴν οὗτοι, πρόσκλησιν κατασκευάσαντες, περὶ ὧν δίκαιον τῆς ὅλης τέχνης
*πανουργίας. καὶ * κακουργίας δίκην λαβεῖν. ἵνα τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ μόνον ἐξ ὧν ἐγὼ
κατηγορῶ καὶ ἐλέγξω, δῆλος ὑμῖν γένηται τὰ ψευδῆ μεμαρτυρηκὼς οὑτοσὶ Στέφα-
νος, ἀλλὰ καὶ ἐξ ὧν πεποίηκεν ὁ παραγραφόμενος αὐτὸν τὰ πεπραγμένα ἐκείνῳ, 57
βούλομαι πρὸς ὑμᾶς εἰπεῖν. ὅπερ δ' εἶπον ἀρχόμενος τοῦ λόγου, δείξω κατη-
γόρους γιγνομένους αὐτοὺς ἑαυτῶν. τὴν γὰρ δίκην, ἐν ᾗ ταῦτα ἐμαρτυρήθη, παρε-
γράψατο Φορμίων πρὸς ἐμὲ μὴ εἰσαγώγιμον εἶναι, ὡς ἀφέντος ἐμοῦ τῶν ἐγκλη-
μάτων αὐτόν. τοῦτο τοίνυν, ἐγὼ μὲν οἶδα ψεῦδος ὂν καὶ ἐλέγξω, ὅταν εἰσίω πρὸς 58
τοὺς ταῦτα μεμαρτυρηκότας. τούτῳ δὲ οὐχ οἷόν τε τοῦτ' εἰπεῖν. εἰ τοίνυν ἀληθῆ πι-
στεύετ' εἶναι τὴν ἄφεσιν, οὕτω καὶ μάλιστ' ἂν οὗτος φανείη ψευδῆ μεμαρτυρηκώς,
καὶ κατεσκευασμένης διαθήκης μάρτυς γεγονώς. τίς γὰρ οὕτως ἄφρων, ὥστε ἄ-
φεσιν μὲν ἐναντίον μαρτύρων ποιήσασθαι τοῦ βεβαίαν αὐτῷ τὴν ἀπαλλαγὴν 59
εἶναι· τὰς δὲ συνθήκας, καὶ τὰς διαθήκας, καὶ τἆλλα, παρ' ὧν ἐποιεῖτο τὴν ἄφεσιν,
σεσημασμένα ἐᾶσαι καθ' αὑτοῦ κεῖσθαι; οὐκοῦν ἐναντία μὲν ἡ παραγραφὴ πᾶσι
τοῖς μεμαρτυρημένοις· ἐναντία δὲ, ἣν λέγουσιν ὑμῖν ἔστι μίσθωσιν ἥδε τῇ δια-
θήκῃ. οὐδὲν δὲ τῶν πεπραγμένων, οὔτ' εὔλογον, οὔθ' ἁπλοῦν, οὔθ' ὁμολογού- 60
μενον αὐτῷ ἑαυτῷ φαίνεται. ἐκ δὲ τούτου τοῦ τρόπου, πάντα πεπλασμένα καὶ κα-
τεσκευασμένα ἐλέγχεται. ὡς μὲν τοίνυν ἔστιν ἀληθῆ τὰ μεμαρτυρημένα, οὔτ' αὐ-
τὸν τοῦτον, οὔτ' ἄλλον ὑπὲρ τούτου δεῖξαι δυνήσεσθαι νομίζω. ἀκούω δ' αὐτὸν τοιοῦ-
τόν τι παρασκευάζεσθαι λέγειν, ὡς προσκλήσεώς ἐστιν ὑπεύθυνος, οὐχὶ μαρτυρίας· 61
καὶ δυοῖν αὐτῷ προσήκει δοῦναι λόγον, οὐ πάντων τῶν γεγραμμένων, εἴτε προὐ-
καλεῖτό με ταῦτα Φορμίων, ἢ μή, καὶ εἰ μὴ ἐδεχόμην ἐγώ. ταῦτα μὲν γὰρ ἁ-
*αὐτὸς πλῶς * αὐτὸ μεμαρτυρηκέναι φήσει· τὰ δ' ἄλλα ἐκεῖνον προκαλέσασθαι. εἰ δ' ἔστιν,
ἢ μή, ταῦτα, οὐδὲν αὐτῷ προσήκει σκοπεῖν. πρὸς δὴ τὸν λόγον τοῦτον, καὶ τὴν ἀναί- 62
δειαν, βέλτιστόν ἐστι μικρὰ προειπεῖν ὑμῖν, ἵνα μὴ λάθητε ἐξαπατηθέντες. πρῶ-
τον μὲν, ὅταν εἰς χρὴ λέγειν τοῦτο, ὡς ἄρα οὐ πάντων ὑπεύθυνός ἐστιν, ἐνθυμεῖ-
σθε ὅτι διὰ ταῦτα ὁ νόμος μαρτυρεῖν ἐν γραμματείῳ κελεύει, ἵνα μήτ' ἀφελεῖν
ἐξῇ, μήτε προσθεῖναι τοῖς γεγραμμένοις μηδέν. τότ' οὖν αὐτὸν ἔδει ταῦτ' ἀπα- 63
λείφειν κελεύειν, ἃ νῦν οὔ φησι μεμαρτυρηκέναι, οὐ νῦν ἐνόντων ἀναισχυντεῖν.
ἔπειτα καὶ τόδε σκοπεῖτε, εἰ ἐάσαιτ' ἂν ἐναντίον ὑμῶν ἐμὲ προσγράψαι τι λα-
βόντα τὸ γραμματεῖον. οὐδὲ που. οὐκοῦν οὐδὲ τοῦτον ἀφαιρεῖν τῶν γεγραμμέ-
νων ἐᾶν προσήκει. τίς γὰρ ἁλώσεται πώποτε ψευδομαρτυριῶν, εἰ μαρτυρήσει 64
τε ἃ βούλεται, καὶ λόγον, ὃν βούλεται, δώσει; ἀλλ' οὐχ οὕτω ταῦτα οὔθ' ὁ νό-
μος δίδωσιν, οὔθ' ὑμῖν ἀκούειν προσήκει· ἀλλ' ἐκεῖνο ἁπλοῦν, καὶ δίκαιον. τί γέ-
γραφας; τί μεμαρτύρηκας; ταῦθ' ὡς ἀληθῆ, δείκνυε. καὶ γὰρ ἀντιγέγραψαι 65
ταῦτα. ἀληθῆ μεμαρτύρηκα, μαρτυρήσας τὰ ἐν τῷ γραμματείῳ γεγραμ-
μένα· οὐ τὸ, καὶ τὸ, τῶν ἐν τῷ γραμματείῳ. ὅτι δ' οὕτω ταῦτ' ἔχει, λαβὲ τὴν
ἀντιγραφήν μοι. Λέγε.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἀντιγραφή.

66 Ἀπολλόδωρος Πασίωνος Ἀχαρνεὺς, Στεφάνῳ Μενεκλέους, * Ἀχαρνεῖ ψευδο-
μαρτυριῶν τίμημα τάλαντον, τὰ ψευδῆ μου κατεμαρτύρησε Στέφανος, μαρτυρή-
σας τὰ ἐν τῷ γραμματείῳ γεγραμμένα. Τἀληθῆ ἐμαρτύρησα, μαρτυρήσας
τὰ ἐν τῷ γραμματείῳ γεγραμμένα. Ταῦτα οὕτως αὐτὸς ἀντεγράψα-
67 το, ἃ χρὴ μνημονεύειν ὑμᾶς, καὶ μὴ τοὺς ἐξ ἀπάτης νῦν λόγους ὑπὸ τούτου ῥηθη-
σομένους, πιστοτέρους ποιεῖσθαι τῶν νόμων, καὶ τῆς ὑπὸ τούτου γραφείσης εἰς τὴν
ἀντιγραφήν. πυνθάνομαι τοίνυν αὐτὸν περὶ ὧν ἔλαχον τὴν ἐξ ἀρχῆς δίκην,
ἐρεῖν καὶ κατηγορήσειν, ὡς συκοφάντημα ἦν. ἐγὼ δ' ὃν μὲν τρόπον ἐσκευωρήσατο τὴν
68 μίσθωσιν, ὅπως τὴν ἀφορμὴν τῆς τραπέζης καταγάγῃ, εἶπον καὶ διεξῆλθον ὑμῖν.
ὑπὲρ δὲ τῶν ἄλλων, οὐκ ἂν οἷός τε ἦν λέγειν ἅμα, καὶ τούτους ἐλέγχειν περὶ τῆς μαρ-
τυρίας· οὐ γὰρ ἱκανόν μοι τὸ ὕδωρ ἐστίν. ὅτι δ' οὐδ' ὑμεῖς ἐθέλοιτ' ἂν εἰκότως ἀκούειν
περὶ τούτων αὐτῶν, ἐκ τῶνδ' εἴσεσθε, ἂν λογίσησθε πρὸς ὑμᾶς αὐτοὺς, ὅτι οὔτε νῦν ἐστὶ
69 χαλεπὸν περὶ ὧν μὴ κατηγόρηται λέγειν, οὔτε ψευδεῖς ἀναγνόντα μαρτυρίας,
ἀποφεύγειν· ἀλλ' οὐδ' ἐπειδή γε δίκαιον τούτων οὐδ' ἂν εἷς φήσειεν εἶναι, ἀλλ' ὃ
ἐγὼ προκαλοῦμαι νῦν. σκοπεῖτε δὲ ἀκούσαντες. ἐγὼ γὰρ ἀξιῶ οὓς μὲν ἀφείλον-
τό με ἐλέγχους περὶ τῶν ἐγκλημάτων, οὓς προσῆκον ἦν ῥηθῆναι, μὴ ζητεῖν αὐτοὺς
70 νῦν. ἃς δὲ ἀφείλοντο μαρτυρίας, ὡς εἰσὶν ἀληθεῖς, δεικνύναι. εἰ δ' ὅταν μὲν τὴν * ἃς δὲ ἀφεί-λοντο μαρτυ-ρίας.
δίκην εἰσίω, τὰς μαρτυρίας με ἐλέγχειν ἀξιώσουσιν· ὅταν δὲ ταύταις ἐπεξίω, περὶ
τῶν ἐξ ἀρχῆς ἐγκλημάτων λέγειν με κελεύσουσιν, οὔτε δίκαια, οὔτε ὑμῖν συμφέροντα
ἐροῦσι. δικάσειν γὰρ ὀμωμόκατε ὑμεῖς, οὐ περὶ ὧν ἂν ὁ φεύγων ἀξιοῖ, ἀλλ' ὑπὲρ αὐ-
71 τῶν, ὧν ἂν ἡ δίωξις ᾖ. ταύτην δ' ἀνάγκη, τῇ τοῦ διώκοντος λήξει δηλοῦσθαι, ἣν ἐγὼ
τούτῳ ψευδομαρτυριῶν εἴληχα. μὴ δὴ τοῦτ' ἀφεὶς, περὶ ὧν οὐκ ἀγωνίζεται, λε-
γέτω· μηδ' ὑμεῖς ἐᾶτε, ἐὰν ἄρα οὗτος ἀναισχυντῇ. οἴομαι τοίνυν αὐτὸν οὐδὲν οὐ-
δαμῇ δίκαιον ἔχοντα λέγειν, ἥξειν καὶ ἐπὶ τοῦτο, ὡς ἄτοπον ποιῶ, παραγραφὴν ἡτ-
72 τημένος, τοὺς διαθήκην μαρτυρήσαντας διώκων. καὶ τοὺς δικαστὰς τότε φήσει
διὰ τοὺς ἀφεῖναι μεμαρτυρηκότας ἀποψηφίσασθαι μᾶλλον, ἢ διὰ τοὺς διαθή-
κην μαρτυρήσαντας. ἐγὼ δ', ὦ ἄνδρες Ἀθηναῖοι, νομίζω πάντας ὑμᾶς εἰδέναι, ὅτι
οὐχ ἧττον τὰ πεπραγμένα εἰώθατε σκοπεῖν, ἢ τὰς ὑπὲρ τούτων παραγρα-
73 φάς. περὶ δὴ τῶν πραγμάτων αὐτῶν τὰ ψευδῆ καταμαρτυρήσαντες οὗτοί
μου, ἀσθενεῖς τοὺς περὶ τῆς γραφῆς ἐποίησαν λόγους. χωρὶς δὲ τούτων, ἄτοπον
πάντων τὰ ψευδῆ μαρτυρησάντων, τίς μάλιστα ἔβλαψεν, ἀποφαίνειν· ἀλλ'
οὐχ ὡς αὐτὸς ἕκαστος ἀληθῆ μεμαρτύρηκε, δεικνύναι. οὐ γὰρ ἂν ἕτερα δείξῃ
74 δεινότερα εἰργασμένον, ἀποφεύγειν αὐτῷ προσήκει· ἀλλ' ἂν αὐτὸς ὡς ἀληθῆ
μεμαρτύρηκεν, ἀποφήνῃ. ἐφ' ᾧ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, μάλιστ' ἀπο-
λωλέναι δίκαιός ἐστιν οὑτοσὶ Στέφανος, τοῦτ' ἀκούσατέ μου. δεινὸν μὲν γάρ ἐστιν,
εἰ καὶ καθ' ὅτου τις ψευδῆ μαρτυρεῖ· πολλῷ δὲ δεινότερον, καὶ πλείονος ὀργῆς
5 ἄξιον, εἰ κατὰ τῶν συγγενῶν. οὐ γὰρ τοὺς γεγραμμένους νόμους, ὁ τοιοῦτος
ἄνθρωπος μόνον, ἀλλὰ καὶ τὰ τῆς φύσεως οἰκεῖα ἀναιρεῖ. τοῦτο τοίνυν ἐπι-
δειχθήσεται πεποιηκὼς οὑτοσί. ἔστι γὰρ ἡ τούτου μήτηρ, καὶ ὁ τῆς ἐμῆς γυναικὸς πα-
τήρ, ἀδελφοί· ὥστε τὴν μὲν γυναῖκα τὴν ἐμὴν, ἀνεψιὰν εἶναι τούτῳ, τοὺς δὲ παῖδας τοὺς
γεγονότας ἐμοὶ, ἀνεψιαδοῦς. ἆρ' οὖν δοκεῖ ποτ' ἂν ὑμῖν οὗτος, εἴ τι δι' ἔνδειαν εἶδε

ποιούσας

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ποιούσας ὧν οὐ χρὴ ταῖς αὑτῶν συγγενέσιν, ὅπερ ἤδη πολλοὶ πεποιήκασι, τὴν αὑτοῦ προῖκα "ἐπιδοὺς ἐκδοῦναι," ὥσπερ τοῦ μηδενὸς ἂν προσήκει, κομίσασθαι ταύτας, τὰ ψευδῆ μαρτυρεῖν ἠθέλησε. καὶ περὶ πλείονος ἐποιήσατο τὸν Φορμίωνος πλοῦτον, ἢ τὰ τῆς συγγενείας ἀναγκαῖα; ἀλλὰ μὴν ὅτι ταῦτ' ἀληθῆ λέγω, λαβέ μοι τὴν μαρτυρίαν τὴν Δεινίου, καὶ ἀναγίνωσκε· καὶ κάλει Δεινίαν. 77

τοῖς

## Μαρτυρία.

Δεινίας Θεομνήστου Ἀθμονεὺς, μαρτυρεῖ τὴν θυγατέρα αὑτοῦ ἐκδοῦναι Ἀπολλοδώρῳ κατὰ τοὺς νόμους γυναῖκα ἔχειν· καὶ μηδὲ πώποτε παραγενέσθαι, μηδὲ αἰσθέσθαι ὅτι Ἀπολλόδωρος ἀφῆκε τῶν ἐγκλημάτων ἁπάντων Φορμίωνα. 78 Ὁμοίως γὰρ ὁ Δεινίας, ὦ ἄνδρες δικασταί, τούτῳ, ὃς ὑπὲρ τῆς θυγατρὸς, καὶ τῶν θυγατριδῶν, καὶ ἐμοῦ τοῦ κηδεστοῦ διὰ τὴν συγγένειαν, οὐδὲ τἀληθῆ μαρτυρεῖν ἐθέλει κατὰ τούτου· ἀλλ' οὐχ οὑτοσὶ Στέφανος, οὐκ ὤκνησε καθ' ἡμῶν τὰ ψευδῆ μαρτυρεῖν· οὐδ' εἰς μηδένα τῶν ἄλλων, τὴν αὑτοῦ μητέρα ᾐσχύνθη, τοῖς ἀπ' ἐκείνης οἰκείοις, τῆς ἐσχάτης ἐνδείας αἴτιος γιγνόμενος. 79 ὃ τοίνυν ἔπαθον δεινότατον, καὶ ἐφ' ᾧ μάλιστα ἐξεπλάγην, ὅτ' ἠγωνιζόμην, ὦ ἄνδρες δικασταί, τοῦθ' ὑμῖν εἰπεῖν βούλομαι. τήν τε γὰρ τούτου πονηρίαν ἔτι μᾶλλον ὑμεῖς ὄψεσθε, καὶ ἐγὼ τῶν γεγενημένων ἀποδυράμενος τὰ πλεῖστα πρὸς ὑμᾶς, ὥσπερ ῥᾴων ἔσομαι. 80 τὴν γὰρ μαρτυρίαν, ἣν φημὶ εἶναι, καὶ δι' ἧς ἦν ὁ πλεῖστος ἔλεγχός μοι, ταύτην οὐχ εὗρον ἐνοῦσαν ἐν τῷ ἐχίνῳ. τότε μὲν δὴ τῷ κακῷ πληγεὶς οὐδὲν ἄλλο εἶχον ποιῆσαι, πλὴν ὑπολαμβάνειν τὴν ἀρχὴν ἠδικηκέναι με, καὶ τὸν ἐχῖνον κεκινηκέναι, νῦν δ' ἀφ' ὧν ὕστερον τι πέπεισμαι 81 πρὸς αὐτῷ τῷ διαιτητῇ, Στέφανον τουτονὶ αὐτὴν ὑφῃρημένον εὑρίσκω πρὸς μαρτυρίαν τινά, ἵνα ἐξορκώσαιμι ἀναστάντος ἐμοῦ. καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, πρῶτον μὲν ὑμῖν μαρτυρήσουσι τῶν τότε παρόντων οἱ ἰδόντες. οὐ γὰρ ἐξομνύναι ἐθελήσειν αὐτοὺς οἴομαι. ἐὰν δ' ἄρα τοῦτο ποιήσωσιν ὑπ' ἀναιδείας, πρόκλησιν ὑμῖν ἀναγνώσεται, ἐξ ἧς τούτους τ' ἐπιορκοῦντας ἐπαυτοφώρῳ λήψεσθε, καὶ τοῦτον ὁμοίως 82 ὑφῃρημένον τὴν μαρτυρίαν εἴσεσθε. καίτοι ὅστις, ὦ ἄνδρες Ἀθηναῖοι, κἀκ τῶν ἀλλοτρίων κλέπτης ὑπέμεινεν ὀνομασθῆναι,* τί ἂν ἡγεῖσθε ποιῆσαι τοῦτον ἄλλο τοῦ; λέγε τὴν μαρτυρίαν, εἶτα τὴν πρόκλησιν ταύτην. 83

ἀφῖχθαι

* τί οὐκ ἂν ἡγ. ποιη. τοῦτ. ἄλλο ποιοῦντα; γρ. τί ἂν ἡγ. ποι. τοῦτ. ἄλλο τούτου;

## Μαρτυρία.

Μαρτυροῦσι φίλοι εἶναι καὶ ἐπιτήδειοι Φορμίωνι· καὶ παρεῖναι πρὸς τῷ διαιτητῇ Τισίᾳ, ὅτε ἦν ἀπόφασις τῆς διαίτης Ἀπολλοδώρῳ πρὸς Φορμίωνα· καὶ εἰδέναι τὴν μαρτυρίαν ὑφῃρημένον Στέφανον, ἣν αἰτιᾶται αὐτὸν Ἀπολλόδωρος ὑφελέσθαι, ἢ μαρτυρεῖτε, ἢ ἐξομόσασθε. 84

## Ἐξωμοσία.

Οὐκ ἄδηλον ἦν, ὦ ἄνδρες δικασταί, ὅτι τοῦτ' ἔμελλον ποιήσειν προθύμως, ἐξόμνυσθαι. ἵνα τοίνυν παραχρῆμα ἐξελεγχθῶσιν ἐπιωρκηκότες, λαβέ μοι ταύτην τὴν μαρτυρίαν, καὶ τὴν πρόκλησιν ἀναγίνωσκε. 85

## Μαρτυρία. Πρόκλησις.

Μαρτυροῦσι παρεῖναι, ὅτε Ἀπολλόδωρος προὐκαλεῖτο Στέφανον παραδοῦναι τὸν παῖδα τὸν ἀκόλουθον εἰς βάσανον περὶ τῆς ὑφαιρέσεως τοῦ γραμματείου. καὶ γράμματα ἦν ἕτοιμος γράφειν Ἀπολλόδωρος, καθ' ὅτι ἔσται ἡ βάσανος. ταῦτα δὲ 86 προκαλουμένου Ἀπολλοδώρου, οὐκ ἐθελῆσαι παραδοῦναι Στέφανον, ἀλλὰ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀποκρίνασθαι Ἀπολλοδώρῳ δικάζεσθαι, εἰ βούλοιτο, εἴ τι φησὶν ἀδικεῖσθαι ὑφ' ἑαυτοῦ. Τίς ἂν οὖν ὑπὸ τοιαύτης αἰτίας, ὦ ἄνδρες δικασταί, εἴπερ ἐπίστευεν ἑαυτῷ,
87 οὐκ ἂν ἐδέξατο τὴν βάσανον; οὐκοῦν τῷ φεύγειν τὴν βάσανον ὑφῃρημένος ἐξελέγχεται. ἆρ' οὖν ἂν ὑμῖν αἰσχυνθῆναι δοκῇ τὴν τοῦ τὰ ψευδῆ μαρτυρεῖν δόξαν, ὁ τὴν τῆς κλέπης φανῆναι μὴ φυγών; ἢ δεηθέντος τοῦ ὀκνῆσαι ἂν τὰ ψευδῆ μαρτυρεῖν, ὅς, ἃ μηδεὶς ἐκέλευεν, ἐθελοντὴς πονηρὸς ἦν; δικαίως τοίνυν, ὦ ἄνδρες Ἀθη-
88 ναῖοι, τούτων ἁπάντων δοὺς ἂν δίκην, πολὺ μᾶλλον ἂν εἰκότως διὰ τἆλλα κολασθείη παρ' ὑμῖν. σκοπεῖτε δὲ τὸν βίον, ὃν βεβίωκεν ἐξετάζοντες. οὗτος γὰρ ἡνίκα συνέβαινεν εὐτυχεῖν Ἀριστολόχῳ τῷ τραπεζίτῃ, ἴσα βαίνων ἐβάδιζεν ὑποπεπτωκὼς ἐκείνῳ, καὶ ταῦτα ἴσασι πολλοὶ τῶν ἐνθάδε ὄντων ὑμῶν. ἐπειδὴ δ' ἀπώλετο ἐκεῖνος, καὶ τῶν
89 ὄντων ἐξέστη, οὐχ ἥκιστα ὑπὸ τούτου καὶ τῶν τοιούτων διαφορηθείς, τῷ μὲν υἱεῖ τῷ τούτου, πολλῶν πραγμάτων ὄντων, οὐ παρέστη πώποτε, οὐδ' ἐβοήθησεν· ἀλλ' Ἀπόληξις, καὶ Σόλων, καὶ πάντες ἄνθρωποι μᾶλλον βοηθοῦσι· Φορμίωνα δὲ πάλιν ἑώρακε. καὶ τούτῳ γέγονεν οἰκεῖος, ἐξ Ἀθηναίων ἁπάντων τοῦτο ἐκλεξάμενος· καὶ
90 ὑπὲρ τούτου πρεσβευτὴς μὲν ᾤχετο εἰς Βυζάντιον πλέων, ἡνίκα ἐκεῖνοι τὰ πλοῖα τούτου κατέσχον· τὴν δὲ δίκην ἔλεγε τὴν πρὸς Καλχηδονίους· τὰ ψευδῆ δέ μου φανερῶς οὕτω καταμεμαρτύρηκεν. εἶθ' ὃς εὐτυχούντων ἐστὶ κόλαξ, καὶ ἀτυχῶσι, τῶν αὐτῶν τούτων προδότης· καὶ τῶν μὲν ἄλλων πολιτῶν πολλῶν καὶ καλῶν κἀγα-
91 θῶν ὄντων, μηδενὶ μηδ' ἐξ ἴσου χρῆται· τοῖς δὲ τοιούτοις, ἐθελοντὴς ὑποπίπτει· καὶ μήτ' εἴ τινα τῶν οἰκείων ἀδικήσει, μήτ' εἰ παρὰ τοῖς ἄλλοις φαύλην δόξαν ἕξει ταῦτα ποιῶν, μὴ ἄλλο μηδὲν σκοπεῖν, πλὴν ὅπως πλέον ἕξει· τοῦτον οὐ μισεῖν, ὡς κοινὸν ἐχθρὸν τῆς φύσεως ὅλης τῆς ἀνθρωπίνης, προσήκει; ἔγωγ' ἂν φαίην. ταῦτα
92 μέντοι τὰ τοσαύτην ἔχοντα αἰσχύνην, ὦ ἄνδρες Ἀθηναῖοι, ἐπὶ τῷ τὴν πόλιν φεύγειν, καὶ τὰ ὄντα ἀποκρύπτεσθαι, προῄρηται πράττειν, ἵνα ἐργασίας ἀφανεῖς διὰ τῆς τραπέζης ποιῆται· καὶ μήτε χορηγῇ, μήτε τριηραρχῇ, μήτ' ἄλλο μηδέν, ὧν προσήκει, ποιῇ· καὶ κατείργασται τοῦτο. τεκμήριον δέ· ἔχων γὰρ οὐσίαν τοσαύτην, ὥστε
93 ἑκατὸν μνᾶς ἐπιδοῦναι τῇ θυγατρί, οὐδ' ἡντινοῦν λειτουργίαν ἑώραται ὑφ' ὑμῶν λειτουργῶν, οὐδὲ τὴν ἐλαχίστην. καίτοι πόσῳ κάλλιον φιλοτιμούμενον ἐξετάζεσθαι, καὶ προθυμούμενον εἰς ἃ δεῖ, τῇ πόλει, ἢ κολακεύοντα, καὶ τὰ ψευδῆ μαρτυροῦντα; ἀλλ' ἐπὶ τῷ κερδαίνειν πάντ' ἂν οὗτος ποιήσειε. καὶ μήν, ὦ ἄνδρες Ἀθηναῖοι, μᾶλλον
94 ἄξιον ὀργίλως ἔχειν τοῖς μετ' εὐπορίας πονηροῖς, ἢ τοῖς μετ' ἐνδείας. τοῖς μὲν γὰρ ἡ τῆς χρείας ἀνάγκη φέρει τινὰ συγγνώμην παρὰ τοῖς ἀνθρωπίνως λογιζομένοις· οἱ δ' ἐκ περιουσίας, ὥσπερ οὗτος, πονηροί, οὐδεμίαν πρόφασιν δικαίαν ἔχοιεν ἂν εἰπεῖν· ἀλλ' αἰσχροκερδείᾳ, καὶ πλεονεξίᾳ, καὶ ὕβρει, καὶ τῷ τὰς ἑαυτῶν συστάσεις κυριω-
95 τέρας τῶν νόμων ἀξιοῦν εἶναι, ταῦτα φανήσονται πράττοντες. ὑμῖν δὲ οὐδὲν τούτων συμφέρει, ἀλλὰ τὸν ἀσθενῆ, παρὰ τοῦ πλουσίου δίκην, ἂν ἀδικῆται, δύνασθαι λαβεῖν. ἔσται δὲ τοῦτο, ἐὰν κολάζηται τοὺς φανερῶς οὕτως ἐξ εὐπορίας πονηρούς. οὐ τοίνυν οὐδ' ἃ πέπλασται, καὶ βαδίζει οὗτος παρὰ τοὺς τοίχους ἐσκυθρωπακώς, σωφρο-
96 σύνης εἰκότως ἄν τις ἡγήσαιτο εἶναι σημεῖα, ἀλλὰ μισανθρωπίας. ἐγὼ γὰρ ὅστις αὑτῷ μηδενὸς συμβεβηκότος δεινοῦ, μηδὲ τῶν ἀναγκαίων φροντίζων, ἐν ταύτῃ τῇ σχέσει διάγει τὸν βίον, τοῦτον ἡγοῦμαι συνεωρακέναι, καὶ λελογίσθαι παρ' αὑτῷ,
97 ὅτι τοῖς μὲν ἁπλῶς, ὡς πεφύκασι, βαδίζουσι, καὶ φαιδροῖς, καὶ προσέλθοι τις ἄν,

καὶ δεη-

καὶ δεηθείη, καὶ ἀπαγγείλειεν, οὐδὲν ὀκνῶν· τοῖς δὲ πεπλασμένοις, καὶ σκυθρωποῖς, 98
ὀκνήσειεν ἄν τις προσελθεῖν πρῶτον. οὐδὲν οὖν ἄλλο, ἢ πρόβλημα τοῦ τρόπου τὸ
σχῆμα τοῦτ' ἐστί· καὶ τὸ τῆς διανοίας ἄγριον, καὶ πικρὸν, ἐν τούτῳ δηλοῖ. σημεῖον δέ·
τοσούτων γὰρ ὄντων τὸ πλῆθος τῶν Ἀθηναίων, πράττων* πολὺ βέλτιον, ἢ σὲ προ-
σῆκεν ἦν, τίνα πώποτε εἰσήνεγκας; ἢ τίνι συμβέβλησαί πω; ἢ τίνα εὖ πεποίηκας; 99
οὐδὲν ἂν εἰπεῖν ἔχοις· ἀλλὰ τοκίζων, καὶ τὰς τῶν ἄλλων συμφορὰς, καὶ χρείας, εὐ-
τυχήματα σαυτοῦ νομίζων, ἐξέβαλες μὲν τὸν σαυτοῦ θεῖον Νικίαν ἐκ τῆς πα-
τρῴας οἰκίας· ἀφῄρησαι δὲ τὴν σαυτοῦ πενθερὰν ταῦτα, ἀφ' ὧν ἔζη· ἀοίκητον δὲ
τὸν Ἀρχεδήμου παῖδα, τὸ σαυτοῦ μέρος πεποίηκας. οὐδεὶς δὲ πώποτε οὕτω 100
πικρῶς, οὐδ' ὑπερήμερον εἰσέπραξεν, ὡς σὺ τοὺς ὀφείλοντας τοὺς τόκους. εἶτα ὃν
ὁρᾶτε ἐπὶ πάντων οὕτως ἄγριον, καὶ μιαρὸν, τοῦτο ὑμεῖς ἠδικηκότα ἐπ' αὐτοφώρῳ
λαβόντες οὐ τιμωρήσεσθε; δεινὰ ἄρα, ὦ ἄνδρες δικασταὶ, ποιήσετε, καὶ οὐχὶ δίκαια.
ἄξιον τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ Φορμίωνι τῷ παρακαθημένῳ τουτῳΐ, νεμεσῆ- 101
σαι τοῖς πεπραγμένοις τὴν ἀναίδειαν τοῦ τρόπου καὶ τὴν ἀχαριστίαν ἰδόντας. οἶ-
* κ. τούτῳ, μαι γὰρ ἅπαντας ὑμᾶς εἰδέναι, ὅτι τοῦτον ἡνίκ' ὤνιος ἦν, εἰ συνέβη μάγειρον, ἢ τι-
νὸς ἄλλης τέχνης δημιουργὸν πρίασθαι, τὴν τοῦ δεσπότου τέχνην ἂν μαθὼν, πόρ-
ρω τῶν νῦν παρόντων ἦν ἀγαθῶν. ἐπειδὴ δὲ ὁ πατὴρ ὁ ἡμέτερος τραπεζίτης ὢν 102
ἐκτήσατ' αὐτὸν, καὶ γράμματα ἐπαίδευσε, καὶ τὴν τέχνην ἐδίδαξε, καὶ χρημάτων
ἐποίησε κύριον πολλῶν, εὐδαίμων γέγονε τὴν τύχην, ἣ πρὸς ἡμᾶς ἀφίκετο, ἀρ-
χὴν λαβὼν πάσης τῆς νῦν παρούσης εὐδαιμονίας. οὐκοῦν δεινὸν, ὦ γῆ καὶ θεοί,
καὶ πέρα δεινοῦ, τοὺς Ἕλληνα μὲν ἀντὶ βαρβάρου ποιήσαντας, γνώριμον δ' ἀντ' αν- 103
δραπόδου, τοσούτων δ' ἀγαθῶν ἡγεμόνα, τούτους περιορᾶν ἐν ταῖς ἐσχάταις ἀπο-
ρίαις ὄντας, ἔχοντα καὶ πλουτοῦντα· καὶ εἰς τοῦθ' ἥκειν ἀναιδείας, ὥστε ἧς παρ' ἡμῶν
τύχης μετέσχε, ταύτης ἡμῖν μὴ τολμᾶν μεταδοῦναι. ἀλλ' αὐτὸς μὲν οὐκ ὤκνησε
τὴν δέσποιναν γῆμαι, καὶ, ἣ τὰ καταχύσματα αὐτοῦ κατέχεε τόθ', ἡνίκα ἐωνήθη, 104
ταύτῃ συνοικεῖν· οὐδὲ προῖκα πέντε τάλαντα αὐτῷ γράψαι, χωρὶς ὧν οὔσης
τῆς μητρὸς κυρίας, οὗτος ἐγκρατὴς γέγονε πολλῶν χρημάτων. τί γὰρ αὐτὸν οἴεσθε εἰς
τὰς διαθήκας ἐγγράψαι; καὶ τἄλλα, ὅσα ἐστὶν, Ἀρχίππῃ δίδωμι. τὰς δ' ἡμετέρας
* περιορᾶν θυγατέρας μενούσας δι' ἔνδειαν ἀνεκδότους ἔνδον γηράσκειν,* περιορᾷ. καὶ εἰ μὲν 105
πένης οὗτος ἦν, ἡμεῖς δ' εὐποροῦντες ἐτυγχάνομεν, καὶ συνέβη τι παθεῖν, οἷα πολ-
λὰ ἐμοὶ, οἱ παῖδες ἂν οἱ τούτου τῶν ἐμῶν θυγατέρων ἐδικάζοντο, οἱ τοῦ δούλου τῶν
τοῦ δεσπότου· θεῖοι γάρ εἰσιν αὐταῖς, διὰ τὸ τὴν μητέρα τὴν ἐμὴν τοῦτον λαβεῖν.
ἐπειδὴ δὲ ἀπόρως ἡμεῖς ἔχομεν, τηνικαῦτα οὐ συνεκδώσει ταύτας, ἀλλὰ λέγει, 106
καὶ λογίζεται τὸ πλῆθος ὧν ἐγὼ χρημάτων ἔχω. καὶ γὰρ τοῦτο ἀτοπώτατον πάντων.
ὧν μὲν ἀπεστέρηκεν ἡμᾶς χρημάτων, οὐδέ πω καὶ τήμερον ἠθέλησεν ὑποσχεῖν τὸν
λόγον, ἀλλὰ μηδ' εἰσαγωγίμους εἶναι τὰς δίκας παραγράφεται. ἃ δὲ τῶν πατρῴων
ἐνειμάμην ἐγὼ, ταῦτα λογίζεται. ἐν τοῖς μὲν ἄλλοις ἄν τις ἴδοι τοὺς οἰκέτας ὑπὸ 107
τῶν δεσποτῶν ἐξεταζομένους· οὗτος δ' αὖ τοὐναντίον, δεσπότην ὁ δοῦλος ἐξετάζει,
ὡς δῆτα πονηρὸν, καὶ ἄσωτον ἐκ τούτων ἐπιδείξων. ἐγὼ δ', ὦ ἄνδρες Ἀθηναῖοι,
τῆς μὲν ὄψεως τῇ φύσει, καὶ τῷ ταχέως βαδίζειν, καὶ λαλεῖν μέγα, οὐ τῶν εὐτυ-
χῶς πεφυκότων ἐμαυτὸν κρίνω· ἐφ' οἷς γὰρ οὐδὲν ὠφελούμενος λυπῶ τινὰς, ἔλατ- 108
τον ἔχω πολλαχοῦ, τῷ μέντοι μέτριος κατὰ πάσας τὰς εἰς ἐμαυτὸν δαπάνας εἶναι,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὑποκρίνασθαι Ἀπολλοδώρῳ δικάζεσθαι, εἰ βούλοιτο, εἴ τί φησιν ἀδικεῖσθαι ὑφ'
ἑαυτοῦ. Τίς μὲν οὖν ὑπὸ τοιαύτης αἰτίας, ὦ ἄνδρες δικασταί, εἴπερ ἐπίστευεν ἑαυτῷ,
87 οὐκ ἂν ἐδέξατο τὴν βάσανον; οὐκοῦν τὸ φεύγειν τὴν βάσανον ὑφῃρημένος ἐξε-
λέγχεται. ἆρ' οὖν ἂν ὑμῖν αἰσχυνθῆναι δοκεῖ τὴν τοῦ τὰ ψευδῆ μαρτυρεῖν δόξαι,
τὴν τοῦ κλέπτης φανῆναι μὴ φυγών; ἢ δεηθέντος τοῦ ὀκνῆσαι μὲν τὰ ψευδῆ μαρτυ-
ρεῖν, ὅς, ἃ μηδεὶς ἐκέλευεν, ἐθελοντὴς πονηρὸς ἦν; δικαίως τοίνυν, ὦ ἄνδρες Ἀθη-
88 ναῖοι, τούτων ἁπάντων δοίη ἂν δίκην, πολὺ μᾶλλον μὲν εἰκότως διὰ τἄλλα κολα-
σθείη παρ' ὑμῖν. σκοπεῖτε δὲ τὸν βίον, ὃν βεβίωκεν ἐξετάζοντες. ἔστι γὰρ ἡνίκα συ-
νέβαινεν εὐτυχεῖν Ἀριστολόχῳ τῷ τραπεζίτῃ, ἴσα βαίνων ἐβάδιζεν ὑποπεπτωκὼς
ἐκείνῳ, καὶ ταῦτα ἴσασι πολλοὶ τῶν ἐνθάδε ὄντων ὑμῶν. ἐπειδὴ δ' ἀπώλετο ἐκεῖνος, καὶ τῶν
89 ὄντων ἐξέστη, οὐχ ἥκιστα ὑπὸ τούτου καὶ τῶν τοιούτων διαφορηθείς, τῷ μὲν υἱεῖ τῷ
τούτου, πολλῶν πραγμάτων ὄντων, οὐ παρέστη πώποτε, οὐδ' ἐβοήθησεν· ἀλλ' Ἀπό-
ληξις, καὶ Σόλων, καὶ πάντες ἄνθρωποι μᾶλλον βοηθοῦσι· Φορμίωνα δὲ πάλιν ἑώ-
ρακε. καὶ τούτῳ γέγονεν οἰκεῖος, ἐξ Ἀθηναίων ἁπάντων τοῦτο ἐκλεξάμενος· καὶ
90 ὑπὲρ τούτου πρεσβευτὴς μὲν ᾤχετο εἰς Βυζάντιον πλέων, ἡνίκα ἐκεῖνοι τὰ πλοῖα
τούτου κατέσχον· τὴν δὲ δίκην ἔλεγε τὴν πρὸς Καλχηδονίους· τὰ ψευδῆ δέ μου
φανερῶς οὕτω καταμεμαρτύρηκεν. εἶθ' ὃς εὐτυχούντων ἐστὶ κόλαξ, κἂν ἀτυχῶσι,
τῶν αὐτῶν τούτων προδότης· καὶ τῶν μὲν ἄλλων πολιτῶν πολλῶν καὶ καλῶν κἀγα-
91 θῶν ὄντων, μηδενὶ μηδ' ἐξ ἴσου χρῆται· τοῖς δὲ τοιούτοις, ἐθελοντὴς ὑποπίπτει· καὶ
μήτ' εἴ τινα τῶν οἰκείων ἀδικήσει, μήτ' εἰ παρὰ τοῖς ἄλλοις φαύλην δόξαν ἕξει
ταῦτα ποιῶν, μηδ' ἄλλο μηδὲν σκοπεῖν, πλὴν ὅπως πλέον ἕξει· τοῦτον οὐ μισεῖν, ὡς
κοινὸν ἐχθρὸν τῆς φύσεως ὅλης τῆς ἀνθρωπίνης, προσήκει; ἔγωγ' ἂν φαίην. ταῦτα
92 μέντοι τὰ τοσαύτην ἔχοντα αἰσχύνην, ὦ ἄνδρες Ἀθηναῖοι, ἐπὶ τῷ τὴν πόλιν
φεύγειν, καὶ τὰ ὄντα ἀποκρύπτεσθαι, προῄρηται πράττειν, ἵνα ἐργασίας ἀφανεῖς διὰ
τῆς τραπέζης ποιῆται· καὶ μήτε χορηγῇ, μήτε τριηραρχῇ, μήτ' ἄλλο μηδέν, ὧν προσ-
ήκει, ποιῇ· καὶ κατείργασται τοῦτο. τεκμήριον δέ· ἔχων γὰρ οὐσίαν τοσαύτην, ὥστε
93 ἑκατὸν μνᾶς ἐπιδοῦναι τῇ θυγατρί, οὐδ' ἡντινοῦν λειτουργίαν ἑώραται ὑφ' ὑμῶν
λειτουργῶν, οὐδὲ τὴν ἐλαχίστην. καίτοι πόσῳ κάλλιον φιλοτιμούμενον ἐξετάζεσθαι,
καὶ προθυμούμενον εἰς ἃ δεῖ, τῇ πόλει, ἢ κολακεύοντα, καὶ τὰ ψευδῆ μαρτυροῦντα;
ἀλλ' ἐπὶ τῷ κερδαίνειν πᾶν ἂν οὗτος ποιήσειε. καὶ μήν, ὦ ἄνδρες Ἀθηναῖοι, μᾶλλον
94 ἄξιον ὀργίλως ἔχειν τοῖς μετ' εὐπορίας πονηροῖς, ἢ τοῖς μετ' ἐνδείας. τοῖς μὲν γὰρ
ἡ τῆς χρείας ἀνάγκη φέρει τινὰ συγγνώμην παρὰ τοῖς ἀνθρωπίνως λογιζομένοις· οἱ
δ' ἐκ περιουσίας, ὥσπερ οὗτος, πονηροί, οὐδεμίαν πρόφασιν δικαίαν ἔχοιεν ἂν εἰ-
πεῖν· ἀλλ' αἰσχροκερδείᾳ, καὶ πλεονεξίᾳ, καὶ ὕβρει, καὶ τῷ τὰς ἑαυτῶν συστάσεις, κυριω-
95 τέρας τῶν νόμων ἀξιοῦν εἶναι, ταῦτα φανήσονται πράττοντες. ὑμῖν δὲ οὐδὲν τούτων
συμφέρει, ἀλλὰ τὸν ἀσθενῆ, παρὰ τοῦ πλουσίου δίκην, ἂν ἀδικῆται, δύνασθαι λα-
βεῖν. ἔσται δὲ τοῦτο, ἐὰν κολάζηται τοὺς φανερῶς οὕτως ἐξ εὐπορίας πονηρούς. οὐ τοί-
νυν οὐδ' ἃ πέπλασται, καὶ βαδίζει οὗτος παρὰ τοὺς τοίχους ἐσκυθρωπακώς, σωφρο-
96 σύνης εἰκότως ἄν τις ἡγήσαιτο εἶναι σημεῖα, ἀλλὰ μισανθρωπίας. ἐγὼ γὰρ ὅστις
αὑτῷ μηδενὸς συμβεβηκότος δεινοῦ, μηδὲ τῶν ἀναγκαίων σπανίζων, ἐν ταύτῃ τῇ
ἕξει διάγει τὸν βίον, τοῦτον ἡγοῦμαι συνεωρακέναι, καὶ λελογίσθαι παρ' αὑτῷ,
97 ὅτι τοῖς μὲν ἁπλῶς, ὡς πεφύκασι, βαδίζουσι, καὶ φαιδροῖς, καὶ προσέλθοι τις ἄν,

καὶ δεη-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ δεηθείη, καὶ ἀπαγγέλλειν, οὐδὲν ὀκνοῦσι· τοῖς δὲ πεπλασμένοις, καὶ σκυθρωποῖς, 98
ὀκνήσειεν ἄν τις προσελθεῖν πρότερον. οὐδὲν οὖν ἄλλο, ἢ πρόβλημα τοῦ τρόπου τὸ
σχῆμα τοῦτ' ἐστί· καὶ τὸ τῆς διανοίας ἄγριον, καὶ πικρόν, ἐντεῦθεν δηλοῖ. σημεῖον δέ·
τοσούτων γὰρ ὄντων τὸ πλῆθος τῶν Ἀθηναίων, πράττων* πολὺ βέλτιον, ἢ σὲ προσ-
ῆκεν ἦν, τί πώποτε εἰσενήνοχας; ἢ τίνα εὖ πεποίηκας; 99
οὐδὲν ἂν εἰπεῖν ἔχοις. ἀλλὰ τοκίζων, καὶ τὰς τῶν ἄλλων συμφοράς, καὶ χρείας, εὐ-
τυχήματα σαυτοῦ νομίζων, ἐξέβαλες μὲν τὸν σαυτοῦ θεῖον Νικίαν ἐκ τῆς πα-
τρῴας οἰκίας· ἀφῄρησαι δὲ τὴν σαυτοῦ πενθερὰν ταῦτα, ἀφ' ὧν ἔζη· ἀοίκητον δὲ
τὸν Ἀρχεδήμου παῖδα, τὸ σαυτοῦ μέρος πεποίηκας. οὐδεὶς δὲ πώποτε οὕτω 100
πικρῶς, οὐδ' ἐφήμερον εἰσέπραξεν, ὡς σὺ τοὺς ὀφείλοντας τοὺς τόκους. εἶτα ὃν
ὁρᾶτε ἐπὶ πάντων οὕτως ἄγριον, καὶ μιαρόν, τοῦτο ὑμεῖς ἠδικηκότα ἐπ' αὐτοφώρῳ
λαβόντες οὐ τιμωρήσεσθε; δεινὰ ἄρα, ὦ ἄνδρες δικασταί, ποιήσετε, καὶ οὐχὶ δίκαια.
Ἄξιον τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ Φορμίωνι τῷ παρακαθημένῳ τουτῳΐ, νεμεσῆ- 101
σαι τοῖς πεπραγμένοις τὴν ἀναίδειαν τοῦ τρόπου καὶ τὴν ἀχαριστίαν ἰδόντας· οἴ-
* γρ. τούτῳ, μαι γὰρ ἅπαντας ὑμᾶς εἰδέναι, ὅτι *τοῦτον ἡνίκ' ὤνιος ἦν, εἰ συνέβη μάγειρον, ἤ τι-
νὸς ἄλλης τέχνης δημιουργὸν πρίασθαι, τὴν τοῦ δεσπότου τέχνην ἂν μαθών, πόρ-
ρω τῶν νῦν παρόντων ἦν ἀγαθῶν. ἐπειδὴ δὲ ὁ πατὴρ ὁ ἡμέτερος τραπεζίτης ὢν 102
ἐκτήσατ' αὐτόν, καὶ γράμματα ἐπαίδευσε, καὶ τὴν τέχνην ἐδίδαξε, καὶ χρημάτων
ἐποίησε κύριον πολλῶν, εὐδαίμων γέγονε τὴν τύχην, ἣ πρὸς ἡμᾶς ἀφίκετο, ἀρ-
χὴν λαβὼν πάσης τῆς νῦν παρούσης εὐδαιμονίας. οὐκ οὖν δεινόν, ὦ γῆ καὶ θεοί,
καὶ πέρα δεινοῦ, τοὺς Ἕλληνα μὲν ἀντὶ βαρβάρου ποιήσαντας, γνώριμον δ' ἀντ' ἀν- 103
δραπόδου, τοσούτων δ' ἀγαθῶν ἡγεμόνα, τούτους περιορᾶν ἐν ταῖς ἐσχάταις ἀπο-
ρίαις ὄντας, ἔχοντα καὶ πλουτοῦντα· καὶ εἰς τοῦθ' ἥκειν ἀναιδείας, ὥστε ἧς παρ' ἡμῶν
τύχης μετέσχε, ταύτης ἡμῖν μὴ τολμᾶν μεταδοῦναι. ἀλλ' αὐτὸς μὲν οὐκ ὤκνησε
τὴν δέσποιναν γῆμαι, καί, ἣ τὰ καταχύσματα αὐτοῦ κατέχεε τόθ', ἡνίκα ἐωνήθη, 104
ταύτῃ συνοικεῖν· οὐδὲ προῖκα πέντε τάλαντα αὑτῷ γράψαι, χωρὶς ὧν οὔσης
τῆς μητρὸς κυρίας, οὗτος ἐγκρατὴς γέγονε πολλῶν χρημάτων· τί γὰρ αὐτὸν οἴεσθε εἰς
τὰς διαθήκας ἐγγράψαι; καὶ τἆλλα, ὅσα ἐστίν, Ἀρχίππῃ δίδωμι. τὰς δ' ἡμετέρας
* περιορᾷ θυγατέρας μενούσας δι' ἔνδειαν ἀνεκδότους οἴκοι γηράσκειν, *περιορᾷ. καὶ εἰ μὲν 105
πένης οὗτος ἦν, ἡμεῖς δ' εὐποροῦντες ἐτυγχάνομεν, καὶ συνέβη τι παθεῖν, οἷα πολ-
λὰ ἐμοί, οἱ παῖδες ἂν οἱ τούτου τὰς ἐμὰς θυγατέρας ἐδικάζοντο, οἱ τοῦ δούλου τὰς
τοῦ δεσπότου· θεῖοι γάρ εἰσιν αὐταῖς, διὰ τὸ τὴν μητέρα τὴν ἐμὴν τοῦτον λαβεῖν.
ἐπειδὴ δὲ ἀπόρως ἡμεῖς ἔχομεν, τηνικαῦτα οὐ συνεκδώσει ταύτας, ἀλλὰ λέγει, 106
καὶ λογίζεται τὸ πλῆθος ὧν ἐγὼ χρημάτων ἔχω. καὶ γὰρ τοῦτο ἀτοπώτατον πάντων.
ὧν μὲν ἀπεστέρηκεν ἡμᾶς χρημάτων, οὐδέ πω καὶ τήμερον ἠθέλησεν ὑποσχεῖν τὸν
λόγον, ἀλλὰ μηδ' εἰσαγωγίμους εἶναι τὰς δίκας παραγράφεται. ἃ δὲ τῶν πατρῴων
ἐνεμόμην ἐγώ, ταῦτα λογίζεται. καὶ τοὺς μὲν ἄλλους ἄν τις ἴδοι τοὺς οἰκέτας ὑπὸ 107
τῶν δεσποτῶν ἐξεταζομένους· οὗτος δ' αὖ τοὐναντίον, δεσπότην ὁ δοῦλος ἐξετάζει,
ὡς δῆτα πονηρόν, καὶ ἄσωτον ἐκ τούτων ἐπιδείξων. ἐγὼ δ', ὦ ἄνδρες Ἀθηναῖοι,
τῆς μὲν ὄψεως τῇ φύσει, καὶ τῷ ταχέως βαδίζειν, καὶ λαλεῖν μέγα, οὐ τῶν εὐτυ-
χῶς πεφυκότων ἐμαυτὸν κρίνω· ἐφ' οἷς γὰρ οὐδὲν ὠφελούμενος λυπῶ τινας, ἔλατ- 108
τον ἔχω πολλαχοῦ. οὐ μέντοι μέτριος κατὰ πάσας τὰς εἰς ἐμαυτὸν δαπάνας εἶναι,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πολὺ τούτου, καὶ τοιούτων ἑτέρων, εὐτακτότερον ζῶν ἂν φανείην. τὰ δ' εἰς τὴν πό-
λιν, καὶ ὅσα εἰς ὑμᾶς, ὡς δύναμαι, λαμπρότατα, καὶ ὥσθ' ὑμεῖς σύνιστε, ποιῶ· οὐ
19 γὰρ ἀγνοῶ τοῦθ', ὅτι τοῖς μὲν γένει πολίταις ὑμῖν ἱκανόν ἐστι λῃτουργεῖν, ὡς οἱ νόμοι
προστάττουσι· τοὺς δὲ ποιητοὺς ἡμᾶς, ὡς ἀποδιδόντας χάριν, οὕτω προσήκει φαί-
νεσθαι λῃτουργοῦντας. μὴ οὖν μοι ταῦτα ὀνείδιζε, ἐφ' οἷς ἐπαίνου τύχοιμ' ἂν δι-
καίως. ἀλλὰ τίνα, ὦ Φορμίων, τῶν πολιτῶν ἑταιρεῖν, ὥσπερ σύ, μεμίσθωμαι; δεῖξον.
10 τίνα τῆς πόλεως, ἧς αὐτὸς ἠξιώθης, καὶ τῆς ἐν αὐτῇ παρρησίας, ἀπεστέρηκα, ὥσπερ
σὺ τοῦτον, ὃν κατῄσχυνας; τίνος γυναῖκα διέφθαρκα, ὥσπερ σύ, πρὸς πολλαῖς ἄλ-
λαις, ταύτην, ᾗ τὸ μνῆμα ᾠκοδόμησεν ὁ θεοῖς ἐχθρὸς οὑτοσί, πλησίον τοῦ τῆς δεσποί-
νης, ἀνηλωκὼς πλέον, ἢ τάλαντα δύο; καὶ οὐκ ᾐσθάνετο ὅτι οὐχὶ τοῦ τάφου μνη-
11 μεῖον ἔσται τὸ οἰκοδόμημα τοιοῦτον ὄν, ἀλλὰ τῆς ἀδικίας, ἧς τὸν ἄνδρα ἠδίκηκεν ἐ-
κείνη διὰ τοῦτον. εἶτα τοιαῦτα ποιῶν, καὶ τηλικαῦτα μαρτύρια ἐξενηνοχὼς τῆς
ὕβρεως τῆς σαυτοῦ, σὺ τὸν ἄλλου βίον ἐξετάζειν τολμᾷς; μεθ' ἡμέραν εἶ σὺ σώφρων,
τὴν δὲ νύκτα ἐφ' οἷς θάνατος ἡ ζημία, ταῦτα ποιεῖς. πονηρός, ὦ ἄνδρες Ἀθηναῖοι,
12 πονηρὸς οὗτος ἄνωθεν ἐκ τοῦ ἀνακείου, καὶ ἄδικος. σημεῖον δέ· εἰ γὰρ ἦν δίκαιος, πέ-
νης ἂν ἦν, τὰ τοῦ δεσπότου διοικήσας. νῦν δὲ τοσούτων χρημάτων τὸ πλῆθος κύριος κα-
ταστάς, ὥστε τοσαῦτα λαθεῖν ἀπ' αὐτῶν κλέψας ὅσα νῦν κέκτηται, οὐκ ὀφείλειν
ταῦτα, ἀλλὰ πατρῷα ἔχειν ἡγεῖται. καίτοι πρὸς θεῶν εἰ κλέπτην σε ἀπῆγον, ὡς
13 ἐπ' αὐτοφώρῳ εἰληφώς, τὴν οὐσίαν ἣν ἔχεις, εἴ πως οἷόν τ' ἦν, ἐπιθεὶς σοι, εἶτά σε
ἠξίουν, εἰ μὴ φῂς ὑφῃρημένος ταῦτ' ἔχειν, ἀναγαγεῖν ὅθεν εἴληφας, εἰς τίνα ἂν αὐτὰ
ἀνήγαγες; οὔτε γὰρ σοὶ πατὴρ παρέδωκεν, οὔθ' εὗρες, οὔτε λαβὼν ποθὲν ἄλλοθεν ἦλ-
θες ὡς ἡμᾶς· βάρβαρος γὰρ ἐωνήθης. εἶθ', ᾧ δημοσίᾳ προσῆκεν ἐπὶ τοῖς εἰργασμέ-
14 νοις τεθνάναι, σὺ τὸ σῶμα σεσωκώς, καὶ πόλιν ἐκ τῶν ἡμετέρων σαυτῷ κτησάμενος,
καὶ παῖδας, ἀδελφοὺς τοῖς ἑαυτοῦ δεσπόταις ἀξιωθεὶς ποιήσασθαι, παρεγράψω
μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην, τῶν ἐγκαλουμένων χρημάτων ὑφ' ἡμῶν; εἶτα κακῶς
ἡμᾶς ἔλεγες; καὶ τὸν ἡμέτερον πατέρα ἐξήταζες, ὅστις ἦν; ἐφ' οἷς τίς οὐκ ἄν, ὦ
15 ἄνδρες Ἀθηναῖοι, χαλεπῶς ἤνεγκεν; ἐγὼ γὰρ εἰ πάντων τῶν ἄλλων ὑμῶν ἔλαττον
προσήκει μοι φρονεῖν, τούτου γε μεῖζον οἶμαι· καὶ τοῦ τοῦ γε εἰ μηδενὸς τῶν ἄλλων
ἔλαττον, ἐμοῦ γε ἔλαττον· ὄντων γὰρ ἡμῶν τοιούτων, ὁποίους τινὰς ἂν καὶ σὺ κατασκευά-
σῃς τῷ λόγῳ, σὺ δοῦλος ἦσθα. τάχα τοίνυν ἂν ἴσως καὶ τοῦτό τις αὐτῶν εἴποι, ὡς
16 ἀδελφὸς ὢν ἐμὸς Πασικλῆς, οὐδὲν ἐγκαλεῖ τῶν αὐτῶν τούτῳ πραγμάτων. ἐγὼ
δ', ὦ ἄνδρες Ἀθηναῖοι, καὶ περὶ Πασικλέους προαιτησάμενος, καὶ δεηθεὶς ὑμῶν συγ-
γνώμην ἔχειν, εἰ προελήλυθα εἰς τοῦτο, ὥστε ὑπὸ τῶν ἐμαυτοῦ δούλων ὑβρισθεὶς
οὐ δύναμαι κατασχεῖν ἃ τέως οὐδὲ τῶν ἄλλων λεγόντων ἀκούειν ἐδόκουν, ἐρῶ καὶ
17 σιωπήσομαι. ἐγὼ γὰρ ὁμομήτριον μὲν ἀδελφὸν ἐμαυτοῦ Πασικλέα νομίζω, ὁμο-
πάτριον γ' οὐκ οἶδα. δέδοικα μέντοι μὴ τῶν Φορμίωνος ἁμαρτημάτων εἰς ἡμᾶς ἀρ-
χὴ Πασικλῆς ᾖ. ὅταν γὰρ τῷ δούλῳ συνδικῇ τὸν ἀδελφὸν ἀτιμῶν, καὶ παραπε-
πτωκὼς θαυμάζῃ τούτους, ὑφ' ὧν αὐτὸν θαυμάζεσθαι προσῆκε, τίν' ἔχει δικαίαν
τοῦθ' ὑποψίαν; ἄνελε οὖν ἐκ μέσου μοι Πασικλέα. καὶ σὸς μὲν υἱὸς ἀντὶ δεσπό-
του καλείσθω, ἐμὸς δὲ ἀντίδικος· βούλεται γάρ, ἀντ' ἀδελφοῦ. ἐγὼ δὲ τούτῳ μὲν χαί-
ρειν λέγω. οὓς δ' ὁ πατὴρ μοι παρέδωκε βοηθοὺς καὶ φίλους, εἰς τούτους ἥκω, εἰς ὑμᾶς,
ὦ ἄνδρες δικασταί. καὶ δέομαι καὶ ἀντιβολῶ καὶ ἱκετεύω, μὴ ὑπερίδητέ με, καὶ τὰς
θυγατέρα

ἀνακείου. Ἀνάκαιον δεσμωτήριον, εἰς ὃ κατετίθεντο τοὺς πονηροὺς δούλους.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θυγατέρας δ' ἐκδοῦναι τοῖς ἐμαυτοῦ δούλοις, καὶ τοῖς τούτου κόλαξιν ἐπίχαρτον γε- 119
νέσθαι. ὁ ἐμὸς ὑμῖν πατὴρ, χιλίας ἔδωκεν ἀσπίδας· καὶ πολλὰ χρήσιμον αὑτὸν
παρεῖχε, καὶ πέντε τριήρεις ἐθελοντὴς ἐπιδοὺς, καὶ παρ' αὑτοῦ πληρώσας, ἐτριη-
ράρχησε τριηραρχίας. καὶ ταῦτα οὐκ ὀφείλειν ὑμᾶς νομίζων χάριν, ὑμῖν ὑπο-
μιμνήσκω· ἡμεῖς γὰρ ὀφείλομεν ὑμῖν· ἀλλ' ἵνα μὴ λάθω τι παθὼν τούτων ἀνά- 120
ξιον· οὐδὲ γὰρ ὑμῖν ἂν γένοιτο καλόν. πολλὰ δ' ἔχων εἰπεῖν περὶ ὧν ὕβρισμαι, οὐχ
ἱκανὸν τὸ ὕδωρ ὁρῶ μοι, ὡς οὖν μάλιστ' ἂν ἅπαντας ὑμᾶς ἡγοῦμαι γνῶναι τὴν
ὑπερβολὴν ὧν ἠδικήμεθ' ἡμεῖς, φράσω. εἰ σκέψαιτο πρὸς ἑαυτὸν ἕκαστος ὑμῶν
ὃν οἴκοι κατέλιπεν οἰκέτην, εἶθ' ὑπὸ τούτου πεπονθόθ' ἑαυτὸν θείη ταῦθ', ἅπερ ἡ- 121
μεῖς ὑπὸ τούτου· μὴ γὰρ εἰ Σύρος, ἢ Μάνης, ἤ τις ἕκαστος ἐκείνων, οὗτος δὲ Φορμίων·
ἀλλὰ τὸ πρᾶγμα τὸ αὐτό· δοῦλοι μὲν ἐκεῖνοι, δοῦλος δ' οὗτος ἦν, δεσπόται δ' ὑ-
μεῖς, δεσπότης δ' ἦν ἐγώ. ἣν τοίνυν ὑμῶν ἂν ἕκαστος δίκην ἀξιώσειε λαβεῖν, ταύ-
την νομίζετε κἀμοὶ προσήκειν νῦν· καὶ τὸν ἀφῃρημένον τοῦ μαρτυρῆσαι τὰ ψευ- 122
δῆ, καὶ ὑπὲρ τῶν νόμων, καὶ ὑπὲρ τῶν ὅρκων, οὓς ὀμωμοκότες δικάζετε, τιμωρή-
σασθε· καὶ παράδειγμα ποιήσατε τοῖς ἄλλοις, μνημονεύοντες πάντα, ὅσα ἀκηκόατε
ἡμῶν· καὶ φυλάττοντες, ἐὰν παράγειν ἐπιχειρῶσιν ὑμᾶς, καὶ πρὸς ἕκαστον ἀπαν-
τῶντες, ἐὰν μὴ φῶσιν ἅπαντα μεμαρτυρηκέναι. τί οὖν ἐν τῷ γραμματείῳ γέ- 123
γραπται; τί οὖν οὐ τότε ἀπειλήφου; τίς οὖν ἡ παρὰ τοῖς ἄρχουσιν ἀντιγραφή; ἐὰν
μεμαρτυρηκέναι τὸν μὲν ἐπιτροπεῦσαι κατὰ διαθήκας, τὸν δ' ἐπιτροπεύσειν, τὸν
δ' ἔχειν· ποίας; ἐν αἷς τί γέγραπται; ταῦτ' ἐρωτᾶτε· ἃ γὰρ οὗτοι μεμαρτυρήκασιν,
οὐδεὶς ἐκείνων προσμεμαρτύρηκεν. ἐὰν δ' ὀδύρωνται, τὸν πεπονθότα ἐλεεινότερον 124
τῶν δωσόντων δίκην ἡγεῖσθε· ταῦτα γὰρ ἂν ποιῆτε, ἐμοί τε βοηθήσετε, καὶ τούτους τῆς
ἄγαν κολακείας ἐπισχήσετε, καὶ αὐτοὶ τὰ εὔορκα ἔσεσθε ἐψηφισμένοι.

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΚΑΤΑ ΣΤΕΦΑΝΟΥ
ψευδομαρτυριῶν δευτέρου λόγου.

Ἐν τούτῳ τῷ λόγῳ καὶ τῶν φθασάντων τινὰ ἐπικατασκευάζεται, καὶ ἕτερα προσεισάγεται, εἰ καὶ παράνομοι αἱ διαθῆκαι.

# ΔΗΜΟΣΘΕΝΟΥΣ ΚΑΤΑ ΣΤΕΦΑΝΟΥ, ΨΕΥΔΟΜΑΡΤΥΡΙΩΝ Β.

ΟΤΙ μὲν οὐκ ἀπορήσειν ἔμελλε Στέφανος οὑτοσὶ ὅ,τι ἀπολογή- 1
σεται περὶ τῆς μαρτυρίας, παράγων τῷ λόγῳ, ὡς οὐ πάντα
μεμαρτύρηκε τὰ ἐν τῷ γραμματείῳ γεγραμμένα, καὶ ἐξα-
πατῶν ἡμᾶς, καὶ αὐτὸς σχεδόν τι ὑπενόουν, ὦ ἄνδρες δικασταί.
°πανοῦργός τε γάρ ἐστι, καὶ οἱ γράφοντες, καὶ οἱ συμβουλεύον- 2
τες ὑπὲρ Φορμίωνος πολλοί. ἅμα τ' εἰκός ἐστι τοὺς ἐγχειροῦν-
τας τὰ ψευδῆ μαρτυρεῖν, καὶ τὴν ἀπολογίαν εὐθέως ὑπὲρ αὑτῶν μηχανᾶσθαι. ὅτι δὲ ἐν
τοσούτῳ λόγῳ οὐδαμοῦ μάρτυρας παρέσχετο ὑμῖν, ὡς ἢ διατιθεμένῳ τῷ πατρὶ
τῷ ἐμῷ παρεγένετό που αὐτὸς ταύτην τὴν διαθήκην, ὥστ' εἰδέναι ταῦτα ὅτι 3
ἀντίγραφά ἐστιν ὧν ὁ πατήρ μου διέθετο, ἢ ἀνοιχθὲν εἶδε τὸ γραμματεῖον, ὅ φασι

°κακοῦργος

διαθέμενον ἐκεῖνον καταλιπεῖν, ταῦτα συμμέμνησθέ μοι. ἀλλὰ μὴν ὁπότε
μεμαρτύρηκεν ἀντίγραφα εἶναι τῆς διαθήκης τῆς Πασίωνος τὰ ἐν τῷ γραμμα-
τείῳ γεγραμμένα, τὰς διαθήκας μὴ ἔχων ἐπιδεῖξαι, μήθ' ὡς ὁ πατὴρ διέθε- τὰς δὲ διαθ
4 το ἡμῶν, μήθ' ὡς αὐτὸς οἶδε παραγενόμενος αὐταῖς διατιθεμένου τοῦ πατρός, πῶς
οὐ περιφανῶς οὗτος ἐξελέγχεται τὰ ψευδῆ μεμαρτυρηκώς; εἰ τοίνυν πρόκλησιν
φησὶν εἶναι, καὶ μὴ μαρτυρίαν, οὐκ ἀληθῆ λέγει· ἅπαντα γὰρ, ὅσα παρέχονται εἰς τὸ
δικαστήριον προκαλούμενοι ἀλλήλοις οἱ ἀντίδικοι, διὰ μαρτυρίας παρέχονται. οὐ
5 γὰρ ἂν εἰδεῖμεν ἡμεῖς εἴτ' ἐστὶν ἀληθῆ, εἴτε ψευδῆ, ἅ φασιν ἑκάτεροι, εἰ μή τις τοὺς
μάρτυρας παρέχοιτο. ὅταν δὲ παραγένηται, τούτοις πιστεύοντες ὑποδίκοις οὖσι, ψη-
φίζεσθε ἐκ τῶν λεγομένων καὶ μαρτυρουμένων, ἃ ἂν ὑμῖν δοκῇ δίκαια εἶναι. βού-
λομαι τοίνυν καὶ τὴν μαρτυρίαν ἐξελέγξαι, ὅτι οὐ πρόκλησίς ἐστι, καὶ ὡς ἔδει μαρ-
6 τυρεῖν αὐτούς, εἴπερ ἐγίγνετο ἡ πρόκλησις, ὡς οὐκ ἐγίγνετο. μαρτυροῦσι παρεῖναι
πρὸς τῷ διαιτητῇ Τισίᾳ, ὅτε προὐκαλεῖτο Φορμίων Ἀπολλόδωρον ἀνοίγειν τὸ
γραμματεῖον, ὃ παρεῖχεν Ἀμφίων ὁ Κηφισοφῶντος κηδεστής, Ἀπολλόδωρος δ' οὐκ ἀμφίας
ἤθελεν ἀνοίγειν. οὕτω μὲν ἂν μαρτυροῦντες, ἐδόκουν ἀληθῆ μαρτυρεῖν. ἀντίγρα-
7 φα δὲ τῆς διαθήκης τῆς Πασίωνος μαρτυρεῖν εἶναι τὰ ἐν τῷ γραμματείῳ, ἃ πα-
ρείχετο Φορμίων, μήτε παραγενομένους ἐκείνῳ διατιθεμένῳ, μήτ' εἰδότας εἰ διέ-
θετο, πῶς οὐ περιφανῶς ἀναισχυντία δοκεῖ ὑμῖν εἶναι; ἀλλὰ μὴν εἰ φησὶ Φορμίω- εἴπερ φησὶ
νος λέγοντος πιστεῦσαι ταῦτ' ἀληθῆ εἶναι, τοῦ αὐτοῦ ἀνδρός ἐστι πιστεύειν τε λέγοντι
8 τούτῳ ταῦτα, καὶ κελεύοντι μαρτυρεῖν. οἱ δέ γε νόμοι, οὐ ταῦτα λέγουσιν, ἀλλ' ἃ εἰδῇ
τις, καὶ οἷς ἂν παραγένηται πραττομένοις, ταῦτα μαρτυρεῖν κελεύουσιν ἐν γραμ-
ματείῳ γεγραμμένα, ἵνα μήτ' ἀφελεῖν ἐξῇ μηδέν, μήτε προσθεῖναι τοῖς γεγραμ-
μένοις. ἀκοὴν δ' οὐκ ἐῶσι ζῶντος μαρτυρεῖν, ἀλλὰ τεθνεῶτος. τῶν δ' ἀδυνά-
9 των καὶ ὑπερορίων, ἐκμαρτυρίαν γεγραμμένην ἐν τῷ γραμματείῳ καὶ ἀπὸ
τῆς αὐτῆς ἐπισκέψεως, τήν τε μαρτυρίαν, καὶ ἐκμαρτυρίαν ἀγωνίζεσθαι ἅ-
μα, ἵν' ἐὰν μὲν ἀναδέχηται ὁ ἐκμαρτυρήσας, ἐκεῖνος ὑπόδικος ᾖ τῶν ψευδομαρ-
τυριῶν· ἐὰν δὲ μὴ ἀναδέχηται, οἱ ἐκμαρτυρήσαντες τὴν ἐκμαρτυρίαν. Στέφα-
10 νος τοίνυν οὑτοσί, οὔτ' εἰδὼς διαθήκας καταλιπόντα τὸν πατέρα ἡμῶν, οὔτε παρα-
γενόμενος πώποτε διατιθεμένῳ τῷ πατρὶ ἡμῶν, ἀκούσας δὲ Φορμίωνος, μεμαρ-
τύρηκεν ἀκοὴν τὰ ψευδῆ τε, καὶ παρὰ τὸν νόμον. καὶ ταῦθ' ὅτι ἀληθῆ λέγω, αὐτὸν
ὑμῖν τὸν νόμον ἀναγνώσεται. Νόμος.

11 Ἀκοὴν εἶναι μαρτυρεῖν τεθνεῶτος· ἐκμαρτυρίαν δὲ ὑπερορίου καὶ ἀδυνά-
του. Ὡς τοίνυν καὶ παρ' ἕτερον νόμον μεμαρτύρηκεν, ἐπιδεῖξαι ὑμῖν βούλομαι, ἵνα
εἰδῆτε, ὅτι μεγάλων ἀδικημάτων οὐκ ἔχων καταφυγὴν ὁ Φορμίων, πρόφασιν λα-
βὼν λόγῳ τὴν πρόκλησιν, ἔργῳ αὐτὸς αὑτῷ μεμαρτύρηκε, προσποιησάμενος τού-
12 τους, δι' ὧν οἱ μὲν δικασταὶ ἐξηπατήθησαν, ὡς ἀληθῆ τούτων μαρτυρούντων· ἐγὼ
δὲ ἀπεστερήθην, ὧν ὁ πατήρ μοι κατέλιπε χρημάτων, καὶ τοῦ δίκην λαβεῖν περὶ ὧν
ἀδικοῦμαι· μαρτυρεῖν γὰρ οἱ νόμοι οὐκ ἐῶσιν αὐτὸν αὑτῷ, οὔτ' ἐπὶ ταῖς γραφαῖς, οὔ-
τ' ἐπὶ ταῖς δίκαις, οὔτ' ἐν ταῖς εὐθύναις. ὁ τοίνυν Φορμίων αὐτὸς αὑτῷ μεμαρτύ-
13 ρηκεν, ὁπότε φασὶν οὗτοι ἀκούσαντες ἐκείνου ταῦτα μεμαρτυρηκέναι. ἵνα δὲ εἰδῆτε
ἀκριβῶς, αὐτὸν τὸν νόμον μοι ἀνάγνωθι. Νόμος.

Τοῖν ἀντιδίκοιν ἐπάναγκες εἶναι ἀποκρίνασθαι ἀλλήλοις τὸ ἐρωτώμενον, μαρ-

τυρεῖν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τυρεῖν δὲ μή. Σκέψασθε τοίνυν τουτονὶ τὸν νόμον, ὃς κελεύει ὑπόδικον εἶναι τῶν
ψευδομαρτυριῶν, καὶ καθ' αὐτὸ τοῦτο, ὅτι μαρτυρεῖ παρὰ τὸν νόμον. 14

Νόμος.

Ἔστω δὲ καὶ ὑπόδικος τῶν ψευδομαρτυριῶν, ὁ μαρτυρήσας αὐτοῦ τούτου, ὅτι
μαρτυρεῖ παρὰ τὸν νόμον· καὶ ὁ παραβαλλόμενος κατὰ ταῦτα. Ἔτι τοίνυν κἀκ τοῦ
γραμματείου γνοίη τις, ἐν ᾧ ἡ μαρτυρία γέγραπται, ὅτι τὰ ψευδῆ μεμαρτύρηκε. 15
λελευκωμένον τε γάρ ἐστι, καὶ οἴκοθεν κατεσκευασμένον. καίτοι τοὺς μὲν τὰ πε-
πραγμένα μαρτυροῦντας, προσήκει οἴκοθεν τὰς μαρτυρίας κατεσκευασμένας
μαρτυρεῖν· τοὺς δὲ τὰς προκλήσεις μαρτυροῦντας τοὺς ἀπὸ ταὐτομάτου προ-
στάντας, καὶ ἐν μάλθῃ γεγραμμένοις τὴν μαρτυρίαν· ἵνα εἴ τι προσγράψαι, ἢ 16
ἀπαλεῖψαι βούληται, ῥᾴδιον ᾖ. οὐκοῦν κατὰ μὲν ταῦτα πάντα ἐξελέγχεται τὰ
ψευδῆ μεμαρτυρηκώς, καὶ παρὰ τὸν νόμον. βούλομαι δὴ ὑμῖν καὶ αὐτὸ τοῦτο ἐπι-
δεῖξαι, ὡς οὔτε διέθετο ὁ πατὴρ ἡμῶν διαθήκην οὐδεμίαν, οὔθ' οἱ νόμοι ἐῶσιν. εἰ
*ἀποκρίναισθε γάρ τις ἔροιτο ὑμᾶς καθ' ὁποίους νόμους δεῖ πολιτεύεσθαι ἡμᾶς, δῆλον ὅτι ἀπο- 17
κρίνεσθ' ἂν κατὰ τοὺς κειμένους. ἀλλὰ μὴν οἵ γε νόμοι ἀπαγορεύουσι, μηδὲ νόμον
ἐπ' ἀνδρὶ ἐξεῖναι θεῖναι, ἂν μὴ τὸν αὐτὸν ἐφ' ἅπασιν Ἀθηναίοις. οὐκοῦν ὁ μὲν νόμος
οὑτοσί, τοῖς αὐτοῖς νόμοις πολιτεύεσθαι ἡμᾶς κελεύει, καὶ οὐκ ἄλλοις. ὁ δὲ πατὴρ ἐ-
τελεύτησεν ἐπὶ Δυσνικήτου ἄρχοντος. ὁ δὲ Φορμίων Ἀθηναῖος ἐγένετο, ἐπὶ Νικοδή- 18
μου ἄρχοντος, δεκάτῳ ἔτει ὕστερον, ἢ ὁ πατὴρ ἡμῶν ἀπέθανε. πῶς ἂν οὖν μὴ εἰ-
δὼς ὁ πατὴρ αὐτὸν Ἀθηναῖον ἐσόμενον, ἔδωκεν ἂν τὴν ἑαυτοῦ γυναῖκα, καὶ πε-
ριεπηλάκισε μὲν ἂν ἡμᾶς, κατεφρόνησε δ' ἂν τῆς δωρεᾶς, ἧς παρ' ὑμῶν ἔλαβε,
παρέβη δ' ἂν καὶ τοὺς νόμους; πότερα δὲ κάλλιον ἦν αὐτῷ, ζῶντι πρᾶξαι ταῦ- 19
τα, εἴπερ ἠβούλετο, ἢ ἀποθανόντα, διαθήκας καταλιπεῖν, ἃς οὐ κύριος ἦν; ἀλλὰ
μὴν αὐτῶν τῶν νόμων ἀκούσαντες, γνώσεσθε ὡς οὐ κύριος ἦν διαθέσθαι. λέγε τὸν
νόμον.

Νόμος.

Ὅσοι μὴ ἐπεποίηντο, ὥστε μήτε ἀπειπεῖν, μήτ' ἐπιδικάσασθαι, ὅτε Σόλων εἰ- 20
σῄει τὴν ἀρχήν, τὰ ἑαυτοῦ διαθέσθαι εἶναι, ὅπως ἂν ἐθέλῃ, ἂν μὴ παῖδες ὦσι
γνήσιοι ἄρρενες, ἂν μὴ μανιῶν, ἢ γήρως, ἢ φαρμάκων, ἢ νόσου ἕνεκεν, ἢ γυναικὶ
*που πειθόμενος ὑπὸ τούτων* τοῦ παρανομῶν, ἢ ὑπ' ἀνάγκης, ἢ ὑπὸ δεσμοῦ* κα-
*καταληφθείς. ταληφθείς. Τοῦ μὲν νόμου τοίνυν ἀκηκόατε, ὃς οὐκ ἐᾷ διαθήκας διαθέσθαι, 21
ἐὰν παῖδες ὦσι γνήσιοι. οὗτοι δὲ φασι ταῦτα διαθέσθαι τὸν πατέρα. ὡς δὲ παρε-
γένετο, οὐκ ἔχουσιν ἐπιδεῖξαι. ἄξιον δὲ καὶ τοῦτο ἐνθυμηθῆναι, ὅτι ὅσοι μὴ ἐπε-
ποίηντο, ἀλλ' ἦσαν πεφυκότες γνήσιοι, τούτοις ὁ νόμος δίδωσιν, ἐὰν ἄπαιδες ὦσι,
διαθέσθαι τὰ ἑαυτῶν. ὁ τοίνυν πατὴρ ἡμῶν ἐπεποίητο ὑπὸ τοῦ δήμου πολίτης. 22
ὥστε οὐδὲ κατὰ τοῦτο ἐξῆν αὐτῷ διαθέσθαι διαθήκην· ἄλλως τε καὶ περὶ τῆς γυναι-
κός, ἧς οὔτε κύριος ἐκ τῶν νόμων ἦν, παῖδές τε ἦσαν αὐτῷ. σκέψασθε δέ, καὶ διότι
οὐδ' ἂν ἄπαις τις ᾖ, κύριός ἐστι τῶν τὰ αὑτοῦ διαθέσθαι, ἐὰν μὴ εὖ φρονῇ· νοσοῦν-
*φαρμακοῦντα, τα δέ, ἢ *φαρμακῶντα, ἢ γυναικὶ πειθόμενον, ἢ ὑπὸ γήρως, ἢ ὑπὸ μανιῶν, ἢ ὑπὸ
ἀνάγκης τινὸς καταληφθέντα, ἄκυρον κελεύουσιν εἶναι οἱ νόμοι. σκοπεῖτε δὲ εἰ δοκοῦ-
*διαθῆκαι, σιν ὑμῖν εὖ φρονοῦντος ἀνδρὸς εἶναι *διαθῆκας, ἅς φασι διαθέσθαι οὗτοι τὸν πατέρα.
μὴ πρὸς ἄλλο δὲ παράδειγμα σκέψησθε, ἢ πρὸς τὴν μίσθωσιν, εἰ δοκεῖ ὑμῖν ἀ-
*ἡμῖν κόλουθον εἶναι τῷ τὴν τέχνην μὴ ἐξουσίαν δοῦναι ἐν τῷ αὐτῷ *ὑμῖν ἐργάζεσθαι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τούτῳ τὴν γυναῖκα δοῦναι τὴν ἑαυτοῦ, καὶ τῶν παίδων ἐᾶσαι κοινωνὸν αὐτὸν γενέ-
σθαι. καὶ μὴ θαυμάζετε εἰ τἄλλα σκευωρούμενοι αὐτοὶ τὰ ἐν τῇ μισθώσει, τοῦ-
το παρέλαθον· ἴσως μὲν γὰρ οὐδὲ προσεῖχον ἄλλῳ οὐδενί, ἢ πῶς τὰ χρήματα ἀπο-
25 στερήσαι, καὶ πῶς προσοφείλοντα τὸν πατέρα ἐγγράψαι. εἶτα οὐδὲν ἐδόκει μ' ἐμὲ
οὕτω δεινὸν ἔσεσθαι, ὥστε ταῦτα ἀκριβῶς ἐξετάσαι. σκέψασθε τοίνυν καὶ τοὺς νό-
μους, παρ' ὧν κελεύουσι τὰς ἐγγύας ποιεῖσθαι· ἵν' εἰδῆτε καὶ ἐκ τούτων, ὡς κατε-
σκευασμένης διαθήκης, ψευδὴς μάρτυς γέγονε Στέφανος οὑτοσί. λέγε.

26 Νόμος.

Ἣν ἂν ἐγγυήσῃ ἐπὶ δικαίοις δάμαρτα εἶναι, ἢ πατήρ, ἢ ἀδελφὸς ὁμοπάτωρ, ἢ
πάππος ὁ πρὸς πατρός, ἐκ ταύτης εἶναι παῖδας γνησίους. ἐὰν δὲ μηδεὶς ᾖ τούτων,
ἐὰν μὲν ἐπίκληρός τις ᾖ, τὸν κύριον ἔχειν. ἐὰν δὲ μὴ ᾖ, ὅτῳ ἂν ἐπιτρέψῃ, τοῦτον
27 κύριον εἶναι. Οὗτος μὲν τοίνυν ὁ νόμος οὓς ἐποίησε κυρίους εἶναι, ἀκηκόατε.
ὅτι δ' οὐδεὶς ἦν τούτων τῇ μητρί, οἱ ἀντίδικοί μοι αὐτοὶ μεμαρτυρήκασιν. εἰ γὰρ
ἦν, παρείχοντ' ἂν· ἢ μάρτυρας μὲν ψευδεῖς οἴεσθ' ἂν παρασχέσθαι καὶ διαθή-
κας οὐκ οὔσας, ἀδελφὸν δέ, ἢ πάππον, ἢ πατέρα οὐκ ἄν, εἴπερ ἦν δυνατόν, ἕνεκα
28 χρημάτων; ὁπότε τοίνυν μηδεὶς φαίνεται ζῶν τούτων, ὅτε ἀνάγκη ἐπίκληρον τὴν
μητέρα ἡμῶν εἶναι. τῆς τοίνυν ἐπικλήρου, σκοπεῖτε τίνας κελεύουσιν οἱ νόμοι κυρίους
εἶναι. λέγε τὸν νόμον.

Νόμος.

Καὶ ἐὰν ἐξ ἐπικλήρου τις γένηται, καὶ ἅμα ἡβήσῃ, ἐπὶ δίετες κρατεῖν τῶν χρη-
29 μάτων· τὸν δὲ σῖτον μετρεῖν τῇ μητρί. Οὐκοῦν ὁ μὲν νόμος κελεύει τοὺς παῖ-
δας ἡβήσαντας, κυρίους τῆς μητρὸς εἶναι· τὸν δὲ σῖτον μετρεῖν τῇ μητρί· ἐγὼ δὲ φαί-
νομαι στρατευόμενος, καὶ τριηραρχῶν ὑμῖν, ὅτε οὗτος συνῴκησε τῇ μητρί. ἀλλ' ἀ-
μέλει ὅτι ἐγὼ μὲν ἀπεδήμουν τριηραρχῶν, τετελευτήκει δ' ὁ πατὴρ πάλαι, ὅτε οὗ-
30 τος ἔγημε, τὰς δὲ θεραπαίνας αὐτὸν ἐξῄτουν, καὶ ἠξίουν περὶ αὐτοῦ τούτου βασανί-
ζεσθαι αὐτάς, εἰ ταῦτ' ἀληθῆ ἐστί, καὶ ὡς προσεκαλούμην, λάβε μοι τὴν μαρτυρίαν.

Μαρτυρία.

Μαρτυροῦσι παρεῖναι ὅτε προὐκαλεῖτο Ἀπολλόδωρος Φορμίωνα, ὅτε ἠξίου ἐκ-
31 δοῦναι Ἀπολλόδωρος Φορμίωνα τὰς θεραπαίνας εἰς βάσανον, εἰ μή φησι Φορμίων
καὶ πρότερον διεφθαρκέναι τὴν μητέρα τὴν ἐμήν, πρὶν ἢ ἀποφαίνει Φορμίων
γῆμαι, ἐγγυησάμενος αὐτὴν παρὰ Πασίωνος. Ταῦτα δὲ προσκαλουμένου Ἀπολ-
λοδώρου οὐκ ἠθέλησε Φορμίων παραδοῦναι τὰς θεραπαίνας. Τὸν τοίνυν νό-
32 μον ἐπὶ τούτοις ἀνάγνωθι, ὃς κελεύει ἐπιδικασίμους εἶναι τῶν ἐπικλήρων ἁπασῶν, καὶ καὶ ξένων, καὶ ἀστῶν
ξένων ἀστῶν. καὶ περὶ μὲν τῶν πολιτῶν, τὸν ἄρχοντα εἰσάγειν καὶ ἐπιμελεῖσθαι, πε-
ρὶ δὲ τῶν μετοίκων, τὸν πολέμαρχον· καὶ ἀνεπίδικον μὴ ἐξεῖναι ἔχειν, μήτε κλῆρον,
μήτε ἐπίκληρον.

Νόμος.

33 Κληροῦν δὲ τὸν κλῆρον, καὶ ἐπικλήρων, ὅσοι εἰσὶ μῆνες, πλὴν τοῦ Σκιροφο- ἐπικληρουσῶν
ριῶνος. ἐπίδικον δὲ κλῆρον μὴ ἔχειν. Οὐκοῦν αὐτόν, εἴπερ ἐβούλετο ὀρθῶς δια-
πράττεσθαι, λαχεῖν ἔδει τῆς ἐπικλήρου, εἴτε κατὰ δόσιν αὐτῷ προσῆκεν, εἴτε κατὰ
γένος· εἰ μὲν ὡς ὑπὲρ αὐτῆς, πρὸς τὸν ἄρχοντα· εἰ δὲ ὑπὲρ ξένης, πρὸς τὸν πο-
34 λέμαρχον. καὶ τότε, εἴπερ τι λέγειν εἶχε δίκαιον, πείσαντα ὑμῶν τοὺς λαχόντας, μετὰ
τῶν νόμων καὶ τῆς ψήφου κύριον εἶναι· καὶ μὴ αὐτὸν αὐτῷ νόμους ἰδίους θέμενον δια-
πράξασθαι ἃ ἐβούλετο. σκέψασθε δὲ καὶ τονδὶ τὸν νόμον, ὃς κελεύει τὴν διαθήκην,

ἣν ἂν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ποιῆται τὴν δ' ἂν παίδων ὄντων γνησίων ὁ πατὴρ διάθηται, ἐὰν ἀποθάνωσιν οἱ παῖδες πρὶν ἡβῆσαι, κυρίαν εἶναι. 35

## Νόμος.

διαθῆται Ο, τι ἂν γνησίων ὄντων υἱῶν ὁ πατὴρ διάθηται, ἐὰν ἀποθάνωσιν οἱ υἱεῖς πρὶν ἐπὶ δίετες ἡβᾶν, τὴν τοῦ πατρὸς διαθήκην κυρίαν εἶναι. Οὐκοῦν ὁπότε ζῶσιν, ἄκυρος μὲν ἡ διαθήκη ἐστὶν, ἣν φασιν οὗτοι τὸν πατέρα καταλιπεῖν. παρὰ πάντας 36 δὲ τοὺς νόμους μεμαρτύρηκε στέφανος οὑτοσὶ τὰ ψευδῆ, ὡς ἀντίγραφά ἐστι τῆς διαθήκης τῆς πασίωνος· πῶς γὰρ σὺ οἶσθα; καὶ ποῦ παραγενόμενος διατιθεμένῳ τῷ πατρί; κακοτεχνῶν δὲ φαίνῃ περὶ τὰς διαθήκας, τὰ ψευδῆ μὲν αὐτὸς μαρτυρῶν ἑτοίμως· κλέπτων δὲ τὰς ἀληθεῖς μαρτυρίας, ἐξαπατῶν δὲ τοὺς δικαστάς. συνιστά- 37 μενος δ' ἐπὶ ταῖς δίκαις. οἱ δὲ νόμοι καὶ περὶ τῶν τοιούτων γραφὴν πεποιήκασι. Καί μοι ἀνάγνωθι τὸν νόμον.

## Νόμος.

Εαν τις συνίστηται, ἢ συνδικάζῃ τὴν ἡλιαίαν, ἢ τῶν δικαστηρίων τι τῶν ἀθη- 38 νῆσιν, ἢ τὴν βουλὴν ἐπὶ δωροδοκίᾳ χρήματα διδοὺς ἢ δεχόμενος, ἢ ἑταιρείαν συνίστη ἐπὶ καταλύσει τοῦ δήμου, ἢ συνήγορος ὢν λαμβάνῃ τὰ χρήματα ἐπὶ ταῖς δίκαις ταῖς ἰδίαις, ἢ δημοσίαις, τούτων εἶναι τὰς γραφὰς πρὸς τοὺς θεσμοθέτας.

διδοὺς ἢ δεχόμενος

Ηδέως ἂν τοίνυν ὑμᾶς ἐροίμην ἐπὶ τούτοις ἅπασι, κατὰ ποίους νόμους ὀμωμοκότες 39 δικάζετε, πότερα κατὰ τοὺς τῆς πόλεως, ἢ καθ' οὓς φορμίων αὑτῷ νομοθετεῖ. ἐγὼ μὲν τοίνυν τούτους παρέχομαι ὑμῖν, καὶ ἐξελέγχω αὐτοὺς ἀμφοτέρους παραβεβηκότας· φορμίωνα μὲν ἐξ ἀρχῆς ἀδικήσαντα ἡμᾶς, καὶ ἀποστερήσαντα τὰ χρήματα, ἃ ὁ πατὴρ ἡμῖν κατέλιπε, καὶ ἐμίσθωσε τούτῳ, μετὰ τῆς τραπέζης καὶ τοῦ ἐργαστη- 40 ρίου· στέφανον δὲ τουτονὶ τὰ ψευδῆ μεμαρτυρηκότα, καὶ παρὰ τὸν νόμον. ἄξιον

διαθηκῶν τοίνυν, ὦ ἄνδρες δικασταὶ, καὶ τόδε ἐνθυμηθῆναι, ὅτι διαθήκας οὐδεὶς πώποτε ἀντίγραφα ἐποιήσατο· ἀλλὰ συγγραφὰς μὲν, ἵνα εἰδῶσι, καὶ μὴ παραβαίνωσι· διαθηκῶν δὲ οὔ. τούτου γὰρ ἕνεκα καταλείπουσιν οἱ διατιθέμενοι, ἵνα μηδεὶς εἰδῇ 41 ἃ διατίθενται. πῶς οὖν ὑμεῖς ἴστε ὅτι ἀντίγραφά ἐστι τῶν διαθηκῶν τῶν πασίωνος, τὰ ἐν τῷ γραμματείῳ γεγραμμένα; δέομαι δ' ὑμῶν ἁπάντων, ὦ ἄνδρες δικασταὶ, καὶ ἱκετεύω, βοηθῆσαι μὲν ἐμοὶ, τιμωρήσασθαι δὲ τοὺς ἑτοίμως οὕτω τὰ ψευδῆ μαρτυροῦντας, ὑπέρ τε ὑμῶν αὐτῶν, καὶ ἐμοῦ, καὶ τοῦ δικαίου, καὶ τῶν νόμων.

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΚΑΤΑ ΕΥΕΡΓΟΥ ΚΑΙ μνησιβούλου ψευδομαρτυριῶν λόγου.

Επειγομένων ἀθηναίων εἰς στρατείαν ναυτικὴν, ἃ ἔδει σκεύη τριηραρχικά. καὶ γράφεται ψήφισμα κατὰ τάχος, εἰσπράττειν τοὺς ὀφείλοντας σκεύη τριηραρχικὰ τῇ πόλει. οὗτοι δὲ ἦσαν τῶν τετριηραρχηκότων τινές. ἄλλος μὲν οὖν ἄλλους εἰσπράττειν ἔλαχεν· ὁ δὲ νῦν τὸν λόγον λέγων, θεόφημον καὶ δημοχάρην. ἀγνωμονοῦσι δὲ αὐτοῖς δίκην ἔλαχε, καὶ εἷλε. καὶ ὁ μὲν δημοχάρης ἀποδέδωκεν, ὁ δὲ θεόφημος ἔτι μεθοδευόμενος ἦν. ψηφισαμένης δὲ τῆς βουλῆς ὅτῳ τις ἂν δύνηται τρόπῳ, τοὺς ὀφείλοντας εἰσπράττειν, ἧκεν ἐπὶ τὴν οἰκίαν τοῦ θεοφήμου ὁ νῦν δικαζόμενος. ἐκ δὲ ἀψιμαχίας ἀλλήλοις ἐνέπεσον καὶ αἰκίας, καὶ κατ' ἀλλήλων δίκας ἀπήνεγκαν, ἑκάτερος φάσκων τὸν ἕτερον ἄρξαι τῶν πληγῶν· τοῦτο γὰρ ἦν ἡ αἰκία. πρότερος οὖν εἰσελθὼν ὁ θεόφημος, παρέσχετο μάρτυρας. εὔεργόν, καὶ μνησίβουλον· τὸν μὲν, ἀδελφὸν ὄντα ἑαυτοῦ· τὸν δὲ, κηδεστήν. οἱ δὲ ἐμαρτύρησαν ὅτι θεόφημος μὲν ἐβούλετο παραδοῦναι τὴν ἄνθρωπον εἰς βάσανον τὴν παροῦσαν τῇ μάχῃ, ἵν' εἴπῃ βασανιζομένη, πότερος ἦρξατο τῶν πληγῶν· τοῦτο δὲ προσκαλουμένου τοῦ θεοφήμου, καὶ παραδιδόντος τὴν θεράπαιναν, οὐκ ἐδέξατο. τέλος, οἱ μὲν δικασταὶ τῇ μαρτυρίᾳ πεισθέντες, ὑπὲρ θεοφήμου τὴν ψῆφον ἔθεντο· ὁ δὲ ἡττηθεὶς, τοῖς μάρτυσιν, ὡς ἐψευσμένοις, δικάζεται.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΔΗΜΟΣΘΕΝΟΥΣ ΚΑΤΑ ΕΥΕΡΓΟΥ ΚΑΙ ΜΝΗΣΙΒΟΥΛΟΥ ΨΕΥΔΟΜΑΡΤΥΡΙΩΝ ΛΟΓΟΣ.

1 ΚΑΛΩΣ μοι δοκοῦσιν οἱ νόμοι ἔχειν, ὦ ἄνδρες δικασταί, ὑ-
πόλοιπον ἀγῶνα ἀποδιδόντες ταῖς δίκαις τῶν ψευδομαρτυριῶν
ἵνα, εἴ τις μάρτυρας τὰ ψευδῆ μαρτυροῦντας παρασχόμενος
ἢ προκλήσεις μὴ γενομένας, ἢ μαρτυρίας παρὰ τὸν νόμον
2 μαρτυρηθείσας, ἐξηπάτησε τοὺς δικαστάς, μηδὲν αὐτῷ πλέον
γένηται· ἀλλ' ἐπισκηψάμενος ταῖς μαρτυρίαις ὁ ἀδικηθεὶς, καὶ εἰσελθὼν ὡς ὑμᾶς,
καὶ ἐπιδείξας περὶ τοῦ πράγματος τοὺς μάρτυρας τὰ ψευδῆ μεμαρτυρηκότας,
παρά τε τούτων δίκην λάβῃ, καὶ τὸν παρασχόμενον ὑπόδικον ἔχῃ τῶν κακοτεχνιῶν.
3 καὶ διὰ τοῦτο τῷ μὲν διώκοντι ἐλάττω ἐποίησαν τὰ ἐπιτίμια ἐὰν ἡττηθῇ· ἵνα μὴ
διὰ τὸ πλῆθος ἀποτρέποιτο διώκειν τοὺς μάρτυρας τῶν ψευδομαρτυριῶν, ὁ ἀδι-
κούμενος· τῷ δὲ φεύγοντι μεγάλας ἐπέθηκαν τιμωρίας, ἐὰν ἁλῷ, καὶ δοκῇ ὑμῖν τὰ
ψευδῆ μεμαρτυρηκέναι. καὶ δικαίως, ὦ ἄνδρες δικασταί· ὑμεῖς γὰρ εἰς τοὺς μάρτυρας
4 βλέψαντες, καὶ πιστεύσαντες, οἷς ἂν οὗτοι μαρτυρήσωσι, ψηφίζεσθε. ἵνα οὖν μήθ' ὑ-
μεῖς ἐξαπατᾶσθε, μήθ' οἱ εἰσιόντες εἰς ὑμᾶς ἀδικῶνται, διὰ ταῦτα αὐτοὺς ὑπο-
δίκους ἐποίησεν ὁ νομοθέτης. δέομαι δὲ ὑμῶν κἀγὼ μετ' εὐνοίας μου ἀκροάσασθαι
περὶ τοῦ πράγματος ἐξ ἀρχῆς ἅπαντα, ἵνα ἐκ τούτων εἰδῆτε ὅσα ἐγώ τε ἠδι-
κήθην, καὶ ἐξηπατήθησαν οἱ δικασταί, καὶ οὗτοι τὰ ψευδῆ ἐμαρτύρησαν. μάλιστα μὲν
οὖν ἂν ἠβουλόμην μὴ ἔχειν τὰ πράγματα· εἰ δ' οὖν ἀναγκάζοι τις, πρὸς τού-
τους ἡδύ ἐστιν εἰσιέναι, εἰ μὴ ἀγνῶτές εἰσιν ὑμῖν. νῦν δὲ πλείων μοι λόγος ἔσται ἐξ- οἱ μὴ
ελέγχοντι τὸν τρόπον αὐτῶν, ἢ τὴν μαρτυρίαν ψευδῆ οὖσαν. περὶ μὲν γὰρ τῆς μαρ-
6 τυρίας ὅτι ψευδῆ μεμαρτυρήκασιν, αὐτοί μοι δοκοῦσιν ἔργῳ ἐξελέγχειν αὐτήν· καὶ
οὐκ ἄλλους με δεῖ μάρτυρας παρασχέσθαι, ἢ αὐτοὺς τούτους· ἐξὸν γὰρ νῦν αὐτοὺς ἀπηλ- αὐτοῖς
λάχθαι πραγμάτων, καὶ μὴ κινδυνεύειν εἰσιόντας εἰς ὑμᾶς, ἔργῳ βεβαιώσαντας
ὡς ἀληθής ἐστιν ἡ μαρτυρία, οὐκ ἐθελήκασι παραδοῦναι τὴν ἄνθρωπον, ἣν με- ἠθελήκασι
7 μαρτυρήκασι προσκαλέσασθαι πρὸς τῷ διαιτητῇ Πυθοδώρῳ ἐκ κηδῶν παρα-
διδόναι ἕτοιμον εἶναι Θεόφημον. ἠξίουν δ' ἐγὼ παραλαμβάνειν, ὡς οἱ μάρτυρες ὑμῖν
οἱ τότε παραγενόμενοι ἐμαρτύρησαν ἐν τῷ δικαστηρίῳ, καὶ νῦν δὲ μαρτυρήσουσι. καὶ
Θεόφημος αὐτοῖς, ὡς ἀληθῆ μεμαρτυρηκόσιν, οὐκ ἐπεσκήψατο, οὐδ' ἐπεξέρχεται
8 τῶν ψευδομαρτυριῶν. σχεδὸν οὖν τι καὶ αὐτοί μοι ὁμολογοῦσιν ἐν τῇ μαρτυρίᾳ, ἐ-
θέλειν με παραλαμβάνειν τὴν ἄνθρωπον· Θεόφημον δὲ ἀναβάλλεσθαι κελεύειν, ἐμὲ
δὲ οὐκ ἐθέλειν. ἣν δ' ἐγὼ μὲν ἠξίωσα παραλαμβάνειν, Θεόφημος δὲ προὐκαλέ-
σατο παραδοῦναι, ὥς οὗτοί φασι· τὸ δὲ σῶμα οὐδεὶς οἶδε πρότερον οὐδὲ τότε πρὸς τῷ
διαιτητῇ, οὔτε πρὸς τῷ δικαστηρίῳ ὕστερον, οὔτ' ἄλλοθι οὐδαμοῦ παραδιδόμενον, ἐ- οὐδὲ
9 μαρτύρησαν οἱ μάρτυρες οὗτοι, ὡς ἐθέλοι παραδοῦναι Θεόφημος, καὶ πρόκλησιν
προκαλοῖτο, ᾠήθησαν ἂν οἱ δικασταί, ἀληθῆ εἶναι τὴν μαρτυρίαν· φεύγειν δέ με τὸν ἔλεγ-
χον ἐκ τοῦ ἀνθρώπου περὶ τῆς αἰκίας, ὁπότερος ἡμῶν ἦρξε χειρῶν ἀδίκων· τοῦτο γάρ οἰκίας
ἐστιν ἡ αἰκία. πῶς οὖν οὐκ ἀναγκαῖόν ἐστι τούτους τοὺς μάρτυρας τὰ ψευδῆ μεμαρτυ-
10 ρηκέναι, οἵ γε οὐδὲ νῦν πω τολμῶσι τὸ σῶμα τοῦ ἀνθρώπου παραδοῦναι, καθὰ ἔφασαν
προκαλέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

προσκαλέσασθαι τὸν Θεόφημον, καὶ ἐμαρτύρησαν αὐτῷ· καὶ τὴν μὲν μαρτυρίαν
ἔργῳ βεβαιοῦσθαι, ὡς ἀληθής ἐστι, καὶ τοὺς μάρτυρας ἀπηλλάχθαι τοῦ ἀγῶνος, παρα-
δόντος τὸ σῶμα τῆς ἀνθρώπου· τὴν δ' ἄνθρωπον περὶ τῆς αἰκίας βασανίζεσθαι, 11
ἐφ' ᾗ ἐγὼ διώκω δίκῃ τὸν Θεόφημον, ἐπειδὴ τότε οὐ παρέχει, καὶ τὸν ἔλεγχον ἐξ ὧν ὁ
Θεόφημος ἔλεγε τότε ἐξαπατῶν τοὺς δικαστάς, ἐκ τούτων γίγνεσθαι; ἔφη γὰρ ἐν
τῇ δίκῃ τῆς αἰκίας, τοὺς μὲν μάρτυρας τοὺς παραγινομένους, καὶ μαρτυρήσαντας τὰ
γενόμενα, ἐν γραμματείῳ κατὰ τὸν νόμον, ψευδεῖς εἶναι, καὶ ὑπ' ἐμοῦ παρεσκευα- 12
σμένους· τὴν δ' ἄνθρωπον τὴν παραγινομένην ἐρεῖν τἀληθῆ, οὐκ ἐκ γραμμα-
τείου μαρτυροῦσαν, ἀλλ' ἐκ τῆς ἰσχυροτάτης μαρτυρίας βασανιζομένην, ὁπότερος
ἦρξε χειρῶν ἀδίκων· ἃ δὲ τῷ λόγῳ τότε καταψευδόμενος, καὶ μάρτυρας παρεχόμε-
νος τούτων, ἐξηπάτα τοὺς δικαστάς, νῦν ἐξελέγχεται ψευδῆ ὄντα. τὸ γὰρ σῶμα τῆς 13
ἀνθρώπου οὐ τολμᾷ παραδοῦναι, ἀλλὰ μᾶλλον προῄρηται τὸν ἀδελφὸν καὶ τὸν
κηδεστὴν ψευδομαρτυριῶν ἀγωνίζεσθαι, ἢ παραδοῦναι τὸ σῶμα τῆς ἀνθρώπου,
καὶ δικαίως ἀπηλλάχθαι, καὶ μὴ διὰ λόγων, καὶ δεήσεως, ἐὰν δύνωνται ἐξαπατή-
σαντες ὑμᾶς ἀποφεύγειν, πολλάκις ἐμοῦ προσκαλεσαμένου, καὶ ἐξαιτήσαντος τὴν 14
*καὶ ὡς ἐξέτεινον ἄνθρωπον, καὶ τότε ἀξιοῦντος παραλαμβάνειν, καὶ μετὰ τὴν δίκην· καὶ ὅτε ἐξέ-
τεινον αὐτοῖς, καὶ ἐφ' ᾗ ἐγὼ δίκῃ τὸν Θεόφημον διώκω τῆς αἰκίας, καὶ ἐπὶ τῇ ἀνακρί-
σει τῆς ψευδομαρτυριῶν· καὶ τούτων οὐ προσιεμένων, ἀλλὰ λόγῳ μὲν μαρτυρούν-
των τὰ ψευδῆ, ἔργῳ δὲ οὐ παραδιδόντων τὴν ἄνθρωπον. εὖ γὰρ ᾔδεσαν ὅτι βα- 15
σανιζομένης αὐτῆς, ἐξελεγχθήσονται ἀδικοῦντες, οὐκ ἀδικούμενοι. ὡς δὲ ταῦτα
ἀληθῆ λέγω, τούτων ὑμῖν ἀναγνώσεται τὰς μαρτυρίας.

Μαρτυρίαι.

Ὅτι μὲν τοίνυν πολλάκις προσκαλεσαμένῳ, καὶ ἀξιοῦντι παραλαβεῖν τὴν 16
ἄνθρωπον οὐδεὶς παρεδίδου, μεμαρτύρηται ὑμῖν. ἵνα δὲ καὶ ἐκ τεκμηρίων εἰδῆ-
τε ὅτι ψευδῆ μεμαρτυρήκασι, δηλώσω ὑμῖν· οὗτοι γάρ, εἴπερ ἀληθῆ ἦν ἅ φασι
προσκαλέσασθαι τὸν Θεόφημον, καὶ παραδιδόναι τὸ σῶμα τῆς ἀνθρώπου, οὐχ
ἂν δήπου δύο μόνους μάρτυρας ἐποιήσαντο, κηδεστὴν καὶ ἀδελφὸν τἀληθῆ μαρτυ- 17
ρήσοντας, ἀλλὰ καὶ ἄλλους ἂν πολλούς· ἡ μὲν γὰρ δίαιτα, ἐν τῇ Ἡλιαίᾳ ἦν· οἱ γὰρ τὴν
Οἰνηΐδα, καὶ τὴν Ἐρεχθηΐδα διαιτῶντες, ἐνταῦθα κάθηνται. τῶν δὲ τοιούτων προσκλή-
σεων, ὅταν τις τὸ σῶμα παραδιδῷ κομίσας, πολλοὶ προσίστανται ἐπακούοντες τῶν
λεγομένων. ὥστε οὐκ ἂν ἠπόρησαν μαρτύρων, εἴπερ καὶ ὁπωστιοῦν ἀληθὴς ἦν 18
ἡ μαρτυρία. μεμαρτυρήκασι τοίνυν, ὦ ἄνδρες δικασταί, ἐν τῇ αὐτῇ μαρτυρίᾳ,
ὡς ἐγὼ οὐκ ἐθέλοιμι ἀναβαλέσθαι. ὁ δὲ Θεόφημος κελεύοι, ἵνα μοι παραδοίη
τὴν ἄνθρωπον. ὡς δὲ οὐκ ἀληθές τοῦτ' ἐστιν, ἐγὼ ὑμᾶς διδάξω· εἰ μὲν γὰρ ἐγὼ τὸν
Θεόφημον προὐκαλούμην ταύτην τὴν πρόκλησιν, ἣν μεμαρτυρήκασιν αὐτῷ, 19
ἀξιῶν αὐτὸν τὴν ἄνθρωπον παραδοῦναι, εἰκότως ἄν μοι τούτοις τοῖς λόγοις ἀπε-
κρίνατο, ἀναβαλέσθαι κελεύων τὴν δίαιταν, εἰς τὴν ὑστέραν σύνοδον, ἵνα κομίσῃ
τὴν ἄνθρωπον, καὶ παραδῷ μοι. νῦν δὲ σεαυτῷ μεμαρτύρηκας, ὦ Θεόφημε, ἐθέ-
λειν παραδιδόναι τὴν ἄνθρωπον, καὶ ἐμὲ μὴ ἐθέλειν παραλαβεῖν. πῶς οὖν κύριος 20
μὲν ὢν σὺ τῆς ἀνθρώπου, μέλλων δὲ προσκαλεῖσθαι ταύτην τὴν πρόκλησιν, ἣν
μεμαρτυρήκασί σοι, καταφεύγων δὲ εἰς τὴν ἄνθρωπον, μέλλων δὲ προσκαλεῖσθαι περὶ
τῆς δίκης, ἄλλου δέ σοι οὐδενὸς ὄντος μάρτυρος, ὡς ἐπλήγης ὑπ' ἐμοῦ ἄρχοντος χειρῶν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

21 ἀδικῶν, οὐχ ἧκες ἔχων τὴν ἄνθρωπον πρὸς τὸν διαιτητήν; καὶ παρεδίδους τὸ σῶ-
μα παρούσης τῆς ἀνθρώπου, κύριός γε ὢν αὐτῆς; ἀλλὰ τὴν μὲν πρόκλησιν φὴς
προκαλέσασθαι, τὴν δ' ἄνθρωπον οὐδεὶς εἶδε, δι' ἧς ἐξηπάτησας τοὺς δικα-
στάς, ψευδεῖς μάρτυρας παρεχόμενος, ὡς ἐθέλων παραδοῦναι; ἐπειδὴ τοίνυν σοι τό-
22 τε οὐ παρῆν ἡ ἄνθρωπος, ἀλλὰ πρότερον ἐσημάνθησαν οἱ *ἐχῖνοι, ὕστερόν ἐστιν ὅπου *ἐχῖνοι
ἤγαγες τὴν ἄνθρωπον εἰς τὴν ἀγοράν, ἢ εἰς τὸ δικαστήριον; εἰ γὰρ μὴ τότε σοι πα-
ρεγένετο, ὕστερον δήπου ἔδει παραδιδόναι, καὶ μάρτυρας ποιεῖσθαι, ὡς ἐθέλεις ἐν τῇ
ἀνθρώπῳ τὸν ἔλεγχον γίγνεσθαι, καθάπερ προὐκαλέσω, προκλήσεώς τε ἐμ-
23 βεβλημένης σοι, καὶ μαρτυρίας, ὡς ἤθελες παραδιδόναι τὴν ἄνθρωπον. μέλλων
τοίνυν εἰσιέναι τὴν δίκην, ἔστιν ὅπου τὴν ἄνθρωπον εἰσήγαγες πρὸς τὸ δικαστή-
ριον; καίτοι ἔδει αὐτόν, εἴπερ ἀληθῆ ἦν, ἃ φασὶν αὐτὸν προκαλέσασθαι, κληρουμένων
τῶν δικαστηρίων, κομίσαντα τὴν ἄνθρωπον, λαβόντα τὸν κήρυκα, κελεύειν ἐμὲ εἰ
24 βουλοίμην βασανίζειν· καὶ μάρτυρας τοὺς δικαστὰς εἰσιόντας ποιεῖσθαι, ὡς ἕτοιμός
ἐστι παραδοῦναι. νυνὶ δὲ λόγῳ ἐξαπατήσας, ψευδεῖς μαρτυρίας παρασχόμενος,
οὐδέ πω καὶ νῦν τολμᾷ παραδοῦναι τὴν ἄνθρωπον, πολλάκις ἐμοῦ προκα-
λεσαμένου, καὶ ἐξαιτήσαντος, ὡς οἱ μάρτυρες ὑμῖν οἱ παραγενόμενοι μεμαρτυ-
25 ρήκασι. καί μοι ἀνάγνωθι πάλιν τὰς μαρτυρίας. Μαρτυρίαι.

Βούλομαι δ' ὑμῖν, ὦ ἄνδρες *δικασταί, τὴν δίκην διηγήσασθαι ὅθεν ἐγένετό μοι *ἀθῷωσε
πρὸς Θεόφημον, ἵνα εἰδῆτε ὅτι οὐ μόνον ἐμοῦ ἀδίκως *κατεδικάσατο τοὺς δικαστάς, *καταδικάσατο, ἀλλὰ καὶ
ἀλλὰ καὶ ἐξαπατήσας τῆς βουλῆς ἅμα τῶν πεντακοσίων τῇ αὐτῇ ψήφῳ καὶ ἄκυρα ἐξηπάτησε τοὺς
26 μὲν ἐποίησε τὰ δικαστήρια τὰ ὑμέτερα· ἄκυρα δὲ τὰ ψηφίσματα, καὶ τοὺς νόμους δικαστάς, καὶ τὴν
ἀπίστους δὲ τὰς ἀρχὰς κατέστησεν ὑμῖν· καὶ τὰ γράμματα τὰ ἐν ταῖς στήλαις. ὃν δὲ βουλὴν ἅμα
τρόπον, ἐγὼ ὑμᾶς περὶ ἑνὸς ἑκάστου διδάξω· ἐμοὶ γὰρ πρὸς Θεόφημον συμβόλαιον τῶν πεντακ.
μὲν, οὐδὲν πώποτε πρότερον ἐν τῷ βίῳ ἐγένετο, οὔτ' αὖ κῶμος, ἢ ἔρως, ἢ πότος,
27 ὥστε διαφερόμενον περί τινος πλεονεκτήματος, ἢ παροξυνόμενον ὑπὸ ἡδονῆς
τινός, ἐλθεῖν ἐπὶ τὴν οἰκίαν τὴν τούτου. ψηφισμάτων δὲ ὑμετέρων δήμου καὶ βου-
λῆς, καὶ νόμου ἐπιτάξαντος, εἰσέπραξα τοῦτον, ὀφείλοντα τῇ πόλει σκεύη τριηραρ-
χικά. διότι δέ, ἐγὼ ὑμῖν διηγήσομαι. ἔτυχεν ἐκπλευσουμένων τριήρων, καὶ βοήθεια ἀπο-
28 στελλομένη διὰ τάχους. σκεύη οὖν ἐν τῷ νεωρίῳ οὐχ ὑπῆρχε ταῖς ναυσίν· ἀλλ' ἔ-
χοντες οἱ ὀφείλοντες, οὐκ ἀπεδίδοσαν· πρὸς δὲ τούτοις, οὐδ' ἐν τῷ Πειραιεῖ ὄντα
ἄφθονα ὀθόνια καὶ στύππια καὶ σχοινία, οἷς κατασκευάζεται τριήρεις, ὥστε πρίασθαι.
γράφει οὖν Χαιρέδημος τὸ ψήφισμα τουτί, ἵνα εἰσπραχθῇ τὰ σκεύη ταῖς ναυσί, καὶ
29 σῶα γένηται τῇ πόλει. καί μοι ἀνάγνωθι τὸ ψήφισμα.

Ψήφισμα.

Τούτου τοίνυν τοῦ ψηφίσματος γεγενημένου, ἡ μὲν ἀρχὴ ἐπεκλήρωσε, καὶ παρέ-
δωκε τοὺς ὀφείλοντας τὰ σκεύη τῇ πόλει· οἱ δὲ τῶν νεωρίων ἐπιμεληταί, τοῖς τριηράρ-
30 χοις τοῖς ἐκπλέουσι τότε, καὶ τοῖς ἐπιμεληταῖς τοῖς ἐν ταῖς συμμορίαις. ὁ δὲ νόμος
ὁ τοῦ Περιάνδρου, *ἠνάγκαζε καὶ προσέταττε τοὺς ὀφείλοντας παραλαβεῖν τὰ σκεύη,
καθ' ὃν αἱ συμμορίαι συνετάχθησαν. πρὸς δὲ τούτοις, ἕτερον ψήφισμα δήμου *ἠ- *ἠνάγκαζε τῶν
ναγκάζετο πρὸς μέρος ἡμῖν διδόναι τῶν ὀφειλόντων ἕκαστον εἰσπρᾶξαι. ἔτυχον δὴ προσμ.
31 ἐγὼ μὲν τριηραρχῶν, καὶ ἐπιμελητὴς ὢν τῆς συμμορίας· Δημοχάρης δὲ ὁ Παια-
νιεύς, ἐν τῇ συμμορίᾳ ὤν, καὶ ὀφείλων τῇ πόλει σκεύη μετὰ Θεοφήμου τουτουί,

συντριήραρχος

συντριήραρχος γενόμενος. γεγραμμένους οὖν αὐτοὺς ἀμφοτέρους ἐν τῇ στήλῃ,
ὀφείλοντας τὰ σκεύη τῇ πόλει ἡ ἀρχὴ παραλαβοῦσα παρὰ τῆς προτέρας ἀρ-
χῆς, ἡμῖν παρέδωκε κατά τε τὸν νόμον, καὶ κατὰ τὰ ψηφίσματα. ἐξ ἀνάγκης οὖν ἦν 32
μοι παραλαμβάνειν, ἐπεὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ πολλὰς τριηραρχίας τετριη-
*παρεσκευάσα-σα,* ραρχηκὼς ὑμῖν, οὐδεπώποτε ἔλαβον σκεύη ἐκ τοῦ νεωρίου· ἀλλ' αὐτὸς ἰδίᾳ "πα-
ρεσκευάσαι, ὁπότε δέοι, ἵνα ὡς ἐλάχιστα πράγματα ἔχοιμι πρὸς τὴν πόλιν. τότε
*καὶ κατὰ τὰ ψηφ. καὶ κατὰ τὸν νό.* δὲ "καὶ τὰ ψηφίσματα καὶ τὸν νόμον ἠναγκαζόμην παραλαμβάνειν. ὡς δὲ ταῦτ' 33
ἀληθῆ λέγω, τούτων ὑμῖν τοὺς μάρτυρας παρέξομαι, τό, τε ψήφισμα καὶ τὸν νόμον·
ἔπειτα τὴν ἀρχὴν αὐτὴν τὴν παραδοῦσαν καὶ εἰσαγαγοῦσαν εἰς τὸ δικαστή-
ριον· εἶτα τοὺς ἐκ τῆς συμμορίας, ἧς ἦν ἐπιμελητὴς καὶ τριήραρχος. καί μοι ἀνά-
*Μαρτυρία.* γνωθι. Νόμος. Ψήφισμα. "Μαρτυρίαι. 34

Ὡς μὲν τοίνυν πολλή μοι ἀνάγκη ἦν παραλαβεῖν τοὺς ὀφείλοντας τῇ πόλει,
τοῦ τε νόμου ἀκούετε, καὶ τῶν ψηφισμάτων. ὡς δὲ καὶ παρέλαβον παρὰ τῆς ἀρχῆς,
ὁ παραδοὺς ὑμῖν μεμαρτύρηκε. σκέψασθαι δὴ ὑμᾶς εἰκός ἐστιν ἐξ ἀρχῆς, ὦ ἄνδρες
δικασταί, τοῦτο πρῶτον, πότερον ἐγὼ ἠδίκουν ὁ ἀναγκαζόμενος εἰσπρᾶξαι τὸν 35
Θεόφημον, ἢ Θεόφημος, ὃς ὀφείλων τῇ πόλει τὰ σκεύη πολὺν χρόνον, οὐκ ἀπεδί-
δου. ἐὰν γὰρ καθ' ἕκαστον σκοπῆτε, εὑρήσετε τὸν Θεόφημον ἅπαντα ἀδικοῦντα· καὶ ταῦ-
τα οὐχ ὑπ' ἐμοῦ μόνον λόγῳ εἰρημένα, ἀλλὰ καὶ ὑπὸ τῆς βουλῆς καὶ τοῦ δικα-
στηρίου ψήφῳ κεκριμένα. ἐπειδὴ γὰρ παρέλαβον αὐτὸν ἐκ τῆς ἀρχῆς, προσελθὼν 36
αὐτῷ, πρῶτον μὲν ἀπῄτουν τὰ σκεύη. ὡς δὲ τοῦτο εἰπόντος οὐκ ἀπεδίδου, ὕστερον
*προσκαλεσάμην.* αὐτῷ περιτυχὼν περὶ τὸν ἑρμῆν τὸν πρὸς τῇ πυλίδι, "προσκαλεσάμην πρός
τε τοὺς ἀποστολέας, καὶ πρὸς τοὺς τῶν νεωρίων ἐπιμελητάς. οὗτοι γὰρ εἰσῆγον τότε
τὰς διαδικασίας εἰς τὸ δικαστήριον περὶ τῶν σκευῶν. ὡς δὲ ἀληθῆ λέγω, τούτων ὑμῖν 37
μάρτυρας τοὺς κλητεύσαντας παρέξομαι.

Μάρτυρες.

*προσεκλήθη.* Ὅτι μὲν τοίνυν "προσεκλήθη ὑπ' ἐμοῦ, οἱ κλήτορες μεμαρτυρήκασιν. ὡς δὲ
εἰσήχθη εἰς τὸ δικαστήριον, λάβε μοι τὴν μαρτυρίαν τῶν ἀποστολέων καὶ τῆς ἀρχῆς. 38

Μαρτυρία.

Οἱ μὲν τοίνυν ᾤμην πράγματα παρέσχε μοι Δημοχάρην τὸν Παιανιέα, πρὶν
μὲν εἰσαχθῆναι εἰς τὸ δικαστήριον, ἦν ἀηδής. ἐπειδὴ δὲ εἰσήχθη καὶ ἑάλω, ἀπέδωκε τὸ
καθ' ἑαυτὸν μέρος τῶν σκευῶν. ὃν δὴ οὐκ ἂν ᾤηθην εἰς τοσοῦτον πονηρίας ἥκειν, 39
ὥστε τολμῆσαι δή ποτε τὴν πόλιν ἀποστερῆσαι τὰ σκεύη, εἰς τοσοῦτο δικῶν καὶ πραγ-
μάτων προβέβηκε, καὶ πρὶν μὲν πρὸς τὰ δικαστήρια, ὅτε εἰσήγετο, οὐδαμοῦ
*ἔφησεν* ἠντιδίκησεν, οὐδὲ ἀπεγράψατο διαδικασίαν πρὸς οὐδένα, ἢ τινὰ "φησὶν ἕτε-
ρον ἔχειν τὰ σκεύη, καὶ μὴ προσήκειν αὐτῷ ἀποδοῦναι, ἀλλ' εἴασε καθ' ἑαυτοῦ ψῆ- 40
φον ἐπαχθῆναι. ἐπειδὴ δὲ ἀπῆλθεν ἐκ τοῦ δικαστηρίου, οὐδὲν μᾶλλον ἀπεδίδου. ἀλλ'
ᾤετο ἐν μὲν τῷ παρόντι αὐτὸς ἐκ ποδῶν γενόμενος, ἡσυχίαν ἕξειν, ἕως ἐγώ τε ἐκ-
πλεύσω, καὶ αἱ νῆες, καὶ χρόνος ἐγγένηται, καὶ ἐμὲ ἃ οὗτος ὤφειλε σκεύη, τῇ πόλει
ἀναγκασθήσεσθαι ἀποδοῦναι, ἥκοντα ἐνθάδε, ἢ τῷ διαδόχῳ, ὃς ἂν ἔλθῃ ἐκ τῆς 41
συμμορίας ἐπὶ τὴν ναῦν. τί γὰρ ἂν καὶ ἀντέλεγον αὐτῷ, ψηφίσματα, καὶ νόμους πα-
ρεχομένῳ, ὡς προσῆκον ἐμὲ εἰσπρᾶξαι τὰ σκεύη; ὁ δὲ Θεόφημος χρόνου ἐγγεγε-
*φήσει,* νημένου, ὁπότε αὐτὸν ἥκοι ἀπαιτοίην, ἔλεγε, "φησὶν, ἀποδεδωκέναι· καὶ τούτοις τε-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

42 κεκομισμένοις καταχρήσασθαι, ὡς ἀπέδωκε, τῷ καιρῷ καὶ τῇ χρείᾳ, ὡς οὐκ ἠλίθιος
ὤν· οὐδ' αὖ φίλος αὐτῷ γενόμενος οὐδὲ πώποτε, ὥστ' ἐπισχεῖν τι ἄν ποτε βου-
λόμενος ἐγώ, τριηραρχῶν μὲν τῇ πόλει, ἐπιμελητὴς δὲ ὢν τῆς συμμορίας, ψηφι-
σμάτων δὲ τοιούτων, καὶ νόμου ὄντος περὶ τὴν εἴσπραξιν, ἐπέχον ἂν τούτῳ. ταύ-
43 την τὴν διάνοιαν ἔχων ὁ Θεόφημος, τότε μὲν οὐκ ἀπεδίδου τὰ σκεύη, ἀλλ' ἐκ-
ποδὼν ἦν· ὕστερον δὲ ᾤετό με ἀποστερήσειν· πρὸς δὲ τούτοις, εἰς ὅρκον καταφυγών,
ῥᾳδίως ἐπιορκήσειν, ὅπερ καὶ ἄλλοις πεποίηκε. δεινὴ γὰρ ἡ πλεονεξία τοῦ τρόπου περὶ
τὰ διάφορα, ὡς ἐγὼ ἔργῳ ὑμῖν ἐπιδείξω. ταῦτα γὰρ τὰ σκεύη ὀφείλων ὁ Θεόφη-
44 μος τῇ πόλει, εἰς Ἀφαρέα ἀνέφερε λόγῳ, ἔργῳ δὲ οὐκ ἀπεγράψατο πρὸς αὐτὸν
διαδικασίαν, εὖ εἰδὼς, ὅτι ἐξελεγχθήσεται ψευδόμενος, ἐὰν εἰσέλθῃ εἰς δικαστήριον. ὁ γὰρ
Ἀφαρεὺς, ἐξήλεγχεν αὐτὸν, τιμὴν λογισάμενον αὐτῷ τὴν σκευὴν, καὶ λαβόντα
πρὸ αὐτοῦ, ὅτε παρελάμβανε τὴν τριηραρχίαν. νῦν δέ φησι Δημοχάρει παραδοῦναι
45 καὶ δικάζεται τοῖς παιδίοις τοῖς Δημοχάρους, τετελευτηκότος τοῦ Δημοχάρους. ὅτι
δ' ἔζη ὁ Δημοχάρης, οὐκ ἀπεγράψατο διαδικασίαν πρὸς αὐτὸν ὁ Θεόφημος,
εἰσπραττόμενος ὑπ' ἐμοῦ τὰ σκεύη· ἀλλ' ἠβούλετο ἐπὶ προφάσει χρόνου ἐγγε-
νομένου, ἀποστερῆσαι τὴν πόλιν τὰ σκεύη. ὡς δ' ἀληθῆ λέγω, ἀναγνώσεται τὰς μαρ-
46 τυρίας. Μαρτυρίαι.

Ταῦτα τοίνυν ἐγὼ πάντα ἐνθυμούμενος, καὶ ἀκούων *τῶν Θεοφήμου τῶν πεπλη- *περὶ τοῦ Θεοφήμου
σιακότων, οἷος εἴη περὶ τὰ διάφορα, καὶ οὐκ ἀπολαμβάνων τὰ σκεύη παρ' αὐτοῦ,
προσῆλθον πρός τε τοὺς ἀποστολέας, καὶ τὴν βουλὴν, καὶ τὸν δῆμον, λέγων, ὅτι οὐκ ἀπο-
47 δίδωσί μοι τὰ σκεύη ὁ Θεόφημος, ἃ ὦφλεν ἐν τῷ δικαστηρίῳ, προσῆσαν δὲ καὶ οἱ
ἄλλοι τριήραρχοι τῇ βουλῇ, ὅσοι μὴ παρελάμβανον παρὰ τῶν ὀφειλόντων τὰ σκεύη.
καὶ πολλῶν λόγων γενομένων, ἀποκρίνεται ἡμῖν ἡ βουλὴ ψήφισμά τι, ὃ ἀναγνώσεται
ὑμῖν, εἰσπράττεσθαι τρόπῳ, ᾧ ἂν δυνώμεθα. Ψήφισμα.

48 Γενομένου τοίνυν τοῦ ψηφίσματος τούτου ἐν τῇ βουλῇ, καὶ οὐδενὸς γραφομένου
παρανόμων, ἀλλὰ κυρίου ὄντος, προσελθὼν Εὐέργῳ τούτῳ τῷ ἀδελφῷ τοῦ Θεο-
φήμου, ἐπειδὴ τὸν Θεόφημον οὐχ οἷός τε ἦν ἰδεῖν, ἔχων τὸ ψήφισμα, πρῶτον μὲν ἀ-
πῄτησα τὰ σκεύη, καὶ ἐκέλευσα αὐτὸν φράσαι τῷ Θεοφήμῳ· ἔπειτα διαλιπὼν ἡ-
49 μέρας τινὰς, ὡς οὐκ ἀπεδίδου τὰ σκεύη, ἀλλ' ἐχλεύαζέ με, παραλαβὼν μάρτυρας
ἠρόμην αὐτὸν, πότερα μεμερισμένος εἴη πρὸς τὸν ἀδελφὸν, ἢ κοινὴ οὐσία εἴη αὐτοῖς;
ἀποκριναμένου δέ μοι Εὐέργου, ὅτι νενεμημένος εἴη, καὶ χωρὶς οἰκοίη ὁ Θεόφημος, αὐ-
τὸς δὲ παρὰ τῷ πατρὶ, πυθόμενος οὗ ᾤκει ὁ Θεόφημος, λαβὼν παρὰ τῆς ἀρχῆς
50 ὑπηρέτην, ἦλθον ἐπὶ τὴν οἰκίαν τοῦ Θεοφήμου. καταλαβὼν δὲ αὐτὸν οὐκ ἔνδον ὄντα,
ἐκέλευσα τὴν ἄνθρωπον τὴν ὑπακούσασαν, μετελθεῖν αὐτὸν ὅπου εἴη, ταύτην, ἣν
μεμαρτυρήκασιν οὗτοι προσκαλέσασθαι τὸν Θεόφημον, παραδοῦναι· ἐγὼ δ' *ἐξ αὐ- *ἐξ αὐτῆς
τῶν οὐ δυνάμενη παραλαβεῖν, ἵν' ὑμεῖς τὴν ἀλήθειαν πύθησθε, ὁπότερος ἦρξε χει-
51 ρῶν ἀδίκων. ὡς δὲ ἀφικνεῖται ὁ Θεόφημος μετελθούσης αὐτὸν τῆς ἀνθρώπου, ἀπῄ-
τουν αὐτὸν τὸ διάγραμμα τῶν σκευῶν, λέγων ὅτι ἤδη περὶ *ἀναγωγῆς εἴη, καὶ *ἀναγωγὴν
ἐδείκνυον τὸ ψήφισμα τῆς βουλῆς. ὡς δὲ ταῦτά μου λέγοντος οὐκ ἀπεδίδου, ἀλλὰ
ἠπείλει, καὶ ἐλοιδορεῖτο, ἐκέλευσα τὸν παῖδα καλέσαι, εἴ τινας ἴδοι τῶν πολιτῶν πα-
ριόντας ἐκ τῆς ὁδοῦ, ἵνα μάρτυρές μοι εἶεν τῶν λεγομένων, καὶ ἠξίουν πάλιν τὸν
Θεόφημον, ἢ αὐτὸν ἀκολουθεῖν πρὸς τοὺς ἀποστολέας καὶ τὴν βουλὴν, καὶ εἰ μὴ
φησιν-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δήπου ὀφείλειν, ἐκείνοις πείθειν, τοὺς παραδιδόντας, καὶ ὀφείλοντας, καὶ ἀναγκάζοντας
εἰσπράττειν, ἢ ἀποδιδόναι τὰ σκεύη· εἰ δὲ μή, ἐνέχυρα ἔφην λήψεσθαι κατά τε τοὺς
νόμους, καὶ τὰ ψηφίσματα. οὐδὲν δὲ θέλοντος αὐτοῦ τῶν δικαίων ποιεῖν, ἦγον τὴν ἄνθρω- 53
πον ἑστηκυῖαν ἐπὶ τῇ θύρᾳ, τὴν μετελθοῦσαν αὐτόν. καὶ ὁ Θεόφημός με ἀφῃρεῖτο.
καὶ ἐγὼ τὴν μὲν ἄνθρωπον ἀφῆκα, εἰς δὲ τὴν οἰκίαν εἰσῄειν, ἵνα ἐνέχυρόν τι λά-
βοιμι τῶν σκευῶν· ἐτύγχανε γὰρ ἡ θύρα ἀνεῳγμένη, ὡς ἐξῆλθεν ὁ Θεόφημος, καὶ ἔτι ἤμελ-
λεν εἰσιέναι. καὶ ἐπεπείσμην αὐτὸν ὅτι οὐκ εἴη γεγαμηκώς. εἰσιόντος δέ μου, παίει 54
πὺξ ὁ Θεόφημος τὸ στόμα. καὶ ἐγὼ ἐπιμαρτυράμενος τοὺς παρόντας, ἠμυνάμην.
ὡς οὖν ἀληθῆ λέγω, καὶ ἦρξε χειρῶν ἀδίκων ὁ Θεόφημος, οὐκ ἄλλοθεν εἰσίν μοι δεῖν τὸν
ἔλεγχον γίγνεσθαι, ἢ ἐκ τῆς ἀνθρώπου, ἣν μεμαρτυρήκασιν οὗτοι οἱ μάρτυρες, ὡς
ἤθελε Θεόφημος ἐκ τῆς ἀνθρώπου παραδιδόναι. ταύτῃ δὲ τῇ μαρτυρίᾳ πρό- 55
τερος εἰσελθὼν εἰς τὸ δικαστήριον οὐ παραγραφομένου ἐμοῦ, οὐδ' ὑπομνυομέ-
νου, διὰ τὸ καὶ πρότερόν ποτε ἐφ' ἑτέρας δίκης ταὐτά με βλάψαι, ἐξηπάτησε
τοὺς δικαστάς, λέγων, οὓς μὲν ἐγὼ παρεχόμην μάρτυρας, ψευδῆ μαρτυρεῖν· τὴν δὲ
ἄνθρωπον, ἐρεῖν τὰς ἀληθείας βασανιζομένην. οἷς δὲ τότε κατεχρῶντο λόγοις, νῦν 56
αὐτοῖς ἐξελέγχονται ὑπεναντία ποιοῦντες. τὴν γὰρ ἄνθρωπον οὐ δύναμαι παραλα-
βεῖν, πολλάκις ἐξαιτήσας, ὡς μεμαρτύρηται ὑμῖν. ἐπεὶ τοίνυν τὴν ἄνθρωπον οὐ
παραδιδόασιν, ἣν αὐτοὶ ἔφασαν, προσκαλέσασθαι, βούλομαι ὑμῖν καὶ τοὺς μάρτυρας
παρασχέσθαι, οἳ εἶδόν με πρότερον πληγέντα ὑπὸ τοῦ Θεοφήμου. ἡ δὲ αἰκία, τοῦτ' 57
ἔστιν, ὃς ἂν ἄρξῃ πρότερος χειρῶν ἀδίκων, ἄλλως τε, καὶ κατὰ τοὺς νόμους, καὶ κατὰ τὰ ψη-
φίσματα τὰ ὑμέτερα εἰσπράττοντα. καί μοι ἀνάγνωθι τὰ ψηφίσματα, καὶ τὰς
μαρτυρίας. Ψηφίσματα. Μαρτυρίαι.

Ἐπειδὴ τοίνυν ἀφῃρέθην τὰ ἐνέχυρα ὑπὸ τοῦ Θεοφήμου, καὶ συνεκόπην, ἐλ- 58
θὼν εἰς τὴν βουλήν, τάς τε πληγὰς ἔδειξα, καὶ ἃ πεπονθὼς ἦν, εἶπον, καὶ ὅτι εἰσπράτ-
των τῇ πόλει τὰ σκεύη. ἀγανακτήσασα ἡ βουλὴ ἐφ' οἷς ἐγὼ ἐπεπόνθειν, καὶ ἰδοῦσά
με ὡς διεκείμην, καὶ ἡγησαμένη ὑβρίσθαι οὐκ ἐμέ, ἀλλ' ἑαυτὴν καὶ τὸν δῆμον τὸν
ψηφισάμενον, καὶ τὸν νόμον τὸν ἀναγκάσοντα εἰσπράττειν τὰ σκεύη, ἐκέλευσεν εἰ- 59
σαγγέλλειν με, καὶ τοὺς πρυτάνεις προγράφειν αὐτῷ τὴν κρίσιν ἐπὶ δύο ἡμέρας, ὡς
ἀδικοῦντι, καὶ διακωλύοντι τὸν ἀπόστολον, ὅτι τὰ σκεύη οὐκ ἀπεδίδου, καὶ τὰ
ἐνέχυρα ἀφείλετο, καὶ ἐμὲ συνέκοψε τὸν εἰσπράττοντα, καὶ ὑπηρετοῦντα τῇ πό-
λει. γενομένης τοίνυν τῆς κρίσεως τῷ Θεοφήμῳ ἐν τῇ βουλῇ, κατὰ τὴν εἰσαγγελίαν, 60
ἣν ἐγὼ εἰσήγγελλα, καὶ ἀποδοθέντος λόγου ἑκατέρῳ, καὶ κρύβδην ἰδίᾳ ψηφισαμέ-
νων τῶν βουλευτῶν, ἑάλω ἐν τῷ βουλευτηρίῳ, καὶ ἔδοξεν ἀδικεῖν. καὶ ἐπεὶ ἐν τῷ
διαχειροτονεῖν ἦν ἡ βουλή, πότερα δικαστηρίῳ παραδοίη, ἢ ζημιώσειε ταῖς πεντα-
κοσίαις, ὅσου ἦν κυρία κατὰ τὸν νόμον, δεομένων τούτων ἁπάντων, καὶ ἱκετευόντων, καὶ 61
ἵνα οὐ προσπεμπόντων, καὶ τὸ διάγραμμα τῶν σκευῶν ἀποδιδόντων, εὐθὺς ἐν
τῇ βουλῇ, καὶ περὶ τῶν πληγῶν φασκόντων ἐπιτρέπειν ᾧ ἐὰν κελεύσω Ἀθηναίων,
συνεχώρησα, ὥστε τῷ Θεοφήμῳ πέντε καὶ εἴκοσι δραχμῶν προστιμηθῆναι. καὶ
ταῦτα ὡς ἀληθῆ λέγω, ὑμῶν τε δέομαι, ὅσοι ἐβούλευον ἐπ' Ἀγαθοκλέους ἄρχον- 62
τος φράζειν τοῖς παρακαθημένοις, καὶ ὅσους ἐδυνάμην ἐγὼ ἐξευρεῖν τῶν τότε βου-
λευόντων, μάρτυρας ὑμῖν παρέξομαι. Μαρτυρίαι.

Ἐγὼ μὲν τοίνυν, ὦ ἄνδρες δικασταί, οὕτως ἐπιεικὴς ἐγενόμην πρὸς τούτους.

*ἐπεπύσμην

*ἐβούλευεν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

63 καίτοι τόγε ψήφισμα δημοσίαν τὴν οὐσίαν ἐκέλευεν εἶναι, οὐ μόνον ὃς ἂν ἔχων σκεύη,
μὴ ἀποδιδῷ τῇ πόλει, ἀλλὰ καὶ ὃς ἂν ἴδια κτησάμενος μὴ πωλῇ· τοιαύτη γὰρ ἡ
ἀπορία οὖσα συνέβαινε τότε ἐν τῇ πόλει σκευῶν. καί μοι ἀνάγνωθι τὸ ψήφισμα.

Ψήφισμα.

64 Καταπλεύσας τοίνυν, ὦ ἄνδρες δικασταί, ὡς οὐδενὶ ἤθελεν ἐπιτρέπειν ὁ Θεό-
φημος περὶ τῶν πληγῶν, ὧν ἔλαβον τότε ὑπ' αὐτοῦ, * προσκαλεσάμην αὐτὸν * προσεκαλεσάμην
καὶ ἔλαχον αὐτῷ δίκην αἰκίας. ἀντιπροσκαλεσαμένου δὲ καὶ ἐκείνου ἐμὲ, καὶ διαι-
τητῶν ἐχόντων τὰς δίκας, ἐπειδὴ ἡ ἀπόφασις ἦν τῆς δίκης, ὁ μὲν Θεόφημος πα-
65 ρεγράφετο, καὶ ὑπώμνυτο. ἐγὼ δὲ πιστεύων ἐμαυτῷ μηδὲν ἀδικεῖν, εἰσῄειν εἰς ὑ-
μᾶς. παρασχόμενος δὲ ἐκεῖνος ταύτην τὴν μαρτυρίαν, ἣν ἄλλος μὲν οὐδεὶς με-
μαρτύρηκεν ὁ δ' ἀδελφὸς καὶ ὁ κηδεστὴς, ὡς ἐθέλει τὴν ἄνθρωπον παραδοῦναι,
καὶ προσποιούμενος ἄκακος εἶναι, ἐξηπάτησε τοὺς δικαστάς. δέομαι δὴ ὑμῶν νυ-
66 νὶ δικαίαν δέησιν, ἅμα μὲν δικάσαι περὶ τῆς μαρτυρίας, πότερα ψευδής ἐστιν, ἢ ἀ-
ληθὴς, ἅμα δὲ περὶ τοῦ πράγματος ἐξ ἀρχῆς σκέψασθαι. ἐγὼ μὲν τοίνυν εἰς ἃ
αὐτὸς κατέφυγε τότε δίκαια, ἐκ τούτων οἴομαι δεῖν τὸν ἔλεγχον γενέσθαι, ἐκ τῆς ἀν-
θρώπου βασανιζομένης, ὁπότερος ἦρξε χειρῶν ἀδίκων. τοῦτο γάρ ἐστιν ἡ αἰκία,
67 καὶ τοὺς μάρτυρας διὰ τοῦτο διώκω τῶν ψευδομαρτυριῶν, ὅτι ἐμαρτύρησαν ἐ-
θέλειν παραδιδόναι τὸν Θεόφημον τὴν ἄνθρωπον, οὐδαμοῦ σῶμα παραδιδόντος,
οὔτε ὅτε πρὸς τῷ διαιτητῇ, οὔτε ὕστερον πολλάκις ἐμοῦ ἐξαιτήσαντος. διπλῆν
οὖν αὐτοὺς ἔδει δοῦναι δίκην, ὅτι τε ἐξηπάτησαν τοὺς δικαστὰς ψευδεῖς μαρτυρίας
68 παρασχόμενοι, κηδεστοῦ καὶ ἀδελφοῦ, καὶ ὅτι ἐμὲ ἠδίκησαν, λειτουργοῦντα μὲν ὑ-
μῖν προθύμως, ποιοῦντα δὲ τὰ προσταττόμενα, ὑπηρετοῦντα δὲ τοῖς νόμοις καὶ
τοῖς ψηφίσμασι τοῖς ὑμετέροις. ὡς δὲ οὐκ ἐγὼ μόνος παρέλαβον παρὰ τῆς ἀρχῆς
τούτων εἰσπράξασθαι σκεύη ὀφείλοντα τῇ πόλει, ἀλλὰ καὶ ἄλλοι τῶν τριηράρχων
69 ἑτέροις εἰσεπράξαντο οὓς παρέλαβον, ἀνάγνωθί μοι αὐτῶν τὰς μαρτυρίας.

Μαρτυρίαι.

Βούλομαι τοίνυν, ὦ ἄνδρες δικασταί, καὶ ἃ πέπονθα ὑπ' αὐτῶν, διηγήσασθαι
ὑμῖν. ἐπειδὴ γὰρ ὦφλον αὐτοῖς τὴν δίκην, ἐφ' ᾗ τοὺς μάρτυρας τούτους διώκω τῶν ψευ-
70 δῶν μεμαρτυρηκότας, προσελθὼν τῷ Θεοφήμῳ, μελλούσης μοι ἤδη ἐξήκειν τῆς
ὑπερημερίας, ἐδεήθην * αὐτοῦ ἐπισχεῖν μοι ὀλίγον χρόνον, λέγων τὰς ἀληθείας, * αὐτῷ
ὅτι πεπορισμένου τοῦ ἀργυρίου, ὃ ἤμελλον αὐτῷ ἐκτίνειν, συμβέβηκέ μοι τριηραρ-
χία, καὶ ἀποστέλλειν διὰ τάχους δεῖ τὴν τριήρη· καὶ ὁ στρατηγὸς Ἄλκιμος ἀνάγεσθαι
71 κελεύει τὴν ναῦν. τὸ οὖν ἀργύριον τὸ πεπορισμένον ᾧ Θεοφήμῳ ἀποδοῦναι, ἐν-
ταῦθα κατεχρησάμην. ἐδεόμην δὴ αὐτοῦ ἀναβαλέσθαι τὴν ὑπερημερίαν, ἕως
ἂν τὴν ναῦν ἀποστείλω. ὁ δὲ, ῥᾳδίως μοι καὶ ἀκάκως ἀποκρίνεται. οὐδὲν κωλύει,
ἔφη· ἀλλ' ἐπειδὰν τὴν ναῦν ἀποστείλῃς, πόριζε καὶ ἐμοί. ἀποκριναμένου δέ μοι
72 ταῦτα τοῦ Θεοφήμου, καὶ ἀναβαλλομένου τὴν ὑπερημερίαν, καὶ μάλιστά μου πι-
στεύσαντος τῇ τε ἐπισκήψει τῶν ψευδομαρτυριῶν, καὶ τῷ μὴ ἐθέλειν αὐτὸν παρα-
δοῦναι τὴν ἄνθρωπον, ὡς οὐδὲν ἂν νεωτερίσαντος περὶ τὰ ἐμὰ, ἐγὼ μὲν τὴν
τριήρη ἀποστείλας, οὐ πολλαῖς ἡμέραις ὕστερον πορίσας τὸ ἀργύριον, προσελ-
73 θὼν αὐτῷ ἐκέλευον ἐπὶ τὴν τράπεζαν ἀκολουθοῦντα, κομίζεσθαι τὴν καταδίκην.
ὡς δὲ ταῦτ' ἀληθῆ λέγω, τούτων ὑμῖν ἀναγνώσεται τὰς μαρτυρίας.

Μαρτυρίαι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Μαρτυρίαι.

Ο δὲ Θεόφημος ἀντὶ τοῦ τὴν καταδίκην ἀπολαβεῖν, ἀκολουθήσας ἐπὶ τὴν
τράπεζαν, ἐλθών μου τὰ πρόβατα λαμβάνει ποιμαινόμενα πεντήκοντα μαλα- 74
κά, καὶ τὸν ποιμένα μετ' αὐτῶν, καὶ πάντα τὰ ἀκόλουθα τῇ ποίμνῃ· ἔπειτα παῖδα
*ἠρτημένην διάκονον ὑδρίαν χαλκῆν ἀποφέροντα ἀλλοτρίαν * ᾐτημένην, πολλοῦ ἀξίαν. καὶ
*εἰσελθόντες ταῦτα ἔχουσιν οὐκ ἐξήρκεσεν αὐτοῖς. ἀλλ' * ἐπεισελθόντες εἰς τὸ χωρίον· γεωργῶ δὲ
πρὸς τῷ ἱπποδρόμῳ, καὶ οἰκῶ ἐνταῦθα ἐκ μειρακίου· πρῶτον μὲν ἐπὶ τοὺς οἰκέ- 75
*ἦξαν. γρ. ἴξαν. τας * ᾖξαν. ὡς δὲ οὗτοι διαφεύγουσιν αὐτοὺς, καὶ ἄλλος ἄλλῃ ἀπεχώρησεν, ἐλθόντες
εἰς τὴν οἰκίαν, καὶ καταβαλόντες τὴν θύραν τὴν εἰς τὸν κῆπον φέρουσαν, Εὔερ-
γός τε οὑτοσὶ ὁ ἀδελφὸς ὁ Θεοφήμου, καὶ Μνησίβουλος ὁ κηδεστὴς αὐτοῦ, οἷς οὐδε-
μίαν δίκην ὠφλήκειν, οὐδὲ προσῆκεν αὐτοῖς ἅπτεσθαι τῶν ἐμῶν οὐδενός, εἰσελθόν- 76
τες ἐπὶ τὴν γυναῖκά μου, καὶ τὰ παιδία, ἐξεφορήσαντο ὅσα ἔτι ὑπόλοιπά μοι
ἦν σκεύη ἐν τῇ οἰκίᾳ. ᾤοντο μὲν γὰρ οὐ τοσαῦτα μόνον λήψεσθαι, ἀλλὰ πολλῷ
πλείω τὴν προοῦσάν μοι τότε κατασκευὴν τῆς οἰκίας καταλήψεσθαι· ἀλλ' ὑπὸ
τῶν λῃτουργιῶν καὶ τῶν εἰσφορῶν, καὶ τῆς πρὸς ὑμᾶς φιλοτιμίας, τὰ μὲν ἐνέχυρα 77
κεῖται αὐτῶν· τὰ δὲ, πέπραται. ὅσα δ' ἦν ἔτι ὑπόλοιπα, πάντα λαβόντες ᾤχον-
το. πρὸς δὲ τούτοις, ὦ ἄνδρες δικασταί, ἔτυχεν ἡ γυνή μου μετὰ τῶν παίδων ἀριστῶ-
σα ἐν τῇ αὐλῇ· καὶ μετ' αὐτῆς τίτθη τις ἐμὴ γεγενημένη πρεσβυτέρα, ἄνθρω-
πος εὔνους καὶ πιστή, καὶ ἀφειμένη ἐλευθέρα ὑπὸ τοῦ πατρὸς τοῦ ἐμοῦ. συνῴκησε 78
δὲ ἀνδρί, ἐπειδὴ ἀφείθη ἐλευθέρα. ὡς δὲ οὗτος ἀπέθανε, καὶ αὐτὴ γραῦς ἦν, καὶ οὐκ
ἦν αὐτὴν ὁ θρέψων, ἐπανῆκεν αὐτὴ ὡς ἐμέ. ἀναγκαῖον οὖν ἦν μὴ περιιδεῖν ἐν-
δεῶς ἔχουσαν, μηδὲ τίτθην ἐμὴν γενομένην, καὶ παιδαγωγόν· ἅμα δὲ καὶ τριη-
ραρχῶν ἐξέπλεον, ὥστε καὶ τῇ γυναικὶ βουλομένῃ ἦν τοιαύτην οἰκουρὸν μετ' αὐ- 79
τῆς με καταλιπεῖν. ἀριστώντων δὲ ἐν τῇ αὐλῇ, ὡς ἐπεισπηδῶσιν οὗτοι, καὶ κατα-
λαμβάνουσιν αὐτὰς, καὶ ἥρπαζον τὰ σκεύη, αἱ μὲν ἄλλαι θεράπαιναι ἐν τῷ πύρ-
γῳ γὰρ ἦσαν οὗπερ διαιτῶνται· ὡς ἤκουσαν τῆς κραυγῆς, κλείουσι τὸν πύργον, καὶ ἐν-
ταῦθα μὲν οὐκ εἰσῆλθον· τὰ δ' ἐκ τῆς ἄλλης οἰκίας ἐξέφερον σκεύη, ἀπαγορευούσης 80
τῆς γυναικὸς μὴ ἅπτεσθαι αὐτῶν, καὶ λεγούσης, ὅτι αὐτῆς εἴη ἐν τῇ προικὶ τετιμημένα,
καὶ ὅτι τὰ πρόβατα ἔχετε πεντήκοντα, καὶ τὸν ποιμένα πλείονος ἄξια, ἢ κατεδικά-
σασθε· ἀπήγγελλε γάρ τις αὐταῖς τῶν γειτόνων κόψας τὴν θύραν· ἔτι δὲ ἔφη τὸ ἀρ-
γύριον αὐτοῖς κείμενον εἶναι ἐπὶ τῇ τραπέζῃ· ἠκηκόει γὰρ ἐμοῦ· καὶ ἂν περιμείνητε, ἔφη, 81
ἢ μετέλθῃ τις ὑμῶν αὐτῶν, ἔχοντες ἄπιτε τὸ ἀργύριον ἤδη· τὰ δὲ σκεύη, ἐᾶτε· καὶ
μηδὲν τῶν ἐμῶν φέρετε, ἄλλως τε καὶ ἔχοντες ἄξια τῆς καταδίκης. ταῦτα δὲ λε-
γούσης τῆς γυναικός, οὐχ ὅπως ἐπέσχον, ἀλλὰ καὶ τῆς τίτθης τὸ κυμβίον λαβού-
σης παρακείμενον αὐτῇ, ἐξ οὗ ἔπινε, καὶ ἐνθεμένης εἰς τὸν κόλπον, ἵνα μὴ οὗτοι λά- 82
βοιεν, ἐπειδὴ εἶδεν ἔνδον ὄντας αὐτούς, κατιδόντες αὐτὴν οὕτω διέθεσαν ἀφαιρού-
μενοι τὸ κυμβίον Θεόφημος καὶ Εὔεργος ἀδελφὸς αὐτοῦ οὑτοσί, ὥστε ὕφαιμοι μὲν
οἱ βραχίονες, καὶ οἱ καρποὶ τῶν χειρῶν αὐτῆς ἐγένοντο, ἀποστρεφομένης τὼ χεῖρε καὶ
ἑλκομένης ὑπὸ τούτων ἀφαιρουμένων τὸ κυμβίον· ἀμυχὰς δὲ ἐν τῷ τραχήλῳ εἶ- 83
*πέλιον χεν ἀγχομένη, * πελιὸν δὲ τὸ στῆθος. εἰς τοῦτο δ' ἦλθον πονηρίας, ὥστε ἕως ἀφείλοντο
τὸ κυμβίον ἐκ τοῦ κόλπου αὐτῆς, οὐκ ἐπαύσαντο ἄγχοντες καὶ τύπτοντες τὴν
γραῦν. ἀκούσαντες δὲ οἱ θεράποντες τῶν γειτόνων τῆς κραυγῆς, καὶ ὁρῶντες τὴν οἰ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

63 καίτοι τό γε ψήφισμα δημοσίαν τὴν οὐσίαν ἐκέλευεν εἶναι, οὐ μόνον ὃς ἂν ἔχων σκεύη, μὴ ἀποδιδῷ τῇ πόλει, ἀλλὰ καὶ ὃς ἂν ἴδια κτησάμενος μὴ πωλῇ. τοιαύτη γὰρ ἡ ἀπορία οὖσα συνέβαινε τότε ἐν τῇ πόλει σκευῶν. καί μοι ἀνάγνωθι τὸ ψήφισμα.

Ψήφισμα.

64 Καταπλεύσας τοίνυν, ὦ ἄνδρες δικασταί, ὡς οὐδὲν ἤθελεν ἐπιτρέπειν ὁ Θεόφημος περὶ τῶν πληγῶν, ὧν ἔλαβον τότε ὑπ' αὐτοῦ, *προσκαλεσάμενος αὐτὸν καὶ ἔλαχον αὐτῷ δίκην αἰκίας. ἀντιπροσεκαλέσατο δὲ καὶ ἐκεῖνος ἐμέ, καὶ διαιτητῶν ἐχόντων τὰς δίκας, ἐπειδὴ ἡ ἀπόφασις ἦν τῆς δίκης, ὁ μὲν Θεόφημος πα-

65 ρεγράφετο, καὶ ὑπώμνυτο. ἐγὼ δὲ πιστεύων ἐμαυτῷ μηδὲν ἀδικεῖν, εἰσῆλθον εἰς ὑμᾶς. παρασχόμενος δὲ ἐκεῖνος ταύτην τὴν μαρτυρίαν, ἣν ἄλλος μὲν οὐδεὶς μεμαρτύρηκεν, ὁ δ' ἀδελφὸς καὶ ὁ κηδεστής, ὡς ἐθέλοι τὴν ἄνθρωπον παραδοῦναι, καὶ προσποιούμενος ἄκακος εἶναι, ἐξηπάτησε τοὺς δικαστάς. δέομαι δὴ ὑμῶν νυ-

66 νὶ δικαίαν δίκην, ἅμα μὲν δικάσαι περὶ τῆς μαρτυρίας, πότερα ψευδής ἐστιν, ἢ ἀληθής, ἅμα δὲ περὶ τοῦ πράγματος ἐξ ἀρχῆς σκέψασθαι. ἐγὼ μὲν τοίνυν εἰς αὐτὸ κατέφυγον τότε δίκαια, ἐκ τούτων οἶμαι δεῖν τὸν ἔλεγχον γενέσθαι, ἐκ τῆς ἀνθρώπου βασανιζομένης, ὁπότερος ἦρξε χειρῶν ἀδίκων. τοῦτο γάρ ἐστιν ἡ αἰκία,

67 καὶ τοὺς μάρτυρας διὰ τοῦτο διώκω τῶν ψευδομαρτυριῶν, ὅτι ἐμαρτύρησαν ἐθέλειν παραδιδόναι τὸν Θεόφημον τὴν ἄνθρωπον, οὐδαμοῦ σῶμα παραδιδόντος, οὔτε ὅτε πρὸς τῷ διαιτητῇ, οὔτε ὕστερον πολλάκις ἐμοῦ ἐξαιτήσαντος. διπλῆν οὖν αὐτοὺς ἔδει δοῦναι δίκην, ὅτι τε ἐξηπάτησαν τοὺς δικαστὰς ψευδεῖς μαρτυρίας

68 παρασχόμενοι, κηδεστοῦ καὶ ἀδελφοῦ, καὶ ὅτι ἐμὲ ἠδίκησαν, λειτουργοῦντα μὲν ὑμῖν προθύμως, ποιοῦντα δὲ τὰ προσταττόμενα, ὑπηρετοῦντα δὲ τοῖς νόμοις καὶ τοῖς ψηφίσμασι τοῖς ὑμετέροις. ὡς δὲ οὐκ ἐγὼ μόνος παρέλαβον παρὰ τῆς ἀρχῆς τοῦτον εἰσπράξασθαι σκεύη ὀφείλοντα τῇ πόλει, ἀλλὰ καὶ ἄλλοι τῶν τριηράρχων

69 ἑτέρους εἰσεπράξαντο οὓς παρέλαβον, ἀνάγνωθί μοι αὐτὰς τὰς μαρτυρίας.

Μαρτυρίαι.

Βούλομαι τοίνυν, ὦ ἄνδρες δικασταί, καὶ ἃ πέπονθα ὑπ' αὐτῶν, διηγήσασθαι ὑμῖν. ἐπειδὴ γὰρ ὦφλον αὐτοῖς τὴν δίκην, ἐφ' ᾗ τοὺς μάρτυρας τούτους διώκω τὰ ψευ-

70 δῆ μεμαρτυρηκότας, προσελθὼν τῷ Θεοφήμῳ, ἡκούσης μοι ἤδη ἐξήκειν τῆς ὑπερημερίας, ἐδεήθην *αὐτοὺς ἐπισχεῖν μοι ὀλίγον χρόνον, λέγων τὰς ἀληθείας, ὅτι πεπορισμένου τοῦ ἀργυρίου, ὃ ἤμελλον αὐτῷ ἐκτίνειν, συμβέβηκέ μοι τριηραρχία, καὶ ἀποστέλλειν διὰ τάχους δεῖ τὴν τριήρη· καὶ ὁ στρατηγὸς Ἀλκίμαχος ἀνάγεσθαι

71 κελεύει τὴν ναῦν. τὸ οὖν ἀργύριον τὸ πεπορισμένον τῷ Θεοφήμῳ ἀποδοῦναι, ἐνταῦθα κατεχρησάμην. ἐδεόμην δὴ αὐτοῦ ἀναβαλέσθαι τὴν ὑπερημερίαν, ἕως ἂν τὴν ναῦν ἀποστείλω. ὁ δέ, ῥᾳδίως μοι καὶ ἀκάκως ἀποκρίνεται. οὐδὲν κωλύει, ἔφη· ἀλλ' ἐπειδὰν τὴν ναῦν ἀποστείλῃς, πόριζε καὶ ἐμοί. ἀποκριναμένου δέ μοι

72 ταῦτα τοῦ Θεοφήμου, καὶ ἀναβαλομένου τὴν ὑπερημερίαν, καὶ μάλιστά μου πιστεύσαντος τῇ τε ἐπισκήψει τῶν ψευδομαρτυριῶν, καὶ τῷ μὴ ἐθέλειν αὐτὸν παραδοῦναι τὴν ἄνθρωπον, ὡς οὐδὲν ἂν νεωτερίσαντος περὶ τὰ ἐμά, ἐγὼ μὲν τὴν τριήρη ἀποστείλας, οὐ πολλαῖς ἡμέραις ὕστερον πορίσας τὸ ἀργύριον, προσελ-

73 θὼν αὐτῷ ἐκέλευον ἐπὶ τὴν τράπεζαν ἀκολουθοῦντα, κομίζεσθαι τὴν καταδίκην. ὡς δὲ ταῦτ' ἀληθῆ λέγω, τούτων ὑμῖν ἀναγνώσεται τὰς μαρτυρίας.

Μαρτυρίαι.

* προσκαλεσάμενον

* αὐτῷ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## Μαρτυρίαι.

Ὁ δὲ Θεόφημος ἀντὶ τοῦ τὴν καταδίκην ἀπολαβεῖν, ἀκολουθήσας ἐπὶ τὴν
γ, ἀπῆξαν, ἐλθών μου τὰ πρόβατα λαμβάνει ποιμαινόμενα πεντήκοντα μαλα- 74
κά, καὶ τὸν ποιμένα μετ' αὐτῶν, καὶ πάντα τὰ ἀκόλουθα τῇ ποίμνῃ· ἔπειτα παῖδα
"ἠρτημένην διάκονον ὑδρίαν χαλκῆν ἀποφέροντα ἀλλοτρίαν "ἠτημένην, πολλοῦ ἀξίαν. καὶ
"εἰσελθόντες ταῦτα ἔχουσιν οὐκ ἐξήρκεσεν αὐτοῖς. ἀλλ' "ἐπεισελθόντες εἰς τὸ χωρίον· γεωργῶ δ'
πρὸς τῷ ἱπποδρόμῳ, καὶ οἰκῶ ἐνταῦθα ἐκ μειρακίου· πρῶτον μὲν ἐπὶ τοὺς οἰκέ- 75
"ἦξαν. γρ. ἥ-ξαν. τας "ἦξαν. ὡς δὲ οὗτοι διαφεύγουσιν αὐτούς, καὶ ἄλλος ἄλλῃ ἀπεχώρησεν, ἐλθόντες
εἰς τὴν οἰκίαν, καὶ καταβαλόντες τὴν θύραν τὴν εἰς τὸν κῆπον φέρουσαν, Εὔερ-
γός τε οὑτοσὶ ὁ ἀδελφὸς ὁ Θεοφήμου, καὶ Μνησίβουλος ὁ κηδεστὴς αὐτοῦ, οἷς οὐδε-
μίαν δίκην ὠφλήκειν, οὐδὲ προσῆκεν αὐτοῖς ἅπτεσθαι τῶν ἐμῶν οὐδενός, εἰσελθόν- 76
τες ἐπὶ τὴν γυναῖκά μου, καὶ τὰ παιδία, ἐξεφορήσαντο ὅσα ἔτι ὑπόλοιπά μοι
ἦν σκεύη ἐν τῇ οἰκίᾳ. ᾤοντο μὲν γὰρ οὐ τοσαῦτα μόνον λήψεσθαι, ἀλλὰ πολλῷ
πλείω τὴν προοῦσάν μοι τότε κατασκευὴν τῆς οἰκίας καταλήψεσθαι· ἀλλ' ὑπὸ
τῶν λειτουργιῶν καὶ τῶν εἰσφορῶν, καὶ τῆς πρὸς ὑμᾶς φιλοτιμίας, τὰ μὲν ἐνέχυρα 77
κεῖται αὐτῶν· τὰ δὲ, πέπραται. ὅσα δ' ἦν ἔτι ὑπόλοιπα, πάντα λαβόντες ᾤχον-
το. πρὸς δὲ τούτοις, ὦ ἄνδρες δικασταί, ἔτυχεν ἡ γυνή μου μετὰ τῶν παίδων ἀριστῶ-
σα ἐν τῇ αὐλῇ· καὶ μετ' αὐτῆς τίτθη τις ἐμὴ γεγενημένη πρεσβυτέρα ἄνθρω-
πος, εὔνους καὶ πιστή, καὶ ἀφειμένη ἐλευθέρα ὑπὸ τοῦ πατρὸς τοῦ ἐμοῦ. συνῴκησε 78
δὲ ἀνδρί, ἐπειδὴ ἀφείθη ἐλευθέρα. ὡς δὲ οὗτος ἀπέθανε, καὶ αὐτὴ γραῦς ἦν, καὶ οὐκ
ἦν αὐτὴν ὁ θρέψων, ἐπανῆκεν αὐτὴ ὡς ἐμέ. ἀναγκαῖον οὖν ἦν μὴ περιιδεῖν ἐν-
δεεῖς ὄντας, μηδὲ τὴν τίτθην ἐμὴν γενομένην, καὶ παιδαγωγόν. ἅμα δὲ καὶ τριη-
ραρχῶν ἐξέπλεον, ὥστε καὶ τῇ γυναικὶ βουλομένῃ ἦν τοιαύτην οἰκουρὸν μετ' αὐ- 79
τῆς με καταλιπεῖν. ἀριστώντων δὲ ἐν τῇ αὐλῇ, ὡς ἐπεισπηδῶσιν οὗτοι, καὶ κατα-
λαμβάνουσιν αὐτάς, καὶ ἥρπαζον τὰ σκεύη, αἱ μὲν ἄλλαι θεράπαιναι· ἐν τῷ πύρ-
γῳ γὰρ ἦσαν, οὗπερ διαιτῶνται· ὡς ἤκουσαν τῆς κραυγῆς, κλείουσι τὸν πύργον, καὶ ἐν-
ταῦθα μὲν οὐκ εἰσῆλθον· τὰ δ' ἐκ τῆς ἄλλης οἰκίας ἐξέφερον σκεύη, ἀπαγορευούσης 80
τῆς γυναικὸς μὴ ἅπτεσθαι αὐτῶν, καὶ λεγούσης, ὅτι αὐτῆς εἴη ἐν τῇ προικὶ τετιμημένα,
καὶ ὅτι τὰ πρόβατα ἔχετε πεντήκοντα, καὶ τὸν ποιμένα πλείονος ἄξια, ἢ κατεδικά-
σασθε· ἀπήγγελε γάρ τις αὐταῖς τῶν γειτόνων κόψας τὴν θύραν· ἔτι δὲ ἔφη τὸ ἀρ-
γύριον αὐτοῖς κείμενον εἶναι ἐπὶ τῇ τραπέζῃ· ἀκηκόει γὰρ ἐμοῦ· κἂν περιμείνητε, ἔφη, 81
ἢ μετέλθῃ τις ὑμῶν αὐτῶν, ἔχοντες ἄπιτε τὸ ἀργύριον ἤδη· τὰ δὲ σκεύη, ἐᾶτε· καὶ
μηδὲν τῶν ἐμῶν φέρετε, ἄλλως τε καὶ ἔχοντες ἄξια τῆς καταδίκης. ταῦτα δὲ λε-
γούσης τῆς γυναικός, οὐχ ὅπως ἐπέσχον, ἀλλὰ καὶ τῆς τίτθης τὸ κυμβίον λαβού-
σης παρακείμενον αὐτῇ, ἐξ οὗ ἔπινε, καὶ ἐνθεμένης εἰς τὸν κόλπον, ἵνα μὴ οὗτοι λά- 82
βοιεν, ἐπειδὴ εἶδεν ἔνδον ὄντας αὐτούς, κατιδόντες αὐτὴν οὕτω διέθεσαν ἀφαιρού-
μενοι τὸ κυμβίον Θεόφημος καὶ Εὔεργος ἀδελφὸς αὐτοῦ οὑτοσί, ὥστε ὕφαιμοι μὲν
οἱ βραχίονες, καὶ οἱ καρποὶ τῶν χειρῶν αὐτῆς ἐγένοντο, ἀποστρεφομένης τὼ χεῖρε καὶ
ἑλκομένης ὑπὸ τούτων ἀφαιρουμένων τὸ κυμβίον· ἀμυχὰς δὲ ἐν τῷ τραχήλῳ εἶ- 83
"πέλιον χεν ἀγχομένη, "πελιὸν δὲ τὸ στῆθος. εἰς τοῦτο δ' ἦλθον πονηρίας, ὥστε ἕως ἀφείλοντο
τὸ κυμβίον ἐκ τοῦ κόλπου αὐτῆς, οὐκ ἐπαύσαντο ἄγχοντες καὶ τύπτοντες τὴν
γραῦν. ἀκούσαντες δὲ οἱ θεράποντες τῶν γειτόνων τῆς κραυγῆς, καὶ ὁρῶντες τὴν οἰ-

84 κίαν πορθουμένην τὴν ἐμήν, οἱ μὲν ἀπὸ τῶν τεγῶν τῶν ἑαυτῶν ἐκάλουν τοὺς
παριόντας, οἱ δὲ καὶ εἰς τὴν ἑτέραν ὁδὸν ἐλθόντες, καὶ ἰδόντες ἁγνόφιλον παριόντα,
ἐκέλευσαν παραγενέσθαι. προσελθὼν δὲ ὁ ἁγνόφιλος προσκληθεὶς ὑπὸ τοῦ
θεράποντος τοῦ ἀνθεμίωνος, ὅς ἐστί μοι γείτων, εἰς μὲν τὴν οἰκίαν οὐκ εἰσῆλθεν. οὐ
85 γὰρ ἡγεῖτο δίκαιον εἶναι μὴ παρόντος γε τοῦ κυρίου· ἐν δὲ τῷ τοῦ ἀνθεμίωνος χωρίῳ
ὤν, ἑώρα τά τε σκεύη ἐκφερόμενα, καὶ εὔεργον καὶ θεόφημον ἐξιόντας ἐκ τῆς ἐμῆς
οἰκίας. οὐ μόνον τοίνυν, ὦ ἄνδρες δικασταί, λαβόντες μου τὰ σκεύη ᾤχοντο, ἀλλὰ καὶ
τὸν υἱὸν ἦγον ὡς οἰκέτην, ἕως τῶν γειτόνων ἀπαντήσας αὐτοῖς ἑρμογένης, εἶπεν ὅτι υἱός
86 μου εἴη. ὡς δὲ ταῦτ' ἀληθῆ λέγω, ἀναγνώσεται ὑμῖν τὰς μαρτυρίας.

Μαρτυρία.

Ἐπειδὴ τοίνυν μοι ἀπηγγέλθη εἰς πειραιᾶ τὰ γεγενημένα, ὑπὸ τῶν γειτόνων,
ἐλθὼν εἰς ἀγρόν, τούτους μὲν οὐκέτι καταλαμβάνω· ἰδὼν δὲ τὰ ἐκ τῆς οἰκίας ἐκ-
87 πεφορημένα, καὶ τὴν γραῦν ὡς διέκειτο, καὶ ἀκούσας τῆς γυναικὸς τὰ γενόμενα,
προσελθὼν τῷ θεοφήμῳ τῇ ὑστεραίᾳ ἕωθεν ἐν τῇ πόλει μάρτυρας ἔχων, ἐκέλευον
αὐτὸν πρῶτον μὲν τὴν καταδίκην ἀπολαμβάνειν, καὶ ἀκολουθεῖν ἐπὶ τὴν τρά-
πεζαν· ἔπειτα, τὴν ἄνθρωπον θεραπεύειν, ἣν συνέκοψαν, καὶ ἰατρὸν εἰσάγειν, ὃν
88 αὐτοὶ βούλοιντο. ταῦτα δέ μου λέγοντος, καὶ διαμαρτυρομένου, κακά με πολλὰ
εἰπόντες, ὁ μὲν θεόφημος ἠκολούθει μόλις διατρίψας ἐμποιῶν, καὶ φάσκων βού-
λεσθαι καὶ αὐτός τινας παραλαβεῖν μάρτυρας. ταῦτα δ' ἔλεγε, τεχνάζων χρό-
νον ἐγγενέσθαι. ὁ δ' εὔεργος οὑτοσὶ εὐθὺς ἐκ τῆς πόλεως μεθ' ἑτέρων ὁμοίων αὑτῷ
89 ἐλθὼν εἰς ἀγρόν, τὰ ὑπόλοιπα σκεύη, εἴ τινα ἐν τῇ προτεραίᾳ ἐν τῷ πύργῳ ἄπαν
ἦν, καὶ οὐκ ἐτύγχανεν ἔξω ὄντα, ἐπειδὴ δ' ἐγὼ ἦλθον, διὰ τὴν χρείαν κατηνέχθη,
ἐκβαλὼν τὴν θύραν, ἥνπερ καὶ τῇ προτεραίᾳ ἐξέβαλε κακῶς ἐπικεῖσθαι, ᾤχε-
τό μου λαβὼν τὰ σκεύη· ᾧ οὔτε δίκην ὠφλήκειν, οὔτε συμβόλαιον ἦν μοι πρὸς αὐτὸν
90 οὐδέν. ἐκτίνοντος δέ μου τῷ θεοφήμῳ, ᾧ ὠφλήκειν, τὴν δίκην, ἐπειδὴ ἐξέτινον πολ-
λῶν παρόντων μαρτύρων, χιλίας μὲν καὶ ἑκατὸν δραχμὰς καὶ τρεῖς καὶ δύο ὀβολὼ
τὴν ἐπωβελίαν, τριάκοντα δὲ τὰ πρυτανεῖα· τῶν γὰρ ἄλλων οὐδὲν αὐτῷ ἐπιτι-
μίαν ὦφλον. λαβὼν τοίνυν παρ' ἐμοῦ ἐπὶ τῇ τραπέζῃ χιλίας τριακοσίας δεκα-
91 τρεῖς δύ' ὀβολὼ τὸ σύμπαν κεφάλαιον, ἀπαιτοῦντός μου τά τε πρόβατα, καὶ τὰ
ἀνδράποδα, καὶ τὰ σκεύη, ἃ ἡρπάκει μου, οὐκ ἔφη ἀποδώσειν μοι, εἰ μή τις αὐτὸν
ἀφήσει, καὶ τοὺς μετ' αὐτοῦ τῶν ἐγκλημάτων, καὶ τοὺς μάρτυρας τῶν ψευδομαρ-
τυριῶν. ταῦτα δὲ ἀποκριναμένου αὐτοῦ, μάρτυρας μὲν ἐποιησάμην τῆς ἀπο-
92 κρίσεως τοὺς παρόντας, τὴν δὲ δίκην ἐξέτισα· ὑπερήμερος δὲ οὐκ ᾤμην δεῖν ἐ-
μαυτὸν εἶναι. τὸν δ' εὔεργον οὐδ' ἤδη εἰσεληλυθότα μου εἰς τὴν οἰκίαν ταύτῃ τῇ
ἡμέρᾳ, ἀλλ' αὐτίκα ἡ δίκη ἐξετέτιστο, καὶ εἶχεν ὁ θεόφημος τά τε πρόβατα, καὶ
τὰ ἀνδράποδα, καὶ τὰ σκεύη τὰ τῇ προτεραίᾳ παρειλημμένα· καὶ ἄγγελος ἦλθέ
μοί τις λιθοκόπος τὸ πλησίον μνῆμα ἐξεργαζόμενος, ὅτι πάλιν οἴχεται εὔεργος τὰ
ὑπόλοιπά μου σκεύη ἐκφορήσας ἐκ τῆς οἰκίας· πρὸς ὃν οὐδέν μοι πρᾶγμα ἦν.
ὡς οὖν ἀληθῆ λέγω, καὶ ὅτι τῇ μὲν προτεραίᾳ εἰλήφεσάν μου τὰ ἐνέχυρα, καὶ πάλιν
αὐθημερὸν εἰσεληλύθασιν εἰς τὴν οἰκίαν, ἐκτίνοντος τὴν δίκην. τῇ δ' ὑστεραίᾳ, ἐκομίσατο τὸ γ. οἰκίαν, τῇ δ' ὑστεραίᾳ ἐκτίνοντι τὴν δίκην, καὶ ἐκομ-
ἀργύριον παρ' ἐμοῦ. καίτοι πῶς ἂν εἰ μὴ πεπορισμένον τε ἦν, ὃ ἐπηγγέλκειν αὐ-
τοῖς, εὐθὺς ἂν ἀπέλαβον; τούτων ὑμῖν ἀναγνώσεται τὰς μαρτυρίας.

Μαρτυ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Μαρτυρίαι.

Ἐπειδὴ τοίνυν, ὦ ἄνδρες δικασταί, ἐπαγγειλαμένου μου αὐτῷ θεραπεύειν τὴν
ἄνθρωπον, ἣν συνέκοψαν, καὶ ἰατρὸν εἰσάγειν, οὐκ ἐφρόντιζον, ἐγὼ αὐτὸς εἰσή-
γαγον ἰατρόν, ᾧ πολλὰ ἔτη ἐχρώμην, ὃς ἐθεράπευεν αὐτὴν ἀρρωστοῦσαν. καὶ 95
ἐπέδειξα ὡς εἶχεν, ἀγαγὼν μάρτυρας. ἀκούσας δὲ τοῦ ἰατροῦ, ὅτι ἀσθενοίη, καὶ οὐδὲν
οὐκέτι εἴη ἡ ἄνθρωπος, πάλιν ἑτέρους μάρτυρας παραλαβὼν, τήν τε ἄνθρω-
πον ἐπέδειξα, ὡς εἶχε, καὶ ἐπήγγελλα τούτοις θεραπεύειν. ἕκτῃ τοίνυν ἡμέρᾳ ὕστε- 96
ρον, ἢ οὗτοι εἰσῆλθον εἰς τὴν οἰκίαν, ἐτελεύτησεν ἡ τίτθη. ὡς δὲ ἀληθῆ λέγω, τούτων
ὑμῖν ἀναγνώσεται τὰς μαρτυρίας.

Μαρτυρίαι.

Ἐπειδὴ τοίνυν ἐτελεύτησεν, ἦλθον ὡς τοὺς ἐξηγητάς, ἵνα εἰδείην ὅ,τι με χρὴ 97
ποιεῖν περὶ τούτων. καὶ διηγησάμην αὐτοῖς ἅπαντα τὰ γενόμενα, τήν τε ἄφιξιν
τὴν τούτων, καὶ τὴν εὔνοιαν τῆς ἀνθρώπου, καὶ ὡς εἶχον αὐτὴν ἐν τῇ οἰκίᾳ, καὶ ὡς
διὰ τὸ κυμβίον οὐκ ἀφιεῖσα, τετελευτήκει. ἀκούσαντες δέ μου οἱ ἐξηγηταὶ ταῦ-
τα, ἤροντό με, πότερον ἐξηγήσωνταί μοι μόνον, ἢ καὶ συμβουλεύσωσιν. ἀποκριναμέ- 98
νου δέ μου αὐτοῖς ἀμφότερα, εἶπόν μοι, ὅτι ἡμεῖς τοίνυν σοι τὰ μὲν νόμιμα ἐξηγη-
σόμεθα, τὰ δὲ συμφέροντα παραινέσομεν. πρῶτον μὲν ἐπενεγκεῖν δόρυ ἐπὶ τῇ ἐκφο-
ρᾷ, καὶ προαγορεύειν ἐπὶ τῷ μνήματι, εἴ τις προσήκων ἐστὶ τῆς ἀνθρώπου, ἔπει-
τα τὸ μνῆμα φυλάττειν ἐπὶ τρεῖς ἡμέρας. τάδε συμβουλεύομέν σοι, ἐπειδὴ αὐτὸς 99
μὲν οὐ παρεγένου, ἡ δὲ γυνὴ, καὶ τὰ παιδία, ἄλλοι δέ σοι μάρτυρες οὐκ εἰσίν, ὀνομαστὶ
μὲν οὐδενὶ μὴ προαγορεύειν, τοῖς δεδρακόσι δέ, καὶ κτείνασιν· εἶτα πρὸς τὸν βασι-
λέα μὴ λαγχάνειν. οὐδὲ γὰρ ἐν τῷ νόμῳ ἐστί σοι· οὐ γάρ ἐστιν ἐν γένει σοι ἡ ἄνθρω-
πος, οὐδὲ θεράπαινα, ἐξ ὧν σὺ λέγεις. οἱ δὲ νόμοι τούτων κελεύουσι τὴν δίωξιν εἶναι. 100
ὥστ' εἰ διομεῖ ἐπὶ Παλλαδίῳ αὐτὸς, καὶ ἡ γυνὴ, καὶ τὰ παιδία, καὶ καταράσεσθε
αὐτοῖς, καὶ τῇ οἰκίᾳ, χείρων τε δόξεις πολλοῖς εἶναι, κἂν μὲν ἀποφύγῃς, ἐπιωρκηκέναι·
* φθονηθήσῃ ἐὰν δὲ ἕλῃς, * φθονήσῃ. ἀλλ' ὑπὲρ σαυτοῦ, καὶ τῆς οἰκίας ἀφοσιωσάμενος ὡς ῥᾷστα
τὴν συμφορὰν φέρειν, ἄλλῃ δ', εἴ πῃ βούλει, τιμωροῦ. ταῦτα ἀκούσας ἐγὼ τῶν ἐξηγη- 101
τῶν, καὶ τοὺς νόμους ἐπισκεψάμενος τοὺς τοῦ Δράκοντος ἐκ τῆς στήλης, ἐβουλευόμην
χρ μετὰ τῶν φίλων ὅ,τι χρή με ποιεῖν. συμβουλευόντων δέ μοι ταῦτα, ἃ μὲν ὑπὲρ τῆς
οἰκίας προσῆκέ μοι πρᾶξαι, καὶ ἃ ἐξηγήσαντό μοι οἱ ἐξηγηταί, ἐποίησα. ἃ δ'
ἐκ τῶν νόμων οὐκέτι μοι προσῆκεν, ἡσυχίαν εἶχον. κελεύει γὰρ ὁ νόμος, ὦ ἄνδρες 102
δικασταί, τοὺς προσήκοντας ἐπεξιέναι μέχρις ἀνεψιαδῶν· καὶ ἐν τῷ ὅρκῳ διορίζε-
ται, ὅ,τι προσήκων ἐστί, κἂν οἰκέτης ᾖ, τούτων τὰς ἐπισκήψεις εἶναι. ἐμοὶ δὲ οὔτε γένει
προσῆκεν ἡ ἄνθρωπος οὐδέν, εἰ μὴ ὅσον τίτθη γενομένη, οὐδ' αὖ θεράπαινα·
ἀφεῖτο γὰρ ὑπὸ τοῦ πατρὸς τοῦ ἐμοῦ ἐλευθέρα, καὶ χωρὶς ᾤκει, καὶ ἄνδρα ἔσχε. 103
ψεύσασθαι δὲ πρὸς ὑμᾶς, καὶ διομόσασθαι αὐτὸς τὸν υἱὸν καὶ τὴν γυναῖκα, οὐκ
ἂν ἐτόλμησα, οὐδ' ἂν εἰ εὖ ᾔδειν ὅτι αἱρήσοιμι αὐτούς. οὐ γὰρ οὕτω τούτους μισῶ, ὡς
ἐμαυτὸν φιλῶ. ἵνα δὲ μὴ λόγῳ μόνον ἀκούσητέ μου, αὐτὸν ὑμῖν τὸν νόμον ἀναγνώ-
σεται.

Νόμος. 104

Πολλαχόθεν μὲν οὖν, οἶμαι, ὦ ἄνδρες δικασταί, καταφανῆ ὑμῖν τὴν μαρτυ-
ρίαν εἶναι, ὡς ψευδής ἐστιν, οὐχ ἥκιστα δ' ἐκ τῶν πεπραγμένων αὐτοῖς ῥᾴδιον γνῶ-
ναι. οὗτοι γὰρ ᾤοντο, ὦ ἄνδρες δικασταί, ἐμέ, εἰ πολλά μου λάβοιεν ἐνέχυρα, ἀσμε- 105

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νον ἀφήσειν με τοὺς μάρτυρας τῶν ψευδομαρτυριῶν, ὥστε ἀπολαβεῖν μετὰ ἐνεχύ-
ρα. καὶ ἐπειδὴ ἐδεήθην αὐτοῦ ἀναβαλέσθαι μου τὴν ὑπερημερίαν, ἄσμενος ἤκου-
σεν, ἵνα ὑπερήμερος αὐτῷ γενοίμην, καὶ ἐκφορήσαιτό μου ὡς πλεῖστα. καὶ διὰ τοῦτο
106 ἀκάκως καὶ ταχύ μοι ὡμολόγησεν, ἵνα πιθανὸς γένηται, καὶ μὴ καταφανὴς ἐπι-
βουλεύων, ἡγούμενος οὐκ εἶναι αὐτῷ δι' ἄλλου τρόπου τοὺς μάρτυρας ἀφεθῆναι τῶν
ψευδομαρτυριῶν, ἢ διὰ τὸ ἐξαπατῆσαι, καὶ λαβεῖν με ὑπερήμερον, καὶ ἐκφορή-
σασθαι ὡς πλεῖστα. οὐ γὰρ ὅσα ἔχουσί μου, ᾤετο λήψεσθαι, ἀλλὰ πολλῷ πλείω. καὶ
107 τὸν μὲν ἄλλον χρόνον ἀνέμενεν, ὡς διὰ ταχέων με ποιοῦντα αὐτῷ τὸ ἀργύριον,
βουλόμενος ὑπ' αὐτοὺς τοὺς ἀγῶνας τῶν ψευδομαρτυριῶν τὴν ἐνεχυρασίαν
μου ποιήσασθαι. ἐπειδὴ δ' ἐπείσθην αὐτῷ κομίσασθαι τὴν δίκην, ἐλθών μου τά τε
σκεύη, καὶ τοὺς οἰκέτας, καὶ τὰ πρόβατα ἔλαβεν* ἀντὶ τοῦ ἀπολαβεῖν. γεωργῶ δὲ — * ἀντὶ τοῦ τὸ ἀργύριον τῆς δίκης ἀπολαβεῖν.
108 πρὸς τῷ ἱπποδρόμῳ, ὥστε οὐ πόρρω ἔδει αὐτὸν ἐλθεῖν. ὅτι δ' ἀληθῆ λέγω, μέγα
τεκμήριον ὑμῖν ἔστω. τῇ ὑστεραίᾳ γὰρ ἐκομίσατο τὸ ἀργύριον τῆς δίκης, ἢ τὰ ἐνέ-
χυρα ἔλαβε. καίτοι πῶς ἄν, εἰ μὴ πεπορισμένος ἦν, εὐθὺς ἀπέλαβε τὸ ἀργύριον
χιλίας τριακοσίας δεκατρεῖς, δύ' ὀβολώ; καὶ τὰ ἐνέχυρά μοι οὐκ ἀπεδίδου, ἀλλ' ἔ-
109 τι καὶ νῦν ἔχει ὡς ὑπερημέρου ὄντος. ὅτι δ' οὐκ ἦν αὐτῷ ὑπερήμερος, ἀνάγνωθί μοι
τὸν νόμον καὶ τὴν μαρτυρίαν, ὃς κελεύει κύρια εἶναι, ὅ, τι ἂν ἕτερος ἑτέρῳ ὁμολογή-
σῃ. ὥστε οὐκέτι ἦν αὐτῷ δήπου ὑπερήμερος.

Νόμος. Μαρτυρία.

110 Ὡς μὲν τοίνυν ὡμολόγησέ μοι, καὶ ἀνεβάλετο τὴν ὑπερημερίαν, μεμαρτύ-
ρηται ὑμῖν. ὡς δὲ ἐτριηράρχουν, ὁ συντριήραρχός μοι μεμαρτύρηκε· καὶ ὡς ἡ ναῦς
ἡ στρατηγὶς κατεσκευάσθη Ἀλκιμάχῳ. ὥστ' οὐκέτι ἦν αὐτῷ δήπου ὑπερήμερος
ἀναβαλλομένῳ μοι,* ἔτι δὲ καὶ ἐκτίνειν· ἀλλὰ δεινὴ ἡ πλεονεξία τοῦ τρόπου, ὦ ἄνδρες — * ἔτι δὲ καὶ ἐπὶ χιλίας ἐκτίνειν
111 δικασταί, περὶ τὸ πλέον καὶ τὸ ἔλαττον. καὶ εὖ ᾔδεσαν, ὅτι εἰ μὲν τὸν ἄνθρωπον πα-
ραδώσουσιν, ἐξελεγχθήσονται ψευδῆ ἐγκαλέσαντες. εἰ δὲ μὴ παραδώσουσιν ἣν ἐμαρ-
τύρησαν, ὡς οὐκ ἤθελε* παραδιδόναι, ψευδομαρτυριῶν ἁλώσονται. δέομαι δ' — * ἤθελον
ὑμῶν, ὦ ἄνδρες δικασταί, εἴ τις ἄρα τῶν τότε δικαζόντων, τυγχάνει ὢν ἐν τῷ δικαστη-
112 ρίῳ, τοῖς αὐτοῖς χρήσασθαι ἤθεσιν, οἷσπερ καὶ τότε. καὶ εἰ μὲν ἡ μαρτυρία πιστὴ ὑμῖν ἔδο-
ξεν εἶναι, καὶ ἐγὼ φεύγειν τὸν ἔλεγχον, τὸν ἐκ τοῦ ἀνθρώπου, νῦν ἐξελεγχομένων αὐτῶν
ψευδῆ μεμαρτυρηκότων, καὶ οὐ παραδιδόντων τὸν ἄνθρωπον, βοηθῆσαί μοι. εἰ δέ
μοι ὀργισθῆτε, ὅτι ἐνεχυράσων ἦλθον ἐπὶ τὴν οἰκίαν τὴν τοῦ Θεοφήμου, καὶ τούτοις
113 νῦν ὀργισθῆναι, ὅτι ἐπὶ τὴν ἐμὴν ἦλθον. καὶ ἐγὼ μὲν ὑπὸ νόμων καὶ ψηφισμάτων
ἀναγκαζόμενος, πρόνοιαν ἐποιησάμην τοῦ μήτε ἐπὶ τὸν πατέρα τὸν τούτου εἰσελ-
θεῖν, μήτε ἐπὶ τὴν μητέρα, μήτε τῶν τοῦ ἀδελφοῦ λαβεῖν μηδέν, ἀλλ' οὗ αὐτὸς
ᾤκει ὁ Θεόφημος· καὶ ἐπειδὴ οὐ κατέλαβον αὐτὸν ἔνδον, οὐχ ἁρπάσας ᾠχόμην οὐ-
114 δέν, ἀλλὰ μετελθεῖν ἐκέλευσα αὐτόν· καὶ παρόντος, οὐκ ἀπόντος τὴν ἐνεχυρασίαν
ἐποιησάμην· καὶ ἀφαιρούμενος ἀφῆκα, καὶ ἀπῆλθον ἐπὶ τὴν βουλήν, πρὸς τοὺς κυρίους.
καὶ εἰσαγγείλας, καὶ ἑλὼν ἐν τῇ βουλῇ, ἀπαρκεῖν ἡγησάμην τὰ μὲν σκεύη ἀπολαβεῖν
ἁπλᾶ, περὶ δὲ τῶν πληγῶν ἐπιτρέψαι, τῷ δὲ τιμήματι συγχωρῆσαι. ὥστε ἐγὼ μὲν
οὕτω πρᾶος περὶ τούτους ἦν· οὗτοι δὲ οὕτως ἀσελγεῖς καὶ βδελυροί, ὥστ' ἐπὶ τὴν
γυναῖκα, καὶ τὰ παιδία ἐλθεῖν, ἔχοντες μὲν τὰ πρόβατα, καὶ τοὺς οἰκέτας, πλείονος
ἄξια, ἢ κατεδικάσαντο. ἀναβαλλόμενοι δὲ τὴν ὑπερημερίαν, ἐπαγγείλαντος δέ μου
κομίζεσθαι

θμίζεσθαι αὖθις τὴν δίκην, ὡς μεμαρτύρηται ὑμῖν· καὶ εἰσελθόντες εἰς τὴν οἰκίαν, 116
τά τε σκεύη ἐκφορῆσαι, τήν τε τιτθὴν συγκόψαι γραῦν γυναῖκα ἕνεκα κυμ-
βίου, καὶ ταῦτα πάντα ἔτι ἔχειν, καὶ μὴ ἀποδιδόναι, ἐκτετικότος ἐμοῦ τὴν δίκην
χιλιάδας τριακοσίας δεκατρεῖς δύ' ὀβολώ. εἰ δέ τις ἀγνοήσας αὐτοὺς τότε ἀκά-
κως ἡγήσατο, καὶ ἀπράγμονας εἶναι, βούλομαι ὑμῖν περὶ αὐτῶν τὰς μαρτυρίας 117
ἀναγνῶναι, ἃς μεμαρτυρήκασί μοι οἱ ὑπὸ τούτων ἠδικημένοι· λόγῳ μὲν γὰρ διη-
γήσασθαι, οὐκ ἂν ἱκανόν μοι γένοιτο τὸ ὕδωρ, ἵν' ἐκ τούτων ἁπάντων σκεψάμενοι,
τῶν τε λεχθέντων καὶ τῶν μαρτυρουμένων, ὁσίαν καὶ δικαίαν ὑπὲρ ὑμῶν αὐτῶν τί-
θησθε τὴν ψῆφον. Λέγε τὰς μαρτυρίας. Μαρτυρίαι. 118

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΚΑΤΑ ΟΛΥΜΠΙΟΔΩΡΟΥ, βλάβης λόγου.

ΠΟικίλην ἔχει περιπέτειαν πραγμάτων ὁ λόγος. Κόνων γάρ τις ἀνὴρ Ἀθηναῖος ἄπαις τελευτᾷ, ὡς ἐπίδικον τοῖς οἰκείοις γενέσθαι τὸν κλῆρον. Καλλίστρατος μὲν οὖν ὁ τὸν λόγον τουτονὶ λέγων, ὅλον τὸν κλῆρον τοῦτον ἑαυτῷ προσήκειν φησίν. ἐγγυτάτω γὰρ κατὰ γένος αὐτὸς εἶναι τῷ Κόνωνι. ἀλλὰ τοῦτο μὲν τάχ' ἂν καὶ ψεύδοιτο, καὶ λόγῳ κατασκευάζοι ψιλῷ. Ὀλυμπιόδωρος δὲ πρὸς ὃν ἡ δίκη, καὶ αὐτὸς ἠμφισβήτησεν ἐξ ἀρχῆς τοῦ κλήρου. ἦσαν δὲ οἰκείω, ὅ τε Ὀλυμπιόδωρος, καὶ ὁ Καλλίστρατος. ἀδελφὴν γὰρ Ὀλυμπιοδώρου Καλλίστρατος εἶχε γυναῖκα. ἔδοξεν οὖν αὐτοῖς μὴ διαφέρεσθαι, ἀλλὰ νέμεσθαι μὲν ἐξ ἴσης τὴν οὐσίαν τοῦ τελευτήσαντος, ὅση φανερά τε ἦν, καὶ ὡμολογημένη κοινῇ νῇ, καὶ κοινῇ πράττειν περὶ τούτων πάντα. προσεδόκων γὰρ ἥξειν τινὰς ἀμφισβητοῦντας αὐτοῖς τοῦ του· καὶ συνθήκας ἔγραψαν, καὶ κατέθεντο παρ' Ἀνδροκλείδῃ φίλῳ τινὶ κοινῷ. οἰκέτης δὲ ἦν Κόνωνος σὸς ἐκείνῳ νομισθείς. τοῦτον Ὀλυμπιόδωρος λαμβάνει, καὶ διαβληθέντα χιλίας ὑφῃρῆσθαι τοῦ Κόνωνος ιίζει μετὰ Καλλιστράτου. καὶ ὡς ὡμολόγησεν ὁ οἰκέτης τὸ ἀργύριον, νέμεται καὶ τοῦτο πρὸς τὸν Καλλί- συνθήκας ἐξ ἴσης. ὑπονοήσας δὲ καὶ πλείονας ἔχειν ἀργύριον τὸν ἄνθρωπον, οὐκέτι παραλαβὼν τὸν ος βασανίζει, καὶ μνᾶς ἑβδομήκοντα λαμβάνει μόνος. περὶ δὲ τοῦτον τὸν καιρὸν ἀμφισβητοῦσι τοῦ κλή- ἄλλοι, καὶ ὁ ἀδελφὸς ὁ Καλλιστράτου Κάλλιππος ὁμοπάτριος ὤν. βουλευόμενοι κοινῇ περὶ τῶν ἀγώ- νος καὶ Καλλίστρατος συντίθενται, ὁ μὲν Ὀλυμπιόδωρος ἀμφισβητεῖν ὅλου τοῦ κλήρου, ὁ δὲ Καλλίστρα- λου. στρατευομένων δὲ Ἀθηναίων εἰς Ἀκαρνανίαν, ᾤχετο καὶ Ὀλυμπιόδωρος. ἦν γὰρ τῶν ἐκ καταλόγου. ρίσης οἱ δικασταὶ πρόφασιν τὴν στρατείαν εἶναι πεισθέντες, ἀνεῖλον αὐτῶν τὴν διαδικασίαν· διὸ φη- καὶ αὐτὸς ἐκλείπειν τὴν τοῦ ἡμικλήρου δίκην, ταῖς συνθήκαις ἐμμένων, ἐπειδὴ κοινῇ πάντα πράτ- δὲ ἐπανῆλθεν ἀπὸ τῆς στρατείας Ὀλυμπιόδωρος, πάλιν δὴ ἐκεῖνα λύεται πρὸς νενικηκότας, καὶ αὐτὸς τος, δεδωκότος τοῦτο τοῦ νόμου. καὶ ἀμφισβητοῦσι τοῦ κλήρου καθάπερ ἐξ ἀρχῆς, ὁ μὲν, τοῦ ἡμίσεως ὁ δὲ, ἕτερος δὲ λέγων Ὀλυμπιόδωρος, νικᾷ τὸν κλῆρον. νικήσας δὲ καὶ λαβὼν ὅλον, οὐκ ἐμμένει ταῖς συν- ἀρχῆς ἐποιήσατο· οὐδὲ δίδωσι τὰ ἡμίση τῷ Καλλιστράτῳ. ὁ δὲ αὐτὸν ἀπαιτεῖ, καὶ τῶν ἑβδομήκοντα τοῦ Μοσχίωνος τὸ ἥμισυ, καὶ τῆς ὅλης οὐσίας, ταῖς συνθήκαις ἰσχυριζόμενος, καὶ λέγων καὶ ἐν τῇ τελευ- γωνίσασθαι τῷ Ὀλυμπιοδώρῳ, καὶ συγκεχωρηκέναι, καὶ τοὺς λόγους εἰπεῖν οὓς ἐβούλετο, καὶ μάρτυρας υδεῖς, ὡς εἰ μὴ κοινῇ καὶ συντιθέμενοι πρὸς ἀλλήλους ἠγωνίζοντο, ῥᾳδίως ἂν ἐξελέγξαι, καὶ οὐκ ἐᾶσαι ρον νικῆσαι τὴν δίκην.

# ΗΜΟΣΘΕΝΟΥΣ ΚΑΤΑ ΟΛΥΜΠΙΟΔΩΡΟΥ, ΒΛΑΒΗΣ ΛΟΓΟΣ.

ΑΝΑΓΚΑΙΟΝ ἴσως ἐστίν, ὦ ἄνδρες δικασταί, καὶ τοὺς μὴ 1
εἰωθότας, μηδὲ δυναμένους εἰσιέναι εἰς δικαστήριον, ἐπειδὰν
ὑπό τινος ἀδικῶνται, ἄλλως τε, καὶ ὑφ' ὧν ἥκιστα ἀδικεῖσθαι
προσήκει, ὅπερ καὶ ἐμοὶ νυνὶ συμβαίνει. οὐ βουλόμενος γάρ, ὦ ἄν- 2
δρες δικασταί, ἀγωνίζεσθαι πρὸς Ὀλυμπιόδωρον οἰκεῖον ὄντα,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ ἀδελφὴν τούτου ἔχων, ἠνάγκασμαι διὰ τὸ μεγάλ' ἀδικεῖσθαι ὑπὸ τούτου. εἰ μὲν
οὖν μὴ ἀδικούμενος, ὦ ἄνδρες δικασταί, ἀλλὰ ψευδές τι ἐγκαλῶν Ὀλυμπιοδώρῳ,
τούτων τι ἐποίουν, ἢ τοῖς ἐπιτηδείοις τοῖς ἐμοῖς καὶ Ὀλυμπιοδώρου μὴ ἐθέλων ἐπι-
3 τρέπειν, ἢ ἄλλου τινὸς τῶν δικαίων ἀφιστάμενος, εὖ ἴστε ὅτι πάνυ ἂν ᾐσχυνόμην, καὶ
ἐνόμιζον ἂν ἐμαυτὸν φαῦλον εἶναι ἄνθρωπον. νῦν δ' οὔτε μικρὰ ἐλαττούμενος
ὑπὸ Ὀλυμπιοδώρου, οὔτε διαλλακτὴν οὐδένα φεύγων, οὔτ' ἂν μὰ τὸν Δία τὸν
μέγιστον ἑκών, ἀλλ' ὡς οἷόν τε μάλιστα ἄκων ἠνάγκασμαι ὑπὸ τούτου ἀγωνίζεσθαι
4 ταύτην τὴν δίκην. δέομαι οὖν ὑμῶν, ὦ ἄνδρες δικασταί, ἀκούσαντας ἀμφοτέρων
ἡμῶν, καὶ αὐτοὺς δοκιμαστὰς τοῦ πράγματος γενομένους, μάλιστα μὲν διαλλάξαν-
τας ἀποπέμψαι, καὶ εὐεργέτας ἡμῶν ἀμφοτέρων ὑμᾶς γενέσθαι· ἐὰν δ' ἄρα μὴ
ἐπιτυγχάνητε τούτου, ἐκ τῶν ὑπολοίπων, τῷ τὰ δίκαια λέγοντι, τούτῳ τὴν ψῆ-
5 φον ὑμᾶς προσθέσθαι. πρῶτον μὲν οὖν μαρτυρίας ἀναγνώσεται, ὅτι οὐκ ἐγὼ ἀναγνώσομαι
αἴτιός εἰμι τοῦ εἰς τὸ δικαστήριον εἰσιέναι, ἀλλ' αὐτὸς οὗτος. Λέγε τὰς μαρτυρίας.

Μαρτυρίαι.

Ὅτι μὲν οὖν, ὦ ἄνδρες δικασταί, καὶ μέτρια καὶ προσήκοντα προὐκαλούμην Ὀ-
6 λυμπιόδωρον, μεμαρτύρηται ὑπὸ τῶν παραγενομένων. οὐκ ἐθέλοντος δὲ τούτου οὐδ'
ὁτιοῦν ποιεῖν τῶν δικαίων, ἀναγκαῖόν ἐστι πρὸς ὑμᾶς λέγειν περὶ ὧν ἀδικοῦμαι ὑπὸ
Ὀλυμπιοδώρου. ἔστι δὲ βραχὺς ὁ λόγος. ἦν γάρ, ὦ ἄνδρες δικασταί, Κόνων Ἁλαιεύς, οἰ-
κεῖος ἡμέτερος. οὗτος ὁ Κόνων ἐτελεύτησεν ἄπαις, ὀλίγον πάνυ χρόνον ἀρρωστήσας.
7 ἐβίω δὲ πολλὰ ἔτη, καὶ ἦν πρεσβύτερος ὅτε ἐτελεύτα. καὶ ἐγὼ ὡς ᾐσθόμην, ὅτι οὐχ
οἷός τε ἔσται περιγενέσθαι, μεταπέμπομαι τουτονὶ Ὀλυμπιόδωρον, ὅπως ἂν παρῇ
καὶ συνεπιμελῆται μεθ' ὑμῶν ἁπάντων ὧν προσῆκε. καὶ Ὀλυμπιόδωρος οὑτοσί, ὦ
ἄνδρες δικασταί, ἐπειδὴ ἦλθεν ὡς ἐμέ, καὶ τὴν ἀδελφὴν τὴν ἑαυτοῦ, ἐμὴν δὲ γυναῖκα, μεθ'
8 ἡμῶν ἅπαντα διῴκει. ὄντων δ' ἡμῶν περὶ ταύτην τὴν πραγματείαν, ἐξαίφνης
λόγον μοι προσέφερεν Ὀλυμπιόδωρος οὑτοσί, ὅτι καὶ ἡ μήτηρ αὐτοῦ προσήκουσα εἴη
τῷ Κόνωνι τῷ τετελευτηκότι, καὶ ὅτι δίκαιον εἴη καὶ αὐτὸν τὸ μέρος λαβεῖν ἁπάντων, ὧν ὁ
Κόνων κατέλιπε. ἐγὼ δ', ὦ ἄνδρες δικασταί, συνειδὼς ὅτι ἐψεύδετο, καὶ ἀναισχυντεῖν
9 ἐπεχείρει, ὅτι οὐδεὶς ἦν ἄλλος τῷ Κόνωνι γένει ἐγγυτέρω ἐμοῦ, τὸ μὲν πρῶτον ὡς οἷόν
τε μάλιστα ὠργίσθην, καὶ ἠγανάκτησα ἐπὶ τῇ ἀναισχυντίᾳ τοῦ λόγου· ἔπειτα δ' ἐ-
λογισάμην πρὸς ἐμαυτόν, ὅτι οὐκ ἐν καιρῷ ὀργιζοίμην, καὶ τούτῳ ἀπεκρινάμην,
ὅτι ἐν μὲν τῷ παρόντι, προσήκει θάπτειν τὸν τετελευτηκότα, καὶ τἆλλα ποιεῖν τὰ νομι-
10 ζόμενα· ἐπειδὰν δὲ τούτων ἁπάντων ἐπιμεληθῶμεν, τόθ' ἡμῖν αὐτοῖς διαλεξόμε-
θα. καὶ αὐτός, ὦ ἄνδρες δικασταί, προσωμολόγησε ταῦτα, καὶ καλῶς μ' ἔφη λέγειν. ἐ-
πειδὴ δ' ἀπηλλάγημεν, καὶ ἐποιήσαμεν ἅπαντα τὰ νομιζόμενα, καθ' ἡσυχίαν ἤδη
παρακαλέσαντες ἅπαντας τοὺς οἰκείους, διελεγόμεθα ἡμῖν αὐτοῖς περὶ ὧν οὗτος
11 ἠξίου ἑαυτῷ εἶναι. ὅσα μὲν οὖν, ὦ ἄνδρες δικασταί, ἡμεῖς πρὸς ἡμᾶς αὐτοὺς διωνέ-
χθημεν περὶ τούτων διαλεγόμενοι, τί ἂν ἐγὼ ταῦτα διηγούμενος, ἢ ὑμῖν πράγ-
ματα παρέχοιμι, ἢ ἐμαυτῷ ἐνοχλοίην; τὸ δὲ τέλος ὃ ἐγένετο, τοῦθ' ὑμᾶς ἀναγκαίως
12 ἔχει ἀκοῦσαι. αὐτὸς γὰρ ἐγὼ ἐδίκασα τούτῳ, καὶ αὐτὸς ἐμοί, τὰ ἡμίσεια ἑκάτερον ἡμῶν
λαβεῖν, ὧν κατέλιπε Κόνων, καὶ μηδεμίαν ἀηδίαν εἶναι περαιτέρω. καὶ προειλόμην, ὦ
ἄνδρες δικασταί, ἑκὼν μεταδοῦναι τούτῳ μᾶλλον, ἢ εἰς δικαστήριον εἰσιών, κινδυνεύειν
πρὸς οἰκεῖον ὄντα τὸν γε, καὶ εἰπεῖν τι ἀηδές, ἀδελφὸν ὄντα τῆς ἐμῆς γυναικός, καὶ θεῖον
τῶν ἐμῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῶν ἐμῶν παίδων, καὶ ἀπὸ τούτου ἀκοῦσαί τι ἀνεπιτήδειον. ταῦτα πάντα ἐνθυμού- 13
μενος, συνεχώρησα αὐτῷ. καὶ μετὰ ταῦτα συνθήκας ἐγράψαμεν πρὸς ἡμᾶς αὐ-
τούς, περὶ ἁπάντων. καὶ ὅρκους ἰσχυροὺς ὠμόσαμεν ἀλλήλοις, ἦ μὴν πάντα ὑπάρχον-
τα φανερὰ ὄντα καλῶς, καὶ δικαίως διαιρήσεσθαι, καὶ μηδ' ὁτιοῦν πλεονεκτήσειν τὸν ἕ-
τερον τοῦ ἑτέρου, ὧν κατέλιπε κόνων· καὶ τἆλλα πάντα κοινῇ ζητήσειν, καὶ πράξειν 14
μετ' ἀλλήλων βουλευόμενοι, ὅ, τι ἂν ἀεὶ δέῃ. ὑπενοοῦμεν γάρ, ὦ ἄνδρες δικασταί, ἥξειν
τινὰς ἀμφισβητήσοντας τῶν τοῦ κόνωνος καὶ ἑτέρους, ὅπερ καὶ ὁ ἐμὸς ἀδελφὸς ὁμοπάτριος μέν,
ὁμομήτριος δ' οὔ, ὃς ἀποδημεῖ· καὶ εἰ δή τις ἄλλος ἐβούλετ' ἀμφισβητεῖν, οὐκ ἐνῆν ἡ-
μῖν κωλύειν. οἱ γὰρ νόμοι κελεύουσι τὸν βουλόμενον ἀμφισβητεῖν. ταῦτα δὴ πάντα προ- 15
νοούμενοι, ἐγράψαμεν τὰς συνθήκας, καὶ ὅρκους ὠμόσαμεν, ὅπως μήτε ἑκόντι, μήτε
ἄκοντι, μηδετέρῳ ἐξουσία ᾖ μόνῳ γενέσθαι, μηδ' ὁτιοῦν ἰδίᾳ πρᾶξαι· ἀλλὰ κοινῇ βου-
λευόμενοι μεθ' ἡμῶν αὐτῶν, ἅπαντα πράττωμεν, καὶ μάρτυρας ἐποιησάμεθα περὶ
τούτων, πρῶτον μὲν τοὺς θεούς, οὓς ὠμόσαμεν ἀλλήλοις, καὶ τοὺς οἰκείους τοὺς ἡμετέρους 16
αὐτῶν, ἔπειτ' ἀνδροκλείδην ἀχαρνέα, παρ' ᾧ κατεθέμεθα τὰς συνθήκας. βούλομαι
*ὑμᾶς οὖν, ὦ ἄνδρες δικασταί, τόν τε νόμον ἀναγνῶναι, καθ' ὃν τὰς συνθήκας ἐγράψαμεν
πρὸς ἡμᾶς αὐτούς, καὶ μαρτυρίαν τοῦ ἔχοντος τὰς συνθήκας. Λέγε τὸν νόμον
πρῶτον.

Νόμος. 17

Ἀναγίνωσκε δὴ καὶ τὴν μαρτυρίαν τὴν ἀνδροκλείδου.

Μαρτυρία.

Ἐπειδὴ δὲ ὠμόσαμεν ἀλλήλοις, καὶ αἱ συνθῆκαι ἦσαν κείμεναι παρὰ τῷ ἀν-
δροκλείδῃ, διεῖλον ἐγὼ δύο μερίδας, ὦ ἄνδρες δικασταί. καὶ ἡ μὲν ἑτέρα ἦν μερίς, 18
Σακχυφαί.) οἱ πλέκοντες τὰ γυναιξὶ τοὺς κεκρυφάλους. ἡ οἰκία, ἐν ᾗ ᾤκει αὐτὸς ὁ κόνων, καὶ τἀνδράποδα οἱ σακχυφάνται. ἡ δ' ἑτέρα ἦν με-
ρίς, οἰκία ἑτέρα, καὶ τἀνδράποδα οἱ φαρμακοτρίβαι. ἀργύριον δὲ εἴ τι κατέλιπεν ὁ
κόνων φανερὸν ἐπὶ τῇ τραπέζῃ τῇ ἡρακλείδου, τοῦτο ἅπαν σχεδόν τι ἀνηλώθη εἴς τε τὴν
ταφήν, καὶ τὰ ἄλλα τὰ νομιζόμενα, καὶ εἰς τὴν οἰκοδομίαν τοῦ μνήματος. διελὼν δ' ἐγὼ 19
τὰς δύο ταύτας μερίδας, ἔδωκα αἵρεσιν τούτῳ ὀλυμπιοδώρῳ ὁποτέραν βούλεται τῶν
*τὴν οἰκίσκην· μερίδων λαβεῖν. καὶ οὗτος εἵλετο, τοὺς φαρμακοτρίβας, καὶ *τὴν οἰκίαν. ἐγὼ δ' ἔλαβον
τοὺς σακχυφάντας, καὶ τὴν οἰκίαν τὴν ἑτέραν. καὶ ταῦτα ἦν, ἃ ἑκάτερος ἡμῶν εἶχεν.
*ἐνῶν ἐν δὲ τῇ μερίδι τῇ τουτουὶ ὀλυμπιοδώρου, *ὧν εἷς τῶν φαρμακοτριβῶν, ὃν μάλιστα 20
ἐνόμιζε πιστὸν ἑαυτῷ εἶναι ὁ κόνων. ὄνομα δὲ τῷ ἀνθρώπῳ ἐστί, μόσχιων. οὗτος ὁ
οἰκέτης, σχεδόν τι ἤδει τά τε ἄλλα τοῦ κόνωνος ἅπαντα, καὶ δὴ καὶ τὸ ἀργύριον, οὗ
ἦν τὸ ἔνδον κείμενον τῷ κόνωνι. καὶ δὴ ἔλαθε τὸν κόνωνα πρεσβύτερόν τε ὄν-
τα, καὶ πεπιστευκότα αὐτῷ, ὑφαιρούμενος τὸ ἀργύριον οὗτος ὁ οἰκέτης ὁ μό- 21
σχιων· καὶ πρῶτον μὲν ὑφαιρεῖται αὐτοῦ χιλίας δραχμάς, χωρὶς που κειμένας
τοῦ ἄλλου ἀργυρίου· ἔπειτα ἑτέρας ἑβδομήκοντα μνᾶς. καὶ ταῦτα ποιῶν,
ἐλάνθανε τὸν κόνωνα. καὶ τὸ ἀργύριον τοῦτο ἅπαν εἶχεν αὐτὸς δι' ἑαυτοῦ ὁ ἄν-
θρωπος. οὐ πολλῷ δὲ χρόνῳ ὕστερον, ὦ ἄνδρες δικασταί, ἢ ἡμεῖς διελόμεθα τὰς 22
μερίδας, ὑποψία τις ἐγένετο, καὶ αἴσθησις περὶ τὸν ἄνθρωπον τοῦτον. ἐκ δὲ ταύ-
της τῆς ὑποψίας, ἐδόκει ἐμοὶ καὶ τούτῳ ὀλυμπιοδώρῳ, βασανίζειν τὸν ἄνθρω-
*ἑαυτοῦ. πον. καὶ ὁ ἄνθρωπος, ὦ ἄνδρες δικασταί, αὐτὸς *αὐτοῦ κατεῖπε πρὶν βασανίζε-
σθαι, ὅτι χιλίας δραχμὰς ὑφέλοιτο τοῦ κόνωνος. καὶ ἔφη εἶναι παρ' ἑαυτῷ, ὅσον 23
μὴ ἦν ἀνηλωμένον. περὶ δὲ τοῦ πλείονος ἀργυρίου, οὐδ' ὁτιοῦν εἶπεν ἐν τῷ τότε



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χρόνῳ. καὶ ἀποδίδωσι περὶ ἑξακοσίας τινὰς δραχμάς. καὶ τούτου τοῦ ἀργυρίου, οὗ
ἀπέδωκεν ὁ ἄνθρωπος, καλῶς καὶ δικαίως κατὰ τοὺς ὅρκους, οὓς ὠμόσαμεν ἡμεῖς, καὶ
24 κατὰ τὰς συνθήκας τὰς κειμένας παρὰ τῷ ἀνδροκλείδῃ, τὸ μὲν ἥμισυ ἐγὼ ἔλα-
βον· τὸ δ' ἥμισυ, οὑτοσὶ ὀλυμπιόδωρος. μετὰ δὲ ταῦτ' οὐ πολλῷ χρόνῳ ὕστερον ἐκ
ταύτης τῆς ὑποψίας τῆς πρὸς τὸν οἰκέτην περὶ τοῦ ἀργυρίου, οὗ ἀπέδωκεν, ἔδη-
σε τὸν ἄνθρωπον, καὶ ἐβασάνισεν αὐτὸς ἐφ' ἑαυτοῦ. ἡμᾶς δὲ οὐ παρεκάλεσεν, ὁμωμο-
25 κὼς κοινῇ ζητήσειν, καὶ πράξειν μετ' ἐμοῦ πάντα. καὶ ὁ ἄνθρωπος, ὦ ἄνδρες δικα-
σταί, κατατεινόμενος ὑπὸ τῆς βασάνου, προσωμολόγησε καὶ τὰς ἑβδομήκοντα
μνᾶς εἰληφέναι, κόνωνος ὑφελόμενος. καὶ ἀποδίδωσιν ἅπαν τὸ ἀργύριον τοῦτο ὀ-
λυμπιοδώρῳ τούτῳ. ἐγὼ δ', ὦ ἄνδρες δικασταί, ἐπειδὴ ἐπυθόμην περὶ τῆς βα-
26 σάνου τοῦ ἀνθρώπου, καὶ ὅτι ἀποδεδωκὼς εἴη τὸ ἀργύριον, ἐνόμιζόν μοι ἀποδώσειν
τοῦτον τὸ ἥμισυ τοῦ ἀργυρίου, ὥσπερ καὶ τὸ πρότερον ἀπὸ τῶν χιλίων δραχμῶν
ἀποδέδωκε. καὶ αὐτὸς μὲν, οὐ πάνυ τι ἠνώχλουν τούτῳ, ἡγούμενος αὐτὸν τοῦτο
γνώσεσθαι, καὶ διοικήσειν καὶ ἐμοὶ, καὶ ἑαυτῷ, ὅπως ἑκάτερος ἡμῶν ἕξει τὰ δίκαια.
27 κατὰ τοὺς ὅρκους, καὶ τὰς συνθήκας τὰς πρὸς ἡμᾶς αὐτοὺς περὶ τῆς ἰσομοιρίας, ἁπάν-
των, ὧν κόνων ἦν καταλελοιπώς. ἐπειδὴ δ' ἐνδιέτριβε, καὶ οὐδὲν ἐποίει, διελεγό-
μην τούτῳ ὀλυμπιοδώρῳ, καὶ ἠξίουν ἀπολαμβάνειν τὸ ἐμὸν τὸ μέρος τοῦ ἀρ-
γυρίου. οὑτοσὶ δ' ὀλυμπιόδωρος ἀεί τι προὐφασίζετο, καὶ ἀναβολὰς ἐποιεῖτο. καὶ
28 ἐν τούτῳ τῷ καιρῷ ἕτεροί τινες ἔλαχον τοῦ κλήρου τοῦ κόνωνος, καὶ ὁ κάλλιππος ἐ-
πεδήμησεν ἐκ τῆς ἀποδημίας ὁ ἐμὸς ἀδελφὸς ὁ ὁμοπάτριος· καὶ οὗτος ἔλαχεν
εὐθὺς τοῦ ἡμικληρίου. καὶ τούτῳ ὀλυμπιοδώρῳ, πρόφασις* αὕτη ἐγένετο, πρὸς τὸ *καὶ
μὴ ἀποδιδόναι μοι τὸ ἀργύριον, ἐπειδὴ πολλοὶ ἦσαν οἱ ἀμφισβητοῦντες. καὶ ἔφη χρῆ-
29 ναί με περιμένειν, ἕως ἂν οἱ ἀγῶνες γένωνται. καὶ ἐμοὶ ἀνάγκη ἦν ταῦτα συγχωρεῖν· καὶ
συνεχώρησα. μετὰ δὲ ταῦτα ἐγὼ καὶ οὑτοσὶ ὀλυμπιόδωρος ἐβουλευόμεθα κοινῇ, ὥσπερ
καὶ ὠμόσαμεν, ὅν τινα τρόπον ἄριστα, καὶ ἀσφαλέστατα προσοισόμεθα πρὸς τοὺς
ἀμφισβητοῦντας. καὶ ἔδοξεν ἡμῖν, ὦ ἄνδρες δικασταί, τουτονὶ μὲν ὀλυμπιόδωρον τοῦ
30 κλήρου ὅλου ἀμφισβητεῖν, ἐμὲ δὲ τοῦ ἡμικληρίου· ἐπειδὴ καὶ κάλλιππος ὁ ἀδελφὸς ὁ
ἐμὸς τοῦ ἡμικληρίου μόνον ἠμφισβήτει. καὶ ἐπειδὴ ἀνεκρίθησαν πρὸς τῷ ἄρχοντι ἅ-
πασαι αἱ ἀμφισβητήσεις, καὶ ἔδει ἀγωνίζεσθαι ἐν τῷ δικαστηρίῳ, ἀπαράσκευοι ἦμεν
τὸ παράπαν πρὸς τὸ ἤδη ἀγωνίζεσθαι ἐγὼ καὶ ὀλυμπιόδωρος οὑτοσί, διὰ τὸ ἐξαίφνης
31 ἐπιπεπτωκέναι ἡμῖν πολλοὺς τοὺς ἀμφισβητοῦντας. ἐκ δὲ τῶν ὑπαρχόντων ἐσκοποῦ-
μεν κοινῇ, εἴ πως ἀναβολή τις γένοιτο ἐν τῷ παρόντι, ὥστε παρασκευάσασθαι ἡμᾶς
καθ' ἡσυχίαν πρὸς τὸν ἀγῶνα. καὶ κατὰ τύχην τινὰ καὶ δαίμονα, ὑμεῖς ἐπείσθητε ὑπὸ
τῶν ῥητόρων, εἰς ἀκαρνανίαν στρατιώτας ἐκπέμπειν, καὶ ἔδει καὶ τουτονὶ ὀλυμπιόδωρον
32 στρατεύεσθαι, καὶ ᾤχετο μετὰ τῶν ἄλλων στρατευόμενος. καὶ συνεβεβήκει, ὡς ᾠόμεθα ἡμεῖς,
αὕτη ἡ καλλίστη ἀναβολή, δημοσίᾳ τούτου ἀποδημοῦντος καὶ στρατευομένου. ἐπειδὴ δὲ
ἐκάλει ὁ ἄρχων εἰς τὸ δικαστήριον ἅπαντας τοὺς ἀμφισβητοῦντας κατὰ τὸν νόμον, ὑπω-
μοσάμεθα ἡμεῖς τουτονὶ ὀλυμπιόδωρον, δημοσίᾳ ἀπεῖναι στρατευόμενον. ἀντωμο-
33 θέντος δὲ τούτου, ἀνθυπωμόσαντο οἱ ἀντίδικοι, καὶ διαβάλλοντες ὀλυμπιόδωρον τουτο-
νὶ, ὕστερον ἡμῶν λέγοντες, ἔπεισαν τοὺς δικαστὰς ψηφίσασθαι, τῆς δίκης ἕνεκα "ἀπεῖναι" ἀπιέναι,
τουτονὶ, καὶ οὐ δημοσίᾳ. ψηφισαμένων δὲ ταῦτα τῶν δικαστῶν, διέγραψεν ὁ ἄρχων *πυθό- *πυθόδοτος
δωρος κατὰ τὸν νόμον τὴν τουτουῒ ὀλυμπιοδώρου ἀμφισβήτησιν. διαγραφείσης δὲ ταύ-
της, ἐξ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

της, ἐξ ἀνάγκης καὶ ἐμοὶ ἦν ἐκλιπεῖν τὴν τοῦ ἡμικληρίου ἀμφισβήτησιν. γενομένων δὲ 34
τούτων, ἐπεδίκασεν ὁ ἄρχων τοῖς ἀντιδίκοις τοῖς ἡμετέροις τὸν κλῆρον τὸν Κόνωνος.
ταῦτα γὰρ οἱ νόμοι αὐτὸν ἠνάγκαζον ποιεῖν. ἐπειδὴ δ' ἐπεδικάσαντο, εὐθὺς εἰς Πει-
ραιᾶ ἐλθόντες, παρελάμβανον πάνθ' ὅσα ἡμῶν εἶχεν ἑκάτερος, νεμόμενος ἐν τῇ
μερίδι. κἀγὼ μὲν ἐπιδημῶν αὐτοῖς παρέδωκα· ἀνάγκη γὰρ ἦν πείθεσθαι τοῖς νό- 35
μοις. τὰ δ' Ὀλυμπιοδώρου ἀποδημοῦντος τούτου, ἅπαντα ᾤχοντο λαβόντες πλὴν
τοῦ ἀργυρίου, οὗ εἶχεν αὐτὸς παρὰ τοῦ ἀνθρώπου τοῦ οἰκέτου, ὃν ἐβασάνισεν. οὐ γὰρ
εἶχον ὅπου λαμβάνοιντο τοῦ ἀργυρίου. καὶ τὰ μὲν πραχθέντα ταῦτ' ἦν ἐν τῇ ἀπο-
δημίᾳ τῇ Ὀλυμπιοδώρου, καὶ τῆς κοινωνίας τῆς πρὸς τοῦτον, ταῦτ' ἐγὼ ἀπέλαυ- 36
σα. ἐπειδὴ δ' ἐπεδήμησεν οὗτος, καὶ οἱ ἄλλοι στρατιῶται, ἠγανάκτει Ὀλυμπιόδωρος
οὑτοσί, ὦ ἄνδρες δικασταί, ἐπὶ τοῖς συμβεβηκόσι, καὶ ἡγεῖτο δεινὰ πεπονθέναι. ἐπει-
δὴ δὲ μέτριος ἐγένετο ἀγανακτῶν, ἐσκοπούμεθα πάλιν, καὶ ἐβουλευόμεθα κοινῇ, ἐγὼ
καὶ Ὀλυμπιόδωρος οὑτοσί, ὃν τινα τρόπον τούτων ἂν πάλιν κομιούμεθα. καὶ ἐδόκει 37
ἡμῖν βουλευομένοις, προσκαλέσασθαι τοὺς ἐπιδεδικασμένους κατὰ τὸν νόμον, καὶ ἐκ τῶν
ὑπαρχόντων ἀσφαλέστατον εἶναι μὴ ἐν τῷ αὐτῷ ἡμᾶς ἀμφοτέρους τὸν κίνδυνον
ποιεῖσθαι πρὸς τοὺς ἀμφισβητοῦντας, ἀλλὰ χωρὶς ἑκάτερον. καὶ τοῦτον μὲν Ὀλυμ-
πιόδωρον ὅλου τοῦ κλήρου λαχεῖν, ὥσπερ τὸ πρότερον, καὶ ἀγωνίζεσθαι καθ' αὑ- 38
τόν, ἐμὲ δὲ τοῦ ἡμικληρίου. ἐπειδὴ καὶ Καλλίστρατος ὁ ἀδελφὸς ὁ ἐμός, τοῦ ἡμικληρίου
μόνον ἠμφισβήτει. ὅπως, ἐὰν μὲν οὑτοσὶ Ὀλυμπιόδωρος ἐπιτύχῃ τοῦ ἀγῶνος, ἐγὼ
κατὰ τὰς συνθήκας καὶ τοὺς ὅρκους, πάλιν τὸ μέρος λάβοιμι παρὰ τούτου· ἐὰν δ'
ἄρ' ἀποτύχῃ, καὶ τὰ ἕτερα ψηφίσωνται οἱ δικασταί, οὗτος παρ' ἐμοῦ τὰ μέρη καλῶς 39
καὶ δικαίως ἀπολαμβάνοι, ὥσπερ ὠμόσαμεν ἀλλήλοις, καὶ συνεθέμεθα. ἐπειδὴ δὲ
ταῦτ' ἐβουλευσάμεθα, καὶ ἐδόκει ἀσφαλέστατ' εἶναι καὶ ἐμοί, καὶ Ὀλυμπιοδώρῳ,
*προσεκλήθησαν ἅπαντες οἱ ἔχοντες τὰ τοῦ Κόνωνος κατὰ τὸν νόμον. Καί μοι ἀνά-
γνωθι τὸν νόμον, καθ' ὃν ἡ πρόσκλησις ἐγένετο. Νόμος. 40

* προσεκλήθη-σαν

Κατὰ τὸν νόμον τοῦτον, ὦ ἄνδρες δικασταί, ἡ πρόσκλησις ἐγένετο, καὶ τὰς ἀμφισβη-
τήσεις ἀντεγραψάμεθα ὃν τρόπον τούτῳ ἐδόκει Ὀλυμπιοδώρῳ καὶ μετὰ ταῦθ' ὁ ἄρ-
χων ἀνέκρινε πᾶσιν ἡμῖν τοῖς ἀμφισβητοῦσι. καὶ ἀνακρίνας, εἰσήγαγεν εἰς τὸ δικα-
στήριον. καὶ οὑτοσὶ Ὀλυμπιόδωρος ἠγωνίζετο πρῶτος, καὶ ἔλεγεν ὅ τι ἐβούλετο, καὶ 41
μαρτυρίας παρείχετο, ἃς ἐδόκει τούτῳ. κἀγώ, ὦ ἄνδρες δικασταί, σιωπῇ ἐκαθή-
μην ἐπὶ τοῦ ἑτέρου βήματος. τούτου δὲ τὸν τρόπον κατασκευασθέντος τοῦ ἀγῶνος,
ἐνίκησεν οὑτοσὶ ῥᾳδίως. νικήσας δέ, καὶ διαπραξάμενος ἅπαντα, ὅσα ἐβουλή-
θημεν ἐν τῷ δικαστηρίῳ, καὶ ἀπολαβὼν παρὰ τῶν ἐπιδικασαμένων πρότερον 42
ὅσα ἦσαν ἐκεῖνοι παρ' ἡμῶν εἰληφότες· ταῦτα δὴ πάντ' ἔχων, καὶ τὸ ἀργύριον, ὃ
ἔλαβε παρὰ τοῦ ἀνθρώπου τοῦ βασανισθέντος, οὐδοτιοῦν ἠθέλησε τῶν δικαίων πρὸς
με ποιῆσαι· ἀλλ' ἔχει αὐτὸς ἅπαντα ὁμολογουμένως, καὶ συνθήκας πρὸς με πεποιη-
μένος, ἦ μὴν ἰσομοιρήσειν. καὶ αἱ συνθῆκαι αὗται ἔτι καὶ νῦν κεῖνται παρὰ τῷ Ἀν- 43
δροκλείδῃ, καὶ μεμαρτύρηκεν αὐτὸς πρὸς ὑμᾶς. βούλομαι δὲ καὶ περὶ τῶν ἄλλων
ἁπάντων, ὧν εἴρηκα, μαρτυρίας ὑμῖν παρασχέσθαι, πρῶτον μὲν τὸ ἐξ ἀρχῆς *ὅτι
ἐγὼ καὶ οὗτος ἡμῖν αὐτοῖς δικάσαντες ἐνειμάμεθα τὸ ἴσον ἑκάτερος τῆς φανερᾶς
οὐσίας, ἧς Κόνων κατέλιπε. Καί μοι λάβε ταύτην τὴν μαρτυρίαν πρῶτον, ἔ- 44
πειτα τὰς ἄλλας ἁπάσας ἀνάγνωσκε.

γρ. διαπραξάμενοι ἡμεῖς ἅπανθ' ὅσα

* ὅτι ἐγὼ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Μαρτυρία.

Λάβε μοι καὶ τὴν πρόκλησιν, ἣν προεκαλεσάμην αὐτὸν περὶ τοῦ ἀργυρίου,
45 ὃ ἔλαβε παρὰ τοῦ ἀνθρώπου τοῦ βασανισθέντος. Πρόκλησις.

Ἀναγίνωσκε δὴ καὶ τὴν ἑτέραν μαρτυρίαν, ὅτι, ἐπειδὴ ἐπεδικάσαντο οἱ ἀντίδικοι ἡμῶν, ἅπαντα παρέλαβον, ὅσα ἡμεῖς εἴχομεν, πλὴν τῶν χρημάτων, ὧν εἶχεν ὀλυμπιόδωρος παρὰ τοῦ βασανισθέντος ἀνθρώπου.

Μαρτυρία.

46 Ὃν μὲν τρόπον, ὦ ἄνδρες δικασταί, ἐξ ἀρχῆς διενειμάμεθα τὴν κόνωνος οὐσίαν τὴν φανερὰν ἐγὼ καὶ ὀλυμπιόδωρος, καὶ λόγῳ ἀκηκόατε, καὶ μεμαρτύρηται ὑμῖν· καὶ ὡς οὗτος ἔλαβε τὸ ἀργύριον παρὰ τοῦ ἀνθρώπου τοῦ οἰκέτου, καὶ ὅτι οἱ ἐπιδι-
47 κασάμενοι ἔλαβον ὅσα ἡμεῖς *εἴχομεν, ἕως πάλιν οὗτος ἐνίκησεν ἐν τῷ δικαστηρίῳ. ἃ δὲ λέγων οὐκ ἀποδίδωσί μοι, οὐδὲ ἐθέλει τῶν δικαίων οὐδὲ ὁτιοῦν ποιεῖν, τούτοις ἤδη προσέχετε τὸν νοῦν, ὦ ἄνδρες δικασταί, ἵνα μὴ αὐτίκ' ἐξαπατήσωσιν ὑμᾶς οἱ ῥήτορες, οὓς οὗτοσὶ παρεσκεύασεν ἐπ' ἐμέ. λέγει μὲν οὗτος οὐδέποτε ταὐ- *εἴχομεν
48 τά, ἀλλ' ὅ,τι ἂν τύχῃ ἀεί. καὶ περιιὼν, προφάσεις ἀτόπους τινὰς, καὶ ὑπονοίας καὶ αἰτίας ψευδεῖς ἐπιφέρει. καὶ περὶ τὸ πρᾶγμα ὅλον, ἄδικός ἐστιν ἄνθρωπος. πλεῖστοι δ' αὐτοῦ ἀκηκόασι λέγοντος, οἱ μὲν, ὅτι τὸ παράπαν οὐκ ἔλαβε τὸ ἀργύριον παρὰ τἀνθρώπου. ἐπειδὰν δὲ τοῦτ' ἐξελέγχηται, πάλιν λέγει ὅτι παρὰ τοῦ
49 ἑαυτοῦ ἀνθρώπου ἔχει τὸ ἀργύριον, καὶ οὐ μεταδώσει ἐμοὶ οὔτε τοῦ ἀργυρίου, οὔτε τῶν ἄλλων οὐδενὸς, ὧν κατέλιπε κόνων. ἐπειδὰν δέ τις αὐτὸν τῶν ἐπιτηδείων τῶν τούτου, καὶ τῶν ἐμῶν ἐρωτᾷ, διὰ τί οὐκ ἀποδώσει, ὁμωμοκὼς ἰσομοιρήσειν, καὶ τῶν συνθηκῶν ἔτι καὶ νῦν κειμένων· φησὶ παραβεβηκέναι με τὰς συνθήκας, καὶ δεινὰ
50 πεπονθέναι ὑπ' ἐμοῦ· καὶ διατελέσαι μέ φησιν ὑπεναντία καὶ λέγοντα, καὶ πράττοντα ἑαυτῷ. καὶ ἃ μὲν προφασίζεται, ταῦτ' ἐστίν. ἃ μὲν οὖν, ὦ ἄνδρες δικασταί, οὗτος λέγει, ὑπόνοιαι πλασταί εἰσι, καὶ προφάσεις, καὶ *ἄδικοι πονηρίαι, ἐπὶ τῷ ἀποστερῆσαι ἃ προσήκει αὐτὸν ἀποδοῦναι ἐμοί. ἃ δὲ ἐγὼ ἐρῶ πρὸς ὑμᾶς ὅτι *ἄδικοι, καὶ πονηραὶ
51 οὗτος ψεύδεται, ταῦτα πολλῶν ὑπόνοια μὲν οὐδεμία ἔσται· φανερῶς δὲ ἐπιδείξω τὴν τούτου ἀναισχυντίαν, τεκμήρια λέγων ἀληθινὰ, καὶ πᾶσι γνώριμα, καὶ μάρτυρας παρεχόμενος περὶ ἁπάντων. πρῶτον μὲν οὖν, ὦ ἄνδρες δικασταί, λέγω, ὅτι οὗτος διὰ τοῦτο τοῖς οἰκείοις καὶ τοῖς ἐπιτηδείοις τοῖς ἑαυτοῦ καὶ τοῖς ἐμοῖς, τοῖς εἰδό-
52 σιν ἀκριβῶς ἅπαντα ταῦτα τὰ πράγματα ὡς ἔχει, καὶ παρηκολουθηκόσιν ἐξ ἀρχῆς, οὐκ ἠθέλησεν ἐπιτρέψαι. ἀκριβῶς γὰρ ᾔδει ὅτι εὐθὺς παραχρῆμα ὑπ' αὐτῶν ἐξελεγχθήσεται, ἐάν τι ψεύδηται· νυνὶ δ' ἴσως ἡγεῖται, ψευδόμενος ἐν ὑμῖν λήσειν. πάλιν λέγω, ὅτι οὐκ ἀκόλουθόν ἐστιν, ὑπεναντία μὲν πράττειν σοι, ὦ ὀλυμπιό-
53 δωρε, ἐμέ, κοινῇ δ' ἀναλίσκειν μετὰ σοῦ, εἰς ὅ,τι ἂν ἀεὶ δέῃ, οὐδ' ἐκλιπεῖν τὴν ἀμφισβήτησιν αὐτὸν ἑκόντα, ὅτε ἀπεδήμεις σὺ, ἐπὶ στρατιᾶς καὶ ἡ σὴ διεγράφη δόξαντός σου ἕνεκα τῆς δίκης *ἀπεῖναι, καὶ οὐ δημοσίᾳ. ἐξῆν γὰρ ἔμοιγε τοῦ ἡμικληρίου ἐπιδικάσασθαι ἐμαυτῷ. οὐδεὶς γάρ μοι ἀνθρώπων ἀντέλεγεν, ἀλλὰ συνεχώρουν αὐτοὶ *ἀπεῖναι καὶ
54 οἱ ἀντίδικοι. ἀλλὰ ταῦτα ποιήσας, εὐθὺς ἂν ἦν ἐπιωρκηκώς. ὤμοσα γὰρ καὶ συνεθέμην πρὸς σέ, κοινῇ πράξειν ἅπαντα, ὅ,τι ἂν δοκῇ ἐμοὶ καὶ σοὶ βουλευομένοις βέλτιστον εἶναι. ὥστε ὑπεραβέλτεροί εἰσιν αἱ προφάσεις, καὶ αἱ αἰτίαι, δι' ἃς οὐδέν μοι φῇς ποιήσειν τῶν δικαίων. ἔτι πρὸς τούτοις ἡγῇ ἄν με *ἐπιτρέπειν σοι, ὀλυμπιόδωρε, *ἐπιτρέψαι

ἐν τῷ

ἐν τῷ τελευταίῳ ἀγῶνι τῷ περὶ τοῦ κλήρου, ἢ ἃ ἔλεγες πρὸς τοὺς δικαστάς, εἰκῆ 55
τουτωσὶ λέγειν, ἢ περὶ ὧν τὰς μαρτυρίας παρέσχου, εἰκῆ οὕτως ἂν παρασχέσθαι, εἰ μὴ
μετὰ σοῦ κοινῇ συνηγωνιζόμην; οὗτος γάρ, ὦ ἄνδρες δικασταί, τά τε ἄλλα ἔλεγεν, ἃ ἐ-
βούλετο ἐν τῷ δικαστηρίῳ, καὶ κατεχρήσατο πρὸς τοὺς δικαστάς, ὅτι ἐγὼ τὴν οἰ-
κίαν, ἣν ἔλαβον ἐν τῇ μερίδι τῇ ἐμαυτοῦ, μεμισθωμένος εἴην παρ' αὐτοῦ· καὶ τὸ ἀρ- 56
γύριον, ὃ ἔλαβον τὸ ἥμισυ τὸ ἀπὸ τῶν χιλίων δραχμῶν τῶν παρὰ τοῦ οἰκέτου, ὅτι
ἐδεδανεισάμην παρ' αὐτοῦ. καὶ οὐ μόνον ἔλεγε ταῦτα, ἀλλὰ καὶ μαρτυρίας παρείχετο
περὶ τούτου. κἀγὼ οὐδ' ὁπωσοῦν ἀντέλεγον τούτοις. οὐδ' ἤκουσέ μου φωνὴν οὐδεὶς
ἀνθρώπων, ὅτε οὗτος ἠγωνίζετο, οὔτε μικρὰν, οὔτε μεγάλην· ἀλλὰ προσωμο- 57
λόγουν ἀληθῆ εἶναι πάντα, ὅσα οὗτος ἐβούλετο λέγειν. κοινῇ γὰρ ἠγωνιζόμην μετὰ σοῦ,
ὥσπερ ἔδοξεν ἐμοὶ καὶ σοί. ἐπεὶ εἰ μή ἐστι ταῦτα ἀληθῆ, ἃ ἐγὼ λέγω, διὰ τί οὐκ
ἐπεσκηψάμην ἐγὼ τότε τοῖς μάρτυσι τοῖς ταῦτα μαρτυροῦσιν, ἀλλ' ἡσυχίαν εἶ-
χον πολλήν; ἢ διὰ τί σὺ Ὀλυμπιόδωρε, οὐδεπώποτέ μοι ἔλαχες ἐνοικίου δίκην 58
τῆς οἰκίας, ἧς ἔφασκες μισθῶσαί μοι ὡς σαυτοῦ οὔσης; οὐδὲ τοῦ ἀργυρίου οὗ ἔλε-
γες πρὸς τοὺς δικαστάς, ὅτι ἐδάνεισάς μοι; τούτων οὐδὲν ἐποίησας. ὥστε πῶς ἂν
μᾶλλον ἄνθρωπος ἐξελέγχοιτο ψευδόμενος, καὶ ὑπεναντία λέγων αὐτὸς αὑτῷ, καὶ
αἰτιώμενος τὰ οὐδὲ πώποτε γενόμενα; ὃ δὲ πάντων μέγιστόν ἐστιν, ὦ ἄνδρες δι- 59
κασταί, ὡς γνώσεσθε τουτονὶ ὅτι ἄδικός ἐστι καὶ πλεονέκτης ἄνθρωπος. ἐχρῆν γὰρ
αὐτόν, εἴ τι ἀληθὲς ἦν ὧν λέγει, πρότερον ταῦτα λέγειν, καὶ ἐπιδεικνύειν πρὶν τὸν ἀ-
ἔδ, · γῶνα γενέσθαι καὶ διαπεπρᾶχθαι τῶν δικαστῶν, ˚ὅτι γνώσονται· καὶ παραλαβόν-
τα πολλοὺς μάρτυρας, ἀξιοῦν ἀναιρεῖσθαι τὰς συνθήκας παρὰ τοῦ Ἀνδροκλείδου, 60
ὡς παραβαίνοντος ἐμοῦ· καὶ τἀναντία πράττοντος ἑαυτῷ, καὶ οὐκέτι κυρίων οὐ-
σῶν τῶν συνθηκῶν ἐμοί, καὶ τούτῳ, καὶ τῷ Ἀνδροκλείδῃ τῷ ἔχοντι τὰς συνθήκας,
διαμαρτύρασθαι, ὅτι αὐτῷ οὐδέν ἐστιν ἔτι πρᾶγμα πρὸς τὰς συνθήκας ταύ-
* ποιῶν, τας. ταῦτ' ἐχρῆν αὐτόν, ὦ ἄνδρες δικασταί, * εἴπερ τι ἦν ἀληθὲς ὧν λέγει, καὶ μόνον 61
προσιόντα τῷ Ἀνδροκλείδῃ διαμαρτύρεσθαι, καὶ μετὰ μαρτύρων πολλῶν, ἵν' αὐ-
* εἴησαν, τῷ πολλοὶ * ἦσαν οἱ συνειδότες. ὅτι δὲ τούτων οὐδὲν πώποτ' ἐποίησεν, αὐτοῦ ὑμῖν τοῦ
γνῶσι. Ἀνδροκλείδου, παρ' ᾧ εἰσὶν αἱ συνθῆκαι κείμεναι, μαρτυρίαν ἀναγνώσεται. Λέγε
τὴν μαρτυρίαν. 62

Μαρτυρία.

Ἕτερον δ', ὦ ἄνδρες δικασταί, σκέψασθε, ὃ διαπέπρακται. ἐγὼ γὰρ τοῦτον
προὐκαλεσάμην, καὶ ἠξίωσα ἀκολουθῆσαι ὡς Ἀνδροκλείδην, παρ' ᾧ κεῖνται αἱ
* ἐγγραψαμέ- νους συνθῆκαι, καὶ κοινῇ * ἐκγραψαμένους ἡμᾶς τὰς συνθήκας, πάλιν σημήνασθαι·
* ἐχῖνον, τὰ δ' ἀντίγραφα ἐμβαλέσθαι εἰς τὸν * ἐχῖνον, ὅπως ἂν μηδεμία ὑποψία ἦ ἀλλ' 63
* ὅ,τι ἂν δο- κῇ ὑμῖν. ταῦ- τα ὑμεῖς ἅπαντα καλῶς καὶ δικαίως ἀκούσαντες, γνῶτε * ὅ, τι ἂν ὑμῖν δικαιότατον
δοκῇ εἶναι. ταῦτα δέ μου προκαλουμένου, οὐκ ἠθέλησε τούτων οὐδὲν ποιῆσαι· ἀλλ'
οὕτω πεφιλοσόφηκεν, ὥστε μὴ εἶναι ὑμᾶς ἀκοῦσαι τῶν συνθηκῶν, ἐκ τῶν κοι-
* τούτων μαρ- τυρίαν νῶν γραμμάτων. καὶ ὅτι ταῦτα προὐκαλούμην * τοῦτον, μαρτυρίαν ὑμῖν ἀνα- 64
γνώσεται, ὧν ἐναντίον προὐκαλούμην. Λέγε τὴν μαρτυρίαν.

Μαρτυρία.

Πῶς ἂν οὖν μᾶλλον καταφανὴς γένοιτο ἄνθρωπος, ὅτι δικαίως μὲν οὐδὲν
βούλεται πρός με πράττειν· ἀποστερήσειν δ' οἴεται ἃ προσήκει ἐμοὶ λαβεῖν, προ- 65
φάσεις λέγων, καὶ ἐγκλήματα ἐγκαλῶν, τὰς δὲ συνθήκας, ἅς φησί με παραβεβη-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κέναι, οὐκ ᾠήθη δεῖν ὑμᾶς ἀκοῦσαι; ἐγὼ δὲ τότε μὲν ἐναντίον τῶν μαρτύρων τῶν
παραγενομένων, προὐκαλεσάμην. νυνὶ δὲ καὶ ὑμῶν ἐναντίον τῶν δικαστῶν πά-
66 λιν προκαλοῦμαι, καὶ ἀξιῶ συγχωρεῖν αὐτόν. καὶ ἐγὼ συγχωρῶ, ἀνοιχθῆναι τὰς
συνθήκας ἐνταυθοῖ ἐπὶ τοῦ δικαστηρίου, καὶ ἀκοῦσαι ὑμᾶς, καὶ πάλιν σημήνασθαι
ἐναντίον ὑμῶν, ἀνδροκλείδης δ' οὑτοσὶ πάρεστιν. ἐγὼ γὰρ αὐτῷ ἐπήγγελα ἥκειν ἔχον-
τι τὰς συνθήκας. καὶ συγχωρῶ, ὦ ἄνδρες δικασταί, ἐν τῷ τούτου λόγῳ, ἢ ἐν τῷ
67 προτέρῳ, ἢ ἐν τῷ ὑστέρῳ ἀνοιχθῆναι. οὐδὲν γάρ μοι διαφέρει. ὑμᾶς δὲ βούλομαι
ἀκοῦσαι τὰς συνθήκας καὶ τοὺς ὅρκους, οὓς ὠμόσαμεν ἀλλήλοις, ἐγώ τε, καὶ ὀλυμ-
πιόδωρος οὑτοσί. καὶ εἰ μὲν συγχωρεῖ, ἔστω ταῦτα· καὶ ὑμεῖς ἀκούετε ἐπειδὰν τού-
τῳ δοκῇ. ἐὰν δὲ μὴ ἐθέλῃ ταῦτα ποιεῖν, οὐκ ἤδη καταφανὴς ἔσται, ὦ ἄνδρες δι- τότ' ἤδη κα
68 κασταί, ὅτι ἀναισχυντότατός ἐστιν ἀνθρώπων ἁπάντων; καὶ δικαίως; οὐδ' ἂν ὁπωσ- ἔσται, ὦ ἄνδρ
οῦν ἀποδέχοισθε τούτου ὡς ὑγιὲς λέγοντος; ἀλλὰ τί ταῦτα σπουδάζω; οὐδὲ γὰρ αὐ- ἀ. ὅτι ἀναι ἐ.
τὸς ἀγνοεῖ ταῦτα οὑτοσί, ὅτι ἀδικεῖ μὲν ἐμέ, ἀδικεῖ δὲ τοὺς θεούς, οὓς ὤμοσε, καὶ ἐπι- ἀνθ. ἁπάντων
ὀρκεῖ. ἀλλὰ διέφθαρται, ὦ ἄνδρες δικασταί, καὶ παραφρονεῖ. ἄχθομαι μὲν οὖν, καὶ καὶ δικ. ἀνάσχοισθε τούτου
69 αἰσχύνομαι, ὦ ἄνδρες δικασταί, οἷς μέλλω λέγειν πρὸς ὑμᾶς, ἐξ ἀνάγκης δέ μοι
ἐστὶν εἰπεῖν, ὅπως ἂν ὑμεῖς, οἱ τὴν ψῆφον ἔχοντες, ἀκούσαντες ἅπαντα βουλεύσησ-
θε, ὅ, τι ἂν ὑμῖν δοκῇ βέλτιστον εἶναι περὶ ἡμῶν. ὧν δὲ μέλλω λέγειν, οὗτος αἴτιός ἐστιν
οὐκ ἐθέλων ἐν τοῖς οἰκείοις περὶ τούτων πρός με διαλύσασθαι· ἀλλ' ἀναισχυν-
70 των. ὀλυμπιόδωρος γὰρ οὑτοσί, ὦ ἄνδρες δικασταί, γυναῖκα μὲν ἀστὴν κατὰ τοὺς νό-
μους τοὺς ὑμετέρους οὐδεπώποτ' ἔγημεν, οὐδ' εἰσὶν αὐτῷ παῖδες, οὐδ' ἐγένοντο·
ἑταίραν δὲ λυσάμενος ἔνδον ἔχει. καὶ αὕτη ἐστὶν ἡ λυμαινομένη ἅπαντας ἡμᾶς, καὶ
ποιοῦσα τουτονὶ περαιτέρω μαίνεσθαι. πῶς γὰρ οὐ μαίνεται, ὅστις οἴεται δεῖν ἃ μὲν
71 ὡμολόγησε, καὶ συνέθετο ἑκὼν πρὸς ἑκόντα, καὶ ὤμοσε, τούτων μὲν μηδ' ὁτιοῦν
ποιεῖν, καὶ ταῦτ' ἐμοῦ σπουδάζοντος οὐχ ὑπὲρ ἐμαυτοῦ μόνον, ἀλλὰ καὶ ὑπὲρ τῆς
τούτου ἀδελφῆς ὁμοπατρίας καὶ ὁμομητρίας, ἣ ἐμοὶ συνοικεῖ, καὶ ὑπὲρ τῆς τούτου
ἀδελφιδῆς, θυγατρὸς δὲ ἐμῆς; αὗται γάρ εἰσιν αἱ ἀδικούμεναι οὐχ ἧττον ἐμοῦ, ἀλ-
72 λὰ καὶ μᾶλλον. πῶς γὰρ οὐκ ἀδικοῦνται, ἢ πῶς οὐ δεινὰ πάσχουσιν, ἐπειδὰν ὁρῶ-
σι τὴν μὲν τούτου ἑταίραν περαιτέρω τοῦ καλῶς ἔχοντος, καὶ χρυσία πολλὰ ἔχου-
σαν, καὶ ἱμάτια καλά, καὶ ἐξόδους λαμπρὰς ἐξιοῦσαν, καὶ ὑβρίζουσαν ἐκ τῶν
ἡμετέρων, αὗται δὲ καταδεεστέρως περὶ ταῦτ' ἔχωσιν ἅπαντα; πῶς οὐκ ἐκεῖναι
73 μᾶλλον ἔτι ἀδικοῦνται, ἢ ἐγώ; οὗτος δὲ πῶς οὐ καταφανῶς μαίνεται καὶ παρα-
φρονεῖ, τοιαῦτα περὶ αὐτοῦ βουλευόμενος; ἵνα δὲ μὴ φάσκῃ, ὦ ἄνδρες δικασταί, ὅτι
διαβολῇ ταῦτα λέγει με τοῦ ἀγῶνος ἕνεκα τουτουΐ, μαρτυρίαν ὑμῖν ἀναγνώσεται
τῶν τούτου οἰκείων καὶ ἐμοῦ. Μαρτυρία.

74 Ὀλυμπιόδωρος μὲν τοίνυν, τοιοῦτός ἐστιν ἄνθρωπος, οὐ μόνον ἄδικος, ἀλλὰ καὶ
μελαγχολᾶν δοκῶν ἅπασι τοῖς οἰκείοις καὶ τοῖς γνωρίμοις, τῇ προαιρέσει τοῦ βίου·
καὶ, ὅπερ σόλων ὁ νομοθέτης λέγει, παραφρονῶν ὡς οὐδεὶς πώποτε παρεφρόνησεν
ἀνθρώπων, γυναικὶ πειθόμενος πόρνῃ. καὶ ἄκυρά γε ταῦτα πάντα ἐνομοθέτησεν
75 εἶναι ὁ σόλων, ὅ, τι ἂν τις γυναικὶ πειθόμενος πράττῃ, ἄλλως τε καὶ τοιαύτῃ. περὶ ἃ πρα
μὲν οὖν τούτων, καλῶς ὁ νομοθέτης ἐπεμελήθη, ἐγὼ δ' ὑμῶν δέομαι, καὶ οὐ μό-
νον ἐγώ, ἀλλὰ καὶ ἡ ἐμὴ γυνή, ὀλυμπιοδώρου δὲ τουτουῒ ἀδελφή, καὶ ἡ θυγάτηρ
ἡ ἐμή, ὀλυμπιοδώρου δὲ τουτουῒ ἀδελφιδῆ, ἱκετεύομεν ὑμᾶς, καὶ ἀντιβολοῦμεν,
ὦ ἄνδρες

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὦ ἄνδρες δικασταί, ἅπαντες ἡμεῖς· νομίσατε γὰρ ἐκείνας ἐνθάδε παρεῖναι· μάλιστα 76
μὲν τουτονὶ Ὀλυμπιόδωρον πείσατε μὴ ἀδικεῖν ἡμᾶς. ἐὰν δ᾽ ἄρα μὴ θέλῃ πεί-
ὑμεῖς μεμν. θεσθαι, *ὑμᾶς μεμνημένους ἁπάντων τῶν εἰρημένων ψηφίζεσθαι, ὅ,τι ἂν ἡμῖν δο-
ημένοι ἁπ. τῶν κῇ βέλτιστον καὶ δικαιότατον εἶναι. καὶ ταῦτα ποιοῦντες, τά τε δίκαια γνώσεσθε, καὶ
ἐρ. ψηφίζεσθε, ὅ,τι ἂν ἡμ. τὰ συμφέροντα ἡμῖν ἅπασιν· οὐχ ἥκιστα δέ, Ὀλυμπιοδώρῳ αὐτῷ τουτῳΐ.

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΛΟΓΟΥ.

Τιμόθεον τὸν Ἀθηναῖον, ἄνδρα ἔνδοξον, καὶ στρατηγήσαντα τῆς πόλεως, Ἀπολλόδωρος ἀπαιτεῖ χρέα, λέγων ὅτι Πασίωνι φίλῳ χρώμενος ὁ Τιμόθεος, ἔλαβε παρ᾽ αὐτοῦ χρήματα· καὶ ὀφείλων ἐν τοῖς τραπεζιτικοῖς λόγοις ἐγγεγράφθαι. τὰ μὲν δὴ πάντα ὀφλήματα τέτταρα καταριθμεῖται. ἐφ᾽ ἑκάστου δὲ καὶ τοὺς χρόνους, καὶ τὰς αἰτίας, δι᾽ ἃς ἐδανείσατο Τιμόθεος, ἀκριβῶς εἴρηκε. καὶ τὰς μὲν πλείστας ἀποδείξεις ἐκ τῶν καλουμένων ἀτέχνων πίστεων παρέχεται, μαρτυριῶν καὶ προκλήσεων· τινὰς δὲ καὶ ἐντέχνους ἀπὸ τῶν εἰκότων. καὶ Ἀπολλόδωρος, Τιμόθεον εἶναί φησι τὸν δανεισάμενον, καὶ τοῖς ὑπὲρ Τιμοθέου συσταθεῖσι, δοθῆναι τὸ ἀργύριον ἀπὸ τῆς τραπέζης. ὁ δὲ οὐχ ἑαυτόν, ἀλλ᾽ ἐκείνους ὀφείλειν λέγει.

# ΔΗΜΟΣΘΕΝΟΥΣ Ο ΠΡΟΣ

## ΤΙΜΟΘΕΟΝ ΥΠΕΡ ΧΡΕΟΥΣ ΛΟΓΟΣ.

Μηδενὶ ὑμῶν ἄπιστον γενέσθω, ὦ ἄνδρες δικασταί, εἰ Τιμόθεος ὀ- 1
φείλων ἀργύριον τῷ πατρὶ τῷ ἐμῷ, φεύγει νυνὶ ὑπ᾽ ἐμοῦ
ταύτην τὴν δίκην. ἀλλ᾽ ἐπειδὰν ὑμᾶς ἀναμνήσω τόν τε και-
ρόν, ἐν ᾧ τὸ συμβόλαιον ἐγένετο, καὶ τὰ συμβάντα τούτῳ ἐν
ἐκείνῳ τῷ χρόνῳ, καὶ εἰς ὅσην ἀπορίαν οὗτος κατέστη, τότε ἡγή- 2
σεσθε τὸν μὲν πατέρα τὸν ἐμόν, βέλτιστον γενέσθαι περὶ Τιμόθεον·
τοῦτον δέ, οὐ μόνον ἀχάριστον εἶναι, ἀλλὰ καὶ ἀδικώτατον πάντων ἀνθρώπων· ὅς γε
τυχὼν παρὰ τοῦ πατρὸς τοῦ ἐμοῦ ὅσων ἐδεήθη, καὶ λαβὼν ἀργύριον ἀπὸ τῆς τρα-
*καὶ ἐν κινδ. πέζης ἐν πολλῇ ἀπορίᾳ ὤν, *καὶ κινδύνοις τοῖς μεγίστοις καθεστηκὼς περὶ τῆς ψυ- 3
χῆς, οὐ μόνον οὐκ ἀπέδωκε χάριν, ἀλλὰ καὶ τὸ δοθὲν ἀποστερεῖ με. καίτοι σφαλέν-
τος μὲν τούτου, ἀπώλλυτο καὶ τῷ πατρὶ τῷ ἐμῷ τὸ συμβόλαιον· οὔτε γὰρ ἐπ᾽ ἐ-
νεχύρῳ, οὔτε μετὰ μαρτύρων ἔδωκε. σωθέντος δέ, ἐπὶ τούτῳ ἐγίγνετο, ὁπότε βούλοιτο
εὐπορήσας, ἡμῖν ἀποδοῦναι. ἀλλ᾽ ὅμως, ὦ ἄνδρες δικασταί, οὐ περὶ πλείονος ἐποιή- 4
σατο ὁ πατὴρ περιουσίαν χρημάτων μᾶλλον, ἢ Τιμοθέῳ ὑπηρετῆσαι, ὧν ἐδεήθη αὐτοῦ,
ἐν ἀπορίᾳ ὄντι. ᾤετο μὲν οὖν, ὦ ἄνδρες δικασταί, ὁ πατήρ, εἰ σωθείη Τιμόθεος τότε
ἐξ ἐκείνων τῶν κινδύνων, καὶ ἀφίκοιτο οἴκαδε παρὰ βασιλέως, εὐπορωτέρου γενο-
μένου τούτου, ἢ ὡς τότε διέκειτο, οὐ μόνον τὰ ἑαυτοῦ κομίσασθαι, ἀλλὰ καὶ εἴ του ἄλ- 5
λου δέοιτο πρὸς Τιμόθεον πρᾶξαι, ὑπάρξειν αὐτῷ. ἐπειδὴ δ᾽ οὐχ ὡς ἐκεῖνος ᾠήθη,
συμβέβηκεν, ἀλλ᾽ ἃ μετὰ χάριτος ἔλαβε Τιμόθεος ἀπὸ τῆς τραπέζης, δεηθεὶς τοῦ
πατρὸς τοῦ ἐμοῦ, ταῦτα δι᾽ ἔχθρας καὶ δίκης, τετελευτηκότος ἐκείνου, ἐξελεγχθεὶς μὲν
ὡς ὀφείλει, οἴεται δεῖν ἀποδοῦναι. ἐὰν δὲ δύνηται ὑμᾶς πεῖσαι, ὡς οὐκ ὀφείλει, ἐξα- 6
πατήσας τῷ λόγῳ, ἀποστερῆσαι ἡμᾶς τῶν χρημάτων· ἀναγκαῖόν μοι δοκεῖ εἶναι ἐξ ἀρ-
*ἑκάστοις χῆς ἅπαντα διηγήσασθαι ὑμῖν τά τε ὀφειλόμενα, καὶ εἰς ὅ,τι *ἕκαστον αὐτῶν κατε-
χρήσατο, καὶ τοὺς χρόνους, ἐν οἷς τὸ συμβόλαιον ἐγένετο. θαυμάσῃ δὲ μηδεὶς ὑμῶν,
εἰ ἀκριβῶς ἴσμεν· οἱ γὰρ τραπεζῖται εἰώθασιν ὑπομνήματα γράφεσθαι ὧν τε 7

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἰδόσι χρήματα, καὶ εἰς ὅ,τι, καὶ ὧν ἂν τις τίθηται, ἵν' ᾖ αὐτοῖς γνώριμα, τά τε λη- τὰ ἐπαναληφθέντα, καὶ
φθέντα, καὶ τὰ τεθέντα πρὸς τοὺς λογισμούς. ἐπὶ Σωκρατίδου γὰρ ἄρχοντος, μου-
νυχιῶνος μηνὸς, μέλλων ἐκπλεῖν τὸν ὕστερον ἔκπλουν Τιμόθεος οὑτοσὶ, περὶ ἀνα-
8 γωγὴν ἤδη ὢν ἐν τῷ πειραιεῖ, προσδεηθεὶς ἀργυρίου, προσελθὼν τῷ πατρὶ
τῷ ἐμῷ ἐν τῷ λιμένι, ἐκέλευσεν αὐτὸν χρῆσαι χιλίας τριακοσίας πεντήκοντα χ. ἑαυτῷ
δραχμὰς, μίαν, δύ' ὀβολώ. τοσούτου γὰρ ἔφη προσδεῖσθαι· καὶ δοῦναι ἐκέλευσεν χιλ.
ἀντιμάχῳ τῷ ταμίᾳ τῷ ἑαυτοῦ, ὃς τούτῳ διῴκει τότε πάντα. καὶ ὁ μὲν δανεισά- διῳ τοῦ-
9 μενος τὸ ἀργύριον παρὰ τοῦ πατρὸς τοῦ ἐμοῦ, Τιμόθεος ἦν, καὶ κελεύσας δοῦναι πα.
ἀντιμάχῳ τῷ ταμίᾳ τῷ ἑαυτοῦ. ὁ δὲ λαβὼν τὸ ἀργύριον ἐκ τῆς τραπέζης πα-
ρὰ φορμίωνος, αὐτόνομος, ὥσπερ ἀντιμάχῳ διετέλει γραμματεύων τὸν ἅπαντα
χρόνον. δοθέντος τοίνυν τοῦ ἀργυρίου τούτου, ἐγράψατο μὲν ὀφείλοντα τὸν κελεύ-
10 σαντα χρῆσαι Τιμόθεον· ὑπόμνημα δ' ἐγράψατο, ᾧ τε ἐκέλευσε δοῦναι
ἀντιμάχῳ, καὶ ὃν ἀντίμαχος συνέπεμψεν ἐπὶ τὴν τράπεζαν ληψόμενον τὸ ἀρ-
γύριον τὸν αὐτόνομον τὰς χιλίας τριακοσίας δραχμὰς, καὶ πεντήκοντα, καὶ μίαν, καὶ
δύο ὀβολώ. τὸ μὲν τοίνυν πρῶτον χρέος, ὃ ἐκπλέων ἔλαβε στρατηγῶν τὸ ὕστερον,
11 τοσοῦτον ὤφειλεν. ἐπειδὴ δ' ἀπεχειροτονήθη μὲν ὑφ' ὑμῶν στρατηγὸς διὰ τὸ μὴ
περιπλεῦσαι πελοπόννησον· ἐπὶ κρίσει δὲ παρεδέδοτο εἰς τὸν δῆμον αἰτίας τῆς με-
γίστης τυχών· ἐφειστήκει δ' αὐτῷ καλλίστρατος, καὶ ἰφικράτης, τῷ τε πράττειν, καὶ
τῷ εἰπεῖν δυνάμενοι· οὕτω δὲ διέθεσαν ὑμᾶς κατηγοροῦντες τούτου αὐτοί τε, καὶ
12 οἱ συναγορεύοντες αὐτοῖς, ὥστ' ἀντίμαχον μὲν ταμίαν ὄντα καὶ πιστότατα δια-
κείμενον τούτῳ, κρίναντες ἐν τῷ δήμῳ ἀπεκτείνατε, καὶ τὴν οὐσίαν αὐτοῦ ἐδη-
μεύσατε· αὐτὸν δὲ τοῦτον ἐξαιτουμένων μὲν τῶν ἐπιτηδείων, καὶ οἰκείων αὐτοῦ ἁπάν-
των· ἔτι δ' ἀλκέτου, καὶ ἰάσονος, συμμάχων ὄντων ὑμῖν, μόλις μὲν ἐπείσθητε ἀφεῖ-
13 ναι, στρατηγοῦντα δ' αὐτὸν ἐπαύσατε· ἐν τοιαύταις δ' ὢν διαβολαῖς, καὶ ἀπορίᾳ
χρημάτων πολλῇ· ἡ μὲν γὰρ οὐσία ὑπόχρεως ἦν ἅπασα, καὶ ὅροι αὐτῆς ἕστασαν, καὶ
ἄλλοι ἐκράτουν· ὁ μὲν γὰρ ἐν πεδίῳ ἀγρὸς ἀποτίμημα τῷ παιδὶ τῷ εὐμηλίδου πατρὶ τῷ εὐ-
καθειστήκει· ἑξήκοντα δὲ τριηράρχοις τοῖς συνεκπλεύσασιν αὐτῷ, ἑπτὰ μνῶν ἑκά- βουλίδου
14 στῳ ἡ ἄλλη οὐσία ὑπέκειτο, ἃς στρατηγῶν, αὐτοὺς ἠνάγκασε τοῖς ναύταις
τροφὴν διαδοῦναι. ἐπειδὴ δ' ἀποχειροτονηθεὶς ἐν ᾧ ἀπήνεγκε λόγῳ, ἐλογίσατ'
ἐκ τῶν στρατιωτικῶν χρημάτων αὐτὸς δεδωκὼς εἰς τὰς ναῦς, τὰς ἑπτὰ μνᾶς ταύτας
τότε, φοβούμενος μὴ καταμαρτυρήσωσιν αὐτοῦ οἱ τριήραρχοι, καὶ ἐξελέγχηται ψευ-
15 δόμενος, δάνεισμα ποιεῖται ἰδίᾳ παρ' ἑκάστου αὐτῶν τὰς ἑπτὰ μνᾶς, καὶ ὑποτίθησιν
αὐτοῖς τὴν οὐσίαν, ἃς νῦν αὐτοὺς ἀποστερεῖ, καὶ τοὺς ὅρους ἀνέσπακε. πανταχόθεν
δ' ἀπορούμενος, καὶ ἐν ἀγῶνι τῷ μεγίστῳ καθεστηκὼς περὶ τοῦ σώματος, διὰ τὸ
συμβεβηκέναι τῇ πόλει τοιαῦτα πράγματα, ἄμισθον μὲν τὸ στράτευμα καταλε-
16 λύσθαι ἐν καλαυρείᾳ, πολιορκεῖσθαι δὲ τοὺς περὶ πελοπόννησον συμμάχους ὑπὸ
λακεδαιμονίων, κατηγορούντων δὲ τούτου αἴτιον εἶναι τῆς παρούσης ἀτυχίας ἰφι-
κράτους καὶ καλλιστράτου· ἔτι δὲ τῶν ἀφικνουμένων ἀπὸ στρατεύματος ἀπαγγελλόν-
των ἐν τῷ δήμῳ τὴν παροῦσαν ἔνδειαν, καὶ ἀπορίαν· τὰ δὲ καὶ δι' ἐπιστολῶν ἑ-
17 κάστου πυνθανομένου, παρὰ τῶν οἰκείων, καὶ ἐπιτηδείων ὡς διέκειντο· ὧν ἀκούοντες
ὑμεῖς ἐν τῷ δήμῳ τότε, ἀναμνήσθητε πῶς ἕκαστος περὶ αὐτοῦ τὴν γνώμην εἶχεν·
οὐ γὰρ ἀγνοεῖτε τὰ λεγόμενα. μέλλων τοίνυν καταπλεῖν ἐπὶ τὴν κρίσιν, ἐν καλαυρείᾳ

δανείζεται

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δανείζεται χιλίας δραχμὰς παρὰ Ἀντιφάνους τοῦ Λαμπτρέως, ὃς ἐπέπλει ταμίας
Φιλίππῳ τῷ ναυκλήρῳ, ἵνα διαδοίη τοῖς Βοιωτίοις τριηράρχοις, καὶ περιμένωσιν 18
σωτήρων ἕως ἂν αὐτῷ ἡ κρίσις γένηται· καὶ μὴ καταλυθεισῶν πρότερον τῶν Βοιωτίων τριη-
ρῶν, καὶ διαπελθόντων πρότερον τῶν στρατιωτῶν, μᾶλλον αὐτῷ ὀργίζησθε ὑμεῖς.
οἱ μὲν γὰρ πολῖται, ὑπείχοντο κακοπαθοῦντες, καὶ παρέμενον· οἱ δὲ Βοιώτιοι οὐκ ἔ-
φασαν παραμενεῖν, εἰ μή τις αὐτοῖς τὴν καθ' ἡμέραν τροφὴν δώσει. τότε οὖν ἀ- 19
ναγκαζόμενος, δανείζεται τὰς χιλίας δραχμὰς παρὰ τοῦ Ἀντιφάνους, ὃς ἐπέπλει
ταμιεύων Φιλίππῳ τῷ ναυκλήρῳ· καὶ δίδωσι τῷ Βοιωτίῳ ἄρχοντι τῶν νεῶν. ἐπει-
δὴ δ' ἀφίκετο δεῦρο, ἀπῄτουν αὐτόν, ὅ, τε Φίλιππος, καὶ Ἀντιφάνης τὰς χιλίας δρα-
χμάς, ἃς ἐδανείσατο ἐν Καλαυρείᾳ. καὶ ἠγανάκτουν ὅτι οὐ ταχὺ ἀπελάμβανον. 20
φοβούμενος δ' οὗτος τοὺς ἐχθροὺς τοὺς ἑαυτοῦ μὴ πύθοιντο, ὅτι ἃς ἐν τῷ λόγῳ ἀπή-
νεγκε χιλίας δραχμάς, δεδωκὼς εἰς τὰς Βοιωτίας ναῦς ἐκ τῶν στρατιωτικῶν χρη-
μάτων, ταύτας Φίλιππος δανείσας ἀποστερεῖται, καὶ ἅμα δεδιὼς τὸν Φίλιππον μὴ
καταμαρτυροίη αὐτοῦ ἐν τῷ ἀγῶνι, προσελθὼν τῷ πατρὶ τῷ ἐμῷ ἐδεῖτο ἀ- 21
παλλάξαι τὸν Φίλιππον, καὶ χρῆσαι αὐτῷ τὰς χιλίας δραχμάς, ἵν' ἀποδοίη Φι-
λίππῳ. ὁρῶν δ' ὁ πατὴρ ὁ ἐμὸς τό, τε μέγεθος τοῦ ἀγῶνος ἡλίκον ἦν τούτῳ, καὶ ὡς
ἠπορεῖτο οὗτος, καὶ ἐλεῶν αὐτόν, προσαγαγὼν πρὸς τὴν τράπεζαν, ἐκέλευσεν ἀπο-
δοῦναι χιλίας δραχμὰς Φιλίππῳ τὸν Φορμίωνα τὸν ἐπικαθήμενον ἐπὶ τῇ τρα- 22
πέζῃ, καὶ γράψαι ὀφείλοντα Τιμόθεον. καὶ ταῦθ' ὅτι ἀληθῆ ἐστί, τὸν δόντα τὸ ἀρ-
γύριον Φορμίωνα, ὑμῖν μάρτυρα παρέξομαι, ἐπειδὰν καὶ περὶ τοῦ ἄλλου συμβο-
λαίου διηγήσωμαι ὑμῖν, ἵνα τῇ αὐτῇ μαρτυρίᾳ περὶ ὅλου τοῦ χρέους ἀκούσαντες
εἰδῆτε ὅτι ἀληθῆ λέγω. καλῶ δ' ὑμῖν καὶ τὸν Ἀντιφάνην τὸν δανείσαντα τὸ ἀργύ- 23
ριον τούτῳ τὰς χιλίας δραχμὰς ἐν Καλαυρείᾳ, καὶ παρόντα ὅτε ἀπέλαβε Φίλιπ-
πος τὸ ἀργύριον παρὰ τοῦ πατρὸς τοῦ ἐμοῦ ἐνθάδε. τὸ μὲν γὰρ μαρτυρεῖν με ἐμ-
παλέσθαι πρὸς τὸν διαιτητήν, προεκρούσατο, φάσκων ἀεὶ μαρτυρήσειν μοι εἰς
τὴν κυρίαν ἀπόφασιν. ἐπειδὴ δ' ἡ δίαιτα ἦν, προσκληθεὶς ἀπὸ τῆς οἰκίας. οὐ γὰρ 24
ἦν φανερός. ἔλιπε τὴν μαρτυρίαν πεισθεὶς ὑπὸ τουτουί. ἀξιοῦντος δέ μου αὐτῷ τὴν
δραχμὴν τῆς λιπομαρτυρίου κατὰ τὸν νόμον, ὁ διαιτητὴς οὐ καταδεδιῄτηται, ἀλλ' ἀ-
πιὼν ᾤχετο ἀποδιαιτήσας τούτου τὴν δίαιταν, ἑσπέρας ἤδη οὔσης. νυνὶ δὲ τῷ Ἀν-
τιφάνει εἴληχα βλάβης ἰδίαν δίκην, ὅτι μοι οὔτ' ἐμαρτύρησεν, οὔτ' ἐξωμόσατο κατὰ τὸν 25
νόμον. καὶ ἀξιῶ αὐτὸν ἀναβάντα εἰπεῖν ἐναντίον ὑμῶν ἐξομοσάμενον, πρῶτον
εἰ ἐδάνεισεν ἐν Καλαυρείᾳ Τιμοθέῳ χιλίας δραχμάς· δεύτερον δ' εἰ παρὰ
πατρὸς Φίλιππος ἀπέλαβεν ἐνθάδε τοῦτο τὸ ἀργύριον. σχεδὸν μὲν οὖν καὶ
αὐτὸς οὗτος ὡμολόγει πρὸς τῷ διαιτητῇ ἀποδοῦναι τῷ Φιλίππῳ τὸν πατέρα τὸν 26
ἐμὸν τὰς χιλίας δραχμάς. οὐ μέντοι γ' ἑαυτῷ φησὶ δανείσασθαι, ἀλλὰ τῷ Βοιω-
τίῳ ναυάρχῳ. καὶ ὑποθεῖναι αὐτὸν φησὶ τούτου τοῦ ἀργυρίου χαλκόν. ὡς δ' οὐκ
ἀληθῆ λέγει, ἀλλ' αὐτὸς δανεισάμενος ἀποστερεῖ, ἐγὼ ὑμᾶς διδάξω, ἐπειδὰν καὶ
περὶ τῶν ἄλλων, ὧν ὀφείλει, καθ' ἕκαστον ὑμῖν διηγήσωμαι· ἀφικομένου γὰρ Ἀλκέτου 27
καὶ Ἰάσονος ὡς τοῦτον ἐν τῷ Μαιμακτηριῶνι μηνὶ τῷ ἐπ' Ἀστείου ἄρχοντος, ἐπὶ
τὸν ἀγῶνα τοῦτον βοηθησόντων αὐτῷ, καὶ καταγομένων εἰς τὴν οἰκίαν τὴν ἐν Πει-
ραιεῖ τὴν ἐν τῇ Ἱπποδαμείᾳ, ἑσπέρας ἤδη οὔσης, ἀπορούμενοι ὑποδέξασθαι αὐ-
τούς, πέμψας ὡς τὸν πατέρα τὸν ἐμὸν Αἰσχρίωνα τὸν ἀκόλουθον τὸν αὑτοῦ, ἐκέ- 28

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λευσεν αἰτήσασθαι στρώματα, καὶ ἱμάτια, καὶ φιάλας ἀργυρᾶς δύο, καὶ μνᾶν
ἀργυρίου δανείσασθαι. ἀκούσας δ' ὁ πατὴρ ὁ ἐμὸς αἰσχρίωνος τοῦ ἀκολούθου
τούτου, τούς τε ἀφιγμένους, καὶ τὴν χρείαν, εἰς ἣν ᾐτεῖτο, ἐφ' ἅ τ' ἦλθον, ἔχρη-
29 σε, καὶ τὴν μνᾶν τοῦ ἀργυρίου, ἣν ἐδανείζετο, ἐδάνεισεν. ἀπολελυμένῳ τοίνυν
τῆς αἰτίας, πολλὴ συνέβαινεν αὐτῷ μετὰ ταῦτα χρημάτων ἀπορία, εἴς τε τὰς
ἰδίας χρείας, καὶ εἰς τὰς δημοσίας εἰσφοράς. ἃ ὁρῶν ὁ πατὴρ ὁ ἐμός, οὐκ ἐ-
τόλμα τοῦτον εὐθὺς ἀπαιτεῖν τὸ ἀργύριον· οὔτε γὰρ ἂν τούτου εὐπορήσαντος ἡγεῖ-
30 το ἀδικῆσαι αὐτόν, οὔτ' ἂν αὐτὸς ἀπορῶντα τοῦτον ἔχειν ὁπόθεν εἰσπράξειεν. ἐ-
πειδὴ τοίνυν ἀπῆλθον ὅ, τε ἀλκέτας, καὶ ὁ ἰάσων, τὰ μὲν στρώματα καὶ τὰ ἱμά-
τια πάλιν ἀπήνεγκεν αἰσχρίων ὁ ἀκόλουθος ὁ τούτου· τὰς δὲ φιάλας τὰς δύο οὐκ
ἀπήνεγκεν, ἃς ᾐτήσατο, ὅτε περ καὶ τὰ στρώματα, καὶ τὴν μνᾶν τοῦ ἀργυρίου
31 ἐδανείσατο, ἀφικομένων ὡς τοῦτον ἀλκέτου καὶ ἰάσονος. μέλλων τοίνυν ἐ
ὡς βασιλέα, καὶ διαπεπραγμένος ἐκπλεῦσαι, ὡς βασιλέως στρα
ἐπ' αἴγυπτον πόλεμον, ἵνα μὴ δῷ λόγον ἐνθάδε, καὶ εὐθύνας τῆς σ
τηγίας, μεταπεμψάμενος τὸν πατέρα τὸν ἐμὸν εἰς τὸ πάραλον, τῶ
32 πεπραγμένων εἰς αὐτὸν ἐπῄνει, καὶ ἐδεῖτο αὐτοῦ συστήσας φιλώνδαν, ἄν
γένος μεγαρέα, μετοικοῦντα δ' ἀθήνησι, πιστὸν δὲ τούτῳ διακ
ὑπηρετοῦντα ἐν ἐκείνῳ τῷ χρόνῳ, ἐπειδὰν ἀφίκηται ἐκ μακεδονι
ας, ὃν συνίστη οὗτος τῷ πατρὶ τῷ ἐμῷ, ἄγων ξύλα τὰ δοθέντα
33 ἀμύντου, τὸ ναῦλον τῶν ξύλων παρασχεῖν, καὶ ἐᾶσαι τὰ ξύλα ἀνα
τὴν οἰκίαν τὴν ἑαυτοῦ τὴν ἐν πειραιεῖ· αὐτοῦ γὰρ εἶναι τὰ ξύλα. ἅμ
σι εἶπε λόγον, ᾧ οὐκ ἀκόλουθα ποιεῖ τὰ ἔργα νῦν· ἔφη γάρ, καὶ εἰ μ
δεῖτο τοῦ πατρός, οὐκ ὀργισθήσεσθαι, ὥσπερ ἂν ἄλλος τις ἀποτυχών· ἀ
34 δεηθέντι ὑπηρέτηκε, τούτων, ἄν ποτε δύνηται, χάριν ἀποδώσειν. ἀ
πατὴρ ὁ ἐμὸς ταῦτα, ἥσθη τε τοῖς λόγοις, καὶ ἐπῄνει τοῦτον, ὅτι μέμν
θαι· καὶ ὅσα αὐτοῦ ἐδεῖτο, ὑπέσχετο ποιήσειν. καὶ οὗτος μὲν μετὰ ταῦτα
γωγὴν ἐποιεῖτο ὡς τοὺς στρατηγοὺς τοῦ βασιλέως. ὁ δὲ φιλώνδας, ὃ
35 οὗτος τὸν πατέρα τὸν ἐμόν, ἐπειδὰν ἀφίκηται ἄγων τὰ ξύλα, τὸ ναῦ
χεῖν, εἰς τὴν μακεδονίαν τὴν πορείαν ἐποιεῖτο. καὶ οὗτοι οἱ χρόνοι ἦσαν μ
γηλιὼν μὴν ἐπ' ἀστείου ἄρχοντος. τῷ δ' ὑστέρῳ ἔτει ἀφικομένου φι
τῆς μακεδονίας, ἄγοντος τὰ ξύλα, ἀποδημοῦντος τούτου παρὰ βασιλ
36 θόντος τῷ πατρὶ τῷ ἐμῷ, καὶ κελεύοντος τὸ ναῦλον τῶν ξύλων παρα
διαλῦσαι τὸν ναύκληρον, καθάπερ οὗτος ἐδεήθη, ὅτε ἐξέπλει τοῦ πατρός,
στησε τὸν φιλώνδαν, προσαγαγὼν πρὸς τὴν τράπεζαν ὁ πατήρ, ἐκέλευ
τὸν φορμίωνα τὸ ναῦλον τῶν ξύλων, χιλίας ἑπτακοσίας πεντήκοντα. καὶ
37 σε τὸ ἀργύριον φορμίων· καὶ ἐγράψατο μὲν ὀφείλοντα τιμόθεον· οὗ
δεηθεὶς τοῦ πατρὸς παρασχεῖν τὸ ναῦλον τῶν ξύλων· καὶ τούτου ὑπό
τα· ἀπεγράψατο δὲ τήν τε χρείαν, εἰς ἣν ἐλήφθη τὸ ἀργύριον, καὶ
τοῦ λαβόντος. καὶ οὗτος ὁ χρόνος ἦν ἀλκισθένους ἄρχοντος, ὁ ὕστερος ἐν
38 οὗτος ἀνήγετο ὡς βασιλέα. ὑπὸ δὲ τὸν αὐτὸν χρόνον τοῦτον, καὶ τιμοσθ
γιλιεὺς ἀφικνεῖται κατ' ἐμπορίαν ἰδίαν ἀποδημῶν. ἐπιτήδειος δὲ ὢν
ῳ, καὶ κοινωνὸς ὁ τιμοσθένης, ὅτ' ἐξέπλει, δίδωσιν ἀποθεῖναι τῷ φορμίωνι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ίων χρήματα καὶ φιάλας λυκουργεῖς δύο. ἀπὸ τύχης δ' ὁ παῖς τούτους τὰς φιά-
λας οὐκ εἰδὼς ὅτι ἀλλότριαι ἦσαν, δίδωσι τῷ αἰγιεῖ τῷ ἀκολούθῳ τῷ τού- 39
του, ὅτ' ἐπέμφθη ὡς τὸν πατέρα τὸν ἐμὸν ὑπὸ τούτου, καὶ ᾐτεῖτο τὰ στρώματα, καὶ
τὰ ἱμάτια, καὶ τὰς φιάλας, καὶ τὴν μνᾶν τοῦ ἀργυρίου, ὃ ἐδανείσατο, ἀφικομένων
ὡς τοῦτον, Ἀλκέτου καὶ Ἰάσονος. ἀπαιτοῦντος δὲ τοῦ τιμοθέου τὰς φιάλας τὸν Φορ-
μίωνα, ἐπειδὴ ἧκεν ἀποδημοῦντος τιμοθέου παρὰ βασιλέα, πείθει αὐτὸν ὁ πατὴρ ὁ 40
ἐμὸς τιμὴν ἀπολαβεῖν τῶν φιαλῶν, ὅσον ἦγον αἱ φιάλαι, διακοσίας τριάκοντα
ἑπτά. καὶ τῷ μὲν τιμοθέῳ, τιμὴν ἀπέδωκε τῶν φιαλῶν· τοῦτον δ' ἐγράψατο
αὐτῷ ὀφείλοντα πρὸς τὸ ἄλλο χρέος, ὃ ἐστὶν αὐτῷ ὤφειλεν, ὃ ἀπέτισε τῷ τιμοθέ-
ῳ τῶν φιαλῶν. καὶ ταῦτα πάνθ' ὅτι ἀληθῆ λέγω, τούτων ὑμῖν ἀναγνώσεται τὰς μαρ- 41
τυρίας, πρῶτον μὲν τῶν δόντων τὸ ἀργύριον, οἷς ἐστὶν ἐκέλευσεν ἀπὸ τῆς τραπέ-
ζης, καὶ ἐπιδημούντων τότε· ἔπειτα τοῦ ἀπολαβόντος τὴν τιμὴν τῶν φιαλῶν.

Μαρτυρίαι.

Ὅτι μὲν τοίνυν οὐ ψεύδομαι πρὸς ὑμᾶς περὶ ὧν εἶπον, τῶν μαρτυριῶν ἀνα- 42
ἢ αὐτὸς ἐστὶ γινωσκομένων ἀκηκόατε. ὅτι δέ μοι "καὶ αὐτὸς ἐστὶν ὡμολόγει τὰ ξύλα κομισθέντα
ὑπὸ φιλώνδου εἰς τὴν οἰκίαν τὴν ἑαυτοῦ ἀνακομισθῆναι τὴν ἐν πειραιεῖ, τού-
των ὑμῖν ἀναγνώσεται τὴν μαρτυρίαν.

Μαρτυρία. 43

Ὡς μὲν τοίνυν τούτου ἦν τὰ ξύλα, ἃ ἤγαγεν ὁ φιλώνδας, αὐτός μοι μεμαρτύ-
ρηκεν· ὡμολόγει γὰρ αὐτὰ πρὸς τῷ διαιτητῇ ἀνακομισθῆναι εἰς τὴν οἰκίαν τὴν
ἑαυτοῦ τὴν ἐν πειραιεῖ, ὡς μεμαρτύρηται ὑμῖν ὑπὸ τῶν ἀκουόντων. ἔτι δὲ καὶ ἐκ
τεκμηρίων πειράσομαι ὑμᾶς ἐγὼ διδάξαι, ὅτι ἀληθῆ λέγω· οἴεσθε γὰρ, ὦ ἄνδρες 44
δικασταί, τὸν πατέρα τὸν ἐμόν, εἰ μὴ τιμοθέου ἦν τὰ ξύλα, καὶ ἐδεήθη οὗτος αὐ-
τοῦ, συστήσας τὸν φιλώνδαν, ὅτε ἀνήγετο ὡς τοὺς στρατηγοὺς τοῦ βασιλέως, πα-
ραλαβεῖν τὸ ναῦλον, ἢ ἐᾶσαι ἄν ποτε ὑποκειμένων αὐτῷ τῶν ξύλων τοῦ ναύλου, ἀ-
νακομίσαι τὸν φιλώνδαν τὰ ξύλα ἐκ τοῦ λιμένος, ἀλλ' οὐκ ἂν παρακαταστή- 45
σαντά τινα τῶν οἰκετῶν φυλάττειν, καὶ τὴν τιμὴν λαμβάνειν τῶν πωλουμένων
ξύλων, ἕως ἐκομίσατο τὰ ἑαυτοῦ, εἴπερ φιλώνδου ἦν τὰ ξύλα, καὶ ἐμπορίας ἕ-
νεκ' ἤγαγεν; ἔπειτα πρὸς τούτοις, τίνι ὑμῶν εἰκὸς δοκεῖ εἶναι μὴ κελεύσαντος τούτου
παραλαβεῖν τὸ ναῦλον τῶν ξύλων τῶν δοθέντων τούτῳ ὑπὸ ἀμύντου, πιστεῦσαι τὸν 46
πατέρα τὸν ἐμὸν φιλώνδᾳ, καὶ ἐᾶσαι ἀνακομίσαι τὰ ξύλα ἐκ τοῦ λιμένος εἰς
τὴν οἰκίαν τὴν τούτου; ἢ πῶς εἰκός ἐστι τὸν μὲν φιλώνδαν ἐμπορίας ἕνεκα ἀγα-
γεῖν τὰ ξύλα, ὡς οὗτός φησι, καταχρήσασθαι δὲ τοῦτον ἥκοντ' εἰς τὴν οἰκοδομίαν
τὴν αὐτοῦ τοῖς ξύλοις τούτοις; σκέψασθε δὲ κἀκεῖνο, ὅτι πολλοὶ δὴ καὶ χρηστοὶ τῶν 47
πολιτῶν οἰκεῖοι ὄντες τούτῳ ἐπεμελοῦντο τῶν τούτου, ἀποδημοῦντος παρὰ βασι-
λέα τιμοθέου. ὧν οὐδεὶς τετόλμηκε μαρτυρῆσαι τούτῳ, ἢ ὡς οὐκ ἔλαβεν ὁ φιλών-
* ἢ ὡς αὐτῶν δας τὸ ναῦλον τῶν ξύλων ἀπὸ τῆς τραπέζης, ἢ ὡς λαβὼν ἀπέδωκεν, *οὐδ' αὖ ὡς
αὐτῷ τις διέλυσε τὸ ναῦλον ὑπὲρ τῶν ξύλων, ὧν ἤγαγεν ὁ φιλώνδας, δοθέντων τού- 48
εἶναι καλοὶ κ. τῳ παρὰ ἀμύντου· ἡγοῦνται γὰρ περὶ πλείονος αὑτοῖς καὶ καλοὶ κἀγαθοὶ δοκεῖν εἶναι
μᾶλλον, ἢ τιμοθέῳ χαρίσασθαι τὰ ψευδῆ μαρτυροῦντες. οὐ μέντοι οὐδὲ τούτου
γ' ἔφασαν καταμαρτυρῆσαι ἂν τἀληθῆ· οἰκεῖον γὰρ αὐτοῖς εἶναι. ὅπου τοίνυν μηδεὶς
τετόλμηκε τῶν οἰκείων τούτῳ μαρτυρῆσαι, καὶ ἐπιμελομένων τῶν τούτου, ὅτε ἀπο-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δήμει οὗτος παρὰ βασιλεῖ, ἢ ὡς οὐκ ἔλαβεν ὁ Φιλώνδας τὸ ναῦλον τῶν ξύλων ἀπὸ
49 τῆς τραπέζης, ἢ ὡς αὐτῷ τις διέλυσεν· ἢ οὐκ εἰκός ἐστιν ὑμᾶς ἡγεῖσθαί με τἀ- *πῶς οὐκ εἰκὸς
ληθῆ λέγειν; καὶ μὴν οὐδ᾽ ἐκεῖνό γε τολμήσει, ὡς ἄλλος τις διέλυσε τὸ ναῦλον ὑπὲρ λέγει, ὡς ἄλλος τις διέλυσε τὸ ναῦλον
τῶν ξύλων, ὧν ἤγαγεν ὁ Φιλώνδας, ἢ ὁ πατὴρ ὁ ἐμός. ἐὰν δὲ καταχρῆται τῷ λό- ὑπὲρ τῶν ξύλων,
γῳ, ἀξιοῦτε αὐτὸν καὶ τὴν μαρτυρίαν παρέχεσθαι ὑμῖν τοῦ ἀποδόντος τὸ ναῦ-
50 λον ὑπὲρ τῶν ξύλων. αὐτὸς μὲν γὰρ ὁμολογεῖται ἀποδημεῖν παρὰ βασιλεῖ, τὸν δὲ
Φιλώνδαν, ὃν ἔπεμψεν ἐπὶ τὰ ξύλα, καὶ συνέστησε τῷ πατρὶ τῷ ἐμῷ, τεθνη-
κότα κατέλαβεν, ἥκων παρὰ βασιλέως. ἀναγκαῖον δὴ τῶν ἄλλων οἰκείων καὶ ἐπι- *καὶ λαμβά-
τηδείων, οὓς κατέλιπεν, ἀποδημεῖν μέλλων, συνεπιμελεῖσθαι τῶν ἑαυτοῦ, εἰδέναι τινά, νει
51 ὅθεν τὸ ναῦλον τῶν ξύλων πορίσας ὁ Φιλώνδας τῷ ναυκλήρῳ διέλυσεν, εἰ μή φησι *φησὶ μὴ πα-
τὸν πατέρα τὸν ἐμὸν συστῆσαι αὐτῷ, μηδὲ λαβεῖν τὸν Φιλώνδαν παρὰ τοῦ πατρὸς τοῦ τέρα τὸν ἐμὸν συστῆσαι αὐτῷ,
ἐμοῦ τὸ ναῦλον τῶν ξύλων. μαρτυρίαν τοίνυν οὐδενὸς ἔχεις παρέχεσθαι τῶν οἰ- μηδὲ λ.
κείων τῶν σαυτοῦ, ὡς οὐκ ἐλήφθη σοῦ ἀποδημοῦντος τὸ ναῦλον τῶν ξύλων ἐκ τῆς
52 τραπέζης, ἀλλὰ δυοῖν θάτερον, ἢ οὐδενὶ χρῇ τῶν οἰκείων, οὐδὲ πιστεύεις τῶν σαυ-
τοῦ οὐδενί, ἢ εἰδὼς ἀκριβῶς τὸν Φιλώνδαν λαβόντα τὸ ναῦλον τῶν ξύλων παρὰ τοῦ
πατρὸς τοῦ ἐμοῦ, ὥσπερ αὐτὸν συνέστησας, ὅτε ἐξέπλεις, ἢ οἴει δεῖν ἀποστερήσας ἡμᾶς,
ἀλλ᾽ δικαίῃ πλεονεκτεῖν. ἐγὼ τοίνυν, ὦ ἄνδρες δικασταί, πρὸς τῇ μαρτυρίᾳ, ἣν πα-
53 ρέσχημαι ὑμῖν μαρτυροῦντας, τοὺς δόντας τὸ ἀργύριον, οἷς οὗτος ἐκέλευσε, καὶ κα-
θημένους ἐπὶ τῇ τραπέζῃ τότε, καὶ πίστιν ἠθέλησα Τιμοθέῳ ἐπιθεῖναι· ἣν ἀναγνώ-
σεται ὑμῖν.

Ορκος.

Οὐ τοίνυν, ὦ ἄνδρες δικασταί, γράψας μοι ὁ πατὴρ κατέλιπε τὰ χρέα μόνον,
54 ἀλλὰ καὶ ἔλεγεν ἀρρωστῶν, ἃ ὀφείλοιτο αὐτῷ ἕκαστον, καὶ πρὸς ὅ, τι, καὶ εἰς ὅ, τι ἐλή- *ἃ
φθη τὸ ἀργύριον, καὶ τῷ ἀδελφῷ τῷ ἐμῷ. καὶ ὡς ταῦτ᾽ ἀληθῆ λέγω, ἀνάγνωθί
μοι τὴν μαρτυρίαν τοῦ ἀδελφοῦ.

Μαρτυρία.

Ὡς μὲν τοίνυν κατελείφθη ὀφείλων Τιμόθεος ἡμῖν τὸ ἀργύριον ὑπὸ τοῦ πα-
55 τρός, οὗ δικάζομαι αὐτῷ, καὶ τὸ ἐμὸν μέρος, ὅ, τι ἀδελφός μοι μεμαρτύρηκε,
καὶ ὁ Φορμίων ὁ δοὺς τὸ ἀργύριον, κἀγὼ τούτων πίστιν ἠθέλησα ἐπιθεῖναι. προσκα-
λεσαμένου δὲ τούτου πρὸς τῷ διαιτητῇ, καὶ κελεύοντος ἐκφέρειν τὰ γράμματα
ἀπὸ τῆς τραπέζης, καὶ ἀντίγραφα αἰτοῦντος, πέμψαντος Φρασιηρίδην ἐπὶ τὴν
56 τράπεζαν· τῷ δὲ Φρασιηρίδῃ ἐξενέγκας, ἔδωκα ζητεῖν τὰ γράμματα, καὶ ἐκ-
γράφεσθαι ἃ οὗτος ὤφειλε. καὶ ὡς ὁμολογεῖ λαβεῖν οὗτος τὰ ἀντίγραφα, ἀνάγνω-
θί μοι τὴν μαρτυρίαν.

Μαρτυρία.

Πρὸς τοίνυν τὸν διαιτητὴν κομισάντος μου τὰ γράμματα, παρὼν ὁ Φορμίων,
57 καὶ ὁ Εὔφραιος οἱ δόντες τὸ ἀργύριον οἷς ἐκέλευεν οὗτος, ἐξήλεγχον αὐτὸν ἐν οἷς τε
χρόνοις ἕκαστον ἐδανείσατο, καὶ εἰς ὅ, τι ἔλαβε τὸ ἀργύριον, καὶ εἰς ἃ κατεχρήσα-
το. ὁ δέ, τὰς μὲν χιλίας καὶ τριακοσίας καὶ πεντήκοντα καὶ μίαν καὶ δύο ὀβολώ, *τριακοσίας
ἃς πρώτας ἐδανείσατο τοῦ μουνυχιῶνος μηνός, μέλλων ἐκπλεῖν ἐπὶ Σωκρατί- δραχμάς καὶ
58 δου ἄρχοντος, ἃς καὶ ἐκέλευσε δοῦναι Ἀντιμάχῳ τῷ ταμίᾳ τῷ αὑτοῦ, ἰδίᾳ ἔφη
δανεῖσαι τὸν πατέρα Ἀντιμάχῳ, καὶ οὐκ αὐτὸς λαβεῖν. καὶ ὡς μὲν ἀληθῆ λέγει,
οὐδένα μάρτυρα παρέχεται. λόγῳ δὲ καταχρῆται, ἵνα μὴ αὐτὸς δοκῇ ἀποστε-
ρεῖν, ἀλλ᾽ Ἀντίμαχος δανείσασθαι. καίτοι, ὦ ἄνδρες δικασταί, μέγα ὑμῖν ἐρῶ τεκμή-
59 ριον, ὅτι οὐκ Ἀντιμάχῳ ἐδάνεισεν ὁ πατὴρ τοῦτο τὸ ἀργύριον, ἀλλὰ Τιμοθέῳ πρὸς

ἀναγκαίαν

ἀναγκαῖον ὄντι· πότερα γὰρ ἂν οἴεσθε ῥᾷον εἶναι τῷ πατρὶ, δημευθέντων τῶν
Ἀντιμάχου, ἐπεσκῆφθαι ἐν τῇ οὐσίᾳ τῇ ἐκείνου * ὀφειλόμενον αὐτῷ τοῦ- 60
το τὸ ἀργύριον, εἴπερ Ἀντιμάχῳ ἐδάνεισεν, ἢ ἀναμένειν ὁπότε παρὰ τούτου κο-
μιεῖσθαι ἔμελλεν εὐπορήσαντος, ὃς οὐ πολλὰς ἐλπίδας σωτηρίας περὶ αὑτοῦ εἶ-
χεν ἐν ἐκείνῳ τῷ χρόνῳ; καὶ μὴν ἐνεπισκηψάμενός γε, οὔτ᾽ ἂν περὶ καταβο-
λῆς ἠπόρησεν, οὔτ᾽ ἂν ἠπιστήθη ὑφ᾽ ὑμῶν· πάντες γὰρ ἴστε τὸν πατέρα τὸν ἐμὸν, 61
οὐ τῶν δημοσίων ἀδίκως ἐπιθυμοῦντα· ἀλλὰ τῶν αὐτοῦ ὑμῖν, ὅτ᾽ ἐκελεύσατε,
προθύμως ἀναλίσκοντα. εἶτα * καὶ ἐπιτηδείου ὄντος αὐτῷ Καλλιστράτου, ὅσπερ ἐ-
δήμευσε τὰ Ἀντιμάχου, ὥστε μηδ᾽ ἐναντιοῦσθαι. ὥστε τί ἂν ποτε βουλόμενος
ὁ πατὴρ ἐβούλετο Τιμόθεον, χρήστην ἐγγράψας, ἡμῖν καταλιπεῖν, εἴπερ μὴ ὤφει- 62
λε τοῦτο τὸ ἀργύριον μᾶλλον, ἢ οὐκ ἐκ τῶν Ἀντιμάχου δημευθέντων ἐνεπισκη-
ψάμενος κομίσασθαι; περὶ δὲ τῶν χιλίων δραχμῶν, ἃς ἐδανείσατο παρὰ τοῦ
Ἀντιφάνους ἐν Καλαυρείᾳ, ἵνα διαδοίη τοῖς Βοιωτίοις τριηράρχοις, μένων κα-
ταπλεῖν ἐπὶ τὴν κρίσιν, ἃς καὶ ἀπέδωκε Φιλίππῳ τῷ ναυκλήρῳ, ἐνθάδε λα- 63
βὼν παρὰ τοῦ πατρὸς τοῦ ἐμοῦ, τὸν Βοιώτιον ναύαρχόν φησι δανείσασθαι, καὶ ὑπο-
θεῖναι τούτου τοῦ ἀργυρίου τῷ πατρὶ τῷ ἐμῷ χαλκόν. ὡς δ᾽ οὐκ ἀληθῆ λέγει,
μέγα ὑμῖν ἐρῶ τεκμήριον· πρῶτον μὲν γὰρ ἐν Καλαυρείᾳ οὗτος φαίνεται δανει-
σάμενος τὰς χιλίας δραχμάς, καὶ οὐχ ὁ Βοιώτιος ναύαρχος· ἔπειτ᾽ ἀπαιτῶν ὁ 64
Φίλιππος ἐνθάδε τοῦτον τὰς χιλίας δραχμάς, καὶ οὐ τὸν Βοιώτιον ναύαρχον· καὶ
ἀποδοὺς οὗτος, ἀλλ᾽ οὐχ ὁ Βοιώτιος ναύαρχος· προσῆκε γὰρ τῷ μὲν Βοιωτίῳ
ἄρχοντι παρὰ τούτου τὴν τροφὴν τὴν ἐν ταῖς ναυσὶ παραλαμβάνειν· ἐκ γὰρ
τῶν κοινῶν συντάξεων ἡ μισθοφορία ἦν τῷ στρατεύματι. τὰ δὲ χρήματα * σὺ 65
ἅπαντα ἐξέλεξας ἐκ τῶν συμμάχων. καὶ σὲ ἔδει αὐτῶν λόγον ἀποδοῦναι. εἶτα
καταλυθεισῶν τῶν Βοιωτίων νεῶν, καὶ διαπελθόντων τῶν στρατιωτῶν, τῷ μὲν
Βοιωτίῳ ναυάρχῳ οὐδεὶς κίνδυνος ὑπ᾽ Ἀθηναίων ἦν, οὐδ᾽ ἐν ἀγῶνι καθειστή-
κει οὐδενί· σὺ δ᾽ ἐν τῷ μεγίστῳ περίφοβος δ᾽ ὤν, ἡγοῦ σοι μεγάλην ἐπικου- 66
ρίαν ἀπολογίας ἔσεσθαι, ἐὰν παραμείνωσιν αἱ Βοιώτιαι τριήρεις, ἕως ἂν σοι ἡ κρί-
σις γένηται· ἔπειτα καὶ ἐκ τίνος φιλίας ἂν ποτ᾽ ἐδάνεισεν ὁ πατὴρ ὁ ἐμὸς τῷ
Βοιωτίῳ ναυάρχῳ τὰς χιλίας δραχμάς, ὃν οὐκ ἐγίνωσκεν; ἀλλὰ γὰρ ὑποθέ-
σθαι φησὶν * αὐτὸν χαλκόν. ὁπόσον τινὰ, καὶ ποδαπὸν, καὶ πόθεν γενόμενον τὸν χαλ- 67
κὸν τοῦτον τῷ Βοιωτίῳ ναυάρχῳ; πότερα κατ᾽ ἐμπορείαν ἀχθέντα, ἢ ἀπ᾽ αἰχμα-
λώτων γενόμενον; εἶτα τίνες ἦσαν οἱ ἐνεγκόντες τὸν χαλκὸν ὡς τὸν πατέρα τὸν ἐ-
μόν; πότερα μισθωτοὶ, ἢ οἰκέται; ἢ τίς ὁ παραλαβὼν τῶν οἰκετῶν τῶν ἡμετέρων;
χρῆν γὰρ αὐτὸν εἰ μὲν οἰκέται ἤνεγκαν, τοὺς κομίσαντας παραδιδόναι. εἰ δὲ μι- 68
σθωτοὶ, τὸν ὑποδεξάμενον, καὶ ἀποστησάμενον τὸν χαλκὸν τῶν οἰκετῶν τῶν ἡμε-
τέρων, τοῦτον ἐξαιτεῖν. οὐ γὰρ δήπου αὐτός γε σταθμὸς ἔμελλεν οὔθ᾽ ὁ ὑποτιθεὶς τὸν
χαλκὸν παραδώσειν, οὐδ᾽ αὖ ὁ πατὴρ ἔμελλεν αὐτὸς οὔτε οἴσειν τὸν χαλκὸν, οὔτε στή-
σεσθαι. ἀλλ᾽ οἰκέται ἦσαν αὐτῷ, οἳ τὰ ἐνέχυρα τῶν δανεισμάτων παρελάμβα- 69
νον. θαυμάζω δ᾽ ἔγωγε καὶ τίνος ἂν ποτε εἵνεκα ὑπετίθη τὸν χαλκὸν τῷ πατρὶ
τῷ ἐμῷ ὁ Βοιώτιος ναύαρχος, ὀφείλων Φιλίππῳ χιλίας δραχμάς. πότερον ὡς
Φίλιππος οὐκ ἂν ἡδέως τόκον ἐλάμβανεν, εἴπερ ἀσφαλῶς αὐτῷ ἦν τὸ ἀργύ-
ριον δεδανεισμένον, καὶ ἐπ᾽ ἐνεχύρῳ; ἢ ὡς οὐκ ἦν τῷ Φιλίππῳ ἀργύριον; ὥστε 70

Marginal notes: * ὑποφειλόμενος — * καὶ δὴ ἴδιον ὄντα τῷ Καλλιστράτῳ, ὅσπερ — * σύμπαντα — * αὐτός — * καὶ σταθμησάμενον



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τί ἔδει τοῦ πατρὸς τοῦ ἐμοῦ δεηθῆναι δανεῖσαι τὰς χιλίας δραχμὰς τὸν βοιώτιον
ναύαρχον, καὶ ἀποδοῦναι φιλίππῳ μᾶλλον ἢ οὐ τὸν χαλκὸν ἀποθεῖναι τῷ φι-
λίππῳ; ἀλλ' οὔτε ὁ χαλκὸς ἀπετέθη, ὦ ἄνδρες δικασταί, οὔτε ὁ βοιώτιος ναύαρ-
71 χος ἐδανείσατο τὰς χιλίας δραχμὰς παρὰ τοῦ πατρὸς τοῦ ἐμοῦ· ἀλλὰ τιμόθεος
οὑτοσὶ ἐν ἀπορίᾳ ὢν πολλῇ, τὴν δὲ χρείαν, εἰς ἣν κατεχρήσατο τῷ ἀργυρίῳ, εἴ-
ρηκα ὑμῖν. ἀντὶ δὲ τοῦ χάριν ἀποδοῦναι, ὧν ἐπιστεύθη, καὶ ἔλαβε παρὰ τοῦ πατρὸς
τοῦ ἐμοῦ, οἴεται δεῖν καὶ τὰ ἀρχαῖα, ἐὰν δύνηται, ἀποστερῆσαι. περὶ μὲν τοίνυν τῶν
72 φιαλῶν, καὶ τῆς μνᾶς τοῦ ἀργυρίου, ἣν ἐδανείσατο παρὰ τοῦ πατρός, πέμψας τὸν ἀ-
κόλουθον τὸν αὑτοῦ αἰσχρίωνα τῆς νυκτὸς ὡς τὸν πατέρα τὸν ἐμόν, ἠρόμην αὐτὸν πρὸς
τῷ διαιτητῇ, εἰ ἔτι δοῦλος εἴη ὁ αἰσχρίων αὐτοῦ, καὶ ἠξίουν αὐτὸν ἐν τῷ αὐτοῦ δέρμα-
τι τὸν ἔλεγχον διδόναι. ἀποκριναμένου δέ μοι τούτου, ὅτι ἐλεύθερος εἴη, τῆς μὲν ἐξαι-
73 τήσεως ἐπέσχον· μαρτυρεῖν δ' αὐτὸν ἠξίουν ἐμβαλέσθαι τῆς αἰσχρίωνος ὡς ἐλευ-
θέρου ὄντος. ὁ δὲ οὔτε μαρτυρεῖν παρέχει, οὔτε ὡς δοῦλον τὸν αἰσχρίωνα παρα-
δούς, ἐκ τοῦ σώματος τὸν ἔλεγχον ἠξίου γενέσθαι, φοβούμενος, ἂν μὲν μαρτυρεῖν
παραγένηται, ὡς ἐλευθέρου ὄντος, μὴ ἐπισκηψάμενος ἐγὼ αὐτῷ τῶν ψευδομαρτυριῶν
καὶ ἐξελέγξας τὰ ψευδῆ μεμαρτυρηκότα αἰσχρίωνα, ὅτι τόνδε τῶν κακοτεχνιῶν
74 ἕλοιμι κατὰ τὸν νόμον· εἰ δ' αὖ βασανίζειν παραδοίη, μὴ τὰς ἀληθείας κατείποι ὁ
αἰσχρίων. καίτοι καλὸν ἦν αὐτῷ, εἰ τῶν ἄλλων λημμάτων τοῦ ἀργυρίου μάρτυρας
μὴ εἶχε παρασχέσθαι, τοῦτό γ' ἐξελέγξαι ἐκ τοῦ αἰσχρίωνος, ὡς οὐκ ἐλήφθησάν μοι
75 αἱ φιάλαι, οὐδ' ἡ μνᾶ τοῦ ἀργυρίου, οὐδ' ἐπέμφθη ὁ αἰσχρίων ὑπὸ τούτου ὡς
τὸν πατέρα τὸν ἐμόν· καὶ τεκμηρίῳ τούτῳ καταχρήσασθαι πρὸς ὑμᾶς, ὅτι ἐγὼ
καὶ τἆλλα ψεύδομαι περὶ ὧν ἐγκαλῶ αὐτῷ, ὅπου γε ὃν φημὶ λαβεῖν οἰκέτην ὄν-
τα τούτου τὰς φιάλας, καὶ τὴν μνᾶν τοῦ ἀργυρίου, οὐ βασανιζόμενος οὐ φαί-
76 νεται λαβών. εἰ τοίνυν τοῦτ' ἰσχυρὸν ἦν ἂν τούτῳ πρὸς ὑμᾶς τεκμήριον, ὅτι ἐξε-
δίδου τὸν αἰσχρίωνα, ὃν πεμφθῆναί φημι ὑπὸ τούτου, καὶ λαβεῖν τὰς φιάλας
παρὰ τοῦ πατρὸς τοῦ ἐμοῦ, καὶ τὴν μνᾶν τοῦ ἀργυρίου δανείσασθαι, κἀμοὶ γενέσθω
τεκμήριον πρὸς ὑμᾶς, ὅτι συνειδὼς με ἀληθῆ ἐγκαλοῦντα, οὐ τολμᾷ τὸν αἰσχρίω-
77 να παραδοῦναι. ἀπολογίαν τοίνυν ποιήσεται, ὅτι ἐν τοῖς γράμμασι τοῖς τραπεζι-
τικοῖς ἐπ' ἀλκισθένους ἄρχοντος ἦν γεγραμμένος ὅ, τε ναῦλον τῶν ξύλων εἰλη-
φώς, καὶ τὴν τιμὴν τῶν φιαλῶν, ὧν ἀπέτισε τιμοσθένει ὑπὲρ τούτου ὁ πατήρ.
καὶ ὅτι αὐτὸς ἐν τούτῳ τῷ χρόνῳ οὐκ ἐπεδήμει, ἀλλὰ παρὰ βασιλεῖ ἦν. περὶ
78 δὴ τούτου σαφῶς ὑμᾶς βούλομαι διδάξαι, ἵν' ἀκριβῶς εἰδῆτε ὃν τρόπον ἔχει τὰ
γράμματα τὰ ἀπὸ τῆς τραπέζης. ἐπεὶ μὲν γὰρ ἐν μὲν τῷ θαργηλιῶνι μηνί, ἐ-
π' ἀστείου ἄρχοντος, μέλλων ἀνάγεσθαι ὡς βασιλέα, συνέστησε τὸν φιλώνδαν τῷ
πατρὶ τῷ ἐμῷ. τὸ δ' ὑστέρου ἐνιαυτοῦ ἐπὶ ἀλκισθένους ἄρχοντος, ἀφικνεῖται ὁ φι-
79 λώνδας, ἄγων τὰ ξύλα ἐκ μακεδονίας, καὶ ἔλαβε τῶν ξύλων τὸ ναῦλον παρὰ τοῦ
πατρὸς τοῦ ἐμοῦ, ἀποδημοῦντος τούτου παρὰ βασιλεῖ. ἐγράψαντο οὖν ὅτε ἐδίδοσαν
τὸ ἀργύριον ἀπὸ τῆς τραπέζης, ὀφείλοντα τοῦτον, οὐχ ὅτε συνέστησε τὸν φιλώνδαν
τῷ πατρὶ τῷ ἐμῷ ἐπιδημῶν· ὅτε μὲν γὰρ συνέστησεν, οὐδέπω τὰ ξύλα ἧκεν,
80 ἀλλ' ἔμελλεν ἐπ' αὐτὰ ὁ φιλώνδας τὴν πορείαν ποιεῖσθαι. ὅτε δ' ἧκε τὰ ξύλα ἄ-
γων, οὗτος μὲν ἀπεδήμει· ὁ δὲ φιλώνδας ἔλαβε τὸ ναῦλον τῶν ξύλων, καθάπερ οὗ-
τος ἐκέλευσε, καὶ ἀνεκομίσθη εἰς τὴν οἰκίαν τὴν ἐν πειραιεῖ τὴν τούτου τὰ ξύλα.

ὅτι δὲ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὅτι δ' οὐκ εὐπορῶν οὗτος ἐξέπλει ἐνθένδε, ἴστε μὲν καὶ αὐτοί, ὅσοις αὐτοῦ ἡ οὐσία ἀ-
φωρισμένη ἦν, οἷς νῦν ἀποστερεῖ. ἵνα δὲ εἰδῆτε ὅτι καὶ αὐτὸς ἐνεχύρων ὤφειλέ τισι 81
τῶν πολιτῶν οὐκ ἔχων ἀποδοῦναι τὰ ἄξια, ἀνάγνωθί μοι τὴν μαρτυρίαν.

Μαρτυρία.

Περὶ δὲ τῶν φιαλῶν, ἃς ᾐτήσατο μὲν ἐν τῷ μαιμακτηριῶνι μηνὶ Αἰσχρίων ὁ
ἀκόλουθος τούτου ἐπ' Ἀστείου ἄρχοντος, ἐπιδημοῦντος τούτου ὅτε ὑπεδέξατο Ἀλκέ- 82
την καὶ Ἰάσονα· γεγραμμένου δὲ τὴν τιμὴν ὀφείλοντος τούτου ἐπ' Ἀλκισθένους ἄρ-
χοντος, τέως μὲν ᾤετο αὐτὸν ἀποίσειν τὰς φιάλας, ἃς ᾐτήσατο ὁ πατήρ· ἐπειδὴ δ' οὗ-
τος μὲν ἀπῆλθε, τὰς δὲ φιάλας οὐκ ἀπενηνόχει, οὐδ' ἦσαν αἱ φιάλαι τοῦ Τιμοθέ-
ου κείμεναι παρὰ τῷ Φορμίωνι, ἥκων δ' ἀπῄτει τὰς φιάλας. τότε μὲν ἀπέτισε 83
τὴν τιμὴν τῶν φιαλῶν τῷ Τιμοθέου· ἐγράψατο δ' ὁ πατὴρ αὐτῷ τοῦτον ὀφείλον-
τα πρὸς τὸ ἄλλο χρέος. ὥστ', ἂν ταύτῃ τῇ ἀπολογίᾳ καταχρῆται, ὅτι οὐκ ἐπε-
δήμει ἐν τοῖς χρόνοις, ἐν οἷς γέγραπται τὴν τιμὴν τῶν φιαλῶν ὀφείλων· ὑπο-
βάλλετε αὐτῷ, ὅτι ἔλαβες μὲν ἐπιδημῶν· ἐπειδὴ δ' οὐκ ἀπέφερες, ἀπεδήμεις γάρ, 84
οὐκ ἦσαν δ' αἱ φιάλαι, ἃς ὁ Θέρμος ἀπῄτει, ἐγράφης τὴν τιμὴν αὐτῶν ὀφεί-
λων, ὃ ἀπετίσθη τῶν φιαλῶν. ἀλλὰ νὴ Δία φήσει ἴσως, ἔδει τὸν πατέρα τὸν ἐμὸν ἀ-
παιτεῖν αὐτὸν τὰς φιάλας; ἀλλ' ἑώρα σε ὡς ἠπορεῖς. καὶ περὶ μὲν τοῦ ἄλλου χρέους
σοι ἐπίστευε, καὶ ἡγεῖτο, ἐπειδὰν ἔλθῃς, ἀπολήψεσθαι παρὰ σοῦ εὐπορήσαντος· περὶ 85
δὲ τῶν φιαλῶν, σοὶ ἀπιστήσειν ἔμελλε; καὶ ὑπέσχετο μὲν δεομένου σου, τὸ ναῦλον τῶν ξύ-
λων παρασχήσειν, ὅτε αὐτῆς ἐμοῦ ὡς βασιλέα. ἕνεκα δὲ τῶν φιαλῶν δυοῖν οὐσῶν, ἀπιστή-
σειν σοι ἔμελλε; καὶ τὸ μὲν ἄλλο χρέος σε οὐκ ἀπῄτει, ἀπορούμενον ὁρῶν, τὰς δὲ
φιάλας ἔμελλε; βούλομαι τοίνυν ὑμῖν, καὶ περὶ τῆς προκλήσεως τοῦ ὅρκου εἰπεῖν, ἣν 86
ἐγώ τε τοῦτον προυκαλεσάμην, καὶ οὗτος ἐμέ. ἐμβαλλομένου γάρ μου ὅρκον εἰς τὸ
ἴχνον, ἐχῖνον, ἠξίου καὶ αὐτὸς οὗτος ὀμόσας ἀπηλλάχθαι. ἐγὼ δ' εἰ μὲν μὴ περιφανῶς
αὐτὸν ᾔδειν πολλοὺς καὶ μεγάλους ὅρκους ἐπιωρκηκότα καὶ πόλεσι, καὶ ἰδιώταις, ἔδω-
κα ἂν αὐτῷ τόνδε τὸν ὅρκον. νῦν δέ μοι δοκεῖ μαρτύρων μὲν ὄντων ἐμοὶ ὡς ἔλαβον 87
τὸ ἀργύριον ἀπὸ τῆς τραπέζης, οἷς οὗτος ἐκέλευσε δοῦναι, περιφανῶν δὲ τεκμη-
ρίων, δεινὸν εἶναι, τὸν ὅρκον δοῦναι τούτῳ· ὃς οὐχ ὅπως εὐορκήσει, πρόνοιαν ποιήσεται,
ἀλλ' οὐδὲ τῶν ἱερῶν αὐτῶν ἕνεκα τοῦ πλεονεκτήματος ἀπέχηται. τὰ μὲν οὖν
καθ' ἕκαστα πόλλ' ἂν εἴη λέγειν, ὧν ἐπιώρκηκεν οὗτος ῥᾳδίως· οἷς δὲ περιφανέ- 88
στατα καὶ ὑμεῖς αὐτῷ πάντες σύνιστε ὅρκοις ἐπιωρκηκότι, τούτους ἀναμνήσω ὑμᾶς.
ἴστε γὰρ τοῦτον ἐν τῷ δήμῳ ὀμόσαντα, καὶ ἐπαρασάμενον αὐτῷ ἐξώλειαν, εἰ μὴ γρά-
ψαιτο Ἰφικράτην ξενίας, καὶ καθιερώσαντα τὴν οὐσίαν τὴν ἑαυτοῦ. ὀμόσας δὲ ταῦ-
τα, καὶ ὑπισχνούμενος ἐν τῷ δήμῳ, οὐ πολλῷ χρόνῳ ὕστερον ἕνεκα τοῦ συμφέροντος 89
αὐτῷ, ἔδωκε τῷ υἱεῖ τῷ ἐκείνου τὴν θυγατέρα. ὃς οὖν οὐδ' ὑμᾶς ᾐσχύνθη ἐξαπατῆ-
σαι ὑπισχνούμενος, νόμων ὄντων, ἐάν τις τὸν δῆμον ὑπισχνούμενος ἐξαπατήσῃ, εἰ-
σαγγελίαν εἶναι περὶ αὐτοῦ· οὔτε τοὺς θεοὺς ὀμόσας, καὶ ἐπαρασάμενος αὐτῷ, ἔδει-
σεν, οὓς ἐπιώρκησε, πῶς οὐκ εἰκός ἐστιν ἐμὲ τούτῳ μὴ ἐθέλειν ὅρκον δοῦναι; οὔπω τοί- 90
νυν πολὺς χρόνος ἐστίν, ἐξ ὅτου ἐν τῷ δήμῳ πάλιν διωμόσατο, μὴ εἶναι αὐτῷ ἐφόδια
τῷ γήρᾳ ἱκανά, τοσαύτην οὐσίαν κεκτημένος. οὕτως ἄπληστος καὶ αἰσχροκερδὴς ὁ
τρόπος αὐτοῦ ἐστιν. ἡδέως δ' ἂν ἔγωγε πυθοίμην ὑμῶν, εἰ ὀργίζεσθε τοῖς ἀνασκε-
υασμένοις τῶν τραπεζιτῶν. εἰ γὰρ ἐκείνοις ὀργίζοισθε δικαίως, ὅτι ἀδικοῦσιν ὑμᾶς, 91

πῶς οὐκ εἰκός ἐστιν ὑμᾶς βοηθεῖν τοῖς μηδὲν ἀδικοῦσι; καὶ μὴν διὰ τοὺς τοιούτους
ἄνδρας αἱ τράπεζαι ἀνασκευάζονται, ὅταν ἀποστερούμενοι μὲν ζημιῶνται, καὶ οἴων-
ται δεῖν διὰ τὴν δόξαν πιστεύεσθαι· εὐπορήσαντες δὲ, μὴ ἀποδιδῶσιν, ἀλλ᾽ ἀπο-
92 στερῶσιν. ὅσων μὲν τοίνυν, ὦ ἄνδρες δικασταί, ἠδυνάμην ὑμῖν μάρτυρας παρα-
σχέσθαι, μεμαρτυρήκασί μοι. ἔτι δὲ καὶ ἐκ τεκμηρίων δεδήλωκα ὑμῖν, ὡς ὀφεί-
λει Τιμόθεος τἀργύριον τῷ πατρὶ τῷ ἐμῷ. δέομαι οὖν ὑμῶν συνεκπρᾶξαί μοι
τοὺς ὀφείλοντας, ἅ μοι ὁ πατὴρ κατέλιπεν.

### ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΠΟΛΥΚΛΕΑ ΠΕΡΙ τοῦ ἐπιτριηραρχήματος, λόγου.

Ἀπολλόδωρος ὁ Πασίωνος τριηραρχήσας φιλοτίμως τὸν ὡρισμένον χρόνον, ἐπετριηράρχησεν ἔπειτ᾽ οὐκ ὀλί-
γον, τοῦ διαδόχου τοῦ Πολυκλέους μὴ ἥκοντος παραχρῆμα ἐπὶ τὴν ναῦν. τούτου δὲ, ὅτε ἦλθεν, οὐ παρα-
λαβόντος εὐθέως, ἀλλὰ σκηψαμένου παραμένειν τὸν συντριήραρχον· τοσούτου δὲ χρόνου ἐπιτετριηραρχηκό-
τος, ἀξιοῖ κομίσασθαι τὸ ἀνάλωμα παρὰ Πολυκλέους Ἀπολλόδωρος.

## ΔΗΜΟΣΘΕΝΟΥΣ Ο ΠΡΟΣ ΠΟΛΥΚΛΕΑ ΠΕΡΙ ΤΟΥ ΕΠΙ-ΤΡΙΗΡΑΡΧΗΜΑΤΟΣ, ΛΟΓΟΣ.

1 ΤΟΙΣ τοιούτοις τῶν ἀγώνων, ὦ ἄνδρες *δικασταί, καὶ τοὺς δια- *δικασταί, ὑμᾶς τοὺς δ.
γνωσομένους, προσήκει μάλιστα προσέχειν τὸν νοῦν. οὐ γὰρ ἐ-
μὸς, καὶ Πολυκλέους ἴδιός ἐστιν ὁ ἀγὼν μόνον, ἀλλὰ καὶ τῆς πό-
λεως κοινός. ὧν γὰρ τὰ μὲν ἐγκλήματα ἴδιά ἐστιν, αἱ δὲ βλάβαι
2 κοιναὶ, πῶς οὐχ ὑπὲρ τούτων εἰκός ἐστιν ἀκούσαντας ὑμᾶς ὀρ-
θῶς διαγνῶναι; εἰ μὲν γὰρ περὶ ἄλλου τινὸς συμβολαίου ἐγὼ
διαφερόμενος πρὸς Πολυκλέα εἰσῆγον εἰς ὑμᾶς, ἐμὸς ἂν ἦν καὶ Πολυκλέους ὁ
ἀγών. νῦν δὲ περὶ διαδοχῆς νεώς ἐστιν ὁ λόγος, καὶ ἐπιτριηραρχήματος πέντε μη-
3 νῶν καὶ ἓξ ἡμερῶν ἀνηλωμένου, καὶ περὶ τῶν νόμων, πότερα κύριοί εἰσιν, ἢ οὔ. ἀναγ-
καῖον δή μοι δοκεῖ εἶναι ἅπαντα ἐξ ἀρχῆς διηγήσασθαι πρὸς ὑμᾶς. καὶ πρὸς
θεῶν, ὦ ἄνδρες δικασταί, δέομαι ὑμῶν μή με ἡγήσησθε ἀδολεσχεῖν, ἐὰν διὰ μα-
κροτέρων διηγῶμαι τά τε ἀναλώματα, καὶ τὰς πράξεις, ὡς ἐν καιρῷ τε ἕκαστα, καὶ
4 χρήσιμα τῇ πόλει ἐδιακονήθησαν. εἰ μὲν γάρ τις ἔχει με ἐπιδεῖξαι ὡς ψεύδο-
μαι, ἀναστὰς ἐν τῷ ἐμῷ ὕδατι, ἐξελεγξάτω ὅ, τι ἂν μὴ φῇ με ἀληθὲς λέγειν
πρὸς ὑμᾶς. εἰ δ᾽ ἐστὶν ἀληθῆ, καὶ μηδεὶς ἄν μοι ἀντείποι ἄλλος, ἢ οὗτος, δέομαι ὑ-
μῶν ἁπάντων δικαίαν δέησιν, ὅσοι μὲν τῶν στρατιωτῶν ἦτε, καὶ παρῆτε ἐκεῖ, αὐτοί τε
5 ἀναμνήσθητε, καὶ τοῖς παρακαθημένοις φράζετε τήν τε ἐμὴν προθυμίαν, καὶ
τὰ συμβάντα ἐν τῷ τότε καιρῷ τῇ πόλει πράγματα, καὶ τὰς ἀπορίας, ἵνα ἐκ
τούτων εἰδῆτε, ὁποῖός τις εἰμὶ περὶ ἃ ἂν προστάζητε ὑμεῖς. ὅσοι δ᾽ αὐτοῦ ἐπεδη-
μεῖτε, σιγῇ μου *ἀκοῦσαι διηγουμένου ἅπαντα πρὸς ὑμᾶς, καὶ ἐπὶ τούτων ἑκάστων, *ἀκούσατε
6 *οἷς ἂν λέγω, τούς τε νόμους παρεχομένου καὶ τὰ ψηφίσματα, τά τε τῆς βουλῆς καὶ *ὧν ἂν
τοῦ δήμου, καὶ τοὺς μάρτυρας. ἑβδόμῃ γὰρ φθίνοντος Μεταγειτνιῶνος μηνὸς, ἐπὶ Μό-
λωνος ἄρχοντος ἐκκλησίας γενομένης, καὶ εἰσαγγελθέντων ὑμῖν πολλῶν καὶ με-
γάλων πραγμάτων, ἐψηφίσασθε τὰς ναῦς καθέλκειν τοὺς τριηράρχους· ὧν καὶ ἐγὼ

ἦν. καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐπι. καὶ τὸν μὲν καιρὸν τὸν συμβεβηκότα τῇ πόλει τότε, οὐκ ἐμὲ δεῖ διεξηγεῖν, ἀλλ' 7
αὐτοὺς ὑμᾶς ἀναμνησθῆναι, ὅτι τῆνος μὲν καταληφθεῖσα ὑπ' Ἀλεξάνδρου ἐξηνδραποδίσθη· Μιλτοκύθης δὲ ἀφειστήκει ἀπὸ Κότυος, καὶ πρέσβεις ἐπεπόμφει περὶ συμμαχίας, βοηθεῖν κελεύων, καὶ τὴν Χερρόνησον ἀποδιδούς. Προκοννήσιοι δὲ σύμμαχοι ὄντες, ἱκέτευον ὑμᾶς ἐν τῷ δήμῳ, βοηθῆσαι αὐτοῖς, λέγοντες, ὅτι ὑπὸ Κυ- 8
ζικηνῶν κατέχονται τῷ πολέμῳ καὶ κατὰ γῆν, καὶ κατὰ θάλατταν, καὶ μὴ περιιδεῖν ἀπολομένους· ἔτι δὲ τῶν ἐμπόρων, καὶ τῶν ναυκλήρων περὶ ἔκπλουν ὄντων, ἐκ τοῦ πόντου, καὶ Βυζαντίων, καὶ Καλχηδονίων, καὶ Κυζικηνῶν, καταγόντων τὰ πλοῖα, ἕνεκα τῆς ἰδίας χρείας τοῦ σίτου· καὶ ὁρῶντες ἐν τῷ Πειραιεῖ τὸν σῖτον ἐπιτιμώμενον, 9
καὶ οὐκ ὄντα ἄφθονον ὠνεῖσθαι. ὧν ἀκούοντες ὑμεῖς τότε ἐν τῷ δήμῳ αὐτῶν, καὶ συναγορευόντων αὐτοῖς, ἐψηφίσασθε τάς τε ναῦς καθέλκειν τοὺς τριηράρχους, καὶ παρακομίζειν ἐπὶ τὸ χῶμα· καὶ τοὺς βουλευτάς, καὶ τοὺς δημάρχους, καταλόγους ποιεῖσθαι τῶν δημοτῶν, καὶ ἀποφέρειν ναύτας, καὶ διὰ τάχους τὸν ἀπόστολον ποιεῖσθαι, 10
καὶ βοηθεῖν ἑκασταχῇ. καὶ ἐνίκησε τὸ Ἀριστοφῶντος ψήφισμα τουτί.

*κεἱρώντων
*ἐν

Ψήφισμα.

Τοῦ μὲν ψηφίσματος τοίνυν ἀκηκόατε, ὦ ἄνδρες δικασταί. ἐγὼ δ' ἐπειδή μοι
οὐκ ἦλθον οἱ ναῦται, οἱ καταλεγέντες ὑπὸ τῶν δημοτῶν· ἀλλ' ἢ ὀλίγοι, καὶ οὗτοι 11
ἀδύνατοι, τούτους μὲν ἀφῆκα· ὑποθεὶς δὲ τὴν οὐσίαν τὴν ἐμαυτοῦ, καὶ δανεισάμενος ἀργύριον, πρῶτος ἐπληρωσάμην τὴν ναῦν, μισθωσάμενος ναύτας, ὡς οἷόν τ' ἦν ἀρίστους, δωρεὰς καὶ προδόσεις δοὺς ἑκάστῳ αὐτῶν μεγάλας. ἔτι δὲ σκεύεσιν ἰδίοις τὴν ναῦν ἅπασαν κατεσκεύασα, καὶ τῶν δημοσίων ἔλαβον οὐδέν· καὶ κόσμῳ 12
ὡς οἷόν τ' ἦν, κάλλιστα καὶ διαπρεπέστατα τῶν τριηράρχων. ὑπηρεσίαν τοίνυν, ἣν ἐδυνάμην κρατίστην ἐμισθωσάμην. οὐ μόνον τοίνυν, ὦ ἄνδρες δικασταί, τὰ κατὰ τὴν τριηραρχίαν ἀνήλισκον τότε οὕτω πολυτελῆ ὄντα, ἀλλὰ καὶ τῶν χρημάτων, ὧν εἰς τὸν ἔκπλουν ἐψηφίσασθε εἰσενεχθῆναι, μέρος οὐκ ἐλάχιστον ἐγὼ ὑμῖν προεισήνεγ- 13
κα. δόξαι γὰρ ὑμῖν ὑπὲρ τῶν δημοτῶν τοὺς βουλευτὰς ἀπενεγκεῖν τοὺς προεισοίσοντας τῶν τε δημοτῶν, καὶ τῶν ἐγκεκτημένων, προσαπηνέχθη μου τοὔνομα ἐν τρισὶ δήμοις, διὰ τὸ φανερὰν εἶναί μοι τὴν οὐσίαν. καὶ τούτων ἐγὼ οὐδεμίαν πρόφασιν ποιησάμενος, οὔτε ὅτι τριηραρχῶ, καὶ οὐκ ἂν δυναίμην δύο λειτουργίας λειτουρ- 14
γεῖν, οὐδὲ οἱ νόμοι ἐῶσιν, ἔθηκα τὰς προεισφορὰς πρῶτος. καὶ οὐκ εἰσεπραξάμην διὰ τὸ τότε μὲν ἀποδημεῖν ὑπὲρ ὑμῶν τριηραρχῶν, ὕστερον δὲ καταπλεύσας καταλαβεῖν τὰ μὲν εὔπορα, ὑφ' ἑτέρων προεξειλεγμένα, τὰ δὲ ἄπορα, ὑπόλοιπα. καὶ ταῦτα ὅτι ἀληθῆ λέγω πρὸς ὑμᾶς, τούτων ὑμῖν ἀναγνώσεται τὰς μαρ- 15
τυρίας, τῶν τε τὰ στρατιωτικὰ τότε εἰσπραττόντων, καὶ τῶν ἀποστολέων, καὶ τοὺς μισθούς, οὓς ταῖς ὑπηρεσίαις, καὶ τοῖς ἐπιβάταις κατὰ μῆνα *ἐδίδου, παρὰ τῶν στρατηγῶν σιτηρέσιον μόνον λαμβάνων, πλὴν δυοῖν μηνοῖν μόνον μισθὸν ἐν πέντε μησὶ καὶ ἐνιαυτῷ· καὶ τοὺς ναύτας τοὺς μισθωθέντας, καὶ ὅσον ἕκαστος ἔλαβεν ἀργύ- 16
ριον, ἵν' ἐκ τούτων εἰδῆτε τὴν ἐμὴν προθυμίαν, *καὶ οὗτος διότι παραλαβεῖν παρ' ἐμοῦ τὴν ναῦν οὐκ ἤθελεν, ἐπειδή μοι ὁ χρόνος ἐξῆλθε τῆς τριηραρχίας.

*ἐδίδουν. κ. ἐδίδων,
*καὶ διότι οὗτος παρέλ.

Μαρτυρίαι.

Ὅτι μὲν τοίνυν οὐ ψεύδομαι πρὸς ὑμᾶς περὶ ὧν εἶπον, ὦ ἄνδρες δικασταί, τῶν 17
μαρτυριῶν ἀναγινωσκομένων ἀκηκόατε. ἔτι δὲ περὶ ὧν μέλλω λέγειν, ἅπαντές μοι



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁμολογήσετε, ὅτι ἀληθῆ ἐστί. τριήρεις γὰρ ὁμολογεῖται κατάλυσις εἶναι, πρώτη μὲν,
ἐὰν μὴ μισθόν τις διδῷ· δευτέρα δὲ, ἐὰν εἰς τὸν πειραιᾶ μεταξὺ καταπλεύσῃ. ἀπό-
18 λειψίς τε γὰρ πλείστη γίγνεται· οἵ τε παραμένοντες τῶν ναυτῶν, οὐκ ἐθέλουσι πά-
λιν ἐμβαίνειν, ἐὰν μή τις αὐτοῖς ἕτερον ἀργύριον διδῷ, ὥστε τὰ οἰκεῖα διοικήσα-
σθαι. ἃ ἐμοὶ ἀμφότερα συνέβη, ὦ ἄνδρες δικασταί, ὥστε πολυτελεστέραν μοι
γενέσθαι τὴν τριηραρχίαν. καὶ γὰρ μισθὸν οὐδένα λαβὼν παρὰ τοῦ στρατηγοῦ,
19 ὀκτὼ μηνῶν κατέπλευσα, τοὺς πρέσβεις ἄγων διὰ τὸ ἄριστά μοι πλεῖν τὴν ναῦν. καὶ
ἐνθένδε πάλιν προσταχθέν μοι ὑπὸ τοῦ δήμου μένωνα τὸν στρατηγὸν ἄγειν εἰς ἑλ-
λήσποντον ἀντὶ αὐτοκλέους ἀποχειροτονηθέντος, ᾠχόμην ἀναγόμενος διὰ τάχους,
καὶ ἀντὶ τῶν ἀπολιπόντων μὲν ναυτῶν, ἑτέρους ἐμισθωσάμην ναύτας, δωρεὰς καὶ
20 προδόσεις αὐτοῖς διδοὺς μεγάλας. τοῖς δὲ παραμείνασι τῶν ἀρχαίων ναύταις, ἔδω-
κά τι εἰς διοίκησιν τῶν οἰκείων καταλιπεῖν πρὸς ᾧ πρότερον εἶχον, οὐκ ἀγνοῶν τὴν
παροῦσαν χρείαν, ὡς ἀναγκαία ἦν ἑκάστῳ· ἀπορῶν δ' αὐτὸς, ὡς μὰ τὸν δία καὶ τὸν
ἀπόλλω οὐδεὶς ἂν ὑμῶν πιστεύσειεν, ὅστις μὴ ἀκριβῶς παρηκολούθηκε τοῖς ἐμοῖς
21 πράγμασιν· ὑποθεὶς γὰρ τὸ χωρίον θρασυλόχῳ καὶ ἀρχενέῳ, καὶ δανεισάμενος
τριάκοντα μνᾶς παρ' αὐτῶν, καὶ διαδοὺς τοῖς ναύταις, ᾠχόμην ἀναγόμενος ἵνα
μηδὲν ἐλλείπῃ τῷ δήμῳ, ὧν προσετάξατε κατ' ἐμέ. καὶ ὁ δῆμος ἀκούσας ταῦτα,
ἐπῄνεσέ τ' ἐμὲ, καὶ ἐπὶ δεῖπνον εἰς τὸ πρυτανεῖον ἐκάλεσε. καὶ ὡς ταῦτ' ἀληθῆ λέ-
22 γω, τούτων ὑμῖν ἀναγνώσεται τὴν μαρτυρίαν καὶ τὸ ψήφισμα τοῦ δήμου.

Μαρτυρία. Ψήφισμα.

Ἐπειδὴ τοίνυν εἰς ἑλλήσποντον ἤλθομεν, καὶ ὁ χρόνος ἐξεληλύθει μοι τῆς τριη-
ραρχίας, καὶ μισθὸς οὐκ ἀπεδόθη τοῖς στρατιώταις ἀλλ' ἢ δυοῖν μηνοῖν, ἕτερός
23 τε στρατηγὸς τιμόμαχος ἧκε, καὶ οὗτος διαδόχους οὐκ ἄγων ἐπὶ τὰς ναῦς· ἀθυ-
μήσαντές μοι πολλοὶ τοῦ πληρώματος, ᾤχοντο ἀπολιπόντες τὴν ναῦν, οἱ μὲν εἰς
τὴν ἤπειρον στρατευσόμενοι, οἱ δ' εἰς τὰς θασίων καὶ μαρωνιτῶν ναῦς, μισθῷ με-
γάλῳ πεισθέντες, καὶ ἀργύριον πολὺ προλαβόντες· καὶ τὰ μὲν παρ' ἐμοῦ, ἐξα-
24 νηλωμένα ἤδη ὁρῶντες· τὰ δὲ τῆς πόλεως, ἀμελῆ· τὰ δὲ τῶν συμμάχων, ἄπορα·
τὰ δὲ τῶν στρατηγῶν, ἄπιστα· καὶ ὑπὸ πολλῶν αὖ τῷ λόγῳ ἐξηπατημένοι, καὶ τὸν
χρόνον ἐξήκοντα τῆς τριηραρχίας, καὶ τὸν πλοῦν οὐκ ὄντα οἴκαδε, οὐδὲ διάδο-
χον ἥκοντα ἐπὶ τὴν ναῦν, παρ' οὗ ἄν τις ἠξίωσεν ὠφεληθῆναι. ὅσῳ γὰρ φιλοτιμούμενος
25 ἄμεινον ἐπληρωσάμην τὴν ναῦν ἐρετῶν ἀγαθῶν, τοσούτῳ μοι πλείστη ἀπόλειψις
ἐγένετο τῶν ἄλλων τριηράρχων. τοῖς μὲν γὰρ ἄλλοις εἰ μή τι ἄλλο, οἵ γ' ἐκ καταλό-
γου ἐλθόντες ἐπὶ τὴν ναῦν, παρέμενον τηροῦντες τὴν οἴκαδε σωτηρίαν, ὁπότε αὐ-
τοὺς ἀφήσει ὁ στρατηγός· οἱ δ' ἐμοὶ ναῦται πιστεύοντες αὑτοῖς ἐπὶ τῷ δύνασθαι
26 ἐλαύνειν, ὅπου ἔμελλον ἀργύριον πλεῖστον πάλιν λήψεσθαι, ἐνταῦθα ἀπῇσαν, ἡγού-
μενοι τὴν ἐν τῷ παρόντι εὐπορίαν κρείττω εἶναι αὐτοῖς τοῦ μέλλοντος φόβου, εἴ ποτε
"ληφθείησαν ὑπ' ἐμοῦ. τοιούτων τοίνυν μοι τῶν πραγμάτων συμβεβηκότων, καὶ τοῦ "ληφθήσονται
στρατηγοῦ ἅμα τιμομάχου προστάξαντος πλεῖν ἐφ' ἱερὸν ἐπὶ τὴν παραπομπὴν τοῦ
27 σίτου, καὶ μισθὸν οὐ διδόντος, εἰσαγγελθέντων δὲ, ὅτι βυζάντιοι καὶ καλχηδόνιοι πάλιν
κατάγουσι τὰ πλοῖα, καὶ ἀναγκάζουσι τὸν σῖτον ἐξαιρεῖσθαι, δανεισάμενος ἐγὼ ἀρ-
γύριον παρὰ χαιρεδήμου μὲν τοῦ ἀναφλυστίου πεντεκαίδεκα δραχμὰς ἐπὶ τόκῳ,
ἑπτακοσίας δὲ δραχμὰς παρὰ νικίππου τοῦ ναυκλήρου, ναυτικὸν ἀνελόμην, ὃς ἔτυ-

χεν ὢν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χεν ὢν ἐν Σηστῷ ἐπ᾽ ὀγδόῳ· σωθέντος δὲ τοῦ πλοίου ἀθήναζε, ἀποδοῦναι αὐτῷ καὶ 28
τοὺς τόκους, καὶ πέμψας Εὐκτήμονα τὸν πεντηκόνταρχον εἰς Λάμψακον, δοὺς αὐτῷ
ἀργύριον καὶ γράμματα πρὸς τοὺς ξένους τοῦ πατρὸς τοῦ ἐμοῦ, ἐκέλευσά μοι αὐ-
τὸν ναύτας μισθώσασθαι, ὡς ἂν δύνηται ἀρίστους. αὐτὸς δὲ ὑπομείνας ἐν Σηστῷ,
τοῖς παραμείνασι τῶν ἀρχαίων ναυτῶν, ἔδωκα ὁπόσον εἶχον, ἐπειδή μοι ὁ χρόνος 29
ἐξῆκε τῆς τριηραρχίας, καὶ ἑτέρους ναύτας ἐντελομίσθους προσέλαβον, ἐν ὅσῳ
ὁ στρατηγὸς τὸν ἀνάπλουν τὸν ἐφ᾽ ἱερὸν παρεσκευάζετο. ἐπειδὴ δὲ ὅ,τε Εὐκτήμων
ἧκεν ἐκ τῆς Λαμψάκου ἄγων τοὺς ναύτας, οὓς ἐμισθώσατο, καὶ ὁ στρατηγὸς παρήγ-
γελλεν ἀνάγεσθαι, τῷ μὲν Εὐκτήμονι, ἀσθενῆσαι ἐξαίφνης συνέβη, καὶ πάνυ *πο- 30
νήρως διετέθη. τούτῳ μὲν οὖν ἀποδοὺς τὸν μισθὸν, καὶ ἐφόδια προσθεὶς, ἀπέπεμ-
ψα οἴκαδε. αὐτὸς δὲ πεντηκόνταρχον ἕτερον λαβὼν, ἀνηγόμην ἐπὶ τὴν παρα-
πομπὴν τοῦ σίτου. καὶ ἐκεῖ περιέμεινα πέντε καὶ τετταράκοντα ἡμέρας, ἕως ὁ ἔκ-
πλους τῶν πλοίων τῶν μετ᾽ ἀρκτοῦρον ἐκ τοῦ πόντου ἐγένετο. ἀφικόμενος δὲ εἰς Ση- 31
στὸν, ἐγὼ μὲν ᾤμην οἴκαδε καταπλευσεῖσθαι, τοῦ τε χρόνου μοι ἐξήκοντος, καὶ ἐπι-
τετριηραρχημένων ἤδη μοι δυοῖν μηνοῖν, καὶ διαδόχου οὐχ ἥκοντος ἐπὶ τὴν ναῦν,
ὁ δὲ στρατηγὸς Τιμόμαχος, ἀφικομένων ὡς αὐτὸν πρέσβεων Μαρωνιτῶν, καὶ δεομέ-
νων αὐτοὺς τὰ πλοῖα παραπέμψαι τὰ σιτηγὰ, προσέταξεν ἡμῖν τοῖς τριηράρχοις 32
ἀναδησαμένοις τὰ πλοῖα, ἕλκειν εἰς Μαρώνειαν πλοῦν καὶ πολὺν, καὶ πελάγιον. καὶ
ταῦτα ὑμῖν διὰ ταῦτα ἅπαντα διηγησάμην ἐξ ἀρχῆς, ἵνα εἰδῆτε ὅσα ἀνηλωκὼς
αὐτὸς, καὶ ἡλίκης μοι γεγενημένης τῆς λειτουργίας, ὕστερον ὅσα ἀναλώματα ὑπὲρ
τούτου ἀνήλωσα ἐπιτριηραρχῶν, οὐχ ἥκοντος τούτου ἐπὶ τὴν ναῦν, καὶ κινδύνους 33
ὅσους ἐκινδύνευσα αὐτὸς πρός τε χειμῶνας, καὶ πρὸς πολεμίους. μετὰ γὰρ τὴν πα-
ραπομπὴν τῶν πλοίων τὴν εἰς Μαρώνειαν, καὶ τὴν ἄφιξιν τὴν εἰς Θάσον, ἀφικόμενος
παρέπεμπε πάλιν ὁ Τιμόμαχος μετὰ τῶν Θασίων εἰς τὴν Στρύμην σῖτον, καὶ πελτα-
στὰς, ὡς παραληψόμενος αὐτὸς τὸ χωρίον. παραταξαμένων δὲ Μαρωνιτῶν ἡμῖν 34
ταῖς ναυσὶν ὑπὲρ τοῦ χωρίου τούτου, καὶ μελλόντων ναυμαχήσειν, καὶ τῶν στρατιωτῶν ἀπει-
ρηκότων, *πλοῦν πολὺν πεπλευκότων, καὶ πλοῖα ἑλκόντων ἐκ Θάσου εἰς Στρύμην,
ἔτι δὲ χειμῶνος ὄντος, καὶ χωρίου ἀλιμένου, καὶ ἐκβῆναι οὐκ ὂν, οὐδὲ δειπνοποιήσα-
σθαι πολεμίας τῆς χώρας οὔσης, καὶ περικαθημένων κύκλῳ τὸ τεῖχος καὶ ξένων 35
μισθοφόρων καὶ βαρβάρων προσοίκων, ἀναγκαῖον ἦν ἐπ᾽ ἀγκύρας ἀποσαλεύειν τὴν
νύκτα μετεώρους, ἀσίτους, καὶ ἀγρύπνους, φυλαττομένους μὴ τῆς νυκτὸς ὑμῖν ἐπίθωνται
αἱ Μαρωνιτῶν τριήρεις. ἐπεὶ δὲ συνέβη τῆς νυκτὸς, ὥρᾳ ἔτους, ὕδωρ καὶ βροντὰς καὶ ἄνε-
μον μέγαν γενέσθαι· ὑπ᾽ αὐτὰς γὰρ πλειάδων δύσεις οἱ χρόνοι οὗτοι ἦσαν· ἐξ ὧν 36
τίνα οὐκ οἴεσθε, ὦ ἄνδρες δικασταὶ, τοῖς στρατιώταις ἀθυμίαν ἐμπεσεῖν; πόσην δέ μοι
μετὰ ταῦτα ἀπόλειψιν γενέσθαι; πάλιν τῶν ἀρχαίων ναυτῶν, ταλαιπωρουμένων μὲν
πολλὰ, ὠφελουμένων δὲ βραχέα, ὅσα ἐγὼ δυναίμην ἑκάστῳ δανειζόμενος *ἐπαρ-
κέσαι, πρὸς ᾧ πρότερον εἶχον παρ᾽ ἐμοῦ. ἐπεὶ ὅ γε στρατηγὸς οὔτε τὴν ἐφ᾽ ἡμέραν 37
αὐτοῖς τροφὴν διαρκῆ ἐδίδου· καὶ ἤδη τρεῖς μῆνες ἐπετετριηράρχητό μοι, καὶ
οὐδέ πω οὗτος ἧκεν ἐπὶ τὴν ναῦν· ἀλλ᾽ ἐμισθούμην ναύτας ἀντὶ τῶν ἀπολιπόντων
δανειζόμενος ἀργύριον. μόνῳ τοίνυν τούτῳ τῶν ἄλλων διαδόχων οὐκ ἔστι πρόφα-
σις ὑπολειπομένη, διότι οὐ πάλαι ἧκεν ἐπὶ τὴν ναῦν. ὁ γὰρ Εὐκτήμων ὁ πεντηκόν- 38
ταρχος ὡς ἐκ τοῦ Ἑλλησπόντου ἀπεστάλη οἴκαδε ἀσθενήσας, ἐπειδὴ κατέπλευσε, καὶ

* γρ. καὶ πλοῦν πολὺν γρ. ἀπὸ πλοῦ

* ἐπαρκέσαι, ἐπήρκουν, πρὸς ᾧ πρό.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐν τῷ δείγματι) Δεῖγμα τόπος τίς ἐστιν ἐν τῷ ἀθηνῶν ἐμπορείῳ, εἰς ὃ τὰ δείγματα ἐκομίζοντο, καλούμενος οὕτως. ἀττικὸν δὲ ἔθος, τὸ καλεῖν ἀπὸ τῶν ἐν τῷ τόπῳ καὶ αὐτοὺς τοὺς τόπους. ἔστι δὲ κυρίως δείγματα τὰ ἐφ' ἑκάστου τῶν πωλουμένων δεικνύμενα.

ἤκουσε τοῦτον ἐμοὶ διάδοχον καθεστηκότα, εἰδὼς τόν τε
χρόνον ἐξήκοντά μοι τῆς τριηραρχίας, καὶ ἤδη ἐπι-
τετριηραρχοῦντά με, παραλαβὼν Δεινίαν τὸν κηδεστὴν
39 τὸν ἐμόν, προσέρχεται αὐτῷ ἐν τῷ δείγματι. καὶ ἐκέ-
λευεν αὐτὸν ὡς τάχιστα ἐπὶ τὴν ναῦν ἀποπλεῖν, ὡς τῶν
ἀναλωμάτων πολλῶν ὄντων καθ' ἑκάστην ἡμέραν
πρὸς τῷ παρὰ τοῦ στρατηγοῦ σιτηρεσίῳ εἰς τὴν ναῦν διδομένῳ, ἃ ἀνηλίσκετο καθ' ἕ- ἃ ἀναλίσκετο
40 καστον αὐτῷ διεξιών, τούς τε μισθοὺς τοῖς τῇ ὑπηρεσίᾳ, καὶ τοῖς ἐπιβάταις κατὰ μῆνα
διδομένους, τοῖς τε ναύταις, οὓς αὐτὸς ἐκ τῆς Λαμψάκου ἐμισθώσατο, καὶ τοῖς ὕστερον
ἐπεμβᾶσιν ἀντὶ τῶν ἀπολιπόντων, ἔτι δὲ ὃ τῶν ἀρχαίων ναυτῶν ἑκάστῳ προσέθηκα
δεηθέντι, ἐπειδή μοι ὁ χρόνος ἐξῆκε τῆς τριηραρχίας, καὶ τἆλλα ὅσα ἦν τὰ καθ' ἑ-
41 κάστην ἡμέραν ἀναλισκόμενα εἰς τὴν ναῦν, οὐκ ἀπείρως ἔχων. διὰ γὰρ ἐκείνου πεντη-
κονταρχοῦντος, καὶ ἠγοράζετο καὶ ἀνηλίσκετο. καὶ περὶ τῶν σκευῶν ἔφραζεν αὐτῷ, ὅτι
ἴδια ἔχοιμι καὶ δημόσιον οὐδέν. ὡς οὖν, ἔφη, ἢ πείσων ἐκεῖνον διανοοῦ, ἢ σκεύη ἔχων
σαυτοῦ ἀνάπλει. εἰ μὴ δέ σοι, ἔφη, αὐτὸν οὐδὲν διοίσεται. ὀφείλει γὰρ ἀργύριον ἐκεῖ,
42 ὃ διαλῦσαι βουλήσεται ἐκ τῆς τιμῆς τῶν σκευῶν. ἀκούσας δὲ ταῦτα τοῦ τε Εὐκτή-
μονος, καὶ τοῦ Δεινίου τοῦ κηδεστοῦ τοῦ ἐμοῦ, περὶ μὲν ὧν ἔλεγον αὐτῷ, οὐδὲν αὐτοῖς ἀπο-
κρίνεται· γελάσαντα δ' ἔφασαν αὐτὸν εἰπεῖν, Ἄρτι μῦς πίττης γεύεται. ἐβούλετο γὰρ
ἀθηναῖος εἶναι. ἐπειδὴ τοίνυν τοῦ Εὐκτήμονος καὶ τοῦ Δεινίου ἀκούσας οὐδὲν ἐφρόντι-
43 ζε, πάλιν αὐτῷ προσέρχονται ὕστερον Πυθόδωρος, ὅ, τε Ἀχαρνεύς, καὶ Ἀπολλόδωρος ὁ Ἀχαρνεύς
Λευκονοεύς, ἐπιτήδειοι ὄντες ἐμοὶ καὶ φίλοι. καὶ ἐκέλευον αὐτὸν ἐπί τε τὴν ναῦν ἀπιέ-
ναι, ὡς διάδοχον ὄντα, καὶ περὶ τῶν σκευῶν ἔφραζον αὐτῷ, ὅτι ἴδια ἔχοιμι ἅπαντα, καὶ δη-
μόσιον οὐδέν. εἰ μὲν οὖν ἐκείνοις ἐθέλοι χρῆσθαι, καταλιπεῖν ἔφασαν ἀργύριον αὐ-
τοῦ καὶ μὴ διακινδυνεύειν ἐκεῖσε ἄγοντα, ἵνα μὴ λύσωνται τὸ χωρίον, ἀποδόντες Ἀρ-
44 χενέῳ καὶ Θρασυλόχῳ τετταράκοντα μνᾶς. περὶ δὲ ἀποτείσεως τῶν σκευῶν, ἤθελον αὐ-
τῷ γράμματα γράφειν, καὶ ἐγγυηταὶ αὐτοὶ γίγνεσθαι ὑπὲρ ἐμοῦ ἦ μὴν ἔσεσθαι αὐ-
τῷ, ὅ, τι ἂν καὶ τοῖς ἄλλοις τριηράρχοις πρὸς τοὺς διαδόχους ᾖ. ὡς οὖν ταῦτα ἀλη-
θῆ λέγω, τούτων ὑμῖν ἀναγνώσεται τὰς μαρτυρίας. Μαρτυρίαι.
45 Ἐκ πολλῶν μὲν τοίνυν τεκμηρίων οἶμαι ὑμῖν ἐπιδεῖξαι Πολυκλέα, ὅτι οὔτε
αὐτόθεν διενοεῖτο παραλαμβάνειν παρ' ἐμοῦ τὴν ναῦν, οὔτε, ἐπειδὴ ὑφ' ὑμῶν καὶ τοῦ
ψηφίσματος τοῦ ὑμετέρου ἠναγκάσθη ἐπὶ τὴν ναῦν ἀπιέναι, ἐλθὼν ἠθέλησέ μοι
διαδέξασθαι αὐτήν. ἐπεὶ γὰρ ἐπειδὴ ἀφίκετο εἰς Θάσον, ἤδη μου τέταρτον μῆνα
46 ἐπιτετριηραρχοῦντος, παραλαβὼν ἐγὼ μάρτυρας, τῶν τε πολιτῶν ὡς ἐδυνά-
μην πλείστους, καὶ τοὺς ἐπιβάτας, καὶ τὴν ὑπηρεσίαν, προσέρχομαι αὐτῷ ἐν Θάσῳ ἐν
τῇ ἀγορᾷ, καὶ ἐκέλευον αὐτὸν τήν τε ναῦν παραλαμβάνειν παρ' ἐμοῦ, ὡς διάδοχον
ὄντα, καὶ τοῦ ἐπιτετριηραρχημένου χρόνου ἀποδιδόναι μοι τὰ ἀναλώματα. λογίσα-
47 σθαι δὲ ἤθελον αὐτῷ καθ' ἕκαστον, ἕως μοι μάρτυρες παρῆσαν τῶν ἀνηλωμένων οἵ τε
ναῦται, καὶ οἱ ἐπιβάται, καὶ ἡ ὑπηρεσία, ἵνα, εἴ τι ἀντιλέγοι, εὐθὺς ἐξελέγχοιμι. οὕτω
γάρ μοι ἀκριβῶς ἐγέγραπτο, ὥστ' οὐ μόνον αὐτὰ μοι τὰ ἀναλώματα ἐγέγραπτο, ἀνεγέγραπτο
ἀλλὰ καὶ ὅποι ἀνηλώθη, καὶ ὅ τι ποιούντων, καὶ ἡ τιμή, καὶ ὁπόσου τις ἦν, καὶ νόμισμα
48 ποδαπόν, καὶ ἐκ πόσου ἡ καταλλαγὴ ἦν τῷ ἀργυρίῳ, ἵνα εἴη ἀκριβῶς ἐξελέγ-
ξαί με τῷ διαδόχῳ, εἴ τι ἡγεῖτο ψευδῶς αὐτῷ λογίζεσθαι. ἔτι δὲ καὶ πίστιν αὐτῷ
ἐπιδοὺς,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐπιτεθείς, ἠθέλησα λογίσασθαι τὰ ἀνηλωμένα. προσκαλουμένου δέ μου ταῦτα, ἀπε-
κρίνατό μοι, ὅτι οὐδὲν αὐτῷ μέλει ὧν λέγοιμι. ἐν δὲ τούτῳ ὑπηρέτης ἥκων παρὰ τοῦ
στρατηγοῦ, ἐμοὶ παρήγγελλεν ἀνάγεσθαι, οὐ τούτῳ τῷ διαδόχῳ, οὗ ἡ λειτουργία ἤδη 49
ἐγίγνετο. τούτου δὲ τὸ αἴτιον ἐγὼ ὑμᾶς προϊόντος τοῦ λόγου διδάξω. τότε μὲν οὖν
μοι ἐδόκει ἀνάγεσθαι, καὶ πλεῖν οἷ ἐκέλευεν. ἐπειδὴ δὲ κατέπλευσα πάλιν εἰς Θάσον,
ἑλκύσας τὰ πλοῖα εἰς Στρύμην οἷ προσέταξεν ὁ στρατηγός, κελεύσας τοὺς ναύτας
ἐν τῇ νηὶ μένειν, καὶ τοὺς ἐπιβάτας καὶ τὴν ὑπηρεσίαν, ἐκβὰς αὐτός, πορεύομαι ἐπὶ τὴν 50
οἰκίαν, οὗ κατήγετο Τιμόμαχος ὁ στρατηγός, βουλόμενος κἀκείνου ἐναντίον παραδι-
δόναι τὴν ναῦν Πολυκλεῖ τούτῳ πλήρη. καταλαμβάνω οὖν καὶ τοῦτον ἐκεῖ, καὶ τοὺς
τριηράρχους, καὶ τοὺς διαδόχους, καὶ ἄλλους τινὰς τῶν πολιτῶν. καὶ εἰσελθὼν εὐθὺς ἐναντίον
τοῦ στρατηγοῦ, λόγους πρὸς αὐτὸν ἐποιούμην. καὶ ἠξίουν αὐτὸν τήν τε ναῦν μοι πα- 51
ραλαμβάνειν, καὶ τοῦ ἐπιτετριηραρχημένου χρόνου ἀποδιδόναι μοι τὰ ἀναλώμα-
τα. καὶ περὶ τῶν σκευῶν ἠρώτων αὐτόν, πότερα παραλήψεται, ἢ ἴδια σκεύη ἔχων, ἥ-
κοι ἐπὶ τὴν ναῦν. ταῦτα δέ μου προσκαλουμένου αὐτόν, ἠρώτα με* διότι σκεύη τε *διὰ τί
ἴδια μόνος ἔχοιμι τῶν τριηράρχων, καὶ πότερα ἡ πόλις οὐκ εἰδείη τινὰς δυναμένους 52
σκεύη παρέχειν ταῖς ναυσίν, ὥστε αὐτὴ μὴ παρέχειν, ἢ σὺ τοσοῦτον, ἔφη, *ὑπερπέ- *ὑπερβέβηκας
παικας πλούτῳ τοὺς ἄλλους, ὥστε καὶ τὰ σκεύη ἴδια ἔχειν, καὶ κόσμον χρυσόπαστον μόνος
τῶν τριηράρχων. τίς ἂν οὖν, ἔφη, δύναιτο, τὴν σὴν μανίαν καὶ πολυτέλειαν ὑπο-
μεῖναι; διεφθαρμένον πλήρωμα, καὶ εἰωθὸς ἀργύριον πολὺ προλαμβάνειν, καὶ ἀτε- 53
λείας ἄγειν τῶν νομιζομένων ἐν τῇ νηὶ λειτουργιῶν, καὶ λοῦσθαι ἐν βαλανείῳ; τρυφῶν-
τας δὲ ἐπιβάτας καὶ ὑπηρεσίαν ὑπὸ μισθοῦ πολλοῦ καὶ ἐντελοῦς; κακῶν δ', ἔφη, δι-
δάσκαλος γέγονας ἐν τῷ στρατεύματι, καὶ αἴτιος εἶ μέρος τι καὶ τοῖς ἄλλοις τριηράρ-
χοις πονηροτέρους εἶναι τοὺς στρατιώτας, ζητοῦντας ταὐτὰ τοῖς παρὰ σοί. ἔδει γάρ σε 54
ταὐτὰ ποιεῖν τοῖς ἄλλοις τριηράρχοις. λέγοντος δὲ αὐτοῦ ταῦτα, ἀπεκρινάμην αὐτῷ,
ὅτι σκεύη μὲν διὰ τοῦτο οὐ λάβοιμι ἐκ τοῦ νεωρίου, ὅτι σὺ ἀδόκιμα ἐποίησας αὐτά.
ἀλλ' εἰ μὲν βούλει, ταῦτα παράλαβε· εἰ δὲ μή, σκεύη σαυτῷ παρασκεύαζε. περὶ δὲ
τῶν ναυτῶν, καὶ τῶν ἐπιβατῶν, καὶ τῆς ὑπηρεσίας, εἰ φῂς ὑπ' ἐμοῦ αὐτοὺς διεφθάρθαι, 55
παραλαβὼν τὴν τριήρη αὐτὸς ἑαυτῷ, κατασκευάσαι καὶ ναύτας, καὶ ἐπιβάτας, καὶ
ὑπηρεσίαν, οἵτινες μηδὲν λαβόντες συμπλεύσονται. τὴν δὲ ναῦν παράλαβε· οὐ γὰρ
ἔτι μοι προσήκει τριηραρχεῖν. ὅ,τε γὰρ χρόνος ἐξήκει μοι τῆς τριηραρχίας, καὶ ἐπι-
τετριηράρχηκα τέτταρας μῆνας. λέγοντος δέ μου ταῦτα, ἀποκρίνεταί μοι, ὅτι ὁ 56
συντριήραρχος αὐτῷ οὐχ ἥκει ἐπὶ τὴν ναῦν. οὔκουν παραλήψομαι μόνος τὴν τριή-
ρη. ὡς οὖν ἀληθῆ λέγω ταῦτα πρὸς ὑμᾶς, καὶ ἐν μὲν τῇ ἀγορᾷ ἀπεκρίνατό μοι
τὸ πρότερον, ὅτι οὐδὲν αὐτῷ μέλει ὧν λέγοιμι· ἐν δὲ τῇ οἰκίᾳ, οὗ ὁ Τιμόμαχος κα-
τήγετο, ὅτι μόνος οὐ παραλήψεται τὴν ναῦν, τούτων ὑμῖν ἀναγνώσεται τὰς μαρ- 57
τυρίας.

Μαρτυρίαι.

Μετὰ ταῦτα τοίνυν, ὦ ἄνδρες δικασταί, ὡς οὔτε οὗτος ἤθελέ μοι τὴν ναῦν δια-
δέχεσθαι, οὔτε ἀναλώματα ἀπεδίδου τοῦ ἐπιτετριηραρχημένου χρόνου, ὅτε στρα-
τηγὸς ἐπέταττέ μοι ἀνάγεσθαι, προσελθὼν αὐτῷ ἐν Θάσῳ ἐν τῷ λιμένι ἐναντίον 58
τοῦ στρατηγοῦ, πλήρους οὔσης τῆς τριήρους, ἃ δίκαια μὲν οὐκ ἦν, ἀλλὰ πλεονεκ-
τήματα τούτου, ἀναγκαῖα δέ μοι ἐκ τῶν παρόντων εἰπεῖν· ἐπειδὴ σὺ φῄς, ὦ Πολύ-
κλεις, τὸν συντριήραρχον οὐχ ἥκειν, τοῦ μὲν ἐπιτετριηραρχημένου χρόνου ἐγὼ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

59 ἐκεῖνον πράξομαι τὰ ἀναλώματα, ἂν δύνωμαι, τῶν τεττάρων μηνῶν· σὺ δὲ πα-
ραλαβὼν τὴν ναῦν, πρῶτον μὲν τὸν ὑπὲρ σαυτοῦ χρόνον τριηράρχησον τοὺς ἓξ
μῆνας· ἔπειτα ἐὰν μέν σοι ἔλθῃ ἐν τούτῳ ὁ συντριήραρχος, ἐκείνῳ παραδώσεις
λειτουργήσας· ἐὰν δὲ μή, οὐδὲν δεινὸν πείσῃ, δύο μῆνας ἐπιτριηραρχήσας. ἢ ἐγὼ
60 μὲν ὁ τόν τε ὑπὲρ ἐμαυτοῦ χρόνον, καὶ τὸν τοῦ συντριηράρχου λελειτουργηκώς, ἐπι-
τετριηράρχηκα ὑπὲρ ὑμῶν· σὺ δ' οὐδὲν ἀνηλωκὼς οὐκ ἀξιοῖς οὐδὲ τὸν ὑπὲρ σαυ-
τοῦ χρόνον, παραλαβὼν τὴν ναῦν, λειτουργῆσαι, οὐδὲ τὰ ἀναλώματα ἀποδοῦναι;
λέγοντος δέ μου ταῦτα, ἀπεκρίνατό μοι, ὅτι μύθους λέγοιμι. ὁ δὲ στρατηγὸς, ἐμ-
61 βαίνειν με ἐκέλευεν εἰς τὴν ναῦν, καὶ ἀνάγεσθαι μεθ' αὑτοῦ. ὡς οὖν ταῦτα ἀπεκρί-
νατο, ἀνάγνωθί μοι τὴν μαρτυρίαν. Μαρτυρία.

Βούλομαι δ' ὑμῖν καὶ τεκμήριόν τι εἰπεῖν, ἵνα εἰδῆτε, ὅτι περιφανῶς ἠδίκημαι.
ἀγνίᾳ γὰρ καὶ πραξικλεῖ, ὑπὸ τὸν αὐτὸν χρόνον κατέστησαν διάδοχοι, μνησίλο-
62 χός τε ὁ περιθοίδης, καὶ φρασιηρίδης ὁ ἀναφλύστιος. οὐκ ἀφικομένου δὲ τοῦ φρασι-
ηρίδου ἐπὶ τὴν ναῦν, ὁ μνησίλοχος ἐλθὼν εἰς τὴν θάσον, παρέλαβέ τε παρὰ τοῦ
ἀγνίου τὴν τριήρη, καὶ τὸ ἐπιτριηράρχημα ἀπέδωκε τῷ ἀγνίᾳ, τοῦ χρόνου, οὗ ἐπι-
νήλωσεν ὑπὲρ αὐτῶν, ὅσον ἔπεισε, καὶ τὰ σκεύη παρὰ τοῦ ἀγνίου ἐμισθώσατο, καὶ αὐτὸς
63 ἐτριηράρχει. ὕστερον δὲ παρὰ τοῦ φρασιηρίδου ἐλθόντος, τῶν τε ἀνηλωμένων τὸ μέ-
ρος ἀπέδοσαν τῷ μνησιλόχῳ, καὶ τοῦ λοιποῦ χρόνου ὅσα ἔδει, εἰς τὴν ναῦν
συνανήλισκον. καί μοι τούτων ἀνάγνωθι τὴν μαρτυρίαν. Μαρτυρία.

Ἴσως οὖν, ὦ ἄνδρες δικασταί, ποθεῖτε ἀκοῦσαι διὰ τί ποτε ὁ στρατηγὸς οὐκ ἠνάγ-
64 καζε τοῦτον παραλαμβάνειν τὴν ναῦν, διαδόχον ἥκοντα ἐπ' αὐτήν, τῶν νόμων οὕ-
τως ἰσχυρῶν ὄντων. περὶ δὴ τούτων βούλομαι ὑμᾶς σαφῶς διδάξαι τὸ αἴτιον. Τιμό-
μαχος γάρ, ὦ ἄνδρες δικασταί, πρῶτον μὲν ἐβούλετο εὖ κατεσκευασμένῃ τῇ τριήρει
πρὸς ἅπαντα χρῆσθαι. ᾔδει οὖν ὅτι οὗτος μὲν παραλαβὼν αὐτὴν, κακῶς ἤμελλε
65 τριηραρχήσειν. οὔτε γὰρ τῷ τριηραρχήματι, οὔτε τοῖς ἐπιβάταις, καὶ τῇ ὑπηρεσίᾳ
χρήσοιτο. οὐδεὶς γὰρ αὐτῷ παραμενεῖ. ἔτι δὲ πρὸς τούτοις, ὁπότε μὴ διδοὺς ἀργύ-
ριον προστάττοι πλεῖν, οὐκ ἤμελλεν αὐτῷ ἀνάξεσθαι, ὥσπερ ἐγώ, ἀλλὰ πράγμα-
τα παρέξειν. πρὸς δὲ τούτῳ δανείζεται παρ' αὐτοῦ τριάκοντα μνᾶς, ὥστε μὴ ἀναγ-
66 κάσαι παραλαβεῖν τὴν ναῦν. ἐξ ὧν δέ μοι μάλιστα ὀργισθεὶς ἐπηρέαζε, καὶ οὐδὲ
λόγον ἑκάστοτε ἐδίδου, οὐδὲ περὶ ἑνός, βούλομαι ὑμῖν σαφῶς διηγήσασθαι, ἵνα εἰ-
δῆτε, ὅτι οὐ περὶ πλείονος ἐποιούμην οὔτε τὴν ἐμαυτοῦ ἑταιρείαν ἐν ἐκείνῳ τῷ χρό-
νῳ, οὔτε τὴν ἐκείνου ῥώμην, τοῦ δήμου τῶν ἀθηναίων, καὶ τῶν νόμων· ἀλλ' ἠνειχόμην
67 καὶ ἔργῳ ἀδικούμενος, καὶ λόγῳ προπηλακιζόμενος, ἃ πολλῷ μοι βαρύτερα ἦν τῶν
ἀναλωμάτων. ὡς γὰρ ἐν θάσῳ διατρίβειν τοῦ ναυτικοῦ ἐγίγνοντο, ἀφικνεῖται ἐκ
μεθώνης τῆς μακεδονίας ὑπηρετικὸν εἰς θάσον, ἄγων ἄνδρα, καὶ ἐπιστολὰς παρὰ καλ- ἄγον
λιστράτου ὡς τιμόμαχον, ἐν αἷς ἦν, ὡς ὕστερον ἐγὼ ταῦτα ἐπυθόμην, ἀποπέμψαι
68 αὐτῷ τριήρη τὴν ἄριστα πλέουσαν, ἵν' ἀφίκηται ὡς αὐτόν. εὐθὺς οὖν τῇ ὑστεραίᾳ
ἅμα τῇ ἡμέρᾳ ὁ ὑπηρέτης ἐλθὼν, ἐκέλευέ με καλεῖν εἰς τὴν ναῦν τοὺς ναύτας. ἐπεὶ
δὲ πλήρης ἦν, ἀναβαίνει κάλλιππος ὁ φίλωνος, ὁ αἰξωνεύς, καὶ φράζει πρὸς τὸν κυ-
βερνήτην, τὸν ἐπὶ μακεδονίας πλοῦν πλεῖν. ἐπειδὴ δὲ ἀφικόμεθα εἰς χωρίον τι ἐν τῇ
69 κατ' ἀντικρὺ ἠπείρῳ, θασίων ἐμπόριον, καὶ ἐκβάντες ἠριστοποιούμεθα, προσέρχε-
ταί μοι τῶν ναυτῶν ὁ καλλικλῆς ἐπιτρεφοῦς θριάσιος, λέγων, ὅτι βούλοιτό μοι δια- ὁ ἐπιτρεφοῦς.

λεχθῆναι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λέγειν ἐμόν τι πρᾶγμα. κελεύσαντος δέ μου, λέγει ὅτι βούλοιτό μοι χάριν ἀπο-
δοῦναι καθ' ὅτι δυνατὸν ἦν αὐτῷ ἀπορηθέντι ἔδωκα. σὺ οὖν, ἔφη, τὸ πλοῖον τοῦτο οἶσθα
ἐφ' ὅτι πλεῖ, ἢ ποῖ; ἀποκριναμένου δ' αὐτῷ ἐμοῦ ὅτι οὐκ εἰδείην, ἀλλ' ἐγώ σοι, ἔφη, ἐρῶ. 70
δεῖ γάρ σε ἀκούσαντα, ὀρθῶς βουλεύσασθαι. μέλλεις γάρ, ἔφη, ἄγειν ἄνδρα φυγάδα, ὃν
Ἀθηναῖοι θάνατον δὶς κατεψηφίσαντο, Καλλίστρατον ἐκ Μεθώνης εἰς Θάσον ὡς Τιμό-
μαχον τὸν κηδεστήν, ὡς ἐγώ, ἔφη, πέπυσμαι τῶν παίδων τῶν Καλλίππου. σὺ οὖν ἐὰν σω-
φρονῇς, οὐδένα τῶν φευγόντων ἐάσεις εἰς τὴν ναῦν ἀναβαίνειν. οὐ γὰρ ἐῶσιν οἱ νόμοι. ἀκούσας 71
δ' ἐγὼ ταῦτα τοῦ Καλλικλέους, προσέρχομαι τῷ Καλλίππῳ, καὶ ἐρωτῶ αὐτόν, ὅποι τε
τὸν πλοῦν ποιεῖται, καὶ ἐπὶ τίνα. διαχλευάσαντος δ' αὐτοῦ με, καὶ ἀπειλήσαντος ἃ
οὐδ' ἂν ὑμεῖς ἀγνοήσαιτε. καὶ γὰρ τὸν τρόπου οὐ Καλλίππου οὐκ ἀπείρως ἔχετε. λέγω
αὐτῷ, ὅτι ἀκούω σε πλεῖν ἐπὶ Καλλίστρατον. ἐγὼ οὖν τῶν φευγόντων οὐδένα ἄξω, οὐδὲ 72
πλεύσομαι ἐπ' αὐτόν. οἱ γὰρ νόμοι οὐκ ἐῶσιν ὑποδέχεσθαι τῶν φευγόντων οὐδένα, ἢ ἐν τοῖς
αὐτοῖς κελεύουσιν ἐνέχεσθαι τὸν ὑποδεχόμενον τοὺς φεύγοντας. ἀποπλεύσομαι οὖν πά-
λιν ὡς τὸν στρατηγὸν εἰς Θάσον. καὶ ἐπειδὴ ἐνέβησαν οἱ ναῦται, λέγω τῷ κυβερνήτῃ ἀποπλεῖν
εἰς τὴν Θάσον. ἀντιλέγοντος δὲ οὐ Καλλίππου, καὶ κελεύοντος πλεῖν εἰς τὴν Μακεδονίαν, οἷ 73
προσέταξεν ὁ στρατηγός, ἀποκρίνεται αὐτῷ Ποσείδιππος ὁ κυβερνήτης, ὅτι τριήραρ-
χός τε ἐγὼ τῆς νεὼς εἴην, καὶ ὑπεύθυνος, καὶ τὸν μισθὸν παρ' ἐμοῦ λαμβάνοι. πλεύσοιτο οὖν,
οἷ ἐγὼ κελεύω, εἰς Θάσον ὡς τὸν στρατηγόν. ἀφικομένων δὲ ἡμῶν τῇ ὑστεραίᾳ εἰς τὴν Θά-
σον, μεταπέμπεταί με ὁ Τιμόμαχος, οὗ κατήγετο ἔξω τείχους. φοβούμενος δ' ἐγὼ 74
μὴ δεθείην, διαβληθεὶς ὑπὸ τοῦ Καλλίππου, αὐτὸς μὲν οὐχ ὑπακούω, ἀλλὰ λέγω τῷ
ὑπηρέτῃ, ὅτι εἴ τι βούλεταί μοι διαλέγεσθαι, ἐν τῇ ἀγορᾷ ἔσομαι. τὸν δὲ παῖδα συμ-
πέμπω αὐτῷ, ἵν', εἴ τι μοι προστάττοι, ἀκούσας ἀπαγγείλαι μοι. διὰ μὲν ταύτας
τὰς αἰτίας, ὦ ἄνδρες δικασταί, ἃς εἴρηκα πρὸς ὑμᾶς, ὁ Τιμόμαχος οὐκ ἠνάγκαζε 75
παραλαμβάνειν τοῦτον τὴν ναῦν. ἔτι δὲ καὶ βουλόμενος αὐτὸς χρῆσθαι τῇ νηὶ ὡς ἄριστα
πλεούσῃ. τὴν μὲν γὰρ τοῦ Θρασυλόχου τοῦ Ἀναγυρασίου τριήρη, ἐφ' ἧς αὐτὸς ἔπλει,
τὸν Θρασύλοχον πείθει ὁ Κάλλιππος μισθῶσαι τὴν τριηραρχίαν, ἵνα αὐτοκρά- [μισθῶσαι εἰς τριηραρχ.]
τωρ ὢν ὁ Κάλλιππος τῆς νεώς, περιάγοι τὸν Καλλίστρατον. αὐτὸς δὲ ἀναβὰς ἐπὶ τὴν ἐμὴν 76
ναῦν, περιέπλει πανταχῇ, ἕως ἀφίκετο εἰς Ἑλλήσποντον. ἐπειδὴ δὲ οὐκέτι χρεία
ἦν αὐτῷ τριηρῶν, ἐμβιβάσας μοι Λυκῖνον τὸν Παλληνέα ἄρχοντα εἰς τὴν ναῦν, καὶ
προστάξας αὐτῷ καθ' ἡμέραν ἀργύριον διδόναι τοῖς ναύταις, ἀποπλεῖν οἴκαδέ με
ἐκέλευεν. ἐπειδὴ τοίνυν καταπλέοντες οἴκαδε ἦμεν ἐν Τενέδῳ, καὶ οὔτε ὁ Λυκῖνος, ᾧ 77
προσέταξεν ὁ Τιμόμαχος, ἐδίδου τοῖς ναύταις σιτηρέσιον. οὐ γὰρ ἔφη ἔχειν, ἀλλ' ἐκ
Μιτυλήνης λήψεται, οἵ τε στρατιῶται εἶχον οὐδέν, ὅτου ἂν ἐπισιτίσαιντο, ἄσιτοι δὲ [λήψεσθαι]
οὐκ ἂν ἠδύναντο ἐλαύνειν. πάλιν παραλαβὼν ἐγὼ μάρτυρας τῶν πολιτῶν, προσ-
ελθὼν Πολυκλεῖ τούτῳ ἐν Τενέδῳ, ἐκέλευον αὐτὸν τήν τε ναῦν παραλαμβάνειν, ὡς 78
διάδοχον ὄντα, καὶ τὸ ἐπιτετριηράρχημα ἀποδιδόναι τοῦ χρόνου, οὗ ἐπανήλωσα
ὑπὲρ τούτου ἐπιτριηραρχῶν, ἵνα μὴ πρόφασις αὐτῷ γένοιτο ἀπολογίας πρὸς
ὑμᾶς, ὡς ἐγὼ διὰ τοῦτο οὐκ ἤθελον αὐτῷ παραδοῦναι τὴν ναῦν, φιλοτιμούμενος
ἵνα καταπλεύσαιμι οἴκαδε ἐπὶ νεὼς εὖ πλεούσης, καὶ ἐνδειξαίμην ὑμῖν τὰ ἀνα- 79
λώματα. οὐκ ἐθέλοντος δ' αὐτοῦ παραλαμβάνειν, τῶν δὲ ναυτῶν ἀργύριον αἰ-
τούντων, ἵν' ἀγοράσωνται τὰ ἐπιτήδεια, πάλιν αὐτῷ προσέρχομαι μάρτυρας
ἔχων, καὶ ἠρώτων αὐτὸν εἰ ἀναπλεύσειεν ἔχων ἀργύριον ὡς διαδεξόμενός μοι τὴν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

80 ναῦν, ἢ οὔ; ἀποκρινομένου δ' αὐτοῦ, ὅτι ἔχων ἀργύριον ἥκοι, ἐκέλευον αὐτόν μοι δανεῖ-
σαι ὑποθέμενον τὰ σκεύη τῆς νεώς, ἵνα ἔχοιμι διαδοῦναι τοῖς ναύταις, καὶ κατακο-
μίσαι τὴν ναῦν, ἐπειδὴ οὐ βούλεται παραλαβεῖν, διάδοχος ὤν. δεομένου δέ μου ταῦ-
τα, ἀπεκρίνατό μοι, ὅτι οὐδ' ἀκαρῆ δανείσοι. ἐγὼ μὲν οὖν παρὰ ξένων τενεδίων τῶν
81 πατρικῶν, κλεάνακτος, καὶ ἐπηράτου ἐδανεισάμην, καὶ ἔδωκα τοῖς ναύταις τὸ σιτηρέ-
σιον. διὰ γὰρ τὸ πασίωνος εἶναι, καὶ ἐκεῖνον ἐπεξενῶσθαι πολλοῖς, καὶ πιστευθῆναι ἐν
τῇ ἑλλάδι, οὐκ ἠπόρουν ὅπου δεηθείην δανείσασθαι. ὡς οὖν ταῦτ' ἀληθῆ πρὸς
ὑμᾶς λέγω, τούτων ὑμῖν τὰς μαρτυρίας παρέξομαι.

82 Μαρτυρίαι.

Ὅσων μὲν τοίνυν ὑμῖν ἐδυνάμην τὰς μαρτυρίας παρασχέσθαι τῶν παρα-
γενομένων, ὡς παρεδίδουν τὴν ναῦν πολυκλεῖ πολλάκις, ὁ δ' οὐκ ἤθελε πα-
ραλαβεῖν, ἀνέγνωσται ὑμῖν. ἔτι δὲ καὶ ἐκ τεκμηρίων ἱκανῶς δεδήλωκα ὑμῖν, διότι
83 οὐκ ἤθελε παραλαβεῖν τὴν ναῦν. βούλομαι δ' ὑμῖν καὶ τὸν νόμον ἀναγνωσθῆναι τὸν
περὶ τῶν διαδόχων, ἵνα εἰδῆτε, ἡλίκων τῶν ἐπιτιμίων ὄντων, ἐάν τις μὴ διαδέξηται
τὴν ναῦν ἐν τῷ χρόνῳ τῷ εἰρημένῳ, καταφρονήσει οὐκ ἐμοῦ μόνον, ἀλλὰ καὶ ὑμῶν
καὶ τῶν νόμων, καὶ διὰ μὲν τοῦτον, ἅπαντα τῇ πόλει ἄπρακτα γέγονε, καὶ τοῖς συμ-
μάχοις· οὔτε γὰρ ἀφίκετο ἐπὶ τὴν ναῦν κατὰ τὸν νόμον, οὔτ', ἐπειδὴ ἦλθεν, ἠθέλησε
84 διαδέξασθαι· ἐγὼ δὲ καὶ τὸν ὑπὲρ ἐμαυτοῦ ὑμῖν χρόνον, καὶ τὸν ὑπὲρ συντριη-
ράρχου ἐλῃτούργησα· καὶ ἐπειδὴ ἐξῆλθέ μοι ὁ χρόνος τῆς τριηραρχίας, προστάτ-
τοντός μου τοῦ στρατηγοῦ πλεῖν ἐφ' ἱερόν, παρέπεμψα τῷ δήμῳ τὸν σῖτον, ἵν' ἔχητε
ἄφθονον ὠνεῖσθαι, καὶ μηδὲν ὑμῖν κατ' ἐμὲ ἐλλείπηται καὶ ἄλλα, ὅσα ἢ ἐμοί, ἢ τῇ τριή-
85 ρει ἐβουλήθη ὁ στρατηγὸς χρῆσθαι, παρεῖχον αὐτῷ, οὐ μόνον τὴν οὐσίαν ἀναλίσκων, ἀλλὰ
καὶ τῷ σώματι κινδυνεύων, συνεπιπλέων, τῶν οἰκείων μοι πραγμάτων τοιούτων
συμβεβηκότων ἐν τῷ τότε καιρῷ, ὥστε ὑμᾶς ἂν ἀκούσαντας ἡμᾶς ἐλεῆσαι. ἡ μὲν
γε μήτηρ ἔκαμνε, καὶ ἐπιθάνατος ἦν ἐμοῦ ἀποδημοῦντος, ὥστε μὴ δύνασθαι,
86 ἂν ἔτι αὐτὴν βοηθῆσαι τοῖς ἐμοῖς πράγμασιν ἀνηλωμένοις, ἀλλ' ἢ βραχέα. ἑκ-
ταῖος γὰρ ἥκων ἐτύγχανον, καὶ ἐκείνη ἰδοῦσά με, καὶ προσειποῦσα, τὴν ψυχὴν ἀ-
φῆκεν, οὐκέτι τῶν ὄντων κυρία οὖσα, ὥστε δοῦναι ὅσα ἐβούλετό μοι. πολλάκις δὲ καὶ
πρότερον μετεπέμπετό με, ἀφικέσθαι δεομένη αὐτόν,* εἰ μὴ τῇ τριήρει οἷόν τ' εἴη. *εἰ μὴ τὴν τριήρη οἷόν τ'
87 ἡ δὲ γυνή, ἣν ἐγὼ περὶ πλείστου ποιοῦμαι, ἀσθενῶς διέκειτο πολὺν χρόνον ἐν τῇ
ἐμῇ ἀποδημίᾳ. τὰ δὲ παιδία, μικρά. ἡ δὲ οὐσία, ὑπόχρεως. ἡ δὲ γῆ, οὐχ ὅπως τι-
νὰ καρπὸν ἤνεγκεν, ἀλλὰ καὶ τὸ ὕδωρ ἐν ἐκείνῳ τῷ ἐνιαυτῷ, ὡς πάντες ἴστε, ἐκ
τῶν φρεάτων ἐπέλιπεν, ὥστε μηδὲ λάχανον γενέσθαι ἐν τῷ κήπῳ. οἱ δεδανεικό-
88 τες δὲ ἧκον ἐπὶ τοὺς τόκους, ἐπειδὴ ἐνιαυτὸς ἐξῆλθεν, εἰ μή τις ἀποδοίη αὐτοῖς κατὰ
τὰς συγγραφάς. ὧν ἀκούοντα* με καὶ παρὰ τῶν ἀφικνουμένων λόγῳ, τὰ δὲ καὶ δι'
ἐπιστολῶν παρὰ τῶν οἰκείων, τίνα με οἴεσθε ψυχὴν ἔχειν, ἢ πόσα δάκρυα ἀφιέναι, *με παρὰ μὲν παρὰ τῶν
τὰ μὲν ἐκλογιζόμενον περὶ τῶν παρόντων, τὰ δὲ καὶ ποθοῦντα ἰδεῖν παιδία, καὶ γυ-
89 ναῖκα, καὶ μητέρα, ἣν ἐγὼ οὐ πολλὰς ἐλπίδας εἶχον ζῶσαν καταλήψεσθαι; ὧν τί
ἥδιόν ἐστιν ἀνθρώπῳ, ἢ τίνος ἕνεκ' ἄν τις εὔξαιτο, τούτων στερηθείς, ζῆν; τοιούτων τοί-
νυν συμβεβηκότων μοι τῶν πραγμάτων, οὐ περὶ πλείονος ἐποιησάμην τὰ ἐμαυ-
τοῦ ἴδια, ἢ τὰ ὑμέτερα. ἀλλ' ἡγούμην δεῖν καὶ χρημάτων ἀναλισκομένων κρείττων
90 εἶναι, καὶ τῶν οἴκοι ἀμελουμένων, καὶ γυναικὸς καὶ μητρὸς νοσούσης, ὥστε μήτε τὴν τά-
ξιν αἰτιά-

ξιν αἰτιάσασθαί με τινὰ λιπεῖν, μήτε τὴν τριήρη τῇ πόλει ἄχρηστον γενέσθαι. ἀλλ' οὖν
ἁπάντων νῦν ὑμῶν δέομαι, ὥσπερ ἐγὼ ὑμῖν εὔτακτον καὶ χρήσιμον ἐμαυτὸν πα-
ρέσχον, οὕτω καὶ ὑμᾶς νῦν περὶ ἐμοῦ πρόνοιαν ποιησαμένους, καὶ ἀναμνησθέντας ἁ-
πάντων, ὧν τε διηγησάμην πρὸς ὑμᾶς, τῶν τε μαρτυριῶν, ὧν παρεσχόμην, καὶ 91
τῶν ψηφισμάτων, βοηθῆσαι μὲν ἐμοὶ ἀδικουμένῳ, τιμωρήσασθαι δ' ὑπὲρ ὑμῶν,
ἀνηλωμένα εἰσπρᾶξαι δὲ τὰ ὑπὲρ τούτου ἀναλωμένα. ἢ τίς ἐθελήσει φιλοτιμεῖσθαι πρὸς
ὑμᾶς, ὅταν ὁρῶσι μήτε τοῖς χρηστοῖς καὶ εὐτάκτοις χάριν οὖσαν, μήτε τοῖς πονηροῖς
καὶ ἀκοσμοῦσι τιμωρίαν παρ' ὑμῶν; ἀναγνώσεται δὲ καὶ τὸν νόμον ὑμῖν, καὶ τὰ ἀνα- 92
λώματα τοῦ χρόνου, οὗ ἐπετριηράρχησα ὑπὲρ τούτου καθ' ἕκαστον, καὶ τοὺς λιπόνεως, ὅσον
ἕκαστος ἔχων ἀργύριον ἀπέδρα, καὶ ὅπου, ἵνα εἰδῆτε, ὅτι οὔτε νῦν πρὸς ὑμᾶς ψεῦ-
δος οὐδὲν λέγω, οὔτε ἐν τῷ πρόσθεν χρόνῳ. ἡγοῦμαί τε δεῖν ἐμὲ μὲν τὸν ὑπὸ τῶν νό-
μων χρόνον ὡρισμένον, ἀμέμπτως ὑμῖν λειτουργεῖν· τοὺς δὲ καταφρονοῦντας καὶ 93
ὑμῶν καὶ τῶν νόμων, καὶ οὐκ ἐθέλοντας πείθεσθαι τοῖς νόμοις, ἐξελέγξας ἐν ὑμῖν
τιμωρήσασθαι ἀδικοῦντας τιμωρήσεσθαι. εὖ δ' ἴστε, ὅτι οὐ περὶ τῶν ἐμῶν ἰδίων μᾶλλον τιμωρή-
σεσθε Πολυκλέα, ἢ ὑπὲρ ὑμῶν αὐτῶν, οὐδὲ περὶ τῶν παρεληλυθότων τριηράρχων
ἐπιμέλειαν ποιήσεσθε μόνον, ἀλλὰ καὶ περὶ τῶν μελλόντων πρόνοιαν, ὥστε μήτε 94
τοὺς λειτουργοῦντας ἀθυμεῖν, μήτε τοὺς διαδόχους καταφρονεῖν τῶν νόμων· ἀλλ'
ἀπιέναι ἐπὶ τὰς ναῦς, ὅταν καταστάθωσιν. ἃ προσήκει ὑμᾶς ἐνθυμηθέντας, ὀρθῶς
καὶ δικαίως διαγνῶναι περὶ πάντων. ἡδέως δ' ἂν ὑμῶν πυθοίμην, ὦ ἄνδρες δι-
κασταί, τίν' ἄν ποτε γνώμην περὶ ἐμοῦ εἴχετε, εἰ τοῦ τε χρόνου ἐξήκοντος, καὶ τούτου 95
μὴ ἥκοντος ἐπὶ τὴν ναῦν, μὴ ἐπετριηράρχησα κελεύσαντος τοῦ στρατηγοῦ, ἀλλὰ
πλέων ᾠχόμην. ἆρ' οὐκ ἂν ὠργίζεσθέ μοι, καὶ ἡγεῖσθε ἂν ἀδικεῖν με; εἰ τοίνυν ἂν
ἐμοὶ τότε ὀργίζοισθε, ὅτι οὐκ ἐπετριηράρχησα, πῶς οὐχὶ νῦν προσήκει ὑμᾶς τού-
ἀνήλωσα τῳ εἰσπρᾶξαί μοι τὰ ἀναλώματα, ἃ ἐγὼ ὑπὲρ τούτου ἀνάλωσα, ὃν οὐ διαδε- 96
ξάμενον τὴν ναῦν; ὅτι δ' οὐκ ἐμοὶ μόνῳ οὐ διεδέξατο τὴν ναῦν, ἀλλὰ καὶ πρό-
τερον εὐεπίδῃ συντριηράρχῳ ὤν, καὶ συνθηκῶν οὐσῶν αὐτοῖς τοὺς ἓξ μῆνας ἑ-
κάτερον πλεῖν, ἐπειδὴ εὐεπίδης ἐξέπλευσε, καὶ ὁ χρόνος ἐξῆκεν, οὐ διεδέξατο
τὴν ναῦν αὐτῷ, ἀναγνώσεται τὴν μαρτυρίαν.

Μαρτυρία.

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΕΡΙ ΣΤΕΦΑΝΟΥ ΤΗΣ τριηραρχίας λόγου.

ΠΟΛΛΩΝ καὶ μεγάλων πραγμάτων καταπειγόντων τοὺς Ἀθηναίους τριήρεις πληρῶσαι, καὶ τῆς κατὰ θάλατταν ἐπιμεληθῆναι δυνάμεως, γράφεται ψήφισμα τῶν τριηράρχων, τὸν μὲν πρῶτον τῶν ἄλλων τὴν ναῦν κατέχοντα πεπληρωμένην, τὸν στέφανον λαβεῖν· τὸν δὲ μὴ περὶ τῆς ἕνης καὶ νέας, ἥ τις ἐστὶν ἡ τελευταία τοῦ μηνός, περιορμίσαντα τὴν ναῦν, ἐπὶ τὸ χῶμα πεδηθῆναι. τὸ χῶμα δὲ ἦν οἰκοδόμημα ἐν τῷ λιμένι προβεβλημένον προσορμίσεως ἕνεκα, καὶ ἀγορᾶς τῶν ναυτῶν. Ἀπολλόδωρος οὖν ὁ πᾶσι πρῶτος περὶ τὴν ναῦν περιορμίσας, ἔλαβε τὸ στέφανον· προσπεσούσης δὲ πάλιν δοκιμασίας, ὅστις κάλλιστα παρεσκευάσατο τὴν τριήρη, στεφανοῦσθαι, καὶ τούτου ἀμφισβητεῖται. καὶ τοῦτο ἐστεφανώσατο ὁ Ἀπολλόδωρος.

περιορμήσαντα

δεθῆναι

προσπεσούσης

# ΔΗΜΟΣΘΕΝΟΥΣ Ο ΠΕΡΙ ΣΤΕΦΑΝΟΥ ΤΗΣ ΤΡΙΗΡΑΡΧΙΑΣ ΛΟΓΟΣ.

1 Εἰ μὲν ὅτῳ πλεῖστοι συνείποιεν, ὦ βουλή, τοῦτο τὸ ψήφισμα ἐκέλευσε
δοῦναι τὸν στέφανον, καὶ ἀνόητος ἦν εἰ λαβεῖν αὐτὸν ἠξίουν, κη-
φισοδότου μόνου μοι συνειρηκότος, τούτοις δὲ παμπόλλων. νῦν δὲ
τῷ πρώτῳ παρασκευάσαντι τὴν τριήρη, τὸν ταμίαν προσ-
2 έταξεν ὁ δῆμος δοῦναι. πεποίηκα δὲ τοῦτ᾽ ἐγώ. διό φημι δεῖν
αὐτὸς στεφανοῦσθαι. θαυμάζω δὲ τούτων, ὅτι τῆς τριηρείας ἀμελήσαντες, τοὺς ῥή-
τορας παρεσκευάσαντο, καὶ δοκοῦσί μοι πάντων διημαρτηκέναι τοῦ πράγματος, καὶ
νομίζειν οὐχὶ τοῖς ποιοῦσιν ἃ δεῖ, χάριν ὑμᾶς ἔχειν, ἀλλὰ τοῖς φάσκουσιν, οὐ τὸν αὐτὸν
3 τρόπον ἐγνωκότες, ὅνπερ ἐγώ, περὶ ὑμῶν. καὶ κατ᾽ αὐτό γε τοῦτο δικαίως ἂν ἔχοιτ᾽
εὐνοϊκωτέρως ἐμοί. φαίνομαι γὰρ βελτίους ὑμᾶς ὑπολαμβάνων, ἢ οὗτοι. ἐχρῆν
μὲν οὖν, ὦ ἄνδρες ἀθηναῖοι, καὶ δίκαιον ἦν, τοὺς τὸν στέφανον οἰομένους δεῖν παρ᾽
ὑμῶν °λαβεῖν, αὐτοὺς ἀξίους ἐπιδεικνύναι τούτου, μὴ ἐμὲ κακῶς λέγειν. ἐπειδὴ δὲ — ° λαμβαίνειν
4 τοῦτο παρέντες, ἐκεῖνο ποιοῦσιν, ἐπιδείξω ψευδομένους ἀμφότερα αὐτούς, ἅ τε αὐ-
τοὺς ἐνεκωμίασαν, καὶ ὅσα εἰς ἡμᾶς ἐβλασφήμησαν, ἐξ αὐτῶν τῶν πεπραγ-
μένων ἑκατέροις. ψήφισμα γὰρ ὑμῶν ποιησαμένων, ὃς ἂν μὴ πρὸ τῆς ἕνης καὶ νέας
ἐπὶ χῶμα τὴν ναῦν °περιορμήσῃ, δῆσαι, καὶ δικαστηρίῳ παραδοῦναι, καὶ ταῦτα — ° περιορμίσῃ
5 κυρωσάντων, ἐγὼ μὲν °περιώρμησα, καὶ στέφανον διὰ ταῦτα παρ᾽ ὑμῶν ἔλαβον — ° περιώρμισα
οὗτοι δ᾽ οὐ καθείλκυσαν, ὥστ᾽ ἔνοχοι δεσμοῦ γεγόνασι. πῶς οὖν οὐκ ἀτοπώτατον ἂν
διαπράξαισθε ἔργον, εἰ τοὺς καθ᾽ ἑαυτῶν ἐάσαντας τίμημα τοιοῦτον ἐπαχθῆναι,
τούτους στεφανώσαντες ὑμεῖς φαίνοισθε; τὰ σκεύη τοίνυν, ὅσα δεῖ παρέχειν τὴν πόλιν
6 τοῖς τριηράρχοις, ἐγὼ μὲν ἐκ τῶν ἰδίων ἀνήλωσα, καὶ τῶν δημοσίων ἔλαβον οὐδέν.
οὗτοι δ᾽ ὑμετέροις κέχρηνται, καὶ τῶν σφετέρων οὐδὲν εἰς ταῦτα προεῖνται. καὶ μὴν
οὐδ᾽ ἂν ἐκεῖνό γ᾽ ἔχοιεν εἰπεῖν, ὡς ἂν ἐπειρῶντο ἐμοῦ πρότεροι. πρὶν γὰρ ἥκειν μό-
νον τῆς τριηρείας τούτους, ἐπεπλήρωτό μοι, καὶ πάντες ἑωρᾶθ᾽ ὑμεῖς °ἀναπειρωμέ- — ° ἀναπληρουμένην
7 νην τὴν ναῦν. ἔτι τοίνυν ὑπηρεσίαν τὴν κρατίστην ἔλαβον, πολλῷ πλεῖστον ἀργύρ-
ιον δούς. οὗτοι δ᾽ εἰ μὴ εἶχον χείρονα ἡμῶν, οὐδὲν ἂν ἦν δεινόν. νῦν δ᾽ οὐδ᾽ ὁποιανδήτινα οὔ-
°μεμίσθωνται περὶ τοῦ πλείονος ἀντιλέγοντες. καίτοι πῶς εἰσὶ δίκαιοι, ταῦτα μὲν ὕστε- — ° οὔπω μεμ.
ρον °ἐξαναπληροῦν, νῦν δ᾽ ὡς πρῶτοι °παρασκευασάμενοι, τὸν στέφανον °λαβεῖν; — ° ἐξ ἀνάγκης πληροῦν, ° παρασκευαζόμενοι ° παραλαβεῖν.
8 ἡγοῦμαι τοίνυν ὅτι μὲν δικαιότατ᾽ ἂν στεφανώσαιτε ἐμέ, καὶ μηδὲν εἰπόντος ἐμοῦ,
γιγνώσκειν ὑμᾶς. ὅτι δ᾽ οὐ μέτεστι μόνοις τούτοις περὶ τοῦ στεφάνου λόγος, τοῦτ᾽ ἐπιδεῖ-
ξαι βούλομαι. πόθεν οὖν τοῦτο μάλιστα ἔσται δῆλον; ἀφ᾽ ὧν αὐτοὶ πεποιήκασι. σκεψά-
μενοι γὰρ τὸ ἐξ ἐλαχίστου τριηραρχεῖν βουλόμενοι, μεμισθώκασι τὴν λειτουργίαν. καί-
9 τοι πῶς οὐκ ἄδικον, τῶν μὲν ἀναλωμάτων ἀφεστηκέναι, τῶν δὲ γιγνομένων δι᾽ ἐκεῖνα τιμῶν
ἀξιοῦν αὐτοῖς μετεῖναι; καὶ τοῦ μὲν μὴ °περιορμῆσαι τὴν ναῦν τότε, τὸν °μεμισθωμένον αἰ- — ° περιορμίσαι ° μισθωσάμενοι
τιᾶσθαι, τῶν δὲ καλῶς °διηκονημένων νῦν αὐτοῖς κελεύειν χάριν ὑμᾶς ἔχειν; δεῖ τοί- — ° διακεκονημένων διηκονημένων
νυν ὑμᾶς μὴ μόνον ἐκ τούτων σκοπεῖν τὸ δίκαιον, ἀλλὰ καὶ ἐξ ὧν αὐτοὶ πρότερον πε-
10 ποιήκατε, ταῦτα πῶς ἂν διαπραξαμένοις τούτοις. ὅτε γὰρ τῇ ναυμαχίᾳ τῇ πρὸς
ἀλέξανδρον ἐνικήθητε, τότε τῶν τριηράρχων τοὺς μεμισθωκότας τὰς τριηραρχίας αἰτιω-
τάτους τῆς γεγενημένης νομίζοντες, παρεδώκατε εἰς τὸ °δικαστήριον, καταχειροτονήσαν- — ° δεσμωτήριον
τες προ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τες προδεδωκέναι τὰς ναῦς, καὶ λελοιπέναι τὴν τάξιν. καὶ κατηγόρει μὲν ἀριστοφῶν,
ἐδικάζετε δ᾽ ὑμεῖς. εἰ δὲ μὴ μετριωτέραν ἔχετε τὴν ὀργὴν τῆς ἐκείνων πονηρίας, 11
οὐδὲν ἂν αὐτοὺς ἐκώλυε τεθνάναι. ταῦτα τοίνυν εἰδότες οὗτοι πεπραγμένα αὐτοῖς,
καὶ ἐκείνοις, οὐχὶ φρίττουσιν ἐν ὑμῖν ὑπὲρ ὧν προσῆκει παθεῖν αὐτούς, ἀλλὰ δη-
ἀλλήλων μηγοροῦσι κατ᾽ ἄλλων, καὶ στεφανοῦν κελεύουσιν αὐτούς. καίτοι σκέψασθε, τίν᾽ ἂν
ποτε δόξαιτε βεβουλεῦσθαι τρόπον, εἰ διὰ τὴν αὐτὴν πρόφασιν, τοὺς μὲν θανάτου 12
κρίναντες, τοὺς δὲ στεφανώσαντες φανεῖτε. καὶ μὴν οὐ μόνον εἰ τοῦτο ποιήσαιτε, δο-
κεῖτ᾽ ἂν ἁμαρτεῖν, ἀλλ᾽ εἰ καὶ μὴ κολάσαιτε τοὺς τὰ τοιαῦτα ποιοῦντας ἔχοντες. οὐ
γὰρ ἐπειδὰν ἐάσητέ τι τῶν ὑμετέρων ἀπολέσθαι, τότε χρὴ χαλεπαίνειν. ἀλλ᾽ ἐν ᾧ
τὰ μὲν ὑμέτερα ἐστὶ σῷα, καθορᾶτε δὲ τοὺς ἐφεστηκότας δι᾽ αἰσχροκέρδειαν, οὐχὶ προ- 13
σήκουσαν πρόνοιαν περὶ σωτηρίας αὐτῶν ποιουμένους. καὶ μηδεὶς ὑμῶν ἐπιτιμήσῃ
τῷ λόγῳ πικρὸν εἶναι νομίσας, ἀλλὰ τοῖς τὸ ἔργον αὐτὸ πεποιηκόσι. διὰ γὰρ τοὺς τοιού-
τους, τοῦτό ἐστι. θαυμάζω δ᾽ ἔγωγε, τί δή ποτε τοὺς μὲν ναύτας τοὺς ἀπολειπομένους,
ὧν τριάκοντα δραχμὰς ἕκαστος ἔχει μόνας, δέουσι καὶ κολάζουσιν οὗτοι· τοὺς δὲ τριη- 14
ράρχους τοὺς μὴ συμπλέοντας, ὧν τριάκοντα μνᾶς εἰς ἐπίπλουν εἴληφεν ἕκαστος,
οὐ ταῦτα ποιεῖθ᾽ ὑμεῖς· ἀλλ᾽ ἐὰν μὲν πένης ὤν τις δι᾽ ἔνδειαν ἁμάρτῃ, τοῖς ἐσχάτοις
ἐπιτιμίοις ἐνέξεται· ἐὰν δὲ πλούσιος ὢν δι᾽ αἰσχροκέρδειαν ταῦτα ποιήσῃ, συγγνώμης
φανεῖται τεύξεται. καὶ ποῦ τὸ πάντας ἔχειν ἴσον, καὶ δημοκρατεῖσθαι φαίνεται, τοῦτον τὸν τρόπον 15
ὑμῶν ταῦτα βραβευόντων; ἔτι τοίνυν ἔμοιγε δοκεῖ κἀκεῖνο ἀλόγως ἔχειν, τὸν μὲν
εἰπόντα τι μὴ κατὰ τοὺς νόμους, ἐὰν ἁλῷ, τὸ τρίτον μέρος ἠτιμῶσθαι τοῦ σώματος· τοὺς
δὲ μὴ λόγοις, ἀλλ᾽ ἔργοις παράνομα πεποιηκότας, μηδεμίαν δοῦναι δίκην. καὶ μήν,
φήσαιτε ὅτι ὦ ἄνδρες ἀθηναῖοι, πάντες ἂν ὑμεῖς φήσαιτε τὸ πρὸς τὰ τοιαῦτα πράως ἔχειν, 16
τὸ προδιδάσκειν ἐστὶν προδιδάσκειν ἑτέρους ἀδίκους εἶναι. βούλομαι τοίνυν, ἐπειδήπερ παρελήλυθα, καὶ τὰ συμ-
βαίνοντα ἀπὸ τῶν τοιούτων ὑμῖν διεξελθεῖν. ἐπειδὰν γάρ τις μισθωσάμενος τριη-
ραρχίαν ἐκπλεύσῃ, πάντας ἀνθρώπους ἄγει καὶ φέρει· καὶ τὰς μὲν ὠφελείας ἰδίᾳ
καρποῦται, τὰς δὲ δίκας τούτων ὁ τυχὼν δίδωσιν ὑμῶν· καὶ μόνοις ὑμῖν οὐδαμόσε ἐστὶν 17
ἄνευ κηρυκείου βαδίσαι, διὰ τὰς ὑπὸ τούτων ἀνδροληψίας, καὶ σύλας κατεσκευα-
σμένας. ὥστε τῇ γ᾽ ἀληθείᾳ σκοπῶν ἄν τις, εὕροι τὰς τοιαύτας τριήρεις οὐχ ὑπὲρ
ὑμῶν, ἀλλὰ καθ᾽ ὑμῶν ἐκπεπλευκυίας. ὃν γὰρ ὑπὲρ τῆς πόλεως τριήραρχον, οὐκ
ἀπὸ τῶν κοινῶν προσόδων χρὴ πλουτήσειν, ἀλλὰ ἀπὸ τῶν ἰδίων τὰ τῆς πόλεως ἐπα- 18
νορθώσειν, εἴπερ ἔσται τι τῶν δεόντων ὑμῖν. τούτων δὲ τἀναντία ἕκαστος ἐγνωκὼς ἐκ-
τῶν τρόπων αὐτῶν ἁμαρ. πλεῖ. καὶ γάρ τοι τὰ τοῦ αὐτῶν τρόπου ἁμαρτήματα ταῖς ὑμετέραις βλάβαις ἐπα-
νορθοῦνται. καὶ τούτων οὐδέν ἐστιν ἄλογον. δεδώκατε γὰρ τοῖς βουλομένοις ἀδικεῖν, ἂν
μὲν λάθωσιν, ἔχειν· ἂν δὲ ληφθῶσι, συγγνώμης τυχεῖν. τοῖς οὖν ἠμεληκόσι δόξης, ἄδεια 19
ποιεῖν ὅ, τι ἂν βούλωνται, γίγνεται. τῶν μὲν τοίνυν ἰδιωτῶν τοὺς μετὰ τὸ παθεῖν μανθά-
νοντας, ἀπροσκέπτους ὀνομάζομεν· ὑμᾶς δ᾽ οἵτινες οὐδὲ πεπονθότες πολλάκις
τί ἂν καλέσειεν ἤδη φυλάττεσθε, τί τις καλέσειεν ἄν; ἄξιον τοίνυν καὶ περὶ τῶν συνειρηκότων εἰπεῖν.
οὕτω γὰρ ἡγοῦνταί τινες ἐξουσίαν εἶναι σφίσι καὶ ποιεῖν ὅ, τι βούλονται, καὶ λέγειν παρ᾽ 20
ἐπὶ ὑμῖν, ὥστε τῶν ποτὲ συγκατηγορούντων μετ᾽ ἀριστοφῶντος, καὶ πικρῶν ὄντων τοῖς
μεμισθωκόσι τὰς τριηραρχίας, νῦν κελεύουσί τινες τούτους στεφανῶσαι. καὶ δυοῖν
θάτερον ἐξελέγχουσιν αὐτούς, ἢ τότ᾽ ἐκείνους ἀδίκως συκοφαντοῦντες, ἢ νῦν τοῖς δ᾽
ἐπὶ μισθῷ συνηγοροῦντες. καὶ χαρίσασθαι κελεύουσιν ὑμᾶς, ὥσπερ περὶ δωρεᾶς, 21



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀλλ' οὐ περὶ νικητηρίων τῶν λόγων ὄντων ἢ καὶ χάριν ἀθλημάτων διὰ τὴν τούτων
τοῖς ἀγνοοῦσιν ὑμῶν, ἀλλ' οὐ διὰ τῶν βελτιόνων, τοῖς ὑπηρετοῦσιν ἃ δεῖ, χαρίζεσθαι οὐχὶ
προσῆκον. ἐπειδὴ οὕτως ὀλιγωροῦσι τοῦ δοκεῖν ἐπιεικεῖς εἶναι, καὶ παντελῶς τἄλλα
22 πάρεργα πρὸς τὸ λαβεῖν νομίζουσιν, ὥστ' οὐ μόνον τοῖς πρότερον ῥηθεῖσιν ὑφ' αὐ-
τῶν ἐναντία τολμῶσι δημηγορεῖν, ἀλλὰ καὶ νῦν οὐ ταὐτὰ λέγουσιν ἑαυτοῖς, οἵτινες
τοὺς μὲν ναύτας φασὶ δεῖν οἰκείους εἶναι τῆς τριήρους τῆς ληψομένης τὸν στέφανον· τῶν
δὲ τριηράρχων τοὺς ἠλλοτριωκότας αὐτοὺς ἀπὸ τῆς λειτουργίας, τούτους στεφανοῦσθαι
23 κελεύουσι. καὶ φασὶ μὲν οὐδένα τούτων πρότερον παρασκευάσασθαι· κελεύουσι
δὲ κοινῇ στεφανοῦν ἡμᾶς, τοῦ ψηφίσματος οὐ ταῦτα λέγοντος. ἐγὼ δὲ τοσούτου δέω ὑμ
τούτου συγχωρεῖν, ὥσπερ καὶ μεμισθωκέναι τὴν τριηραρχίαν. οὔτε γὰρ τοῦθ' ὑπο- τῶν
μείναιμ' ἄν, οὔτ' ἐκεῖν' ἐποίησα. προσποιοῦνται μὲν τοίνυν ὑπὲρ τοῦ δικαίου συνη-
24 γορεῖν· σπουδάζουσι δὲ μᾶλλον, ἢ πρᾶξιν ἄν τις ὑμῶν πράττων, ὥσπερ ἄξια τοῦ μι-
σθοῦ ποιῆσαι προσῆκον ἑαυτοῖς, ἀλλ' οὐ γνώμην ἀποφήνασθαι. εἶθ' ὥσπερ οὐχὶ
πολιτείας κοινῆς μετέχοντες, καὶ διὰ ταῦτα τῷ βουλομένῳ λέγειν ἐξόν, ἀλλ' ἱερω-
σύνην ἰδίαν αὐτοὶ τινὰ ταύτην ἔχοντες, ἐὰν ὑπὲρ τῶν δικαίων ἐν ὑμῖν τις εἴπῃ, καὶ ἐὰν ὑπὲρ
25 δεινὰ πάσχουσι, καὶ θρασὺν εἶναί φασι. καὶ εἰς τοσοῦτον ἀναισθησίας προήκουσιν, ὥστ'
οἴονται τῶν ἅπαξ εἰρηκότων ἂν καλέσωσιν ἀναιδῆ, σφᾶς αὐτοὺς πάντα τὸν βίον κα-
λοὺς κἀγαθοὺς νομίζεσθαι. καίτοι διὰ μὲν τὰς τούτων δημηγορίας, πολλὰ χεῖρον
ἔχει· διὰ δὲ τοὺς οἰομένους δεῖν τὰ δίκαια ἀντιλέγειν, πάντ' ἀπόλωλε. τούτους τοίνυν τοιούτου
26 τοὺς συνηγοροῦντας αὐτοῖς παρεσκευασμένοι, καὶ τοσαύτην βλασφημίαν εἰδότες
οὖσαν καθ' αὑτῶν τοῖς βουλομένοις τι λέγειν φαῦλον, ὅμως εἰς λόγον ἠξίωσαν κατα-
στῆναι, καὶ κακῶς τιν' ἐτόλμησαν εἰπεῖν, οἷς ἀγαπητὸν ἦν μὴ πάσχουσι κακῶς αὐτοῖς.
τοῦ τοίνυν τούτους ἀδίκους εἶναι καὶ θρασεῖς, οὐδένες ὑμῶν εἰσὶν αἰτιώτεροι. παρὰ γὰρ
27 τῶν λεγόντων, οὓς ἴστε ἐπὶ μισθῷ τοῦτο πράττοντας, πυνθάνεσθε ποῖόν τιν' ἕκαστον ὡς
δεῖ νομίζειν, οὐκ αὐτοὶ θεωρεῖτε. καίτοι πῶς οὐκ ἄτοπον, τούτους μὲν αὐτοὺς πονηρο-
τάτους τῶν πολιτῶν νομίζειν, τοὺς δ' ὑπὸ τούτων ἐπαινουμένους, χρηστοὺς ἡγεῖσθαι; καὶ
γάρ τοι πάντα δι' αὐτῶν ποιοῦνται, καὶ μονονουχὶ ὑπὸ κήρυκος πωλοῦσι τὰ κοινά·
28 καὶ στεφανοῦν ὃν ἂν αὐτοῖς δοκῇ, καὶ μὴ στεφανοῦν, κελεύουσι, κυριωτέρους αὐτοὺς τῶν
ὑμετέρων δογμάτων καθιστάντες. ἐγὼ δ' ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, παραινῶ, μὴ ποιεῖν
τὴν τῶν ἀναλίσκειν ἐθελόντων φιλοτιμίαν ἐπὶ τῇ τῶν λεγόντων πλεονεξίᾳ. εἰ δὲ μή,
διδάξετε πάντας, τὰ μὲν ὑφ' ὑμῶν προσταττόμενα, ὡς εὐτελέστατα διοικεῖν· τοὺς
29 δ' ὑπὲρ τούτων ἀναιδῶς εἰς ὑμᾶς ψευδομένους, ὡς πλείστου μισθοῦσθαι.

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΚΑΛΛΙΠΠΟΝ ΛΟΓΟΥ.

ΛΥΚΩΝ τις, τὸ γένος Ἡρακλεώτης, τῇ Πασίωνος ἐχρῆτο τραπέζῃ. οὗτος μέλλων ἐκπλεῖν εἰς Λιβύην, κατέλιπεν ἀργύριον παρὰ Πασίωνι, ὡς μὲν Πασίων ζῶν ἔλεγε, καὶ Ἀπολλόδωρος λέγει νῦν, ἐντειλάμενος ἀποδοῦναι Κηφισιάδῃ. ὡς δὲ Κάλλιππός φησιν, ἑαυτῷ χαρισάμενος, φίλῳ τε ὄντι, καὶ προξένῳ τῶν πάντων Ἡρακλεωτῶν. ἀποθανόντος δὲ τοῦ Λύκωνος, τὸ ἀργύριον ἀπεδόθη Κηφισιάδῃ. Κάλλιππος δέ, ὥς φησιν Ἀπολλόδωρος, ἐπειδὴ πείθει τὸν Πασίωνα, βλάβης αὐτῷ δικαζόμενος, τῷ Λυσιθείδῃ τὸ πρᾶγμα ἐπιτρέψαι· ὅστις, Πασίωνος ζῶντος, οὐδὲν ἀπεφήνατο. ἀποθανόντος δὲ ἐκείνου, αὖθις Ἀπολλοδώρῳ λαγχάνει δίκην τοῦ ἀργυρίου Κάλλιππος. καὶ ἠξίου πάλιν ἐπιτρέψαι τῷ Λυσιθείδῃ. ὁ δὲ Ἀπολλόδωρος, τὸν μὲν διαιτητὴν ἐδέξατο· πρὸς δὲ τὴν ἀρχὴν τοῦ νόμου, Λυσιθείδου ἀπήνεγκεν, ἵν', ὥς φησιν, ὀμόσας δικάσῃ, καὶ μὴ χωρὶς ὅρκου διαιτῶν, τῷ Καλλίππῳ χαρίσηται. ὁ δὲ Λυσιθείδης ὀμόσας, ἀπεφήνατο, καὶ καταδιῄτησε τὴν δίκην, δι' ὅπερ ἔφεσιν δοὺς ὁ Ἀπολλόδωρος, εἰς τὸ δικαστήριον εἰσέρχεται.

ΔΗΜΟ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΔΗΜΟΣΘΕΝΟΥΣ Ο ΠΡΟΣ ΚΑΛΛΙΠΠΟΝ ΛΟΓΟΣ.

ΟΥΚ ἔστι χαλεπώτερον οὐδὲν, ὦ ἄνδρες δικασταὶ, ἢ ὅταν ἄν- 1
θρωπος δόξαν ἔχων, καὶ δυνάμενος εἰπεῖν, τολμᾷ ψεύδεσθαι,
καὶ μαρτύρων εὐπορῇ. ἀνάγκη γὰρ ἤδη ἐστὶ τῷ φεύγοντι, μη-
κέτι περὶ τοῦ πράγματος μόνον λέγειν, ἀλλὰ καὶ περὶ αὐτοῦ τοῦ
λέγοντος, ὡς οὐκ εἰκὸς αὐτῷ διὰ τὴν δόξαν πιστεύειν. εἰ γὰρ ἔθος 2
καταστήσετε τοῖς δυναμένοις εἰπεῖν, καὶ δόξαν ἔχουσι μᾶλλον
πιστεύειν, ἢ τοῖς ἀδυνατωτέροις, ἐφ' ὑμῖν αὐτοῖς ἔσεσθε τὸ ἔθος τοῦτο κατεσκευακό-
τες. δέομαι οὖν ὑμῶν, εἴπερ τι καὶ ἄλλο πώποτε πρᾶγμα αὐτὸ καθ' αὐτὸ ἐδικά-
*μετ' μηδετέρων* σατε, * μηδὲ μεθ' ἑτέρων τὴν γνώμην γενόμενοι, μήτε μετὰ τῶν διωκόντων, μήτε 3
μετὰ τῶν φευγόντων, ἀλλὰ τὸ δίκαιον σκεψάμενοι, οὕτω καὶ νῦν διαγνῶναι. ἐξ ἀρ-
*ὡς καὶ* χῆς δ' ὑμῖν διηγήσομαι. λύκων γὰρ ὁ ἡρακλεώτης, ὦ ἄνδρες δικασταὶ, οὗτος * ὃν καὶ
αὐτὸς λέγει, τῇ τραπέζῃ τῇ τοῦ πατρὸς ἐχρῆτο, ὥσπερ καὶ οἱ ἄλλοι ἔμποροι, ξένος μὲν
ὢν ἀριστονόῳ τῷ δεκελεῖ, καὶ ἀρχεβιάδῃ τῷ λαμπτρεῖ, ἄνθρωπος δὲ σώφρων. οὗτος 4
ἐπειδὴ ἐκπλεῖν ἤμελλεν εἰς τὴν λιβύην, διαλογισάμενος πρὸς τὸν πατέρα τὸν
ἐμὸν ἐναντίον ἀρχεβιάδου καὶ φρασίου, προσέταξε τὸ ἀργύριον, ὃ κατέλιπεν. ἦν
δὲ τοῦτο, ἑκκαίδεκα μναῖ, καὶ τετταράκοντα δραχμαὶ, ὡς ἐγὼ ὑμῖν πάνυ ἀκριβῶς
ἐπιδείξω. κηφισιάδῃ ἀποδοῦναι, λέγων ὅτι κοινωνὸς αὐτοῦ εἴη ὁ κηφισιάδης οὗτος, 5
οἰκήτωρ μὲν ὢν ἐν σκύρῳ, ἐν δὲ τῷ παρόντι ἐφ' ἑτέρας ἀποδημῶν ἐμπορείας.
δεῖξαι δ' ἂν αὐτὸν τῷ πατρὶ τῷ ἐμῷ, καὶ συστῆσαι τῷ ἀρχεβιάδῃ, καὶ τῷ φρασίᾳ
προσέταξεν, ἐπειδὴ ἥκοι ἐκ τῆς ἀποδημίας. εἰώθασι δὲ πάντες οἱ τραπεζῖται, ὅταν
τις ἀργύριον τιθεὶς ἰδιώτης ἀποδοῦναί τῳ προστάττῃ, πρῶτον τοῦ θέντος τοὔνο- 6
μα γράφειν, καὶ τὸ κεφάλαιον τοῦ ἀργυρίου, ἔπειτα παραγράφειν τῷ δεῖνι ἀποδοῦναι
δεῖ· καὶ ἐὰν μὲν γιγνώσκωσι τὴν ὄψιν τοῦ ἀνθρώπου, ᾧ ἂν δέῃ ἀποδοῦναι, τοσοῦτον
μόνον ποιεῖν, γράψαι, ᾧ δεῖ ἀποδοῦναι· ἐὰν δὲ μὴ γιγνώσκωσι, καὶ τούτου τοὔνομα
προσπαραγράφειν, ὃς ἂν μέλλῃ συστήσειν, καὶ δείξειν τὸν ἄνθρωπον, ὃν ἂν δέῃ κομί- 7
σασθαι τὸ ἀργύριον. τύχης δὲ συμβάσης τοιαύτης τῷ λύκωνι τούτῳ, ὥστε εὐθὺς
ἐκπλέοντα αὐτὸν περὶ τὸν ἀργολικὸν κόλπον ὑπὸ ληστρίδων νεῶν, τά τε χρήμα-
τα κατακομισθῆναι εἰς ἄργος, καὶ αὐτὸν τοξευθέντα ἀποθανεῖν, ἔρχεται ἐπὶ τὴν τρά-
πεζαν κάλλιππος οὑτοσὶ εὐθὺς, ἐρωτῶν λύκωνα ἡρακλεώτην εἰ γιγνώσκοιεν. ἀπο- 8
κριναμένου δὲ φορμίωνος τουτουὶ, ὅτι γιγνώσκοιεν, ἆρα καὶ ἐχρῆτο ὑμῖν, ἔφη, ὁ φορ-
μίων; ἀλλὰ πρὸς τί ἐρωτᾷς; πρὸς τί; ἔφη, ἐγώ σοι ἐρῶ. ἐκεῖνος μὲν τετελεύτη-
κεν· ἐγὼ δὲ, προξενῶν τυγχάνω τῶν ἡρακλεωτῶν. ἀξιῶ δέ σε δεῖξαί μοι τὰ γράμ-
ματα, ἵν' εἰδῶ, εἴ τι καταλέλοιπεν ἀργύριον. ἐξ ἀνάγκης γάρ μοι ἐστὶν ἁπάντων 9
ἡρακλεωτῶν ἐπιμελεῖσθαι. ἀκούσας δ' αὐτοῦ ὁ φορμίων, ὦ ἄνδρες δικασταὶ, ἔδειξεν
*τὰ χρήματα. γρ. τὰ γράμματα.* εὐθέως * τὸ παραχρῆμα. δείξαντος δὲ αὐτοῦ τὸ γραμματεῖον, ἀναγνοὺς αὐτὸς, καὶ ἄλ-
λος οὐδεὶς, καὶ ἰδὼν γεγραμμένον ἐν αὐτῷ, * λύκων ἡρακλεώτης χιλίας ἑξακο-
*λύκωνα ἡρακλεώτην χιλίας ἑξακ.* σίας τετταράκοντα κηφισιάδῃ ἀποδοῦναι δεῖ, ἀρχεβιάδης λαμπτρεὺς δείξει τὸν 10
κηφισιάδην· ᾤχετο ἀπιὼν σιωπῇ, καὶ πλέον ἢ πέντε μηνῶν οὐδένα λόγον ἐποιή-
σατο. ἐπιδημήσαντος δὲ τοῦ κηφισιάδου μετὰ ταῦτα, καὶ προσελθόντος πρὸς τὴν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τράπεζαν, καὶ ἀπαιτοῦντος τὰ χρήματα, παρόντος δέ, ὦ ἄνδρες δικασταί, Ἀρχε-
11 βιάδου καὶ τοῦ Φρασίου, οἷς ὁ Λύκων τῷ πατρὶ συνέστησε, τὴν ἐκέλευσε τὸν Κηφισιά-
δην δεῖξαι, ὃς εἴη, ἐπειδὰν ἔλθοι, παρόντων καὶ ἄλλων ἐξαριθμήσας αὐτοῖς τὰς ἑκκαί-
δεκα μνᾶς καὶ τετταράκοντα δραχμάς, ἀπέδωκε Φορμίων οὑτοσί. ὡς δὲ ἀληθῆ
λέγω, τούτων ἁπάντων ὑμῖν τὰς μαρτυρίας ἀναγνώσεται.

12 Μαρτυρίαι.

Ὅτι μὲν ἀληθῆ ἅπαντα εἶπον πρὸς ὑμᾶς, ὦ ἄνδρες δικασταί, τῶν μαρτυριῶν
ἀκηκόατε. προσελθὼν δὲ συχνῷ χρόνῳ ὕστερον πρὸς τὸν πατέρα Κάλλιππος οὑ-
τοσὶ ἐν ἄστει, ἤρετο αὐτόν, εἰ ἤδη ἐπιδεδημηκὼς εἴη ὁ Κηφισιάδης, ὅτῳ ἐπιγεγραμ-
13 μένον εἴη ἀποδοῦναι τὸ ἀργύριον τὸ ἀπὸ τοῦ Λύκωνος τοῦ Ἡρακλεώτου καταλει-
φθέν; ἀποκριναμένου τοῦ πατρὸς ὅτι οἴοιτο μέν, εἰ μέντοι βούλοιτο εἰς Πειραιᾶ κα- ἀποκριναμένου δὲ τοῦ π.
ταβῆναι, τὴν ἀκρίβειαν εἴσοιτο· οἶσθά τι, ἔφη, ὅ τι ἐστίν, ὦ Πασίων, ὅ σε ἐρωτῶ; καὶ
μὰ τὸν Δία, καὶ τὸν Ἀπόλλω καὶ τὴν Δήμητρα, οὐ ψεύσομαι πρὸς ὑμᾶς, ὦ ἄνδρες
14 δικασταί· ἀλλ' ἃ τοῦ πατρὸς ἤκουον, διηγήσομαι ὑμῖν. ἔξεστί σοι, ἔφη, ἐμέ τε εὖ ποιῆ-
σαι, καὶ σεαυτὸν μηδὲν βλάψαι· πρόξενος μὲν γὰρ τυγχάνω τῶν Ἡρακλεωτῶν·
βούλοιο δ' ἄν, ὡς οἶμαι ἐγώ, ἐμὲ μᾶλλον τὸ ἀργύριον λαβεῖν, ἢ τὸν μέτοικον ἄν-
θρωπον, καὶ ἐν Σκύρῳ κατοικοῦντα, καὶ οὐδενὸς ἄξιον. συμβέβηκε δὲ τοιουτονί τι.
15 Λύκων τυγχάνει ὢν καὶ ἄπαις, καὶ κληρονόμον οὐδένα οἴκοι καταλιπών, ὡς ἐγὼ
πυνθάνομαι. πρὸς δὲ τούτῳ, ἐπειδὴ εἰς Ἄργος κατήχθη τετρωμένος, τῷ προξένῳ
τῶν Ἡρακλεωτῶν τῷ Ἀργείῳ τὰ χρήματα δέδωκεν, ἃ κατήχθη μετ' αὐτοῦ. οἷος οὖν
εἰμὶ καὶ ἐγὼ τὰ ἐνθάδε αὐτὸς ἀξιοῦν λαμβάνειν. ἡγοῦμαι γὰρ δίκαιος εἶναι ἔχειν. σὺ
16 οὖν, εἰ ἄρα μὴ ἀπείληφε, λέγε ὅτι ἐγὼ ἀμφισβητῶ, ἂν ἄρα ἔλθῃ ὁ Κηφισιάδης.
εἰ δ' ἄρα ἀπείληφε, λέγε ὅτι ἐγὼ μάρτυρας ἔχων, ἠξίουν ἐμφανῆ καταστῆσαι τὰ
χρήματα, ἢ τὸν κεκομισμένον, καὶ εἴ τι με βούλει ἀφῄρεσθαι πρόξενον ὄντα, ἀφαι- ἀφῄρεσθαι πρόξενον ὄντα ἀφαιρεθῆναι.
ρεθῆναι. ἐπειδὴ δ' αὐτῷ εἴρηκ' ἐγώ, ἔφη ὁ πατήρ, ὦ Κάλλιππε, χαρίζεσθαι μέν σοι
17 βούλομαι· καὶ γὰρ ἂν καὶ μανικὸς εἴην, εἰ μὴ οὕτω μέντοι, ὅπως ἂν αὐτός τε δόξω μὴ
χείρων εἶναι, καὶ ἐκ τοῦ πράγματος μηδὲν ζημιώσομαι. εἰπεῖν μὲν οὖν μοι ταῦτα
πρὸς τὸν Ἀρχεβιάδην, καὶ τὸν Ἀριστόνουν, καὶ πρὸς αὐτὸν δὲ τὸν Κηφισιάδην, οὐδὲν
διαφέρει· ἐὰν μέντοι μὴ θέλωσι ταῦτα ποιεῖν εἰπόντος ἐμοῦ, αὐτὸς ἤδη διαλέγου
18 αὐτοῖς. ἀμέλει, ἔφη, ἔστι, ὦ Πασίων, ἐὰν βούλῃ σύ, ἀναγκάσεις αὐτοὺς ταῦτα ποιῆσαι. ἃ
μὲν οὖν διελέχθη, ὦ ἄνδρες δικασταί, ἐστὶ μὲν τῷ πατρί, ἐκεῖνος δὲ τῷ Ἀρχεβιάδῃ
καὶ τῷ Κηφισιάδῃ τούτου δεηθέντος, καὶ τούτῳ χαριζόμενος, ταῦτά ἐστιν, ἐξ ὧν κατὰ
μικρὸν ἡ δίκη αὕτη πέπλασται. ὧν ἐγὼ ἤθελον τούτῳ ταύτην, εἴ τις εἴη μεγίστη ἤ τις εἴη μεγ.
19 πίστις, δοῦναι, ἢ μὴν ἐγὼ τοῦ πατρὸς ἀκοῦσαι. ἐστὶ δὲ ὁ ἀξιῶν ὑφ' ὑμῶν πιστεύεσθαι,
ὡς ἀληθῆ λέγων, τρία ἔτη διαλιπών, ἐπειδὴ τὸ πρῶτον διαλεχθέντος τοῦ πατρὸς
τῷ Ἀρχεβιάδῃ, καὶ τοῖς ἄλλοις τοῖς Κηφισιάδου ἐπιτηδείοις, οὐκ ἔφασαν Καλλίππῳ
προσέχειν τὸν νοῦν, οὐδ' ἐν οἷς λέγει. ἐπειδὴ δὲ ᾔσθετο ἀδυνάτως ἤδη ἔχοντα τὸν οὐδὲν οἷς λ.
20 πατέρα, καὶ μόλις εἰς ἄστυ ἀναβαίνοντα, καὶ τὸν ὀφθαλμὸν αὐτὸν προδόντα, λαγ- γρ. οὐδ' οἷς λ.
χάνει αὐτῷ δίκην, οὐ μὰ Δί' οὐχ ὥσπερ νῦν ἀργυρίου, ἀλλὰ βλάβης, ἐγκαλέσας γρ. οὐδὲν αὐτοῖς λέγει.
βλάπτειν ἑαυτὸν ἀποδιδόντα Κηφισιάδῃ τὸ ἀργύριον, ὃ κατέλιπε Λύκων ὁ Ἡρα-
κλεώτης παρ' αὐτῷ, αὐτοῦ αὐτῷ ὁμολογήσαντα μὴ ἀποδοῦναι. λαχὼν δέ, πρότε-
21 ρον μὲν τοῦ διαιτητοῦ ἀνείλετο τὸ γραμματεῖον· προὐκαλέσατο δ' αὐτὸν ἐπιτρέψαι

λευθείδῃ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λυσιθείδῃ αὐτοῦ μὲν ἰσοκράτους καὶ ἀφαρέως ἑταίρῳ, γνωρίμῳ δὲ τοῦ πατρός. ἐπι-
τρέψαντος δὲ τοῦ πατρὸς, ὃν μὲν χρόνον ἔζη ὁ πατὴρ, ὅμως καίπερ οἰκείως ἔχων
τούτοις ὁ λυσιθείδης οὐκ ἐτόλμα οὐδὲν εἰς ἡμᾶς ἐξαμαρτάνειν. καίτοι οὕτω τινὲς
ἀναίσχυντοί εἰσι τῶν οἰκείων τῶν τουτουὶ, ὥστε ἐτόλμησαν μαρτυρῆσαι, ὡς ὁ μὲν 22
κάλλιππος ὅρκον τῷ πατρὶ δοίη· ὁ δὲ πατὴρ οὐκ ἐθέλοι ὀμόσαι παρὰ τῷ λυσι-
θείδῃ, καὶ οἴονται ὑμᾶς πείσειν, ὡς ὁ λυσιθείδης οἰκεῖος μὲν ὢν τῷ καλλίππῳ, διαι-
τητὴς δὲ τὴν δίαιταν, ἀπέσχετ' ἂν μὴ οὐκ εὐθὺς τοῦ πατρὸς καταδιαιτῆσαι, δι' αὐ-
[° δικαστῆς] τοῦ γε ἑαυτῷ μὴ θέλων ° δικαστοῦ γενέσθαι τοῦ πατρός. ὡς δὲ ἐγὼ μὲν ἀληθῆ λέ- 23
γω, οὗτοι δὲ ψεύδονται, πρῶτον μὲν αὐτὸ ὑμῖν τοῦτο γενέσθω τεκμήριον, ὅτι κατε-
γνώκει ἂν αὐτοῦ ὁ λυσιθείδης, καὶ ὅτι ἐγὼ ἐβουλόμην ἂν ἔφευγον νῦν, ἀλλ' οὐκ ἀργυ-
[° τούτῳ] ρίου δίκην. πρὸς δὲ ° τοῦτ' ἐγὼ ὑμῖν τοὺς παρόντας ἑκάστοτε τῷ πατρὶ ἐν ταῖς
συνόδοις ταῖς πρὸς τοῦτον, αἳ παρὰ τῷ λυσιθείδῃ ἐγίγνοντο, μάρτυρας παρέξομαι. 24

Μάρτυρες

[° προκαλεσά- μενος] Ὅτι μὲν οὖν ° προκαλεσαμένου εἰς ὅρκον τὸν πατέρα τότε, νυνὶ ἐκείνου τετε-
λευτηκότος καταψεύδεται, καὶ κατ' ἐμοῦ ῥαδίως τὰ ψευδῆ μαρτυροῦντας τοὺς οἰ-
κείους τοὺς ἑαυτοῦ παρέχεται, ἔκ τε τῶν τεκμηρίων, καὶ ἐκ τῆς μαρτυρίας ταύ- 25
της ῥᾴδιον ὑμῖν εἰδέναι. ὅτι δὲ ἐγὼ ὑπὲρ τοῦ πατρὸς ἠθέλησα αὐτῷ πίστιν δοῦναι,
[° ἐγκαλῶν] ἣν περ ὁ νόμος κελεύει, ἐάν τις τεθνεῶτι ° ἐπικαλῶν δικάζηται τῷ κληρονόμῳ, μὴ
δοκεῖν μοι μήτε ὁμολογῆσαι τὸν πατέρα τούτῳ ἀποδώσειν τὸ ἀργύριον, ὃ κατέλι-
πε λύκων, μήτε συστασθῆναι αὐτὸν τῷ πατρὶ ὑπὸ τοῦ λύκωνος καὶ φορμίωνος, ἢ 26
μὴν διαλογίσασθαί τε ἐναντίον ἀρχεβιάδου τῷ λύκωνι αὐτὸς, καὶ προσταχ-
θῆναι αὐτῷ κηφισιάδῃ ἀποδοῦναι τὸ ἀργύριον· τὸν δὲ κηφισιάδην δεῖξαι αὐτῷ
τὸν ἀρχεβιάδην· καὶ ὅτε κάλλιππος προσῆλθε τὸ πρῶτον πρὸς τὴν τράπεζαν,
[° εἴη] λέγων ὅτι τετελευτηκὼς εἴη ὁ λύκων, καὶ αὐτὸς ἀξιοίη τὰ γράμματα ἰδεῖν, ° ἢ τι 27
καταλέλοιπὼς εἴη ὁ ξένος ἀργύριον, ἢ μὴν δείξαντος ἑαυτοῦ εὐθὺς αὐτῷ τὰ γράμ-
ματα, ἰδόντα αὐτὸν τῷ κηφισιάδῃ γεγραμμένον ἀποδοῦναι, σιωπῇ οἴχεσθαι ἀ-
[° ἀμφισβητή- σαντα] πιόντα, οὐδὲν οὔτε ° ἀμφισβητήσοντα. οὔτ' ἀπειπόντ' αὐτὸν περὶ τοῦ ἀργυρίου, τού-
των ὑμῖν τάς τε μαρτυρίας ἀμφοτέρας, καὶ τὸν νόμον ἀναγνώσεται. 28

Μαρτυρία. Νόμος.

Φέρε δὴ ὑμῖν, ὦ ἄνδρες δικασταὶ, ὡς οὐδ' ἐχρῆτο λύκων τῷ καλλίππῳ, ἐπι-
δείξω· οἶμαι γὰρ τί μοι καὶ τοῦτο εἶναι πρὸς τὴν ἀναιδείαν τουτουὶ, τοῦ φάσκοντος
αὐτῷ δωρεὰν δοθῆναι τὸ ἀργύριον τοῦτο παρὰ τοῦ λύκωνος· ἐκεῖνος γὰρ τετταράκον- 29
τα μνᾶς ἔκδοσιν ἐκδοὺς εἰς θράκην μεγακλείδῃ τῷ ἐλευσινίῳ καὶ θρασύλλῳ
τῷ ἀδελφῷ αὐτοῦ, μεταδόξαν αὐτῷ μὴ ἐκεῖσε πλεῖν, μηδὲ κινδυνεύειν, ἐγκαλέ-
σας τι τῷ μεγακλείδῃ περὶ τῶν τόκων, ὡς ἐξηπατημένος διεφέρετο καὶ ἐδικάζε-
το, βουλόμενος τὴν ἔκδοσιν κομίσασθαι, συχνῆς δὲ πάνυ πραγματείας περὶ το- 30
σαῦτα χρήματα γενομένης· τὸν μὲν κάλλιππον, ὁ λύκων οὐδαμοῦ πώποτε παρε-
κάλεσε, τὸν δὲ ἀρχεβιάδην καὶ τοὺς ἀρχεβιάδου φίλους· καὶ ὁ διαλλάξας αὐτοὺς
ἀρχεβιάδης ἦν. ὡς δὲ ἀληθῆ λέγω, τούτων ὑμῖν αὐτὸν τὸν μεγακλείδην μάρτυρα
παρέξομαι. 31

Μαρτυρία.

[° χρωμένου, ὦ ἄνδρ. δικ. τοῦ λύκωνος τῷ κ.] Οὑτωσὶ μὲν οἰκείως ° χρώμενος, ὦ ἄνδρες δικασταὶ, ὁ λύκων τῷ καλλίππῳ,
ὥστε μήτε παρακαλεῖν αὐτὸν ἐπὶ τὰ αὑτοῦ πράγματα, μήτε κατάγεσθαι ὡς

τοῦτον μηδεπώποτε· καὶ αὐτό γε τοῦτο μονονοὺ τετολμήκασιν οἱ οἰκεῖοι τούτου μαρ-
32 τυρῆσαι, ὡς κατήγετο παρὰ τούτῳ ἐκεῖνος, εὖ εἰδότες, ὅτι διὰ βασάνου ἐκ τῶν
οἰκετῶν ὁ ἔλεγχος ἤδη ἔσοιτο, εἴ τι τοιοῦτο ψεύσαιντο. βούλομαι δ' ὑμῖν καὶ τεκμή-
ριόν τι εἰπεῖν τηλικοῦτον, ᾧ δῆλον ὑμῖν ἔσται, ὡς ἔγωγε οἶμαι, ὅτι πάντα πρὸς ὑμᾶς
ἔψευσται. τῷ γὰρ Λύκωνι, ὦ ἄνδρες δικασταί, εἴπερ ἠσπάζετο μὲν καὶ στέργοι, καὶ οἰ-
33 κείως εἶχεν, ὥσπερ οὗτός φησιν, ἐβούλετο δὲ δωρεὰν δοῦναι αὐτῷ, εἴ τι πάθοι, τὸ ἀρ-
γύριον, πότερον κάλλιον ἦν ἄντικρυς παρὰ τῷ Καλλίππῳ καταλιπεῖν τὸ ἀργύ-
ριον, ὃ ἤμελλε σωθεὶς μὲν, ὀρθῶς καὶ δικαίως ἀπολήψεσθαι παρὰ φίλου γε ὄντος
αὐτῷ καὶ προξένου· εἰ δέ τι πάθοι, ἄντικρυς ἔσεσθαι δεδωκὼς, ὥσπερ καὶ ἐβούλετο,
34 ἢ ἐπὶ τῇ τραπέζῃ καταλιπεῖν; ἐγὼ μὲν γὰρ οἶμαι ἐκεῖνο καὶ δικαιότερον καὶ μεγα-
λοπρεπέστερον εἶναι. οὐ τοίνυν φαίνεται τούτων οὐδὲν ποιήσας, ὥστε καὶ ταῦτα ὑμῖν
τεκμήρια ἔστω· ἀλλὰ τῷ Κηφισιάδῃ καὶ γράψας καὶ προστάξας ἀποδοῦναι. ἔτι
τοίνυν καὶ τόδε σκέψασθε, ὦ ἄνδρες δικασταί, ὅτι Κάλλιππος μὲν ὁ πολίτης ἡμέ-
35 τερος, καὶ οὐκ ἀδύνατος οὐδ' ἕτερα ποιῆσαι, οὔτε κακῶς, οὔτε εὖ· ὁ δὲ Κηφισιά- οὐδέπω
δης, καὶ μέτοικος καὶ οὐδὲν δυνάμενος, ὥστε μὴ προσθέσθαι ἂν παρὰ τὸ δίκαιον
τῷ Κηφισιάδῃ μᾶλλον τὸν πατέρα, ἢ τούτῳ, τὰ δίκαια ποιῆσαι. ἀλλὰ νὴ Δία ἴσως
ἂν εἴποι, ἐκέρδαινέ τι ἰδίᾳ ὁ πατὴρ ἀπὸ τοῦ ἀργυρίου. διὸ ἐκείνῳ μᾶλλον προσε-
35 τίθετο τὴν γνώμην, ἢ τούτῳ. εἶτα πρῶτον μὲν τὸν δυνησόμενον διπλάσιον τοῦ
λήμματος κακὸν ποιῆσαι ἠδίκει; ἔπειτα ἐν τῷ μὲν αἰσχροκερδὴς ἦν, εἰς δὲ τὰς εἰσ-
φορὰς καὶ λειτουργίας καὶ δωρεὰς τῇ πόλει, οὔ; καὶ τῶν ξένων οὐδένα ἠδίκει, Κάλλιπ-
πον δέ; καὶ ἔστιν, ὥς φησιν, ὡς χρηστῷ μὲν αὐτῷ ὄντι, καὶ οὐδὲν ψευσαμένῳ, ὅρκον
37 ἐδίδου, ὡς περὶ πονηροῦ δὲ, καὶ ἀπαλείφοντος ἀπὸ τῶν παρακαταθηκῶν, νῦν
διαλέγεται; κἀκεῖνος οὔτ' ὀμόσαι θέλων, ὡς οὗτός φησιν, οὔτ' ἀποδιδοὺς, οὐκ εὐ-
θὺς ἂν ὠφλήκει; τῷ ταῦτα πιστὰ, ὦ ἄνδρες δικασταί; ἐγὼ μὲν γὰρ οὐδενὶ οἴομαι. καὶ
ὁ Ἀρχεβιάδης εἰς τοῦτο φαυλότητος ἥκει, ὥστε τοῦ Καλλίππου δημότου ὄντος αὐτῷ,
38 καὶ πολιτευομένου, καὶ οὐκ ἰδιώτου ὄντος καταμαρτυρεῖ, καὶ φησὶν ἡμᾶς μὲν ἀληθῆ
λέγειν, τοῦτον δὲ ψεύδεσθαι· καὶ ταῦτα εἰδὼς ὅτι, ἂν ἐστὶ βούληται ἐπισκήψασθαι
αὐτῷ τῶν ψευδομαρτυριῶν, καὶ ἄλλο μηδὲν ποιῆσαι, ἢ ἐξορκῶσαι, ἀνάγκη αὐτῷ
ἔσται πίστιν ἐπιθεῖναι, ἣν ἂν κελεύῃ οὗτος. ἔπειτα ἵνα ὁ Κηφισιάδης ἔχῃ τὸ ἀργύριον,
39 ἄνθρωπος μέτοικος, ἢ Φορμίων, ὅν φησιν ἀπειληφέναι τι οὗτος τοῦ ἀργυρίου, πει-
θήσεσθε ὑμεῖς ὡς ἐπιορκήσειεν ὁ Ἀρχεβιάδης; οὐκ ἔκ γε τῶν εἰκότων, ὦ ἄνδρες δι-
κασταί. οὐ γὰρ ἄξιον, οὔτε Ἀρχεβιάδου κακίαν οὐδεμίαν καταγνῶναι, οὔτε τοῦ πα-
τρὸς τοῦ ἡμετέρου· πολλὰ γὰρ αὐτοὺς φιλοτίμους ἴστε μᾶλλον ὄντας, ἢ κακόν τι, ἢ αἰσχρὸν
40 ἐπιτηδεύοντας, καὶ πρὸς Κάλλιππον οὐχ οὕτως ἔχοντας, ὥστε καταφρονήσαντας τού-
του ἀδικῆσαι ἄν τι αὐτόν· οὐ γὰρ οὕτω μοι δοκεῖ δύνασθαι, ὥστ' εὐκαταφρόνητος εἶναι.
ὅς οὕτως ἐρρωμένος ἐστὶν, ὥστε πρῶτον μέν μοι λαχὼν τὴν δίκην ταυτηνὶ, καὶ προσ- προσκαλε-
καλεσάμενος τῷ Λυσιθείδῃ ἐπιτρέψαι, ἐγὼ μὲν καίπερ καταπεφρονημένος ὑ- σάμενος
41 π' αὐτοῦ τοῦτό γε ὀρθῶς ἐβουλευσάμην. κατὰ τοὺς νόμους γὰρ ἐπέτρεψα, καὶ ἀπή-
νεγκα πρὸς τὴν ἀρχήν. οὗτος δὲ τὸν κατὰ τοὺς νόμους ἀπηνωρευμένον διαιτητὴν
ἔπεισεν ἀνώμοτον διαιτῆσαι, ἐμοῦ διαμαρτυρομένου κατὰ τοὺς νόμους ὀμόσαντα δι-
αιτᾶν, ἵνα αὐτῷ ᾖ πρὸς ὑμᾶς λέγειν, ὅτι καὶ Λυσιθείδης ἀνὴρ καλὸς κἀγαθὸς ἔγνω
42 περὶ αὐτῶν. Λυσιθείδης γὰρ, ὦ ἄνδρες δικασταί, ἕως μὲν ὁ πατὴρ ἔζη, καὶ ἂν εὐόρκως

καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ μεθ' ὅρκου ἴσως ἂν οὐκ ἠδίκησεν ἐκεῖνον. ἔμελλε γὰρ αὐτῷ ἐκείνου. ἐμοῦ δὲ ἄνευ μὲν ὅρκου, οὐδὲν αὐτῷ ἔμελλε. μεθ' ὅρκου δὲ ἴσως ἂν οὐκ ἠδίκησε, διὰ τὸ αὐτοῦ ἴδιον. διόπερ ἀνώμοτος ἀπεφήνατο. ὡς δὲ ἀληθῆ λέγω, καὶ τούτων ὑμῖν τοὺς παραγενομένους μάρτυρας παρέξομαι. Μάρτυρες. 43

Ὅτι μὲν οὖν καὶ παρὰ τοὺς νόμους, καὶ παρὰ τὸ δίκαιον δύναται διαπράττεσθαι Κάλλιππος, ὦ ἄνδρες δικασταί, τῆς μαρτυρίας ἀκηκόατε. δέομαι δὲ ὑμῶν αὐτός τε ὑπὲρ ἐμαυτοῦ, καὶ ὑπὲρ τοῦ πατρός, ἀναμνησθέντας, ὅτι πάντων μὲν ὑμῖν καὶ μάρτυρας, καὶ τεκμήρια, καὶ νόμους, καὶ πίστεις παρεσχόμην, ὧν εἴρηκα· °τούτῳ δὲ ἐπιδείκνυμι, ὅτι ἐξόν, εἴπερ τι αὐτῷ προσῆκε τοῦ ἀργυρίου, ἐπὶ τὸν Κηφισιάδην βαδίζειν τὸν ὁμολογοῦντα κεκομίσθαι, καὶ ἔχειν τὸ ἀργύριον, καὶ ταῦτα μηδὲν ἧττον τὰ πιστὰ παρ' ὑμῶν λαβόντα, οὐκ ἔρχεται, εἰδὼς ὅτι οὐκ ἔστι παρ' ἡμῖν τὸ ἀργύριον, δέομαι ὑμῶν ἀποψηφίσασθέ μου. καὶ ταῦτα ποιοῦντες, πρῶτον μὲν τὰ δίκαια, καὶ κατὰ τοὺς νόμους ἔσεσθε ἐψηφισμένοι, ἔπειτα ἄξια μὲν ὑμῶν αὐτῶν, ἄξια δὲ τοῦ πατρὸς τοῦ ἐμοῦ. ὡς ἐγὼ ὑμᾶς ἂν δεξαίμην ἅπαντα τὰ ἐμαυτοῦ λαβεῖν μᾶλλον, ἢ ἀδίκως τι συκοφαντούμενος ἀποτίσαι.

(44 and 45 in the margin; marginal note: ° τῶν)

### ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΝΙΚΟΣΤΡΑΤΟΝ ΠΕΡΙ τῶν Ἀρεθουσίου ἀνδραπόδων λόγου.

Ἀπολλόδωρος γραψάμενος ψευδοκλητείας Ἀρεθούσιον εἷλεν. ὀφείλοντος γὰρ τοῦ Ἀρεθουσίου τάλαντον τῇ πόλει, καὶ ἀποδοῦναι μὴ δυνηθέντος, καὶ διὰ τοῦτο εἰς τὰ δημόσια ἀπογραφομένης αὐτοῦ τῆς οὐσίας, ἀπογράφει ὁ Ἀπολλόδωρος οἰκέτας, ὡς ὄντας Ἀρεθουσίου, °μεταποιεῖται ὡς ἰδίων, καὶ ἐκείνῳ προσηκόντων οὐδέν. ἐπεὶ δὲ τὸ πρᾶγμα μοχθηρόν, διὰ τοῦτο ὁ ῥήτωρ διηγεῖται, πηλίκα πέπονθεν Ἀπολλόδωρος ὑπ' Ἀρεθουσίου, ἵνα δοκῇ μὴ φύσει πονηρὸς ὢν ταῦτα πράττειν, ἀλλὰ ἀμυνόμενος τὸν ἀδικοῦντα.

(marginal note: ° καὶ μεταποι.)

# ΔΗΜΟΣΘΕΝΟΥΣ Ο ΠΡΟΣ ΝΙΚΟΣΤΡΑΤΟΝ ΠΕΡΙ ΑΝΔΡΑΠΟΔΩΝ ἀπογραφῆς Ἀρεθουσίου λόγος.

1 ΟΤΙ μὲν οὐ συκοφαντῶν, ἀλλ' ἀδικούμενος, καὶ ὑβριζόμενος ὑπὸ τούτων, καὶ οἰόμενος δεῖν τιμωρεῖσθαι, τὴν ἀπογραφὴν ἐποιησάμην, μέγιστον ὑμῖν ἔστω τεκμήριον, ὦ ἄνδρες δικασταί, τό, τε μέγεθος τῆς ἀπογραφῆς, καὶ ὅτι αὐτὸς ἐγὼ ἀπεγραψάμην· οὐ γὰρ δήπου συκοφαντεῖν γε βουλόμενος °ἀπεγραψάμην ἂν πέντε ἡμιμναίων ἄξια ἀνδράποδα, ὡς αὐτὸς ὁ °ἀμφισβητῶν τετίμηται αὐτά· ἐκινδύνευον δ' ἂν περί τε χιλίων δραχμῶν, καὶ τοῦ μηδέποτ' αὖθις μηδένα ὑπὲρ ἐμαυτοῦ γράψασθαι· οὐδ' αὖ οὕτως ἄπορος ἦν, οὐδ' ἄφιλος, ὥστε οὐκ ἂν ἐξευρεῖν τὸν ἀπογράψοντα· ἀλλὰ τῶν ἐν ἀνθρώποις ἁπάντων ἡγησάμενος δεινότατον εἶναι, ἀδικεῖσθαι μὲν αὐτός, ἕτερον δ' ὑπὲρ ἐμοῦ τοῦ ἀδικουμένου τοὔνομα παρέχειν, καὶ εἶναι ἄν τι τούτοις τοῦτο τεκμήριον, ὁπότε ἐγὼ λέγοιμι τὴν ἔχθραν πρὸς ὑμᾶς, ὡς ψεύδομαι· οὐ γὰρ ἄν ποτε ἕτερον ἀπογράψαι, εἴπερ αὐτὸς ἠδικούμην· διὰ μὲν ταῦτα, ἀπέγραψα. ἀπογράψας δέ, ἐὰν ἀποδείξω τὰ ἀνδράποδα Ἀρεθουσίου ὄντα, ὥσπερ ἐγγέγραπται εἶναι, τὰ μὲν τρία μέρη,

(section numbers 2, 3, 4 in the margin; marginal notes: ° ἀπέγραψα; ° ὁ)

ἃ ἐκ τῶν νόμων τῷ ἰδιώτῃ τῷ ἀπογράψαντι γίγνεται, τῇ πόλει ἀφίημι· αὐτῷ
δέ μοι τετιμωρῆσθαι ἀρκεῖ μόνον. εἰ μὲν οὖν ἦν μοι ἱκανὸν τὸ ὕδωρ διηγήσασθαι
5 πρὸς ὑμᾶς τὰ ἐξ ἀρχῆς ὅσα ἀγαθὰ πεπονθότες ὑπ' ἐμοῦ, νῦν με εἰργασμένοι
εἰσίν, εὖ οἶδ' ὅτι ὑμεῖς τ' ἂν μοι ἔτι μᾶλλον συγγνώμην εἴχετε τοῦ ὀργίζεσθαι αὐ-
τοῖς, τούτους τ' ἂν ἀνοσιωτάτους ἀνθρώπων ἡγήσασθε εἶναι. νῦν δέ, οὐδ' εἰ διπλάσιόν
μοι τούτου ὕδωρ ἱκανὸν ἂν γένοιτο. τὰ μὲν οὖν μέγιστα καὶ περιφανῆ τῶν ἀδικη-
6 μάτων, καὶ ὁπόθεν ἡ ἀπογραφὴ αὕτη γέγονεν, ἐρῶ πρὸς ὑμᾶς. τὰ δὲ πολλὰ ἐά-
σω· νικόστρατος γὰρ οὑτοσί, ὦ ἄνδρες δικασταί, γείτων μοι ὢν ἐν ἀγρῷ, καὶ ἡλικιώ-
της, γνώριμος μὲν μοι εἶχε καὶ πάλαι· ἐπειδὴ δὲ ἐτελεύτησεν ὁ πατήρ, καὶ ἐγὼ
ἐν ἀγρῷ κατῴκουν, ὥσπερ καὶ νῦν οἰκῶ, καὶ μᾶλλον ἀλλήλοις ἤδη ἐχρώμεθα, διὰ
7 τὸ γείτονές τε εἶναι, καὶ ἡλικιῶται. χρόνου δὲ προβαίνοντος, καὶ πάνυ οἰκείως διε-
κείμεθα· καὶ ἐγώ τε οὕτως οἰκείως διεκείμην πρὸς τοῦτον, ὥστε οὐδενὸς πώποτε
ὧν ἐδεήθη, οὐδὲν ἐμοῦ ἀπέτυχεν· οὗτός τε αὖ ἐμοὶ οὐκ ἄχρηστος ἦν πρὸς τὸ ἐπι-
μεληθῆναι καὶ διοικῆσαι. καὶ ὁπότε ἐγὼ ἀποδημοίην, ἢ δημοσίᾳ τριηραρχῶν, ἢ
8 ἰδίᾳ κατ' ἄλλο τι, κύριον τῶν ἐν ἀγρῷ τούτων ἁπάντων κατέλιπον. συμβαίνει δή
μοι τριηραρχία περὶ πελοπόννησον. ἐκεῖθεν δὲ εἰς σικελίαν ἔδει πρὸς τοὺς πρέσβεις
ἄγειν, οὓς ὁ δῆμος ἐχειροτόνησεν. ἡ οὖν ἀναγωγὴ διὰ ταχέων ἐγίγνετό μοι. ἐπιστέλ-
λω δὴ αὐτῷ ὅτι αὐτὸς μὲν ἀνῆγμαι, καὶ οὐχ οἷός τ' εἴην οἴκαδε ἀφικέσθαι, ἵνα μὴ κα- ἰὼν
9 τακωλύοιμι τοὺς πρέσβεις. τούτῳ δὲ προσέταξα ἐπιμελεῖσθαί τε τῶν οἴκοι, καὶ διοι-
κεῖν, ὥσπερ καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ. ἐν δὲ τῇ ἐμῇ ἀποδημίᾳ, ἀποδιδρά-
σκουσιν αὐτὸν οἰκέται τρεῖς ἐξ ἀγροῦ παρὰ τούτου· οἱ μὲν δύο, ὧν ἐγὼ ἔδωκα αὐ- οἷς ἐγὼ
τῷ· ὁ δὲ εἷς ὧν αὐτὸς ἐκτήσατο. διώκων οὖν, ἁλίσκεται ὑπὸ τριήρους, καὶ κα- ὃ τ' αὐτὸς
10 τήχθη εἰς αἴγιναν, καὶ ἐκεῖ ἐπράθη. ἐπειδὴ δὲ κατέπλευσα ἐγὼ τριηραρχῶν,
προσέρχεταί μοι δείνων ὁ ἀδελφὸς τούτου, λέγων τήν τε τούτου συμφοράν, αὐτός
τε ὅτι δι' ἀπορίαν ἐφοδίων οὐ πεπορευμένος εἴη ἐπὶ τοῦτον, πέμποντος τούτου αὐ-
τῷ ἐπιστολάς, καὶ ἅμα λέγων πρὸς ὑμᾶς, ὡς ἀκούοι αὐτὸν δεινῶς διακεῖσθαι. ἡμᾶς
11 ἀκούσας δ' ἐγὼ ταῦτα, καὶ συναχθεσθεὶς ἐπὶ τῇ ἀτυχίᾳ τῇ τούτου, πέμπω τὸν
δείνωνα τὸν ἀδελφὸν τούτου εὐθὺς ἐπὶ τοῦτον, δοὺς ἐφόδιον αὐτῷ τριακοσίας δρα-
χμάς. ἀφικόμενος δ' οὗτος, καὶ ἐλθὼν ὡς ἐμέ, πρῶτον μὲν ἠσπάζετο, καὶ ἐπῄνει, ὅτι
παρέχοι τὰ ἐφόδια τῷ ἀδελφῷ αὐτοῦ, καὶ ὠδύρετο τὴν αὑτοῦ συμφοράν, καὶ κα-
12 τηγορῶν ἅμα τῶν ἑαυτοῦ οἰκείων, ἐδεῖτό μου βοηθῆσαι αὐτῷ, ὥσπερ καὶ ἐν τῷ ἔμ-
προσθεν χρόνῳ ἦν περὶ αὐτὸν ἀληθινὸς φίλος. καὶ κλαίων ἅμα, καὶ λέγων, ὅτι ἓξ
καὶ εἴκοσι μνῶν λελυμένος εἴη, εἰσενεγκεῖν αὐτῷ τι ἐκέλευέ με εἰς τὰ λύτρα. ταῦ-
τα δὲ ἐγὼ ἀκούων, καὶ ἐλεήσας τοῦτον, καὶ ἅμα ὁρῶν κακῶς διακείμενον, καὶ ἐπι-
13 δεικνύοντα ἕλκη ἐν ταῖς κνήμαις ὑπὸ τῶν δεσμῶν, ὧν ἔτι τὰς οὐλὰς ἔχει, καὶ ἐὰν
κελεύσητε αὐτὸν δεῖξαι, οὐ μὴ ἐθελήσῃ· ἀπεκρινάμην αὐτῷ, ὅτι καὶ ἐν τῷ ἔμ-
προσθεν χρόνῳ ἦν αὐτῷ φίλος ἀληθινός, καὶ νῦν ἐν τῇ συμφορᾷ βοηθήσαιμι αὐ-
τῷ. καὶ τάς τε τριακοσίας, ἃς τῷ ἀδελφῷ αὐτοῦ ἔδωκα ἐφόδιον, ὅτε ἐπορεύετο ἐφόδια
4 ἐπὶ τοῦτον, ἀφίημι αὐτῷ, χιλίας τε δραχμὰς ἔρανον αὐτῷ εἰς τὰ λύτρα εἰσοίσοιμι. ἀφεῖναι
καὶ τοῦτο οὐ λόγῳ μὲν ὑπεσχόμην, ἔργῳ δ' οὐκ ἐποίησα· ἀλλ' ἐπειδὴ οὐκ εὐπόρουν
ἀργυρίου, διὰ τὸ διαφόρως ἔχειν αὐτῷ φορμίωνι, καὶ ἀποστερεῖσθαι ὑπ' αὐτοῦ τὴν
οὐσίαν, ἣν μοι ὁ πατὴρ κατέλιπε, κομίσας ὡς θεοκλέα τὸν τότε τραπεζιτεύοντα,

ἐκπώματα,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐκπώματα, καὶ στέφανον χρυσοῦν, ἃ παρ' ἐμοὶ ἐκ τῶν πατρῴων ὄντα ἐτύγχανεν, 15
ἐκέλευσα δοῦναι τούτῳ χιλίας δραχμάς· καὶ τοῦτο ἔδωκα δωρεὰν αὐτῷ τὸ ἀργύ-
ριον, καὶ ὁμολογῶ δεδωκέναι. ἡμέραις δὲ οὐ πολλαῖς ὕστερον προσελθών μοι κλαίων,
ἔλεγεν ὅτι οἱ ξένοι ἀπαιτοῖεν αὐτὸν οἱ δανείσαντες τὰ λύτρα, τὸ λοιπὸν ἀργύριον·
καὶ ἐν ταῖς συγγραφαῖς εἴη, τριάκοντα ἡμερῶν αὐτὸν ἀποδοῦναι, ἢ διπλάσιον ὀφεί- 16
λειν· καὶ ὅτι τὸ χωρίον τὸ ἐκ γειτόνων μοι τοῦτο, οὐδεὶς ἐθέλοι οὔτε πρίασθαι, οὔτε τί-
θεσθαι· ὁ γὰρ ἀδελφὸς ὁ Ἀρεθούσιος, οὗ τἀνδράποδά ἐστι ταῦτα, ἃ νῦν ἀπογέγρα-
πται, οὐδένα ἔφη οὔτε ὠνεῖσθαι, οὔτε τίθεσθαι, ὡς ἐνοφειλομένου αὐτῷ ἀργυρίου.
σὺ οὖν μοι, ἔφη, πόρισον τὸ ἐλλεῖπον τοῦ ἀργυρίου πρὶν τὰς τριάκοντα ἡμέρας παρελη- 17
λυθεῖν, ἵνα μὴ ὅ τε ἀποδέδωκα, ἔφη, τὰς χιλίας δραχμάς, ἀπόληται, καὶ αὐτὸς ἀγώ-
γιμος γένωμαι. συλλέξας δ', ἔφη, τὸν ἔρανον ἐπειδὰν τοὺς ξένους ἀπαλλάξω, σοὶ ἀ-
ποδώσω, ὃ ἄν μοι χρήσῃς. οἶσθα δ', ἔφη, ὅτι καὶ οἱ νόμοι κελεύουσι, τοῦ λυσαμένου
ἐκ τῶν πολεμίων εἶναι τὸν λυθέντα, ἐὰν μὴ ἀποδιδῷ λύτρα. ἀκούων δ' αὐτοῦ ταῦ- 18
τα, καὶ δοκῶν οὐ ψεύδεσθαι, ἀπεκρινάμην αὐτῷ ἅπερ ἂν νέος τε ἄνθρωπος, καὶ
οἰκείως χρώμενος, οὐκ ἂν νομίσας ἀδικηθῆναι, ὅτι, ὦ Νικόστρατε, καὶ ἐν τῷ πρὸ
τούτου χρόνῳ φίλος ἦν ἀληθινός, καὶ ἐν ταῖς συμφοραῖς σου, καθ' ὅσον ἐγὼ ἐδυνά-
μην, βεβοήθηκα. ἐπειδὴ δὲ ἐν τῷ παρόντι οὐ δύνασαι πορίσαι ἅπαντα τὰ χρή- 19
ματα, ἀργύριον μὲν ἐμοὶ οὐ πάρεστιν, οὐδ' ἔχω οὐδ' αὐτός· τῶν δὲ χρημάτων σοι τῶν
ἐμῶν κίχρημι, ὅ, τι βούλει, θέντα τοῦ ἐπιλοίπου ἀργυρίου ὅσον ἐνδεῖ σοι, ἐνιαυτὸν
ἀτόκως χρῆσθαι τῷ ἀργυρίῳ, καὶ ἀποδοῦναι τοῖς ξένοις. συλλέξας δὲ ἔρανον, ὥσ-
περ αὐτὸς φής, λῦσαί μοι. ἀκούσας δὲ ταῦτα, καὶ ἐπαινέσας με, ἐκέλευσε τὴν 20
ταχίστην πρᾶξαι, πρὶν ἐξήκειν τὰς ἡμέρας, ἐν αἷς ἔφη δεῖν τὰ λύτρα καταθεῖναι.
τίθημι οὖν τὴν συνοικίαν ἑκκαίδεκα μνῶν Ἀρκέσαντι Παμβωτάδῃ, ὃν αὐτὸς οὗ-
τος προεξένισεν, ἐπὶ ὀκτὼ ὀβολοῖς τὴν μνᾶν δανείσαντι τοῦ μηνὸς ἑκάστου. λαβὼν
δὲ τὸ ἀργύριον οὐχ ὅπως χάριν τινά μοι ἀποδίδωσιν, ὧν εὖ ἔπαθεν, ἀλλ' εὐθέως 21
*ἐπεβούλευε ἐπεβούλευσέ με, ἵν' ἀποστερήσῃ τὸ ἀργύριον, καὶ εἰς ἔχθραν καταστῇ· καὶ ἀπορού-
μενος ἐγὼ τοῖς πράγμασι, νέος ὤν, ὅ, τι χρησαίμην, καὶ ἄπειρος πραγμάτων
ὅπως μὴ εἰσπράττοιμι αὐτὸν τἀργύριον, οὗ ἡ συνοικία ἐτέθη, ἀλλ' ἀφείην ἂν
αὐτῷ. πρῶτον μὲν ἐπιβουλεύει μοι μετὰ τῶν ἀντιδίκων, καὶ πίστιν αὐτοῖς δίδωσιν. 22
ἔπειτα ἀγώνων μοι συνεστηκότων πρὸς αὐτούς, τούς τε λόγους ἐκφέρει μου εἰδώς,
καὶ ἐγγράφεται τῷ δημοσίῳ ἀπρόσκλητον* ἐξ ἐμφανῶν καταστάσεως ἐπιβολὴν ἑξα-
κοσίας καὶ δέκα δραχμάς, διὰ Λυκίδου τοῦ μυλωθροῦ ποιησάμενος τὴν δί-
κην. κλητῆρα δὲ κατ' ἐμοῦ τόν τε ἀδελφὸν τὸν αὑτοῦ τὸν Ἀρεθούσιον τουτονὶ ἐπι- 23
*παρεσκευά-σαντο γράφεται, οὗπερ ἐστὶ τὰ ἀνδράποδα ταῦτα, καὶ ἄλλον τινά. καὶ *παρεσκευάζοντο, εἰ
ἀνακρινοίμην κατὰ τῶν οἰκείων τῶν ἀδικούντων με τὰς δίκας, ἃς εἰλήχειν αὐτοῖς,
ἐνδεικνύναι με, καὶ ἐμβάλλειν εἰς τὸ δεσμωτήριον. ἔτι δὲ πρὸς τούτοις, ὁ Ἀρεθού-
σιος ἀπρόσκλητόν μου δέκα δραχμῶν δίκην καταδικασάμενος, ὡς ὀφείλοντα 24
τῷ δημοσίῳ, κλητῆρας ἐπιγραψάμενος, καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν βίᾳ, τὰ σκεύη
πάντα ἐξεφόρησε, πλέον ἢ εἴκοσι μνῶν ἄξια· καὶ οὐδ' ὁτιοῦν κατέλιπεν. ὅτε δὲ τι-
μωρεῖσθαι ᾤμην δεῖν, καὶ ἐκτίσας τῷ δημοσίῳ τὸ ὄφλημα, ἐπειδὴ ἐπυθόμην
τὴν ἐπιβολήν, ἐβάδιζον ἐπὶ τὸν κλητῆρα τὸν ὁμολογοῦντα κεκλητευκέναι, τόν- 25
δε Ἀρεθούσιον τῆς ψευδοκλητείας κατὰ τὸν νόμον· ἐλθὼν εἰς τὸ χωρίον τῆς νυκτός, ὅσα



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐνῆν φυτὰ ἀκροδρύων γονύαγα ἐμβεβλημένα, καὶ τὰς ἀναδενδράδας ἐξέκοψε, καὶ
φυτευτήρια ἐλαῶν περιστοίχων κατέκλασεν οὕτω δεινῶς, ὡς οὐδ᾽ ἂν οἱ πολέμιοι
26 διαθεῖεν. πρὸς δὲ τούτοις, μεθ᾽ ἡμέραν παιδάριον ἀστὸν εἰσπέμψαντες διὰ τὸ
γείτονές τι εἶναι, καὶ ὅμορον τὸ χωρίον, ἐκέλευον τὴν ῥοδωνιὰν βλαστάνουσαν ἐκτίλ-
λειν, ἵν᾽ εἰ καταλαβὼν αὐτὸν ἐγὼ δήσαιμι, ἢ πατάξαιμι ὡς δοῦλον ὄντα, γραφὴν
με γράψαιντο ὕβρεως. ὡς δὲ τούτου διήμαρτον, κἀγὼ μάρτυρας μὲν ὧν ἔπαθον, ἐ-
27 ποιησάμην, αὐτὸς δὲ οὐδὲν ἐξημάρτανον εἰς αὐτούς, ἐντεῦθεν ἤδη μοι ἐπιβουλεύουσι
τὴν μεγίστην ἐπιβουλήν· ἀνακεκριμένου γὰρ ἤδη μου κατ᾽ αὐτοῦ τὴν τῆς ψευδο-
κλητείας γραφήν, καὶ μέλλοντος εἰσιέναι εἰς τὸ δικαστήριον, τηρήσας με ἀπιόντα ἐκ
Πειραιῶς ὀψὲ περὶ τὰς λιθοτομίας, παίει τε πύξ, καὶ ἁρπάζει μέσον, καὶ ὠθεῖ καὶ ὤθει
28 με εἰς τὰς λιθοτομίας, εἰ μή τινες προσιέντες βοῶντός μου ἀκούσαντες, παρεγέ- προσιόντες
νοντο, καὶ ἐβοήθησαν. ἡμέραις δὲ οὐ πολλαῖς ὕστερον εἰσελθὼν εἰς τὸ δικαστήριον πρὸς
ἡμέραν διαμεμετρημένην, καὶ ἐξελέγξας αὐτὸν τὰ ψευδῆ κεκλητευκότα, καὶ τὰ
ἄλλα, ὅσα εἴρηκα, ἠδικηκότα, εἷλον. καὶ ἐν τῇ τιμήσει βουλομένων τῶν δικαστῶν θα-
29 νάτου τιμῆσαι αὐτῷ, ἐδεήθην μὲν ἐγὼ τῶν δικαστῶν, μηδὲν δι᾽ ἐμοῦ τοιοῦτον πρᾶ-
ξαι· ἀλλὰ συγχωρῆσαι ὅσουπερ αὐτοὶ ἐτιμῶντο ταλάντου, οὐχ ἵνα μὴ ἀποθάνῃ ὁ
Ἀρεθούσιος· ἄξια γὰρ αὐτῷ θανάτου εἴργαστο εἰς ἐμέ· ἀλλ᾽ ἵνα ἐγὼ Πασίωνος ὤν,
καὶ κατὰ τὸ ψήφισμα πολίτης, μηδένα Ἀθηναίων ἀπεκτονὼς εἴην. ὡς δ᾽ ἀληθῆ εἴρη-
30 κα πρὸς ὑμᾶς, τούτων ὑμῖν πάντων τοὺς μάρτυρας παρέξομαι.

Μάρτυρες

Α μὲν οὖν τοίνυν ἀδικούμενος ὑπ᾽ αὐτῶν, ὦ ἄνδρες δικασταί, τὴν ἀπογρα-
φὴν ἐποιησάμην, δεδήλωκα ὑμῖν. ὡς δὲ ἐστὶν Ἀρεθουσίου τὰ ἀνδράποδα ταῦτα,
31 καὶ ὄντα ἐν τῇ οὐσίᾳ τῇ ἐκείνου, ἃ ἀπέγραψα, ἐπιδείξω ὑμῖν· τὸν μὲν γὰρ Κέρδω-
να ἐκ μικροῦ παιδαρίου ἐξεθρέψατο. καὶ ὡς ἦν Ἀρεθουσίου, τούτων ὑμῖν τοὺς
εἰδότας μάρτυρας παρέξομαι.

Μάρτυρες.

Παρ᾽ οἷς τοίνυν εἰργάσατο πώποτε ὡς τοὺς μισθοὺς Ἀρεθούσιος ἐκομίζετο* * ἐπὶ
32 ὑπὲρ αὐτοῦ, καὶ δίκας ἐλάμβανε, καὶ ἐδίδου ὁπότε κακόν τι ἐργάσαιτο, ὡς δεσπό-
της ὤν, τούτων ὑμῖν τοὺς εἰδότας μάρτυρας παρέξομαι.

Μάρτυρες.

Τὸν δὲ Μάνην, δανείσας ἀργύριον Ἀρχεπόλιδι τῷ Πειραιεῖ, ἐπειδὴ οὐχ οἷός
33 τ᾽ ἦν αὐτῷ ἀποδοῦναι ὁ Ἀρχέπολις, οὔτε τὸν τόκον, οὔτε τὸ ἀρχαῖον, ἄπαν ἐναπε-
τίμησεν αὐτῷ. καὶ ὅτι ἀληθῆ λέγω, τούτων ὑμῖν τοὺς μάρτυρας παρέξομαι.

Μάρτυρες.

Ἔτι τοίνυν καὶ ἐκ τῶνδε γνώσεσθε, ὦ ἄνδρες δικασταί, ὅτι εἰσὶν Ἀρεθουσίου οἱ ἄν-
34 θρωποι· ὁπότε γὰρ οἱ ἄνθρωποι οὗτοι ἢ ὀπώραν πρίαιντο, ἢ θέρος μισθοῖντο ἐκ-
θερίσαι, ἢ ἄλλο τι τῶν περὶ γεωργίαν ἔργων αἱροῖντο, Ἀρεθούσιος ἦν ὁ ὠνούμενος, καὶ γρ. ἀνέλοιντο.
μισθούμενος ὑπὲρ αὐτῶν. ὡς δ᾽ ἀληθῆ λέγω, καὶ τούτων ὑμῖν μάρτυρας παρέξομαι. γρ. ἀναιροῖντο.

Μάρτυρες.

35 Ὅσας μὲν τοίνυν μαρτυρίας παρασχέσθαι εἶχον ὑμῖν, ὡς ἔστιν Ἀρεθουσίου τὰ
ἀνδράποδα, δεδήλωκα ὑμῖν. βούλομαι δὲ καὶ περὶ τῆς προκλήσεως εἰπεῖν, ἣν
οὗτοί με προὐκαλέσαντο, καὶ ἐγὼ τούτους. οὗτοι μὲν γάρ με προὐκαλέσαντο, ὅτε
ἡ πρώτη ἀνάγνωσις ἦν, φάσκοντες ἑτοῖμοι εἶναι παραδιδόναι ἐμοὶ αὐτοὶ τὰ ἀν- ἀνάκρισις
δράποδα

ἀνδράποδα βασανίσαι, βουλόμενοι μαρτυρεῖν ἵνα αὐτοῖς ταύτην ἀφέλεσθαι. ἐγὼ 36
δὲ ἀπεκρινάμην αὐτοῖς ἐναντίον μαρτύρων, ὅτι ἕτοιμός εἰμι ἰέναι εἰς τὴν βουλὴν
μετ' αὐτῶν, καὶ παραλαμβάνειν μετ' ἐκείνης, ἢ μετὰ τῶν ἕνδεκα, λέγων ὅτι, εἰ μὲν
ἰδίαν δίκην ἐδικαζόμην αὐτοῖς, εἰ ἐμοὶ ἐξεδίδοσαν, παρελάμβανον ἄν· νυνὶ δὲ τῆς
* δεῖν οὖν πόλεως εἴη τὰ ἀνδράποδα, καὶ ἡ ἀπογραφή. *δεῖν οὖν δημοσίᾳ βασανίζεσθαι. 37
ἡγούμην γὰρ οὐ προσήκειν ἐμοί, ἰδιώτῃ ὄντι, τοὺς δημοσίους βασανίζειν· οὔτε γὰρ τῆς
*ἔχ. ... ἢ τὰ λεχ...α ὑπὸ τῶν ...θρώπων ἐμὲ κρίνειν ἡγούμην· ἡγούμην τι δεῖν τὴν ἀρχὴν, ἢ τοὺς ᾑρημ.
βασάνου κύριος ἐγιγνόμην, οὔτε καλῶς *ἔχειν τὸ λεγόμενον ὑπὸ τῶν ἀνθρώ-
πων ἡγούμην, μὴ οὐ τὴν ἀρχήν, ἢ τοὺς ᾑρημένους ὑπὸ τῆς βουλῆς γράφεσθαι,
καὶ κατασημήνασθαι τὰς βασάνους ὅ, τι εἴποιεν οἱ ἄνθρωποι, παρέχειν εἰς τὸ 38
δικαστήριον· ἵνα ἀκούσαντες ἐκ τούτων ἐψηφίσασθε, ὁποῖόν τι ὑμῖν ἐδόκει. ἰδίᾳ μὲν
γὰρ βασανιζομένων τῶν ἀνθρώπων ὑπ' ἐμοῦ, ἀντελέγετο ἂν ἅπαντα ὑπὸ
τούτων. εἰ δὲ δημοσίᾳ, ἡμεῖς μὲν ἂν ἐσιωπῶμεν· οἱ δ' ἄρχοντες οἱ ᾑρημένοι ὑπὸ
τῆς βουλῆς, ἐβασάνιζον ἂν μέχρι οὗ αὐτοῖς ἐδόκει. ταῦτα δέ μου ἐθέλοντος, οὐκ ἂν 39
ἔφασαν παραδοῦναι τῇ ἀρχῇ, οὐδ' εἰς τὴν βουλὴν ἤθελον ἀκολουθεῖν. ὡς οὖν
ἀληθῆ λέγω, κάλει μοι τοὺς μάρτυρας τούτων.

Μάρτυρες.

Κατὰ πολλὰ μὲν οὖν ἔμοιγε δοκοῦσιν εἶναι ἀναίσχυντοι, ἀμφισβητοῦντες τῶν 40
ὑμετέρων, οὐχ ἥκιστα δὲ ὑμῖν αὐτοὺς ἐπιδείξω ἐκ τῶν νόμων τῶν ὑμετέρων· οὗτοι
γὰρ ὅτε οἱ δικασταὶ ἐβούλοντο θανάτου τιμῆσαι τῷ Ἀρεθουσίῳ, ἐδέοντο τῶν δικα-
στῶν χρημάτων τιμῆσαι, καὶ ἐμοῦ συγχωρῆσαι. καὶ ὡμολόγησαν αὐτοὶ συνεκτίσειν.
τοσούτου δὴ δέουσιν ἐκτίνειν καθὰ ἐνεγυήσαντο, ὥστε καὶ τῶν ὑμετέρων ἀμφισβη- 41
τοῦσι. καίτοι οἵ γε νόμοι κελεύουσι τὴν οὐσίαν δημοσίαν εἶναι, ὃς ἂν ἐγγυησάμενός τι
τῶν τῆς πόλεως, μὴ ἀποδῷ τὴν ἐγγύην. ὥστε καὶ εἰ τούτων ἦν τὰ ἀνδράποδα,
προσῆκεν αὐτὰ δημόσια εἶναι, εἴπερ τι τῶν νόμων ὄφελος. καὶ πρὶν μὲν ὀφείλειν τῷ
δημοσίῳ, ὁ Ἀρεθούσιος ὡμολογεῖτο τῶν ἀδελφῶν εὐπορώτατος εἶναι. ἐπειδὴ δὲ οἱ 42
νόμοι κελεύουσι τὰ κείνου ὑμέτερα εἶναι, τηνικαῦτα πένης ὢν φαίνεται ὁ Ἀρεθού-
σιος, καὶ τῶν μὲν, ἡ μήτηρ ἀμφισβητεῖ· τῶν δὲ, ἡ ἀδελφή. χρῆν δ' αὐτούς, εἴπερ
ἐβούλοντο δικαίως προσφέρεσθαι πρὸς ὑμᾶς, ἀποδείξαντας ἅπασαν τὴν οὐ-
σίαν τὴν ἐκείνου, τὰ τούτων αὐτῶν εἴ τις ἀπέγραφεν, ἀμφισβητεῖν. ἐὰν μὲν οὖν 43
ἐνθυμηθῆτε, ὅτι οὐδέποτε ἔσται ἀπορία τῶν ἀμφισβητησόντων ὑμῖν περὶ τῶν ὑ-
μετέρων· ἢ γὰρ ὀρφανούς, ἢ ἐπικλήρους κατασκευάσαντες, ἀξιώσουσιν ἐλεεῖσθαι
ὑφ' ὑμῶν, ἢ γῆρας, καὶ ἀπορίας, καὶ τροφὰς μητρὶ λέγοντες, καὶ ὀδυρόμενοι, δι'
ὧν μάλιστα ἐλπίζουσιν, ἐξαπατήσειν ὑμᾶς πειράσονται, καὶ ἀποστερήσειν τὴν πό- 44
λιν τοῦ ὀφλήματος· ἐὰν οὖν ταῦτα παριδόντες πάντα, καταψηφίσησθε, ὀρθῶς
βουλεύσεσθε.

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΚΑΤΑ ΚΟΝΩΝΟΣ

αἰκίας λόγου.

Ἀρίστων Ἀθηναῖος δικάζεται Κόνωνι αἰκίας, λέγων ὑπ' αὐτοῦ, καὶ τοῦ παιδὸς αὐτοῦ πεπλῆχθαι, καὶ μάρτυρας τούτου παρεχόμενος. ὁ δὲ Κόνων ἀρνεῖται τὸ πρᾶγμα· καὶ μάρτυρας ἀντιπαρέχεται, οὓς ὁ Δημοσθένης οὔ φησι πιστούς· βεβιωκέναι γὰρ φαύλως, καὶ εὐχερῶς ἔχειν πρὸς τὸ ψεύδεσθαι.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΔΗΜΟΣΘΕΝΟΥΣ Ο ΚΑΤΑ ΚΟΝΩΝΟΣ ΑΙΚΙΑΣ ΛΟΓΟΣ.

1 Υβρισθεὶς, ὦ ἄνδρες δικασταὶ, καὶ παθὼν ὑπὸ κόνωνος τουτουὶ
τοιαῦτα, ὥστε πολὺν χρόνον πάνυ μήτε τοὺς οἰκείους, μήτε τῶν
ἰατρῶν μηδένα προσδοκᾶν περιφεύξεσθαί με, ὑγιάνας καὶ
σωθεὶς ἀπροσδοκήτως, ἔλαχον αὐτῷ τὴν δίκην τῆς αἰκίας
2 ταυτηνί. πάντων δὲ τῶν οἰκείων, καὶ τῶν φίλων, οἷς συνεβου-
λευόμην, ἐνόχους μὲν φασκόντων αὐτὸν ἐκ τῶν πεπραγμένων εἶναι, καὶ τῇ τῶν λω-
ποδυτῶν ἀπαγωγῇ, καὶ ταῖς τῆς ὕβρεως γραφαῖς, συμβουλευόντων δέ μοι, καὶ πα-
ραινούντων μὴ μείζω πράγματα, ἢ δυνήσομαι φέρειν, ἐπάγεσθαι, μηδ' ὑπὲρ
3 τὴν ἡλικίαν, ἣν ἔχων ἐπεπόνθειν, ἐγκαλοῦντα φαίνεσθαι, οὕτως ἐποίησα. καὶ δι' ἐκεί-
νους, ἰδίαν ἔλαχον δίκην, ἥδιστ' ἂν, ὦ ἄνδρες ἀθηναῖοι, θανάτου κρίνας τουτονί. καὶ τού-
του συγγνώμην ἕξετε, εὖ οἶδ' ὅτι, πάντες, ἐπειδὰν ἃ πέπονθα, ἀκούσητε. δεινῆς γὰρ
οὔσης τῆς τότε συμβάσης ὕβρεως, οὐκ ἔλαττον ἡ μετὰ ταῦτα ἀσέλγεια ἐστὶ τουτουί.
4 ἀξιῶ δὲ, καὶ δέομαι πάντων ὁμοίως ὑμῶν, πρῶτον μὲν εὐνοϊκῶς ἀκοῦσαί μου
περὶ ὧν πέπονθα λέγοντος· εἶτ', ἐὰν ἠδικῆσθαι καὶ παρανενομῆσθαι δοκῶ, βοηθῆσαί
μοι τὰ δίκαια. ἐξ ἀρχῆς δ' ὡς πέπρακται ἕκαστα, διηγήσομαι πρὸς ὑμᾶς, ὡς ἂν
οἷός τε διὰ βραχυτάτων. ἐξῆλθον ἔτος τουτὶ τρίτον, εἰς πάνακτον φρουρᾶς ἡμῖν
5 προσγραφείσης. ἐσκήνωσαν οὖν οἱ υἱεῖς κόνωνος τουτουὶ ἐγγὺς ἡμῶν, ὡς οὐκ ἂν ἐβου-
λόμην· ἡ γὰρ ἐξ ἀρχῆς ἔχθρα, καὶ τὰ προσκρούματα, ἐκεῖθεν ἡμῖν συνέβη, ἐξ
ὧν ἀκούσεσθε. ἔπινον ἑκάστοτε οὗτοι τὴν ἡμέραν, ἐπειδὴ τάχιστα ἀριστήσαιεν, ὅλην. καὶ
τοῦτο ἕωσπερ ἦμεν ἐν τῇ φρουρᾷ, διετέλουν ποιοῦντες. ἡμεῖς δ', ὥσπερ ἐνθάδε "ἐσμὲν
6 εἰώθαμεν, οὕτω διήγομεν καὶ ἔξω. ἣν οὖν δειπνοποιεῖσθαι τοῖς ἄλλοις ὥραν συμβαίνοι,
ταύτην ἂν ἤδη "ἐπαροίνουν οὗτοι, τὰ μὲν πολλὰ εἰς τοὺς παῖδας ἡμῶν τοὺς ἀκο- "ἐπαρῴνουν
λούθους· τελευτῶντες δὲ καὶ εἰς ἡμᾶς αὐτούς. φήσαντες γὰρ καπνίζειν αὐτοὺς ὀψοποιου-
μένους τοὺς παῖδας, ἢ κακῶς λέγειν ὅ, τι τύχοιεν, ἔτυπτον, καὶ τὰς ἀμίδας κατεσκε-
7 δάννυον, καὶ προσεούρουν, καὶ ἀσελγείας καὶ ὕβρεως οὐδ' ὁτιοῦν ἀπέλειπον. ὁρῶν-
τες δ' ἡμεῖς ταῦτα, καὶ λυπούμενοι, τὸ μὲν πρῶτον ἀπεπεμψάμεθα. ὡς δ' ἐχλεύα-
ζον ἡμᾶς, καὶ οὐκ ἐπαύοντο, τῷ στρατηγῷ τὸ πρᾶγμα εἴπομεν, κοινῇ πάντες οἱ
σύσσιτοι προσελθόντες, οὐκ ἐγὼ τῶν ἄλλων ἔξω. λοιδορηθέντος δ' αὐτοῖς ἐκείνου, καὶ
8 κακίσαντος αὐτοὺς οὐ μόνον περὶ ὧν εἰς ἡμᾶς ἠσέλγαινον, ἀλλὰ καὶ περὶ ὧν ὅλως
ἐποίουν ἐν τῷ στρατοπέδῳ, τοσούτου ἐδέησαν παύσασθαι, ἢ αἰσχυνθῆναι, ὥστ' ἐ-
πειδὴ θᾶττον συνεσκότασεν, εὐθὺς ὡς ἡμᾶς εἰσεπήδησαν ταύτῃ τῇ ἑσπέρᾳ. καὶ τὸ
μὲν πρῶτον, κακῶς ἔλεγον. τελευτῶντες δὲ, καὶ πληγὰς ἐνέτειναν ἐμοί. καὶ τοσαύ-
9 την κραυγὴν, καὶ θόρυβον περὶ τὴν σκηνὴν ἐποίησαν, ὥστε καὶ τὸν στρατηγὸν, καὶ
τοὺς ταξιάρχους ἐλθεῖν, καὶ τῶν ἄλλων στρατιωτῶν τινάς, οἵπερ ἐκώλυσαν μηδὲν ἡ-
μᾶς ἀνήκεστον παθεῖν, μηδ' αὐτοὺς ποιῆσαι, παροινουμένους ὑπὸ τούτων. τοῦ δὲ
πράγματος εἰς τοῦτο προελθόντος, ὡς δεῦρ' ἐπανήλθομεν, ἦν ἡμῖν, οἷον εἰκὸς, ἐκ
10 τούτων ὀργὴ καὶ ἔχθρα πρὸς ἀλλήλους. μὰ τοὺς θεοὺς οὐ μὴν ἔγωγε ᾤμην δεῖν
οὔτε δίκην λαχεῖν αὐτοῖς, οὔτε λόγον ποιεῖσθαι τῶν συμβάντων οὐδένα· ἀλλ' ἁπλῶς
ἐκεῖνο ἐγνώκειν τὸ λοιπὸν εὐλαβεῖσθαι, καὶ φυλάττεσθαι μὴ πλησιάζειν τοῖς τοιούτοις.

πρῶτον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πρῶτον μὲν οὖν τούτων, ὧν εἴρηκα, βούλομαι τὰς μαρτυρίας παρασχόμενος, μετὰ
ταῦτα οἷα ὑπ' αὐτοῦ τούτου πέπονθα, ἐπιδεῖξαι, ἵνα εἰδῆτε, ὅτι ᾧ προσῆκε τοῖς
τὸ πρῶτον ἀδικηθεῖσιν ἐπιτιμᾶν, οὗτος αὐτὸς πρότερος πολλῷ δεινότερα εἴργα- 11
σται.

Μαρτυρίαι.

Ὧν μὲν τοίνυν οὐδένα ᾤμην δεῖν λόγον ποιήσασθαι, ταῦτά ἐστι. χρόνῳ δ' ὕστε-
ρον οὐ πολλῷ περιπατοῦντος, ὥσπερ εἰώθειν, ἑσπέρας ἐν ἀγορᾷ μου μετὰ φανοστρά-
του τοῦ κηφισιέως τῶν ἡλικιωτῶν τινός, παρέρχεται κτησίας ὁ υἱὸς ὁ τούτου μεθύων 12
κατὰ τὸ λεωκόρειον, ἐγγὺς τῶν πυθοδώρου. κατιδὼν δ' ἡμᾶς, καὶ κραυγάσας, καὶ διαλε-
χθείς τι πρὸς αὑτὸν οὕτως ὡς ἂν μεθύων, ὥστε μὴ μαθεῖν ὅ,τι λέγοι, παρῆλθεν
πρὸς μελίτην ἄνω· ἔπινον δ' ἄρ' ἐνταῦθα· ταῦτα γὰρ ὕστερον ἐπυθόμεθα παρὰ
παμφίλῳ τῷ κναφεῖ, κόνων οὑτοσί, θεότιμός τις, ἀρχεβιάδης, σπίνθαρος ὁ εὐβούλου, 13
θεογένης ὁ ἀνδρομένους, πολλοί τινες, οὓς ἐξαναστήσας ὁ κτησίας, ἐπορεύετο εἰς τὴν
ἀγοράν. καὶ ἡμῖν συμβαίνει ἀναστρέφουσιν ἀπὸ τοῦ φερρεφαττίου, καὶ περιπατοῦσι,
πάλιν κατ' αὐτό πως τὸ λεωκόρειον εἶναι. καὶ τούτοις περιτυγχάνομεν. ὡς δ' ἀνεμί-
χθημεν, εἷς μὲν αὐτῶν ἀγνώς τις τῷ φανοστράτῳ προσέπιπτε. καὶ κατεῖχεν ἐκεῖνον. 14
κόνων δ' οὑτοσί, καὶ ὁ υἱὸς αὐτοῦ, καὶ ὁ ἀνδρομένους υἱός, ἐμοὶ περιπεσόντες, τὸ μὲν
πρῶτον ἐξέδυσαν. εἶθ' ὑποσκελίσαντες, καὶ ῥάξαντες εἰς τὸν βόρβορον, οὕτω διέ-
θηκαν ἐναλλόμενοι καὶ ὑβρίζοντες, ὥστε τὸ μὲν χεῖλος διακόψαι, τοὺς δ' ὀφθαλ-
μοὺς συγκλεῖσαι, οὕτω δὲ κακῶς ἔχοντα καταλιπεῖν, ὥστε μήτε ἀναστῆναι, μήτε 15
φθέγξασθαι δύνασθαι. κείμενος δ' αὐτῶν ἤκουον πολλὰ καὶ δεινὰ λεγόντων. καὶ
τὰ μὲν ἄλλα βλασφημίαν ἔχει τινά, καὶ ὀνομάζειν ὀκνήσαιμ' ἂν ἐν ὑμῖν ἔνια. ὃ (ἃ καὶ λέγειν ὀκνήσαιμ')
δὲ τῆς ὕβρεώς ἐστι τῆς τούτου σημεῖον, καὶ τεκμήριον τοῦ πᾶν τὸ πρᾶγμα ὑπὸ
τούτου γεγενῆσθαι, τοῦθ' ὑμῖν ἐρῶ. ᾖδε γάρ, τοὺς ἀλεκτρυόνας μιμούμενος τοὺς νενική- 16
κοτας. οἱ δὲ κρατεῖν τοῖς ἀγκῶσιν αὐτὸν ἠξίουν, ἀντὶ πτερύγων τὰς πλευράς. καὶ μετὰ (κροτεῖν)
ταῦτα ἐγὼ μὲν ἀπεκομίσθην ὑπὸ τῶν παρατυχόντων γυμνός. οὗτοι δ' ᾤχοντο,
θοἰμάτιον λαβόντες μου. ὡς δ' ἐπὶ τὴν θύραν ἦλθον, κραυγή, καὶ βοὴ τῆς μητρός,
καὶ τῶν θεραπαινίδων ἦν. καὶ μόλις ποτὲ εἰς βαλανεῖον ἐνεγκόντες με, καὶ περιπλύ- 17
ναντες, ἔδειξαν τοῖς ἰατροῖς. ὡς οὖν ταῦτ' ἀληθῆ λέγω, τούτων ὑμῖν τοὺς μάρτυρας
παρέξομαι.

Μάρτυρες.

Συνέβη τοίνυν, ὦ ἄνδρες δικασταί, καὶ εὐξίθεον τουτονὶ τὸν χολλίδην, ὄνθ' ἡμῖν
συγγενῆ, καὶ μειδίαν ἀπὸ δείπνου ποθὲν μετὰ τούτου ἀπιόντας, περιτυχεῖν πλησίον ὄντι 18
μοι τῆς οἰκίας ἤδη, καὶ εἰς τὸ βαλανεῖον φερομένῳ παρακολουθῆσαι, καὶ ἰατρὸν ἄγουσι
παραγενέσθαι. οὕτω δ' εἶχον ἀσθενῶς, ὥσθ', ἵνα μὴ μακρὰν φεροίμην οἴκαδε
ἐκ τοῦ βαλανείου, ἐδόκει τοῖς παροῦσιν ὡς τὸν μειδίαν ἐκείνην τὴν ἑσπέραν κομί-
σαι με· καὶ ἐποίησαν οὕτω. Λαβὲ οὖν καὶ τὰς τούτων μαρτυρίας, ἵν' εἰδῆτε, ὅτι 19
πολλοὶ συνίσασιν, ὡς ὑπὸ τούτων ὑβρίσθην.

Μαρτυρίαι.

Λαβὲ καὶ τὴν τοῦ ἰατροῦ μαρτυρίαν.

Μαρτυρία.

Τότε μὲν τοίνυν παραχρῆμα ὑπὸ τῶν πληγῶν, ὧν ἔλαβον, καὶ τῆς ὕβρεως,
οὕτω διετέθην, ὡς ἀκούετε καὶ μεμαρτύρηται παρὰ πάντων ὑμῖν τῶν εὐθὺς ἰδόν- 20
των. μετὰ δὲ ταῦτα, τῶν μὲν οἰδημάτων τῶν ἐν τῷ προσώπῳ, καὶ τῶν ἑλκῶν,
οὐδὲν ἔφη φοβεῖσθαι λίαν ὁ ἰατρός. πυρετοὶ δὲ παρηκολούθουν μοι συνεχεῖς, καὶ
ἀλγήματα ὅλου μὲν τοῦ σώματος πάνυ σφοδρά, καὶ δεινά· μάλιστα δὲ τῶν πλευ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

21 ῥαγῶν, καὶ τοῦ ἕλκου, καὶ τῶν σιτίων ἀπεκεκλείσμην. καὶ ὡς μὲν ὁ ἰατρὸς ἔφη, εἰ μὴ
κάθαρσις αἵματος αὐτομάτη μοι πάνυ πολλὴ συνέβη °περιωδυνῳ ὄντι, καὶ ἀπο- °περιωδύνῳ
ρουμένῳ ἤδη, κἂν ἔμπυος γενόμενος διεφθάρην. νυνὶ δὲ τοῦτ᾽ ἔσωσε τὸ αἷμα ἀπο-
χωρῆσαν. ὡς οὖν ταῦτ᾽ ἀληθῆ λέγω, καὶ παρηκολούθησέ μοι τοιαύτη νόσος, ἐξ ἧς
22 εἰς τοὔσχατον ἦλθον, ἐξ ὧν ὑπὸ τούτου ἔλαβον πληγῶν, λέγε τὴν τοῦ ἰατροῦ μαρ-
τυρίαν, καὶ τὴν τῶν ἐπισκοπουμένων.

Μαρτυρίαι.

Ὅτι μὲν τοίνυν οὐ μετρίας, καὶ φαύλας λαβὼν πληγάς, ἀλλ᾽ °εἰς πᾶν ἐλθὼν °εἰς ἃ καὶ ἦλθον
23 διὰ τὴν ὕβριν, καὶ τὴν ἀσέλγειαν τὴν τούτων πολὺ τῆς προσηκούσης ἐλάττω
δίκην εἴληχα, νομίζω δῆλον ὑμῖν γεγενῆσθαι. οἴομαι δ᾽ ὑμῶν ἐνίους θαυμάζειν τί °οἶμαι
ποτέ ἐστιν ἃ πρὸς ταῦτα τολμήσει Κόνων λέγειν. βούλομαι δὴ προειπεῖν ὑμῖν ἐγώ,
ἃ πέπυσμαι λέγειν αὐτὸν παρεσκευάσθαι. ἀπὸ τῆς ὕβρεως καὶ τῶν πεπραγμέ-
24 νων τὸ πρᾶγμ᾽ ἀπαγαγόντα, εἰς γέλωτα καὶ σκώμματα ἐμβαλεῖν πειράσεσθαι, καὶ
ἐρεῖν, ὡς εἰσὶν ἐν τῇ πόλει πολλοὶ καλῶν κἀγαθῶν ἀνδρῶν υἱεῖς, οἳ παίζοντες οἷα
ἄνθρωποι νέοι, σφίσιν αὐτοῖς ἐπωνυμίας πεποίηνται, καὶ καλοῦσι τοὺς μὲν, ἰθυφάλ-
λους, τοὺς δὲ, αὐτοληκύθους. ἐρῶσι δ᾽ ἐκ τούτων ἑταιρῶν τινές. καὶ δὴ καὶ τὸν υἱὸν τὸν
25 ἑαυτοῦ εἶναι τούτων ἕνα. καὶ πολλάκις περὶ ἑταίρας, καὶ εἰληφέναι, καὶ δεδωκέναι πλη-
γάς. καὶ ταῦτ᾽ εἶναι νέων ἀνθρώπων. ἡμᾶς δὲ πάντας τοὺς ἀδελφούς, παροίνους
μέν, καὶ ὑβριστὰς °κατεσκευάκασιν ἀγνώμονας δὲ καὶ πικρούς. ἐγὼ δ᾽, ὦ ἄνδρες °κατασκευάσειν
δικασταί, χαλεπῶς ἐφ᾽ οἷς πέπονθα, ἐνηνοχώς, οὐχ ἧττον τοῦτ᾽ ἀγανακτήσαιμ᾽ σι
26 ἄν, καὶ ὑβρίσθαι νομίσαιμι, εἰ οἷόν τ᾽ εἰπεῖν, εἰ ταῦτ᾽ ἀληθῆ δόξει Κόνων οὑτοσὶ λέ-
γειν περὶ ἡμῶν, καὶ τοσαύτη τις ἄγνοια παρ᾽ ὑμῖν ἐστιν, ὥστε, ὁποῖός τις ἂν ἕκαστος
εἶναι °φῇ, ἢ ὁ πλησίον αὐτὸν αἰτιάσηται, τοιοῦτος νομισθήσεται. τοῦ δὲ καθ᾽ ἡμέραν βίου, °φῇ τινά, ἢ ὁ πλ.
καὶ τῶν ἐπιτηδευμάτων μηδ᾽ ὁτιοῦν ἔσται τοῖς μετρίοις ὄφελος. ἡμεῖς γάρ, οὔτε πα-
27 ροινοῦντες, οὔθ᾽ ὑβρίζοντες ὑπ᾽ οὐδενὸς ἀνθρώπων ἑωράμεθα. οὔτ᾽ ἀγνώ-
μον οὐδὲν ἡγούμεθα ποιεῖν, εἰ περὶ ὧν ἠδικήμεθα, ἀξιοῦμεν κατὰ τοὺς νόμους δίκην
°λαμβάνειν. ἰθυφάλλοις δέ, καὶ αὐτοληκύθοις συγχωροῦμεν εἶναι τοῖς υἱέσι τοῖς τού- °λαβεῖν.
του. καὶ ἔγωγε εὔχομαι τοῖς θεοῖς, εἰς Κόνωνα, καὶ τοὺς υἱεῖς τοὺς τούτου, καὶ ταῦτα καὶ
28 τὰ τοιαῦτα ἅπαντα τρέπεσθαι. οὗτοι γάρ εἰσιν οἱ τελοῦντες ἀλλήλους τῷ ἰθυ-
φάλλῳ, καὶ τοιαῦτα ποιοῦντες, ἃ πολλὴν αἰσχύνην ἔχει καὶ λέγειν, μή τί γε δὴ
ποιεῖν, ἀνθρώπους μετρίους. ἀλλὰ τί ταῦτα ἐμοί; θαυμάζω γὰρ ἔγωγε, εἴ τις ἐστὶ
πρόφασις παρ᾽ ὑμῖν, ἢ σκῆψις εὑρημένη, δι᾽ ἣν ἂν ὑβρίζων τις ἐξελεγχόμενος, καὶ
29 τύπτων, δίκην οὐ δώσει. οἱ μὲν γὰρ νόμοι, πολὺ τἀναντία καὶ τὰς ἀναγκαίας προ-
φάσεις ὅπως μὴ μείζους γίγνωνται, προείδοντο. οἷον, ἀνάγκη γάρ μοι καὶ ζητεῖν
ταῦτα, καὶ πυνθάνεσθαι, δι᾽ ἃ τοῦτο γέγονεν. εἰσὶ κακηγορίας δίκαι. φασὶ τοίνυν ταῦ-
τα διὰ τοῦτο γίγνεσθαι, ἵνα μὴ λοιδορούμενοι, τύπτειν ἀλλήλους προάγωνται.
30 πάλιν αἰκίας εἰσί. καὶ ταύτας ἀκούω διὰ τοῦτ᾽ εἶναι τὰς δίκας, ἵνα μηδείς, ὅταν
ἥττων ᾖ, λίθῳ, ἢ τῶν τοιούτων ἀμύνηται μηδενί, ἀλλὰ τὴν ἐκ τοῦ νόμου δίκην ἀ- °μηδέ
ναμείνῃ. τραυμάτων πάλιν εἰσὶ γραφαί, τοῦ μὴ τιτρωσκομένων τινῶν φόνους γίγνε-
σθαι. τὸ φαυλότατον, οἶμαι, τὸ τῆς λοιδορίας, πρὸ τοῦ τελευταίου καὶ δεινοτάτου
31 προεώραται, τοῦ μὴ φόνον γίγνεσθαι, μηδὲ κατὰ μικρὸν ὑπάγεσθαι, ἐκ μὲν λοιδο-
ρίας εἰς πληγάς, ἐκ δὲ πληγῶν εἰς τραύματα, ἐκ δὲ τραυμάτων εἰς θάνατον. ἀλλ᾽
ἐν τοῖς

ἐν τοῖς νόμοις εἶναι τούτων ἑκάστου τὴν δίκην, μὴ τῇ τοῦ προστυχόντος ὀργῇ, μηδὲ βου-
λήσει ταῦτα κρίνεσθαι. εἶτα ἐν μὲν τοῖς νόμοις οὕτως. ἂν δ' εἴποι Κόνων, ἰθύφαλλοί τινες
*συνειλεγμένοι ἐσμὲν ἡμεῖς συνηγμένοι, καὶ ἐρῶντες οὓς ἂν ἡμῖν δόξῃ παίομεν, καὶ ἄγχομεν. εἶτα 32
γελάσαντες ὑμεῖς ἀφήσετε; οὐκ οἴομαί γε. οὐ γὰρ ἂν γέλως ὑμῶν ἔλαβεν οὐδένα,
εἰ παρὼν ἐτύγχανεν, ἡνίκα εἱλκόμην, καὶ ἐξεδυόμην, καὶ ὑβριζόμην, καὶ ὑγιὴς
ἐξελθὼν, φοράδην ἦλθον οἴκαδε. ἐξεπεπηδήκει δὲ μετὰ ταῦθ' ἡ μήτηρ, καὶ κραυ-
γὴ καὶ βοὴ τῶν γυναικῶν τοσαύτη παρ' ἡμῖν ἦν, ὡσπερανεὶ τεθνεῶτός τινος. ὥστε τῶν 33
γειτόνων τινὰς πέμψαι πρὸς ἡμᾶς, ἐρησομένους ὅ, τι ἐστὶ τὸ συμβεβηκός. ὅλως, ὦ
ἄνδρες δικασταὶ, δίκαιον μὲν οὐδενὶ δήπου σκῆψιν οὐδεμίαν τοιαύτην, οὐδὲ ἄδειαν
ὑπάρχειν παρ' ὑμῖν, δι' ἣν ὑβρίζειν ἐξέσται. εἰ δ' ἄρα ἐστί τῳ, τοῖς δι' ἡλικίαν, ἡ νεό-
τητα τούτων τι πράττουσι, τούτοις ἀποκεῖσθαι προσήκει τὰς τοιαύτας καταφυ- 34
γάς. καὶ ἐκείνοις οὐκ εἰς τὸ μὴ δοῦναι δίκην, ἀλλ' εἰς τὸ τῆς προσηκούσης ἐλάττω.
ὅστις δὲ ἐτῶν μέν ἐστι πλειόνων, ἢ πεντήκοντα, παρὼν δὲ νεωτέροις ἀνθρώποις, καὶ
τούτοις υἱέσιν, οὐχ ὅπως ἀπέτρεψεν, ἢ διεκώλυσεν, ἀλλ' αὐτὸς ἡγεμὼν, καὶ πρῶτος,
καὶ πάντων βδελυρώτατος γεγένηται, τίνα ἂν οὗτος ἀξίαν τῶν πεπραγμένων ὑ- 35
*οἶμαι. πόσχοι δίκην; ἐγὼ μὲν γὰρ οὐδ' ἀποθανόντα *οἴομαι. καὶ γὰρ εἰ μηδὲν αὐτὸς εἰργα-
σο τῶν πεπραγμένων, ἀλλ' εἰ παρεστηκότος τούτου Κτησίας ὁ υἱὸς τούτου ταῦθ' ἅ-
περ νυνὶ πεποιηκὼς ἐφαίνετο, τοῦτον ἐμισεῖτ' ἂν δικαίως. εἰ γὰρ οὕτω τοὺς ἑαυτοῦ
προῆκται παῖδας, ὥστ' ἐναντίον ἐξαμαρτάνοντας ἑαυτοῦ, καὶ ταῦτα ἐφ' ὧν ἐνίοις 36
θάνατος ἡ ζημία κεῖται, μήτε φοβεῖσθαι, μήτε αἰσχύνεσθαι τι, τοῦτον οὐκ ἂν εἰκότως
παθεῖν οἴεσθε; ἐγὼ μὲν γὰρ ἡγοῦμαι ταῦτ' εἶναι σημεῖα τοῦ μηδὲ τοῦτον τὸν ἑαυτοῦ
*ἂν αὐτὸν πατέρα αἰσχύνεσθαι. εἰ γὰρ ἐκεῖνον αὐτὸς ἐτίμα, καὶ ἐδεδίει, κἂν τούτους *αὐτὸν ἠξίου.
λαβὲ δή μοι καὶ τοὺς νόμους τῆς ὕβρεως, καὶ τὸν περὶ τῶν λωποδυτῶν. καὶ γὰρ τούτοις 37
ἀμφοτέροις ἐνόχους τούτους ὄψεσθε. λέγε. Νόμος.

Τούτοις τοῖς νόμοις ἀμφοτέροις ἐκ τῶν πεπραγμένων ἔνοχος Κόνων ἐστὶν οὑ-
τοσί. καὶ γὰρ ὕβριζε, καὶ ἐλωποδύτει. εἰ δὲ μὴ κατὰ τούτους προειλόμεθ' ἡμεῖς δίκην
*φαινοίμεθα λαμβάνειν, ἡμεῖς μὲν ἀπράγμονες καὶ μέτριοι *φανοίμεθ' ἂν εἰκότως, οὗτος δὲ 38
ὁμοίως πονηρός. καὶ μὴν εἰ παθεῖν τί μοι συνέβη, φόνου καὶ τῶν δεινοτάτων ἂν ἦν
ὑπόδικος. τὸν γοῦν τῆς Βραυρωνόθεν ἱερείας πατέρα ὁμολογουμένως οὐχ ἁψά- Τῆς Βραυ-ρωνόθεν) Βραυρων τό-
μενον τοῦ τελευτήσαντος, ὅτι τῷ πατάξαντι τύπτειν παρεκελεύσατο, ἐξέβαλεν αὐτὸν πος τῆς Ἀττικῆς ἐν ᾧ
ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου, δικαίως. εἰ γὰρ οἱ παρόντες ἀντὶ τοῦ κωλύειν τοὺς ἢ δι' οἶ- 39
*παροξύνουσιν. νον, ἢ δι' ὀργὴν, ἤ τιν' ἄλλην αἰτίαν ἐξαμαρτάνειν ἐπιχειροῦντας, αὐτοὶ *παροξύ- τὰ Διονύσια
νουσιν, οὐδεμί' ἐστὶν ἐλπὶς σωτηρίας τῷ περιπίπτοντι τοῖς ἀσελγαίνουσιν. ἀλλ' ἕως ἤγοντο, καὶ
ἂν ἀπείπωσιν, ὑβρίζεσθαι ὑπάρξει. ὅπερ ἐμοὶ συνέβη. ἃ τοίνυν, ὅθ' ἡ δίαιτα ἐγί- μεθύοντες
*θεάσασθε γνετο, ἐποίουν, βούλομαι πρὸς ὑμᾶς εἰπεῖν. καὶ γὰρ ἐκ τούτων τὴν ἀσέλγειαν *θεά- 40 πολλὰς πόρ-νας ἥρπαζον.
σασθε αὐτῶν. ἐποίησαν μὲν γὰρ ἔξω μέσων νυκτῶν εἶναι τὴν ὥραν, οὔτε τὰς μαρτυ-
ρίας ἀναγιγνώσκειν ἐθέλοντες, οὔτε ἀντίγραφα διδόναι. τῶν τε παρόντων ἡμῖν καθ'
*οὑτωσὶ ἕνα *οὑτοσὶ πρὸς τὸν βωμὸν ἄγοντες καὶ ἐξορκίζοντες καὶ γράφοντες μαρτυρίας,
οὐδὲν πρὸς τὸ πρᾶγμα. ἀλλ' ἐξ ἑταίρας εἶναι παιδίον αὐτῷ τοῦτο, καὶ πεπονθέναι 41
τὰ καὶ τὰ, ἃ μὰ τοὺς θεοὺς, ὦ ἄνδρες δικασταὶ, οὐδεὶς ἐστὶν, ὅστις οὐκ ἐπετίμα τῶν
παρόντων, καὶ ἐμίσει. τελευτῶντες δὲ, καὶ αὐτοὶ οὗτοι ἑαυτούς. ἐπειδὴ δ' οὖν ποτε ἀ-
πεῖπον, καὶ ἐνεπλήσθησαν ταῦτα ποιοῦντες, προκαλοῦνται ἐπὶ διακρούσει, καὶ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

42 τὸ μὴ σημαίνεσθαι τοῖς ἐχίνοις ἐθέλειν, ἐκδοῦναι περὶ τῶν πληγῶν παῖδας, ὀνό-
ματα γράψαντες. καὶ νῦν οἶμαι περὶ τούτου ἔσεσθαι τοὺς πολλοὺς τῶν λόγων αὐ- *τύπῳ
τοῖς. ἐγὼ δ' οἶμαι δεῖν πάντας ὑμᾶς ἐκεῖνο σκοπεῖν, ὅτι οὗτοι, εἰ ἐβούλοντο τὴν βά-
σανον ἕνεκα προὐκαλοῦντο, καὶ ἐπίστευον τῷ δικαίῳ τούτῳ, οὐκ ἂν ἤδη τῆς διαι-
43 της ἀποφαινομένης νυκτὸς, οὐδεμιᾶς ὑπολοίπου σκήψεως οὔσης προὐκαλοῦν-
το. ἀλλὰ πρῶτον μὲν πρὸ τοῦ τὴν δίκην λαχεῖν, ἡνίκα ἀσθενῶν ἐγὼ κατε-
κείμην, καὶ οὐκ εἰδὼς εἰ περιφεύξομαι, πρὸς ἅπαντας τοὺς εἰσιόντας τοῦτον ἀπέ-
φαινον τὸν πρῶτον πατάξαντα, καὶ τὰ πλεῖστα ὧν ὑβρίσμην, διαπεπραγμένον·
44 τότ' ἂν εὐθέως ἧκεν ἔχων μάρτυρας πολλοὺς ἐπὶ τὴν οἰκίαν· τότ' ἂν τοὺς οἰκέτας πα-
ρεδίδου, καὶ τῶν ἐξ Ἀρείου πάγου τινὰς παρεκάλει. εἰ γὰρ ἀπέθανον, παρ' ἐκείνοις ἂν ἦν
ἡ δίκη. εἰ δ' ἄρα ἠγνόησε ταῦτα, καὶ τοῦτο τὸ δίκαιον ἔχων, ὡς νῦν φήσει, οὐ παρεσκευά-
σατο ἐπὶ τηλικούτου κινδύνου· ἐπειδή γε ἀνεστηκὼς ἤδη προσεκαλεσάμην αὐ-
45 τὸν, ἐν τῇ πρώτῃ συνόδῳ πρὸς τῷ διαιτητῇ παραδιδοὺς ἐφαίνετ' ἄν, ὧν οὐδὲ
πέπρακται τούτῳ. ὅτι δ' ἀληθῆ λέγω, καὶ διακρούσεως ἕνεκα ἡ πρόκλησις ἦν, λέγε
ταύτην τὴν μαρτυρίαν. ἔσται γὰρ ἐκ ταύτης φανερόν. Μαρτυρία.

Περὶ μὲν τοίνυν τῆς βασάνου, ταῦτα. μέμνησθε τὴν ὥραν ἡνίκα προὐκαλεῖτο
46 καὶ ὧν ἕνεκα ἐκκρούων ταῦτα ἐποίει τοὺς χρόνους τοὺς πρώτους, ἐν οἷς οὐδαμοῦ τοῦτο
βουληθεὶς τὸ δίκαιον αὐτῷ γενέσθαι φαίνεται, οὐδὲ προκαλεσάμενος, οὐδ' ἀξιώσας.
ἐπειδὴ τοίνυν πάντα ταῦτα ἠλέγχετο ἅπερ* παρ' ὑμῖν πρὸς τῷ διαιτητῇ, καὶ φα- *καὶ νῦν παρ'
νερῶς ἐδείκνυτο πᾶσιν ὢν ἔνοχος τοῖς ἐγκεκλημένοις, ἐμβάλλεται μαρτυρίαν ψευδῆ·
47 καὶ ἐπιγράφεται μάρτυρας ἀνθρώπους, οὓς οὐδ' ὑμᾶς ἀγνοήσειν οἴομαι, ἐὰν ἀκού-
σητε, Διότιμος Διοτίμου Ἰκαριεύς· Ἀρχεβιάδης Δημοτέλους Ἁλαιεύς· *Χαιρή- *χαιρέτιμος.
τιος Χαιριμένους Πιθεύς, μαρτυροῦσιν ἀπιέναι ἀπὸ δείπνου μετὰ Κόνωνος, καὶ προ-
σελθεῖν ἐν ἀγορᾷ μαχομένοις Ἀρίστωνι, καὶ τῷ υἱεῖ τῷ Κόνωνος· καὶ μὴ πατάξαι Κό-
48 νωνα, καὶ Ἀρίστωνα· ὡς ὑμᾶς εὐθέως πιστεύσοντας, τὸ δ' ἀληθὲς οὐ λογιουμένους, ὅτι
πρῶτον μὲν οὐδέποτ' ἂν οὔθ' ὁ Λυσίστρατος, οὔθ' ὁ Πασέας, οὔθ' ὁ Νικήρατος, οὔθ'
ὁ Διόδωρος, οἱ διαρρήδην μεμαρτυρήκασιν ὁρᾶν ὑπὸ Κόνωνος τυπτόμενον ἐμὲ, καὶ
θοἰμάτιον ἐκδυόμενον, καὶ τἄλλα, ὅσα ἔπασχον, ὑβριζόμενον, ἀγνῶτες ὄντες, καὶ
49 ἀπὸ ταὐτομάτου παραγενόμενοι τῷ πράγματι, τὰ ψευδῆ μαρτυρεῖν ἠθέλησαν,
εἰ μὴ ταῦθ' ἑώρων πεπονθότα· ἔπειτ' αὐτὸς ἐγὼ οὐδέποτ' ἂν μὴ παθὼν ὑπὸ *ἐπεὶ οὔτ' αὐτὸς ἔγωγε
τούτου ταῦτα, ἀφεὶς τοὺς καὶ παρ' αὐτῶν τούτων ὁμολογουμένους τύπτειν ἐμὲ,
πρὸς τὸν οὐδ' ἁψάμενον πρῶτον εἰσιέναι προειλόμην. τί γὰρ ἄν; ἢ διὰ τί;
50 ἀλλ' ὑφ' οὗ γε πρώτου ἐπλήγην, καὶ μάλισθ' ὑβρίσθην, τοῦτον καὶ δικάζομαι, καὶ
μισῶ, καὶ ἐπεξέρχομαι. καὶ τὰ μὲν παρ' ἐμοῦ πάντα, οὕτως ἐστὶν ἀληθῆ καὶ φαί-
νεται. τούτῳ δὲ μὴ παρασχομένῳ τούτους μάρτυρας, ἦν δήπου λόγος οὐδείς· ἀλλ'
ἡλωκέναι παραχρῆμα ὑπῆρχε σιωπῇ. συμπόται δ' ὄντες τούτου, καὶ πολλῶν τοιού-
51 των ἔργων κοινωνοὶ, εἰκότως τὰ ψευδῆ μεμαρτυρήκασιν. εἰ δ' ἔσται τὸ πρᾶγμα
τοιοῦτον, ἐὰν ἅπαξ ἀπαναισχυντήσωσί τινες, καὶ φανερῶς τὰ ψευδῆ τολμήσωσι μαρ-
τυρεῖν, οὐδὲν δὲ τῆς ἀληθείας ὄφελος, πάνδεινον ἔσται πρᾶγμα. ἀλλὰ νὴ Δία οὐκ εἰσὶ
τοιοῦτοι; ἀλλ' ἴσασιν ὑμῶν, ὡς ἐγὼ νομίζω, πολλοὶ, καὶ τὸν Διότιμον, καὶ τὸν Ἀρχε-
52 βιάδην, καὶ τὸν Χαιρήτιον τὸν ἐπιπόλιον τουτονὶ, οἳ μεθ' ἡμέραν μὲν ἐσκυθρωπάκα-
σι, καὶ λακωνίζειν φασὶ, καὶ τρίβωνας ἔχουσι, καὶ ἁπλᾶς ὑποδέδενται· ἐπειδὰν
δὲ συλλε-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δὲ συλλεγῶσι, καὶ μετ᾽ ἀλλήλων γίνωνται, κακὸν καὶ αἰσχρὸν οὐδὲν ἐλλείπουσι· καὶ
ταῦτα τὰ λαμπρὰ καὶ νεανικὰ αὐτῶν ἐστίν· οὐ γὰρ ἡμεῖς μαρτυρήσομεν ἀλλήλοις.
* παρέξ· οὐ γὰρ ταῦθ᾽ ἑταίρων ἐστὶ, καὶ φίλων. τί δὲ καὶ δεινόν ἐστιν, *ὧν παρέξεται κατὰ σοῦ; 53
τυπτόμενόν φασί τινες ὁρᾶν. ἡμεῖς δὲ μηδ᾽ ἧφθαι τὸ παράπαν μαρτυρήσομεν. ἐκ-
δεδύσθαι θοἰμάτιον. τοῦτ᾽ ἐκείνους πρότερον πεποιηκέναι ὑμεῖς μαρτυρήσομεν. τὸ
χεῖλος ἐρράφθαι· τὴν κεφαλὴν δὲ γ᾽ ἡμεῖς, ἢ ἕτερόν τι κατεαγέναι φήσομεν. ἀλλὰ
καὶ μάρτυρας ἰατροὺς παρέχομαι. τοῦτ᾽ οὐκ ἔστιν, ὦ ἄνδρες δικασταί, παρὰ τούτοις. 54
ὅσα γὰρ μὴ δι᾽ αὐτῶν, οὐδενὸς μάρτυρες καθ᾽ ἡμῶν εὐπορήσουσιν. ἡ δ᾽ ἀπ᾽ αὐτῶν
ἑτοιμότης, οὐδ᾽ ἂν εἰπεῖν, μὰ τοὺς θεοὺς, δυναίμην ὅση καὶ οἵα πρὸς τὸ ποιεῖν ὁτιοῦν
ὑπάρχει. ἵνα δ᾽ εἰδῆτε οἷα καὶ διαπραττόμενοι περιέρχονται, λέγε αὐτοῖς ταυ-
τασὶ τὰς μαρτυρίας, σὺ δ᾽ ἐπίλαβε τὸ ὕδωρ. 55

Μαρτυρίαι.

Τοίχους τοίνυν διορύττοντες, καὶ παίοντες τοὺς ἀπαντῶντας, ἆρ᾽ ἂν ὑμῖν ὀκνῆσαι
δοκοῦσιν ἐν γραμματιδίῳ τὰ ψευδῆ μαρτυρεῖν ἀλλήλοις; οὐ κεκοινωνηκότες τοσαύ-
της, καὶ τοιαύτης φιλαπεχθημοσύνης, καὶ πονηρίας, καὶ ἀναιδείας καὶ ὕβρεως; 56
* ἅπαντα πάντα γὰρ ταῦτα ἔμοιγε ἐν τοῖς ὑπὸ τούτων πραττομένοις *εἶναι δοκεῖ. καίτοι
τούτων ἕτερ᾽ ἐστὶ πεπραγμένα τούτοις δεινότερα. ἀλλ᾽ ἡμεῖς οὐχ οἷοί τε γενοίμεθ᾽
ἂν πάντας ἐξευρεῖν τοὺς ἠδικημένους. ὃ τοίνυν πάντων ἀναιδέστατον μέλλειν αὐτὸν
ἀκούω ποιεῖν, βέλτιον νομίζω προειπεῖν ὑμῖν εἶναι. φασὶ γὰρ παραστησάμενοι τοὺς 57
παῖδας αὐτῶν, κατὰ τούτων ὀμεῖσθαι. καὶ ἀράς τινας δεινὰς, καὶ χαλεπὰς ἐπαράσεσ-
θαι, καὶ τοιαύτας, οἵας ἀκηκοώς γέ τις θαυμάσας, ἀπήγγελλεν ἡμῖν. ἔστι δὲ, ὦ ἄν-
δρες δικασταὶ, ἀνυπόστατα μὲν τὰ τοιαῦτα τολμήματα. οἱ γὰρ, οἶμαι, βέλτιστοι, καὶ
* αὐτοί γε ἥκιστ᾽ ἂν *αὐτοί τε ψευσάμενοι, μάλιστα ὑπὸ τῶν τοιούτων ἐξαπατῶνται. οὐ 58
μὴν, ἀλλὰ δεῖ πρὸς τὸν βίον, καὶ τὸν τρόπον ἀποβλέποντας, πιστεύειν. τὴν δὲ τούτου
πρὸς τὰ τοιαῦτα ὀλιγωρίαν ἐγὼ πρὸς ὑμᾶς ἐρῶ. πέπυσμαι γὰρ ἐξ ἀνάγκης. ἀ-
* παρ᾽ ὑμῶν κούω γὰρ, ὦ ἄνδρες δικασταὶ, Βάκχιόν τέ τινα, ὃς *παρ᾽ ὑμῖν ἀπέθανε, καὶ Ἀριστοκράτην
* ἑτέρους πάντας, καὶ τὸν τοὺς ὀφθαλμοὺς διεφθαρμένον, καὶ τοιούτους ἑτέρους, καὶ Κόνωνα τουτονὶ, ἑταίρους εἶναι, 59
μειράκια ὄντας, καὶ Τριβαλλοὺς ἐπωνυμίαν ἔχειν· τούτους τά τε ἑκαταῖα *κατακαίειν,
* κατεσθίειν * ἐκ τῶν χορῶν. καὶ τοὺς ὄρχεις τοὺς *ἐκ τῶν χοιρῶν, οἷς καθαίρουσιν, ὅταν εἰσιέναι μέλλωσι, συλλέ-
γοντας ἑκάστοτε συνδειπνεῖν ἀλλήλοις· καὶ ῥᾷον ὀμνύναι καὶ *ἐπιορκεῖν, ἢ ὁτιοῦν. οὐ
* ἐπιορκεῖν γε, ἢ ὁτ. δὴ Κόνων ὁ τοιοῦτος πιστός ἐστιν ὀμνύων· οὐδὲ πολλοῦ δεῖ· ἀλλ᾽ ὁ μηδ᾽ εὔορκον μηδὲν 60
* μηδ᾽ ἂν μελλήσας, ἀλλὰ τὸ ὁποιοῦν ἂν ὀμόσας, κατὰ δὲ δὴ παίδων, ὧν μὴ νομίζεται, *μηδὲν μελλήσας, ἀλλὰ καὶ ὁποιοῦν
παθὼν πρότερον. *εἰ δ᾽ ἀναγκαῖον, ὁ ὀμνύων ὡς νόμιμον, ἀξιοπιστότερος τοῦ κατὰ τῶν
* εἰ δ᾽ ἄρα ἀναγκ. παίδων ὀμνύοντος, καὶ διὰ τοῦ πυρός. ἐγὼ τοίνυν ὁ δικαιότερόν σου πιστευθεὶς ἂν
* κατὰ *κατὰ πάντα, ὦ Κόνων, ἠθέλησα ὀμόσαι ταυτὶ, οὐχ ὑπὲρ τοῦ μὴ δοῦναι δίκην, ὧν 61
ἠδίκηκα, καὶ ὁτιοῦν ποιῶν ὥσπερ σύ, ἀλλ᾽ ὑπὲρ τῆς ἀληθείας, καὶ ὑπὲρ τοῦ μὴ προσ-
υβρισθῆναι, ὡς οὐ καταπιορκησόμενος τὸ πρᾶγμα. λέγε τὴν πρόκλησιν.

Πρόκλησις.

Ταῦτ᾽ ἐγὼ καὶ τότε ἠθέλησα ὀμόσαι, καὶ νῦν ὀμνύω τοὺς θεοὺς καὶ τὰς θεὰς 62
ἅπαντας καὶ πάσας ὑμῶν ἕνεκα, ὦ ἄνδρες δικασταὶ, καὶ τῶν περιεστηκότων, ἦ μὴν
παθὼν ὑπὸ Κόνωνος ταῦτα, ὧν δικάζομαι, καὶ λαβὼν πληγὰς, καὶ τὸ χεῖλος δια-
κοπεὶς οὕτως, ὥστε καὶ ῥαφῆναι, καὶ ὑβρισθεὶς, τὴν δίκην διώκειν. καὶ εἰ μὲν εὐορ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

63 κῶ, πολλά μοι ἀγαθὰ γένοιτο, καὶ μηδέ ποτ' αὖθις τοιοῦτο μηδὲν πάθοιμι. εἰ δ' ἐπιορκῶ, ἐξώλης ἀπολοίμην αὐτὸς καὶ εἴ τί μοι ἐστὶν ἢ μέλλει ἔσεσθαι. ἀλλ' οὐκ ἐπιορκῶ, οὐδ' ἂν κόνων διαρραγῇ. ἀξιῶ τοίνυν ὑμᾶς, ὦ ἄνδρες δικασταί, πάνθ', ὅσα ἐστὶ δίκαια, ἐπιδείξαντος ἐμοῦ, καὶ πίστιν προσθέντος ὑμῖν· ὥσπερ ἂν

64 αὐτὸς ἕκαστος παθὼν, τὸν πεποιηκότα ἐμίσει· οὕτως ὑπὲρ ἐμοῦ πρὸς κόνωνα τουτονὶ τὴν ὀργὴν ἔχειν· καὶ μὴ νομίζειν ἴδιον τῶν τοιούτων μηδὲν, ὃ κἂν ἄλλῳ τυχὸν συμβαίη· ἀλλ' ἐφ' ὅτου ποτ' ἂν συμβῇ, βοηθεῖν, καὶ τὰ δίκαια ἀποδιδόναι· καὶ μισεῖν τοὺς πρὸ μὲν τῶν ἁμαρτημάτων θρασεῖς, καὶ προπετεῖς· ἐν δὲ τῷ δίκην ὑπέχειν,

65 ἀναισχύντους, καὶ πονηροὺς καὶ μήτε δόξης, μήτε ἔθους, μήτ' ἄλλου μηδενὸς φροντίζοντας πρὸς τὸ μὴ δοῦναι δίκην. ἀλλὰ δεήσεται κόνων, καὶ κλαιήσει. σκοπεῖτε δὴ πότερός ἐστιν ἐλεεινότερος, ὁ πεπονθὼς οἷα ἐγὼ πέπονθα ὑπὸ τούτου, εἰ προσυβρισθεὶς ἄπειμι καὶ δίκης μὴ τυχὼν, ἢ κόνων εἰ δώσει δίκην; πότερον δ' ὑμῶν ἑκά-

66 στῳ συμφέρει, ἐξεῖναι τύπτειν καὶ ὑβρίζειν, ἢ μή; ἐγὼ μὲν οἴομαι μή. οὐκοῦν, ἂν μὲν ἀφῆτε, ἔσονται πολλοί· ἐὰν δὲ κολάζητε, ἐλάττους. πόλλ' ἂν εἰπεῖν ἔχοιμι, ὦ ἄνδρες δικασταί, ὡς καὶ ἡμεῖς χρήσιμοι, καὶ ὁ πατὴρ, ἕως ἔζη, καὶ τριηραρχοῦντες, καὶ στρατευόμενοι, καὶ τὸ προσταττόμενον ποιοῦντες. καὶ ὡς οὐδὲν οὗτος, οὔτε τῶν τούτου

67 οὐδείς. ἀλλ' οὔτε τὸ ὕδωρ ἱκανὸν, οὔτε νῦν περὶ τούτων ὁ λόγος ἐστίν. εἰ γὰρ δὴ ὁμολογουμένως ἔτι τούτων καὶ ἀχρηστοτέροις, καὶ πονηροτέροις ἡμῖν εἶναι συνέβαινεν, οὐ τυπτητέοι, οὐδ' ὑβριστέοι δήπου ἐσμέν. οὐκ οἶδ' ὅ, τι δεῖ πλείω λέγειν. οἶμαι γὰρ ὑμᾶς μηδὲν ἀγνοεῖν τῶν εἰρημένων.

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΚΑΛΛΙΚΛΕΑ

περὶ χωρίου λόγου.

Καλλικλῆς, πρὸς ὃν ὁ λόγος, καὶ ὁ τὴν δίκην ὑπ' ἐκείνου διώκων, γείτονες ἦσαν ἐν χωρίῳ, ὁδοῦ μέσης διειργόμενοι. *ἐνοβίας δὲ συμβάσης εἰς τὸ καλλικλέους χωρίον, ὕδωρ ἐμπεσὸν ἐκ τῆς ὁδοῦ κατακλυμένατο. ἐπὶ τούτῳ, διώκει βλάβης τὸν γείτονα. εἶναι γάρ φησιν ἐν τῷ τισίου χωρίῳ χαράδραν εἰς ὑποδοχὴν τοῦ ὕδατος, τοῦ ἐκ τῆς ὁδοῦ ποιηθεῖσαν· ἣν ἀποικοδομήσαντα νῦν, αἴτιον ἑαυτῷ βλάβης γενέσθαι. ὁ δὲ τοῦ τισίου παῖς, πρῶτον μὲν παλαιὸν, καὶ οὐ δι' ἑαυτοῦ τὸ ἔργον δείκνυσι. ζῶντος γὰρ ἔτι καὶ τοῦ καλλικλέους πατρὸς, ἀποικοδομηθῆναι τὴν χαράδραν φησὶν ὑπὸ τοῦ τισίου. ἔπειτα συνίστησιν, ὡς *οὐδὲ χαράδρα τις τὸ χωρίον ἐστί. διασύρει δὲ καὶ τὴν συμβᾶσαν τῷ καλλικλεῖ βλάβην ὡς μικρὰν, καὶ οὐκ ἀξίαν τηλικαύτης δίκης. καὶ τὸ ὅλον ἠδικῆσθαι μὲν οὐδέν φησι τὸν καλλικλέα, ἐπιθυμεῖν δὲ τῶν χωρίων ἑαυτοῦ· καὶ διὰ τοῦτο συκοφαντίας μηχανᾶσθαι πάσας.

*ἐπ' ἐπομβρείας γρ. δυσομβρείας

*χαράδρα τις κατὰ τὸ χωρ. ἐστι. γρ. οὐδὲ χαράδρα τις, ἀλλὰ χωρ.

# ΔΗΜΟΣΘΕΝΟΥΣ Ο ΠΡΟΣ ΚΑΛΛΙΚΛΕΑ ΠΕΡΙ ΧΩΡΙΟΥ ΛΟΓΟΣ.

1 ΟΥΚ ἦν ἄρα, ὦ ἄνδρες ἀθηναῖοι, χαλεπώτερον οὐδὲν, ἢ γείτονος πονηροῦ, καὶ πλεονέκτου τυχεῖν, ὅπερ ἐμοὶ νυνὶ συμβέβηκεν. ἐπιθυμήσας γὰρ τῶν χωρίων μου καλλικλῆς, οὕτω διατέθηκέ με συκοφαντῶν, ὥστε πρῶτον μὲν τὸν ἀνεψιὸν τὸν ἑαυ-

2 τοῦ κατεσκεύασεν ἀμφισβητεῖν μοι τῶν χωρίων. ἐξελεγχθεὶς δὲ φανερῶς, καὶ περιγενομένου μου τῆς τούτων σκευωρίας, πάλιν δύο δίκας ἐρήμους μου κατεδιῃτήσατο, τὴν μὲν αὐτὸς, χιλίων δραχμῶν· τὴν δὲ, τὸν ἀδελφὸν τουτονὶ πείσας καλλικράτην. δέομαι δὴ πάντων ὑμῶν ἀκοῦσαί μου, καὶ προσ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ προσέχειν τὸν νοῦν, οὐχ ὡς αὐτὸς δυνησόμενος εἰπεῖν, ἀλλ' ἵν' ὑμεῖς ἐξ αὐτῶν τῶν 1
πραγμάτων καταμάθητε, ὅτι φανερῶς συκοφαντοῦμαι. ἓν μὲν οὖν, ὦ ἄνδρες ἀ-
*παρέχομαι δίκαιον θηναῖοι, πρὸς ἅπαντας τοὺς τούτων λόγους * ὑπάρχει μοι δίκαιον. τὸ γὰρ χωρίον τοῦ-
το περιῳκοδόμησεν ὁ πατὴρ μικροῦ δεῖν πρὶν ἐμὲ γενέσθαι, ζῶντος μὲν ἔτι Καλλι-
πίδου τοῦ τούτων πατρός, καὶ γειτνιῶντος, ὃς ἀκριβέστερον ᾔδει δήπου τούτων, ὄντος 4
δὲ Καλλικλέους ἀνδρὸς ἤδη, καὶ ἐπιδημοῦντος Ἀθήνησιν. ἐν δὲ τούτοις τοῖς ἔτεσιν
ἅπασιν, οὔτ' ἐγκαλῶν οὐδεὶς πώποτ' ἦλθεν, οὔτε μεμφόμενος. καίτοι δῆλον ὅτι
καὶ τόθ' ὕδατα πολλάκις ἐγίνετο· καὶ οὔτ' ἐκώλυσεν ἐξ ἀρχῆς, εἴπερ ἠδίκει τινὰ πε-
ριοικοδομῶν ὁ πατὴρ τὸ ἡμέτερον χωρίον, ἀλλ' οὐδ' ἀπηγόρευσεν, οὐδὲ διεμαρ- 5
τύρατο, πλέον μὲν ἢ πεντεκαίδεκα ἔτη τοῦ πατρὸς ἐπιβιοῦντος, οὐκ ἐλάττω δὲ τοῦ
*καὶ τοῦ τούτων πατρὸς Καλλιππίδου. καίτοι, ὦ Καλλίκλεις, ἐξῆν δήπου τόθ' ὑμῖν ὁρῶσιν ἀποι-
κοδομουμένην τὴν χαράδραν, ἐλθοῦσιν εὐθὺς ἀγανακτεῖν, καὶ λέγειν πρὸς τὸν
πατέρα, Τισία, τί ταῦτα ποιεῖς; ἀποικοδομεῖς τὴν χαράδραν; εἶτ' ἐμπεσεῖται τὸ 6
ὕδωρ εἰς τὸ χωρίον τὸ ἡμέτερον; ἵν', εἰ μὲν ἐβούλετο παύσασθαι, μηδὲν ὑμῖν δυσχε-
ρὲς πρὸς ἀλλήλους ἦν· εἰ δ' ὠλιγώρησε, καὶ συνέβη τι τοιοῦτον, μάρτυσιν εἴχετε τοῖς
τότε παραγενομένοις χρήσασθαι. καὶ νὴ Δί' ἐπιδεῖξαί σε ἔδει πᾶσιν ἀνθρώποις χα-
ράδραν οὖσαν, ἵνα μὴ λόγῳ μόνον, ὥσπερ νῦν, ἀλλ' ἔργῳ τὸν πατέρ' ἀδικοῦντα ἀ- 7
πέφαινες. τούτων τοίνυν οὐδὲν πώποτ' οὐδεὶς ποιεῖν ἠξίωσεν. οὐ γὰρ ἂν οὔτ' ἐρήμην,
ὥσπερ ἐμοῦ νυνί, κατεδιῃτήσασθε, οὔτε πλέον ἂν ἦν ὑμῖν συκοφαντοῦσιν οὐδέν·
ἀλλ' εἰ ἠνέσκατε τότε μάρτυρα, καὶ ἐπεμαρτύρασθε, νῦν ἀπέφαινεν ἂν ἐκεῖνος
*καὶ τοὺς μὲν ψευδ. μαρτυροῦντας, οὐ χαλεπῶς τούτοις ἐξήλεγχεν. εἰδὼς ἀκριβῶς, ὅπως εἶχεν ἕκαστα τούτων, * καὶ τοὺς ῥᾳδίως μαρτυροῦντας, τούτοις 8
ἐξήλεγχεν. ἀνθρώπου δ', οἶμαι, τηλικούτου, καὶ ἀπείρου τῶν πραγμάτων, ἅπαν-
τες καταπεφρονήκατέ μου. ἀλλ' ἐγὼ πρὸς ἅπαντας τούτους, ὦ ἄνδρες Ἀθηναῖοι,
τὰς αὐτῶν πράξεις ἰσχυροτάτας μαρτυρίας παρέξομαι. διὰ τί γὰρ οὐδεὶς οὔτ'
ἐπεμαρτύρατο, οὔτ' ἐνεκάλεσεν, ἀλλ' οὐδ' ἐμέμψατο πώποτε, ἀλλ' ἐξήρκει ταῦ- 9
τα αὐτοῖς ἀδικουμένοις περιορᾶν; ἐγὼ τοίνυν ἱκανὰ μὲν ἡγοῦμαι καὶ ταῦτ' εἶναι
*τῶν ἀνθρώπων ἀναίδειαν πρὸς τὴν τούτων * κατηγορίαν. ἵνα δ' εἰδῆτε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ περὶ τῶν
*καταψευσάμενοι ἄλλων, ὡς οὔθ' ὁ πατὴρ οὐδὲν ἠδίκει περιοικοδομῶν τὸ χωρίον, οὗτοί τε * κατεψευ-
σμένοι πάντ' εἰσὶν ἡμῶν, ἔτι σαφέστερον ὑμᾶς πειράσομαι διδάσκειν. τὸ μὲν γὰρ χω- 10
ρίον ὁμολογεῖται καὶ παρ' αὐτῶν τούτων ἡμέτερον ἴδιον εἶναι. τούτου δ' ὑπάρχοντος, ὦ
ἄνδρες Ἀθηναῖοι, μάλιστα μὲν ᾔδετε ἂν ἰδόντες τὸ χωρίον, ὅτι συκοφαντοῦμαι.
διὸ καὶ τοῖς εἰδόσιν ἐπιτρέπειν ἐβουλόμην ἐγὼ τοῖς ἴσοις. ἀλλ' οὐχ οὗτοι, καθάπερ 11
νυνὶ, λέγειν ἐπιχειροῦσι. δῆλον δ' ὑμῖν καὶ τοῦτ' αὐτίκ' ἔσται πᾶσιν. ἀλλὰ προσέ-
χετε, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς Διὸς καὶ θεῶν τὸν νοῦν. τοῦ γὰρ χωρίου τοῦ, τ' ἐμοῦ, καὶ
*ὅρους δὲ τοῦ τούτων, τὸ μέσον ὁδός ἐστιν. * ὄρεος δὲ περιέχοντος κύκλῳ τοῖς χωρίοις, τὸ καταρ-
ρέον ὕδωρ τῇ μὲν, εἰς τὴν ὁδόν, τῇ δ', εἰς τὰ χωρία συμβαίνει φέρεσθαι. καὶ δὴ καὶ 12
τοῦτ' εἰσπῖπτον ἐνίοτε εἰς τὴν ὁδόν, ᾗ μὲν ἂν εὐοδῇ, φέρεται κάτω κατὰ τὴν ὁδόν· ᾗ
*κ. ἐνστῇ τι, τηνικαῦτα εἰς τὰ χωρία δ' ἂν ἐνστῇ τι, τηνικαῦτα τοῦτ' εἰς χωρία ὑπεραίρειν ἀναγκαῖον ἤδη. καὶ δὴ καὶ κατὰ
τοῦτο τὸ χωρίον, ὦ ἄνδρες δικασταί, γενομένης ἐπομβρίας συνέβη τὸ ὕδωρ ἐμβα-
λεῖν. ἀμεληθὲν δέ, οὔπω τοῦ πατρὸς ἔχοντος αὐτό, ἀλλ' ἀνθρώπου δυσχεραίνοντος 13
*ἀστικοῦ, ὅλως τοῖς τόποις, καὶ μᾶλλον * ἀστυκοῦ, δὶς καὶ τρὶς ἐμβαλὸν τὸ ὕδωρ, τά τε χωρία
ἐλυμήνατο, καὶ μᾶλλον ὡδοποίει. διὰ δὴ ταῦθ' ὁ πατὴρ ὁρῶν, ὡς ἐγὼ τῶν εἰδότων

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Μαρτυρία. Πρόκλησις.

Εἶτα τούτων αἰσχρότεροι γένοιντ᾽ ἂν ἄνθρωποι ἢ περιφανέστερον συκο-
35 φαντοῦντες, οἵτινες αὐτοὶ τὴν αἱμασιὰν προαγαγόντες, καὶ τὴν ὁδὸν ἀνακεχω-
κότες, ἑτέροις βλάβης δικάζονται, καὶ ταύτην χιλίων δραχμῶν ἀτίμητον, οἷς
οὐδὲ πεντήκοντα δραχμῶν τὸ παράπαν ἅπαντα ἀπολωλέκασι; καίτοι σκοπεῖ-
τε, ὦ ἄνδρες δικασταί, πόσοις ὑπὸ τῶν ὑδάτων ἐν τοῖς ἀγροῖς βεβλάφθαι συμβέ-
36 βηκε, τὰ μὲν ἐν Ἐλευσῖνι, τὰ δ᾽ ἐν τοῖς ἄλλοις τόποις. ἀλλ᾽ οὐδήπου τούτων, ὦ γῆ καὶ θεοί,
παρὰ τῶν γειτόνων ἕκαστος ἀξιώσει τὰς βλάβας κομίζεσθαι. καὶ ἐγὼ μὲν ὃν προσῆκεν
ἀγανακτεῖν, τῆς ὁδοῦ στενωτέρας γεγενημένης καὶ μετεωροτέρας, ἡσυχίαν ἔχω· τού- *στενοτέρας
τοις δὲ τοσοῦτον περίεστιν, ὡς ἔοικεν, ὥστε τοὺς ἠδικημένους προσσυκοφαντοῦσι. καί-
37 τοι, ὦ Καλλίκλεις, εἰ καὶ ὑμῖν περιοικοδομεῖν ἔξεστι τὸ ὑμέτερον αὐτῶν χωρίον, καὶ ἡμῖν
δήπου τὸ ἡμέτερον ἐξῆν. εἰ δ᾽ ὁ πατὴρ ὁ ἐμὸς ἠδίκει περιοικοδομῶν ὑμᾶς, καὶ νῦν
ὑμεῖς ἀδικεῖτε ἐμὲ περιοικοδομοῦντες οὕτω. δῆλον γὰρ ὅτι μεγάλοις λίθοις ἀποικο-
δομηθέντος, πάλιν τὸ ὕδωρ εἰς τὸ ἐμὸν ἥξει χωρίον. εἶθ᾽, ὅταν τύχῃ, καταβαλεῖ τὴν *χωρίον, ὅταν τύχῃ, καὶ κατ.
38 αἱμασιὰν ἀπροσδοκήτως. ἀλλ᾽ οὐδὲν μᾶλλον ἐγκαλῶ τούτοις ἐγὼ διὰ τοῦτο, *καταβαλεῖται
ἀλλὰ στέργω τὴν τύχην, καὶ τἀμαυτοῦ φυλάττειν πειράσομαι. καὶ γὰρ τοῦτον φράτ- *ἀλλὰ στέργω τῇ τύχῃ.
τοντα μὲν τὰ ἑαυτοῦ, σωφρονεῖν ἡγοῦμαι· δικαζόμενον δέ μοι, πονηρότατον εἶναι, καὶ
διεφθαρμένον ὑπὸ νόσου νομίζω. μὴ θαυμάζετε δέ, ὦ ἄνδρες δικασταί, τὴν τούτου
39 προθυμίαν, μηδ᾽ εἰ τὰ ψευδῆ κατηγορεῖν νῦν τετόλμηκε. καὶ γὰρ τὸ πρότερον *πρὸ τοῦ πεῖσαι
πείσας τὸν ἀνεψιὸν ἀμφισβητεῖν μοι τοῦ χωρίου, συνθήκας οὐ γενομένας ἀπήνεγκε,
καὶ νῦν αὖθις ἐρήμην μου καταδεδιῄτηται, τοιαύτην ἑτέραν δίκην Καλλάρῳ ἐπι-
γραψάμενος τῶν ἐμῶν δούλων. πρὸς γὰρ τοῖς ἄλλοις κακοῖς, καὶ τοῦτο εὕρηνται σό-
40 φισμα· Καλλάρῳ τὴν αὐτὴν δίκην δικάζονται. καίτοι τίς ἂν οἰκέτης τὸ τοῦ δεσπό-
του χωρίον περιοικοδομήσειεν ἄν, μὴ προστάξαντος τοῦ δεσπότου; Καλλάρῳ δὲ ἕτε- *ἕτερόν τινα ἄλλο ἐγκαλεῖν
ρον ἐγκαλεῖν οὐδὲν ἔχοντες, ὑπὲρ ὧν ὁ πατὴρ πλέον ἢ πεντεκαίδεκα ἔτη φράξας
ἐπεβίω, δικάζονται. καὶ μὲν ἐγὼ τῶν χωρίων ἀποστῶ τούτοις ἀποδόμενος, ἢ πρὸς
41 ἕτερα χωρία ἀλλαξάμενος, οὐδὲν ἀδικεῖ Κάλλαρος. ἂν δ᾽ ἐγὼ μὴ βούλωμαι
τἀμαυτοῦ τούτοις προέσθαι, πάντα τὰ δεινότατα ὑπὸ Καλλάρου πάσχουσιν οὗτοι· καὶ
ζητοῦσι καὶ διαιτητήν, ὅστις αὐτοῖς τὰ χωρία προσκαταγνώσεται, καὶ διαλύσης *διαλύσεις
τοιαύτας, ἐξ ὧν τὰ χωρία ἕξουσιν. εἰ μὲν οὖν, ὦ ἄνδρες δικασταί, τοὺς ἐπιβουλεύοντας
42 καὶ συκοφαντοῦντας δεῖ πλέον ἔχειν, οὐδὲν ἂν ὄφελος εἴη τῶν εἰρημένων. εἰ δ᾽ ὑμεῖς
τοὺς μὲν τοιούτους μισεῖτε, τὰ δὲ δίκαια ψηφίζεσθε, μήτ᾽ ἀπολωλεκότος Καλλικλέους
μηδέν, μήτ᾽ ἠδικημένου, μήθ᾽ ὑπὸ Καλλάρου, μήθ᾽ ὑπὸ τοῦ πατρός, οὐκ οἶδ᾽ ὅτι
δεῖ πλείω λέγειν. ἵνα δ᾽ εἰδῆτε ὅτι καὶ πρότερον ἐπιβουλεύων μου τοῖς χωρίοις, τὸν
43 ἀνεψιὸν κατεσκεύασε, καὶ νυνὶ τὴν ἑτέραν αὖθις κατεδιῃτήσατο Καλλάρου ταυ-
τηνὶ τὴν δίκην, ἐπηρεάζων ἐμοί, διότι τὸν ἄνθρωπον περὶ πολλοῦ ποιοῦμαι, καὶ
Καλλάρῳ πάλιν εἴληχεν ἑτέραν, ἁπάντων ὑμῖν ἀναγνώσεται τὰς μαρτυρίας.

Μαρτυρίαι.

44 Μὴ οὖν πρὸς Διὸς καὶ θεῶν, ὦ ἄνδρες δικασταί, προῆσθέ με τούτοις μηδὲν
ἀδικοῦντα. οὐ γὰρ τῆς ζημίας τοσοῦτόν τί μοι μέλει, χαλεπὸν ὂν πᾶσι τοῖς μικρὰν *μακρὰν
οὐσίαν ἔχουσιν· ἀλλ᾽ ἐκβάλλουσιν ὅλως ἐκ τοῦ δήμου με ἐλαύνοντες, καὶ συκο-
45 φαντοῦντες. ὅτι δ᾽ οὐκ ἀδικοῦμεν μηδέν, ἕτοιμοι μὲν ἦμεν ἐπιτρέπειν τοῖς

ἴσοις

ἴσοις εἰδόσι, καὶ κοινοῖς· ἕτοιμοι δ' ὀμνύναι τὸν νόμιμον ὅρκον. ταῦτα γὰρ ᾠόμεθα ἱερώτερα παρέχεσθαι τοῖς αὐτοῖς ὑμῖν ὀμωμοκόσι. καί μοι λαβὲ τηνδὶ πρόκλησιν, καὶ τὰς ὑπολοίπους ἔτι μαρτυρίας. Πρόκλησις. Μαρτυρίαι.

## ΟΘΕΣΙΣ ΤΟΥ ΚΑΤΑ ΔΙΟΝΥΣΟδώρου βλάβης λόγου.

Ἀρεῖος καὶ Πάμφιλος Διονυσοδώρῳ δανείζουσι τρισχιλίας δραχμάς, ἐπὶ τῷ πλεῦσαι αὐτὸν εἰς Αἴγυπτον, κἀκεῖθεν αὖθις Ἀθήναζε. καὶ λαμβάνουσι μὲν ὑποθήκην τὴν ναῦν· διομολογοῦνται δὲ τόκους, *ὅσους ὤφειλον Ἀθήναζε καταπλεύσαντος δὲ Διονυσοδώρου κομίσασθαι. Διονυσόδωρος δὲ ἀναπλέων ἐκ τῆς Αἰγύπτου, τῇ Ῥόδῳ προσχών, ἐκεῖ τὸν γόμον ἐξέθετο, ὡς μὲν αὐτός φησι, διὰ τὸ ῥαγῆναι τὴν ναῦν, καὶ εἶναι σαθράν· ὡς δὲ Ἀρεῖος λέγει, διὰ τὸ πυθέσθαι τὸν σῖτον Ἀθήνησιν εὔωνον ὄντα. τὴν γὰρ ναῦν σῶαν ὑπάρχειν φησί, καὶ πλεῖν ἔτι καὶ νῦν. οἱ μὲν οὖν δανείσαντες καὶ κατηγοροῦσι τοῦ Διονυσοδώρου, παραβεβηκέναι τὴν συγγραφήν, διότι τὴν ὑποθήκην, τουτέστι τὴν ναῦν οὐ παρέσχεν ἐμφανῆ, καὶ ἀπαιτοῦσιν αὐτὸν τοὺς ὁμολογηθέντας τόκους τελείους. ὁ δέ, οὐ πάντας ἀποδιδόναι βούλεται.

*ὅσους ὤφειλον, Ἀθήναζε καταπλεύσαντος Διονυσοδώρου κομ.

# ΔΗΜΟΣΘΕΝΟΥΣ Ο ΚΑΤΑ ΔΙΟΝΥΣΟΔΩΡΟΥ ΒΛΑΒΗΣ ΛΟΓΟΣ.

Κοινωνός εἰμι τοῦ *δανείσματος, ὦ ἄνδρες δικασταί. συμβαίνει 1
δ' *ὑμῖν τοῖς κατὰ θάλατταν τὴν ἐργασίαν προῃρημένοις, καὶ τὰ ἡμέτερα αὐτῶν ἐγχειρίζουσιν ἑτέροις, ἐκεῖνο μὲν σαφῶς εἰδέναι, ὅτι ὁ δανειζόμενος ἐν παντὶ προέχει ἡμῶν. λαβὼν γὰρ ἀργύριον φανερὸν καὶ ὁμολογούμενον, ἐν γραμματειδίῳ δυοῖν
2 χαλκοῖν ἐωνημένῳ, καὶ βιβλιδίῳ μικρῷ πάνυ, τὴν ὁμολογίαν καταλέλοιπε τοῦ ποιήσειν τὰ δίκαια. ἡμεῖς δ' οὐ φαμὲν δώσειν, ἀλλ' εὐθὺς *τῷ δανειζομένῳ δίδομεν τὸ ἀργύριον. τῷ οὖν ποτε πιστεύοντες, καὶ τί λαβόντες τὸ βέβαιον προϊέμεθα; ὑμῖν, ὦ ἄνδρες δικασταί, καὶ τοῖς νόμοις τοῖς ὑμετέροις, οἳ κελεύουσιν ὅσα ἄν τις ἑκὼν ἕτερος ἑτέρῳ ὁμολογήσῃ, ταῦτα κύρια εἶναι. ἀλλά μοι δοκεῖ οὔτε
3 τῶν νόμων, οὔτε συγγραφῆς οὐδεμιᾶς ὄφελος εἶναι οὐδέν, ἂν ὁ λαμβάνων τὰ χρήματα, μὴ πάνυ δίκαιος ᾖ τὸν τρόπον, καὶ δυοῖν θάτερον, ἢ ὑμᾶς δεδιώς, ἢ τὸν συμβαλόντα αἰσχυνόμενος. ὧν οὐδέτερον πρόσεστι Διονυσοδώρῳ τουτῳί· ἀλλ' εἰς τοσοῦτον ἥκει τόλμης, ὥστε δανεισάμενος παρ' ἡμῶν ἐπὶ τῇ νηὶ τρισχιλίας δραχμάς, ἐφ' ᾧτε 4
τὴν ναῦν καταπλεῖν Ἀθήναζε, καὶ δέον ἡμᾶς ἐν τῇ πέρυσιν ὥρᾳ κεκομίσθαι τὰ χρήματα, τὴν μὲν ναῦν εἰς Ῥόδον κατεκόμισε, καὶ τὸν γόμον ἐκεῖσε ἐξελόμενος, ἀπέδοτο παρὰ τὴν συγγραφήν, καὶ τοὺς νόμους τοὺς ὑμετέρους· ἐκ δὲ τῆς Ῥόδου πάλιν ἀπέστειλε τὴν ναῦν εἰς Αἴγυπτον, κἀκεῖθεν εἰς Ῥόδον· ὑμῖν δὲ τοῖς Ἀθή- 5
νησι δανείσασιν, οὐδέπω καὶ νῦν οὔτε τὰ χρήματα ἀποδίδωσιν, οὔτε τὸ ἐνέχυρον καθίστησιν εἰς τὸ ἐμφανές· ἀλλὰ δεύτερον ἔτος τουτὶ καρπούμενος τὰ ἡμέτερα, καὶ ἔχων τό τε δάνειον, καὶ τὴν ἐργασίαν, καὶ τὴν ναῦν τὴν ὑποκειμένην ἡμῖν, οὐδὲν ἧττον εἰσελήλυθε πρὸς ὑμᾶς, δηλονότι ὡς ζημιώσων ἡμᾶς τῇ ἐπωβελίᾳ, καὶ 6
καταθησόμενος εἰς τὸ οἴκημα πρὸς τῷ ἀποστερεῖν τὰ χρήματα. ὑμῶν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, ὁμοίως ἁπάντων δεόμεθα, καὶ ἱκετεύομεν βοηθῆσαι ἡμῖν, ἂν δοκῶμεν ἀδικεῖσθαι. τὴν δ' ἀρχὴν τοῦ συμβολαίου διεξελθεῖν ὑμῖν πρῶτον

*δανείσματος τούτου, ὦ

*ἡμῖν

*ἐπὶ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

7 βούλομαι. οὕτω γὰρ καὶ ὑμεῖς ῥᾷστα παρακολουθήσετε. Διονυσόδωρος γὰρ οὑτοσί, ὦ
ἄνδρες Ἀθηναῖοι, καὶ ὁ κοινωνὸς αὐτοῦ Παρμενίσκος, προσελθόντες ἡμῖν πέρυσι τοῦ
μεταγειτνιῶνος μηνός, ἔλεγον ὅτι βούλονται δανείσασθαι ἐπὶ τῇ νηΐ, ἐφ' ᾧτε
πλεῦσαι εἰς Αἴγυπτον, καὶ ἐξ Αἰγύπτου εἰς Ῥόδον, ἢ εἰς Ἀθήνας, ὁμολογησάμενοι
8 τοὺς τόκους εἰς ἑκάτερον τῶν ἐμπορείων τούτων. ἀποκριναμένων δ' ἡμῶν, ὦ ἄνδρες
δικασταί, ὅτι οὐκ ἂν δανείσαιμεν εἰς ἕτερον ἐμπόριον οὐδέν, ἀλλ' ἢ εἰς Ἀθήνας,
οὕτω προσομολογοῦσι πλευσεῖσθαι δεῦρο, καὶ ἐπὶ ταύταις ταῖς ὁμολογίαις δα-
νείζονται παρ' ὑμῶν ἐπὶ τῇ νηΐ, τρισχιλίας δραχμὰς ἀμφοτερόπλουν, καὶ συγγρα-
9 φὴν ἐγράψαντο ὑπὲρ τούτων. ἐν μὲν οὖν ταῖς συνθήκαις, δανειστὴς ἐγράφη Πάμ-
φιλος οὑτοσί. ἐγὼ δ' ἔξωθεν μετεῖχον αὐτῷ τοῦ δανείσματος. καὶ πρῶτον μὲν ὑμῖν ἡμῖν
ἀναγνώσεται αὐτὴν τὴν συγγραφήν.

Συγγραφή

10 Κατὰ ταύτην τὴν συγγραφήν, ὦ ἄνδρες δικασταί, λαβόντες παρ' ἡμῶν τὰ
χρήματα Διονυσόδωρός τε οὑτοσί, καὶ ὁ κοινωνὸς αὐτοῦ Παρμενίσκος, ἀπέστελλον τὴν
ναῦν εἰς τὴν Αἴγυπτον ἐνθένδε. καὶ ὁ μὲν Παρμενίσκος, ἐπέπλει ἐπὶ τῆς νεώς· οὑτοσὶ
δέ, αὐτοῦ κατέμενεν. ἦσαν γάρ, ὦ ἄνδρες δικασταί, ἵνα μηδὲ τοῦτ' ἀγνοῆτε, ὑπηρέ-
11 ται καὶ συνεργοὶ πάντες οὗτοι Κλεομένους τοῦ ἐν τῇ Αἰγύπτῳ ἄρξαντος, ὃς ἐξ οὗ ὃν
τὴν ἀρχὴν παρέλαβεν, οὐκ ὀλίγα κακὰ εἰργάσατο τὴν πόλιν τὴν ὑμετέ-
ραν· μᾶλλον δὲ καὶ τοὺς ἄλλους Ἕλληνας, παλιγκαπηλεύων, καὶ συνιστὰς τὰς τι-
μὰς τοῦ σίτου, καὶ αὐτός, καὶ οὗτοι μετ' αὐτοῦ. οἱ μὲν γὰρ αὐτῶν ἀπέστελλον ἐκ τῆς Αἰ-
12 γύπτου τὰ χρήματα· οἱ δ' ἐπέπλεον ταῖς ἐμπορείαις· οἱ δ' ἐνθάδε μένοντες, διετί-
θεντο τὰ ἀποστελλόμενα. εἶτα πρὸς τὰς καθεστηκυίας τιμάς, ἔπεμπον γράμμα-
τα οἱ ἐπιδημοῦντες τοῖς ἀποδημοῦσιν, ἵνα ἐὰν μὲν παρ' ἡμῖν τίμιος ᾖ ὁ σῖτος,
δεῦρο αὐτὸν κομίσωσιν· ἐὰν δ' εὐωνότερος γένηται, εἰς ἄλλο τι καταπλεύσωσιν
13 ἐμπόριον. ὅθεν περ οὐχ ἥκιστα, ὦ ἄνδρες δικασταί, συνετιμήθη τὰ περὶ τὸν σῖτον
ἐκ τῶν τοιούτων ἐπιστολῶν καὶ συνεργιῶν. ὅτε μὲν οὖν ἐνθένδε ἀπέστελλον οὗ-
τοι τὴν ναῦν, ἐπιεικῶς ἔντιμον κατέλιπον τὸν σῖτον. διὸ καὶ ὑπέμειναν ἐν τῇ συγ-
γραφῇ γράψασθαι εἰς Ἀθήνας πλεῖν, εἰς δ' ἄλλο μηδὲν ἐμπόριον. μετὰ δὲ
14 ταῦτ', ὦ ἄνδρες δικασταί, ἐπειδὴ ὁ Σικελικὸς κατάπλους ἐγένετο καὶ αἱ τιμαὶ τοῦ
σίτου ἐπ' ἔλαττον ἐβάδιζον, καὶ ἡ ναῦς ἡ τούτων ἀνῆκτο εἰς Αἴγυπτον, εὐθέως οὗ-
τος ἀποστέλλει τινὰ εἰς τὴν Ῥόδον ἀπαγγελοῦντα τῷ Παρμενίσκῳ τῷ κοινωνῷ
τἀνθένδε καθεστηκότα, ἀκριβῶς εἰδώς, ὅτι ἀναγκαῖον εἴη τῇ νηΐ προσσχεῖν εἰς Ῥό-
15 δον. πέρας δ' οὖν λαβὼν ὁ Παρμενίσκος ὁ τούτου κοινωνὸς τὰ γράμματα τὰ πα- πέρας δ' οὖν. λαβὼν γὰρ ὁ Παρμενίσκος
ρὰ τούτου ἀποσταλέντα, καὶ πυθόμενος τὰς τιμὰς τὰς ἐνθάδε τοῦ σίτου καθεστη-
κυίας, ἐξαιρεῖται τὸν σῖτον ἐν τῇ Ῥόδῳ, κἀκεῖ ἀποδίδοται, καταφρονήσαντες καταφρονήσας μὲν τῆς συγγραφῆς, καὶ καταπεφρονήκασι μὲν
μὲν τῆς γραφῆς, ὦ ἄνδρες δικασταί, καὶ τῶν ἐπιτιμίων, ἃ συνεγράψαντο αὐ-
16 τοὶ οὗτοι καθ' αὑτῶν, ἐάν τι παραβαίνωσι· καταφρονήσαντες δὲ τῶν νόμων τῶν ὑμε- καταφρονήσας δὲ
τέρων, οἳ κελεύουσι τοὺς ναυκλήρους, καὶ τοὺς ἐπιβάτας πλεῖν εἰς ὅ,τι ἂν συνθῶνται ἐμ-
πόριον· εἰ δὲ μή, ταῖς μεγίσταις ζημίαις εἶναι ἐνόχους. καὶ ἡμεῖς ἐπειδὴ τάχιστα ἐπυθόμεθα
τὸ γεγονός, ἐκπεπληγμένοι τῷ πράγματι, προσῇμεν τούτῳ τῷ ἀρχιτέκτονι τῆς προσῄειμεν
17 ὅλης ἐπιβουλῆς, ἀγανακτοῦντες, ὡς εἰκός, καὶ ἐγκαλοῦντες ὅτι διαρρήδην ἡμῶν δια-
κειμένων ἐν συνθήκαις, ὅπως ἡ ναῦς μηδαμοῦ καταπλεύσεται, ἀλλ' ἢ ἐς Ἀθήνας,

καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐπ καὶ ὅτι ἐπὶ ταύταις ταῖς ὁμολογίαις δανεισάντων τὸ ἀργύριον, ἡμᾶς μὲν ἐν ὑπο-
ψίᾳ καταλείποιτε τοῖς βουλομένοις αἰτιᾶσθαι, καὶ λέγειν ὡς ἄρα καὶ ἡμεῖς κεκοι-
νωνήκαμεν τῆς σιτηγίας τῆς εἰς τὴν Ῥόδον, αὐτοὶ δ' οὐδὲν μᾶλλον τὴν ναῦν ἥκοιεν 18
κατακομίζοντες εἰς τὸ ὑμέτερον ἐμπόριον, εἰς ὃ συνεγράψαντο. ἐπεὶ δ' οὐδὲν
ἐπεραίνομεν ὑπὲρ τῆς συγγραφῆς, καὶ τῶν δικαίων διαλεγόμενοι, ἀλλὰ τόγε δά-
νειον καὶ τοὺς τόκους ἠξιοῦμεν ἀπολαβεῖν τοὺς ἐξ ἀρχῆς ὁμολογηθέντας. οὗτος δ' οὕ-
τως ὑβριστικῶς ἐχρήσατο ἡμῖν, ὥστε τοὺς μὲν τόκους τοὺς ἐν τῇ συγγραφῇ γε- 19
γραμμένους, οὐκ ἔφη δώσειν· εἰ δὲ βούλεσθε, ἔφη, κομίζεσθαι τὸ πρὸς μέρος τοῦ
πλοῦ τοῦ πεπλευσμένου, δώσω ὑμῖν, φησί, τοὺς εἰς Ῥόδον τόκους· πλείους δ' οὐκ ἂν
δοίην, αὐτὸς αὑτῷ νομοθετῶν, καὶ οὐχὶ τοῖς ἐκ τῆς συγγραφῆς δικαίοις πειθόμε-
νος. ὡς δ' ἡμεῖς οὐκ ἂν ἔφαμεν συγχωρῆσαι οὐδὲν τούτων, λογιζόμενοι ὅτι, ὁπότε 20
τοῦτο πράξομεν, ὁμολογοῦμεν καὶ αὐτοὶ εἰς Ῥόδον σεσιτηγηκέναι, ἔτι μᾶλλον ἐπέ-
τεινεν οὗτος· καὶ μάρτυρας πολλοὺς παραλαβών, προσῄει, φάσκων ἕτοιμος εἶναι
ἀποδιδόναι τὸ δάνειον, καὶ τοὺς τόκους τοὺς εἰς Ῥόδον, οὐδὲν μᾶλλον, ὦ ἄνδρες δικασταί,
ἀποδοῦναι διανοούμενος, ἀλλ' ἡμᾶς ὑπολαμβάνων οὐκ ἂν ἐθελῆσαι ἀπολα- 21
βεῖν τὸ ἀργύριον, διὰ τὰς ὑπούσας αἰτίας· ἐδήλωσε δ' αὐτὸ τὸ ἔργον. ἐπεὶ γάρ,
ὦ ἄνδρες Ἀθηναῖοι, τῶν ὑμετέρων πολιτῶν τινὲς παραγενόμενοι ἀπὸ ταὐτομάτου
συνεβούλευον ἡμῖν τὸ μὲν διδόμενον λαμβάνειν, περὶ δὲ τῶν ἀντιλεγομένων κρίνεσθαι·
τοὺς δὲ εἰς Ῥόδον τόκους μὴ καθομολογεῖν, ἕως ἂν κριθῶμεν, ἡμεῖς μὲν ταῦτα συν- 22
εχωροῦμεν, οὐκ ἀγνοοῦντες, ὦ ἄνδρες δικασταί, τὸ ἐκ τῆς συγγραφῆς δίκαιον, ἀλλ'
ἡγούμενοι δεῖν ἐλαττοῦσθαί τι καὶ συγχωρεῖν, ὥστε μὴ δοκεῖν φιλόδικοι εἶναι· οὗτος δ',
ὡς ἑώρα ἡμᾶς ὁμόσε πορευομένους, ἀναιρεῖσθε, φησί, τοίνυν τὴν συγγραφήν. ἡμεῖς
* ἀναιρούμεθα; οὐδέν γε μᾶλλον ἢ ὁπιοῦν· ἀλλὰ κατὰ μὲν τἀργύριον, ὃ ἂν ἀποδῷς, 23
ὁμολογήσομεν ἐναντίον τοῦ τραπεζίτου ἄκυρον ποιεῖν τὴν συγγραφήν· τὸ μέντοι
σύνολον οὐκ ἂν ἀνελοίμεθα, ἕως ἂν περὶ τῶν ἀντιλεγομένων κριθῶμεν. τί γὰρ
ἔχοντες δίκαιον, ἢ τί τὸ ἰσχυρόν, ἀντιδικήσομεν, ἐάν τε πρὸς διαιτητήν, ἐάν τε εἰς
δικαστήριον δέῃ βαδίζειν, ἀνελόμενοι τὴν συγγραφήν, ἐν ᾗ τὴν ὑπὲρ τῶν δικαίων 24
βοήθειαν ἔχομεν; ταῦτα δὲ ἡμῶν λεγόντων, ὦ ἄνδρες δικασταί, καὶ ἀξιούντων Διο-
νυσόδωρον τουτονὶ τὴν μὲν συγγραφὴν μὴ κινεῖν, μηδ' ἄκυρον ποιεῖν τὴν ὁμολο-
γουμένην καὶ ὑπ' αὐτῶν τούτων κυρίαν εἶναι· τῶν δὲ χρημάτων ὅσα μὲν αὐτὸς ὁμο-
λογεῖ, ἀποδοῦναι ἡμῖν, περὶ δὲ τῶν ἀντιλεγομένων ὡς ἑτοίμων ὄντων κριθῆναι, εἴτε 25
βούλοιντο ἐφ' ἑνί, εἴτε καὶ πλείοσι τῶν ἐκ † τοῦ ἐμπορίου· οὐκ ἔφη προσέχειν Διονυσόδω-
ρος τούτων οὐδενί· ἀλλ' ὅτι τὴν συγγραφὴν ὅλως οὐκ ἀναιρούμεθα, ἀπολαμβά-
νοντες ἃ οὗτος ἐπέταττεν, ἔχει δεύτερον ἔτος τὰ ἡμέτερα, καὶ χρῆται τοῖς χρήμασι·
καὶ ὃ πάντων ἐστὶ δεινότατον, ὦ ἄνδρες δικασταί, ὅτι αὐτὸς μὲν οὗτος παρ' ἑτέρων εἰσ- 26
πράττει ναυτικοὺς τόκους ἀπὸ τῶν ἡμετέρων χρημάτων, οὐκ Ἀθήνησι δανείσας, οὐδ'
εἰς Ἀθήνας, ἀλλ' εἰς Ῥόδον, καὶ Αἴγυπτον· ἡμῖν δὲ τοῖς δανείσασιν εἰς τὸ ἡμέτερον ἐμ-
πόριον, οὐκ οἴεται δεῖν τῶν δικαίων οὐδὲν ποιεῖν. ὅτι δὲ ἀληθῆ λέγω, ἀναγνώσεται ὑμῖν τὴν
πρόκλησιν, ἣν ὑπὲρ τούτων προὐκαλεσάμεθ' αὐτόν. Πρόκλησις. 27

Ταῦτα τοίνυν, ὦ ἄνδρες δικασταί, προκαλεσαμένων ἡμῶν Διονυσόδωρον του-
τονὶ πολλάκις, καὶ ἐπὶ πολλὰς ἡμέρας ἐκτιθέντων τὴν πρόκλησιν, εὐήθης ἔφη παν-
τελῶς εἶναι ἡμᾶς, εἰ ὑπολαμβάνομεν αὐτὸν οὕτω παντελῶς ἀλογίστως ἔχειν, ὥστε

* ἀναιρησόμεθα φαμὲν, οὐδέν γε

† τῶν ἐμπορίων



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

28 ἐπὶ διαιτητὴν βαδίζειν, προδήλου ὄντος ὅτι καταγνώσεται αὐτοῦ ἀποτῖσαι τὰ χρή-
ματα, ἐξὸν αὐτῷ ἐπὶ τὸ δικαστήριον ἥκειν φέροντα τὸ ἀργύριον εἶτα, ἐὰν μὲν δύνηται
ὑμᾶς παρακρούσασθαι, ἀπιέναι τἀλλότρια ἔχοντα· εἰ δὲ μή, τηνικαῦτα κατα-
θεῖναι τὰ χρήματα· ὡς ἄνθρωπος οὐ τῷ δικαίῳ πιστεύων, ἀλλὰ διάπειραν ὑμῶν
29 λαμβάνειν βουλόμενος. τὰ μὲν τοίνυν πεπραγμένα Διονυσοδώρῳ, ἀκηκόατε, ὦ
ἄνδρες δικασταί. οἶμαι δ' ὑμᾶς ἀκούοντας θαυμάζειν τὴν τόλμαν αὐτοῦ πάλαι, καὶ
τῷ ποτε πιστεύων εἰσελήλυθε δεῦρο. πῶς γὰρ οὐ τολμηρόν, εἴ τις ἄνθρωπος δα-
νεισάμενος χρήματα ἐκ τοῦ ἐμπορίου τοῦ ἀθηναίων, τὴν συγγραφὴν διαρρή-
30 δην γραψάμενος, ἐφ' ᾧτε καταπλεῖν τὴν ναῦν εἰς τὸ ὑμέτερον ἐμπόριον· εἰ δὲ
μή, ἀποτίνειν διπλάσια τὰ χρήματα, μήτε τὴν ναῦν κατακεκόμικεν εἰς τὸν πει-
ραιᾶ, μήτε τὰ χρήματ' ἀποδίδωσι τοῖς δανείσασι, τόν τε σῖτον ἐξελόμενος ἐν [εἰς ῥόδον]
ῥόδῳ ἀπέδοτο· καὶ ταῦτα διαπεπραγμένος, οὐδὲν ἧττον τολμᾷ βλέπειν εἰς τὰ
31 ὑμέτερα πρόσωπα; ἃ δὴ λέγει πρὸς ταῦτα, ἀκούσατε. φησὶ γὰρ τὴν ναῦν πλεύ-
σασαν ἐξ αἰγύπτου, ῥαγῆναι, καὶ διὰ τοῦτ' ἀναγκασθῆναι προσχεῖν εἰς τὴν ῥό-
δον, καὶ ἐκεῖ ἐξελέσθαι τὸν σῖτον. καὶ τούτου τεκμήριον λέγει, ὡς ἄρ' ἐκ τῆς ῥόδου
μισθώσαιτο πλοῖα, καὶ δεῦρ' ἀπέστειλε τῶν χρημάτων ἔνια. ἓν μὲν τοῦτ' ἐστιν αὐτῷ
32 μέρος τῆς ἀπολογίας. δεύτερον δ' ἐκεῖνο· φησὶ γὰρ ἑτέρους τινὰς δανειστὰς συγκε-
χωρηκέναι αὐτῷ τοὺς τόκους, τοὺς εἰς ῥόδον. δεινὸν οὖν, εἰ ἡμεῖς μὴ συγχωρήσομεν ταὐ-
τὰ ἐκείνοις. τρίτον πρὸς τούτοις, τὴν συγγραφὴν κελεύειν φησὶν αὐτόν, σωθείσης τῆς
νεώς, ἀποδοῦναι τὰ χρήματα. τὴν δὲ ναῦν οὐ σεσῶσθαι εἰς τὸν πειραιᾶ. πρὸς ἕκα-
33 στον δὴ τούτων ἀκούσατε, ὦ ἄνδρες δικασταί, ἃ λέγομεν δίκαια. πρῶτον μὲν τὸ ῥα-
γῆναι τὴν ναῦν ὅταν λέγῃ, πᾶσιν οἶμαι φανερὸν εἶναι, ὅτι ψεύδεται. εἰ γὰρ τοῦτο συ- [τοῦτο]
νέβη παθεῖν τῇ νηΐ, οὔτ' ἂν εἰς τὴν ῥόδον ἐσώθη, οὔτ' ἂν ὕστερον πλόϊμος ἦν. νῦν δὲ
φαίνεται εἰς τὴν ῥόδον σωθεῖσα, καὶ πάλιν ἐκεῖθεν ἀποσταλεῖσα εἰς αἴγυπτον, καὶ ἔτι
34 καὶ νῦν πλέουσα πανταχόσε, πλὴν οὐκ εἰς ἀθήνας. καίτοι πῶς οὐκ ἄτοπον, ὅταν
μὲν εἰς τὸ ἀθηναίων ἐμπόριον δέῃ κατάγειν τὴν ναῦν, ῥαγῆναι φάσκειν, ὅταν
δ' εἰς ῥόδον τὸν σῖτον ἐξελέσθαι, τηνικαῦτα δὲ πλόϊμον οὖσαν φαίνεσθαι τὴν αὐ-
τὴν ναῦν; διὰ τί οὖν, φησίν, ἐμισθωσάμην ἕτερα πλοῖα, καὶ μετεξειλόμην τὸν
35 γόμον, καὶ δεῦρο ἀπέστειλα; ὅτι, ὦ ἄνδρες ἀθηναῖοι, οὐ τῶν ἁπάντων ἀγωγίμων,
οὔθ' οὗτος ἦν κύριος, οὔθ' ὁ κοινωνὸς αὐτοῦ, ἀλλ' οἱ ἐπιβάται τὰ ἑαυτῶν χρήματ'
ἀπέστελλον, οἶμαι, δεῦρο ἐν ἑτέροις πλοίοις ἐξ ἀνάγκης, ἐπειδὴ προκατέλυσαν οὗ-
τοι τὸν πλοῦν· ὧν μέντοι αὐτοὶ ἦσαν κύριοι αὐτοὶ δέ, οὐ ταῦτ' ἀπέστελλον πάντα [οὐδὲ ταῦτα]
36 δεῦρο, ἀλλ' ἐκλεγόμενοι τίνων αἱ τιμαὶ ἐπετέταντο. ἐπεὶ τί δήποτε μισθούμε-
νοι ἕτερα πλοῖα, ὡς φατέ, οὐχ ἅπαντα τὸν γόμον τῆς νεὼς μετενέβαλλεσθε, ἀλλὰ τὸν
σῖτον αὐτοῦ ἐν τῇ ῥόδῳ κατελίπετε; ὅτι, ὦ ἄνδρες δικασταί, τοῦτον μὲν συνέφερεν
αὐτοῖς ἐκεῖσε πωλεῖν. τὰς γὰρ τιμὰς ἐνθάδε ἀνεῖκέναι ἤκουον. τὰ δ' ἄλλα ἀγώγιμα [ἐκεῖ]
37 ὡς ἡμᾶς ἀπέστελλον, ἀφ' ὧν κερδανεῖν ἤλπιζον. ὥστε τὴν μίσθωσιν τῶν πλοίων ὅταν [ἐμβλητοῦ]
λέγῃς, οὐ τοῦ ῥαγῆναι τὴν ναῦν τεκμήριον λέγεις, ἀλλὰ τοῦ συμφέροντος ὑμῖν.
περὶ μὲν οὖν τούτων ἱκανά μοι τὰ εἰρημένα. περὶ δὲ τῶν δανειστῶν, οὕς φασι συγκε-
χωρηκέναι λαβεῖν παρ' αὐτῶν τοὺς εἰς ῥόδον τόκους, ἔστι μὲν οὐδὲν πρὸς ἡμᾶς τοῦτο.
38 εἰ γάρ τις ὑμῖν ἀφῆκέ τι τῶν αὐτοῦ, οὐδὲν ἀδικεῖται ὁ πεισθείς, ἢ ὁ πείσας. ἀλλ' ἡ-
μεῖς οὔτ' ἀφείκαμέν τι οὐδέν, οὔτε συγκεχωρήκαμεν τοῦ πλοῦ τοῦ εἰς ῥόδον· οὐδὲ

ἐστὶν ἡμῖν

ἔστιν ἡμῖν κυριώτερον οὐδὲν τῆς συγγραφῆς. αὕτη δὲ τί λέγει, καὶ ποῦ προστάττει τὸν
πλοῦν ποιεῖσθαι; Ἀθήνηθεν εἰς Αἴγυπτον, καὶ ἐξ Αἰγύπτου εἰς Ἀθήνας. εἰ δὲ μή, ἀπο-
τίνειν κελεύει διπλάσια τὰ χρήματα. ταῦτ᾽ εἰ μὲν πεποίηκας, οὐδὲν ἀδικεῖς. εἰ δὲ 39
μὴ πεποίηκας, μηδὲ κατακεκόμικας τὴν ναῦν Ἀθήναζε, προσήκει σε ζημιοῦσθαι
τῷ ἐπιτιμίῳ τῷ ἐκ τῆς συγγραφῆς. τοῦτο γὰρ τὸ δίκαιον οὐκ ἄλλος οὐδείς, ἀλλ᾽ αὐ-
τὸς σὺ σαυτῷ ὥρισας. δεῖξον οὖν τοῖς δικασταῖς δυοῖν θάτερον, ἢ τὴν συγγραφὴν,
ὡς οὐκ ἔστιν ὑμῖν κυρία, ἢ ὡς οὐκ εἶ δίκαιος πάντα τὰ κατὰ ταύτην πράττειν. εἰ 40
δέ τινες ἀφείκασί τι σοι, καὶ συγκεχωρήκασι τοὺς εἰς Ῥόδον τόκους, ὅτῳ δήποτε τρόπῳ
*παρησυγγεγρά-φηκας *παρασυγγέ-γραφηκας πεισθέντες, διὰ ταῦτα οὐδὲν ἀδικεῖς ἡμᾶς, οἷς *παρασυγγέγραφηκας εἰς Ῥόδον κα-
ταγαγὼν τὴν ναῦν; οὐκ οἴομαί γε. οὐ γὰρ τὰ ὑφ᾽ ἑτέρων συγκεχωρημένα δικάζου-
σιν οὗτοι νυνί, ἀλλὰ τὰ ὑπ᾽ αὐτοῦ σοῦ πρὸς ἡμᾶς συγγεγραμμένα. ἐπεὶ ὅτι γε καὶ 41
τὸ περὶ τὴν ἄφεσιν τῶν τόκων εἰ ἄρα γέγονεν, ὡς οὗτοι λέγουσι, μετὰ τοῦ συμφέροντος
τοῦ τῶν δανειστῶν γέγονε, πᾶσιν ἡμῖν φανερόν ἐστιν. οἱ γὰρ ἐκ τῆς Αἰγύπτου δανεισάμε-
νοι τούτοις ἑτερόπλουν τἀργύριον εἰς Ἀθήνας, ὡς ἀφίκοντο εἰς τὴν Ῥόδον, καὶ τὴν
ναῦν ἐκεῖσε οὗτοι κατεκόμισαν, οὐδέν, οἶμαι, διέφερεν αὐτοῖς ἀφειμένοις τῶν τόκων, 42
καὶ κομισαμένοις τὸ δάνειον ἐν τῇ Ῥόδῳ, πάλιν ἐνεργὸν ποιεῖν εἰς τὴν Αἴγυπτον, ἀλ-
λὰ λυσιτελεῖ πολλῷ μᾶλλον τοῦτο, ἢ δεῦρ᾽ ἐπαναπλεῖν. ἐκεῖσε μὲν γε ἀκαριαῖος ὁ
πλοῦς, καὶ δὶς ἢ τρὶς ὑπῆρχεν αὐτοῖς ἐργάσασθαι τῷ αὐτῷ ἀργυρίῳ. ἐνθάδε
*περὶ μένειν δ᾽ ἐπιδημήσαντας παραχειμάζειν ἔδει, καὶ *περιμένειν τὴν ὡραίαν. ὥστ᾽ ἐκεῖνοι 43
μὲν οἱ δανεισταὶ προσκεκερδήκασι, καὶ οὐκ ἀφείκασι τούτοις οὐδέν. ἡμῖν δ᾽ οὐχ
ὅπως περὶ τοῦ τόκου ὁ λόγος ἐστίν, ἀλλ᾽ οὐδὲ τἀρχαῖα ἀπολαβεῖν δυνάμεθα. μὴ
οὖν ἀποδέχεσθε τούτου φενακίζοντος ὑμᾶς, καὶ τὰ πρὸς τοὺς ἄλλους δανειστὰς πε-
πραγμένα παραβάλλοντος, ἀλλ᾽ ἐπὶ τὴν συγγραφὴν ἀνάγετε αὐτόν, καὶ τὰ ἐκ 44
*ἔστι τῆς συγγραφῆς δίκαια. ἔτι γὰρ ἔμοιγε λοιπὸν διδάξαι ὑμᾶς τοῦτο, καὶ ᾧ *ἔστ᾽ ἰσχυ-
ρίζεται τῷ αὐτῷ τούτῳ, φάσκων τὴν συγγραφὴν κελεύειν, σωθείσης τῆς νεώς, ἀπο-
διδόναι τὸ δάνειον. καὶ ἡμεῖς ταῦτα οὕτω φαμὲν δεῖν ἔχειν. ἡδέως δ᾽ ἂν πυθοίμην
αὐτοῦ σοῦ, πότερον ὡς ὑπὲρ διεφθαρμένης τῆς νεὼς διαλέγῃ, ἢ ὡς ὑπὲρ σεσω- 45
σμένης. εἰ μὲν γὰρ διέφθαρται ἡ ναῦς, καὶ ἀπόλωλε, τί περὶ τῶν τόκων διαφέρῃ, καὶ
ἀξιοῖς ἡμᾶς κομίζεσθαι τοὺς εἰς Ῥόδον τόκους; οὔτε γὰρ τοὺς τόκους, οὔτε τἀρχαῖα
*σῶα, προσήκει ἡμᾶς ἀπολαβεῖν. εἰ γὰρ ἐστὶν ἡ ναῦς *σῶα, καὶ μὴ διέφθαρται, διὰ τί ἡμῖν
οὐκ ἀποδίδως τὰ χρήματα, ἃ συνεγράψω; πόθεν οὖν ἀκριβέστατ᾽ ἂν μάθοιτε, 46
ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι σέσωσται ἡ ναῦς; μάλιστα μὲν ἐξ αὐτοῦ τοῦ εἶναι τὴν ναῦν ἐν
τῷ πλῷ, οὐχ ἧττον δέ, καὶ ἐξ ὧν αὐτοὶ οὗτοι λέγουσιν. ἀξιοῦσι γὰρ ἡμᾶς τά τε ἀρ-
χαῖα ἀπολαβεῖν, καὶ μέρος τι τῶν τόκων, ὡς σεσωσμένης μὲν τῆς νεώς, οὐ πεπλευ-
κυίας δὲ πάντα τὸν πλοῦν. σκοπεῖτε δέ, ὦ ἄνδρες Ἀθηναῖοι, πότερον ἡμεῖς τοῖς ἐκ 47
τῆς συγγραφῆς δικαίοις χρώμεθα, ἢ οὗτοι· οἳ οὔτε εἰς τὸ συγκείμενον ἐμπόριον πε-
πλεύκασιν, ἀλλ᾽ εἰς Ῥόδον καὶ Αἴγυπτον; σωθείσης τε τῆς νεὼς καὶ οὐ διεφθαρμένης,
ἄφεσιν οἴονται δεῖν εὑρίσκεσθαι τῶν τόκων παρασυγγεγραφηκότες. καὶ αὐτοὶ μὲν
πολλὰ χρήματ᾽ εἰργασμένοι περὶ τὴν σιτηγίαν τὴν εἰς Ῥόδον, τὰ δ᾽ ἡμέτερα 48
χρήματ᾽ ἔχοντες, καὶ καρπούμενοι δεύτερον ἔτος τουτί· καινότατον δ᾽ ἐστὶ πάντων
τὸ γιγνόμενον. τὸ μὲν γὰρ δάνειον τὸ ἀρχαῖον, ἀποδιδόασιν ἡμῖν ὡς σεσωσμένης τῆς
νεώς· τοὺς τόκους δ᾽ ἀποστερῆσαι οἴονται δεῖν, ὡς διεφθαρμένης. καίτοι ἡ συγγραφὴ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

49 οὐχ ἕτερα μὲν λέγει περὶ τῶν τόκων, ἕτερα δὲ περὶ τῶν ἀρχαίων δανεισμάτων·
ἀλλὰ κοινὰ τὰ δίκαια ταῦτα περὶ ἀμφοῖν ἐστι, καὶ ἡ πρᾶξις ἡ αὐτή. Ἀνάγνωθι
δέ μοι πάλιν τὴν συγγραφήν. Συγγραφή.

Ἀθήνηθεν εἰς Αἴγυπτον, καὶ ἐξ Αἰγύπτου Ἀθήναζε. Ἀκούετε, ὦ ἄνδρες Ἀθη-
50 ναῖοι, Ἀθήνηθεν, φησίν, εἰς Αἴγυπτον, καὶ ἐξ Αἰγύπτου Ἀθήναζε. Λέγε τὰ λοιπά.

Συγγραφή.

Σωθείσης δὲ τῆς νεὼς εἰς τὸν Πειραιᾶ, ἄνδρες δικασταί, πάνυ ἁπλοῦν ἐστι δια-
γνῶναι ὑμῖν περὶ ταυτησὶ τῆς δίκης, καὶ οὐδὲν δεῖ λόγων πολλῶν. ἡ γὰρ ναῦς ὅτι
51 μὲν σέσωσται, καὶ ἔστι σῶα, καὶ παρ' αὐτῶν τούτων ὁμολογεῖται. οὐ γὰρ ἂν ἀπεδίδοσαν
τό, τε ἀρχαῖον δάνειον, καὶ τῶν τόκων μέρος τι. οὐ κατακεκόμισται δὲ εἰς τὸν Πειραιᾶ.
διὰ τοῦτο ἡμεῖς μὲν οἱ δανείσαντες, ἀδικεῖσθαί φαμεν, καὶ ὑπὲρ τούτου δικαζό-
μεθα, ὅτι οὐ κατέπλευσεν εἰς τὸ συγκείμενον ἐμπόριον. Διονυσόδωρος δ' οὔ φησιν
52 ἀδικεῖν δι' αὐτὸ τοῦτο. οὐ γὰρ δεῖν ἀποδοῦναι πάντας τοὺς τόκους, ἐπειδὴ ἡ ναῦς οὐ κα-
τέπλευσεν εἰς τὸν Πειραιᾶ. ἡ δὲ συγγραφή, τί λέγει; οὐ μὰ τὸν Δί', οὐ ταῦθ' ἃ σὺ
λέγεις, ὦ Διονυσόδωρε· ἀλλ' ἐὰν μὴ ἀποδῷς τὸ δάνειον καὶ τοὺς τόκους, ἢ μὴ παρά-
σχῃς τὰ ὑποκείμενα ἐμφανῆ καὶ ἀνέπαφα, ἢ ἄλλο τι παρὰ τὴν συγγραφὴν ποιῇς,
53 ἀποτίνειν κελεύει σε διπλάσια τὰ χρήματα. Καί μοι λέγε αὐτὸ τοῦτο τὸ τῆς συγ-
γραφῆς. Συγγραφή.

Ἐὰν δὲ μὴ παράσχωσιν ἐμφανῆ τὰ ὑποκείμενα, καὶ ἀνέπαφα, ἢ ποιήσωσί τι
παρὰ τὴν συγγραφήν, ἀποδιδότωσαν διπλάσια τὰ χρήματα. ἔστιν οὖν ὅπου
54 παρέσχηκας ἐμφανῆ τὴν ναῦν ἀφ' οὗ τὰ χρήματα ἔλαβες παρ' ἡμῶν, ὁμολογῶν
σῶαν εἶναι αὐτός; ἢ καταπέπλευκας ἐξ ἐκείνου τοῦ χρόνου εἰς τὸ Ἀθηναίων ἐμπόριον
τῆς συγγραφῆς διαρρήδην λεγούσης, εἰς τὸν Πειραιᾶ κατάγειν τὴν ναῦν, καὶ ἐμ-
φανῆ παρέχειν τοῖς δανείσασι; καὶ γὰρ τοῦτο, ὦ ἄνδρες Ἀθηναῖοι, θεάσασθε τὴν ὑπερ-
55 βολήν. ἐρράγη ἡ ναῦς, ὥς φασιν οὗτοι, καὶ διὰ τοῦτο εἰς Ῥόδον κατήγαγον αὐτήν. ὥς φασιν οὗ-
οὐκοῦν τὸ μετὰ τοῦτο ἐπεσκευάσθη καὶ πλεῖμος ἐγένετο. διὰ τί οὖν, ὦ βέλτιστε, εἰς τοι γρ. ὥς φη-
μὲν τὴν Αἴγυπτον καὶ τἄλλα ἐμπόρια ἐπέστελλες αὐτήν, Ἀθήναζε δ' οὐκ ἀπέσταλ- σιν οὗτος.
κας οὐδέ πω καὶ νῦν, πρὸς ἡμᾶς τοὺς δανείσαντας, οἷς ἡ συγγραφὴ κελεύει σε ἀνέ- πλώϊμος
56 παφον καὶ ἐμφανῆ τὴν ναῦν παρέχειν, καὶ ταῦτ' ἀξιούντων ἡμῶν, καὶ προσκα-
λεσαμένων σε πολλάκις; ἀλλ' οὕτως αὔθαδος εἶ, μᾶλλον δ' ἀναίσχυντος, ὥστε ἐκ
τῆς συγγραφῆς ὀφείλων ἡμῖν διπλάσια τὰ χρήματα, οὐκ οἴει δεῖν οὐδὲ τοὺς τόκους
τοὺς γινομένους ἀποδοῦναι, ἀλλὰ τοὺς εἰς Ῥόδον προστάττεις ἀπολαβεῖν, ὥσπερ τὸ σὸν
57 πρόσταγμα, τῆς συγγραφῆς δέον κυριώτερον γενέσθαι· καὶ τολμᾷς λέγειν ὡς οὐκ τολμᾷς
ἐσώθη ἡ ναῦς εἰς τὸν Πειραιᾶ, ἐφ' ᾧ δικαίως ἂν ἀποθάνοις ὑπὸ τῶν δικαστῶν. διὰ τίνα
γὰρ ἄλλον, ὦ ἄνδρες δικασταί, οὐ σέσωσται ἡ ναῦς εἰς τὸν Πειραιᾶ; πότερον δι' ἡμᾶς τοὺς
διαρρήδην δανείσαντας εἰς Αἴγυπτον καὶ εἰς Ἀθήνας, ἢ διὰ τοῦτον, καὶ τὸν κοινωνὸν αὐτοῦ;
58 οἳ ἐπὶ ταύταις ταῖς ὁμολογίαις δανεισάμενοι, ἐφ' ᾧ τε καταπλεῖν Ἀθήναζε, εἰς Ῥό-
δον κατήγαγον τὴν ναῦν; ὅτι δ' ἑκόντες, καὶ οὐκ ἐξ ἀνάγκης ταῦτ' ἔπραξαν,
δῆλον ἐκ πολλῶν. εἰ γὰρ ὡς ἀληθῶς ἀκούσιον τὸ συμβὰν ἐγένετο, καὶ ἡ ναῦς ἐρράγη, τὸ
μετὰ τοῦτ', ἐπειδὴ ἐπεσκεύασαν τὴν ναῦν, οὐκ ἂν εἰς ἕτερα δήπου ἐμπόρια ἐμί-
59 σθουν αὐτήν, ἀλλ' ὡς ἡμᾶς ἀπέστελλον ἐπανορθούμενοι τὸ ἀκούσιον σύμπτωμα.
νῦν δ' οὐχ ὅπως ἐπηνωρθώσαντο, ἀλλὰ πρὸς τοῖς ἐξ ἀρχῆς ἀδικήμασι, πολλῷ

μείζω

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μείζω προσεξημαρτήκασι. καὶ ὥσπερ ἐπὶ καταγέλωτι ἀντίδικοι ὄντες εἰσεληλύθα-
σιν, ὡς ἐπ᾽ αὐτοῖς ἐσόμενον, ἐὰν καταψηφίσησθε αὐτῶν, τἀρχαῖα μόνον ἀποδοῦναι,
καὶ τοὺς τόκους. ὑμεῖς οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ ἐπιτρέπετε τούτοις οὕτως ἔχουσι,
μηδ᾽ ἐπὶ δυοῖν ἀγκύραιν ὁρμεῖν αὐτοὺς ἐᾶτε, ὡς ἂν μὲν κατορθώσωσι, τὰ ἀλλό- 6
τρια ἕξοντας· ἐὰν δὲ μὴ δύνωνται ἐξαπατῆσαι ὑμᾶς, αὐτὰ τὰ ὀφειλόμενα *ἀπο-
δώσοντας· ἀλλὰ τοῖς ἐπιτιμίοις ζημιοῦτε τοῖς ἐκ τῆς συγγραφῆς. καὶ γὰρ ἂν δεινὸν
εἴη αὐτοὺς μὲν τούτους διπλασίαν καθ᾽ ἑαυτῶν τὴν ζημίαν γράψασθαι, ἐάν τι παρα-
βαίνωσι τῶν ἐν τῇ συγγραφῇ, ὑμᾶς δ᾽ ἠπιωτέρως ἔχειν πρὸς αὐτούς. καὶ ταῦτ᾽ οὐχ 6
ἧττον ἡμῶν συνηδικημένους. τὰ μὲν οὖν περὶ τοῦ πράγματος δίκαια, βραχέα
ἐστὶ καὶ εὐμνημόνευτα. ἐδανείσαμεν Διονυσοδώρῳ τούτῳ, καὶ τῷ κοινωνῷ αὐτοῦ, τρισ-
χιλίας δραχμὰς Ἀθήνηθεν εἰς Αἴγυπτον, καὶ ἐξ Αἰγύπτου Ἀθήναζε. οὐκ ἀπειλή-
φαμεν τὰ χρήματα, οὐδὲ τοὺς τόκους, ἀλλ᾽ ἔχουσι τὰ ἡμέτερα, καὶ χρῶνται δεύτε- 62
ρον ἔτος. οὐ κατακεκομίκασι τὴν ναῦν εἰς τὸ ὑμέτερον ἐμπόριον, οὐδ᾽ ἔτι καὶ νῦν, οὐ-
δ᾽ ἡμῖν παρεσχήκασιν ἐμφανῆ. ἡ δὲ συγγραφὴ κελεύει, ἐὰν μὴ παρέχωσιν ἐμφανῆ τὴν
ναῦν, ἀποτίνειν αὐτοὺς διπλάσια τὰ χρήματα· τὴν δὲ πρᾶξιν εἶναι, καὶ ἐξ ἑνὸς καὶ ἐξ
ἀμφοῖν. ταῦτ᾽ ἔχοντες τὰ δίκαια, εἰσεληλύθαμεν πρὸς ὑμᾶς, ἀξιοῦντες τὰ ὑ- 63
μέτερα αὐτῶν ἀπολαβεῖν δι᾽ ὑμῶν, ἐπειδὴ παρ᾽ αὐτῶν τούτων οὐ δυνάμεθα. ὁ μὲν
παρ᾽ ἡμῶν λόγος, οὗτός ἐστιν. οὗτοι δὲ δανείσασθαι μὲν ὁμολογοῦσι, καὶ μὴ ἀποδεδωκέ-
ναι· διαφέρεσθαι δ᾽ ὡς οὐ δεῖ τελεῖν αὐτοὺς τοὺς τόκους τοὺς ἐν τῇ συγγραφῇ, ἀλλὰ τοὺς
εἰς Ῥόδον, οὓς οὔτε συνεγράψαντο, οὔτ᾽ ἔπεισαν ἡμᾶς. εἰ μὲν οὖν, ὦ ἄνδρες Ἀθη- 64
ναῖοι, ἐν τῷ Ῥοδίων δικαστηρίῳ διεκρινόμεθα, ἴσως ἂν ἐπλεονέκτουν οὗτοι ἡμῶν, σε-
σιτηγηκότες πρὸς αὐτούς, καὶ καταπεπλευκότες τῇ νηὶ εἰς τὸ ἐκείνων ἐμπόριον. νῦν
δ᾽ εἰς Ἀθηναίους εἰσεληλυθότες καὶ συγγεγραμμένοι εἰς τὸ ὑμέτερον ἐμπόριον, οὐκ
ἀξιοῦμεν ἐλαττωθῆναι ὑπὸ τῶν καὶ ὑμᾶς καὶ ἡμᾶς ἠδικηκότων. χωρὶς δὲ τούτων, ὦ 65
ἄνδρες Ἀθηναῖοι, μὴ ἀγνοεῖτε, ὅτι νυνὶ μίαν δίκην δικάζοντες, νομοθετεῖτε ὑπὲρ
ὅλου τοῦ ἐμπορίου. καὶ παρεστᾶσι πολλοὶ τῶν κατὰ θάλατταν ἐργάζεσθαι προαιρου-
μένων, ὑμᾶς θεωροῦντες πῶς τὸ πρᾶγμα τουτὶ *κρίνετε. εἰ μὲν γὰρ ὑμεῖς τὰς
*συγγραφάς, καὶ τὰς ὁμολογίας τὰς πρὸς ἀλλήλους γιγνομένας, ἰσχυρὰς οἰήσεσθε δεῖν 66
εἶναι, καὶ τοῖς παραβαίνουσιν αὐτὰς μηδεμίαν συγγνώμην ἕξετε, ἑτοιμότερον *προή-
σονται τὰ ἑαυτῶν, οἱ ἐπὶ τοῦ ἐμπορίου δανείζοντες, ἐκ δὲ τούτων αὐξηθήσεται ἡμῖν
τὸ ἐμπόριον. εἰ μέντοι ἐξέσται *τοῖς ναυκλήροις συγγραφὴν *γραψαμένοις ἐφ᾽ ᾧ-
τε καταπλεῖν εἰς Ἀθήνας, ἔπειτα κατάγειν τὴν ναῦν εἰς ἕτερα ἐμπόρια, φάσκον- 67
τας ῥαγῆναι, καὶ τοιαύτας προφάσεις *ποριζομένους, οἵαισπερ Διονυσόδωρος οὑτο-
σὶ χρῆται, καὶ τοὺς τόκους *μερίζειν πρὸς τὸν πλοῦν, ὃν ἂν φήσωσι πεπλευκέναι,
καὶ μὴ πρὸς τὴν συγγραφήν, οὐδὲν κωλύσει ἅπαντα τὰ συμβόλαια διαλύε-
σθαι. τίς γὰρ ἐθελήσει τὰ ἑαυτοῦ προέσθαι, ὅταν ὁρᾷ τὰς μὲν συγγραφὰς ἀκύ- 68
ρους, ἰσχύοντας δὲ τοὺς τοιούτους λόγους, καὶ τὰς αἰτίας τῶν ἠδικηκότων, ἔμπροσθεν οὔ-
σας τοῦ δικαίου; μηδαμῶς, ὦ ἄνδρες δικασταί· οὔτε γὰρ τῷ πλήθει τῷ ὑμετέρῳ
συμφέρει ταῦτα, οὔτε τοῖς ἐργάζεσθαι προῃρημένοις, οἵπερ χρησιμώτατοί εἰσι,
καὶ κοινῇ πᾶσιν *ἡμῖν, καὶ ἰδίᾳ τῷ ἐντυγχάνοντι. διόπερ δεῖ ὑμᾶς αὐτῶν ἐπιμελεῖσθαι 69
ποιεῖσθαι. ἐγὼ μὲν οὖν, ὅσαπερ οἷός τ᾽ ἦν, εἴρηκα. ἀξιῶ δὲ καὶ τῶν φίλων μοί τινα
συνειπεῖν. δεῦρο Δημόσθενες.

*ἀποδώσοντας

*κρινεῖτε.

*συνθήκας

*προήσονται

*τοῖς συνναυκλήροις

*συγγεγραμμένοις

*καὶ προφασιζομένους.

*μερίζεσθαι

*ὑμῶν

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΕΥΒΟΥΛΙΔΗΝ ΛΟΓΟΥ.

Γράφεται νόμος παρ' Ἀθηναίοις, γενέσθαι ζήτησιν πάντων τῶν ἐγγεγραμμένων τοῖς ληξιαρχικοῖς γραμματείοις, εἴτε γνήσιοι πολῖταί εἰσιν, εἴτε μή· τοὺς δὲ μὴ γεγονότας ἐξ ἀστοῦ, καὶ ἐξ ἀστῆς, ἐξαλείφεσθαι· διαψηφίζεσθαι δὲ περὶ πάντων τοὺς δημότας· καὶ τοὺς μὲν ἀποψηφισθέντας καὶ ἐμμείναντας τῇ ψήφῳ τῶν δημοτῶν, ἐξαληλίφθαι, καὶ εἶναι μετοίκους· τοῖς δὲ βουλομένοις ἔφεσιν εἰς δικαστὰς δεδόσθαι, κἂν μὲν ἁλῶσι, καὶ παρὰ τῷ δικαστηρίῳ πεπρᾶσθαι. ἐὰν δὲ ἀποφύγωσιν, εἶναι πολίτας. κατὰ τοῦτον τὸν νόμον τῶν ἁλιμουσίων δήμου διαψηφιζομένου, ἀποψηφίζεται εὐξίθεός τις, φάσκων δὲ ὑπὸ τοῦ εὐβουλίδου ἐχθροῦ ὄντος καταστασιάσθαι, ἐφῆκεν εἰς τὸ δικαστήριον· καὶ ἐπιδείκνυσιν ἑαυτὸν ἐξ ἀστοῦ καὶ ἐξ ἀστῆς. εἰ δὲ ἐτίτθευσεν ἡ μήτηρ μου, δι' ἀπορίαν τοῦτο ἐποίησεν. ὁ δὲ πατὴρ ἐξένισε τῇ γλώττῃ, αἰχμάλωτος γενόμενος, καὶ πραθείς. δεῖ δὲ μὴ τὰ ἀτυχήματα προσφέρειν, ἀλλὰ τὰ γένη ζητεῖν.

...ίτθευσεν ἡ ...ήτηρ) Τουτέ... ...ὶ τὴν ἐγκύ... ...ο, καὶ τροφός. ὃ δὲ σημαί... θητεύειν· ...εἶναι γὰρ θη... ...ῶν, τὸ ἐπὶ ...ῶν ἐργάζ... ...αι.

# ΔΗΜΟΣΘΕΝΟΥΣ ΕΦΕΣΙΣ

## ΠΡΟΣ ΕΥΒΟΥΛΙΔΗΝ.

1 ΠΟΛΛΑ * ψευδῆ κατηγορηκότος ἡμῶν εὐβουλίδου, καὶ βλασφημίας οὔτε προσηκούσας, οὔτε δικαίας πεποιημένου, πειράσομαι τἀληθῆ καὶ τὰ δίκαια λέγων, ὦ ἄνδρες δικασταί, δεῖξαι, καὶ μετὸν τῆς πόλεως ἡμῖν, καὶ πεπονθότα ἐμαυτὸν οὐχὶ προσήκοντα ὑπὸ τούτου. δέομαι δὲ ἁπάντων ὑμῶν, ὦ ἄν-

2 δρες δικασταί, ἱκετεύω καὶ ἀντιβολῶ, λογισαμένους τό, τε μέγεθος τοῦ παρόντος ἀγῶνος, καὶ τὴν αἰσχύνην, μεθ' ἧς ὑπάρχει τοῖς ἁλισκομένοις ἀπολωλέναι, ἀκοῦσαι καὶ ἐμοῦ σιωπῇ, μάλιστα μὲν εἰ δυνατόν, μετὰ πάσης εὐνοίας, ἢ τούτου· τοῖς γὰρ ἐν κινδύνῳ καθεστηκόσιν, εἰκὸς εὐνοϊκωτέρους ὑμᾶς ὑπάρχειν· εἰ δὲ μή, μετά γε τῆς ἴσης. * πλείοσι

3 συμβαίνει δέ μοι τὸ μὲν καθ' ὑμᾶς, ὦ ἄνδρες δικασταί, καὶ τὸ προσήκειν μοι τῆς πόλεως, θαρρεῖν, καὶ πολλὰς ἔχειν ἐλπίδας καλῶς ἀγωνιεῖσθαι· τὸν καιρὸν δέ, καὶ τὸ παρωξύνθαι τὴν πόλιν πρὸς τὰς ἀποψηφίσεις, φοβεῖσθαι· πολλῶν γὰρ ἐξεληλαμένων δικαίως ἐκ πάντων τῶν δήμων, συγκεκοινωνήκαμεν τῆς δόξης ταύτης οἱ κα-

4 τεστασιασμένοι· καὶ πρὸς τὴν κατ' ἐκείνων αἰτίαν, οὐ πρὸς τὸ καθ' αὑτόν, ἕκαστος ἀγωνιζόμεθα· ὥστ' ἐξ ἀνάγκης μέγαν ἡμῖν εἶναι τὸν φόβον. οὐ μὴν ἀλλὰ καίπερ τούτων οὕτως ἐχόντων, ἃ νομίζω περὶ τούτων αὐτῶν πρῶτον εἶναι δίκαια, ἐρῶ πρὸς ὑμᾶς· ἐγὼ γὰρ οἴομαι δεῖν ὑμᾶς τοῖς μὲν ἐξελεγχομένοις ξένοις οὖσι χαλεπαίνειν, εἰ

5 μήτε πείσαντες, μήτε δεηθέντες ὑμῶν, λάθρᾳ καὶ βίᾳ τῶν ὑμετέρων ἱερῶν, καὶ κοινῶν μετεῖχον· τοῖς δ' ἠτυχηκόσι, καὶ δεικνύουσι πολίτας ὄντας αὑτούς, βοηθεῖν καὶ σῴζειν, ἐνθυμουμένους ὅτι πάντων οἰκτρότατον πάθος ἡμῖν ἂν συμβαίη τοῖς ἠδικημένοις, εἰ τῶν λαμβανόντων δίκην ὄντες ἂν δικαίως μεθ' ὑμῶν, ἐν τοῖς διδοῦσι γε-

6 νοίμεθα, καὶ συναδικηθείημεν διὰ τὴν τοῦ πράγματος ὀργήν. ᾤμην μὲν οὖν ἔγωγε, ὦ ἄνδρες δικασταί, προσήκειν εὐβουλίδῃ, καὶ πᾶσι δέ, ὅσοι νῦν ἐπὶ ταῖς ἀποψηφίσεσι κατηγοροῦσιν, ὅσα ἴσασιν ἀκριβῶς, λέγειν, καὶ μηδεμίαν προσάγειν ἀκοὴν πρὸς τὸν τοιοῦτον ἀγῶνα· οὕτω γὰρ τοῦτο ἄδικον καὶ σφόδρα, πάλαι κέκρι-

7 ται, ὥστε οὐδὲ μαρτυρεῖν ἀκοὴν ἐῶσιν οἱ νόμοι, οὐδ' ἐπὶ τοῖς φαύλοις πάνυ ἐγκλήμασιν, εἰκότως· ὅπου γὰρ εἰδέναι τινὲς ἤδη φήσαντες, ψευδεῖς ἐφάνησαν, πῶς ἄν γε μηδ' αὐτὸς οἶδεν ὁ λέγων, προσήκει πιστεύεσθαι; ἀλλὰ μὴν ὅπου γε μηδ' ὑπεύθυνον καθιστάντα ἑαυτόν, ἔξεστι δι' ὧν ἀκοῦσαί τις φῇ, βλάπτειν μηδένα,

8 πῶς ἂν ὑπευθύνῳ γε λέγοντι προσήκει πιστεύειν ὑμᾶς; ἐπειδὴ τοίνυν οὗτος εἰδὼς τοὺς νόμους, καὶ μᾶλλον ἢ προσῆκεν, ἀδίκως καὶ πλεονεκτικῶς τὴν κατηγορίαν πεποίηται,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πεποίηται, ἀναγκαῖον ἐμοὶ περὶ ὧν ἐν τοῖς δημόταις ὑβρίσθην, πρῶτον εἰπεῖν. ἀ-
ξιῶ δ', ὦ ἄνδρες Ἀθηναῖοι, μηδέπω τὴν τῶν δημοτῶν ἀποψήφισιν ποιεῖσθαι
τεκμήριον ὑμᾶς, ὡς ἄρ' οὐχὶ προσήκει μοι τῆς πόλεως. εἰ γὰρ πάντα ἐνομίζετε
τὰ δίκαια δύνασθαι τοὺς δημότας διακρῖναι, οὐκ ἂν ἐδώκατε τὴν εἰς ὑμᾶς ἔ-
φεσιν, νῦν δὲ διὰ φιλονικίαν, καὶ δι' ἔχθραν, καὶ δι' ἄλλας προφάσεις ἔσεσθαί τι
τοιοῦτον ἡγούμενοι, τὴν εἰς ὑμᾶς τοῖς ἀδικηθεῖσιν ἐποιήσατε καταφυγήν· δι' ἣν
καλῶς ποιοῦντες, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς ἠδικημένους ἅπαντας σεσώκατε. πρῶ- 1
τον μὲν οὖν ὃν τρόπον ἐν τοῖς δημόταις συνέβη τὴν διαψήφισιν γενέσθαι, φρά-
σω πρὸς ὑμᾶς. τὸ γὰρ εἰς αὐτὸ τὸ πρᾶγμα πάντα λέγειν, τοῦτ' ἐγὼ ὑπολαμ-
βάνω, ὅσα τις παρὰ τὸ ψήφισμα πέπονθεν ἀδίκως καταστασιασθείς, ἐπιδεῖξαι. Εὐ-
βουλίδης γὰρ οὑτοσί, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς ὑμῶν ἴσασι πολλοί, γραψάμενος ἀσε- 1
βείας τὴν ἀδελφὴν τοῦ Λακεδαιμονίου, τὸ πέμπτον μέρος τῶν ψήφων οὐ μετέλα-
βεν. ὅτι δὴ ἐν ἐκείνῳ τῷ ἀγῶνι τὰ δίκαια, τούτῳ δὲ τἀναντία ἐμαρτύρησα, διὰ
ταύτην τὴν ἔχθραν ἐπιτίθεταί μοι. καὶ βουλεύων, ὦ ἄνδρες δικασταί, καὶ κύριος ὢν
τοῦ τε ὅρκου, καὶ τῶν γραμματείων, ἐξ ὧν ἐκάλει τοὺς δημότας, τί ποιεῖ; πρῶτον 11
μὲν, ἐπειδὴ συνελέγησαν οἱ δημόται, κατέτριψε τὴν ἡμέραν δημηγορῶν, καὶ ψη-
φίσματα γράφων. τοῦτο δ' ἦν οὐκ ἀπὸ τοῦ αὐτομάτου, ἀλλ' ἐπιβουλεύων ἐμοί, ὅ-
**γένοιτο, διεπρ.*
πως ὡς ὀψιαίτατα ἡ διαψήφισις ἡ περὶ ἐμοῦ *γένοιτο. καὶ διεπράξατο τοῦτο. καὶ
τῶν μὲν δημοτῶν οἱ ὀμόσαντες, ἐγενόμεθα τρεῖς καὶ ἑβδομήκοντα· ἠρξάμεθα δὲ τοῦ 13
**ἐκαλεῖτο,*
διαψηφίζεσθαι, δείλης ὀψίας. ὥστε συνέβη ἡνίκα τοὐμὸν ὄνομα *ἐκάλει, τὸ σκότος
ἤδη εἶναι· καὶ γὰρ ἦν περὶ ἑξηκοστόν. καὶ ἐκλήθην ὕστατος ἁπάντων τῶν ἐν ἐκείνῃ τῇ
ἡμέρᾳ κληθέντων, ἡνίκα οἱ μὲν πρεσβύτεροι τῶν δημοτῶν ἀπεληλύθεσαν εἰς τοὺς
ἀγρούς. τοῦ γὰρ δήμου ἡμῖν, ὦ ἄνδρες δικασταί, πέντε καὶ τριάκοντα στάδια τοῦ ἄ- 14
στεος ἀπέχοντος, καὶ τῶν πλείστων ἐκεῖ οἰκούντων, ἀπεληλύθεσαν οἱ πολλοί· οἱ δὲ κα-
ταλοιποὶ ἦσαν πλείους ἢ τριάκοντα. ἐν δὲ τούτοις ἦσαν ἅπαντες οἱ τούτῳ παρε-
σκευασμένοι. ἐπειδὴ δὲ ἐκλήθη τὸ ἐμὸν ὄνομα, ἀναπηδήσας οὗτος, ἐβλασφήμει κα-
τ' ἐμοῦ ταχὺ, καὶ πολλὰ, καὶ μεγάλῃ τῇ φωνῇ, ὥσπερ καὶ νῦν. μάρτυρα μὲν ὧν 15
κατηγόρησεν οὐδένα παρασχόμενος, οὔτε τῶν δημοτῶν, οὔτε τῶν ἄλλων πολιτῶν.
παρεκελεύετο δὲ τοῖς δημόταις ἀποψηφίζεσθαι. ἀξιοῦντος δέ μου εἰς τὴν ὑστεραίαν
ἀναβαλέσθαι διά τε τὴν ὥραν, καὶ τὸ μηδένα μοι παρεῖναι, τό τε πρᾶγμα ἄ-
φνω προσπεπτωκέναι, ἵνα τούτῳ τε ἐξουσία προσγένοιτο ὁπόσα βούλοιτο κατη- 16
γορῆσαι, καὶ μάρτυρας, εἴ τινας ἔχοι, παρασχέσθαι, ἐμοί τε ἐγγένοιτο ἀπολογήσα-
**ὅ τι, ἂν γνοίησαν π.*
σθαι ἐν ἅπασι τοῖς δημόταις, καὶ τοὺς οἰκείους μάρτυρας παρασχέσθαι· καὶ *ὅτι γνοίη-
σαν περὶ ἐμοῦ, τούτοις ἤθελον ἐμμένειν· οὗτος ὧν μὲν ἐγὼ προὐκαλούμην, οὐδὲν
ἐφρόντισε· τὴν δὲ ψῆφον εὐθὺς ἐδίδου τοῖς παροῦσι τῶν δημοτῶν, οὔτε ἀπολογίαν 17
οὐδεμίαν δούς, οὔτ' ἔλεγχον οὐδένα ἀκριβῆ ποιήσας. οἱ δὲ τούτῳ συνεστῶτες, ἀνα-
πηδήσαντες ἐψηφίζοντο. καὶ ἦν μὲν σκότος· οἱ δὲ, λαμβάνοντες δύο καὶ τρεῖς ψή-
φους ἕκαστος παρὰ τούτου, ἐνέβαλλον εἰς τὸν καδίσκον. σημεῖον δέ. οἱ μὲν γὰρ ψη-
φισάμενοι, οὐ πλείους ἢ τριάκοντ' ἦσαν· αἱ δὲ ψῆφοι ἠριθμήθησαν πλείους ἢ ἑ- 18
ξήκοντα, ὥστε πάντας ἡμᾶς ἐκπλαγῆναι. καὶ ταῦτα ὡς ἀληθῆ λέγω, καὶ ὅτι οὔτε
***ἡ ψῆφος ἅπασι,*
ἐδόθη **ἡ ψῆφος ἐν ἅπασι, πλείους τε ἐγένοντο τῶν ψηφισαμένων, μάρτυρας ὑμῖν
παρέξομαι. συμβαίνει δέ μοι περὶ τούτων τῶν μὲν φίλων, ἢ τῶν ἄλλων Ἀθηναίων

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

19 μηδένα μάρτυρα παρεῖναι, διά τε τὴν ὥραν, καὶ διὰ τὸ μηδένα παρακαλέσαι·
αὐτοῖς δὲ τοῖς ἠδικηκόσι με *χρήσασθαι μάρτυσιν. ἃ οἶμαι οὐ δυνήσονται ἔξαρνοι γε- *κεχρῆσθαι
νέσθαι, ταῦτα γέγραφα αὐτοῖς. λέγε. Μαρτυρία.

Εἰ μὲν τοίνυν, ὦ ἄνδρες δικασταί, συνέβαινε τοῖς ἁλιμουσίοις περὶ ἁπάντων τῶν
20 δημοτῶν διαψηφίσασθαι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, εἰκὸς ἦν καὶ εἰς ὀψὲ ψηφίζεσθαι,
ἵνα ἀπηλλαγμένοι εἴησαν, ποιήσαντες τὰ ὑμῖν ἐψηφισμένα. εἰ δὲ πλείους, ἢ εἴκοσι,
ὑπόλοιποι ἦσαν τῶν δημοτῶν, περὶ ὧν ἔδει τῇ ὑστεραίᾳ διαψηφίσασθαι, καὶ ὁ-
μοίως ἦν ἀνάγκη συλλέγεσθαι τοὺς δημότας, τί ποτ᾽ ἦν τὸ δυσχερὲς εὐβουλίδῃ ἀ-
21. ναβαλέσθαι εἰς τὴν ὑστεραίαν, καὶ περὶ ἐμοῦ πρώτου τὴν ψῆφον διδόναι τοῖς δη-
μόταις; διότι, ὦ ἄνδρες δικασταί, οὐκ ἠγνόει εὐβουλίδης ὅτι εἰ λόγος ἀποδοθήσοιτο,
καὶ παραγένοιντό μοι πάντες οἱ δημόται, καὶ ἡ ψῆφος δικαίως δοθείη, οὐδαμοῦ φανή-
σονται οἱ μετὰ τούτου συνεστηκότες. ὅθεν δὴ οὗτοι συνέστησαν, ταῦτα, ἐπειδὰν περὶ τοῦ
22 γένους εἴπω, τότε, ἂν βούλησθε, *λέγειν ἐθέλω. νῦν δὲ τί δίκαιον νομίζω, καὶ τί παρε- *ἀκούειν.
σκεύασμαι ποιεῖν, ἄνδρες δικασταί, δεῖξαι πρὸς ὑμᾶς ἐμαυτὸν ἀθηναῖον ὄντα καὶ τὰ ἐμὲ λέγειν.
πρὸς πατρὸς, καὶ τὰ πρὸς μητρὸς· καὶ μάρτυρας τούτων, οὓς ὑμεῖς ἀληθεῖς φήσετε
εἶναι, παρασχέσθαι· τὰς δὲ λοιδορίας καὶ τὰς αἰτίας ἀνελεῖν. ὑμᾶς δ᾽ ἀκούσαντας τού-
23 των, ἐὰν μὲν ὑμῖν πολίτης ὢν κατεστασιάσθαι δοκῶ, σώζειν· εἰ δὲ μὴ, πράττειν ὁποῖον
ἂν ὑμῖν εὐσεβὲς εἶναι δοκῇ. ἄρξομαι δὲ ἐντεῦθεν. διαβεβλήκασι γάρ μου τὸν
πατέρα, ὡς ἐξένιζε· καὶ ὅτι μὲν ἁλοὺς ὑπὸ τῶν πολεμίων ὑπὸ τὸν *δεκελικὸν πό- *δεκελεικὸν
λεμον, καὶ πραθεὶς εἰς λευκάδα, λεάνδρῳ περιτυχὼν τῷ ὑποκριτῇ, πρὸς τοὺς
24 οἰκείους *ἐσώθη δεῦρο πολλοστῷ χρόνῳ, παραλελοίπασιν· ὥσπερ δὲ δέον ὑμᾶς δι᾽ ἐ- *διεσώθη
κείνας τὰς ἀτυχίας ἀπολέσθαι, τὸ ξενίζειν αὐτοῦ κατηγορήκασιν. ἐγὼ δ᾽ ἐξ αὐτῶν
τούτων μάλιστ᾽ ἂν οἶμαι ὑμῖν ἀθηναῖον ὄντα ἐπιδείξειν. καὶ πρῶτον μὲν ὡς ἑάλω
καὶ ἐσώθη, μάρτυρας ὑμῖν παρέξομαι· ἔπειτα, ὅτι ἀφικόμενος, τῆς οὐσίας παρὰ τῶν
25 θείων τὸ μέρος μετέλαβεν· εἶτα, ὅτι οὔτε ἐν τοῖς δημόταις, οὔτ᾽ ἐν τοῖς φράτορσιν, οὔτε
ἄλλοθι οὐδαμοῦ τὸν ξενίζοντα οὐδεὶς πώποτε ᾐτιάσατο ὡς εἴη ξένος. καί μοι λάβε τὰς
μαρτυρίας.

Μαρτυρίαι.

Περὶ μὲν τῆς ἁλώσεως, καὶ τῆς σωτηρίας, ἣν συνέβη γενέσθαι τῷ πατρὶ δεῦ-
26 ρο, ἀκηκόατε. ὡς δ᾽ ὑμέτερος ἦν πολίτης, ὦ ἄνδρες δικασταί· τὸ γὰρ ὂν, καὶ ἀληθὲς οὕ-
τως ὑπάρχει· μάρτυρας καλῶ τοὺς ζῶντας *ὑμῖν τῶν συγγενῶν τῶν πρὸς πατρός. *ἡμῖν
κάλει δέ μοι πρῶτον μὲν θουκριτίδην καὶ χαρισιάδην· ὁ γὰρ τούτων πατὴρ χαρεί-
σιος, ἀδελφὸς ἦν τοῦ πάππου τοῦ ἐμοῦ θουκριτίδου, καὶ τῆς λυσαρέτης τῆς ἐμῆς τή-
27 θης· θεῖος δὲ τοῦ πατρὸς τοῦ ἐμοῦ· ἀδελφὴν γὰρ ὁ πάππος οὑμὸς ἔγημεν οὐχ ὁμομη-
τρίαν. ἔπειτα νικιάδην· καὶ γὰρ ὁ τούτου πατὴρ λυσανίας, ἀδελφὸς ἦν τοῦ θουκρι-
τίδου, καὶ τῆς λυσαρέτης· θεῖος δὲ τοῦ πατρὸς τοῦ ἐμοῦ· ἔπειτα νικόστρατον· καὶ γὰρ ὁ τού-
του πατὴρ νικιάδης, ἀδελφιδοῦς ἦν τῷ πάππῳ τῷ ἐμῷ, καὶ τῇ τήθῃ· ἀνεψιὸς δὲ
28 τῷ πατρί. καί μοι κάλει τούτους πάντας. σὺ δ᾽ *ὑπόλαβε τὸ ὕδωρ. *ἐπίλαβε

Μάρτυρες.

Τῶν μὲν τοίνυν πρὸς ἀνδρῶν τῷ πατρὶ συγγενῶν, ἀκηκόατε, ὦ ἄνδρες ἀθη-
ναῖοι, καὶ μαρτυρούντων καὶ διομνυμένων *εἶναι καὶ συγγενῆ τὸν ἐμὸν πατέρα αὐτοῖς. *εἶναι πολίτην καὶ
29 ὧν οὐδεὶς δήπου παραστησάμενος τοὺς συνεισομένους αὑτῷ τὰ ψευδῆ μαρτυροῦν-
τα, κατ᾽ ἐξωλείας ἐπιορκεῖ. λάβε δὴ καὶ τὰς πρὸς γυναικῶν τῷ πατρὶ συγγε-
νῶν μαρ.

τὰς μαρτυρίας. Μαρτυρίαι.

Οἱ μὲν τοίνυν ζῶντες οὗτοι τῶν συγγενῶν τοῦ πατρὸς καὶ πρὸς ἀνδρῶν καὶ πρὸς
γυναικῶν, μεμαρτυρήκασιν, ὡς ἦν ἀμφοτέρωθεν Ἀθηναῖος· καὶ μετῆν τῆς πόλεως 30
αὐτῷ δικαίως. κάλει δή μοι καὶ τοὺς φράτορας· ἔπειτα τοὺς * γεννήτας.

* γεννηταί.

Μάρτυρες.

Λαβὲ δὴ καὶ τὰς τῶν δημοτῶν μαρτυρίας, καὶ τὰς τῶν συγγενῶν περὶ τῶν φρα-
τόρων, ὡς εἵλοντό με φρατρίαρχον. Μαρτυρίαι. 31

Τὰ μὲν τοίνυν ὑπὸ τῶν συγγενῶν φρατόρων καὶ δημοτῶν καὶ γεννητῶν, ὧν
προσήκει, μαρτυρούμενα ἀκηκόατε. ἐξ ὧν ἔστιν ὑμῖν εἰδέναι, πότερόν ποτε ἀστὸς,
ἢ ξένος ἦν ᾧ ταῦθ' ὑπῆρχε· καὶ γὰρ εἰ μὲν εἰς ἕνα ἢ δύο ἀνθρώπους κατεφεύγο-
μεν, εἴχομεν ἄν τινα ὑποψίαν παρεσκευάσθαι τούτους. εἰ δ' ἐν ἅπασιν, ὅσοις περ 32
ἕκαστος ὑμῶν ἐξητασμένος φαίνεται, καὶ ζῶν ὁ πατὴρ, καὶ νῦν ἐγὼ λέγω, φράτορ-
σι, συγγενέσι, δημόταις, γεννήταις· πῶς ἔνεστιν, ἢ πῶς δυνατὸν τούτους ἅπαντας μὴ
μετ' ἀληθείας ὑπάρχοντας κατεσκευάσθαι; εἰ μὲν τοίνυν εὔπορος ὢν ὁ πατὴρ, χρή-
ματα δοὺς τούτοις ἐφαίνετο πείσας συγγενεῖς αὐτοὺς ἑαυτοῦ φάσκειν εἶναι, λόγον εἶχεν 33
ὑποψίαν τιν' ἔχειν, ὡς οὐκ ἦν ἀστός· εἰ δὲ πένης ὢν ἅμα συγγενεῖς τε παρείχετο
τοὺς αὐτοὺς, καὶ μεταδιδόντας τῶν ὄντων ἐπεδείκνυε, πῶς οὐκ εὔδηλον, ὅτι τῇ ἀλη-
θείᾳ προσήκει τούτοις; οὐ γὰρ ἂν δήπου, εἴγε μηδενὶ ἦν οἰκεῖος, χρήματ' αὐτῷ
προστιθέντες οὗτοι, τοῦ γένους * μετεδίδοσαν. ἀλλ' ἦν, ὥς τό, τε ἔργον ἐδήλωσε, καὶ 34
ὑμῖν μεμαρτύρηται. ἔτι τοίνυν ἀρχὰς ἔλαχε, καὶ ἦρξε δοκιμασθείς. καί μοι λαβὲ
τὴν μαρτυρίαν. Μαρτυρία.

* μετεδίδοσαν· ἀλλ' ὡς ἀνοίκειον, καὶ τοῦ τε γένους, καὶ τῆς πόλεως [illegible], τῆς τῶν χρημάτων κοινωνίας ἀπηξίωσαν. ἀλλ' ἦν, * ὑμῶν

Οἴεταί τις οὖν ὑμῶν ἐᾶσαι ποτ' ἂν τοὺς δημότας ἐκεῖνον ξένον καὶ μὴ πολίτην
ἄρχειν παρ' αὐτοῖς, ἀλλ' οὐκ ἂν κατηγορεῖν; οὐ τοίνυν κατηγόρησεν οὐδὲ εἷς, οὐδ' ᾐ- 35
τιάσατο. ἀλλὰ μὴν, καὶ διαψηφίσεις ἐξ ἀνάγκης ἐγένοντο τοῖς δημόταις ὀμόσασι
καθ' ἱερῶν, ὅτ' ἀπώλετο αὐτοῖς τὸ ληξιαρχικὸν γραμματεῖον δημαρχοῦντος Ἀν-
τιφίλου τοῦ πατρὸς τοῦ Εὐβουλίδου. καί τινας ἀπήλασαν αὐτῶν· περὶ ἐκείνου δ' οὐδεὶς
οὔτ' εἶπεν, οὔτ' ᾐτιάσατο τοιοῦτον οὐδέν. καίτοι πᾶσίν ἐστιν ἀνθρώποις τέλος τοῦ βίου 36
θάνατος. καὶ περὶ ὧν μὲν ἄν τις ζῶν αἰτίαν σχῇ περὶ τοῦ γένους, δίκαιον τοὺς παῖδας
τὴν ἀπολογίαν παρέχειν. περὶ ὧν δ' ἂν μηδεὶς αὐτὸν ζῶντα καταιτιάσηται, πῶς
οὐ δεινὸν, εἰ τοὺς παῖδας ὁ βουλόμενος κρινεῖ; εἰ μὲν τοίνυν περὶ τούτων μηδεὶς λό-
γος ἐξητάσθη, δῶμεν τοῦτο λεληθέναι. εἰ δ' ἐδόθη, καὶ διεψηφίσαντο, καὶ μηδεὶς ᾐ- 37
τιάσατο πώποτε μηδεὶς, πῶς οὐ δικαίως ἂν ἐγὼ κατ' ἐκεῖνον Ἀθηναῖος εἴην, τὸν
τελευτήσαντα πρὶν ἀμφισβητηθῆναι * τοῦ γένους αὐτῷ; ὡς δὴ ταῦτ' ἀληθῆ λέγω,
κάλει καὶ τούτων μάρτυρας. Μάρτυρες.

* τὸ γένος

Ἔτι τοίνυν παίδων αὐτῷ τεττάρων γενομένων ὁμομητρίων ἐμοὶ, καὶ τελευ-
τησάντων, ἔθαψε τούτους εἰς τὰ πατρῷα μνήματα· ὧν ὅσοιπερ εἰσὶ τοῦ γένους, 38
κοινωνοῦσι. καὶ τούτων οὐδεὶς οὐκ ἀπεῖπε πώποτε, οὐκ ἐκώλυσεν, οὐ δίκην ἔλα-
χε. καίτοι * τίς ἂν ἔστιν, ὅστις εἰς τὰ πατρῷα μνήματα τοὺς ¹ μηδὲν ἐν γένει τιθέντας
ἐάσαι; ὡς τοίνυν καὶ ταῦτ' ἀληθῆ λέγω, λαβὲ τὴν μαρτυρίαν. 39

* τίς ἐστιν, ὅστις. γρ. τίς ἂν εἴη, ὅστις

¹ μηδὲν γένει προσήκοντας ἐνθεῖναι ἐάσαι;

Μαρτυρία.

Περὶ μὲν τοίνυν τοῦ πατρὸς ὡς Ἀθηναῖος ἦν, ταῦτ' ἔχω λέγειν. καὶ μάρτυ-
ρας παρέσχημαι τοὺς ὑπ' αὐτῶν τούτων ἐψηφισμένους εἶναι πολίτας, μαρτυροῦν-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

40 τας ἐκεῖνοι ἑαυτοῖς ἀνεψιὸν εἶναι. φαίνεται δὲ βιοὺς ἔτη τοσαῦτα καὶ τόσα ἐνθάδε, καὶ οὐ-
δαμοῦ πώποτε ὡς ξένος ἐξετασθείς, ἀλλὰ πρὸς τούτους ἰὼν συγγενεῖς κατα-
φυγών, οὔτι δὲ καὶ προσδεχόμενοι, καὶ τῆς οὐσίας μεταδιδόντες, ὡς αὐτῶν ἑνί·
τοῖς χρόνοις τοίνυν οὕτω φαίνεται γεγονώς, ὥστε εἰ καὶ καθ' ἁτέρα ἀστὸς ἦν, εἶ-
41 ναι πολίτην προσήκειν αὐτόν. γέγονε γὰρ πρὸ Εὐκλείδου. περὶ δὲ τῆς μητρὸς, καὶ
γὰρ καὶ ταύτην διαβεβλήκασί μου, λέξω. καὶ μάρτυρας ὧν ἂν λέγω, καλῶ. καί-
τοι, ὦ ἄνδρες Ἀθηναῖοι, οὐ μόνον παρὰ τὰ ψηφίσματα τὰ περὶ τὴν ἀγορὰν διέ-
βαλεν ἡμᾶς Εὐβουλίδης, ἀλλὰ καὶ παρὰ τοὺς νόμους, οἳ κελεύουσιν ἔνοχον εἶναι τῇ
42 κατηγορείᾳ τὸν τὴν ἐργασίαν τὴν ἐν τῇ ἀγορᾷ, ἢ τῶν πολιτῶν, ἢ τῶν πολιτίδων
ὀνειδίζοντά τινι. ἡμεῖς δὲ ὁμολογοῦμεν καὶ ταινίας πωλεῖν, καὶ ζῆν οὐχ ὅντινα τρό-
πον βουλόμεθα. καὶ εἴ σοι ἐστὶ τοῦτο σημεῖον, ὦ Εὐβουλίδη, τοῦ μὴ Ἀθηναίους εἶναι
ὑμᾶς, ἐγώ σοι τούτου ὅλως τοὐναντίον ἐπιδείξω, ὅτι οὐκ ἔξεστι ξένῳ ἐν τῇ ἀγορᾷ
43 ἐργάζεσθαι. καί μοι λαβὼν ἀνάγνωθι πρῶτον τὸν Σόλωνος νόμον.

Νόμος.

Λαβὲ δὴ καὶ τὸν Ἀριστοφῶντος· οὕτω γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτον ἔδοξεν ἐκεῖ-
νος καλῶς καὶ δημοτικῶς νομοθετῆσαι, ὥστε ψηφίσασθαι πάλιν ἀνανεώσασθαι.

44 Νόμος.

Προσήκει τοίνυν ὑμῖν βοηθοῦσι τοῖς νόμοις, μὴ τοὺς ἐργαζομένους, ξένους νο-
μίζειν, ἀλλὰ τοὺς συκοφαντοῦντας, πονηρούς. ἐπεί, ὦ Εὐβουλίδη, ἔστι καὶ ἕτερος πε-
ρὶ τῆς ἀργίας νόμος· ᾧ αὐτὸς ἔνοχος ὤν, ἡμᾶς τοὺς ἐργαζομένους διαβάλλεις.
45 ἀλλὰ γὰρ τοσαύτη τις ἀτυχία ἐστὶ περὶ ἡμᾶς νῦν, ὥστε τούτῳ μὲν ἔξεστιν ἔξω
τοῦ πράγματος βλασφημεῖν, καὶ πάντα ποιεῖν, ὅπως μηδενὸς τῶν δικαίων ἐ-
γὼ τύχω. ἐμοὶ δ' ἐπιτιμήσετε ἴσως, ἐὰν λέγω, ὃν τρόπον οὗτος ἐργάζεται περιιὼν
ἐν τῇ πόλει, καὶ εἰκότως· ἃ γὰρ ὑμεῖς ἴστε, τί δεῖ λέγειν; σκοπεῖτε δή· νομίζω γὰρ
46 ἔγωγε τὸ ἐν τῇ ἀγορᾷ ἡμᾶς ἐργάζεσθαι, μέγιστον εἶναι σημεῖον τοῦ ψευδεῖς ἡμῖν
αἰτίας τοῦτον ἐπιφέρειν. ἣν γάρ φησι ταινιόπωλιν εἶναι, καὶ φανερὰν πᾶσι, προσ-
ῆκε δήπουθεν εἰδότας αὐτὴν πολλούς, ἥτις ἐστί, μαρτυρεῖν, καὶ μὴ μόνον ἀκοὴν, αὐτὴν
ἀλλ' εἰ μὲν ξένη ἦν, τὰ τέλη ἐξετάσαντας τὰ ἐν τῇ ἀγορᾷ, εἰ ξενικὰ ἐτέλει, καὶ
47 ποδαπὴ ἦν, ἐπιδεικνύντας· εἰ δὲ δούλη, μάλιστα μὲν τὸν πριάμενον· εἰ δὲ μή,
τὸν ἀποδόμενον ἥκειν καταμαρτυροῦντα· εἰ δὲ μή, τῶν ἄλλων τινά, ἢ ὡς ἐδού-
λευσεν, ἢ ὡς ἀφείθη ἐλευθέρα. νῦν δὲ τούτων μὲν ἀπέδειξεν οὐδέν· λελοιδόρη-
κε δέ, ὡς ἐμοὶ δοκεῖ, οὐδὲν ὅ τι οὔ. τοῦτο γάρ ἐστιν ὁ συκοφάντης, αἰτιᾶσθαι μὲν
48 πάντα, ἐξελέγξαι δὲ μηδέν. ἔπειτα κἀκεῖνο περὶ τῆς μητρὸς εἴρηκεν, ὅτι ἐτίτ- ἐτίτθευσεν.
θευσεν. ἡμεῖς δὲ ὅτε ἡ πόλις ἠτύχει, καὶ πάντες κακῶς ἔπραττον, οὐκ ἀρνού-
μεθα τοῦτο γενέσθαι· ὃν δὲ τρόπον, καὶ ὧν ἕνεκα ἐτίτθευσεν, ἐγὼ σαφῶς ὑμῖν ἐπι-
δείξω. μηδεὶς δ' ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, δυσχερῶς ὑπολάβῃ· καὶ γὰρ νῦν ἀ-
49 στὰς γυναῖκας πολλὰς εὑρήσετε τιτθευούσας, ἃς ὑμῖν καὶ κατ' ὄνομα, ἐὰν βούλη-
σθε, ἐροῦμεν. εἰ δέ γε πλούσιοι ἦμεν, οὔτ' ἂν τὰς ταινίας ἐπωλοῦμεν, οὔτ' ἂν ὅ-
λως ἦμεν ἄποροι. ἀλλὰ τί ταῦτα κοινωνεῖ τῷ γένει; ἐγὼ μὲν οὐδὲν οἶμαι. μη-
δαμῶς, ὦ ἄνδρες δικασταί, τοὺς πένητας ἀτιμάζετε· ἱκανὸν γὰρ αὐτοῖς τὸ πένεσθαι
50 κακόν· μηδέ γε τοὺς ἐργάζεσθαι καὶ ζῆν ἐκ τοῦ δικαίου προαιρουμένους· ἀλλ' ἀκούσαν-
τες, ἐὰν ὑμῖν ἐπιδεικνύω τῆς μητρὸς τοὺς οἰκείους, οἵους προσήκει εἶναι ἀνθρώπους
ἐλευθέρους,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὖ ἐστὶ · ἐξομνυμένοις · μελιτεύς · μαρτυρηθήσεται

ἐλευθέροις, ἐὰν καταιτιᾶται περὶ αὐτῆς ταύτας τὰς διαβολάς, διομνυμένοις
καὶ μαρτυροῦσιν αὐτὴν ἀστὴν ὅσους εἰδέναι, οὓς ὑμεῖς φήσετε πιστοὺς εἶναι, καὶ δι-
καίαν ἡμῖν θέσθε τὴν ψῆφον. ἐμοὶ γὰρ ἦν πάππος, ὦ ἄνδρες ἀθηναῖοι, τῆς μητρὸς 51
πατὴρ δαμόστρατος μελιτεύς. τούτῳ γίγνονται τέτταρες παῖδες. ἐκ μὲν ἧς τὸ
πρῶτον ἔσχε γυναικός, θυγάτηρ καὶ υἱός, ᾧ ὄνομα ἀμυθέων. ἐκ δὲ τῆς ὕστερον χαι-
ρεστράτης, ἡ μήτηρ ἡ ἐμή, καὶ τιμοκράτης. τούτοις δὲ γίγνονται παῖδες, τῷ μὲν ἀ-
μυθέωνι, δαμόστρατος τοῦ πάππου τοὔνομα ἔχων καὶ καλλίστρατος, καὶ δεξίθεος. καὶ 52
ὁ μὲν ἀμυθέων ὁ τῆς μητρὸς ἀδελφὸς, τῶν ἐν σικελίᾳ στρατευσαμένων καὶ τελευτη-
σάντων ἐστί. καὶ τέθαπται ἐν τοῖς δημοσίοις μνήμασι. καὶ ταῦτα μαρτυρήσεται. τῇ
δὲ ἀδελφῇ αὐτοῦ συνοικησάσῃ διοδώρῳ ἁλαιεῖ, υἱὸς γίνεται κτησίβιος. καὶ οὗτος μὲν
ἐτελεύτησεν ἐν ἀβύδῳ, μετὰ θρασυβούλου στρατευόμενος. ζῇ δὲ τούτων ὁ δαμό- 53
στρατος ὁ τοῦ ἀμυθέωνος, τῆς μητρὸς ἀδελφιδοῦς τῆς ἐμῆς. τῆς δὲ χαιρεστράτης
τῆς ἐμῆς τηθῆς τὴν ἀδελφὴν, λαμβάνει ἀπολλόδωρος πλωθεύς. τούτων γίνεται
ὀλύμπιχος. τοῦ δὲ ὀλυμπίχου, ἀπολλόδωρος. καὶ οὗτος ζῇ. καί μοι κάλει αὐτούς.

Μάρτυρες. 54

Τούτων μὲν τοίνυν ἀκηκόατε μαρτυρούντων, καὶ διομνυμένων. τὸν δὲ καὶ ὁ-
μομήτριον, καὶ κατ' ἀμφότερ' ἡμῖν συγγενῆ, καλῶ, καὶ τοὺς υἱεῖς αὐτοῦ. τῷ γὰρ τι-
μοκράτει, τῷ τῆς μητρὸς ἀδελφῷ τῆς ἐμῆς ὁμοπατρίῳ καὶ ὁμομητρίῳ, γίνεται
εὐξίθεος. τοῦ δ' εὐξιθέου, τρεῖς υἱεῖς. οὗτοι πάντες ζῶσι. καί μοι κάλει τοὺς ἐπιδη- 55
μοῦντας αὐτῶν.

Μάρτυρες.

Λάβε δή μοι καὶ τὰς μαρτυρίας τῶν φρατόρων, καὶ συγγενῶν τῶν τῆς μητρὸς,
καὶ δημοτῶν, καὶ ὧν τὰ μνήματα ταὐτά.

Μαρτυρίαι.

Τὰ μὲν τοίνυν τοῦ γένους τοῦ τῆς μητρὸς, οὕτως ὑμῖν ἐπιδείκνυμι, καὶ πρὸς 56
ἀνδρῶν καὶ πρὸς γυναικῶν ἀστήν. τῇ δὲ μητρὶ τῇ ἐμῇ γίγνεται, ὦ ἄνδρες δικα-
σταί, τὸ μὲν πρῶτον ἐκ πρωτομάχου, ᾧ αὐτὴν ὁ τιμοκράτης ὁμομήτριος καὶ
ὁμοπάτριος ὢν ἀδελφὸς ἔδωκε, θυγάτηρ. εἶτα ἐκ τοῦ πατρὸς τοῦ ἐμοῦ, ἐγώ. ὃν δὲ
τρόπον τῷ πατρὶ τῷ ἐμῷ συνῴκησε, ταῦθ' ὑμᾶς ἀκοῦσαι δεῖ. καὶ γὰρ ἃ περὶ τὸν 57
κλεινίαν αἰτιᾶται, καὶ τὸ τιτθεῦσαι τὴν μητέρα, καὶ ταῦτα πάντα, ἐγὼ σαφῶς ὑ-
μῖν διηγήσομαι. ὁ πρωτόμαχος, πένης ἦν. ἐπικλήρου δὲ κληρονομήσας εὐπό-
ρου, τὴν μητέρα βουληθεὶς ἐκδοῦναι, πείθει λαβεῖν αὐτὴν τὸν θούκριτον τὸν πα-
τέρα τὸν ἐμὸν ὄντα ἑαυτοῦ γνώριμον. καὶ ἐγγυᾶται ὁ πατὴρ τὴν μητέρα τὴν ἐμὴν 58
παρὰ τοῦ ἀδελφοῦ αὐτῆς τιμοκράτους μελιτέως, παρόντων τῶν θείων ἀμφοτέρων
τῶν ἑαυτοῦ, καὶ ἄλλων μαρτύρων. καὶ τούτων ὅσοι ζῶσι, μαρτυρήσουσιν ἡμῖν. μετὰ δὲ ταῦ-
τα χρόνῳ ὕστερον παιδίων αὐτῇ δυοῖν ἤδη γεγενημένων, καὶ τοῦ μὲν πατρὸς στρα-
τευομένου, καὶ ἀποδημοῦντος μετὰ θρασυβούλου, αὐτὴ δὲ οὖσα ἐν ἀπορίαις ἠναγ- 59
κάσθη τὸν κλεινίαν τὸν τοῦ κλειδίκου τιτθεῦσαι, τῷ μὲν εἰς ἐμὲ ἥκοντι κινδύνῳ νὴ
μὰ τὸν Δία οὐχὶ συμφέρον πρᾶγμα ποιήσασα. ἀπὸ γὰρ ταύτης τῆς τιτθείας ἅπασα
ἡ περὶ ἡμᾶς γέγονε βλασφημία. τῇ μέντοι ὑπαρχούσῃ πενίᾳ, ἴσως καὶ ἀναγκαῖα καὶ
ἁρμόττοντα ποιοῦσα. φαίνεται τοίνυν οὐχ ὁ ἐμὸς πατήρ, ὦ ἄνδρες ἀθηναῖοι, πρῶτος
λαβὼν τὴν ἐμὴν μητέρα, ἀλλ' ὁ πρωτόμαχος, καὶ παῖδας ποιησάμενος, καὶ θυ- 60
γατέρα ἐκδούς. ὃς καὶ τετελευτηκώς, ὅμως μαρτυρεῖ τοῖς ἔργοις ἀστὴν ταύτην καὶ
πολῖτιν εἶναι. ὡς οὖν ταῦτ' ἀληθῆ λέγω, κάλει μοι πρῶτον μὲν τοὺς τοῦ πρωτομάχου



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

61 Γαμηλίαν) Γαμηλία ἡ διδομένη τοῖς φράτορσιν ἐπὶ γάμοις δωρεά. ἄλλως· γαμηλία ἡ τῶν γυναικῶν εἰς τοὺς φράτορας εἰσαγωγή.

γῆς· ἔπειτα, τοὺς ἐγγυωμένους παρόντας τῷ πατρὶ· καὶ τῶν
φρατόρων τοὺς οἰκείους, οἷς τὴν γαμηλίαν εἰσήνεγκεν ὑ-
πὲρ τῆς μητρὸς ὁ πατήρ· εἶτα Εὔνικον Χολαργέα, τὴν
ἀδελφὴν λαβόντα τὴν ἐμὴν παρὰ τοῦ Πρωτομάχου· εἶτα, τὸν υἱὸν τῆς ἀδελφῆς.
62 Κάλει τούτους.

Μάρτυρες.

Πῶς οὖν οὐκ ἂν οἰκτρότατα, ὦ ἄνδρες Ἀθηναῖοι, πάντων ἐγὼ πεπονθὼς εἴην, εἰ τῶν
συγγενῶν ὄντων τοσούτων τούτων, καὶ μαρτυρούντων καὶ διομνυμένων ἐμοὶ προσήκειν,
μηδεὶς μηδενὶ τούτων ἀμφισβητῶν ὡς οὐκ εἰσὶ πολῖται, ἐμὲ ψηφίσαιντο εἶναι ξένον; ψηφίσαιτο
63 λαβὲ δή μοι καὶ τὴν τοῦ Κλεινίου, καὶ τὴν τῶν συγγενῶν αὐτοῦ μαρτυρίαν. οἳ ἴσασι δήπου, τίς
οὖσά ποτε ἡ ἐμὴ μήτηρ, ἐτίτθευσεν αὐτόν. οὐ γὰρ ἃ τήμερον ἡμεῖς φαμέν, εὔορκοι αὐ-
τοῖς μαρτυρεῖν, ἀλλ' ἃ πάντα τὸν χρόνον ᾔδεσαν αὐτήν, ἡμετέραν μὲν μητέρα,
τίτθην δὲ τούτου νομιζομένην· καὶ γὰρ εἰ ταπεινὸν ἡ τίτθη, τὴν ἀλήθειαν οὐ φεύγω· οὐ
64 γὰρ εἰ πένητες ἦμεν, ἠδικήκαμεν, ἀλλ' εἰ μὴ πολῖται. οὐδὲ περὶ ψυχῆς, οὐδὲ περὶ
χρημάτων ἡμῖν ἐστιν ὁ παρὼν ἀγών, ἀλλ' ὑπὲρ γένους. πολλὰ ταπεινὰ καὶ δουλικὰ
πράγματα τοὺς ἐλευθέρους ἡ πενία βιάζεται ποιεῖν. ἐφ' οἷς ἐλεοῖντ' ἄν, ὦ ἄν-
δρες Ἀθηναῖοι, δικαιότερον, ἢ προσαπολλύοιντο· ὡς γὰρ ἐγὼ ἀκούω, πολλαὶ καὶ τίτ-
65 θαι, καὶ ἔριθοι, καὶ τρυγήτριαι γεγόνασιν ὑπὸ τῶν τῆς πόλεως κατ' ἐκείνους τοὺς
χρόνους συμφορῶν ἀσταὶ γυναῖκες· πολλαὶ δ' ἐκ πενήτων πλούσιαι νῦν. ἀλλ' αὐτί-
κα ὑπὲρ τούτων. νῦν δὲ τοὺς μάρτυρας κάλει.

Μάρτυρες.

Οὐκοῦν ὅτι μὲν καὶ τὰ πρὸς μητρὸς εἰμὶ ἀστός, καὶ τὰ πρὸς πατρός, τὰ μὲν
66 ἐξ ὧν ἄρτι μεμαρτύρηται, μεμαθήκατε πάντες· τὰ δ' ἐξ ὧν πρότερον περὶ τοῦ
πατρός. λοιπὸν δέ μοι περὶ ἐμαυτοῦ πρὸς ὑμᾶς εἰπεῖν· ὃ μὲν ἁπλούστατον, οἶμαι, καὶ
δικαιότατον, ἐξ ἀμφοτέρων ἀστῶν ὄντα με κεκληρονομηκότα καὶ τῆς οὐσίας καὶ τοῦ
γένους, εἶναι πολίτην. οὐ μὴν ἀλλὰ καὶ τὰ προσήκοντα πάντα ἐπιδείξω, μάρτυρας
67 παρεχόμενος, ὡς εἰσήχθην εἰς τοὺς φράτορας· ὡς ἐνεγράφην εἰς τοὺς δημότας· ὡς
ὑπ' αὐτῶν τούτων προεκρίθην ἐν τοῖς εὐγενεστάτοις κληροῦσθαι τῆς ἱερωσύνης
τῷ Ἡρακλεῖ· ὡς ἦρχον ἀρχὰς δοκιμασθείς. Καί μοι κάλει αὐτούς.

Μάρτυρες.

68 Οὐκοῦν δεινόν, ὦ ἄνδρες δικασταί, εἰ μὲν ἔλαχον ἱερεύς, ὥσπερ προεκρίθην,
ἔδει ἄν με καὶ αὐτὸν θύειν ὑπὲρ τούτων· καὶ τοῦτον μετ' ἐμοῦ συνθύειν· νῦν δὲ τοὺς αὐτοὺς πώποτ'
τούτους ἐμὲ μηδ' αὐτῶν οὐδὲ συνθύειν ἐᾶν; φαίνομαι τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν
μὲν ἄλλον χρόνον ἅπαντα, παρὰ πᾶσι τοῖς νῦν κατηγοροῦσι, πολίτης ὡμολογημέ-
69 νος· οὐ γὰρ ἄν δήπου τόν γε ξένον καὶ μέτοικον, ὡς νῦν φησὶν Εὐβουλίδης, οὔτ' ἀρχὰς
ἄρχειν, οὔτε ἱερωσύνην κληροῦσθαι μεθ' ἑαυτοῦ προκριθέντα εἴασε· καὶ γὰρ οὗτος ἦν τῶν
κληρουμένων, καὶ προκριθέντων. οὐδέ γ', ὦ ἄνδρες Ἀθηναῖοι, παλαιὸς ὢν ἐ- γὰρ
χθρὸς ὢν ἐμοί, τοῦτον τὸν καιρὸν περιέμεινεν, ὃν οὐδεὶς ᾔδει γενησόμενον, εἴπερ τι συ-
70 νῄδει τοιοῦτον· ἀλλ' οὐ συνῄδει, διόπερ τὸν μὲν ἄλλον ἅπαντα χρόνον δημοτευόμενος
μετ' ἐμοῦ καὶ κληρούμενος, οὐδὲν ἑώρα τούτων. ἐπειδὴ δὲ ἡ πόλις πᾶσα τοῖς ἀ-
σελγῶς εἰσπεπηδηκόσιν εἰς τοὺς δήμους ὀργιζομένη παρωξύνετο, τηνικαῦτά μοι
ἐπεβούλευσεν. ἦν δ' ἐκεῖνος μὲν ὁ καιρὸς τοῦ συνειδότος αὑτῷ τἀληθῆ λέγειν.
71 ὁ δὲ νυνὶ παρών, ἐχθροῦ, καὶ συκοφαντεῖν βουλομένου. ἐγὼ δέ, ὦ ἄνδρες δικασταί,
καί μοι πρὸς Διὸς καὶ θεῶν μηδεὶς θορυβήσῃ, μηδ' ἐφ' ᾧ μέλλω λέγειν, ἀχθεσθῇ, εἰ
ἐμαυτὸν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐμαυτὸν Ἀθηναῖον ὑπείληφα, ὥσπερ ὑμῶν ἕκαστος ἑαυτόν, μητέρα ἐξ ἀρχῆς νομίζων, ἥνπερ εἰς ὑμᾶς ἀποφαίνω· καὶ οὐχ ἑτέρας μὲν ὤν, ταύτης δὲ προσποιούμενος· πατέρα πάλιν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν αὐτὸν τρόπον. καίτοι εἰ τοῖς ἐξεληλεγμένοις ὧν μέν εἰσιν, ἀποκρυπτομένοις· ὧν δ' οὐκ εἰσί, προσποιουμένοις, δίκαιον ὑπάρχειν παρ' ὑμῖν τοῦτο σημεῖον, ὡς εἰσὶ ξένοι· ἐμοὶ δήπου τοὐναντίον ὡς εἰμὶ πολίτης. οὐ γὰρ ξένην καὶ ξένον τοὺς ἐμαυτοῦ γονέας ἐπιγραψάμενος, μετέχειν ἠξίουν τῆς πόλεως· ἀλλ' εἴ τι τοιοῦτον συνῄδειν, ἐζήτησα ὧν φήσω γονέων εἶναι. ἀλλ' οὐ συνῄδειν. διόπερ μένων ἐπὶ τοῖς οὖσι δικαίως γονεῦσιν, ἐμαυτῷ τῆς πόλεως μετέχειν ἀξιῶ. ἔτι τοίνυν ὀρφανὸς κατελείφθην, καί φασί με εὔπορον εἶναι, καὶ τῶν μαρτύρων ἐνίους ὀφελουμένους μοι μαρτυρεῖν συγγενεῖς εἶναι. καὶ ἅμα μὲν κατ' ἐμοῦ λέγουσι τὰς ἐκ τῆς πενίας ἀδοξίας, καὶ περὶ τὸ γένος διαβάλλουσιν. ἅμα δὲ δι' εὐπορίαν φασὶ πάντα με ὠνεῖσθαι. ὥστε πότερα χρὴ αὐτοῖς πιστεύειν; ἐξῆν δὲ δήπου, εἰ νόθος, ἢ ξένος ἦν ἐγώ, κληρονόμοις εἶναι τῶν ἐμῶν πάντων. εἶθ' οὗτοι μικρὰ λαμβάνειν, καὶ κινδυνεύειν ἐν ψευδομαρτυρίαις, καὶ ἐπιορκεῖν μᾶλλον αἱροῦνται, ἢ πάντ' ἔχειν, καὶ ταῦτ' ἀσφαλῶς καὶ μηδεμιᾶς ἐξωλείας ὑπόχους ἑαυτοὺς ποιεῖν; οὐκ ἔστι ταῦτα. ἀλλ', οἶμαι, συγγενεῖς ὄντες, τὰ δίκαια ποιοῦσι, βοηθοῦντες αὑτῶν ἑνί. καὶ ταῦτα οὐχὶ νῦν πεπεισμένοι ποιοῦσιν, ἀλλὰ παιδίον ὄντα με εὐθέως ἦγον εἰς τοὺς φράτορας, εἰς Ἀπόλλωνος πατρῴου ἦγον, εἰς τἄλλα ἱερά. καίτοι οὐ δήπου παῖς ὢν ἐγὼ ταῦτα ἔπειθον αὐτούς, ἀργύριον διδούς. ἀλλὰ μὴν ὁ πατὴρ αὐτὸς ζῶν ὀμόσας τὸν νόμιμον τοῖς φράτορσιν ὅρκον, εἰσήγαγέ με ἀστὸν ἐξ αὐτῆς ἐγγυητῆς αὑτῷ γεγενημένον εἰδώς, καὶ ταῦτα μεμαρτύρηται. εἶτ' ἐγὼ ξένος; ποῦ μετοίκιον καταθείς, ἢ τίς τῶν ἐμῶν πώποτε; ποῦ πρὸς ἄλλους δημότας ἦλθον, καὶ οὐ δυνηθεὶς ἐκείνους πεῖσαι, δεῦρ' ἐμαυτὸν ἐνέγραψα; ποῦ; τί ποιήσας, ὧν ὅσοι μὴ καθαρῶς ἦσαν πολῖται, πεποιηκότες φαίνονται; οὐδαμοῦ. ἀλλὰ πῶς; ἐν οἷς ὁ πάππος, ὁ τοῦ πατρός, ὁ ἐμὸς πατήρ, ἐνταῦθα καὶ αὐτὸς φαίνομαι δημοτευόμενος. καὶ νῦν πῶς ἂν τίς ὑμῖν σαφέστερον ἐπιδείξειεν μετὸν τῆς πόλεως αὐτῷ; ἐνθυμείσθω γὰρ ἕκαστος ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς ἑαυτῷ προσήκοντας, τίν' ἄλλον ἂν δύναιτο ἐπιδεῖξαι τρόπον, ἢ τὸν αὐτὸν ἐμοί, μαρτυροῦντας, ὀμνύοντας πάλαι τοὺς αὐτοὺς ἀπὸ τῆς ἀρχῆς ὄντας; διὰ ταῦτα τοίνυν ἐγὼ πιστεύων ἐμαυτῷ, κατέφυγον εἰς ὑμᾶς. ὁρῶ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, οὐ μόνον τῶν ἀποψηφισαμένων Ἁλιμουσίων ἐμοῦ κυριώτερα ὄντα τὰ δικαστήρια, ἀλλὰ καὶ τῆς βουλῆς, καὶ τοῦ δήμου δικαίως. κατὰ γὰρ πάντα αἱ παρ' ὑμῶν εἰσι κρίσεις δικαιόταται. ἐνθυμεῖσθε τοίνυν κἀκεῖνο, ὅσοι τῶν μεγάλων δήμων ἐστέ, ὡς οὐδὲν ἀποστερεῖτε, οὔτε κατηγορίας, οὔτε ἀπολογίας. καὶ πολλὰ ἀγαθὰ γένοιτο πᾶσιν ὑμῖν τοῖς δικαίως τούτῳ τῷ πράγματι χρησαμένοις, ὅτι καὶ τὴν ἀναβάλλεσθαι δεομένων, οὐκ ἀφῄρησθε τὸ διασκευάσασθαι. ὃ καὶ τοὺς συκοφαντοῦντας καὶ δι' ἔχθραν βουλεύοντας ἐξηλέγχετε. καὶ ὑμᾶς μὲν ἐπαινεῖν ἄξιον, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς δὲ καλῷ καὶ δικαίῳ πράγματι μὴ καλῶς χρησαμένους ψέγειν. ἐν οὐδενὶ τοίνυν εὑρήσετε τῶν δήμων δεινότερα γεγενημένα τῶν παρ' ἡμῖν. οὗτοι γὰρ ἀδελφῶν ὁμομητρίων καὶ ὁμοπατρίων, τῶν μὲν εἰσιν ἀποψηφισμένοι, τῶν δ' οὔ· καὶ πρεσβυτέρων ἀνθρώπων ἀπόρων, ὧν τοὺς υἱεῖς ἐγκαταλελοίπασι. καὶ τούτων ἂν βούλησθε, μάρτυρας παρέξομαι. ὃ δὲ πάντων δεινότατον, οἱ παρεστηκότες πεποιήκασι. καί μοι πρὸς Διὸς καὶ θεῶν μηδεὶς ὑπολάβῃ δυσκόλως, ἐὰν τοὺς ἠδι-

Section numbers in the right margin: 72 (at «καίτοι εἰ τοῖς ἐξεληλεγμένοις»), 73 (at «ἀλλ' οὐ συνῄδειν»), 74 (at «ἅμα δὲ δι' εὐπορίαν»), 75 (at «ὑπόχους ἑαυτοὺς ποιεῖν; οὐκ»), 76 (at «ἀλλὰ μὴν ὁ πατὴρ»), 77 (at «ὧν ὅσοι μὴ καθαρῶς»), 78 (at «τίν' ἄλλον ἂν δύναιτο ἐπιδεῖ-»), 79 (at «κατὰ γὰρ πάντα»), 80 (at «ὃ καὶ τοὺς συκο-»), 81 (at «ἀποψηφισμένοι»).

Marginal variant notes: ἐμαυτὸν τ. γρ. ἐμαυτῷ τῆς πόλεως μετεῖναι · ἐξ αὐτῆς ἐγγυητῆς αὐτῷ. γρ. ἐξ αὐτῆς τῆς ἐγγυητῆς · ὑμῶν · ὀμνύντας · ἐπιβουλεύοντας · ἀπεψηφισμένοι, · συνεστηκότες



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

61 Γαμηλίαν) Γαμηλία ἡ διδομένη τοῖς φράτορσιν ἐπὶ γάμοις δωρεά. ἄλλως· γαμηλία ἡ τῶν γυναικῶν εἰς τοὺς φράτορας εἰσαγωγή.

ὑμᾶς· ἔπειτα τοὺς ἐγγυωμένῳ προσόντας τῷ πατρί· καὶ τῶν φρατέρων τοὺς οἰκείους, οἷς τὴν γαμηλίαν εἰσήνεγκεν ὑπὲρ τῆς μητρὸς ὁ πατήρ· εἶτ' Εὔνικον χολαργέα, τὴν ἀδελφὴν λαβόντα τὴν ἐμὴν παρὰ τοῦ πατρὸς· εἶτα, τὸν υἱὸν τῆς ἀδελφῆς.

62 Κάλει τούτους.

Μάρτυρες.

Πῶς οὖν οὐκ ἂν οἰκτρότατα, ὦ ἄνδρες Ἀθηναῖοι, πάντων ἐγὼ πεπονθὼς εἴην, εἰ τῶν συγγενῶν ὄντων τοσούτων τούτων, καὶ μαρτυρούντων καὶ διομνυμένων ἐμοὶ προσήκειν, μηδεὶς μηδενὶ τούτων ἀμφισβητῶν ὡς οὐκ εἰσὶ πολῖται, ἐμὲ ψηφίσαιντο εἶναι ξένον; ψηφίσαιτε

63 λαβὲ δή μοι καὶ τὴν τοῦ Κλεινίου, καὶ τὴν τῶν συγγενῶν αὐτοῦ μαρτυρίαν, οἳ ἴσασι δήπου, τίς οὖσά ποθ' ἡ ἐμὴ μήτηρ, ἐτίτθευσεν αὐτόν. οὐ γὰρ ἃ τήμερον ἡμεῖς φαμέν, εὔορκοι αὐτοῖς μαρτυροῦσιν, ἀλλ' ἃ πάντα τὸν χρόνον ᾔδεσαν αὐτήν, ἡμετέραν μὲν μητέρα, τίτθην δὲ τούτου νομιζομένην. καὶ γὰρ εἰ ταπεινὸν ἡ τίτθη, τὴν ἀλήθειαν οὐ φεύγω. οὐ

64 γὰρ εἰ πένητες ἦμεν, ἠδικήκαμεν, ἀλλ' εἰ μὴ πολῖται. οὐδὲ περὶ τύχης, οὐδὲ περὶ χρημάτων ἡμῖν ἐστὶν ὁ παρὼν ἀγών, ἀλλ' ὑπὲρ γένους. πολλὰ ταπεινὰ καὶ δουλικὰ πράγματα τοὺς ἐλευθέρους ἡ πενία βιάζεται ποιεῖν. ἐφ' οἷς ἐλεοῖντ' ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, δικαιότερον, ἢ προσαπολλύοιντο. ὡς γὰρ ἐγὼ ἀκούω, πολλαὶ καὶ τίτ-

65 θαί, καὶ ἔριθοι, καὶ τρυγήτριαι γεγόνασιν ὑπὸ τῶν τῆς πόλεως κατ' ἐκείνους τοὺς χρόνους συμφορῶν ἀσταὶ γυναῖκες· πολλαὶ δ' ἐκ πενήτων πλούσιαι νῦν. ἀλλ' αὐτίκα περὶ τούτων. νῦν δὲ τοὺς μάρτυρας κάλει.

Μάρτυρες.

Οὐκοῦν ὅτι μὲν καὶ τὰ πρὸς μητρὸς εἰμὶ ἀστὸς, καὶ τὰ πρὸς πατρὸς, τὰ μὲν

6 ἐξ ὧν ἄρτι μεμαρτύρηται, μεμαθήκατε πάντες· τὰ δ' ἐξ ὧν πρότερον περὶ τοῦ πατρός. λοιπὸν δέ μοι περὶ ἐμαυτοῦ πρὸς ὑμᾶς εἰπεῖν, ὃ μὲν ἁπλούστατον, οἶμαι, καὶ δικαιότατον, ἐξ ἀμφοτέρων ἀστῶν ὄντα με κεκληρονομηκότα καὶ τῆς οὐσίας καὶ τοῦ γένους, εἶναι πολίτην. οὐ μὴν ἀλλὰ καὶ τὰ προσήκοντα πάντα ἐπιδείξω, μάρτυρας

7 παρεχόμενος, ὡς εἰσήχθην εἰς τοὺς φράτορας· ὡς ἐνεγράφην εἰς τοὺς δημότας· ὡς ὑπ' αὐτῶν τούτων προεκρίθην ἐν τοῖς εὐγενεστάτοις κληροῦσθαι τῆς ἱερωσύνης τῷ Ἡρακλεῖ· ὡς ἦρχον ἀρχὰς δοκιμασθείς. Καί μοι κάλει αὐτούς.

Μάρτυρες.

8 Οὐκοῦν δεινόν, ὦ ἄνδρες δικασταί, εἰ μὲν ἔλαχον ἱερεὺς, ὥσπερ προεκρίθην, ἔδει ἄν με καὶ αὐτὸν θύειν ὑπὲρ τούτων, καὶ τοῦτον μετ' ἐμοῦ συνθύειν· νῦν δὲ τοὺς αὐτοὺς τούτους τούτους ἐμὲ μηδ' αὐτῶν οὐδὲ συνθύειν ἐᾶν; φαίνομαι τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν μὲν ἄλλον χρόνον ἅπαντα, παρὰ πᾶσι τοῖς νῦν κατηγοροῦσι, πολίτης ὡμολογημέ-

9 νος. οὐ γὰρ ἂν δήπου τόν γε ξένον καὶ μέτοικον, ὡς νῦν φησὶν Εὐβουλίδης, οὔτ' ἀρχὰς ἄρχειν, οὔθ' ἱερωσύνην κληροῦσθαι μεθ' ἑαυτοῦ προκριθέντα εἴασε. καὶ γὰρ οὗτος ἦν τῶν κληρουμένων, καὶ προκριθέντων. οὐδέ γ', ὦ ἄνδρες Ἀθηναῖοι, παλαιὸς ἂν ἐχθρὸς ὢν ἐμοί, τοῦτον τὸν καιρὸν περιέμεινεν, ὃν οὐδεὶς ᾔδει γενησόμενον, εἴπερ τι συ- γ'

0 νῄδει τοιοῦτον. ἀλλ' οὐ συνῄδει, διόπερ τὸν μὲν ἄλλον ἅπαντα χρόνον δημοτευόμενος μετ' ἐμοῦ καὶ κληρούμενος, οὐδὲν ἑώρα τούτων. ἐπειδὴ δὲ ἡ πόλις πᾶσα τοῖς ἀσελγῶς εἰσπεπηδηκόσιν εἰς τοὺς δήμους ὀργιζομένη παρωξύνετο, τηνικαῦτά μοι ἐπεβούλευσεν. ἦν δ' ἐκεῖνος μὲν ὁ καιρὸς τοῦ συνειδότος αὑτῷ τἀληθῆ λέγειν,

1 ὁ δὲ νυνὶ παρών, ἐχθροῦ, καὶ συκοφαντεῖν βουλομένου. ἐγὼ δέ, ὦ ἄνδρες δικασταί, καί μοι πρὸς Διὸς καὶ θεῶν μηδεὶς θορυβήσῃ, μηδ' ἐφ' ᾧ μέλλω λέγειν, ἀχθεσθῇ, εἰ

ἐμαυτὸν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐμαυτὸν Ἀθηναῖον ὑπείληφα, ὥσπερ ° ὑμῶν ἕκαστος ἑαυτόν, μητέρα ἐξ ἀρχῆς νο-
μίζων, ἥνπερ εἰς ὑμᾶς ἀποφαίνω· καὶ οὐχ ἑτέρας μὲν ὤν, ταύτης δὲ προσποιού-
μενος· πατέρα πάλιν, ὦ ἄνδρες Ἀθηναῖοι, ὃν αὐτὸν εἶπον. καίτοι εἰ τοῖς ἐξεληλεγμέ- 72
νοις ὧν μέν εἰσιν, ἀποκρυπτομένοις· ὧν δ' οὐκ εἰσί, προσποιουμένοις, δίκαιον ὑπάρ-
χειν· παρ' ὑμῖν τοῦτο σημεῖον, ὡς εἰσὶ ξένοι· ἐμοὶ δήπου τοὐναντίον ὡς εἰμὶ πολίτης. οὐ
γὰρ ξένην καὶ ξένον τοὺς ἐμαυτοῦ γονέας ἐπιγραψάμενος, μετέχειν ἠξίουν τῆς πό-
λεως· ἀλλ' εἴ τι τοιοῦτον συνῄδειν, ἐζήτησα ὧν φήσω γονέων εἶναι. ἀλλ' οὐ συνῄ- 73
ἐμαυτὸν τ. γρ. ἐμαυτῷ τῆς πόλεως μετεῖναι
δειν. διόπερ μένων ἐπὶ τοῖς οὖσι δικαίως γονεῦσιν, ° ἐμαυτῷ τῆς πόλεως μετέχειν
ἀξιῶ. ἔτι τοίνυν ὀρφανὸς κατελείφθην, καί φασί με εὔπορον εἶναι· καὶ τῶν μαρ-
τύρων ἐνίους ὠφελουμένους μοι μαρτυρεῖν συγγενεῖς εἶναι. καὶ ἅμα μὲν κατ' ἐμοῦ λέ-
γουσι τὰς ἐκ τῆς πενίας ἀδοξίας, καὶ περὶ τὸ γένος διαβάλλουσιν. ἅμα δὲ δι' εὐ- 74
πορίαν φασὶ πάντα με ὠνεῖσθαι. ὥστε πότερα χρὴ αὐτοῖς πιστεύειν; ἐξῆν δὲ δήπου,
εἰ νόθος ἢ ξένος ἦν ἐγώ, κληρονόμοις εἶναι τῶν ἐμῶν πάντων. εἶθ' οὗτοι μικρὰ λαμ-
βάνειν, καὶ κινδυνεύειν ἐν ψευδομαρτυρίαις, καὶ ἐπιορκεῖν μᾶλλον αἱροῦνται, ἢ πάν-
τ' ἔχειν, καὶ ταῦτ' ἀσφαλῶς καὶ μηδεμιᾶς ἐξωλείας ὑπόχους ἑαυτοὺς ποιεῖν; οὐκ 75
ἔστι ταῦτα. ἀλλ', οἶμαι, συγγενεῖς ὄντες, τὰ δίκαια ποιοῦσι, βοηθοῦντες αὐτῶν ἑνί. καὶ
ταῦτα οὐχὶ νῦν πεπεισμένοι ποιοῦσιν, ἀλλὰ παιδίον ὄντα με εὐθέως ἦγον εἰς τοὺς
φράτορας, εἰς Ἀπόλλωνος πατρῴου ἦγον, εἰς τἆλλα ἱερά. καίτοι οὐ δή που παῖς ὢν
ἐγὼ ταῦτα ἔπειθον αὐτούς, ἀργύριον διδούς. ἀλλὰ μὴν ὁ πατὴρ αὐτὸς ζῶν ὀμό- 76
ἐξ αὐτῆς ἐγγυητῆς αὐτῷ. γρ. ἐξ αὐτῆς τῆς ἐγγυητῆς
σας τὸν νόμιμον τοῖς φράτορσιν ὅρκον, εἰσήγαγέ με ἀστὸν ° ἐξ αὐτῆς ἐγγυητῆς αὐτῷ
γεγενημένον εἰδώς, καὶ ταῦτα μεμαρτύρηται. εἶτ' ἐγὼ ξένος; ποῦ μετοίκιον κατα-
θείς, ἢ τίς τῶν ἐμῶν πώποτε; ποῦ πρὸς ἄλλους δημότας ἐλθών, καὶ οὐ δυνηθεὶς
ἐκείνους πεῖσαι, δεῦρ' ἐμαυτὸν ἐνέγραψα; ποῦ τί ποιήσας, ὧν ὅσοι μὴ καθαρῶς 77
ἦσαν πολῖται, πεποιηκότες φαίνονται; οὐδαμοῦ. ἀλλὰ πῶς; ἐν οἷς ὁ πάππος, ὁ τοῦ
πατρός, ὁ ἐμὸς πατήρ, ἐν τούτοις καὶ αὐτὸς φαίνομαι δημοτευόμενος. καὶ νῦν πῶς ἂν
ὑμῶν
τίς ° ὑμῖν σαφέστερον ἐπιδείξειεν μετὸν τῆς πόλεως αὐτῷ; ἐνθυμείσθω γὰρ ἕκαστος
ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς ἑαυτῷ προσήκοντας. τίν' ἄλλον ἂν δύναιτο ἐπιδεῖ- 78
ὀμνυῦντας
ξαι τρόπον, ἢ τὸν αὐτὸν ἐμοί, μαρτυροῦντας, ° ὁμνύοντας πάλαι τοὺς αὐτοὺς ἀπὸ τῆς
ἀρχῆς ὄντας; διὰ ταῦτα τοίνυν ἐγὼ πιστεύων ἐμαυτῷ, κατέφυγον εἰς ὑμᾶς. ὁρῶ
γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, οὐ μόνον τῶν ἀποψηφισαμένων δημοτῶν ἐμοῦ κυριώ-
τερα ὄντα τὰ δικαστήρια, ἀλλὰ καὶ τῆς βουλῆς, καὶ τοῦ δήμου δικαίως. κατὰ γὰρ πάν- 79
τα αἱ παρ' ὑμῶν εἰσὶ κρίσεις δικαιόταται. ἐνθυμεῖσθε τοίνυν κἀκεῖνο, ὅσοι τῶν μεγά-
λων δήμων ἐστέ, ὡς οὐδένα ἀποστερεῖτε, οὔτε κατηγορίας, οὔτε ἀπολογίας. καὶ πολλὰ
ἀγαθὰ γένοιτο πᾶσιν ὑμῖν τοῖς δικαίως τούτῳ τῷ πράγματι χρησαμένοις, ὅτι καὶ
τῶν ἀναβάλλεσθαι δεομένων, οὐκ ἀφῄρησθε τὸ παρασκευάσασθαι. ὃ καὶ τοὺς συκο- 80
ἐπιβουλεύοντας
φαντοῦντας καὶ δι' ἔχθραν ° βουλεύοντας ἐξηλέγχετε. καὶ ὑμᾶς μὲν ἐπαινεῖν ἄξιον, ὦ
ἄνδρες Ἀθηναῖοι, τοὺς δὲ καλῷ καὶ δικαίῳ πράγματι μὴ καλῶς χρησαμένους
ψέγειν. ἐν οὐδενὶ τοίνυν εὑρήσετε τῶν δήμων δεινότερα γεγενημένα τῶν παρ' ἡμῖν.
ἀπεψηφισμένοι
οὗτοι γὰρ ἀδελφῶν ὁμομητρίων καὶ ὁμοπατρίων, τῶν μὲν εἰσὶν ° ἀποψηφισμένοι, 81
τῶν δ' οὔ· καὶ πρεσβυτέρων ἀνθρώπων ἀπόρων, ὧν τοὺς υἱεῖς ἐγκαταλελοίπασι. καὶ
συνεστηκότες
τούτων ἂν βούλησθε, μάρτυρας παρέξομαι. ὃ δὲ πάντων δεινότατον, οἱ ° περιεστηκότες
πεποιήκασι. καί μοι πρὸς Διὸς καὶ θεῶν μηδεὶς ὑπολάβῃ δυσκόλως, ἐὰν τοὺς ἠδι-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

86 Ἁπάσαις) Ταῖς φυλαῖς δηλονότι. 91 Ἐκκολάψαντες) Ὀρθῶς γέγραπται ἐκκολάψαντες, παρὰ τὸ ἐκκολάπτω, ὃ σημαίνει ἐξορύξαντα ἀπαλείφω. Θουκυδίδης ἐν πρώτῳ. τὸ μὲν οὖν ἐλεγεῖον οἱ Λακεδαιμόνιοι ἐξεκόλαψαν εὐθὺς τότε ἀπὸ τοῦ τρίποδος τοῦτο.

82 κηκότας ἐμαυτόν, πονηροὺς ὄντας ἐπιδεικνύω. νομίζω
γὰρ ὑμῖν τὴν τούτων πονηρίαν δεικνύς, αὐτὸ τὸ πρᾶ-
γμα λέγειν τὸ γιγνόμενόν μοι. οὗτοι γάρ, ὦ ἄνδρες Ἀ-
θηναῖοι, βουλόμενοί τινας ἀνθρώπους ξένους, πολί-
83 τας γενέσθαι, Ἀναξιμένην, καὶ Νικόστρατον κοινῇ δια-
νειμάμενοι, πέντε δραχμὰς ἕκαστος προσεδέξαντο.
καὶ ταῦτα οὐκ ἂν ἐξομόσαιτο Εὐβουλίδης, οὐδὲ οἱ μετ' αὐτοῦ μὴ οὐκ εἰδέναι. καὶ
νῦν τούτων οὐκ ἀπεψηφίσαντο. τί οὖν; οὐκ ἂν οἴεσθε τούτους ἰδίᾳ 'ποιῆσαι, ἃ 'ποιῆσαι ταῦτα, ἃ κοινῇ ἐτόλμων;
84 κοινῇ ταῦτ' ἐτόλμων; πολλούς, ὦ ἄνδρες δικασταί, οἱ μετ' Εὐβουλίδου συνεστῶτες,
καὶ ἀπολωλέκασι καὶ σεσώκασιν ἕνεκ' ἀργυρίου. ἐπεὶ καὶ πρότερον ἐρῶ δ' 'εἰς 'ὡς αὐτὸ
αὐτὸ τὸ πρᾶγμα· ὦ ἄνδρες Ἀθηναῖοι, δημαρχῶν ὁ Εὐβουλίδου πατήρ, ὥσπερ εἶπον,
Ἀντίφιλος, τεχνάζει βουλόμενος παρά τινων λαβεῖν ἀργύριον· καὶ ἔφη τὸ κοινὸν
85 γραμματεῖον ἀπολωλέναι. ὥστε ἔπεισε διαψηφίσασθαι τοὺς Ἁλιμουσίους περὶ αὐ-
τῶν. καὶ κατηγορῶν δέκα τῶν δημοτῶν ἐξέβαλεν, οὓς ἅπαντας, πλὴν ἑνός, κατεδέ-
ξατο τὸ δικαστήριον. καὶ ταῦτα πάντες ἴσασιν οἱ πρεσβύτεροι. πολλοῦ γε δεῖ τινὰς
ἐγκαταλιπεῖν τῶν μὴ Ἀθηναίων, ὅπου καὶ τοὺς ὄντας πολίτας, συνιστάμενοι ἐξέ-
86 βαλον, οὓς τὸ δικαστήριον κατεδέξατο. καὶ ὢν ἐχθρὸς τῷ ἐμῷ πατρὶ τότε, οὐ μόνον
οὐ κατηγόρησεν, ἀλλ' οὐδὲ τὴν ψῆφον ἤνεγκεν, ὡς οὐκ ἦν Ἀθηναῖος. τῷ τοῦτο
δῆλον; ὅτι 'ἁπάσαις ἔδοξε δημότης εἶναι. καὶ τί δεῖ περὶ τῶν πατέρων λέγειν; ἀλλ' 'ἅπασιν
Εὐβουλίδης αὐτὸς οὑτοσί, ἡνίκα ἐνεγραφόμην ἐγώ, καὶ ὀμόσαντες οἱ δημόται, δικαίως
87 πάντες περὶ ἐμοῦ τὴν ψῆφον ἔφερον, οὔτε κατηγόρησεν, οὔτε ἐναντίαν τὴν ψῆφον
ἤνεγκε. καὶ γὰρ ἐνταῦθα πάλιν ἐμὲ πάντες 'ἐφημίσαντο δημότην. καὶ εἴ φασί με 'ἐψηφίσαντο
τοῦτο ψεύδεσθαι, ἐπὶ τοῦ ἐμοῦ ὕδατος, ὅστις βούλεται, τούτων τἀναντία μαρτυρη-
σάτω. εἰ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο δοκοῦσιν οὗτοι λέγειν μάλιστα ἰσχυρόν, ὡς
88 ἀπεψηφίσαντό μου νῦν οἱ δημόται, ἐγὼ τετράκις ἐπιδεικνύω πρότερον, ὅτι ὁ-
σίως ἄνευ διαστάσεως ἐψηφίσαντο καὶ ἐμέ, καὶ τὸν πατέρα δημότας αὑτῶν εἶναι, 'ψη- 'ψηφισάμενοι,
φισαμένους, πρῶτον μέν γε τοῦ πατρὸς δοκιμασθέντος, εἶτ' ἐμοῦ, εἶτ' ἐν τῇ προ-
τέρᾳ 'διαδικασίᾳ ὅτε ἠφάνισαν οὗτοι τὸ γραμματεῖον· τὸ τελευταῖον προκρί- 'δοκιμασίᾳ
89 ναντες ἐμέ, ἐψηφίσαντο ἐν τοῖς εὐγενεστάτοις κληροῦσθαι τῆς ἱερωσύνης τῷ Ἡρα-
κλεῖ. καὶ ταῦτα πάντα μεμαρτύρηται. εἰ δὲ δεῖ τὴν δημαρχίαν λέγειν, δι' ἣν ὠργί-
ζοντό μοι τινές, ἐν ᾗ διαφόρους ἐγενόμην εἰσπράττων ὀφείλοντας πολλοὺς αὐ-
τῶν μισθώσεις τεμενῶν, καὶ ἕτερα, ἃ τῶν κοινῶν διηρπάκεισαν, ἐγὼ μὲν ἂν βου-
90 λοίμην ὑμᾶς ἀκούειν. ἀλλ' ἴσως ἔξω τοῦ πράγματος ὑπολήψεσθε ταῦτ' εἶναι,
ἐπεὶ καὶ τοῦτ' ἔχω δεικνύναι τεκμήριον, ὡς συνέστησαν. ἔκ τε γὰρ τοῦ ὅρκου 'ἐξήλει- 'ἐξήλειψαν.
φαν, τὸ ψηφιεῖσθαι γνώμῃ τῇ δικαιοτάτῃ, καὶ οὔτε χάριτος ἕνεκα, οὔτε ἔχθρας. καὶ
γὰρ τοῦτο φανερὸν ἐγένετο. καὶ ὅτι ἱεροσυλήσαντες τὰ ὅπλα· εἰρήσεται γάρ· ἃ ἐγὼ
91 ἀνέθηκα τῇ Ἀθηνᾷ, καὶ τὸ ψήφισμα 'ἐκκολάψαντες, ὃ ἐμοὶ ἐψηφίσαντο οἱ δη- 'ἐκκόψαντες
μόται, συνώμνυον οὗτοι ἐπ' ἐμὲ οἱ ὑπ' ἐμοῦ τὰ κοινὰ εἰσπραχθέντες. καὶ εἰς τό-
σουτον ἀναιδείας ἐληλύθασιν, ὥστε ἔλεγον περιιόντες, ἐμὲ τῆς ἀπολογίας ἕνεκεν ταῦ-
τα ποιῆσαι. καὶ τίς ὑμῶν ἂν καταγνοίη μου τοσαύτην μανίαν, ὦ ἄνδρες δικασταί,
ὥστε τηλικούτων ἕνεκεν πρὸς τὸ πρᾶγμα τεκμηρίων, ἄξια θανάτου διαπρά-
ξασθαι; καὶ ἃ ἐμοὶ φιλοτιμίαν ἔφερε, ταῦτα ἀφανίζειν; τὸ δὲ πάντων δεινότατον,
οὐδὲ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὐδή πού γε φήσαιεν ἂν ἐμὲ κατασκευάσαι. οὐ γὰρ ἔφθη μοι συμβᾶσα ἡ ἀτυχία, καὶ εὐθὺς, ὥσπερ φυγάδος ἤδη μου ὄντος, καὶ ἀπολωλότος, τούτων τινὲς ἐπὶ τὸ οἰ- 93
κίδιον ἐλθόντες ἐν ἀγρῷ νύκτωρ, ἐπεχείρησαν διαφορῆσαι τὰ ἔνδοθεν. οὕτω σφόδρα ὠλιγώρησαν καὶ τῶν νόμων κατεφρόνησαν. καὶ ταῦτα τοὺς εἰδότας, ἐὰν βούλησθε, καλοῦμεν. πολλὰ δὲ ἔχων ἄλλα ἐπιδεῖξαι, ἃ τούτοις ἐστὶ διαπεπραγμένα, καὶ ἃ εἰσιν ἐψευσμένοι, ἡδέως μὲν ἂν ὑμῖν λέγοιμι. ἐπειδὴ δὲ ἔξω τοῦ πράγματος νομί- 94
ζετ' εἶναι, ἐάσω. ἀναμνήσθητε δ' ἐκείνων, καὶ θεάσασθε, ὡς πολλὰ καὶ δίκαια ἔχων πρὸς ὑμᾶς ἥκω. ὥσπερ γὰρ τοὺς θεσμοθέτας ἀνακρίνετε, ἐγὼ τὸν αὐτὸν τρόπον ἐμαυτὸν ὑμῖν ἀνακρίνω. ὦ ἄνθρωπε, τίς ἦν σοι πατήρ; ἐμοὶ θούκριτος. οἰκεῖοί τινες εἶναι
μαρτυροῦσιν αὐτῷ; πάνυ γε. πρῶτον μέν γε τέτταρες ἀνεψιοί· εἶτα ἀνεψιαδοῦς· 95
εἶτα οἱ τὰς ἀνεψιὰς λαβόντες αὐτῶν· εἶτα φράτορες· εἶτα Ἀπόλλωνος πατρῴου, καὶ Διὸς ἑρκίου γεννῆται· εἶτα οἷς ἠρία ταῦτα· εἶτα οἱ δημόται πολλάκις αὐτὸν δεδοκιμάσθαι, καὶ ἀρχὰς ἄρξαι, καὶ αὐτοὶ διεψηφισμένοι φαίνονται. τὰ μὲν τοίνυν περὶ τοῦ πατρὸς, πῶς ἂν ὑμῖν δικαιότερον, ἢ καθαρώτερον ἐπιδείξαιμι; καλῶ δὲ ὑμῖν 96
τοὺς οἰκείους, εἰ βούλεσθε. τὰ δὲ περὶ τῆς μητρὸς ἀκούσατε. ἐμοὶ γὰρ ἐστὶ μήτηρ, νικαρέτη, δαμοστράτου θυγάτηρ μελιτέως. ταύτης τινὲς οἰκεῖοι μαρτυροῦσι, πρῶτον μὲν ἀδελφιδοῦ δύο υἱοί. εἶτα ἀνεψιοὶ αὐτῆς· εἶτα οἱ πρωτομάχου υἱεῖς τοῦ λαβόντος τὴν ἐμὴν μητέρα πρότερον· εἶτα ὁ τὴν ἀδελφὴν τὴν ἐμὴν τὴν ἐκ τοῦ 97
πρωτομάχου γήμας εὔνικος χολαργεύς· εἶτα υἱὸς τῆς ἀδελφῆς. ἀλλὰ μὴν καὶ φράτορες τῶν οἰκείων αὐτῆς καὶ δημόται, ταῦτα μεμαρτυρήκασι. τίνος οὖν ἂν προσδέοισθε; καὶ γὰρ ὅτι κατὰ τοὺς νόμους ὁ πατὴρ ἔγημε, καὶ γαμηλίαν τοῖς φράτορσιν εἰσήνεγκε, μεμαρτύρηται. πρὸς δὲ τούτοις καὶ ἐμαυτὸν ἐπέδειξα πάντων μετειληφότα, 98
ὅσων προσήκει τοὺς ἐλευθέρους. ὥστε πανταχῇ δικαίως καὶ προσηκόντως ἡμῖν ἂν προσθέμενοι τὴν ψῆφον, εὐορκοίητε. ἔτι τοίνυν, ὦ ἄνδρες δικασταὶ, τοὺς ἐννέα ἄρχοντας ἀνακρίνετε, εἰ γονέας εὖ ποιοῦσιν. ἐγὼ δὲ τοῦ μὲν πατρὸς ὀρφανὸς κατελείφθην· τὴν δὲ μητέρα ἱκετεύω ὑμᾶς καὶ ἀντιβολῶ, διὰ τοῦτον τὸν ἀγῶνα ἀπόδοτέ μοι θάψαι 99
εἰς τὰ πατρῷα μνήματα· καὶ μή με κωλύσητε, μηδὲ ἄπολιν ποιήσητε, μηδὲ τῶν οἰκείων ἀποστερήσητε, τοσούτων ὄντων τὸ πλῆθος, καὶ ὅλως ἀπολέσητε. πρότερον γὰρ ἢ προλείπειν τούτους, εἰ μὴ δυνατὸν ὑπ' αὐτῶν εἴη σωθῆναι, ἀποκτείναιμ' ἂν ἐμαυτὸν, ὥστ' ἐν τῇ πατρίδι γε ὑπὸ τούτων ταφῆναι.

γεννῆται.
ταυτί.
πρὸς
νιδοῖ.
δύο, εἶτα τοῦ ἑτέρου ἀδελφιδοῦ υἱοί.
ταυτὶ

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΚΑΤΑ ΘΕΟΚΡΙΝΟΥ ΛΟΓΟΥ.

ΤΟΥΤΟΝ τὸν λόγον οὐκ οἶδ' ὅπως ἐν τοῖς ἰδιωτικοῖς ἀναγράφουσιν οἱ πολλοὶ, δημόσιον ὄντα φανερῶς. δῆλον δὲ ἔσται τοῦτο, ἐξ αὐτῆς τῆς ὑποθέσεως. κατὰ τῶν ἐπηρεάζόντων, καὶ μὴ ἀθηνάζε σεσιτηγηκότων ἐμπόρων, ἢ ναυκλήρων, ἀθηναίοις φάσεις ἦσαν δεδομέναι. νόμος δὲ ἦν, ἐάν τις τινὰ φήνας, μὴ ἐπεξίῃ, ἢ ἐπεξιὼν, μὴ λάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων, χιλίας ἐκτίνειν τῷ δημοσίῳ· τοῖς δὲ ὀφείλουσι μὴ ἐξεῖναι λέγειν. καὶ τρίτος, ἐὰν μή τις δόξῃ δικαίως εἰς ἐλευθερίαν ἀφῃρῆσθαί τινα, τὸ ἥμισυ τοῦ τιμήματος ὀφείλειν τῷ δημοσίῳ. ἐπιχάρης οὖν ἔδειξε θεοκρίνην οὐκ ἐξὸν αὐτῷ λέγειν ἐκ τριῶν τούτων νόμων. καὶ γὰρ μίκωνα, ὡς ἐπηρεασέ τι σεσιτηγηκότα, φῆναι μὲν αὐτὸν λέγει, μὴ ἐπεξελθεῖν δέ. καὶ ἐπιμελητὴν ὑπὸ τῶν φυλετῶν ἀποδειχθέντα εὐθύναις ὀφλεῖν κλοπῆς χρημάτων, ἃ ἦν ἱερὰ τῶν ἐπωνύμων. καὶ τρίτον κηφισοδώρου θεράπαιναν εἰς ἐλευθερίαν ἀδίκως ἀφῃρημένον τὸν πατέρα τοῦ θεοκρίνου, προσοφλῆσαι δραχμὰς πεντακοσίας. ἐπὶ τούτοις μὲν ἡ ἔνδειξις, καὶ τὸ πρᾶγμα φανερῶς δημόσιον. τὸν δὲ λόγον οἱ πολλοὶ νομίζουσιν εἶναι δεινάρχου, καίτοι γε οὐκ ἀπεοικότα τῶν τοῦ δημοσθένους.

μίκων,

# ΔΗΜΟΣΘΕΝΟΥΣ ΕΝΔΕΙΞΙΣ
## ΚΑΤΑ ΘΕΟΚΡΙΝΟΥ.

1 ΤΟΥ πατρὸς ἡμῶν, ὦ ἄνδρες δικασταί, διὰ τουτονὶ Θεοκρίνην
ἀτυχήσαντος πρὸς τὴν πόλιν, καὶ ὀφλόντος δέκα τάλαντα, καὶ
τούτου διπλοῦ γεγενημένου, ὥστε μηδ' ἐλπίδα ἡμῖν εἶναι σωτη-
ρίας μηδεμίαν, ἡγησάμην δεῖν ἐπὶ τὸ τιμωρεῖσθαι μεθ' ἡμῶν
2 τοῦτον, μήτε ἡλικίαν, μήτε ἄλλο μηδὲν ὑπολογισάμενος, δοῦ-
ναι τὴν ἔνδειξιν ταύτην. καὶ γὰρ ὁ πατήρ, ὦ ἄνδρες δικασταί,
ᾧπερ πάντα πειθόμενος πεποίηκα, πρὸς ἅπαντας ὠδύρετο τοὺς γνωρίμους, εἰ πα-
ραλιπὼν ἐγὼ τὸν καιρόν, ἐν ᾧ διὰ τὸν πατέρα ζῶν, ἔξεστί μοι τοῦτον ἀμύνεσθαι,
3 τὴν ἀπειρίαν καὶ τὴν ἡλικίαν προφασιζόμενος, αὐτὸν μὲν περιόψομαι πάντων ἀπε-
στερημένον, Θεοκρίνην δὲ παρὰ τοὺς νόμους γραφὰς γραφόμενον, καὶ συκοφαντοῦν-
τα πολλοὺς τῶν πολιτῶν, οὐκ ἐξὸν αὐτῷ. δέομαι οὖν ὑμῶν ἁπάντων, ὦ ἄνδρες Ἀ-
θηναῖοι, καὶ ἱκετεύω, μετ' εὐνοίας ἀκοῦσαί μου, πρῶτον μὲν ὅτι τῷ πατρὶ βοηθῶν,
4 καὶ πειθόμενος ἀγωνίζομαι, ἔπειθ' ὅτι καὶ νέος ὤν, καὶ ἄπειρος· ὥστ' ἀγαπητὸν εἶναί
μοι, ἐὰν τῆς παρ' ὑμῶν ὑπαρξάσης εὐνοίας δυνηθῶ δηλῶσαι τὰ πεπραγμένα
τούτῳ· πρὸς δὲ τούτοις, ὅτι, ὦ ἄνδρες δικασταί, προδέδομαι· τὰ γὰρ ἀληθῆ πρὸς ὑμᾶς
εἰρήσεται· ὑπ' ἀνθρώπων οἳ πιστευθέντες ὑφ' ὑμῶν διὰ τὴν πρὸς τοῦτον ἔχθραν,
5 καὶ πυθόμενοι τὰ πράγματα, καὶ φήσαντες ἐμοὶ συναγωνιεῖσθαι, ἐγκαταλελοί-
πασι νυνί με, καὶ διαλέλυνται πρὸς τοῦτον ἐν τοῖς ἐμοῖς πράγμασιν, ὥστε μοι
μηδὲ τὸν συνεροῦντα εἶναι, ἐὰν μή τις ἄρα μοι τῶν οἰκείων βοηθήσῃ. πολλαῖς μὲν
οὖν ἐνδείξεσιν ἦν ἔνοχος οὗτος. καὶ ἅπαντας τοὺς περὶ ταῦτα νόμους ἐφαίνετο πα-
6 ραβεβηκώς. καινότατον δὲ τῶν ἔργων τῶν τούτου, τὴν περὶ τὸ πλοῖον φάσιν εὑρίσκο-
μεν γεγονυῖαν. δι' ὅπερ ταῦτα γράψας, εἰς τὴν ἔνδειξιν ἔδωκεν ὁ πατήρ μοι. πρῶτον
μὲν οὖν, τὸν νόμον ὑμῖν ἀναγνώσεται τὸν περὶ τῶν φαινόντων, καὶ οὐκ ἐπεξιόντων,
ἀλλὰ διαλυομένων παρὰ τοὺς νόμους. ἐντεῦθεν γὰρ οἶμαι προσήκειν μοι ποιή-
σασθαι τὴν ἀρχὴν τοῦ λόγου· εἶτα τὴν φάσιν αὐτήν, ἣν οὗτος ἐποιήσατο κατὰ τοῦ
Μίκωνος. λέγε. Νόμος. Φάσις.

Ὁ νόμος οὗτος, ὦ ἄνδρες δικασταί, τοῖς προαιρουμένοις ἢ γράφεσθαι γραφάς, ἢ φαίνειν, ἢ ἄλλο τι ποιεῖν τῶν ἐν τῷ νόμῳ τούτῳ γεγραμμένων, προλέγει διαρρήδην, ἐφ' οἷς ἕκαστόν ἐστι τούτων ποιητέον. ἔστι δὲ ταῦτα, ὥσπερ ἠκούσατε ἐξ αὐτοῦ τοῦ νόμου, ἐὰν ἐπεξιών τις μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων, χιλίας ἀποτίνειν. κἂν μὴ ἐπεξίῃ, ὦ Θεοκρίνη, χιλίας ἑτέρας, ἵνα μήτε συκοφαντῇ μηδείς, μήτε ἄδειαν ἔχων ἐργολαβῇ, καὶ καθυφιῇ τὰ τῆς πόλεως. φημὶ δὴ κατὰ ταύτην τὴν ἔνδειξιν, ἔνοχον εἶναι Θεοκρίνην τῷ φήναντι Μίκωνα Χολλίδην, μὴ ἐπεξελθεῖν, ἀλλ' ἀργύριον λαβόντα ἀποδόσθαι τὸ πρᾶγμα. καὶ τοῦτο ἀποδείξω σαφῶς, ὡς ἐγὼ νομίζω. καίτοι Θεοκρίνης γε, ὦ ἄνδρες δικασταί, καὶ οἱ μετὰ τούτου, οὐδὲν ὅ,τι οὐ πεποιήκασι προσιόντες τοῖς μάρτυσι, καὶ τὰ μὲν ἀπειλοῦντες αὐτοῖς, τὰ δὲ πείθοντες μὴ μαρτυρεῖν. ἀλλ' ὅμως ἐὰν ὑμεῖς βούλησθε τὰ δίκαια βοηθεῖν μοι, καὶ κελεύητε αὐτούς, μᾶλλον δὲ ἀναγκάζοντος ἐμοῦ, συναναγκάζητε ἤτοι μαρτυρεῖν, ἢ ἐξόμνυσθαι, καὶ μηδὲ ἐᾶτε λόγους λέγειν, εὑρεθήσεται τἀληθές. Λέγε οὖν πρῶτον μὲν τὴν φάσιν.

φήναντα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὴν φάσιν, εἶτα τὰς μαρτυρίας.

Φάσις.

Ταύτην τὴν φάσιν, ὦ ἄνδρες δικασταί, ἔδωκε μὲν οὑτοσί, προσκαλεσάμε- 11
νος τὸν Μίκωνα· ἔλαβε δὲ ὁ γραμματεὺς ὁ τῶν τοῦ ἐμπορίου ἐπιμελητῶν Ἀμφί-
φημος. ἐξέκειτο δὲ πολὺν χρόνον ἔμπροσθεν τοῦ συνεδρίου ἡ φάσις, ἕως λαβὼν
ἀργύριον οὗτος, εἴασε διαγραφούντων, καὶ καλούντων αὐτὸν εἰς τὴν ἀνάκρισιν τῶν
ἀρχόντων. ὅτι δὲ ταῦτα ἀληθῆ λέγω, πρῶτον μὲν κάλει, ὃς ἐγραμμάτευε τῇ 12
ἀρχῇ, Ἀμφίφημον.

(προσκαλεσάμενος)

Μαρτυρία.

Λέγε δὴ καὶ τὴν τῶν ἰδόντων ἐγκειμένην τὴν φάσιν μαρτυρίαν. Λέγε.

Μαρτυρία.

Κάλει δὲ καὶ τοὺς τοῦ ἐμπορίου ἐπιμελητάς, καὶ αὐτὸν τὸν Μίκωνα, οὗ ἔφηνε τὸ 13
πλοῖον· καὶ τὰς μαρτυρίας ἀναγίνωσκε.

Μαρτυρία.

Ὡς μὲν τοίνυν, ὦ ἄνδρες δικασταί, ἔφηνε Θεοκρίνης τὸ τοῦ Μίκωνος πλοῖον, καὶ
ὡς ἐξέκειτο πολὺν χρόνον ἡ φάσις, καὶ ὡς εἰς τὴν ἀνάκρισιν καλούμενος οὐχ ὑπή- 14
κουσεν, οὐδὲ ἐπῆλθεν, ἀκηκόατε μαρτυρούντων τούτων, οὓς εἰδέναι μάλιστα προσ-
ῆκεν. ὅτι δ' οὐ ταῖς χιλίαις μόνον ἔνοχός ἐστιν, ἀλλὰ καὶ ἀπαγωγῇ, καὶ τοῖς ἄλλοις,
ὅσα κελεύει πάσχειν ὁ νόμος οὑτοσί, συκοφαντοῦντα τοὺς ἐμπόρους, καὶ τοὺς ναυκλή-
ρους, ῥᾳδίως ἐξ αὐτοῦ τοῦ νόμου γνώσεσθε. βουλόμενος γὰρ ὁ τὸν νόμον τιθείς, μήτε 15
τοὺς ἀδικοῦντας τῶν ἐμπόρων ἀθῴους εἶναι, μήτε τοὺς ἄλλους πράγματ' ἔχειν, ἁ-
πλῶς ἀπεῖπε τοῖς τοιούτοις τῶν ἀνθρώπων μὴ φαίνειν, εἰ μὴ πιστεύει τις αὐτῷ δείξειν
ἐν ὑμῖν τὰ γεγενημένα περὶ ὧν ποιεῖται τὴν φάσιν. ἐὰν δέ τις παρὰ ταῦτα ποιῇ, τῶν
συκοφαντούντων, ἔνδειξιν αὐτοῦ εἶναι, καὶ ἀπαγωγήν. μᾶλλον δὲ λέγε τὸν νόμον αὐτόν. 16
πολὺ γὰρ ἐμοῦ σαφέστερον διδάξει.

(τῶν ἐμπόρων τινάς, ἀθ. — μήτε καὶ ἄλλ. — παρὰ ταῦτα ποιῇ, ὡς συκοφαντούντων, ἔνδειξιν — τῶν νόμων ἃ κελεύουσι πάσχειν,)

Νόμος.

Ἀκούετε τοῦ νόμου ἃ κελεύει πάσχειν, ὦ ἄνδρες δικασταί, τὸν συκοφάντην; οὐκοῦν
εἰ μὲν τι πεποιηκότα τούτων, ὧν ἔγραψεν ἐν τῇ φάσει Θεοκρίνης πεποιηκέναι τὸν Μί-
κωνα καθυφεῖκε τὸ πρᾶγμα, καὶ διαλέλυται πρὸς τὸν ἄνθρωπον, ἀδικεῖ πάν- 17
τας ὑμᾶς· καὶ δικαίως ὀφείλει τὰς χιλίας. εἰ δὲ πλεύσαντα αὐτὸν δικαίως οἷ προσῆ-
κεν· ἔστω γὰρ τοῦθ' ὁπότερον οὗτος βούλεται· φαίνει καὶ προσκαλεῖται καὶ συκοφαντεῖ
τοὺς ναυκλήρους, καὶ τὸν νόμον οὐ μόνον τὸν πρότερον, ἀλλὰ καὶ τὸν ἀρτίως ἀναγνωσθέν-
τα παραβέβηκε, καὶ καταμεμαρτύρηκεν αὑτοῦ μηδὲν ὑγιὲς μήτε λέγειν, μήτε 18
πράττειν. τίς γὰρ ἂν ἄλλος εἰς τό, δικαίως πράττοντα λαβεῖν τὸ μέρος τῶν χρημά-
των κατὰ τὸν νόμον διαλυσάμενος, ἠβουλήθη μικρὰ κερδᾶναι, καὶ τούτοις ἔνοχον αὑ-
τὸν καταστῆσαι τοῖς νόμοις, ἐξὸν, ὅπερ ἀρτίως εἶπον, τὰ ἡμίσεα τῶν φανθέντων λα-
βεῖν; οὐδ' ἂν εἷς, ὦ ἄνδρες δικασταί, μὴ οὐ συνειδὼς ἑαυτῷ συκοφαντοῦντι· δύο μὲν 19
τοίνυν οὗτοι νόμοι εἰσίν, οὓς παραβέβηκεν ὁ τοὺς ἄλλους παρανόμων γραφόμενος·
ἕτερος δὲ ὁ τρίτον, ὃς ὁμοίως κελεύει, κατά τε τῶν ὀφειλόντων τῷ δημοσίῳ τὰς ἐν-
δείξεις τὸν βουλόμενον ποιεῖσθαι τῶν πολιτῶν· καὶ ἐάν τις ὀφείλῃ τῇ Ἀθηνᾷ, ἢ τοῖς ἄλλοις
θεοῖς, ἢ τῶν ἐπωνύμων τῳ. φανήσεται οὗτος ὀφείλων, καὶ οὐκ ἐκτετικὼς ἑπτακοσίας 20
δραχμάς, ἃς ὦφλεν ἐν ταῖς εὐθύναις τῷ ἐπωνύμῳ τῆς αὑτοῦ φυλῆς. Καί
μοι λέγε τοῦτ' αὐτὸ τοῦ νόμου.

(φανήσεται δὲ ὤν)

Νόμος.

Ἐπίσχες. Ἀκούεις οὑτοσί τι λέγει, ἢ τῶν ἐπωνύμων τῳ; Λέγε δὴ τὴν τῶν φυλετῶν μαρτυρίαν. 21

# ΔΗΜΟΣΘΕΝΟΥΣ ΕΝΔΕΙΞΙΣ

## ΚΑΤΑ ΘΕΟΚΡΙΝΟΥ.

1 ΤΟΥ πατρὸς ἡμῶν, ὦ ἄνδρες δικασταί, διὰ τουτονὶ θεοκρίνην,
ἀτυχήσαντος πρὸς τὴν πόλιν, καὶ ὀφλόντος δέκα τάλαντα. καὶ
τούτου διπλοῦ γεγενημένου, ὥστε μηδ' ἐλπίδα ἡμῖν εἶναι σωτη-
ρίας μηδεμίαν, ἡγησάμην δεῖν ἐπὶ τὸ τιμωρήσασθαι μεθ' ἡμῶν
2 τοῦτον, μήτε ἡλικίαν, μήτε ἄλλο μηδὲν ὑπολογισάμενος, δοῦ-
ναι τὴν ἔνδειξιν ταύτην. καὶ γὰρ ὁ πατήρ, ὦ ἄνδρες δικασταί,
ᾧπερ πάντα πειθόμενος πεποίηκα, πρὸς ἅπαντας ὠδύρετο τοὺς γνωρίμους, εἰ πα-
ραλιπὼν ἐγὼ τὸν καιρόν, ἐν ᾧ διὰ τὸ τὸν πατέρα ζῆν, ἔξεστί μοι τοῦτον ἀμύνασθαι,
3 τὴν ἀπειρίαν καὶ τὴν ἡλικίαν προφασιζόμενος, αὐτὸν μὲν περιόψομαι πάντων ἀπε-
στερημένον, θεοκρίνην δὲ παρὰ τοὺς νόμους γραφὰς γραφόμενον, καὶ συκοφαντοῦν-
τα πολλοὺς τῶν πολιτῶν, οὐκ ἐξὸν αὐτῷ. δέομαι οὖν ὑμῶν ἁπάντων, ὦ ἄνδρες ἀ-
θηναῖοι, καὶ ἱκετεύω, μετ' εὐνοίας ἀκοῦσαί μου, πρῶτον μὲν ὅτι τῷ πατρὶ βοηθῶν,
4 καὶ πειθόμενος ἀγωνίζομαι, ἔπειθ' ὅτι καὶ νέος ὤν, καὶ ἄπειρος, ὥστ' ἀγαπητὸν εἶναί
μοι, ἐὰν τῆς παρ' ὑμῶν ὑπαρξάσης εὐνοίας δυνηθῶ δηλῶσαι τὰ πεπραγμένα
τούτῳ. πρὸς δὲ τούτοις, ὅτι, ὦ ἄνδρες δικασταί, προδέδομαι, τὰ γὰρ ἀληθῆ πρὸς ὑμᾶς
εἰρήσεται· ὑπὸ ἀνθρώπων οἱ πιστευθέντες ὑφ' ὑμῶν διὰ τὴν πρὸς τοῦτον ἔχθραν,
5 καὶ πυθόμενοι τὰ πράγματα, καὶ φήσαντες ἐμοὶ συναγωνιεῖσθαι, ἐγκαταλελοί-
πασι νυνί με, καὶ διαλέλυνται πρὸς τοῦτον ἐν τοῖς ἐμοῖς πράγμασιν, ὥστε μοι
μηδὲ τὸν συνεροῦντα εἶναι, ἐὰν μή τις ἄρα μοι τῶν οἰκείων βοηθήσῃ. πολλαῖς μὲν
οὖν ἐνδείξεσιν ἔνοχος οὗτός ἐστι. καὶ ἅπαντας τοὺς περὶ ταῦτα νόμους ἐφαίνετο πα-
6 ραβεβηκώς. καινότατον δὲ τῶν ἔργων τῶν τούτου, τὴν περὶ τὸ πλοῖον φάσιν εὑρίσκο-
μεν γεγονυῖαν. δι' ἥνπερ ταῦτα γράψας, εἰς τὴν ἔνδειξιν ἔδωκεν ὁ πατήρ μοι. πρῶτον
μὲν οὖν, τὸν νόμον ὑμῖν ἀναγνώσεται τὸν περὶ τῶν φαινόντων, καὶ οὐκ ἐπεξιόντων,
ἀλλὰ διαλυομένων παρὰ τοὺς νόμους. ἐντεῦθεν γὰρ οἶμαι προσήκειν μοι ποιή-
σασθαι τὴν ἀρχὴν τοῦ λόγου· εἶτα τὴν φάσιν αὐτήν, ἣν οὗτος ἐποιήσατο κατὰ τοῦ
μίκωνος. λέγε. Νόμος. Φάσις.

Ὁ νόμος οὗτος, ὦ ἄνδρες δικασταί, τοῖς προαιρουμένοις ἢ γράφεσθαι γραφάς, ἢ φαίνειν, ἢ ἄλλο τι ποιεῖν τῶν ἐν τῷ νόμῳ τούτῳ γεγραμμένων, προλέγει διαρρήδην, ἐφ' οἷς ἕκαστόν ἐστι τούτων ποιητέον. ἔστι δὲ ταῦτα, ὥσπερ ἠκούσατε ἐξ αὐτοῦ τοῦ νόμου, ἐὰν ἐπεξιών τις μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων, χιλίας ἀποτίνειν. κἂν μὴ ἐπεξίῃ, ὦ θεόκρινη, χιλίας ἑτέρας, ἵνα μήτε συκοφαντῇ μηδείς, μήτε ἄδειαν ἔχων ἐργολαβῇ, καὶ καθυφιῇ τὰ τῆς πόλεως. φημὶ δὴ κατὰ ταύτην τὴν ἔνδειξιν, ἔνοχον εἶναι θεοκρίνην τῷ φήναντι μίκωνα χολλίδην, μὴ ἐπεξελθεῖν, ἀλλ' ἀργύριον λαβόντα ἀποδόσθαι τὸ πρᾶγμα. (φήναντα) καὶ τοῦτο ἀποδείξω σαφῶς, ὡς ἐγὼ νομίζω. καίτοι θεοκρίνης γε, ὦ ἄνδρες δικασταί, καὶ οἱ μετὰ τούτου, οὐδὲν ὅ,τι οὐ πεποιήκασι προσιόντες τοῖς μάρτυσι, καὶ τὰ μὲν ἀπειλοῦντες αὐτοῖς, τὰ δὲ πείθοντες μὴ μαρτυρεῖν. ἀλλ' ὅμως ἐὰν ὑμεῖς βούλησθε τὰ δίκαια βοηθεῖν μοι, καὶ κελεύητε αὐτούς, μᾶλλον δὲ ἀναγκάζοντος ἐμοῦ, συναναγκάζητε ἤτοι μαρτυρεῖν, ἢ ἐξόμνυσθαι, καὶ μηδὲ ἐᾶτε λόγους λέγειν, εὑρεθήσεται τἀληθές. Λέγε οὖν πρῶτον μὲν τὴν φάσιν,

τὴν φάσιν, εἶτα τὰς μαρτυρίας. Φάσις.

Ταύτην τὴν φάσιν, ὦ ἄνδρες δικασταί, ἔδωκε μὲν οὑτοσὶ προσκαλεσάμε- 11
νος τὸν μίκωνα· ἔλαβε δὲ ὁ γραμματεὺς ὁ τῶν τοῦ ἐμπορίου ἐπιμελητῶν ἀθύ-
φημος. ἐξέκειτο δὲ πολὺν χρόνον ἔμπροσθεν τοῦ συνεδρίου ἡ φάσις, ἕως λαβὼν
ἀργύριον οὗτος, εἴασε διαγραφούντων, καὶ καλούντων αὐτὸν εἰς τὴν ἀνάκρισιν τῶν
ἀρχόντων. ὅτι δὲ ταῦτα ἀληθῆ λέγω, πρῶτον μὲν κάλει, ὃς ἐγραμμάτευε τῇ 12
ἀρχῇ ἀθύφημον. Μαρτυρία.

Λέγε δὴ καὶ τὴν τῶν ἰδόντων ἐγκειμένην τὴν φάσιν μαρτυρίαν. Λέγε.

Μαρτυρία.

Κάλει δὲ καὶ τοὺς τοῦ ἐμπορίου ἐπιμελητάς, καὶ αὐτὸν τὸν μίκωνα, οὗ ἔφηνε τὸ 13
πλοῖον· καὶ τὰς μαρτυρίας ἀναγίγνωσκε.

Μαρτυρία.

Ὡς μὲν τοίνυν, ὦ ἄνδρες δικασταί, ἔφηνε θεοκρίνης τὸ τοῦ μίκωνος πλοῖον, καὶ
ὡς ἐξέκειτο πολὺν χρόνον ἡ φάσις, καὶ ὡς εἰς τὴν ἀνάκρισιν καλούμενος οὐχ ὑπή- 14
κουσεν, οὐδὲ ἐπῆλθεν, ἀκηκόατε μαρτυρούντων τούτων, οὓς εἰδέναι μάλιστα προσ-
ήκει. ὅτι δ᾽ οὐ ταῖς χιλίαις μόνον ἔνοχός ἐστιν, ἀλλὰ καὶ ἀπαγωγῇ, καὶ τοῖς ἄλλοις,
ὅσα κελεύει πάσχειν ὁ νόμος οὑτοσί, συκοφαντοῦντα τοὺς ἐμπόρους, καὶ τοὺς ναυκλή-
ρους, ῥᾳδίως ἐξ αὐτοῦ τοῦ νόμου γνώσεσθε. βουλόμενος γὰρ ὁ τὸν νόμον τιθείς, μήτε 15
τοὺς ἀδικοῦντας [a]τῶν ἐμπόρων ἀθῴους εἶναι, [b]μήτε τοὺς ἄλλους πράγματ᾽ ἔχειν, ἁ-
πλῶς ἀπεῖπε τοῖς τοιούτοις τῶν ἀνθρώπων μὴ φαίνειν, εἰ μὴ πιστεύει τις αὐτῷ δείξειν
ἐν ὑμῖν τὰ γεγενημένα περὶ ὧν ποιεῖται τὴν φάσιν. ἐὰν δέ τις [c]παρ᾽ αὐτὰ ποιῇ τῶν
συκοφαντούντων, ἔνδειξιν αὐτοῦ εἶναι, καὶ ἀπαγωγήν. μᾶλλον δὲ λέγε τὸν νόμον αὐτόν. 16
πολὺ γὰρ ἐμοῦ σαφέστερον διδάξει. Νόμος.

Ἀκούετε [d]τοῦ νόμου ἃ κελεύει πάσχειν, ὦ ἄνδρες δικασταί, τὸν συκοφάντην; οὐκοῦν
εἰ μέν τι πεποιηκότα τούτων, ὧν ἔγραψεν ἐν τῇ φάσει θεοκρίνης πεποιηκέναι τὸν μί-
κωνα κατηύφρανε τὸ πρᾶγμα, καὶ διαλέλυται πρὸς τὸν ἄνθρωπον, ἀδικεῖ πάν- 17
τας ὑμᾶς· καὶ δικαίως ὀφείλει τὰς χιλίας. εἰ δὲ πλευσόμενα αὐτὸν δικαίως οἷ προσῆ-
κεν· ἔστω γὰρ τοῦθ᾽ ὁπότερον ἐστὶ βούλεται· φαίνει καὶ προσκαλεῖται καὶ συκοφαντεῖ
τοὺς ναυκλήρους, καὶ τὸν νόμον οὐ μόνον τὸν πρότερον, ἀλλὰ καὶ τὸν ἀρτίως ἀναγνωσθέν-
τα παραβέβηκε, καὶ καταμεμαρτύρηκεν αὑτοῦ μηδὲν ὑγιὲς μήτε λέγειν, μήτε 18
πράττειν. τίς γὰρ ἂν πρὸς εἰς τὸ, δικαίως πράττοντα λαβεῖν τὸ μέρος τῶν χρημά-
των κατὰ τὸν νόμον διαλυσάμενος, ἠβουλήθη μικρὰ κερδᾶναι, καὶ τούτοις ἔνοχον αὑ-
τὸν καταστῆσαι τοῖς νόμοις, ἐξόν, ὅπερ ἀρτίως εἶπον, τὰ ἡμίσεα τῶν φανθέντων λα-
βεῖν; οὐδ᾽ ἂν εἷς, ὦ ἄνδρες δικασταί, μὴ οὐ συνειδὼς ἑαυτῷ συκοφαντοῦντι· δύο μὲν 19
τοίνυν οὗτοι νόμοι εἰσίν, οὓς παραβέβηκεν ὁ τοὺς ἄλλους παρανόμων γραφόμενος·
ἕτερος δὲ τὸ τρίτον, ὃς ὁμοίως κελεύει, κατά τε τῶν ὀφειλόντων τῷ δημοσίῳ τὰς ἐν-
δείξεις τὸν βουλόμενον ποιεῖσθαι τῶν πολιτῶν· καὶ ἐάν τις ὀφείλῃ τῇ ἀθηνᾷ, ἢ τοῖς ἄλλοις
θεοῖς, ἢ τῶν ἐπωνύμων τῳ. [e]φανήσεται ἐστὶ ὀφείλων, καὶ οὐκ ἐκτετικὼς ἑπτακοσίας 20
δραχμάς, ἃς ὦφλεν ἐν ταῖς εὐθύναις τῷ ἐπωνύμῳ τῆς αὑτοῦ φυλῆς. Καί
μοι λέγε τοῦτ᾽ αὐτὸ τοῦ νόμου.

Νόμος.

Ἐπίσχες. ἀκούεις οὑτοσί τί λέγει, ἢ τῶν ἐπωνύμων τῳ; λέγε δὴ τὴν τῶν φυλετῶν μαρτυρίαν. 21

Margin notes: [*]προσκαλεσάμενος (at line 1 of § 11) · [a] τῶν ἐμπόρων τινά, ἀθ. · [b] μήτε καὶ ἄλλ. · [c] παρὰ ταῦτα ποιῇ, ὡς συκοφαντούντων, ἔνδειξιν · [d] τῶν νόμων ἃ κελεύουσι πάσχειν, · [e] φανήσεται δὲ ἐστί

Μαρτυρία.

Τάχ' ἂν ἴσως, ὦ ἄνδρες δικασταί, ἀνθρώπων ὀλίγων φροντίσειεν, ἢ τὸν
πλεῖστον τοῦ χρόνου πλεύντων, ὥσπερ ὁ Μίκων, ὅστις τοὺς φυλέτας παρόντας οὐτ' ἔδει-
22 σεν, οὔτ' ᾐσχύνθη, τοῦτο μὲν οὕτως αὐτῶν τὰ κοινὰ διοικήσας, ὥστ' ἐκείνους κλοπὴν
αὐτοῦ καταγνῶναι, τοῦτο δὲ ὀφλών, καὶ τοὺς νόμους ἀκριβῶς εἰδώς, ὅτι *κωλύουσιν
αὐτὸν γράφεσθαι γραφάς, ἕως ἂν ἐκτίσῃ, βιαζόμενος, καὶ νομίζων δεῖν τοὺς μὲν
ἄλλους τοὺς ὀφείλοντας μηδενὸς μετέχειν τῶν κοινῶν, αὐτὸν δὲ κρείττω τῶν νόμων εἶναι.
23 φήσει τοίνυν τὸν πάππον, *οὐκ αὐτὸν εἶναι τὸν ἐν τῷ γραμματείῳ γεγραμμένον· *οὐχ αὐτὴν
καὶ περὶ τούτου πολλοὺς ἐρεῖ λόγους, ὡς ἐκεῖνός ἐστιν. ἐγὼ δὲ τὸ μὲν ἀκριβὲς ὁπότερός
ἐστιν, οὐκ ἔχω λέγειν. εἰ δ' οὖν ἐστιν, ὡς οὗτος ἐρεῖ, πολὺ δικαιότερον εἶναι νομίζω κα-
ταψηφίσασθαι ὑμᾶς αὐτοῦ, εἰ ταῦθ' οὕτως ἐστίν. εἰ γὰρ ὀφείλοντος αὐτῷ τοῦ πάππου
24 πάλαι, καὶ τοῦ νόμου κελεύοντος κληρονομεῖν τοῦτον τῶν ἐκείνου, προσήκον αὐτῷ μη-
δὲ πάλαι γράφεσθαι, *ἐγγράφεται· καὶ διὰ τοῦτο οἰήσεται δεῖν ἀποφεύγειν, ὅτι πο- *γράφεται
νηρὸς ἐκ τριγονίας ἐστίν, οὐ δίκαια ἐρεῖ, ὦ ἄνδρες δικασταί. ὡς οὖν καὶ παρ' αὐτοῦ Θεο-
κρίνου ὁμολογεῖται τοῦτ' εἶναι τὸ ὄφλημα, καὶ κατετάξατο τοῖς φυλέταις ὑπὲρ αὐτοῦ,
25 καὶ τοῦ ἀδελφοῦ, καὶ τοῖς βουλομένοις ἐπιορκεῖν οὐ καλῶς ἔχει ταύτην ἀπογινώσκειν
τὴν ἔνδειξιν, λαβέ μοι τὸ ψήφισμα, ὃ εἶπεν ἐν τοῖς φυλέταις Σκιρωνίδης.

Ψήφισμα.

Προσελθὼν δ' οὑτοσὶ Θεοκρίνης, ὡμολόγησεν ὀφείλειν καὶ ἐκτίσειν ἐναντίον τῶν
26 φυλετῶν, ἐπειδὴ προσιόντας ἡμᾶς ᾔσθετο, καὶ βουλομένους ἀντίγραφα τῶν ἐν τῷ
γραμματείῳ γεγραμμένων λαβεῖν. Ψήφισμα.

Πολύ γ' ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, Λεοντίδας τοὺς ἀναγκάσαντας ἀποδοῦναι Θεο-
κρίνην τὰς ἑπτὰ μνᾶς ἐπῃνέσατ' ἂν μᾶλλον, ἢ τοῦτον. τέταρτος τοίνυν ἕτερος νόμος
27 ἐστίν. ὁμολογῶ γὰρ τῶν τούτῳ πεπραγμένων τὰ πλεῖστα ἐξητακέναι· καθ' ὃν ὀφείλει
πεντακοσίας δραχμὰς Θεοκρίνης οὑτοσί, οὐκ ἐκτετικότος αὐτῷ τοῦ πατρὸς ἃς προσ-
ῶφλεν ἀφελόμενος τὴν Κηφισοδώρου θεράπαιναν εἰς ἐλευθερίαν ἀλλὰ *δικα- *γρ. διοική-σασθαι
σαμένου πρὸς Κτησικλέα τὸν λογογράφον, ὃς ἦν ἐπὶ τοῖς τῶν ἀντιδίκων πράγμα-
28 σιν, ὥστε μήτ' ἐκτίσαι, μήτ' εἰς ἀκρόπολιν ἀνενεχθῆναι. ἃς οὐδὲν μὲν *ἧττον οἶμαι *ἧττον, οἶμαι, Θεοκρίνης ὀφείλει νυνί.
Θεοκρίνης ὀφείλειν νυνὶ κατὰ τὸν νόμον. οὐ γὰρ ἐὰν Κτησικλῆς ὁ μέτοικος συγχωρήσῃ
τούτῳ πονηρὸς πονηρῷ μὴ παραδοθῆναι τοῖς πράκτορσι τὸν προσόφλοντα κατὰ τὸν γρ. ἧττον οἶμαι
νόμον, διὰ τοῦτο δεῖ τὴν πόλιν ἀποστερεῖσθαι τῶν ἐκ τῶν νόμων ἐπικειμένων ζη- Θεοκρίνην ὀ-φείλειν ν.
29 μιῶν· ἀλλὰ προσήκει τοὺς ἀντιδίκους, ὑπὲρ μὲν τῶν ἰδίων, ὅπως ἂν αὐτοὺς πεί-
θωσι, διοικεῖσθαι πρὸς ἀλλήλους· ὑπὲρ δὲ τῶν πρὸς δημόσιον, ὅπως ἂν οἱ νόμοι κε-
λεύωσι. καί μοι λέγε τὸν νόμον, ὃς κελεύει τὸ ἥμισυ τοῦ τιμήματος ὀφείλειν τῷ δη-
μοσίῳ, ὅς ἂν δόξῃ μὴ δικαίως τὴν ἐλευθερίαν ἀφελέσθαι, καὶ τὴν τοῦ Κηφισοδώρου
30 μαρτυρίαν. Νόμος. Μαρτυρία.

Λέγε δὴ κἀκεῖνον τὸν νόμον τὸν ἀπ' ἐκείνης κελεύοντα τῆς ἡμέρας ὀφείλειν, ἀφ' ἧς
ἂν ὄφλῃ, ἐάν τε ἐγγεγραμμένος ᾖ, ἐάν τε μή.

Νόμος.

31 Πῶς οὖν ἄλλως, ὦ ἄνδρες δικασταί, προσήκει τὸν δικαίως κατηγοροῦντα ἀπο-
φαίνειν, ὀρθῶς ἐνδεδειγμένον Θεοκρίνην τουτονί, καὶ μὴ μόνον ἔνοχον ὄντα τῇ ἐνδείξει
κατὰ τὰς χιλίας, ἐφ' αἷς ἐνδέδεικται, ἀλλὰ καὶ πολλοῖς ὀφλήμασιν; ἐγὼ μὲν οὐδαμῶς
νομίζω.

νομίζω· οὐ γὰρ δήπου περὶ τῆς ἐνδείξεως δεῖ Θεοκρίνην αὐτὸν ὁμολογῆσαι ὀφείλειν ὑμῖν τῷ
δημοσίῳ, καὶ δικαίως ἐνδεδεῖχθαι φήσειν· ἀλλὰ τοὐναντίον πάντα λόγον μᾶλλον 32
ἐρεῖ, καὶ πάσας αἰτίας οἴσει, ὡς καταστασιάζεται, ὡς διὰ τὰς τῶν παρανόμων γραφὰς
εἰς τοῦτ' ἥκει. λοιπὸν γάρ ἐστι τοῦτο τοῖς ἐν αὐτοῖς τοῖς πράγμασιν ἐξελεγχομένοις,
αἰτίας καὶ προφάσεις εὑρίσκειν, αἵτινες τοῦ παρόντος ὑμᾶς ποιήσουσι πράγματος
ἐπιλαθομένους, τοῖς ἔξω τῆς κατηγορίας λόγοις προσέχειν. ἐγὼ δ', ὦ ἄνδρες δικα- 33
σταί, εἰ μὲν ἑώρων ἐν τοῖς ἀνεγνωσμένοις νόμοις γεγραμμένον, ταῦτα δ' εἶναι κύρια
περὶ τῶν συκοφαντούντων, ἂν μὴ Θεοκρίνης ἐνδειχθεὶς αἰτιᾶσθαι βούληται Θουκυ-
δίδην, ἢ Δημοσθένην, ἢ τῶν πολιτευομένων ἄλλον τινά, ἡσυχίαν ἂν ἦγον. νῦν δὲ τού-
*ὑπόλογον
των οὐδεμίαν ὁρῶ τὴν σκῆψιν * ὑπὸ λόγον οὖσαν ἐν τοῖς νόμοις, οὐδὲ καινήν, 34
ὥστε προσέχειν νῦν περὶ τούτων ἀκούσαντας, ἀλλὰ μυριάκις παρὰ τῶν κρινομένων
εἰρημένην. ἀκούω δὲ καὶ παρὰ τῶν πρεσβυτέρων, ὦ ἄνδρες δικασταί, ὡς ἄρα προσ-
ῆκόν ἐστιν, ὅλως μὲν μηδενὶ μηδεμίαν συγγνώμην ὑπάρχειν παραβαίνοντι τοὺς νό-
μους· εἰ δ' ἄρα δεῖ, μὴ τοῖς συνεχῶς οὖσι πονηροῖς, μηδὲ τοῖς ἐπ' ἀργυρίῳ τοὺς νό- 35
μους προϊεμένοις· οὐ γὰρ εἰκός· ἀλλ' οἵτινες ἂν διὰ τὴν αὑτῶν ἀπραγμοσύνην
ἄκοντές τι τῶν γεγραμμένων παραβαίνωσιν. ὧν οὐδεὶς ἂν δή που Θεοκρίνην τουτονὶ
φήσειεν εἶναι, ἀλλὰ τοὐναντίον, οὐδενὸς τῶν ἐν τοῖς νόμοις ἄπειρον. διὸ καὶ δεῖ φυλάτ-
τειν αὐτόν, μὴ πρὸς τοὺς ἐμοὺς λόγους, μηδὲ τοὺς ὑπὸ τούτου ῥηθησομένους ἀπο- 36
βλέποντας. οὐ γὰρ δίκαιον, τοὺς ὑπὲρ τῶν νόμων καθημένους, μακροῖς λόγοις καὶ κατη-
παρακολουθή-ς,
γορίαις προσέχειν, ἀλλ' οἷς ἂν ἅπαντες ῥᾳδίως ἐπακολουθήσητε, καὶ δι' ὧν δόξετε
ἐρωτῶντες ἡμᾶς τοὺς τ
πᾶσι τοῖς ἐν τῇ πόλει τῶν νόμων ἀξίως ταύτην τὴν ἔνδειξιν δικάσαι, σαφῶς * ἐρω-
τῶντας, τί λέγεις, Θεοκρίνη, καὶ πάντες οἱ τῶν αὐτῶν τούτων μετέχοντες; ἀξιοῦτε * ἡμᾶς 37
κατὰ τοὺς νόμους ὀμωμοκότας δικάζειν, παρὰ τούτους διὰ τοὺς ὑμετέρους λόγους ψη-
φίζεσθαι; μεμαρτυρηκότος μὲν ἡμῖν τοῦ Μίκωνος, κατὰ τοῦ δόντος Θεοκρίνῃ οὑτοσὶ τὴν φά-
σιν, οὐκ ἐπεξῆλθε, καὶ πεποιηκότος αὐτὸν τούτοις ὑπόδικον; ὁμολογοῦντος δὲ τοῦ γραμ-
ματέως λαβεῖν τὴν φάσιν παρὰ τούτου, καὶ πεπτωκυίας τῆς μαρτυρίας, τῆς ὀλίγον τι 38
πρότερον ἀναγνωσθείσης, αὐτὸν ὑπόδικον; ἔτι δὲ τῶν τοῦ ἐμπορίου ἐπιμελητῶν μό-
λις μέν, ἀλλ' οὖν ταῦτα τούτοις μεμαρτυρηκότων; πρὸς δὲ τούτοις τῶν ἰδόντων ἐγ-
κειμένην τὴν φάσιν, καὶ προσελθόντων τοῖς ἄρχουσι μαρτυρούντων, ὥσπερ ὀλίγον
πρότερον ἠκούσατε; ἀλλ' οὐ δίκαιον, ὦ ἄνδρες δικασταί. οὐ γὰρ δὴ διὰ τὸν τρόπον γε 39
τὸν τοῦ φεύγοντος, καὶ τὸν βίον, ψευδεῖς ὑπολήψεσθε τὰς μαρτυρίας τὰς ἀνεγνωσμέ-
νας εἶναι. πολὺ γὰρ ἐκ τοῦ τρόπου σαφέστερον ἐπιδείκνυται Θεοκρίνης τοιοῦτος ὤν, ἢ διὰ
τῶν εἰρημένων. τί γὰρ οὐ πεποίηκεν οὗτος, ὧν ἂν πονηρὸς καὶ συκοφάντης ἄνθρωπος
ποιήσειεν; οὐ διὰ μὲν τὴν τούτου πονηρίαν, ἀδελφὸς αὐτοῦ θεσμοθετῶν, καὶ τούτῳ χρώ- 40
μενος συμβούλῳ, τοιοῦτος ἔδοξε παρ' ὑμῖν ἄνθρωπος εἶναι, ὥστε οὐ μόνον αὐτὸς ἀπε-
χειροτονήθη τὴν ἐπιχειροτονίαν, ἀλλὰ καὶ τὴν ἀρχὴν ἅπασαν ἐποίησε; καὶ εἰ μὴ δεο-
μένων αὐτῶν, καὶ ἱκετευόντων, καὶ λεγόντων, ὡς οὐκ ἔτι πρόσεισι Θεοκρίνης πρὸς
τὴν ἀρχήν, ἔπεισθ' ὑμᾶς καὶ πάλιν ἀπέδοτε τοὺς στεφάνους αὐτοῖς, πάντων ἂν 41
αἴσχιστα οἱ συνάρχοντες ἐπεπόνθεσαν; καὶ τούτων οὐδέν με δεῖ μάρτυρας ὑμῖν
παρασχέσθαι. πάντες γὰρ ἴστε τοὺς ἐπὶ Λυκίσκου ἄρχοντος θεσμοθέτας ἀποχειροτονη-
θέντας ἐν τῷ δήμῳ διὰ τοῦτον. ὧν ἀναμιμνησκομένους ὑμᾶς, χρὴ τὸν αὐτὸν ὑπολαμ-
βάνειν εἶναι τοῦτον καὶ πρότερον, καὶ νῦν. οὐ πολλῷ τοίνυν χρόνῳ ὕστερον τῆς ἀποχειροτο- 42

Ἐποίησε) Δηλονότι ἀποχειροτονεῖσθαι. Αὐτῶν) Τῶν ἀρχόντων.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νίας, τελευτήσαντος αὐτῷ τοῦ ἀδελφοῦ βιαίῳ θανάτῳ, τοιοῦτος ἐγένετο περὶ αὐ-
τόν, ὥστε ζητῆσαι τοὺς δράσαντας, καὶ πυθόμενος οἵτινες ἦσαν, ἀργύριον λαβὼν
ἀπηλλάγη καὶ τὴν μὲν ἀρχήν, ἣν ἐκεῖνος ἄρχων, ἐτελεύτησεν, ἱεροποιὸς ὤν, παρὰ
43 τοὺς νόμους ἦρχεν οὗτος οὔτε λαχών, οὔτ' ἐπιλαχών, ὑπὲρ ὧν δ' ἔπαθεν ἐκεῖνος, μέ-
χρι τούτου σχετλιάζων περιῄει, καὶ φάσκων εἰς ἄρειον πάγον δημοχάριν " προσκαλέ- " προσκαλέσασθαι.
σθαι, ἕως διελύσατο πρὸς τοὺς τὴν αἰτίαν ἔχοντας. χρηστὸς γ' ἐστί, καὶ κρείττων χρη-
μάτων. οὐδ' ἂν αὐτὸς φήσειεν. οὐ γὰρ τοσούτων δεῖται· φασὶ δεῖν τὸν δικαίως καὶ με- " φησὶ
44 τρίως τῶν κοινῶν ἐπιμελησόμενον, ἀλλὰ πάντων τούτων εἶναι κρείττω, δι' ὧν αἰσ-
χύνας εἰς ἑαυτοὺς ἀναλαμβάνουσι. καὶ τὰ μὲν πρὸς τὸν ἀδελφὸν αὐτῷ πεπραγμέ-
να, τοιαῦτά ἐστιν. ἃ δὲ πρὸς τὴν πόλιν προσελθὼν διῴκηται, δεύτερον γὰρ ὑμᾶς
φησὶ φιλεῖν μετὰ τοὺς οἰκείους, ἄξιον ἀκοῦσαι. ἄρξομαι δὲ ἀπὸ τῶν πρὸς ἡμᾶς αὐτῷ
45 πεπραγμένων. τοῦ γὰρ πατρὸς κατηγορῶν, ὦ ἄνδρες δικασταί, ὅτε τὴν τῶν παρα-
νόμων αὐτὸν ἐδίωκε γραφήν, ἔλεγεν ὡς ἐπιβουλευόμενος ὁ παῖς εἴη, περὶ οὗ τὸ ψή-
φισμα γεγραμμένον ἦν, ἐν ᾧ τὴν σίτησιν ἔγραψε χαριδήμῳ ὁ πατὴρ τῷ ἰσομά-
χου υἱῷ, λέγων, ὡς, ἐὰν ἐπανέλθῃ εἰς τὸν πατρῷον οἶκον ὁ παῖς, ἀπολωλεκὼς ἔσται τὴν
46 οὐσίαν ἅπασαν, ἣν αἰσχύλος ὁ ποιησάμενος αὐτὸν υἱόν, ἔδωκεν αὐτῷ ψευδόμενος. οὐ-
δενὶ γὰρ πώποτε, ὦ ἄνδρες δικασταί, τοῦτο τῶν εἰσποιηθέντων συνέβη. καὶ τούτων πάν-
των αἴτιον ἔφη πολύευκτον γενέσθαι, τὸν ἔχοντα τὴν μητέρα τοῦ παιδός, βουλό-
μενον ἔχειν αὐτὸν τὴν τοῦ παιδὸς οὐσίαν. ὀργισθέντων δὲ τῶν δικαστῶν ἐπὶ τοῖς λεγο-
47 μένοις, καὶ νομισάντων αὐτὸ μὲν τὸ ψήφισμα καὶ τὴν δωρεὰν κατὰ τοὺς νόμους εἶναι, τῷ
δὲ ὄντι τὸν παῖδα μέλλειν ἀποστερεῖσθαι τῶν χρημάτων, τῷ μὲν πατρὶ δέκα ταλάν-
των ἐτίμησαν, ὡς μετὰ πολυεύκτου ταῦτα πράττοντι· τούτῳ δ' ἐπίστευσαν, ὡς δὴ
βοηθήσαντι τῷ παιδί. καὶ τὰ μὲν ἐπὶ τοῦ δικαστηρίου γενόμενα, τοιαῦτα, καὶ παρα-
48 πλήσια τούτοις ἦν. ὡς δ' ὁ χρηστὸς οὗτος ὠργισμένους ᾔσθετο τοὺς ἀνθρώπους, καὶ πε-
πιστευμένον αὐτόν, ὡς οὐ παντάπασιν ἀνόσιον ὄντα, προσκαλεσάμενος τὸν πολύευ-
κτον, ἀπέφερε γραφὴν κατ' αὐτοῦ κακώσεως πρὸς τὸν ἄρχοντα. καὶ δίδωσι πρὸς
τὴν λῆξιν μνησιθείδῃ τῷ παρέδρῳ· λαβὼν δὲ τὰς τριακοσίας δραχμὰς παρὰ
49 τοῦ πολυεύκτου, καὶ τὰ δεινὰ ταῦτα ἀποδόμενος μικροῦ λήμματος, ἐφ' οἷς τῷ πα-
τρὶ ἐτιμήσατο δέκα ταλάντων, ἀπηλλάγη· καὶ τὴν γραφὴν ἀνείλετο προδοὺς τὸν
ὀρφανόν. καί μοι κάλει τούτων τοὺς μάρτυρας.

Μάρτυρες.

50 Εἰ τοίνυν εὔπορος ἦν ὁ πατήρ, καὶ δυνατός, ὦ ἄνδρες δικασταί, πεῖσαι χιλίας δραχμάς, ὅλως ἂν ἀπηλλάγη τῆς γραφῆς τῆς παρανόμων. τοσοῦτον γὰρ αὐτὸν ᾔτει οὑτοσί. καί μοι κάλει φιλιππίδην τὸν παιανιέα, πρὸς ὃν ἔλεγε ταῦτα θεοκρίνης οὑτοσί. καὶ τοὺς ἄλλους, οἳ σύνισασι τούτῳ ταῦτα λέγοντι.

Μάρτυρες.

51 Ὅτι μὲν τοίνυν, ὦ ἄνδρες δικασταί, θεοκρίνης, εἴ τις αὐτῷ τὰς χιλίας δραχμὰς ἐδίδου, τὴν γραφὴν ἀνείλετο τὴν κατὰ τοῦ πατρός, ἡγοῦμαι πάντας ὑμᾶς πιστεύειν, καὶ εἰ μηδεὶς ἐμαρτύρησεν. ὅτι δὲ πολλὰς ἑτέρας προσκαλεσάμενος, καὶ γραψάμενος καθυφῆκε, καὶ μικρὸν ἀργύριον λαμβάνων ἀπαλλάττεται, τοὺς δόντας ὑμῖν αὐτοὺς καλῶ, ἵνα μὴ πιστεύητε αὐτῷ λέγοντι, ὡς αὐτὸς φυλάττει τοὺς παράνομα γράφοντας, καὶ ὡς, ὅταν αἱ τῶν παρανόμων γραφαὶ ἀναιρεθῶσιν, ὁ δῆμος κατα-

καταλύεται. ταῦτα γὰρ οἱ πάντα πωλοῦντες, λέγειν εἰθισμένοι εἰσί. κάλει μοι Ἀριστόμαχον Κριτοδήμου Ἀλωπεκῆθεν. οὗτος γὰρ ἔδωκε, μᾶλλον δ' ἐν τῇ τούτου οἰκίᾳ ἐδόθη περὶ ἡμιμναῖα τούτῳ τῷ ἀδωροδοκήτῳ, ὑπὲρ τοῦ ψηφίσματος, ὃ αὐτομέδων ἔγραψε τοῖς Τενεδίοις. 53

Μαρτυρία.

Λέγε δὴ καὶ τὰς τῶν ἄλλων ἐφεξῆς τὰς τοιαύτας μαρτυρίας, καὶ τὴν ὑπερείδου, καὶ Δημοσθένους. τοῦτο γάρ ἐστιν ὑπερβολή, ὃ περὶ ὧν οὐδ' ἂν εἷς ἀξιώσαι γράψαι, τούτων ἥδιστα λαμβάνειν πωλοῦντα τὰς γραφάς. 54

Μαρτυρία.

Οὗτος τοίνυν αὐτίκα φήσει, διὰ τοῦτο τὴν ἔνδειξιν καθ' αὑτοῦ γεγονέναι, ἵνα Δημοσθένης μὴ ἐπεξέλθῃ τὴν γραφήν, ἣν ἐγράψατο αὐτόν, μηδὲ Θουκυδίδης. δεινὸς γάρ ἐστι ψεύσασθαι, καὶ μηδὲν ὑγιὲς εἰπεῖν. ἡμεῖς δέ, ὦ ἄνδρες δικασταί, καὶ τοῦτ' 55 ἐπεσκεψάμεθα, καὶ δείξομεν ὑμῖν οὐδὲν τὴν πόλιν βλαπτομένην, οὔτε μὰ τὸν Δία ἐὰν κύριον γένηται τὸ ψήφισμα τὸ Θουκυδίδου, οὔτ' ἂν ἄκυρον. καί τοι γε τὰς τοιαύτας ἀπολογίας οὐ δίκαιόν ἐστι προφέρειν τοῖς κατὰ τοὺς νόμους ὀμωμοκόσι δικάσειν. ἀλλ' ὅμως ἐξ αὐτῆς τῆς γραφῆς αὐτίκα γνώσεσθε, διότι πρόφασίς ἐστι τῆς 56 ἐνδείξεως ἡ γραφή. Λέγε τὰς γραφὰς ταύτας.

Ψήφισμα. Γραφαί.

Τούτων τῶν ψηφισμάτων, ὦ ἄνδρες δικασταί, ἢ μενόντων κατὰ χώραν, ἢ λυθέντων· οὐδὲν γὰρ ἔμοιγε διαφέρει· τί ἡ πόλις κερδαίνει, ἢ βλάπτεται; ἐγὼ μὲν γὰρ οὐδὲν οἶμαι. τοὺς γὰρ Αἰνίους φασὶν οὔτε προσέχειν τῇ πόλει· τοῦτο δὲ γεγονέναι διὰ Θεοκρίνην τουτονί. συκοφαντούμενοι γὰρ ἐν ἐκείνοις τοῖς χρόνοις ὑπὸ τούτου, ἐν οἷς οἱ μὲν ἐφιλίππιζον, οἱ δ' ἠττίκιζον αὐτῶν, καὶ πυνθανόμενοι γεγράφθαι τὸ ψήφισμα παρανόμων, ὃ Χαρῖνος πρότερον ἐγράψατο τοῦ περὶ τῆς συντάξεως, ὃ Θουκυδίδης εἶπε, καὶ πέρας τῶν πραγμάτων οὐδὲν γιγνόμενον· ἀλλὰ τὸν μὲν δῆμον συγχωροῦντα τὴν σύνταξιν διδόναι τοὺς Αἰνίους ὅσην χάριτι τῷ στρατηγῷ συνεχώρησαν· τοῦτον δὲ τὸν μιαρὸν παραδεξάμενον Χαρίνῳ τῷ προδότῃ ταῦτα πράττειν· ὅπερ ἦν ἀναγκαῖον αὐτοῖς, τοῦτ' ἔπραξαν. εἵλοντο γὰρ τῶν προσόντων κακῶν τὰ ἐλάχιστα. 59 καί τοι τί χρὴ νομίζειν αὐτοὺς πάσχειν ὑπὸ τῶν ἐνθάδε γραφομένων, οἷς ἦν αἱρετώτερον φρουρὰς ὑποδέχεσθαι, καὶ βαρβάρων ἀκούειν, ὑμῶν ἀποστάντας; ἀλλ', οἶμαι, τὴν τούτου πονηρίαν ὑμεῖς μόνοι δύνασθε φέρειν, ἄλλος δ'* οὐδεὶς τῶν Ἑλλήνων. ὅτι μὲν οὖν, οὔτε διὰ τὰς γραφὰς τὰς λεγομένας, οὔτε δι' ἄλλην αἰτίαν οὐδεμίαν ἄξιόν 60 ἐστι παραβάντας τοὺς νόμους τοὺς περὶ τῶν ἐνδείξεων, ἀφεῖναι Θεοκρίνην, σχεδὸν καὶ διὰ τῶν εἰρημένων φανερόν ἐστιν. ἐγὼ δὲ τὰς μὲν τούτων προφάσεις, ὦ ἄνδρες δικασταί, καὶ τὰς κατηγορίας, καὶ τὰς προσποιήτους ταυτασὶ ἔχθρας, οὐ λανθάνειν ὑμᾶς νομίζω. οὐ γὰρ ὀλιγάκις ἑωράκατ' αὐτούς, ἐπὶ μὲν τοῦ δικαστηρίου, καὶ τοῦ βήματος, ἐχθροὺς εἶναι φάσκοντας ἀλλήλοις· ἰδίᾳ δὲ ταῦτα πράττοντας, καὶ μετέχοντας 61 τῶν λημμάτων· καὶ ποτὲ μὲν λοιδορουμένους καὶ πλύνοντας αὐτοὺς τἀπόρρητα, μικρὸν δὲ διαλείποντας, τοῖς αὐτοῖς τούτοις *ἐνδεκάζοντας, καὶ τῶν αὐτῶν ἱερῶν κοινωνοῦντας. καὶ τούτων οὐδὲν ἴσως θαυμάσαι ἄξιόν ἐστι. φύσει γάρ εἰσι πονηροί, καὶ τὰς τοιαύτας προφάσεις ὁρῶσιν ὑμᾶς ἀποδεχομένους. ὥστε τί κωλύει τούτοις αὐτοὺς χρωμένους ἐξαπατᾶν ὑμᾶς πειρᾶσθαι; ὅλως δ' ἔγωγε οἶμαι δεῖν ὑμᾶς, ὦ ἄνδρες

*ἡ οὐδεὶς

* συνενδεκαπίζοντας, γρ. συνενδικάζοντας. γρ. συνδεκαπίζοντας ὅ ἐστιν ἅμα τὴν δεκάτην ἐπισταμένους.

Πλύνοντας) βλασφημοῦντας, καὶ κακῶς λέγοντας.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δικασταὶ, ἀπ' αὐτοῦ τοῦ πράγματος σκεψαμένους, εἰ μὲν δίκαια λέγω, καὶ κατὰ
τοὺς νόμους, βοηθεῖν, μηδὲν ὑπολογισαμένους εἰ μὴ Δημοσθένης ἐστὶν ὁ κατηγορῶν,
62 ἀλλὰ μειράκιον, μηδὲ νομίζειν κυριωτέρους δεῖν εἶναι τοὺς νόμους, ἂν μέν τις τοῖς ὀνό-
μασι συμπλέξας, αὐτοὺς τούτοις ὑμῖν παραγάγηται, τῶν ὅπως ἔτυχε λεγόντων, ἀλ-
λὰ πεὶς αὐτοὺς, καὶ τοσούτῳ μᾶλλον τοῖς ἀπείροις καὶ τοῖς νέοις βοηθεῖν, ὅσῳ περ ἂν
ἧττον ἐξαπατῆσαι ὑμᾶς. ἐπεὶ διότι τοὐναντίον ἐστὶ, καὶ οὐχ ὡς οὗτος, ἀλλ' ἐγὼ κατε-
63 σκευασίασμαι, καὶ φησάντων τινῶν μοι συναγωνιεῖσθαι, προδέδομαι διὰ τὰς τού-
των ἑταιρείας, ἐκεῖνος δ' οὔ, δῆλον ὑμῖν ἔσται. καλείτω ὁ κῆρυξ ἀπὸ τοῦ Δημοσθένην.
οὐκ ἀναβήσεται. τούτου δ' αἴτιόν ἐστιν οὐ τὸ ἐμὲ ὑπό τινων πεπεισμένον ἐνδεῖξαι
τουτονὶ, ἀλλὰ τὸ τοῦτον, καὶ τὸν ἄρτι καλούμενον διαλελύσθαι. καὶ τοῦθ' ὅτ' ἐστὶν
64 ἀληθὲς, ἀναγκάσω μὲν μαρτυρεῖν καὶ Κλεινόμαχον τὸν συναγαγόντα αὐτοὺς, καὶ
Εὐβουλίδην τὸν ἐν Κυνοσάργει παραγενόμενον. οὐ μὴν ἔλαττόν γε τούτου σημεῖον
ὑμῖν ἄλλο μεῖζον παρασχήσομαι, διότι τοῦτ' ἐστιν ἀληθὲς, ὃ πάντες ἀκούσαντες
ὁμολογήσετε. Θεοκρίνης γὰρ οὑτοσὶ τοῦτον διώκων παρανόμων, τὸν μιαρὸν, ὡς αὐτίκα
65 φήσει, καὶ τῶν νῦν αὐτῷ κακῶν αἴτιον, φανερῶς ἀφῆκε τῆς γραφῆς, ἐφ' ᾗ δέκα τά-
λαντα ἐπεγράψατο τίμημα. πῶς; οὐδὲν καινὸν διαπραξάμενος, ἀλλ' ὅπερ
ἕτεροί τινες τῶν ὁμοίων τούτῳ, τὸν μὲν Δημοσθένην τις ὑπωμόσατο καλουμένης
τῆς γραφῆς, ὡς νοσοῦντα, τὸν περιιόντα καὶ λοιδορούμενον αἱμωδίᾳ τοῦτον δ' οὗτος
66 τὸν ἐχθρὸν εἴασε· καὶ οὔτε τότε ἀνθυπωμόσατο, οὔθ' ὕστερον ἐπήγγελκεν. ἆρ' οὐ περι-
φανῶς οὗτοι φενακίζουσιν ὑμᾶς τοὺς προσέχοντας τούτοις ὡς ἐχθροῖς; Λέγε τὰς
μαρτυρίας.

Μαρτυρίαι.

Οὐκοῦν δίκαιόν ἐστιν, ὦ ἄνδρες δικασταὶ, μηδ' ὑμᾶς τῶν φησόντων Θεοκρίνη
67 διὰ τὴν πρὸς Δημοσθένην ἔχθραν συνερεῖν ἐθέλειν, ἀκούειν, ἀλλὰ κελεύειν αὐ-
τοὺς, εἴπερ ὡς ἀληθῶς ἐχθροί εἰσι τοῦ Δημοσθένους, ἐκεῖνον αὐτοὺς γράφεσθαι, καὶ
μὴ ἐπιτρέπειν αὐτῷ παράνομα γράφειν. εἰσὶ δέ γε δεινοὶ καὶ οὗτοι· καὶ πιστεύον-
ται μᾶλλον παρ' ὑμῖν. ἀλλ' οὐ ποιήσουσι τοῦτο. διὰ τί; ὅτι φασὶ πολεμεῖν ἀλ-
68 λήλοις οὐ πολεμοῦντες. περὶ μὲν οὖν τῆς τούτων ἔχθρας, ὑμεῖς ἂν ἀκριβέστερον
ἐμοὶ διεξέλθοιτε, ἢ ἐγὼ ὑμῖν. ἡδέως δ' ἂν ἐροίμην Θεοκρίνην ἐναντίον ὑμῶν, εἰ
μοι ἤμελλεν ἀποκρίνεσθαι δικαίως, τί ποτ' ἂν ἐποίησεν, ἐπειδή φησιν ἐπὶ τῷ κω-
λύειν τετάχθαι τοὺς τὰ παράνομα γράφοντας, ἐπειδὰν εἴ τις ἐν τῷ δήμῳ δια- ἐπειδάν πε
69 λεχθεὶς ἅπασι τοῖς πολίταις, καὶ πείσας, ἔγραψεν ἐξεῖναι τοῖς ἀτίμοις, καὶ τοῖς ἐν τῷ δ. γε-
ὀφείλουσι τῷ δημοσίῳ γράφεσθαι, φαίνειν, ἐνδεικνύναι, ἁπλῶς ποιεῖν ὅσα περ νῦν γράφοντας
ὁ νόμος κωλύει πράττειν; πότερον ἐγράψατ' ἂν παρανόμων τὸν ταῦτ' εἰπόντα, ἢ εἴ πς
οὔ. εἰ μὲν γὰρ φήσει μὴ γράφεσθαι, πῶς χρὴ πιστεύειν αὐτῷ λέγοντι ὡς φυλάττει καὶ πείσας τὸν δῆμον
τοὺς παράνομα γράφοντας; εἰ δὲ γράψαιτ' ἄν, πῶς οὐ δεινόν ἐστιν ἑτέρου μὲν ἐγράψατ'
γράψαντος, κωλύειν ἂν τέλος ἔχειν τὸ ψήφισμα, ἵνα πάντας τοῦτο ποιῶσι, καὶ πάντες
γραφὴν ἀπενεγκόντα παραγραψάμενος σαφῶς τοὺς νόμους, κωλύει τὸ πρᾶ- παραγραψάμενον
γμα· νυνὶ δ' αὐτὸν τοῦτον μήτε πείσαντα τὸν δῆμον, μήτε κοινὸν τὸ πρᾶγμα κα-
ταστήσαντα, γράψασθαι, τῶν νόμων αὐτῷ ἀπαγορευόντων; τὸ δεινὰ φήσει αὐτίκα δὴ
μάλα πάσχειν, εἰ μὴ ταῦτ' ἐξέσται ποιεῖν αὐτῷ· καὶ διέξεισι τὰς ἐκ τῶν νόμων
τιμωρίας, αἷς ἔνοχος, ἂν ἁλῷ, γενήσεται· τῶν δὲ νόμων μὴ φροντίζειν, ἀλλ'
ἀξιοῦν αὐτῷ τηλικαύτην δωρεὰν δίδοσθαι παρ' ὑμῶν, ὅσην οὐδ' αἰτῆσαι τετόλ-

μηκεν

μηχανῶν οὐδείς; ὅτι μὲν οὖν περὶ τῆς ἐνδείξεως οὐδὲν ἕξει δίκαιον λέγειν οὔτε Θεο-
κρίνης, οὔτε τῶν παρὰ τούτου λεγόντων οὐδείς, σχεδὸν πάντας εἰδέναι νομίζω. οἶμαι 72
δ᾽ αὐτοὺς ἐπιχειρήσειν λέγειν, ὡς οὐδ᾽ εἰσὶν ἐνδείξεις τούτων, ὅσοι μὴ ἐν ἀκροπόλει
ἐπιγεγραμμένοι εἰσίν· οὐδ᾽ ἐστὶ δίκαιον τούτους ὑπολαμβάνειν ὀφείλειν, ὧν οὐδεὶς
παραδέδωκε τοῖς πράκτορσι τὰ ὀνόματα· ὥσπερ ὑμᾶς ἀγνοήσοντας τὸν νόμον,
ὃς ὀφείλειν ἀπ᾽ ἐκείνης κελεύει τῆς ἡμέρας, ἀφ᾽ ἧς ἂν ὀφείλῃ, ἢ παραβῇ τὸν νόμον, 73
ἢ τὸ ψήφισμα· ἢ οὐ πᾶσι δῆλον ὅτι πολλαχῶς καὶ ὀφείλουσι τῷ δημοσίῳ, καὶ ἐκ-
τίνουσιν οἱ βουλόμενοι τοῖς νόμοις πείθεσθαι, καὶ τοῦτ᾽ ἐξ αὐτοῦ τοῦ νόμου δῆλον; Καί
μοι λάβε τὸν νόμον τοῦτον πάλιν.

Νόμος.

• παραβῇ. Ακούεις, ὦ μιαρὸν σὺ θηρίον, τί κελεύει, ἀφ᾽ ἧς ἂν ὀφείλῃ, ἢ τὸν νόμον • παραβῇ; 74
ἀκούω τοίνυν αὐτοὺς κἀκεῖνον ὑμῖν μέλλειν δεικνύναι τὸν νόμον, ὃς ἀπαλείφειν κελεύει
τοὺς ἐγγεγραμμένους ἀπὸ τοῦ ὀφλήματος καθ᾽ ὅτι ἂν ἐκτίνῃ· καὶ ἐρήσεσθαι πῶς ἀπὸ
τούτου ἐγγεγραμμένους ἀπαλείφουσιν; ὥσπερ οὐ περὶ μὲν τῶν ἐγγεγραμμένων, του-
τον κείμενον, περὶ δὲ τῶν μὴ ἐγγεγραμμένων, ὀφειλόντων δ᾽, ἐκεῖνον, ὃς κελεύει ἀπ᾽ 75
ἐκείνης ὀφείλειν τῆς ἡμέρας, ἀφ᾽ ἧς ἂν ὀφείλῃ, ἢ παραβῇ τὸν νόμον, ἢ τὸ ψήφισμα.
τί οὖν ἐν ἀγραφίου μέ φησι γράφῃ τὸν ὀφείλοντα, καὶ ἐγγεγραμμένον; ὅτι ὁ νόμος
οὐ κατὰ τῶν ὀφειλόντων, καὶ μὴ ἐγγραφέντων κελεύει τὰς γραφὰς τοῦ ἀγραφίου εἶναι, 76
ἀλλ᾽ οἵτινες ἂν ἐγγραφέντες, καὶ μὴ ἐκτίσαντες τῇ πόλει τὸ ὄφλημα, ἐξαλειφθῶ-
σι. καί μοι λάβε τὸν νόμον, καὶ ἀνάγνωθι.

Νόμος.

Ακούετε τοῦ νόμου, ὦ ἄνδρες δικασταί, ὅτι διαρρήδην λέγει, ἐάν τις τῶν ὀφει- 77
λόντων τῷ δημοσίῳ μὴ ἐκτίσας τὸ ὄφλημα τῇ πόλει, ἐξαλειφθῇ, εἶναι κατ᾽ αὐ-
τοῦ τὰς γραφὰς πρὸς τοὺς θεσμοθέτας τοῦ ἀγραφίου, καὶ οὐ κατὰ τοῦ ὀφείλον-
τος, καὶ μὴ ἐγγεγραμμένου, ἀλλ᾽ ἔνδειξιν κελεύει, καὶ ἄλλας τιμωρίας κατ᾽ αὐ-
τοῦ εἶναι. ἀλλὰ σὺ τί διδάσκεις με πάντας τοὺς τρόπους, οἷς ἔξεστι τιμωρεῖσθαι 78
• καθ᾽ ὃν εἰσελήλυθας, τοῦτον ἀπολογῇ; γρ. κατὰ τοῦτον ἀπολογῇ; τοὺς ἐχθρούς, ἀλλ᾽ οὐ καθ᾽ ὧν εἰσελήλυθα τοῦτον ἀπολογήσασθαι. Μοιροκλῆς τοί-
νυν, ὦ ἄνδρες δικασταί, ὁ γράψας τὸ ψήφισμα κατὰ τῶν τοὺς ἐμπόρους ἀδικούν-
των, καὶ πείσας οὐ μόνον ὑμᾶς, ἀλλὰ καὶ τοὺς συμμάχους φυλακήν τινα τῶν
κακούργων ποιήσασθαι, οὐκ αἰσχύνεται αὐτίκα μάλα λέγων ὑπὲρ Θεοκρίνου 79
• τὸν ἐναντία τοῖς αὑτοῦ ψηφίσμασιν· ἀλλὰ τολμήσει πείθειν ὑμᾶς, ὡς χρὴ • τῶν οὕτω
• ἐξεληλεγμένον φανερῶς • ἐξεληλεγμένων φάσεις ποιούμενον ἀδίκως κατὰ τῶν ἐμπόρων, ἀφεῖναι καὶ
μὴ τιμωρήσασθαι, ὥσπερ ἕνεκα τούτου γράψας καθαρὰν εἶναι τὴν θάλατταν, ἵνα
σωθέντες οἱ πλέοντες ἐκ τοῦ πελάγους, ἐν τῷ λιμένι τούτοις χρήματα ἀποτίνω- 80
• μακρὸν πλοῖον διαφ. σιν, ἢ διαφέρειν τι τοῖς ἐμπόροις, ἂν • μακρὸν διαφυγόντες, Θεοκρίνῃ περιπέσωσιν.
ἐγὼ δ᾽ οἶμαι τῶν μὲν κατὰ πλοῦν γιγνομένων οὐχ ὑμᾶς, ἀλλὰ τοὺς στρατηγούς,
καὶ τοὺς ἐπὶ τοῖς μακροῖς πλοίοις αἰτίους εἶναι· τῶν δ᾽ ἐν τῷ Πειραιεῖ, καὶ πρὸς ταῖς
ἀρχαῖς, ὑμᾶς, οἳ τούτων κύριοι ἁπάντων ἐστέ. διὸ καὶ μᾶλλόν ἐστι τηρητέον τοὺς ἐν- 81
θάδε παραβαίνοντας τοὺς νόμους, τῶν ἔξω τοῖς ψηφίσμασιν οὐκ ἐμμενόντων, ἵνα μὴ
δοκῆτε αὐτοὶ πρᾴως ἐπὶ τοῖς γιγνομένοις φέρειν, καὶ συνειδέναι τούτοις ὧν πράττου-
σιν. οὐ γὰρ δήπου Μηλίους μέν, ὦ Μοιροκλεῖς, κατὰ τὸ σὸν ψήφισμα δέκα τάλαντα νῦν
εἰσπράξομεν, ὅτι τοὺς λῃστὰς ὑπεδέξαντο, τουτονὶ δ᾽ ἀφήσομεν, ὃς καὶ τὸ σὸν ψή- 82



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φισμα καὶ τοὺς νόμους, δι' οὓς οἰκοῦμεν τὴν πόλιν παραβέβηκε· καὶ τοὺς μὲν τὰς νή-
σους οἰκοῦντας κωλύσομεν ἀδικεῖν, ἐφ' οὓς τριήρεις δεῖν πληρώσαντας ἀναγκάσαι
τὰ δίκαια ποιεῖν, ὑμᾶς δὲ τοὺς μιαρούς, οἷς αὐτοῦ δεῖ καθημερινοῖς τουτοισί, κατὰ τοὺς νό-
83 μους ἐπιθεῖναι δίκην, ἐάσαι, οὐκ ἄν γ' ἐσωφρονεῖτε. Λέγε τὴν στήλην.

Στήλη.

Περὶ μὲν οὖν τῶν νόμων, καὶ τοῦ πράγματος, οὐκ οἶδ' ὅ,τι δεῖ πλείω λέγειν.
ἱκανῶς γάρ μοι δοκεῖτε μεμαθηκέναι. βούλομαι δὲ δεηθεὶς ὑμῶν τὰ δίκαια ὑπὲρ
84 ἐμαυτοῦ, καὶ τοῦ πατρός, καταβαίνειν, καὶ μὴ ἐνοχλεῖν ὑμῖν. ἐγὼ γάρ, ὦ ἄνδρες δικασταί,
βοηθεῖν οἰόμενος δεῖν τῷ πατρί, καὶ τοῦτο δίκαιον νομίζων εἶναι, τὴν ἔνδειξιν ταύτην
ἐποιησάμην, ὥσπερ ἐξ ἀρχῆς εἶπον, οὐκ ἀγνοῶν οὔτε τοὺς βλασφημεῖν βεβουλη-
μένους, ὅτι λόγους εὑρήσουσι τοὺς διαβαλοῦντας τὴν ἐμὴν ἡλικίαν, οὔτε τοὺς ἐπαι-
νέσοντας καὶ σωφρονεῖν με νομιοῦντας, εἰ τὸν ἐχθρὸν τοῦ πατρὸς τιμωρεῖσθαι προαιροῦ-
85 μαι· ἀλλ' ἡγούμενος ταῦτα μὲν οὕτως ὅπως ἂν τύχοι, παρὰ τοῖς ἀκροωμένοις συμ-
βήσεσθαι· ἐμοῦ δὲ, τὸ προσταχθὲν ὑπὸ τοῦ πατρός, ἄλλως τε καὶ δίκαιον ὄν, τοῦτ' εἶναι ἐμοὶ δὲ
ποιητέον. πότε γάρ με καὶ δεῖ βοηθεῖν αὐτῷ; οὐχ ὅταν ἡ μὲν τιμωρία κατὰ τοὺς νόμους
86 ᾖ, μετέχων δ' αὐτὸς τυγχάνω τῆς τοῦ πατρὸς ἀτυχίας; μόνος δὲ καταλελειμμένος ὁ
πατήρ, ὥσπερ νῦν συμβέβηκε. πρὸς γὰρ τοῖς ἄλλοις ἀτυχήμασι, καὶ τοῦθ' ἡμῖν, ὦ ἄν-
δρες δικασταί, συμβέβηκε. προξενοῦσι μὲν ἡμᾶς ἅπαντες, καὶ συνάχθεσθαί φασι
τοῖς γεγενημένοις, καὶ δεινὰ πεπονθέναι λέγουσι, καὶ τοῦτον εἶναι ἔνοχον τῇ ἐνδείξει, συμ-
87 παραστῆναι δὲ οὐδεὶς ἐθέλει τῶν εἰπόντων, οὐδὲ φησὶν ἀπεχθάνεσθαι βούλεσθαι φα-
νερῶς. οὕτως ἔλαττον παρά τισι τὸ δίκαιον ἰσχύει τῆς παρρησίας. πολλῶν δ' ὑμῖν, ὦ
ἄνδρες δικασταί, διὰ τουτονὶ Θεοκρίνην ἀτυχημάτων ἐν οὐκ ὀλίγῳ χρόνῳ συμβε-
βηκότων, οὐδενός ἐλαττόν ἐστι τὸ νῦν συμβαῖνον, ὅτι τὰ δεινά, καὶ τὰ παρὰ τοὺς νόμους
88 πεπραγμένα Θεοκρίνῃ, τῷ μὲν πατρὶ τῷ πεπονθότι, καὶ δυναμένῳ ἂν δηλῶσαι
πρὸς ὑμᾶς, ἐξ ἀνάγκης ἡσυχίαν ἀκτέον ἐστίν. οἱ γὰρ νόμοι ταῦτα κελεύουσιν. ἐμοὶ δὲ
τῷ πάντων τούτων ὑστερίζοντι, λεκτέον. καὶ τοῖς μὲν ἄλλοις τοῖς τηλικούτοις, οἱ πατέ-
ρες βοηθοῦσι. οὗτος δ' ἐν ἐμοὶ νῦν ἔχει τὰς ἐλπίδας. τοιοῦτον οὖν ἀγωνιζόμενοι ἀγῶ-
89 να, δεόμεθ' ὑμῶν ἐπικουρεῖν ἡμῖν, καὶ δεῖξαι πᾶσιν ὅτι, κἂν παῖς, κἂν γέρων, κἂν ἄλλην
ἡντινοῦν ἡλικίαν ἔχων, ἥκει πρὸς ὑμᾶς καὶ τοὺς νόμους, οὗτος τεύξεται πάντων τῶν ἥκῃ
δικαίων. καλὸν γάρ, ὦ ἄνδρες δικασταί, μήτε τοὺς νόμους, μήθ' ὑμᾶς αὐτοὺς ἐπὶ τοῖς
λέγουσι ποιεῖν, ἀλλ' ἐκείνους ἐφ' ὑμῖν· καὶ χωρὶς κρίνειν τούς τ' εὖ καὶ σαφῶς, καὶ τοὺς
90 τὰ δίκαια λέγοντας. περὶ γὰρ τούτου τὴν ψῆφον ὀμωμόκατε οἴσειν. οὐ γὰρ δὴ πείσει γ' πείσῃ
ὑμᾶς οὐδείς, ὡς ἐπιλείψουσιν οὗτοι οἱ ῥήτορες· οὐδ' ὡς διὰ τοῦτο χεῖρον ἡ πόλις οἰ-
κήσεται. τοὐναντίον γάρ, ὡς ἐγὼ τῶν πρεσβυτέρων ἀκούω, τότε φασὶν ἄριστα πρᾶξαι
τὴν πόλιν, ὅτε μέτριοι καὶ σώφρονες ἄνδρες ἐπολιτεύοντο. πότερον γὰρ συμβού- πότερα
91 λους εὕροι τις ἂν τούτους ἀγαθούς; ἀλλ' οὐδὲν τῷ δήμῳ λέγουσιν, ἀλλὰ τοὺς ἐκεῖ-
θεν γραφόμενοι, χρήματα λαμβάνουσιν. ὃ καὶ θαυμαστόν ἐστιν, ὅτι ζῶντες ἀπὸ τοῦ
συκοφαντεῖν, οὔ φασι λαμβάνειν ἀπὸ τῆς πόλεως· καὶ πρὶν προσελθεῖν πρὸς ὑ-
μᾶς, οὐδὲν ἔχοντες, νῦν εὐποροῦντες, οὐδὲ χάριν ὑμῖν ἔχουσιν· ἀλλὰ περιιόντες λέ-
92 γουσιν, ὡς ἀβέβαιός ἐστιν ὁ δῆμος, ὡς δύσκολος, ὡς ἀχάριστος, ὡς ὑμᾶς διὰ τού-
τους εὐποροῦντας, οὐχὶ τούτους διὰ τὸν δῆμον. ἀλλὰ γὰρ εἰκότως ταῦθ' οὗτοι λέγουσιν,
ὁρῶντες τὴν ἡμετέραν ῥαθυμίαν. οὐδένα γὰρ ἀξίως αὐτῶν τῆς πονηρίας τετι- ὑμετέραν

μώρησθε

μώρησθε· ἀλλ' ὑπομένετε λεγόντων αὐτῶν, ὡς ἡ τοῦ δήμου σωτηρία διὰ τῶν
γραφομένων καὶ συκοφαντούντων ἐστίν. ὧν γένος ἐξωλέστερον οὐδέν ἐστι. τί γὰρ δὴ 93
τις τούτους φήσει χρησίμους ὄντας τῇ πόλει; τοὺς ἀδικοῦντας νὴ Δί' οὗτοι κολάζουσι,
καὶ διὰ τούτους ἐλάττους εἰσὶν ἐκεῖνοι; οὐ δῆτα, ὦ ἄνδρες δικασταί, ἀλλὰ καὶ πλείους.
εἰδότες γὰρ οἱ βουλόμενοι κακόν τι πράττειν, ὅτι τούτοις ἐστὶν ἀπὸ τῶν λημμάτων
τὸ μέρος δοτέον, ἐξ ἀνάγκης μείζω προαιροῦνται παρὰ τῶν ἄλλων ἁρπάζειν, ἵνα 94
μὴ μόνον αὐτοῖς, ἀλλὰ καὶ τούτοις ἔχωσιν ἀναλίσκειν. καὶ τοὺς μὲν ἄλλους, ὅσοι κακουρ-
γοῦντες βλάπτουσί τι τοὺς ἐντυγχάνοντας, τοὺς μὲν τὴν οἴκοι φυλακὴν καταστή-
σαντας, σώζειν ἐστί· τοὺς δ' ἔνδον μένοντας, τῆς νυκτὸς μηδὲν παθεῖν· τοὺς δ' ἐνί γέ
* κακόν τι — τῳ τρόπῳ φυλαξαμένους, ἔνεστι διασώσασθαι τὴν τῶν * κακῶν τι βουλομένων 95
ποιεῖν ἐπιβουλήν. τοὺς δὲ τοιούτους συκοφαντοῦντας, ποῖ χρὴ προελθόντας ἀδείας
παρὰ τούτων τυχεῖν; αἱ γὰρ τῶν ἄλλων ἀδικημάτων καταφυγαί, τούτοις εἰσὶν ἐργα-
* αὐτῶν — σίαι, νόμοι, δικαστήρια, μάρτυρες, ἀγοραί. ἐν οἷς τὰς * αὐτὰς ῥώμας ἐπιδείκνυνται,
φίλους μὲν, τοὺς διδόντας νομίζοντες· ἐχθροὺς δὲ, τοὺς ἀπράγμονας καὶ πλουσίους. 96
ἀναμνησθέντες οὖν, ὦ ἄνδρες δικασταί, καὶ τῆς τούτων πονηρίας, καὶ τῶν προγό-
νων τῶν ἡμετέρων, ὧν Ἐπιχάρης μὲν ὁ πάππος ὁ ἐμὸς Ὀλυμπίασι νικήσας παῖ-
δας στάδιον, ἐστεφάνωσε τὴν πόλιν, καὶ παρὰ τοῖς ὑμετέροις προγόνοις, ἐπιεικῆ
δόξαν ἔχων, ἐτελεύτησεν· ἡμεῖς δὲ, διὰ τοῦτον τὸν θεοῖς ἐχθρὸν ἀποστερούμεθα ταύ- 97
της τῆς πόλεως, ὑφ' ἧς Ἀριστοκράτης μὲν ὁ Σκελλίου, θεῖος ὢν Ἐπιχάρους τοῦ πάπ-
που τοῦ ἐμοῦ, οὗ ἔχει ἀδελφὸς οὑτοσὶ τοὔνομα, πολλὰ καὶ καλὰ διαπραξάμε-
νος ἔργα πολεμούσης τῆς πόλεως Λακεδαιμονίοις, κατασκάψας τὴν Ἠετιώνειαν,
εἰς ἣν τοὺς Λακεδαιμονίους ἤμελλον οἱ περὶ Κριτίαν ὑποδέχεσθαι, καθεῖλε μὲν τὸ 98
ἐπιτείχισμα, κατήγαγε δὲ τὸν δῆμον, κινδυνεύων αὐτὸς οὐ τοιούτους κινδύνους, ἀλλ'
ἐν οἷς καὶ παθεῖν τι καλόν ἐστιν. ἔπαυσε δὲ τοὺς ἐπιβουλεύοντας ὑμῖν, δι' ὃν εἰ Θεοκρί-
νῃ τούτῳ ὅμοιοι ὄντες ἐτυγχάνομεν, εἰκότως ἐσώζετ' ἂν ἡμᾶς, μὴ ὅτι βελτίους ὄν-
* ταυτὰ — τας τούτου, καὶ δίκαια λέγοντας. οὐ γὰρ πολλάκις ὑμᾶς * ταῦτα λέγοντες ἐνοχλή- 99
σομεν. οὕτω γὰρ ἡμᾶς οὗτος διατέθεικεν, ὥστε, ὅπερ ἐξ ἀρχῆς εἶπον, οὐδ' ἐλπίδα
εἶναι ἡμῖν μηδεμίαν τοῦ μεταλαβεῖν τῆς καὶ τοῖς ξένοις δεδομένης παρρησίας. ἵν' οὖν,
εἰ καὶ μηδὲν ἄλλο, ταύτην γ' ἔχωμεν παραψυχήν, τὸ καὶ τοῦτον ὁρᾶν ἡσυχίαν ἄ-
γοντα, βοηθήσατε ἡμῖν· χαρίσασθε τοῖς ὑπὲρ τῆς πατρίδος ἡμῶν τετελευτηκόσι· 100
ἀναγκάσατ' αὐτὸν ὑπὲρ αὐτῆς τῆς ἐνδείξεως ἀπολογεῖσθαι· καὶ τοιοῦτοι γίνεσθ'
αὐτῷ δικασταὶ τῶν λεγομένων, οἷος οὗτος ἐγένετο ἡμῶν κατήγορος· ὃς ἐξαπατή-
σας τοὺς δικαστάς, οὐκ ἠθέλησε τιμήσασθαι μετρίου τινὸς τιμήματος τῷ πατρί,
πόλλ' ἐμοῦ δεηθέντος, καὶ τούτου ἱκετεύσαντος πρὸς τῶν γονάτων· ἀλλ' ὥσπερ τὴν 101
πόλιν προδεδωκότι τῷ πατρί, δέκα ταλάντων ἐτιμήσατο. δέομαι δ' οὖν, * καὶ
* ὦ ἄνδρες δικασταί. — ἀντιβολῶ ὑμᾶς, τὰ δίκαια ψηφίζεσθε· βοήθησον ἡμῖν ὁ δεῖνα εἴ τι ἔχεις, καὶ σύ-
νειπε· ἀνάβηθι.

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΚΑΤΑ ΝΕΑΙΡΑΣ ΛΟΓΟΥ.

Καὶ τοῦτον τὸν λόγον οὐκ οἴονται Δημοσθένους εἶναι, ὕπτιον ὄντα, καὶ πολλαχῇ τῆς τοῦ ῥήτορος δυνάμεως ἐνδεέστερον. ὑπόθεσιν δὲ ἔχει τοιαύτην· νόμου κελεύοντος, ἐὰν ἀνδρὶ Ἀθηναίῳ ξένη συνοικῇ, πεπρᾶσθαι ταύτην, κατὰ τοῦτον τὸν νόμον ἐπὶ Νέαιραν ἥκει Θεόμνηστος, λέγων συνοικεῖν αὐτὴν Στεφάνῳ, γεγονυῖαν μὲν δούλην Νικαρέτης, ἑταιρήσασαν δὲ πρότερον, νῦν δὲ παρὰ τοὺς νόμους συνοικοῦσαν, καὶ παιδοποιουμένην ἐξ αὐτοῦ. ὁ δὲ Στέφανος οὐχ ὁμολογεῖ ταῦτα, ἀλλὰ συνεῖναι μὲν αὐτῇ φησιν, ὡς ἑταίρᾳ δέ, καὶ οὐ γυναικί· καὶ τοὺς παῖδας οὐκ ἐκ ταύτης ἔχειν. περὶ ὧν ὁ κατήγορος αἰσθόμενος οὐκ ὀλίγα τεκμήρια παρέχεται, ὡς γυναικὶ συνοικεῖν αὐτῇ. γίνεται τοίνυν ἡ στάσις τοῦ λόγου στοχαστική. περὶ γὰρ οὐσίας τὸ ζήτημα, καὶ οὔτε περὶ ἰδιότητος, οὔτε περὶ ποιότητος. τὰ μὲν οὖν πρῶτα τοῦ λόγου Θεόμνηστος λέγει· ἔπειτα συνήγορον Ἀπολλόδωρον καλεῖ, κηδεστὴν ὄντα ἑαυτοῦ· κἀκεῖνος τὸν ἀγῶνα πεποίηται.

# ΔΗΜΟΣΘΕΝΟΥΣ Ο ΚΑΤΑ ΝΕΑΙΡΑΣ ΛΟΓΟΣ.

1 ΠΟΛΛΑ με τὰ παρακαλοῦντα ἦν, ὦ ἄνδρες Ἀθηναῖοι,
γράψασθαι Νέαιραν τὴν γραφὴν ταυτηνὶ, καὶ εἰσελθεῖν εἰς
ὑμᾶς. καὶ γὰρ ἠδικήμεθα ὑπὸ Στεφάνου μεγάλα, καὶ εἰς κιν-
δύνους τοὺς ἐσχάτους κατέστημεν ὑπ' αὐτοῦ, ὅ,τε κηδεστὴς, καὶ
2 ἐγὼ, καὶ ἡ ἀδελφὴ, καὶ ἡ γυνὴ ἡ ἐμή. ὥστ' οὐχ ὑπάρχων, ἀλλὰ
τιμωρούμενος ἀγωνιοῦμαι τὸν ἀγῶνα τουτονί. τῆς γὰρ ἔχθρας πρότερος οὗτος ὑπῆρ-
ξεν, οὐδὲν ὑφ' ἡμῶν πώποτε οὔτε ἔργῳ, οὔτε λόγῳ κακὸν παθών. βούλομαι δ' ὑ-
μῖν προδιηγήσασθαι πρῶτον, ἃ πεπόνθαμεν ὑπ' αὐτοῦ, ἵνα μᾶλλόν μοι συγγνώ-
3 μην ἔχητε ἀμυνομένῳ, καὶ ὡς εἰς ἐσχάτους κινδύνους κατέστημεν, περί τε τῆς πα-
τρίδος, καὶ περὶ ἀτιμίας. ψηφισαμένου γὰρ τοῦ δήμου τοῦ Ἀθηναίων, Ἀθηναῖον εἶναι
Πασίωνα, καὶ ἐκγόνους τοὺς ἐκείνου διὰ τὰς εὐεργεσίας τὰς εἰς τὴν πόλιν, ὁμογνώ-
μων καὶ ὁ πατὴρ ἐγένετο ὁ ἐμὸς τῇ τοῦ δήμου δωρεᾷ, καὶ ἔδωκεν Ἀπολλοδώρῳ τῷ
4 υἱεῖ τῷ ἐκείνου, θυγατέρα μὲν αὑτοῦ, ἀδελφὴν δὲ ἐμήν, ἐξ ἧς Ἀπολλοδώρῳ οἱ
παῖδές εἰσιν. ὄντος δὲ χρηστοῦ τοῦ Ἀπολλοδώρου περί τε τὴν ἀδελφὴν τὴν ἐμὴν,
καὶ περὶ ἡμᾶς ἅπαντας, καὶ ἡγουμένου τῇ ἀληθείᾳ οἰκείους ὄντας, καὶ κοινωνεῖν πάν-
των τῶν ὄντων, ἔλαβον καὶ ἐγὼ γυναῖκα, Ἀπολλοδώρου μὲν θυγατέρα, ἀδελφιδῆν
5 δ' ἐμαυτοῦ. προεληλυθότος δὲ χρόνου, λαγχάνει βουλεύειν Ἀπολλόδωρος. δοκιμα-
σθεὶς δὲ καὶ ὀμόσας τὸν νόμιμον ὅρκον, συμβάντος τῇ πόλει καιροῦ τοιούτου, καὶ πο-
λέμου, ἐν ᾧ ἦν κρατήσασιν ὑμῖν, μεγίστοις τῶν Ἑλλήνων εἶναι, καὶ ἀναμφισβητήτως
τά τε ὑμέτερα αὐτῶν κεκομίσθαι, καὶ καταπεπολεμηκέναι Φίλιππον, ἢ ὑστερήσα-
6 σι τῇ βοηθείᾳ, καὶ προεμένοις τοὺς συμμάχους δι' ἀπορίαν χρημάτων, καταλυθέν-
τος τοῦ στρατοπέδου τούτους τ' ἀπολέσαι, καὶ τοῖς ἄλλοις Ἕλλησιν ἀπίστοις εἶναι δοκεῖν, καὶ
κινδυνεύειν περὶ τῶν ὑπολοίπων, περί τε Λήμνου, καὶ Ἴμβρου, καὶ Σκύρου, καὶ Χερρο-
νήσου· καὶ μελλόντων στρατεύεσθαι ὑμῶν πανδημεὶ εἴς τε Εὔβοιαν, καὶ εἰς Ὄλυνθον,
7 ἔγραψε ψήφισμα ἐν τῇ βουλῇ Ἀπολλόδωρος βουλεύων, καὶ ἐξήνεγκε προβούλευμα
εἰς τὸν δῆμον, λέγων, διαχειροτονῆσαι τὸν δῆμον, εἴτε δοκεῖ τὰ περιόντα χρήματα
τῆς διοικήσεως στρατιωτικὰ εἶναι, εἴτε θεωρικά, κελευόντων μὲν τῶν νόμων, ὁπόταν
πόλεμος ᾖ, τὰ περιόντα χρήματα τῆς διοικήσεως στρατιωτικὰ εἶναι, κύριον δ' ἡ-
8 γούμενος δεῖν τὸν δῆμον εἶναι περὶ τῶν αὑτοῦ, ὅ,τι ἂν βούληται, πρᾶξαι, ὀμωμοκὼς
τὰ βέλτιστα βουλεύσειν τῷ δήμῳ τῷ Ἀθηναίων, ὡς ὑμεῖς πάντες ἐμαρτυρήσατε ἐν

ἐκείνῳ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γρ. γενομένης οὐδεὶς ἀντεχειροτόνησεν, ὡς οὐδεὶ τοῖς χρήμασι τοῖς γραφαῖς ... ἐπεὶ καὶ νῦν, ἐάν που λόγος γένηται, παρὰ πάντων.

τοῖς δημοκρατουμένοις δεῖ ὀργίζεσθαι.

ἐκείνῳ τῷ καιρῷ. γενομένης γὰρ τῆς διαχειροτονίας, οὐδεὶς ἀντεῖπε, ἀλλὰ καὶ νῦν
ἔτι, ἄν που λόγος γένηται, παρὰ πάντων ὁμολογεῖται, ὡς τὰ βέλτιστα εἰπὼν, ἄδικα
πάθοι. τῷ οὖν ἐξαπατήσαντι τῷ λόγῳ τοὺς δικαστὰς, δίκαιον ὀργίζεσθαι, οὐ τοῖς 9
ἐξαπατηθεῖσι. γραψάμενος γὰρ παρανόμων τὸ ψήφισμα Στέφανος οὑτοσὶ, καὶ εἰσελ-
θὼν εἰς τὸ δικαστήριον ἐπὶ διαβολῇ, ψευδεῖς μάρτυρας παρασχόμενος, καὶ ἔξω τῆς
γραφῆς πολλὰ κατηγορῶν, εἷλε τὸ ψήφισμα. καὶ τοῦτο μὲν εἰ αὐτῷ ἐδόκει δια-
πράξασθαι, οὐ χαλεπῶς φέρομεν. ἀλλ' ἐπειδὴ περὶ τοῦ τιμήματος ἐλάμβανον 10
τὴν ψῆφον οἱ δικασταὶ, δεομένων ἡμῶν συγχωρῆσαι, οὐκ ἤθελεν, ἀλλὰ πεντεκαί-
δεκα ταλάντων ἐτιμᾶτο, ἵνα ἀτιμώσειεν αὐτὸν, καὶ παῖδας τοὺς ἐκείνου, καὶ τὴν ἀ-
δελφὴν τὴν ἐμὴν, καὶ ἡμᾶς ἅπαντας εἰς τὴν ἐσχάτην ἀπορίαν καταστήσειε, καὶ
ἔνδειαν ἁπάντων. ἡ μὲν γὰρ οὐσία, οὐδὲ τριῶν ταλάντων πάνυ τι ἦν, ὥστε δυνη- 11
θῆναι ἐκτῖσαι τοσοῦτον ὄφλημα. μὴ ἐκτισθέντος δὲ τοῦ ὀφλήματος ἐπὶ τῆς ἐν-
νάτης πρυτανείας, διπλοῦν ἔμελλεν ἔσεσθαι τὸ ὄφλημα, καὶ ἐγγραφήσεσθαι Ἀπολ-
λόδωρος, τριάκοντα τάλαντα ὀφείλων τῷ δημοσίῳ. ἐγγεγραμμένου δὲ τῷ δημοσίῳ,
ἀπογραφήσεσθαι ἔμελλεν ἡ ὑπάρχουσα οὐσία Ἀπολλοδώρῳ, δημοσία εἶναι· πρα- 12
θείσης δ' αὐτῆς, εἰς τὴν ἐσχάτην ἀπορίαν καταστήσεσθαι καὶ αὐτὸς, καὶ παῖδες οἱ
ἐκείνου, καὶ γυνὴ, καὶ ἡμεῖς ἅπαντες. ἔτι δὲ καὶ ἡ ἑτέρα θυγάτηρ, ἀνέκδοτος ἔμελλεν
ἔσεσθαι. τίς γὰρ ἄν ποτε παρ' ὀφείλοντος τῷ δημοσίῳ, καὶ ἀποροῦντος ἔλαβεν ἄ-
προικον; οὐκοῦν τηλικούτων κακῶν αἴτιος ἡμῖν πᾶσιν ἐγίγνετο, οὐδὲν πώποτε 13
ὑφ' ἡμῶν ἠδικημένος. τοῖς μὲν οὖν δικασταῖς τοῖς τότε δικάσασι, πολλὴν χάριν κα-
τά γε τοῦτ' ἔχω, ὅτι οὐ περιεῖδον αὐτὸν ἀναρπασθέντα, ἀλλ' ἐτίμησαν ταλάντου, ὥσ-
τε* δυνηθῆναι ἂν ἐκτῖσαι μόλις. τούτῳ δὲ δικαίως τὸν αὐτὸν ἔρανον ἐνεχειρή-
σαμεν ἀποδοῦναι. καὶ γὰρ οὐ μόνον ταύτῃ ἐζήτησεν ἀνελεῖν ἡμᾶς, ἀλλὰ καὶ ἐκ τῆς 14
πατρίδος αὐτὸν ἠβουλήθη ἐκβαλεῖν. ἐπενέγκας γὰρ αὐτῷ αἰτίαν ψευδῆ, ὡς ὦφλε τῷ
δημοσίῳ ἐκ πέντε καὶ εἴκοσι ἐτῶν, ὡς ἀφίδναζέ ποτε ἀφικόμενος ἐπὶ δραπέ-
την αὐτοῦ ζητῶν, πατάξειε γυναῖκα, καὶ ἐκ τῆς πληγῆς τελευτήσειεν ἡ ἄνθρω-
πος, παρακελευσάμενος ἀνθρώποις δούλοις, καὶ κατασκευάσας, ὡς Κυρηναῖοι 15
εἴησαν, προεῖπεν αὐτῷ τὸν παλλάδιον φόνον. καὶ ἔλεγε τὴν δίκην Στέφανος οὑτο-
σὶ, διομοσάμενος ὡς ἔκτεινεν Ἀπολλόδωρος τὴν γυναῖκα αὐτοχειρίᾳ, ἀρώμενος
ἐξώλειαν αὐτῷ, καὶ γένει, καὶ οἰκίᾳ ἐπαρασάμενος, ἃ οὔτε ἐγένετο, οὔτε εἶδεν, οὔτε
ἤκουσεν οὐδενὸς πώποτ' ἀνθρώπων. ἐξελεγχθεὶς δ' ἐπιορκῶν, καὶ ψευδῆ αἰτίαν 16
ἐπιφέρων, καὶ καταφανὴς γενόμενος μεμισθωμένος ὑπὸ Κηφισοφῶντος, καὶ Ἀ-
πολλοφάνους, ὥστ' ἐξελάσαι Ἀπολλόδωρον ἢ ἀτιμῶσαι ἀργύριον εἰληφὼς, ὀλί-
γας ψήφους μεταλαβὼν ἐκ πεντακοσίων* ἀνδρῶν, ἀπῆλθεν ἐπιωρκηκὼς, καὶ δό-
ξας πονηρὸς εἶναι. σκοπεῖτε δὴ αὐτοὶ, ὦ ἄνδρες δικασταὶ, ἐκ τῶν εἰκότων λογιζόμε- 17
νοι πρὸς ὑμᾶς αὐτοὺς, τί ἂν ἐχρησάμην ἐμαυτῷ, καὶ τῇ γυναικὶ, καὶ τῇ ἀδελφῇ,
εἴ τι Ἀπολλοδώρῳ συνέβη παθεῖν, ὧν Στέφανος οὑτοσὶ ἐπεβούλευσεν αὐτῷ, ἢ ἐν τῷ
προτέρῳ, ἢ ἐν τῷ ὑστέρῳ ἀγῶνι; ἢ ποίᾳ αἰσχύνῃ οὐκ ἂν καὶ συμφορᾷ περιπε-
πτωκὼς ἦν; παρακαλούντων δή με ἁπάντων ἰδίᾳ, προσιόντων τέ μοι ἐπὶ τι- 18
μωρίαν τρέπεσθαι ὧν ἐπάθομεν ὑπ' αὐτοῦ, καὶ ὀνειδιζόντων, ὅτι ἀνανδρότατος
ἀνθρώπων εἴη, εἰ οὕτως οἰκείως ἔχων τὰ πρὸς τούτους μὴ λήψομαι δίκην ὑπὲρ
ἀδελφῆς, καὶ κηδεστοῦ, καὶ ἀδελφιδῶν, καὶ γυναικὸς ἐμαυτοῦ, μηδὲ τὴν περιφανῶς

* καὶ

τὸν δημ.

Ἀφίδναζε εἰς Ἀφίδνας· ἔστι δὲ Ἀφίδνα δῆμος Ἀττικῆς Λεοντίδος φυλῆς.

* παρασκευασάμενος

* αὐτῷ ἐπὶ παλλαδίῳ φόνῳ.

* ἀπέκτεινεν

* δραχμῶν,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

19 εἰς τοὺς θεοὺς ἀσεβοῦσαν, καὶ εἰς τὴν πόλιν ὑβρίζουσαν, καὶ τῶν νόμων καταφρο-
νοῦσαν τῶν ὑμετέρων, εἰσαγαγὼν εἰς ὑμᾶς, καὶ ἐξελέγξας τῷ λόγῳ ὡς ἀδικεῖ, κυ-
ρίους καταστήσω ὅ, τι ἂν βούλησθε, χρῆσθαι αὐτῇ· καὶ ὥσπερ Στέφανος οὑτοσὶ ἐμὲ
ἀφῄρητο τοὺς οἰκείους παρὰ "τῶν νόμων, καὶ τὰ ψηφίσματα τὰ ὑμέτερα, οὕ[τω] καὶ "τοὺς νόμους.
20 ἐγὼ τοῦτον ἥκω ἐπιδείξων εἰς ὑμᾶς, ξένῃ μὲν γυναικὶ συνοικοῦντα παρὰ τὸν νό- τὸν νό...
μον, ἀλλοτρίους δὲ παῖδας εἰσαγαγόντα εἴς τε τοὺς φράτορας, καὶ εἰς τοὺς δημότας
ἐγγυῶντα δὲ τὰς τῶν ἑτέρων θυγατέρας ὡς αὑτοῦ οὔσας· ἠσεβηκότα δ᾽ εἰς τοὺς θεούς,
ἄκυρον δὲ ποιοῦντα τὸν δῆμον, τῶν αὑτοῦ, ἂν τινα βούληται, πολίτην ποιήσασθαι. τίς
21 γὰρ ἂν ἔτι παρὰ τοῦ δήμου ζητήσειε λαβεῖν δωρεὰν μετὰ πολλῶν ἀναλωμάτων, καὶ πρα-
γματείας πολίτης μέλλων ἔσεσθαι, ἐξὸν παρὰ Στεφάνου ἀπ᾽ ἐλάττονος ἀναλώμα-
τος, εἴγε τὸ αὐτὸ τοῦτο γενήσεται αὐτῷ; ἃ μὲν οὖν ἐγὼ ἀδικηθεὶς ὑπὸ Στεφάνου πρό-
τερος, ἐγραψάμην τὴν γραφὴν ταύτην, εἴρηκα πρὸς ὑμᾶς. ὡς δ᾽ ἐστὶ ξένη Νέ-
22 αιρα αὕτη, καὶ συνοικεῖ Στεφάνῳ τούτῳ, καὶ πολλὰ παρανενόμηκεν εἰς τὴν πόλιν,
ταῦτ᾽ ἤδη δεῖ μαθεῖν ὑμᾶς. δέομαι οὖν ὑμῶν, ὦ ἄνδρες δικασταί, ἅπερ ἡγοῦμαι
προσήκειν δεηθῆναι, νέον τε ὄντα καὶ ἀπείρως ἔχοντα τοῦ λέγειν, συνήγορόν με κε-
λεῦσαι τῷ καλέσαι ἀγῶνι τούτῳ Ἀπολλόδωρον. καὶ γὰρ πρεσβύτερός ἐστιν ἢ ἐγώ, καὶ
23 ἐμπειροτέρως ἔχει τῶν νόμων· καὶ ἠδίκηται ὑπὸ Στεφάνου τουτουΐ· καὶ μεμέληκεν αὐτῷ
περὶ τούτων ἁπάντων ἀκριβῶς, ὥστε καὶ ἀνεπίφθονον αὐτῷ τιμωρεῖσθαι τὸν ὑπάρ-
ξαντα. δεῖ δ᾽ ὑμᾶς ἐξ αὐτῆς τῆς ἀληθείας τὴν ἀκρίβειαν ἀκούσαντας τῆς τε κατηγορ-
ίας καὶ τῆς ἀπολογίας, οὕτως ἤδη τὴν ψῆφον φέρειν ὑπέρ τε τῶν θεῶν, καὶ τῶν νόμων,
4 καὶ τοῦ δικαίου, καὶ ὑμῶν αὐτῶν.

Συνηγορία.

Ἃ μὲν ἠδίκημαι, ὦ ἄνδρες Ἀθηναῖοι, ὑπὸ Στεφάνου ἀναβέβηκα κατηγορή-
σων Νεαίρας ταυτησί, Θεόμνηστος εἴρηκε πρὸς ὑμᾶς. ὡς δ᾽ ἐστὶ ξένη Νέαιρα, καὶ παρὰ
τοὺς νόμους συνοικεῖ Στεφάνῳ, τοῦτο ὑμῖν βούλομαι σαφῶς ἐπιδεῖξαι. πρῶτον οὖν
5 τὸν νόμον ὑμῖν ἀναγνώσεται, καθ᾽ ὃν τήν τε γραφὴν ταυτηνὶ Θεόμνηστος ἐγρά-
ψατο, καὶ ὁ ἀγὼν οὑτοσὶ εἰσέρχεται εἰς ὑμᾶς.

Νόμος.

Ἐὰν δὲ ξένος ἀστῇ συνοικῇ, τέχνῃ ἢ μηχανῇ ᾑτινιοῦν, "γράφεσθαι πρὸς τοὺς "γραφέσθω
θεσμοθέτας "Ἀθηναίων ὁ βουλόμενος, οἷς ἔξεστιν. ἐὰν δὲ ἁλῷ, πεπεράσθω καὶ αὐτός, "ἀθηναίων
καὶ ἡ οὐσία αὐτοῦ, καὶ τὸ τρίτον μέρος ἔστω τοῦ ἁλόντος. ὡσαύτως δὲ καὶ ἐὰν ἡ ξένη
τῷ ἀστῷ συνοικῇ, κατὰ ταυτὰ καὶ ὁ συνοικῶν τῇ ξένῃ τῇ ἁλούσῃ ὀφειλέτω χιλίας
δραχμάς. Τοῦ μὲν νόμου τοίνυν ἀκηκόατε, ὦ ἄνδρες δικασταί, ὃς οὐκ ἐᾷ τὴν
ξένην τῷ ἀστῷ συνοικεῖν, οὐδὲ τὴν ἀστὴν τῷ ξένῳ, οὐδὲ παιδοποιεῖσθαι τέχνῃ,
οὐδὲ μηχανῇ οὐδεμιᾷ. ἐὰν δέ τις παρὰ ταῦτα ποιῇ, γραφὴν πεποίηκε κατ᾽
αὐτοῦ εἶναι πρὸς τοὺς θεσμοθέτας, κατά τε τοῦ ξένου καὶ τῆς ξένης. κἂν ἁλῷ, πεπρᾶ-
σθαι κελεύει. ὡς οὖν ἐστι ξένη Νέαιρα αὕτη, τοῦθ᾽ ὑμῖν βούλομαι ἐξ ἀρχῆς *ἐπιδεῖ- *ἀκριβῶς
ξαι. ἑπτὰ γὰρ ταύτας παιδίσκας ἐκ "μικρῶν παιδίων ἐκτήσατο Νικαρέτη, Χαρι- "μικροῦ παιδίου
σίου μὲν οὖσα τοῦ Ἠλείου ἀπελευθέρα, Ἱππίου δὲ τοῦ μαγείρου τοῦ ἐκείνου γυνή· δεινὴ
δὲ καὶ δυναμένη φύσιν μικρῶν παιδίων συνιδεῖν εὐπρεπῆ, καὶ ταῦτα ἐπισταμένη
θρέψαι, καὶ πα[ιδε]ῦσαι ἐμπείρως, τέχνην ταύτην κατεσκευασμένη, καὶ ἀπὸ τού-
των τὸν βίον σ[υνει]λεγμένη. προσειποῦσα δ᾽ αὐτὰς ὀνόματι θυγατέρας, ἵν᾽ ὡς
μεγίστους μισθοὺς πράττοιτο τοὺς βουλομένους πλησιάζειν αὐταῖς, ὡς ἐλευθέραις
οὔσαις,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὕσαις, ἐπειδὴ τὴν ἡλικίαν ἐκαρπώσατο αὐτῶν ἑκάστης, συλλήβδην καὶ τὰ σώματα
ἀπέδοτο ἁπασῶν, ἑπτὰ οὐσῶν, ἄντιαν, καὶ στρατόλαν, καὶ ἀριστόκλειαν, καὶ μετάνειραν,
καὶ φίλαν, καὶ ἰσθμιάδα, καὶ νέαιραν ταυτηνί. ἣν μὲν οὖν ἕκαστος αὐτῶν ἐκτήσα- 30
το, καὶ ὡς ἠλευθερώθησαν ἀπὸ τῶν πριαμένων αὐτὰς παρὰ τῆς νικαρέτης, προϊ-
όντος τοῦ λόγου, ἂν βούλησθε ἀκούειν, καί μοι περιουσία ᾖ τοῦ ὕδατος, δηλώσω ὑμῖν·
ὡς δὲ νέαιρα αὕτη νικαρέτης ἦν, καὶ εἰργάζετο τῷ σώματι μισθαρνοῦσα τοῖς βου-
λομένοις αὐτῇ πλησιάζειν, ταῦθ᾽ ὑμῖν βούλομαι πάλιν ἐπανελθεῖν. λυσίας γὰρ ὁ σο- 31
φιστὴς μετανείρας ὢν ἐραστής, ἠβουλήθη πρὸς τοῖς ἄλλοις ἀναλώμασιν, οἷς ἀνήλι-
*μυῆσαι σκεν εἰς αὐτήν, καὶ *μυῆσαι, ἡγούμενος τὰ μὲν ἄλλα ἀναλώματα, τὴν κεκτημέ-
νην αὐτὴν λαμβάνειν· ἃ δ᾽ ἂν εἰς τὴν ἑορτὴν καὶ τὰ μυστήρια ὑπὲρ αὐτῆς ἀνα-
λώσῃ, πρὸς αὐτὴν τὴν ἄνθρωπον χάριν καταθήσεσθαι. ἐδεήθη οὖν τῆς νικαρέ- 32
*μυηθῇ· της ἐλθεῖν εἰς τὰ μυστήρια, ἄγουσαν τὴν μετάνειραν, ἵνα *μυηθῇ· καὶ αὐτὸς ὑπέ-
σχετο μυήσειν. ἀφικομένας δ᾽ αὐτάς, ὁ λυσίας εἰς μὲν τὴν αὑτοῦ οἰκίαν οὐκ εἰσά-
γει, αἰσχυνόμενος τήν τε γυναῖκα, ἣν εἶχε, βραχύλλου μὲν θυγατέρα, ἀδελφιδῆν
δὲ αὑτοῦ· καὶ τὴν μητέρα τὴν αὑτοῦ πρεσβυτέραν τε οὖσαν, καὶ ἐν τῷ αὐτῷ δι- 33
αιτωμένην· ὡς φιλόστρατον δὲ τὸν κολωνῆθεν ἠΐθεον ἔτι ὄντα καὶ φίλον αὑτῷ, καθί-
στησιν ὁ λυσίας αὐτάς, τήν τε μετάνειραν καὶ τὴν νικαρέτην. συνηκολούθει δὲ καὶ
νέαιρα αὕτη, ἐργαζομένη μὲν ἤδη τῷ σώματι, νεωτέρα δὲ οὖσα διὰ τὸ μή πω
τὴν ἡλικίαν αὐτῇ παρεῖναι. ὡς οὖν ἀληθῆ λέγω ὅτι νικαρέτης ἦν, καὶ ἠκολούθει ἐ- 34
κείνῃ, καὶ ἐμισθάρνει τῷ βουλομένῳ ἀναλίσκειν, τούτων ὑμῖν αὐτὸν τὸν φιλόστρατον
μάρτυρα καλῶ.

Μαρτυρία.

Φιλόστρατος διονυσίου κολωνῆθεν, μαρτυρεῖ εἰδέναι νέαιραν νικαρέτης οὖσαν, ἧσπερ
καὶ μετάνειρα ἐγένετο, καὶ καταγίγνεσθαι παρ᾽ αὐτῷ, ὅτε εἰς τὰ μυστήρια *ἐπεδη- 35
μήσαμεν, ἐν κορίνθῳ οἰκούσας· καταστῆσαι δὲ αὐτὰς ὡς αὐτὸν λυσίαν τὸν κεφάλου
φίλον ὄντα ἑαυτῷ καὶ ἐπιτήδειον. Πάλιν τοίνυν, ὦ ἄνδρες ἀθηναῖοι, μετὰ ταῦ-
τα σῖμος ὁ θετταλὸς ἔχων νέαιραν ταυτηνί, ἀφικνεῖται δεῦρο εἰς τὰ παναθήναια
τὰ μεγάλα. συνηκολούθει δὲ καὶ ἡ νικαρέτη αὐτῇ. κατήγοντο δὲ παρὰ κτησίππῳ 35
*τῷ κυδαντί-δῃ. τῷ γλαυκωνίδου,* καὶ συνέπινε καὶ συνεδείπνει ἐναντίον πολλῶν νέαιρα αὕτη, ὡς
ἂν ἑταίρα οὖσα. καὶ ὅτι ἀληθῆ λέγω, τούτων ὑμῖν τοὺς μάρτυρας καλῶ. καί μοι
κάλει εὐφίλητον σίμωνος αἰξωνέα, καὶ ἀριστόμαχον κριτοδήμου ἀλωπεκῆθεν.

Μάρτυρες. 37

Εὐφίλητος σίμωνος αἰξωνεύς, ἀριστόμαχος κριτοδήμου ἀλωπεκῆθεν, μαρτυροῦ-
σιν εἰδέναι σῖμον τὸν θετταλὸν ἀφικόμενον ἀθήναζε εἰς τὰ παναθήναια τὰ με-
γάλα· καὶ μετ᾽ αὐτοῦ νικαρέτην καὶ νέαιραν τὴν νυνὶ ἀγωνιζομένην· καὶ κατάγε-
σθαι αὐτοὺς παρὰ κτησίππῳ τῷ γλαυκωνίδου, καὶ συμπίνειν μετ᾽ αὐτῶν νέαιραν, 38
ὡς ἑταίραν οὖσαν· καὶ ἄλλων πολλῶν παρόντων, καὶ συμπινόντων παρὰ κτησίππῳ.

Μετὰ ταῦτα τοίνυν ἐν τῇ κορίνθῳ αὐτῆς ἐπιφανῶς ἐργαζομένης, καὶ οὔσης
λαμπρᾶς, ἄλλοι τε ἐρασταὶ γίγνονται, καὶ ξενοκλείδης ὁ ποιητής, καὶ ἵππαρχος ὁ ὑ-
*μεμισθωμέ- ποκριτής· καὶ εἶχον αὐτὴν *μεμισθωμένοι. καὶ ὅτι ἀληθῆ λέγω, τοῦ μὲν ξενοκλείδου 39
οὐκ ἂν δυναίμην ὑμῖν μαρτυρίαν παρασχέσθαι· οὐ γὰρ ἐῶσιν αὐτὸν οἱ νόμοι μαρ-
τυρεῖν· ὅτε γὰρ λακεδαιμονίους ὑμεῖς ἐσώζετε, πεισθέντες ὑπὸ καλλιστράτου, τότε
ἀντειπὼν ἐν τῷ δήμῳ τῇ βοηθείᾳ, ἑωνημένος τὴν πεντηκοστὴν τοῦ σίτου ἐν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

19 εἰς τοὺς θεοὺς ἀσεβοῦσαν, καὶ εἰς τὴν πόλιν ὑβρίζουσαν, καὶ τῶν νόμων καταφρο-
νοῦσαν τῶν ὑμετέρων, εἰσαγαγὼν εἰς ὑμᾶς, καὶ ἐξελέγξας τῷ λόγῳ ὡς ἀδικεῖ, κυ-
ρίους καταστῆσαι ὅ,τι ἂν βούλησθε, χρῆσθαι αὐτῇ· καὶ ὥσπερ Στέφανος οὑτοσὶ ἐμὲ
ἀφῄρητο τοὺς οἰκείους παρὰ " τῶν νόμων, καὶ τὰ ψηφίσματα τὰ ὑμέτερα, οὕτω καὶ " τοὺς νόμους.
20 ἐγὼ τοῦτον ἥκω ἐπιδείξων εἰς ὑμᾶς, ξένῃ μὲν γυναικὶ συνοικοῦντα παρὰ τὸν νό- καὶ τὸν νό-
μον, ἀλλοτρίους δὲ παῖδας εἰσαγαγόντα εἴς τε τοὺς φράτορας, καὶ εἰς τοὺς δημότας,
ἐγγυῶντα δὲ τὰς τῶν ἑτέρων θυγατέρας ὡς αὑτοῦ οὔσας, ἠσεβηκότα δ' εἰς τοὺς θεούς,
ἄκυρον δὲ ποιοῦντα τὸν δῆμον, τῶν αὑτοῦ, ἄν τινα βούληται, πολίτην ποιήσασθαι.
21 τίς γὰρ ἂν ἔτι παρὰ τοῦ δήμου ζητήσειε λαβεῖν δωρεὰν μετὰ πολλῶν ἀναλωμάτων, καὶ πρα-
γματείας πολίτης μέλλων ἔσεσθαι, ἐξὸν παρὰ Στεφάνου ἀπ' ἐλάττονος ἀναλώμα-
τος, εἴγε τὸ αὐτὸ τοῦτο γενήσεται αὐτῷ; ἃ μὲν οὖν ἐγὼ ἀδικηθεὶς ὑπὸ Στεφάνου πρό-
τερος, ἐγραψάμην τὴν γραφὴν ταύτην, εἴρηκα πρὸς ὑμᾶς. ὡς δ' ἐστὶ ξένη νέ-
22 αιρα αὕτη, καὶ συνοικεῖ Στεφάνῳ τούτῳ, καὶ πολλὰ παρανενόμηκεν εἰς τὴν πόλιν
ταῦτ' ἤδη δεῖ μαθεῖν ὑμᾶς. δέομαι οὖν ὑμῶν, ὦ ἄνδρες δικασταί, ἅπερ ἡγοῦμαι
προσήκειν δεηθῆναι, νέον τε ὄντα καὶ ἀπείρως ἔχοντα τοῦ λέγειν, συνήγορόν με κε-
λεῦσαι τῷ καλέσαι ἀγῶνι τούτῳ ἀπολλόδωρον. καὶ γὰρ πρεσβύτερός ἐστιν, ἢ ἐγώ, καὶ
23 ἐμπειροτέρως ἔχει τῶν νόμων· καὶ ἠδίκηται ὑπὸ Στεφάνου τουτουΐ· καὶ μεμέληκεν αὐτῷ
περὶ τούτων ἁπάντων ἀκριβῶς, ὥστε καὶ ἀνεπίφθονον αὐτῷ τιμωρεῖσθαι τὸν ὑπάρ-
ξαντα. δεῖ δ' ὑμᾶς ἐξ αὐτῆς τῆς ἀληθείας τὴν ἀκρίβειαν ἀκούσαντας τῆς τε κατηγο-
ρίας καὶ τῆς ἀπολογίας, οὕτως ἤδη τὴν ψῆφον φέρειν ὑπέρ τε τῶν θεῶν, καὶ τῶν νόμων,
24 καὶ τοῦ δικαίου, καὶ ὑμῶν αὐτῶν.

Συνηγορία.

Ἃ μὲν ἠδικημένος, ὦ ἄνδρες ἀθηναῖοι, ὑπὸ Στεφάνου ἀναβέβηκα κατηγορή-
σων νεαίρας ταυτησί, θεόμνηστος εἴρηκε πρὸς ὑμᾶς. ὡς δ' ἐστὶ ξένη νέαιρα, καὶ παρὰ
τοὺς νόμους συνοικεῖ Στεφάνῳ, τοῦτο ὑμῖν βούλομαι σαφῶς ἐπιδεῖξαι. πρῶτον οὖν
25 τὸν νόμον ὑμῖν ἀναγνώσεται, καθ' ὃν τήν τε γραφὴν ταυτηνὶ θεόμνηστος ἐγρά-
ψατο, καὶ ὁ ἀγὼν οὑτοσὶ εἰσέρχεται εἰς ὑμᾶς.

Νόμος.

Ἐὰν δὲ ξένος ἀστῇ συνοικῇ, τέχνῃ ἢ μηχανῇ ἡτινιοῦν, " γράφεσθαι πρὸς τοὺς " γραφέσθω
θεσμοθέτας " ἀθηναῖον ὁ βουλόμενος, οἷς ἔξεστιν. ἐὰν δὲ ἁλῷ, πεπράσθω καὶ αὐτός, " ἀθηναίων
καὶ ἡ οὐσία αὐτοῦ, καὶ τὸ τρίτον μέρος ἔστω τοῦ ἁλόντος. ὡσαύτως δὲ καὶ ἐὰν ἡ ξένη
τῷ ἀστῷ συνοικῇ, κατὰ ταυτὰ καὶ ὁ συνοικῶν τῇ ξένῃ τῇ ἁλούσῃ ὀφειλέτω χιλίας
δραχμάς. Τοῦ μὲν νόμου τοίνυν ἀκηκόατε, ὦ ἄνδρες δικασταί, ὃς οὐκ ἐᾷ τὴν
ξένην τῷ ἀστῷ συνοικεῖν, οὐδὲ τὴν ἀστὴν τῷ ξένῳ, οὐδὲ παιδοποιεῖσθαι τέχνῃ,
οὐδὲ μηχανῇ οὐδεμιᾷ. ἐὰν δέ τις παρὰ ταῦτα ποιῇ, γραφὴν πεποίηκε κατ'
αὐτῶν εἶναι πρὸς τοὺς θεσμοθέτας, κατά τε τοῦ ξένου καὶ τῆς ξένης. κἂν ἁλῷ, πεπρᾶ-
σθαι κελεύει. ὡς οὖν ἐστὶ ξένη νέαιρα αὕτη, τοῦθ' ὑμῖν βούλομαι ἐξ ἀρχῆς * ἐπιδεῖ- * ἀκριβῶς
ξαι. ἑπτὰ γὰρ ταύτας παιδίσκας ἐκ " μικρῶν παιδίων ἐκτήσατο νικαρέτη, χαρι- " μικροῦ παι-
σίου μὲν οὖσα τοῦ ἠλείου ἀπελευθέρα, ἱππίου δὲ τοῦ μαγείρου τοῦ ἐκείνου γυνή. δεινὴ δίου
δὲ καὶ δυναμένη φύσιν μικρῶν παιδίων συνιδεῖν εὐπρεπῆ, καὶ ταῦτα ἐπισταμένη
θρέψαι, καὶ παιδεῦσαι ἐμπείρως, τέχνην ταύτην κατεσκευασμένη, καὶ ἀπὸ τού-
των τὸν βίον συνειλεγμένη. προσειποῦσα δ' αὐτὰς ὀνόματι θυγατέρας, ἵν' ὡς
μεγίστους μισθοὺς πράττοιτο τοὺς βουλομένους πλησιάζειν αὐταῖς, ὡς ἐλευθέραις
οὔσαις,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὔσας, ἐπειδὴ τὴν ἡλικίαν ἐκαρπώσατο αὐτῶν ἑκάστης, συλλήβδην καὶ τὰ σώματα
ἀπέδοτο ἁπασῶν, ἑπτὰ οὐσῶν, ἄντιαν, καὶ στρατόλαν, καὶ ἀριστόκλειαν, καὶ μετάνειραν,
καὶ φίλαν, καὶ ἰσθμιάδα, καὶ νέαιραν ταυτηνί. ἣν μὲν οὖν ἕκαστος αὐτῶν ἐκτήσα- 30
το, καὶ ὡς ἠλευθερώθησαν ἀπὸ τῶν πριαμένων αὐτὰς παρὰ τῆς νικαρέτης, προϊ-
όντος τοῦ λόγου, ἂν βούλησθε ἀκούειν, καί μοι περιουσία ᾖ τοῦ ὕδατος, δηλώσω ὑμῖν·
ὡς δὲ νέαιρα αὕτη νικαρέτης ἦν, καὶ εἰργάζετο τῷ σώματι μισθαρνοῦσα τοῖς βου-
λομένοις αὐτῇ πλησιάζειν, τοῦθ' ὑμῖν βούλομαι πάλιν ἐπανελθεῖν. λυσίας γὰρ ὁ σο- 31
φιστὴς μετανείρας ὢν ἐραστής, ἠβουλήθη πρὸς τοῖς ἄλλοις ἀναλώμασιν, οἷς ἀνήλι-
*μυῆσαι σκεν εἰς αὐτήν, καὶ *μυῆσαι, ἡγούμενος τὰ μὲν ἄλλα ἀναλώματα, τὴν κεκτημέ-
νην αὐτὴν λαμβάνειν· ἃ δ' ἂν εἰς τὴν ἑορτὴν καὶ τὰ μυστήρια ὑπὲρ αὐτῆς ἀνα-
λώσῃ, πρὸς αὐτὴν τὴν ἄνθρωπον χάριν καταθήσεσθαι. ἐδεήθη οὖν τῆς νικαρέ- 32
*μυηθῇ τῆς ἐλθεῖν εἰς τὰ μυστήρια, ἄγουσαν τὴν μετάνειραν, ἵνα *μυηθῇ· καὶ αὐτὸς ὑπέ-
σχετο μυήσειν. ἀφικομένας δ' αὐτάς, ὁ λυσίας εἰς μὲν τὴν αὐτοῦ οἰκίαν οὐκ εἰσά-
γει, αἰσχυνόμενος τήν τε γυναῖκα, ἣν εἶχε, βραχύλλου μὲν θυγατέρα, ἀδελφιδῆν
δὲ αὐτοῦ· καὶ τὴν μητέρα τὴν αὑτοῦ πρεσβυτέραν τε οὖσαν, καὶ ἐν τῷ αὐτῷ δι- 33
αιτωμένην· ὡς φιλόστρατον δὲ τὸν κολωνῆθεν ἠΐθεον ἔτι ὄντα καὶ φίλον αὑτῷ, καθί-
στησιν ὁ λυσίας αὐτάς, τήν τε μετάνειραν καὶ τὴν νικαρέτην. συνηκολούθει δὲ καὶ
νέαιρα αὕτη ἐργαζομένη μὲν ἤδη τῷ σώματι, νεωτέρα δὲ οὖσα διὰ τὸ μή πω
τὴν ἡλικίαν αὐτῇ παρεῖναι. ὡς οὖν ἀληθῆ λέγω ὅτι νικαρέτης ἦν, καὶ ἠκολούθει ἐ- 34
κείνῃ, καὶ ἐμισθάρνει τῷ βουλομένῳ ἀναλίσκειν, τούτων ὑμῖν αὐτὸν τὸν φιλόστρατον
μάρτυρα καλῶ.

Μαρτυρία.

Φιλόστρατος διονυσίου κολωνῆθεν, μαρτυρεῖ εἰδέναι νέαιραν νικαρέτης οὖσαν, ἧσπερ
καὶ μετάνειρα ἐγένετο, καὶ κατάγεσθαι παρ' αὐτῷ, ὅτε εἰς τὰ μυστήρια ἐπεδη- 35
μήσαμεν, ἐν κορίνθῳ οἰκούσας· καταστῆσαι δὲ αὐτὰς ὡς αὐτὸν λυσίαν τὸν κεφάλου
φίλον ὄντα ἑαυτῷ καὶ ἐπιτήδειον. Πάλιν τοίνυν, ὦ ἄνδρες ἀθηναῖοι, μετὰ ταῦ-
τα σιμὸς ὁ θετταλὸς ἔχων νέαιραν ταυτηνὶ, ἀφικνεῖται δεῦρο εἰς τὰ παναθήναια
τὰ μεγάλα. συνηκολούθει δὲ καὶ ἡ νικαρέτη αὐτῇ. κατήγοντο δὲ παρὰ κτησίππῳ 35
*τῷ κυδαντίδῃ. τῷ γλαυκωνίδου, *καὶ συνέπινε καὶ συνεδείπνει ἐναντίον πολλῶν νέαιρα αὕτη, ὡς
ἂν ἑταίρα οὖσα. καὶ ὅτι ἀληθῆ λέγω, τούτων ὑμῖν τοὺς μάρτυρας καλῶ. καί μοι
κάλει εὐφίλητον σίμωνος αἰξωνέα, καὶ ἀριστόμαχον κριτοδήμου ἀλωπεκῆθεν.

Μάρτυρες. 37

Εὐφίλητος σίμωνος αἰξωνεύς, ἀριστόμαχος κριτοδήμου ἀλωπεκῆθεν, μαρτυροῦ-
σιν εἰδέναι σιμὸν τὸν θετταλὸν ἀφικόμενον ἀθήναζε εἰς τὰ παναθήναια τὰ με-
γάλα· καὶ μετ' αὐτοῦ νικαρέτην καὶ νέαιραν τὴν νυνὶ ἀγωνιζομένην· καὶ κατάγε-
σθαι αὐτοὺς παρὰ κτησίππῳ τῷ γλαυκωνίδου, καὶ συμπίνειν μετ' αὐτῶν νέαιραν, 38
ὡς ἑταίραν οὖσαν· καὶ ἄλλων πολλῶν παρόντων, καὶ συμπινόντων παρὰ κτησίππῳ.

Μετὰ ταῦτα τοίνυν ἐν τῇ κορίνθῳ αὐτῆς ἐπιφανῶς ἐργαζομένης, καὶ οὔσης
λαμπρᾶς, ἄλλοι τε ἐρασταὶ γίγνονται, καὶ ξενοκλείδης ὁ ποιητής, καὶ ἵππαρχος ὁ ὑ-
*μεμισθωμέ- ποκριτής· καὶ εἶχον αὐτὴν *μεμισθωμένοι. καὶ ὅτι ἀληθῆ λέγω, τοῦ μὲν ξενοκλείδου 39
οὐκ ἂν δυναίμην ὑμῖν μαρτυρίαν παρασχέσθαι· οὐ γὰρ ἐῶσιν αὐτὸν οἱ νόμοι μαρ-
τυρεῖν. ὅτε γὰρ λακεδαιμονίους ὑμεῖς ἐσώζετε, πεισθέντες ὑπὸ καλλιστράτου, τότε
ἀντειπὼν ἐν τῷ δήμῳ τῇ βοηθείᾳ, ἐωνημένος τὴν πεντηκοστὴν τοῦ σίτου ἐν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

40 εἰρήνῃ, καὶ δέον αὐτὸν καταβάλλειν τὰς καταβολὰς εἰς τὸ βουλευτήριον κατὰ πρυτανείαν, καὶ οὔσης αὐτῷ ἀτελείας ἐκ τῶν νόμων, οὐκ ἐξηγητῶν ἐκείνην στρατείαν γραφεὶς ὑπὸ στεφάνου τουτουὶ *ἀστρατίας, καὶ διαβληθεὶς τῷ λόγῳ ἐν τῷ δικαστηρίῳ, ἥλω καὶ ἠτιμώθη. καίτοι πῶς οὐκ οἴεσθε δεινὸν εἶναι, εἰ τοὺς μὲν φύσει πολίτας, καὶ *ἀστρατείας
41 γνησίως μετέχοντας τῆς πόλεως ἀπεστέρηκε τῆς παρρησίας στέφανος οὑτοσί, τοὺς δὲ μηδὲν προσήκοντας, βιάζεται ἀθηναίους εἶναι, παρὰ πάντας τοὺς νόμους; τὸν δὲ ἵππαρχον αὐτὸν ὑμῖν καλῶ, καὶ ἀναγκάσω μαρτυρεῖν, ἢ ἐξόμνυσθαι κατὰ τὸν νόμον, ἢ κλητεύσω αὐτόν. καί μοι κάλει *ἵππαρχον. Μαρτυρία. *τὸν

42 Ἵππαρχος ἀθμονεὺς μαρτυρεῖ ξενοκλείδην καὶ αὐτὸν μισθώσασθαι νέαιραν ἐν κορίνθῳ, τὴν νῦν ἀγωνιζομένην, ὡς ἑταίραν οὖσαν τῶν μισθαρνουσῶν· καὶ συμπίνειν ἐν κορίνθῳ νέαιραν μετ' αὐτοῦ, καὶ ξενοκλείδου τοῦ ποιητοῦ. Μετὰ ταῦτα τοίνυν αὐτῆς γίγνονται ἐρασταὶ δύο, τιμανορίδης τε ὁ κορίνθιος, καὶ εὐκράτης ὁ
43 λευκάδιος. οἳ ἐπειδήπερ πολυτελὴς ἦν ἡ νικαρέτη, τοῖς ἐπιτάγμασιν ἀξιοῦσα τὰ καθ' ἡμέραν ἀναλώματα ἅπαντα τῇ οἰκίᾳ παρ' αὐτῶν λαμβάνειν, κατατιθέασιν *αὐτῶν τιμὴν τριάκοντα μνᾶς τοῦ σώματος τῇ νικαρέτῃ, καὶ ὠνοῦνται αὐτὴν παρ' αὐτῆς νόμῳ πόλεως, καθάπαξ αὐτῶν δούλην εἶναι. καὶ εἶχον, καὶ ἐχρῶντο ὅσον ἠ- *αὐτῆς. γρ. αὐτῆς
44 βούλοντο αὐτῇ χρόνον. μέλλοντες δὲ γαμεῖν, προαγορεύουσιν αὐτῇ, ὅτι οὐ βούλονται αὐτὴν σφῶν αὐτῶν ἑταίραν γεγενημένην ὁρᾶν ἐν κορίνθῳ ἐργαζομένην, οὐδ' ὑπὸ πορνοβοσκῷ οὖσαν· ἀλλ' ἡδέως ἂν αὐτοῖς εἴη ἔλαττόν τε τἀργύριον κομίσασθαι παρ' αὐτῆς, ἢ κατέθεσαν, καὶ αὐτὴν ταύτην ὁρᾶν τι ἀγαθὸν ἔχουσαν. ἀφιέναι οὖν
45 αὐτῇ ἔφασαν εἰς ἐλευθερίαν χιλίας δραχμάς, πεντακοσίας ἑκάτερος· τὰς δ' εἴκοσι μνᾶς, ἐκέλευον αὐτὴν ἐξευροῦσαν αὐτοῖς ἀποδοῦναι. ἀκούσασα δ' αὕτη τοὺς λόγους τούτους τοῦ τε εὐκράτους, καὶ τιμανορίδου, μεταπέμπεται εἰς τὴν κό-
46 ρινθον ἄλλους τε τῶν ἐραστῶν τῶν γεγενημένων αὐτῇ, καὶ φρυνίωνα τὸν παιανιέα, δήμωνος μὲν ὄντα υἱόν, δημοχάρους δέ, ἀδελφὸν ἀσελγῶς δὲ καὶ πολυτελῶς διάγοντα τὸν βίον, ὡς ὑμῶν οἱ πρεσβύτεροι μνημονεύουσιν. ἀφικομένου δ' ὡς αὐτὴν τοῦ φρυνίωνος, λέγει πρὸς αὐτὸν τοὺς λόγους, οὓς εἶπον πρὸς αὐτὴν ὅ, τε εὐκράτης καὶ
47 τιμανορίδας· καὶ δίδωσιν αὐτῷ τἀργύριον, ὃ παρὰ τῶν ἄλλων ἐραστῶν ἐδασμολόγησεν ἔρανον εἰς τὴν ἐλευθερίαν συλλέγουσα, καὶ εἴ τι ἄρα αὐτὴ περιεποιήσατο· καὶ δεῖται αὐτοῦ προσθέντα τὸ ἐπίλοιπον, οὗ προσέδει εἰς τὰς εἴκοσι μνᾶς καταθεῖναι *αὐτῆς τῷ τε εὐκράτῃ καὶ τῷ τιμανορίδῃ, ὥστε ἐλευθέραν εἶναι. ἄσμενος δ' ἀκού- *αὐτῆς
σας ἐκεῖνος τοὺς λόγους τούτους αὐτῆς, καὶ λαβὼν τἀργύριον, ὃ παρὰ τῶν ἐραστῶν τῶν ἄλλων εἰσηνέχθη αὐτῇ, καὶ προσθεὶς τὸ ἐπίλοιπον αὐτός, κατατίθησιν *αὐτῆς τὰς εἴ- *αὐτῆς
κοσι μνᾶς τῷ τε εὐκράτῃ καὶ τῷ τιμανορίδῃ ἐπ' ἐλευθερίᾳ, καὶ ἐφ' ᾧ ἐν κορίνθῳ μὴ ἐργάζεσθαι. καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, τοῦτον ὑμῖν τὸν παραγενόμενον μάρτυρα καλῶ. Καί μοι κάλει φίλαγρον μελιτέα.

Μαρτυρία.

Φίλαγρος μελιτεύς, μαρτυρεῖ παρεῖναι ἐν κορίνθῳ, ὅτε φρυνίων ὁ δημοχάρους ἀδελφός, κατετίθει εἴκοσι μνᾶς νεαίρας τῆς νῦν ἀγωνιζομένης τιμανορίδῃ τῷ κορινθίῳ, καὶ εὐκράτει τῷ λευκαδίῳ. καὶ καταθεὶς τὸ ἀργύριον, ᾤχετο ἀπάγων ἀθήναζε νέαιραν. Ἀφικόμενος τοίνυν δεῦρο ἔχων αὐτήν, ἀσελγῶς καὶ προπετῶς ἐχρῆτο αὐτῇ, καὶ ἐπὶ τὰ δεῖπνα ἔχων αὐτὴν πανταχοῖ ἐπορεύετο, ὅποι πίνοι·

ἐκώμαζέ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐκώμαζέ τ' ἀεὶ μετ' αὐτῆς, συνῆν τ' ἐμφανῶς ὁπότε βουληθείη πανταχοῦ, φιλο-
τιμίαν τὴν ἐξουσίαν πρὸς τοὺς ὁρῶντας ποιούμενος. καὶ ὡς ἄλλους τε πολλοὺς 51
ἐπὶ κῶμον, ἔχων ἦλθεν αὐτήν, καὶ ὡς χαβρίαν τὸν αἰξωνέα, ὅτε ἐνίκα ἐπὶ σωκρα-
τίδου ἄρχοντος τὰ πύθια τῷ τεθρίππῳ, ὃ ἐπρίατο παρὰ τῶν παίδων τῶν μίτυος
*ἀρχίου τοῦ ἀργείου. καὶ ἥκων ἐκ δελφῶν εἱστία τὰ ἐπινίκια ἐπὶ κωλιάδι. καὶ ἐκεῖ ἄλλοι τε
πολλοὶ συνεγίνοντο αὐτῇ μεθυούσῃ καθεύδοντος τοῦ φρυνίωνος, καὶ οἱ διάκονοι οἱ 52
χαβρίου τράπεζαν παραθέμενοι. καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, τοὺς ὁρῶντας ὑμῖν καὶ
ὑμπεταιῶ- παρόντας μάρτυρας παρέξομαι. Καί μοι κάλει χιωνίδην ξυπεταιῶνα, καὶ εὐ-
θετίωνα κυδαθηναιέα. Μαρτυρία.

ὑμπεταιών Χιωνίδης ξυπεταιών, εὐθετίων κυδαθηναιεύς, μαρτυροῦσι κληθῆναι ὑπὸ 53
χαβρίου ἐπὶ δεῖπνον, ὅτε τὰ ἐπινίκια εἱστία χαβρίας τῆς νίκης τοῦ ἅρματος· καὶ
εἱστιᾶσθαι ἐπὶ κωλιάδι, καὶ εἰδέναι φρυνίωνα παρόντα ἐν τῷ δείπνῳ τούτου ἔχον-
ὑτω τα νέαιραν τὴν νυνὶ ἀγωνιζομένην, καὶ καθεύδειν σφᾶς αὐτούς, καὶ φρυνίωνα, καὶ νέαι-
ραν. καὶ αἰσθάνεσθαι αὐτοὶ ἀνισταμένους τῆς νυκτὸς πρὸς νέαιραν ἄλλους τε, καὶ τῶν 54
διακόνων τινάς, οἳ ἦσαν χαβρίου οἰκέται. Ἐπειδὴ τοίνυν ἀσελγῶς προὐπηλα-
κίζετο ὑπὸ τοῦ φρυνίωνος, καὶ οὐχ, ὡς ᾤετο, ἠγαπᾶτο, οὐδ' ὑπηρέτει αὐτῇ ἃ ἐβού-
λετο, συσκευασαμένη αὐτοῦ τὰ ἐκ τῆς οἰκίας, καὶ ὅσα ἦν αὐτῇ ὑπ' ἐκείνου περὶ
τὸ σῶμα κατεσκευασμένα ἱμάτια, καὶ χρυσία, καὶ θεραπαίνας δύο, θρᾶτταν, καὶ 55
κοκκαλίνην, ἀποδιδράσκει εἰς μέγαρα. ἦν δὲ ὁ χρόνος οὗτος, ᾧ ἀστεῖος μὲν ἦν ἄρχων
ἀθήνησιν, ὁ καιρὸς δέ, ἐν ᾧ ἐπολεμεῖθ' ὑμεῖς πρὸς τοὺς λακεδαιμονίους τὸν ὕστε-
ρον πόλεμον. διατρίψασα δ' ἐν τοῖς μεγάροις δύο ἔτη, τόν τ' ἐπ' ἀστείου ἄρχον-
τος, καὶ ἀλκιθένους ἐνιαυτόν, ὡς αὐτῇ ἡ ἀπὸ τοῦ σώματος ἐργασία, οὐχ ἱκανὴν εὐπο- 56
ρίαν παρεῖχεν, ὥστε διοικεῖν τὴν οἰκίαν· πολυτελὴς δ' ἦν, οἱ μεγαρεῖς δ' ἀνελεύ-
θεροι, καὶ μικρολόγοι, ξένων δὲ οὐ πάνυ ἐπιδημία ἦν αὐτόθι, διὰ τὸ πόλεμον εἶναι,
καὶ τοὺς μεγαρέας λακωνίζειν, τῆς δὲ θαλάττης ὑμᾶς ἄρχειν· εἰς δὲ τὴν κόρινθον
οὐκ ἐξῆν αὐτῇ ἐπανελθεῖν, διὰ τὸ ἐπὶ τούτῳ ἀπηλλάχθαι ἀπὸ τοῦ εὐκράτους, καὶ 57
τοῦ τιμανορίδου, ὥστ' ἐν κορίνθῳ μὴ ἐργάζεσθαι· ὡς οὖν γίγνεται ἡ εἰρήνη ἡ ἐπὶ
φρασικλείδου ἄρχοντος, καὶ ἡ μάχη ἡ ἐν λεύκτροις θηβαίων καὶ λακεδαιμονίων,
τότ' ἐπιδημήσαντα στέφανον τουτονὶ εἰς τὰ μέγαρα, καὶ καταγόμενον ὡς αὐτὴν
ἑταίραν οὖσαν, καὶ πλησιάσαντα αὐτῇ, διηγησαμένη πάντα τὰ πεπραγμένα, 58
καὶ τὴν ὕβριν τοῦ φρυνίωνος, καὶ ἐπιδοῦσα ἃ ἐξῆλθεν ἔχουσα παρ' αὐτοῦ, ἐπιθυμοῦ-
σα μὲν τῆς ἐνθάδε οἰκήσεως, φοβουμένη δὲ τὸν φρυνίωνα διὰ τὸ ἠδικηκέναι μὲν
αὐτόν, ἐκεῖνον δὲ ὀργίλως ἔχειν αὐτῇ, σοβαρὸν δὲ καὶ ὀλίγωρον εἰδυῖα αὐτοῦ τὸν τρό-
πον ὄντα, προΐσταται στέφανον τουτονὶ αὐτῆς. ἐπάρας δὲ αὐτὴν οὗτος ἐν τοῖς μεγά- 59
ροις τῷ λόγῳ, καὶ φυσήσας, ὡς κλαύσοιτο ὁ φρυνίων, εἰ ἅψαιτο αὐτῆς, αὐτὸς δὲ γυ-
ναῖκα αὐτὴν ἕξων, τούς τε παῖδας τοὺς ὄντας αὐτῇ τότε, εἰσάξων εἰς τοὺς φράτο-
ρας, ὡς αὐτοῦ ὄντας, καὶ πολίτας ποιήσων, ἀδικήσει δὲ οὐδεὶς ἀνθρώπων, ἀφικνεῖται
αὐτὴν ἔχων δεῦρο ἐκ τῶν μεγάρων, καὶ παιδία μετ' αὐτῆς τρία, πρόξενον, καὶ 60
ἀρίστωνα, καὶ θυγατέρα, ἣν νυνὶ φανὼ καλοῦσι. καὶ εἰσάγει αὐτήν, καὶ τὰ παιδία
εἰς * οἰκίδιον, ὃ ἦν αὐτῷ παρὰ τὸν ψιθυριστὴν ἑρμῆν, μεταξὺ τῆς δωροθέου τοῦ
ἐλευσινίου οἰκίας, καὶ τῆς κλεινομάχου· ὃ νυνὶ σπίνθαρος παρ' αὐτοῦ ἐώνηται ἑπτὰ
μνῶν, ὥστε ἡ μὲν ὑπάρχουσα στεφάνῳ οὐσία, αὕτη ἦν, καὶ ἄλλο οὐδέν. δυοῖν δ' οὕνεκα 61

ἦλθεν ἔχων αὐτήν· ὡς ἐξ ἀπελείας τε ἕξων *καλλὶν ἑταίραν, ἐς τὰ ἐπιτήδεια ταύ- *καλὴν
την ἐργασομένην, καὶ θρέψασαν τὴν οἰκίαν· οὐ γὰρ ἦν αὐτῷ ἄλλη πρόσοδος, ὅτι
μὴ συκοφαντήσας τι λάβοι. πυθόμενος δὲ ὁ Φρυνίων ἐπιδημοῦσαν αὐτήν, καὶ οὖ-
62 σαν παρὰ τούτῳ, παραλαβὼν νεανίσκους μεθ᾽ ἑαυτοῦ, καὶ ἐλθὼν ἐπὶ τὴν οἰκίαν* τοῦ *τὴν
στεφάνου, ἦγεν αὐτήν. ἀφαιρουμένου δὲ τοῦ στεφάνου κατὰ τὸν νόμον εἰς ἐλευθερίαν, κα-
τηγγύησεν αὐτὴν πρὸς τῷ πολεμάρχῳ. καὶ ὡς ἀληθῆ λέγω, τούτων αὐτὸν μάρτυ-
ρα ὑμῖν τὸν τότε πολέμαρχον παρέξομαι. καί μοι κάλει ἀήτην κειριάδην.

63 Μαρτυρία.

Αἤτης κειριάδης μαρτυρεῖ, πολεμαρχοῦντος αὐτοῦ κατεγγυηθῆναι νέαιραν τὴν
νυνὶ ἀγωνιζομένην ὑπὸ Φρυνίωνος δημοχάρους ἀδελφοῦ· καὶ ἐγγυητὰς γενέσθαι
νεαίρας στέφανον εἰροιάδην, γλαυκέτην κηφισιέα, ἀριστοκράτην φαληρέα.

Διεγγυηθεῖσα δὲ ὑπὸ στεφάνου, καὶ οὖσα παρὰ τούτῳ, τὴν μὲν αὐτὴν ἐργα-
64 σίαν, οὐδὲν ἧττον, ἢ πρότερον, εἰργάζετο· τοὺς δὲ μισθοὺς μείζους ἐπράττετο τοὺς
βουλομένους αὐτῇ πλησιάζειν, ὡς ἐπὶ προσχήματος ἤδη τινὸς οὖσα, καὶ ἀνδρὶ συ-
νοικοῦσα. συνεσυκοφάντει δὲ καὶ οὗτος, εἴ τινα ξένον ἀγνῶτα πλούσιον λάβοι ἐρα-
65 στὴν αὐτῆς, ὡς μοιχὸν ἐπ᾽ αὐτῇ ἔνδον ἀποκλείων, καὶ ἀργύριον πραττόμενος πο-
λὺ εἰκότως. οὐσία μὲν γὰρ οὐχ ὑπῆρχε στεφάνῳ, οὔτε νεαίρᾳ, ὥστε τὰ καθ᾽ ἡμέραν
ἀναλώματα δύνασθαι ὑποφέρειν. ἡ δὲ διοίκησις συχνή, ὁπότε δέοι τοῦτόν γε καὶ
αὐτὴν τρέφειν, καὶ παιδάρια τρία, ἃ* ἦλθεν ἔχουσα ὡς αὐτόν, καὶ θεραπαίνας δύο, *ἀπῆλθεν
66 καὶ οἰκέτην διάκονον, ἄλλως τε, καὶ μεμαθηκυῖα μὴ κακῶς ἔχειν τὰ ἐπιτήδεια,
ἑτέρων ἀναλισκόντων* αὐτὴν πρότερον. οὔτε γὰρ ἀπὸ τῆς πολιτείας προ- *αὐτοῦ
σῄει στεφάνῳ τούτῳ ἄξιον λόγου· οὐ γάρ πω ἦν ῥήτωρ· ἀλλ᾽ ἔτι συκοφάντης τῶν
παραβοώντων παρὰ τὸ βῆμα, καὶ γραφομένων μισθοῦ, καὶ φαινόντων, καὶ ἐπι-
67 γραφομένων ταῖς ἀλλοτρίαις γνώμαις, ἕως ὑπέπεσε καλλιστράτῳ τῷ ἀφιδναίῳ·
ἐξ ὅτου δὲ τρόπου καὶ δι᾽ ἣν αἰτίαν, ἐγὼ ὑμῖν καὶ περὶ τούτου διέξειμι, ἐπειδὰν πε-
ρὶ ταυτησὶ νεαίρας ἐπιδείξω ὡς ἔστι ξένη, καὶ ὡς μεγάλα ἡμᾶς ἠδίκηκε, καὶ ὡς ἠσέ-
βηκεν εἰς τοὺς θεούς, ἵν᾽ εἰδῆτε ὅτι καὶ αὐτὸς οὗτος ἄξιός ἐστιν οὐκ ἐλάττω δοῦναι δί-
68 κην, ἢ καὶ νέαιρα αὐτή, ἀλλὰ καὶ πολλῷ μείζω· καὶ μᾶλλον ὅσῳ ἀθηναῖος φά-
σκων εἶναι, οὕτω πολὺ τῶν νόμων καταπεφρόνηκε, καὶ ὑμῶν καὶ τῶν θεῶν. ὥστ᾽ οὐ-
δ᾽ ὑπὲρ τῶν ἡμαρτημένων αὐτῷ αἰσχυνόμενος τολμᾷ ἡσυχίαν ἄγειν, ἀλλὰ συ-
κοφαντῶν ἄλλους τε καὶ ἐμὲ τουτονί, πεποίηκεν αὐτόν, καὶ ταύτην* ὡς τηλικοῦτον *εἰς
69 ἀγῶνα καταστῆσαι, ὥστε ἐξετασθῆναι μὲν ταύτην, ἥτις ἐστίν, ἐξελεγχθῆναι δὲ
τὴν αὐτοῦ πονηρίαν. λαχόντος τοίνυν αὐτῷ τοῦ Φρυνίωνος δίκην, ὅτι αὐτοῦ ἀφεί-
λετο νέαιραν ταυτηνὶ εἰς ἐλευθερίαν, καὶ ὅτι ἃ ἐξῆλθεν ἔχουσα, παρ᾽ αὐτοῦ αὐτὴ ὑ-
πεδέξατο, συνῆγον αὐτοὺς οἱ ἐπιτήδειοι· καὶ ἔπεισαν δίαιταν ἐπιτρέψαι αὐτοῖς. καὶ
70 ὑπὲρ μὲν τοῦ Φρυνίωνος, διαιτητὴς ἐκαθέζετο σάτυρος ἀλωπεκῆθεν ὁ λακεδαι-
μονίου ἀδελφός. ὑπὲρ δὲ στεφάνου τουτουΐ, *σαβείας λαμπτρεύς. κοινὸν δὲ αὐτοῖς *χαβείας
προσαιροῦνται διογείτονα ἀχαρνέα. συνελθόντες δ᾽ οὗτοι ἐν τῷ ἱερῷ, ἀκούσαν-
τες ἀμφοτέρων, καὶ αὐτῆς τῆς ἀνθρώπου τὰ πεπραγμένα, γνώμην ἀπεφήναν-
71 το, καὶ οὗτοι ἐνέμειναν αὐτῇ, τὴν μὲν ἄνθρωπον, ἐλευθέραν εἶναι, καὶ αὐτὴν αὑτῆς
κυρίαν· ἃ δ᾽ ἐξῆλθεν ἔχουσα νέαιρα παρὰ Φρυνίωνος, χωρὶς ἱματίων* χρυσίων *καὶ
καὶ θεραπαινῶν, ἃ αὐτῇ τῇ ἀνθρώπῳ ἠγοράσθη, ἀποδοῦναι Φρυνίωνι πάντα· συνεῖ-
ναι δ᾽

καὶ δ᾽ ἑκατέρῳ ἡμέρᾳ παρ᾽ ἡμέραν. ἐὰν δὲ καὶ ἄλλως πως ἀλλήλους πείθωσι, ταῦ-
τα κύρια εἶναι. τὰ δ᾽ ἐπιτήδεια τῇ ἀνθρώπῳ, τὸν ἔχοντα ἀεὶ παρέχειν. καὶ ἐκ τοῦ 72
λοιποῦ χρόνου, φίλους εἶναι ἀλλήλοις, καὶ μὴ μνησικακεῖν. ἡ μὲν οὖν γνωσθεῖσα
διαλλαγὴ ὑπὸ τῶν διαιτητῶν Φρυνίωνι καὶ Στεφάνῳ περὶ Νεαίρας ταυτησί, αὕτη
ἐστίν. ὅτι δ᾽ ἀληθῆ λέγω ταῦτα, τούτων ὑμῖν τὴν μαρτυρίαν ἀναγνώσεται. κάλει
μοι Σάτυρον Ἀλωπεκῆθεν, °Σαυρίαν Λαμπτρέα, Διογείτονα Ἀχαρνέα. 73

Μαρτυρία.

Σάτυρος Ἀλωπεκῆθεν, Σαυρίας Λαμπτρεύς, Διογείτων Ἀχαρνεύς, μαρτυροῦσι
διαλλάξαι, διαιτηταὶ γενόμενοι περὶ Νεαίρας τῆς νυνὶ ἀγωνιζομένης, Στέφανον καὶ
Φρυνίωνα. τὰς δὲ διαλλαγὰς εἶναι, καθ᾽ ἃς *διήλλαξαν, οἵας παρέχεται Ἀπολλό- 74
δωρος.

*διήλλαξαν αὐτούς

Διαλλαγαί.

Κατὰ τάδε διήλλαξαν Φρυνίωνα καὶ Στέφανον, χρῆσθαι ἑκατέρους Νεαίρᾳ τὰς
ἴσας ἡμέρας τοῦ μηνὸς παρ᾽ ἑαυτοῖς ἔχοντας, ἂν μή τι ἄλλο αὐτοὶ αὑτοῖς συγχωρή-
σωσιν. ὡς δ᾽ ἀπηλλαγμένοι ἦσαν οἱ παρόντες ἑκατέρῳ ἐπὶ τῇ διαίτῃ, καὶ τοῖς πρά- 75
γμασιν, οἷον οἶμαι φιλεῖ γίγνεσθαι ἑκάστοτε, ἄλλως τε καὶ περὶ **ἑτέρας οὔσης αὐ-
τοῖς τῆς διαφορᾶς, ἐπὶ δεῖπνον ᾖεσαν ὡς ἑκάτερον αὐτῶν, ὁπότε καὶ Νέαιραν ἔχοιεν,
καὶ αὐτὴ συνεδείπνει καὶ συνέπινεν, ὡς ἑταίρα οὖσα. καὶ ὅτι ταῦτ᾽ ἀληθῆ λέγω, κά-
λει μοι μάρτυρας τοὺς συνόντας αὐτοῖς, Εὔβουλον Προβαλείσιον, Διοπείθην Μελιτέα, 76
Κτήσωνα ἐκ Κεραμέων.

** ἑταίρας

Μαρτυρία.

Εὔβουλος Προβαλείσιος, Διοπείθης Μελιτεύς, Κτήσων ἐκ Κεραμέων, μαρτυροῦσιν,
ἐπειδὴ αἱ διαλλαγαὶ ἐγένοντο αἱ περὶ Νεαίρας Φρυνίωνι καὶ Στεφάνῳ, πολλάκις συνδει-
πνῆσαι αὐτοῖς, καὶ συμπίνειν μετὰ Νεαίρας τῆς νυνὶ ἀγωνιζομένης· καὶ ὁπότε παρὰ Στεφά- 77
νῳ εἴη Νέαιρα, καὶ ὁπότε παρὰ Φρυνίωνι. Ὅτι μὲν τοίνυν ἐξ ἀρχῆς δούλη ἦν, καὶ
ἐπράθη δίς, καὶ εἰργάζετο τῷ σώματι, ὡς ἑταίρα οὖσα· καὶ ἀπέδρα τὸν Φρυνίωνα εἰς
Μέγαρα, καὶ ἥκουσα κατηγγυήθη, ὡς ξένη οὖσα πρὸς τὸν πολέμαρχον, τῷ τε λόγῳ
ἀποφαίνω ὑμῖν, καὶ μεμαρτύρηται. βούλομαι δ᾽ ὑμῖν καὶ αὐτὸν Στέφανον τουτονὶ ἐπιδεῖ- 78
ξαι καταμεμαρτυρηκότ᾽ αὐτῆς ὡς ἔστι ξένη. τὴν γὰρ θυγατέρα τὴν ταυτησὶ Νεαίρας, ἣν
ἦλθεν ἔχουσα, ὡς τουτονὶ παιδίον μικρόν, ἣν τότε μὲν Στρυβήλην ἐκάλουν, νυνὶ
δὲ Φανώ, ἐκδίδωσι Στέφανος οὑτοσί, ὡς οὖσαν αὑτοῦ θυγατέρα, ἀνδρὶ Ἀθηναίῳ
Φράστορι Αἰγιλιεῖ· καὶ προῖκα ἐπ᾽ αὐτῇ δίδωσι τριάκοντα μνᾶς. ὡς δ᾽ ἦλθον εἰς 79
τὸν Φράστορα ἄνδρα ἐργάτην, καὶ ἀκριβῶς τὸν βίον συνειλεγμένον, οὐκ ἠπίστατο
τοῖς τοῦ Φράστορος τρόποις ἀρέσκειν, ἀλλ᾽ *ἐζήτει τὰ τῆς μητρὸς ἔθη, καὶ τὴν παρ᾽ αὐ-
τῇ ἀκολασίαν, ἐν τοιαύτῃ, οἶμαι, ἐξουσίᾳ τεθραμμένη. ὁρῶν δὲ Φράστωρ αὐτὴν οὔ-
τε κοσμίαν οὖσαν, οὔτε θέλουσαν αὐτοῦ ἀκροᾶσθαι, ἅμα δὲ καὶ πεπυσμένος σα- 80
φῶς ἤδη, ὅτι Στεφάνου μὲν οὐκ εἴη θυγάτηρ, Νεαίρας δέ, †ὃ μὲν πρότερον ἐξηπα-
τήθη ὅτι ἠγγύα τὸ ὡς Στεφάνου θυγατέρα λαμβάνων, καὶ οὐ Νεαίρας, ἀλλὰ τούτῳ ἐξ
‡αὐτῆς αὐτὴν γυναικὸς οὖσαν πρότερον πρὶν ταύτῃ συνοικῆσαι, ὀργισθεὶς δ᾽ ἐπὶ
τούτοις ἅπασι, καὶ ὑβρίσθαι ἡγούμενος, καὶ ἐξηπατῆσθαι, ἐκβάλλει τὴν ἄνθρω- 81
πον, ὡς ἐνιαυτὸν συνοικήσας αὐτῇ, κυοῦσαν, καὶ τὴν προῖκα οὐκ ἀποδίδωσι.
λαχόντος δὲ τοῦ Στεφάνου αὐτῷ δίκην σίτου *εἰσωδεῖον τῆς γ[illegible]κὸς κατὰ τὸν νόμον,
ὃς κελεύει, ἐὰν ἀποπέμπῃ τὴν γυναῖκα, ἀποδιδόναι τὴν προῖκα· ἐὰν δὲ μή,
ἐπ᾽ ἐννέ᾽ ὀβολοῖς τοκοφορεῖν, καὶ σίτου εἰσωδεῖον εἶναι δικάσασθαι ὑπὲρ τῆς γυναι- 82

* ἐζήτει

† τὸ μὲν πρότερον ἐξαπατηθεὶς ἤχθετο, ὅτι καὶ τὸ μὲν πρότερον ἐλέγχοιτο ἀσθενῶς, ὅτι

‡ ἀστῆς

* εἰσόδιον



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κὸς τῷ κυρίῳ. γράφεται ὁ Φράστωρ Στέφανον τουτονὶ γραφὴν πρὸς τοὺς θεσμοθέτας, Ἀθηναῖον ὄντα ξένης θυγατέρα αὐτῷ ἐγγυῆσαι ὡς αὐτῷ προσήκουσαν, κατὰ τὸν νόμον τουτονί. Καί μοι ἀνάγνωθι αὐτόν.

83 Νόμος.

Ἐὰν δέ τις ἐκδιδῷ ξένην γυναῖκα ἀνδρὶ Ἀθηναίῳ, ὡς ἑαυτῷ προσήκουσαν, ἄτιμος ἔστω· καὶ ἡ οὐσία αὐτοῦ, δημοσία ἔστω, καὶ τοῦ ἑλόντος τὸ τρίτον μέρος. γραφέσθω δὲ πρὸς τοὺς θεσμοθέτας οἷς ἔξεστι, καθάπερ τῆς ξενίας.

84 Τὸν μὲν τοίνυν νόμον ἀνέγνω ὑμῖν, καθ' ὃν ἐγράφη Στέφανος οὑτοσὶ ὑπὸ Φράστορος πρὸς τοὺς θεσμοθέτας. γνοὺς δ' ὅτι κινδυνεύσει ἐξελεγχθεὶς ξένης θυγατέρα ἠγγυηκέναι, καὶ ταῖς ἐσχάταις ζημίαις περιπεσεῖν, διαλλάττεται πρὸς τὸν Φράστορα, καὶ ἀφίσταται τῆς προικός, καὶ τὴν δίκην τοῦ σίτου ἀνείλετο, καὶ ὁ
85 Φράστωρ τὴν γραφὴν παρὰ τῶν θεσμοθετῶν. καὶ ὡς ἀληθῆ λέγω, τούτων ὑμῖν μάρτυρα τὸν Φράστορα αὐτὸν καλῶ. καὶ ἀναγκάσω μαρτυρεῖν κατὰ τὸν νόμον. Κάλει μοι Φράστορα Αἰγιλιέα.

Μαρτυρία.

Φράστωρ Αἰγιλιεὺς μαρτυρεῖ, ἐπειδὴ ᾔσθετο Νεαίρας θυγατέρα ἐγγυήσαντα αὐ-
86 τῷ Στέφανον, ὡς ἑαυτοῦ οὖσαν θυγατέρα, γράψασθαι αὐτὸν γραφὴν πρὸς τοὺς θεσμοθέτας κατὰ τὸν νόμον, καὶ τὴν ἄνθρωπον ἐκβαλεῖν ἐκ τῆς ἑαυτοῦ οἰκίας, καὶ οὐκέτι συνοικεῖν αὐτῇ, καὶ λαχόντος αὐτῷ Στεφάνου εἰς ᾨδεῖον σίτου, διαλύσασθαι πρὸς αὐτὸν Στέφανον, ὥστε τὴν γραφὴν ἀναιρεθῆναι παρὰ τῶν θεσμοθετῶν,
87 καὶ τὴν δίκην τοῦ σίτου, ἣν ἔλαχεν ἐμοὶ Στέφανος. Φέρε δὴ ὑμῖν καὶ ἑτέραν μαρτυρίαν παράσχωμαι τοῦ τε Φράστορος, καὶ τῶν φρατόρων αὐτοῦ, καὶ γεννητῶν, ὡς ἐστὶ ξένη Νέαιρα αὐτη. οὐ πολλῷ χρόνῳ γὰρ ὕστερον, ἢ ἐξέπεμψεν ὁ Φράστωρ τὴν τῆς Νεαίρας θυγατέρα, ἠσθένησε, καὶ πάνυ πονήρως διετέθη, καὶ εἰς πᾶσαν ἀπορίαν κατέστη.
88 διαφορᾶς δ' οὔσης αὐτῷ παλαιᾶς πρὸς τοὺς οἰκείους τοὺς αὐτοῦ, καὶ ὀργῆς, καὶ μίσους· πρὸς δέ, καὶ ἄπαις ὤν, ψυχαγωγούμενος ἐν τῇ ἀσθενείᾳ τῇ θεραπείᾳ ὑπό τε τῆς Νεαίρας καὶ τῆς θυγατρὸς αὐτῆς· ἐβάδιζον γὰρ πρὸς αὐτόν, ὡς ἠσθένει, καὶ ἔρημος ἦν τοῦ θεραπεύοντος τὸ νόσημα, τὰ προσ-
89 φορα τῇ νόσῳ φέρουσαι, καὶ ἐπισκοπούμεναι. *ἴστε δήπου καὶ αὐτοὶ ὅσου ἀξία ἐστὶ γυνὴ ἐν ταῖς νόσοις, παροῦσα κάμνοντι ἀνθρώπῳ. *ἔπειτ' ἤδη τὸ παιδίον, ὃ ἔτεκεν ἡ θυγάτηρ ἡ Νεαίρας ταυτησί, ὅτ' ἐξεπέμφθη ὑπὸ τοῦ Φράστορος κύουσα, πυθομένου ὅτι οὐ Στεφάνου εἴη θυγάτηρ, ἀλλὰ Νεαίρας, καὶ ὀργισθέντος ἐπὶ τῇ
90 ἀπάτῃ, πάλιν λαβεῖν, καὶ ποιήσασθαι υἱὸν αὑτοῦ, λογισμὸν ἀνθρώπινον καὶ εἰκότα λογιζόμενος, ὅτι πονήρως μὲν ἔχει, καὶ οὐ πολλὴ ἐλπὶς εἴη αὐτὸν περιγενήσεσθαι· τοῦ δὲ μὴ λαβεῖν τοὺς συγγενεῖς τὰ αὑτοῦ, μηδ' ἄπαις τετελευτηκέναι,* ἐποιήσατο τὸν παῖδα, καὶ ἀνέλαβεν ὡς αὑτόν. ἐπεὶ ὅτι γε ὑγιαίνων οὐκ ἄν ποτε
91 ἔπραξε, μεγάλῳ τεκμηρίῳ καὶ περιφανεῖ ἐγὼ ὑμῖν ἐπιδείξω· ὡς γὰρ ἀνέστη τάχιστα ἐξ ἐκείνης τῆς ἀσθενείας ὁ Φράστωρ, καὶ ἀνέλαβεν αὑτόν, καὶ ἔσχεν ἐπιεικῶς τὸ σῶμα, λαμβάνει γυναῖκα ἀστὴν κατὰ τοὺς νόμους, Σατύρου μὲν τοῦ Μελιτέως θυγατέρα γνησίαν, Διφίλου δὲ ἀδελφήν. ὥστε ὅτι μὲν οὐχ ἑκὼν ἀνεδέξατο τὸν παῖ-
92 δα, ἀλλὰ βιασθεὶς ὑπὸ τῆς νόσου, καὶ τῆς ἀπαιδίας, καὶ τῆς αὐτῶν θεραπείας, καὶ τῆς ἔχθρας τῆς πρὸς τοὺς οἰκείους, ἵνα μὴ κληρονόμοι γένωνται τῶν αὑτοῦ, ἄν τι πάθοι, ταῦτ' ἔστω ὑμῖν τεκμήρια. δηλώσω δὲ καὶ τὰ ἀκόλουθα αὐτῶν ἔτι μᾶλλον. ὡς

* ἴστε δὲ δήπου

* ἐπειδὴ ἤδη τὸ π. γρ. ἐπειδὴ δὴ τὸ π.

* ἐξουσίαν, ἢ ἀφορμὴν ἱκανὴν ἐκ τοῦ παραχρῆμα ἐξαῦρει.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λου. ὡς γὰρ εἰσῆγεν ὁ φράστωρ εἰς τοὺς φράτορας τὸν παῖδα ἐν τῇ ἀσθενείᾳ, ὡς τὸν
λες, ἐκ τῆς θυγατρὸς τῆς νεαίρας, καὶ εἰς τοὺς βρυτίδας, ὧν καὶ αὐτός ἐστιν ὁ φράστωρ 93
γεννητής, γεννηταὶ γεννητής, εἰδότες οἶμαι, οἱ γεννηταὶ τὴν γυναῖκα ἥτις ἦν, ἣν ἔλαβεν ὁ φράστωρ
τὸ πρῶτον τὴν τῆς νεαίρας θυγατέρα, καὶ τὴν ἀπόπεμψιν τῆς ἀνθρώπου, καὶ διὰ
τὸ ἀσθενῆσαι πεπεισμένον αὐτὸν πάλιν ἀναλαβεῖν τὸν παῖδα, ἀποψηφίζονται τοῦ
παιδὸς, καὶ οὐκ ἐνέγραφον αὐτὸν εἰς σφᾶς αὐτούς. λαχόντος δὲ τοῦ φράστορος 94
γεννη... αὐτοῖς δίκην, ὅτι οὐκ ἐνέγραφον αὐτοῦ τὸν υἱὸν, προκαλοῦνται αὐτὸν οἱ γεννηταὶ
πρὸς τῷ διαιτητῇ ὀμόσαι καθ' ἱερῶν τελείων, ἦ μὴν νομίζειν εἶναι αὐτοῦ υἱὸν ἐξ
γεννητῶν ἀστῆς γυναικὸς, καὶ ἐγγυητῆς κατὰ τὸν νόμον. προκαλουμένων δὲ ταῦτα τῶν γεν-
νητῶν τὸν φράστορα πρὸς τῷ διαιτητῇ, ἔλιπεν ὁ φράστωρ τὸν ὅρκον, καὶ οὐκ ὤ- 95
[1] βρυτιδῶν μοσε. καὶ ὅτι ἀληθῆ ταῦτα λέγω, τούτων ὑμῖν μάρτυρας τοὺς παρόντας [1] βρυτιδῶν
παρέξομαι.

## Μάρτυρες.

[a] ἑκαλῆθεν. γε. ἑκαλῆθεν Τιμόστρατος [a] κεφαλῆθεν, ξάνθιππος ἐρειάδης, εὐλάβης φαληρεύς, ἄνυτος λα- 96
κιάδης, εὐφράνωρ αἰγιλιεὺς, νίκιππος κεφαλῆθεν, μαρτυροῦσιν εἶναι καὶ αὐτοὺς
[b] γεννητῶν καὶ φράστορα τὸν αἰγιλιέα τῶν [b] γεννητῶν, οἱ καλοῦνται βρυτίδαι. καὶ ἀξιοῦν-
γεννηταῖς, τος φράστορος εἰσάγειν τὸν υἱὸν αὐτοῦ εἰς τοὺς γεννητὰς, εἰδότες αὐτοὶ ὅτι φράστορος
υἱὸς εἴη ἐκ τῆς θυγατρὸς τῆς νεαίρας, κωλύειν εἰσάγειν φράστορα τὸν υἱόν. Οὐκοῦν 97
ἐπιδεικνύω περιφανῶς ἀποδεικνύω ὑμῖν καὶ αὐτοὺς τοὺς οἰκειοτάτους νεαίρας ταυτησὶ καταμε-
μαρτυρηκότας, ὡς ἐστὶ ξένη· στέφανόν τε τουτονὶ τὸν ἔχοντα ταύτην νυνὶ, καὶ συνοι-
κοῦντ' αὐτῇ, καὶ φράστορα τὸν λαβόντα τὴν θυγατέρα· στέφανον μὲν οὐκ ἐθε-
λήσαντα ἀγωνίσασθαι ὑπὲρ τῆς θυγατρὸς τῆς ταύτης, γραφέντα ὑπὸ φράστο- 98
ρος πρὸς τοὺς θεσμοθέτας, ὡς ἀθηναῖος ὢν ξένης θυγατέρα αὐτῷ ἐνεγγύησεν,
ἀλλ' ἀποστάντα τῆς προικὸς, καὶ οὐκ ἀπολαβόντα· φράστορα δὲ ἐκβαλόντα
[c] γήμαντά τε, τὴν θυγατέρα τῆς νεαίρας ταυτησὶ, [c] γήμαντά γε, ἐπειδὴ ἐπύθετο οὐ στεφάνου οὖ-
σαν, καὶ τὴν προῖκα οὐκ ἀποδόντα, ἐπειδὴ ἐπείσθη ὕστερον διὰ τὴν ἀσθένειαν 99
τὴν αὐτοῦ, καὶ τὴν ἀπαιδίαν, καὶ τὴν ἔχθραν τὴν πρὸς τοὺς οἰκείους, ποιήσα-
[a] γεννηταῖς, [b] γεννητῶν, σθαι τὸν υἱὸν, καὶ ἐπεὶ εἰσῆγεν εἰς τοὺς [a] γεννητὰς, ἀποψηφισαμένων τῶν [b] γεννητῶν,
καὶ διδόντων ὅρκον αὐτῷ, οὐκ ἐθελήσαντα ὀμόσαι, ἀλλὰ μᾶλλον εὐορκεῖν προε-
λόμενον· καὶ ἑτέραν ὕστερον γήμαντα γυναῖκα ἀστὴν κατὰ τὸν νόμον· αὗται γὰρ αἱ 100
πράξεις περιφανεῖς οὖσαι μεγάλας μαρτυρίας δεδώκασι κατ' αὐτῶν, ὅτι ἐστὶ ξέ-
νη νέαιρα αὕτη. σκέψασθε δὲ καὶ τὴν αἰσχροκέρδειαν τὴν στεφάνου τουτουὶ, καὶ τὴν
πονηρίαν, ἵνα καὶ ἐκ ταύτης εἰδῆτε, ὅτι οὐκ ἐστὶ νέαιρα αὕτη ἀστή. ἐπαίνετον γὰρ
τὸν ἄνδριον ἐραστὴν ὄντα νεαίρας ταυτησὶ παλαιὸν, καὶ πολλὰ ἀνηλωκότα εἰς αὐ- 101
τὴν, καὶ καταγόμενον παρὰ τούτοις, ὁπότε ἐπιδημήσειεν ἀθήναζε διὰ τὴν φι-
λίαν τῆς νεαίρας, ἐπιβουλεύσας ὁ στέφανος οὑτοσὶ μεταπεμψάμενος εἰς ἀγρὸν, ὡς
θύων, λαμβάνει μοιχὸν ἐπὶ τῇ θυγατρὶ τῆς νεαίρας ταυτησὶ, καὶ εἰς φόβον κατα-
στήσας, πράττεται μνᾶς τριάκοντα· καὶ λαβὼν ἐγγυητὰς τούτων ἀριστόμαχόν τε 102
[a] θεσμοθέτην, τὸν [a] θεσμοθετήσαντα, καὶ ναυσίφιλον τὸν ναυσινίκου τοῦ ἄρξαντος υἱὸν, ἀφίησιν ὡς
ἀποδώσοντ' αὐτῷ τὸ ἀργύριον. ἐξελθὼν δὲ ὁ ἐπαίνετος, καὶ αὐτὸς αὑτοῦ κύριος γε-
νόμενος, γράφεται πρὸς τοὺς θεσμοθέτας γραφὴν στέφανον τουτονὶ, ἀδίκως εἱρ-
[b] γράψασθαι χθῆναι ὑπ' αὐτοῦ, κατὰ τὸν νόμον, ὃς κελεύει, ἐάν τις ἀδίκως εἵρξῃ ὡς μοιχὸν, γρά- 103



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φεσθαι πρὸς τοὺς θεσμοθέτας ἀδίκως εἰρχθῆναι. καὶ ἐὰν μὲν ἕλῃ τὸν ἐπιχειρήσαντα, καὶ δόξῃ ἀδίκως ἐπιβεβουλεῦσθαι, ἀθῷον εἶναι αὐτὸν, καὶ τοὺς ἐγγυητὰς ἀπηλλάχθαι τῆς ἐγγύης. ἐὰν δὲ δόξῃ μοιχὸς εἶναι, παραδοῦναι αὐτὸν κελεύει τοὺς ἐγγυητὰς τῷ ἑλόντι.
104 ἐπὶ δὲ τοῦ δικαστηρίου, ἄνευ ἐγχειριδίου χρῆσθαι ὅ,τι ἂν βούληται, ὡς μοιχῷ ὄντι. κατὰ δὴ τοῦτον τὸν νόμον γράφεται αὐτὸν ὁ ἐπαίνετος. καὶ ὡμολόγει μὲν χρῆσθαι τῇ ἀνθρώπῳ, οὐ μέντοι μοιχός γε εἶναι· οὔτε γὰρ στεφάνου θυγατέρα αὐτὴν εἶναι, ἀλλὰ νεαίρας, τήν τε μητέρα αὐτῆς συνειδέναι πλησιάζουσαν αὐτῷ, ἀνη-
105 λωκέναι τε πολλὰ εἰς αὐτὰς, τρέφειν τε, ὁπότε ἐπιδημήσειε, τὴν οἰκίαν ὅλην· τόν τε νόμον ἐπὶ τούτοις παρεχόμενος, ὃς οὐκ ἐᾷ ἐπὶ ταύταις μοιχὸν λαβεῖν, ὁπόσαι ἂν ἐπ' ἐργαστηρίου καθῶνται, ἢ ἐν τῇ ἀγορᾷ πωλῶσί τι ἀποπεφασμένως· ἐργαστήριον φάσκων καὶ τοῦτο εἶναι τὴν στεφάνου οἰκίαν, καὶ τὴν ἐργασίαν ταύτην εἶναι,
106 καὶ ἀπὸ τούτων αὐτοὺς εὐπορεῖν μάλιστα. τούτους δὲ τοὺς λόγους λέγοντος τοῦ ἐπαινέτου, καὶ τὴν γραφὴν γεγραμμένου, γνοὺς στέφανος οὑτοσὶ ὅτι ἐξελεγχθήσεται πορνοβοσκῶν, καὶ συκοφαντῶν, δίαιταν ἐπιτρέπει πρὸς τὸν ἐπαίνετον αὐτοῖς τοῖς ἐγγυηταῖς, ὥστε τῆς μὲν ἐγγύης αὐτοὺς ἀφεῖσθαι, τὴν δὲ γραφὴν ἀνελέσθαι τὸν ἐ- αὐτὸν
107 παίνετον. πεισθέντος δὲ τοῦ ἐπαινέτου ἐπὶ τούτοις, καὶ ἀνελομένου τὴν γραφὴν, ἣν ἐδίωκε στέφανον, γενομένης συνόδου αὐτοῖς, καὶ καθεζομένων διαιτητῶν τῶν ἐγγυητῶν, δίκαιον μὲν οὐδὲν εἶχε λέγειν στέφανος, εἰς ἔκδοσιν δ' ἠξίου τὸν ἐπαίνετον τῇ τῆς νεαίρας θυγατρὶ συμβαλέσθαι, λέγων τὴν ἀπορίαν τὴν αὑτοῦ, καὶ τὴν ἀ-
108 τυχίαν τὴν πρότερον γενομένην τῇ ἀνθρώπῳ πρὸς τὸν φράστορα, καὶ ὅτι ἀπολωλεκὼς εἴη τὴν προῖκα, καὶ οὐκ ἂν δύναιτο πάλιν αὐτὴν ἐκδοῦναι. σὺ δὲ καὶ κέχρησαι, ἔφη, τῇ ἀνθρώπῳ, καὶ δίκαιος εἶ ἀγαθόν τι ποιῆσαι αὐτήν. καὶ ἄλλους ἐπαγωγοὺς λόγους, οὓς ἄν τις δεόμενος ἐκ πονηρῶν πραγμάτων εἴπειεν ἄν. ἀ- εἴποι ἄν
109 κούσαντες ἀμφοτέρων αὐτῶν οἱ διαιτηταὶ, διαλλάττουσιν αὐτοὺς, καὶ πείθουσι τὸν ἐπαίνετον χιλίας δραχμὰς εἰσενεγκεῖν εἰς τὴν ἔκδοσιν τῇ θυγατρὶ τῆς νεαίρας. καὶ ὅτι πάντα ταῦτα ἀληθῆ λέγω, τούτων ὑμῖν μάρτυρας αὐτοὺς τοὺς ἐγγυητὰς καὶ διαιτητὰς γενομένους καλῶ.

Μάρτυρες.

110 Ναυσίφιλος κεφαλῆθεν, ἀριστόμαχος κεφαλῆθεν, μαρτυροῦσιν ἐγγυηταὶ γενέσθαι ἐπαινέτου τοῦ ἀνδρίου, ὅτ' ἔφη στέφανος μοιχὸν εἰληφέναι ἐπαίνετον. καὶ ἐπειδὴ ἐξῆλθεν ἐπαίνετος παρὰ στεφάνου, καὶ κύριος ἐγένετο αὑτοῦ, γράψασθαι γραφὴν στέφανον πρὸς τοὺς θεσμοθέτας, ὅτι αὐτὸν ἀδίκως εἷρξε· καὶ αὐτοὶ διαλλακταὶ γε-
111 νόμενοι, διαλλάξαι ἐπαίνετον καὶ στέφανον. τὰς δὲ διαλλαγὰς εἶναι, ἃς παρέχεται ἀπολλόδωρος.

Διαλλαγαί.

Ἐπὶ τοῖσδε διήλλαξαν στέφανον καὶ ἐπαίνετον οἱ διαλλακταὶ, τῶν μὲν γεγενημένων περὶ τὸν εἱργμὸν, μηδεμίαν μνείαν ἔχειν, ἐπαίνετον δὲ δοῦναι χιλίας δρα-
112 χμὰς φανοῖ εἰς ἔκδοσιν, ἐπειδὴ κέχρηται αὐτῇ πολλάκις· στέφανον δὲ παρέχειν φανὼ ἐπαινέτῳ, ὁπόταν ἐπιδημῇ, καὶ βούληται συνεῖναι αὐτῇ. Τὴν τοίνυν περιφανῶς ἐγνωσμένην ξένην εἶναι, καὶ ἐφ' ᾗ μοιχὸν οὗτος ἐτόλμησε λαβεῖν, εἰς ἐτόλμησαν τοσοῦτον ὕβρεως καὶ ἀναιδείας ἦλθε στέφανος οὑτοσὶ, καὶ νέαιρα αὕτη, ὥστε ἐτόλ-
113 μησαν μὴ ἀγαπᾶν εἰ ἔφασκον αὐτὴν ἀστὴν εἶναι· ἀλλὰ κατιδόντες θεογένην κοθωκίδην λαχόντα βασιλέα, ἄνθρωπον εὐγενῆ μὲν, πένητα δὲ, καὶ ἄπειρον πραγμάτων, συμπαραγενόμενοι αὐτῷ δοκιμαζομένῳ, καὶ συνευπορήσαντες ἀναλωμάτων,

ὅτε

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὅτι εἰσῆγε εἰς τὴν ἀρχήν, στέφανος οὑτοσί, ὃ ὑπελθών, καὶ τὴν ἀρχὴν τὴν αὐτοῦ
συνδιοικούμενος, πάρεδρος γενόμενος, δίδωσι τὴν ἄνθρωπον ταύτην γυναῖκα, τὴν τῆς 114
νεαίρας θυγατέρα· καὶ ἐγγυᾷ στέφανος οὑτοσί, ὡς αὐτοῦ θυγατέρα οὖσαν. οὕτω πο-
λὺ τῶν νόμων καὶ ὑμῶν κατεφρόνησεν. καὶ αὕτη ἡ γυνὴ ὑμῖν ἔθυε τὰ ἄρρητα ἱερὰ
ὑπὲρ τῆς πόλεως, καὶ εἶδεν ἃ οὐ προσῆκεν αὐτὴν ὁρᾶν, ξένην οὖσαν. καὶ τοιαύτη
οὖσα, εἰσῆλθεν οἷ οὐδεὶς ἄλλος ἀθηναίων τοσούτων ὄντων εἰσέρχεται, ἀλλ' ἡ τοῦ βα- 115
σιλέως γυνή. ἐξώρκωσέ τε τὰς *γραιὰς τὰς ὑπηρετούσας τοῖς ἱεροῖς. ἐξεδόθη δὲ τῷ
διονύσῳ γυνή. ἔπραξε δὲ ὑπὲρ τῆς πόλεως τὰ πάτρια τὰ πρὸς τοὺς θεούς, πολ-
λὰ καὶ ἅγια καὶ ἀπόρρητα. ἃ δὲ μηδ' ἀκοῦσαι οἷόν τ' ἐστί, πῶς ποιῆσαί γε τῇ ἐπι-
τυχούσῃ εὐσεβῶς ἔχει, ἄλλως τε καὶ τοιαύτῃ γυναικί, καὶ τοιαῦτα ἔργα διαπεπρα- 116
γμένῃ; βούλομαι δ' ὑμῖν ἀκριβέστερον περὶ αὐτῶν ἄνωθεν διηγήσασθαι καθ' ἕκα-
στον, ἵνα μᾶλλον ἐπιμέλειαν ποιήσησθε τῆς τιμωρίας, καὶ εἰδῆτε ὅτι οὐ μόνον ὑπὲρ
ὑμῶν αὐτῶν καὶ τῶν νόμων τὴν ψῆφον οἴσετε, ἀλλὰ καὶ τῆς πρὸς τοὺς θεοὺς εὐλα-
βείας, τιμωρίαν ὑπὲρ τῶν ἠσεβημένων ποιούμενοι, καὶ κολάζοντες τοὺς ἠδικηκότας. 117
τὸ γὰρ ἀρχαῖον, ὦ ἄνδρες ἀθηναῖοι, δυναστεία ἐν τῇ πόλει ἦν, καὶ ἡ βασιλεία τῶν
ἀεὶ ὑπερεχόντων, διὰ τὸ αὐτόχθονας εἶναι. τὰς δὲ θυσίας ἁπάσας ὁ βασιλεὺς ἔθυε,
καὶ τὰς σεμνοτάτας καὶ ἀρρήτους ἡ γυνὴ αὐτοῦ ἐποίει. εἰκότως βασίλισσα οὖσα.
ἐπεὶ δὲ θησεὺς συνῴκησεν αὐτούς, καὶ δημοκρατίαν ἐποίησε, καὶ ἡ πόλις πολυάν- 118
θρωπος ἐγένετο, τὸν μὲν βασιλέα οὐδὲν ἧττον ὁ δῆμος ᾑρεῖτο ἐκ προκρίτων κα-
τ' ἀνδραγαθίαν χειροτονῶν. τὴν δὲ γυναῖκα αὐτοῦ νόμον ἔθεντο ἀστὴν εἶναι, καὶ μὴ
ἐπιμεμιγμένην ἑτέρῳ ἀνδρί, ἀλλὰ παρθένον γαμεῖν, ἵνα κατὰ τὰ πάτρια θύηται
τὰ ἄρρητα ἱερὰ ὑπὲρ τῆς πόλεως, καὶ τὰ νομιζόμενα γίγνηται τοῖς θεοῖς εὐσεβῶς, 119
καὶ μηδὲν καταλύηται μηδὲ καινοτομῆται. καὶ τοῦτον τὸν νόμον γράψαντες ἐν στή-
λῃ λιθίνῃ, ἔστησαν ἐν τῷ ἱερῷ τοῦ διονύσου παρὰ τὸν βωμὸν ἐν λίμναις. καὶ αὕτη ἡ
στήλη ἔτι καὶ νῦν ἕστηκεν ἀμυδροῖς γράμμασιν ἀττικοῖς δηλοῦσα τὰ γεγραμμέ-
να. τὴν μαρτυρίαν ποιούμενος ὁ δῆμος ὑπὲρ τῆς αὐτοῦ εὐσεβείας πρὸς τὸν θεόν, καὶ 120
παρακαταθήκην καταλείπων τοῖς ἐπιγιγνομένοις, ὅτι τήν γε τοι γυναῖκα δοθη-
σομένην, καὶ ποιήσουσαν τὰ ἱερά, τοιαύτην ἀξιοῦμεν εἶναι. καὶ διὰ ταῦτα ἐν τῷ
ἀρχαιοτάτῳ ἱερῷ τοῦ διονύσου ἐν λίμναις ἔστησαν, ἵνα μὴ πολλοὶ εἰδῶσι τὰ γε-
γραμμένα. ἅπαξ γὰρ τοῦ ἐνιαυτοῦ ἑκάστου ἀνοίγεται, τῇ δωδεκάτῃ τοῦ ἀνθεστηριῶ- 121
νος μηνός. ὑπὲρ τοίνυν ἁγίων καὶ σεμνῶν ἱερῶν, ὧν οἱ πρόγονοι ὑμῶν οὕτω καλῶς
καὶ μεγαλοπρεπῶς ἐπεμελήθησαν, ἄξιον καὶ ὑμᾶς σπουδάσαι, ὦ ἄνδρες ἀθη-
ναῖοι. καὶ τοὺς ἀσελγῶς μὲν καταφρονοῦντας τῶν νόμων τῶν ὑμετέρων, ἀναιδῶς δ'
ἠσεβηκότας εἰς τοὺς θεούς, ἄξιον τιμωρήσασθαι δυοῖν ἕνεκα· ἵνα οὗτοί τε τῶν ἠδι- 122
κημένων δίκην δῶσιν, οἵ τ' ἄλλοι πρόνοιαν ποιῶνται, καὶ φοβῶνται, μηδὲν εἰς τοὺς
θεοὺς καὶ τὴν πόλιν ἁμαρτάνειν. βούλομαι δ' ὑμῖν καὶ τὸν ἱεροκήρυκα καλέσαι, ὃς
*γεραιράς. ὑπηρετεῖ τῇ τοῦ βασιλέως γυναικί, ὅταν ἐξορκῇ τὰς *γραιὰς ἐν κανοῖς πρὸς τῷ
ἢ γεραίρας βωμῷ, πρὶν ἅπτεσθαι τῶν ἱερῶν· ἵνα καὶ τοῦ ὅρκου, καὶ τῶν λεγομένων ἀκούσητε, ὅσα 123
οἷόν τ' ἐστὶν ἀκούειν, καὶ εἰδῆτε, ὡς σεμνά, καὶ ἅγια, καὶ ἀρχαῖα τὰ νόμιμά ἐστιν.

Ὅρκος γραιρῶν.

Ἁγιστεύω καὶ εἰμὶ καθαρὰ καὶ ἁγνὴ ἀπὸ τῶν ἄλλων τῶν οὐ καθαρευόντων, καὶ
*θοίνια. ἀπ' ἀνδρὸς συνουσίας. καὶ τὰ *θεόγνια, καὶ ἰοβάκχεια γραίρω τῷ διονύσῳ κατὰ τὰ 124

πάτρια, καὶ ἐν τοῖς καθήκουσι χρόνοις. Τοῦ μὲν ὅρκου τοίνυν καὶ τῶν νομιζο-
μένων πατρίων, ὅσα οἷόν τ' ἐστὶν εἰπεῖν, ἀκηκόατε· καὶ ὡς ἣν Στέφανος ἠγγύησε τῷ
Θεογένει γυναῖκα βασιλεύοντι, ὡς αὐτοῦ οὖσαν θυγατέρα, αὕτη ἐποίει τὰ ἱερὰ
125 ταῦτα, καὶ ἐξώρκου τὰς γεραίρας· καὶ ὅτι οὐδ' αὐταῖς ταῖς ὁρώσαις τὰ ἱερὰ ταῦτα,
οἷόν τε ἐστὶ λέγειν πρὸς ἄλλον οὐδένα. Φέρε δὴ καὶ μαρτυρίαν παράσχωμαι ὑμῖν δι'
ἀπορρήτου μὲν γεγενημένην, ὅμως δὲ αὐτοῖς τοῖς πεπραγμένοις ἐπιδείξω φα-
νερὰν οὖσαν αὐτὴν καὶ `οὐκ' ἀληθῆ. ὡς γὰρ ἐγένετο τὰ ἱερὰ ταῦτα, καὶ ἀνέβησαν
126 εἰς Ἄρειον πάγον οἱ ἐννέα ἄρχοντες ἐν ταῖς καθηκούσαις ἡμέραις, εὐθὺς ἡ βουλὴ
ἡ ἐν Ἀρείῳ πάγῳ, ὥσπερ καὶ τἆλλα πολλοῦ ἀξία ἐστὶ τῇ πόλει περὶ εὐσέβειαν, ἐζή-
τει τὴν γυναῖκα ταύτην τοῦ Θεογένους, ἥτις ἦν, καὶ ἐξήλεγχε· καὶ περὶ τῶν ἱερῶν
πρόνοιαν ἐποιεῖτο. καὶ ἐζημίου τὸν Θεογένην ὅσα κυρία ἐστίν· ἐν ἀπορρήτῳ δέ, καὶ
127 διὰ κοσμιότητος· οὐ γὰρ αὐτοκράτορές εἰσιν ὡς ἂν βούλωνται, Ἀθηναίων τινὰ κο-
λάσαι. γενομένων δὲ λόγων, καὶ χαλεπῶς φερούσης τῆς ἐν Ἀρείῳ πάγῳ βουλῆς,
καὶ ζημιούσης τὸν Θεογένην, ὅτι τοιαύτην ἔλαβε γυναῖκα, καὶ ταύτην εἴασε ποιῆσαι
τὰ ἱερὰ τὰ ἄρρητα ὑπὲρ τῆς πόλεως, ἐδεῖτο ὁ Θεογένης ἱκετεύων καὶ ἀντιβολῶν,
128 λέγων ὅτι οὐκ ᾔδει Νεαίρας αὐτὴν οὖσαν θυγατέρα, ἀλλ' ἐξαπατηθείη ὑπὸ Στε-
φάνου, ὡς αὐτοῦ θυγατέρα οὖσαν "αὐτῆς λαμβάνων γνησίαν κατὰ τὸν νόμον· καὶ διὰ "αὐτὴν
τὴν ἀπειρίαν τῶν πραγμάτων, καὶ τὴν ἀκακίαν τὴν ἑαυτοῦ, τοῦτον πάρεδρον ποιή-
σαιτο, ἵνα διοικήσῃ τὴν ἀρχήν, ὡς εὔνουν ὄντα, καὶ διὰ τοῦτο κηδεύσειεν αὐτῷ. ὅτι
129 δ', ἔφη, οὐ ψεύδομαι, μεγάλῳ τεκμηρίῳ καὶ περιφανεῖ ἐπιδείξω ὑμῖν. τὴν γὰρ
ἄνθρωπον ἀποπέμψω ἐκ τῆς οἰκίας, ἐπειδὴ οὐκ ἔστι Στεφάνου θυγάτηρ, ἀλλὰ Νεαί-
ρας. κἂν μὲν ταῦτα ποιήσω, ἤδη πιστοὶ ὑμῖν ἔστωσαν οἱ λόγοι οἱ παρ' ἐμοῦ λεγόμε-
νοι, ὅτι ἐξηπατήθην. ἐὰν δὲ μὴ ποιήσω, τότ' ἤδη με κολάζετε, ὡς πονηρὸν ὄντα, καὶ
130 εἰς τοὺς θεοὺς ἠσεβηκότα. ὑποσχομένου δὲ ταῦτα τοῦ Θεογένους, καὶ δεομένου, ἅμα μὲν
καὶ ἐλεήσασα αὐτὸν ἡ ἐν Ἀρείῳ πάγῳ βουλὴ διὰ τὴν ἀκακίαν τοῦ τρόπου· ἅμα δὲ
καὶ ἐξηπατῆσθαι τῇ ἀληθείᾳ ἡγουμένη ὑπὸ τοῦ Στεφάνου, ἐπέσχεν. ὡς δὲ κατέβη ἐξ
Ἀρείου πάγου ὁ Θεογένης, εὐθὺς τήν τε ἄνθρωπον τὴν ταυτησὶ Νεαίρας θυγατέρα
131 ἐκβάλλει ἐκ τῆς οἰκίας, τόν τε Στέφανον τὸν ἐξαπατήσαντα αὐτὸν τουτονὶ ἀπελαύνει
ἀπὸ τοῦ συνεδρίου. καὶ οὕτως ἐπαύσαντο οἱ Ἀρεοπαγῖται κρίνοντες τὸν Θεογένην, καὶ
ὀργιζόμενοι αὐτῷ· καὶ συγγνώμην εἶχον ἐξαπατηθέντι. καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω,
τούτων ὑμῖν μάρτυρα αὐτὸν τὸν Θεογένην καλῶ, καὶ ἀναγκάσω μαρτυρεῖν. κάλει μοι
132 Θεογένην Ἐρχιέα.

Μαρτυρία.

Θεογένης Ἐρχιεὺς μαρτυρεῖ, ὅτε αὐτὸς ἐβασίλευε, γῆμαι Φανώ, ὡς Στεφάνου οὖσαν
θυγατέρα. ἐπεὶ δὲ ᾔσθετο ἐξηπατημένος, τήν τε ἄνθρωπον ἐκβαλεῖν, καὶ οὐκέτι
συνοικεῖν αὐτῇ· καὶ Στέφανον ἀπελάσαι ἀπὸ τῆς παρεδρίας, καὶ οὐκ ἐᾶν ἔτι παρε-
133 δρεύειν αὐτῷ. Λαβὲ δή μοι τὸν νόμον ἐπὶ τούτοις τουτονί, καὶ ἀνάγνωθι· ἵν' εἰδῆτε,
ὅτι οὐ μόνον προσῆκεν αὐτὴν ἀπέχεσθαι τῶν ἱερῶν τούτων, τοιαύτην οὖσαν, καὶ
τοιαῦτα διαπεπραγμένην, τοῦ ὁρᾶν, καὶ θύειν, καὶ ποιεῖν τι τῶν νομιζομένων ὑπὲρ
τῆς πόλεως πατρίων, ἀλλὰ καὶ τῶν ἄλλων τῶν Ἀθήνησιν ἁπάντων. ἐφ' ᾗ γὰρ
134 ἂν μοιχὸς ἁλῷ γυναικί, οὐκέτ' ἔξεστιν αὐτῇ ἐλθεῖν ὡς οὐδὲν τῶν ἱερῶν τῶν δημο- "εἰς
τελῶν, εἰς ἃ καὶ τὴν ξένην καὶ τὴν δούλην ἐλθεῖν ἐξουσίαν ἔδοσαν οἱ νόμοι, καὶ
θεασομένην καὶ ἱκετεύσουσαν εἰσιέναι· ἀλλὰ μόναις ταύταις ἀπαγορεύουσιν οἱ νόμοι

ταῖς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἧς ἂν ταῖς γυναιξὶ, μὴ εἰσιέναι εἰς τὰ ἱερὰ τὰ δημοτελῆ, ἐφ' ᾗ ἂν μοιχὸς ἁλῷ. ἐὰν δ'
εἰσίωσι, καὶ παρανομῶσι, νηποινεὶ πάσχειν ὑπὸ τοῦ βουλομένου, ὅ,τι ἂν πάσχῃ, πλὴν 135
θανάτου. καὶ ἔδωκεν ὁ νόμος τὴν τιμωρίαν ὑπὲρ αὐτῶν τῷ ἐντυχόντι. διὰ τοῦτο
δ' ἐποίησεν ὁ νόμος, πλὴν θανάτου, τἄλλα ὑβρισθείσας, αὐτὴν μηδαμοῦ λαβεῖν
δίκην, ἵνα μὴ μιάσματα, μηδ' ἀσεβήματα γίγνηται ἐν τοῖς ἱεροῖς, ἱκανὸν φόβον
ταῖς γυναιξὶ παρασκευάζων τοῦ σωφρονεῖν, καὶ μηδὲν ἁμαρτάνειν, ἀλλὰ δικαίως οἰ- 136
κουρεῖν, διδάσκων, ὡς, ἄν τι ἁμάρτῃ τοιοῦτον, ἅμα ἔκ τε τῆς οἰκίας τοῦ ἀνδρὸς ἐκβε-
βλημένη ἔσται, καὶ ἐκ τῶν ἱερῶν τῶν τῆς πόλεως. καὶ ὅτι ταῦθ' οὕτως ἔχει, τοῦ νό-
μου αὐτοῦ ἀκούσαντες ἀναγνωσθέντος, εἴσεσθε. Καί μοι λάβε τὸν νόμον.

Νόμος μοιχείας. 137

Ἐπειδὰν δὲ ἕλῃ τὸν μοιχὸν, μὴ ἐξέστω τῷ ἑλόντι συνοικεῖν τῇ γυναικί. ἐὰν δὲ
συνοικῇ, ἄτιμος ἔστω. μηδὲ τῇ γυναικὶ ἐξέστω εἰσιέναι εἰς τὰ ἱερὰ τὰ δημοτελῆ,
*εἰσίῃ ἐφ' ᾗ ἂν μοιχὸς ἁλῷ. ἐὰν δ' *εἴη, νηποινεὶ πασχέτω ὅ,τι ἂν πάσχῃ, πλὴν θανάτου.

Βούλομαι τοίνυν ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τοῦ δήμου τοῦ Ἀθηναίων μαρ- 138
τυρίαν παρασχέσθαι, ὡς σπουδάζει περὶ τὰ ἱερὰ ταῦτα, καὶ ὡς πολλὴν πρόνοιαν
περὶ αὐτῶν πεποίηται. ὁ γὰρ δῆμος ὁ Ἀθηναίων, κυριώτατος ὢν τῶν ἐν τῇ πόλει ἁ-
πάντων, καὶ ἐξὸν αὐτῷ ποιεῖν ὅ,τι ἂν βούληται, οὕτω καλὸν καὶ σεμνὸν ἡγήσατ'
εἶναι δῶρον τὸ Ἀθηναῖον γενέσθαι, ὥστε νόμους ἔθετο αὑτῷ, καθ' οὓς ποιεῖσθαι δεῖ, 139
*πολίτην εἶναι. οἱ ν. κ. βούλωνται γενέσθαι πολίτην. οἱ ν. ἐάν τινα βούλωνται *πολίτην. οἳ νῦν προπεπηλακισμένοι εἰσὶν ὑπὸ Στεφάνου τουτουΐ,
καὶ τῶν οὕτω γεγαμηκότων. ὅμως δ' ἀκούσαντες αὐτῶν, βελτίους ἔσεσθε. καὶ κάλ-
λιστα καὶ τὰ σεμνότατα δῶρα, τοῖς εὐεργετοῦσι τὴν πόλιν διδόμενα, γνώσεσθε ὡς
λελυμασμένοι εἰσί. πρῶτον μὲν γὰρ νόμος ἐστὶ τῷ δήμῳ κείμενος, μὴ ἐξεῖναι ποιή- 140
*τὸν σασθαι Ἀθηναῖον, ὃν ἂν μὴ δι' ἀνδραγαθίαν εἰς τὸν δῆμον *τῶν Ἀθηναίων, ἄξιον ᾖ
γενέσθαι πολίτην. ἔπειτ' ἐπειδὰν πεισθῇ ὁ δῆμος, καὶ δῷ τὴν δωρεὰν, οὐκ ἐᾷ κυ-
ρίαν γενέσθαι τὴν ποίησιν, ἐὰν μὴ τῇ ψήφῳ εἰς τὴν ἐπιοῦσαν ἐκκλησίαν ὑπερε-
ξακισχίλιοι Ἀθηναῖοι ψηφίσωνται κρύβδην ψηφιζόμενοι. τοὺς δὲ πρυτάνεις κελεύει 141
τιθέναι τοὺς καδίσκους ὁ νόμος, καὶ τὴν ψῆφον διδόναι προσιόντι τῷ δήμῳ, πρὶν τοὺς
ξένους εἰσιέναι, καὶ τὰ γέρρα ἀναιρεῖν, ἵνα κύριος ὢν αὐτὸς αὑτοῦ ἕκαστος, σκοπῆται
πρὸς αὑτὸν, ὅντινα μέλλει πολίτην ποιήσεσθαι, εἰ ἄξιός ἐστι τῆς δωρεᾶς ὁ μέλλων λή-
ψεσθαι. ἔπειτα μετὰ ταῦτα παρανόμων γραφὴν ἐποίησε κατ' αὐτοῦ τῷ βουλο- 142
μένῳ Ἀθηναίων. καὶ ἔστιν εἰσελθόντα εἰς τὸ δικαστήριον ἐξελέγξαι, ὡς οὐκ ἄξιός ἐστι
τῆς δωρεᾶς, ἀλλὰ παρὰ τοὺς νόμους Ἀθηναῖος γέγονε. καὶ ἤδη τισὶ τοῦ δήμου δόν-
τος τὴν δωρεὰν λόγῳ ἐξαπατηθέντος ὑπὸ τῶν αἰτούντων, παρανόμων γραφῆς
γενομένης, καὶ εἰσελθούσης εἰς τὸ δικαστήριον, ἐξελεγχθῆναι συνέβη τὸν εἰληφότα τὴν 143
δωρεὰν, μὴ ἄξιον εἶναι αὐτῆς· καὶ ἀφείλετο τὸ δικαστήριον. καὶ τοὺς μὲν πολλοὺς
καὶ παλαιοὺς, ἔργον διηγήσασθαι· ἃ δὲ πάντες μνημονεύετε, Πειθόλαν τε τὸν Θετ-
ταλὸν, καὶ Ἀπολλωνίδην τὸν Ὀλύνθιον πολίτας ὑπὸ τοῦ δήμου γενομένους, ἀφεί-
λετο τὸ δικαστήριον. ταῦτα γὰρ οὐ πάλαι ἐστὶ γεγενημένα, ὥστε ἀγνοεῖν ὑμᾶς. οὕτω 144
τοίνυν καλῶς, καὶ ἰσχυρῶς τῶν νόμων κειμένων ὑπὲρ τῆς πολιτείας, δι' ὧν δεῖ Ἀ-
θηναῖον γενέσθαι, ἕτερός τις ἐφ' ἅπασι τούτοις κυριώτατος νόμος ἐστὶ κείμενος.
οὕτω πολλὴν ὁ δῆμος πρόνοιαν ἐποιεῖτο ὑπὲρ αὑτοῦ, καὶ τῶν θεῶν, ὥστε δι' εὐσεβείας
τὰ ἱερὰ θύεσθαι ὑπὲρ τῆς πόλεως. ὅσους γὰρ ἂν ὁ δῆμος ποιήσηται ὁ Ἀθηναίων

πολίτας, ὁ νόμος ἀπαγορεύει διαρρήδην, μὴ ἐξεῖναι αὐτοῖς τῶν ἐννέα ἀρχόντων
γενέσθαι, μηδὲ ἱερωσύνης μηδεμιᾶς μετασχεῖν. τοῖς δ' ἐκ τούτων μετέδωκεν ἤδη
ὁ δῆμος ἁπάντων, καὶ προσέθηκεν, ἐὰν ὦσιν ἐκ γυναικὸς ἀστῆς, καὶ ἐγγυητῆς κατὰ
146 τὸν νόμον. καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, μεγάλην, καὶ περιφανῆ μαρτυρίαν ἐγὼ ὑμῖν
δηλώσω. βούλομαι δ' ὑμῖν τὸν νόμον πόρρωθεν προδιηγήσασθαι, ὡς ἐτέθη, καὶ
πρὸς οὓς διωρίσθη, ὡς ἄνδρας ἀγαθοὺς ὄντας, καὶ βεβαίους φίλους περὶ τὸν δῆμον
γεγονότας. ἐκ τούτων γὰρ ἁπάντων εἴσεσθε τήν τε τοῦ δήμου δωρεὰν τὴν ἀπόθε-
147 τον τοῖς εὐεργέταις, προπηλακιζομένην, καὶ ὅσων ὑμᾶς ἀγαθῶν κωλύουσι κυ-
ρίους εἶναι, στέφανός τε οὑτοσὶ, καὶ οἱ τὸν αὐτὸν τρόπον τούτῳ γεγαμηκότες, καὶ παι-
δοποιούμενοι. πλαταιῆς γὰρ, ὦ ἄνδρες ἀθηναῖοι, μόνοι τῶν ἑλλήνων ὑμῖν ἐβοήθησαν
* μαραθῶνάδε, ὅτε * δᾶτις ὁ βασιλέως δαρείου στρατηγὸς ἀναχωρῶν ἐξ ἐρε- * εἰς μαραθῶνα. * δάτις
148 τρίας, εὔβοιαν ἐφ' ἑαυτῷ ποιησάμενος, ἀπέβη εἰς τὴν χώραν πολλῇ δυνάμει,
καὶ ἐπόρθει. καὶ ἔτι καὶ νῦν τῆς ἀνδραγαθίας αὐτῶν ὑπομνήματα ἡ ἐν τῇ ποι-
κίλῃ στοᾷ γραφὴ δεδήλωκεν. ὡς ἕκαστος γὰρ τάχους εἶχεν, εὐθὺς προσβοηθῶν γέ-
γραπται, οἱ τὰς κυνᾶς τὰς βοιωτίας ἔχοντες. πάλιν δὲ ξέρξου ἰόντος ἐπὶ τὴν ἑλλάδα,
149 θηβαίων μηδισάντων, οὐκ ἐτόλμησαν ἀποστῆναι τῆς ἡμετέρας φιλίας· ἀλλὰ μόνοι
τῶν ἄλλων βοιωτῶν, οἱ μὲν ἡμίσεις αὐτῶν μετὰ λακεδαιμονίων, καὶ λεωνίδου ἐν θερ-
μοπύλαις παραταξάμενοι τῷ βαρβάρῳ ἐπιόντι, συναπώλοντο· οἱ δὲ λοιποὶ ἐμ-
βάντες εἰς τὰς ἡμετέρας τριήρεις, ἐπεὶ αὐτοῖς οἰκεῖα σκάφη οὐχ ὑπῆρχε, συνε-
150 ναυμάχουν * ὑμῖν ἐπί τε ἀρτεμισίῳ, καὶ ἐν σαλαμῖνι. καὶ τὴν τελευταίαν μά- * ἡμῖν
χην πλαταιέσι μαρδονίῳ τῷ βασιλέως στρατηγῷ μεθ' ὑμῶν, καὶ τῶν συνελευθε-
ρούντων τὴν ἑλλάδα μαχεσάμενοι, εἰς κοινὸν τὴν ἐλευθερίαν τοῖς ἄλλοις ἕλλησι κα-
τέθηκαν. ἐπεὶ δὲ παυσανίας ὁ λακεδαιμονίων βασιλεὺς ὑβρίζειν * ἐνεχείρει ὑμᾶς, * ἐνεχείρησε
151 καὶ οὐκ ἠγάπα ὅτι τῆς ἡγεμονίας μόνον ἠξιώθησαν λακεδαιμόνιοι ὑπὸ τῶν ἑλλήνων,
καὶ ἡ πόλις τῇ μὲν ἀληθείᾳ ἡγεῖτο τῆς ἐλευθερίας τοῖς ἕλλησι, τῇ δὲ φιλοτιμίᾳ, οὐκ
ἠναντιοῦτο τοῖς λακεδαιμονίοις, ἵνα μὴ φθονηθῶσιν ὑπὸ τῶν συμμάχων· ἐφ' οἷς φυ-
σηθεὶς παυσανίας ὁ τῶν λακεδαιμονίων βασιλεὺς, ἐπέγραψεν ἐπὶ τὸν τρίποδα ἐν
152 δελφοῖς, ὃν οἱ ἕλληνες οἱ συμμαχεσάμενοι τὴν ἐν πλαταιέσι μάχην, καὶ τὴν ἐν
σαλαμῖνι ναυμαχίαν ναυμαχήσαντες κοινῇ ποιησάμενοι, ἀνέθηκαν ἀριστεῖον τῷ
ἀπόλλωνι ἀπὸ τῶν βαρβάρων· Ἑλλήνων ἀρχηγὸς ἐπεὶ στρατὸν ὤλεσε μήδων,
Παυσανίας φοίβῳ μνῆμ' ἀνέθηκε τόδε. ὡς αὐτοῦ τοῦ ἔργου ὄντος καὶ τοῦ ἀναθή-
153 ματος, ἀλλ' οὐ κοινοῦ τῶν συμμάχων· ὀργισθέντων δὲ τῶν ἑλλήνων, οἱ πλαταιῆς λαγ-
χάνουσι δίκην τοῖς λακεδαιμονίοις εἰς τοὺς ἀμφικτύονας χιλίων ταλάντων ὑπὲρ τῶν
συμμάχων, καὶ ἠνάγκασαν αὐτοὺς * ἐκκολάψαντας τὰ ἐλεγεῖα, ἐπιγράψαι τὰς πόλεις * ἐκκολάψαντας
τὰς κοινωνούσας τοῦ ἔργου. δι' ὅπερ αὐτοῖς οὐχ ἥκιστα παρηκολούθει ἡ ἔχθρα παρὰ λα-
154 κεδαιμονίων, καὶ ἐκ τοῦ γένους τοῦ βασιλείου. καὶ ἐν μὲν τῷ παρόντι, οὐκ εἶχον αὐτοῖς ὅ, τι
χρήσωνται οἱ λακεδαιμόνιοι· ὕστερον δὲ ὡς πεντήκοντα ἔτεσιν ἀρχίδαμος ὁ ζευξι-
δάμου, λακεδαιμονίων βασιλεὺς, εἰρήνης οὔσης, ἐνεχείρησεν αὐτῶν καταλαβεῖν τὴν
πόλιν. ἔπραξε δὲ ταῦτ' ἐκ θηβῶν δι' εὐρυμάχου τοῦ λεοντιάδου βοιωταρχοῦντος,
155 ἀνοιξάντων τὰς πύλας τῆς νυκτὸς ναυκλείδου, καὶ ἄλλων τινῶν μετ' αὐτοῦ, πεισθέν-
των χρήμασιν. αἰσθόμενοι δ' οἱ πλαταιῆς ἔνδον ὄντας τοὺς θηβαίους τῆς νυκτὸς, καὶ
ἐξαπίνης αὐτῶν τὴν πόλιν ἐν εἰρήνῃ κατειλημμένην, προσεβοήθουν καὶ αὐτοὶ, καὶ

συνετάττοντο

τινες ἀπήοιντο. καὶ ἐπειδὴ ἡμέρα ἐγίγνετο, καὶ εἶδον οὐ πολλοὺς ὄντας τοὺς θηβαίους,
ἀλλὰ τοὺς πρώτους αὐτῶν εἰσεληλυθότας· ὕδωρ γὰρ γενόμενον τῆς νυκτὸς πολὺ, ἐκώ- 156
λυσεν αὐτοὺς πάντας εἰσελθεῖν· ὁ γὰρ ἀσωπὸς ποταμὸς μέγας ἐρρύη, καὶ διαβῆναι
οὐ ῥάδιον ἦν, ἄλλως τε καὶ νυκτός· ὡς οὖν εἶδον οἱ πλαταιεῖς τοὺς θηβαίους ἐν τῇ πόλει, καὶ
ἔγνωσαν ὅτι οὐ πάντες πάρεισιν, ἐπιτίθενται, καὶ εἰς μάχην ἐλθόντες κρατοῦσι. καὶ
φθάνουσιν ἀπολέσαντες αὐτοὺς πρὶν τοὺς ἄλλους προσβοηθῆσαι. καὶ ὡς ὑμᾶς πέμ- 157
πουσιν εὐθὺς ἄγγελον, τήν τε πρᾶξιν φράσοντα, καὶ τὴν μάχην δηλώσοντα ὅτι
νικῶσι, καὶ βοηθεῖν ἀξιοῦντες, ἂν οἱ θηβαῖοι τὴν χώραν αὐτῶν δῃῶσιν. ἀκούσαντες δὲ
οἱ ἀθηναῖοι τὰ γεγονότα, διὰ ταχέων ἐβοήθουν εἰς τὰς πλαταιάς. καὶ οἱ θηβαῖοι
ὡς ἑώρων τοὺς ἀθηναίους βεβοηθηκότας τοῖς πλαταιεῦσιν, ἀνεχώρησαν ἐπ᾽ οἴκου. 158
ὡς οὖν ἀπέτυχον οἱ θηβαῖοι τῆς πείρας, καὶ οἱ πλαταιεῖς τοὺς ἄνδρας, οὓς ἔλαβον
αὐτῶν ἐν μάχῃ ζῶντας ἀπέκτειναν, ὀργισθέντες οἱ λακεδαιμόνιοι, ἀπροφασίστως
ἤδη στρατεύουσιν ἐπὶ τὰς πλαταιάς. πελοποννησίοις μὲν ἅπασι, πλὴν ἀργείων, τὰ
δύο μέρη τῆς στρατιᾶς ἀπὸ τῶν πόλεων ἑκάστων πέμπειν ἐπιτάξαντες· βοιωτοῖς δὲ τοῖς 159
ωλιάοις ἄλλοις ἅπασι, καὶ λοκροῖς, καὶ φωκεῦσι, καὶ μαλιεῦσι, καὶ οἰταίοις, καὶ αἰνιᾶσι, πανδημεὶ
ἐπαγγείλαντες στρατεύειν. καὶ περικαθεζόμενοι αὐτῶν τὸ τεῖχος πολλῇ δυνάμει,
ἐπηγγέλλοντο, εἰ βούλοιντο τὴν μὲν πόλιν αὐτοῖς παραδοῦναι, τὴν δὲ χώραν ἔχειν, καὶ
καρποῦσθαι τὰ αὑτῶν, ἀφίστασθαι δὲ τῆς ἀθηναίων συμμαχίας. οὐκ ἐθελησάν- 160
των δὲ τῶν πλαταιέων, ἀλλ᾽ ἀποκριναμένων, ὅτι ἄνευ ἀθηναίων οὐδὲν ἂν πρά-
ξαιεν, ἐπολιόρκουν αὐτοὺς διπλῷ τείχει περιτειχίσαντες δέκα ἔτη, πολλὰς καὶ
παντοδαπὰς πείρας προσάγοντες. ἐπεὶ δ᾽ ἀπειρήκεσαν οἱ πλαταιεῖς, καὶ ἐν-
δεεῖς ἦσαν ἁπάντων, καὶ ἠποροῦντο τῆς σωτηρίας, διακληρωσάμενοι πρὸς σφᾶς 161
αὐτούς, οἱ μὲν, ὑπομείναντες ἐπολιορκοῦντο· οἱ δὲ, τηρήσαντες νύκτα, καὶ ὕδωρ καὶ
ἄνεμον πολύν, ἐξελθόντες ἐκ τῆς πόλεως, καὶ ὑπερβάντες τὸ περιτείχισμα τῶν
πολεμίων, λαθόντες τὴν στρατιὰν, ἀποσφάξαντες τοὺς φύλακας, διασῴζονται
δεῦρο, δεινῶς διακείμενοι καὶ ἀπροσδοκήτως· οἱ δ᾽ ὑπομείναντες αὐτῶν, ἁλού- 162
σης τῆς πόλεως κατὰ κράτος, ἀπεσφάγησαν πάντες οἱ ἡβῶντες. παῖδες δὲ καὶ γυναῖ-
αἰσθανόμεναι κες ἐξηνδραποδίσθησαν, ὅσοι μὴ προαισθόμενοι ἐπιόντας τοὺς λακεδαιμονίους
ὑπεξῆλθον ἀθήναζε. τοῖς οὖν οὕτω φανερῶς ἐνδεδειγμένοις τὴν εὔνοιαν τῷ δή-
μῳ, καὶ προεμένοις ἅπαντα τὰ αὑτῶν, καὶ παῖδας καὶ γυναῖκας, πάλιν σκοπεῖ- 163
τε, πῶς μετέδοτε τῆς πολιτείας. ἐκ γὰρ τῶν ψηφισμάτων τῶν ὑμετέρων, κατα-
φανὴς πᾶσιν ἔσται ὁ νόμος, καὶ γνώσεσθ᾽ ὅτι ἀληθῆ λέγω. καί μοι λαβὲ τὸ ψήφι-
σμα τουτὶ, καὶ ἀνάγνωθι αὐτοῖς.

Ψήφισμα περὶ πλαταιέων. 164

Ἱπποκράτης εἶπε πλαταιέας εἶναι ἀθηναίους ἀπὸ τῆσδε τῆς ἡμέρας, ἐπιτί-
μους, καθάπερ οἱ ἄλλοι ἀθηναῖοι. καὶ μετεῖναι αὐτοῖς, ὧνπερ ἀθηναίοις μέτεστι πάν-
των, καὶ ἱερῶν, καὶ ὁσίων· πλὴν εἴ τις ἱερωσύνη, ἢ τελετή ἐστιν ἐκ γένους, μηδὲ τῶν
πλαταιαὶ γρ. τοὺς πλαταιέας ἐννέα ἀρχόντων· τοῖς δ᾽ ἐκ τούτων. κατανεῖμαι δὲ τοὺς πλαταιέας εἰς τοὺς δή- 165
μους, καὶ τὰς φυλάς. ἐπειδὰν δὲ νεμηθῶσι, μὴ ἐξέστω ἔτι ἀθηναίῳ μηδενὶ γίγνε-
σθαι πλαταιέων, μὴ εὑρομένῳ παρὰ τοῦ δήμου τοῦ ἀθηναίων. Ὁρᾶτε δὴ,
ὦ ἄνδρες ἀθηναῖοι, ὡς καλῶς καὶ δικαίως ἔγραψεν ὁ ῥήτωρ ὑπὲρ τοῦ δήμου τοῦ
ἀθηναίων, καὶ ἠξίωσε τοὺς πλαταιέας λαμβάνοντας τὴν δωρεὰν, πρῶτον μὲν 166

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δοκιμασθῆναι ἐν τῷ δικαστηρίῳ, κατ' ἄνδρα ἕκαστον, εἰ ἔστι Πλαταιεύς, καὶ εἰ τῶν
φίλων τῶν τῆς πόλεως· ἵνα μὴ ἐπὶ ταύτῃ τῇ προφάσει πολλοὶ μεταλάβωσι τῆς
πολιτείας· ἔπειτα τοὺς δοκιμασθέντας ἀναγραφῆναι ἐν στήλῃ λιθίνῃ, καὶ στῆσαι ἐν
167 ἀκροπόλει παρὰ τῇ θεῷ, ἵνα σῴζηται ἡ δωρεὰ τοῖς ἐπιγιγνομένοις, καὶ ᾖ ἐξελέγ-
ξαι ὅτου ἂν ἕκαστος ᾖ συγγενής. καὶ ὕστερον οὐκ ἐᾷ γίγνεσθαι Ἀθηναῖον ἐξεῖναι,
ὃς ἂν μὴ νῦν γένηται, καὶ δοκιμασθῇ ἐν τῷ δικαστηρίῳ, τοῦ μὴ πολλοὺς φάσκοντας
Πλαταιέας εἶναι, κατασκευάζειν αὐτοῖς πολιτείαν. ἔπειτα καὶ τὸν νόμον διωρίσατο
168 ἐν τῷ ψηφίσματι πρὸς αὐτοὺς εὐθέως, ὑπέρ τε τῆς πόλεως καὶ τῶν θεῶν. καὶ μὴ
ἐξεῖναι * αὐτῷ μηδενὶ τῶν ἐννέα ἀρχόντων λαχεῖν, μηδὲ ἱερωσύνης μηδεμιᾶς, τοῖς  * αὐτῶν
δ' ἐκ τούτων, ἂν ὦσιν ἐξ ἀστῆς γυναικὸς, καὶ ἐγγυητῆς κατὰ τὸν νόμον. οὔκουν δεινὸν
πρὸς μὲν τοὺς ἀστυγείτονας καὶ ὁμολογουμένους ἀρίστους τῶν Ἑλλήνων εἰς τὴν πόλιν γε-
169 γενημένους, οὕτω καλῶς καὶ ἀκριβῶς διορίσασθαι περὶ ἑκάστου, ἐφ' οἷς δεῖ ἔχειν τὴν
δωρεάν· τὴν δὲ περιφανῶς καὶ ἀκριβῶς ἐν ἁπάσῃ τῇ Ἑλλάδι πεπορνευμένην,
οὕτως αἰσχρῶς καὶ ὀλιγώρως ἐάσετε ὑβρίζουσαν εἰς τὴν πόλιν, καὶ ἀσεβοῦσαν εἰς
τοὺς θεοὺς, ἀτιμώρητον εἶναι· ἣν οὔτε οἱ πρόγονοι ἀστὴν κατέλιπον, οὔθ' ὁ δῆμος πολί-
170 την ἐποιήσατο. ποῦ γὰρ αὕτη οὐκ εἴργασται τῷ σώματι; ἢ ποῦ οὐκ ἐλήλυθεν ἐπὶ
τῷ καθ' ἡμέραν μισθῷ; οὐκ ἐν Πελοποννήσῳ μὲν πάσῃ, ἐν Θετταλίᾳ δὲ καὶ Μα-
γνησίᾳ μετὰ Σίμου τοῦ Λαρισσαίου καὶ Εὐρυδάμαντος τοῦ Μειδίου; ἐν Χίῳ δὲ, καὶ ἐν
Ἰωνίᾳ τῇ πλείστῃ, μετὰ Σωτάδου τοῦ Κρητὸς ἀκολουθοῦσα· μισθωθεῖσα ὑπὸ τῆς Νικα-
171 ρέτης, ὅτε ἔτι ἐκείνης ἦν; τὴν δὲ ὑφ' ἑτέροις οὖσαν, καὶ ἀκολουθοῦσαν τῷ διδόντι, τί
οἴεσθε ποιεῖν; ἆρ' οὐχ ὑπηρετεῖν τοῖς χρωμένοις εἰς ἁπάσας ἡδονάς; εἶτα τὴν τοιαύ-
την, καὶ περιφανῶς ἐγνωσμένην ὑπὸ πάντων γῆς περίοδον εἰργασμένην, ψη-
φιεῖσθε ἀστὴν εἶναι; καὶ τί καλὸν φήσετε πρὸς τοὺς ἐρωτῶντας διαπεπρᾶχθαι; ἢ
ποίᾳ αἰσχύνῃ καὶ ἀσεβείᾳ οὐκ ἔνοχοι αὐτοὶ εἶναι; πρὶν μὲν γὰρ γραφῆναι ταύτην,
172 καὶ εἰς ἀγῶνα καταστῆναι, καὶ πυθέσθαι πάντας ἥτις ἦν καὶ * οἷς ἠσέβηκε, τὰ μὲν ἀ-  * οἷα ἠσέβηκε
δικήματα ταύτης ἦν, ἡ δ' ἀμέλεια τῆς πόλεως. καὶ οἱ μὲν, οὐκ ᾔδεσαν ὑμῶν, οἱ
δὲ πυθόμενοι τῷ μὲν λόγῳ ἠγανάκτουν, τῷ δ' ἔργῳ, οὐκ εἶχον ὅ, τι χρήσαιντο
αὐτῇ, οὐδενὸς εἰς ἀγῶνα καθιστάντος, οὐδὲ διδόντος περὶ αὐτῆς τὴν ψῆφον. ἐπεὶ δὲ
173 καὶ ἴστε πάντες, καὶ ἔχετε ἐφ' ὑμῖν αὐτοῖς καὶ κύριοί ἐστε κολάσαι, ὑμέτερον ἤδη τὸ
ἀσέβημα γίγνεται τὸ πρὸς τοὺς θεοὺς, ἐὰν μὴ ταύτην κολάσητε. τί δὲ καὶ φήσειεν ἂν
ὑμῶν ἕκαστος ἀπιὼν πρὸς τὴν ἑαυτοῦ γυναῖκα, ἢ θυγατέρα, ἢ μητέρα, * ἀποψηφισα-  * ἀποψηφισά-
μένης ταύτης, ἐπειδὰν ἔρηται ὑμᾶς, ποῦ ἦτε; καὶ εἴπητε, ὅτι ἐδικάζομεν, τῷ; ἐρήσεται  μενος ταύτην,
74 εὐθύς, Νεαίρᾳ, δηλονότι φήσετε· οὐ γὰρ, ὅτι ξένη οὖσα, ἀστῷ συνοικεῖ παρὰ τὸν νόμον, καὶ  ἢ ἀποψηφισα-
ὅτι τὴν θυγατέρα μεμοιχευμένην ἐξέδωκε Θεογένει τῷ βασιλεύσαντι, καὶ αὕτη ἔθυσε  μένης ταύ-
τὰ ἱερὰ τὰ ἄρρητα ὑπὲρ τῆς πόλεως, καὶ τῷ Διονύσῳ γυνὴ ἐδόθη, καὶ τἄλλα, διηγού-  της,
μενοι τὴν κατηγορίαν αὐτῆς, ὡς εὖ, καὶ μνημονικῶς, καὶ ἐπιμελῶς περὶ ἑκάστου κα-
75 τηγορήθη. αἱ δὲ ἀκούσασαι, ἐρήσονται, τί οὖν ἐποιήσατε; ὑμεῖς δὲ φήσετε, * ἀπεψη-  * ἀπεψηφισά-
φίσμεθα. οὐκοῦν ἤδη αἱ μὲν σωφρονέσταται τῶν γυναικῶν, ὀργισθήσονται ὑμῖν, διότι  μεθα.
ὁμοίως αὐταῖς ταύτην κατηξιοῦτε μετέχειν τῶν τῆς πόλεως, καὶ τῶν ἱερῶν. ὅσαι δ'
ἀνόητοι, φανερῶς ἐπιδείκνυται ποιεῖν ὅ, τι ἂν βούλωνται, ὡς ἄδειαν ὑμῶν, καὶ τῶν νό-
176 μων δεδωκότων· δόξετε γὰρ ὀλιγώρως καὶ ῥαθύμως φέροντες, ὁμογνώμονες καὶ αὐτοὶ
εἶναι τοῖς ταύτης τρόποις. ὥστε πολὺ μᾶλλον ἐλυσιτέλει μὴ γενέσθαι τὸν ἀγῶνα
τουτονί,

τουτουί, ἢ ἠδικημένον ἀποψηφίσασθαι ὑμᾶς. κομιδῇ γὰρ ἤδη παντελῶς ἐξουσία
ἔσται ταῖς πόρναις συνοικεῖν οἷς ἂν βούλωνται, καὶ τοὺς παῖδας φάσκειν, οὗ ἂν τύχω-
σιν, εἶναι. καὶ οἱ μὲν νόμοι ἄκυροι ὑμῖν ἔσονται· οἱ δὲ τρόποι τῶν ἑταιρῶν, κύριοι ὅ, τι ἂν 177
βούλωνται διαπράττεσθαι. ὥστε καὶ ὑπὲρ τῶν πολιτίδων σκοπεῖτε, τοῦ μὴ ἀνεκ-
δότους γίγνεσθαι τὰς τῶν πενήτων θυγατέρας. νῦν μὲν γὰρ κἂν ἀπορηθῇ τις, ἱκανὴν
προῖκ' αὐτῇ ὁ νόμος συμβάλλεται, ἂν καὶ ὁπωστιοῦν μετρίαν ἡ φύσις ὄψιν ἀποδῷ.
προπηλακισθέντος δὲ τοῦ νόμου ὑφ' ὑμῶν, ἀποφυγούσης ταύτης, καὶ ἀκύρου γενο- 178
μένου, παντελῶς ἤδη ἡ μὲν τῶν πορνῶν ἐργασία ἥξει εἰς τὰς τῶν πολιτίδων θυγατέρας
δι' ἀπορίαν, ὅσαι ἂν μὴ δύνωνται ἐκδοθῆναι· τὸ δὲ τῶν ἐλευθέρων γυναικῶν ἀξίω-
μα, εἰς τὰς ἑταίρας, ἂν ἄδειαν λάβωσι τοῦ ἐξεῖναι αὐταῖς παιδοποιεῖσθαι ὡς ἂν βού-
λωνται, καὶ τελετῶν, καὶ ἱερῶν, καὶ τιμῶν μετέχειν τῶν ἐν τῇ πόλει, ὥστε εἷς ἕκαστος ὑμῶν 179
νομιζέτω, ὁ μὲν ὑπὲρ γυναικός, ὁ δ' ὑπὲρ θυγατρός, ὁ δ' ὑπὲρ μητρός, ὁ δ'
ὑπὲρ τῆς πόλεως, καὶ τῶν νόμων, καὶ τῶν ἱερῶν τὴν ψῆφον φέρειν, τοῦ μὴ ἐξ ἴσου φα-
νῆναι ἐκείνας τιμωμένας ταύτῃ τῇ πόρνῃ. μηδὲ τὰς μετὰ πολλῆς καὶ καλῆς σωφρο-
σύνης καὶ ἐπιμελείας τραφείσας ὑπὸ τῶν προσηκόντων, καὶ ἐκδοθείσας κατὰ τοὺς 180
νόμους, ταύτας ἐν τῷ ἴσῳ φαίνεσθαι μετεχούσας τῇ μετὰ πολλῶν καὶ ἀσελγῶν τρό-
πων πολλάκις πολλοῖς ἑκάστης ἡμέρας συγγεγενημένῃ, ὡς ἕκαστος ἐβούλετο. ἡγεῖσθε
δὲ μήτ' ἐμὲ τὸν λέγοντα εἶναι Ἀπολλόδωρον, μήτε τοὺς ἀπολογησομένους καὶ συνε-
ροῦντας πολίτας· ἀλλὰ τοὺς νόμους, καὶ Νέαιραν ταυτηνὶ περὶ τῶν πεπραγμένων 181
αὐτῇ πρὸς ἀλλήλους διαδικάζεσθαι. καὶ ὅταν μὲν ἐπὶ τῆς κατηγορίας γένησθε,
τῶν νόμων αὐτῶν ἀκούετε, δι' ὧν οἰκεῖται ἡ πόλις, καὶ καθ' οὓς ὀμωμόκατε δικάσειν, τί
*παραβεβή- κελεύουσι, καὶ τί *παραβεβήκασιν. ὅταν δὲ ἐπὶ τῆς ἀπολογίας ἦτε, μνημονεύοντες τὴν
τῶν νόμων κατηγορίαν, καὶ τὸν ἔλεγχον τῶν εἰρημένων, τήν τε ὄψιν αὐτῆς ἰδόντες, ἐνθυ- 182
μεῖσθε τοῦτο μόνον, εἰ Νέαιρα οὖσα ταῦτα διαπέπρακται. ἄξιον δὲ κἀκεῖνο ἐνθυ-
μηθῆναι, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι Ἀρχίαν τὸν ἱεροφάντην γενόμενον, ἐξελεγχθέν-
τα ἐν τῷ δικαστηρίῳ ἀσεβεῖν, θύοντα παρὰ τὰ πάτρια τὰς θυσίας, ἐκολάσατε ὑ-
*ἁλῷ, οἷς μεῖς· καὶ ἄλλα τε κατηγορήθη αὐτοῦ, καὶ ὅτι Σινώπῃ τῇ ἑταίρᾳ *Ἁλώοις ἐπὶ τῆς ἐσχάρας 183
*αὐλῇ τῆς ἐν τῇ *αὐτῇ Ἐλευσῖνι προσαγούσῃ ἱερεῖον θύσειεν, οὐ νομίμου ὄντος ἐν ταύτῃ τῇ Ἁλώοις) Ἁλῶα, ἑορτὴ ἀττική.
ἡμέρᾳ ἱερεῖα θύειν, οὐδ' ἐκείνου οὔσης τῆς θυσίας, ἀλλὰ τῆς ἱερείας. οὐκοῦν δεινὸν τὸν μὲν
καὶ ἐκ γένους ὄντα τοῦ Εὐμολπιδῶν, καὶ προγόνων καλῶν κἀγαθῶν, καὶ πολίτην τῆς
*νομίμων πόλεως, ὅτι ἐδόκει τι παραβῆναι τῶν *νόμων, δοῦναι δίκην· καὶ οὔθ' ἡ τῶν συγγενῶν, οὔθ' 184
ἡ τῶν φίλων ἐξαίτησις ὠφέλησεν αὐτόν· οὔθ' αἱ λειτουργίαι, ἃς ἐλειτούργησε τῇ πόλει
αὐτός, καὶ οἱ πρόγονοι αὐτοῦ, οὔτε τὸ ἱεροφάντην εἶναι· ἀλλ' ἐκολάσατε δόξαντα ἀδι-
*θεὸν κεῖν· Νέαιραν δὲ ταυτηνὶ εἴς τε τὸν αὐτὸν θεὸν *τοῦτον ἠσεβηκυῖαν, καὶ τοὺς νόμους, καὶ αὐ-
τὴν καὶ τὴν θυγατέρα αὐτῆς οὐ τιμωρήσεσθε; θαυμάζω δ' ἔγωγε τί ποτε καὶ ἐροῦ- 185
σι πρὸς ὑμᾶς ἐν τῇ ἀπολογίᾳ. πότερον ὡς ἀστή ἐστι Νέαιρα αὕτη, καὶ κατὰ τοὺς νόμους
συνοικεῖ αὐτῷ; ἀλλὰ μεμαρτύρηται ἑταίρα οὖσα, καὶ δούλη Νικαρέτης γεγενημένη.
ἀλλ' οὐ γυναῖκα εἶναι αὐτοῦ, ἀλλὰ παλλακὴν ἔχειν ἔνδον. ἀλλ' οἱ παῖδες ταύτης ὄν-
τες καὶ εἰσηγμένοι εἰς τοὺς φράτορας ὑπὸ Στεφάνου, καὶ ἡ θυγάτηρ ἀνδρὶ Ἀθηναίῳ 186
ἐκδοθεῖσα, περιφανῶς αὐτὴν ἀποφαίνουσι γυναῖκα ἔχοντα. ὡς μὲν τοίνυν οὐκ
ἀληθῆ ἐστι τὰ κατηγορημένα καὶ μεμαρτυρημένα, οὔτ' αὐτὸν Στέφανον οὔτ' ἄλλον ὑπὲρ
*αὐτὴ ὡς ἔστιν τούτου οἶμαι ἐπιδείξειν, *ὡς ἔστιν ἀστὴ Νέαιρα αὕτη. ἀκούω δὲ αὐτὸν τοιοῦτόν τι μέλλειν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀπολογεῖσθαι, ὡς οὐ γυναῖκα ἔχει αὐτήν, ἀλλ' ἑταίραν· καὶ οἱ παῖδες οὐκ εἰσὶ ταύ-
της, ἀλλ' ἐξ ἑτέρας γυναικὸς αὐτῷ ἀστῆς, ἣν φησι πρότερον γῆμαι, συγγενῆ αὑτοῦ.
πρὸς δὴ τὴν ἀναίδειαν αὐτοῦ τοῦ λόγου, καὶ τὴν παρασκευὴν τῆς ἀπολογίας, καὶ τῶν
187 μαρτυρεῖν αὐτῷ παρεσκευασμένων, πρόκλησιν αὐτὸν προεκαλεσάμην ἀκριβῆ καὶ
δικαίαν, δι' ἧς ἐξῆν ὑμῖν πάντα τἀληθῆ εἰδέναι· παραδοῦναι τὰς θεραπαίνας τὰς
Νεαίρᾳ τότε προσκαρτερούσας, ὅτ' ἦλθεν ὡς Στέφανον ἐκ Μεγάρων, Θρᾶτταν, καὶ
Κοκκαλίνην, καὶ ἃς ὕστερον παρὰ τούτῳ οὖσα ἐκτήσατο, Ξεννίδα καὶ Δροσίδα· αἳ ἴσα-
188 σιν ἀκριβῶς Πρόξενόν τε τὸν τελευτήσαντα, καὶ Ἀρίστωνα τὸν νῦν ὄντα, καὶ Ἀντιδω-
ρίδην τὸν σταδιοδρομοῦντα, καὶ Φανὼ τὴν Στρυβήλην καλουμένην, ἣ Θεογένει τῷ
βασιλεύσαντι συνῴκησε, Νεαίρας ὄντας. καὶ ἐὰν φαίνηται ἐκ τῆς βασάνου γήμας
Στέφανος οὑτοσὶ ἀστὴν γυναῖκα, καὶ ὄντες αὐτῷ οἱ παῖδες οὗτοι ἐξ ἑτέρας γυναικὸς ἀ-
189 στῆς, καὶ μὴ Νεαίρας, ἤθελον ἀφίστασθαι τοῦ ἀγῶνος, καὶ μὴ εἰσιέναι τὴν γραφὴν ταύτην.
τὸ γὰρ συνοικεῖν τοῦτ' ἔστιν, ὃς ἂν παιδοποιῆται, καὶ εἰσάγῃ εἴς τε τοὺς φράτορας καὶ δη-
μότας τοὺς υἱεῖς, καὶ τὰς θυγατέρας ἐκδιδῷ, ὡς αὑτοῦ οὔσας τοῖς ἀνδράσι. τὰς μὲν γὰρ
ἑταίρας, ἡδονῆς ἕνεκ' ἔχομεν· τὰς δὲ παλλακάς, τῆς καθ' ἡμέραν θεραπείας τοῦ σώ-
190 ματος· τὰς δὲ γυναῖκας, τοῦ παιδοποιεῖσθαι γνησίως, καὶ τῶν ἔνδον φύλακα πιστὴν ἔχειν.
ὥστ' εἰ πρότερον ἔγημε γυναῖκα ἀστήν, καὶ εἰσὶν οὗτοι οἱ παῖδες ἐξ ἐκείνης, καὶ μὴ
Νεαίρας, ἐξῆν αὐτῷ ἐκ τῆς ἀκριβεστάτης μαρτυρίας ἐπιδεῖξαι, παραδόντι τὰς θε-
ραπαίνας ταύτας. ὡς δὲ προεκαλεσάμην, τούτων ὑμῖν τήν τε μαρτυρίαν, καὶ τὴν
191 πρόκλησιν ἀναγνώσεται. Λέγε τὴν μαρτυρίαν, ἔπειτα τὴν πρόκλησιν.

Μαρτυρία.

Ἱπποκράτης Ἱπποκράτους Προβαλείσιος, Δημοσθένης Δημοσθένους Παιανιεύς,
Διοφάνης Διοφάνους Ἀλωπεκῆθεν, Διομένης Ἀρχελάου Κυδαθηναιεύς, Δεινίας Φορ-
192 μίδου Κυδαντίδης, Λυσίμαχος Λυσίππου Αἰγιαλεύς, μαρτυροῦσι παρεῖναι ἐν ἀγο-
ρᾷ, ὅτ' Ἀπολλόδωρος προὐκαλεῖτο Στέφανον, ἀξιῶν παραδοῦναι εἰς βάσανον τὰς
θεραπαίνας, περὶ ὧν ᾐτιᾶτο Ἀπολλόδωρος Στέφανον περὶ Νεαίρας· Στέφανον δὲ οὐκ
ἐθελῆσαι παραδοῦναι τὰς θεραπαίνας· τὴν δὲ πρόκλησιν εἶναι, ἣν παρέχεται Ἀπολ-
193 λόδωρος. Λέγε δὴ αὐτὴν τὴν πρόκλησιν, ἣν προὐκαλούμην ἐγὼ Στέφανον
τουτονί.

Πρόκλησις.

Τάδε προὐκαλεῖτο Ἀπολλόδωρος Στέφανον, περὶ ὧν τὴν γραφὴν γέγραπται,
Νέαιραν ξένην οὖσαν, ἀστῷ συνοικεῖν, ἕτοιμος ὢν τὰς θεραπαίνας παραλαμβάνειν
194 τὰς Νεαίρας, ἃς ἐκ Μεγάρων ἔχουσα ἦλθε, Θρᾶτταν καὶ Κοκκαλίνην, καὶ ἃς ὕστερον
παρὰ Στεφάνῳ ἐκτήσατο, Ξεννίδα καὶ Δροσίδα, τὰς εἰδυίας ἀκριβῶς περὶ τῶν παίδων
τῶν ὄντων Νεαίρᾳ, ὅτι οὐκ ἐκ Στεφάνου εἰσί, Πρόξενός τε ὁ τελευτήσας, καὶ Ἀρίστων ὁ νῦν
ὤν, καὶ Ἀντιδωρίδης ὁ σταδιοδρομῶν, καὶ Φανώ, ἐφ' ᾧτε βασανίσαι αὐτάς. καὶ εἰ μὲν ὁμο-
195 λογοῖεν ἐκ Στεφάνου εἶναι καὶ Νεαίρας τούτους τοὺς παῖδας, πεπρᾶσθαι Νέαιραν κατὰ τοὺς
νόμους, καὶ τοὺς παῖδας ξένους εἶναι. εἰ δὲ μὴ ὁμολογοῖεν ἐκ ταύτης εἶναι αὐτούς, ἀλλ' ἐξ
ἑτέρας γυναικὸς ἀστῆς, ἀφίστασθαι τοῦ ἀγῶνος ἤθελον τοῦ Νεαίρας, καὶ εἴ τι ἐκ τῶν βα-
σάνων βλαφθεῖεν αἱ ἄνθρωποι, ἀποτίνειν ὅ τι βλαβείησαν. Ταῦτα προκα-
196 λεσαμένου ἐμοῦ, ὦ ἄνδρες δικασταί, Στέφανον τουτονί, οὐκ ἠθέλησε δέξασθαι. οὐκοῦν
ἤδη δοκεῖ ὑμῖν, δεδικάσθαι ὑπ' αὐτοῦ Στεφάνου τουτουί, ὦ ἄνδρες δικασταί, ὅτι ἔνο-
χός ἐστι τῇ γραφῇ Νέαιρα, ἣν ἐγὼ αὐτὴν ἐγραψάμην· καὶ ὅτι ἐγὼ μὲν ἀληθῆ εἴρη-
κα πρὸς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ πρὸς ὑμᾶς, καὶ τὰς μαρτυρίας παρεχόμενον ἀληθεῖς· οὑτοσὶ δ᾽ ὅ,τι ἂν λέγῃ,
ἅπαντα ψεύδεται· καὶ ἐξελέγξει αὐτὸς αὑτόν, ὅτι οὐδὲν ὑγιὲς λέγει, οὐκ ἐθελήσας 197
παραδοῦναι εἰς βασάνους τὰς θεραπαίνας, ἃς ἐγὼ ἐξῄτουν αὐτόν. ἐγὼ μὲν οὖν,
ὦ ἄνδρες δικασταί, καὶ τοῖς θεοῖς, εἰς οὓς οὗτοι ἠσεβήκασι, καὶ ἐμαυτῷ τιμωρῶν, κα-
τέστησά τε τουτουσὶ εἰς ἀγῶνα, καὶ ὑπὸ τὴν ὑμετέραν ψῆφον ἤγαγον. καὶ ὑμᾶς δὲ
χρὴ νομίσαντας μὴ λήσειν τοὺς θεούς, εἰς οὓς οὗτοι παρανενομήκασιν, ὅ,τι ἂν ἕκα- 198
στος ὑμῶν ψηφίσηται, ψηφίσασθαι τὰ δίκαια, καὶ τιμωρεῖν μάλιστα μὲν τοῖς θεοῖς,
ἔπειτα δὲ καὶ ὑμῖν αὐτοῖς. καὶ ταῦτα ποιήσαντες, δόξετε πᾶσι καλῶς καὶ δικαίως δικά-
σαι ταύτην τὴν γραφήν, ἣν Νέαιραν ἐγὼ ἐγραψάμην, ξένην οὖσαν ἀστῷ συνοικεῖν.

# ΔΗΜΟΣΘΕΝΟΥΣ ΕΠΙΤΑΦΙΟΣ ΛΟΓΟΣ.

ΕΠΕΙΔΗ τοὺς ἐν τῷδε τῷ τάφῳ κειμένους, ἄνδρας ἀγαθοὺς ἐν 1
τῷ δὲ τῷ πολέμῳ γεγενημένους, ἔδοξε τῇ πόλει δημοσίᾳ θά-
πτειν, καὶ προσέταξεν ἐμοὶ τὸν νομιζόμενον λόγον εἰπεῖν ἐπ᾽ αὐ-
[* καὶ σκοπῶν … τοῦ ἀξίως] τοῖς, ἐσκόπουν μὲν εὐθὺς ὅπως τοῦ προσήκοντος ἐπαίνου τεύ-
ξονται· ἐξετάζων δὲ καὶ σκοπῶν ἀξίως εἰπεῖν τῶν τετελευτη- 2
κότων, ἕν τι τῶν ἀδυνάτων εὕρισκον ὄν. οἱ γὰρ τὴν ὑπάρχουσαν
πᾶσιν ἔμφυτον τοῦ ζῆν ὑπερεῖδον ἐπιθυμίαν, καὶ τελευτῆσαι καλῶς μᾶλλον ἠβου-
λήθησαν, ἢ ζῶντες τὴν Ἑλλάδα ἰδεῖν ἀτυχοῦσαν, πῶς οὐκ ἀνυπέρβλητον πάντι
[* ὁμοίως] λόγῳ τὴν αὑτῶν ἀρετὴν καταλελοίπασιν; ὅμως μέντοι διαλεχθῆναι τοῖς πρό- 3
[* ἀλλαχοῦ] τερόν ποτε εἰρηκόσιν ἐνθάδε, εἶναί μοι δοκεῖ· ὡς μὲν οὖν ἡ πόλις σπουδάζει περὶ
[* καλὸν εἶναι] τοὺς ἐν τῷ πολέμῳ τελευτῶντας, ἔκ τε τῶν ἄλλων ἔστιν ἰδεῖν, καὶ μάλιστα ἐκ τοῦδε τοῦ
νόμου, καθ᾽ ὃν αἱρεῖται τὸν ἐροῦντα ἐπὶ ταῖς δημοσίαις ταφαῖς. εἰδυῖα γὰρ παρὰ τοῖς
χρηστοῖς ἀνδράσι τὰς μὲν τῶν χρημάτων κτήσεις, καὶ τὰς κατὰ τὸν βίον ἡδονῶν ἀπολαύ- 4
[* καὶ τῆς ἀρετῆς] σεις ὑπερεωραμένας, τῆς δ᾽ ἀρετῆς καὶ τῶν ἐπαίνων πᾶσαν τὴν ἐπιθυμίαν οὖσαν
[* τούτοις] ἐξ ὧν ταῦτ᾽ ἂν αὐτοῖς μάλιστα γένοιτο λόγων, τούτοις ᾠήθησαν δεῖν αὐτοὺς τιμᾶν,
ἵν᾽, ἣν ζῶντες ἐκτήσαντο εὐδοξίαν, αὕτη καὶ τετελευτηκόσιν αὐτοῖς ἀποδοθείη. εἰ
μὲν οὖν τὴν ἀνδρίαν μόνον αὐτοῖς τῶν εἰς ἀρετὴν ἀνηκόντων ὑπάρχουσαν ἑώρων, 5
[* λόγων * καὶ] ταύτην ἂν ἐπαινέσας, ἀπηλλαττόμην τῶν λοιπῶν. ἐπεὶ δὲ * γεγενῆσθαι καλῶς,
καὶ πεπαιδεῦσθαι σωφρόνως, καὶ βεβιωκέναι φιλοτίμως συμβέβηκεν αὐτοῖς, ἐξ
ὧν εἰκότως ἦσαν σπουδαῖοι, αἰσχυνοίμην ἂν εἴ τι τούτων φανείην παραλιπών.
ἄρξομαι δ᾽ ἀπὸ τῆς τοῦ γένους αὐτῶν ἀρχῆς. ἡ γὰρ εὐγένεια τῶνδε τῶν ἀνδρῶν ἐκ 6
πλείστου χρόνου παρὰ πᾶσιν ἀνθρώποις ἀνωμολόγηται. οὐ γὰρ μόνον εἰς πατέρ᾽ αὐ-
τοῖς, καὶ τῶν ἄνω προγόνων κατ᾽ ἄνδρα ἀνενεγκεῖν ἑκάστῳ τὴν φύσιν ἐστίν· ἀλλ᾽ εἰς
ὅλην κοινῇ τὴν ὑπάρχουσαν πατρίδα, ἧς αὐτόχθονες ὁμολογοῦνται εἶναι. μόνοι γὰρ 7
πάντων ἀνθρώπων ἐξ ἧσπερ ἔφυσαν, ταύτην ᾤκησαν, καὶ τοῖς ἐξ αὑτῶν πα-
ρέδωκαν. ὥστε δικαίως ἄν τις ὑπολάβοι, τοὺς μὲν εἰς τὰς ἐπήλυδας ἐλθόντας πό-
λεις, καὶ τούτων πολίτας προσαγορευομένους, ὁμοίους εἶναι τοῖς εἰσποιητοῖς τῶν
παίδων· τούτους δὲ γνησίους γόνῳ τῆς πατρίδος πολίτας εἶναι. δοκεῖ δέ μοι καὶ
τοὺς καρπούς, οἷς ζῶσιν ἄνθρωποι, παρ᾽ ἡμῖν πρώτοις φανῆναι, χωρὶς τοῦ μεγ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σον εὐεργέτημ' εἰς πάντας γενέσθαι, ὁμολογούμενον σημεῖον ὑπάρχειν τοῦ μητέρα
τὴν χώραν εἶναι τῶν ἡμετέρων προγόνων. πάντα γὰρ τὰ τίκτοντα ἅμα καὶ τροφὴν
9 τοῖς γιγνομένοις, ἀπ' αὐτῆς τῆς φύσεως φέρει. ὅπερ ἥδε ἡ χώρα πεποίηκε. τὰ μὲν οὖν
εἰς γένος ἀνήκοντα, τοιαῦτα δι' αἰῶνος ὑπάρχει τοῖσδε τῶν ἀνδρῶν προγόνοις. τὰ δὲ
εἰς ἀνδρείαν, καὶ τὴν ἄλλην ἀρετήν, πάντα μὲν κατοκνῶ λέγειν, φυλαττόμενος, μὴ
μῆκος ἄκαιρον ἐγγένηται τῷ λόγῳ. ἃ δὲ καὶ τοῖς εἰδόσι χρήσιμα ἀναμνησθῆναι,
10 καὶ τοῖς ἀπείροις κάλλιστα ἀκοῦσαι, καὶ ζῆλον ἔχει πολύν, καὶ μῆκος λόγων ἄλυπον
ἔχοντα, ταῦτα ἐπὶ κεφαλαίων εἰπεῖν πειράσομαι. οἱ γὰρ τῆς κατὰ τὸν παρόντα χρόνον
γενεᾶς πρόγονοι καὶ πατέρες, καὶ τούτων ἐπωνύμως τὰς προσηγορίας ἔχοντες, αἷς
ὑπὸ τῶν ἐν γένει γνωρίζονται, ἠδίκησαν μὲν οὐδένα πώποτε οὔτε Ἕλληνα, οὔ-
11 τε βάρβαρον, ἀλλ' ὑπῆρχεν αὐτοῖς πρὸς ἅπασι τοῖς ἄλλοις καλοῖς κἀγαθοῖς
καὶ δικαιοτάτοις εἶναι. ἀμυνόμενοι δέ, πολλὰ καὶ ˊλαμπρὰ διεπράξαντο. καὶ ˊκαλά
γὰρ τὸν Ἀμαζόνων στρατὸν ἐλθόντα ἐκράτησαν οὕτως, ὥστ' ἔξω Φάσιδος ἐκβα-
λεῖν καὶ τὸν Εὐμόλπου, καὶ τῶν πολλῶν ἄλλων στόλον οὐ μόνον ἐκ τῆς ˊοἰκίας, ἀλλὰ ˊοἰκείας
12 καὶ ἐκ τῆς τῶν ἄλλων Ἑλλήνων χώρας ἐξήλασαν. οὓς οἱ πρὸς ἡμῶν οἰκοῦν-
τες πρὸς ἑσπέραν πάντες οὔθ' ὑπέμειναν, οὔτ' ἠδυνήθησαν ˊκωλῦσαι. καὶ μὴν ˊκαταλῦσαι
καὶ τῶν Ἡρακλέους παίδων, ὃς τοὺς ἄλλους ἔσωζε, σωτῆρες ὠνομάσθησαν, ἡνίκα
ἦλθον εἰς τήνδε τὴν γῆν ἱκέται, φεύγοντες Εὐρυσθέα. καὶ πρὸς πᾶσι τούτοις,
13 καὶ πολλοῖς ἄλλοις καὶ καλοῖς ἔργοις, τὰ τῶν κατοιχομένων νόμιμα οὐ περιεῖδον
ὑβριζόμενα, ὅτε τοὺς ἑπτὰ ἐπὶ Θήβας θάπτειν ἐκώλυε Κρέων. τῶν μὲν οὖν εἰς μύ-
θους ἀνενηνεγμένων ἔργων πολλὰ παραλιπών, τούτων ἐπεμνήσθην, ὧν οὕτως
ἕκαστον εὐσχήμονας καὶ πολλοὺς ἔχει λόγους, ὥστε καὶ τοὺς ἐμμέτρους, καὶ τοὺς τῶν
14 ἀδομένων ποιητάς, καὶ πολλοὺς τῶν συγγραφέων, ὑποθέσεις τὰ ἐκείνων ἔργα
τῆς αὐτῶν μουσικῆς πεποιῆσθαι. ἃ δὲ τῇ μὲν ἀξίᾳ τῶν ἔργων οὐδέν ἐστι τού-
των ἐλάττω, ˊτῷ δ' ὑπογυώτερ' εἶναι τοῖς χρόνοις οὔπω μεμυθολόγηται, ˊὧ
οὐδ' εἰς τὴν ἡρωϊκὴν ἐπανῆκται τάξιν, ταῦτ' ἤδη λέξω. ἐκεῖνοι τὸν ἐξ ἁπάσης τῷ χρόνῳ οὔπω
15 τῆς Ἀσίας στόλον ἐλθόντα, μόνοι δὶς ἠμύναντο καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, ˊλῆξιν
καὶ διὰ τῶν ἰδίων κινδύνων, κοινῆς σωτηρίας πᾶσι τοῖς Ἕλλησιν αἴτιοι κατέστη-
σαν. καὶ προείρηται μὲν ὃ μέλλω λέγειν ὑπ' ἄλλων πρότερον. δεῖ δὲ μηδὲ
νῦν τοῦ δικαίου καὶ καλῶς ἔχοντος ἐπαίνου τοὺς ἄνδρας ἐκείνους στερηθῆναι. το-
16 σοῦτον γὰρ ἀμείνους τῶν ἐπὶ Τροίαν στρατευσαμένων νομίζοιντ' ἂν εἰκότως, ὅσον
οἱ μὲν ἐξ ἁπάσης τῆς Ἑλλάδος ὄντες ἀριστεῖς, δέκ' ἔτη τῆς Ἀσίας ἓν χωρίον πο-
λιορκοῦντες, μόλις εἷλον. οὗτοι δὲ τὸν ἐκ πάσης τῆς ἠπείρου στόλον ἐλθόντα μό-
νοι, τἄλλα πάντα κατεστραμμένον οὐ μόνον ἠμύναντο, ἀλλὰ καὶ τιμωρίαν ὑπὲρ
7 ὧν τοὺς ἄλλους ἠδίκουν ἐπέθηκαν. ἔτι τοίνυν τὰς ἐν αὐτοῖς τοῖς Ἕλλησι πλεονεξίας
κωλύοντες, πάντας ὅσοις συνέβη γενέσθαι κινδύνους ὑπέμειναν, ὅπου τὸ δίκαιον εἴη
τεταγμένον, ἐνταῦθα προσνέμοντες ἑαυτούς, ἕως εἰς τὴν νῦν ζῶσαν ἡλικίαν
ὁ χρόνος προήγαγεν ἡμᾶς. μηδεὶς δὲ ἡγείσθω με ἀποροῦντα, ὅ, τι χρὴ περὶ
8 τούτων εἰπεῖν ἑκάστου, ταῦτα τὰ πραχθέντα ἀπηριθμηκέναι. εἰ γὰρ ἁπάντων
ἀμηχανώτατος ἦν, * τι χρὴ λέγειν, πορίσασθαι, ἡ ἐκείνων ἀρετὴ πολλὰ κα- ˊδείκνυσιν αὐτῇ, ἃ καὶ πρόχειρα, καὶ ῥᾴδιον ἐπελθεῖν ἐστιν.
λὰ ˊδίδωσιν εἰπεῖν καὶ πρόχειρα, ἃ ῥᾴδιον μέν ἐστι διελθεῖν. ἀλλὰ προαιροῦ-
μαι τῆς εὐγενείας, καὶ τῶν παρὰ τοῖς προγόνοις μεγίστων μνησθείς, ὡς τάχιστα
συνάψαι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

...αγαγεῖν τὸν λόγον πρὸς τὰ τοῖσδε πεπραγμένα, ἵν', ὥσπερ ταῖς φύσεσιν ἦσαν συγ-
γενεῖς, οὕτω καὶ τοὺς ἐπαίνους ἐπ' αὐτῶν κοινοὺς ποιήσωμαι· ὑπολαμβάνων ταῦτ'
ἂν εἶναι κεχαρισμένα κἀκείνοις, καὶ μάλιστ' ἀμφοτέροις, εἰ τῆς ἀλλήλων ἀρετῆς μὴ
μόνον τῇ φύσει μετάσχοιεν, ἀλλὰ καὶ τοῖς ἐπαίνοις. ἀνάγκη δ' ἐν τῷ μεταξὺ, διαλα- 19
βεῖν, καὶ περὶ τοῦ τὰ τοῖσδε πεπραγμένα τοῖς ἀνδράσι δηλοῦν, καὶ τοὺς ἔξω τοῦ γέ-
νους πρὸς τὸν τάφον ἠκολουθηκότας πρὸς εὔνοιαν παρακαλέσαι. καὶ γὰρ εἰ μὲν εἰς
χρημάτων δαπάνην, ἤ τινα ἄλλην θεωρίαν ἱππικῶν, ἢ γυμνικῶν ἄθλων ἐπαγ-
γέλλων κοσμῆσαι τὸν τάφον, ὅσῳπερ ἂν προθυμότερον καὶ ἀκριβέστερον τοῦτο πα- 20
ρεσκευάσμην, τοσούτῳ μᾶλλον ἂν προσήκοντα ἔδοξα πεποιηκέναι. λόγῳ δ' ἐπαι-
νέσαι τούσδε τοὺς ἄνδρας αἱρεθεὶς, ἐὰν μὴ τοὺς ἀκούοντας συμβουλομένους λάβω,
φοβοῦμαι μὴ τῇ προθυμίᾳ τοὐναντίον οὗ δεῖ ποιήσω. ὁ μὲν γὰρ πλοῦτος, καὶ τὸ τά-
χος, καὶ ἡ ἰσχὺς, καὶ ὅσα ἄλλα τούτοις ὅμοια, αὐτάρκεις ἔχει τὰς ὀνήσεις τοῖς κεκτημένοις, 21
καὶ κρατοῦσιν ἐν αὐτοῖς οἷς ἂν παρῇ, μηδεὶς τῶν ἄλλων βούληται. ἡ δὲ τῶν λόγων πει-
θὼ, τῆς τῶν ἀκουόντων εὐνοίας προσδεῖται· καὶ μετὰ μὲν ταύτης κἂν μετρίως ῥη-
θῇ, δόξαν ἐνέγκαι, καὶ χάριν προσεποίησε. ἄνευ δὲ ταύτης, κἂν ὑπερβάλῃ τῷ λέγειν
καλῶς, προσίστησι τοῖς ἀκούουσι. πολλὰ τοίνυν ἔχων εἰπεῖν ὧν οἵδε πράξαντες, δι- 22
καίως ἐπαινεθήσονται, ἐπειδὴ πρὸς αὐτοῖς εἰμὶ τοῖς ἔργοις, ἀπορῶ τί πρῶτον εἴπω.
προσιστάμενα γάρ μοι πάντα εἰς ἕνα καιρὸν, δύσκριτον καθίστησί μοι τὴν αἵρεσιν αὐ-
τῶν. οὐ μὴν ἀλλὰ πειράσομαι τὴν αὐτὴν ποιήσασθαι τοῦ λόγου τάξιν, ἥπερ
ὑπῆρξε τοῦ βίου τούτοις. οἵδε γὰρ ἐξ ἀρχῆς ἐν πᾶσι τοῖς παιδεύμασιν ἦσαν ἐπιφανεῖς, 23
τὰ πρέποντα καθ' ἡλικίαν ἀσκοῦντες ἑκάστην, καὶ πᾶσιν ἀρέσκοντες, οἷς χρὴ, γονεῦσι,
φίλοις, οἰκείοις. τοιγαροῦν ὥσπερ ἴχνη γνωρίζουσα νῦν ἡ τῶν οἰκείων αὐτοῖς, καὶ φί-
λων μνήμη, πᾶσαν ὥραν ἐπὶ τούτους φέρεται τῷ πόθῳ, πολλὰ ὑπομνήματα λαμ-
βάνουσα, ἐν οἷς συνῄδει τούτοις ἀρίστοις οὖσιν. ἐπειδὴ δὲ εἰς ἄνδρας ἀφίκοντο, οὐ μόνον 24
τοῖς πολίταις γνώριμον τὴν αὐτῶν φύσιν, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις κατέστησαν.

Ἔστι γὰρ ἐστὶν ἁπάσης ἀρετῆς ἀρχὴ μὲν, σύνεσις· πέρας δὲ, ἀνδρία· καὶ τῇ μὲν
δοκιμάζεται, τί πρακτέον ἐστί· τῇ δὲ σώζεται. ἐν τούτοις ἀμφοτέροις, οἵδε πολὺ
διήνεγκαν. καὶ γὰρ εἴ τις ἐφύετο κοινὸς πᾶσι κίνδυνος τοῖς ἕλλησιν, οὗτοι πρῶτοι 25
προεῖδον, καὶ πολλάκις εἰς σωτηρίαν ἅπαντας παρεκάλεσαν. ὅπερ γνώμης
ἀπόδειξίς ἐστιν εὖ φρονούσης, καὶ τῆς παρὰ τοῖς ἕλλησιν ἀγνοίας μεμιγμένης κακίᾳ,
ὅτ' ἐνῆν ταῦτα κωλύειν ἀσφαλῶς, τὰ μὲν οὐ προορώσης, τὰ δ' εἰρωνευομένης.
ὅμως ἡνίκ' ὑπήκουσαν, καὶ τὰ δέοντα ποιεῖν ἠθέλησαν, οὐκ ἐμνησικάκησαν· ἀλλὰ 26
προστάντες καὶ παρασχόντες ἅπαντα προθύμως, καὶ σώματα, καὶ χρήματα, καὶ
συμμάχους, εἰς πεῖραν ἦλθον ἀγῶνος. εἰς ὃν οὐδὲ τῆς ψυχῆς ἐφείσαντο. ἐξ ἀνάγκης
δὲ συμβαίνει ὅταν μάχη γίγνηται, τοῖς μὲν, ἡττᾶσθαι· τοῖς δὲ, νικᾶν. οὐκ ἂν ὀκνήσαι-
μι δ' εἰπεῖν, ὅτι μοι δοκοῦσιν οἱ τελευτῶντες, ἑκατέρων ἐν τάξει, τῆς μὲν ἥττης οὐ με- 27
τέχειν, νικᾶν δὲ ὁμοίως ἀμφοτέροις. τὸ μὲν γὰρ κρατεῖν ἐν τοῖς ζῶσιν ὡς ἂν ὁ δαί-
μων παραδῷ, κρίνεται. ὃ δ' εἰς τοῦτο ἕκαστον ἔδει παρασχέσθαι, πᾶς ὁ μένων ἐν τάξει
πεποίηκεν. εἰ δὲ θνητὸς ὢν τὴν εἱμαρμένην ἔσχε τῇ τύχῃ, πέπονθε τὸ συμβαῖνον, οὐ-
χὶ τὴν ψυχὴν ἥττηται τῶν ἐναντίων. νομίζω τοίνυν καὶ τοῦ τὴν χώραν ἡμῶν μὴ ἐπι- 28
βῆναι τοὺς πολεμίους, πρὸς τῇ τῶν ἐναντίων ἀγνωμοσύνῃ, τὴν τούτων ἀρετὴν αἰτίαν
γεγενῆσθαι. κατ' ἄνδρα γὰρ πεῖραν εἰληφότες οἱ τότε συμμίξαντες ἐκεῖ, οὐκ

[Margin notes: καὶ ἀφειδέστερον τὰ — αἱ μὴ — ὀνήσεις — αἱ — ἐνήνεγκε, καὶ χάριν προσεποίει. — Προσίστη τοῖς ἀκ.) τοῦτ' ἔστιν, ἐνοχλεῖ καὶ λυπεῖ τοὺς ἀκούοντας. — ἐν τούτοις δ' ἀμφ. — προείλοντο — ἀμφότεροι — ἐκείνοις]

ἐβούλοντο αὖθις εἰς ἀγῶνα καθίστασθαι τοὺς ἐκείνων οἰκείους, ὑπολαμβάνον- * τῆς
τες ταῖς μὲν φύσεσι ταῖς ὁμοίαις ἀπαντήσεσθαι, τύχην δὲ οὐκ εὔπορον εἶναι
τὴν ὁμοίαν λαβεῖν. δηλοῖ δὲ οὐχ ἥκιστα ὅτι ταῦτα οὕτως ἔχει, καὶ τὰ τῆς γεγο-
9 νυίας εἰρήνης. οὐ γὰρ ἀγαθεῖτα εἰπεῖν οὔτ' ἀληθεστέραν, οὔτε καλλίω πρόφα-
σιν τοῦ τῆς τῶν τετελευτηκότων ἕνεκεν ἀρετῆς, ὃν τῶν ἐναντίων κύριον, φίλους
γενέσθαι τοῖς ἐκείνων οἰκείοις βούλεσθαι μᾶλλον, ἢ πάλιν τὸν ὑπὲρ τῶν ὅλων
κίνδυνον ἄρασθαι. οἶμαι δ' ἄν, εἴ τις αὐτοὺς τοὺς παραταξαμένους ἐρωτήσειε
10 πότερ' ἡγοῦνται ταῖς αὑτῶν ἀρεταῖς, ἢ τῇ παραδόξῳ καὶ χαλεπῇ τύχῃ κατα-
ρθωκέναι, καὶ τῇ τοῦ προεστηκότος αὐτῶν ἐμπειρίᾳ, καὶ τόλμῃ, καὶ ψυχῇ, οὐδέ-
να οὔτ' ἀναίσχυντον, οὔτε τολμηρὸν οὕτως εἶναι ὄντιν' ἀντιποιήσεσθαι τῶν πε- * ὥστε τινά
πραγμένων. ἀλλὰ μὴν ὑπὲρ ὧν ὁ πάντων κύριος δαίμων ὡς ἐβούλετο, αὐτ. κ. ὥστε
11 ἔνειμε τὸ τέλος, πάντας ἀφεῖσθαι κακίας ἀνάγκη τοὺς λοιπούς, ἀνθρώπους γε τινὸς αὐτ.
ὄντας. περὶ ὧν δ' ὁ τῶν ἐναντίων ἡγεμὼν ὑπερῆρε τοὺς ἐπὶ τούτῳ ταχθέντας,
οὐχὶ τοὺς πολλοὺς οὔτ' ἐκείνων, οὐδ' ἡμῶν αἰτιάσαιτ' ἄν τις εἰκότως. εἰ δ' ἄρα
δεῖ τις ἀνθρώπων, ὅτῳ περὶ τούτων ἐγκαλέσαι προσήκει, τοῖς ἐπὶ τούτῳ τα-
12 χθεῖσι Θηβαίων, οὐχὶ τοῖς πολλοῖς οὐδ' ἡμῶν, οὔτ' ἐκείνων ἐγκαλέσειεν ἄν τις εἰκότως.
οἳ δύναμιν λαβόντες ἔχουσαν θυμὸν ἀήττητον, καὶ ἀπροφάσιστον, καὶ φιλοτιμίαν
ἐφάμιλλον, οὐδενὶ τούτων ὀρθῶς ἐχρήσαντο. καὶ τὰ μὲν ἄλλ' ἐπὶ τούτων, ὡς ἕκαστος * οὐκ ὀρθῶς
ἔχει γνώμης, οὕτως ὑπολαμβανέτω. ὃ δὲ ἅπασιν ὁμοίως ἀνθρώποις τοῖς οὖσι γε-
13 γένηται φανερόν, ὅτι ἡ πᾶσα τῆς Ἑλλάδος ἄρα ἐλευθερία, ἐν ταῖς τῶνδε τῶν ἀνδρῶν * πάσης
ψυχαῖς διεσώζετο. ἐπεὶ γὰρ οὖν ἡ πεπρωμένη τούτους ἀνεῖλεν, οὐδεὶς ἀντέστη τῶν λοι- * γὰρ
πῶν. καὶ φθόνος μὲν ἀπείη τοῦ λόγου. δοκεῖ δέ μοι τις ἂν εἰπών, ὡς ἡ τῶνδε τῶν ἀν-
δρῶν ἀρετή, τῆς Ἑλλάδος ἦν ψυχή, τἀληθὲς εἰπεῖν. ἅμα γὰρ τά τε τούτων πνεύματα
14 ἀπηλλάγη τῶν οἰκείων σωμάτων, καὶ τὸ τῆς Ἑλλάδος ἀξίωμα ἀνῄρηται. μεγάλην
μὲν οὖν ἴσως ὑπερβολὴν δόξομεν λέγειν. ῥητέον δ' ὅμως. ὥσπερ γὰρ εἴ τις ἐκ τοῦ * ἐξέλοιτο
καθεστηκότος κόσμου τὸ φῶς ἐξέλοι, δυσχερὴς καὶ χαλεπὸς ἅπας ὁ λειπόμενος * βίος * ἡμῶν
γένοιτ' ἄν· οὕτω τῶνδε τῶν ἀνδρῶν ἀναιρεθέντων, ἐν σκότει καὶ πολλῇ δυσκλείᾳ * ἀνῃρημένων
15 πᾶς ὁ πρὸ τοῦ ζῆλος τῶν Ἑλλήνων γέγονε. διὰ πολλὰ δ' εἰκότως ὄντες τοιοῦτοι, διὰ
τὴν πολιτείαν οὐχ ἥκιστα ἦσαν σπουδαῖοι. αἱ μὲν γὰρ διὰ τῶν ὀλίγων δυναστεῖαι,
δέος μὲν ἐνεργάζονται τοῖς πολίταις, αἰσχύνην δ' οὐ παριστᾶσιν. ἡνίκα γοῦν ὁ * ταῖς πολι-
ἀγὼν ἔλθῃ τοῦ πολέμου, πᾶς τις εὐχερῶς ἑαυτὸν σώζει, συνειδώς, ὅτι ἐὰν τοὺς κυ- τείας
16 ρίους ἢ δώροις, ἢ δι' ἄλλης ἡστινοσοῦν ὁμιλίας ἐξαρέσηται, κἂν τὰ δεινό-
τατα ἀσχημονήσῃ, μικρὸν ὄνειδος τὸ λοιπὸν αὐτῷ καταστήσεται. αἱ δὲ δημοκρα-
τίαι, πολλά τε ἄλλα, καὶ καλὰ καὶ δίκαια ἔχουσιν, ὧν τὸν εὖ φρονοῦντα ἀν-
τέχεσθαι δεῖ, καὶ τὴν παρρησίαν ἐκ τῆς ἀληθείας ἠρτημένην. οὐκ ἔστιν ἀπο- * δι' ἣν. οὐκ ἔστιν
17 τρέψαι τἀληθὲς δηλοῦν. οὔτε γὰρ πάντας ἐξαρέσασθαι τοῖς αἰσχρόν τι ποιή- * ἀποτεῖψαι
σασι δυνατόν, οὔτε ὁ μόνος τἀληθὲς ὄνειδος λέγων λυπεῖ. καὶ γὰρ οἱ μηδὲν ἂν εἰ- * ἐξαρκέσα-
πόντες αὐτοὶ βλάσφημοι, ἄλλου γε λέγοντος χαίρουσιν ἀκούοντες. ἃ φοβούμενοι σθαι
πάντες, εἰκότως τῇ μετὰ ταῦτα ὀνειδῶν αἰσχύνῃ, τόν τε προσιόντα ἀπὸ τῶν ἐναν-
18 τίων κίνδυνον εὐρώστως ὑπέμειναν, καὶ θάνατον καλὸν εἵλοντο μᾶλλον, ἢ βίον αἰ-
σχρόν. ἃ μὲν οὖν κοινῇ πᾶσιν ὑπῆρχε τοῖσδε τοῖς ἀνδράσιν εἰς τὸ καλῶς ἐθέ-
19 λειν ἀποθνήσκειν, εἴρηται, γένος, παιδία, χρηστῶν ἐπιτηδευμάτων συνήθεια, * παιδεία

κλεΐα- τῆς ὅλης πολιτείας ὑπόθεσις. ἃ δὲ κατὰ φυλὰς παρεκάλεσεν ἑκάστοις ἀνθρώποις 39
εἶναι, ταῦτ' ἤδη λέξω. ᾔδεσαν ἅπαντες Ἐρεχθεῖδαι τὸν ἐπώνυμον αὐτῶν Ἐρεχθέα,
ἕνεκα τοῦ σῶσαι τὴν χώραν, τὰς αὑτοῦ παῖδας, ἃς Ὑακινθίδας καλοῦσιν, εἰς πρόδη-
λον θάνατον δόντα ἀναλῶσαι. αἰσχρὸν οὖν ἡγοῦντο τὸν μὲν ἀπ' ἀθανάτων πεφυ-
κότα, πάντα ποιεῖν ἕνεκα τοῦ τὴν πατρίδα ἐλευθερῶσαι, αὐτοὶ δὲ φανῆναι θνητὸν 40
σῶμα ποιούμενοι περὶ πλείονος, ἢ δόξαν ἀθάνατον. Οὐκ ἠγνόουν Αἰγεῖδαι
Θησέα τὸν Αἰγέως πρῶτον ἰσηγορίαν καταστησάμενον τῇ πόλει. δεινὸν οὖν ἡγοῦντο
τὴν ἐκείνου προδοῦναι προαίρεσιν· καὶ τεθνάναι μᾶλλον ᾑροῦντο, ἢ καταλυομέ-
ταύτης νης αὐτῆς παρὰ τοῖς Ἕλλησι ζῆν φιλοψυχήσαντες. Παρειλήφεσαν Πανδιονίδαι 41
Πρόκνην καὶ Φιλομήλαν, τὰς Πανδίονος θυγατέρας, ὡς ἐτιμωρήσαντο Τηρέα διὰ
πρὸς τὴν εἰς αὐτὰς ὕβριν. οὐ βιωτὸν οὖν ἐνόμιζον αὐτοῖς, εἰ μὴ συγγενῆ φανήσονται
εἰ μὴ συγγενεῖς ὄντες, θυμὸν ἔχοντες ὅμοιον ἐκείναις φανήσονται, ὑφ' οἷς τὸν θυμὸν ἔχοντες ἐκείναις, ὑφ' οἷς τὴν Ἑλλάδα εὑρῶν ὑβριζομένην. Ἠκηκόεσαν
Λεοντίδαι μυθολογουμένας τὰς Λεὼ κόρας, ὡς αὑτὰς ἔδοσαν σφάγιον τοῖς πολί- 42
ταις ὑπὲρ τῆς χώρας. ὅτε δ' οὖν γυναῖκες ἐκεῖναι τοιαύτην ἔσχον ἀνδρείαν, οὐ θε-
μιτὸν αὐτοῖς ὑπελάμβανον, χείροσιν ἀνδράσιν οὖσιν, ἐκείνων φανῆναι. Ἐμέμνηντο
ἀνδρίαν, Ἀκαμαντίδαι τῶν ἐπῶν, ἐν οἷς Ὅμηρος ἕνεκα τῆς μητρὸς φησὶ Φαίδρας, Ἀκάμαν-
φησιν Αἴθρας τα εἰς Τροίαν στεῖλαι. ὁ μὲν οὖν παντὸς ἐπειρᾶτο κινδύνου τοῦ σῶσαι τὴν ἑαυτοῦ μη- 43
οἴκοι τέρα ἕνεκα. οἱ δὲ τοὺς οἰκείους σύμπαντας γονέας ἕνεκα τοῦ σῶσαι, πῶς οὐκ ἤμελ-
Οἰνεΐδας, λον πάντα κίνδυνον ὑπομένειν; Οὐκ ἐλάνθανεν Οἰνίδας, ὅτι Κάδμου μὲν Σε-
μέλη, τῆς δ' υἱὸν ὄντα, ὃν οὐ πρέπον ἐστὶν ὀνομάζειν ἐπὶ τοῦδε τοῦ τάφου, τοῦ δὲ Οἰνεὺς γέ-
γονεν, ὃς ἀρχηγὸς αὐτῶν ἐκαλεῖτο. κοινοῦ δ' ὄντος ἀμφοτέραις ταῖς πόλεσι τοῦ πα- 44
ρόντος κινδύνου, ὑπὲρ ἀμφοτέρων ἁπάσας ᾤοντο δεῖν ἀγωνίας ἐκτεῖναι. Ἤδε-
σαν Κεκροπίδαι τὸν ἑαυτῶν ἀρχηγόν, τὰ μὲν ὡς ἔστι δράκων, τὰ δ' ὡς ἔστιν ἄν-
θρωπος λεγόμενος οὐκ ἄλλοθέν ποθεν, ἢ τὸ τὴν σύνεσιν αὐτοῦ προσομοιοῦν ἀν-
θρώπῳ, τὴν ἀλκὴν δὲ δράκοντι. ἄξια δὴ τούτων πράττειν ὑπελάμβανον αὐτοῖς 45
Ἀλόπης προσήκειν. Ἐμέμνηντο Ἱπποθοωντίδαι τῶν Ἀλώπης γάμων, ἐξ ὧν Ἱπποθόων
ἔφυ, καὶ τὸν ἀρχηγὸν ᾔδεσαν· ὧν τὸ πρέπον φυλάττων ἐγὼ τῷδε τῷ καιρῷ, τὸ σα-
φὲς εἰπεῖν ὑπερβαίνω. ἄξια δὴ τούτων ᾤοντο δεῖν προσήκειν ποιοῦντες ὀφθῆναι.

ἡγήσατο Οὐκ ἐλάνθανεν Αἰαντίδας, ὅτι τῶν ἀριστείων στερηθεὶς Αἴας, ἀβίωτον ἑαυτῷ ἡγή- 46
σατο τὸν βίον. ἡνίκ' οὖν ὁ δαίμων ἄλλῳ τἀριστεῖα ἐδίδου, τότε τοὺς ἐχθροὺς ἀμυνό-
μενοι, τεθνάναι δεῖν ᾤοντο, ὥστε μηδὲν ἀνάξιον αὐτῶν παθεῖν. Οὐκ ἠμνημόνουν
Ἀντιοχίδαι Ἡρακλέους ὄντα Ἀντίοχον. δεῖν οὖν ἡγήσαντο, ἢ ζῆν ἀξίως τῶν ὑπαρ-
χόντων, ἢ τεθνάναι καλῶς. Οἱ μὲν οὖν ζῶντες οἰκεῖοι τούτων, ἐλεεινοί, τοιούτων 47
ἀνδρῶν ἐστερημένοι, καὶ συνηθείας πολλῆς καὶ φιλανθρώπου διεζευγμένοι, καὶ τὰ τῆς
πατρίδος πράγματ' ἔρημα, καὶ δακρύων καὶ πένθους πλήρη. οἱ δ' εὐδαίμονες τῷ
οἰκείῳ δικαίῳ λογισμῷ, πρῶτον μὲν ἀντὶ μικροῦ χρόνου, πολὺν, καὶ τὸν ἅπαντα, εὔ-
κλειαν ἀγήρω καταλείπουσιν, ἐν ᾗ καὶ παῖδες οἱ τούτων ὀνομαστοὶ τραφήσονται, καὶ 48
γονεῖς οἱ τούτων περίβλεπτοι γηροτροφήσονται, παραψυχὴν τὸ πένθος τὴν τούτων
εὔκλειαν ἔχοντες. ἔπειτα νόσων ἀπαθεῖς τὰ σώματα, καὶ λυπῶν ἄπειροι τὰς ψυ-
χάς, ἃς ἐπὶ τοῖς συμβεβηκόσιν οἱ ζῶντες ἔχουσιν, ἐν μεγάλῃ τιμῇ καὶ πολλῷ ζή-
λῳ τῶν νομιζομένων τυγχάνουσιν. οὓς γὰρ ἅπασα μὲν ἡ πατρὶς ἀπὸ δημοσίας, 49
κοινῶν δ' ἐπαίνων μόνοι τυγχάνουσι, ποθοῦσι δ' οὐ μόνον οἱ συγγενεῖς καὶ πολῖται,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀλλὰ * πᾶσαν ὅσην Ἑλλάδα χρὴ προσειπεῖν συμπέπτωκε δὲ καὶ τῆς οἰκουμένης
τὸ πλεῖστον μέρος, πῶς οὐ χρὴ τούτους εὐδαίμονας νομίζεσθαι; οὓς παρέδρους εἰκό-
50 τως ἄν τις φήσαι τοῖς κάτω θεοῖς εἶναι, τὴν αὐτὴν τάξιν ἔχοντας τοῖς προτέροις
ἀγαθοῖς ἀνδράσιν ἐν μακάρων νήσοις. οὐ γὰρ ἰδών τις οὐδὲ περὶ ἐκείνων, ταῦτ' ἀ-
πήγγελκεν, ἀλλ' οὓς οἱ ζῶντες ἀξίους ὑπειλήφαμεν τῶν ἄνω τιμῶν, τούτους τῇ δόξῃ
καταμαντευόμενοι, κἀκεῖ τῶν αὐτῶν τιμῶν ἡγούμεθ' αὐτοὺς τυγχάνειν. ἔστι μὲν οὖν
51 ἴσως χαλεπὸν, τὰς παρούσας συμφορὰς λόγῳ κουφίσαι· δεῖ δ' ὅμως πειρᾶσθαι
πρὸς τὰ παρηγοροῦντα τρέπειν τὴν ψυχὴν, ὡς τοὺς τοιούτους ἄνδρας ' γεγεννηκότας
καὶ πεφυκότας αὐτοὺς ἐκ τοιούτων ἑτέρων, καλόν ἐστι τὰ δεινὰ εὐσχημονέστερον τῶν
ἄλλων φέροντας ὁρᾶσθαι, καὶ πάσῃ τύχῃ χρωμένους, ὁμοίους εἶναι. καὶ γὰρ ἐκείνοις ταῦτ'
52 ἂν εἴη μάλιστ' ἐν κόσμῳ, καὶ τιμὴ καὶ πάσῃ τῇ πόλει, καὶ τοῖς ζῶσι ταῦτ' ἂν ἐνέγκ(αι)
πλείστην εὐδοξίαν. χαλεπὸν πατρὶ καὶ μητρὶ παίδων στερηθῆναι, καὶ ἐρήμοις εἶναι
τῶν οἰκειοτάτων γηροτρόφων. σεμνὸν δέ γε ἀγήρως τιμὰς, καὶ μνήμην ἀρετῆς δη-
μοσίᾳ κτησαμένους ἐπιδεῖν, καὶ θυσιῶν, καὶ ἀγώνων ἠξιωμένους ἀθανάτων. λυπηρὸν
53 πᾶσιν ὀρφανοῖς γεγενῆσθαι πατρός. καλόν δέ γε κληρονομεῖν πατρῴας εὐδοξίας. καὶ
μὲν λυπηροῦ τούτου, τὸν δαίμονα αἴτιον εὑρήσομεν ὄντα, ᾧ φύντας ἀνθρώπους εἴ-
κειν ἀνάγκη· τοῦ δὲ τιμίου, καὶ καλοῦ τὴν τῶν ἐθελησάντων καλῶς ἀποθνήσκειν αἵρεσ(ιν).
ἐγὼ μὲν οὖν οὐχ ὅπως πολλὰ λέξω, τοῦτ' ἐπεσκεψάμην, ἀλλ' ὅπως τἀληθῆ. ὑμεῖ(ς)
54 δὲ ἀποδυράμενοι, καὶ τὰ προσήκοντα, ὡς χρὴ, καὶ νόμιμα ποιήσαντες, ἄπιτε.

# ΔΗΜΟΣΘΕΝΟΥΣ ΕΡΩΤΙΚΟΣ ΛΟΓΟΣ.

1 ΑΛΛ' ἐπειδήπερ ἀκούειν βούλει τοῦ λόγου, δείξω σοι καὶ ἀνα-
γνώσομαι. δεῖ δέ σε τὴν προαίρεσιν αὐτοῦ πρῶτον εἰδέναι. βού-
λεται μὲν γὰρ ὁ τὸν λόγον ποιῶν, ἐπαινεῖν ἐπικράτην, ὃν ᾤετο
πολλῶν καὶ καλῶν καὶ ἀγαθῶν ὄντων νέων ἐν τῇ πόλει, χα-
2 ριέστατον εἶναι, καὶ πλέον τῇ συνέσει προέχειν, ἢ τῷ κάλλει τῶν
ἡλικιωτῶν. ὁρῶν δ', ὡς ἔπος εἰπεῖν, τὰ πλεῖστα τῶν ἐρωτικῶν συνταγμάτων αἰ-
σχύνην μᾶλλον, ἢ τιμὴν περιάπτοντα τούτοις, περὶ ὧν ἐστι γεγραμμένα, τοῦτο ὅ-
πως μὴ πείσεται, πεφύλακται· καὶ ὅπερ καὶ πεπεῖσθαί φησι τῇ γνώμῃ, τοῦτο καὶ
3 γέγραφεν, ὡς δίκαιος ἐραστὴς οὔτ' ἂν ποιήσειεν οὐδὲν αἰσχρὸν, οὔτ' ἀξιώσειεν. ὃ μὲν
οὖν ὥσπερ εἰ μάλιστ' ἂν ἐρωτικὸν λάβοις τοῦ λόγου, περὶ τοῦτ' ἐστὶν· ὁ δ' ἄλλος λό-
γος, τὰ μὲν αὐτὸν ἐπαινεῖ τὸν νεανίσκον, τὰ δ', αὐτῷ συμβουλεύει περὶ παιδείας τε, καὶ
προαιρέσεως τοῦ βίου. πάντα δὲ ταῦτα γέγραπται * τὸν τρόπον, ὅτις ἂν εἰς βιβλίον *τοῦτον τὸν τό-πον,
4 ' καταθεῖτο. τοῖς μὲν γὰρ λεκτικοῖς τῶν λόγων, ἁπλῶς καὶ ὁμοίως, οἷς ἂν ἐκ τοῦ πα- ' καταθοῖτο.
ραχρῆμά τις εἴποι, πρέπει γεγράφθαι. τοῖς δ' εἰς τὸν πλείω χρόνον τεθησομένοις,
ποιητικῶς καὶ περιττῶς ἁρμόττει συγκεῖσθαι. τοὺς μὲν γὰρ, πιθανούς· τοὺς δὲ, ' ἀπο- ' ἐπιδεικτι-
δεικτικοὺς εἶναι προσήκει*. ἵν' οὖν μὴ περὶ τὸν λόγον σοι λέγω, μηδὲ ἅπερ γιγνώ- κούς
5 σκω περὶ τούτων, πρὸς δεξιὰν πρόσεχ', ὡς αὐτοῦ τοῦ λόγου ἤδη ἀκουσόμενος, ἐπεὶ * τοῦ βίου.
καὶ αὐτὸς ἥκει, ὃν ἐβουλήθην ἀκούειν ἐπικράτης. ὁρῶν ἐνίους τῶν ἐρωμένων τε
καὶ κάλλους μετεσχηκότων, οὐδετέρᾳ τῶν εὐτυχιῶν τούτων ὀρθῶς χρωμένους.
ἀλλ' ἐπὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

... τῇ τῆς ὄψεως εὐπρεπείᾳ σεμνυνομένους, τὴν δὲ πρὸς τοὺς ἐραστὰς
ὁμιλίαν δυσχεραίνοντας, καὶ τοσοῦτον διημαρτηκότας τοῦ τὰ βέλτιστα κρίνειν, ὥστε διὰ 6
τοὺς λυμαινομένους τῷ πράγματι καὶ πρὸς τοὺς μετὰ σωφροσύνης πλησιάζειν
ἀξιοῦντας, δυσκόλως* διακειμένους, ἡγησάμην τοὺς μὲν τοιούτους οὐ μόνον αὐ-
τοῖς ἀλυσιτελῶς ἔχειν, ἀλλὰ καὶ τοῖς ἄλλοις μοχθηρὰς συνηθείας ἐργάζεσθαι· τοῖς δὲ
καλῶς φρονοῦσιν οὐκ ἐπακολουθητέον εἶναι τῇ τούτων ἀπονοίᾳ· μάλιστα μὲν ἐν- 7
θυμουμένους, ὅτι τῶν πραγμάτων, οὔτε καλῶν, οὔτ' αἰσχρῶν ἀποτόμως ὄντων, ἀλλὰ
παρὰ τοὺς χρωμένους τὸ πλεῖστον διαλλαττόντων, ἄλογον μιᾷ γνώμῃ περὶ ἀμ-
φοτέρων χρῆσθαι· ἔπειθ' ὅτι πάντων ἀτοπώτατόν ἐστι, ζηλοῦν μὲν τοὺς πλείστους
φίλους καὶ βεβαιοτάτους ἔχοντας, ἀποδοκιμάζειν δὲ τοὺς ἐραστάς· ὃ μόνον ἴδιον ἔθος 8
οὐχ ἅπασιν, ἀλλὰ τοῖς καλοῖς καὶ σώφροσιν οἰκειοῦσθαι πέφυκεν. ἔτι δὲ τοῖς μὲν
μηδεμίαν πω τοιαύτην φιλίαν ἑωρακόσι καλῶς ἀποβᾶσαν, ἢ σφόδρα κατε-
γνωκόσιν αὑτῶν, ὡς οὐκ ἂν δυνηθεῖεν σωφρόνως τοῖς ἐντυγχάνουσιν ὁμιλεῖν, ἴσως
οὐκ ἄλογον ταύτην ἔχειν τὴν διάνοιαν· τοῖς δ' ὥσπερ σὺ διακειμένοις, καὶ μή- 9
τε παντάπασιν ἀνηκόοις οὖσιν, ὅσαι δὴ χρεῖαι δι' ἔρωτος χωρὶς αἰσχύνης ηὐξήθη-
σαν, καὶ μετὰ τῆς ἀκριβεστάτης εὐλαβείας τὸν ἄλλον χρόνον βεβιωκόσιν, οὐδ' ὑπο-
ψίαν ἔχειν εὔλογον, ὡς ἄν τι πράξαι αἰσχρόν. διὸ δὴ καὶ μᾶλλον ἐπήρθην τοῦτον
γράψαι τὸν λόγον, ἡγούμενος δυοῖν τοῖν καλλίστοιν οὐ διαμαρτήσεσθαι. τὰ μὲν γὰρ 10
ὑπάρχοντά σοι ἀγαθὰ διελθὼν, ἅμα σέ τε ζηλωτὸν, καὶ ἐμαυτὸν οὐκ ἀνόητον ἐπι-
δείξειν ἐλπίζω, εἴ σε τοιοῦτον ὄντα ἀγαπῶ· συμβουλεύσας δ' ἃ μάλιστα κατεπεί-
γειν νομίζω, τῆς μὲν εὐνοίας τῆς ἐμῆς, δεῖγμα· τῆς δὲ κοινῆς φιλίας, ἀφορμὴν
ἀμφοτέροις εἰσοίσειν. καίτοι μ' οὐ λέληθεν ὅτι χαλεπὸν μέν ἐστι, καὶ τὴν σὴν φύ- 11
σιν ἀξίως τῶν ὑπαρχόντων διελθεῖν· ἔτι δ' ἐπικινδυνότερον τὸν συμβουλεύειν μέλ-
λοντα αὐτὸν ὑπεύθυνον τῷ πεισθέντι καταστῆσαι. ἀλλὰ νομίζω τοῖς μὲν δικαίως
ἐγκωμίων τυγχάνουσι, περιγίγνεσθαι τῆς τῶν ἐπαινούντων δυνάμεως προσήκειν,
τῇ τῆς ἀληθείας ὑπερβολῇ· τῆς δὲ συμβουλῆς οὐ διαμαρτήσεσθαι, σαφῶς οἶδ' ὅτι 12
διὰ μὲν ἀνοήτων, καὶ παντελῶς ὑπ' ἀκρασίας διεφθαρμένων, οὐδὲ τῶν καθ'
ὑπερβολὴν ὀρθῶς βουλευθέντων οὐδὲν ἂν καλῶς ἐξενεχθείη· διὰ δὲ τῶν σωφρό-
νως καὶ καθαρῶς ζῆν ᾑρημένων, οὐδὲ τὰ μετρίως ἐσκεμμένα διαμαρτάνεσθαι
πέφυκε. τὰς μὲν οὖν ἐλπίδας ἔχων τοιαύτας, ἐγχειρῶ τῷ λόγῳ. ἡγοῦμαι δὲ πάντας 13
ἂν ὁμολογῆσαί μοι τοῖς τηλικούτοις μάλιστα καθήκειν, κάλλος μὲν, ἐπὶ τῆς ὄψεως· (προρέπειν,)
σωφροσύνην δ', ἐπὶ τῆς ψυχῆς· ἀνδρίαν δ' ἐπ' ἀμφοτέρων τούτων· χάριν δὲ
ἐπὶ τῶν λόγων διατελεῖν ἔχοντας. ὧν τὰ μὲν τῆς φύσεως οὕτω καλῶς ἡ τύχη σοι
παραδέδωκεν, ὥστε περίβλεπτον καὶ θαυμαζόμενον διατελεῖν· τὰ δ' αὐτὸς παρὰ 14
τὴν ἐπιμέλειαν εἰς τοῦτο προαγαγὼν ἥκεις, ὥστε μηδένα ἂν σοι τῶν εὖ φρονούν-
των ἐπιτιμῆσαι. καίτοι χρὴ τὸν τῶν μεγίστων ἐπαίνων ἄξιον, ὑπὸ μὲν τῶν θεῶν ἠ-
γαπημένον φαίνεσθαι, παρὰ δὲ τοῖς ἀνθρώποις, τὰ μὲν δι' αὑτὸν, τὰ δὲ, διὰ τὴν
τύχην θαυμάζεσθαι. καθόλου μὲν οὖν ἴσως τῶν ὑπαρχόντων σοι πρὸς ἀρετὴν ἴσως 15
ὕστερον ἁρμόττει τὰ πλείω διελθεῖν· ἃ δ' ἑκάστου τούτων ἐγκώμια εἰπεῖν ἔχω, ταῦ- (ἁρμόσει)
τα δηλῶσαι πειράσομαι μετ' ἀληθείας. ἄρξομαι δὲ πρῶτον ἐπαινεῖν, ὅπερ πρῶ-
τον ἰδοῦσιν ἅπασίν ἐστι γνῶναί σου τὸ κάλλος, καὶ τούτου τὸ χρῶμα, δι' οὗ καὶ τὰ μέλη,
καὶ ὅλον τὸ σῶμα φαίνεται. ᾧ τίν' ἂν ἁρμόττουσαν εἰκόνα ἐνέγκω σκοπῶν οὐχ ὁρῶ.

ἀλλὰ περίεστί μοι δεῖσθαι τῶν ἀναγνόντων τόνδε τὸν λόγον, σὲ θεωρήσασι καὶ ἰδοῦσιν,
ἵνα συγγνώμης τύχω μηδὲν ὅμοιον ἔχων εἰπεῖν αὐτῷ. τῷ γὰρ εἰκάσειέ τις θνητῷ, ὃ
ἀθάνατον τοῖς ἰδοῦσιν ἐργάζεται πόθον, καὶ ὁρώμενον οὐκ ἀποπληροῖ, καὶ μετα-
17 στὰν μνημονεύεται, καὶ τὴν τῶν θεῶν ἀξίαν ἐπ' ἀνθρωπίνου *φύσιν ἔχει, πρὸς μὲν *φύσεως
τὴν εὐπρέπειαν, ἀνθηρόν, πρὸς δὲ τὰς αἰτίας ἀνυπονόητον; ἀλλὰ μὴν οὐδὲ τοῦ-
τ' ἔστιν αἰτιάσασθαι περὶ τὴν ὄψιν, ἃ πολλοῖς *ἤδη συνέπεσε τῶν κάλλος *αὐτῆς
μεταλαβόντων. ἢ γὰρ διὰ ἀθυμίαν τοῦ σώματος, ἅπασαν συνετάραξαν τὴν ὑπάρ-
18 χουσαν εὐπρέπειαν, ἢ δι' ἀτύχημά τι καὶ τὰ καλῶς πεφυκότα συνδιέβαλον αὐ-
τῷ. ὧν οὐδενὶ τὴν σὴν ὄψιν εὕροιμεν ἂν ἔνοχον γεγενημένην. οὕτω γὰρ σφόδρα
ἐφυλάξατο πάσας τὰς τοιαύτας κῆρας ὅστις ποτ' ἦν θεῶν ὁ τῆς σῆς ὄψεως προ-
νοηθείς, ὥστε μηδὲν μέμψεως ἄξιον, τὰ δὲ πλεῖστα, περίβλεπτά σου κατασκευάσαι.
19 καὶ μὴν δὴ καὶ τῶν ὁρωμένων, ἐπιφανεστάτου μὲν ὄντος τοῦ προσώπου, τούτου δὲ
αὐτοῦ τῶν ὀμμάτων, ἔτι μᾶλλον ἐν τούτοις ἐπεδείξατο τὴν εὔνοιαν, ἣν εἶχεν εἰς σὲ
τὸ δαιμόνιον. οὐ γὰρ μόνον πρὸς τὸ τὰ *κατεπάγονθ' ὁρᾶν, αὐτάρκη παρέχηται, *καθήκοντα
ἀλλ' ἐνίων οὐδὲ ἐκ τῶν φθεγγομένων γιγνωσκομένης τῆς ἀρετῆς, σὺ διὰ τῶν
20 τῆς ὄψεως σημείων, τὰ κάλλιστα τῶν ἠθῶν ἐνεφάνισας, φιλάνθρω-
πον τοῖς ὁρῶσι, μεγαλοπρεπῆ δὲ καὶ σεμνὸν τοῖς ὁμιλοῦσιν, ἀνδρεῖον δὲ καὶ σώφρο-
να πᾶσιν ἐπιδείξας. ὃ καὶ μάλιστ' ἄν τις θαυμάσειε. τῶν γὰρ ἄλλων ἐπὶ μὲν τῆς
πρᾳότητος ταπεινῶν, ἐπὶ δὲ τῆς σεμνότητος αὐθάδων ὑπολαμβανομένων, καὶ
21 διὰ μὲν τὴν ἀνδρείαν θρασυτέρων, διὰ δὲ τὴν ἡσυχίαν ἀβελτέρων εἶναι δο-
κούντων, *τοσαύτας ὑπεναντιώσεις *πρὸς ἄλληλα λαβοῦσα ἡ τύχη, πρὸς τὸ *τοιαύτας, *πρὸς ἀλλήλοις
δέον ἅπαντα ὁμολογούμενα ἀπέδωκεν, ὥσπερ εὐχὴν ἐπιτελοῦσα, ἢ παράδει-
γμα τοῖς ἄλλοις ἐπιδεῖξαι βουληθεῖσα, ἀλλ' οὐ *θνητὴν, ὡς εἴθισο, φύσιν ἱστᾶσα. εἰ *θνητῷ.
2 μὲν οὖν οἷόν τ' ἦν ἐφικέσθαι τῷ λόγῳ τοῦ κάλλους τοῦ σοῦ, ἢ τοῦτο ἦν μόνον τῶν σῶν
ἀξιέπαινον, οὐδὲν ἂν παραλιπεῖν ᾠόμεθα δεῖν *ἐπαινοῦντες τῶν προσόντων σοι. *ἐπαινοῦντας
νῦν δὲ δέδοικα μὴ πρὸς τὰ λοιπὰ ἀπειρηκόσι *χρησόμεθα τοῖς ἀκροαταῖς, καὶ *χρησώμεθα, εἰ περὶ τοῦτο
περὶ τούτου μάτην περιεργαζόμεθα. πῶς γὰρ ἄν τις *ὑποβάλοι τῷ λόγῳ τὴν *ὑπερβάλοι
1 σὴν ὄψιν, ἧς μηδ' ἡ τέχνη πεποίηται τῶν ἔργων τοῖς ἀρίστοις δημιουργοῖς, δύνα-
ται ὑπερτεῖναι; καὶ θαυμαστὸν οὐδέν. τὰ μὲν γὰρ ἀκίνητον ἔχει τὴν θεωρίαν, ὥσ-
τ' ἄδηλον εἶναι τί ποτ' ἂν ψυχῆς μεταλαβόντα φανείη· σοῦ δὲ τὸ τῆς γνώμης ἦθος,
ἐν πᾶσι οἷς ποιεῖς, μεγάλην εὐπρέπειαν ἐπαυξάνει τῷ σώματι. περὶ μὲν οὖν
τοῦ κάλλους πολλὰ παραλιπών, τοσαῦτα ἐπαινέσαι ἔχω. περὶ δὲ τῆς σωφρο-
σύνης, κάλλιστον μὲν τοῦτο ἔχοιμ' ἂν εἰπεῖν, ὅτι τῆς ἡλικίας τῆς τοιαύτης δυσδια-
βόλως ἐχούσης, σοὶ μᾶλλον ἐπαινεῖσθαι συμβέβηκεν. οὐ γὰρ μόνον οὐδὲν *ἐξαμαρ- *ἐξαμαρτάνεις
τάνει, ἀλλὰ καὶ φρονιμώτερον, ἢ κατὰ τὴν ὥραν, ζῆν *προῄρηται. καὶ τούτων μέ- *προῄρησαι.
γιστον τεκμήριον, ἡ πρὸς τοὺς ἀνθρώπους ὁμιλία. πολλῶν γὰρ ἐντυγχανόντων σοι,
καὶ παντοδαπὰς φύσεις ἐχόντων, ἔτι δὲ προσαγομένων ἁπάντων ἐπὶ τὰς ἑαυτῶν
συνηθείας, οὕτω καλῶς προέστηκας *τῶν τοιούτων, ὥστε πάντας τὴν πρὸς σὲ φιλίαν *τούτων.
ἠγαπηκότας ἔχειν. σημεῖον τοῦ ἐνδόξως καὶ φιλανθρώπως ζῆν προαιρουμένου
ἐστί. καίτοι τινὲς εὐδοκιμοῦσιν ἤδη, τῶν τε συμβουλευόντων, ὡς οὐ χρὴ τὰς τῶν τυχόν-
των ὁμιλίας προσδέχεσθαι, καὶ τῶν πεισθέντων τούτοις. ἢ γὰρ πρὸς χάριν ὁμιλοῦντα
τοῖς φαύλοις αἴτιον εἶναι διαβάλλεσθαι παρὰ τοῖς πολλοῖς, ἢ διευλαβούμενον τὰς
τοιαύτας

τινὸς ἐπιπλήξεις, ὑπ' αὐτῶν τῶν ἐντυγχανόντων δυσχεραίνεσθαι συμπί-
πτει. ἐγὼ δὲ διὰ τοῦτο καὶ μᾶλλον οἴομαί σε δεῖν ἐγκωμιάζειν, ὅτι τῶν ἄλλων ἕν τι 27
τῶν ἀδυνάτων οἰομένων εἶναι τὸ τοῖς ἄλλων τρόποις ἀρέσκειν, σὺ τοσοῦτο τούτων διή-
νεγκας, ὥστε τῶν χαλεπῶν, καὶ δυσκόλων ἁπάντων περιγεγενῆσθαι, τοῖς μὲν συνε-
ξαμαρτάνειν πᾶσιν, οὐδ' ὑποψίαν ἐνδιδοὺς τοῖς ἄλλοις· τῆς δὲ πρὸς αὐτοὺς δυσχε-
ρείας, τῇ τῶν τρόπων εὐαρμοστίᾳ κρατήσας. πρὸς τοίνυν τοὺς ἐραστάς, εἰ χρὴ καὶ 28
περὶ τούτων εἰπεῖν, οὕτω καλῶς μοι δοκεῖς καὶ σωφρόνως ὁμιλεῖν, ὥστε τῶν πλεί-
στων οὐδ' ὧν ἂν προέλωνται μετρίως ἐνεγκεῖν δυναμένων, σοὶ πᾶσι καθ' ὑπερ-
βολὴν ἀρέσκειν συμβέβηκεν· ὃ τῆς σῆς ἀρετῆς σημεῖον ἐναργέστατόν ἐστιν. ὧν μὲν
* παρά σοι — γὰρ δίκαιον καὶ καλόν, οὐδεὶς ἄμοιρος αὐτῶν παρὰ σοῦ καθέστηκεν· ἃ δ' εἰς αἰσχύνην 29
ἥκει, τούτων οὐδ' εἰς ἐλπίδα οὐδεὶς ἔρχεται· τοσαύτην τοῖς μὲν τῶν βελτίστων ὀρε-
γομένοις ἐξουσίαν· τοῖς δ' ἀποθρασύνεσθαι βουλομένοις ἀτολμίαν ἡ σὴ σωφρο-
σύνη παρεσκεύασεν. ἔτι τοίνυν τῶν πλείστων ἐκ τῆς σιωπῆς, ὅταν ὦσι νέοι, τὴν
τῆς σωφροσύνης δόξαν θηρωμένων, σὺ τοσοῦτον τῇ φύσει διενήνοχας, ὥστε ἐξ ὧν 30
λέγεις καὶ ὁμιλεῖς τοῖς ἐντυγχάνουσι, μηδὲν ἐλάττω τὴν περὶ σαυτοῦ εὐδοξίαν, ἢ
διὰ πάντα τὰ λοιπὰ πεποιῆσθαι· τοσαύτη πειθὼ καὶ χάρις καὶ ἐν οἷς σπουδά-
ζεις, ἐστί σοι, καὶ ἐν οἷς παίζεις. καὶ γὰρ εὐήθης ἀναμαρτήτως, καὶ δεινὸς οὐ κα-
* ἀκακοήθως — κοήθως, καὶ φιλάνθρωπος ἐλευθερίως, καὶ συνόλον τοιοῦτος εἶ, οἷος ἂν τις ἐξ 31
* ἀνδρείαν — ἀρετῆς υἱὸς ἔρωτι γένοιτο. τὴν τοίνυν ἀνδρείαν· οὐδὲ γὰρ τοῦτο ἄξιόν ἐστι
παραλιπεῖν, οὐχ ὡς οὐ πολλὴν ἐπίδοσιν ἐχούσης ἔτι τῆς σῆς φύσεως, καὶ τοῦ μέλλον-
τος χρόνου πλείους ἀφορμὰς παραδώσοντος λόγων τοῖς ἐπαινεῖν σε βουλομένοις,
ἀλλ' ὡς καλλίστων ὄντων τῶν μετὰ ταύτης τῆς ἡλικίας ἐπαίνων, ἐν ᾗ τὸ μηδὲν ἐξα- 32
* ἀνδρείαν — μαρτάνειν τοῖς ἄλλοις εὔκλεόν ἐστι. τὴν δ' ἐπὶ πολλῶν μὲν ἄν τις καὶ ἑτέρων τὴν ἀν-
δρείαν διέλθῃ, μάλιστα δ' ἐπὶ τῆς ἀσκήσεως, ἧς καὶ πλεῖστοι γεγένηνται μάρτυρες.
ἀνάγκη δ' ἴσως πρῶτον εἰπεῖν ταύτην τὴν ἀγωνίαν, ὡς καλῶς προείλου. τὸ γὰρ
ὀρθῶς, ὅ, τι πρακτέον ἐστί, νέον ὄντα δοκιμάσαι, καὶ ψυχῆς ἀγαθῆς, καὶ γνώμης φρο- 33
* δι' ὃ οὐδὲ παραλιπεῖν ἄξ. — νίμου κοινόν ἐστι σημεῖον. δι' ὧν οὐδέτερον παραλιπεῖν ἄξιον τὸν τῆς προαιρέσεως
ἔπαινον. συνειδὼς τοίνυν τῶν μὲν ἄλλων ἀθλημάτων καὶ δούλους καὶ ξένους μετέχον-
* ἐπιβαίνειν. ἢ ἀναβαίνειν. — τας, τοῦ δ' ἀποβαίνειν μόνοις μὲν τοῖς πολίταις ἐξουσίαν οὖσαν, ἐφιεμένους δὲ τοὺς
βελτίστους, οὕτως ἐπὶ τοῦτον τὸν ἀγῶνα ὥρμησας. ἔτι δὲ κρίνων τοὺς μὲν τὰ δρομικὰ 34
* ἀνδρείαν — γυμναζομένους, οὐδὲν πρὸς ἀνδρείαν, οὐδ' εὐψυχίαν ἐπιδιδόναι, τοὺς δὲ τὴν πυ-
γμὴν καὶ τὰ τοιαῦτα ἀσκήσαντας, πρὸς τῷ σώματι καὶ τὴν γνώμην διαφθεί-
ρεσθαι, τὸ σεμνότατον καὶ κάλλιστον τῶν ἀγωνισμάτων, καὶ μάλιστα πρὸς τὴν σαυ-
τοῦ φύσιν ἁρμόττον ἐξελέξω, τῇ μὲν συνηθείᾳ τῶν ὅπλων, καὶ τῇ τῶν δρόμων φι- 35
* ὁμοιούμενον — λοπονίᾳ, τοῖς ἐν τῷ πολέμῳ συμβαίνουσιν ὡμοιωμένον· τῇ δὲ μεγαλοπρεπείᾳ, καὶ
τῇ σεμνότητι τῆς παρασκευῆς, πρὸς τὴν τῶν θεῶν δύναμιν εἰκασμένον· πρὸς δὲ
τούτοις ἡδίστην μὲν θέαν ἔχον, ἐκ πλείστων δὲ καὶ παντοδαπῶν συγκείμενον, μεγίστων
δ' ἄθλων ἠξιωμένον. πρὸς γὰρ τοῖς τιθεμένοις τὸ γυμνασθῆναι, καὶ μελετῆσαι 36
τοιαῦτα, οὐ μικρὸν ἆθλον προσφανήσεται τοῖς καὶ μετρίως ἀρετῆς ἐφιεμένοις.
τεκμήριον δὲ μέγιστον ἄν τις ποιήσαιτο τὴν Ὁμήρου ποίησιν, ἐν ᾗ καὶ τοὺς Ἕλληνας,
* τοιαύτης — καὶ τοὺς βαρβάρους μετὰ τοσαύτης παρασκευῆς πολεμήσαντας πεποίηκεν ἀλλή-
λοις. ἔτι δὲ καὶ νῦν τῶν πόλεων τῶν Ἑλληνίδων οὐ ταῖς ταπεινοτάταις, ἀλλὰ ταῖς με-

γίσαις ἐν τοῖς ἀγῶσι χρῆσθαι σύνηθές ἐστιν. ἡ μὲν οὖν προαίρεσις, οὕτω καλὴ,
παρὰ πᾶσιν ἀνθρώποις ἠγαπημένη. νομίζω δ' οὐδὲν εἶναι προὔργου τὴν σπου-
δαιοτάτων ἐπιθυμεῖν, οὐδὲ καλῶς πρὸς ἅπαντα πεφυκέναι τὸ σῶμα, μὴ τῆς
38 ψυχῆς φιλοτίμως παρεσκευασμένης. τὴν μὲν οὖν φιλοπονίαν εὐθέως ἐν τοῖς γυ-
μνασίοις ἐπιδειξάμενος, οὐδ' ἐν τοῖς ἔργοις ἐψεύσω· τὴν δ' ἄλλην ἐπιφάνειαν τῆς
σαυτοῦ φύσεως, καὶ τὴν τῆς ψυχῆς ἀνδρείαν, ἐν τοῖς ἀγῶσι μάλιστα ἐνεδείξω.
περὶ ὧν ὀκνῶ μὲν ἄρξασθαι λέγειν, μὴ λειφθῶ τῷ λόγῳ τῶν τότε γεγενημένων
39 ὅμως δ' οὐ παραλείψω. καὶ γὰρ αἰσχρὸν ἃ θεωροῦντας ἡμᾶς εὔφραινε, ταῦτ' ἀ-
παγγεῖλαι μὴ ἐθέλειν. ἅπαντας μὲν οὖν εἰ διεξίοιμι τοὺς ἀγῶνας, ἴσως ἂν ἄκαιρον
μῆκος ἡμῖν ἐπιγένοιτο τῷ λόγῳ. ἑνὸς δ', ἐν ᾧ πολὺ διήνεγκας, μνησθεὶς, ταῦτα πάντα τε
δηλώσω, καὶ τῇ τῶν ἀκουόντων δυνάμει συμμετριώτερον φανήσομαι χρώμενος. δηλ.
40 τῶν γὰρ ζευγῶν ἀφαιρεθέντων, καὶ τῶν μὲν προορμησάντων, τῶν δ' ὑφηνιο- συμμετριώτερον
χουμένων, ἀμφοτέρων περιγενόμενος, ἑκατέρων, ὡς προσῆκε, τὴν νίκην ἔλαβες, ἀφεθέντων
τοιούτου στεφάνου τυχὼν, ἐφ' ᾧ, καίπερ καλοῦ τοῦ νικᾶν ὄντος, κάλλιον ἐδόκει τὸ πα-
ραλογώτερον εἶναι τὸ σωθῆναι. φερομένου γὰρ ἐναντίου μὲν σοι τοῦ τῶν ἀντιπάλων
41 ἅρματος, ἁπάντων δ' ἀνυπόστατον οἰομένων εἶναι τὴν τῶν ἵππων δύναμιν, ὁρῶν
αὐτῶν ἐνίους καὶ μηδενὸς δεινοῦ παρόντος ὑπερηγωνιακότας, οὐχ ὅπως ἐξεπλά-
γης, ἢ κατεδειλίασας, ἀλλὰ τῇ μὲν ἀνδρείᾳ, καὶ τῇ τοῦ ζεύγους ὁρμῇ, κρείττων ἐγέ- ἀνδρίᾳ
νου· τῷ δὲ τάχει, καὶ τοὺς διευτυχηκότας τῶν ἀνταγωνιστῶν παρῆλθες· καὶ γάρ τοι το-
42 σοῦτον μετήλλαξας τὴν τῶν ἀνθρώπων διάνοιαν, ὥστε πολλῶν θρυλλούντων ὡς
ἐν τοῖς ἱππικοῖς ἀγῶσιν ἡδίστην θέαν παρέχεται τὰ ναυαγοῦντα, καὶ δοκούντων ἀ-
ληθῆ ταῦτα λέγειν, ἐπὶ σοῦ τοὐναντίον, τοὺς θεατὰς φοβεῖσθαι πάντας, μή τι συμπέ-
σῃ τοιοῦτο περὶ σέ. τοιαύτην εὔνοιαν, καὶ φιλοτιμίαν ἡ σὴ φύσις αὐτοῖς παρεῖχεν. εἰ- τοιαῦτα φιλονεικίαν
43 κότως· καλὸν μὲν γὰρ καὶ τὸ καθ' ἕν τι περίβλεπτον γενέσθαι· πολὺ δὲ κάλλιον τὸ καθ' ἕν τι
πάντα περιλαβεῖν, ἐφ' οἷς ἄν τις νοῦν ἔχων φιλοτιμηθείη. δῆλον δ' ἐκεῖθεν. εὑρήσο-
μεν γὰρ αἰακὸν μὲν, καὶ ῥαδάμανθυν διὰ σωφροσύνην· ἡρακλέα δὲ, καὶ κάστο-
ρα, καὶ πολυδεύκην, δι' ἀνδρίαν· γανυμήδην δὲ, καὶ ἄδωνιν, καὶ ἄλλους τοιούτους, ὑμῆδε τοσούτους
44 διὰ κάλλος ὑπὸ θεῶν ἀγαπηθέντας. ὥστε ἔγωγε οὐ θαυμάζω τῶν ἐπιθυμούν-
των τῆς σῆς φιλίας, ἀλλὰ τῶν μὴ τὸν τρόπον τοῦτον διακειμένων· ὅπου γὰρ ἑνὸς ἑ-
κάστου τῶν προειρημένων μετασχόντες τινὲς τῆς τῶν θεῶν ὁμιλίας ἠξιώθησαν, ἦ που
τοῦ γ' ἁπάντων κυρίου καταστάντος, εὐκτὸν θνητῷ φῦντι φίλον γενέσθαι. δικαίως
45 μὲν οὖν, καὶ πατέρα καὶ μητέρα καὶ τοὺς ἄλλους οἰκείους τοὺς σοὺς ζηλοῦσθαι,
τοσοῦτον ὑπερέχοντός σου τῶν ἡλικιωτῶν ἀρετῇ. πολὺ δὲ μᾶλλον οὓς σὺ ὁ τῶν τη-
λικούτων ἀγαθῶν ἠξιωμένος, σαυτὸν προκρίνας ἀξίους εἶναι φίλους ἐξ ἁπάντων
αἱρῇ. τοὺς μὲν γὰρ ἡ τύχη σοι μετόχους κατέστησε· τοὺς δ' ἡ σφετέρα καλοκαγα-
46 θία προσσυνέστησεν· οὓς οὐκ οἶδα πότερον ἐραστὰς, ἢ μόνους ὀρθῶς γιγνώσκοντας
προσαγορεῦσαι χρή. δοκεῖ γάρ μοι καὶ κατ' ἀρχὰς ἡ τύχη, τῶν μὲν φαύλων κα-
ταφρονοῦσα, τὰς δὲ τῶν σπουδαίων ἀνδρῶν διανοίας ἐρεθίσαι βουληθεῖσα, τὴν
σὴν φύσιν οὐ πρὸς ἡδονὴν ἐξαπατηθῆναι καλὴν ποιῆσαι, ἀλλὰ πρὸς ἀρετὴν εὐ-
47 δαιμονῆσαι χρήσιμον. πολλὰ δ' ἔχων ἔτι περὶ σοῦ διηγεῖν, αὐτοῦ καταλύσειν μοι διεξιέναι
δοκῶ τὸν ἔπαινον, δεδιὼς μὴ καθ' ὑπερβολὴν τῆς ἀνθρωπίνης φύσεως ὑπὲρ σοῦ
διαλέγεσθαι δόξω. τοσοῦτον γὰρ, ὡς ἔοικεν, ἡ τῶν λόγων δύναμις ἔλαττον ἔχει τῆς
ὄψεως,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Καὶ τὰ παντελῶς ἐπιπολῆς) τουτ' ἔστι τὰ φανερά, τὰ ἐπιφανῆ, τὰ εὐχερῆ.*

ὁρῶμεν, ὥστε τοῖς μὲν ὁρατοῖς οὐδεὶς ἀπιστεῖν ἀξιοῖ·
τοὺς δὲ τούτων ἐπαίνους, οὐδ' ἂν ἐλλείπωσιν, ἀληθεῖς εἶ-
48 ναι νομίζουσι. παυσάμενος οὖν περὶ τούτων, ἤδη πει-
ράσομαί σοι συμβουλεύειν, ἐξ ὧν ἂν ἐντιμότερον ἔτι τὸν αὑτοῦ βίον καταστήσαις.
βουλοίμην δ' ἂν σε μὴ πάρεργον ποιήσασθαι τὸ προσέχειν τὸν νοῦν τοῖς μέλλουσι
ῥηθήσεσθαι, μηδ' ὑπολαμβάνειν τοιοῦτον, ὡς ἄρα ἐγὼ τούτοις κέχρημαι τοῖς λόγοις, 49
οὐ τῆς σῆς ὠφελείας ἕνεκα, ἀλλ' ἐπιδείξεως ἐπιθυμῶν, ἀλλ' ἵνα μήτε διαμάρτῃς
τῆς ἀληθείας, μήτ' ἀντὶ τῶν βελτίστων τὰ τυχόντα ἑλόμενος, χεῖρον περὶ σαυτοῦ
βουλεύσῃ· καὶ γὰρ τοὺς μὲν ἀφανῆ καὶ ταπεινὴν τὴν φύσιν ἔχοντας, οὐδ' ὅταν μὴ κα-
λῶς τι πράξωσιν, ἐπιπλήττομεν· τοῖς δ', ὥσπερ σύ, περιβλέπτοις γεγενημένοις, 50
(κατάγνωσιν) καὶ τὸ παραμελῆσαί τινος τῶν καλλίστων, αἰσχύνην φέρειν εἴωθε. ἔτι δ' οἱ μὲν ἐπὶ
τῶν ἄλλων λόγων ψευσθέντες, καθ' ἑνὸς μόνου πράγματος οὐ τὰ κράτιστα ἔγνω-
σαν· οἱ δὲ τῆς τῶν ἐπιτηδευμάτων συμβουλίας διαμαρτόντες, ἢ καταφρονήσαντες,
παρ' ὅλον τὸν βίον τῆς ἑαυτῶν ἀγνωσίας ὑπομνήματα ἔχουσι. τούτων μὲν οὐδὲν 51
δεῖ σε παθεῖν, σκοπεῖσθαι δέ, τί τῶν ἀνθρωπίνων μεγίστην δύναμιν ἔχει· καὶ τίνος
καλῶς μὲν ἀποβαίνοντος πλεῖστ' ἂν κατορθοῖμεν, διαφθαρέντος δέ, μέγιστ' ἂν βλα-
πτοίμεθα παρὰ τὸν βίον. οὐ γὰρ ἄδηλον ὅτι τούτου καὶ μάλιστ' ἂν ἐπιμέλειαν ποιη-
τέον, ὃ μεγίστην ῥοπὴν ἐφ' ἑκατέρων ἐργάζεσθαι πέφυκε. τὴν μὲν τοίνυν ἐν ἀν- 52
θρώποις διάνοιαν, ἁπάντων εὑρήσομεν ἡγεμονεύουσαν· ταύτην δὲ φιλοσοφίαν
μόνην παιδεῦσαί τε ὀρθῶς καὶ γυμνάσαι δυναμένην. ἧς οἴομαί σε δεῖν μετασχεῖν,
καὶ μὴ κατοκνῆσαι, μηδὲ φυγεῖν τὰς ἐνούσας ἐν αὐτῇ πραγματείας, ἐνθυμού-
μενον, ὅτι διὰ μὲν ἀργίας καὶ ῥαθυμίας, καὶ τὰ παντελῶς ἐπιπολῆς, δυσχείρω- 53
τά ἐστι· διὰ δὲ καρτερίας καὶ φιλοπονίας, οὐδὲν τῶν ὄντων ἀγαθῶν ἀνάλωτον πέ-
φυκε· καὶ διότι πάντων ἀλογώτατόν ἐστι, πρὸς μὲν χρηματισμὸν καὶ ῥώμην καὶ
τὰ τοιαῦτα φιλοτίμως ἔχειν, καὶ πολλὰς ὑπομένειν κακοπαθείας, ἃ πάντα θνητά
ἐστι, καὶ τῇ διανοίᾳ δουλεύειν εἴωθε· τὴν δ' ἐπιστατοῦσαν μὲν τῶν ἄλλων, συνδια- 54
τελοῦσαν δὲ τοῖς ἔχουσιν, ὅλου δ' ἡγεμονεύουσαν τοῦ βίου, μὴ ζητεῖν ὅπως δια-
κείσεται βέλτιον. καίτοι καλὸν μὲν καὶ διὰ τύχην ἐν τοῖς σπουδαιοτάτοις θαυ-
μάζεσθαι· πολὺ δὲ κάλλιον, διὰ τὴν ἐπιμέλειαν τὴν αὑτοῦ, μηδενὸς τῶν ἐνδό-
ξων ἄμοιρον γίνεσθαι· τῆς μὲν γὰρ ἐνίοτε, καὶ τοῖς φαύλοις μετασχεῖν συνέβη· τῆς 55
δ' οὐκ ἔστιν ἄλλοις μετουσία, πλὴν τοῖς ἐν ἀνδραγαθίᾳ διαφέρουσιν. ἀλλὰ μὴν
περί γε τῆς φιλοσοφίας ἀκριβῶς μὲν ἕκαστα διελθεῖν, ἡγοῦμαι τὸν μέλλοντα χρό-
νον ἡμῖν ἐπιτηδειοτέρους καιροὺς παραδώσειν· συντόμως δ' εἰπεῖν, οὐδὲ νῦν οὐδὲν
κωλύσει περὶ αὐτῆς. ἐν οὖν πρῶτον ἐκεῖνό σε δεῖ καταμαθεῖν ἀκριβῶς, ὅτι 56
πᾶσα μὲν παιδεία, δι' ἐπιστήμης καὶ μελέτης τινὸς συνέστηκεν· ἡ δὲ φιλοσοφία, καὶ
μᾶλλον τῶν ἄλλων· ὅσῳ γὰρ ἀκριβεστέρους καὶ φρονιμωτέρους ἔχει τοὺς ἐφεστῶτας,
τοσούτῳ κάλλιον αὐτὴν συγκεῖσθαι προσήκει. καίτοι τί ποτ' ἂν βουληθείημεν, τῆς
μὲν διανοίας ἐπὶ τοῦ λέγειν καὶ βουλεύεσθαι τεταγμένης, τῆς δὲ φιλοσοφίας, ἑκα- 57
τέρου τούτων ἐμπειρίαν παραδιδούσης, μὴ ταύτην καταλαβεῖν τὴν πραγμα-
τείαν, δι' ἧς ἀμφοτέρων τούτων ἐγκρατῶς ἕξομεν; τότε γὰρ εἰκὸς καὶ τὸν βίον ἡμῶν
μεγίστην ἐπίδοσιν λαβεῖν, ὅταν τῶν κρατίστων ὀρεγόμενοι, τὰ μὲν δίκαια, τέχνῃ· τὰ
δὲ λοιπά, γυμνασίᾳ τινὶ καὶ συνηθείᾳ καταλαβεῖν δυνηθῶμεν. οὐ γὰρ δήπου τοῦτό γε 58

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐστὶν εἰπεῖν, ὡς οὐδὲν πρὸς τὸ φρονεῖν εὖ παρὰ τὴν ἐπιστήμην διαφέρομεν ἀλ-
λήλων· ὅλως μὲν γὰρ ἅπασα φύσις, βελτίων γίγνεται παιδείας προσλαβοῦσα τὴν
προσήκουσαν· πολὺ δὲ μάλιστα ὅσαις ἐξ ἀρχῆς εὐφυέστερον τῶν ἄλλων ἔχειν ὑπῆρ-
9 ξε· τοῖς μὲν γὰρ, αὐτῶν μόνον βελτίοσι γίγνεσθαι· τοῖς δὲ, καὶ τῶν ἄλλων συμβαίνει διε-
νεγκεῖν. εὖ δ' ἴσθι τὴν μὲν ἐκ τῶν πράξεων ἐμπειρίαν γιγνομένην, σφαλερὰν οὖσαν,
καὶ πρὸς τὸν λοιπὸν βίον ἀχρήστως ἔχουσαν· τὴν δ' ἐκ τοῦ φιλοσοφεῖν παιδείαν,
πρὸς ἅπαντα ταῦτα εὐκαίρως συγκεκραμένην. καίτοι τινὲς ἤδη καὶ δι' εὐτυχίαν
10 πραγμάτων γυμνασθέντες, ἐθαυμάσθησαν. σοὶ δὲ προσήκει τούτων μὲν κα-
ταφρονεῖν, αὑτοῦ δ' ἐπιμέλειαν ἔχειν· οὐ γὰρ αὐτοσχεδιάζειν, ἀλλ' ἐπίστασθαί σε δεῖ
περὶ τῶν μεγίστων· οὐδ' ἐπὶ τῶν καιρῶν ζητεῖν, ἀλλ' ἀγωνίζεσθαι καλῶς ἐπίστα-
σθαι. νόμιζε δὲ πᾶσαν μὲν τὴν φιλοσοφίαν μεγάλα τοὺς χρωμένους ὠφελεῖν· πο-
11 λὺ δὲ μάλιστα τὴν περὶ τὰς πράξεις, καὶ τοὺς πολιτικοὺς λόγους ἐπιστήμην· τῆς γὰρ
γεωμετρίας, καὶ τῆς ἄλλης τοιαύτης παιδείας ἀπείρως μὲν ἔχειν αἰσχρόν· ἄκρον δὲ ἀ-
γωνιστὴν γενέσθαι, ταπεινότερον τῆς σῆς ἀξίας. ἐν ἐκείνῃ δὲ τὸ μὲν διενεγκεῖν, ζηλω-
τόν· τὸ δ' ἄμοιρον γενέσθαι, παντελῶς καταγέλαστον. γνοίης δ' ἂν ἐξ ἄλλων τε
12 πολλῶν, καὶ παραθεωρήσας τοὺς πρὸ σαυτοῦ γεγενημένους ἐνδόξους ἄνδρας. τοῦτο γεγενημένους
μὲν γὰρ περικλέα τὸν συνέσει πλεῖστον τῶν καθ' αὑτὸν διενεγκεῖν δόξαντα πάντων, ἀ-
κούσεις πλησιάσαντα ἀναξαγόρᾳ τῷ κλαζομενίῳ, καὶ μαθητὴν ἐκείνου γενόμενον,
ταύτης τῆς δυνάμεως μετασχόντα· τοῦτο δ' ἀλκιβιάδην εὑρήσεις φύσει μὲν πρὸς
13 ἀρετὴν πολλῷ χεῖρον διακείμενον, καὶ τὰ μὲν ὑπερηφάνως· τὰ δὲ, ταπεινῶς· τὰ
δ' ὑπεράκρατως ζῆν προῃρημένον. ἀπὸ δὲ τῆς σωκράτους ὁμιλίας, πολλὰ μὲν
ἐπανορθωθέντα τοῦ βίου· τὰ δὲ λοιπὰ τῷ μεγέθει τῶν ἄλλων ἔργων ἐπικρυψάμενον. εἰ
δὲ δεῖ μὴ παλαιὰ λέγοντας διατρίβειν, ἔχοντας ὑπογυιοτέροις παραδείγμασι
14 χρῆσθαι, τοῦτο μὲν τιμόθεον οὐκ ἐξ ὧν νεώτερος ὢν ἐπετήδευσεν, ἀλλ' ἐξ ὧν ἰσο-
κράτει συνδιατρίψας ἔπραξε, μεγίστης δόξης καὶ πλείστων τιμῶν εὑρήσεις ἀξιω-
θέντα· τοῦτο δὲ ἀρχόταν τὴν ταραντίνων πόλιν οὕτω καλῶς καὶ φιλανθρώπως διοι- ἀρχύταν
κήσαντα, καὶ κύριον αὐτῆς καταστήσαντα, ὥστ' εἰς ἅπαντας τὴν ἐκείνου μνήμην καταστάντα
15 διενεγκεῖν· ὃς ἐν ἀρχῇ καταφρονούμενος, ἐκ τοῦ πλάτωνι πλησιάσαι τοσαύτην ἔ-
λαβεν ἐπίδοσιν. καὶ τούτων οὐδὲν ἀλόγως ἀποβέβηκε· πολὺ γὰρ ἂν ἀτοπώτερον, εἰ
τὰ μὲν μικρὰ δι' ἐπιστήμης καὶ μελέτης ἀναγκαζόμεθα ἐπιτελεῖν, τὰ δὲ μέγιστα
ἄνευ τέχνης καὶ ταύτης τῆς πραγματείας ἠδυνάμεθα πράττειν. περὶ μὲν οὖν τοιαύτης
16 τούτων οὐκ οἶδ' ὅτι δεῖ πλείω λέγειν· οὐδὲ γὰρ ἐξ ἀρχῆς ὡς παντελῶς ἀπείρως
ἔχοντός σου περὶ αὐτῶν ἐμνήσθην· ἀλλ' ἡγούμενος τὰς τοιαύτας παρακλήσεις, τοὺς
μὲν ἀγνοοῦντας, προτρέπειν· τοὺς δ' εἰδότας, παροξύνειν. μηδὲν δ' ὑπολάβῃς τοι-
οῦτον, ὡς ἄρα ἐγὼ ταῦτα εἴρηκα, διδάξειν αὐτὸς ἐπαγγελλόμενος σέ τι τούτων· οὐ γὰρ
17 ἂν αἰσχυνθείην εἰπὼν, ὅτι πολλὰ μαθεῖν αὐτὸς ἔτι δέομαι· καὶ μᾶλλον ἀγωνιστὴς
προῄρημαι τῶν πολλῶν, ἢ διδάσκαλος εἶναι τῶν ἄλλων. οὐχ ὡς, ἀναινόμενος δὲ ταῦ- πολιτικῶν
τα, διαιροῦμαι τῇ τῶν σοφιστῶν ἑλομένων δόξαν, ἀλλ' ὅτι τἀληθὲς τοῦτον ἔχον τυγ- διαιρούμενος ἢ δι' αἱροῦμαι
χάνει τὸν τρόπον. ἤδη σύνοιδά γε πολλοὺς μὲν ἐξ ἀδόξων καὶ ταπεινῶν, ἐπιφανεῖς
18 διὰ τῆς πραγματείας ταύτης γεγενημένους· σόλωνα δὲ καὶ ζῶντα καὶ τελευτήσαν-
τα μεγίστης δόξης ἠξιωμένον. ὃς οὐκ ἀπεληλαμένος τῶν ἄλλων τιμῶν, ἀλλὰ τῆς
μὲν ἀνδρείας, τὸ πρὸς μεγαρέας τρόπαιον, ὑπόμνημα καταλιπών· τῆς δ' εὐ- ἀνδρείας
βουλίας,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βουλίας, τὴν Σαλαμῖνος κομιδήν· τῆς δ᾽ ἄλλης συνέσεως τοὺς νόμους, οἷς ἔτι καὶ
νῦν οἱ πλεῖστοι τῶν ἑλλήνων χρώμενοι διατελοῦσιν. ὅμως τοσούτων αὐτῷ καλῶν 69
ὑπαρχόντων, ἐπ᾽ οὐδενὶ μᾶλλον ἐσπούδασεν, ἢ τῶν ἑπτὰ σοφιστῶν ὅπως γένηται, νο-
μίζων τὴν φιλοσοφίαν οὐκ ὄνειδος, ἀλλὰ τιμὴν τοῖς χρωμένοις φέρειν καλῶς ἐ-
γνωκὼς αὐτὸ τοῦτο οὐχ ἧττον, ἢ καὶ τἄλλα, ἐφ᾽ οἷς διήνεγκεν. ἐγὼ μὲν οὖν οὔτ᾽ αὐτὸς
ἄλλως γιγνώσκω, σοί τε παραινῶ φιλοσοφεῖν, μεμνημένῳ τῶν ἐξ ἀρχῆς ὑπαρξαί- 70
των σαυτῷ. τούτου γὰρ ἕνεκα διῆλθον ἐν ἀρχῇ τοῦ λόγου κἀγὼ περὶ αὐτῶν, οὐχ ὡς
ἐκ τοῦ τὴν σὴν φύσιν ἐπαινεῖν ἀνακλήσεσθαί σε προσδοκῶν, ἀλλ᾽ ἵνα μᾶλλον
προτρέψω σε πρὸς τὴν φιλοσοφίαν, ἐὰν μὴ παρὰ μικρὸν ποιήσῃ, μηδ᾽ ἐπὶ τοῖς
ὑπάρχουσιν ἀγαθοῖς μέγα φρονήσας, τῶν λειπόντων ὀλιγωρήσῃς· μηδ᾽, εἰ τῶν ἐν 71
τυγχανόντων κρείττων εἶ, μηδὲν τῶν ἄλλων ζήτει διενεγκεῖν· ἀλλ᾽ ἡγοῦ κράτιστον μὲν
εἶναι, ὃ προτεύειν ἐν ἅπασι. τούτου δ᾽ ὀρεγόμενον ὀφθῆναι μᾶλλον συμφέρειν, ἢ
προέχοντα ἐν τοῖς τυχοῦσι· καὶ μὴ καταισχύνῃς τὴν φύσιν, μηδὲ ψευσθῆναι ποιή-
σῃς τῶν ἐλπίδων τοὺς ἐπὶ σοὶ μέγα φρονοῦντας· ἀλλ᾽ ὑπερβάλλεσθαι πειρῶ τῇ σαυ- 72
τοῦ δυνάμει τὴν τῶν εὐνουστάτων ἐπιθυμίαν. καὶ νόμιζε τοὺς μὲν ἄλλους λόγους,
ὅταν ἐπιεικῶς ἔχωσι, τοῖς εἰποῦσι δόξαν περιτιθέναι· τὰς δὲ συμβουλίας τοῖς πει-
σθεῖσιν ὠφέλειαν καὶ τιμὴν προσάπτειν· καὶ τὰς μὲν περὶ τῶν ἄλλων κρίσεις, τὴν
αἴσθησιν, ἣν ἔχομεν, δηλοῦν· τὰς δὲ τῶν ἐπιτηδευμάτων αἱρέσεις, τὴν ὅλην φύσιν ἡ- 73
μῶν δοκιμάζειν. ἐν οἷς ἅμα κρίνων, αὐτὸς κριθήσεσθαι προσδόκα παρὰ πᾶσι· κἀ-
μὲ τὸν οὕτως ἐγκωμιάσαντά σε ἑτοίμως ἐν ἀγῶνι γενήσεσθαι τῆς σῆς δοκιμασίας.
ἀνεπιτίμητον διὰ δεῖ σέ τε τῶν ἐπαίνων ἄξιον εἶναι δόξαντα, κἀμὲ τῆς σῆς φιλίας, ° ἀνεπιτίμητον
° παρεκάλουν, εἶναι. οὐχ οὕτω δ᾽ ἄν σε προθύμως ἐπὶ τὴν φιλοσοφίαν ° παρεκαλοῦμεν, εἰ μὴ 74
τῆς μὲν εὐνοίας τῆς ἐμῆς τοῦτον ἄν σοι κάλλιστον ἔρανον εἰσενεγκεῖν ᾤμην· τὴν δὲ πό-
λιν ἑώρων διὰ μὲν ἀπειρίαν τῶν καλῶν κἀγαθῶν ἀνδρῶν, τοῖς τυχοῦσι πολλάκις
χρωμένην, διὰ δὲ τὰς τούτων ἁμαρτίας, αὐτὴν ταῖς μεγίσταις ἀτυχίαις περιπί-
πτουσαν. ἵν᾽ οὖν ἡ μὲν τῆς σῆς ἀρετῆς, σὺ δὲ τῶν παρὰ ταύτης τιμῶν ἀπολαύσῃς, 75
προθυμότερόν σοι παρεκελευσάμην· καὶ γὰρ οὐδ᾽ ἐπὶ σοὶ νομίζω γενήσεσθαι ζῆν
ὡς ἔτυχεν· ἀλλὰ προστάξειν σοι τὴν πόλιν τῶν αὑτῆς τι διοικεῖν· καὶ ὅσῳ τὴν φύ-
σιν ἐπιφανεστέραν ἔχεις, τοσούτῳ μειζόνων ἀξιώσειν, καὶ θᾶττον βουλήσεσθαι πεῖράν
σου λαμβάνειν. καλὸν οὖν παρεσκευάσθαι τὴν γνώμην, ἵνα μὴ τότε πλημμελῇς. 75
τὸ μὲν οὖν ἐμὸν ἦν ἔργον, εἰπεῖν ἅ σοι συμφέρειν ἡγοῦμαι πεπρᾶχθαι· σὸν δέ,
βουλεύσασθαι περὶ αὐτῶν, προσήκει δὲ καὶ τοὺς ἄλλους τοὺς ζητοῦντας οἰκείως
πρός σε διακεῖσθαι, μὴ τὰς ἐπιπολαίους ἡδονάς, καὶ διατριβὰς ἀγαπᾶν, μη-
δ᾽ ἐπὶ ταύτας προκαλεῖσθαι· ἀλλὰ φιλοπονεῖν καὶ σκοπεῖν, ὅπως τὸν σὸν βίον ὡς 77
λαμπρότατον καταστήσουσιν· αὐτοί τε γὰρ οὕτως ἂν μάλιστα ἐπαινοῖντο, καὶ σοὶ
πλείστων ἀγαθῶν αἴτιοι γένοιντο. μέμφομαι μὲν οὖν οὐδὲ νῦν οὐδένα τῶν σοὶ
πλησιαζόντων· καὶ γάρ μοι δοκεῖ τῆς ἄλλης εὐτυχίας τῆς σῆς καὶ τοῦθ᾽ ἓν εἶναι, τὸ
μηδενὸς φαύλου τυχεῖν ἐραστοῦ· ἀλλ᾽ οὓς ἂν τις ἕλοιτο βουλόμενος φίλους ἐκ 78
τῶν ἡλικιωτῶν ἐκλέγεσθαι. παραινῶ μέντοι σοι φιλοφρονεῖσθαι μὲν πρὸς ἅ-
παντας τούτους καὶ ἔχειν ἡδέως· πείθεσθαι δὲ τοῖς πλεῖστον νοῦν ἔχουσιν αὐτῶν, ἵνα
καὶ τούτοις αὐτοῖς ἔτι σπουδαιότερος δοκῇς εἶναι, καὶ τοῖς ἄλλοις πολίταις.

Εὐτυχ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΔΗΜΟΣΘΕΝΟΥΣ ΠΡΟΟΙΜΙΑ

## ΔΗΜΗΓΟΡΙΚΑ.

1 Εἰ μὲν περὶ καινοῦ τινὸς πράγματος προὐτίθετο, ὦ ἄνδρες
Ἀθηναῖοι, λέγειν, ἐπισχὼν ἂν ἕως οἱ πλεῖστοι τῶν εἰωθότων γνώ-
μην ἀπεφήναντο, εἰ μὲν ἤρεσκέ τί μοι τῶν ῥηθέντων, ἡσυχίαν
ἂν ἦγον· εἰ δὲ μή, τότ' ἂν καὐτὸς ἐπειρώμην ἃ γιγνώσκω
2 λέγειν. ἐπειδὴ δ' ὑπὲρ ὧν πολλάκις εἰρήκασιν οὗτοι πρότε-
ρον, περὶ τούτων νυνὶ σκοπεῖτε, ἡγοῦμαι καὶ πρῶτος ἀναστάς,
εἰκότως ἂν μετὰ τούτους δοκεῖν λέγειν. εἰ μὲν οὖν εἶχε καλῶς τὰ πράγματα, οὐδὲν
ἂν ἔδει συμβουλεύειν. ἐπειδὴ δ', ὡς ἅπαντες ὁρᾶτ', ἔχει δυσκολίας, ὡς ἐκ τοιούτων
3 πειράσομαι συμβουλεύειν ἃ κράτιστα εἶναι νομίζω. πρῶτον μὲν οὖν ὑμᾶς ἐκεῖνο ἐ-
γνωκέναι δεῖ, ὡς οὐδὲν ὧν ἐποιεῖτε ἐπὶ τοῦ πολεμεῖν ὄντες, τὸ λοιπὸν πρακτέον ἐστίν,
ἀλλὰ πάντα τἀναντία· εἰ γὰρ ἐκεῖνα φαῦλα πεποίηκε τὰ πράγματα, τἀναντία
εἰκὸς βελτίω ποιῆσαι. ἔπειτα νομιστέον οὐχ ὃς ἂν ὑμῖν ἢ μηδέν, ἢ μικρὰ προστάτ-
4 τῃ τοῦτον, ὀρθῶς λέγειν· ὁρᾶτε γὰρ ὡς ἐκ τῶν τοιούτων ἐλπίδων καὶ λόγων, εἰς πᾶν
προελήλυθε μοχθηρίας τὰ παρόντα· ἀλλ' ὃς ἂν τὸ χαρίζεσθαι παρείς, ἃ δεῖ, καὶ δι'
ὧν παυσαίμεθα αἰσχύνην ὀφλισκάνοντες, καὶ ζημιούμενοι, ταῦτα λέγῃ· καὶ γὰρ ὡς
ἀληθῶς εἰ μὲν ὅσα ἂν τῷ λόγῳ τις ὑπερβῇ, λυπῆσαι μὴ βουλόμενος, καὶ τὰ πρά-
5 γματα ὑπερβήσεται, δεῖ πρὸς ἡδονὴν δημηγορεῖν. εἰ δ' ἡ τῶν λόγων χάρις ἂν ᾖ
μὴ προσήκουσα ἔργῳ ζημία γίγνεται, αἰσχρόν ἐστι φενακίζειν ἑαυτούς, καὶ μετὰ τῆς
ἐσχάτης ἀνάγκης πρᾶξαι ταῦτα, ἃ πάλαι ἐθέλοντας προσῆκε ποιεῖν.

Φιλιππικοῦ · προοίμιον.
ἐπειδὴ δὲ περὶ ... ἐν ... συμ... νυνὶ σκοπεῖτ. ἐν φιλιππ. εἰκότως ἂν συμ... γνώμης τυγχάνειν.
Τὰ λοιπὰ οὐ συμφωνεῖ τοῖς ἐν φιλιππικῷ εἰρημένοις οὖσι.

Οὐχὶ ταὐτὰ γιγνώσκειν, ὦ ἄνδρες Ἀθηναῖοι, παρίσταταί μοι, ὅταν τό τε τῆς πο-
λιτείας ὄνομα ὑμῶν ἀκούσω, καὶ ὅταν τὸν τρόπον, ὃν προσφέρονταί τινες ὑμῶν
τοῖς ὑπὲρ ταύτης λέγουσιν, ἴδω. τὴν μὲν γὰρ πολιτείαν, δημοκρατίαν, ὥσπερ ἅπαν-
τες ἴστε, ὀνομάζετε· τῶν δὲ τἀναντία ταύτῃ λεγόντων, ἐνίους ἥδιον ἀκούοντας
ὁρῶ. ὃ καὶ θαυμάζω τίς ποτε ἡ πρόφασις. πότερον προῖκα λέγειν ταῦτ' αὐτοὺς
οἴεσθε; ἀλλ' οἱ τῆς ὀλιγαρχίας, ὑπὲρ ὧν οὗτοι λέγουσι κύριοι, καὶ πλείω σιωπῆς μᾶλ-
λον ἂν δοῖεν. ἀλλὰ βέλτιω ταῦτ' εἶναι τῶν ἑτέρων ὑπειλήφατε; βελτίων ἄρα ὑμῖν
ὀλιγαρχία δημοκρατίας φαίνεται. ἀλλ' αὐτοὺς εἶναι βελτίους ἡγεῖσθε; καὶ τίς ἂν ὑ-
φ' ὑμῶν χρηστὸς νομίζοιτο εἰκότως, ἐναντία τῇ καθεστώσῃ πολιτείᾳ δημηγορῶν; οὐ-
κοῦν λοιπὸν ἁμαρτάνειν ὑμᾶς, ὅταν οὕτως ἔχητε τὴν γνώμην. τοῦτο τοίνυν φυ-
λάττεσθε μὴ πάσχειν, ὦ ἄνδρες Ἀθηναῖοι, ὅπως μή ποτε τοῖς ἐπιβουλεύουσι λαβὴν
δώσετε· εἶτα τότ' αἰσθήσεσθε ἡμαρτηκότες, ἡνίκα οὐδ' ὁτιοῦν ὑμῖν πλέον ἔσται. τὸ
μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ πάνθ' ὡς ἂν ἡμεῖς βουλοίμεθα, ἔχειν, μήτε παρ'
αὐτοῖς ὑμῖν, μήτε παρὰ τοῖς συμμάχοις, ἴσως οὐδέν ἐστι θαυμαστόν· πολλῶν γὰρ τὸ
τῆς τύχης αὐτόματον κρατεῖ· καὶ πολλαὶ προφάσεις τοῦ μὴ πάντα κατὰ γνώμην
συμβαίνειν, ἀνθρώποις οὖσι. τὸ δὲ μηδ' ὁτιοῦν μεταλαμβάνειν τὸν δῆμον, ἀλλὰ
τοὺς ἀντιπράττοντας περιεῖναι, τοῦτο καὶ θαυμαστόν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ φοβερὸν
τοῖς εὖ φρονοῦσιν, ὥσπερ ἐγὼ κρίνω. ἡ μὲν οὖν ἀρχὴ πάντως ἐστὶν αὕτη μοι τοῦ λόγου.

Ὀλυνθιακοῦ Γ. προοίμ.
Οὐχὶ δὲ τὰ αὐτὰ ... ἐκεῖσε μετατέθειται.
τὴν μὲν γὰρ πολιτείαν ... ἀκούοντας

Ἀντὶ πολλῶν ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, χρημάτων, εἰ φανερὸν γένοιτο τὸ μέλλον συνοί-
σειν περὶ ὧν νυνὶ σκοπεῖτε, οἶμαι πάντας ὑμᾶς ἑλέσθαι. ὅτε τοίνυν

τοῦθ' οὕτως

Ὀλυνθιακοῦ Α. προοίμ.
Ἐπὶ δέ τις ... σαφές

τοῦθ' οὕτως ἔχει, προσήκει ἐθέλοντας ἀκούειν ὑμᾶς αὐτοὺς τῶν βουλομένων συμ-
βουλεύειν· οὐ γὰρ μόνον εἴ τι χρήσιμον ἐσκεμμένος ἥκει τις, τοῦτ' ἂν ἀκούσαντες λά- 11
βοιτε· ἀλλὰ καὶ τῆς ὑμετέρας τύχης ὑπολαμβάνω, πολλὰ τῶν δεόντων ἐκ τοῦ πα-
ραχρῆμα ἐνίοις ἐπελθεῖν ἂν εἰπεῖν· ὥστ' ἐξ ἁπάντων ῥᾳδίαν τὴν τοῦ συμφέρον-
τος ὑμῖν αἵρεσιν γενέσθαι.

Ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, δίκαιον, ἐπειδὴ ἐφ' ὑμῖν ἐστιν ἑλέσθαι τῶν ῥηθέντων ὅ, τι 12
ἂν βούλησθε, ἁπάντων ἀκοῦσαι· καὶ γὰρ πολλάκις συμβαίνει τὸν αὐτὸν ἄνθρωπον τοῦ-
το μὲν μὴ λέγειν ὀρθῶς, ἕτερον δέ τι. ἐκ μὲν οὖν τοῦ θορυβεῖν, τάχ' ἂν δυσχεράναν-
τες πολλῶν χρησίμων ἀπεστερήθητε. ἐκ δὲ τοῦ μετὰ κόσμου καὶ σιγῆς ἀκοῦσαι, καὶ
τὰ καλῶς ἔχοντα ἅπαντα ποιήσετε, κἂν δοκῇ τις παραληρεῖν, παραλείψετε. ἐγὼ 13
μὲν οὖν οὔτ' εἴωθα μακρολογεῖν, οὔτ' ἂν εἰ τὸν ἄλλον εἰώθειν χρόνον, νῦν ἂν ἐχρησάμην
τούτῳ, ἀλλ' ἃ συμφέρειν ὑμῖν νομίζω, ταῦτα, ὡς ἂν δύνωμαι, διὰ βραχυτάτων ἐρῶ.

Πρὸς ὑμᾶς ὁρῶν μὲν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, παντάπασι πρόδηλον ὄν, οἷς τε ἂν
ἀκούσητε λόγοις ἡδέως, καὶ πρὸς οὓς οὐκ οἰκείως ἔχετε, οὐ μὴν ἀλλὰ τὸ μὲν λέ- 14
γειν ἅ τις οἴεται χαριεῖσθαι, τῶν παρακρούεσθαί τι βουλομένων εἶναι νομίζω· τὸ δ'
ὑφίστασθαι, περὶ ὧν πέπεικεν ἑαυτὸν συμφέρειν τῇ πόλει, καὶ θορυβηθῆναι, κἂν ἄλ-
λο τι βούλησθ' ὑμεῖς, εὔνου καὶ δικαίου πολίτου τοῦτο κρίνω. βουλοίμην δ' ἂν ὑ-
μᾶς, εἰ καὶ μηδὲ δι' ἓν τῶν ἄλλων, δι' ἐκεῖνο ὑπομεῖναι τοὺς λόγους ἀμφοτέρων, 15
ὀρθότερα ἵν', ἐὰν μὲν ὀρθότερον φαίνηταί τις λέγων ὧν ὑμεῖς ὡρμήκατε, χρήσησθε τούτῳ. ἂν
δ' ἀπολειφθῇ, καὶ μὴ δύνηται διδάξαι, δι' αὑτόν, ἀλλὰ μὴ δι' ὑμᾶς οὐκ ἐθέ-
τοσοῦτον λοντας ἀκούειν, τοῦτο πεπονθέναι δοκῇ. ἔτι δ' οὐδὲ πάθοιτ' ἂν ἀηδὲς οὐδὲν τοιοῦτον,
εἰ πολλάκις τινὸς ληροῦντος ἀκούσετε, ἢ εἰ τῶν δεόντων τι λέγειν ἔχοντά τινα, εἰπεῖν 16
κωλύσετε. ἡ μὲν οὖν ἀρχὴ τοῦ δοκιμάζειν ὀρθῶς ἅπαντ' ἐστί, μηδὲν οἴεσθαι πρό-
τερον γιγνώσκειν, πρὶν μαθεῖν, ἄλλως τε καὶ συνειδότας πολλάκις ἤδη πολλοὺς με-
τεγνωκότας. ἂν τοίνυν ὑμεῖς ταῦθ' ὑπάρξητε νῦν πεπεισμένοι, οἶμαι μετὰ βρα-
χέων λόγων καὶ αὐτὸς ἀντιλέγειν εἰκότως δόξειν, καὶ ὑμῖν τὰ βέλτιστα φαίνεσθαι 17
λέγων.

Πολλῶν, ὦ ἄνδρες Ἀθηναῖοι, λόγων εἰρημένων παρὰ πάντων τῶν συμβεβη-
κότων, οὐδὲν ὑμᾶς νῦν ὁρῶ ἔντας ἐγγυτέρω τοῦ, ἃ προσήκει, εὑρῆσθαι, ἢ πρὶν εἰς
τὴν ἐκκλησίαν ἀναβῆναι. αἴτιον δὲ τούτου ταὐτό, ὅπερ, οἶμαι, τοῦ κακῶς ἔχειν τὰ 18
ὅλα· οὐ γὰρ παραινοῦσιν ὑμῖν ὑπὲρ τῶν παρόντων οἱ λέγοντες· ἀλλ' ἑαυτῶν κατη-
γοροῦσι, καὶ λοιδοροῦνται, ὡς μὲν ἐγὼ κρίνω, συνεθίζοντες ὑμᾶς ἄνευ κρίσεως ὅ-
σων εἰσὶν αἴτιοι κακῶν, ἀκούειν, ἵν', ἄν ποτ' ἄρα εἰς ἀγῶνα καθιστῶνται, μηδὲν ἡγού-
μενοι καινὸν ἀκούειν, ἀλλ' ὑπὲρ ὧν ὠργίσθε πολλάκις, πρᾳότεροι δικασταὶ καὶ κριταὶ 19
γίγνησθε τῶν πεπραγμένων αὐτοῖς. τὴν μὲν οὖν αἰτίαν, δι' ἣν ταῦτα ποιοῦσιν, ἴσως
ἀνόητον ἀκριβῶς ζητεῖν εἴη ἂν ἐν τῷ παρόντι. ὅτι δὲ ὑμῖν οὐχὶ συμφέρει, διὰ τοῦ-
το ἐπιτιμῶ. ἐγὼ δ' οὔτε κατηγορήσω τήμερον οὐδενός, οὔτε ὑποσχήσομαι τοιοῦ-
τον οὐδέν, ὃ μὴ παραχρῆμα ἐπιδείξω· οὐδ' ὅλως τῶν αὐτῶν τούτοις οὐδὲν ποιήσω· 20
ἀλλ' ἃ βέλτιστα μὲν τοῖς πράγμασι, συμφέροντα δὲ τοῖς βουλευομένοις ὑμῖν ἡγοῦ-
μαι, ταῦθ', ὡς ἂν δύνωμαι, διὰ βραχυτάτων εἰπών, καταβήσομαι.

Οἱ μὲν ἐπαινοῦντες, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς προγόνους ὑμῶν, λόγον εἰπεῖν
μοι δοκοῦσι προαιρεῖσθαι κεχαρισμένον, οὐ μὴν συμφέροντα ἐκείνοις, ὧν ἐγκω- 21

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μιάζουσι, ποιεῖν. περὶ γὰρ πραγμάτων ἐγχειροῦντες, ὧν οὐδ' ἂν εἷς ἀξίως ἐφικέσθαι δύναιτο τῷ λόγῳ, αὐτοὶ μὲν τοῦ δύνασθαι λέγειν δόξαν ἐκφέρονται. τὴν δ' ἐκείνων ἀρετὴν, ἐλάττω τῆς ὑπειλημμένης παρὰ τοῖς ἀκούουσι φαίνεσθαι ποιοῦσιν.
12 ἐγὼ δὲ τῆς μὲν ἐκείνων ἀρετῆς, μέγιστον ἔπαινον ἡγοῦμαι τὸν χρόνον· οὗ πολλοῦ γεγενημένου, μείζω τῶν ὑπ' ἐκείνων πραχθέντων οὐδένες ἄλλοι παραδείξασθαι δεδύνηνται. αὐτὸς δὲ πειράσομαι τὸν τρόπον εἰπεῖν, ὃν ἄν μοι δοκῆτε μάλιστα δύνασθαι παρασκευάσασθαι. καὶ γὰρ οὕτως ἔχει. εἰ μὲν ἡμεῖς ἅπαντες οἱ λέγοντες ' δεινοὶ ' λέγειν δεινοὶ φανεῖεν ἂν ὄντες.
13 φανείημεν, οὐδὲν ἂν τὰ ὑμέτερα εὖ οἶδ' ὅτι βέλτιον σχοίη. εἰ δὲ παρελθὼν ' ὁστισοῦν ' εἷς ὁστισοῦν
δύναιτό τις διδάξαι καὶ πεῖσαι, τίς παρασκευὴ, καὶ πόση, καὶ πόθεν πορισθεῖσα, χρήσιμος ἔσται τῇ πόλει, πᾶς ὁ παρὼν λέλυται φόβος. ἐγὼ δὲ τοῦτο, ἂν ἄρα οἷός τε ὦ, πειράσομαι ποιῆσαι, μικρὰ προειπὼν ὑμῖν ὡς ἔχω γνώμης περὶ τῶν πρὸς τὸν βασιλέα.

4 Ἀμφότεροί μοι δοκοῦσιν ἁμαρτάνειν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ οἱ τοῖς Ἀρκάσι, καὶ οἱ τοῖς Λακεδαιμονίοις συνειρηκότες· ὥσπερ γὰρ ἀφ' ἑκατέρων ἥκοντες, οὐχ ὑμῶν ὄντες, πρὸς οὓς ἀμφότεροι πρεσβεύονται, κατηγοροῦσι καὶ διαβάλλουσιν ἀλλήλους. ἦν δὲ τοῦτο μὲν τῶν ἀφιγμένων ἔργον· τὸ δὲ κοινῶς ὑπὲρ τῶν πραγμάτων λέγειν
5 καὶ τὰ βέλτιστα ὑπὲρ ὑμῶν σκοπεῖν ἄνευ φιλονεικίας, τῶν ἐνθάδε συμβουλεύειν ἀξιούντων. νῦν δ' ἔγωγε εἴ τις αὐτῶν ἀφέλοιτο, τὸ γιγνώσκεσθαι, καὶ τὸ τῇ φωνῇ λέγειν ἀττικιστὶ, πολλοὺς ἂν οἶμαι τοὺς μὲν Ἀρκάδας, τοὺς δὲ Λάκωνας αὐτῶν εἶναι νομίσαι. ἐγὼ δ' οἶδα μὲν, ὡς χαλεπὸν τὸ τὰ βέλτιστα λέγειν ἐστί. συνεξηπατημένων γὰρ ὑ-
5 μῶν, καὶ τῶν μὲν ταυτὶ, τῶν δὲ ταυτὶ βουλομένων, ἐὰν τὰ μεταξύ τις ἐγχειρῇ λέγειν, καὶ ταῦθ' ὑμεῖς μὴ περιμείνητε μαθεῖν, χαριεῖται μὲν οὐδετέροις, διαβέβληται δὲ πρὸς ἀμφοτέρους. οὐ μὴν ἀλλ' αἱρήσομαι μᾶλλον αὐτὸς, ἂν ἄρα τοῦτο πάθω, δοκεῖν φλυαρεῖν, ἢ παρ' ἃ βέλτιστα νομίζω τῇ πόλει, ' προέσθαι τισὶν ὑμᾶς ἐξαπα- ' προέσθαι ποθ' ὑμᾶς ἐξαπατῆσαι. γρ. προέσθαι ποτὲ, καὶ ὑμᾶς ἐξαπ. γρ. προέσθαι ποτὲ, ὑμᾶς ἐξαπατῆσαι.
7 τῆσαι. τὰ μὲν οὖν ἄλλα ὕστερον, ἐὰν ὑμῖν βουλομένοις ᾖ, λέξω. ἐκ δὲ τῶν ὁμολογουμένων ὑπ' αὐτῶν, ἄρξομαι, ἃ κράτιστα νομίζω, διδάσκειν.

Οὐχὶ ταῦτα γιγνώσκων ἐνίοις τῶν εἰρηκότων ἀνέστηκα, ὦ ἄνδρες Ἀθηναῖοι. οὐ μὴν οὐδὲ τούτοις αἰτιάσομαι κακία τἀναντία τοῖς βελτίστοις εἰρηκέναι, ἀλλ' ὅτι πολ-
8 λοὶ τοῦ τὰ πράγματα κρίνειν ἀμελήσαντες, τοὺς λόγους σκοπεῖν, οὓς ἐροῦσιν, εἰώθασι. κἂν τούτοις ἀφθόνως ἐντύχωσιν, ἐπίμως δημηγορεῖν νομίζουσιν, οὐκ ὀρθῶς ἐγνωκότες, οὐδὲ λογιζόμενοι πρὸς ἑαυτοὺς, ὅτι πολλῶν πράξεων ἐν πολλῷ χρόνῳ πᾶσι πεπραγμένων, καὶ διὰ τοὺς καιροὺς ἐνίων ὑπεναντίων αὐταῖς, ἂν τὰς προτέρας
9 τις ὑπερβαίνων τὰς ὑστέρας λέγῃ, λήσει, τὸ ῥᾷστον τῶν ἔργων ποιῶν, αὑτὸν ἐξαπατῶν. οἱ μὲν οὖν οὕτω χρώμενοι τῷ συμβουλεύειν, δοκοῦσί μοι τὴν ἀπὸ τῶν ῥηθέντων τοῦ δύνασθαι λέγειν δόξαν γιγνομένην αὑτοῖς, ἱκανὴν φιλοτιμίαν ἡγεῖσθαι. ἐγὼ δὲ νομίζω χρῆναι τὸν τῇ πόλει περὶ πραγμάτων ἐπιχειροῦντα συμβουλεύειν, μᾶλλον,
0 ὅπως τὰ δόξαντα συνοίσει, ' σκοπεῖν, ἢ ὅπως οἱ παραχρῆμα λόγοι χάριν ἕξουσι. ' δεῖν σκοπεῖν
δεῖ γὰρ τοῖς ἐπὶ τῶν λόγων εὐδοκιμοῦσι, συμφέροντός τινος ἔργου πρᾶξιν προσεῖναι, ἵνα μὴ νῦν μόνον, ἀλλ' ἀεὶ τὰ ῥηθέντα καλῶς ἔχῃ.

Εἰ μὲν ἐγνώκατε, ὦ ἄνδρες Ἀθηναῖοι, τί βέλτιστον ὂν τυγχάνει πρᾶξαι περὶ τῶν
1 παρόντων, ἁμάρτημα τὸ συμβουλεύειν προστιθέναι. ἃ γὰρ αὐτοὶ, πρὶν ἀκοῦσαι, δοκιμάζετε συμφέρειν, τί δεῖ ταῦτα ἀκούοντας μάτην ἐνοχλεῖσθαι; εἰ δὲ σκοπεῖτε καὶ βουλεύεσθε, ὡς ἐκ τῶν ῥηθησομένων δοκιμάσαι δέον, οὐκ ὀρθῶς ἔχει τὸ κωλύειν

τοὺς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοὺς βουλομένους λέγειν. παρὰ μὲν γὰρ τῶν ὅλως ἀπο-
στερεῖσθε ἐκ τούτου τὸ ποιεῖν εἴ τι χρήσιμον ἐντεθύ- 32
μηνται. τοὺς δ' ἀφέντας ἃ τυγχάνουσιν ἐγνωκότες,
ὧν ὑμᾶς ἐπιθυμεῖν οἴονται, ταῦτα ποιεῖτε συμβου-
λεύειν. ἔστι δὲ ἁμαρτάνειν μὲν βουλομένων, τὸ συνα-
ναγκάζειν τὸν παριόντα, ἃ βούλεσθε, λέγειν· βουλευομέ-
νων δέ, ἀκούσαντας ἃ γιγνώσκει, σκοπεῖν· κἄν τι κα- 33
λῶς ἔχῃ, χρῆσθαι. λέγω δὲ ταῦτα, οὐκ ἐναντία τοῖς
ὑμῖν ἀρέσκουσι μέλλων πράττειν· ἀλλ' ἐκεῖνο εἰδώς, ὅτι, ἂν μὲν μὴ θελήσητε τῶν ἀν-
τιλεγόντων ἀκοῦσαι, ἐξηπατῆσθαι φήσουσιν ὑμᾶς· ἂν δ' ἀκούσαντες μὴ πει-
σθῆτε, ἐξεληλεγμένοι παραχρῆμ' ἔσονται τὰ χείρω πράττοντες.

Παρὰ μὲν γὰρ τῶν) Οἱ κωλυόμενοι ὑφ' ὑμῶν λέγειν δηλοῖ μὲν χρήσιμόν τι ἐνθυμηθέντες λέγειν, σιωπῶσι· καὶ οὕτω παρὰ τούτων οὐδὲν λεγόντων ἀποστερεῖσθε τὸ ποιεῖν ἐκεῖνο, ὃ ἐντεθύμηνται, χρήσιμον ὄν. δηλοῖ δὲ ἀφέντες ἃ τυγχάνουσιν ἐγνωκότες, καὶ ἃ προυθυμήθησαν, χρήσιμα ὑμῖν ὄντα, ἀναγκάζονται τὰ ὑμῖν ἡδέα ποιεῖν συμβουλεύειν.

Οἴομαι πάντας ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, γιγνώσκειν, ὅτι οὐ κρινοῦντες ἥκετε 34
τήμερον οὐδένα τῶν ἀδικούντων, ἀλλὰ βουλευσόμενοι περὶ τῶν παρόντων. δεῖ τοί-
[*ὑποθέσθαι] νυν τὰς μὲν κατηγορίας *παρέσθαι πάσας, καὶ τότ' ἐν ὑμῖν λέγειν καθ' ὅτου πέ-
πεικεν ἕκαστος ἑαυτόν, ὅταν τινὰ κρίνωμεν. εἰ δέ τις τι χρήσιμον, ἢ συμφέρον εἰπεῖν
[*ἔχει,] *ἔχοι, τοῦτο νῦν ἀποφαινέσθω. τὸ μὲν γὰρ κατηγορεῖν, τοῖς πεπραγμένοις ἐγκαλούν- 35
των ἐστί. τὸ δὲ συμβουλεύειν, περὶ τῶν παρόντων καὶ γενησομένων προστίθεται. οὔ-
κουν οὐ λοιδορίας, οὐδὲ μέμψεως ὁ παρὼν καιρός, ἀλλὰ συμβουλῆς εἶναί μοι δο-
[*φυλάξασθαι μέν, ὅ τι.] κεῖ. διὸ πειράσομαι *φυλάξασθαι, ὃ τούτοις ἐπιτιμῶ, μὴ παθεῖν αὐτός. συμβου-
λεῦσαι δὲ ἃ κράτιστα νομίζω περὶ τῶν παρόντων. 36

Οὐδένα ἀντειπεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, νομίζω, ὡς οὐ κακοῦ πολίτου, καὶ φαύ-
λου τὴν γνώμην ἀνδρός ἐστιν, οὐ τὸ τινὰ μισεῖν, ἢ φιλεῖν τῶν ἐπὶ τὰ κοινὰ προσ-
ιόντων, ὥστε τοῦ τῇ πόλει βελτίστου μηδὲν φροντίζειν, ἀλλὰ τὰ μὲν πρὸς ἐπήρειαν,
τὰ δέ, πρὸς φιλονεικίαν δημηγορεῖν, ἃ ποιοῦσιν ἔνιοι τῶν δεῦρο παριόντων. ἐγὼ δὲ τού- 37
τοις μὲν τοσοῦτον ἂν εἴποιμι, ὅτι μοι δοκοῦσιν οὐδ' εἴ τι πεποιήκασι τοιοῦτον, μέγιστα
ἡμαρτηκέναι· ἀλλ' ὅτι δηλοῦσιν οὐδέ ποτ' οὐδὲ παύσασθαι παρεσκευασμένοι.
ὑμῖν δὲ παραινῶ, μή, παριεμένους ὑμᾶς αὐτούς, ἱκανὸν τοῦτο νομίζειν, δίκην, ὅταν ὑμῖν
δόξῃ, παρὰ τούτων λαβεῖν, ἀλλὰ καὶ τούτους, ὅσον ἐστὶν ἐν ὑμῖν, κωλύειν, καὶ αὐτούς, 38
ὥσπερ ὑπὲρ πόλεως προσήκει βουλευομένους, τὰς ἰδίας ἀνελόντας φιλονεικίας, τὸ
κοινῇ βέλτιστον σκοπεῖσθαι, ἐνθυμουμένους, ὅτι οὐδεὶς οὐδ' ἅμα πάντες οἱ πολιτευ-
[*ἀξιόχρεω εἰσί,] όμενοι τῶν νόμων, ἐφ' οἷς ὑμεῖς ἐστέ, *ἀξιόχρεώς ἐστι, διαφθαρέντων, δίκην δοῦναι.

Ἴσως ἐπίφθονον ἂν τισιν, ὦ ἄνδρες Ἀθηναῖοι, δόξειεν εἶναι, εἴ τις ὢν ἰδιώτης, καὶ 39
τῶν πολλῶν ὑμῶν εἷς, ἑτέρων συμβεβουλευκότων, οἳ καὶ τῷ πάλαι πολιτεύεσθαι,
καὶ τῷ παρ' ὑμῖν δόξαν ἔχειν, προέχουσι, παρελθὼν εἴποι, ὅτι οὐ μόνον αὐτῷ δοκοῦ-
σιν οὐκ ὀρθῶς λέγειν, ἀλλ' οὐδ' ἐγγὺς εἶναι τοῦ τὰ δέοντα γιγνώσκειν. οὐ μὴν ἀλλ'
ἔγωγε οὕτω σφόδρα οἶμαι μᾶλλον ὑμῖν συμφέροντα ἐρεῖν τούτων, ὥστε οὐκ ὀκνή- 40
σω πάντα, ἃ τυγχάνουσιν εἰρηκότες, ἄξια μηδενὸς εἶναι φῆσαι. νομίζω δὲ καὶ ὑμᾶς
ὀρθῶς ἂν ποιεῖν, εἰ μὴ τὸν λέγοντα, ἀλλὰ τὰ συμβουλευόμενα σκοπεῖτε. δεῖ γάρ,
ὦ ἄνδρες Ἀθηναῖοι, τὴν παρ' ὑμῶν εὔνοιαν μὴ τισίν, ὥσπερ [illegible] γένους, ἀλλὰ τοῖς
τὰ βέλτιστα ἀεὶ λέγουσιν, ὑπάρχειν. 41

Βουλοίμην ἂν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, προσέχοντας ἃ [illegible]ω λέγειν, ἀκοῦ-
σαι. καὶ γάρ ἐστιν οὐ μικρά. ἐγὼ θαυμάζω τί δή ποτε πρὶν μὲν εἰς τὴν ἐκκλη-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μάζουσι, ποιεῖν. περὶ γὰρ πραγμάτων ἐγχειροῦντες, ὧν οὐδ᾽ ἂν εἷς ἀξίως ἐφικέ-
σθαι δύναιτο τῷ λόγῳ, αὑτοῖς μὲν τὸ δύνασθαι λέγειν δόξαν ἐκφέρονται. τὴν δ᾽ ἐ-
κείνων ἀρετὴν, ἐλάττω τῆς ὑπειλημμένης παρὰ τοῖς ἀκούουσι φαίνεσθαι ποιοῦσιν.
22 ἐγὼ δὲ τῆς μὲν ἐκείνων ἀρετῆς, μέγιστον ἔπαινον ἡγοῦμαι τὸν χρόνον· οὗ πολλοῦ γεγε-
νημένου, μείζω τῶν ὑπ᾽ ἐκείνων πραχθέντων οὐδένες ἄλλοι παραδεῖξαι δε-
δύνηνται. αὐτὸς δὲ πειράσομαι τὸν τρόπον εἰπεῖν, ὃν ἄν μοι δοκῆτε μάλιστα δύνα-
σθαι παρασκευάσασθαι· καὶ γὰρ οὕτως ἔχει. εἰ μὲν ἡμεῖς ἅπαντες οἱ λέγοντες δεινοὶ ' λέγειν δεινοὶ
23 φανείημεν, οὐδὲν ἂν τὰ ὑμέτερα εὖ οἶδ᾽ ὅτι βέλτιον σχοίη. εἰ δὲ παρελθὼν ' ὁστισοῦν φανεῖν ἂν ὅπως.
δύναιτό τις διδάξαι καὶ πεῖσαι, τίς παρασκευὴ, καὶ πόση, καὶ πόθεν πορισθεῖσα, χρή- ' εἷς ἰσοῦ
σιμος ἔσται τῇ πόλει, πᾶς ὁ παρὼν λέλυται φόβος. ἐγὼ δὲ τοῦτ᾽, ἂν ἄρα οἷός τε ὦ, πει-
ράσομαι ποιῆσαι, μικρὰ προειπὼν ὑμῖν ὡς ἔχω γνώμης περὶ τῶν πρὸς τὸν βασιλέα.

4 Ἀμφότεροί μοι δοκοῦσιν ἁμαρτάνειν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ οἱ τοῖς Ἀρκάσι,
καὶ οἱ τοῖς Λακεδαιμονίοις συνειρηκότες· ὥσπερ γὰρ ἀφ᾽ ἑκατέρων ἥκοντες, οὐχ ὑμῶν
ὄντες, πρὸς οὓς ἀμφότεροι πρεσβεύονται, κατηγοροῦσι καὶ διαβάλλουσιν ἀλλήλους.
ἦν δὲ τοῦτο μὲν τῶν ἀφιγμένων ἔργον· τὸ δὲ κοινῶς ὑπὲρ τῶν πραγμάτων λέγειν
5 καὶ τὰ βέλτιστα ὑπὲρ ὑμῶν σκοπεῖν ἄνευ φιλονεικίας, τῶν ἐνθάδε συμβουλεύειν ἀξι-
ούντων. νῦν δ᾽ ἔγωγε εἴ τις αὐτῶν ἀφέλοιτο, τὸ γιγνώσκεσθαι, καὶ τὸ τῇ φωνῇ λέγειν
ἀττικιστί, πολλοὺς ἂν οἶμαι τοὺς μὲν Ἀρκάδας, τοὺς δὲ Λάκωνας αὐτῶν εἶναι νομίσαι.
ἐγὼ δ᾽ οἶδα μὲν, ὡς χαλεπὸν τὸ τὰ βέλτιστα λέγειν ἐστί. συνεξηπατημένων γὰρ ὑ-
6 μῶν, καὶ τῶν μὲν ταυτὶ, τῶν δὲ ταυτὶ βουλομένων, ἐὰν τὰ μεταξύ τις ἐγχειρῇ λέγειν,
καὶ ταῦθ᾽ ὑμεῖς μὴ περιμείνητε μαθεῖν, χαριεῖται μὲν οὐδετέροις, διαβέβληται δὲ
πρὸς ἀμφοτέρους. οὐ μὴν ἀλλ᾽ αἱρήσομαι μᾶλλον αὐτὸς, ἂν ἄρα τοῦτο πάθω, δο-
κεῖν φλυαρεῖν, ἢ παρ᾽ ἃ βέλτιστα νομίζω τῇ πόλει, ' προέσθαι τισὶν ὑμᾶς ἐξαπα- ' προθεὶς πῶς ὑμᾶς ἐξαπα-
7 τῆσαι. τὰ μὲν οὖν ἄλλα ὕστερον, ἐὰν ὑμῖν βουλομένοις ᾖ, λέξω. ἐκ δὲ τῶν ὁμολο- τῆσαι. γρ. προέ-
γουμένων ὑπ᾽ αὐτῶν, ἄρξομαι, ἃ κράτιστα νομίζω, διδάσκειν. σθαι πῶς, καὶ

Οὐχὶ ταὐτὰ γιγνώσκων ἐνίοις τῶν εἰρηκότων ἀνέστηκα, ὦ ἄνδρες Ἀθηναῖοι. οὐ ὑμᾶς ἐξαπ.
μὴν οὐδὲ τούτοις αἰτιάσομαι κακίαν, τἀναντία τοῖς βελτίστοις εἰρηκέναι· ἀλλ᾽ ὅτι πολ- γρ. προέσθαι πῶς, ὑμᾶς ἐ-
3 λοὶ τοὺς τὰ πράγματα κρίνειν ἀμελήσαντες, τοὺς λόγους σκοπεῖν, οὓς ἐροῦσιν, εἰώθα- ξαπατήσουσι.
σι· κἂν τούτοις ἀφθόνως ἐντύχωσιν, ἐπιτίμως δημηγορεῖν νομίζουσιν, οὐκ ὀρθῶς ἐγνω-
κότες, οὐδὲ λογιζόμενοι πρὸς ἑαυτοὺς, ὅτι πολλῶν πράξεων ἐν πολλῷ χρόνῳ πᾶσι
πεπραγμένων, καὶ διὰ τοὺς καιροὺς ἐνίων ὑπεναντίων αὐταῖς, ἂν τὰς προτέρας
τις ὑπερβαίνων τὰς ὑστέρας λέγῃ, λήσει, τὸ ῥᾷστον τῶν ἔργων ποιῶν, αὑτὸν ἐξαπατῶν.
οἱ μὲν οὖν οὕτω χρώμενοι τῷ συμβουλεύειν, δοκοῦσί μοι τὴν ἀπὸ τῶν ῥηθέντων τοῦ
δύνασθαι λέγειν δόξαν γιγνομένην αὐτοῖς, ἱκανὴν φιλοτιμίαν ἡγεῖσθαι. ἐγὼ δὲ νο-
μίζω χρῆναι τὸν τῇ πόλει περὶ πραγμάτων ἐπιχειροῦντα συμβουλεύειν, μᾶλλον,
ὅπως τὰ δόξαντα συνοίσει, ' σκοπεῖν, ἢ ὅπως οἱ παραχρῆμα λόγοι χάριν ἕξουσι. ' δεῖν σκοπεῖν
δεῖ γὰρ τοῖς ἐπὶ τῶν λόγων εὐδοκιμοῦσι, συμφέροντός τινος ἔργου πρᾶξιν προσεῖ-
ναι, ἵνα μὴ νῦν μόνον, ἀλλ᾽ ἀεὶ τὰ ῥηθέντα καλῶς ἔχῃ.

Εἰ μὲν ἐγνώκειτέ τι, ὦ ἄνδρες Ἀθηναῖοι, τί βέλτιστον ὂν τυγχάνει πρᾶξαι περὶ τῶν
1 παρόντων, ἁμάρτημα τὸ συμβουλεύειν προστιθέναι· ἃ γὰρ αὐτοὶ, πρὶν ἀκοῦσαι, δοκι-
μάζετε συμφέρειν, τί δεῖ ταῦτα ἀκούοντας μάτην ἐνοχλεῖσθαι; εἰ δὲ σκοπεῖτε
καὶ βουλεύεσθε, ὡς ἐκ τῶν ῥηθησομένων δοκιμάσαι δέον, οὐκ ὀρθῶς ἔχει τὸ κωλύειν
τούς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοὺς βουλομένους λέγειν. παρὰ μὲν γὰρ τῶν ὅλως ἀπο-
στερεῖσθε ἐκ τούτου τὸ ποιεῖν εἴ τι χρήσιμον ἐντεθύ- 32
μηνται. τοὺς δ' ἀφέντας ἃ τυγχάνουσιν ἐγνωκότες,
ὧν ὑμᾶς ἐπιθυμεῖν οἴονται, ταῦτα ποιεῖτε συμβου-
λεύειν. ἔστι δὲ ἁμαρτάνειν μὲν βουλομένων, τὸ συνα-
ναγκάζειν τὸν παριόντα, ἃ βούλεσθε, λέγειν· βουλευομέ-
νων δέ, ἀκούσαντας ἃ γιγνώσκει, σκοπεῖν· κἄν τι κα- 33
λῶς ἔχῃ, χρῆσθαι. λέγω δὲ ταῦτα, οὐκ ἐναντία τοῖς
ὑμῖν ἀρέσκουσι μέλλων παραινεῖν· ἀλλ' ἐκεῖνο εἰδώς, ὅτι, ἂν μὲν μὴ θελήσητε τῶν ἀν-
τιλεγόντων ἀκοῦσαι, ἐξηπατῆσθαι φήσουσιν ὑμᾶς· ἂν δ' ἀκούσαντες μὴ πει-
σθῆτε, ἐξεληλεγμένοι παραχρῆμ' ἔσονται τὰ χείρω παραινοῦντες.

Παρὰ μὲν γὰρ τῶν) Οἱ κωλυόμενοι ὑφ' ὑμῶν λέγειν δῆλοι μὲν χρήσιμόν τι ἐνθυμηθέντες λέγειν, σιωπῶσι· καὶ οὕτω παρὰ τούτων οὐδὲν λεγόντων ἀποστερεῖσθε τὸ ποιεῖν ἐκεῖνο, ὃ ἐντεθύμηνται, χρήσιμον ὄν. δῆλοι δὲ ἀφέντες ἃ τυγχάνουσιν ἐγνωκότες, καὶ ἃ προεμελέτησαν, χρήσιμα ὑμῖν ὄντα, ἀναγκάζονται τὰ ὑμῖν ἡδέα ποιεῖν συμβουλεύειν. 31

Οἴομαι πάντας ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, γιγνώσκειν, ὅτι οὐ κρινοῦντες ἥκετε 34
σήμερον οὐδένα τῶν ἀδικούντων, ἀλλὰ βουλευσόμενοι περὶ τῶν παρόντων. δεῖ τοί-
*ὑπερθέσθαι νυν τὰς μὲν κατηγορίας *παρεῖσθαι πάσας, καὶ τότ' ἐν ὑμῖν λέγειν καθ' ὅτου πέ-
πεικεν ἕκαστος ἑαυτόν, ὅταν τινὰ κρίνωμεν. εἰ δέ τις τι χρήσιμον, ἢ συμφέρον εἰπεῖν
*ἔχει, *ἔχοι, τοῦτο νῦν ἀποφαινέσθω. τὸ μὲν γὰρ κατηγορεῖν, τοῖς πεπραγμένοις ἐγκαλούν- 35
των ἐστί. τὸ δὲ συμβουλεύειν, περὶ τῶν παρόντων καὶ γενησομένων προτίθεται. οὔ-
κουν οὐ λοιδορίας, οὐδὲ μέμψεως ὁ παρὼν καιρός, ἀλλὰ συμβουλῆς εἶναί μοι δο-
*φυλάξασθαι μέν, ὅ τι κεῖ. διὸ πειράσομαι *φυλάξασθαι, ὃ τούτοις ἐπιτιμῶ, μὴ παθεῖν αὐτός. συμβου-
λεῦσαι δὲ ἃ κράτιστα νομίζω περὶ τῶν παρόντων. 36

Οὐδένα ἂν εἰπεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, νομίζω, ὡς οὐ κακοῦ πολίτου, καὶ φαύ-
λου τὴν γνώμην ἀνδρός ἐστιν, οὕτω τινὰ μισεῖν, ἢ φιλεῖν τῶν ἐπὶ τὰ κοινὰ προ-
σιόντων, ὥστε τοῦ τῇ πόλει βελτίστου μηδὲν φροντίζειν, ἀλλὰ τὰ μὲν πρὸς ἐπήρειαν,
τὰ δέ, πρὸς φιλονεικίαν δημηγορεῖν, ἃ ποιοῦσιν ἔνιοι τῶν δεῦρο παριόντων. ἐγὼ δὲ τού- 37
τοις μὲν τοσοῦτον ἂν εἴποιμι, ὅτι μοι δοκοῦσιν οὐδ' εἴ τι πεποιήκασι τοιοῦτον, μέγιστα
ἡμαρτηκέναι· ἀλλ' ὅτι δηλοῦσιν οὐδέ ποτ' οὐδὲ παύσασθαι παρεσκευασμένοι.
ὑμῖν δὲ παραινῶ, μὴ παριέναι ὑμᾶς αὐτούς, ἱκανὸν τοῦτο νομίζειν δίκην, ὅταν ὑμῖν
δόξῃ, παρὰ τούτων λαβεῖν, ἀλλὰ καὶ τούτους, ὅσον ἐστὶν ἐν ὑμῖν, κωλύειν, καὶ αὐτούς, 38
ὥσπερ ὑπὲρ πόλεως προσήκει βουλευομένους, τὰς ἰδίας ἀνελόντας φιλονεικίας, τὸ
κοινῇ βέλτιστον σκοπεῖν, ἐνθυμουμένους, ὅτι οὐδεὶς οὐδ' ἅμα πάντες οἱ πολιτευ-
*ἀξιόχρεῳ εἰσι, όμενοι τῶν νόμων, ἐφ' οἷς ὑμεῖς ἐστε, *ἀξιόχρεώς ἐστι, διαφθαρέντων, δίκην δοῦναι.

Ἴσως ἐπίφθονον ἄν τισιν, ὦ ἄνδρες Ἀθηναῖοι, δόξειεν εἶναι, εἴ τις ὢν ἰδιώτης, καὶ 39
τῶν πολλῶν ὑμῶν εἷς, ἑτέρων συμβεβουλευκότων, οἳ καὶ τῷ πάλαι πολιτεύεσθαι,
καὶ τῷ παρ' ὑμῖν δόξαν ἔχειν, προέχουσι, παρελθὼν εἴποι, ὅτι οὐ μόνον αὐτοὶ δοκοῦ-
σιν οὐκ ὀρθῶς λέγειν, ἀλλ' οὐδ' ἐγγὺς εἶναι τοῦ τὰ δέοντα γιγνώσκειν. οὐ μὴν ἀλλ'
ἔγωγε οὕτω σφόδρα οἶμαι μᾶλλον ὑμῖν συμφέροντα ἐρεῖν τούτων, ὥστε οὐκ ὀκνή- 40
σω πάντα, ἃ τυγχάνουσιν εἰρηκότες, ἄξια μηδενὸς εἶναι φῆσαι. νομίζω δὲ καὶ ὑμᾶς
ὀρθῶς ἂν ποιεῖν, εἰ μὴ τοὺς λέγοντας, ἀλλὰ τὰ συμβουλευόμενα σκοπεῖτε. δεῖ γάρ,
ὦ ἄνδρες Ἀθηναῖοι, τὴν παρ' ὑμῶν εὔνοιαν μὴ τισιν, ὥσπερ κλήρους, ἀλλὰ τοῖς
τὰ βέλτιστα ἀεὶ λέγουσιν, ὑπάρχειν. 41

Βουλοίμην ἂν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, προσέχοντας ἃ μέλλω λέγειν, ἀκοῦ-
σαι. καὶ γάρ ἐστιν οὐ μικρά. ἐγὼ θαυμάζω τί δή ποτε πρὶν μηδεὶς τινὰ ἐκκλη-

σίαν ἀναλῶσαι, ὅτῳ τις ἂν ὑμῶν ἐντύχῃ, οὐδ᾽ εὐπόρως εἰπεῖν ἔχει, δι᾽ ὧν τὰ
42 παρόντα πράγματα βελτίω γένοιτο· καὶ πάλιν αὐτίκα δὴ μάλα, ἐὰν ἀπέλθητε
ὁμοίως ἕκαστος ἐρεῖ τὰ δέοντα. ἐν δὲ τῷ περὶ τούτων σκοπεῖν ὄντες, καὶ συμφλεγμέ-
νοι, πάντα μᾶλλον, ἢ ταῦτα λεγόντων τινῶν ἀκούετε; ἆρ᾽ γε, ὦ ἄνδρες Ἀθηναῖοι,
γνῶναι μέν ἐστιν ἑκάστῳ τὰ δέοντα ὑμῶν, καὶ τὰ τῶν ἄλλων εἰπεῖν ἐπίσταται, ποιῶν
43 δ᾽ αὐτὸς ἕκαστος οὐ χαίρεται; καὶ ἰδίᾳ μέν, ὡς ἄρα αὐτὸς ἑτοίμως τὰ βέλτιστα πράτ-
τειν δόξων, τοῖς ἄλλοις ἐπιτιμᾶν· κοινῇ δ᾽ εὐλαβεῖσθαι τὰ τοιαῦτα ψηφίζεσθαι,
δι᾽ ὧν ἐν τῷ λειτουργεῖν τι τῶν καθηκόντων ἅπαντες ἔσεσθε; εἰ μὲν τοίνυν μη-
δένα καιρὸν οἴεσθε ἥξειν, ὃς εἴσω τῆς εἰρωνείας ἀφίξεται ταύτης, καλῶς ἂν ἔχοι τοῦ-
44 τον τὸν τρόπον διάγειν. εἰ δὲ τὰ πράγματα ὁρᾶτε ἐγγυτέρω προσάγοντα, δεῖ
σκοπεῖσθαι ὅπως μὴ πλησίον αὐτοῖς μάχησθε, ἀλλὰ πόρρωθεν ἕξετε φυλάξασθαι,
καὶ τοὺς νῦν προσοφθέντας, ἐφηδομένους ὕστερον ἔχητε, οἷς ἂν πάσχητε.

Περὶ μὲν τῶν παρόντων, ὦ ἄνδρες Ἀθηναῖοι, πραγμάτων τῇ πόλει, καὶ τῶν
45 οὐκ ἐχόντων, ὡς δεῖ, οὐ πάνυ μοι δοκεῖ τὸ χαλεπὸν εἶναι ζητῆσαι, τί ἂν τις πρά- ἴσα.
ξας, βελτίω ποιήσειεν. ὃν τινα δὲ χρὴ τρόπον πρὸς ὑμᾶς εἰπεῖν περὶ αὐτῶν, τοῦτο
παμπόλλην δυσκολίαν ἔχειν νομίζω, οὐχ ὡς οὐ συνοισόντων, ὅταν τις λέγῃ, ὅτι
ἀλλ᾽ οὕτω πολλὰ καὶ ψευδῆ καὶ πάντα μᾶλλον, ἢ τὰ βέλτιστα τοῖς πράγμασι,
46 συνειθίσθαι μοι δοκεῖτε ἀκούειν, ὥστε δέδοικα μὴ τῷ τὰ νῦν βέλτιστα εἰπόντι, ἣν
τοῖς ἐξηπατηκόσι προσῆκεν ἀπέχθειαν ὑπάρχειν παρ᾽ ὑμῶν, ταύτην ἀπενέγκασθαι
συμβῇ. ὁρῶ γὰρ ὑμᾶς πολλάκις, οὐ τοὺς αἰτίους τῶν πραγμάτων μισοῦντας, ἀλλὰ
τοὺς ὑστάτους περὶ αὐτῶν εἰπόντας τι πρὸς ὑμᾶς. οὐ μὴν ἀλλὰ καίπερ οὕτως ἀ-
47 κριβῶς ταῦτα λογιζόμενος, ὅμως οἶμαι πάντα παρεὶς τἄλλα, περὶ αὐτῶν τῶν πα-
ρόντων ἃ κράτιστα νομίζω, λέγειν.

Ἐβουλόμην ἂν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, ἣν πρὸς τοὺς ἄλλους ἅπαντας εἰώ-
θατε προσφέρεσθαι φιλανθρωπίαν, ταύτῃ καὶ πρὸς ὑμᾶς αὐτοὺς χρῆσθαι. νυνὶ
48 δὲ ἀμείνους ἐστὲ τὰ τῶν ἄλλων δεινὰ ἐπανορθοῦν, ἢ τῶν ὑμῖν αὐτοῖς συμβαινόντων
φροντίζειν. ἴσως μὲν οὖν αὐτὸ τοῦτό τις ἂν φήσειε, μέγιστον ἔπαινον φέρειν τῇ πόλει,
τὸ μηδενὸς ἕνεκα κέρδους ἰδίου πολλοὺς κινδύνους ὑπὲρ αὐτοῦ τοῦ δικαίου προῃρῆσθαι.
ἐγὼ δὲ ταύτην τὰληθῆ τὴν δόξαν εἶναι νομίζω κατὰ τῆς πόλεως, καὶ βούλομαι κἀ- ταύτην γ᾽
49 κεῖνο δ᾽ ὑπολαμβάνω σωφρόνων ἀνθρώπων ἔργον εἶναι, ἴσην πρόνοιαν τῶν αὐτοῖς ἀληθῆ
οἰκείων, ὅσην περὶ τῶν ἀλλοτρίων ποιεῖσθαι, ἵνα μὴ φιλάνθρωποι μόνον, ἀλλὰ
καὶ νοῦν ἔχοντες φαίνησθε.

Ἴσως, ὦ ἄνδρες Ἀθηναῖοι, προσήκει τῷ βουλομένῳ τι παραινεῖν ὑμῖν, οὕτω παραινεῖν
50 πειρᾶσθαι λέγειν, ὡς καὶ δυνήσεσθε ὑπομεῖναι· εἰ δὲ μὴ τοῦτ᾽, ἀφέντα τοὺς ἄλλους
ἅπαντας λόγους περὶ αὐτῶν ὧν σκοπεῖτε, συμβουλεύειν, καὶ ταῦθ᾽ ὡς διὰ βραχυ-
τάτων. οὐ γὰρ ἐνδείᾳ μοι δοκεῖτε λόγων οὐδὲ νῦν ὁρᾶν τὰ πράγματα πάντα λε-
λυμασμένα, ἀλλὰ τῷ τοὺς μὲν ἑαυτῶν ἕνεκα δημηγορεῖν, καὶ πολιτεύεσθαι· τοὺς δέ,
51 μήπω τούτου δεδωκότος πεῖραν, μᾶλλον ὅπως εὖ δόξωσι λέγειν, σπουδάζειν, ἢ πῶς ὅπως
ἔργον ἐξ ὧν λέγουσί τι συμφέρον πραχθήσεται. ἐγὼ δ᾽ ἵνα μὴ λάθω τοὐναντίον,
οὗ φημι δεῖν, αὐτὸς ποιῶν, καὶ πλείω περὶ τῶν ἄλλων λέγω, ἢ περὶ ὧν αἵρεσιν ἐρῶν,
ἀφεὶς τἄλλα πράγματα, ἃ παραινῶ, καὶ δὴ πειράσομαι πρὸς ὑμᾶς εἰπεῖν.

52 Δοκεῖτέ μοι δικαίως, ὦ ἄνδρες Ἀθηναῖοι, προσέχειν τὸν νοῦν, εἴ τις ὑπόσχοιτο
ὑμῖν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὑμῖν ἅπαντα δίκαια καὶ συμφέροντα δεῖξειν ὄντα, ὑπὲρ ὧν βουλόμεθα. ἐγὼ τοί-
νυν οἶμαι τοῦτο ποιήσειν οὐ χαλεπῶς, ἂν ὑμεῖς βραχύ τι πεισθῆτε πάνυ. μὴ πάν-
θ᾽ ὡς ἕκαστος ἔχει γνώμης ὑμῶν περὶ τῶν παρόντων, ὀρθῶς ἐγνωκέναι πεπείσθω,
ἀλλ᾽ ἐὰν παρὰ ταύτην τι συμβαίνῃ λέγεσθαι, σκοπείτω πάντα ὑπομείνας ἀκοῦ- 53
σαι· εἶτ᾽, ἐὰν ὀρθῶς εἰρῆσθαί τι δοκῇ, χρήσθω. οὐ γὰρ ἧττον ὑμέτερον ἔσται τῶν χρησο-
μένων τὸ κατορθωθὲν, ἢ τοῦ πρὸς ὑμᾶς εἰπόντος. ἡ μὲν οὖν ἀρχὴ τοῦ σκοπεῖν ὀρθῶς, ἐστὶ,
μὴ βεβουλεῦσθαι, πρὶν ἐξ ὧν δεῖ βουλεύσασθαι, ἀκοῦσαι. οὐ γὰρ αὐτὸς οὔτε καιρὸς, οὔτε
τρόπος οὗτος, τ᾽ ἐπικυρῶσαι τὰ δοκοῦντα, καὶ τοῦ σκέψασθαι τί περὶ τούτων δοκεῖ συμφέρειν. 54

Μετὰ ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, παρελήλυθα, βουλόμενος πότερον χρή με
λέγειν, ἢ μή. διὰ δὴ αὐτὸς τοῦτ᾽ ἀπορῶ κρῖναι, φέρω σοι πρὸς ὑμᾶς. αἰσχρὸν εἶναί
μοι δοκεῖ τὸ μήτε αὐτὸν, μήτε τινὶ χαρίσασθαι βουλόμενον, ἀλλ᾽ ὑπὲρ ὑμῶν εἰπεῖν
ἃ πέπεικεν ἑαυτὸν μάλιστα συμφέρειν, καὶ συνειπεῖν ἃ καλῶς λέγουσιν ἀμφοτέ- 55
ροι, καὶ τοὐναντίον ἀντειπεῖν ὅσα μὴ δίκαια ἀξιοῦσιν. εἰ μὲν οὖν ὑμεῖς ὑπομείνητε
[a] βουλεύσαισθε. ἀκοῦσαι ταῦτ᾽ ἀμφότερα διὰ βραχέων, πολλῷ βέλτιον ἂν περὶ τῶν λοιπῶν [a] βου-
λεύσεσθε. εἰ δὲ πρὶν μαθεῖν, ἀποστήσητε, γένοιτ᾽ ἂν ἐμοὶ μηδ᾽ ἑτέροις ἀδικοῦντι
πρὸς ἀμφοτέρους διαβεβλῆσθαι. τοῦτο δ᾽ οὐχὶ δίκαιός εἰμι παθεῖν. ἐὰν μὲν οὖν 56
κελεύητε, ἕτοιμός εἰμι λέγειν. εἰ δὲ μὴ, καὶ σιωπᾶν ἔχει μοι καλῶς.

Δίκαιον, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ συμφέρον ὑμῖν ἡγοῦμαι, τὰς μὲν αἰτίας καὶ τὰς
κατηγορίας, ὅταν βουλεύεσθαι δέῃ, παραλείπειν· περὶ τῶν παρόντων δὲ λέγειν, ὅ, τι
βέλτιστον ἕκαστος ἡγεῖται. ὅτι μὲν γὰρ τινῶν αἰτίων ὄντων, κακῶς τὰ πράγματα 57
ἔχει, πάντες ἐπιστάμεθα. ἐξ ὅτου δὲ τρόπου βέλτιω δύναιτ᾽ ἂν γενέσθαι, τοῦτο τοῦ
συμβουλεύοντος ἔργον εἰπεῖν. ἔπειτ᾽ ἔγωγε νομίζω καὶ κατηγόρους εἶναι τῶν ἀδικούν-
των χαλεπούς, οὐ τοὺς ἐν τοιούτοις καιροῖς ἐξετάζοντας τὰ πεπραγμένα, ὅτ᾽ οὐ-
δεμίαν δώσουσι δίκην· ἀλλὰ τοὺς τοιοῦτό τι συμβουλεῦσαι δυνηθέντας, ἀφ᾽ οὗ βέλτιω 58
τὰ παρόντα γένοιτ᾽ ἄν. διὰ γὰρ τούτους ἐφ᾽ ἡσυχίας καὶ παρ᾽ ἐκείνων ἐγένοιτ᾽ ἂν
ὑμῖν δίκην λαβεῖν. τοὺς μὲν οὖν ἄλλους λόγους πάντας περιέργους ἡγοῦμαι. ἃ δ᾽ ἂν
οἶμαι συνενεγκεῖν περὶ ὧν νυνὶ σκοπεῖτε, ταῦτ᾽ εἰπεῖν πειράσομαι, τοσοῦτον ἀξιώ-
σας μόνον, ἂν ἄρα του μέμνωμαι τῶν πεπραγμένων, μὴ κατηγορίας με ἕνεκα 59
[b] ταῦτα ἡγεῖσθε λέγειν, ἀλλ᾽ ἵνα δείξας ἃ τότε ἡμάρτετε, νῦν ἀποτρέψω [b] ταῦτα παθεῖν.

Εἰ καὶ τὸν ἄλλον χρόνον, ὦ ἄνδρες Ἀθηναῖοι, μηδενὶ συμπολιτευόμενοι τοσαύτην
ἤγομεν ἡσυχίαν, ὅσην περ ἐν τῷ παρόντι οὔτε τὰ νῦν ἂν γεγενημένα, συμβῆναι
νομίζω, τῶν τε ἄλλων οἶμαι πολλὰ βέλτιον ἂν ὑμῖν ἔχειν. νῦν δ᾽ ὑπὸ τῆς ἐνίων ἀ- 60
σελγείας, οὔτε παρελθεῖν, οὔτε εἰπεῖν, οὐδ᾽ ὅλως λόγου τυχεῖν ἐστιν. ὅθεν συμβαίνει πολ-
λὰ, καὶ οὐκ ἐπιτήδεια ἴσως. εἰ μὲν οὖν δεῖ ταῦτα πυνθάνεσθαι, καὶ σκοπεῖν ὅ, τι
χρὴ ποιῆσαι, καὶ πάλιν οἷά περ νυνὶ, βούλεσθε, ψηφίσασθε, ἅπερ ἐκ τῶν παρεληλυθό-
των χρόνων, καθέλκειν τριήρεις, ἐμβαίνειν, εἰσφέρειν. πάντα ταῦτ᾽ ἤδη, ἃ τριῶν 61
ἡμερῶν, ἢ πέντε, ἂν σιωπηθῇ τὰ παρὰ τῶν πολεμίων, καὶ ἄγωσιν ἡσυχίαν ἐκεῖνοι,
πάλιν οὐκέτι καιρὸν εἶναι πράττειν ὑπολήψεσθε. ὅπερ, ἡνίκα ἐπιχειρήσοντα Φίλιπ-
[c] ὄντα ἠκούσαμεν, πον [c] ἠκούσαμεν, συνέβη· καὶ πάλιν, ἡνίκ᾽ εἰς Μαραθῶνα τριήρεις καὶ λῃστρίδες προσ-
έσχον. ὡς γὰρ ἂν χρήσαιτό τις, ὦ ἄνδρες Ἀθηναῖοι, καλῶς δυνάμει παρεσκευα- 62
σμένῃ, οὕτως ὑμεῖς εἰώθατε τῷ βουλεύεσθαι χρῆσθαι ὀξέως. δεῖ δὲ βουλεύεσθαι μὲν
ἐφ᾽ ἡσυχίας, ποιεῖν δὲ τὰ δόξαντα μετὰ σπουδῆς, καὶ λογίσασθαι τοῦτο, ὅτι εἰ μὴ καὶ

τροφὴν ἱκανὴν ποιεῖτε, καὶ στρατηγόν τινα τοῦ πολέμου νοῦν ἔχοντα προστήσεσθε,
63 καὶ μένειν ἐπὶ τῶν οὕτω δοξάντων ἐθελήσητε· ψήφισμα δ' ὑμῖν περιέσται, καὶ παρα-
ναλώσετε μὲν πάνθ' ὅσ' ἂν δαπανήσητε· βέλτιον δ' οὐδ' ὁτιοῦν τὰ πράγματα
ἔσται. κρίνετε δ' ὧν ἂν βούλησθε, ὀργισθέντες. ἐγὼ δὲ βουλοίμην τοὺς ἐχθροὺς ὑμᾶς κρινεῖτε δ' ὃν
ἀμυνομένους ὀφθῆναι πρότερον, ἢ τοὺς πολίτας κρίνοντας. οὐ γὰρ ἡμῖν αὐτοῖς πο- νοῦν ὀργ.
64 λεμεῖν μᾶλλον, ἢ ἐκείνοις ἐσμὲν δίκαιοι. ἵν' οὖν μή, τὸ ῥᾷστον ἁπάντων, ἐπιτιμήσω
μόνον, ὃν τρόπον ἄν μοι δοκῆτε ταῦτα ποιῆσαι, διδάξω, δεηθεὶς ὑμῶν, μὴ θορυβῆσαι,
μηδ' ἀναλαβεῖν νομίσαι με, καὶ χρόνον ἐμποιεῖν. οὐ γὰρ οἱ ταχύ, καὶ τήμερον εἰ- αἰαβ ἐπ
πόντες, μάλιστ' εἰς τὸ δέον λέγουσιν· οὐ γὰρ ἂν τά γ' ἤδη γεγενημένα κωλῦσαι δυ-
65 νηθείημεν τῇ νῦν βοηθείᾳ· ἀλλ' ὃς ἂν δείξῃ τίς πορισθεῖσα παρασκευὴ νυνί, δια-
μεῖναι δυνήσεται, τέως ἂν ἢ περιγενώμεθα τῶν ἐχθρῶν, ἢ πεισθέντες διαλυσώ- ἕως ἂν
μεθα τὸν πόλεμον. οὕτω γὰρ οὐκέτι τοῦ λοιποῦ σχοῖμεν ἂν κακῶς. πάσχοιμεν

Οἶμαι πάντας ἂν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, ὁμολογῆσαι, ὅτι δεῖ τὴν πόλιν
66 ἡμῶν, ὅταν μὲν περὶ τῶν ἰδίων τινὸς τῶν αὑτῆς βουλεύηται, ἴσην πρόνοιαν ἔχειν τοῦ
συμφέροντος ὅσηνπερ τοῦ δικαίου· ὅταν δ' ὑπὲρ τῶν συμμαχικῶν, ἢ τῶν κοινῶν, οἷα
καὶ τὸ νυνὶ παρόν, μηδενὸς οὕτως, ὡς τοῦ δικαίου, φροντίζειν. ἐν μὲν γὰρ ἐκείνοις, τὸ λυ-
σιτελὲς ἐξαρκεῖ· ἐν δὲ τοῖς τοιούτοις, καὶ τὸ καλὸν προσεῖναι δεῖ. τῶν μὲν γὰρ πρά-
67 ξεων εἰς οὓς ἂν ἥκωσι, κύριοι καθίστανται· τῆς δ' ὑπὲρ τούτων δόξης, οὐδεὶς τηλικοῦ-
τος ἐσθ', ὅστις ἔσται κύριος· ἀλλ' ὁποίαν ἄν τινα τὰ πραχθέντα ἔχῃ δόξαν, τοιαύ-
την οἱ πολλοὶ περὶ τῶν πραξάντων διήγγειλαν. διὸ δεῖ σκοπεῖν, καὶ προσέχειν ὅπως
δίκαια φανεῖται. χρὴ μὲν οὖν οὕτως ἅπαντας ἔχειν τὴν διάνοιαν περὶ τῶν ἀδι-
68 κουμένων, ὥσπερ ἄν, εἴ τι γένοιτο, ὃ μὴ συμβαίη, τοὺς ἄλλους ἀξιώσαιτε πρὸς αὐτὸν
ἕκαστος ἔχειν. ἐπειδὴ δὲ καὶ παρὰ τὴν αὐτὴν γνώμην ἐναντιοῦνταί τινες, μικρὰ
πρὸς τούτους εἰπὼν ἃ βέλτισθ' ὑμῖν ὑπολαμβάνω, ταῦτ' ἤδη συμβουλεύσω.

Οὐ μικρὰν ἄν μοι δοκῆτε, ὦ ἄνδρες Ἀθηναῖοι, ζημίαν νομίσαι, εἴ τις ἀηδὴς δό-
69 ξα, καὶ μὴ προσήκουσα τῇ πόλει παρὰ τοῖς πολλοῖς περιγίγνοιτο. τοῦτο τοίνυν οὕτω
καλῶς ἐγνωκότες, οὐκ ἀκόλουθα ποιεῖτε τὰ λοιπά· ἀλλ' ὑπάγεσθε ἑκάστοτε πρά-
ττειν ἔνια, ἃ οὐδ' ἂν αὐτοὶ φήσετε καλῶς ἔχειν. ἐγὼ δ' οἶδα μὲν τοῦτο, ὅτι τοὺς ἐπαι- φήσαιτε
νοῦντας ἥδιον προσδέχεσθε πάντες τῶν ἐπιτιμώντων. οὐ μὴν οἴομαι δεῖν ταύτην τὴν
70 φιλανθρωπίαν διώκων, λέγειν παρὰ ἃ συμφέρειν ὑμῖν ἡγοῦμαι. τὸ μὲν οὖν ἀρχὴν
εἰ καλῶς ἐγιγνώσκετε, οὐδὲν ἔδει κοινῇ ποιεῖν ἀπολιπέον εἶναι, ὧν ἰδίᾳ μέμ-
φεσθε, ἵνα μὴ συνέβαινεν, ὅπερ νυνὶ γίγνεται. περὶ ὧν μὲν ἕκαστος ὡς αἰσχρὰ καὶ
δεινά, λέγει· καὶ μέχρι τοῦ προβήσεται τὰ πράγματα· συγκαθεζόμενος δ' αὐτὸς τὰ πρά-
71 ἕκαστός ἐστι τῶν τὰ τοιαῦτα ποιούντων. ἐγὼ μὲν οὖν ἐβουλόμην ἄν, ὥσπερ, ὅτι ὑμῖν γματα, προ-
συμφέρει τοῦ τὰ βέλτιστα λέγοντος ἀκούειν, οἶδα, οὕτως εἰδέναι τὸ συνοῖσον καὶ τῷ τὰ φανῆ· συγ.
βέλτιστα ἔχοντι. πολλῷ γὰρ ἂν πλεῖον εἶχε. νῦν δὲ φοβοῦμαι μέν, ὅμως δέ γε πι- εἰπόντι.
στεύω χρηστὰ φανεῖσθαι. κἂν ὑμεῖς μὴ πεισθῆτε, οὐκ ἀποτρέψομαι λέγειν. ἥδιον εἶπον

72 Εἰ καὶ μηδὲν ἄλλο τις, ὦ ἄνδρες Ἀθηναῖοι, πρότερον παρ' ὑμῖν εἰρηκὼς εἴη, νῦν
δὲ λέγων περὶ ὅτι οὐκ ὀρθῶς ἐγκαλοῦσιν οἱ πρέσβεις τῇ πόλει, παρὰ πάντων ἄν γε
μοι δοκεῖ δικαίως συγγνώμης τυχεῖν. καὶ γὰρ ἐν ἄλλοις μὲν τισὶν ἡττᾶσθαι τῶν ἐναν-
τίων, οὐχ οὕτως ὄνειδος, ὡς ἀτύχημα ἂν φαίη. καὶ γὰρ τῇ τύχῃ, καὶ τοῖς ἐφεστη- φανείη
73 κόσι, καὶ πολλοῖς μέτεστι τοῦ καλῶς, ἢ μή, πρότερον ἀγωνίσασθαι. ἐν δὲ τοῖς τὰ

δίκαια ὑπὲρ αὐτῶν μὴ ἔχειν ἀξίως τῶν ὑπαρχόντων, αὐτῆς τῆς γνώμης τῆς τῶν
τοῦτο παθόντων τὸ ὄνειδος εὑρήσομεν. εἰ μὲν οὖν ἕτεροί τινες ἦσαν, ἐν οἷς ἐγίγνονθ' οἱ
λόγοι περὶ ὑμῶν, οὔτε, τούτους ἂν οἶμαι ῥᾳδίως οὕτω ψεύδεσθαι, οὔτε τοὺς ἀκούον-
τας πολλὰ τῶν εἰρημένων ἀνασχέσθαι. νῦν δὲ τἄλλα τε οἶμαι, τῆς ὑμετέρας πλεο- 74
*εὐνοίας νεκτοῦσιν * εὐηθείας ἅπαντες, καὶ δὴ καὶ τοῦτο, νῦν οὗτοι. ἀκροαταῖς γὰρ ἐχρήσαντο
καθ' ὑμῶν ὑμῖν, οἵοις οὐδέ τις ἂν τῶν ἄλλων, ἀκριβῶς οἶδα τοῦτ' ἐγώ. ἄξιον δ' εἶναι
μοι δοκεῖ διὰ ταῦτα τοῖς θεοῖς χάριν ὑμᾶς ἔχειν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τούτους
μισεῖν. τὸ μὲν γὰρ ὁρᾶν τούτους Ῥοδίων δῆμον τὸν πολὺ τούτων ποτ' ἀσελγεστέρους λό- 75
γους λέγοντα πρὸς ὑμᾶς, ἱκέτην ὑμέτερον γεγενημένον, εὐτύχημα εἶναι νομίζω τῆς
*εὔνους πόλεως· τὸ δὲ τοὺς ἀνοήτους * μήτε τοῦτο λογίζεσθαι, παρὸν οὕτως ἐναργὲς ἰδεῖν,
*καθ' ἕνα μηδ' ὅτι πολλάκις * καθ' ἓν αὐτῶν ἕκαστον ὑμεῖς σεσώκατε, καὶ πλείω πράγματ'
ἐσχήκατε, τὴν τούτων θρασύτητα καὶ κακοδαιμονίαν ἐπανορθοῦντες, ἐπειδὰν δ' 76
αὖθις ἀνέλωνται πόλεμον, ἢ τὰ ὑμέτερ' αὐτῶν πράττοντες· τοῦτο παμπόλλην ὑμῖν
ὀργὴν εἰκότως ἂν παραστῆσαι μοι δοκῇ. οὐ μὴν ἀλλ' ἴσως τούτοις μὲν εἵμαρται μη-
δέποτ' εὖ πράττουσιν εὖ φρονῆσαι· ἡμῖν δὲ προσήκει καὶ δι' ἡμᾶς αὐτούς, καὶ διὰ
τἄλλ', ἃ πέπρακται τῇ πόλει, σπουδάσαι δεῖξαι πᾶσιν ἀνθρώποις, ὅτι καὶ πρό- 77
τερον, καὶ νῦν, καὶ ἀεὶ ἡμεῖς μὲν τὰ δίκαια προαιρούμεθα πράττειν· ἕτεροι δέ τι-
νες καταδουλοῦσθαι βουλόμενοι, τοὺς αὐτῶν πολίτας διαβάλλουσι πρὸς ἡμᾶς.

Εἰ μετὰ τῆς αὐτῆς γνώμης, ὦ ἄνδρες Ἀθηναῖοι, τούς τε λόγους ἠκούετε τῶν
συμβουλευόντων, καὶ τὰ πράγματα ἐκρίνετε, πάντων ἀσφαλέστατον ἦν τὸ συμ- 78
βουλεύειν. καὶ γὰρ εὐτυχῶς καὶ καλῶς πράξασι· λέγειν γὰρ εὐφήμως πάντα δεῖ·
κοινὰ ἂν ἦν τὰ τῆς αἰτίας ὑμῖν, καὶ τῷ πείσαντι. νῦν δ' ἀκούετε μὲν τῶν, ἃ βού-
λεσθε, λεγόντων, ἥδιστα· αἰτιᾶσθε δὲ πολλάκις ἐξαπατᾶν ὑμᾶς αὐτούς, ἂν μὴ πάνθ',
ὃν ἂν ὑμεῖς τρόπον βούλησθε, γένηται· οὐ λογιζόμενοι τοῦθ', ὅτι τοῦ μὲν ζητῆσαι, καὶ 79
λογίσασθαι τὰ βέλτισθ', ὡς ἄνθρωπος, καὶ πρὸς ὑμᾶς εἰπεῖν, αὐτὸς ἕκαστός ἐστι
κύριος· τοῦ δὲ πραχθῆναι ταῦτα, καὶ συνενεγκεῖν, ἐν τῇ τύχῃ τὸ πλεῖστον μέρος
γίγνεται. ἔστι δ' ἄνθρωπον ὄντα ἀγαπητὸν τῆς αὐτοῦ διανοίας λόγον ὑπέχειν· τῆς δὲ
τύχης προστυποσχεῖν, ἕν τι τῶν ἀδυνάτων. εἰ μὲν οὖν εὑρημένον ἦν, πῶς ἄν τις 80
ἀσφαλῶς ἄνευ κινδύνου δημηγορεῖν, μανία παραλείπειν τοῦτον ἦν τὸν τρόπον. Ως εὔνοις
ἐπεὶ δ' ἀνάγκη τὸν περὶ τῶν μελλόντων πραγμάτων γνώμην ἀποφαινόμενον Ως εὔνους ἐστὶ τῇ πόλει
κοινωνεῖν τοῖς ἀπ' αὐτῶν γιγνομένοις, καὶ μετέχειν τῆς ἀπὸ τούτων αἰτίας, αἰσχρὸν ἡγοῦ- ἢ τῇ πολιτείᾳ.
μαι λέγειν μέν, ὡς εὔνους· μὴ ὑπομένειν δέ, εἴ τις ἐκ τούτου κίνδυνος ἔσται. εὔχο- 81
μαι δὲ τοῖς θεοῖς, ἃ καὶ τῇ πόλει καὶ ἐμοὶ συμφέρειν μέλλει, ταῦτ' ἐμοί τε εἰπεῖν ἐλ-
θεῖν ἐπὶ νοῦν, καὶ ὑμῖν ἑλέσθαι. τὸ γὰρ πάντα τρόπον ζητεῖν νικῆσαι, δυοῖν θάτερον, ἢ
μανίας, ἢ κέρδους ἕνεκα ἐσπουδακότας φήσαιμ' ἂν εἶναι.

Εἰ μέν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ περὶ ὧν νυνὶ τυγχάνετε ἐκκλησιάζοντες, καὶ 82
*ὄντα περὶ τῶν ἄλλων ἁπάντων ταῦτα καὶ δοκοῦντα βέλτισθ' ὑμῖν εἶναι, καὶ * ὄντων ἀλη-
θῶς. δεῖ μέντοι περὶ πραγμάτων μεγάλων βουλευομένους, [illegible] κοινῶς ἁπάντων
ἐθέλειν ἀκούειν τῶν συμβουλευόντων, ὡς ἐμοὶ δοκεῖ. ἐνθυμοῦμαι [illegible], ὅτι αἰσχρόν ἐστιν, ὦ
ἄνδρες Ἀθηναῖοι, νῦν μὲν βουλομένων τι παραινεῖν ἐνίων θορυβεῖν, [illegible]τερον δὲ κατηγο- 83
ρούντων τῶν αὐτῶν τούτων πεπραγμένων, ἡδέως ἀκούειν. ἐγὼ [illegible] οἶδα, νομίζω δὲ
καὶ ὑμᾶς, ὅτι νῦν μὲν ἀρέσκουσι μάλισθ' ὑμῖν, οἱ ταῦτα, οἷα ὑμεῖς βούλεσθε, λέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γοῦντες. ἂν δέ τι συμβῇ παρ' ἃ νῦν οἴεσθε, ὃ μὴ συμβαίη, τούτους μὲν ἐξηπατηκέναι νομιεῖτε ὑμᾶς· ὧν δὲ νῦν οὐκ ἀνέχεσθε, τότε ὀρθῶς δόξουσι λέγειν. ἔστι δὲ τοῖς μάλι-
84 στα πεπεικόσιν ὑμᾶς ταῦτα, ἐφ' ὧν νῦν ἐστέ, τούτοις καὶ μάλιστα συμφέρει τοῦ λόγου τυχεῖν τοὺς ἀντιλέγοντας. ἂν μὲν γὰρ διδάξαι δυνηθῶσιν, ὡς οὐκ ἔστιν ἄριστα, ἃ τούτοις δοκεῖ, ὅτ' οὐδὲν ἡμάρτηταί πω, τοῦτο πράξαντες ἀθρόους τοὺς κινδύνους ποιήσουσιν αὖθις. ἐὰν δὲ μὴ δυνηθῶσιν, οὐχ ὕστερόν γε ἐπιτιμᾶν ἕξουσιν, ἀλλ' ὅσ'
85 ἀνθρώπων ἦν ἔργον ἀκοῦσαι, τούτων τετυχηκότες, ἂν ἡττῶνται, δικαίως στέρξουσι. καὶ μεθ' ἁπάντων, τῶν ἀποβαινόντων, ὁποῖ' ἄττ' ἂν ᾖ, κοινωνήσουσιν.

Οἶμαι δεῖν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ τηλικούτων βουλευομένους, διδόναι παρρησίαν ἑκάστῳ τῶν συμβουλευόντων. ἐγὼ δὲ οὐδὲ πώποθ' ἡγησάμην χαλεπὸν
86 τὸ διδάξαι τὰ βέλτισθ' ὑμᾶς· ὡς γὰρ ἁπλῶς εἰπεῖν, πάντες ὑπάρχειν ἐγνωκότες ἔμοιγε δοκεῖτε· ἀλλὰ τὸ πεῖσαι πράττειν ταῦτα. ἐπειδὰν γάρ τι δόξῃ, καὶ ψηφισθῇ, τότε ἴσον τοῦ πραχθῆναι ἀπέχει, ὅσον περ πρὶν δόξαι. ἔστι μὲν οὖν πολλά, ὧν ἐγὼ νομίζω χάριν ὑμᾶς τοῖς θεοῖς ὀφείλειν, μάλιστα δὲ τοῦ τὰς διὰ τὴν αὐτῶν ὕ-
87 βριν ὑμῖν πολεμησάσας πάλαι, νῦν ἐν ὑμῖν μόνοις τῆς αὐτῶν σωτηρίας ἔχειν τὰς ἐλπίδας. ἄξιον δὴ ἡσθῆναι τῷ παρόντι καιρῷ· συμβήσεται γὰρ ὑμῖν, ἂν ἃ χρή, βουλεύσησθε ὑπὲρ αὐτοῦ, τὰς παρὰ τῶν διαβαλλόντων τὴν πόλιν ἡμῶν βλασφημίας, ἔργῳ μετὰ δόξης καλῆς ἀπολύσασθαι.

88 Αἱ μὲν ἐλπίδες, ὦ ἄνδρες Ἀθηναῖοι, μεγάλαι, καὶ καλαὶ τῶν προειρημένων. πρὸς ἃς οἴομαι τοὺς πολλοὺς ἄνευ λογισμοῦ τι πεπονθέναι. ἐγὼ δὲ οὐδὲ πώποτε ἔγνων, οὕνεκα τοῦ παραχρῆμα ἀρέσαι, λέγειν τι πρὸς ὑμᾶς, ὅ, τι ἂν μὴ καὶ μετὰ ταῦτα συνοίσειν ἡγῶμαι. ἔστι μὲν οὖν τὸ κοινὸν ἔθος τῶν πλείστων, τοὺς μὲν συνεπαι-
89 νοῦντας ἑαυτοῖς, ὅ, τι ἂν πράττωσι, φιλεῖν, πρὸς δὲ τοὺς ἐπιτιμῶντας ἀηδῶς ἔχειν. οὐ μὴν ἀλλὰ δεῖ τὸν εὖ φρονοῦντα τὸν λογισμὸν ἀεὶ τῶν ἐπιθυμιῶν κρείττω πειρᾶσθαι ποιεῖν. ἐγὼ δὲ ἡδέως ἑώρων, ἃ καὶ συνοίσειν ἤμελλε, ταῦτ' ἐν ἡδονῇ πράττειν ὄνθ' ὑμῖν, ἵνα καὶ χαριζόμενος, καὶ χρηστὰ λέγων ἐφαινόμην. ἐπειδὴ δὲ τἀναν-
10 τία ὁρῶ τούτων ἐπιχειροῦντας ὑμᾶς, οἴομαι δεῖν ἀντειπεῖν, εἰ καί τισι μέλλω ἀπεχθήσεσθαι. ἂν μὲν οὖν μηδ' ὑπομείνητε ἀκοῦσαι μηδὲ ἕν, οὐ τῷ δοκιμάζοντες διαμαρτεῖν, ἀλλὰ τῷ φύσει πονηρὰ ἐπιθυμεῖν, πράττειν τοιαῦτα προαιρεῖσθαι δόξετε. ἐὰν δ' ἀκούσητε, τυχὸν μὲν ἴσως καὶ μεταπεισθεῖτε, ὃ μάλιστα ἐγὼ νομί-
91 ζω συνενεγκεῖν ἂν ὑμῖν· εἰ δὲ μή, οἱ μὲν ἀγνοεῖν τὸ συμφέρειν· οἱ δ' ὅ, τι ἂν τις βούληται, τοῦτ' ἐρεῖ.

Πρῶτον μὲν οὐδέν ἐστι καινόν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς δόξασι παρ' ὑμῖν εἶναί τινας, οἵτινες ἀντεροῦσιν, ἐπειδὰν πράττειν τι δέῃ. εἰ μὲν οὖν ἀποδόντων ὑμῶν λόγον αὖθις, ὅτ' ἐβουλεύεσθε, τοῦτ' ἐποίουν, τούτων ἂν ἦν ἄξιον κατηγορεῖν, εἰ περὶ ὧν ἡττῶντο,
12 ἐβιάζοντο πάλιν λέγειν. νῦν δὲ τούτους μὲν οὐδὲν ἔστ' ἄτοπον εἰπεῖν βουληθῆναι ταῦτα, ἃ τότε οὐχ ὑπεμείνατε ἀκοῦσαι. ὑμῖν δ' ἄν τις εἰκότως ἐπιτιμήσειεν, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι, ὁπόταν περί του βουλεύησθε, οὐκ ἐᾶτε λέγειν ἕκαστον, ἃ γιγνώσκει, ἀλλ' ἂν ἕτεροι τῷ λόγῳ προλάβωσιν ὑμᾶς, οὐδὲν ἂν τῶν ἑτέρων ἀκούσαιτε. ἐκ ἀκούσαιτε
13 δὲ τούτου συμβαίνει πρᾶγμα ἀηδὲς ὑμῖν. οἷς γάρ, πρὶν ἁμαρτεῖν, ἐξῆν συμβουλεύουσι πείθεσθαι, τούτοις ὕστερον κατηγοροῦντας ἐπαινεῖτε. τοῦτο δὴ τοῦτό μοι πάλιν δοκεῖτε πείσεσθαι, εἰ μὴ παράγοντες ἴασιν ἀκούσαντες [illegible] ὑμᾶς αὐτοὺς ἐν παρόντες

παρόντι,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ται τῷ ἐρῶντι, ἀλλὰ τοῦτον τὸν πόνον ὑπομείναντες, ἑλόμενοι τὰ κράτιστα, τοὺς ὁτιοῦν 94
τούτοις ἐπιτιμῶντας, φαύλους νομίζετε. ἐγὼ μὲν δὴ δίκαιον ὑπείληφα πρῶτον ἁ-
πάντων αὐτοῖς εἰπεῖν, τί μοι δοκεῖ περὶ ὧν σκοπεῖσθε, ἵνα ἂν μὲν ὑμῖν ἀρέσκῃ, καὶ
τὰ λοιπὰ διδάσκω· εἰ δὲ μή, μήθ' ὑμῖν ἐνοχλῶ, μήτ' ἐμαυτὸν κόπτω.

Ἔδει μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ τοῦ πολεμεῖν, ἐσκέφθαι τις ὑπάρξει παρα- 95
σκευὴ τοῦ γινομένου πολέμου. εἰ δ' ἄρα μὴ πρόδηλος ἦν ὅτι πρῶτον ἐβουλεύε-
σθε, ὑπ' αὐτοῦ φανεροῦ γινομένου, τότε καὶ περὶ τῆς παρασκευῆς ἐσκέφθαι.* εἰ δὲ
φήσετε πολλὰς ἐγκεχειρηκέναι δυνάμεις, ἃς λελυμάνθαι τοὺς ἐπιστάντας, οὐκ ἀπο-
δέξεται τοῦθ' ὑμῶν οὐδείς. οὐ γάρ ἐστι τῶν αὐτῶν, τοὺς ἐπὶ τῶν πραγμάτων ἀπο- 96
λύειν, καὶ λέγειν, ὡς διὰ τούτους κακῶς ταῦτ' ἔχει. ἐπειδὴ δὲ τὰ μὲν παρεληλυθό-
τα οὐκ ἂν ἄλλως ἔχοι, δεῖ δ' ἐκ τῶν παρόντων ἐπαμῦναι τοῖς πράγμασι, τοὺς μὲν
κατηγορεῖν, οὐδένα καιρὸν ὁρῶ· πειράσομαι δ', ἃ κράτιστα νομίζω, συμβουλεῦσαι. 7
πρῶτον μὲν οὖν ὑμᾶς ἐκεῖνο ἐγνωκέναι δεῖ, ὅτι τὴν ἴσην ὑπερβολὴν τῆς σπουδῆς
καὶ φιλονεικίας ἐν τοῖς πράγμασι πάντ' ἄνδρα παρασχέσθαι δεῖ, ὅσηνπερ ἐκ τῆς
ἄνωθεν χρόνων ἀμελείας. μόλις γὰρ οὕτως *ἐλπὶς ἐκ πολλοῦ διώκοντας, τὰ πεφθαρ-
μένα ἐλπίζειν δυνηθῆναι. ἔπειτ' οὐκ ἀθυμητέον τοῖς γεγενημένοις. ὃ γάρ ἐστι τῶν πα-
ρεληλυθότων χείριστον, τοῦτο πρὸς τὰ μέλλοντα βέλτιστον ὑπάρχει. τί οὖν τοῦτ' ἐστιν,
ὦ ἄνδρες Ἀθηναῖοι; ὅτι οὐδὲν ὑμῶν τῶν δεόντων ποιούντων, κακῶς ἔχει τὰ πρά-
γματα. ἐπεὶ εἴ γε πάνθ' ἃ προσῆκε, πραττόντων οὕτως εἶχεν, οὐδ' ἂν ἐλπὶς ἦν
αὐτὰ γενέσθαι βελτίω.

Οὐδέν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, χαλεπώτερον, ἢ τοῖς αὐτοῖς ἔθεσιν ἐπιτιμᾶν
τι, καὶ χρῆσθαι τοὺς δημηγοροῦντας. τὸ γὰρ στασιάζειν πρὸς αὑτούς, καὶ κατηγο-
ρεῖν ἀλλήλων ἄνευ κρίσεως, οὐδείς ἐστιν οὕτως ἀγνώμων, ὅστις οὐ φήσειεν ἂν βλα- 99
βερὸν εἶναι τοῖς πράγμασιν. ἐγὼ δ' οἴομαι τούτους μὲν ἂν εἶναι βελτίους, εἰ τὴν πρὸς
αὑτοὺς φιλονεικίαν ἐπὶ τοὺς τῆς πόλεως ἐχθροὺς τρέψαντες ἐδημηγόρουν. ὑμῖν δὲ
παραινῶ, μὴ στασιάζειν μηδ' ἑτέροις τούτων, μηδ' ὅπως ἂν *ἕτεροι κρατήσωσι, σκο-
πεῖν· ἀλλ' ὅπως ὑμεῖς ἅπαντες τῶν ἐχθρῶν περιέσεσθε. εὔχομαι δὲ τοῖς θεοῖς, τοὺς ἢ 100
φιλονεικίας, ἢ ἐπηρείας, ἢ τινὸς ἄλλης ἕνεκα αἰτίας ἄλλο τι πλὴν ἃ πάνθ' ἡγοῦνται
συμφέρειν, λέγοντας, παύσασθαι. τὸ γὰρ καταράσασθαι συμβουλεύοντι, ἴσως ἐστὶν ἄτο-
πον. αἰτιασαίμην μὲν οὖν ἔγωγ' ἂν οὐδένα, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦ κακῶς τὰ 101
πράγματ' ἔχειν, ἀλλ' ἢ πάντας τούτους. οἴομαι δὲ δεῖν παρὰ μὲν τούτων ἐφ' ἡσυ-
χίας λόγον ὑμᾶς λαβεῖν· νῦν δ' ὑπὲρ τῶν παρόντων, ὅπως ἔσται βελτίω, σκοπεῖν.

Ἠβουλόμην ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν ἴσην σπουδὴν ἐνίους τῶν λεγόντων
ποιεῖσθαι, ὅπως τὰ βέλτιστ' ἐροῦσιν, ὅσηνπερ ὅπως εὖ δόξουσι λέγειν, ἵν' οὗτοι μὲν 102
ἀντὶ τοῦ δεινοὶ λέγειν, ἐπιεικεῖς ἐνομίζοντο εἶναι· τὰ δ' ὑμέτερα, ὥσπερ ἐστὶ προσῆ-
κεν, βέλτιον εἶχε. νῦν δ' ἔνιοί μοι δοκοῦσι παντάπασι τὴν ἀπὸ τοῦ λόγου δόξαν ἠγα-
πηκότες, τῶν μετὰ ταῦτα συμβησομένων ὑμῖν οὐδὲν φροντίζειν. καὶ δῆτα θαυμάζω,
πότερά ποθ' οἱ τοιοῦτοι λόγοι τὸν λέγονθ' ὁμοίως πεφύκασιν ἐξαπατᾶν, ὥσπερ 103
πρὸς οὓς ἂν λέγωνται, ἢ συνιέντες οὗτοι τἀναντία τοῖς δοκοῦσιν αὐτοῖς εἶναι βελτί-
στοις, δημηγοροῦσιν. εἰ μὲν γὰρ ἀγνοοῦσιν ὅτι τὸν μέλλοντα πράξειν τὰ δέοντα οὐκ
ἐπὶ τῶν λόγων θρασὺν, ἀλλ' ἐπὶ τῆς παρασκευῆς ἰσχυρὸν εἶναι δεῖ· οὐδ' ἐπὶ τῷ
τοὺς ἐχθροὺς μὴ δυνήσεσθαι θαρρεῖν, ἀλλ' ἐπὶ τῷ, κἂν δύνωνται, κατήσειν... 104

* εἰ δὲ φήσει τις ὑμῶν πολλάς.

Ἐπειτ' οὐκ ἀθυμ.) Τὰ ἑπόμενα μικρόν τι παρηλλαγμένα, ἐν τῷ προοιμίῳ τοῦ πρὸς τοὺς κατὰ Φίλιππον λόγου ἐστί.

98

* ἐλπὶς διώκοντας τὰ ἐκ πολλοῦ πεφθαρμένα ἐλ.

* ἐχθροί

λόγων ἀστεῖα, ὡς ἔοικε, τοῦ τὰ μέγιστα αἰσθάνεσθαι κεκώλυκεν αὐτούς. εἰ δὲ ταῦτα
5 μὲν μηδ' ἂν φήσαιεν ἀγνοεῖν, πρόφασις δ' ἄλλη τις ὕπεστι, δι' ἣν ταῦτα προαι-
ροῦνται, πῶς οὐ χρὴ φαύλην ταύτην ὑπολαμβάνειν, ἢ τίς ποτ' ἐστίν; ἐγὼ δ' οὐκ
ἀποτρέψομαι λέγειν ἃ δοκεῖ μοι, καίπερ ὁρῶν ἡγουμένους ὑμᾶς· καὶ γὰρ εὔηθες, λό-
γῳ ψυχαγωγηθέντων ὑμῶν οὐκ ὀρθῶς, λόγον αὖ τὸν μέλλοντα βελτίω λέγειν, καὶ
5 μᾶλλον συμφέροντα ὑμῖν καταδεῖσαι. ἀξιῶ δὲ καὶ ὑμᾶς ὑπομεῖναι, ἐνθυμηθέντας
ὅτι οὐδὲ τὰ νῦν δοκοῦντα ἔδοξεν ἂν ὑμῖν, εἰ μὴ τοὺς λόγους ἠκούσατ', ἐξ ὧν ἐπεί-
σθητε. ὥσπερ ἂν τοίνυν εἰ νόμισμα ἐκρίνετο ὁποῖόν τι ποτ' ἐστί, δοκιμάσαι δεῖν ἂν
6 ᾠήθητε, οὕτω καὶ τὸν λόγον ἀξιῶ τὸν εἰρημένον, ἐξ ὧν ἂν τ' εἰπεῖν ἡμεῖς ἔχομεν, σκε-
7 ψαμένους, ἐὰν μὲν συμφέροντα εὑρήσητε, ἀγαθῇ τύχῃ πείθεσθαι· ἂν δ' ἄρα ἐκεί-
σε λογιζομένοις ἀλλοιότερος φανῇ, πρὶν ἁμαρτεῖν μεταβουλευσαμένους, τοῖς ὀρθῶς
ἔχουσι χρήσασθαι.

Μάλιστα μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, βουλοίμην ἂν ὑμᾶς ἃ μέλλω λέγειν, πει-
8 σθῆναι· εἰ δ' ἄρα τοῦτ' ἄλλῃ πῃ συμβαίνοι, ἐμαυτῷ γ' ἂν εἰρῆσθαι πρὸ παντὸς
αὐτὸ δεξαίμην. ἔστι δὲ οὐ μόνον, ὡς δοκεῖ, τὸ πρὸς ὑμᾶς εἰπεῖν χαλεπὸν τὰ δέοντα,
ἀλλὰ καὶ καθ' αὑτὸν σκοπούμενον εὑρεῖν. γνοίη δ' ἄν τις, εἰ μὴ τὸν λόγον ὑμᾶς, ἀλλὰ
τὰ πράγματα ἐφ' ὧν ἐστι, σκέψασθαι νομίσαι, καὶ πλείω σπουδὴν τοῦ δοκεῖν
ἐπιεικὴς εἶναι, ἢ τὸ δεινὸς εἰπεῖν φανῆναι, ποιοῖτο. ἔγωγ' οὖν οὕτω τί μοι ἀγαθὸν γέ-
νοιτο· ἐπειδὴ περὶ μὲν παρόντων ἐπῄει μοι σκοπεῖν, λόγοις μὲν μάλ' ἀφθόνοις, οἷς
9 οὐκ ἂν ἀηδῶς ἠκούετε ὑμεῖς, ἐνετύγχανον. καὶ γὰρ ὡς δικαιότατοι τῶν Ἑλλήνων ἐστέ,
πολλὰ εἰπεῖν καὶ ἑώρων καὶ ὁρῶ, καὶ ὡς προγόνων, καὶ πολλὰ τοιαῦτα. ἀλλὰ ἐποιήσατο
ταῦτα μὲν τὸν χρόνον ἡσθῆναι ποιήσαντα, ὅσον ἂν ῥηθῇ, μετὰ δὲ ταῦτ' οἴχεται. δεῖ
δὲ πράξεώς τινος τὸν λέγοντα φανῆναι σύμβουλον, δι' ἣν καὶ μετὰ ταῦτα ἀγαθοῦ
10 τινος ἡμῖν ἔσται παρουσία. τοῦτο δ' ἤδη καὶ σπάνιον, καὶ χαλεπὸν πεπειραμένος οἶ- εὑρεῖν
δα ὂν ἰδεῖν. οὐδὲ γὰρ αὐτάρκες τὸ ἰδεῖν ἐστι τὰ τοιαῦτα, ἂν μὴ καὶ πεῖσαί τις τοὺς συ-
ναιρομένους ὑμᾶς δυνηθῇ. οὐ μὴν ἀλλ' ἐμὸν μὲν ἔργον εἰπεῖν ἴσως ἃ πέπεικ' ἐμαυ-
τὸν συμφέρειν· ὑμέτερον δέ, ἀκούσαντας κρῖναι, κἂν ἀρέσκῃ, χρῆσθαι.

1 Οὐκ ἄδηλον ἦν, ὦ ἄνδρες Ἀθηναῖοι, πρόφασιν, ὅτι τῶν ἀντιλέγειν βουλομένων
οἷς ὁ δεῖνα ἔλεγεν, οὐκ ᾤεσθε ἀκούειν χρῆναι, ὅτι συμβήσεται τοῦθ' ὃ νυνὶ γίγνεται,
ὅτι οἱ τότε κωλυθέντες, ἐροῦσιν εἰς ἑτέραν ἐκκλησίαν. ἂν τοίνυν ταὐθ' ἅπερ πρό-
τερον, ποιήσητε, καὶ τῶν τοῖς τότε δόξασιν συνειπεῖν βουλομένων μὴ θελήσητε ἀκοῦ-
σαι, πάλιν ταῦτα εἰς τὴν ἑτέραν ἐκκλησίαν οὗτοι λαβόντες, τούτων κατηγορήσουσιν. οὔτε γὰρ τὰ
2 οὐδαμῶς, ὦ ἄνδρες Ἀθηναῖοι, οὔτε τὰ πράγματα χεῖρον γένοιτο, οὔθ' ὑμεῖς ἀτο- πρ. ἢ ποιοῦντος
πώτεροι φανείητε, εἰ μήτε τῶν δοξάντων ὑμῖν πέρας μηδὲν ἔχειν δοκοίη, μηδ', χεῖρον. οὐδαμῶς γάρ, ὦ ἄν-
ἀφέντες ἃ συμφέρει, τῶν παρ' ὁδὸν τι περαίνοιτε, εἴητε δ' ὥσπερ τῶν τὰ θέατρα δρες Ἀθη-
καταλαμβανόντων. μηδαμῶς, ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλὰ ποιήσαντες τὸν πόνον ναῖοι, οὔτε τὰ
3 τοῦτον, καὶ παρασχόντες ἴσους ἀκροατὰς ἀμφοτέροις ὑμᾶς αὐτούς, πρὸ τοῦ μετ' ἑλε- πρ.
σθε, ὅ, τι καὶ ποιήσε[illegible] ἐπειδὴ ὑπολαμβάνετε, ἐάν τις ἐναντιῶται τοῖς ἅπαξ οὕ- ποιήσαντες
τω δοκιμασθεῖσι, [illegible]ηρὸν καὶ κακόνουν ὑμῖν. τὸ μὲν γὰρ λόγου μὴ τυχόντα πε-
πεῖσθαι, βέλτιον [illegible] ὑμῶν δοκούντων αὐτὸν ἐντεθυμῆσθαι, συγγνώμη· τὸ δὲ ἀ-
4 κουσάντων ὑμῶν, καὶ διακρινάντων, ἔτι ἀναισχυντεῖν, καὶ μὴ συγχωρεῖν ἐνδόν-
τα τῇ τῶν πλειόνων γνώμῃ, ἀλλ' ἤδη τινὰ ὑποψίαν οὐχὶ δικαίαν ἔχειν φανείη. ἐγὼ
μὲν δή

μὲν δὴ σιωπᾶν ᾤμην δεῖν ἐν τῷ παρόντι, εἰ μένοντας ὑμᾶς ἑώρων ἐφ᾽ ὧν ἔδοξεν.
εἰμὶ γὰρ τῶν ἐκεῖνα πεπεισμένων συμφέρειν ὑμῖν. ἐπειδὴ δ᾽ ὑπὸ τῶν παρὰ τούτων
λόγων μεταβεβλῆσθαί μοι τινὲς δοκοῦσιν, ὡς οὔτ᾽ ἀληθῆ λέγουσιν, οὔθ᾽ ὑμῖν συμ-
φέροντα, ἴσως μὲν εἰδότας, οὐ μὴν ἀλλ᾽ εἰ καὶ τυγχάνετε ἀγνοοῦντες, διδάξω. 115

Ἐδεῖ μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ δίκαιον ἦν, τότε πείθειν ὑμᾶς ὅ,τι ἄριστον ἕκα-
στος ἡγεῖτο, ὅτε ἐβουλεύεσθε τὸ πρῶτον περὶ τούτων, ἵνα μὴ συνέβαινεν, ἃ δὴ δύο
*ἔχ[illegible] πάντων ἐστὶν ἀλυσιτελέστατα τῇ πόλει, μήτε πέρας μηδὲν *ἔχειν τῶν ὑμῖν δοξάντων,
*ὑμᾶς ἀπο- παρανοίας θ᾽ *ὑμεῖς καταγιγνώσκετε ὑμῶν αὐτῶν μεταβουλευόμενοι. ἐπεὶ δ᾽ σιω-
γνῶ[illegible]ν ὑμῶν [illegible]τῶν πήσαντες τότε, νῦν ἐπιτιμῶσί τινες, βούλομαι μικρὰ πρὸς αὐτοὺς εἰπεῖν. ἐγὼ γὰρ 116
μεταβουλευομένους. θαυμάζω τὸν τρόπον τῆς πολιτείας τῆς τούτων, μᾶλλον δ᾽ ἡγοῦμαι φαῦλον. εἰ γὰρ
*ἐξὸν *ἐξ ὧν πράττειν, ὅταν σκοπῆτε, βεβουλευμένων κατηγορεῖν αἱροῦνται, συκοφαν-
τῶν ἔργον, οὐχ, ὡς φασίν, εὔνων, ποιοῦσιν ἀνθρώπων. ἡδέως δ᾽ ἂν ἐροίμην αὐτούς·
καὶ μηδεμιᾶς λοιδορίας ὃ μέλλω λέγειν ἀρχὴ γενέσθω· τί δὴ τἄλλα ἐπαινοῦντες 117
*ἄγασθαι Λακεδαιμονίους, ὃ μάλιστα ἄξιόν ἐστι τῶν παρ᾽ ἐκείνοις *ἀγαᾶσθαι, τοῦτο οὐ μιμοῦνται,
μᾶλλον δ᾽ αὐτοὶ τοὐναντίον ποιοῦσι; φασὶ γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, παρ᾽ ἐκείνοις μέ-
χρι μὲν τοῦ δόξαι, γνώμην, ἣν ἂν ἕκαστος ἔχῃ, λέγειν. ἐπειδὰν δ᾽ ἐπικυρωθῇ, ταῦτα
*πολλοὶ μὲν, ὄντες οὐ πολ- ἅπαντας ἐπαινεῖν, καὶ συμπράττειν καὶ τοὺς ἀντειπόντας. τοιγάρτοι *πολλοὶ μὲν ὄντες,
λοὶ, περιγ. οὐ πολλοὶ περιγίγνονται· λαμβάνουσι δ᾽ ὅσ᾽ ἂν μὴ τῷ πολέμῳ δύνωνται, τοῖς και- 118
*πραίσειν. ροῖς· οὐδεὶς δ᾽ αὐτοὺς ἐκφεύγει χρόνος, οὐδὲ τρόπος, τοῦ τὰ συμφέροντα ἑαυτοῖς *πα-
ραινεῖν, οὐ μὰ Δί᾽ οὐχ ὥσπερ ἡμεῖς καὶ διὰ τούτους, καὶ διὰ τοὺς ὁμοίους τούτοις, ἀλλή-
λων περιγιγνόμενοι, καὶ οὐχὶ τῶν ἐχθρῶν, πάντα ἀνηλώκαμεν τὸν χρόνον· κἂν μὲν εἰ-
ρήνην τις ἐκ πολέμου ποιήσῃ, τοῦτο μισοῦντες· ἂν δ᾽ ἐξ εἰρήνης πόλεμόν τις λέ- 119
γῃ, τούτῳ μαχόμενοι· ἂν δ᾽ ἔχειν ἡσυχίαν τις παραινῇ, καὶ τὰ ἡμέτερα αὐτοῦ πράτ-
τειν, οὐδὲ τοῦτον ὀρθῶς λέγειν φάσκοντες, ὅλως δ᾽ αἰτιῶν καὶ κενῶν ἐλπίδων ὄντες
πλήρεις. τί οὖν, ἄν τις εἴποι, σὺ παραινεῖς, ἐπειδὴ ταῦτ᾽ ἐπιτιμᾷς; ἐγὼ νὴ Δί᾽ ἐρῶ.

Πρῶτον μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, οὐ πάνυ μοι δοκεῖ τις ἂν εἰκότως περὶ ὑμῶν
δεῖσαι, μὴ παρὰ τὸ τῶν συμβουλευόντων οὐκ ἐθέλειν ἀκούειν, χεῖρον βουλεύσησθε. πρῶ- 120
τον μὲν γὰρ ἡ τύχη καλῶς ποιοῦσα, πολλὰ τῶν πραγμάτων ὑμῖν αὐτόματα ὡς ἂν
εὔξαισθε παρίστησιν· ἐπεὶ τῇ γε τῶν προεστηκότων προνοίᾳ βραχέα αὐτῶν εἶχεν ἂν
καλῶς. ἔπειθ᾽ ὑμεῖς, οὐ μόνον τοὺς λόγους, οὓς ἂν ἕκαστος εἴποι, πρόϊστε, ἀλλὰ καὶ ὧν
ἕνεκ᾽ αὐτοὺς ἕκαστος δημηγορεῖ. εἰ δὲ μὴ φιλαπεχθήμων ἦν, εἶπον ἂν καὶ πόσου. τὸν 121
δὴ τοῦ φενακίζεσθαι χρόνον ὡς εἰς μικρότατον συνάγοντες, σωφρονεῖν ἔμοιγε δοκεῖ-
τε. εἰ μὲν δή τι τῶν αὐτῶν ἔμελλον τοῖς ἄλλοις ἐρεῖν, οὐκ ἂν ᾤμην δεῖν λέγων ἐνο-
χλεῖν. νῦν δὲ συμφέροντα μὲν ὑμῖν ἀκοῦσαι, παντάπασι δὲ ἀφεστηκότα τῶν ὑπὸ τῶν
πολλῶν προσδοκωμένων, οἴομαι λόγον ἔχειν. βραχὺς δ᾽ ἔσται χρόνος. σκέψασθε δ᾽
ἀκούσαντες. κἂν ὑμῖν ἀρέσκῃ, χρήσασθε· καὶ βραχεῖαν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ δι- 122
καίαν ποιήσομαι τὴν ἀρχὴν τοῦ λόγου· καὶ οὐδὲ τὰ πάντα ἐρῶ. ἡγοῦμαι γὰρ ἐξα-
*ὑμᾶς πατᾶν μὲν εἶναι βουλομένου, σκοπεῖν ὅντιν᾽ *ὑμεῖς τρόπον πεί[illegible]ύοντας καὶ τὰ τοῦ
*συγκρύψῃ. γρ. συγκρύψηται πράγματος δυσχερῆ τῷ λόγῳ *συγκρύψητε· ἁπλῶς δὲ πε[illegible]κότος αὐτὸν ὑμῖν
προσφέρεσθαι, τοῦτο πρῶτον εἶναι εἰπεῖν, πότερα ἐγνωκὼς παρελήλυθεν· ἵν᾽, ἐὰν 123
μὲν ἀκούσαντες τοῦτο, τοὺς μετὰ ταῦτα λόγους βούλησθε ἀκούειν, [illegible] διδάσκῃ καὶ
φράζῃ τὰ βέλτιστα αὐτῷ δοκοῦντα. ἂν δ᾽ ἀποδοκιμάσητε, ἀπη[illegible]γμένος ᾖ, καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μήτε ὑμῖν ἐνοχλῇ, μήτε αὐτὸν κόπτῃ, ἐγὼ δὲ τοῦτο πρῶτον ἐρῶ. ἐμοὶ δοκεῖ Μυτιλη-
ναίων ὁ δῆμος ἠδικῆσθαι. καὶ δίκην ὑμῖν ὑπὲρ αὐτοῦ προσήκειν λαβεῖν. καὶ ὅπως λή-
ψεσθε, ἔχω λέγειν, ἐπειδὰν, ὡς ἠδίκηνται, καὶ ὑμῖν προσήκει βοηθεῖν, ἐπιδείξω.

124 Πρῶτον μὲν, οὐ πάνυ θαυμαστόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ μὴ ῥᾳδίως τοῖς
συμβουλεύειν βουλομένοις εἶναι τοὺς λόγους. ὅταν γὰρ τὰ πράγματα ἔχῃ φαύλως πε-
ρὶ ὧν δεῖ σκοπεῖν, δυσχερεῖς ἀνάγκη περὶ αὐτῶν εἶναι καὶ τὰς συμβουλίας. εἰ μὲν οὖν ἐκ
τοῦ μὴ ἐθέλειν ἀκούειν, ἐλπὶς ταῦτα γενέσθαι βελτίω, τοῦτο χρὴ πράττειν. εἰ δὲ χεῖρον
125 μὲν ἅπαντα, βέλτιον δ' οὐδὲν ἐκ τούτων γενήσεται, τί δεῖ πρὸς τὸ φαυλότατον
χρῆν ἐλθεῖν ἐάσαντας, ἐκ πλείονος ἢ νῦν, καὶ χαλεπωτέρου σώζειν πειρᾶσθαι, ἐξὸν ἐκ τῶν
παρόντων ἔτι καὶ νῦν ἐπανορθώσασθαι, καὶ προαγαγεῖν ἐπὶ τὸ βέλτιον; τὸ μὲν οὖν
ὀργίλως ὑμᾶς ἔχειν, εἰκός ἐστι ταῦτα πάσχοντας· τὸ δὲ μὴ τοῖς αἰτίοις, ἀλλὰ πᾶσιν
126 ἐφεξῆς ὀργίζεσθαι, τοῦτο οὐκέτι εἰκὸς, οὐδ' ὀρθῶς ἔχον ἐστίν. οἱ γὰρ μηδενὸς μὲν αἴτιοι
τῶν παρεληλυθότων, τὰ δὲ λοιπὰ πῶς ἔσται βελτίω, λέγειν ἔχοντες, χάριν, οὐκ ἀπέ-
χθειαν, κομίσαιντ' ἂν δικαίως παρ' ὑμῶν. οὓς, ἐὰν ἀκαίρως δυσκολαίνητε, ὀκνεῖν ἀνί-
στασθαι ποιήσετε. καίτοι ἔγωγε οὐκ ἀγνοῶ, ὅτι πολλάκις οὐ τοῖς αἰτίοις, ἀλλὰ τοῖς ἐμ-
127 ποδὼν οὖσι τοῖς ὀργιζομένοις, ἀηδές τι παθεῖν συνέβη· ὅμως δ' ἀνέστην συμβουλεύ-
σων. πιστεύω γὰρ ἔγωγε, ὦ ἄνδρες Ἀθηναῖοι, φλαύρου μὲν μηδενὸς αἴτιος ὢν εὑρε-
θήσεσθαι, βελτίω δ' ἑτέρων ὑμῖν ἔχειν συμβουλεῦσαι.

Τὰ μὲν γεγενημένα, ὦ ἄνδρες Ἀθηναῖοι, τοιαῦτα, οἷα πάντες ἀκηκόατε. δεῖ δ'
128 ὑμᾶς μηδὲν ἐκπεπληγμένους διακεῖσθαι, λογιζομένους, ὅτι πρὸς μὲν τὰ παρόντα
ἀθύμως ἔχειν, οὔτε τοῖς πράγμασι συμφέρει, οὔθ' ὑμῶν ἄξιόν ἐστι. τὸ δὲ ταῦτ' ἐπα-
νορθοῦν αὐτοὺς ἡγεῖσθαι προσήκειν, καὶ τῆς ὑμετέρας δόξης ἄξιον ἂν φανείη. χρὴ δὲ τοὺς
ὄντας, οἵους φήσαιτ' ἂν ὑμεῖς εἶναι, ἐν τοῖς δεινοῖς ἑτέρων διαφέροντας φαίνεσθαι. ἐγὼ δὲ
οὐδαμῶς μὲν ἂν ἐβουλόμην ταῦτα συμβῆναι τῇ πόλει, οὐδ' ἀτυχεῖν ὑμᾶς οὐδέν. εἰ δ'
129 ἄρα ἔδει γενέσθαι, καίτοι δαιμόνιον τοῦτ' ἀπέκειτο ὥσπερ πέπρακται, τὰ γεγενημένα
λυσιτελεῖν οἴομαι. τὰ μὲν γὰρ τῆς τύχης, ὀξείας ἔχει τὰς μεταβολὰς, καὶ κοινὰς ἀμφοτέ-
ροις τὰς παρουσίας. ἃ δ' ἂν δι' ἀνδρῶν κακίαν πραχθῇ, βεβαίους ποιεῖται τὰς ἥττας. οἴο-
μαι μὲν οὖν, οὐδὲ τοὺς κεκρατηκότας ἀγνοεῖν, ὅτι βουληθέντων ὑμῶν, καὶ παροξυνθέν-
130 των τοῖς γεγενημένοις, οὐ πάνυ πω δῆλον πότερον εὐτύχημα, ἢ καὶ τοὐναντίον αὐτοῖς ἐστι
τὸ πεπραγμένον. εἰ δ' ἄρα ἐπῆρκε τὸ πρᾶγμα αὐτοὺς θρασύνεσθαι, ἐὰν τοῦτο πρὸς θρασύνεσθαι, τὸ πρὸς ὑμᾶς
ὑμῶν ἤδη γίγνοιτο. ὅσῳ γὰρ ἂν μᾶλλον καταφρονήσωσι, τοσούτῳ θᾶττον ἁμαρτήσονται.

Οὔ μοι δοκεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ ἧς οἴεσθε πόλεως νυνὶ μόνον βουλεύε-
σθαι, ἀλλ' ὑπὲρ πασῶν τῶν συμμαχίδων. ὅπως γὰρ ἂν περὶ ταύτης γνῶτε,
πρὸς ταῦτ' εἰκὸς ἀποβλέποντας τοὺς ἄλλους, καὶ τοὺς τῶν αὐτῶν τεύξεσθαι νομί-
ζειν. ὥστε δεῖ καὶ τοῦ βελτίστου, καὶ τῆς ὑμετέρας αὐτῶν ἕνεκα δόξης, σπουδάσαι, ὅ-
πως ἅμα καὶ συμφέροντα, καὶ δίκαια φανεῖσθε βουλευόμενοι. ἡ μὲν οὖν ἀρχὴ
τῶν τοιούτων πραγμάτων, ἁπάντων ἐστὶ τῶν στρατηγῶν ὧν οἱ πλεῖστοι τῶν παρ'
ὑμῶν ἐκπλεόντων, οὐ τοὺς ὑμετέρους φίλους, οὓς διὰ παντὸς τοῦ χρόνου τῶν αὐτῶν
κινδύνων μετεσχηκότας παρειλήφασι, θεραπεύειν τούτους οἴονται δεῖν, ἀλλὰ καὶ ἰδίους
φίλους ἕκαστος αὐτῷ κατασκευάσας, ὑμᾶς ἀξιοῖ τοὺς αὐτῶν κόλακας καὶ ὑμετέ- αὐτῶν
131 ρους ἡγεῖσθαι φίλους. οὐ πᾶν ἐστὶ τοὐναντίον. οὔτε γὰρ ἐχθροτέρους, οὔτ' ἀναγκαίως
μᾶλλον ἐχθροὺς ἂν τούτων εὕροιτε. ὅσῳ γὰρ πλείω παρακρουόμενοι πλεονεκτοῦσι,

τοῦ τὸ πλέον ὀφλεῖν ἡγοῦνται δίκην δοῦναι. οὐδεὶς δ' ἂν γένοιτο εὔνους τούτοις,
ἐφ' ὧν ἄν τι κακὸν πείσεσθαι προσδοκᾷ. τὸ μὲν οὖν κατηγορεῖν, ἴσως οὐχ ὁ παρὼν
καιρός. ἃ δ' ἡγοῦμαι συμφέρειν ὑμῖν, ταῦτα συμβουλεύσω.

Οὐδένα, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν πάντων ὑμῶν οὕτως οἴομαι κακόνουν εἶναι τῇ πό 132
λει, ὥστε μὴ χαλεπῶς φέρειν, μηδὲ λυπεῖσθαι τοῖς γεγενημένοις. εἰ μὲν τοίνυν ἀγα-
νακτοῦντας ἦν ἀπρακτόν τι ποιῆσαι τούτων, τοῦτ' ἂν ἔγωγε παρῄνουν ὑμῖν ἅπα-
σιν. ἐπειδὴ δὲ ταῦτα μὲν οὐκ ἂν ἄλλως ἔχοι, δεῖ δ' ὑπὲρ τῶν λοιπῶν προνοηθῆναι,
ὅπως μὴ ταὐτὰ πείσεσθε· ὥσπερ, ὦ ἄνδρες Ἀθηναῖοι, νῦν γεγενημένων ἀγανακ-
τεῖτε, οὕτω χρὴ σπουδάσαι ὑπὲρ τοῦ μὴ πάλιν ταῦτα συμβῆναι, καὶ νομίζειν 133
μηδένα ἔχειν λόγον εἰπεῖν τῶν συμβουλευόντων τοιοῦτον, ὃς δυνήσεται σῶσαι τὰ πα-
ρόντα μηδενὸς ὑμῶν μηδὲν συναραμένου. οὐ γὰρ ἂν λόγος, ἀλλὰ θεὸς ὁ τοιοῦτος εἴη.
ἡ μὲν οὖν ἀρχὴ τοῦ ταῦθ' οὕτως ἔχειν, ἐκεῖθεν ἤρτηται, ἐκ τοῦ τῆς παραχρῆμα 134
πρὸς ὑμᾶς ἕνεκα χάριτος ἐνίους τῶν λεγόντων ἐνταυθοῖ δημηγορεῖν, ὡς οὔτε εἰ-
σφέρειν, οὔτε στρατεύεσθαι δεῖ, πάντα δὲ αὐτόματ' ἔσται. ἔδει μὲν οὖν ταῦθ' ὑπ'
ἄλλου τινὸς ἐξελέγχεσθαι μετὰ τοῦ λυσιτελοῦντος ἐλέγχου τῇ πόλει. δοκεῖ δέ μοι τρό-
πον τινὰ καὶ νῦν ἀμείνων ἡ τύχη περὶ ὑμᾶς τῶν ἐφεστηκότων εἶναι. ὃ μὲν γὰρ ἕκαστα 135
ἀπόλλυσθαι, τῆς τῶν ἐπιμελουμένων κακίας σημεῖον προσήκει ποιεῖσθαι. τὸ δὲ μὴ
πάλαι πάντ' ἀπολωλέναι τῆς ὑμετέρας τύχης εὐεργέτημ' ἔγωγε κρίνω. ἐν ᾧ τοί-
νυν ἡ τύχη διαλείπει, καὶ τοὺς ἐχθροὺς ἀνέχει, τῶν λοιπῶν ἐπιμελήθητε. εἰ δὲ μή,
σκοπεῖτε ὅπως μὴ ἅμα τοὺς ἐφεστῶτας ἑκάστοις ὑμεῖς κρίνετε, καὶ τὰ πράγματ' 136
ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, κλινεῖ. οὐ γὰρ ἔστιν ὅπως ταῦτ' αὐτὰ μεγάλου τινὸς στήσε-
ται, μηδενὸς ἀντιλαμβανομένου.

Οὐδέν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο ἄλογον, τοὺς ἀεὶ, καὶ συνεχῶς ὑπὲρ τῶν
ὀλιγαρχιῶν πολιτευομένους, καὶ νῦν ταῦτα ποιοῦντας ἐξελέγχεσθαι. ἀλλ' ἐκεῖνο 137
μᾶλλον ἄν τις εἰκότως θαυμάσαι, τὸ τοὺς εἰδότας ὑμᾶς ταῦτα, πολλάκις ἥδιον τού-
των ἀκούειν, ἢ τῶν ὑπὲρ ὑμῶν λεγόντων. ἴσως μὲν οὖν ὥσπερ οὐδ' ἰδίᾳ ῥᾴδιόν ἐστιν
ἅπαντ' ὀρθῶς πράττειν, οὕτως οὐδὲ κοινῇ. ἀλλ' οὐ δὴ τὰ μέγιστά γε χρὴ παρορᾶν.
τὰ μὲν οὖν ἄλλα πάντ' ἐστὶν ἐλάττω· ὅταν δ' ὑπὲρ πολιτείας, καὶ σφαγῶν, καὶ δήμου 138
καταλύσεως δυσχερεῖς ἀκούητε, πῶς οὐκ ἔξω χρὴ τοῦ φρονεῖν ὑμᾶς αὐτοὺς ἡγεῖσθαι; οἱ
μὲν γὰρ ἄλλοι πάντες ἄνθρωποι τοῖς ἑτέρων παραδείγμασι χρώμενοι, μᾶλλον εὐ-
λαβεῖς αὐτοὶ γίγνονται· ὑμεῖς δὲ, οὐδὲ τὰ τοῖς ἄλλοις συμβαίνοντα ἀκούοντες, φοβη-
θῆναι δύνασθε· ἀλλ' ἃ τοὺς ἰδίᾳ περιμένοντας ἀβελτέρους νομίζετε, ταῦτ' αὐτοὶ 139
δημοσίᾳ μοι δοκεῖτε ἀναμένειν παθόντες αἰσθέσθαι.

ἐζήτησεν. Οὐδεὶς πώποτε ἴσως ὑμῶν ἐξήτασεν, ὦ ἄνδρες Ἀθηναῖοι, τί δήποτε οἱ κακῶς
πράττοντες ἄμεινον περὶ τῶν πραγμάτων, τῶν εὖ πραττόντων βουλεύονται. ἔστι
δ' οὐχ ἑτέρωθέν ποθεν τοῦτο γιγνόμενον· ἀλλ' ὅτι συμβαίνει τοῖς μὲν μήτε φοβεῖσθαι 140
μηδὲν, μηδ' ἄν τις ἂν λέγῃ δεινὰ, προσήκοντ' αὐτοῖς ἡγεῖσθαι· τοὺς δὲ πλησίον ὄντας
τῶν ἁμαρτημάτων, ὅταν εἰς τὸ κακῶς πράττειν ἀφίκωνται, σώφρονας πρὸς τὰ
λοιπὰ, καὶ μετρίους παρέχει. σπουδαίων τοίνυν ἐστὶν ἀνθρώπων, ὅταν βελτίστῃ τῇ
παρούσῃ τύχῃ χρῶνται, τότε πλείω τὴν σπουδὴν πρὸς τὸ σωφρονεῖν ἔχειν. οὐδὲν γὰρ 141
οὔτε φυλαττομένοις οὕτω δεινὸν, ὥστ' ἀφύλακτον εἶναι, οὔτε ὀλιγωροῦσιν ἀπροσδό-
κητον παθεῖν. λέγω δὲ ταῦτα οὐχ ἵνα [illegible] ὑμᾶς δεδίττωμαι. ἀλλ' ἵνα μὴ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

διὰ τὴν πρόσοδον εὐπραξίαν, ἃ γένοιτ᾽ ἄν, εἰ μὴ προνοήσεσθε τῶν πραγμάτων, δεινά, ἀκούοντες καταφρονῆτε, ἀλλ᾽ αὐτὸ τὸ παθεῖν, ὥσπερ ἐστὶ προσῆκον, φάσκοντάς γε μηδένων ἀπολείπεσθαι τῶν σωφρόνων, φυλάξησθε.

142 Οὐχὶ τὸν αὐτὸν εἶναι καιρὸν ὑπείληφα, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦ χαρίζεσθαι, καὶ τοῦ τὰ δοκοῦντά μοι βέλτιστα πράττειν. πολλάκις γὰρ ὁρῶ τὸ χαρίζεσθαι παρὰ γνώμην, πλείονα ἀπέχθειαν ἐνεγκόν, τοῦ τὸ πρῶτον ἐναντιωθῆναι. εἰ μὲν οὖν ἅπαντες ἐγιγνώσκετε ταῦτα, οὔτ᾽ ἂν ἐμοὶ τὰ δέοντα ἐδοκεῖτε προαιρεῖσθαι, οὔτ᾽ ἂν πα- ταὐ
143 ρῆλθον, περίεργον ἡγούμενος τοῖς ἀφ᾽ αὑτῶν, ἃ χρή, ποιοῦσι, λέγειν, ὅτε μὴ τοὐναν- μὴ
τίον. μᾶλλον γὰρ ἂν ἡγησάμην ἕνα ὄντα ἐμαυτὸν ἀγνοεῖν τὰ κράτιστα, ἢ πάντας ὅτ
ὑμᾶς. ἐπειδὴ δὲ ὁρῶ τινὰς ὑμῶν ταῦτα μὲν γιγνώσκοντας ἐμοί, τἀναντία δ᾽ ἄλλοις, ναι ἡγησαίμ
πειράσομαι μετὰ τούτων τοὺς ἑτέρους πεῖσαι. εἰ μὲν οὖν οἴεσθε δεῖν μὴ ἐθέλειν ἀ-
44 κούειν, οὐκ ὀρθῶς ποιήσετε. ἂν δ᾽ ἀκούσητε σιωπῇ, καὶ τοῦθ᾽ ὑπομείνητε, δυοῖν ἀγαθοῖν θάτερον ὑμῖν ὑπάρξει. ἢ γὰρ πεισθήσεσθε, ἄν τι δοκῶ μὲν λέγειν συμφέρον, ἢ βεβαιότερον, περὶ ὧν ἐγνώκατε, ἔσεσθε πεπεισμένοι. ἂν γὰρ ἐπὶ οἷς τι διαμαρτάνειν οἰόμεθ᾽ ἡμεῖς ὑμᾶς, ταῦτα μηδενὸς ἄξια φανῇ, μετ᾽ ἐλέγχου τὰ δεδογμένα νῦν
45 ὑμεῖς ἔσεσθ᾽ ᾑρημένοι.

Βουλοίμην ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ ὧν εὐδοκίμηκε λέγων παρ᾽ ὑμῖν ὁ δεῖνα, ἐπὶ τῶν ἔργων τῶν πραττομένων, ἴσον αὐτῷ τὸν ἔπαινον γενέσθαι. οὔτε γὰρ τούτῳ κακόνους περὶ
εἰμί, μὰ τοὺς θεούς, ὑμῖν τε ἀγαθὸν βούλομαι ἂν γενέσθαι. ἀλλ᾽ ὁρᾶτε, ὦ ἄνδρες Ἀθη-
46 ναῖοι, μὴ κεχωρισμένον ᾖ, λόγον εἰπεῖν εὖ, καὶ προελέσθαι πράγματα συμφέροντα· καὶ τὸ μέν, ῥήτορος ἔργον ἦ· τὸ δέ, νοῦν ἔχοντος ἀνθρώπου. ὑμεῖς τοίνυν οἱ πολλοί, καὶ μάλισθ᾽ οἱ πρεσβύτεροι, λέγειν μὲν οὐκ ὀφείλετε ὁμοίως δύνασθαι τοῖς δεινοτάτοις· τῶν γὰρ εἰθισμένων τοῦτο τὸ πρᾶγμα· νοῦν δ᾽ ἔχειν ὀφείλετε ὁμοίως, καὶ μᾶλλον τούτων.
17 αἱ γὰρ ἐμπειρίαι, καὶ τὸ πολλὰ ἑωρακέναι, τοῦτ᾽ ἐμποιοῦσι. μὴ τοίνυν, ὦ ἄνδρες Ἀθη- τοῦτο
ναῖοι, φανεῖτε ἀγνοοῦντες ἐν τῷ παρόντι νῦν, ὅτι αἱ διὰ τῶν λόγων ἀνδρίαι καὶ θρασύ- φανῆτε
τητες, ἐὰν μὴ μεθ᾽ ὑπαρχούσης ὦσι παρασκευῆς καὶ ῥώμης, ἀκοῦσαι μὲν εἰσὶν ἡδεῖαι, πράττειν δ᾽ ἐπικίνδυνοι. αὐτίκα γάρ, τὸ μὴ ἐπιτρέπειν τοῖς ἀδικοῦσιν ὁρᾶτε ὡς κα-
18 λὸν τὸ ῥῆμα. ἀποβλέψατε δὴ πρῶτον πρὸς τὸ ἔργον αὐτοῦ. δεῖ κρατῆσαι μαχομένους τῶν ἐχθρῶν τοὺς τὴν τοῦ ῥήματος τούτου σεμνότητα ἔργῳ ληψομένους. εἰπεῖν μὲν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, πάντα πέφυκε ῥᾴδιον· πρᾶξαι δ᾽ οὐχ ἅπαντα. οὐ γὰρ ἴσος πόνος, καὶ ἱδρώς, πρό τε τοῦ λέγειν, καὶ πρὸ τοῦ πράττειν ἐστίν. ἐγὼ δ᾽ οὐ χείρους ὑμᾶς
9 ἡγοῦμαι φύσει Θηβαίων· καὶ γὰρ ἂν μαινοίμην· ἀλλ᾽ ἀπαρασκευοτέρους. φημὶ δὴ δεῖν τὸ παρασκευάζεσθαι νῦν ποιήσασθαι τὴν ἀρχήν, ἐπειδὴ τέως ἠμελεῖτε τοῦ διαγωνίζεσθαι. οὐ γὰρ ἀντιλέγω τὸ ὅλον· ἀλλ᾽ ὑπὲρ τοῦ τρόπου τῆς ἐγχειρήσεως ἐναντιοῦμαι.

Ὅσην μέν, ὦ ἄνδρες Ἀθηναῖοι, πεποίηνται σπουδὴν οἱ πρέσβεις κατηγορῆσαι τῆς πόλεως ἡμῶν, ἅπαντες ἑωράκατε. πλὴν γὰρ οὐκ ἔχω τίνος εἴπω, τἄλλα πάντα ὑμῖν ἀναθεῖναι πεπείρανται. εἰ μὲν οὖν ἦσαν αὐτῶν ἀληθεῖς αἱ κατηγορίαι, χάριν γε ἔχετε εἰκότως [illegible] πρὸς ὑμᾶς οὕτως ὑμῶν κατηγόρησαν, καὶ μὴ πρὸς ἄλλους. ἐπειδὴ δὲ διαστρέψαντες τἀληθῆ, καὶ τὰ μὲν παραβαίνοντες, ἀφ᾽ ὧν ἂν μεγάλους ἐπαίνους κομίσαι[illegible]ε δικαίως, τὰ δ᾽ αἰτιασάμενοι ψευδῆ, καὶ οὐ προσήκονθ᾽ ὑμῖν, κέχρηνται τῷ λόγῳ, τοιούτους δίκαιον αὐτούς, ἐπειδὰν ἐξελεγχθῶσι ταῦτα πεποιηκότες, νομίζειν. εἰ γὰρ ῥή[illegible]ες δεινοὶ μᾶλλον εἶναι δοκεῖν, ἢ μετ᾽ ἀληθείας ἐπιεικεῖς ἄνθρωποι νομίζεσθαι

Ἔστι μὲν οὖν χαλεπὸν) Ἐν τοῖς ἀντιγράφοις τυπωθεῖσι τὰ ἑπόμενα κεχώρισται τῶν προηγουμένων, οὐκ ὀρθῶς. μέρος γάρ ἐστι τοῦ προοιμίου, Οἶμαι μὲν, ὦ ἄνδρες Ἀθην.

νομίζεσθαι προείλοντο, οὐδ' αὐτοὶ καλοκἀγαθίας ἄν, ὡς ἔοικεν, ἀμφισβητοῖεν. ἔστι μὲν οὖν χαλεπὸν τὸ πρὸς 151
ὑμῖν ὑπὲρ ὑμῶν ἐρημῶτα ἀρεστηκέναι, ὥσπερ ῥᾴδιον τὸ καθ' ὑμῶν. ἐγὼ γὰρ μὰ τὴν Ἀθηνᾶν, οὐδένας τῶν ἄλλων ἀνθρώπων οὕτως οἶμαι τὰ μὴ προσόντα αὐτοῖς ἀκοῦσαι νουθετουμένους, ὡς ὑμεῖς τὰ μὴ προσήκοντα, κακῶς ἀκούοντες. οὐ μὴν οὐδὲ τούτους θρασέως ἂν 152
οὕτως ἡγοῦμαι ψεύδεσθαι, εἰ μὴ συνῄδεσαν ταῦτα, καὶ πρόδηλον ἦν, ὅτι δεινότατοι πάντων ὑμεῖς ἐστὲ ἀκούειν ὅ,τι ἄν τις καθ' ὑμῶν λέγῃ. εἰ μὲν οὖν ταύτης τῆς εὐηθείας δίκην ὑμᾶς δεῖ διδόναι, λόγους οὐ προσήκοντας κατὰ τῆς πόλεως ἀκούειν τοῦτ' ἂν εἴη. εἰ δ' ὑπὲρ τῶν λοιπῶν εἴ τι δίκαιον ῥητέον, ἐπὶ τοῦτ' ἐγὼ παρελήλυθα, 153
πιστεύων οὐκ αὐτὸς ἀξίως τῶν ὑμῖν πεπραγμένων εἰπεῖν δυνήσεσθαι, ἀλλὰ τὰ πράγματα, ὅπως ἄν τις εἴπῃ, δίκαια φανεῖσθαι. βουλοίμην δ' ἂν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, ἴσους ἀκροατὰς ὑπὲρ ὑμῶν αὐτῶν γενέσθαι, καὶ μὴ τῷ προσπᾶσθαι, τοὺς λόγους ἐπαινέσαι τούτων φιλονεικεῖν. οὐ γὰρ ἂν ὑμετέραν κακίαν οὐδεὶς 154
ἔτι κρίναι, εἰ λέγοντός τινος εὖ παρεκρούσθητε· ἀλλὰ τῶν ἐπὶ τούτῳ σπουδὴν ποιησαμένων, ὅπως ὑμᾶς ἐξαπατήσωσιν.

Οἶμαι πάντας ἂν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, φῆσαι, ἃ βέλτιστα ἕκαστος ἡγεῖται τῇ πόλει, βούλεσθαι ταῦτα πραχθῆναι. συμβαίνει δέ γε μὴ κατ' αὐτὸ κεκρίσθαι 155
παρὰ πᾶσι τὸ βέλτιστον. οὐ γὰρ ἂν ὑμῶν οἱ μὲν λέγειν, οἱ δὲ μὴ λέγειν ἐκέλευον. πρὸς μὲν τοίνυν τοὺς ὑπειληφότας ταῦτα συμφέρειν, οὐδενὸς δεῖ λόγου τῷ μέλλοντι λέγειν. πεπεισμένοι γὰρ ὑπάρχουσι. πρὸς δὲ τοὺς τἀναντία συμφέρειν ἡγουμένους, βραχέα εἰπεῖν βούλομαι. μὴ θέλουσι μὲν οὖν ἀκούειν, οὐκ ἔνι δήπου μαθεῖν οὐδὲν μᾶλλον, 156
ἢ σιωπῶσι μηδενὸς λέγοντος. ἀκούσασι δὲ δυοῖν ἀγαθοῖν οὐκ ἔνι θατέρου διαμαρτεῖν. ἢ γὰρ πεισθέντες πάντες καὶ °ταῦτ' ἐγνωκότες, κοινότερον βουλεύσεσθε, οὗ μεῖζον εἰς τὰ παρόντα οὐδὲν ἂν γένοιτο ἀγαθόν· ἢ μὴ δυνηθέντος τοῦ λέγοντος διδάξαι, βεβαιότερον τοῖς ἐγνωσμένοις πιστεύσετε. χωρὶς δὲ τούτων οὐδὲ καλὴν ὑπο- 157
ψίαν ἔχει, ἥκειν μὲν εἰς τὴν ἐκκλησίαν ὡς ἐκ τῶν ῥηθησομένων τὸ κράτιστον ἑλέσθαι δέον, φαίνεσθαι δὲ πρὶν ἐκ τῶν λόγων δοκιμάσαι, παρ' ὑμῖν αὐτοῖς τι *πεπεισμένους· καὶ τοῦθ' οὕτως ἰσχυρόν, ὥστε *μηδ' ἐθέλειν παρὰ ταῦτ' ἀκούειν.

° γρ. ταὐτὰ

* πεπιεσ-σμένους·

* μηδὲν

Ἴσως ὀχληρός, ὦ ἄνδρες Ἀθηναῖοι, τισὶν ὑμῶν εἶναι δοκῶ, πολλάκις λέγων 158
περὶ τῶν αὐτῶν ἀεί. ἀλλ' ἐὰν ὀρθῶς σκοπῆτε, οὐκ ἐγὼ φανήσομαι τούτου δίκαιος ὢν ἔχειν τὴν αἰτίαν· ἀλλ' οἱ μὴ πειθόμενοι τοῖς ἡμετέροις ψηφίσμασιν. εἰ γὰρ ἐκεῖνοι τὸ πρῶτον *ἐποίησαν ἃ ὑμεῖς προσετάξατε, οὐδὲν ἂν τὸ δεύτερον ἡμᾶς ἔδει λέγειν, οὐδ' εἰ τὸ δεύτερον, αὖθις. νῦν δ' ὅσῳ πλεονάκις τὰ προσήκοντα ὑμῖν 159
ὑμεῖς ἐψηφίσασθε, τοσούτῳ μοι δοκοῦσιν ἧττον ἐκεῖνοι παρεσκευάσθαι ποιεῖν. πρότερον μὲν οὖν ἔγωγε μὰ τοὺς θεούς, οὐκ ᾔδειν πρὸς τί ποτ' εἴη τοῦτ' εἰρημένον, ἀρχὴ ἄνδρα δείκνυσι. νῦν δὲ κἂν ἄλλον μοι δοκῶ διδάξαι. οἱ γὰρ ἄρχοντες, ἤ τινες αὐτῶν, ἵνα μὴ πάντας λέγω, τῶν μὲν ἡμετέρων ψηφισμάτων ἀλλ' οὐδὲ τὸ 160
μικρότατον φροντίζουσιν· ὅπως δὲ λήψονται. εἰ μὲν οὖν [illegible] δοῦναι, δικαίως ἂν αὐτὸ τοῦτό μοί τις ἐπέπληξεν, εἰ διὰ μικρὸν ἀνάλωμα, ἐνοχλεῖν ὑμῖν ᾑρούμην. νῦν δὲ οὐκ ἔνι, καθάπερ οὐδὲ τούτοις λήγειν. εἰσὶ δ' ὑπὲρ ὧν τὰ ... λειτουργεῖν δεῖ, προσαθήσειν αὐτοῖς οἴονταί με, ληροῦσι. καὶ ταῦτα ἴσως βούλονται, ἃ καὶ προσοδο-

* ἐποίησαν ἄν, ἃ ὑμ.

κῶσιν. ἐγὼ δ᾽ οὐ ποιήσω ταῦτα. ἀλλ᾽ ἐὰν μὲν δῶσι, καθέλξω τὴν ναῦν, καὶ τὰ προσήκοντα ποιήσω. εἰ δὲ μή, τοὺς αἰτίους ὑμῖν ἀποφανῶ.

Οὐδένα ἂν εὖ φρονοῦντα ἀντειπεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, νομίζω, ὡς οὐχ ἁπάν-
162 των ἄριστόν ἐστι τῇ πόλει, μάλιστα μὲν ἐξ ἀρχῆς μηδὲν ἀσύμφορον πράττειν. εἰ
δὲ μή, παρεῖναι εὐθὺς τοὺς ἐναντιωσομένους. δεῖ μέντοι τούτῳ προσεῖναι, καὶ θέ-
λοντας ἀκούειν ὑμᾶς, καὶ διδάσκεσθαι. οὐδὲν γὰρ πλέον εἶναι τὸν ἐροῦντα τὰ βέλ-
τιστα, ἂν μὴ τοὺς ἀκουσομένους ἔχῃ. οὐ μὴν οὐδὲ ἐκεῖνο ἀλυσιτελὲς μετὰ ταῦτ᾽
163 ἂν φανείη, ὅσ᾽ ἄν τις ὑμᾶς ἢ διὰ καιρόν, ἢ δι᾽ ὥραν ἡμέρας, ἢ δι᾽ ἄλλην τινὰ αἰ-
τίαν παρακρούσηται, ταῦθ᾽, ὅταν ποτὲ βούλησθε, ὑμῶν αὐτῶν ὄντες, ἀκούειν, εἶναι
τὸν ἐξετάσοντα πάλιν· ἵνα, ἐὰν μέν, ὡς φασὶν οἱ τότε πείσαντες, φανῇ, προθυμό-
τερον πράττητε, ὡς ἔλεγχον δεδωκότα· ἐὰν δ᾽ ἄρα μὴ τοιαῦτα εὑρεθῇ, πρὶν πρό-
164 ρωτέρω προελθεῖν, ἐπίσχητε. καὶ γὰρ ἂν δεινὸν εἴη, εἰ τοῖς τοῦ κρατίστου διαμαρτοῦ-
σι, τὸ χεῖρον ἀνάγκη πράττειν, ἢ εἰ "καὶ μὴ τὸ δεύτερον ἐκ τῶν λοιπῶν ἐξεῖη " καὶ μὴ κατὰ τὸν δεύτερον
μεταβουλεύσασθαι. τοὺς μὲν οὖν ἄλλους ἅπαντας ἔγωγε ὁρῶ τὴν ἀκρόασιν παρα- πλοῦν ἐξεῖν
τεινομένους, ὅταν τι πιστεύωσι δικαίως αὐτοῖς πεπρᾶχθαι. οὗτοι δ᾽ αὖ τοὐναντίον μετ.
165 ἐγκαλοῦσιν, εἰ περὶ ὧν ἡμάρτετε, νῦν ἀναθέσθαι βούλεσθε, τὴν ἀπάτην κυριωτέ-
ραν οἰόμενοι δεῖν εἶναι τῆς μετὰ τοῦ χρόνου βασάνου. τὴν μὲν οὖν τούτων σπουδὴν
οὐδ᾽ ὑμῶν ἴσως ἀγνοοῦσιν οἱ πολλοί. δεῖ δ᾽ ὑπὲρ τῶν πραγμάτων, ἐπειδὴ παρ-
γέγονε λόγου τυχεῖν, ἅ τις ἡγεῖται κράτιστα, λέγειν.

166 Ὅτι μὲν μέλλει συνοίσειν πάσῃ τῇ πόλει, τοῦτο καὶ λέγειν εὔχομαι πάντας, ὦ ἄν-
δρες Ἀθηναῖοι, καὶ ὑμᾶς αἱρεῖσθαι. ἐγὼ δ᾽ οὖν ἃ πεπεικὼς ἐμαυτὸν τυγχάνω μά-
λιστα συμφέρειν ὑμῖν, ταῦτ᾽ ἐρῶ, δεηθεὶς ὑμῶν τοσοῦτον, μήτε τοὺς ἐξιέναι κελεύον-
τας ὑμᾶς, διὰ τοῦτο νομίζειν ἀνδρείους, μήτε τοὺς ἀντιλέγειν ἐπιχειροῦντας, διὰ
167 τοῦτο κακούς. οὐ γὰρ ὁ αὐτὸς ἔλεγχος, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν τε λόγων καὶ τῶν πραγ-
μάτων ἐστίν· ἀλλὰ δεῖ νῦν εὖ βεβουλευμένους ἡμᾶς φανῆναι· τότε δέ, ἂν ἄρα
"ταῦτα δοκῇ, τὰ τῆς "ἀνδρείας ἀποδείξασθε. ἡ μὲν οὖν ὑμετέρα προθυμία, πάν- " ταυτὶ
τὸς ἀξία. καὶ τοιαύτη πάρεστιν, οἵαν ἄν τις εὔξαιτο εὔνους ὢν τῇ πόλει· νῦν δ᾽ ὅσῳ "ἀνδρίας ἀπο-
τυγχάνει σπουδαιοτέρα, τοσούτῳ δεῖ μᾶλλον προϊδεῖν, ὅπως εἰς δέον καταχρήσεσθε δείξασθαι.
αὐτῇ. οὐδενὸς γὰρ εὐδοκιμεῖ πράγματος ἡ προαίρεσις, ἂν μὴ καὶ τὸ τέλος συμ-
φέρον καὶ καλὸν λάβῃ. ἐγὼ δὲ οἶδά ποτε, ὦ ἄνδρες Ἀθηναῖοι, παρ᾽ ὑμῖν ἀκούσας
ἀνδρὸς οὔτε ἀνοήτου δοκοῦντος εἶναι, οὔτ᾽ ἀπείρου πολέμου, Ἰφικράτους λέγω, ὃς
ἔφη δεῖν οὕτω προαιρεῖσθαι κινδυνεύειν τὸν στρατηγόν, ὅπως μὴ τά, ἢ τά γενήσεται·
ἀλλ᾽ ὅπως τά. οὕτω γὰρ εἶπε τῷ ῥήματι. ἦν δὴ τοῦτο γνώριμον, ὅτι ὅπως καλῶς
ἀγωνιεῖται, ἔλεγεν. ἐπειδὰν μὲν τοίνυν ἐξέλθητε, ὃς ἂν ἡγῆται, κύριος ὑμῶν ἐστί.
νῦν δ᾽ ἕκαστος ὑμῶν αὐτῶν στρατηγεῖ. δεῖ δὴ τὰ τοιαῦτα φανῆναι βεβουλευμένους,
δι᾽ ὧν πανταχῶς συνοίσει τῇ πόλει, καὶ μὴ μελλούσης ἕνεκ᾽ ἐλπίδος τῆς παρούσης
εὐδαιμονίας χεῖρόν τι ποιήσετε.

Οὐδέν᾽ ἂν οἴομαι, ὦ ἄνδρες Ἀθηναῖοι, πιστεύοντα τοῖς πεπραγμένοις ἐγκαλέσαι τοὺς καθιστάντας εἰς λόγον ταῦτα. ὅσῳ γὰρ ἂν πλεονάκις ἐξετάζῃ τις αὐτά, ἀνάγκη τοὺς τούτων αἰτίους εὐδοκιμεῖν. οὐ μὴν ἀλλά μοι δοκοῦσιν αὐτοὶ φανερὸν καθιστάναι, οὐκ ἐπὶ τῶν τῇ πόλει συμφερόντων πράξαντες. οἱ γοῦν ἐξελέγχεσθαι μέλλοντες, ἐὰν πάλιν εἰς λόγον ἔλθωσιν, φεύγουσι, καὶ δεινὰ ποιεῖν ἡμᾶς φασί.

φασί. καίτοι ὅταν τοὺς ἐξελέγχειν βουλομένους, δεινὰ ποιεῖν αἰτιᾶσθε, ἢ ἡμεῖς τοὺς
ἡμᾶς αὐτοὺς ἐξηπατηκότας, τηνικαῦτα λέγομεν. 172

ἦν Ἦν μὲν οὖν δίκαιον, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν ἴσην ἔχειν παρ' ὑμῶν ὀργὴν τοῖς
ἐπιχειροῦσιν, ὅσηνπερ τοῖς δυνηθεῖσιν ἐξαπατῆσαι. ὁ μὲν γὰρ ἦν ἐπὶ τούτοις, πε-
προηγάγ- ἢ προήγαγον πεποίηκεν· ᾗ προήγαγον ὑμᾶς· τοῦ δὲ μὴ τέλος ταῦτα ἔχειν, ἡ τύχη, καὶ τὸ βέλ-
τιον νῦν ὑμᾶς φρονεῖν, ἢ ὅτ' ἐξήχθητε ὑπὸ τούτων, γέγονεν αἰτία. οὐ μὴν ἀλλ' 173
ἔγωγ' οὕτω πόρρω νομίζω τὴν πόλιν εἶναι τοῦ δίκην παρὰ τῶν ἀδικούντων λαμ-
ἂν βάνειν, ὡς ἀγαπητὸν εἶναί μοι δοκεῖ, ἂν ὅπως μὴ πείσεσθε κακῶς, δυνήσεσθε φυ-
ἢ κ. ... ὑπό-στασις λάξασθαι· τοσαῦται τέχναι, καὶ γοητεῖαι, καὶ ὅλως ὑπηρεσίαι τινές εἰσιν ἐφ' ὑμᾶς
κατεσκευασμέναι. τῆς μὲν οὖν τούτων κακίας, οὐκ ἂν ἐν τῷ παρόντι τις ἐν δέοντι 174
μάλιστα κατηγορήσειε. βούλομαι δ' ὑπὲρ ὧν ἀρέσκει, ἃ νομίζω συμφέροντ', εἰπεῖν.

Ἡ μὲν οὖν εἰωθυῖα πάντα τὸν χρόνον βλάπτειν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν πό-
λιν λοιδορία καὶ ταραχή, καὶ νῦν γέγονε παρὰ τῶν αὐτῶν, ὧνπερ ἀεί. ἄξιον δ' οὐχ
οὕτω τούτοις ἐπιτιμῆσαι· ἴσως γὰρ ὀργῇ καὶ φιλονεικίᾳ ταῦτα πράττουσιν· καὶ τὸ 175
μέγιστον ἁπάντων, ὅτι συμφέρει ταῦτα ποιεῖν αὐτοῖς· ἀλλ' ὑμῖν, εἰ περὶ κοινῶν, ὦ
ἄνδρες Ἀθηναῖοι, πραγμάτων, καὶ μεγάλων συνειλεγμένοι, τὰς ἰδίας λοιδορίας
ἀκροώμενοι κάθησθε, καὶ οὐ δύνασθε πρὸς ὑμᾶς αὐτοὺς λογίσασθαι τοῦτο, ὅτι αἱ
τῶν ῥητόρων ἁπάντων ἄνευ κρίσεως πρὸς ἀλλήλους λοιδορίαι, ὡς ἂν ἀλλήλους 176
ἐξελέγξωσιν, ὑμᾶς τὰς εὐθύνας διδόναι ποιοῦσι. πλὴν γὰρ ὀλίγων ἴσως, ἵνα μὴ πάν-
τας εἴπω, οὐδεὶς αὐτῶν θάτερος θατέρῳ λοιδορεῖται, ἵνα βέλτιόν τι τῶν ὑμετέρων γέ-
νηται· πολλοῦ γε καὶ δεῖ· ἀλλ' ἵνα, ἃ τὸν δεῖνά φασι ποιοῦντα, ἂν δέῃ, δεινότα-
τ' ἀνθρώπων ποιεῖν, ταῦτ' αὐτὸς μετὰ πλείονος ἡσυχίας διαπράξηται. ὅτι δ' 177
πιστεύσαιτε, οὕτω ταῦτ' ἔχει, μὴ ἐμοὶ πιστεύσητε, ἀλλ' ἐν βραχεῖ λογίσασθε. ἔστιν ὅπου τις
ἀναστὰς εἶπε παρ' ὑμῖν πώποτε βουλόμενός τι λαβεῖν τῶν ὑμετέρων, παρελήλυθα,
ἐμοῦ; ὦ ἄνδρες Ἀθηναῖοι, οὐχ ὑπὲρ ἡμῶν; οὐδεὶς δήπου, ἀλλ' ὑπὲρ ὑμῶν, καὶ δι'
ὑμᾶς, καὶ ταύτας τὰς προφάσεις λέγουσι. φέρε δὴ σκέψασθε τί δή ποτε, ὦ ἄν- 178
δρες Ἀθηναῖοι, ὑπὲρ ὧν ἅπαντες λέγουσιν, οὐδὲν βέλτιον τοῖς ὅλοις νῦν, ἢ πρότε-
ρον πράττετε· οὗτοι δ' οἱ πάντες ὑπὲρ ὑμῶν, ὑπὲρ αὑτῶν δ' οὐδεὶς οὐδὲν πώ-
εἰρηκότες, ποτ' εἰρηκώς, ἐκ πτωχῶν πλούσιοι γεγόνασιν· ὅτι φασὶ μέν, ὦ ἄνδρες Ἀθηναῖοι,
φιλεῖν ὑμᾶς, φιλοῦσι δ' οὐχ ὑμᾶς, ἀλλ' αὑτούς. καὶ γελάσαι, καὶ θορυβῆσαι, καί 179
ποτ' ἐλπίσαι μετεδώκαμεν ὑμῖν· λαβεῖν δέ, ἢ κτήσασθαι τῇ πόλει κυρίως ἀγαθὸν
ἀρρωστίας ἀπαλλαγείη, ταύτῃ οὐδὲν ἂν βούλοιντο. ᾗ γὰρ ἂν ἡμέρᾳ τῆς λίαν ἀρρωστίας ἀπαλλαγῆτε, ταύτῃ τού-
τους οὐδ' ὁρῶντες ἀνέξεσθε. νῦν δὲ δραχμῇ καὶ χοῖ καὶ τέτταρσιν ὀβολοῖς, ὥσπερ
ἀσθενοῦντα τὸν δῆμον διάγουσιν, ὁμοιότατα, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς παρὰ τῶν 180 Ὁμοιότατα, ὦ ἄνδρες Ἀθην. τοῖς παρὰ τῶν ἰατρῶν σιτ.) Ταῦτα κεῖται ἐν τῷ Ὀλυνθιακῷ τρίτῳ οὐ πάνυ πόρρω τοῦ τέλους.
ἰατρῶν σιτίοις διδόντες ὑμῖν. καὶ γὰρ ἐκεῖνα, οὔτ' ἰσχὺν ἐντίθησιν, οὔτε ἀποθνήσκειν
ἐᾷ· καὶ ταῦτα, οὔτ' ἀπογνόντας ἄλλο τι μεῖζον πράττειν ἐᾷ, οὔτε αὐτὰ ἐξαρκεῖν
δύναται.

Καὶ δίκαιον, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ καλὸν καὶ σπουδαῖο[...] ὑπὲρ ὑμεῖς εἰώθατε, 181
καὶ ἡμᾶς προνοεῖν, ὅπως τὰ πρὸς τοὺς θεοὺς εὐσεβῶς ἕξει. ἡ [...] οὖν ἡμετέρα γέ-
γονεν ἐπιμέλεια ὑμῖν εἰς δέον. καὶ γὰρ ἐθύσαμεν τῷ Διὶ τῷ Σωτῆρι, καὶ τῇ Ἀθηνᾷ,
καὶ τῇ Νίκῃ, καὶ γέγονε καλὰ καὶ σωτήρια ταῦθ' ὑμῖν τὰ ἱερά. ἐθύσαμεν δὲ καὶ τῇ
Πειθοῖ, καὶ τῇ Μητρὶ τῶν θεῶν, καὶ τῷ Ἀπόλλωνι· καὶ ἐκαλλιεροῦμεν καὶ ταῦτα. 182



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εὖ δ' ὑμῖν καὶ τὰ τοῖς ἄλλοις θεοῖς τυθέντα ἱερά, ἀσφαλῆ, καὶ βέβαια, καὶ καλά, καὶ
σωτήρια. δέχεσθε οὖν παρὰ τῶν θεῶν διδόντων τἀγαθά.

Ἦν τις, ὡς ἔοικε, χρόνος παρ' ὑμῖν, ὦ ἄνδρες ἀθηναῖοι, ὅτ' ἐπηνάγκαζεν ὁ δῆ-
183 μος, ὃν ἂν ἄνθρωπον ἴδοι σώφρονα καὶ χρηστόν, πράττειν τὰ κοινά, καὶ ἄρχειν, οὐ
σπάνει τῶν τοῦτο βουλομένων ποιεῖν· πάντα γὰρ τἆλλα εὐτυχῆ τὴν πόλ[illegible] κρίνων, ἐ[illegible]
οὐδέ ποτ' '' εὐτυχῆσαι τοῦτο νομίζω, ἐπιλείπειν αὐτὴν τοὺς τὰ κοινὰ καρποῦσθαι
βουλομένους. ἀλλ' ὅραμα τοῦτο ἐποιεῖτο ὁ δῆμος αὐτοῦ καλόν, ὦ ἄνδρες ἀθηναῖοι,
184 καὶ λυσιτελὲς τῇ πόλει. οἵ τε γὰρ συνεχεῖς οἵδε παραζευγνύμενοι σφίσιν, ἐξ ἰδίων
[illegible] σπουδαίων καὶ δικαίων ἀνδρῶν εὐλαβεστέρους αὐτοὺς παρεῖχον· οἵ τε χρηστοὶ μὲν
, καὶ ὑμῶν καὶ δικαίως ἄρχοντες, μὴ πάνυ δ' οἷοί τ' ἐνοχλεῖν, καὶ παραγγέλλειν, οὐκ
ἀπηλαύνοντο τῆς τιμῆς. νῦν δὲ παντάπασι τὸν αὐτὸν τρόπον, ὦ ἄνδρες ἀθηναῖοι,
185 ὅνπερ τοὺς ἱερεῖς, οὕτω καθίστατε καὶ τοὺς ἄρχοντας. εἶτα θαυμάζετε ἐπειδὰν ὁ δεῖ-
να εὐδαίμων καὶ ὁ δεῖνα ὑμῖν ᾖ συνεχῶς πολλὰ λαμβάνων, οἱ δ' ἄλλοι * περιῆτε * περιιόντ[illegible]
τὰ τούτων ἀγαθὰ ζηλοῦντες. δεινότατοι γὰρ ἐστὲ ἀφῃρέσθαι μὲν ὅσα ὑμῖν ὑπάρχει,
καὶ νόμους περὶ τούτων θεῖναι, ἂν τις ἀστυνομήσῃ δίς, ἢ τὰ τοιαῦτα· στρατηγεῖν δ' ἀεὶ
186 τοὺς αὐτοὺς ἐᾶν. καὶ τὸ μὲν τοὺς ἐπὶ πράξεων ὄντας, ἴσως ἔχει πρόφασιν· τὸ δὲ τοὺς
ἄλλους, οἳ ποιοῦσι μὲν οὐδέν, χώραν δὲ ἀτέλεστον ἔχουσιν αὐτοί, τετελεσμένη μω-
ρία. ἀλλὰ καὶ * ὑμῶν αὐτῶν, εἰσὶ δ' οὐκ ὀλίγοι, προστάττειν χρή. ἂν γὰρ ὥσπερ εἰ * ἐξ ὑμῶν αὐτῶν,
ζυγὸν ἱστῆτε, πρόεισιν ὃς ἂν ἄξιος ᾖ τοῦ μετ' ταῦτα αὐτός.

187 Τὸ μέν, ὦ ἄνδρες ἀθηναῖοι, πεπεικότα ἑαυτὸν ἔχειν τι συμφέρον εἰπεῖν, ἀνίστα-
σθαι, καὶ καλὸν καὶ προσῆκον εἶναί μοι δοκεῖ. τὸ δὲ μὴ βουλομένους ἀκούειν βιά-
ζεσθαι, παντελῶς ἔγωγε αἰσχρὸν ἡγοῦμαι εἶναι. οἴομαι δέ, ἐὰν ἐθελήσητέ μοι * πεί- * πείθεσθαι
σεσθαι τήμερον, καὶ τὰ βέλτιστα μᾶλλον ὑμᾶς αἱρεῖσθαι δυνήσεσθαι, καὶ ' τοὺς τῶν ' τοῦτο
188 ἀναβαινόντων λόγους βραχεῖς ποιήσειν. τί οὖν συμβουλεύω; πρῶτον μέν, ὦ ἄνδρες
ἀθηναῖοι, περὶ αὐτῶν, ὧν σκοπεῖτε, τὸν ' παρόντα λέγειν ἀξιοῦν. πολλὰ γὰρ ἄλλα ' παριόντα
τις ἂν περιέλθοι τῷ λόγῳ, καὶ πόλλ' ἂν ἀστεῖα εἴποι ἄλλως τε, καὶ ὥσπερ τούτων ἔνιοι
δεινῶν ὄντων. ἀλλ' εἰ μὲν ῥημάτων ἥκετε ἀκουσόμενοι, ταῦτα λέγειν καὶ ἀκούειν χρή.
189 εἰ δ' ὑπὲρ πραγμάτων αἱρέσεως βουλευσόμενοι, αὐτὰ καθ' ἑαυτὰ παραινῶ τὰ
πράγματα ὡς μάλιστα κρίνειν, ἀφελόντας ὅσοι λόγοι πεφύκασιν ἐξαπατᾶν. ἓν μὲν
οὖν τοῦτο λέγω. δεύτερον δέ, ὅ, τι τισὶν ἴσως παράδοξον ἔσται, πρὸς τὸ τοὺς λόγους
ἐλάττους εἶναι, σιωπῶντας ἀκούειν. περὶ μὲν γὰρ τοῦ ταῦτα, ἢ ἐκεῖνα συμφέρειν, καὶ
190 πότερα δικαιότερα ἂν προέλοιθ' ἡ πόλις, οὔτ' εἰσὶ λόγοι πολλοὶ μὴ βουλομένοις
μάτην ἀδολεσχεῖν, οὔτε πάλιν τις ἂν αὖθις εἰπεῖν ἔχοι. ὡς δὲ ' καὶ δίκαιον ἀκούειν, ' καὶ δίκαιον, ἀκούειν,
καὶ πρὸς τὸν θόρυβον ἀποκρίνεσθαι, καὶ λόγον ἐκ λόγου λέγειν, οὐδείς, ὅστις οὐχὶ
δύναιτ' ἄν. ἐκ δὲ τοῦ θορυβεῖν οὐκ ἀπαλλάττεσθε λόγων, ἀλλὰ καὶ περὶ τῶν
191 οὐδὲν εἰς χρείαν ἐπαναγκάζεσθε ἀκούειν. ἡ μὲν οὖν ἐμὴ γνώμη περὶ ὧν βου-
λεύεσθε, ἥδ' ἐστίν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΔΗΜΟΣΘΕΝΟΥΣ ΕΠΙΣΤΟΛΑΙ.

## ΠΕΡΙ ΤΗΣ ΟΜΟΝΟΙΑΣ,

## ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ.

Δημοσθένης τῇ βουλῇ, καὶ τῷ δήμῳ χαίρειν.

ΠΑΝΤΟΣ ἀρχομένῳ σπουδαίου λόγου καὶ ἔργου, ἀπὸ τῶν 1
θεῶν ὑπολαμβάνω προσήκειν πρῶτον ἄρχεσθαι. εὔχομαι δὲ τοῖς θεοῖς πᾶσι καὶ πάσαις, ὅ, τι τῷ δήμῳ τῷ ἀθηναίων ἄριστόν ἐστι, καὶ τοῖς εὐνοοῦσι τῷ δήμῳ, καὶ νῦν, καὶ ἐς τὸν ἔπειτα χρόνον, τοῦτ' ἐμοὶ μὲν ἐπὶ νοῦν ἐλθεῖν, γράψαι· τοῖς 2
δ' ἐκκλησιάσασιν ἀθηναίων, ἑλέσθαι. εὐξάμενος δὲ ταῦτα, τῆς ἀγαθῆς ἐπινοίας ἐλπίδα ἔχων παρὰ τῶν θεῶν, τάδ' ἐπιστέλλω. Περὶ μὲν τῆς ἐμῆς οἴκαδε ἀφίξεως, ἀεὶ νομίζω πᾶσιν ὑμῖν ἔσεσθαι βουλεύσασθαι. διόπερ νῦν οὐδὲν περὶ αὐτῆς γέγραφα. τὸν δὲ παρόντα καιρὸν ὁρῶν, ἑλομένων μὲν ὑμῶν τὰ δέοντα, ἅμα 3
δόξαν καὶ σωτηρίαν καὶ ἐλευθερίαν δυνάμενον κτήσασθαι οὐ μόνον ὑμῖν, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν ἕλλησιν· ἀγνοησάντων δέ, ἢ παρακρουσθέντων, οὐ ῥᾴδιον αὖθις τὸν αὐτὸν ἀναλαβεῖν· ᾠήθην χρῆναι τὴν ἐμαυτοῦ γνώμην ὡς ἔχω περὶ τούτων εἰς μέσον θεῖναι. Ἔστι μὲν οὖν ἔργον ἐξ ἐπιστολῆς ἐμμεῖναι συμβουλῇ· πολλοῖς γὰρ εἰώ- 4
θατε ἀπαντᾶν ὑμεῖς πρὸ τοῦ περιμεῖναι μαθεῖν. λέγοντι μὲν οὖν ἐστιν αἰσθέσθαι τί βούλεσθε, καὶ διορθώσασθαι τὰ γνοούμενα, ῥᾴδιον. τὸ δὲ βιβλίον οὐδεμίαν ἔχει βοήθειαν τοιαύτην πρὸς τοὺς θορυβοῦντας. οὐ μὴν ἀλλ', ἐὰν ἐθελήσητε ἀκοῦσαι σιγῇ, καὶ περιμείνητε πάντα μαθεῖν, οἴομαι καὶ σὺν θεοῖς *εἰρῆσθαι, καὶ περ βρα- 5
χέων τῶν γεγραμμένων ὄντων, αὐτός τε φανήσεσθαι μετὰ πάσης εὐνοίας τὰ δέοντα περὶ ὑμῶν πράττων, καὶ τὰ συμφέροντα ὑμῖν ἐμφανῆ δείξειν. οὐχ ὡς ἀπορούντων δὲ ὑμῶν ῥητόρων, οὐδὲ τῶν ἄνευ λογισμοῦ ῥᾳδίως, ὅ, τι ἂν τύχωσιν, ἐρούντων, ἔδοξέ μοι τὴν ἐπιστολὴν πέμπειν· ἀλλ' ὅσα τυγχάνω δι' ἐμπειρίαν, καὶ τὸ παρηκο- 6
λουθηκέναι τοῖς πράγμασιν εἰδώς, ταῦτ' ἐβουλήθην τοῖς μὲν *προῃρημένοις λέγειν ἐμφανῆ ποιήσας, ἀφθόνους ἀφορμὰς ὧν ὑπολαμβάνω συμφέρειν ὑμῖν δοῦναι· τοῖς δὲ πολλοῖς, ῥᾳδίαν τὴν τῶν βελτίστων αἵρεσιν καταστῆσαι. ὧν μὲν οὖν ἕνεκα ἐπῆλθέ μοι τὴν ἐπιστολὴν γράφειν, ταῦτ' ἐστί. Δεῖ δὲ ὑμᾶς, ὦ ἄνδρες ἀθηναῖοι, 7
πρῶτον μὲν ἁπάντων πρὸς ὑμᾶς αὐτοὺς ὁμόνοιαν εἰς τὸ κοινῇ συμφέρον τῇ πόλει παρασχέσθαι, καὶ τὰς ἐκ τῶν προτέρων ἐκκλησιῶν ἀμφισβητήσεις ἐᾶσαι· δεύτερον δὲ πάντας ἐκ μιᾶς γνώμης τοῖς δόξασι προθύμως συναγωνίζεσθαι. ὡς τὸ μηδέν, μηδ' ἁπλῶς πράττειν, οὐ μόνον ἐστὶν ἀνάξιον ὑμῶν, καὶ ἀγεννές, ἀλ- 8
λὰ καὶ τοὺς μεγίστους κινδύνους ἔχει. δεῖ δὲ μηδὲ ταῦτα λαθεῖν ὑμᾶς, ἃ καθ' αὑτὰ μὲν οὐκ ἔστιν αὐτάρκη κατασχεῖν τὰ πράγματα, προστεθέντα δὲ ταῖς δυνάμεσι, πολλῷ πάντ' εὐκατεργαστότερα ὑμῖν ποιήσει. τίνα οὖν ἐστὶ ταῦτα; μήτε πόλει μηδεμιᾷ, μήτε τῶν ἑκάστῃ τῶν πόλεων συνηγωνισμένων τοῖς καθεστηκόσι, μήτε πι- 9
κραίνεσθαι, μήτε μνησικακεῖν. ὁ γὰρ τοιοῦτος φόβος *τοὺς συνειδότας αὑτοῖς, ὡς †ἀναγκαίοις τοῖς συνεστηκόσι, κίνδυνον ἔχουσι πρόδηλον, προθύμους συναγωνιστάς

*εἰρῆσθαι, κ. εἰρήσονται.

*προηρημένοις

*τοὺς συνειδότας αὐτοῖς, ὡς ἀναγκαίοις, τοῖς συνεστηκόσιν, εἰς κίνδυνον ἥκουσι πρόδ.

†ἀναγκαίως

ποιεῖν. ἀφεθέντες δὲ τοῦ δέους τούτου, πάντες ἠπιώτεροι γενήσονται. τοῦτο δὲ, οὐ σμι-
κρὰν ὠφέλειαν ἔχει. καὶ μὴν δὴ πόλεις τὰ τοιαῦτα οὐκ ἔθος προλέγειν. μᾶλλον δ' οὐ-
δ' ἐν δυνατῷ. ὡς δ' ἂν ὑμῖν αὖθις ὀφθῆτε χρώμενοι, τοιαύτην καὶ κατὰ τῶν ἄλ-
λων προσδοκίαν παραστήσετε ἑκάστοις. φημὶ δὲ χρῆναι μήτε πόλει, μήτε στρα-
τηγῷ, μήτε ῥήτορι, μήτ' ἰδιώτῃ μηδενὶ τῶν τὰ περὶ τοῦ γε δοκοῦντος συνηγω-
11 νίσθαι τοῖς καθεστηκόσι, μήτε μέμφεσθαι, μήτ' ἐπιτιμᾶν μηδένα μηδὲν ὅλως· ἀλ-
λὰ συγχωρῆσαι πᾶσι τοῖς ἐν τῇ πόλει πεπολιτεῦσθαι τὰ δέοντα, ἐπειδήπερ οἱ θεοί,
καλῶς ποιοῦντες, σώσαντες τὴν πόλιν, ἀποδεδώκασιν ὑμῖν ὅ,τι ἂν βούλησθε, ἐξ
ἀρχῆς βουλεύσασθαι· καὶ νομίζειν, ὥσπερ ἂν ἐν πλοίῳ, τῶν μὲν ἱστίοις, τῶν δὲ κώπαις
2 ἀποφαινομένων κομίζεσθαι, λέγεσθαι μὲν ὑπ' ἀμφοτέρων ἅπαντα ἐπὶ σω- ἀθρόων
τηρίᾳ, γεγενῆσθαι δὲ τὴν χρείαν πρὸς τὰ συμβαίνοντα ἀπὸ τῶν θεῶν. ἐὰν τοῦτον τὸν λέγεσθαι
τρόπον περὶ τῶν προεληλυθότων ἐγνωκότες ἦτε, καὶ πιστοὶ πᾶσι γενήσεσθε, καὶ καλῶν,
καὶ ἀγαθῶν ἀνδρῶν ἔργα πράξετε, καὶ τὰ πράγματα ὠφελήσετε οὐ μικρῶς, καὶ
3 τοὺς ἐναντιωθέντας ἐν ταῖς πόλεσιν, ἢ μεταγνῶναι ποιήσετε πάντας, ἢ κομιδῇ τινὰς
αὐτοὺς αἰτίους καταλειφθῆναι. μεγαλοψύχως τοίνυν καὶ πολιτικῶς τὰ κοινῇ συμ- καταληφθῆ-
φέροντα πράττετε, καὶ τῶν ἰδίων μέμνησθε. παρακαλῶ δ' εἰς ταῦτα, οὐ τυχὼν αὐ- ναι.
τὸς τοιαύτης φιλανθρωπίας παρ' ἐνίων, ἀλλὰ ἀδίκως, καὶ στασιαστικῶς εἰς τὴν ἑτέ-
ρων χάριν προποθείς. ἀλλ' οὐδὲ τὴν ἰδίαν ὀργὴν ἀναπληροῦν, ὃ κοινῇ συμφέρειν
οἶμαι δεῖν βλάπτειν· οὔτε μίγνυμι τῆς ἰδίας ἔχθρας, εἰς τὰ κοινῇ συμφέροντα οὐδέν·
ἀλλ' ἐφ' ἃ τοὺς ἄλλους παρακαλῶ, ταῦτα αὐτὸς οἴομαι δεῖν πρῶτον ποιεῖν. αἱ μὲν
οὖν παρασκευαί, καὶ ἃ δεῖ φυλάξασθαι, καὶ ἃ πράττων τις ἂν κατ' ἀνθρώπινον
5 λογισμὸν μάλιστ' ἂν κατορθοίη, σχεδὸν εἴρωνταί μοι. τοῖς δὲ καθ' ἡμέραν ἐπιστα- εἴρηταί μοι
τῆσαι, καὶ τοῖς ἐκ τοῦ παραχρῆμα συμβαίνουσιν ὀρθῶς χρῆσθαι, καὶ γνῶναι τὸν ἑ-
κάστου καιρόν, καὶ κρῖναι, τί τῶν πραγμάτων ἐξ ὁμιλίας δυνατὸν προσαγαγέ-
σθαι, καὶ τί βίας προσδεῖται, τῶν ἐφεστηκότων στρατηγῶν ἔργον ἐστί. διὸ καὶ χαλε-
πωτάτην τάξιν ἔχει ὁ συμβουλεύειν. τὰ γὰρ ὀρθῶς βουλευθέντα, καὶ δοκιμασθέντα
σὺν πολλῇ σπουδῇ, καὶ πόνῳ, πολλάκις τῷ τοὺς ἐπιστάντας ἄλλως χρήσασθαι διε-
λυμάνθη. νῦν μέντοι πάνθ' ἕξειν καλῶς ἐλπίζω· καὶ γὰρ εἴ τις ὑπείληφεν εὐτυχῆ τὸν
Ἀλέξανδρον τῷ πάντα κατορθοῦν, ἐκεῖνο λογισάσθω, ὅτι πράττων, καὶ πονῶν, καὶ τολ-
μῶν, οὐχὶ καθήμενος, εὐτύχει. νῦν τοίνυν τεθνεῶτος ἐκείνου, ζητεῖ τινὰς ἡ τύχη, με- ηὐτύχει
θ' ὧν ἔσται. τούτους δὲ ὑμᾶς δεῖ γενέσθαι. τούς τε ἡγεμόνας, δι' ὧν ἀνάγκη τὰ πρά- τοὺς δὴ ἡγεμό
γματα πράττεσθαι, ὡς εὐνουστάτους ἐπὶ τὰς δυνάμεις ἐφίστατε· καὶ ὅ,τι ποιεῖν αὐτὸς
ἕκαστος ὑμῶν δυνήσεται, καὶ βουλήσεται, τοῦτο πρὸς αὐτὸν εἰπάτω, καὶ ὑποσχέσθω.
καὶ τοῦθ' ὅπως μὴ ψεύσεται μηδ' ἐξηπατῆσθαι, μη-
δὲ πεισθῆναι παρακρουσθεὶς φήσας, ἀναδύσεται. ὡς
τὴν ἔνδειαν ὧν ἂν ἐλλείπηθ' ὑμεῖς, οὐχ εὑρήσετε τοὺς
ἀναπληρώσοντας. οὐδὲ τὸ αὐτὸ ἔχει κίνδυνον, περὶ
ὧν ἐφ' ὑμῖν ἐστίν, ὅτ[...] ἂν βούλησθε, πρᾶξαι, μεταβουλεύεσθαι πολλάκις, καὶ περὶ
ὧν ἂν ἐν τῷ πολέμ[...] ἀλλ' ἡ περὶ τούτων μετάγνωσις ἧττα τῆς προαιρέσεως γί-
γνεται. μηδὲ ποιήσητε τοῦτο μηδέν, ἀλλ', ὅ,τι πράξετε, γνησίως, καὶ ἑτοίμως ταῖς μὴ δὴ ποιή-
ψυχαῖς τοῦτο χειροτονεῖτε. κἂν ἅπαξ ψηφίσησθε, τὸν Δία τὸν Δωδωναῖον, καὶ τοὺς σητε τοῦτον μη-
ἄλλους θεούς, οἳ καὶ καλάς, καὶ ἀγαθάς, καὶ ἀληθεῖς ὑμῖν μαντείας ἀνῃρή- δέν, ἀλλ', ὅ,τι
κασιν.

Καὶ τοῦθ' ὅπως μὴ ψεύσεται) Καὶ ὁράτω, ὅπως μὴ ψεύσεται τοῦτο, ὅ,τι ἂν ὑποσχόμενος εἴη, μηδὲ ἀναδύσεται, φήσας ἐξηπατῆσθαι, ἢ πεισθῆναι διὰ τὸ παρακρουσθῆναι.

ἥρωσιν, ἡγεμόνας ποιησάμενοι, καὶ παρακαλέσαντες, καὶ μετὰ τῶν νικητηρίων ἅπασιν 20
αὐτοῖς εὐξάμενοι, μετὰ τῆς ἀγαθῆς τύχης ἐλευθεροῦτε τοὺς ἕλληνας.

## ΠΕΡΙ ΤΗΣ ΙΔΙΑΣ ΚΑΘΟΔΟΥ.

Δημοσθένης τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν.

Ἐνόμιζον μὲν ἀφ' ὧν ἐπολιτευόμην, οὐχ ὅπως μηδὲν ἀδικῶν, τοιαῦτα πεί- 1
σεσθαι, ἀλλὰ καὶ μέτρια ἂν ἐξαμαρτὼν, συγγνώμης τεύξεσθαι. ἐπειδὴ δὲ οὕ-
τω γέγονεν, ἕως μὲν ἑώρων ὑμᾶς, οὐδεμιᾶς ἀποδείξεως φανερᾶς, οὐδ' ἐλέγχου γι-
νομένου παρὰ τῆς βουλῆς, πρὸς τὰ ταύτης ἀπόρρητα καταψηφιζομένους ἁπάν-
των, οὐδὲν ἔλαττον παραχωρεῖν ὑμᾶς ἡγούμενος, ἢ ἐμαυτὸν ἀποστερεῖσθαι, στέργειν ἡ- 2
γούμην. τὸ γὰρ οἷς ἂν ἡ βουλὴ φησὶν, τοὺς ὀμωμοκότας δικαστὰς προστίθεσθαι, μη-
δεμιᾶς ἀποδείξεως ῥηθείσης, τῆς πολιτείας παραχωρεῖν ἦν. ἐπειδὴ δὲ καλῶς ποι-
οῦντες ᾔσθησθε τὴν δυναστείαν, ἣν τινες τῶν ἐν τῇ βουλῇ κατασκευάζονται ἑαυτοῖς,
καὶ πρὸς τὰς ἀποδείξεις τοὺς ἀγῶνας κρίνετε· τὰ δ' ἀπόρρητα τούτων ἐπιτιμήσεως 3
ἄξια εὑρήκατε, οἶμαί με δεῖν, ἐὰν καὶ ὑμῖν βουλομένοις ᾖ, τῆς ὁμοίας τυχεῖν σωτη-
ρίας τοῖς τῶν ὁμοίων αἰτιῶν τετυχηκόσι· καὶ μὴ μόνος δι' αἰτίαν ψευδῆ τῆς πατρί-
δος, καὶ τῶν ὄντων, καὶ τῆς τῶν οἰκειοτάτων συνηθείας ἀποστερηθῆναι. εἰκότως δ' ἂν
ὑμῖν, ὦ ἄνδρες ἀθηναῖοι, μέλοι τῆς ἐμῆς σωτηρίας, οὐ μόνον κατὰ τοῦτο, ὅτι οὐδὲν ὑμᾶς 4
ἀδικῶν τοιαῦτα πέπονθα, ἀλλὰ καὶ τῆς παρὰ τοῖς ἄλλοις ἀνθρώποις ἕνεκ' εὐδοξίας.
μὴ γὰρ, εἰ μηδεὶς ὑμᾶς ἀναμιμνήσκει τοὺς χρόνους, μηδὲ τοὺς καιροὺς, ἐν οἷς τὰ μέ-
γισθ' ἐγὼ χρήσιμος ἦν τῇ πόλει, τοὺς ἄλλους ἕλληνας ἀγνοεῖν νομίζετε, μηδ' ἐπιλε-
λῆσθαι τῶν ἐμοὶ πεπραγμένων ὑπὲρ ὑμῶν, ἃ ἐγὼ δυοῖν ἕνεκα νῦν ὀκνῶ γράφειν 5
καθ' ἕκαστον· ἑνὸς μὲν, τὸν φθόνον δεδιὼς, πρὸς ὃν οὐδέν ἐστι πάρεργον τἀληθῆ λέγειν·
ἑτέρου δὲ, ὅτι πολλὰ καὶ ἀνάξια ἐκείνων διὰ τὴν τῶν ἄλλων ἑλλήνων κακίαν νῦν
πράττειν ἀναγκαζόμεθα. ἐν κεφαλαίῳ δὲ τοιαῦτ' ἐστὶν, ἐφ' οἷς ἐξηπατώμην ὑ-
πὸ ὑμῶν ἐγώ, ὥσθ' ὑμᾶς μὲν ἐπ' αὐτοῖς ὑπὸ πάντων ζηλοῦσθαι, ἐμοὶ δ' ἐλπί- 6
δα τῶν μεγίστων δωρεῶν προσδοκᾶσθαι παρὰ ὑμῶν. τῆς δὲ ἀναγκαίας μὲν, ἀ-
γνώμονος δὲ τύχης, οὐχ ὡς δίκαιον ἦν, ἀλλ' ὡς ἐβούλετο, κρινάσης τὸν ὑπὲρ τῆς τῶν
ἑλλήνων ἐλευθερίας ἀγῶνα, ὃν ὑμεῖς ἠγωνίσασθε· οὐδ' ἐν τοῖς μετὰ ταῦτα χρόνοις
ἀπέστην τῆς εἰς ὑμᾶς εὐνοίας, οὐδ' ἀντηλλαξάμην ἀντὶ ταύτης οὐδὲν, οὐ χάριν, 7
οὐκ ἐλπίδας, οὐ πλοῦτον, οὐ δυναστείαν, οὐκ ἀσφάλειαν. καίτοι πάντα ταῦθ' ἑώ-
ρων ὑπάρχοντα τοῖς καθ' ὑμῶν βουλομένοις πολιτεύεσθαι. ὃ δὲ, πολλῶν ὄντων, καὶ με-
γάλων, ἐφ' οἷς εἰκότως ἐπέρχεταί μοι παρρησιάζεσθαι, μέγιστον ἡγούμην, οὐκ ὀ-
κνήσω γράψαι πρὸς ὑμᾶς· ὅτι ἐν ἅπαντι τῷ αἰῶνι τῶν μνημονευομένων ἀνθρώ- 8
πων δεινοτάτου γεγενημένου Φιλίππου καὶ δι' ὁμιλίας πεῖσαι προσέχειν αὐτῷ τὸν
νοῦν, ὡς βούλοιτο, καὶ διαφθεῖραι χρήμασι τοὺς ἐν ἑκάστῃ τῶν ἑλληνίδων πόλεων
γνωρίμους, ἐγὼ μόνος οὐδετέρου τούτων ἡττήθην. ὃ καὶ νῦν ὑμῖν φιλοτιμίαν φέ-
ρει, πολλὰ μὲν ἐντυχὼν Φιλίππῳ, καὶ διαλεχθεὶς, ἐφ' οἷς ὑμεῖς ἐπέμπετε πρε- 9
σβεύοντά με, πολλῶν δ' ἀποσχόμενος χρημάτων, διδόντος ἐκεί , ἃ τῶν συνειδότων
ἔτι πολλοὶ ζῶσιν. οὓς τίνα γνώμην ἔχειν περὶ ὑμῶν εἰκὸς, λογίσασθε. τὸ γὰρ ὑμᾶς
τῷ τοιούτῳ τοῦτον τὸν τρόπον κεχρῆσθαι, ἐμοὶ μὲν ἂν εὖ οἶδ' ὅτι φαῖεν συμφο-
ρὰν, κακίαν δὲ οὐδεμίαν, ὑμετέραν δὲ ἀγνωμοσύνην· ἣν τῷ μεταγνῶναι λύσετε.

φη.

μηδ' ἐπιλέλησθε

προπίνεσθαι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πάντα τοίνυν τὰ προειρημένα, ἐλάττω νομίζω τῆς συνεχοῦς, καὶ καθ' ἡμέραν ἡμέραν
πολιτείας, ἐν ᾗ προῆγον ἐμαυτὸν ἐγὼ πολιτευόμενον, οὐδὲ μιᾶς ὀργῆς, οὐδὲ
11 δυσμενείας, οὐδὲ ἀδίκου πλεονεξίας, οὔτε κοινῆς, οὔτε ἰδίας προϊστάμενος, οὐδὲ
συκοφαντήσας οὐδένα πώποτε οὔτε πολίτην, οὔτε ξένον· οὐδὲ κακούμενον ἰδίᾳ
δεινὸς ὤν, ἀλλ' ὑφ' ὑμῶν, εἴ τι δεήσειεν, ἐξεταζόμενος δημοσίᾳ. εἴποιεν δὴ ἂν οἱ
πρεσβύτεροι, καὶ λέγειν τοῖς νεωτέροις ἐστὲ δίκαιοι τὴν πρὸς Πύθωνα τὸν Βυζάν-
12 τιον ἐκκλησίαν, ὅτε τοὺς ἀπὸ τῶν Ἑλλήνων ἦλθε πρέσβεις ἔχων, ὡς ἀδικοῦσαν δεί-
ξων τὴν πόλιν. ἀπῆλθε δὲ τἀναντία τούτων παθών, μόνου τῶν τότε ῥητόρων ἐξε-
τάσαντος ἐμοῦ τὰ ὑπὲρ ὑμῶν δίκαια. καὶ ἐῶ πρεσβείας, ὅσας ὑπὲρ ὑμῶν ἐπρέ-
σβευσα, ἐν αἷς οὐδὲν ἠλαττώθητε πώποτε, οὐδὲ καθ' ἕν. ἐπολιτευόμην γάρ, ὦ
13 ἄνδρες Ἀθηναῖοι, οὐχ ὅπως ἀλλήλων ὑμεῖς περιγένησθε, σκοπῶν, οὐδ' ἐφ' ἑαυ-
τὴν ἀκονῶν τὴν πόλιν, ἀλλ' ἀφ' ὧν δόξαν, καὶ μεγαλοψυχίαν ὑμῖν ὑπάρξειν ἐνό-
μιζον. ἐφ' οἷς ἅπασι μέν, μάλιστα δὲ τοῖς νέοις ἀγασθαι προσήκει, καὶ σκοπεῖν μὴ
μόνον τὸν διακονήσοντα πρὸς χάριν πάντ' ἐν τῇ πολιτείᾳ· τούτου μὲν γὰρ οὐδέ-
14 ποτ' ἔσται ἀπορῆσαι. ἀλλὰ καὶ τὸν ἐπ' εὐνοίᾳ, περὶ ὧν ἂν ἀγνοῆτε, ἐπιτιμήσον- ἔσται
τα. ἔτι τοίνυν παραλείπω πολλά, ἐφ' οἷς ἕτερος, καὶ μηδὲν ἄλλο χρήσιμος γεγο-
νώς, δικαίως ἂν ἠξίου τυγχάνειν σωτηρίας, χορηγίας, καὶ τριηραρχίας, καὶ χρημάτων
ἐπιδόσεις ἐν πᾶσι τοῖς καιροῖς. ἐν οἷς ἐγὼ φανήσομαι οὐ μόνον αὐτὸς ἐξητασμένος ἐπιδόσεως
15 πρῶτος, ἀλλὰ καὶ τοὺς ἄλλους παρακεκληκώς. ὧν ἕκαστον, ὦ ἄνδρες Ἀθηναῖοι,
λογίσασθε, ὡς ἀνάξιόν ἐστι τῆς περιεστηκυίας νῦν ἐμοὶ συμφορᾶς. ἀφθόνων δὴ ὄν-
των, ἀπορῶ τί πρῶτον ὀδύρωμαι τῶν παρόντων κακῶν. πότερα τὴν ἡλικίαν,
ἐν ᾗ φυγῆς ἐπικινδύνου πειρᾶσθαι παρ' ἔθος, καὶ παρὰ τὴν ἀξίαν ἀναγκάζομαι;
16 ἢ τὴν αἰσχύνην, ἐφ' ᾗ κατ' οὐδένα ἔλεγχον, οὔτ' ἀπόδειξιν ἁλοὺς ἀπόλωλα; ἢ τὰς
ἐλπίδας, ὧν διαμαρτών, ὧν ἑτέροις προσῆκε, κεκληρονόμηκα κακῶν; οὔτε γὰρ ἔ-
γωγε τῶν Ἁρπάλου φίλων φανήσομαι γεγονώς, οὔτ' ἐφ' οἷς ἐπολιτευόμην πρό- ὑπὸ τ, ἐφ' οἷς
τερον, δίκην ὀφείλων δοῦναι, οὔτε τῶν, ἐφ' οἷς ἐκρινόμην ἐξελεγχθέντων τῶν τε γρα- ὀφείλω
17 φέντων περὶ Ἁρπάλου μόνα τὰ ἐμοὶ πεπραγμένα ἀνέγκλητον πεποίηκε τὴν πό-
λιν. ἐξ ὧν πάντων δῆλόν ἐστιν, ὅτι καιρῷ τινὶ ληφθεὶς, καὶ οὐκ ἀδικήμασι, τῇ πρὸς ληφθεὶς
ἅπαντας τοὺς ἐν ταῖς αἰτίαις ὀργῇ περιπέπτωκα ἀδίκως, τῷ πρῶτος εἰσιέναι.
ἐπεὶ τίς τῶν δικαίων οὐκ εἶπον ἐγώ, τῶν σεσωκότων τοὺς ὕστερον κρινομένους; ἢ τί-
18 να νῦν ἂν εἰπεῖν ἔχοι τις; οὐ γάρ ἐστιν οὐδείς. τὰ γὰρ μὴ γενόμενα οὐκ ἔστι ποιῆσαι
γεγενῆσθαι. ἀλλὰ περὶ μὲν τούτων παύομαι, πολλὰ γράφειν ἔχων. ὃ γὰρ μηδὲν
ἐμαυτῷ συνειδέναι πεῖραν μοι δίδωκεν, εἰς μὲν ὠφελῆσαι ἀσθενὲς ὄν, εἰς δὲ τὸ
μᾶλλον λυπεῖσθαι πάντων ὀδυνηρότατον. ἐπειδὴ δὲ καλῶς ποιοῦντες, πᾶσι τοῖς
19 ἐν ταῖς αἰτίαις διηλλάγητε, καὶ ἐμοὶ διαλλάγητε, ὦ ἄνδρες Ἀθηναῖοι· οὔτε γὰρ ἠδί-
κηκα ὑμῶν οὐδένα, ὡς ἴσασιν οἱ θεοὶ καὶ ἥρωες· μαρτυρεῖ δέ μοι πᾶς ὁ πρόσθεν
παρεληλυθὼς χρόνος, ὃς δικαιότερον ἂν πιστεύοιθ' ὑφ' ὑμῶν τῆς ἀνεγκλήτου νῦν ἐ-
πενεχθείσης αἰτίας. [οὔ]τ' ἐγὼ χείριστος, οὔτ' ἀπιστότατος φανήσομαι τῶν διαβλη-
20 θέντων, καὶ μὴν ὃ [ὑ]πελθεῖν οὐκ ἂν εἰκότως ὀργὴν πρός με ποιήσειεν· οὐ γὰρ
ἀπεγνωκὼς ὑμᾶς, οὐδ' ἑτέρωσε βλέπων οὐδαμοῦ μετέστην· ἀλλὰ πρῶτον μὲν
τοὔνειδος τῆς εἱρκτῆς χαλεπῶς τῷ λογισμῷ φέρων· εἶτα διὰ τὴν ἡλικίαν οὐκ
οἷός τ' ὢν τῷ [σώ]ματι τὴν κακοπάθειαν ὑπενεγκεῖν. ἔτι δ' οὐδ' ὑμᾶς ἐνόμι-
ζον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ζον ἄθλιον ἔξω μετὰ προπηλακισμοῦ γενέσθαι, ὃς οὐδὲν ὑμᾶς ὠφελῶν, ἐμὲ ἀ- 21
πώλλυεν. ἐπειδὴ ὅτι γε ὑμῖν προσεῖχον τὸν νοῦν, καὶ οὐδέσιν ἄλλοις, πολλὰ ἂν ἴδοι-
τε σημεῖα. εἴς τε γὰρ πόλιν ἦλθον, οὐκ ἐν ᾗ μέγιστα πράξειν αὐτὸς ἔμελλον, ἀλλ᾽ εἰς
ἣν καὶ τοὺς προγόνους ἐλθόντας ᾔδειν, ὅτε ὁ πρὸς τὸν πέρσην κατελάμβανεν αὐ-
τοὺς κίνδυνος, καὶ παρ᾽ ᾗ πλείστην εὔνοιαν ὑπάρχουσαν ὑμῖν ἠπιστάμην. ἔστι δὴ 22
τροιζηνίων αὕτη, ἣ μάλιστα μὲν οἱ θεοὶ καὶ τῆς πρὸς ὑμᾶς εὐνοίας ἕνεκα, καὶ τῆς
*ἔπα ὠφθεὶς πρὸς ἐμὲ εὐεργεσίας, εὖ ποιοῦντες εἴησαν· εἶτα σωθεὶς ὑφ᾽ ὑμῶν, δυνηθείην ἀ-
ποδοῦναι χάριτας. ἔν τε ταύτῃ τινῶν, ὡς ἐμοὶ χαριζομένων, ἐπιτιμᾶν ὑμῖν τι
πειρωμένων τῇ κατ᾽ ἐμὲ ἀγνοίᾳ, ἐγὼ πᾶσαν εὐφημίαν, ὥσπερ ἐμοὶ προσῆκε, 23
*παύτ.. ἐμὲ ἀγαθέντας παρεχόμενος. ἐξ ὧν καὶ μάλιστα νομίζω πάντας ἀγασθέντας δημοσίᾳ τιμῆσαι.
ὁρῶν δὲ τὴν μὲν εὔνοιαν τῶν ἀνδρῶν μεγάλην, τὴν δὲ εἰς τὸ παρὸν δύναμιν κα-
ταδεεστέραν, μετελθὼν εἰς τὸ τοῦ ποσειδῶνος ἱερὸν ἐν καλαυρείᾳ, κάθημαι, οὐ μόνον
τῆς ἀσφαλείας ἕνεκα, ἣν διὰ τὸν θεὸν ἐλπίζω μοι ὑπάρχειν· οὐ γὰρ εὖ οἶδά γε· 24
ἃ γὰρ ἐφ᾽ ἑτέροις ἐστὶν, ὡς ἂν βούλωνται, πρᾶξαι, λεπτὴν καὶ ἄδηλον ἔχει τῷ
κινδυνεύοντι τὴν ἀσφάλειαν· ἀλλ᾽ ὅτι καὶ τὴν πατρίδα ἐνθένδε ἑκάστης ἡμέ-
ρας ἀφορῶ· εἰς ἣν τοσαύτην εὔνοιαν ἐμαυτῷ συνοῖδα, ὅσης παρ᾽ ὑμῶν εὔχομαι
τυχεῖν. ὅπως οὖν, ὦ ἄνδρες ἀθηναῖοι, μηκέτι πλείω χρόνον τοῖς παροῦσι κακοῖς 25
συνέχωμαι, ψηφίσασθέ μοι ταῦτα, ἃ καὶ ἄλλοις τισὶν ἤδη, ἵνα μήτε ἀνάξιον ὑμῶν
μηδέν μοι συμβῇ, μήτε ἱκέτης ἑτέρων ἀναγκασθῶ γενέσθαι· οὐδὲ γὰρ ὑμῖν τοῦτο
γένοιτ᾽ ἂν καλόν· ἐπεὶ εἴγε μοι τὰ πρὸς ὑμᾶς ἀδιάλλακτα ὑπάρχει, τεθνάναι
με κρεῖττον ἦν. εἰκότως δ᾽ ἄν μοι πιστεύοιτε ταύτην τὴν διάνοιαν ἔχειν, καὶ μὴ 26
αὖ μάτην θρασύνεσθαι· καὶ γὰρ ἐμαυτοῦ κυρίους ὑμᾶς ἐποίησα, καὶ οὐκ ἔφυγον
*ἄκυροι ἐμοῦ ὑμῶν μηδεὶς τὸν ἀγῶνα, ἵνα μήτε προδῶ τὴν ἀλήθειαν, μήτ᾽ ἄκυρος ὑμῶν ἐμοῦ μηδεὶς γέ-
νηται, ἀλλ᾽ ὅ, τι βούλοισθε, τούτῳ χρήσησθε· παρ᾽ ὧν γὰρ ἁπάντων, καλῶν κἀγαθῶν
ἔτυχον, τούτοις ᾤμην δεῖν ἐξεῖναι καὶ ἁμαρτεῖν, εἰ βούλοιντο, εἰς ἐμέ. ἐπεὶ δὲ καλῶς ποι- 27
οῦσα ἡ δικαία τύχη τῆς ἀδίκου κρατήσασα, δὶς περὶ τῶν αὐτῶν ἐπέδωκεν ὑμῖν βου-
λεύσασθαι, τῷ μηδὲν ἀνήκεστον ψηφίσασθαι περὶ ἐμοῦ, σώσατέ με, ὦ ἄνδρες ἀ-
θηναῖοι, καὶ ψηφίσασθε καὶ ὑμῶν αὐτῶν ἄξια, καὶ ἐμοῦ. ἐπ᾽ οὐδενὶ γὰρ τῶν πεπραγ-
μένων ἠδικηκότα με εὑρήσετε, οὐδ᾽ ἐπιτήδειον ἄτιμον εἶναι, οὐδ᾽ ἀπολωλέναι, 28
ἀλλὰ καὶ εὔνουν τῷ πλήθει τῷ ὑμετέρῳ τοῖς μάλιστα ὁμοίως, ἵνα μηδὲν ἐπίφθο-
νον γράφω, καὶ πλεῖστα πεπραγματευμένον τῶν νυνὶ ζώντων ὑπὲρ ὑμῶν, καὶ μέ-
*τῆς εὐνοίας γιστα ὑπάρχοντά μοι κατ᾽ ἐμαυτὸν σύμβολα εὐνοίας πρὸς ὑμᾶς. μηδεὶς δ᾽ ὑμῶν
ἡγείσθω με, ὦ ἄνδρες ἀθηναῖοι, μήτε ἀνανδρίᾳ, μήτε ἄλλῃ προφάσει φαύλῃ μη- 29
*ἀλλ᾽ ἃ οἷς παροῦσιν δεμιᾷ παρ᾽ ὅλην τὴν ἐπιστολὴν ὀδύρεσθαι, ἀλλ᾽ ἃ τοῖς παροῦσιν ἕκαστος ἀφθόνως
χρῆται, ἐμοὶ δὲ ταῦτα νῦν πάρεστιν, ὡς μήτ᾽ ὤφελε, λῦπαι, καὶ δάκρυα, καὶ τῆς πα-
τρίδος καὶ ὑμῶν πόθος, καὶ ὧν πέπονθα λογισμός, ἅπαντα ποιεῖ με ὀδύρεσθαι· ἃ
ἐπισκοποῦντες δικαίως, ἐν οὐδενὶ τῶν πεπολιτευμένων ὑπὲρ ὑμῶν οὔτε μαλα- 30
κίαν, οὔτε ἀνανδρίαν προσοῦσαν εὑρήσετέ μοι. πρὸς μὲν δὴ πάντας ὑμᾶς το-
σαῦτα. ἰδίᾳ δὲ τοῖς ἐμοὶ προσκρούουσιν ἐναντίον ὑμῶν βούλομαι διαλεχθῆναι.
ὅσα μὲν γὰρ τοῖς ὑφ᾽ ὑμῶν ἀγνοηθεῖσιν ὑπηρετοῦντες ἐποίουν, ἔστω δι᾽ ὑμᾶς αὐτοῖς
πεπρᾶχθαι, καὶ οὐδὲν ἐγκαλῶ. ἐπειδὴ δ᾽ ἔγνωθ᾽ ὑμεῖς οἷα ταῦτ᾽ ἐστὶν, ἐὰν μὲν, ὥσπερ 31
ὑπὲρ τῶν λοιπῶν ἐῶσι, καὶ ἐμοὶ συγχωρήσωσι, καλῶς ποιήσουσιν· ἂν δ᾽ ἐπηρεάζ[ωσι]

γεγράφασιν, ὑμᾶς ἀξιῶ μοι βοηθεῖν ἅπαντας, καὶ μὴ κυριωτέραν τὴν τούτων ἔχθραν τῆς παρ' ὑμῶν χάριτός μοι γενέσθαι. Εὐτυχεῖτε.

## ΠΕΡΙ ΤΩΝ ΛΥΚΟΥΡΓΟΥ ΠΑΙΔΩΝ.

Δημοσθένης τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν.

Περὶ μὲν τῶν κατ' ἐμαυτόν, ἅ μοι παρ' ὑμῶν ἐνόμιζον δίκαιον εἶναι γενέσθαι, τὴν προτέραν ἔπεμψα πρὸς ὑμᾶς· ὑπὲρ ὧν ὅταν ὑμῖν δοκῇ, τότε συγχωρήσετε. περὶ δ' ὧν νῦν ἐπέσταλκα, βουλοίμην ἂν ὑμᾶς μὴ παριδεῖν, μηδὲ πρὸς φιλονεικίαν, ἀλλὰ πρὸς τὸ δίκαιον ἀκοῦσαι. συμβαίνει γάρ μοι, καίπερ ἐκποδὼν διατρίβοντι, πολλῶν ἀκούειν ἐπιτιμώντων ὑμῖν ἐπὶ τοῖς περὶ τοὺς Λυκούργου παῖδας γιγνομένοις. ἐπέστειλα μὲν οὖν ἂν τὴν ἐπιστολὴν καὶ τῶν ἐκείνῳ ζῶντι πεπραγμένων ἕνεκα, ὧν ὁμοίως ἐμοὶ πάντες ἂν αὐτῷ δικαίως ἔχοιτε χάριν, εἰ τὰ προσήκοντα βούλοισθε ποιεῖν. ἐκεῖνος γὰρ αὑτὸν ἐν τῷ περὶ τὴν διοίκησιν μέρει τάξας τῆς πολιτείας τὴν κατ' ἀρχάς, καὶ περὶ τῶν Ἑλληνικῶν καὶ συμμαχικῶν οὐδὲν εἰωθὼς γράφειν, ὅτε καὶ τῶν δημοτικῶν εἶναι προσποιουμένων οἱ πολλοὶ κατέλιπον ὑμᾶς, τότε ταῖς τοῦ δήμου προαιρέσεσι προσένειμεν ἑαυτόν, οὐχ ὅτι δωρεὰς καὶ προσόδους ἐκ τούτων ὑπῆρχε λαμβάνειν· ἀπὸ γὰρ τῶν ἐναντίων πάντα τὰ τοιαῦτα ἐγίγνετο· οὐδ' ὅτι ταύτην ἀσφαλεστέραν τὴν προαίρεσιν οὖσαν ἑώρα· πολλοὺς γὰρ καὶ προδήλους εἶχε κινδύνους, οὓς ἀναγκαῖον ἦν ὑπομεῖναι τὸν ὑπὲρ τοῦ δήμου λέγειν καὶ πράττειν προαιρούμενον· ἀλλ' ὅτι δημοτικὸς καὶ φύσει χρηστὸς ἀνὴρ ἦν. καίτοι παρὼν ἑώρα τοὺς μὲν βοηθήσοντας ἂν τῷ δήμῳ, ἀσθενεῖς ἐπὶ τοῖς συμβεβηκόσιν ὄντας· τοὺς δὲ τἀναντία πράττοντας, κατὰ πάντα ἐρρωμένους. ἀλλ' ὅμως οὐδὲν ἧττον ἐκεῖνος εἴχετο τούτων, ἃ συμφέρειν ἡγεῖτο τῷ δήμῳ, καὶ μετὰ ταῦτα ἀόκνως καὶ λέγων, καὶ πράττων, ἃ προσῆκεν, ἦν φανερός, ἐφ' οἷς εὐθὺς ἐξητεῖτο, ὡς ἅπαντες ἴσασιν. ἐπέστειλα μὲν οὖν ἄν, ὥσπερ εἶπον ἐν ἀρχῇ, καὶ διὰ τὴν ἐκείνου χάριν. οὐ μὴν ἀλλὰ καὶ ὑμῖν νομίζων συμφέρειν τὰς παρὰ τοῖς ἔξω γιγνομένας ἐπιτιμήσεις εἰδέναι, πολλῷ προθυμότερον πρὸς τὸ πέμψαι τὴν ἐπιστολὴν ἔσχον. παραιτοῦμαι δὲ τοὺς ἰδίᾳ πρὸς ἐκεῖνον ἔχοντας δυσκόλως, ὑπομεῖναι τἀληθῆ, καὶ τὰ δίκαια ἀκούειν περὶ αὐτοῦ· εὖ γὰρ ἴστε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι νῦν ἐκ τῶν περὶ τοὺς παῖδας αὐτοῦ γεγενημένων φαύλην δόξαν ἡ πόλις λαμβάνει. οὐδεὶς γὰρ τῶν Ἑλλήνων ἀγνοεῖ, ὅτι ζῶντα Λυκοῦργον ἐτιμᾶθ' ὑμεῖς εἰς ὑπερβολήν· καὶ πολλῶν αἰτιῶν ἐπενεχθεισῶν ὑπὸ τῶν φθονούντων αὐτῷ, οὐδεμίαν πώποθ' εὕρετ' ἀληθῆ· οὕτω δ' ἐπιστεύετε αὐτῷ, καὶ δημοτικὸν παρὰ πάντας ἡγεῖσθε, ὥστε πολλὰ τῶν δικαίων ἐν τῷ φῆσαι Λυκοῦργον ἐκρίνετε. καὶ τοῦθ' ὑμῖν ἐξήρκει· οὐ γὰρ ἄν, καὶ τοιοῦτον μὴ δοκοῦν ὑμῖν. νῦν τοίνυν ἅπαντες ἀκούοντες τοὺς υἱεῖς αὐτοῦ δεδέσθαι, τὸν μὲν τεθνεῶτα ἐλεοῦσι· τοῖς παισὶ δ', ὡς ἀνάξια πάσχουσι, συνάχθονται· ὑμῖν δ' ἐπιτιμῶσι πικρῶς, ὡς οὐκ ἂν τολμήσαιμι γράφειν ἐγώ. ἃ γὰρ ἄχθομαι τοῖς λέγουσι, καὶ ἀντιλέγω καθ' ὅσον δύναμαι, βοηθῶν ὑμῖν. ταῦτα, ἄχρι μὲν τοῦ δῆλον ὑμῖν ποιῆσαι, ὅτι πολλοὶ μέμφονται, συμφέρειν ὑμῖν νομίζων εἰδέναι, γέγραφα. ὅσα μέντοι λοιδορίας χωρὶς ἐνίων λέγουσί τινες, τὸ ἀκηκοέναι συμφέρειν ὑμῖν ἡγοῦμαι, ταῦτα δηλώσω· οὐδεὶς γὰρ

ὑπείληφεν

Οὐ γὰρ ἄν, καὶ τοιοῦτ.) Τουτέστιν, οὐ γὰρ ἂν ἐκρίνετε τὸ δίκαιον εἶναι, μὴ τοιοῦτον δοκοῦντος καὶ τ.

ὑπείληφεν ὡς ἄρτι ἠγνοήκατε, καὶ διεψεύσθητε τῆς ἀληθείας περὶ αὐτοῦ Λυκούρ- 10
γου. τό, τε γὰρ τοῦ χρόνου πλῆθος, ὃν ἐξεταζόμενος οὐδὲν πώποτε εὑρέθη πε-
ρὶ ὑμᾶς οὔτε φρονῶν, οὔτε ποιῶν ἄδικον, καὶ τὸ μηδένα ἀνθρώπων εἰς μηδὲν
τῶν ἄλλων ἀναισθησίαν ὑμῶν καταγνῶναι, εἰκότως ἀναιρεῖ τὴν ἀπὸ τῆς ἀγνοίας
σκῆψιν. λείπεται τοίνυν, ὃ πάντες ἂν εἶναι φαύλων ἀνθρώπων ἔργον φήσαιεν, τό, 11
ὅσον ἂν χρῆσθε χρόνον, τοσοῦτον ἑκάστου φροντίζειν δοκεῖν· μετὰ δὲ ταῦτα μηδέ-
να ἔχειν λόγον. εἰς τί γὰρ τῶν ἄλλων χρὴ προσδοκᾶν τῷ τετελευτηκότι τὴν πα-
ρ' ὑμῶν ἔσεσθαι χάριν, ὅταν εἰς τοὺς παῖδας, καὶ τὴν εὐδοξίαν, τἀναντία ὁρᾷ
τις γιγνόμενα, ὧν μόνων καὶ τελευτῶσι πᾶσιν, ὅπως ἕξει καλῶς, μέλει; καὶ μὴν 12
οὐδὲ χρημάτων ποιεῖν ἕνεκα ταῦτα δοκεῖν, τῶν καλῶν κἀγαθῶν ἐστιν· οὔτε γὰρ τῆς
μεγαλοψυχίας, οὔτε τῆς ἄλλης προαιρέσεως τῆς ὑμετέρας, ἀκόλουθον ἂν φα-
νείη· εἰ γὰρ ὑμᾶς λύσασθαι παρ' ἑτέρων ἔδει, δόντας ἐκ τῶν προσιόντων τὰ χρή-
ὃ εἰ λόγῳ δὲ καὶ φθόνῳ γέγ. ματα ταῦτα, πάντας ἂν ἡγοῦμαι προθύμους εἶναι. ὃ λόγῳ καὶ φθόνῳ γέγο- 13
τί ὑμῶν καταγνῶ. νεν. οὐκ ἔχω τί καταγνῶ, εἰ μὴ ὅλως πικρῶς καὶ ταραχωδῶς ἔχειν πρὸς τοὺς
δημοτικοὺς ὡρμήκατε. εἰ δὲ τοῦτ' ἐστίν, οὔτ' ὀρθῶς, οὔτε συμφερόντως βουλεύε-
σθαι ἐγνώκατε. θαυμάζω δ' εἰ μηδεὶς ὑμῶν ἐννοεῖ, ὅτι τῶν αἰσχρῶν ἐστι τὸν δῆ-
τὸν συνέσει μον τῶν Ἀθηναίων, συνέσει, καὶ παιδείᾳ πάντων προέχειν δοκοῦντα, ὃς καὶ τοῖς 14
ἀτυχήμασιν ἀεὶ κοινὴν ἔχει καταφυγήν, ἀγνωμονέστερον φαίνεσθαι Φιλίππου, ὃς
ἀνουθέτητος ὢν εἰκότως, γραφεὶς τ' ἐν ἐξουσίᾳ, ὅμως ᾤετο δεῖν, ἡνίκ' εὐτύχησε
μάλιστα, τότ' ἀνθρώπινα πράττων φαίνεσθαι· καὶ τοὺς παραταξαμένους, πρὸς
δουλῶσαι, οὓς περὶ τῶν ὅλων διεκινδύνευσεν, οὐκ ἐτόλμησε δηλῶσαι, τὸ τίνων, καὶ τίνες εἰσίν, 15
ἐξετάσας· καὶ γάρ, ὡς ἔοικεν, ὁμοίως τῶν παρ' ὑμῖν ῥητόρων ἐνίοις, οὔτε δίκαια εἶναι
πρὸς ἅπαντας τὰ αὐτά, οὔτε καλὰ ἡγεῖτο, ἀλλὰ τὴν τῆς ἀξίας προσθήκην συλ
λογιζόμενος, τὰ τοιαῦτ' ἐπέκρινεν. ὑμεῖς δ' ὄντες Ἀθηναῖοι, καὶ παιδείας μετέ-
χοντες, ἣ καὶ τοὺς ἀναισθήτους ἀνεκτοὺς ποιεῖν δοκεῖ γίγνεσθαι, πρῶτον μέν, ὃ πάν- 16
των ἀγνωμονέστατόν ἐστι, περὶ ὧν τὸν πατέρα αἰτιῶνταί τινες, τοὺς υἱεῖς δεδέκατε·
εἶτα τὸ ταῦτα ποιεῖν ἴσον φατέ, ὥσπερ ἀπὸ σταθμῶν ἢ μέτρων τὸ ἴσον σκοπούμε-
νοι, ἀλλ' οὐχ ἀπὸ ἀνδρῶν προαιρέσεως, καὶ πολιτείας βουλευόμενοι· ἐν οἷς ἐ-
ξεταζομένοις, εἰ μὲν χρηστὰ καὶ δημοτικά, καὶ ἐπ' εὐνοίᾳ τὰ Λυκούργῳ πεπραγ- 17
μένα φαίνεται, μηδενὸς κακοῦ, ἀλλὰ καὶ πάντων τῶν ἀγαθῶν τοὺς παῖδας αὐ-
τοῦ δίκαιόν ἐστι τυγχάνειν παρ' ὑμῶν. εἰ δὲ τἀναντία τούτων, ἐκεῖνον, ὅτ' ἔζη, ἔδει δί-
κην διδόναι. τούτους δὲ μηδ' οὕτως ἐφ' οἷς ἐκείνῳ τις ἐγκαλεῖ, τυγχάνειν ὀργῆς· πᾶσι
γὰρ πάντων τῶν ἁμαρτημάτων ὅρος ἐστὶ τελευτή. ἐπεὶ εἴγ' οὕτως ἕξετε, ὥσ- 18
τε οἱ μὲν ἀχθεσθέντες τι τοῖς ὑπὲρ τοῦ δήμου πολιτευομένοις, μηδὲ πρὸς τελευ-
τήσαντας διαλλαγήσονται, ἀλλὰ καὶ τοῖς παισὶ τὴν ἔχθραν διαφυλάξουσιν·
μέχρι τοῦ τῷ παρόντι χρῆσθαι, ὁ δὲ δῆμος, ᾧ συναγωνίζεται τῶν δημοτικῶν ἕκαστος, μέχρι τοῦ τυχόντος χρῆσθαι
μνημονεύσει τὰς χάριτας, μετὰ ταῦτα δὲ μηδὲν φροντιεῖ, οὐδὲν ἀθλιώτερον ἔσται 19
ἀποκρινεῖται, τοῦ τὴν ὑπὲρ τοῦ δήμου τάξιν αἱρεῖσθαι. εἰ δὲ Μοιροκλῆς ἀποκρίνεται, ταῦτα μὲν
δῆσαι, σοφώτερα, ἢ καθ' ἑαυτὸν εἶναι, ἵνα δὲ μὴ ἀποδρῶσιν, αὐτοὺς αἰ. δῆσαι, ἐρωτήσαι-
τ' αὐτόν, ἡνίκα Ταυρέας, καὶ Πάταικος, καὶ Ἀριστογείτων, καὶ αὐτός, εἰς τὸ δεσμωτήριον
παραδοθέντες, οὐ μόνον οὐκ ἐδέδεντο, ἀλλὰ καὶ ἐδημηγόρουν, τί δήποτε οὐχ ἑώρα 20
ἐκ γ. τῶν τὰ δίκαια ταῦτα. εἰ δὲ μὴ φήσει τότ' ἄρχειν, οὐδὲ λέγειν ἐκ τῶν νόμων αὐτῷ

προσήκει. ὥστε πῶς ἴσον ἐστί, τοὺς μὲν ἀρχήν, οἷς μηδὲ λέγειν ἔξεστι, τοὺς δ' ἐκδεδό-
σθαι, ὧν πολλὰ χρήσιμος ἦν ὑμῖν ὁ πατὴρ ἐγὼ μὲν οὐκ ἔχω συλλογίσασθαι. εἰ μὴ
τοῦτο δεῖξαι δημοσίᾳ βούλεσθε, ὅτι βδελυρία, καὶ ἀναίδεια, καὶ προαίρεσις πονηρίας
1 ἐν τῇ πόλει ἰσχύει, καὶ διασωθῆναι πλείω προσδοκίαν ἔχει, κἄν τι συμβῇ χαλε-
πὸν τοῖς τοιούτοις, ἀπόλεσις γίγνεται· ἐν δὲ προαιρέσει χρηστῇ, καὶ βίῳ καθαρῷ, καὶ
δημοτικῷ προελέσθαι ζῆν, σφαλερὸν κἂν τι γίνηται πταῖσμα, ἄφυκτον ἔσται. ἔτι
τοίνυν τὸ μὲν μὴ δίκαιον εἶναι τὴν ἐναντίαν δόξαν ἔχειν, ἥνπερ ζῶντος εἴχετ' ἐκεί- ἤγετ'
2 νου, καὶ τὸ τῶν τετελευτηκότων ἢ τῶν παρόντων πλείω ποιεῖσθαι λόγον, δίκαιον εἶναι,
καὶ πάντα τὰ τοιαῦτα ἐάσω. παρὰ πᾶσιν ὁμολογεῖσθαι ταῦτα ὑπείληφα. ὅσοις °ἐάσω παρὰ πᾶσι ὁμολογεῖσθαι ταῦτα ὑπειληφώς. ὅσοι
μέντοι πατέρων εὐεργεσίας ἀπεμνημονεύσατε τῶν ἄλλων, ἡδέως ἂν ἴδοιμι ὑμᾶς καὶ
πολλῶν ἑτέρων ἀπογόνοις. οὐχ ὡς ἐπιτιμῶν δὲ ταῦτα προήνεγκα. τοσούτου δέω τοῦ-
3 το ποιεῖν, ὥστε συμφέρειν μάλιστα τῇ πόλει τὰ τοιαῦτα κρίνω· προσκαλεῖσθαι γὰρ °προκαλεῖσθαι
πάντας ἐκ τούτων δημοτικοὺς εἶναι, ὁρῶντας, ὅτι κἂν ἐν τῷ καθ' ἑαυτοὺς βίῳ ταῖς
προσηκούσαις αὐτῶν τιμαῖς ὁ φθόνος ἀντιστῇ, τοῖς γε παισὶν ὑπάρξει τὰ προσή-
κοντα παρ' ὑμῶν κομίσασθαι. πῶς οὖν οὐκ ἄτοπον, μᾶλλον δὲ καὶ αἰσχρόν, τῶν
4 μὲν ἄλλων τισὶ, καὶ παλαιῶν ὄντων τῶν χρόνων, καθ' οὓς ἐγένοντο χρήσιμοι, καὶ δι' ὧν
ἀκούετε, τὰς εὐεργεσίας, οὐκ ἐξ ὧν ἑωράκατε, ὑπειληφότας, ὅμως τὴν δικαίαν
εὔνοιαν διασώζειν· Λυκούργῳ δ', οὕτως °ὑπογύου καὶ τῆς πολιτείας καὶ τῆς τελευτῆς ὑπογύου
γεγονυίας, μηδ' εἰς ἃ καὶ τοῖς ἀγνῶσι, °καὶ ὑφ' ὧν ἠδικεῖσθε, ἕτοιμοι τὸν ἄλλον °κἂν τοῖς ὑφ' ὧν
ἦτε χρόνον, εἰς ἔλεον καὶ φιλανθρωπίαν, μηδ' εἰς ταῦθ' ὑμᾶς αὐτοὺς ὁμοίους πα-
ρέχειν, καὶ ταῦτ' εἰς τοὺς παῖδας αὐτοῦ γιγνομένης τῆς τιμωρίας, οὓς κἂν ἐχθρός,
εἴπερ μέτριος εἴη, καὶ λογισμὸν ἔχων, ἐλεήσαι; θαυμάζω τοίνυν καὶ τοῦτ', εἴ τις ὑ-
μῶν ἀγνοεῖ, ὡς οὐδὲ τοῦτο συμφέρει τῇ πολιτείᾳ, φανερὸν γιγνόμενον· ὅτι τοῖς
μὲν ἄλλοις τινὰ κτησαμένοις φιλίαν, καὶ κατορθοῦσιν ἐν πᾶσι πλεονεξίαν ὑπάρ-
χει· κἂν ἀτυχήσωσί τι, ῥᾳδίας εἶναι τὰς λύσεις· τοῖς δ' εἰς τὸν δῆμον ἀναρτήσασιν
ἑαυτούς, οὐ μόνον κατὰ τἄλλα ἔλαττον ἔχειν ὑπάρξει, ἀλλὰ καὶ τὰς συμφορὰς βε-
βαίας τούτοις μόνοις τῶν ἄλλων μένειν. ἀλλὰ μὴν ὅτι ταῦθ' οὕτω γίγνεται, ῥᾴδιον
δεῖξαι. τίς γὰρ οὐκ οἶδεν ὑμῶν Λάχητι τῷ Μελανώπου, ἁλῶναι μὲν ὁμοίως ἐν
δικαστηρίῳ συμβάν, ὡς καὶ νῦν τοῖς Λυκούργου παισίν, ἀφεθῆναι δὲ πᾶν τὸ ὄφλη-
μα ἐπιστείλαντος Ἀλεξάνδρου; καὶ πάλιν Μνησιβούλῳ τῷ Ἀχαρνεῖ, ἁλῶναι μὲν ὁ-
μοίως, καταγνόντος αὐτοῦ τοῦ δικαστηρίου, ὥσπερ καὶ τῶν Λυκούργου παίδων, ἀφεῖ-
σθαι δὲ καλῶς ποιοῦντι; ἄξιος γὰρ ἀνήρ, καὶ οὐδεὶς ἂν ἐπὶ τούτοις τοὺς νόμους ἔ-
φη καταλύεσθαι τῶν νῦν βοώντων. εἰκότως. οὐ γὰρ κατελύοντο, εἴπερ ἅπαντες οἱ
νόμοι τῶν δικαίων ἕνεκα, καὶ σωτηρίας τῶν χρηστῶν ἀνθρώπων τίθενται, καὶ μήτε
ἀιδίους τοῖς ἀτυχήσασι καθιστάναι τὰς συμφορὰς συμφέρει, μήτ' ἀχαρίστους ὄν-
τας φαίνεσθαι. ἀλλὰ μὴν εἴ γε ταῦθ' οὕτως, ὥσπερ ἂν φήσαιμεν ἔχειν, συμφέ-
ρει, οὐ μόνον τοὺς νόμους οὐ καταλύετε, ἡνίκα ἐκείνους ἠφίετε, ἀλλὰ καὶ τοὺς βίους
ἐσῴζετε τῶν τοὺς νό[μο]υς θεμένων ἀνθρώπων, Λάχητα μὲν πρὸς χάριν δεηθέν-
τος Ἀλεξάνδρου ἀφέ[ντε]ς, Μνησίβουλον δὲ τῇ τοῦ βίου σωφροσύνῃ σῴζοντες. μὴ τοίνυν
τὸ κτήσασθαι τὴν ἔξωθεν φιλίαν λυσιτελέστερον δείκνυτε, ἢ τὸ τῷ δήμῳ παρακα-
ταθέσθαι ἑαυτόν, μηδὲ τῶν ἀγνώτων εἶναι κρεῖττον, ἢ τοῖς πολλοῖς ὑμῖν τὰ συμφέ-
ροντα πολιτευομένους γιγνώσκεσθαι. τὸ μὲν γὰρ πᾶσιν ἀρέσκειν τὸν συμβουλεύοντα, καὶ

τὰ κοινὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὰ κοινὰ πεπραγμένα, ἀδύνατον. ἐὰν δ' ἐπ' εὐνοίᾳ ταῦτα τῷ δήμῳ τις φρονῇ, δι-
καίως ἐστὶ σώζεσθαι. εἰ δὲ μή, καὶ θεραπεύει ἑτέρους μᾶλλον, ἢ τὸν δῆμον, ἀπολ- 31
λύντας διδάξετε, καὶ φεύγειν τὸ τῶν ὑμῖν συμφερόντων ποιοῦντά τι γνωσθῆναι. ὅλως
δὲ κοινόν ἐστιν ὄνειδος, ἄνδρες Ἀθηναῖοι, καὶ ὅλης τῆς πόλεως συμφορά, τὸν φθόνον
δοκεῖν μεῖζον ἰσχύειν παρ' ὑμῖν, ἢ τὰς τῶν εὐεργεσιῶν χάριτας. καὶ ταῦτα, τῶν μὲν νο-
σήματι ὄντος, τῶν δὲ τοῖς θεοῖς ἀποδεδειγμένων. καὶ μὴν οὐδὲ τὸν Πυθέα παρα- 32
λείπω τὸν μέχρι τῆς παρόδου δημοτικόν. μετὰ ταῦτα δ' ἕτοιμον εἰς τὰ καθ' ὑμῶν
πάντα. τίς γὰρ οὐκ οἶδε, τοῦτον, ὅτε μὲν τὴν ὑπὲρ ὑμῶν τάξιν ἔχων εἰς τὸ πολιτεύε-
σθαι παρῄει, ὡς δοῦλον, ἠλαυνόμενον, καὶ γραφὴν ξενίας φεύγοντα, καὶ μικροῦ
πραθέντα ὑπὸ τούτων, οἷς νῦν ὑπηρετῶν τοὺς κατ' ἐμοῦ λόγους ἔγραφεν; ἐπειδὴ 33
δ' ἃ κατηγόρει τότε τῶν ἄλλων, νῦν αὐτὸς πράττει, εὐπορεῖ μὲν οὕτως, ὥστε
δύ' ἔχειν ἑταίρας, αἳ μέχρι φθόης, καλῶς ποιοῦσαι, προπεπόμφασιν αὐτόν· πέντε
ἴσον ἀνέξασθαι τάλαντα δ' ὀφλόντα, ῥᾷον ἐκτῖσαι, ἢ πέντε δραχμὰς ἀνέξεσθαι πρότερον·
πρὸς δὲ τούτοις παρ' ὑμῶν τοῦ δήμου οὐ μόνον τῆς πολιτείας μετειληφότα, ὃ κοινὸν 34
ὄνειδός ἐστιν ἅπασιν, ἀλλὰ καὶ θύοντα ὑπὲρ ὑμῶν τὰς πατρίους θυσίας ἐν Δελφοῖς;
ἐπειδὰν οὖν τοιαῦτα καὶ τηλικαῦτα πᾶσιν ἰδεῖν ᾖ παραδείγματα, ἀφ' ὧν λυσιτελὲς
προαιρεῖσθαι τὰ τοῦ δήμου πᾶς τις ἂν κρίναι, φοβοῦμαι μήποτ' ἔρημοι τῶν ὑπὲρ
ὑμῶν ἐρούντων γένησθε, ἄλλως τε καὶ ὅταν τῶν δημοτικῶν τοὺς μὲν ἡ καθήκουσα 35
μοῖρα, καὶ ἡ τύχη, καὶ ὁ χρόνος παραιρῆται, οἷον Ναυσικλέα, καὶ Χάρητα, καὶ Διότιμον
καὶ Μενεσθέα, καὶ Εὔδοξον, ἔτι δ' Εὔδημον, καὶ Ἐφιάλτην, καὶ Λυκοῦργον· τοὺς δ' ὑ-
μεῖς προῆσθε, ὥσπερ Χαρίδημον, καὶ Φιλοκλέα, καὶ ἐμέ, ὧν ἑτέρους εὐνουστέρους οὐδ'
ὁμοίως αὐτοὶ νομίζετε· εἰ δ' ὁμοίους τινάς, οὐ φθονῶ. βουλοίμην δ' ἄν, εἴπερ ὑμεῖς δι- 36
καίως αὐτοῖς προσοίσεσθε, καὶ μὴ ταὐτά, ἅπερ ἡμεῖς, πείσονται, ὡς πλείστους αὐτοὺς
γενήσεσθαι. ἀλλ' ὅταν γε τοιαῦτα, οἷα τὰ νῦν, παραδείγματα ἐκφέρητε, τίς ἐστιν,
ὅστις εἰς ταύτην τὴν τάξιν ἑαυτὸν γνησίως ὑμῖν ἐθελήσει δοῦναι. ἀλλὰ μὴν τῶν
γε προσποιησομένων οὐκ ἀπορήσετε. οὐδὲ γὰρ πρότερον. μὴ γένοιτο δ' ἰδεῖν 37
ἐξελεγχθέντας αὐτοὺς ὁμοίως ἐκείνοις, οἳ φανερῶς, ἃ τότε ἠρνοῦντο, νῦν πολιτευό-
μενοι, οὐδένα ὑμῶν οὔτε δεδοίκασιν, οὔτε αἰσχύνονται. ἃ χρὴ λογιζομένους, ὦ ἄν-
δρες Ἀθηναῖοι, μήτε τῶν εὔνων ὀλιγωρεῖν, μήτε τοῖς προάγουσιν εἰς πικρίαν καὶ
ὠμότητα τὴν πόλιν, πείθεσθαι. πολὺ γὰρ μᾶλλον εὐνοίας καὶ φιλανθρωπίας τὰ 38
παρόντα πράγματα δεῖται, ἢ ταραχῆς, καὶ δυσμενείας, ὧν ὑπερβολῇ χρώμενοί
τινες ἐργολαβοῦσι καθ' ὑμῶν εἰς ὑποδοχὴν πραγμάτων, ὧν διαψεύσεται
αὐτοὺς ὁ λογισμός. εἰ δέ τις ὑμῶν διασύρει ταῦτα, πολλῆς ἐστιν εὐηθείας μεστός. εἰ
γάρ, ἃ μηδεὶς ἂν ἤλπισεν, ὁρῶν γεγενημένα, ἃ καὶ πρότερον γέγονε, τοῦ δήμου πρὸς 39
εἰκαθέντων τοὺς ὑπὲρ αὐτοῦ λέγοντας ὑπ' ἀνθρώπων εἰκαθέντων διαβληθέντος, νῦν μὴ ἂν Εἰκᾶ δόλιος πάσχο
οἴεται γενέσθαι, πῶς οὐ τετύφωται; ταῦτα δὲ εἰ μὲν πρὸ τοῦ, λέγων ἂν ὑμᾶς ἐδί-
δασκον. ἐπειδὴ δ' ἐν τοῖς τοιούτοις εἰμί, ἐν οἷς, εἴ τις ἐμοῦ κατέψευσται, ἐφ' οἷς ἀπό-
λωλα, γένοιτο, γράψας ἐπέσταλκα, πρῶτον μέν, καὶ πλεῖστον λόγον ποιούμενος τοῦ 40
καλοῦ καὶ τοῦ συμφέροντος ὑμῖν· δεύτερον δ' ὅτι τὴν εὔνοιαν, ἣν πρὸς
ζῶντα Λυκοῦργον εἶχον, δίκαιον εἶναι νομίζω καὶ πρὸς τοὺς παῖδας αὐτοῦ φαίνεσθαι
ἔχοντα. κ. ἔχει. ἔχων. εἰ δέ τῳ παρέστηκεν, ὡς πολύ μοι περίεστι τῶν ἐμαυτοῦ πραγμάτων, οὐκ
ἂν ὀκνήσαιμι πρὸς τοῦτον εἰπεῖν, ὅτι τῶν συμφερόντων ὑμῖν καὶ τοῦ μηδένα

προσήκει. ὥστε πῶς ἴσον ἐστί, τοὺς μὲν ἄρχειν, οἷς μηδὲ λέγειν ἐξῆν, τοὺς δὲ διώκε-
σθαι, ὧν πολλὰ χρήσιμος ἦν ὑμῖν ὁ πατήρ; ἐγὼ μὲν οὐκ ἔχω συλλογίσασθαι. εἰ μὴ
τοῦτο δεῖξαι δημοσίᾳ βούλεσθε, ὅτι βδελυρία, καὶ ἀναίδεια, καὶ προαίρεσις πονηρίας
21 ἐν τῇ πόλει ἰσχύει, καὶ διασωθῆναι πλείω προσδοκίαν ἔχει, κἄν τι συμβῇ χαλε-
πὸν τοῖς τοιούτοις, ἀπόλεσις γίγνεται· ἐν δὲ προαιρέσει χρηστῇ, καὶ βίῳ σώφρονι, καὶ
δημοτικῷ προῃρῆσθαι ζῆν, σφαλερόν, κἄν τι γένηται πταῖσμα, ἄφυκτον ἔσται. ἔτι
τοίνυν τὸ μὲν μὴ δίκαιον εἶναι τὴν ἐναντίαν δόξαν ἔχειν, ἥνπερ ζῶντος εἴχετ᾽ ἐκεί- ἧσσον
22 νου, καὶ τὸ τῶν τετελευτηκότων, ἢ τῶν παρόντων πλείω ποιεῖσθαι λόγον, δίκαιον εἶναι,
καὶ πάντα τὰ τοιαῦτα, ἐάσω. παρὰ πᾶσιν ὁμολογεῖσθαι ταῦτα ὑπείληφα. ὅσοις ἐάσω παρὰ
μέντοι πατέρες εὐεργεσίας ἀπεμνημονεύσατε τῶν ἄλλων, ἡδέως ἂν ἴδοιμι ὑμᾶς καὶ πᾶσι ὁμολο-
πολλῶν ἑτέρων ἀπογόνοις. οὐχ ὡς ἐπιτιμῶν δὲ ταῦτα προήνεγκα. τοσούτου δέω τοῦ- γεῖσθαι ταῦτα
23 το ποιεῖν, ὥστε συμφέρειν μάλιστα τῇ πόλει τὰ τοιαῦτα κρίνω· προκαλεῖσθαι γὰρ ὑπειληφώς. ὅσοι
πάντας ἐκ τούτων δημοτικοὺς εἶναι, ὁρῶντας, ὅτι κἂν ἐν τῷ καθ᾽ ἑαυτοὺς βίῳ ταῖς προκαλεῖσθαι
προσηκούσαις αὐτῶν τιμαῖς ὁ φθόνος ἀντιστῇ, τοῖς γε παισὶν ὑπάρξει τὰ προσή-
κοντα παρ᾽ ὑμῶν κομίσασθαι. πῶς οὖν οὐκ ἄτοπον, μᾶλλον δὲ καὶ αἰσχρόν, τῶν
4 μὲν ἄλλων τισί, καὶ παλαιῶν ὄντων τῶν χρόνων, καθ᾽ οὓς ἐγένοντο χρήσιμοι, καὶ δι᾽ ὧν
ἀκούετε τὰς εὐεργεσίας, οὐκ ἐξ ὧν ἑωράκατε, ὑπειληφότας, ὅμως τὴν δικαίαν
εὔνοιαν διασώζειν· Λυκούργῳ δ᾽ οὕτως ὑπογύου καὶ τῆς πολιτείας καὶ τῆς τελευτῆς ὑπογύου
γεγονυίας, μηδ᾽ εἰς ἃ καὶ τοῖς ἀγνῶσι, καὶ ὑφ᾽ ὧν ἠδικεῖσθε, ἕτοιμοι τὸν ἄλλον καὶ τοῖς ὑφ᾽ ὧν
5 ἦτε χρόνον, εἰς ἔλεον καὶ φιλανθρωπίαν, μηδ᾽ εἰς ταῦθ᾽ ὑμᾶς αὐτοὺς ὁμοίους πα-
ρέχειν, καὶ ταῦτ᾽ εἰς τοὺς παῖδας αὐτοῦ γιγνομένης τῆς τιμωρίας, οὓς κἂν ἐχθρός,
εἴπερ μέτριος εἴη, καὶ λογισμὸν ἔχων, ἐλεήσαι; θαυμάζω τοίνυν καὶ τοῦτ᾽, εἴ τις ὑ-
μῶν ἀγνοεῖ, ὡς οὐδὲ τοῦτο συμφέρει τῇ πολιτείᾳ, φανερὸν γιγνόμενον· ὅτι τοῖς
5 μὲν ἄλλοις τινὰ κτησαμένοις φιλίαν, καὶ κατορθοῦσιν ἐν πᾶσι πλεονεκτεῖν ὑπάρ-
χει· κἂν ἀτυχήσωσί τι, ῥᾳδίας εἶναι τὰς λύσεις· τοῖς δ᾽ εἰς τὸν δῆμον ἀναρτήσασιν
ἑαυτούς, οὐ μόνον κατὰ τἄλλα ἔλαττον ἔχειν ὑπάρξει, ἀλλὰ καὶ τὰς συμφορὰς βε-
βαίας τούτοις μόνοις τῶν ἄλλων μένειν. ἀλλὰ μὴν ὅτι ταῦθ᾽ οὕτω γίγνεται, ῥᾴδιον
δεῖξαι. τίς γὰρ οὐκ οἶδεν ὑμῶν Λάχητι τῷ Μελανώπου, ἁλῶναι μὲν ὁμοίως ἐν
δικαστηρίῳ συμβάν, ὡς καὶ νῦν τοῖς Λυκούργου παισίν, ἀφεθῆναι δὲ πᾶν τὸ ὄφλη-
μα ἐπιστείλαντος Ἀλεξάνδρου; καὶ πάλιν Μνησιβούλῳ τῷ Ἀχαρνεῖ, ἁλῶναι μὲν ὁ-
μοίως, καταγνόντος αὐτοῦ τοῦ δικαστηρίου, ὥσπερ καὶ τῶν Λυκούργου παίδων, ἀφεῖ-
σθαι δὲ καλῶς ποιοῦντι; ἄξιος γὰρ ἀνήρ, καὶ οὐδεὶς ἂν ἐπὶ τούτοις τοὺς νόμους ἔ-
φη καταλύεσθαι τῶν νῦν βοώντων. εἰκότως. οὐ γὰρ κατελύοντο, εἴπερ ἅπαντες οἱ
νόμοι τῶν δικαίων ἕνεκα, καὶ σωτηρίας τῶν χρηστῶν ἀνθρώπων τίθενται, καὶ μήτε
ἀιδίους τοῖς ἀτυχήσασι καθιστάναι τὰς συμφορὰς συμφέρει, μήτ᾽ ἀχαρίστους ὄν-
τας φαίνεσθαι. ἀλλὰ μὴν εἴγε ταῦθ᾽ οὕτως, ὥσπερ ἂν φήσαιμεν ἔχειν, συμφέ-
ρει, οὐ μόνον τοὺς νόμους οὐ καταλύετε, ἡνίκα ἐκείνους ἠφίετε, ἀλλὰ καὶ τοὺς βίους
ἐσώζετε τῶν τοὺς νόμους θεμένων ἀνθρώπων, Λάχητα μὲν πρὸς χάριν διαθέν-
τος Ἀλεξάνδρου ἀφέντες, Μνησίβουλον δὲ τῇ τοῦ βίου σωφροσύνῃ σώσαντες. μὴ τοίνυν
τὸ κτήσασθαι τὴν ἔξωθεν φιλίαν λυσιτελέστερον δείκνυτε, ἢ τὸ τῷ δήμῳ παρακα-
ταθέσθαι ἑαυτόν, μηδὲ τῷ τῶν ἀγνώτων εἶναι κρεῖττον, ἢ τοῖς πολλοῖς ὑμῖν τὰ συμφέ-
ροντα πολιτευομένους γιγνώσκεσθαι. τὸ μὲν γὰρ πᾶσιν ἀρέσκειν τὸν συμβουλεύοντα, καὶ

τὰ κοινὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὰ κοινὰ πράγματα, ἀδύνατον. ἐὰν δ' ἐπ' εὐνοίᾳ ταῦτα τῷ δήμῳ τις φέρῃ, δί-
καιός ἐστι σώζεσθαι. εἰ δὲ μή, καὶ θεραπεύῃ ἑτέρους μᾶλλον, ἢ τὸν δῆμον, ἀπολοῦν- 31
τας διδάξετε, καὶ φυγὴν τὸ τῶν ὑμῖν συμφερόντων ποιοῦντά τι γνωσθῆναι. ὅλως
δὲ κοινόν ἐστιν ὄνειδος, ἄνδρες ἀθηναῖοι, καὶ ὅλης τῆς πόλεως συμφορά, τὸν φθόνον
δοκεῖν μεῖζον ἰσχύειν παρ' ὑμῖν, ἢ τὰς τῶν εὐεργεσιῶν χάριτας· καὶ ταῦτα, τοῦ μὲν νο-
σήματος ὄντος, τῶν δὲ τοῖς θεοῖς ἀποδεδειγμένων. καὶ μὴν οὐδὲ τὸν πυθέα παρα- 32
λείψω τὸν μέχρι τῆς παρόδου δημοτικόν. μετὰ ταῦτα δ' ἕτοιμον εἰς τὰ καθ' ὑμῶν
πάντα. τίς γὰρ οὐκ οἶδε, τοῦτον, ὅτε μὲν τὴν ὑπὲρ ὑμῶν τάξιν ἔχων εἰς τὸ πολιτεύε-
σθαι παρῄει, ὡς δοῦλον, ἠγανομένον, καὶ γραφὴν ξενίας φεύγοντα, καὶ μικροῦ
πραθέντα ὑπὸ τούτων, οἷς νῦν ὑπηρετῶν τοὺς κατ' ἐμοῦ λόγους ἔγραφεν; ἐπειδὴ 33
δ' ἃ κατηγόρει τότε τῶν ἄλλων, νῦν αὐτὸς πράττει, εὐποροῦντα μὲν οὕτως, ὥστε
δύ' ἔχειν ἑταίρας, αἳ μέχρι φθόης, καλῶς ποιοῦσαι, προπεπόμφασιν αὐτόν· πέντε
τάλαντα δ' ὀφλόντα, ῥᾷδιον ἐκτῖσαι, ἢ πέντε δραχμὰς ἀνέξεσθε πρότερον.
πρὸς δὲ τούτοις παρ' ὑμῶν τοῦ δήμου οὐ μόνον τῆς πολιτείας μετειληφότα, ὃ κοινὸν 34
ὄνειδός ἐστιν ἅπασιν, ἀλλὰ καὶ θύοντα ὑπὲρ ὑμῶν τὰς πατρίους θυσίας ἐν δελφοῖς;
ὅταν οὖν τοιαῦτα καὶ τηλικαῦτα πᾶσιν ἰδεῖν ᾖ παραδείγματα, ἀφ' ὧν ἀλυσιτελὲς
προαιρεῖσθαι τὰ τοῦ δήμου πᾶς τις ἂν κρίναι, φοβοῦμαι μήποτ' ἔρημοι τῶν ὑπὲρ
ὑμῶν ἐρούντων γένησθε, ἄλλως τε καὶ ὅταν τῶν δημοτικῶν τοὺς μὲν ἡ καθήκουσα 35
μοῖρα, καὶ ἡ τύχη, καὶ ὁ χρόνος παραιρῆται, οἷον ναυσικλέα, καὶ χάρητα, καὶ διότιμον
καὶ μενεσθέα, καὶ εὔδοξον, ἔτι δ' εὔδημον, καὶ ἐφιάλτην, καὶ λυκοῦργον· τοὺς δ' ὑ-
μεῖς προῆσθε, ὥσπερ χαρίδημον, καὶ φιλοκλέα, καὶ ἐμέ, ὧν ἑτέρους εὐνουστέρους οὐδ'
αὐτοὶ νομίζετε· εἰ δ' ὁμοίους τινάς, οὐ φθονῶ. βουλοίμην δ' ἄν, εἴπερ ὑμεῖς δι- 36
καίως αὐτοῖς προσοίσεσθε, καὶ μὴ ταῦτα, ἅπερ ἡμεῖς, πείσονται, ὡς πλείστους αὐτοὺς
γενήσεσθαι. ἀλλ' ὅταν γε τοιαῦτα, οἷα τὰ νῦν, παραδείγματα ἐκφέρητε, τίς ἐστιν,
ὅστις εἰς ταύτην τὴν τάξιν ἑαυτὸν γνησίως ὑμῖν ἐθελήσει δοῦναι. ἀλλὰ μὴν τῶν
γε προσποιησομένων οὐκ ἀπορήσετε. οὐδὲ γὰρ πρότερον. μὴ γένοιτο δὲ ἰδεῖν 37
ἐξελεγχθέντας αὐτοὺς ὁμοίως ἐκείνοις, οἳ φανερῶς, ἃ τότε ἠρνοῦντο, νῦν πολιτευό-
μενοι, οὐδένα ὑμῶν οὔτε δεδοίκασιν, οὔτε αἰσχύνονται. ἃ χρὴ λογιζομένους, ὦ ἄν-
δρες ἀθηναῖοι, μήτε τῶν εὔνων ὀλιγωρεῖν, μήτε τοῖς προάγουσιν εἰς πικρίαν καὶ
ὠμότητα τὴν πόλιν, πείθεσθαι. πολὺ γὰρ μᾶλλον εὐνοίας καὶ φιλανθρωπίας τὰ 38
παρόντα πράγματα δεῖται, ἢ ταραχῆς, καὶ δυσμενείας, ὧν ὑπερβολῇ χρώμενοί
τινες ἐργολαβοῦσι καθ' ὑμῶν εἰς ὑποδοχὴν πραγμάτων, ὧν διαψεύσειεν
αὐτοὺς ὁ λογισμός. εἰ δέ τις ὑμῶν διασύρει ταῦτα, πολλῆς ἐστιν εὐηθείας μεστός. εἰ
γάρ, ἃ μηδεὶς ἂν ἤλπισεν, ὁρῶν γεγενημένα, ἃ καὶ πρότερον γέγονε, τοῦ δήμου πρὸς 39
τοὺς ὑπὲρ αὐτοῦ λέγοντας ὑπ' ἀνθρώπων ἐγκαθέντων διαβληθέντος, νῦν μὴ ἂν
οἴεται γενέσθαι, πῶς οὐ τετύφωται; ταῦτα δὲ εἰ μὲν παρῆν, λέγων ἂν ὑμᾶς ἐδί-
δασκον. ἐπειδὴ δ' ἐν τοῖς τοιούτοις εἰμί, ἐν οἷς, εἴ τις ἐμοῦ κατέψευσται, ἐφ' οἷς ἀπό-
λωλα, γένοιτο, γράψας ἐπέσταλκα, πρῶτον μέν, καὶ πλεῖστον λόγον ποιούμενος τοῦ 40
καλοῦ καὶ τοῦ συμφέροντος ὑμῖν· δεύτερον δ' ὅτι τὴν εὔνοιαν, ἣν πρὸς
ζῶντα λυκοῦργον εἶχον, δίκαιον εἶναι νομίζω καὶ πρὸς τοὺς παῖδας αὐτοῦ φαίνεσθαι
ἔχων. εἰ δέ τῳ παρέστηκεν, ὡς πολύ μοι περίεστι τῶν ἐμαυτοῦ πραγμάτων, οὐκ
ἂν ὀκνήσαιμι πρὸς τοῦτον εἰπεῖν, ὅτι τῶν συμφερόντων ὑμῖν καὶ τοῦ μηδένα

ῥᾷον ἀνέξαισθε

ὁμοίως

ἐγκαθέντων

ἔχοντα. κ. ἔχειν.

Εἰκά δόλιος πάσκο

φίλων ἐγκαταλιπεῖν, ὁμοίως ὥσπερ τῆς ἐμαυτοῦ σωτηρίας, φροντίζω. οὐκοῦν ἐκ
τοῦ περιόντος ταῦτα ποιῶ, ἀλλ᾽ ἀπὸ τῆς αὐτῆς σπουδῆς, καὶ προαιρέσεως καὶ ταῦ-
τα, κἀκεῖνα μιᾷ γνώμῃ πραγματεύομαι. περίεστι δέ μοι ταῦτα, οἷα τοῖς κακο-
νοοῦσιν ὑμῖν περιγένοιτο. καὶ περὶ μὲν τούτων ἱκανά. ἡδέως δ᾽ ἂν ὑμῖν τῇ ἐπ᾽ εὐ-
νοίᾳ καὶ φιλίᾳ μέμψιν ποιησαίμην νῦν μὲν ἐν κεφαλαίῳ, μικρῷ δ᾽ ὕστερον δι᾽
ἐπιστολῆς μακρᾶς, ἣν, ἐάνπερ ἐγὼ ζῶ, προσδοκᾶτε, ἂν μὴ τὰ δίκαια γίγνηταί
μοι παρ᾽ ὑμῶν πρότερον. οἵτινες, ὦ· τί ἂν εἰπὼν μήτ᾽ ἁμαρτεῖν δοκοίην, μήτε τί συνειπὼν
ψευσαίμην· λίαν ὀλιγώρως, οὔτε τοὺς ἄλλους, οὔθ᾽ ὑμᾶς αὐτοὺς αἰσχύνεσθε, ἐφ᾽ οἷς ὑμᾶς,
Ἀριστογείτονα ἀφείκατε, ἐπὶ τούτοις Δημοσθένην ἐκβεβληκότες. καὶ ἃ τοῖς τολ-
μῶσι μηδὲν ὑμῶν φροντίζειν, μὴ λαβοῦσι παρ᾽ ὑμῶν ἔξεστιν ἔχειν, ταῦτ᾽ οὐ διδόντες
ἐμοὶ, ἵνα οἷός τε ὦ τά τε ὀφειλόμενα εἰσπράξας, καὶ τοὺς φίλους ἐρανίσας, τὰ πρὸς
ὑμᾶς διοικήσω, καὶ μὴ γῆρας καὶ φυγὴν, ἐπίχειρα τῶν ὑπὲρ ὑμῶν πεπονημένων
ἔχων, κοινὸν ὄνειδος τῶν ἀδικησάντων, ἐπὶ ξένης περιιὼν ὁρῶμαι. βουλομένου δέ μου
"ἐν μὲν ὑμετέρας χάριτος, καὶ μεγαλοψυχίας τάξει τὴν οἴκαδέ μοι ἄφιξιν γενέ- "τῇ μὲν
σθαι, ἐμαυτῷ δὲ λύσιν τῆς γεγονυίας οὐ δικαίως βλασφημίας ποιεῖσθαι, καὶ μό-
νον αἰτοῦντος ἄδειαν, ὅσονπερ χρόνον τὴν ἔκτισιν δεδώκατε· ταῦτα μὲν οὐ συγ-
χωρεῖτε, ἐρωτᾶτε δὲ, ὡς ἀπαγγέλλεται πρὸς ἐμὲ, τίς οὖν αὐτὸν κωλύει παρεῖναι καὶ
ταῦτα πράττειν; τὸ ἐπίστασθαι αἰσχύνεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τὸ ἀναξίως
τῶν ὑπὲρ ὑμῶν πεπολιτευμένων πράττειν, καὶ τὸ τὰ ὄντα ἀπολωλεκέναι διὰ
τούτους, ἵνα μὴ διπλᾶ καταθῶνται, ἃ οὐκ ἠδύναντο ἁπλᾶ. ἐπείσθην ὑπογρά-
ψασθαι τὴν ἀρχὴν τὰς καταβολὰς, παρ᾽ ὧν, μετὰ μὲν τῆς ὑμετέρας εὐνοίας ἀφι-
κόμενος, μέρος, εἰ καὶ μὴ πάντα, ἴσως ἀνακομισαίμην, ὥστε μηδὲν ἀσχημονεῖν τὸ
λοιπὸν τοῦ βίου. ἂν δ᾽ ὡς οἱ ταῦτα λέγοντες ἀξιοῦσί με, ἔλθω, ἅμα ἀδοξίᾳ καὶ
ἀπορίᾳ καὶ φόβῳ συνέξομαι. ὧν οὐδὲν ὑμεῖς συλλογίζεσθε. ἀλλὰ ῥημάτων μοι καὶ
φιλανθρωπίας φθονοῦντες, ἂν οὕτω τύχῃ, δι᾽ ὑμᾶς περιόψεσθε ἀπολούμενον. οὐ
γὰρ ἂν δεηθείην ἄλλων, ἢ ὑμῶν. καὶ τότε φήσετε δεινὰ πεπονθέναι με, ἀκριβῶς
οἶδα, ὅτε οὔτ᾽ ἐμοὶ πλέον οὐδὲν, οὔθ᾽ ὑμῖν ἔσται. οὐ γὰρ χρήματά γ᾽ εἶναί μοι προσ- "μὴ
δοκᾶτε, ἔξω τῶν φανερῶν, ὧν ἀφίσταμαι. καὶ τὰ λοιπὰ βούλομαι συναγαγεῖν, ἐάν μοι
μὴ φιλονείκως, ἀλλ᾽ ἀνθρωπίνως δῶτε τὸ πρὸς τούτοις ἀσφαλῶς εἶναι, καὶ μὴν
οὐδὲ παρ᾽ Ἁρπάλου με λαβόντα δείξετε. οὔτε γὰρ ἠλέγχθην, οὔτ᾽ ἔλαβον. "εἰ δὲ "εἰ δ᾽ ἐπι-
τὸ φανὲς ἀξίωμα τῆς βουλῆς, ἢ τὸν ἄρειον πάγον προσβλέπετε, τῆς Ἀριστογείτονος φανὲς
κρίσεως ἀναμνησθέντες, ἐγκαλύψασθε. οὐ γὰρ ἔχω τούτου πραότερον πρόσταγμα
τοῖς τοιαῦτ᾽ ἐξημαρτηκόσιν εἰς ἐμέ. οὐ γὰρ δήπου τοῖς αὐτοῖς γε λόγοις ὑπὸ τῆς αὐτῆς
βουλῆς ἀποφανθέντα ἐκεῖνον μὲν ἀφεῖσθαι, δίκαιον εἶναι φήσετε, ἐμὲ δὲ ἀπολωλέ-
ναι. οὐχ οὕτως ὑμεῖς ἀλογίστως ἔχετε. οὔτε γὰρ ἄξιος, οὔτε ἐπιτήδειος, οὔτε χείρων
ἀτυχὴς μέντοι δι᾽ ὑμᾶς ὁμολογῶ. πῶς γὰρ οὐκ ἀτυχὴς, ᾧ πρὸς τοῖς ἄλλοις κα-
κοῖς, καὶ πρὸς Ἀριστογείτονα ἐμαυτὸν ἐξετάζειν συμβαίνει, καὶ ταῦτ᾽ ἀπολωλότι
πρὸς σωτηρίας τετυχηκότα; καὶ μή με ὑπολαμβάνετε ὀργίζεσθαι τοῖς λόγοις
τούτοις. οὐ γὰρ ἂν πάθοιμι τοῦτο πρὸς ὑμᾶς ἐγώ· ἀλλ᾽ ἔχει τινὰ τοῖς ἀδικουμένοις
ῥᾳστώνην τὸ λέγειν, ἃ πάσχουσιν, ὥσπερ τοῖς ἀλγοῦσι τὸ στένειν. ἐπεὶ τῇ γε εὐνοίᾳ οὕτως
ἔχω πρὸς ὑμᾶς, ὡς ὑμᾶς ἂν εὐξαίμην πρὸς ἐμέ. καὶ τοῦτ᾽ ἐν πᾶσι πεποίηκα,
καὶ ποιήσω φανερόν· ἔγνωκα γὰρ ἐξ ἀρχῆς παντὶ τῷ πολιτευομένῳ προσήκειν,

ἂν περ

...περ ἢ δίκαιος πολίτης, ὥσπερ οἱ παῖδες πρὸς τοὺς γονέας, οὕτω πρὸς ἅπαν-
τας τοὺς πολίτας ἔχειν, εὔχεσθαι μὲν ὡς εὐγνωμονεστάτων τυγχάνειν, φέρειν δὲ τοὺς 52
ὄντας εὐμενῶς. ἡ γὰρ ἐν τοῖς τοιούτοις ἧττα, καλὴ, καὶ προσήκουσα νίκη παρὰ τοῖς
εὖ φρονοῦσι γίνεται. Εὐτυχεῖτε.

## ΠΡΟΣ ΤΑΣ ΘΗΡΑΜΕΝΟΥΣ βλασφημίας.

Δημοσθένης τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν.

Δ ΑΚούω περὶ ἐμοῦ Θηραμένην ἄλλους τε λόγους βλασφήμους εἰρηκέναι, καὶ δυ- 1
στυχίαν προφέρειν. τὸ μὲν οὖν τοῦτον ἀγνοεῖν, ὅτι λοιδορίας, ἣ μηδὲ μίαν κα-
κίαν καθ' ὅτου λέγεται, δείκνυσιν, οὐδέν ἐστ' ὄφελος παρὰ τοῖς εὖ φρονοῦσιν ἀνθρώποις,
οὐχὶ θαυμάζω. τὸν γὰρ θρασὺν μὲν τῷ βίῳ, μὴ πολίτην δὲ τὴν φύσιν, ἐν ἐργα-
στηρίῳ δὲ τεθραμμένον ἐκ παιδὸς, μὴ αἰσθάνεσθαί τι τῶν τοιούτων, εὐλογώτε- 2
ρον ἢ συνιέναι. τούτῳ μὲν οὖν, ἐὰν ἀφίκωμαί ποτε καὶ σωθῶ, πειράσομαι δια-
λεχθῆναι περὶ ὧν εἰς ἐμὲ, καὶ περὶ ὧν εἰς ὑμᾶς παροινεῖ. καὶ νομίζω, καίπερ οὐδὲν
μετέχοντα τοῦ αἰσχύνεσθαι, μετριώτερον αὐτὸν ποιήσειν. ὑμῖν δὲ τοῦ κοινῇ συμφέ-
ροντος ἕνεκα βούλομαι, δι' ἐπιστολῆς οὓς περὶ τούτων ἔχω λόγους, δηλῶσαι. οἷς πά- 3
νυ τὸν νοῦν προσέχοντες ἀκούσατε. οἴομαι γὰρ αὐτοὺς οὐκ ἀκοῆς μόνον, ἀλλὰ καὶ
μνήμης ἀξίους εἶναι. ἐγὼ τὴν πόλιν τὴν ὑμετέραν εὐτυχεστάτην πασῶν πόλεων
ὑπολαμβάνω, καὶ θεοφιλεστάτην. καὶ ταῦτα οἶδα καὶ τὸν Δία τὸν Δωδωναῖον, καὶ
τὴν Διώνην, καὶ τὸν Ἀπόλλω τὸν Πύθιον ἀεὶ λέγοντας ἐν ταῖς μαντείαις, καὶ προσ- 4
επισφραγιζομένους τὴν ἀγαθὴν τύχην ἐν τῇ πόλει εἶναι τῇ παρ' ὑμῖν. ὅσα τοί-
νυν περὶ τῶν ἐπιόντων δηλοῦσιν οἱ θεοὶ, δῆλον ὡς προλέγουσι. τὰς δ' ἀπὸ τῶν πα-
ρεληλυθότων προσηγορίας ἐπὶ ταῖς γεγονυίαις πράξεσι τίθενται. ἃ τοίνυν ἐγὼ
πεπολίτευμαι παρ' ὑμῖν, τῶν ἤδη γεγενημένων ἐστὶν, ἀφ' ὧν εὐτυχεῖς ὑμᾶς προσ- 5
ηγορεύκασιν οἱ θεοί. πῶς οὖν δίκαιον τοὺς μὲν πεισθέντας, εὐτυχεῖς ὀνομάζεσθαι, τὸν
δὲ πείσαντα, τῆς ἐναντίας προσηγορίας τυγχάνειν; πλὴν εἰ τοῦτό τις εἴποι, τὴν μὲν
κοινὴν εὐτυχίαν, ἧς ἐγὼ σύμβουλος, θεοὺς τοὺς λέγοντας εἶναι, οἷς οὐ θέμις ψεύδεσθαι.
τὴν δ' ἰδίαν βλασφημίαν, ἣν κατ' ἐμοῦ λέγει Θηραμένης, θρασὺν, καὶ ἀναι- 6
δῆ, καὶ οὐδὲ νοῦν ἔχοντ' ἄνθρωπον εἰρηκέναι. οὐ τοίνυν μόνον ταῖς παρὰ τῶν θεῶν
μαντείαις ἀγαθὴν οὖσαν εὑρήσετε ἣν κέκλησθε τύχην, ἀλλὰ καὶ ἐξ αὐτῶν τῶν ἔρ-
γων θεωροῦντες, ἂν ἐξετάζητε ὀρθῶς. ὑμεῖς γὰρ εἰ μὲν, ὡς ἄνθρωποι, τὰ πρά-
γματα βούλεσθε θεωρεῖν, εὐτυχεστάτην εὑρήσετε, ἀφ' ὧν ἐγὼ συνεβούλευσα, τὴν 7
πόλιν γεγονυῖαν. εἰ δ' ἃ τοῖς θεοῖς ἐξαίρετ' ὑπάρχει μόνοις, τούτων ἀξιώσετε τυγχά-
νειν, ἀδυνάτων ἐφίεσθε. τί οὖν ἐστι θεοῖς ἐξαίρετον, ἀνθρώποις δ' οὐ δυνατόν; ἁ-
πάντων τῶν ἀγαθῶν ἐγκρατεῖς ὄντας, κυρίους εἶναι, καὶ αὐτοὺς ἔχειν, καὶ δοῦναι τοῖς
ἐν παντὶ ἄλλοις. φλαῦρον δὲ μηδὲν μηδέποτε παντὶ τῷ αἰῶνι μήτε παθεῖν, μήτε μελλῆσαι. 8
ὑποκειμένων τοίνυν τούτων, ὥσπερ προσήκει, σκοπεῖτε τὰ ὑμέτερα αὐτῶν πρὸς
τὰ τῶν ἄλλων ἀνθρώπων. οὐδεὶς γὰρ οὕτως ἐστὶν ἀγνώμων, ὅστις ἂν ἢ τὰ Λακεδαιμο-
νίοις συμβεβηκότα, οἷς οὐκ ἐγὼ συνεβούλευον, ἢ τὰ Πέρσαις, πρὸς οὓς οὐδὲ ἀφικό-
μην πώποτε, αἱρετώτερα φήσειεν εἶναι τῶν ὑμῖν παρόντων. καὶ ἐῶ Καππάδοκας, καὶ 9
Σύρους, καὶ τοὺς τὴν Ἰνδικὴν χώραν κατοικοῦντας ἀνθρώπους ἐπ' ἐσχάτων γῆς·



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

10 Δεδουλωκέναι) Φιλίππῳ ὑμᾶς. ἤτοι ἀναγνωστέον, δεδουλῶσθαι, ἤγουν δεδουλευκέναι.

ἅπασι συμβέβηκε πολλὰ καὶ δεινὰ πεπονθέναι. ἀλλὰ νὴ Δία τούτων μὲν ἄμεινον ὑμᾶς ἅπαντες ὁμολογήσουσι. Θετταλῶν δὲ, καὶ Ἀρκάδων, Ἀργείων χεῖρον, ἢ τινῶν ἄλλων, οἷς ἐν συμμαχίᾳ συνέβη γενέσθαι Φιλίππῳ. τὰ τούτων καὶ πολὺ βέλτιον ἀπηλλάχθητε, οὐ μόνον τῷ μὴ δεδουλωκέναι· καὶ ἔστι τί λοιπὸν ἕτερον; ἀλλὰ καὶ τῷ τοὺς μὲν πάντας, αἰτίους εἶναι δοκεῖν τῶν ἐν ἤπειρῳ

11 τῶν συμβεβηκότων διὰ Φίλιππον, καὶ τῆς δουλείας, ἐξ ὧν εἰκότως μισοῦνται. ὑμᾶς δ' ὁρᾶσθαι ὑπὲρ τῶν Ἑλλήνων καὶ σώμασι, καὶ χρήμασι, καὶ πόλει, καὶ χώρᾳ, καὶ πᾶσιν ἠγωνισμένους. ἀνθ' ὧν εὔκλειαν εἰκὸς ὑπάρχειν, καὶ χάριν ἀθάνατον παρὰ τῶν τὰ δίκαια βουλομένων ποιεῖν. οὐκοῦν ἀφ' ὧν ἐγὼ συνεβούλευσα, τῶν μὲν ἀντι-

12 στάντων ἄριστα περὶ τὴν πόλιν συμβέβηκε, τῶν δὲ συνηγωνισμένων ἐνδοξοτέραι εἶναι περίεισι. τοιγαροῦν ἐπὶ τούτοις οἱ θεοὶ τὰς μὲν μαντείας τὰς ἀγαθὰς ὑμῖν διδόασι, τὴν δ' ἄδικον βλασφημίαν εἰς κεφαλὴν τῷ λέγοντι τρέπουσι. γνοίη δ' ἄν τις, εἰ προέλοιτο ἐξετάσαι, τὰ ἐπιτηδεύματα, ἐν οἷς ζῇ. ἃ γὰρ ἂν καταρά- ἐνδοξοτάτω

13 σαιτό τις αὐτῷ, ταῦτ' ἐκ προαιρέσεως ποιεῖ. ἐχθρὸς μέν ἐστι τοῖς γονεῦσι, φίλος δὲ Παυσανίᾳ τῷ πόρνῳ· καὶ θρασύνεται μὲν ὡς ἀνήρ, πάσχει δ' ὡς γυνή· καὶ τῶν μὲν πατρός ἐστι κρείττων, τῶν δ' αἰσχρῶν ἥττων. οἷς δ' ὑπὸ πάντων δυσχεραίνεται, τούτοις τῇ διανοίᾳ ἀγάλλεται, αἰσχρορρημοσύνῃ, καὶ τῷ διηγεῖσθαι ταῦτ', ἐφ' οἷς

14 ἀλγοῦσιν οἱ ἀκούοντες· ὁ δ' ὡς ἀφελὴς καὶ παρρησίας μεστὸς οὐ παύεται. καὶ ταῦτα οὐκ ἂν ἔγραψα, εἰ μὴ κινῆσαι τὴν ἐν ὑμῖν μνήμην τῶν προσόντων αὐτῷ κακῶν ἠβουλόμην. ἃ γὰρ ἂν εἰπεῖν ἄν τις ὀκνήσαι, καὶ γράψαι φυλάξαιτ' ἄν, οἶμαι δὲ καὶ ἀκούσαντα δυσχερᾶναι ταῦτα, ἀπὸ τούτων μνησθεὶς οἶδεν ἕκαστος ὑμῶν πολ-

15 λά, καὶ δεινά, καὶ αἰσχρὰ τούτῳ προσόντα, ὥστ' ἔμοιγε μηδὲν ἀναιδὲς εἰρῆσθαι, καὶ τούτων ὑπόμνημα τῶν ἑαυτοῦ κακῶν ὀφθέντα πᾶσιν εἶναι. Εὐτυχεῖτε. τὰ τούτου

## ΠΡΟΣ ΗΡΑΚΛΕΟΔΩΡΟΝ.

Δημοσθένης Ἡρακλεοδώρῳ εὖ πράττειν.

1 Οὐκ οἶδ' ὅπως χρὴ πιστεύειν, οἷς ἀπήγγειλέ μοι Μενεκράτης, οὐδ' ὅπως ἀπιστεῖν ἔχω. ἔφη γὰρ Ἐπίτιμον ἐνδεδεῖχθαι μὲν καὶ ἀπῆχθαι ὑπὸ Ἀρέτου, σὲ δ' ἀγωνίζεσθαι, καὶ ἁπάντων αὐτῷ χαλεπώτατον εἶναι. δέομαι δή σου πρὸς Διὸς ξενίου, καὶ πάντων τῶν θεῶν, μή με καταστήσῃς ἀνδρὶ καὶ δεινῷ μηδενὶ περιπετῆ. εὖ γὰρ ἴσθι E

2 χωρὶς τοῦ μέλλειν μοι τῆς Ἐπιτίμου σωτηρίας, καὶ νομίσαι μεγάλην ἂν συμφοράν, εἴ τι πάθοι, καὶ τούτου σὺ συναίτιος εἴης, αἰσχύνομαι τοὺς συνειδότας μοι τοὺς λόγους, οὓς ἐγὼ περὶ σοῦ πρὸς ἅπαντας ἀνθρώπους ἔλεγον, πεποιθὼς ἐμαυτὸν ἀληθῆ λέγειν, οὐκ ἐκ τοῦ πεπλησιακέναι πεῖραν ἔχων, ἀλλ' ὁρῶν ὅτι δόξης ἐπιτυγχάνων, τὴν παιδείαν ἀπεδέχου, καὶ ταῦτα τῆς ἀπὸ τῆς Πλάτωνος διατριβῆς, ἥπερ ἐστὶν ὡς ἀληθῶς τῶν μὲν πλεονεκτημάτων, καὶ τῶν περὶ ταῦτα σοφισμάτων ἔξω· τοῦ βελτίστου δὲ καὶ τοῦ δικαιοτάτου πάνθ' ἕνεκα ἐξητασμένη. ἧς μὰ τοὺς θεοὺς τῷ μεταχόντι μὴ οὐχὶ ἀψευδεῖν, καὶ πρὸς ἅπαντας ἀγαθὸν εἶναι, οὐχ ὅσιον ἡγοῦμαι. γένοιτο δ' ἂν μοι κἀκεῖνο τῶν χαλεπωτάτων. εἰ γὰρ ὡρμηκὼς ἐμαυτὸν εὐνοϊκῶς ἔχειν σοι, τὴν ἐναντίαν γνώμην μεταλαβεῖν ἀναγκασθείην, ἃ δὴ ὑπολαμβάνω παρεωρᾶσθαι καὶ πεφενακίσθαι, κἂν μὴ φῶ, νόμιζε οὕτως ἔχειν.

καὶ ἐμαυτὸ
ἃ δὴ ὑπο
λαμβάνω
παρεωρ.

εἰ δὲ ἡμῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὐ ἡμῶν κατατ[εθ]ρήνηκας, ὅτι τῶν πρεσβυτέρων οὐκ ἐσμέν πω, λόγισαι, ὅτι καὶ σύ ποτ' ἦσθα νέος, καὶ τὴν ἡλικίαν εἶχες, ἣν ἡμεῖς νῦν. ἐκ δὲ τοῦ συμβουλεύειν, καὶ 5
πράττειν ἐγένου τηλικοῦτος. καὶ ἡμῖν τοῦτο συμβαίη. τὸ μὲν γὰρ εὖ βουλεύεσθαι πάρεστι, [τ]ῆς δὲ τύχης συλλαμβανούσης, καὶ τοὖργον γένοιτ' ἄν. καλὸς οὖν ἔρανος, χάρις ε[ὐκαι]ρία. ἣν καὶ σὺ ποίησαι πρὸς ἐμέ. καὶ μηδ' ὑφ' ἑνὸς τῶν εὖ φρονούντων χεῖ[ρον] ἄγου, μηδὲ ἧττον. ἀλλ' ἐκείνους μὲν ἄγε ἐπὶ τὰ σοὶ δοκοῦντα καὶ πρᾶτ- 6
τε οὕτως, [ὥσ]τως μηδενὸς τῶν ὁμολογηθέντων στερηθῶμεν. ἀλλ' ἐπιτιμῷ γένηται σωτηρία τις, [κα]ὶ ἀπαλλαγὴ τῶν κινδύνων. περιέσομαι δὲ εἰς τὸν χρόνον κἀγώ, καθ' ὃν σὺ φῂς καιρὸν εἶναι. γράψας δέ μοι πέμψον, ἢ καὶ ὡς φίλῳ ἐπίστελλε. Εὐτύχει.

(margin: ποτ, ναι)

## ΔΗΜΟΣΘΕΝΗΣ ΤΗ. ΒΟΥΛΗ.

καὶ τῷ δήμῳ χαίρειν.

Ζ Ἦλθεν ἐπιστολὴ παρὰ Ἀντιφίλου πρὸς τοὺς τῶν συμμάχων συνέδρους, τοῖς μὲν 1
βουλομένοις ἀγαθὰ προσδοκᾶν ἱκανῶς γεγραμμένη· τοῖς δ' ὑπηρετοῦσιν Ἀντιπάτρῳ πολλοὺς καὶ δυσχερεῖς ἀπολείπουσα λόγους, οἳ παραλαβόντες τὰ παρ' Ἀντιπάτρου γράμματα πρὸς Δείναρχον ἐς Κόρινθον ἐλθόντα. ἁπάσας τὰς ἐν Πελοποννήσῳ πόλεις τοιούτων λόγων ἔπλησαν, οἵων εἰς κεφαλὴν αὐτοῖς περιτρέψειαν 2
οἱ θεοί. ἀφικομένου δὲ τοῦ νῦν ἥκοντος μετὰ τοῦ παρ' ἐμοῦ φέροντος γράμματα παρὰ Πολεμαίστου πρὸς τὸν ἀδελφὸν ἐπίνικον, ἀνδρὰ ὑμῖν εὔνουν, καὶ ἐμοὶ φίλον. κἀκείνου πρὸς ἐμὲ ἀγαγόντος, ἀκούσαντί μοι ἃ ἔλεγεν, ἐδόκει πρὸς ὑμᾶς αὐτὸν ἀποστεῖλαι, ὅπως πάντα σαφῶς ἀκούσαντες τὰ ἐν τῷ στρατοπέδῳ γεγονότα, τοῦ 3
περὶ τὴν μάχην παραγεγενημένου τότε, εἰς τὸ παρὸν θαρρῆτε, καὶ τὰ λοιπά, τῶν θεῶν θελόντων, ἃ βούλεσθε, ἔχειν ὑπολαμβάνητε. Εὐτυχεῖτε.

(margin: ἰδίοις; ὡς βούλεσθε)

### VARIÆ LECTIONES ET NOTAE IN orationes Demosthenis, & scholia Vlpiani.

Pag. 1. versu Θηβαίοις ὁδὸν, &c γρ. οὐχ ὡς ὑπειλήφασι. uel sic, φησὶ δ' εὖ δύσμαχον εἶναι φίλιππον, ὡς ὑπειλήφασι.

versu. τῶν ὑφορμ. sic reple lacunam, ῥᾷδιον κατασκευάζειν τὸ λ.

ver. τὸ μὲν ἦθικ γρ. τὸ δὲ ἀπόφασιν. ver. νοῖς ἔτ. γρ. καὶ τὸ τῇ πόλει συμφέρον,

pag. 2. ver. δὲ φασὶν γρ τούτων δὲ ὄντων λυπηρῶν,

pag. 3. ver. ἔχειν τὸ ὅπ γρ. ἀπεσιώπησε τὸ πρᾶγμ. pag. ead. vers. θεν. προσταῖτ. γρ. γνώμης ἀπόφασις. pag. ead. num. 7. ver. νες προδότ. γρ. οἵτινες βουλήσονται προδοῦναι τὴν πόλιν; ὡς οὐδὲ τούτοις ἐνδέχεται πεῖσαι. ἴσασι γὰρ

pag. 4. ver. βεῖν τὴν ἀμφίπ. γρ. τὴν ἀμφίπολιν, ἱέρακα καὶ στρατοκλέα πολεμ. pag. ead. ver. θυμίας αὐτοῖς) γρ τῶν ἀπολωλότων χωρίων,

pa. 5. ver. 2. γρ. ἡνίκα ἡμελήσαμεν. pag. ead. ver. ὅτι οὐδὲ συγκ.) γρ. σπεύδοντες εἰς τὸ τί οὖν αὐτῆς εἴποι, ταῦτα λέγεις ἡμῖν; ἐπιφέρουσιν, ἵνα γνῶτε.

pag. 6. num. 25. ver. μάταιος ἡ στρ.) γρ. ὅταν ἴδωμεν τὰ οἰκεῖα κακῶς πάσχοντα

pag. 7. num. 29. in contextu, ver. λίππου) γρ. οὔτε γὰρ ἔχει, ὡς δοκεῖ, pag. 8. ver. vltimo γρ. λάβοι καθ' ἡμῶν τοιοῦτον καιρὸν) Οἷος νῦν &c.

pag 9. num. 35. ver. Συνεισβαλ. γρ. Συνεισβαλοῦσιν) Ὡς πολέμιοι εἰσελεύσονται

pag. 10. num. 2. ver. θρώποις κατασυνιστᾷ) γρ. θρώποις· κἆτα συνιστᾷ ἄθλον pag. ead. num. 4. ver. καθαίρ.) γρ. καθαίρεσιν ἔχον τῆς δυνάμεως,

pag. 11. num. 8. ver τίθεσις) γρ. ἥντινα φανερῶς μηθείς, ἐπάγει τὰς λύσεις. ὅταν μὲν γὰρ τὸν ἀντίδικον ἔχωμεν

pag. 13. num. 15. ver. τοῦ φωρὸ.) γρ. ὅ ἐστι τοῦ κλέπτου. φὼρ γὰρ ὁ κλέπτης. pag. eadem num. 15. ver. λίσκηται) γρ τινὲς ἐπιλαμβάνονται τοῦ ῥήτορος. pag. ead. ver. vlti[mo] γρ. εἰ καὶ ποτε ἡμῖν πιστεύσουσιν

pag. 14. in contextu, [nu]m. 23. ου ... ὅτ' αὖ πειρᾶται οὕτως, ὅπως αὖ δ. pag ead. ver. 6 τοὺς ζω γρ.) γρ. συγγράφειν ἐπιγράφοντας αὐτῇ & ver. seq. δηλοῦντας διὰ

pag. 15. num. 25. ver. ἡμέ[...]) γρ. καὶ τοῦτον βίον ἔχ[...]

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τα. pag. ead. ver. γδ (ῥημάτων) γρ. Παρεωρᾶσθαι ver. seq. παρεωρᾶσθαι εἶπε, pag. ead. ver. τῶ ἀπαγ(γείλαντος) γρ. ὅσ περ βούλεται αὐτοῖς

pag. 16. in contextu, num. 31. τύχω μᾶλλον ἤ ἐλοίμην,

pag. 17. in cont. num. 39. γρ. ἰδίοις δ' εὖ εἴσκειν πολέμοις; εἰ δεῖ τι περὶ τῆς ὄντων καὶ περὶ τῆς στρατιῶτῶν, ὅτι ἐντ.

pag. 18. in cont. num 42. γρ. τοῖς μὲν ὥσπερ ἐκ τυραννίδος ὑμῶν ἐπιτάττειν δώσετε· τοῖς δὲ pag. ead. nu. 42. in sch. γρ. ἐλπίδα μηδεμίαν ἔχοντας,

pag. 19. in argum. γρ. ἐπικόπτει τὴν pag. ead. num. 1. in sch. γρ. δῆμον μέγα φρονοῦντα τῇ νίκῃ. pag. ead. num. 2. ver. ζει, πῶς τὴν in sch. γρ. περὶ ἧς καὶ ὑμεῖς βουλεύεσθε.

pag. 20. num. 3. ver. θον, δρομέα δὲ in sch. γρ. δρομέας δὲ φίλιππον καὶ ἄθλον.

pag. 21. ver. 1. in cont. γρ. μαιμακτηριῶν. pag. ead. num. 9 ver. καιρὸς, in cont. γρ. τίς ἐστὶν δι' ὃν

pag. 22. num. 14 ver. γὰρ συνεπὶ in sch. γρ. οὐχ ἡγήσονται αὐτὸ παρ' αὐτ. pag. ead. num. eod. ver. λύεις in sch. οὐ γὰρ ἔχομεν νόμον; pag. ead. num. 15. ver. τοῦ δήμου) γρ. συναρπάζων τὸν δῆμον.

pag. 23 num 22. in cont γρ. πεισόμεθα; οὐχ οἷς, εἰ πολ. pag. ead. num. 25 γρ. πλείω εἰ, δέον εὔξασθαι, παράκειται. pa ead. num. 18. ver. ποῦ in sch. γρ. ἀλλὰ διὰ τί οὐ σὺ λύεις τὸν ν. pag. ead num. 25. ver. ἀλλ' ἡ φύσις in sch. γρ. ὅτι οὐ δύναται εἰσαγαγεῖν καὶ τὰ ἡδέα καὶ τὰ ὠφέλιμα. vel sic, ὅτι οὐ δύναμαι εἰσαγαγεῖν καὶ pag ead. num. eod. Ζητητι φησὶ παρὰ τῶ συμβουλῆ ἡδέα. εὐχῶν, ὡς ἔοικε.

pag. 24. num. 26. ver. ἰωνικοῖς, in cont. γρ. οὐχ οὕτως κρεῖττον; εἴποι τις ἄν. φημὶ ἐγ. pag. ead. nu. 26. ver. φων. εἰσὶ γὰρ in sch. γρ. τὸ τῆς τύχης ἡγούμενοι. pag. ead. num. eod. ver. των τῆς πραγμ. γρ. ὅτι θαυμάζω, εἴ τις τὰ παρόντα ἀμελῶσας πρὸς ἃ μὴ δεῖ, εὐπορῆσαι τῆς ἀπόντων πρὸς ἃ δεῖ, δυνήσεται). pag ead. ver. vlt γρ. ὅταν τις χάριν ὁμολογῶν τινὶ δεξιωσάμενος αὐτὸν τῷ σώματι

pag. 25. num 33 ver. λ' οὐχ ὡς, in sch. γρ. φιλοδοξεῖ τῷ δοκεῖν. pag ead nu. eod. ver. δίκκας in sch. γρ. περδίκκας ὁ ἀδελφὸς φιλίππου, θεῖος ἀμιώντου τοῦ παιδὸς φιλ.

pag. 26. num. 42. ver. ἐστιν ὃν in sch. γρ. καὶ τὸ πάντων αἰσχρότατον.

pag. 27 num. 45. in cont. γρ. ταῖς οἴκοι ταύταις, ἀφορμαῖς ἐπὶ pag. ead nu. eod. γρ. τὸ λημμάτων ἀπαλλαγείητε, pag. ead. num 48. γρ. ἃ χρὴ πράττεσθαι. ὅλως δὲ pag. ead. nu. 44. ver. σικῶς in sch. γρ. Ἐπειδὴ ἤθελον αὐτοῖς ὀργίλοις γινομένοις, διὰ τὸ πολλὰ αὐτοῖς ἐπιτιμῆσαι, κατὰ τῆς δημηγορίας ὅμως σιν, ἤτοι τὴν δημηγορίαν ἀποκαλεῖται. εἰκὸς γὰρ τοῖς ἡμέροις αὐτοῖς ἀνθρώπους &c. & paullo post γρ. Ἐπειδὴ τῷ ἐν τῇ συνηθείᾳ κακῶς λεγομένῳ οὐ χρῆται τῷ ἔτι καὶ νῦν, ἀλλὰ τῷ [illegible] καὶ νῦν αὐτ. τ. &c. pag. ead. nu. [illegible] βῶς [illegible] τόν τι in sch. γρ. καὶ μέγα κτήσασθαι pag. ead. [illegible] m. 48. ver. ζεσθαι, in sch. γρ. Οἷον ἔξω τῆς τῶν νέων ἡλικίας, καὶ ὢν ἀνδρῶν γερόντων εἰ μὴ &c.

pag. 28. num. 48. ver. [illegible] in cont. γρ. εἰς τάξιν ἤγαγον τὴν.

pag. 29. n[illegible] εἰ τοῦτο[illegible] Εἰ μὲν γὰρ[illegible]

pag. 30. num[illegible] τον, ἐστὶ. pag[illegible] καὶ διὰ τὸ ει[illegible]

pag. 33. num. 19.[illegible] αιε. pag. ead.[illegible] σκευὴν λέγειν. pa[illegible] τοῦτο, οὐδ' εἰ μὲν τοῦ[illegible]

pag. 34. num. 34. in co[illegible] πλεῖν ἑνὸς ἀνδρὸς, ὃν ἂν ἐκπ. ἐπι &c. pag. ead. num. 35. ἱππάρχους τῶν καὶ ἄλλους εἶναι, ἵν' ἢ ὡς ἀληθῶς τῆς πόλεως δύναμις· ἀλλ' εἰς μὲν &c.

pag. 35. num. 35. in cont. γρ. τῶν δ' ὑπὲρ τῆς τῆς πόλεως κτημάτων ἀγωνιζομένων μὲν ἔλαον ἱππαρχεῖν. καὶ &c. pag. ead. num. 36. γρ. πεισθῆτε ἀκοῦσαι. τοῦτο δὴ pag. ead num. 39. γρ. ἃ δὴ ἂν ὑμῖν ἀρέσκη, χειροτονήσατε, ἵνα &c.

pag. 37 num 60. γρ. ποῖ δὴ προσορμιούμεθα, ἔροιτό τις. pag. ead. num. 61. γρ. τοὺς τοιούτους ἀποσόκοις ὁρῶντες. οὐ γὰρ ἐστιν, ἐκ pag ead. ver. vlt. γρ. τύχη, ῥαδίως ψηφ.

pag. 38. n. 66. τί μέλλει ποιεῖν ἐκεῖνος. ἀλλ' ἐὰν ἀφέντες ταῦτα, &c. pag. ead. num. 67. καθ' ἡμῶν εὑρηται, καὶ τὰ pag. ead. num. 68. ἂν ταῦτα εἰδῶμεν καὶ τὰ δέοντα pag. ead. num. 70. ἐὰν πράξητε ταῦτα, πεπεῖσθαι, λέγειν αἱροῦμαι.

pag. 39. in arg. ver. μὲν, ὅτι μὴν γρ. ὥστε βέλτιον τὴν εἰρήνην τηρεῖν, pag ead. num. 4. in cont. γρ. ὡς τοῖς ὑπὲρ πόλεως βουλευομένοις, καὶ τηλικ. πραγμ. προσήκει, ἔξεστι καὶ λέγειν, &c.

pag. 40. num. 5. γρ. περὶ ὧν νῦν ἐρῶ, κρῖναι, μικρὰ pag. ead. num. 7 γρ. ἔγωγε τὴν τι pag. ead. num. 9. γρ. ὀφειλόμενα, ὡς ἔφη, κομ. pag. ead. num. 12. τὸν φίλιππον, ἀλλ' γένηται κύριος, σώσειν, pag. ead. in sch. ver. Υποκριτὴν) γρ. Οἱ ἀρχαῖοι ὑποκριτὰς ἐκάλουν τοὺς νῦν κωμῳδοὺς καὶ τραγῳδοὺς λεγομένους. οὗτοι δὲ ἦσαν τρεῖς, ὁ μὲν πρωταγωνιστὴς, ὁ δὲ δευτεραγωνιστὴς, ὁ δὲ τριταγωνιστής· αὐτοὺς δὲ τοὺς ποιητὰς τῶν δραμάτων, τραγικοὺς, καὶ τραγῳδοδιδασκάλους, οἷον εὐριπίδην, καὶ ἀριστοφάνην.

pag. 41. num. 16. in cont. πράγμασι καιρὸν, ἢ γενομένων, νῦν δ' ὑμᾶς pag. 42. num. 20. in cont. γρ. εἴ τις ἐμβάλοι, βοηθήσειν, οὐ συνεπ. pag. ead. num. 21. γρ. ὥστε βούλεσθαι εἶναι, καὶ κρατεῖν τῶν ἄλλων. pag. ead. num. 22. in sch γρ. Ἡγουν διὰ τὸ κήρυκας ἀπος. pag. ead. num. 24. post ἡμῖν ἁπλῶς, adde, ἢ χωρὶς αἰαγνωστέον, ἑαυτοῖς, ἡμῖν πολεμεῖν, ἵνα τὸ μὲν ἑαυτοῖς συζευχθῇ τῷ συμφέρει, τὸ δὲ ἡμῖν τῷ πολεμῆσαι. pag. ead. num. eod γρ. καταμαθεῖν τῆς ἐπιπαθῶσι. pag. ead. num. 26. γρ. εἴπῃς χρῶστε τούτῳ

pag. 43. num. 28. in sch γρ. τοῦτο δὲ ἐστὶν, ἵνα μὴ δόξωμεν εἶναι pag. ead. in arg. ver. σις δώσειν πρ. ὅ ποτε ἀποκρίνασθαι δεῖ.

pag. 44. num. 2. γρ. οὐδὲν, ὡς ἔπος εἰπεῖν, τῶν δεόντ. pag. ead.

ων ἐκδεδομένων ἀφέσταμεν, καὶ χά-
m 5. ἑκατέροις ἔχειν ἐκεί-
ποις ἔχειν ἐκείνωμεν ταῖς
ις. pag.ead. & num.
10. vel sic, ἐπανορθω-

ϑήσεται, δεῖ σ | pag.ead. num.9. καὶ οὐ πρὸς
εἰρήνην, οὐδ' ἡ | ίαι, οὐδὲ δίκαιον οὐδὲν, οὐδὲ τοῦτο
& ver.seq. οὐ | αὐ ἐνδείξαιτο τοιοῦτον,

pag.45.num.18 γρ. ἀλλὰ γνώμην, τῶν ἄλλ. pag.
46.num.24. γρ. ἀντιποιοῦνται, ποιῆσ. pag. ead.
num. 25. γρ. αὐτὸς πιστεύσαιεν οἴεσθε γρ. ver.
seq. ἐκπεσόντες, οὐ κρατηθέντ. pag.ead. num.30.
γρ. ἀλλ' εἰ ὑμεῖς οἱ καὶ σωιείντ.

pag.47.num.34 γρ. φίλιππος δὲ, ὥσπερ &c. pag.
48. num.3. γρ. οὔτε πρότερον λαβεῖν, οὔτε νῦν
ἔχειν. pag ead. num.6. γρ. φίλιππος δ' οὐκ
ἀγνοεῖ, ταῦτα οὐ δίκαια λέγων ἀλλ', εἰ καί τις ἄλλος,
ἐπιστάμενος, παρακρουσθῆναι αὐ ὑμᾶς οἴεται
ὑπὸ τῶν

pag. 49. ver. vlt. γρ. εἰς μακεδονίαν, ἀλλ' ἡμεῖς τι
&c. pag 50. ver.pr. γίγνεται εἰς ὑποδοχὴν τῶ
pag.ead. num.17. οὐδὲν ἄλλο, ἢ pag.ead.
num. 25. γρ. τοὺς λόγους, οὓς ἔλεγξω, ὑπομ. pag.
ead.num.18. in sch. γρ. τούτοις ὁ φίλιππος, πεί-
σας τοὺς περὶ τὸν

pag.51. ver pr. γρ. ὑμεῖς δὲ ἀποδέχεσθε, pag. ead.
num.31. τὸν φίλιππον, ἐπὶ pag. ead.num.34.
ἀλλὰ τὴν ἑαυτοῦ ἔχει οὐδὲ ὅλ. pag.ead.num 35.
γρ. ἀλλ' οὐ σφόδρα ὑμῶν καταπεφρονηκέναι;

pag.52.ver.1. γρ. τὰ ὅπλα· τοῦτο δὴ τὸ & ver.seq. ἐν
τῇ ἐπιστολῇ, ὡς ἀκούετε, pag.ead.num.41. ὡς
μεγάλα ὑμᾶς εὐεργετήσει. pag.ead.num.42.
χωρίων, ὑμῶν ἐχόντων, pag. ead. num. 45. γρ.
πρὸς ἡμᾶς, ἄξιον ἐστιν ἐξετ. num. eod. γρ. διὸ
τοῦ ὁρίου·

pag.53. num. 48. γρ. ὡς δεῖ ὑμᾶς διαδικάζεσθαι,
τοὺς οἰκοῦντας ἐν τῇ ὑμετ.

pag.54.num.4 γρ. καὶ μικρὸν ἐπιχορηγεῖ, pag. ead.
num eod. γρ. καὶ ἅπαξ ὑστερήσωμεν, pag. ead.
num.5. γρ. περὶ τούτων οἴομαι τὴν ταχ. al. περὶ
τούτων δὴ οἴομαι &c. pag.ead.num. 7. γρ. οὐδὲν
ἀπελέγχει, ἀλλ' ἁπλῶς

pag.55.ver.3 γρ. ὡς συμβουλεύειν πολεμεῖν ἁπλῶς, ἢ
pag ead.num. 9. γρ. λέγουσι, νὴ Δία, ὡς, ἕως ἂν
ἀπέχ. pag.ead.num. 18. γρ. αἰσίας ὥσπερ νῦν,
pag.ead.num.18. in sch. γρ. Εἰσφρήσεσθαι

pag.56.num.21. γρ. τί δ' ἂν ὑπὸ τῶν πνευμάτων μὴ
δυνώμεθα; pag. ead. num. 23. γρ. ἵνα ἀσχολίαν
αὐτῷ; pag.ead.num.24. γρ. εὐσθενεῖν, καὶ παρ' αὐτ.
pag.ead ver. vlt. γρ. πείσονται, ἐπαινοῦμεν; pag.
ead.num.24. in sch. γρ. Εὐηνεῖ.) εὐτυχεῖν, καὶ

pag.57 num.29. γρ. ποιεῖν, περὶ πόρων pa.ead.
num.32. γρ. τὰ τοιαῦτα. φασὶ δ' εὖν.

pag.58. ver.1. ἀμείνους μὲν γὰρ αὐ pag. ead. num.
35. γρ. στρατηγὸν, τοῦτ' ἔστι. τοῦτο δ' ὑμῖν οὐ ποιητέον
ἐστιν. εἰ γὰρ &c. pag. ead. num 39. γρ. πρᾶγμα
τῇ πόλει ὡς μὲν pa.ead.nu.40. γρ. ἐκ ἔχετε, οἴ-
μαι, τί π. pag. ead num.36 in sch. γρ. κατοι-
κοῦντες. ὁπότε δὲ ἐκ τῆς ἀποδαπῆς μεταπέμψα-
σθαι στρατηγὸν ἐβούλοντο, ὥσπερ ἀλκιβιάδην ἀπὸ

σικελίας, τῇ παράλῳ ἐχρῶντο. ἡ λέγεται καὶ ναῦς
σαλαμινία.

pag. 59. num. 47. γρ. τί οὖν χρὴ ποιεῖν. pag ead.
num. eod. γρ. καὶ ὅπως, ὥσπερ ἐρωτ. pag.ead.
num.44 in sch. γρ. Ἀπολειφθέντος

pag.60. num 57. γρ. ἵν', ὥσπερ ἐκεῖν. pag. 61. num.
62 γρ. ὡς, αἱ ἄγαν ἡσυχ. pa.ead num.64. π-
ειθαναι μᾶλλον, ἢ ταῦτ' ἑωρακέναι βουλοίμην.
pag.ead.num.68. γρ. τὰ μὲν ἐάσω· ἀλλ' ἐπειδάν τι
pag.ead num 74 γρ. οὐχὶ τῷ τοῦ παραυτίκα συμ-
φέροντος ἀφεστάναι. pag.ead. num. 76. γρ ἀρ-
πάζων· τί ποτ' οὖν &c. pa.ead.nu 60. in sch.
post μεταχειριζόντων adde, Ἡ ταῦτ' εἰρηκέναι)
Τοῦτ' ἔστιν, ἢ ταῦτα ὑμᾶς τῷ λόγῳ πεπεικέναι.
σφάλλονται δὲ οἱ ἀναγινώσκοντες ἐνταῦθα, ἀντὶ τοῦ
εἰρηκέναι, ἑωρακέναι. pag.ead.num. 74. γρ.
πάξαι, δι' ὧν σωθήσονται, μᾶλλον δὲ οὕτω λεγ. οἴμαι
δὲ δεῖν πείθειν ὑμᾶς νομίζειν διαρπασθήσεσθαι τὰ
χρήματα τῷ κωλύειν εἶπεν φυλακήν, δι' ἧς αὐτὰ
σωθήσεται, οὐχὶ τῷ τοῦ συμφέροντος ἀφ.

pag 62.num.83 in cont. γρ εἰ μηδὲν ἄλλο, ἐξαπα-
τᾶν, pa.ead. num. 78. in sch. γρ. κυρίως δὲ
διαδικασία ἐστὶν ἐπὶ χρημάτων ἀμφισβήτησις.

pag.63.num.92. γρ. ἡγοῦμαι. pa.ead.num.85. in
sch. Κερσοβλέπτης, pag.ead, num. 88. γρ. Τὸ
πειθόμενον κατὰ πιῶν χεῖρον, ὅθεν &c.

pag.64. ver.1. γρ ἀλλὰ τὸ βέλτιστον ἀεὶ, καὶ pa.ead.
num.94 γρ. πεποίηκας; ἔχων, pa.ead.nu.eod.
γρ. πολιτεύομαι, ἀλλὰ δυνάμενος αὖ ἴσως, ὥσπερ καὶ
ἕτεροι, κατ. pa.ead.num,99 γρ. τὰ δὲ βέλτιστα
λέγειν, παρὰ τοῦ παρ. pa.ead num. 101. γρ. τί
ποιεῖν, ἀναδυόμενοι, οὐχ &c.

pag.65.num.4, γρ. καὶ δύνανται, ταῦτα φυλάττοντες;
pa. ead. num. 6. γρ. καὶ τοὺς δούλους αὐτῆς με-
ταδιδ.

pag. 66. num. 8 γρ. ἕτοιμος ὑμῖν εἰμὶ λέγειν· καὶ γὰρ
pa.ead.num.10. γρ. πάντες ὁμολογοῦμεν φιλ.
pa.ead.num.11. γρ δέος, μήποτ', ὡς ἀμυνού-
μεθα, γράψας τις, καὶ συμβ. & paullo post. γρ.
πότερον εἰρήνην ἄγειν, ἢ πόλεμον δεῖ. pa. ead.
num.13. γρ εἰρήνην εἶναι λέγει. pa.ead.num.13.
in sch. post τὸ χῶμα adde, Ἡ αὐτὸν ἐν μακεδονίᾳ)
Ἀπὸ κοινοῦ, μὴ οἰκεῖν.

pag 67.num. 20. γρ. ὁμολογεῖ, καὶ ἐπιτέλει ταῦτα,
τί ποιεῖ; ver.seq ἄγειν πρὸς ὑμᾶς εἰρήνην. pa.
ead.num.24. εἰ καὶ μὴ τῶν ἄλλων

pag.68.num.25 γρ. ἢ νῦν ὅθ' οὕτω, pa.ead.num.
28. γρ. ὅ, τι ἠδικούμεθ' ὑπ' αὐτ.

pag 69. num [illegible]

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θῶσι. καὶ οὐχὶ &c. pag. ead. 13. num. 57. γρ. ζιυες ὃ ὑπὲρ τοῦ βελτίστου, καὶ

pag. 72. num. 58. γρ. πλούταρχου καὶ τῶν ξένων, ὁ δῆμ. εἶχε τὴν πόλ. καὶ τὸν πόρθμον, καὶ οἱ μὲν ἐφ' ὑμ. ver. seq. οἱ δ' ἐπὶ φίλιππον ἀκούοντες τούτων τὰ πολλά, μάλλ. pag. ead. num. 60. γρ. δοῦλοι ἔσονται. ἐπεὶ τὰ μὲν pag. ead. num. 64. γρ. συμπεσεῖσθαι. οἱ μὲν εἰσφέρειν ἐκέλευον· οἱ δ' οὐδὲν οἱ μὲν ἔφασαν πλ.

pag. 73. num. 68. γρ. τὸ καὶ τὸ πεῖσαι καὶ τὸ μὴ ποιῆσαι. pag. ead. num. 69. γρ. ἐπειδὰν ὃ ἡ θάλαττα ὑπάρχῃ, μάτ.

pa. 74. num. 1. in sch. ver. 2 γρ. ἀπαγγελίαν ver. 3. καὶ τοῦτο αἴτιοι γέγονε τοῦ μὴ σκέψασθαι. ver. 4. τοῦτο παρελθεῖν

pag. 76. num. 9. γρ. τῶν τοῖς βουλομένοις χρήματα λαμβ. pag. ead. num. 10. in sch. γρ. ἐκβάσει ἀξετάζει, ἢ ἀποδέδεικται ἀθῷω.

pag. 77. ver. ῥύσασθαι τὴν in sch. ἐξ ὧν εἶπε προαγαγών.

pag. 79. num. 32. γρ. τὸ δ' οὐκ ὀρθῶς ἔχει pag. 81. num. 49. ἠλαττώθη, ὅτι βάρβαρος pag. ead. num. 51. γρ. λόγων οὐ προσηκόντων διαβεβλημένον.

pag. 81. num. 57 γρ. οὐ φάσκειν ποιήσειν οὐδὲν pag. ead. vers. vlt. γρ. δυσχεραίνεται. al. δυσχεραίνεται; pag. ead. ver. ῥοπῆς in sch. γρ. παραινῶν μήτε τοὺς &c.

pag. 83. num. 62. γρ. ἀσφαλείας. αἰτίαν δὲ τὴν κίνδυνον ψῆφον τῷ φαι. pag. ead. ver. 3. in sch. γρ. βάσιν μὲν, οὐ συμπέρασμα δὲ τῶν &c.

pag. 85. ver. 3 οὐχὶ τῶν τοῦ συμφέροντος ἀφεστάναι pa. ead. num. 81. γρ. πόλεων ποιεῖν φήσουσιν; οὐκοῦν.

pag. 86. num. 84. γρ. ὑμῖν δὲ ἀπιστεῖν ἤδη; pag. 87. num. 52. γρ. ὃ βέλτιστόν σοι εἰπεῖν pag. ead. num. 95. γρ. ὡς πάντες ἴσασιν, οἱ ἕλληνες διὰ τὸ τῶν &c.

pag. 88. num 1. γρ. τοῦτ' ὑμῖν φανερὸν γέγονεν. pag. ead. ver. δυνατὸς in sch. γρ. ἀπὸ ταύτης τῆς λέξεως στοχαστικῆς.

pag. 89 num 10. γρ. καὶ ταῦτα πᾶσι συμφέρει τοῖς μετέχ. pag. 90. num 21. γρ. παθεῖν ἐκεῖνον, μεῖζον φορτίον, ἢ καθ' αὐτὸν, δράμ....

pag. 92. num. 34 γρ. ὅσῳ δοκοῦσι μὲν αὐτοῦ προσχρῆσθαι χρήσθαι pag. ead. num. 5. γρ. καὶ τίνι πῶς οὐ δεινὸν, ἐφ' οἷς παθόντες, &c.

pag. 93. ver. vlt. γρ. σημεῖον, ἀκριβῶς εἰδότες, ὅτι τὴν ἧσσον pag. 94 num. 20. γρ. ὅτι πολεμεῖν αὐτῷ προστάττει,

pag. 95. num. 28 ... ἔχοντος ἐμοῦ τὴν πόλιν κατὰ συμμαχίαν &c. pag. ead. num. 29. ... φιλονεικεῖν, καὶ περὶ τῶν οὐδὲν ὑμῖν προσηκ. ... ad. ver. 5. a fine, in sch. γρ. λαμβάνειν αὐτοὺς, λαμβάνειν ... ὡς εἴη, pa. ead. ver. vlt. γρ. προσπίπτειν ... κεκρατηκυῖα γνώμη, περὶ τοῦ ... βαίνειν, τὸ προστάττειν

pag. 96. ver. 7. à fine, in sch. γρ. τῶν ... κούοντας ... ῥᾳδίως &c. pag. 97. num. 8. γρ. μὴ ταῦ... τινι, συμβαίνει, καὶ προσεῖπε νῦν ἐκ τῶν προσ... pag. ead. num. 11 γρ. αἰτίᾳ ... τοῦ πρὸς τοὺς οἰκείους πλείους οἰκεία γρ. pag. ... 13 γρ. φαίνης αὖ. διὰ

pag. 98. num. 16. γρ. τῶν βασι... ... ταξία διὰ χρημ. pag. ead. num. 17. γρ. ... ἀδικ. ὡς οὕτως ἔχει, ἐὰν μὲν &c. pag. ead. ... m 21 γρ. δεῖ ὅπως δὲ μὴ ... ῥυβήση μοι.

pa. 99 num. 24 γρ. μηδὲ, ὅπως ... ἔσται ταῦτα ὄντα, προσῆλθε. ὁ τινι pag. ead. num. 28. γρ. λέγοντες. διὰ τί δὲ οὐδεὶς &c. pag. ead num 30. γρ. τὸ ἴσον τοῖς ἄλλοις, ὥσπερ τὴν εἰς γοῦν αὐτῶν, οὕτω καὶ τῆς ἐν τούτοις τιμῆς ἔχειν οἱ δὲ πολιτ. pag. ead. ver. 8. in sch. γρ. καὶ δείκνυσι πολλῷ τῷ μίσει pag. ead. ver. 13. in sch. γρ. τὴν πόλιν, ὅπως ἐκεῖνοι μὲν οἰκοδόμημ. καὶ ἱερ. κατασκ. πάσαν ἐκόσμησαν· οἱ δὲ ν.

pag. 101. num. 44 γρ. εἰς τοὺς τῶν ἑλλήνων ἀποστόλους; δῆλον. pag. ead. num 45. γρ. ἐν τῇ εἰρήνῃ ἀπολωλέκασιν;

pag. 102 num. 54. γρ. πρὸς ὑμᾶς, ὅτι οὐκ ἐστὲ αὐτοῖς, ὅταν βούλωνται, παύσ. pag. 104 ver 5. γρ. εἰ δ' ἔτι ἀδήλου τούτου pag. 105 num. 18 γρ. αὐτοῦ δὲ οὐ προορᾶτε;

pag. 108. num 40. γρ. καὶ τὰ ὄντα πάντ' ἀπολωλέκεναι, pag. ead. num. 41. γρ. διὰ τοῦ βουλεύεσθαι δωδεκάτην ὑμᾶς εἰσιέναι, pag. ead. num. 45. γρ. ὃ λαιπα ἀκούσεται. ὑπὲρ

pag. 110. num. 60. γρ. τὴν ἤγε περὶ τοῦ, οὐδὲ ὑμᾶς &c. pag. 1... num 31. γρ. οἷα τοὺς ἄλλους ἀξιώσαι ... φρ. pag. 116. num. 37. τὴν τε πόλιν διὰ λακεδαιμονίων

pag. 117 num. 46 γρ. καὶ μετὰ ταῦτα αὖ ὕστερον λακεδαιμόνιοι ταῦτας, ὧν δὴ pag. ead. num. 47. γρ. ἐγνωκέναι τὰ δίκαια, καὶ λέγειν ὑπαρχ.

pag. 119 num. .. γρ. συνεξηπατημένων γὰρ ὑμῶν, καὶ τῶν μὲν ταῦτα βουλομ. pag. 120. num. 9. γρ. προσδεῖσθαι δ' ἔτι τοῦ τὰ δίκαια π. pag. ead. num. 12. γρ. πάντες ἐπίστασθε, ὡς καὶ προαιρουμένων τούτων, καὶ μὴ, βοηθ. pag. ead. ver. vlt. in sch. γρ. ἀδικούντων λακεδαιμονίων, οὐδὲ αὐτοὶ ποιεῖν τὰ δίκαια βουλήσονται, τότε εἶναι τὰ αἰσχρόν. &c.

pag. 121. num. 19 γρ. ὥστε οὐκ ἔστιν ὅπως οὐ βοηθήσουσιν ἡμῖν ἐπ' ὠρωπ. pag. 122. num. 32. γρ. αὖ τοιμάζειν τῶν καὶ τοὺς θηβαίους μισεῖν φασκόντων. pag. ead. ver. 16. in sch. γρ. ὑμῖν συνεβούλευσαν, οὐδὲ

pag. 123. num. 34 γρ. μέχρι που γε αἰσχύνονται μὴ pag. ead. num. 35. γρ. ἵνα τοίνυν μὴ τοῦτο ἐμποδὼν γίγνηται τῶν τοὺς θηβαίους pag. ead. ver. 24. in sch. γρ. ὅτι δίκαιοι μὲν εἰσὶ καὶ ὑπὲρ ὠρωποῦ βοηθεῖν ἡμῖν λακεδαιμόνιοι

pag. 125. in argum. ver. 5. γρ. τῶν ἡγησίππου χαρακτῆρι pag. 126. pro quo mendose impressum est 138 num. 6. γρ. ἀπημυνόμενοι ἅμα, καὶ pa. ead nu. 7 γρ. ὑμῶν, καὶ τῆς κοινῆς ὁμολογίας; pag. ead. num. 8 γρ. ἀγανακτῆσαι· εἰ δ' ἐπ... ῥωθῆ τοῦ γέγονε περὶ τοὺς ὅρκους τοὺς πρὸς ὑμᾶς, ... ὑμᾶς ἔχειν, καὶ μὴ φυλάξασθαι τοῦτο· καὶ ἡμῖν μὲν διαφέρ. pag. ead num. 11 γρ. ἐν δὲ μεσότητι μηδὲν δεῖν οἴεσθαι διαφέρειν, τῆς

pag. 127. vbi mendose est. 139. num ... γρ. ἢ βδελυρεύσεται περ...

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

pag. 134. [illegible] γρ. [illegible]
μὰ τοὺς θεούς, ὀρθῶς ἔχον, οὔτε πολιτικόν, οὔτε δίκαιόν ἐστιν, ὦ ἄνδρες ἀθηναῖοι, οὐδ᾽ ἐγγύς. οὐ γὰρ ἀφαιρεῖσθαι δεῖ τὸ προσελθεῖν τῷ δήμῳ, καὶ λόγου τυχεῖν· ἀλλ᾽ ἐφ᾽ οἷς ἀδικοῦσί με &c.
pag. 138. num. 52. γρ. καὶ τοὺς ἑκατέρων συμμάχους. πρέσβεις pag. 141. num. 73. γρ. ᾤχετο ἐκείνοις βοηθῶν εἰς τὸ
pag 144. num. 99. γρ. τούτῳ ποιησάμενος τῶν γεγραμμένων τάξιν, pag. 147. num. 126. γρ. τὴν τοῦ σίτου παραπομπὴν ἐξ ἑλλησπόντου, pag. ead. num. 128. γρ. παρὰ τὰ ἐντεταλμένα λαβών,
pag. 148. num. 135. γρ. ὑπὸ μὲν τοῦ δήμου τῶν ἀθηναίων, ὑπὸ δέ τινων pag. ead. num. 136. γρ. φιλοτιμουμένων τοῦτο συντελέσαι,
pag. 151. num. 158. γρ. διαμάχητος ὁ ἐντεθγία ἔλεξεν, pag. ead. num. 160. γρ. ἐξείλετο ἄμμε ἐκ τῶν pag. ead. num. eod. ἀθηναίοις δόμεν, ἐπιγαμίαν, πολιτείαν, κτᾶσιν γᾶς, καὶ οἰκ. προεδρ. ἐν τοῖς ἀγῶσι ποτὶ θόλον, ποτὶ ταὶ βωλαί, καὶ ποτὶ τὸν δᾶμον, παρὰ τοῖς περὶ τὰ ἱερά, &c. pag. ead. num. 162. γρ. καὶ ἀνακαρύξαι τὸν στέφανον, ὦ pag. ead. num. 163. γρ. ὅτι τοῦ πάντων μεγίστου ἀγαθῶν προέστη αἴτιος γέγονε
pag. 152. ver. 2. γρ. οὐκ ἐλλείψουσιν εὐχαριστοῦντες, καὶ ποιοῦντες ὅ, τι ἂν δύνωνται ἀγαθόν. pag. 153. num. 176. γρ. καὶ τούτοις τῶν ἐθελοντῶν τριηράρχων pag. ead. num. 177. γρ. καὶ τῷ σῶσαι τὴν νῆσον, πολλῷ δ᾽ ἔτι τούτου κάλλιον, τῷ καταστῆναι [?]
pag. 154. ver. 3. αὐτῇ ποιεῖν. pag. ead. num. 185. γρ. κατὰ τὴν οὐσίαν ἕκαστον εἰσφέρειν τιθέναι. pag. ead. ver. vlt. γρ. τῶν τριηραρχῶν· καὶ ἐπεψηφίσατο ἡ βουλή, καὶ ἐπεχειροτόνησεν ὁ δῆμος· καὶ αἰτεῖν.
pag. 155. num. 189. γρ. ἐπὶ ἴσον τῇ χορηγίᾳ χρωμένων. al. χρωμένοις. pa. ea. nu. 193. γρ. ἔξω καταληφθεῖσα ἀπώλετο pag. ead. num. 194. τῷ λειτουργεῖν μὴ δύνασθαι.
pag. 157. ver. 2. εἶθ᾽ ὅτι ταῖς ἀσπίδας διότ. pag. ead. num. 210. πρυτανέων συλλεγέντων βουλῆς pag. ead. num. 214. ἐν τούτοις, ἃ διώκει, συκ.
pag. 159. ver. 2. κομιζόμενος· ἢ λόγῳ τοὺς pag. ead. num. 228. τῶν γε δημοσίᾳ πεπραγμένων καλῶς, μετεῖναι τῆς δόξης, pag. 160. nu. 234. καὶ πενταγωνιστὴν ἄκρον ἐξέθρεψας· ἅμα πάντες
pag. 165. num. 271. εὐθὺς ἡγεμονίσαντες οἱ κατεσκευασμένοι, pag. 166. num. 280. δόξαντα ποιεῖν προσεποιεῖτο. pag. ead. num. 281. ὥστε συναντᾶτέ μοι μετὰ τῶν ὅπλ. pag. ead. num. 282. τοῖς δὲ μὴ συναντήσασι πανδημεί, χρησομένοις συμβούλοις· τοῖς δὲ μὴ συγκειμένοις, ἐπιζημίοις. al. τοῖς δὲ μὴ χρωμένοις, ἐπιζημίοις.
pag. 171. num. 327. τῷ εἰς αὐτὸν πλημμελεῖσθαι. pag ead. num. 328. γρ. ἀθηναίων, καὶ ἐνθυμηθέντας τῆς τῶν προγόνων ἀρετῆς, al. καὶ ἀναμνησθέντας τῆς τῶν προγόν. al. καὶ ἐνθυμηθέσης τῆς τῶν προγόν.
pag. 174. ver. 1. προΐετο ἀκονιτὶ pag. ead. ver. 3. πᾶσι δ᾽ ὀφθαλμοῖς πρὸς ver. 6. ἡγεμὼν δὲ καὶ κύριος ᾑρέθη pag. ead. num. 357. τὰ ἑαυτῆς ἐχούσῃ, ὑπὲρ τοῦ κελευόμενον ποιεῖν,
pag. 177. ver. 5. καὶ προλειστήκει τοῖς βοηθ. pag. ead. num. 387. ἀλλ᾽ οὕτως ἐπεπείσμην num. 388. ἐπεπείσμην δ᾽ ὑπὲρ ἐμαυτοῦ,
pag. 179. ver. 1. παρὰ τοῦτο· οὐχ ὁρᾷς; γέγονε τὰ pag ead. num. 406. αὐτοκράτωρ ὤν, ὃ τῆς εἰς τὸν
pag. 180. num. 416. εἰς ὄνησιν ἥκει τῇ πατρ. pag. 183. nu. 443. τὸ ἀπομάτιων τῷ πηλῷ, καὶ pag. ead. num. 446. ὡς ἀληθῶς αὐτὸν εὐδαιμονίσαι, καὶ
pag 185. num. 463. ἐξήμαρτέ τις ἄκων; συγγνώμη ἀντὶ τῆς τιμωρίας τούτῳ. οὔτε ἀδικῶν pag. 187. num. 481. δεῦρο δ᾽ ἥκοντα τιμᾶσθαι, μηδὲ τῇ φωνῇ δακρύειν ὑποκρινόμενον
pag. 190. num. 516. οὐχ ὁποσοσοῦν, οὔκουν· ἐπείγ pag. 191. num. 521. τραγικὸς θεοκρίνης.
pag. 193. ver. 37. ἰστέον δὲ ὅτι δημοσθένης καὶ ἀπῆλθεν ἐν τῇ δευτ. pag. ead. ver. 41. καὶ ὅπου ἂν ὄντα πύθωνται φίλιππον, ἐκεῖσε ἀπελθεῖν, καὶ ἐκεῖ τοὺς ὅρκ. ver. seq. ἐκάθηνται ὅλους τρεῖς μῆνας, al. ἐκάθηντο
pag. 194. ver. 6. καὶ ζητοῦσί τινες πῶς ἐνταῦθα pag. ead. ver. 16. φιλίππῳ χρόνον παρασκευάσασθαι pag ead. ver. 25. φωκέων μετὰ τὴν ἐξωμοσίαν
pag. 196. num. 7. δέδοικα μὴ τινα λήθην, ἢ συνήθειαν τῶν ἀδικημάτων ὑμῖν ἐμπεποιήκῃ. ὡς pag. ead. num. 21. οὐδ᾽ ὡς τῶν ἐμπολησόντων τῷ φιλίππῳ, ἀλλ᾽ ὡς
pag. 200. num. 31. καὶ ταυτὶ πολλοί μοι συνίσασιν, ἃ μέλλ. pag. ead. num. 33. ταῦτα δ᾽ ἦν φωκεῖς, καὶ πύλαι· μὴ πρόει. pag. 201. num. 35. πεπρεσβευμένων, ἢ τῶν ἐν τῇ βουλῇ ῥηθ. pag. ead. num. 40. καὶ γὰρ νῦν τινὰς αὐτῷ φθονεῖν τῶν συμπρέσβεων.
pag. 204. ver. 3. ἵνα εἰδῆθ᾽, ὅτι ἐγὼ μὲν pag. ead num. 59. δῆλον, εἰσῄει, εἰ σιγῴη, πονηρῶν καὶ δεινῶν ἔργων δόξειν κοινωνεῖν al. ἔργων δόξαι κοινωνεῖν pag. ead. num. 60. τ[illegible]των δ᾽ οὐδεὶς, ἐμοῦ. pag 2[illegible] num. 80. κα[illegible]ρὸς διὸς καὶ θεῶν ἀναμιμνήσ[illegible] pag. ea[illegible] num. 83. πειδὰν δὲ τοὺς καὶ [illegible] συλλογίσηται τι[illegible] ver. [illegible] τότε οὐδὲν ἄλλο φανήσονται, πλὴν [illegible] λίππῳ καὶ θηβαίοις φωκέας, μόν.
pag. 208. num. 88. εὐ[illegible]όνατα ἀνθρώποι[illegible] γέγραφε pag. 210. [illegible]m. 106. αὐτὸ [illegible] ταύτην [illegible] πέμπτην. [illegible] pag. 211. ve[illegible] τοῦ πείσασθαι, παντ.
pag. 213. num. 226. τὸν [illegible]ήσετε αὐτο[illegible] seq. ὅτι δ᾽ αὐτοὶ λάβητε [illegible]ηκετ[illegible]

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἰς τοῦτο τῆς ἀπαιδείας pag.215. num.134. οἱ φωκεῖς ἐπίθοντο· pag.216. ver.1. προσκατασκευάσθαι τῇ πόλει, pag.ead. num.144. ἀλλὰ μὴν ὄχι δὴ μ. ver.seq. ὥστε μὴ περὶ τοῦ συγκατηγορεῖν ἑκάστῳ, τὰς εὐθύνας, εἶναι τὸν λόγον, ἀλλὰ τοῦ δουλεύειν, καὶ παθεῖν ἄν τῷ φόβῳ διὰ τοὺς θηβ.

pag.217. ver.3. αὐτοῖς φίλιππον. αὗται γάρ εἰσι πρεσβείας εὐθύναι, ἢ περ. pag.ead.num.149. περιείδετε ἀνάστατον. pag.ead.nu.150. ταῦτ', ἅπερ προῄρητο ποιεῖν,

pag.219.num.177. αὐτὸν ἀφεῖτε, καὶ οὐδὲν pag.ead.num.178. μέμφεταί τις αἰσχίνῃ; φησί τις pag.220. num.189. δι' αἰσχίνην διαβέβληται. pag.221.num.197. καὶ τῶν θεσπιέων, καὶ τῶν θηβαίων, εἴπερ &c. pag.223.num.199. ἀδόξει, δίκαιος ἀπολωλέναι κρίνεται. pag.ead.nu.201. ἐμοὶ μὲν χρήσασθε pag.ead.num.203. ἐκεῖνα ἀγαθὰ καὶ ἐξ ἀγαθῶν. ἧκον ὡς ὑμ. pag.227. vers. vlt καὶ ἐστεφανῶσθε, καὶ

pag.229.num.247. ἁπάντων, καὶ ἀσυνθετώτατον, ὥσπερ pag.230. num.249. ἐπειδὴ παρ' ὑμῶν ἐπύθετο pag.ead. num.255. ἠξίου ταύτην προσθεῖναι pa.233.nu.274. ὑπὲρ τῶν εἰς καταληφθέντων ver.penult. οἷς περ νῦν λέγω τοῖς ῥήμασιν αὐτοῖς. Καί μοι

pag.234.n.283. πρὶν φίλιππον ἐλθεῖν, σὺν αἷς ἐπορθοῦσθαι μὲν, ὁ μὲν πεντήκοντ' ὅλας. pag.235.nu.290. χάψαι δ' αὐτίκα ἀθηναίοις, καὶ τοῖς ἀθηναίων συμμάχοις. pag.ead.num.293. καὶ βουλομένοις εὐορκεῖν, τούτοις ἐξεῖναι;

pag.238.num.318. μὴ συμπεριαπόλωμαι μετὰ τούτων, αὐτὸς δὲ &c. pag.240.num.332. μὴ σφόδρα ἀκριβολογήσασθε, pag.ead.num.333. μηδὲ ἀνάσχησθε λέγοντος, ὡς οὐ δεῖ pag.ead. num.338. τοὺς χρόνους τῆς οἷα παρ' ἡμῖν ἐστὶ, πολιτείας,

pag.241. ver.2. τὴν πόλιν. πρὸς οἷς pag.ead. num.347. καὶ οἱ δωροδοκοῦντες, pag.242. num.352. δῶς. τοιαύτης, ἀφ' ἧς ἐγὼ pag.243. num.357. τὸν χιτωνίσκον pag.245. ver.1. ἐμοῦ μέντοι τίς κατηγορεῖ; pag.ead.num.368. ὡς συμφέροντα, ψηφισάμενα,

pag.247.num.393. εἰ ἐφ' οἷς οὗτοι ἠδικήκασιν, ὁ μηδοποιῶν ἀδικῶν pag.250.num.415. ὡς αὐτὸς ἐπιθήσεται ἡμᾶς, pa.251.ver.2. τὰς ἀναβασοθήκας p.ead.num.425. τῶν σοι παραπρεσβευμένων, p.252.num.429. τὸν ἄνθρωπον, παραχέασθαι

pag.262 nu.535. ἢ δὲ; οἱ ... ται ἐν ὀλυνθῷ, ὅτι ... ὅλ... ος, pag.263.num.544. οἱ θεοί. ἐ... ζωθεν μὲν οἱ ἐπιβουλεύοντες, pag. ...4.num.548. παρὰ τῶν ἐν ἀρκαδίᾳ φίλων τῇ πόλει pag.267.nu.577. καθ' ὑμῶν οὐδὲ ὑ... τω πρᾶξαι, al. καθ' ... ν κακὸν οὐδὲ οὕτω πρ. pag.269.num.587. ... τ' ἂν ἐκφρύγοι.

pag.270. num.593. αὐτὸν ἀποδέχεσθαι. οὐ γρ. pag.ead.num.599. ἀλλ' ὡς οὐκ αἰσχρὰ, καὶ ἐπιεικεῖς, καὶ ὡς οὐ ... ὅμως.

pag.271.nu ... ἀπ' ἐκεῖ τῆς αὐτῆς ... περ pag. ..77. nu ... 2. ἐγὼ μὲν οὐκ ἄξιον num. eod. σκοποῦν, ... πρὸς τό τι καλὸν πρᾶξαι. τὸ δὲ τὸ δεῖν.

pag.281.num.48. τὸν νόμον ὑμῖν αὐτὸν ἀναγνώσεται. pag.28 num.52. μὴ διωξεῖσθαι δὲ ὅπου

pag.283.nu.56. ... ὅπως εἰς πλεῖον ἐστὶν, pag.ead.num.58. τοσοῦτον τῆς αὐτῆς δεῖ τοῦ ταύτην ἀποστερ.

pag.285. num.70. ὑμᾶς ἀφῃρῆσθαι νομεῖ. οὐ τοίνυν, ὦ ἄνδρες ἀθηναῖοι, μὴ λύκων ἀδικηθῇ, μόνον δεῖ σκοπεῖν, &c. pag.287. num.81. εἰ γὰρ οἱ μὲν εἰδότες καὶ num.83. ἐκεῖνο πέπεισαι

pag.289. num.97. ἐξ ἀρχῆς τι μὴ δοῦναι, pag.294. num.129. ἂν ὀλίγον εἴη, εἰ μίαν πόλιν pag.297. num.152. ἀκούσας πολλάκις, καὶ κατὰ χολὴν σκιψάμενος,

pag.299 num.164. ἐκεῖνο δὲ οὐ λόγος αὐτῆς θεῖτο pag.300. ver.3. in cont. τὰ τῶν ἀθηναίων ποιεῖν, ἢ ἐπαγεῖν νόμιμα, pag.301.num.180. μεγάλοι εἰσὶ, καὶ &c. delendæ videntur hæ voces τῆς ὀλιγαρχίας καὶ δεσποτείας pag.ead.nu. 182. κατὰ πολλὰ ἀσύμφοροι εἰσί

pag.308. num.232. τελευτήσασιν ἐν πολέμῳ, δημοσίᾳ pag.309. num.239. βάττιππον τὸν τούτου πατέρα pag.311.num.252. μὴ ἐξεῖναι ὑ χρονοτηθέντα pag.312. num.259. ἐάν τις ἄρχῃ ὀφείλων τῷ δήμῳ. pag.313 num.266. καὶ μέλλοντων οὐ ταῦτα λέγει. pag.314 num.276. καὶ τις ἄρ' ἔλθῃ ποτὲ καιρός, pag.315. ver.4. ὅλην τὴν πόλιν κίβδηλον, καὶ

pag.317. num.3. ὁ δῆμος ἅπας, pag.318.num. 7. καὶ παρήγγειλεν. pag.319.10. ἀγανακτήσας καὶ συνορμηθεὶς καταχειροτονήσει ὁ δῆμος pag.320. num.15. τῇ ὑστεραίᾳ ἐν πανδίοις. al. τῇ ὑστεραίᾳ τῶν πανδίων. pag.321.num.20. καὶ ἐν τῇ θαργηλίων πομπῇ, καὶ τῷ num.eod. ἐὰν δέ τις τούτων τι παραβαίνῃ, ὑπόδ. pag.ead.num.21. νόμος κατὰ τῶν περὶ τὴν ἑορτὴν

pag.322. ver.3. in cont. λόγων καὶ λοιδοριῶν γιγνομένων, καὶ pag.ead num.28. ἢ τοὺς χορευτὰς κωλύων ἀφεθῆναι τῆς στρατείας, ἡμῖν ἐνώχληκεν, ἢ προβαλ. pag.323.num.29. ὑπερβολὴ τούτων τὰ μετὰ ταῦτα, ἃ μέλλω λέγ. al. ὑπερβολὴ ταῦτα, ἃ μέλλω λέγ.

pag.324.num.35. τῶν ἀγωνιστῶν ἀνδρῶν, δύο ταῦτα ὥσπερ κεφάλαια ἐφ' ἅπασι τοῖς ἑαυτῶν νενεανιευμένοις ἐπεθ.

pag.325.num.46. ἐξ ὧν ἰδίᾳ πρὸς ἕνας αὐτὸς ἐδεξιῶν ἀπάντησ... μοι, ὡς, εἴπερ &c. pag.327. num.57. ἐὰν δὲ νομοθετῇ, num.58. καὶ πάλιν γ' ἐὰν τὸν ἄρχ. num.61. ἐν ὁ τῆς βλάβης ὑμῖν νόμος πάλαι, ἐν ὁ τῶν βιαίων, ἐν ὁ τῆς αἰκίας &c.

pa.331.nu.84. ἐάν δημοσίῳ ὁ δ' ὑβρίσας, εἴτ' εἰς ἐλεύθερον, εἴτ' εἰς δοῦλον, ἐὰν μὲν θανάτου τιμηθῇ, αὐθήμερον τεθνάτω. ἐὰν δ' ἀργυρίου, δεδέσθω, μέχρις ἂν ἐκτίσῃ. Ακούετε, ὦ ἄνδρες. pag.332. num. 93. τυπτήσαντας. Επειτα. περὶ ὑγιείας. num.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

num.94.καὶ στεφανηφορεῖ. τὰ πάτρια, num. 95.& 96. θυσίας, καὶ τ ... ίας, αἱρετοὺς πέμπειν κελ. θεωρ. ἀντ. καὶ τ ... ις ὅλων τῶν χρόνων vers. seq. καὶ πρὸς ἑκάστῳ δ. βοΐσκους. τῇ δὲ num. 97. Ο τοῦ Διὸς σημαίνει ... ιδώνη διηνύσαι δημοτελῆ ἱερ.

pag.334.num.107.οὐδεὶς π. ... ὅτι τοῦτ' εἶχε τὸ πλεῖον. num.109.τῶν μὲν νικαῖ τῷ ... τοὺς οἰομένων χορηγ. num.112.διὸ καλεῖ τοῖς πιττοῖ. 339.num. 140 ὥσπερεὶ τετάρτην, ἢ

pag.340.num.145.ver.τῆς νεὼς, in schol. τὰ χρήματα. ὁ δὲ, μικρὸν ἐπίσχες, ἔφη. pag.344. num.168 φρεαρίας ἀφιδναῖος, num. eod. τὴν τοῦ καπηλείου δίκην, 346.vers.2.προστοιαν ποιούμενοι, 349.196.Διονύσιος ἀφιδναῖος, pag. 350. 201. αὐτὸν εὐδαιμονίζ, τῆς 205.οὐ μέτεστι τῶν ἴσων, 353.216.τῇ δ' ὑστεραίᾳ πάλιν. 220. φόνου κοινωνοῦ, 357.246. οὐχ ὡς ὑπὲρ ἡμῶν ἐκλήρους. vel, ἐκληρουδ. pag.ead.num.248. εἰ δὲ μὴ ποιοῦντός σου, καταχλευάζοντες

pag.358.254.ἐπεὶ τὰ ὄντα, ἴσως μὲν οὐκ ἂν ὕβρ. vers. vlt. γιγνήσθε, καὶ παύητε. pag.360.nu. 269.καὶ ποσι ταῦτ' ἠδικημένος. μὴ τοίνυν pag. 366.320.ὅτι τοὺς ὑβρίζοντας ἔπαυσαν. 368. 333.πρὸς ὑμᾶς ἄνθρωπος εἷς μὲν

pag.369.num.339.ὧν ὁ μὲν τῆς, ἧς εἶλεν, δίκης ἀποστὰς 370. 342. ἂν δὲ ποιῇ, μὴ λέγῃ, πράως 374.371.τίς γάρ ἐστιν, ὅστις, καταχειροτονηθέντος αὐτοῦ καὶ ταῦτα ἀσεβεῖν περὶ τὴν ἑορτὴν, εἰ καὶ μηδεὶς ἄλλος ἐπῆν κίνδυνος ἐπὶ τούτῳ, μηδὲ ἀγών, &c. 374. χρήσεσθε αὐτῷ, 375.vers.1.καὶ ἐν εἰς καιροὺς, pag.ead.num.375. φλαῦρον, καὶ ὁ μηδεὶς num.377.ὑμεῖς δὲ νεμεσᾶσθαι num. 378. ὑβριστὴς γὰρ εἶ, 376.384. λάμβανε. 377. 386. παρ' ὑμῶν, αὐτὸν αὐτοῖς ἀξ. pag.ead. num.392.εἰ μὴ πλουτήσει μειδ.

pag.378.num.397.τί ποιήσεις, ἀθηναῖοι, τοιαῦτα λέγοντες. ἐπειδὴ κεχειροτόνη. al. ἐπεὶ δὲ κεχειροτόνη. pag.ead.num.398. τηνικαῦτ' ἀποψηφιεῖσθε ὑμεῖς. pag.379.num.411.ἐσυρίττετε, καὶ ἐκεκράγατε, καὶ πάντα, ἃ μισεῖς al. ἐσυρίττετε, καὶ ἐκλώζετε, καὶ πάντα, ἃ μισεῖς, &c. & ita Harpoc.

pag.380.ver.33. δωδέκατον δὲ τῆς μιᾶς δύο ἐστί. κτλ. δὲ &c pag.ead.ver.42. ἀνὰ τετταράκοντα πέντε ἡμέρας.

pag 382.num.8.πανούργοις λόγοις. pag.384.num. 16.ἐὰν μὴ ποιήσηται τὰς τελήρεις. ὁμολ. vers. seq. εἰ μὲν ἔδωκα αἰτούσῃ, παρὰ pag.eadem vers.18. in schol. τοῦτο, οὐκ ἀπεικὸς ἡγήσατο, &c. pag.ead. vers.51. ἔλεγε ταῦτα, ἐπήρ. pag.ead.ver.57. ὁμολογεῖν μὴ ἐξεῖναι

pag.386.num 30. ταῦτα μὴ ποιήσαιτο, τὰς pag. 388. 41. δῶρα παρέχοντες ἔχοντα γράμμ. 44. προσήκει ἀπαγγέλλειν ἡμῖν,

pag.389.num.51.δεῖ περὶ τοῦ ὄντινα τρόπον χρὴ διδόναι, αἰτηλ. pag.392.71. ἐστεφανωμένων, ἧς οὕτοι προσίεσαν.

pag.397.num.106.τοῖς δὲ παῖδας ἐκ π.

pag.398.num.114.τὰ τῶν μὲν ἐθελουσίων εἰσηγεῖν, χρήμ.

pag.399.num.120. ὧν ἀθρόων ἄξιον 125. διὰ τοῖς ἑαυτῆς δούλοις,

pag.400.num.134.παραιτούμενοι τὰς εἰσφοράς,

pag.405.num. 22. συμφέροιεν κατασκευάζοντα τοσαύτην

pag.406.num.35.ποιητέον τοὺς λόγους. pag.407. 42.καὶ δεδεγμένοις ἀνδροφόνους 46. οὐ δ' ὁ ἄλλοις

pag.408.num.52. κατὰ μὲν τῶν ἐν αἰτίᾳ, ἐὰν τις ἀποκτείνῃ. κατὰ δὲ τῶν ἑαλωκότων, 58.ὅσων τῷ παθόντι

pag 409.nu.67.περὶ μὲν δὴ τῶν ἀκουσίων ἂν λέγοι vel sic περὶ μὲν δὴ τῶν ἑκουσίων οὐκ ἂν λέγοι.

pag.412.num.100.ἢ τῷ χαριδήμῳ pag.413. num.105.σκέψασθε γὰρ οὑτωσί. 106. οὐδὲ τὸν τυχόντα τιν' ὅρκον

pag.414 num.113. καὶ γὰρ τῷ τῶν ἀκουσίων ἐλάττω τὴν τιμωρίαν. ἢ τῷ τῶν ἑκουσίων 117.ἤ τε τοῦ δικαίου, ἢ τοῦ ἀδίκου.

pag.416.num.133.ἐὰν μὴ τὸν ἱκέτην ἔκδοτον 417. 142.τοῦθ' ὑμῶν, καὶ προσοφειλόντων

pag.418.150.ἂν ᾖ τοῦτο ἀποπεφευγώς. pag.153. εἴ τι γε χαρίν, 420.167. ἢ δυνηθέντα μὴ ποιῆσαι, pag.168. συμφέροιεν περιέλοντα, καὶ ἡμῖν,

pag.421.176. ὑμῖν, ἢ θετταλοῖς

pag.424.212.νομίζων ἀποστερήσειν, 213. κομιδῇ τετυφωμένως

pag.425.211.ὑμεῖς ἐποιήσασθε

pag.428.num.251.ὑμᾶς παρέχειν τὴν 429.253. ἄρ' οὖν οἴεσθ' ἂν 260.σώζειν ἔμελλον. 261. ἀλλ' ὃν αὐτὸς

pag.430.263.πολλοὺς δ' ἀπέκτεινεν αὐτῶν, 269. τὸν μὲν μικτοκύθην

pag.431.278.λέγε καὶ τὴν ἐπιστολὴν, 280. καρδιανοῖς ἐγχεῖσαι,

pag 432.292.οἱ μὲν ἀφιγμένοι, 293.ἣν ὃν εἶχε τρόπον, pag.434 310.ὁ δ' ὑπὲρ τοῦ μὴ 312.δι' ὃν ὑμῖν προσήκει

pag.436.327.πρὸς τῷ πάντα ἃ μέγιστ' 333.τεκμήριον δὲ τὴν

pag.438.348.ὃ δ' ἐν τῷ ποιεῖν 441.5. ὥστε ἐπεὶ μὲν εἶχε

pag.443.15.εἰς ἕνα καὶ χιλίους ἐψηφισμένοιν, 18. ἑλέσθαι ζητητάς.

pag.444,22.εἰς περιέλειν τοὺς

pag.445.32.ἐπάναγκες πρότερον

pag.446.35.τὸν δ' ... τοῖς 36. ... πεῖραν ... 38.καὶ κατὰ ... αἰτείτω. ... δια... φίσματος,

pag.447.46.εἰδότα δ' οὐκ ἐῶντας.

pag.448.56.λάθοι. οἱ δ' οὐδὲν προσεῖχον 57.διαφθείρας, πεισ...

pag.450.70.ὡς ἐναντ... ἐστιν

pag.459.146.τοῖς ὑφ' ... ῶν

pag.461.165.προειρημένον αὐτ...

pag.462.169. ἀπολογήσασθαι ... ἀπειρηκότι, τοῖς τε ἑαυ...



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

pag.467.211. ἀλλ' ὅμως ὑπέμειναν. 468.217. μὲν ἔδει κυρίους 221. ἔπαθε παράδειγμά τι
469 230. ὅτι δήπου λέγω, 231. ἡ ἀπαγωγή, 472. 253. δι' ἃ τοῦτον οὐδὲν ἧττον ἐκείνου δικαίως ἂν μισοῖτε
pag 473.270. τὰ τῶν μὴ ἐθελησάντων 474.274. ὧν ἂν ἕκαστος 478.309. διαφόρως
pag.479.310. ὅσῳ δὲ μάλιστα p.ead.num.eod. καὶ τῶν τὰ τοιαῦτα
pag.482.num.3. δίκην ἂν θεὸς θέλῃ, pag.483.12. ἔθη παραλιπόντας ὑμᾶς
pag.489.76. μὴ καταθέντι τῶν ἴσων p.490.80. ὄνομα, ᾗ ἐτύγχανεν,
pag.491.89. τοῦτον ἡγήσαντο ἑαυτὸν 90. καὶ τοιοῦτος ὤν, ἐν 97. εἰ δ' αἱ ἡρημένα ταῦτα
pag.492.106. ὃν οὐ βεβίωκεν; pag.493 num.111. ἔλεος, συγγνώμη, καὶ φιλανθρωπία. 116. πρὸς τούτοις προσορμίζου 117. οὑτωσὶ δὲ λογίζεσθε.
pag.494.num.124. ταῦθ' ὅσα μονονοὺ pag.495. num.132. μήποτε ἕκαστον ὑμῶν δέξεται, 133. τοῖς πονηροτάτοις καὶ συκοφάνταις 134. ἐν δ' εἰπὼν ἔτι, num eod. οἱ παρεστηκότες καὶ ξένοι, καὶ πολῖται; καὶ κατ' ἄνδρα εἰς ἕκαστον τὸν παριόντα
pag.498 num.30. ποιεῖν, ἄλλως τι, καὶ πολλῶν ὑπὲρ 33. οὕτω δ' ἂν ἀκριβέστατα συνθεωρήσαιτε
pag.499 num.2. καὶ παρακρούσασθαι δυναμένοις, pag.503.num.44. μικροῦ δεῖν τρία
pag.506.67. τοὺς διδασκάλους τοὺς μισθοὺς ἀπεστέρηκε,
pag.507.num.79. τούτων δ' οὐκ ἂν κυρίους ἐποίησεν. 80. χρημάτων κύριον ποιεῖν. 84. τὰ χρήματα ἐξηρίθμησεν.
pag 509.100. τὸν αὑτοῦ υἱὸν num.eod. ἤδη τῶν πολιτῶν,
pag.513.num.2. ἔγωγε κατώκνουν ἄν, num.5. καὶ οὐδ' ἐν ὑμῖν φανερῶς nu.7. δοκεῖ διεξῆλθεν πρὸς num.9 καὶ μάρτυρας ψευδεῖς
pag.514.num.16 τὴν ψῆφον ἡμᾶς num.17. οὐδὲν ὑφ' ἡμῶν pag.515.24. καὶ περὶ ἐπιτιμίας ἄνθρωποι 25. πείσαι τι τούτων ἐδέησεν,
pag.517.ver 2 ὅστις ἐστὶν οὐδεὶς ᾔδει. 45. οἱ παρόντες, pag.518.num.59. τὸν πατέρα ἡμῶν
pag.519.63. ἡμῖν, φανερὴ κομίζεσθαι p.520.76. παραλαμβάνειν οὐδὲν αὐτῶν·
pag.523.21. ἔλαχον, ἣ τὴν δὲ ἀπόληψιν num.27. οὐδ' ἂν εἰς οὐδένα num.eod. ὑπὲρ ὧν τῆς ἀσφαλείας
pag 525.40 τὸ γὰρ προσῆκε χαλεπῶς ὦ ἄνδρες δικασταί, οὐδὲ πίστιν αἱ συνοικοῦσαί τι αὐτῷ τὴν γυναῖκα.
pag.526.num.[illegible], δεδωκέναι. [illegible]τα ἤθησιν ὅροις, pag.527.[illegible].1. ὑφ' ἑνὸς α[illegible]ὑμεθεὶς num.11. ὅτι γ' ἐπι[illegible]ησεν 13. ὡς ἀρ[illegible]αιον δοὺς 14. ἀλλὰ καὶ ἐξ [illegible] 15. ταῦτ' ἀπετιμᾶτο, ver.vlt. πα[illegible]νοις ζητεῖ,
pag.528.num 16. οἱ τὰ [illegible]ῶντ' ἀδικοῦντες 17. ὅτι [illegible] ἤσαι φὴς
pag.529 num.4. ἀδίκημα [illegible]ουτουί 8. διαμαρτὼν δὲ τοῦ λέμβου
pag.531.num.21. ἔφη τις τῶν παρόντων, ἀπαιτῶν ἐπὶ 25. οὐδὲν αὐτῷ μέγειν. [illegible]num.eod. ἔν τι τῷ πλοίῳ

[illegible]τὴν 2
pag.532.n[illegible] μένειν[illegible].
pag.533.n[illegible] αὐτὴν [illegible]
pag.535.[illegible] ματα ἐάει
pag.537.48. καὶ [illegible] δικαιότερ' ἂν φαίνοιτο
pag.541.28. τὰ ἐναντία οἷς πρότερον. pag.543.45. καὶ πέλαγος τοσοῦτον μέλλοντες
pag.544.58. ἔτι δὲ οὐδ' οὕτως εὐποροῦντα, 61. παραγράφονται δὲ τὴν δίκην 62. εἰ μὲν ἕνεκα τοῦ πλοῦ τὸ ἀθλιάζει
pag.545.67. φορμίωνος ὁμολογοῦντος μὲν δανείσασθαι, pag.547.num.13. τὰ ἐκ τοῦ σίτου ἀναφορη[illegible] πραθέντα,
pag.550.42. ἐπὶ τῷ ὀνόματι 46. ἀνθρώπῳ τινὶ γεωργῷ παρεκομίζετο
pag.553.70. ὥσπερ καὶ τοὺς ἄλλους εἰσπεπράχθαι, 73, μὴ ἱκανὸν ἡμᾶς ἀποστερεῖσθαι, 76. οὐκοῦν ὑπόλοιποί εἰσιν οἱ num.eod. καὶ σὺ ἀδελφὸς
pag.554.ver.1. Ἀργύριον δὲ μὴ ἐξεῖναι δανεῖσαι Ἀθηναίων num.83. ἐκ τοῦ πόντου μετὰ τοῦ φασηλίτου
pag.556.16. εἰ μὴ προσῆν χρήματα 557.25. οὐκ ἔχει τίνα χρὴ τρόπον
pag.558.36. νόμον θείς, τούτων, ὧν ἂν γίγνηται δίκη, μὴ εἶναι δίκας,
pag.559.43. καὶ τοῦ ἑτέρων πλείω κτήσασθαι, num.eod. πράγμασιν, εἰ τοῦτον ἀνάγκη 45. καὶ πάντα τὸν βίον τῷ πασίωνι
pag.561.67. παρὰ τὸν σὸν πατέρα 68. εἶτα τ' ἐ[illegible]σαντα 70. καὶ αὐτῷ τὴν γυναῖκα ἔδωκε
pag 562.75. τὸν γὰρ συκοφαντοῦντα ἀεί τινα, νομίζειν χρὴ ταυτὸ ποιεῖν καὶ νυνί.
pag.566.27. πάλιν δίκην λαγχάνειν, pag.567.32. ἐννεακοντούτων· 36. τὸ ἐπὶ θρασύλλου, 40. εἱλόμην τὰ ἐμαυτοῦ κομίσασθαι.
pag.568.50. οὐ γὰρ τὸ γιγνώσκειν καὶ συνιέναι τὰ 570. ver.3. ὥσπερ ἔλεγχος num.69. περὶ ὧν οὐδὲν ἤλπιζεν αὐτῷ κατήγορον ἔσεσθαι, 70. καὶ δισχιλίων πλέον, εἰς ταῦτα, 72. ἐπειδὰν τίνων τις
pag.571.ver.2. μήτ' ἄλλου μηδενὸς μετέχοιεν, ἀλλ' pag.573.10. σκευῶν παραδοθέντων, 12. τούτοις καθ' ἡμῶν ἀπηλλαγμένοις, pag.ead.num.15. οὐ γὰρ δίς γε ταῦτα
pag.574.25. δικῶν τὸ μέγεθος τῶν τότε ληχθεισῶν,
pag 578.26. ταὐτόματα, ὁ βουλόμενος, p.579.32. ἐγὼ μὲν οὐδὲν ἂν οἶμαι. 38. ἀφ' οὗ παῖδας ἐποιήσατο τούτοις ὁ πατήρ, ἀπὸ τούτου καὶ
pag.582.num.5. ὀκτωκαιδεκέτη γῆμαι, pag.584. ver.3. τούτῳ ἐπετρέψαμεν pag.ead.num.29. ἵν' αὖ μὴ ἐξαπατηθῆτε
pag.585.40. τοῦτον ἠτίμαζε. pag.586.49. παρὰ τοῦ ἡμετέρου προγόνου 52. δῶρα πολλὰ καὶ δεινὰ num.eod. ὀλίγον περίεσται μοι
pag 587.54. [illegible]ήσαντος τούτου 55. πέρας ἡμῖν τοῦ
pag.58[illegible] [illegible]ροις μοι βοηθήσητε, 78. δῆλος μὲν
pag.5[illegible] παρὰ τοῦ υἱοῦ δία, 15. δῶρα δὲ πόσα τοιαῦτα

ἄυτα. [illegible]

pag 592.22. ὅτ' ἀνέγνω μ[illegible] num.12. ἀκού-[illegible]σαι πάσης τῆς ἀληθεία

pag.596.20 κ̀ κρίσεις αἱς [illegible]ονται 597. ver.1. καὶ τὴν ὑμετέραν, ταῦτ[illegible] τὴν εἰς τὸ δικαστήριον ὑπὲρ τῶν ἠδικημένων, ἐστὶ [illegible]ίζωσι, μὴ nu.32. καὶ οὐδὲν πώποτε τοιοῦτ[illegible]εικας.

pag 599.46. τὴν ὕλην τὴν ποτ[illegible]ημένην p 600. num.5. ἐξηλέγχθησαν ψευδεῖς οὖσαι.

pag 601.23 βοηθῆσαι ἡμῖν. 602.28. ἣν ἐγὼ ἔχω

pag.605 65. καὶ χαλεπώτατα τῷ πατρὶ τῷ p.607. 78. ἐὰν μὲν καταλίπῃ θηλείας σὺν ἄρρεσι, ταῖς ἄρρεναις σὺν ταύταις ver.4. à fine, Προσκαλεῖν τῷ κτεῖναι τι

pag.608.94. ὁ ὕστερος τετελεύτηκεν, 96. ἢ ἂν περι-θῶνται,

pag.610.112. ἢ δημοτικόν, ἢ ἑαυτῷ 113. ἡ δίκη ταῖς φράτορσιν, 115. μήτε τῷ ἢ ταῖς νόμοις

pag.611 126 οἱ μὲν ἄλλοι πένητες pag. 614. 16. τὸ κρατεῖν τῶν κληρονομικῶν ταῖς 18. καὶ πρὸς γυναικῶν οἰκεῖος ἀρχιάδη

pag.616.38. ὡς οἱ ἐλαττοῦνται, εἰ μηδενὸς ἡμῶν 39. οἴμαι κ̀ ὑμᾶς δεῖν βοηθεῖν

pag 617.49. κ̀ κρείττω ταῖς 51. τὸ θειωελκὸν λαμβάνειν 54. ὁ δὲ μετὰ ταῦτα

pag. 619.73. ἀδίκως μὲν γὰρ ἀνέγραψεν, οὐδὲν δὲ ἧττον ὑπὲρ τῶ κατὰ τὴν ἡλικίαν λέγων.

pag.620. ver.2. οὐδὲν εἰδότα, ἀνέγραψα. num.81. εἰσέρχεται. ὅτι μὲν οὖν ἡ διαμαρτυρία ψευδής ἐστι, κ̀ ἐκ τῶν γεγραμμένων, καὶ ἐκ τῶν 84. εἷς ἕκαστος ἡμῶν τῆς

pag 621. ver.3. εἰς τὸν κλῆρον num.90. ὡς περὶ τῶν ἰδίων

pag 622.8. ἔπειτα μάρτυρας, 623. ver.vlt. ἐχεῖν αὐτὸ τὸ γραμματεῖον

pag.624 25. διαπίστωμά τι διαθήκης 26. Κηφισοφῶν κετ δηῶτος ἀφιδναῖος

pag.625.38. ἁπάντων κύριοι γενέσθαι. 43. διὰ τὸ προσοφείλοντα

pag.626. ver. vlt. οὐδ' ὁ ἐπιτροπευθῆναι 627. 62. βέλτιόν ἐστι μικρά

pag.629 79. οὐδ' εἰ μηδένα τῶν 81. ὕστερον πέπυσμαι πρὸς vel ὕστερον πέπυσμαι 82 ὦ ἄνδρες ἀθηναῖοι, τῶν δημοσίων κλέπτης 86. καθ' ὅ, τι ἔσται

pag.630. 89. ἐξ ἀθηναίων ἁπάντων τοῦτον ἐκλεξάμενος. 631. 99. ἐξέδωκες μὲν τὸν σαυτοῦ δῆον 100. τοῦτον ὑμεῖς ἠδικηκότα

pag. 32. 115. καὶ τοῦτω γε εἰ μηδενὸς 634 ver 3. μὴ ἔχων ἐπιδεῖξαι, pag.ead.num.5 οὐ γὰρ ἀγνοεῖν οἶμαι ὑμᾶς 6. ἀπολλοδώρου δ' ἐκ ἐθέλειν 8. ἀλλ' ἃ ἂν εἰδῇ τις, 9. κ̀ ἀπὸ τῆς αὐτῆς ἐπισκήψεως, 11. Ακούειν ἐστὶ μαρτυρίαν τοῦ τεθνεῶτος

pag.635. ver.2. καὶ κατ' αὐτὸ τοῦτο, num.17. κελεύει, κ̀ ἐν ἄλλοις. 21. ὡς δὲ παρεγένοντο,

pag.636. ver.4 à fine, ὑπὲρ ἀσεβ[illegible] τὸν ἄρχοντα. εἰδὼς ὡς ὑπὲρ ἐξῆς,

pag 637.38. ὁ συνήγορος ὢν λαμβάνει τὰ χρήματα

pag.638. ver.1. δικασταί, οἱ ὑπόλοιποι ἀγῶνα ἀποδιδόντες

pag.641.40. ἕως δ' ἐγὼ τι 642.47. ἡ βουλὴ ψήφισμά τι, ὃ ἀναγνώσεται

pag.644.67. γε. οὔτε πρὸς διαιτητήν, vel, οὔτε ὅτι ἦμεν πρὸς διαιτητήν,

pag.646.92. οὐδ' ᾔδειν εἰσεληλυθότα 93. ἐξέπιον τὴν δίκην

pag.647. ver.1. ἀπαγγείλαντός μου pag. ead. num. 99. ἡ δὲ γυνή, καὶ τὰ παιδία, 101. τὴν συμφορὰν φέρειν

pag 648. ver.1. ἀπολαβεῖν με τὰ ἐνέχυρα. pag.ead. num. 109. ὃς κελεύει κύριον εἶναι,

pag.650.7. κ̀ τὴν ἀδελφὴν μὲν ἑαυτοῦ, 651.19. κ̀ τὸν οἰκίσκον. ἐγὼ δ'

pag.652.27. περὶ τοῦ ἰσομοιρεῖν ἁπάντων, 653.39. καὶ τὰ ἔπεα ψηφισῶνται

pag.654.53. ἐπειδὴ καὶ τὴν σὴν διαγραφὴν

pag 655.58. οὐδέποτε ποτέ μοι. num.eod. ἧς ἔφασκες μισθῶσαι μοι ὡς σαυτοῦ οὔσης; 59. ὦ γνῶσι δὲ τουτονί

pag.656.67. ὅτι ἤδη καταφανὴς ἔσται, 70. διὰ ἀναισχυντίαν.

pag.657. ver.3. ὅ, τι ἂν ὑμῖν δοκῇ pag.ead.nu. 4. ἡ ὑποθήκη pag 658. ver.1. τὰ ἀπαιτηθέντα num.9 ὅσα περὶ αἰπιμάχου διεπίλει 16 καταληφθῆναι ἐν καλαυρείᾳ, ver. vlt. ἐν καλαυρείᾳ δανείζεται

pag. 659.10. ἃς ἐδανείσατο ἐν καλαυρείᾳ. 23. δραχμὰς ἐν καλαυρείᾳ, 24. προσκληθεὶς ἀπὸ τῆς οἰκίας. 25. ἐδανείσει ἐν καλαυρείᾳ 27. ἐπ' ἀστείου

pag. 660. ver. 7. τοῦτον ἐπορήσατο ἧκεν 662. 54. Ως μὲν τοίνυν

pag.663.61. ἢ ἐκ τῶν αἰπιμάχου 67. ἦσαν οἱ ἀνελκόντες

pag 664. ver.2. μᾶλλον, ἢ τὸν χαλκόν 665.84. ἢ ἀπέπαθε τῶν φιαλῶν.

pag.666. ver. 3. δεῖν διὰ τὴν δόξαν πιστεύεσθαι. 667. ver.2. πῶς μὲν

pag.669. ver.8. κ̀ ὁ στρατηγὸς παρήγγειλεν nu.36. τῶν ἀρχαίων ναυτῶν,

pag.670. 41. ὀφείλει γὰρ ἀργύριον ἐκεῖ, ver.3. à fine, κ̀ ὅ, τι τοιούτων.

pag.671.52. ὑπερβέβληκας πλούτῳ ταῖς 53. κ̀ εἰώθασι ἀργύριον 55. ὑπ' ἐμοῦ αὐτοῖς διεφθάρθαι,

pag.673. ver.2. καθ' ὅ, τι δύναται, ver.3. ἐφ' ὅ, τι πλεῖς,

pag.676. ver 2. εἰ λαβεῖν αὐτὸς ἠξίουν, num.61 ὡς ἀνεπληρούμην ἐμοῦ

pag 677. 14. οὐ ταῦτα ποιεῖθ' ὑμ[illegible] pag.678. 25. δεινὰ πάσχ[illegible]ουσι, 28. [illegible]ωτήροις αὐτοῖς τῶν

pag.679.5. ἀποδοῦναι λέγων, ὅτι [illegible] τῶν λύκων ἡρακλεώτην

pag.680.18. ἔφη [illegible], ὦ [illegible]σιον, ἐὰν βούλῃ σὺ

pag.682. 36. εἰς δὲ ταῖς [illegible]φορὰς 37. καὶ ἀπειλητὰς φόνος ἀπὸ τῶν

pag.683. num.3. καὶ εἶναι ἂν τι τούτοις τούτου τεκμήριον,

pag.685. 21. ἐπεβούλευ[illegible]οι ver.1. à fine, τὸν ἀρεθούσιον

2 3

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

pag.688.4. ὡς ἂν οἷός τι ὦ, 7. τὸ μὲν πρῶτον ἀπεμεμψάμεθα.

pag.691.36. καὶ τούτοις αὐτὸν ἠξίου. 692.44. ἀνεστηκὼς ἤδη προσεκαλεσάμην αὐτόν, 45. Περὶ μὲν τίνων τοῦ βασάνου, ταῦτα μέμνησθε· τὴν ὥραν, ἡνίκα 50. τοῦτον καὶ δικάζομαι, καὶ μισῶ, καὶ ἐπεξέρχομαι.

pag.693. ver.6. τὸ χῖλος διακεκόφθαι. vel ἐρρῆχθαι. 695. ver.5. οὗτος δὲ καλλικλέους 6. εἰς τὸ χωρίον τὸ ἡμέτερον. 7. τὴν ἀπόφασιν ἂν ἐκεῖνος 9. ταῦτ' ἐστὶ πρὸς τὴν

pag.696.19. ἡ τὴν οἰκίαν δέξαιτ' ἂν αὐτῷ; 697. 26. καὶ τὰ πτύουσιν, 31. μεδίμνοις,

pag.699.5. ἡμῖν δὲ τοῖς ἀδικοῦσι ver. vlt. ἐὰν δοκῶμεν ἀδικεῖσθαι.

pag.700.11. ἄρξαντος, γρ. ἄρχοντος. 703. ver. vlt. ὡς διεφθαρμένης.

pag.706. num.1. καὶ μετὸν τῆς πόλεως ver.2. à fine, πῶς αὐτῷ πιθύνω γε ἡ γνώμη

pag.708.24. ὥσπερ δὲ δέοι ἡμᾶς δι' ἐκείνας 710 ver.4. εἰ καὶ μὴ κατὰ θάτερα

pag.711. ver.3. ἡμῖν θέσθαι τὴν ψῆφον 712.62. ψηφίσασθε 68. Οὔκουν

713.76. ἀστὸν δὲ ἀστῆς ἐγγυητῆς αὐτῷ 715.94. ἐπειδὴ δὲ ἔξω

719.37. καθ' οὗ δεῖ διακρίνεις οὗτοσί 41. ἐπειδὴ ὑμεῖς καὶ πάλιν

721.58. ἐγράψατο τοῦτο, τὸ περὶ τῆς num. eod. τὴν σύνταξιν διδόναι τοῖς οἰκείοις ὅσην

722.65. καὶ λοιδορούμενον αἰσχρῶς 723. ver.5. τοῖς πρότεροι τὰ pag. ead. num.78. ἀλλὰ τί οὐ διδάσκεις με πάντας τοὺς τόπους, καθ' οὓς ἔξεστι

724. ver.1. δι' οὓς οἰκοῦμεν τὴν πόλιν

725.98. ὑμῖν· δι' ὧν, εἰ διακρίνῃ 726.3. καὶ περὶ ἐπιτιμίας 5. καὶ προσεμένους τοὺς συμμάχους

727. ver.1. οὐδεὶς ἀπεχειροτόνησεν, ἀλλὰ 15. ἐπαιπασάμενος ἃ οὔτε ἐγένετο, 18. οἰκείως ἔχων πρὸς τούτους

728.22. κελεῦσαι καλέσαι τῷ ἀγῶνι 729. ver.6. καὶ εἰργάσατο τελοῖ τρυπαίαις μισθαρνοῦσα pag. ead. num.38. ἐν τῷ κορίνθῳ αὐτῆς ἐπιφανῶς πεισι τρυπαίαις ἐργαζομένης,

731.57. καὶ τοῦ σιμμονίδου, ὥστ' ἐν 58. ἐπιπτοοῦσα 732 64. Διηγήσασθαι δὲ 66. καὶ μεμαθηκυῖαν μὴ κακῶς 68. ἄλλοις τε καὶ ἐμέ, τουτονὶ πεποίηκεν 70. διαιτητὴς ἐκαθέζετο

733.79. ὡς σὺ ἦλθεν εἰς τὸν 735.101. ἐπαινέτον γὰρ τὸν ἀνδρείαν, ἐρασθῇ

736. ver.1. ἀ[illegible] εἰργάσθαι pag. ead. num.110. Ναυσιφ[illegible] καλῆσιν, 38.128. οὕτω καὶ δὲ ἀστῆς[illegible] ζεαίων 129. ἤδη [illegible]

739. [illegible] ζητοῦντι τὴν μηδαμοῦ λαβεῖν 741.165. μὴ 48. προμένῳ [illegible]

742.169. οὐδὲ ὁ δῆμος [illegible] ἐποίησατο. 171. καὶ ἀκολουθούσας τῷ διδ[illegible] 174. ὑπὲρ ἔτι ζέειν

744. ver. 6. (ταῖς νεαίρας τοῦ προσκαρτερούσας, pag. ead. num.195. ἐστὶ καὶ νεαίρας τούτοις

747. ver.2. [illegible] ,βαίων τοῦτ' ἂν εἴη ver.5. καὶ τοὺς ἔξω [illegible] pag. ead. num. 21. ἂν παρῇ [illegible] ἂν μηδεὶς ἄλλων 27. τὴν σιμμορίαν ἔσχε, τῇ τύχῃ πέπ[illegible]

748. ver. 4. οὐ γὰρ [illegible] εἰπεῖν ἔτ' ἀληθεστέραν, οὔτε καλλίω πρόφασιν [illegible] τὰ πεπλεονεκηκότων ἀγαθόντα ἀρετῆς, τὸν pa[illegible] ead. num.34. τὸ φῶς ἐξήσιτο.

749.41. ἐφ' οἷς [illegible] ἑλλάδα 44. ἡ πρὸ τὴν σωθεῖσιν 45 ᾤοντο προσήκειν ποιοῦντας ὀφθῆναι.

750. num.3. ὁ μὲν οὖν ὥσπερ 752.20. πᾶσιν ἀποδείξας 21. πρὸς ἀλλήλας λαβοῦσα 22. μάτην περιβουσώμεθα.

751.28. ὃν ἂν προσήκωνται, μετρίως 36. πρὸς γὰρ τοὺς ἀπὸ τῶν ἀγωνοθετῶν ἀθεμένοις, τὸ

754.39. συμμετρότερον φανήσομαι

755.50. ἐπὶ τῶν ἄλλων, λόγου ψευδεῖς, 51. τούτων μὲν οὖν οὐδὲν δεῖ 55. πλὴν τοῖς ἀνδραγαθίᾳ διαφέρουσιν.

756.65. πολὺ γὰρ ἦν ἀπρεπέστερον, 757.78. οὓς ἄν τις ἕλοιτο βουλόμενος φίλους

758.3. πειράσομαι συμβουλεύειν 7. ἀλλ' εἰ τῶν ὀλιγαρχιῶν, ὑπὲρ ὧν οὗτοι λέγουσι, κύριοι

759.19. αὐθέντου ἀκριβῶς 20. ὡς ἂν δυνώμεθα διὰ

760. ver.1. πραγμάτων λέγειν ἐγχειροῦντες, pag. ead. num.25. ἀφῇσιτο τὸ γιγνώσκεσθαι,

762.41. γνῶναι μὲν ἐστὶν ἑκάστῳ ῥᾴδιον τὰ δέοντα ὑμῶν, 48. φησὶ μέγιστον ἔπαινον

763.55. ὑμεῖς ὑπομένετε ἀκοῦσαι 57. ἔπειτ' ἔγωγε

764.65. ὃς ἂν δείξῃ, ὡς πειθοῦσα 70. περὶ ὧν ἕκαστος μὲν ὡς 71. ἐβουλόμην ἂν ὥσπερ ὅτι ὑμῖν

765. ver.1. μὴ ἔχειν λέγειν ἀξίως 766.88. λέγειν τὰ πρὸς ὑμᾶς, 89. τῶν ἐπιθυμιῶν κρείττω πειρᾶσθαι 90. φύσει πονηρῶν ἐπιθυμιῶν,

767.101. τὸ κακῶς τὰ πράγματ' ἔχειν, ἀλλ' ἢ πάντας

768.108. ἢ τὸ δικαίως εἰπεῖν 111. τοῖς τότε δόξασιν ἀντειπεῖν 112. πρότεροι φανεῖται, ἢ εἰ μήτε

769.119. ἐκ πολέμου ποιήσῃ, τοῦτον μισοῦντες. 120. ἐπειδὴ ὑμεῖς οὐ μόνον

770.125. τί δεῖ πρὸς τὸ φαυλότατον ἥκειν, τὸ βέλτιστον ἐάσαντας, καὶ ἐκ πλείστου 128. αὐτοὺς ἡγοῦμαι προσήκειν· καὶ τῆς

771.137. ἑκάστοις ὑμεῖς κρινεῖτε,

772.149. χάριν γὰρ εἶχετε εἰκότως ἄν,

773.152. κακῶς ἀκούετε. γρ. κακῶς ἀκούοντας. 153. ὑπὲρ τῶν ἀληθῶν, ὅ,τι δίκαιον, ῥητέον, 158. τοῖς ὑμετέροις ψηφίσμασιν. 160. τῶν μὲν ὑμετέρων ψηφισμάτων

774.163. ἂν φανείη, ὅσα ἂν τις ὑμᾶς 166. οὐ τι μὲν ἀλλ' οὐ σωθείσιν 167. οὐ βεβουλευμένοις ὑμᾶς φανῆναι.

775.173. γέγονεν αἴτια.

777. num.4. αἰσθάνεσθε ἂν βούλεσθε, 9. μήτε μηδενὶ τῷ ἑκάστῃ num. eod. τοῖς συνειδότας αὐτοῖς, ὡς ἀναγκαίως εἰς κίνδυνον ἥκουσι προδήλοις, τοῖς συνειδόσι προθύμοις συναγωνιστὰς ποιεῖ.

778.13. ἡ καιροὺς ἐνίας

779. num.4. [illegible] τῇ βουλῇ κατασκευάζοντο ἑαυτοῖς.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

